# Πατρολογικά κείμενα

-0-

| Πληκτρολόγηση κειμένου για Εύρεση |
| --- |
| |

## *Μάξιμος ο Ομολογητής* ***PC 90*** *και* ***PC 91***

Code : 354

(PG 90)

ΕΙΣ ΤΟΝ ΒΙΟΝ ΚΑΙ ΤΗΝ ΑΘΛΗΣΙΝ ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΚΑΙ ΟΜΟΛΟΓΗΤΟΥ ΜΑΞΙΜΟΥ........................................................1
Α΄. 23
Β΄. 24
Γ΄. 25
Δ΄. 26
Ε΄. 26
Στ΄. 27
Ζ΄. 27
Η΄. 28
Θ΄. 29
Ι΄. 30
ΙΑ΄. 30
ΙΒ΄. 30
ΙΓ΄. 31
ΙΔ΄. 32
ΙΕ΄. 33
Ιστ΄. 34
ΙΖ΄. 34
ΙΗ΄. 35
ΙΘ ΄. 36
Κ΄. 36
ΚΑ΄. 37

ΚΒ΄. 38
ΚΓ΄. 38
ΚΔ΄. 39
ΚΕ΄. 39
Κστ΄. 40
ΚΖ΄. 40
ΚΗ΄. 41
ΚΘ΄. 41
Λ΄. 42
ΛΑ΄. 43
ΛΒ΄. 43
ΛΓ΄. 44
ΛΔ΄. 44
ΛΕ΄. 45
Λστ΄. 45
ΛΖ΄. 45
ΛΗ΄. 46
ΛΘ' . 47
Μ΄. 47
ΜΑ'. 47
ΜΒ΄. 48
ΕΞΗΓΗΣΙΣ ΤΗΣ ΚΙΝΗΣΕΩΣ Σελ. (110)........................................49
Γενομένης, μεταξύ τοῦ κυρίου ἀββᾶ Μαξίμου, καί τῶν σύν αὐτῷ, καί τῶν ἀρχόντων ἐπί σεκρέτου. 49
Α' . 49
Β'. 50
Γ' . 51
Δ'. 51
Ε΄. 53
Στ' . 54
Ζ΄. 55
Η΄. 56
Θ΄. 56
Ι ΄. 57
ΙΑ΄. 57
ΙΓ΄. 59
ΙΔ ΄. 59

ΙΕ ΄. 60
ΠΡΟΣ ΑΝΑΣΤΑΣΙΟΝ ΜΟΝΑΖΟΝΤΑ (132)..................................62
Περί τῶν πραχθέντων ἐν τῇ πρώτῃ ἐξορίᾳ, ἤτοι ἐν Βιζύῃ· τά παρά τοῦ Θεοδοσίου ἐπισκόπου Καισαρείας Βιθυνίας, καί αὐτοῦ διαλεχθέντα.....................................................................................63
Α'. 63
Β'. 63
Γ'. 65
Ε' . 65
Στ'. 66
Ζ'. 66
Η'. 66
Θ'. 67
Ι'. 68
ΙΑ'. 68
ΙΒ'. 68
ΙΓ'. 69
ΙΔ . 71
ΤΟΥ ΑΓΙΟΥ ΙΠΠΟΛΥΤΟΥ ( Τόμ. Β'. Σελ. 180 ).............................73
Ἐκ τοῦ κατά Βήρωνος καί Ἥλικος τῶν αἱρετικῶν περί θεολογίας καί σαρκώσεως κατά στοιχεῖον, οὗ ἡ ἀρχή· "Ἅγιος, ἅγιος, ἅγιος, Κύριος Σαβαώθ ἀσιγήτῳ φωνῇ βοῶντα τά Σεραφίμ τόν Θεόν δοξάζουσιν." 73
ΙΖ'. 73
(181) Τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ λόγου β'. 74
ΙΗ' . 74
Τοῦ αὐτοῦ, ἐκ τοῦ αὐτοῦ λόγου γ'. 75
ΙΘ'. 75
Τοῦ αὐτοῦ, ἐκ τοῦ αὐτοῦ λόγου δ'. 75
Κ'. 75
Τοῦ αὐτοῦ, ἐκ τοῦ αὐτοῦ λόγου ε'. 76
ΚΑ'. 76
Τοῦ αὐτοῦ, ἐκ τοῦ αὐτοῦ λόγου στ'. 76
ΚΒ'. 76
Τοῦ αὐτοῦ, ἐκ τοῦ αὐτοῦ λόγου ζ'. 77
ΚΓ'. 77
Τοῦ αὐτοῦ, ἐκ τοῦ αὐτοῦ λόγου η'. 77

ΚΔ'. 77
Ι Ε. 79
Ιστ' . 79
ΙΖ '. 80
ΙΘ'. 81
Κ ' . 81
ΚΑ'. 82
ΚΒ'. 83
ΚΓ'. 83
ΚΔ'. 84
ΚΕ'. 84
Κστ'. 85
ΚΖ'. 86
ΚΗ'. 86
ΚΘ'. 87
Λ'. 87
ΛΑ'. 88
ΛΒ'. 89
ΛΓ'. 89
ΚΑΤΑ ΚΩΝΣΤΑΝΤΙΝΟΠΟΛΙΤΩΝ Σελ. 201 Τόμ. β'.........................91
Ἀκολουθία α'. Ἁγίου Μαξίμου. ΤΟΜΟΣ Β'. Σελ. 206.......................93
ΑΚΟΛΟΥΘΙΑ α '. 93
Σελ. 244 Τόμ. Β'.........................................................................105
Πρός Θαλάσσιον τόν ὁσιώτατον πρεσβύτερον καί ἡγούμενον Περί Διαφόρων ἀπόρων τῆς θείας Γραφῆς.............................................105
Τῷ ὁσιωτάτῳ δούλῳ τοῦ Θεοῦ, κυρίῳ Θαλασσίῳ πρεσβυτέρῳ καί ἡγουμένῳ, Μάξιμος ταπεινός μονάζων, χαίρειν. 105
ΠΡΟΛΟΓΟΣ 115
Τῶν παρακειμένων τοῖς μετωπίοις σχολίων. 115
Ἐκ τῶν Φωτίου. 118
ΕΡΩΤΗΣΙΣ Α ' . 119
Τά πάθη αὐτά καθ᾽ ἑαυτά κακά, ἤ παρά τήν χρῆσιν κακά; Λέγω δέ ἡδονήν καί λύπην, ἐπιθυμίαν καί φόβον, καί τά τούτοις ἑπόμενα. 119
ΕΡΩΤΗΣΙΣ Β' . (272) Εἰ πάντα τά εἴδη τά συμπληροῦντα τό κόσμον, ἐν ταῖς ἕξ ἡμέραις ὁ Δημιουργός ἐποίησεν, τί μετά ταῦτα ὁ Πατήρ ἐργάζεται; Ἔφη γάρ ὁ Κύριος· " Ὁ Πατήρ μου ἕως ἄρτι

ἐργάζεται, κἀγώ ἐργάζομαι." Μή τι ἄρα τῶν ἅπαξ γεγονότων εἰδῶν συντήρησιν λέγει; 120
ΕΡΩΤΗΣΙΣ Γ ' . 121
Τίς ἐστι κατά τό Εὐαγγέλιον ὁ ἐν πόλει τό κεράμιον βαστάζων τοῦ ὕδατος, ᾧ οἱ ὑπό Χριστοῦ πεμπόμενοι μαθηταί ἀπαντῶσι, καί κελεύονται ἀκολουθεῖν; Τίς τε ὁ οἰκοδεσπότης; πῶς τοῖς (καί διά τί παρά τοῖς) εὐαγγελισταῖς σιωπᾶται τό ὄνομα; καί τί τό ἀνώγεων τό μέγα καί ἐστρωμένον, ἐν ᾧ τό φρικτόν τοῦ θείου δείπνου τελεῖται μυστήριον; 121
ΕΡΩΤΗΣΙΣ Δ' . 123
Πῶς τοις μαθηταῖς ἐνετείλατο ὁ Κύριος, μή κτήσασθαι δύο χιτῶνας, αὐτός πέντε κεκτημένος, κατά τόν ἅγιον εὐαγγελιστήν Ἰωάννην, ὡς ἐκ τῶν μερισαμένων αὐτά δῆλόν ἐστι· καί τίνα ταῦτα τά ἱμάτια; 123
ΕΡΩΤΗΣΙΣ Ε'. 124
Τίς ἡ κατηραμένη γῆ ἐν τοῖς ἔργοις τοῦ Ἀδάμ κατά τήν ἀναγωγήν, καί τί τό ἐν λύπαις αὐτήν φαγεῖν· καί τί τό, μετά τό ἀνατεῖλαι ἀκάνθας καί τριβόλους, τόν χόρτον ἐσθίειν· καί τί τό τελευταῖον, ἐν ἱδρῶτι τοῦ προσώπου αὐτοῦ τόν ἄρτον φαγεῖν; Καί μέν τοι οὐδέποτε ὤφθη ἄνθρωπος γῆν ἐσθίων, οὐδέ χόρτον· οὐδέ οἱ τόν ἄρτον ἐσθίοντες, κατά τήν ἀπόφασιν τῆς ἱστορίας, ἐν ἱδρῶτι τοῦ προσώπου ἐσθίουσιν. 124
ΕΡΩΤΗΣΙΣ Στ'. 125
Εἰ κατά τόν ἅγιον Ἰωάννην, " Ὁ γεγεννημένος ἐκ τοῦ Θεοῦ, ἁμαρτίαν οὐ ποιεῖ, ὅτι σπέρμα αὐτοῦ ἐν αὐτῷ μένει, καί οὐ δύναται ἁμαρτάνειν·" ὁ δέ γεγεννημένος ἐξ ὕδατος καί Πνεύματος, οὗτος ἐκ τοῦ Θεοῦ γεγέννηται· πῶς οἱ ἐκ τοῦ Θεοῦ διά τοῦ βαπτίσματος γεγεννημένοι ἡμεῖς δυνάμεθα ἁμαρτάνειν; 125
ΕΡΩΤΗΣΙΣ Ζ '. 127
Τί ἐστίν, "Εἰς τοῦτο γάρ καί νεκροῖς εὐηγγελίσθη, ἵνα κριθῶσι μέν κατά ἄνθρωπον σαρκί, ζῶσι δέ κατά θεόν πνεύματι·" Πῶς οἱ νεκροί σαρκί κρίνονται; 127
ΕΡΩΤΗΣΙΣ Η'. 128
Ἐπειδή πάλιν λέγει ὁ ἅγιος Ἰωάννης· " Ὁ Θεός φῶς ἐστι·" καί μετ᾽ ὀλίγα πάλιν· " Ἐάν ἐν τῷ φωτί περιπατῶμεν, ὡς αὐτός ἐστιν ἐν τῷ φωτί· " πῶς καί φῶς ὁ αὐτός λέγεται καί ἐν τῷ φωτί εἶναι, ὡς ἄλλος ἐν ἄλλῳ; 128

ΕΡΩΤΗΣΙΣ Θ' . 129
Τί λέγει πάλιν ὁ ἅγιος Ἰωάννης· "Ἀδελφοί, νῦν τέκνα Θεοῦ ἐσμεν, καί οὔπω ἐφανερώθη τί ἐσόμεθα;" Πῶς ὁ ἅγιος Παῦλος λέγει· " Ἡμῖν δέ ἀπεκάλυψεν ὁ Θεός διά τοῦ Πνεύματος· τό γάρ Πνεῦμα πάντα ἐρευνᾷ, καί τά βάθη τοῦ Θεοῦ." Πῶς δέ καί τά τοιαῦτα φιλοσοφεῖ περί τοῦ, τί ἐσόμεθα; 129
ΕΡΩΤΗΣΙΣ Ι'. 130
Εἰ ὁ φοβούμενος οὐ τετελείωται ἐν τῇ ἀγάπῃ, πῶς οὐκ ἔστιν ὑστέρημα τοῖς φοβουμένοις αὐτόν. Ἐάν οὐκ ἔστιν ὑστέρημα, δῆλον ὅτι τετελείωται· πῶς οὖν ὁ φοβούμενος οὐ τετελείωται; 130
ΕΡΩΤΗΣΙΣ ΙΑ'. 133
Τίς ἡ ἀρχή τῶν μή τηρησάντων αὐτήν ἀγγέλων, καί τί τό οἰκητήριον ὅ ἀπέλιπον; καί τίνες οἱ ἀΐδιοι δεσμοί; καί τίς ὁ ζόφος, ὑφ᾽ ὅν τετήρηνται; καί τί ἐν τῇ κρίσει τῆς μεγάλης ἡμέρας πείσονται; 133
ΕΡΩΤΗΣΙΣ ΙΒ'. 134
Τίς ὁ ἀπό τῆς σαρκός ἐσπιλωμένος χιτών. 134
ΕΡΩΤΗΣΙΣ ΙΓ '. 134
Τί ἐστι, "Τά γάρ ἀόρατα αὐτοῦ ἀπό κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται· ἥ τε ἀΐδιος αὐτοῦ δύναμις καί θειότης; "Τίνα τά ἀόρατα τοῦ Θεοῦ, καί τίς ἡ ἀΐδιος αὐτοῦ δύναμις καί θειότης; 134
ΕΡΩΤΗΣΙΣ ΙΔ' . 135
Τί ἐστι, "Καί ἐσεβάσθησαν καί ἐλάτρευσαν τῇ κτίσει παρά τόν Κτίσαντα;" Τί ἐστι σέβας, καί τί ἐστι λατρεία; 135
ΕΡΩΤΗΣΙΣ ΙΕ' . 136
Τί ἐστι, "Τό γάρ ἄφθαρτόν σου Πνεῦμα ἐστιν ἐν πᾶσι· διό τούς παραπίπτοντας, κατά μικρόν ἐλέγχεις." Εἰ περί τοῦ ἁγίου Πνεύματος λέγει, πῶς εἰς ἀσύνετον καρδίαν σοφία οὐκ εἰσελεύσεται, οὐδέ κατοικήσει ἐν σώματι κατάχρεῳ ἁμαρτίαις; ἐσημειωσάμεθα (Fr. ἐσημειωσάμην) δέ τοῦτο, διά τό ἁπλῶς εἰπεῖν, " Ἐν πᾶσιν." 136
ΕΡΩΤΗΣΙΣ Ιστ' . 137
Τίς ὁ χωνευτός μόσχος, καί διά τί μόσχον ἑνικός λέγει· τό δέ, "Οὗτοι οἱ θεοί σου, Ἰσραήλ" πληθυντικῶς. Καί τί τό, λεπτυνθῆναι καί διασπαρῆναι ὑπό τό ὕδωρ· καί τίνα τά ἐνώτια, καί τά ἑξῆς κόσμια; 137

ΕΡΩΤΗΣΙΣ ΙΖ' . 139
Εἰ ὁ Θεός τόν Μωϋσῆν ἀπέστειλεν εἰς Αἴγυπτον, τίνι τῷ λόγῳ τόν ὑπό τοῦ Θεοῦ ἀπεσταλμένον ὁ τοῦ Θεοῦ ἄγγελος ἀποκτεῖναι ἐζήτει, καί ἄν ἀπέκτεινεν, εἰ μή σπεύσασα ἡ γυνή τό παιδίον περιέτεμεν, καί δι᾽ ἑαυτῆς τήν τοῦ ἀγγέλου ὁρμήν ἔστησε; Καί εἰ ἀναγκαία ἦν ἡ περιτομή τοῦ παιδίου, διά τί πρό τοῦ αὐτόν τόν Θεόν ἀποστεῖλαι, μετά ἡμερότητος οὐκ ἐνετείλατο αὐτῷ περιτεμεῖν τό παιδίον; Διά τί δέ καί ὅτι πταῖσμα ἦν, ὁ ἀγαθός ἄγγελος τόν ὑπό τοῦ Θεοῦ εἰς τοιαύτην διακονίαν ἀποστελλόμενον, ἡμέρως οὐκ ἐνουθέτησεν; 139
ΕΡΩΤΗΣΙΣ ΙΗ' . 141
Εἰ οἱ ποιηταί τοῦ νόμου δικαιωθήσονται, κατά τόν Ἀπόστολον, πῶς πάλιν λέγει· " Ὅσοι ἐν νόμῳ δικαιοῦσθε, τῆς χάριτος ἐξεπέσατε;" 141
ΕΡΩΤΗΣΙΣ ΙΘ' . 142
Τί ἐστιν· " Ὅσοι ἀνόμως ἥμαρτον, ἀνόμως καί ἀπολοῦνται· καί ὅσοι ἐν νόμῳ ἥμαρτον, διά νόμου κριθήσονται;" Καί πῶς ὁ αὐτός λέγει πάλιν· " Ὅτε κρινεῖ ὁ Θεός τά κρυπτά τῶν ἀνθρώπων κατά τό Εὐαγγέλιόν μου, διά Ἰησοῦ Χριστοῦ; " Εἰ διά νόμου κριθήσονται, πῶς διά Ἰησοῦ Χριστοῦ; 142
ΕΡΩΤΗΣΙΣ Κ' . 143
Τίς ἡ ἐν τῷ Εὐαγγελίῳ παραλόγως, ὅσον πρός τό φαινόμενον, ξηρανθεῖσα συκῆ; Τίς ἡ ἀκρασία τῆς πείνης, παρά καιρόν ἐπιζητούσης καρπόν; Καί τίς ἡ τοῦ ἀναισθήτου κατάρα; 143
ΕΡΩΤΗΣΙΣ ΚΑ' . 144
Τί ἐστιν, "Ἀπεκδυσάμενος τάς ἀρχάς καί τάς ἐξουσίας," καί τά ἑξῆς; Πῶς δέ καί ἦν αὐτάς ὅλως ἐνδυσάμενος, ἁμαρτίας χωρίς γεγενημένος; 144
ΕΡΩΤΗΣΙΣ ΚΒ' . 147
Εἰ ἐν τοῖς αἰῶσι τοῖς ἐπερχομένοις δείξει τόν πλοῦτο αὐτοῦ ὁ Θεός, πῶς εἰς ἡμᾶς τά τέλη τῶν αἰώνων κατήντησεν; 147
ΕΡΩΤΗΣΙΣ ΚΒ' . 152
Εἰ Δαβίδ τοῦ κατά σάρκα μόνον Ἰσραήλ ἐβασίλευσεν· ὁ δέ κατά σάρκα Ἰσραήλ τήν τοῦ Χριστοῦ ἀπώσατο βασιλείαν, διό καί μετῆλθεν ἐπί τά ἔθνη· πῶς κατά τήν φωνήν τοῦ Ἀρχαγγέλου (325) σταθήσεται, τό· "Καί δώσει αὐτῷ ὁ Θεός τόν θρόνον Δαβίδ τοῦ πατρός αὐτοῦ, καί βασιλεύσει ἐπί τόν οἶκον Ἰακώβ εἰς αἰῶνας;"152

ΕΡΩΤΗΣΙΣ ΚΔ'. 154
Τί ἐστι τό ἐν ταῖς Πράξεσι περί τοῦ Πέτρου κείμενον· " Διελθόντες πρώτην φυλακήν καί δευτέραν, ἤλθομεν (ἦλθον) ἐπί τήν πύλην τήν σιδηρᾶν;" 154
ΕΡΩΤΗΣΙΣ ΚΕ '. 155
Τί ἐστι, "Θέλω ὑμᾶς εἰδέναι, ὅτι παντός ἀνδρός ἡ κεφαλή ὁ Χριστός ἐστι, κεφαλή δέ γυναικός ὁ ἀνήρ, κεφαλή δέ Χριστοῦ ὁ Θεός· καί πᾶς ἀνήρ προσευχόμενος ἤ προφητεύων κατά κεφαλῆς ἔχων καταισχύνει τήν κεφαλήν αὐτοῦ· πᾶσα δέ γυνή προσευχομένη ἤ προφητεύουσα ἀκατακαλύπτῳ τῇ κεφαλῇ καταισχύνει τήν κεφαλήν αὐτῆς· ἕν γάρ καιτό αὐτό ἐστι τῇ ἐξυρημένῃ;" Καί τί πάλιν ἐστί τό· "Διά τοῦτο ὀφείλει ἡ γυνή ἐξουσίαν ἔχειν ἐπί τῆς κεφαλῆς διά τούς ἀγγέλους;" 155
ΕΡΩΤΗΣΙΣ Κστ'. 161
Εἰ ὁ βασιλεύς Βαβυλῶνος ἀλληγορεῖται εἰς τόν διάβολον, τίς ὁ λόγος ὅν διά [Gist. ᾠδιά] τοῦ, προφήτου Ἱερεμίου ἀπειλεῖ τοῖς βασιλεῦσι τῶν ἐθνῶν, καί τῷ βασιλεῖ Ἰούδα· κλοιούς καί δεσμούς, καί λιμόν, καί θάνατον, καί μάχαιραν, καί αἰχμαλωσίαν, ἐάν μή αὐτῷ δουλεύσωσι; Τοῖς δέ ἑκουσίως δουλεύουσι, μετά ἀνέσεως εἶναι ἐπί τῆς γῆς αὐτῶν· καί ὅτι δοῦλον αὐτόν προσαγορεύει, λέγων· " Ἐγώ ἔδωκα πᾶσαν τήν γῆν (341) Ναβουχοδονόσορ βασιλεῖ Βαβυλῶνος, τῷ δούλῳ μου, καί τά θηρία τοῦ ἀγροῦ δέδωκα δουλεύειν αὐτῷ." Τίς οὖν ἐστιν ἡ τοῦ διαβόλου δουλεία, καί τίνα τά θηρία, καί τίνα τά ἕξ εἴδη τῆς ἀπειλῆς, καί τίνες οἱ βασιλεῖς τῶν ἐθνῶν, καί ὁ βασιλεύς Ἰούδα; 161
ΕΡΩΤΗΣΙΣ ΚΖ' . 167
Τοῦ Κυρίου μετά τήν ἀνάστασιν φανερῶς ἐντειλαμένου μαθητεῦσαι πάντα τά ἔθνη, πῶς ἐδεῖτο ὁ Πέτρος ἐπί τοῦ Κορνηλίου ἀποκαλύψεως διά τά ἔθνη; ἤ πῶς οἱ ἐν Ἱερουσαλήμ ἀκούσαντες ἀπόστολοι τά κατά τόν Κορνήλιον, διεκρίνοντος πρός τόν Πέτρον; 167
ΕΡΩΤΗΣΙΣ ΚΗ' . 172
Τό· "Δεῦτε, καταβάντες συγχέωμεν αὐτῶν τάς γλώσσας," πρός τίνας ἔλεγεν ὁ Θεός; 172
ΕΡΩΤΗΣΙΣ ΚΘ'. 175

Τί ἐστι τό ἐν ταῖς Πράξεσι κείμενον· "Οἵτινες διά τοῦ Πνεύματος ἔλεγον τῷ Παύλῳ, μή ἀναβαίνειν εἰς Ἱεροσόλυμα;" Διά τί παρήκουσε τοῦ Πνεύματος καί ἀνέβη; 175
ΕΡΩΤΗΣΙΣ Λ'. 177
Τί ἐστι τό· "Δύνασθε τό ποτήριον, ὅ ἐγώ πίνω, ποεῖν, καί τό βάπτισμα, ὅ ἐγώ βαπτίζομαι, βαπτισθῆναι;" Τίς ἡ διαφορά τοῦ ποτηρίου καί τοῦ βαπτίσματος; 177
ΕΡΩΤΗΣΙΣ ΛΑ'. 178
Εἰ οὐκ ἐν χειροποιήτοις ναοῖς ὁ Θεός κατοικεῖ, πῶς κατῴκει ἐν τῷ ναῷ τῶν Ἰουδαίων; 178
ΕΡΩΤΗΣΙΣ ΛΒ'. 179
Τί ἐστιν, "Εἰ ἀρά ψηλαφήσειεν, καί εὕροιεν Θεόν;" Πῶς τις ψηλαφῶν εὑρίσκει Θεόν; 179
ΕΡΩΤΗΣΙΣ ΛΓ '. 180
Τί ἐστιν· " Ἀμήν λέγω ὑμῖν, ὅτι ὅς ἄν εἴπῃ τῷ ὄρει τούτῳ, Ἄρθητι καί βλήθητι εἰς τήν θάλασσαν, καί μή διακριθῇ ἐν τῇ καρδίᾳ αὐτοῦ, ἀλλά πιστεύσῃ ὅτι ἅ λέγει γίνεται, ἔσται αὐτῷ ὅ ἐάν εἴπῃ;" Τί ἐστι τό, "Καί μή διακριθῇ;" 180
ΕΡΩΤΗΣΙΣ ΛΔ'. 182
Τί πάλιν ἐστί· "Διά τοῦτο λέγω ὑμῖν, ὅτι πάντα ὅσα ἄν προσευχόμενοι αἰτεῖσθε, πιστεύετε ὅτι λαμβάνετε, καί ἔσται ὑμῖν;" Πῶς τις δύναται πιστεύειν, ὅτι πάντα λαμβάνει αἰτῶν, μόνου Θεοῦ εἰδότος εἰ συμφέρει τό αἰτούμενον, ἤ μή, Καί εἰ ἐξ ἀγνοίας ὅ οὐ συμφέρει αἰτεῖ, πῶς παρέχει; Καί εἰ οὐ παρέχει τό μή συμφερόντως ἐξ ἀγνοίας αἰτούμενον, πῶς πιστεύειν τις δύναται ἐπί παντί αἰτήματι ὅ τι λαμβάνει, καί ἔσται αὐτῷ; 182
ΕΡΩΤΗΣΙΣ ΛΕ'. 183
Ἐπειδή ὁ Λόγος σάρξ ἐγένετο, καί οὐ μόνον σάρξ, ἀλλά καί αἷμα καί ὀστᾶ· καί κελευόμεθα ἐσθίειν μέν τήν σάρκα, πίνειν δέ τό αἷμα, μή συντρίβειν δέ τά ὀστᾶ, παρακαλῶ μαθεῖν, τίς ἡ τριμερής αὕτη τοῦ ἀνθρωπισθέντος Λόγου δύναμις; 183
ΕΡΩΤΗΣΙΣ Λστ'. 184
Τί ἐστι τῶν ἀλόγων ζώων σώματα καί αἵματα, δι᾿ ὧν λατρεύοντες οἱ Ἰσραηλίται, τά μέν σώματα ἤσθιον, τά δέ αἵματα οὐκ ἔτι, πρός δέ τήν βάσιν κύκλῳ του θυσιαστηρίου προσέχεον; 184
ΕΡΩΤΗΣΙΣ ΛΖ' . 185

Λέγει εἰς τάς Πράξεις περί τοῦ ἁγίου Παύλου· " Ὥστε καί ἐπί τούς ἀσθενοῦντας ἐπιφέρεσθαι ἀπό τοῦ χρωτός αὐτοῦ σουδάρια καί σημικίνθια, καί ἀπαλλάττεσθαι ἀπ᾽ αὐτῶν (384) τάς νόσους." Ἆρα γάρ διά τήν διακονίαν καί τούς ἀπίστους τουτί ἐγίνετο, ἤ ἁγιασθέντος τοῦ σώματος ταῦτα ἐκ τοῦ χρωτός αὐτοῦ ἐπετελεῖτο; Καί εἰ κατά τοῦτο, καί ἐπί τῆς ἐχίδνης οὐδέν ἔπαθεν, τίνι τῷ λόγῳ, τῷ μέν ἰῷ τοῦ θηρίου οὐχ ὑπέπεσε τό σῶμα τοῦ ἁγίου, τῷ δέ ξίφει ὑπέπεσε; τό δέ αὐτό ζητῶν καί ἐπί τοῦ σώματος τοῦ Ἐλισσαίου. Τίνα δέ τά σημικίνθιά εἰσιν; 185

ΕΡΩΤΗΣΙΣ ΛΗ' . 189

Ἆρα γάρ ὡς ἔτυχεν οἱ Σαδδουκαῖοι τόν ἀριθμόν τῶν ἑπτά ἀδελφῶν εἶπον ἐπί τῆς μιᾶς γυναικός, ἤ ἔχει τινά λόγον βαθύτερον; Εἰ δέ ἔχει, τίνες ἐκεῖνοι, καί τίς αὕτη; 189

ΕΡΩΤΗΣΙΣ ΛΘ' . 190

Τίνες αἱ τρεῖς ἡμέραι, ἅς προσμένουσι τῷ Κυρίῳ ἐν τῇ ἐρήμῳ; 190

ΕΡΩΤΗΣΙΣ Μ' . 192

Τί σημαίνει ὁ ἀριθμός τῶν ἕξ ὑδριῶν ἐν τῷ γάμῳ τῷ ἐν Κανᾷ τῆς Γαλιλαίας; 192

(404) ΕΡΩΤΗΣΙΣ ΜΑ' . 197

Τίς ὁ λόγος τῶν ε' ἀνδρῶν τῆς Σαμαρείτιδος, καί τοῦ ἕκτου καί μή ὄντος ἀνδρός; 197

ΕΡΩΤΗΣΙΣ ΜΒ' . 198

Πῶς ἡμεῖς μέν λεγόμεθα ποιῆσαι τήν ἁμαρτίαν καί εἰδέναι, ὁ δέ Κύριος γενέσθαι μέν ἁμαρτία λέγεται, μή γνῶναι δέ αὐτήν; Πῶς δέ καί τοῦ ποιῆσαι καί εἰδέναι αὐτήν οὐκ ἔστι βαρύτερον τό γενέσθαι καί μή γνῶναι; "Τόν γάρ μή γνόντα ἁμαρτίαν, φησίν, ὑπέρ ἡμῶν ἁμαρτίαν ἐποίησεν. " 198

ΕΡΩΤΗΣΙΣ ΜΓ' 201

Εἰ τό ξύλον τῆς ζωῆς σοφία λέγεται εἶναι παρά τῇ Γραφῇ, ἔργον δέ σοφίας τό διακρίνειν καί (412) γνῶναι τό γνωστόν τοῦ καλοῦ καί τοῦ πονηροῦ ξύλον, τί διαφέρει λοιπόν τοῦ ξύλου τῆς ζωῆς; 201

ΕΡΩΤΗΣΙΣ ΜΔ'. 203

Πρός τίνα λέγει ὁ Θεός· "Ἰδού Ἀδάμ γέγονεν ὡς εἷς ἐξ ἡμῶν;" Εἰ μέν πρός τόν Υἱόν, καί πῶς συγκρίνεται Ἀδάμ Θεῷ, μή ὤν τῆς οὐσίας αὐτοῦ; Εἰ δέ πρός ἀγγέλους, πῶς τόν ἄγγελον πάλιν ἑαυτῷ συγκρίνει, ὡς πρός ἴσον κατά τήν οὐσίαν λέγων τό, " Ὡς εἷς ἐξ ἡμῶν;" 203

ΕΡΩΤΗΣΙΣ ΜΕ' . 205
Τί σημαίνει τό ἐν τῷ Λευϊτικῷ στηθύνιον τοῦ ἐπιθέματος, καί ὁ βραχίων τοῦ ἀφαιρέματος, εἰς τιμήν Θεοῦ τοῖς ἱερεῦσιν ἀφιερούμενος; 205
ΕΡΩΤΗΣΙΣ Μστ'. 206
Τίς ἡ διαφορά τοῦ ἐσόπτρου πρός τό αἴνιγμα; 206
ΕΡΩΤΗΣΙΣ ΜΖ'. 207
Τί ἐστι, " Φωνή βοῶντος ἐν τῇ ἐρήμῳ, "καί τά ἑξῆς; Τίς ἡ ἔρημος, καί τίς ἐνταῦθα ἡ ὁδός Κυρίου, καί τίς ἡ ἑτοιμασία αὐτῆς; Τίνες τε αἱ τρίβοι αὐτοῦ, καί τί τό εὐθῦναι αὐτάς; Τίνες τε αἱ φάραγγες, καί τί σημαίνει τό " Πληρωθήσεται πᾶσα φάραγξ;" Τίνα τά ὄρη, καί οἱ βουνοί, καί τίς ἡ τούτων ταπείνωσις; Τίνα τά σκολιά, καί πῶς ἔσται εἰς εὐθεῖαν; Τίνες αἱ τραχεῖαι, καί πῶς ἔσονται εἰς ὁδούς λείας; Καί τί τό μετά ταῦτα πάντα, "Καί ὄψεται πᾶσα σάρξ τό Σωτήριον τοῦ Θεοῦ;" 207
ΕΡΩΤΗΣΙΣ ΜΚ'. 214
Περί τοῦ Ὀζίου φησίν ἡ δευτέρα τῶν Παραλειπομένων, ὅτι " Ἐποίησε τό εὐθές ἐνώπιον Κυρίου, καί ἦν ἐκζητῶν τόν Κύριον ἐν ταῖς ἡμέραις Ζαχαρίου τοῦ συνιέντος ἐν φόβῳ Κυρίου, καί εὐώδωσεν ἐν αὐτῷ ὁ Κύριος. Καί ᾠκοδόμησεν Ὀζίας πύργους ἐν Ἱερουσαλήμ, καί ἐπί τήν πύλην τῆς γωνίας, καί ἐπί τήν γωνίαν [Sgxt. πύλην] τῆς φάραγγος, καί ἐπί τῶν γωνιῶν· καί κατίσχυσεν, καί ᾠκοδόμησεν πύργους ἐν τῇ ἐρήμῳ, καί ἐλατόμησεν λάκκους πολλούς, ὅτι κτήνη (433) πολλά ὑπῆρχεν αὐτῷ ἐν Σεφιλᾷ, καί ἐν τῇ πεδεινῇ· καί ἀμπελουργοί ἐν τῇ ὀρεινῇ, καί ἐν τῷ Καρμήλῳ, ὅτι γεωργός ἦν." Τίνες οἱ πύργοι, καί τίς ἡ πύλη τῆς γωνίας, καί τίς ἡ φάραγξ, καί ἡ γωνία αὐτῆς· καί τίνες πάλιν αἱ γωνίαι, τίνες τε οἱ ἐν τῇ ἐρήμῳ πύργοι· καί τίνες οἱ λελατομμένοι λάκκοι, τίνα τε τά κτήνη; καί τίς ἡ Σεφιλά καί ἡ πεδεινή, τίνες τε οἱ ἀμπελουργοί, καί τίς ἡ ὀρεινή καί ὁ Κάρμηλος; καί τί, " Ὅτι γεωργός ἦν;" 214
ΕΡΩΤΗΣΙΣ ΜΘ'. 221
Τί ἐστι πάλιν ἐν τῇ αὐτῇ βίβλῳ· "Καί εἶδεν Ἐζεκίας ὅτι ἥκει Σενναχειρίμ, καί τό πρόσωπον αὐτοῦ τοῦ πολεμῆσαι, ἐν (Sgt. ἐπί) Ἱερουσαλήμ· καί ἐβουλεύσατο μετά πρεσβυτέρων αὐτοῦ καί δυνατῶν, ἐμφράξαι τά ὕδατα τῶν πηγῶν, ἅ ἦν ἔξω τῆς πόλεως· καί συνεπίσχυσαν αὐτῷ. Καί συνῆγε λαόν πολύν, καί ἐνέφραξε τά

ὕδατα τῶν πηγῶν, καί τόν ποταμόν τόν διορίζοντα διά τῆς πόλεως;" Τί θέλει ταῦτα σημαίνειν κατά θεωρίαν; 221
ΕΡΩΤΗΣΙΣ Ν'. 232
Τί ἐστι πάλιν τό σημαινόμενον ἐν τῇ αὐτῇ βίβλῳ, τό· "Καί προσηύξατο Ἐζεκίας ὁ βασιλεύς, καί Ἡσαΐας υἱός Ἀμώς ὁ προφήτης περί τούτων· καί ἐβόησαν εἰς τόν οὐρανόν. Καί ἀπέστειλε Κύριος ἄγγελον, καί ἐξέτριψε πάντα δυνατόν καί πολεμιστήν καί ἄρχοντα καί στρατηγόν ἐν τῇ παρεμβολῇ βασιλέως Ἀσσούρ· καί ἀπέστρεψε μετ᾿ αἰσχύνης προσώπου εἰς τήν γῆν αὐτοῦ." 232
ΕΡΩΤΗΣΙΣ ΝΑ'. 238
"Καί πολλοί ἔφερον δῶρα τῷ Κυρίῳ εἰς Ἱερουσαλήμ, καί δόματα τῷ Ἐζεκίᾳ βασιλεῖ Ἰούδα. Καί ὑπερήρθη κατ᾿ ὀφθαλμούς πάντων τῶν ἐθνῶν". Τί τά δῶρα, καί τί τά δόματα; καί τί τό ὑπεραρθῆναι κατ᾿ ὀφθαλμούς πάντων τῶν ἐθνῶν. 238
ΕΡΩΤΗΣΙΣ ΝΒ'. 246
" Καί οὐ κατά τό ἀνταπόδομα ὅ ἀνταπέδωκεν αὐτῷ ὁ Θεός ἀνταπέδωκεν Ἐζεκίας· ἀλλ᾿ ὑψώθη ἡ καρδία αὐτοῦ, καί ἐγένετο ἐπ᾿ αὐτόν ὀργή, καί ἐπί Ἰούδαν καί ἐπί Ἱερουσαλήμ· καί ἐταπεινώθη Ἐζεκίας ἀπό τοῦ ὕψους τῆς καρδίας αὐτοῦ, καί οἱ κατοικοῦντες Ἱερουσαλήμ· καί οὐκ ἐπῆλθεν ἐπ᾿ αὐτούς ὀργή Κυρίου ἐν ταῖς ἡμέραις Ἐζεκίου." Τί τό ἀνταπόδομά ἐστι, καί τά ἑξῆς; 246
(501) ΕΡΩΤΗΣΙΣ ΝΓ'. 252
Πάλιν περί Ἐζεκίου φησί, "Καί ἔθαψαν αὐτόν ἐν ἀναβάσει τάφων υἱῶν Δαβίδ· καί δόξαν καί τιμήν ἔδωκαν αὐτῷ ἐν τῷ θανάτῳ αὐτοῦ πᾶς Ἰούδα, καί οἱ κατοικοῦντες Ἱερουσαλήμ." Τί ἐστι τό, " Ἐν ἀναβάσει τάφων υἱῶν Δαβίδ, " καί τά ἑξῆς; 252
ΕΡΩΤΗΣΙΣ ΝΔ'. 256
Ἐν τῶ πρώτῳ Ἔσδρᾳ γέγραπται περί τοῦ Ζοροβάβελ· "Καί ὅτε ἐξῆλθεν ὁ νεανίσκος, ἄρας τό πρόσωπον εἰς τόν οὐρανόν ἐναντίον Ἱερουσαλήμ, εὐλόγησε τῷ Βασιλεῖ τοῦ οὐρανοῦ, λέγων. Παρά σοῦ ἡ νίκη, καί παρά σοῦ ἡ σοφία, καί σοῦ ἡ δόξα· καί ἐγώ σός οἰκέτης. Εὐλογητός εἶ, ὅς ἔδωκάς μοι σοφίαν· καί σοί ὁμολογῶ, Δέσποτα τῶν πατέρων. " Τί σημαίνει, τό, " Ἄρας τό πρόσωπον εἰς τόν οὐρανόν ἐναντίον Ἱερουσαλήμ," καί τά ἑξῆς; 256
ΕΡΩΤΗΣΙΣ ΝΕ'. 272

" Οἱ δέ πάντες ἦσαν ἐξ Ἰσραήλ ἀπό δωδεκαετοῦς, καί ἐπάνω, χωρίς παίδων καί γυναικῶν, μυριάδες τέσσαρες τρισχίλιοι τριακόσιοι ἑξήκοντα. Παῖδες τούτων καί παιδίσκαι, ἑπτακισχίλιοι τριακόσιοι ἑπτά. Ψάλται καί ψαλτῳδοί, ὀκτακόσιοι πεντήκοντα πέντε. Κάμηλοι τετρακόσιοι τριάκοντα πέντε. Καί ἵπποι ἑπτακισχίλιοι ἑπτακόσιοι τριάκοντα ἕξ. Ἡμίονοι ὀκτακόσιοι τεσσαράκοντα πέντε· ὑποζύγια πεντακισχίλια πεντακόσια εἴκοσι πέντε·" Ποίησον ἀγάπην τοιούτων μεγάλων καί ὑψηλῶν περί τῆς ἕκτης αἰχμαλωσίας ἐπανόδου ὑπό τοῦ ἁγίου Πνεύματος διά τοῦ προφήτου εἰρημένων. Τίς ἡ τοσαύτη ταπεινότης, καί ἀκαιρόγραφος ἐξήγησις, καί ἀναξιότης τοῦ Πνεύματος, καμήλων μνημονεῦσαι καί ἵππων καί ἡμιόνων καί ὄνων, καί ταῦτα μετ᾿ ἀκριβείας ἀριθμοῦ; 272

ΕΡΩΤΗΣΙΣ Ιστ'. 294

Πάλιν γέγραπται ἐν τῷ δευτέρῳ Ἔσδρα, "Καί ἀκούσαντες οἱ ἐχθροί τῆς φυλῆς Ἰούδα καί Βενιαμίν, ἐληλύθασιν ἐπιγνῶναι τίς ἡ φωνή τῶν σαλπίγγων, καί ἐπέγνωσαν, ὅτι οἱ ἐκ τῆς αἰχμαλωσίας οἰκοδομοῦσι τόν ναόν τῷ Κυρίῳ Θεῷ Ἰσραήλ. Καί προσελθόντες τῷ Ζοροβάβελ καί τῶ Ἰησοῦ καί τοῖς ἡγουμένοις τῶν πατριῶν, λέγουσιν αὐτοῖς, Συνοικοδομήσωμεν ὑμῖν· ὁμοίως γάρ ὑμῖν ἀκούομεν Κυρίου ὑμῶν, καί αὐτῷ ἐπιθύομεν, ἀφ᾿ ἡμερῶν Ἀσβακαφάθ βασιλέως Ἀσσυρίων, ὅς μετήγαγεν ἡμᾶς ἐνταῦθα. (577) Καί εἶπεν αὐτοῖς Ζαροβάβελ καί Ἰησοῦς καί οἱ ἡγούμενοι τῶν πατριῶν Ἰσραήλ· Οὐχ ἡμῖν καί ὑμῖν τοῦ οἰκοδομῆσαι τόν οἶκον Κυρίῳ Θεῷ ἡμῶν· ἡμεῖς γάρ μόνοι οἰκοδομήσομεν τῷ Κυρίῳ Θεῷ τοῦ Ἰσραήλ. " Τί ἄρα σημαίνει ταῦτα, καί μάλιστα ὁ φθόνος, δι᾿ ὅν οὐκ ἠθέλησαν συνοικοδομῆσαι αὐτοῖς τούς τῷ αὐτῶ θρησκεύοντας Θεῷ; 294

ΕΡΩΤΗΣΙΣ ΝΖ'. 302

Πολύ ἰσχύει δικαίου ἐνεργουμένη· τί ἐστι τό ἐνεργουμένη. 302

ΕΡΩΤΗΣΙΣ ΝΗ'. 303

" Ἐν ᾧ ἀγαλλιᾶσθε ὀλίγον ἄρτι, εἰ δέον ἐστί λυπηθέντας ὑμᾶς [Fr.ἡμᾶς] ἐν ποικίλοις πειραμοῖς." Πῶς τις λυπούμενος ἐν πειρασμοῖς, δύναται ἀγαλλιᾶσθαι ἐν ᾧ λυπεῖται. 303

ΕΡΩΤΗΣΙΣ ΝΘ'. 310

Περί ἧς σωτηρίας ἐξεζήτησαν καί ἐξηρεύνησαν προφῆται οἱ περί τῆς εἰς ὑμᾶς [Fr.ἡμᾶς] χάριτος προφητεύσαντες, ἐρευνῶντες εἰς

τίνα ἤ πόσον καιρόν ἀδήλου τό ἐν αὐτοῖς Πνεῦμα Χριστοῦ· μαρτυρούμενον [Fr. μαρτυρόμενον] τά εἰς Χριστόν παθήματα, καί τάς μετά ταῦτα δόξας· ἐάν αὐτοί οἱ μακάριοι προφῆται ἅπερ ἐκ Πνεύματος ἁγίου ἐνηχήθησαν, ἡμῖν ἐγγράφως κατέλιπον ἐκζητεῖν καί ἐρευνῆσαι· πῶς αὐτοί ἐκ Πνεύματος ἁγίου ἐνηχούμενοι, καί τά ἀποκαλυπτόμενα αὐτοῖς συγγράφοντες, ποίαν ἐκζήτησιν καί ἐξερεύνησιν ἐξεζήτουν ἤ ἐξηρεύνων. 310

ΕΡΩΤΗΣΙΣ Ξ'. 319

" Ὡς ἀμνοῦ ἀμώμου καί ἀσπίλου Χριστοῦ, προεγνωσμένου μέν πρό καταβολῆς κόσμου· φανερωθέντος δέ ἐπ᾽ ἐσχάτων τῶν χρόνων δι᾽ ἡμᾶς" [ὑμᾶς]. Ὑπό τίνος προεγνωσμένον; 319

ΕΡΩΤΗΣΙΣ ΞΑ'. 323

" Ὅτι καιρός τοῦ ἄρξασθαι τό κρίμα ἀπό τοῦ (628) οἴκου τοῦ Θεοῦ· εἰ δέ πρῶτον ἀφ᾽ ἡμῶν, τί τέλος τῶν ἀπειθούντων τῷ τοῦ Θεοῦ Εὐαγγελίῳ; καί εἰ ὁ μέν δίκαιος μόλις σώζεται, ὁ ἀσεβής καί ἁμαρτωλός ποῦ φανεῖται; " Τί ἐστι τό, "Καιρός τοῦ ἄρξασθαι τό κρίμα ἐκ τοῦ οἴκου τοῦ Θεοῦ· " Καί τό, "Εἰ ὁ δίκαιος μόλις σώζεται;" 323

ΕΡΩΤΗΣΙΣ ΞΒ'. 335

Τί ἐστιν ὅ λέγει Ζαχαρίας ὁ ἅγιος Προφήτης, "Καί ἦρα τούς ὀφθαλμούς μου, καί ἴδον· καί ἰδού δρέπανον πετόμενον, μῆκος πήχεων εἴκοσι, καί πλάτος πήχεων δέκα· καί εἶπε πρός με, Αὕτη ἐστίν ἡ ἀρά ἡ ἐκπορευομένη ἐπί πρόσωπον πάσης τῆς γῆς." Καί μετ᾽ ὀλίγα, "Καί ἐξοίσω αὐτό, λέγει Κύριος παντοκράτωρ, καί εἰσελεύσεται εἰς τόν οἶκον τοῦ κλέπτου, καί εἰς τόν οἶκον τοῦ ὀμνύοντος ἐν τῷ ὀνόματί μου ψευδῶς· καί καταλύσει αὐτόν, καί τά ξύλα αὐτοῦ, καί τούς λίθους αὐτοῦ." Τί τό δρέπανόν ἐστι, καί τό μέτρον τοῦτε μήκους καί τοῦ πλάτους· καί διά τί πετόμενον; καί τίς ὁ κλέπτης καί ἐπίορκος, καί τίς ὁ τούτου οἶκος· τίνα τά ξύλα, καί τίνες οἱ λίθοι; 335

ΣΧΟΛΙΑ 343

ΕΡΩΤΗΣΙΣ ΞΓ'. 345

Ἐν τῷ αὐτῷ προφήτῃ γέγραπται πάλιν· "Καί εἶπε πρός με· Τί σύ βλέπεις; Καί εἶπα· Ἑώρακα , καί ἰδού λυχνία χρυσῆ ὅλη, καί τό λαμπάδιον ἐπάνω αὐτῆς· καί ἑπτά λύχνοι ἐπάνω αὐτῆς, καί ἑπτά ἐπαρυστρίδες τοῖς λύχνοις τοῖς ἐπάνω αὐτῆς· καί δύο ἐλαῖαι ἐπάνω αὐτῆς· μία ἐκ δεξιῶν τοῦ λαμπαδίου αὐτῆς, καί μία ἐξ εὐωνύμων. "

Τίς ἡ λυχνία; καί διά τί χρυσῆ, καί τί τό λαμπάδιον τό ἐπάνω αὐτῆς; τίνες οἱ ἑπτά ἐπαρυστρίδες τῶν ἑπτά λύχνων; καί τίνες αἱ δύο ἐλαῖαι; καί διά τί ἐξ δεξιῶν καί ἐξ εὐωνύμων τοῦ λαμπαδίου; 345

ΣΧΟΛΙΑ 357

ΕΡΩΤΗΣΙΣ ΞΔ'. 361

Ποίαν ἔννοιαν ἔχει τό ῥητόν τό ἐν τῷ Ἰωνᾷ τῷ προφήτῃ περί τῆς Νινευή φάσκον· " Ἐν ᾗ κατοικοῦσιν πλείους ἤ δώδεκα μυριάδες ἀνδρῶν, οἵτινες οὐκ ἔγνωσαν δεξιάν αὐτῶν οὐδέ ἀριστεράν αὐτῶν, ἐπειδή ἀπό τοῦ γράμματος οὐχ εὑρίσκω μίαν παθραμυθίαν; Οὐ γάρ εἶπε Παῖδας, ἵνα περί νηπίων νομίσω, ἀλλ᾽ Ἄνδρας. Ποῖος δέ ἀνήρ ἔχων ἀβλαβεῖς τάς φρένας, ἀγνοεῖ δεξιάν αὐτοῦ ἤ ἀριστεράν αὐτοῦ; ἀλλ᾽ [Fr. ἤ ἀριστεράν· ἀλλ᾽] εἰπέ τίνες οἱ ἄνδρες, καί τίς ἡ δεξιά, καί τίς ἡ ἀριστερά, κατά τόν τῆς ἀναγωγῆς λόγον. 361

ΕΡΩΤΗΣΙΣ ΞΕ'. 385

Ἐν τῇ δευτέρᾳ τῶν Βασιλειῶν γέγραπται· " Ὅτι ἐγένετο λιμός ἐν ταῖς ἡμέραις Δαβίδ τρία ἔτη· ἐνιαυτός ἐχόμενος ἐνιαυτοῦ. Καί ἐξεζήτησε Δαβίδ τό πρόσωπον Κυρίου. Καί εἶπε Κύριος· Ἐπί Σαούλ, καί ἐπί τόν οἶκον αὐτοῦ ἡ ἀδικία· περί οὗ ἐθανάτωσε τούς Γαβαωνίτας, καί εἶπεν αὐτοῖς· Τί ποιήσω ὑμῖν, καί ἐν τίνι ἐξιλάσομαι, καί εὐλογήσετε τήν κληρονομίαν Κυρίου; Καί εἶπον πρός τόν βασιλέα· Ὁ ἀνήρ, ὅς συνετέλεσεν ἡμᾶς, καί ἐλογίσατο ἐξολοθρεῦσαι ἡμᾶς, ἀφανίσωμεν αὐτόν, τοῦ μή ἑστάναι ἐν παντί ὁρίῳ Ἰσραήλ. Δότε ἡμῖν ἑπτά ἄνδρας ἐξ τῶν υἱῶν αὐτοῦ, καί ἐξηλιάσομεν αὐτούς τῷ Κυρίῳ ἐν τῷ βουνῷ Σαούλ. Καί ἔλαβεν ὁ βασιλεύς τούς δύο υἱούς Ῥεσφᾶς, θυγατρός Ἀϊᾶ παλλακῆς Σαούλ· καί τούς πέντε υἱούς Μερώβ θυγατρός Σαούλ, οὕς ἔτεκε τῷ Ἐσδριήλ, καί ἔδωκεν αὐτούς ἐν χειρί τῶν Γαβαωνιτῶν· καί ἐξηλίασαν αὐτούς ἐν ὄρει ἐναντίον Κυρίου, καί ἔπεσον ἐκεῖ οἱ ἑπτά ἐπιτοαυτό· καί ἐθανατώθησαν ἐν ἡμέραις θερισμοῦ, ἐν ἀρχῇ θερισμοῦ κριθῶν. Καί ἔλαβε Ῥεσφά θυγάτηρ Ἀϊᾶ τό σάκκον, καί διέστρωσεν αὐτόν ἑαυτῇ ἐπί τήν πέτραν, ἕως ἔσταξαν ἐπ᾽ αὐτούς ὕδατα Θεοῦ ἐξ οὐρανοῦ. Καί ἐποίησαν πάντα ὅσα ἐνετείλατο ὁ βασιλεύς. Καί ἐπήκουσεν ὁ Θεός τῇ γῇ μετά ταῦτα." Διατί τί μετά τόν θάνατον Σαούλ ὁ Δαβίδ ἀπῃτήθη δίκας, λιμοῦ κρατήσαντος τήν γῆν, ἕως ἔδωκε τούς ἐκ τοῦ σπέρματος Σαούλ ἑπτά ἄνδρας θανατωθῆναι τοῖς Γαβαωνίταις. Τίς ἡ τούτων δύναμις τῶν λόγων, καί πῶς πνευματικῶς αὐτούς θεωρήσομεν. 385

ΠΕΥΣΕΙΣ, ΚΑΙ ΑΠΟΚΡΙΣΕΙΣ ΚΑΙ ΕΡΩΤΗΣΕΙΣ ΚΑΙ ΕΚΛΟΓΑΙ413
ΕΡΩΤΗΣΙΣ Α'. 413
Τίνες ἀρεταί ψυχῆς, καί τίνες σώματος; 413
(788) ΕΡΩΤΗΣΙΣ Β'. 414
Τί ἐστι τό ἐν τῷ Ἀποστόλῳ εἰρημένον· " Ψαλῶ τῷ πνεύματι, ψαλῶ δέ καί τῷ νοΐ. " 414
ΕΡΩΤΗΣΙΣ Γ'. 414
Τί ἐστιν; " Ἐν ἀνομίαις συνελήφθην, καί ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου. " 414
ΕΡΩΤΗΣΙΣ Δ'. 414
Τί ἐστι τό παρά τῷ Ἀποστόλῳ λεγόμενον. "Ἀνάθεμα εἶναι ἀπό Χριστοῦ ὑπέρ τῶν συγγενῶν μου." 414
ΕΡΩΤΗΣΙΣ Ε'. 415
Κατά πόσους τρόπους ἐξαμαρτάνει ὁ ἄνθρωπος. 415
ΕΡΩΤΗΣΙΣ Στ'. 415
Τί δηλοῖ ἐν τῷ Εὐαγγελίῳ ὁ Κύριος λέγων; "Δύο στρουθία ἀσσαρίου πωλεῖται. " 415
ΕΡΩΤΗΣΙΣ Ζ'. 415
Τί ἐστι τό ὑπό Ἐλισσαίου ἀναλαμβανόμενον· τῷ Ἠλιοῦ ῥηθέν· "Ποῦ ὁ Θεός Ἀφφοῦ;" 415
(792) ΕΡΩΤΗΣΙΣΙ Η' . 416
Κατά πόσους τρόπους αἱ ἀλληγορίαι· καί τί ἐστι τροπολογία; 416
ΕΡΩΤΗΣΙΣ Θ'. 416
Τί ἐστι τό ἐν τῷ Ψαλμῷ εἰρημένον; "Καθήμενος κατά τοῦ ἀδελφοῦ σου κατελάλεις· καί κατά τοῦ υἱοῦ τῆς μητρός σου ἐτίθεις σκάνδαλον. " 416
ΕΡΩΤΗΣΙΣ Ι'. 416
Ἐπειδή ἐν τῷ ἁγίῳ Διαδόχῳ ἐν τῶ ἑκατοστῷ κεφαλαίῳ γέγραπται, Κριθήσεσθαί τινας διά πυρός καί καθαίρεσθαι ἐν τῷ μέλλοντι αἰῶνι, παρακαλῶ ἐκκαλυφθῆναι διά τῆς σαφηνείας τόν σκοπόν τοῦ Πατρός. 416
ΕΡΩΤΗΣΙΣ ΙΑ'. 417
Περί διαφόρων δικαιοσυνῶν. 417
ΕΡΩΤΗΣΙΣ ΙΒ'. 417
Τίνος χάριν ἐπιτιμήσας ὁ Κύριος τῷ Πέτρῳ, εἴρηκεν αὐτῶ, Σατανᾶ; 417
ΕΡΩΤΗΣΙΣ ΙΓ'. 417

Ἐπειδή Γρηγόριος ὁ Νύσσης ἐν τοῖς ἑαυτοῦ συγγράμμασι, φαίνεται τοῖς μή τό βάθος ἐπισταμένοις τῆς ὑψηλῆς αὐτοῦ θεωρίας πανταχοῦ [R. πολλαχοῦ] ἀποκατάστασιν ὑπεμφαίνειν, παρακαλῶ ὅπερ ἐπίστασαι περί τούτου εἰπέ. 417
ΕΡΩΤΗΣΙΣ ΙΔ'. 418
Τί δήποτε πολλῶν οὐσῶν βαρυτέρων ὕβρεων, ὁ Κύριος ἐν Εὐαγγελίοις, τόν λέγοντα τόν ἀδελφόν αὐτοῦ Μωρόν, τῆς γεέννης ὑπεύθυνον ὁρίζεται· τόν δέ λέγοντα Ῥακά, τῷ συνεδρίῳ ὑποκεῖσθαι λέγει. 418
ΕΡΩΤΗΣΙΣ ΙΕ'. 419
Πῶς χρή νοεῖν τό ἐν τῷ συμβόλῳ λεγόμενον, " Σαρκωθέντα ἐκ Πνεύματος ἁγίου, καί Μαρίας τῆς Παρθένου." 419
ΕΡΩΤΗΣΙΣ ΙΣτ'. 419
Τίνας σημαίνει ὁ Ἀπόστολος, λέγων, "Τούς προηλπικότας ἐν τῷ Χριστῷ;" πρός Ἐφεσίους γράφων. 419
ΕΡΩΤΗΣΙΣ ΙΖ'. 419
Τί ἐστι κατά τόν Ἀπόστολον· Ὅτι " Σάρξ καί αἷμα βασιλείαν Θεοῦ κληρονομῆσαι οὐ δύνανται. " 419
ΕΡΩΤΗΣΙΣ ΙΗ'. 420
Τί ἐστι διάψαλμα; 420
ΕΡΩΤΗΣΙΣ ΙΘ'. 420
Τί δηλοῖ ἡ κατά τόν Λάμεχ ἱστορία. 420
ΕΡΩΤΗΣΙΣ Κ'. 420
Περί διαφόρων θελημάτων Θεοῦ. 420
ΕΡΩΤΗΣΙΣ ΚΑ'. 421
Τί σημαίνει ὁ Ψαλμῳδός περί ἐχθρῶν λέγων; " Τῶν κύκλῳ ἐπιτιθεμένων;" 421
ΕΡΩΤΗΣΙΣ ΚΒ'. 421
Τί ἐστι τό; "Λάβετε ψαλμόν, καί δότε τύμπανον· ψαλτήριον τερπνόν μετά κιθάρας. " 421
ΕΡΩΤΗΣΙΣ ΚΓ'. 421
Τί ἐστι; "Κάλαμον συντετριμμένον οὐ κατεάξει, καί λῖνον τετυφωμένον οὐ σβέσει." 421
ΕΡΩΤΗΣΙΣ ΚΔ'. 422
Τί ἐστι τό· "Ἐάν τίς σε ῥαπίσῃ εἰς τήν δεξιάν, στρέψον αὐτῷ καί τήν ἄλλην;" 422
ΕΡΩΤΗΣΙΣ ΚΕ'. 422

Πῶς ὀφείλομεν εὐσεβῶς νοῆσαι τό τοῦ Εὐαγγελίου; Ὅτι " Ὁ Πατήρ κρινεῖ οὐδένα· ἀλλά τήν κρίσιν πᾶσαν δέδωκε τῷ Υἱῷ." Καί πῶς ἐν ἄλλῳ τόπῳ λέγει; ὅτι "Ἐγώ κρινῶ οὐδένα· ἀλλ᾽ ὁ λόγος ὅν ἐλάλησα, ἐκεῖνος κρινεῖ αὐτόν." 422

ΕΡΩΤΗΣΙΣ ΚΣτ'. 423

Τί ἐστιν ἡ τοῦ Πνεύματος βλασφημία· καί πῶς; "Πᾶν ἁμάρτημα ἀφεθήσεται τοῖς ἀνθρώποις· τοῖς δέ εἰς αὐτό βλασφημήσασιν, οὐκ ἀφεθήσεται, οὔτε ἐν τῷ αἰῶνι τούτῳ, οὔτε ἐν τῷ μ έλλοντι." 423

ΕΡΩΤΗΣΙΣ ΚΖ'. 424

Τί δηλοῖ τό τῶν Παροιμιῶν αἴνιγμα, τό; "Ἐάν πεινᾶ ὁ ἐχθρός σου, ψώμιζε αὐτόν· ἐάν διψᾶ, πότιζε αὐτόν· τοῦτο γάρ ποιῶν, ἄνθρακας πυρός σωρεύσεις ἐπί τήν κεφαλήν αὐτοῦ." 424

ΕΡΩΤΗΣΙΣ ΚΗ'. 424

Τί σημαίνει τό ἐν τῷ ρα' ψαλμῷ εἰρημένον, " Ὡμοιώθην πελεκᾶνι ἐρημικῷ." 424

ΕΡΩΤΗΣΙΣ ΚΘ'. 425

Τί ἐστιν, " Ἐκεῖ στρουθία ἐννοσσεύσουσι;" 425

ΕΡΩΤΗΣΙΣ Λ' . 425

Τί σημαίνει τό, "Ἐρωδιοῦ ἡ κατοικία ἡγεῖται αὐτῶν;" 425

ΕΡΩΤΗΣΙΣ ΛΑ'. 425

Τί ἐστι τό, "Ἀποδιδούς ἁμαρτίας γονέων ἐπί τέκνα, ἕως τρίτης καί τετάρτης γενεᾶς, τοῖς μισοῦσί με;" 425

ΕΡΩΤΗΣΙ ΛΒ'. 426

Πῶς ὀφείλει εὐσεβῶς νοηθῆναι ἡ ἐν τῇ Γραφῇ κειμένη τοῦ Θεοῦ μεταμέλεια. 426

ΕΡΩΤΗΣΙΣ ΛΓ'. 426

Τί σημαίνει τό, "Ἐπί ταῖς τρισίν ἤ τέσσαρσιν ἀσεβείαις Τύρου οὐκ ἀποστραφήσομαι;" 426

ΕΡΩΤΗΣΙΣ ΛΔ'. 427

Διά τί οὐ δύναται λέγεσθαι Πατήρ Πνεύματος, ἤ Χριστός Πνεύματος καθάπερ ἐπί τοῦ Πατρός καί τοῦ Υἱοῦ λέγεται διαφόρως [ἀδιαφόρως] Πνεῦμα Θεοῦ, καί Πνεῦμα Χριστοῦ; 427

ΕΡΩΤΗΣΙΣ ΛΕ'. 427

Τί δηλοῖ τό ὑπό τοῦ Κυρίου λεγόμενον, τό, "Ἐάν ὁ ὀφθαλμός ἤ ἡ χείρ ἤ ὁ ποῦς σκανδαλίζῃ σε, ἔκκοψον αὐτούς, καί βάλε ἀπό σοῦ;" 427

ΕΡΩΤΗΣΙΣ ΛΣτ'. 427

Τί δηλοῖ τό, "Ἐπήρθη ὁ ἥλιος, καί ἡ σελήνη ἔστη ἐν τῇ τάξει αὐτῆς." 427
ΕΡΩΤΗΣΙΣ ΛΖ'. 428
Τί ἐστι τό ἐν τῇ καθολικῇ Πέτρου γεγραμμένον, "Ἵνα κριθῶσι κατά ἀνθρώπους σαρκί, ζῶσι δέ κατά Θεόν πνεύματι; " 428
ΕΡΩΤΗΣΙΣ ΛΗ'. 428
Τί σημαίνει Δαβίδ ψάλλων, καί τό πονηρόν πνεῦμα τοῦ Σαούλ ἀποκαταπαύων, 428
ΕΡΩΤΗΣΙΣ ΛΘ'. 429
Ἐπειδή ἡ Γραφή τρανῶς λέγει, ὅτι δέδωκε δεκάτας ὁ Ἀβραάμ τῷ Μελχισεδέκ· ἄλλως τε καί εἰ πάντα ἀπέδωκε, καθώς αὐτός λέγει, ὅτι ἕως σφαιρωτῆρος ὑποδήματος οὐκ ἔλαβε, πόθεν δέδωκε δεκάτας; Οὐδέ γάρ αὐτός ἴδιόν τι ἐπεφέρετο εἰς πόλεμεον ἔκπληκτος ἀπερχόμενος. 429
ΕΡΩΤΗΣΙΣ Μ'. 429
Τίνος χάριν, οἱ μέν κατά νόμον ἱερεῖς γυναῖκας ἔχειν οὐκ ἐκωλύοντο· οἱ δέ κατά Χριστόν ἱερεῖς κωλύονται, ὅσον ἀπό τῆς συνηθείας; 429
ΕΡΩΤΗΣΙΣ ΜΑ'. (820) 429
Τίνος χάριν ἐν τῇ προθέσει τοῦ τιμίου σώματος καί αἵματος τοῦ Κυρίου, τούς ἄρτους καί τά ποτήρια ἀνίσους προτιθεῖν ἔθος τῆς Ἐκκλησίᾳ; 429
ΕΡΩΤΗΣΙΣ ΜΓ'. 430
Τί σημαίνει τό Γαριζίν, καί τό Βάλ; 430
ΕΡΩΤΗΣΙΣ ΜΔ'. 430
Τί Χαυῶνες, Κανά, Γαλιλαία, Δωήκ καί Ἀερμών. 430
ΕΡΩΤΗΣΣ ΜΕ'. 430
Τί ἐστι τό ἐν Ψαλμοῖς εἰρημένον, "Σχολάσατε, καί γνῶτε ὅτι ἐγώ εἰμί ὁ Θεός;" 430
ΕΡΩΤΗΣΙΣ ΜΣτ'. 431
Εἰς πρόσωπον τίνος λαμβάνεται ὁ Ἰεφθάε, καί ἡ τούτου θυγάτηρ; 431
ΕΡΩΤΗΣΙΣ ΜΖ'. (824) 431
Πῶς νοήσομεν τό τοῦ Εὐαγγελίου, ὅτι "Μείζων Ἰωάννου ἐν γεννητοῖς οὐκ ἐγήγερται· ὁ δέ μικρότερος ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, μείζων αὐτοῦ ἐστιν;" 431
ΕΡΩΤΗΣΙΣ ΜΗ'. 432

Τί ἐστι, τό τῶν Παροιμιῶν, "Χειρί χεῖρας ἐμβαλών, οὐκ ἀθωωθήσεται;" 432
ΕΡΩΤΗΣΙΣ ΜΘ'. 432
Τί ἐστι τό, "Ἑπτάκις πεσεῖται ὁ δίκαιος, καί ἀναστήσεται;" 432
ΕΡΩΤΗΣΙΣ Ν'. 432
Τί σημαίνει τό Εὐαγγέλιον, λέγον, "Νίψαι σου τό πρόσωπον, καί ἄλειψαί σου τήνκεφαλήν;" 432
ΕΡΩΤΗΣΙΣ ΝΑ'. 433
Τί ἐστι τό, "Συνέφερεν αὐτῷ, ἵνα μύλος ὀνικός περιτεθῇ ἐν τῷ τραχήλῳ αὐτοῦ, καί ῥιφῇ ἐν τῇ θαλάσσῃ, ἤ ἵνα σκανδαλίσῃ ἕνα τῶν μικρῶν;" 433
ΕΡΩΤΗΣΙΣ ΝΒ'. 433
Εἰς τί λαμβάνεται ὁ Κάϊν, καί ὁ Ἄβελ; 433
ΕΡΩΤΗΣΙΣ ΝΓ'. 433
Τί ἐστι τό, "Μή μακαρίσῃς ἄνδρα πρό τελευτῆς αὐτοῦ;" 433
ΕΡΩΤΗΣΙΣ ΝΔ'. 434
Τί δηλοῖ τό, "Ἐάν διώκωσιν ὑμᾶς ἐκ τῆς πόλεως ταύτης [vulg. ἐν τῇ πόλει ταύτῃ], φεύγετε εἰς τήν ἄλλην;" 434
ΕΡΩΤΗΣΙΣ ΝΕ'. 434
Πῶς καί, "Ἡ ἐλεημοσύνη εἰς σταθμούς, κατά τόν ἅγιον Ἡσαΐαν;" Οὐδέ γάρ τι ἀγαθόν ἄκριτον, εἰ κἄν ἐν τοῖς τῷ ἀμπελῶνι ἔδοξεν. 434
ΕΡΩΤΗΣΙΣ ΝΣτ'. 435
Τί ἐστι τό ἐν τῷ Ἔσδρα λεγόμενον, "Φοβέρισον αὐτούς ἐν νόμῳ Κυρίου;" 435
ΕΡΩΤΗΣΙΣ ΝΖ'. (829) 435
Τί ἐστιν, "Ὅπλον ἐν φόβοις νυκτερινοῖς, ἀνάπαυσις κόπων ἡμερινῶν;" 435
ΕΡΩΤΗΣΙΣ ΝΗ'. 436
Τί ἐστι τό ἐν τῷ ἑβδομηκοστῷ πέμπτῳ ψαλμῷ εἰρημένον, ὅτι "Ἐνθύμιον ἀνθρώπου ἐξομολογήσεταί σοι καί ἐγκατάλειμμα ἐνθυμίου ἑορτάσει σοι;" 436
ΕΡΩΤΗΣΙΣ ΝΘ'. 436
Τί ἐτυμολογεῖται γαστριμαργία; 436
ΕΡΩΤΗΣΙΣ Ξ'. 437
Τίς ἡ παραβολή τῶν ἐν τῷ Εὐαγγελίῳ μισθωθέντων ἐργατῶν εἰς τόν ἐμπελῶνα; καί τίς ἡ ἀνισότης; 437

ΕΡΩΤΗΣΙΣ ΞΑ'. 437
Τίνος χάριν μετά δέκα ἡμέρας τῆς ἀναλήψεως τοῦ Κυρίου, τό Πνεῦμα κατῆλθεν. 437
ΕΡΩΤΗΣΙΣ ΞΒ'. 438
Τί δηλοῖ, "Σπάνιον εἰσάγαγε τόν πόδα πρός τόν σεαυτοῦ φίλον, μήποτε πλησθείς σου μισήσῃ σε;" 438
ΕΡΩΤΗΣΙΣ ΞΓ'. 438
Τί σημαίνει ἡ κατά τόν νόμον περί ἀγνοίας τοῦ φόνου νευροκοπουμένη ἐν τῇ φάραγγι δάμαλις; 438
ΕΡΩΤΗΣΙΣ ΞΔ'. 439
Τί σημαίνει ὁ παραλυτικός διά τῆς στέγης ὑπό τεσσάρων χαλώμενος, καί εἰ δυνατόν κατά τήν ἱστορίαν ἀποστεγασθῆναι τόν οἶκον; 439
ΕΡΩΤΗΣΙΣ ΞΕ'. 439
Τίνος χάριν καταγελωμένου Ἐλλισαίου τοῦ προφήτου ἐκ τῶν παίδων, ηὔξατο, καί ἐξῆλθον ἄρκοι, καί ἀνώρυξαν [ἀνέῤῥηξαν] μβ' παῖδας; 439
ΕΡΩΤΗΣΙΣ ΞΣτ'. 440
Πῶς ὀφείλομεν νοεῖν τήν περί συντελείας τοῦ Υἱοῦ ἄγνοιαν; 440
ΕΡΩΤΗΣΙΣ ΞΖ'. 440
Τί σημαίνει τό μοναχικόν σχῆμα, καί πρό τούτου, τίς ἡ ἀπόκαρσις τῶν τριχῶν; 440
ΕΡΩΤΗΣΙΣ ΞΗ'. 441
ΕΡΩΤΗΣΙΣ ΞΘ'. 442
Εἰ ὅλως νεκροί ἐγείρονται, τί ὅλως, φησί, τά σώματα ἡμῶν οὐκ ἀνίστανται; Τί καί ἐν τῷ βαπτίζεσθαι, εἰς ἀφθαρσίαν αὐτά μεταποιεῖσθαι πιστεύομεν; 442
ΕΡΩΤΗΣΙΣ Ο'. 442
ΕΡΩΤΗΣΙ ΟΑ'. 442
Ἐπειδή κατά τινα τῶν ἀντιγράρων τοῦ Ἀποστόλου περιέχεται, ὅτι "Πάντες μέν κοιμηθησόμεθα, οὐ πάντες δέ ἀλλαγησόμεθα· " κατά τινα δέ, ὅτι "Πάντες μέν οὐ κοιμηθησόμεθα, πάντες δέ ἀλλαγησόμεθα· " παρακαλῶ μαθεῖν, ποίαν χρή τῶν ἐκδόσεων ἐγκρῖναι· καί τί τά ἐκ τούτων δηλούμενα. 442
ΕΡΩΤΗΣΙΣ ΟΒ'. 443
Τί δήποτε τοῦ λέγοντος τοῦ Λουκᾶ ἐν ταῖς Πράξεσι περί τοῦ Παύλου, ὅτι "Ἔσπευδεν, εἰ δυνατόν ἦν αὐτῷ ποιῆσαι τήν ἡμέραν

τῆς Πεντηκοστῆς εἰς Ἱεροσόλυμα," φαίνεται γονυκλισίας ποιήσας, ὅ τοῖς κανόσιν ἀπηγόρευται. 443
ΕΡΩΤΗΣΙΣ ΟΓ'. 443
Τί ἐστιν, "Ὅστις ἐποικοδομεῖ ἐπί τόν θεμέλιον τοῦτον χρυσόν, ἤ ἄργυρον, ἤ λίθους τιμίους· ξύλα, χόρτον, καλάμην· τό πῦρ αὐτά δοκιμάσει. Εἴ τινος οὖν τό ἔργον μενεῖ ὅ ἐπῳκοδόμησε, μισθόν λήψεται· εἴ τινος δέ τό ἔργον κατακαήσεται, ζημιωθήσεται· αὐτός δέ σωθήσεται, οὕτως δέ, ὡς διά πυρός;" 443
ΕΡΩΤΗΣΙΣ ΟΔ'. 444
Τί ἐστιν ὅπερ ὁ Δαβίδ ψάλλει, λέγων, "Δός τό κράτος σου τῷ παιδί σου, καί σῶσον τόν υἱόν τῆς παιδίσκης σου;" 444
ΕΡΩΤΗΣΙΣ ΟΕ'. 444
Ἐπειδή ἐν ταῖς Βασιλείαις γέγραπται, ὅτι ὁ Θεός ἐπέσεισε τόν Δαβίδ ἀριθμῆσαι τόν λαόν· ἐν δέ ταῖς Παραλειπομέναις τόν διάβολον λέγει· πῶς δειχθήσεται ἡ θεία Γραφή ἑαυτῇ συμφωνοῦσα; 444
ΕΡΩΤΗΣΙΣ ΟΣτ'. 445
Τί ἐστι τό ἐν τῷ Ἀποστόλῳ εἰρημένον, "Ὤφελον καί ἀποκόψονται;" 445
ΕΡΩΤΗΣΙΣ ΟΖ'. 445
Τίνος χάριν Μωαβῖται καί Ἀμμανῖται ἀπαγορεύονται εἰσελθεῖν εἰς τόν ναόν τοῦ Κυρίου, ἕως τρίτης καί τετάρτης καί δεκάτης γενεᾶς· καί ἕως εἰς τόν αἰῶνα; 445
ΕΡΩΤΗΣΙΣ ΟΗ'. 446
Τί δήποτε ὁ μέν ἐν μέρει λεπρός, ἀκάθαρτός ἐστι παρά τῷ νόμῳ· ὁ δέ ὁλόλεπρος ὤν, καθαρός ἐστιν; 446
ΕΡΩΤΗΣΙΣ ΟΘ'. 446
Τί δηλοῦσιν αἱ κατά τόν νόμον προαγόμεναι ε' θυσίαι, τό πρόβατον, ὁ βοῦς, ἡ αἴξ, ἡ τρυγών, ἡ περιστερά; 446
ΕΡΜΗΝΕΙΑ ΕΙΣ ΤΟΝ ΝΘ' ΨΑΛΜΟΝ ........................................449
ΕΙΣ ΤΗΝ ΠΡΟΣΕΥΧΗΝ ΤΟΥ ΠΑΤΕΡ ΗΜΩΝ, ΠΡΟΣ ΕΝΑ ΦΙΛΟΧΡΙΣΤΟΝ. (872) ..........................................................457
ΕΡΜΗΝΕΙΑ ΣΥΝΤΟΜΟΣ ..........................................................457
ΛΟΓΟΣ ΑΣΚΗΤΙΚΟΣ ..................................................................477
Κατά πεῦσιν καί ἀπόκρισιν (912) ...............................................477
ΕΚ ΤΩΝ ΦΩΤΙΟΥ (956) 503
Ἀσκητικός λόγος· καί ἑτέρα πραγματεία ἐν υ' κεφαλαίοις. 503

ΠΕΡΙ ΑΓΑΠΗΣ (960) ΠΡΟΛΟΓΟΣ ΠΡΟΣ ΕΛΠΙΔΙΟΝ................504
Πρώτη ἑκατοντάς τῶν περί ἀγάπης κεφαλίων. 504
Περί ἀγάπης ἑκατοντάς δευτέρα. 516
Περί ἀγάπης τρίτη ἑκατοντάς. 532
Περί ἀγάπης τετάρτη κεφαλαίων ἑκατοντάς. 547
ΑΝΕΠΙΓΡΑΦΟΥ ΣΧΟΛΙΑ. (1073) 560
Ἐκ τῶν Φωτίου. (1081) 564
ΚΕΦΑΛΑΙΑ Σ ' (1084) ................................................................565
Περί θεολογίας καί τῆς ἐνσάρκου οἰκονομίας τοῦ Υἱοῦ Θεοῦ.565
ΕΚΑΤΟΝΤΑΣ Α ' 565
ΕΚΑΤΟΝΤΑΣ Β' ΓΝΩΣΤΙΚΩΝ ΚΕΦΑΛΑΙΩΝ. 584
ΑΝΕΠΙΓΡΑΦΟΥ ΣΧΟΛΙΑ. 609
ΚΕΦΑΛΑΙΑ ΔΙΑΦΟΡΑ ΘΕΟΛΟΓΙΚΑ ΤΕ ΚΑΙ ΟΙΚΟΝΟΜΙΚΑ..610
Καί περί ἀρετῆς καί κακίας. (1177) 610
ΕΚΑΤΟΝΤΑΣ ΠΡΩΤΗ. 610
ΕΚΑΤΟΝΤΑΣ ΔΕΥΤΕΡΑ. 632
ΕΚΑΤΟΝΤΑΣ ΤΡΙΤΗ. (1260) 651
ΕΚΑΤΟΝΤΑΣ ΤΕΤΑΡΤΗ. 674
ΕΚΑΤΟΝΤΑΣ ΠΕΜΠΤΗ. 698
ΠΡΟΣ ΘΕΟΠΕΜΠΤΟΝ ΣΧΟΛΑΣΤΙΚΟΝ (1393) 720
Ἐρωτήσαντα περί τοῦ κριτοῦ τῆς ἀδικίας· καί τοῦ, "Ἐάν τίς σε ῥαπίσῃ ἐπί τήν δεξιάν σιαγόνα· " καί τοῦ, "Μή μου ἅπτου, οὔπω γάρ ἀναβέβηκα πρός τόν Πατέρα. " 720
ΕΤΕΡΑ ΚΕΦΑΛΑΙΑ ΤΟΥ ΟΣΙΟΥ ΜΑΞΙΜΟΥ. (1401) 724
Ἐκ τῶν ξγ'. ἀπόρων, Πρός τόν θειότατον βασιλέα τόν Ἀχριδήν. 752

## ΕΙΣ ΤΟΝ ΒΙΟΝ ΚΑΙ ΤΗΝ ΑΘΛΗΣΙΝ ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΚΑΙ ΟΜΟΛΟΓΗΤΟΥ ΜΑΞΙΜΟΥ

**Α΄.**

(68) Καί πάντων μέν τῶν κατά Θεόν πολιτευσαμένων ὁ Βίος, λυσιτελής καί ὠφέλιμος· οἷα δή προτρέπων εἰς ἀρετήν, καί παραθήγων πρός τήν τοῦ καλοῦ μίμησιν· ὁ δέ γε τοῦ θείου Μαξίμου καί ὁμολογητοῦ, ὅσῳ μέγας καί τοῖς ὅλοις περιφανής, τοσούτῳ καί

πρός ἀνδρείαν ἀλεῖψαι ἀνυσιμώτερος, καί ψυχήν ὠφελῆσαι πάντων διαφορώτατος. Ἀνήρ γάρ ἐκεῖνος οὐ μόνον βίον ἔχων ὑπερφυῆ, ἀλλά καί λόγον ἐπιτερπῆ, καί ἄθλησιν γενναίαν καί ἀπαράθετον· οὗ καί μόνη ἡ μνήμη, πολλήν μέν οἶδε φέρειν τήν ἡδονήν, πολύν δέ ταῖς φιλοθέοις ψυχαῖς τόν τῆς ἀρετῆς ἐνίησιν ἔρωτα.Ὅθεν καί ὁ παρών λόγος τά κατ' ἐκεῖνον μέλλων εἰπεῖν, βούλεται μέν καί διά πολλοῦ ἔχει, τό τά καθ' ἕκαστα τῶν αὐτῷ πεπραγμένων εἰς μέσον θεῖναι καί παραστήσασθαι· ὡς ἄν αὐτός τε ἡδίων τῇ τούτων γένηται μνήμῃ, καί τοῖς ἀκροωμένοις μεγάλην τήν χάριν κατάθηται· οὐκ ἔχει δ' ὅπως ἤ πάντων ὁμοῦ τήν περίληψιν σχεῖν, ἤ καί ὧν ἔχει ἐν περιλήψει τόν ὀφειλόμενον ἐπί τούτοις ἔπαινον εἰπεῖν, τῷ κρείττω ἤ κατά λόγου δύναμιν καί τά ἐλάχιστα τῶν εἰργασμένων τῷ θαυμασίῳ τυγχάνειν. Οὐκοῦν ὡς μέν οὐ ῥᾴδιον τῷ λόγῳ οὐδ' εὔπορον, τό τοῖς πᾶσιν ἐπεξιέναι, παρήσειν καί αὐτός εὐλόγως δοκῶ μοι· μηδέν πάντως ἐγκαλούμενος ἐπί τῷ παραλιπεῖν· ὅτι μηδ' ἄλλος τέως τῶν πρό ἡμῶν, ὅσα γε αὐτοί σύνισμεν, εἰς ἅπαντα τά τοῦ ἀνδρός καθῆκεν αὐτόν, τῷ χαλεπήν δηλαδή καί δυσέφικτον ὁρᾶν τήν ἐγχείρησιν.Ὡς ἄν δέ λοιπόν μή φαινώμεθα παντελῶς τηλικαύτην ὑπόθεσιν παρατρέχοντες, καί ὅτι μή ἐξόν ἡμῖν τοῦ παντός ἐφικέσθαι καί τό πᾶν ἐλλιμπάνοιμεν, ὅπερ ἀσύμφορον οἶμαι, καί οὐδ' ἔξω πίπτον αἰτίας· ἀναγκαῖον ἄρα ἐμοί τόν παρόντα λόγον εἰσενεγκεῖ, κἄν ἐλάχιστον οἶδα τοῦτον, κἄν παρά πολύ τῶν πραγμάτων λειπόμενον. Οὕτω γάρ ἄν καί τό τε εἰς ἡμᾶς ἧκον ἀποπληρώσοιμεν, καί ὑμῖν τό χρέος ἀφοσιώσοιμεν, τόν περί ἐκείνου λόγον, εἴπερ τι ἄλλο, ἀπαραιτήτως εἰσπράττουσιν. Εἰ δέ καί ἄλλα τινά τῶν τηνικαῦτα πραχθέντων ἐν τῷ μεταξύ διαμνημονεύσοι ὁ λόγος, ἀλλά τοῦτο οὐκ ἔξω πάντως τοῦ λόγου, οὔτε μή τοῦ εἰκότος· τῶν τότε καιρῶν πολλήν κεκινηκότων, ὡς ἴστε, τήν (69) κατά τῆς ἀληθείας ἐπήρειαν· ἀλλά γάρ ἄνωθεν, ὡς οἷον τε, τά κατά τόν ὅσιον τέως διηγητέον, δι' ὅν καί τόν λόγον ἤδη ἐνεστησάμεθα.

***Β΄.***

Μαξίμῳ τοίνυν τῷ θείῳ καί ὁμολογητῇ πατρός μέν, ἡ πρώτη τῶν πόλεων καί μεγάλη Κωνσταντινούπολις· ἥν καί Νέαν Ῥώμην ὁ λόγος οἶδε προσονομάζειν. Πατέρες δέ, εὐγενεῖς ἄνωθεν, καί τῇ κατά κόσμον περιφανείᾳ μή πολλῶν δεύτεροι· οἷς εὐσέβεια τό ἐξαίρετον, καί ἡ πρός τήν ἀρετήν νεῦσίς τε καί οἰκείωσις· ὡς ἄν ἔχοιεν ἐντεῦθεν

μᾶλλον ἤ ἀπό τοῦ γένους τό λαμπρόν ἐπιφέρεσθαι. Οἵ δή καί εἰς φῶς τόν μακάριον τοῦτον προαγαγόντες, καί ἐν κομιδῇ νέῳ σώματι τῷ θείῳ λουτρῷ προαγαγόντες, ἵν' ἐκ βρέφους λάβοι τήν κάθαρσιν, οὐδέν εἴων τῶν ὅσα τοῖς νέοις πρός ἡδονήν, πράττειν, οὐδέ τοῖς νηπιώδεσι τούτοις καί παιδικοῖς τήν διάνοιαν ἀσχολεῖν· ὅπως μή ἄπλαστος φύσις καί ἁπαλή, πρός ἄνεσιν ἑλκυσθῇ καί ἠθῶν μαλακότητα· ἀλλά τοῖς στεῤῥοτέροις τε καί ἀνδρώδεσι διαπλάττοντες τόν γενναῖον, πολλήν αὐτῷ τήν πρός τά καλά ἐνετίθουν ῥοπήν, καί ὅλον αὐτόν συννεύειν πρός τήν ἀρετήν ἔπειθον. Ὅς καί αὐτός, καί φύσεως λαχών δεξιᾶς, καί ἀγωγῆς οὕτω τυχών, καί νέος μέν ὤν ἔτι, εἶχεν ἐν ἑαυτῷ τά τῆς ἀρετῆς προχαράγματα, οἷον σκιάς τινας καί γραμμάς οὐκ ἀμυδρῶς τό μέλλον εἰκονίζουσας· εἶχε δέ ἀκριβεστέρους τούς ταύτης τύπους καί χαρακτῆρας, τῆς ἡλικίας αὐτῷ προβαινούσης ἐπί τά πρόσω, καί πῆξιν τῆς διανοίας στάσιμον λαμβανούσης· ὅτε καί λόγος καί φρόνημα καί πάντα ὁμοῦ τά πρός τά κρείττω τούτῳ ἑώρα καί τελεώτερα.

***Γ΄.***

Ἐπεί δέ οὗτος καί ἐπί διδασκάλους ἐφοίτα, παιδείας, ὡς εἰκός, παντοίας ἐπιμελούμεος, τί χρή καί λέγειν, ὅσην ἐντός ὀλίγου χρόνου γνῶσιν ἑαυτῷ συνελέξατο; γραμματικήν μέν καί τήν ἄλλην ἐγκύκλιον παίδευσιν ἐξασκήσας ἐπιμελέστατα, ῥητορικῆς δέ καί τῆς ἐν τῷ λέγειν τέχνης ἥκων εἰς τό ἀκρότατον, φιλοσοφίας δέ οὕτω φιλοπόνως ἀκροασάμενος, ὡς μηδένα ἐγγύς αὐτοῦ ἀφεῖναι γενέσθαι καί κατά μικρόν. Σπουδῇ γάρ ἐναμίλλῳ τῇ εὐφυΐᾳ χρησάμενος, ἱκανῶς εἶχεν ἐν πᾶσι μαθήμασι καί περιττῶς· οἷς καί ἑκάστοις μέν συνεχρῆτο, οὐκ ὀλίγα ἔστιν ὅτε τούτῳ πρός τά βελτίω συναιρομένοις. Φιλοσοφίαν δέ καί τούς ἀπ' αὐτῆς λόγους, μειζόνως καί περιεῖπε καί περιέστεργε, καί τῶν ἄλλων ἁπάντων προέταττεν. Ἐπεί γάρ ᾔδει ταύτην καί γνῶσιν τῶν ὄντων καί ἐπιστήμην, καί περί θεωρίαν καταγινομένην καί πρᾶξιν, καί φύσεως πέρι καί κόσμου διεξιοῦσαν, καί πᾶν ἁπλῶς ἄλλον παραδιδοῦσαν· ταύτῃ καί τήν πλείω σπουδήν ἔνεμε, καί ἐν νῷ διά παντός ἔφερε· πλήν οὐχ ὡς ἔτυχεν οὐδ' ἀλογίστως· ἀλλά τό μέν σοφιστικόν ταύτης, καί ὅσον ἀπάτης καί παραλογισμῶν ἔχεται, πόῤῥω θείς καί ἀποβαλόμενος, τό δέ περί λόγους καί δόγματα καί λογικάς ἄλλας (72) μεθόδους καί ἀποδείξεις ἐγκρίνας καί οἰκειωσάμενος. Τί γάρ αὐτῷ ψευδής πρότασις, καί πλοκή νόθων συλλογισμῶν, καί τοιοῦτον συμπέρασμα, καί οἷστισιν ἄλλοις ἡ ἀληθής σοφία

καταχραίνεται; Ἐκείνῳ γάρ πολλοῦ δέον καί φάναι, ἤ τοιοῦτόν τι ἐμέλησε πώποτε, ἤ περί τι τῶν τοῖς ἄλλοις οὐ καλῶς πονουμένων ἀνεκτόν γέγονε καί μικρόν τήν διάνοιαν ἐπικλῖναι. Ἀμέλει καί διά θαύματος αὐτόν ἅπαντες ἐποιοῦντο οὕτω μέν γνώσεως, οὕτω δέ ἀρετῆς, ἔχοντα οὕτω δέ πλέον μετριοφροσύνης καί ταπεινώσεως· ὅν γε οὐδέν τῶν ὄντων ἐπῆρεν, οὐδέ μεῖζον φρονεῖν ἔπεισεν, οὐ γένους εὔκλεια, οὐ λόγων κατά πάντων ὑπεροχή, οὐκ ἀρετῆς ὕψος, οὐκ ἄλλο τῶν πάντων οὐδέν· ἀλλ' οὕτως ἦν τῷ μετρίῳ προσκείμενος, ὡς μόνον τοῦτ' ἔχειν καί σεμνότητα βίου καί καύχημα, καί τούτῳ πλέον φρονεῖν, ἤ εἰ πᾶσαν ὁμοῦ τις τήν ἐν ἀνθρώποις δόξαν αὐτῷ ἐχαρίζετο.

*Δ΄.*

Ἀλλά γάρ οὐκ ἦν οὕτω βιοῦντα λαθεῖν τόν θαυμάσιον, οὐδέ μή καί ἐς ἄλλους ἐκφανές τό κοινόν γενέσθαι ὄφελος· καίτοι πολλά ὁσημέραι ποιοῦντα, ὥστε τήν κενήν ἀποδρᾶναι δόξαν, καί τό μή ἁλῶναι ταῖς τοῦ βίου περιπετείαις· ὧν καί τό γενέσθαι ἐν χρῷ, μέγα πρός ἀρετήν ἐμπόδιον..ᾤετο. Ἀλλ' εἰ καί αὐτός οὕτω καί ἐμελέτα καί ἔπραττεν, ὅμως γοῦν καί ἄκων ἁλίσκεται· πρός τά βασίλεια τοῦτον τοῦ τότε κρατοῦντος (Ἡράκλειος δ' οὗτος ἦν), εὐνοίᾳ τῇ πάσῃ μετακαλεσαμένου, καί ὑπογραφέα πρῶτον τῶν βασιλικῶν ὑπομνημάτων καταστησαμένου· ᾧ καί, οἷα τηλικῷδε ἀνδρί, καί τοσούτου οἴκου, ἐν πᾶσί τε ἐχρῆτο τοῖς ἀνά χεῖρα, καί ὑπουργόν καί συλλήπτορα τῶν καλλίστων ἐκέκτητο. Ἦν γάρ οὗτος συνιδεῖν μέν τό δέον συνετώτατος, βουλήν δ' ὑποθέσθαι κομιδῇ δεξιώτατος, λόγον δέ σχεδιάσαι ἐπιεικῶς προχειρότατος· οὗ τῇ συνουσίᾳ καί βασιλεύς αὐτός καί οἱ περί τά βασίλεια σφόδρα τε ἥδοντα, καί διά παντός ἦσαν τόν ἄνδρα ἐκπεπληγμένοι.

*Ε΄.*

Ἀλλ' αὐτός μικρά ταῦτα πρός φιλοσοφίαν, καί δόξαν, καί χρήματα, καί τιμήν, καί ὅσα φιλοτιμίας ἧπται τῆς περιττῆς, ἡγησάμενος· ἄλλως τε καί τήν πίστιν τότε καινοτομουμένην ὁρῶν, τῷ πολλά τήν Ἐκκλησίαν τό τῶν Μονοθελητῶν διαλυμαίνεσθαι δόγμα, καταλείπει μέν ἅπαντα, ψυχῆς ὥσπερ κοίνωσιν τό τοῖς τοιούτους ἀνεστράφθαι οἰόμενος· πρός δέ τόν μονάδα βίον, ἅτε καί πάλαι τοῦ καθ' ἡσυχίαν βιῶναι ἐρῶν, σπουδῇ προσχωρεῖ, τῷ κατά τήν ἀντιπέραν ἠϊόνα φροντιστηρίῳ, ὅ τῆς Χρυσοπόλεως προσωνόμασται, τότε κατά φιλοσοφίαν ἀνθοῦντι, δούς ἑαυτόν· κἀκεῖ τρίχας τε κειράμενος, καί τό

τρίχινον ἐνδυσάμενος ἔνδυμα· ὅσγε καί τό ἀπ’ ἐκείνου τρύχων ἦν τό σῶμα διά παντός, οὐ νηστείᾳ μόνον καί τῇ ἄλλῃ χρώμενος ἤδη κακοπαθείᾳ, ἀλλά (73) καί στάσει παννύχῳ καί εὐχῇ προσανέχων ἐπιτεταμένῃ τῆς ψυχῆς ἐντεῦθεν τό ὄρθιον ἀναστηλῶν, καί τόν νοῦν ἀποσπῶν τῆς ὕλης, καί τοῦ δεσμοῦ λύων καί πρό τῆς διαλύσεως. Ὁ γάρ καί πρό τοῦ ἀκριβεστέρου βίου ἀγῶσιν ἑαυτόν συνεθίζων καί πόνοις, καί τήν κατά φιλοσοφίαν μετιών ἀγωγήν, σχολῇ γ’ ἄν οὗτος μετά τό εἰς αὐτούς ὑπεισδῦναι ἄλλο τι ἤ εἵλετο ἤ κατέπραξεν. Ἀμέλει καί πολλούς ἔχων τούς συνασκουμένους, πάντας τε ὑπερέβαλε, καί δή καί τό κατά πάντων πρεσβεῖον θαυμασίως ἀνῄρητο· οἵ γε καί τοσοῦτον τῆς τοῦδε ἡττήθησαν ἀρετῆς, ὡς καί κοινῇ διαπρεσβεύσασθαι πρός αὐτόν, προστῆναι τούτων ἐκλιπαροῦντες, καί ἡγεμονίαν τήν κατ’ ἐκείνους ἀναδεδέχθαι· ἦσαν γάρ πρό μικροῦ τόν ἑαυτῶν καθηγεμόνα ἀποβαλόμενοι. Ἀλλ’ αὐτός τήν ἀρχήν ὥσπερ τι βάρους ἐφόλκιον διωθούμενος, ἀνένδοτος ἦν περί τήν αἴτησιν καί ἰσχυρογνώμων· μήτε λόγοις αὐτῶν εἴκων, μήθ’ ἱκεσίαις ὑπενδιδούς. Ὡς δέ ἑώρα μᾶλλον ἐπικειμένους, καί τι καί βίας προστιθέντας, πείθεται μόλις, καί καταδέχεται τήν ἐπιστασίαν· οὐκ ἀρχήν μᾶλλον ἤ λειτουργίαν νομίσας ὑπεύθυνον.

***Στ΄.***

Ἔνθεν τοι καί ἔμφροντις γίνεται μᾶλλον, καί τό πᾶν μεμεριμνημένος· οὐ τό καθ’ ἑαυτόν μόνον σκοπῶν, οὐδ’ ὅπως ἄν αὐτόν ἄριστα διαβιῴη· ἀλλ’ ὅπως ἄν εἴη τοῖς ἀρχομένοις λυσιτελῶς τόν βίον ἰθύνειν, καί ἀγωγῆς ἐπειλῆφθαι τῆς κρείττονος. Ἑώρα γάρ ἐν ἑαυτῷ, ὅτι τοῖς καθ’ ἑαυτούς τήν ἀρετήν μετιοῦσιν, ἐξέσται πάντως κατά τό δοκοῦν, τά μείζω ἤ ἐλάττω τῶν πραττομένων αἱρεῖσθαι· οἷς καί συγγνοίη ἄν τις, μή τά μεγάλα πράττουσι. Τῷ δ’ ἄγειν ψυχάς ἐγκεχειρισμένῳ, καί μικρόν καθυφιέντι τῆς ἀκριβείας, κίνδυνος ἔσται οὐχ ὁ τυχών, αὐτῷ τε καί τοῖς ἀρχομένοις· ὅν οὐχ ὅπως ἄριστον εἶναι δεῖ μόνον, ἀλλά καί τοῖς ἔμπροσθεν ἐπιδιδόναι ἀεί· εἴπερ μέλλοι τῷ καθ’ ἑαυτόν ὑποδείγματι και τούς ὑπό χεῖρα προσάξειν ἐπί τό βέλτιον, ὡς πρός τό ἀρχέτυπον τόν ἐκείνου βίον ὁρῶντας, κἀντεῦθεν ἤ πρός ἀρετήν, ἤ τό ἐναντίον, πρός κακίαν ἐναγομένους. Ταῦτα ὁ θεῖος Μάξιμος ἐννοῶν, συνετήκετο τήν ψυχήν· τό λεῖπον προσεδαπάνα τῶν σαρκῶν· ταῖς φροντίσι τῶν φοιτητῶν συνείχετο. Διά ταῦτα βελτίω τούτοις ὑποτιθείς, καί νῦν μέν, ἠπιωτέρῳ τῷ λόγῳ, νῦν δέ, τραχυτέρῳ χρώμενος τούτῳ·

καί ἄρτι μέν, ὁμαλῶς καί ἀδήκτως ἐπαφιέμενος τήν διδασκαλίαν· ἄρτι δ’ αὐστηράν καί ἀνήδυτον ταύτην προφέρων, ὡς ἕκαστον ἑώρα ἤ ἕξεως ἤ καί φύσεως ἔχοντα. Καί αὐτός μέν οὕτω καί διέκειτο πρός τούς ἀρχομένους, καί τοιαύτῃ διαθέσει τήν τούτων μετῄει ἐπιστασίαν.

Ζ΄.

Ἐπεί δ’ ἑώρα, ὡς ἀνωτέρω ἔφαμεν, τήν τῶν Μονοθελητῶν τηνικαῦτα αἵρεσιν εἰς τέλειον μᾶλλον (76) ἐκτεινομένην, καί δεινῶς καθ’ ἡμέραν ὑπό τῶν τῆς ἀσεβείας προστατῶν αὐξανομένην· ἔστενε μέν καί πένθει βαρυτάτῳ συνείχετο, οἰκτιζόμενος μάλιστα καί τούς τά παράνομα δρῶντας· οὐκ εἶχε δ’ ὅ τι καί πράξοιεν ἑαυτῷ, οὕτω τοῦ κακοῦ εἰς ἄμετρον ἐκχυθέντος, καί Ἑῴαν μικροῦ πᾶσαν καταλαβόντος καί Ἑσπέριον. Ὅθεν καί ἐν τοσούτοις δεινοῖς, τοῦθ’ εὑρίσκει μόνον ἑαυτῷ τό λυσιτελοῦν, καί τοῖς πράγμασιν. Ἐπεί γάρ ἐγίνωσκε τήν πρεσβυτέραν Ῥώμην τοῦ τοιούτου καθαρεύουσαν μύσους, καί ὅσον ἐν Ἀφρικῇ, καί ὅσον ἐν ἄλλοις τόποις καί νήσοις ἐκείναις ταῖς πέριξ· λιπών τά ἐνταῦθα, ἐκεῖσε ἐπιφοιτᾷ, συνηγορίαν δώσων τῷ λόγῳ, καί τοῖς ἐκεῖ συνεπόμενος ὀρθοδόξοις· οὐκ ἀμογητί μέν, οὐδ’ ἄνευ καμάτου καί ταλαιπωρίας, τήν τοσαύτην ἠνυκώς ὁδόν· πάντα δ’ ὅμως ἐλάττω τῆς καλῆς προθυμίας τιθέμενος· συμβούλοις τάχα καί τοῖς κατ’ αὐτόν μονάζουσι χρησάμενος τῆς ἀφίξεως· ὧν εἰ καί τήν διάζευξιν βαρεῖαν καί οὐδέ φορητήν εἶχεν, ἀλλ’ οὐκ εἶχεν ἄλλο τι παρά τά βεβουλευμένα δρᾶσαι, τοῦ καιροῦ στενοχωροῦντος αὐτόν, καί τήν ἀναχώρησιν ἐπιτρέποντος. Ἀλλά γάρ ὁ λόγος προεκδραμών, παρῆκε τά ἐν τῷ μέσῳ εἰπεῖν, καί ὅθεν τήν ἀρχήν ἔσχεν ἡ πονηρά αὕτη δόξα καί ἀποτρόπαιος, οὕτω τήν Ἐκκλησίαν ταράξασα, καί πολλούς εἰς τόν ὅμοιον ὑποσύρασα ὄλισθον. Οὐκοῦν ἀναγκαῖον μικρά περί ταύτης διαλαβεῖν· εἶθ’ οὕτως προσθεῖναι τῷ λόγῳ καί ὅσα ἑξῆς τῆς ὑποθέσεως.

Η΄.

Ἡρακλείου τῶν τῆς βασιλείας σκήπτρων ἐπειλημμένου, καί Σεργίου τόν τῆς Κωνσταντινουπόλεως διέποντος θρόνον· πρῶτα μέν αὐτός Ἡράκλειος καί ὅσον περί τά βασίλεια καί ὅσον ἐν τέλει καί ἀξιώματι, τῇ ὀρθοδόξῳ πίστει συναινοῦντες ἐτύγχανον· φύσεις διττάς καί ἐνεργείας τάς αὐτάς καί θελήματα, ἐπί τῷ θεϊκῷ τε καί ἀνθρωπίνῳ τοῦ ἐμοῦ Χριστοῦ, καί ὁμολογοῦντες καί κηρύττοντες. Ἀλλά τούτου, φεῦ! μετά πολλά κατά τῶν ἐχθρῶν τρόπαια, καί τήν

κατά Περσῶν ἐκείνην περιφανῆ ἀριστείαν, τοῦ ὀρθοῦ μεταβαλομένου δόγματος, συμμεταβάλλεσθαι καί τά τῶν Ἐκκλησιῶν ἤρξατο· οὐκ ὀλίγης καί τοῦ λαοῦ μοίρας πρός τό ἐναντίον μετατραπείσης. Αἴτιος δέ τῷ βασιλεῖ μεταβολῆς, Ἀθανάσιος ἐκεῖνος, ὁ τῶν Ἰακωβιτῶν οὕτω καλούμενος πατριάρχης· ἀνήρ γόης, καί συγχέαι ἀλήθειαν πάντων δεινότατος. Οὗτος γάρ ἐν Ἱεραπόλει τῆς Συρίας τῷ Ἡρακλείῳ διατρίβοντι προσιών, καί ὑπούλως τοῦτον καί κακοήθως ὑπελθών, πρός καί ὑποσχέσεσι δελεάσας, ὡς καί τήν ἐν Χαλκηδόνι δέξαιτο σύνοδον, ἤ τάς δύο φύσεις καθ' ὑπόστασιν ἡνωμένας ἐπρέσβευεν ( εἶχε γάρ πόθος Ἡράκλειον, ὡς ἐδείκνυ τά πράγματα, αὐτόν τε Ἀθανάσιον, ᾧ καί τόν τῆς Ἀντιοχείας ὑπισχνεῖτο δώσειν θρόνον, καί τούς ἄλλους δήπου ὅσους ἑώρα μή συμφρονοῦντας, πρός ἐκείνην συνάψαι τήν σύνοδον· κἄν εὐηθείᾳ καί γνώμης κουφότητι, πρός τῷ μηδένα ἑλκύσαι, καί ἑαυτῷ τήν κακοδοξίαν προσέτριψε). Τοῦτον γοῦν, ὡς εἴρηται, ποικίλως ὁ (77) Ἀθανάσιος ὑποποιησάμενος, ἐπιδοιάζοντά πως περί τάς διττάς ἐνεργείας καί τά θελήματα τῶν δύο φύσεων ἐγκατέστησε· παρ' ὅ δή καί πείθει καί Σεργίῳ τῷ Κωνσταντινουπόλεως ἀναθέσθαι τά δεδογμένα· ἀλλά μήν καί Κῦρον ἐκεῖνον τόν Φάσιδος, πρός ἑαυτόν ἤδη μετακαλέσασθαι πειθέσθαι τέ φησι κἀκεῖνον, πῶς ἄρα χρή περί τούτου δοξάζειν· καί ὅπερ τούτοις εἴη δοκοῦν, τοῦτ' εἶναι καί αὐτῷ συνδοκοῦν. Ἤδει γάρ ὁ δύστροπος, ἑκατέρους τῇ μιᾷ ἐνεργείᾳ, καί τῷ ἑνί στοιχοῦντας θελήματι. Ὡς δ' Ἡράκλειος τόν μέν πρός ἑαυτόν μετάκλητον ἐποιήσατο, τόν Κῦρον, τῷ δέ πατριάρχῃ γράμμασι περί τῶν δεδογμένων ἐσήμανεν, εὗρε δ' ἀμφοτέρους τό μονοθέλητον ἐπίσης περιθάλποντας δόγμα, συναινοῦντάς τε αὖ κἀκείνῳ τά ἴσα φρονεῖν ἀπεπιδοιάστως· τότε δή ὅλος τῆς ἐναντίας γίνεται μοίρας, καί τοῦ ἀθελήτου μᾶλλον εἰπεῖν, ἤ μονοθελήτου, θελήματος.

***Θ΄.***

Καί δή κατά τάχος καί τῷ προέδρῳ τῆς Ῥώμης ἀνατίθησι τά δογματισθέντα· ὥσπερ ἀδικεῖν νομίζων, εἰ μή καί τούς ἁπανταχοῦ γῆς, τῆς οἰκείας ἀναπλήσειε ζύμης, καί τῆς λοιμώδους μεταδοίη αἱρέσεως. Ἀλλ' ὁ θεῖος οὗτος ἀνήρ, ἀπάτην νομίσας τά παρ' ἐκείνου σαφῆ· καί τῆς φαύλης προσοχθίσας κακοδοξίας, οὐ μόνον ἀντιγράφοις καί δυναταῖς ἀντιῤῥήσεσι διελέγχει καί ἀνατρέπει τά προτεινόμενα· ἀλλά καί ἀναθέματι περιβάλλει τούς ἐκεῖνα

κρατοῦντας καί περιέποντας. Ἀλλ’ οὐδέν Ἡράκλειον ὤνησεν, ἅτε μή ἐπιπόλαιον, ἀλλά κατά βάθος τήν κακίαν εἰσδεδεγμένον· ὅς σπεύδει μετά μικρόν, καί τήν Ἀλεξάνδρειαν τούτου δή τοῦ μύσους ἐμπλῆσαι, Κῦρον τόν σύμφρονα στείλας ταύτῃ ἐπίσκοπον, ὡς ἄν εἴη καί αὐτή Ἀλεξάνδρεια συμφρονοῦσα τά ἴσα καί διολυμένη. Ἀμέλει καί Κῦρος Θεοδώρῳ τῷ τῆς Φαράν ἐπισκόπῳ πρός λόγους ἐλθών, σφόδρα αὐτῷ τοῖς Μονοθελήταις συνομαρτοῦντι, ποιεῖται ἤδη σύν τούτῳ τήν οὕτω καλουμένην ὑδροβαφῆ ἕνωσιν· οἶμαι δέ τοῦτο σημαίνειν, τήν ἐξίτηλον καί ὑδαρώδη βαφήν, καί οἷον πεφυρμένην καί ἀδιάγνωστον, καί μηδ’ ὁποτέραν τῶν χροιῶν καθαρῶς διασῴζουσαν· ἵν’ ἐξῇ πάντως καί τούτοις, ὁπότερως ἄν βούλοιντο, φύρειν καί συγχεῖν καί ἀνακιρνᾶν τήν δογματιζομένην ἐνέργειαν· καί μήθ’ ἁπλῆν ταύτην, μήτε διπλῆν, μήτ’ οὐδετέραν, ὅ καί ἀληθές εἰπεῖν, οἵαν τε οὖσαν ἤ νοεῖσθαι ἤ ὀνομάζεσθαι.

***Ι΄.***

Ἀλλ’ οὗτοι μέν, ὡς αὐτοί γε ἔδοξαν καί τούς ἠπατημένους ἔπεισαν, τήν μίαν ἐνέργειαν καί τό ἕν φυσικόν ἐπικυρώσαντες θέλημα, λαβήν καί τοῖς Ἰακωβίταις καί τοῖς ἀπό Θεοδοσίου δεδώκασι, τῆς ἡμετέρας καταυχᾶσθαι πίστεως, καί ἐν γέλωτι καί τωθασμῷ τήν ἐν Χαλκηδόνι τίθεσθαι σύνοδον· οἵ καί κακούργῳ προὔφερον γνώμῃ, ὡς καί αὐτή Χαλκηδών (80) τοῖς ἑαυτῶν ὤφθη συνεπομένη, καί τῆς μιᾶς ἐξεχομένη φύσεως· καί τοῦτο δῆλον ἐξ ὧν καί τήν μίαν πρεσβεύει ἐνέργειαν· ὅπερ οὐκ ἄν ἄλλως, ὥς φασι, κατεπράξατο, εἰ μή τόν ἀληθῆ λόγον ἐδυσωπήθη, καί τήν κατάληψιν ἔσχειν ἐντελεστέραν.

***ΙΑ΄.***

Ἐπεί δέ τό κατ’ ἐκεῖνο καιροῦ, Σωφρόνιος τόν ἐν Ἱεροσολύμοις θρόνον ἐνεχειρίσθη, ἀνήρ εὐσεβείᾳ διαλάμπων καί ἀρετῇ· συναθροίζονται περί τοῦτον ὅσον ἀρχιερατικόν καί ὀρθόδοξον, διαβάλλον μέν σύν αὐτῷ καί ἀναθέματι περιβάλλον τούς μίαν ἐπί τοῦ Χριστοῦ φυσικήν ἐνέργειαν καί ἕν δοξάζοντας θέλημα· εὐφημοῦν δέ καί ἀνακηρύττον τούς πρός ταῖς δύο φύσεσι καί τάς διττάς ἐνεργείας μετά τῶν ἴσων θελημάτων ὁμολογοῦντας καί περιέποντας. Βουλόμενος ὁ ἱερός οὗτος ἀνήρ καί μειζόνως διατρανῶσαι τά ἐκτεθέντα, δηλοῖ ἀνά μέρος περί αὐτῶν καί Ἰωάννῃ τῷ Ῥώμης (οὕτω γάρ ἐκαλεῖτο ἐκεῖνος), καί Σεργίῳ τῷ Κωνσταντινουπόλεως, ἀλλά μήν καί Κύρῳ τῷ Ἀλεξανδρείας· τούς μέν, κακίζων καί πολλά φαυλίζων

τοῦ δόγματος· τόν δ’, ὡς εἰκός, ἐπαινῶν, τόν Ἰωάννην, καί μυρίοις καταστέφων τοῖς ἐγκωμίοις.

***ΙΒ΄.***

Ἅ δή ὁ βασιλεύς ἐνωτισθείς Ἡράκλειος, εἰς δέος ἐμπίπτει καί ἀγωνίαν· ποικιλλόμενος πρός ἑαυτόν καί μετατρεπόμεος, καί οὐκ ἔχων πρός ὅ ἄρα τό καινοτομηθέν διαμείψαιτο δόγμα· τό ὑπόγυον τάχα τῆς μεταβολῆς αἰσχυνόμενος, καί τήν ἀθρόαν πρός τά ἐνάντια μετάθεσιν. Ἀμέλει καί ἀποῤῥήγνυται ἀμφοτέρων, τάς τε δύο φημί καί τήν μίαν πρεσβευόντων ἐνέργειαν· τοῦτο καί τοῦ στυγητοῦ πρός ἐκεῖνον ὑποθεμένου Σεργίου, οἷα εὔκολον εἰδότος περί ἅπαντα καί εὐάγωγον· ἄλλως τε καί ὀῤῥωδήσαντος μή τέλεον ἴδοι τοῦτον τῆς αὐτῶν ἀποσπώμενον συμμορίας, καί διά τοῦτο συγχωρήσαντος τρόπῳ σκαιοτέρῳ πρᾶξαι τόν βασιλέα τά κατά βούλησιν. Ἔνθεν τοι καί ὡς ἑρμαίῳ τῷ γενομένῳ ἡδόμενος Ἡράκλειος, καί ἐγγράφοις τύποις καί τῷ λεγομένῳ ἰδίκτῳ τό ἄτοπον βεβαιοῖ· ὅπερ οἱ τά Σευήρου φρονοῦντες, γράμμασιν οὕτω σεσημασμένον ἑωρακότες, οὐ μόνον οἴκοι καί καθ’ ἑαυτούς, ἀλλά καί ἐπί καπηλείων καί βαλανείων, σκώμμασιν ἔβαλλον, ἀθύρῳ ταῦτα φθεγγόμενοι στόματι, ὅτι Πρώην μέν τά Νεστορίου φρονοῦντες οἱ Χαλκηδονῖται (ἡμᾶς οὕτω λέγοντες, κἄν τά παρ’ ἐκείνων ἦμεν ἠθετηκότες), ἀνένηψάν τε καί τοῦ κακῶς φρονεῖν ἀπέσχοντο, ἑνωθέντες ἡμῖν διά τῆς μιᾶς ἐνεργείας εἰς τήν μίαν τοῦ Χριστοῦ φύσιν· νῦν δέ καταγνόντες τοῦ καλῶς ἔχοντος, ἀπώλεσαν ἀμφότερα, μήτε δύο, μήτε μίαν ἐν τῷ Χριστῷ φύσιν ὁμολογοῦντες. Ἦν οὖν τότε ἰδεῖν σύγχυσιν ἐν ταῖς Ἐκκλησίαις καί ταραχήν, ὅτι καί ποιμένες καί λαοί ἠφρονεύσαντο, καί ἄρχοντες καί ἀρχόμενοι· μή ὄντος τοῦ συνιέντος, μηδέ τοῦ ἐκζητοῦντος τόν Κύριον. Τίς γάρ ἄν τούς πολλούς ἔπεισε τά βέλτιω ἑλέσθαι, οὕτω τῶν προεστώτων διακειμένων, καί βασιλέων (81) καί ἀρχιερέων, ἀντ’ ἄλλων τινῶν διαταγμάτων καί νόμων, τήν ἀσέβειαν θεσπιζόντων, καί ὑποκύπτειν πάντας ἀναγκαζόντων, καί τόν ἄτμητον τῆς Ἐκκλησίας χιτῶνα εἰς πολλάς μοίρας τεμνόντων, καί ἐφήδεσθαι διδόντων τοῖς τά ἡμέτερα μωμοσκοποῦσι καί διαβάλλουσιν;

***ΙΓ΄.***

Ἀλλά γάρ οὐ πολύ τό ἐν μέσῳ, καί Σέργιος ὁ τῆς κακοδοξίας σπορεύς, ἡ πολυκέφαλος ὕδρα, τόν τῇδε βίον διέξεισιν, ὅλον ἑαυτῷ τόν τῆς δίκης τρυγίαν ἐκεῖσε ταμιευσάμενος· Πύῤῥον δέ τῷ ἐκείνου

θρόνῳ Ἡράκλειος ἐγκαθίστησι, τῆς ἐναντίας ὄντα καί τοῦτον καί μοίρας καί δόξης, καί τά ἴσα τῷ ἀπελθόντι πρεσβεύοντα. Ἐπεί δέ καί αὐτός Ἡράκλειος μετ' ὀλίγον τόν βίον διέστρεψε, Κωνσταντῖνος ὁ τούτου υἱός ἐπί τῶν σκήπτρων καθίσταται· ὅν καί Πύῤῥος κατά σκειότητα τρόπων, σύν ἅμα καί Μαρτίνῃ ἐκείνῃ γυναικί φαύλῃ καί πρᾶξαι τό κακόν ἐπικαιροτάτῃ, φαρμάκῳ ἀνελών, παρά δόξαν τόν ἐκείνης υἱόν Ἡρακλωνᾶν οὕτω προσονομαζόμενον, πρός τήν βασιλείαν ἀντιμεθίστησι· καλά γε ὁ ἀρχιερεύς δρῶν, καί τῆς αὐτοῦ πραότητος ἄξια. Ἀλλά τόν Ἡρακλωνᾶν ἡ σύγκλητος μυσαχθεῖσα, θᾶττον μετακινεῖ τῆς ἀρχῆς, ἐν ταυτῷ καί τόν δυσσεβῆ Πύῤῥον, σύν τῇ ὁμοτρόπῳ Μαρτίνῃ τῆς βασιλίδος ἀπελασάμενοι· καί τέως ὁ γεννάδας ταύτην τίνει τήν δίκην, θρόνου τε καί πόλεως ἐξωσθείς, ἀνθ' οὗ τόν ἄδικον φόνον ἐσκαιωρήσατο. Βασιλεύει δέ τότε Κώνστας, ὁ τοῦ ἀναιρεθέντος Κωνσταντίνου υἱός· προχειρισάμενος οὗτος καί Παῦλον τῆς Βυζαντίδος ἐπίσκοπον, ὑποθάλποντας δή καί αὐτούς (ὑποθάλποντα καί αὐτόν) τό ἀλόγιστον ἐκεῖνο δόγμα καί μονοθέλητον. Ἀλλά γάρ ἐπανιτέον ἡμῖν πάλιν πρός τά τοῦ θείου Μαξίμου, ὅν καί ὁ λόγος ἡμῖν ὑπόθεσιν ἐνεστήσατο, εἰ καί περί ἄλλα τήν διήγησιν ἔτρεψεν, ὧν δή καί αὐτῶν ὡς ἀναγκαίων μνησθῆναι ἐν ἀρχῇ καθυπέσχετο.

***ΙΔ΄.***

Ὡς οὖν τῇ Ῥώμῃ φοιτῆσαι διά τήν ἐπιπολάσασαν τῇ Κωνσταντινουπόλει κακοδοξίαν, ὁ ἱερός οὗτος ἀνήρ εἵλετο, καθά μοι καί ἀνωτέρω δεδήλωται, πρῶτα μέν τοῖς ἐν Ἀφρικῇ ἐπισκόποις συγγίνεται κατά πάροδον· οἷς καί λόγους προθείς τούς οἰκείου, καί γλῶσσαν τήν τά θεῖα πελαγίζουσαν ἐπαφείς, βεβαιοτέρους τε περί τήν πίστιν καθίστα, καί ὅπως ἄν ἔχοιεν τάς τῶν ἐναντίων διαδιδράσκειν λαβάς, καλόγους αὐτῶν τούς σοφιστικούς ὑπεκβαίνειν, ἐδίδασκε μάλα καί ὑπετίθει. Ἤδει γάρ ὁ εὐσύνετος, ὅτι πολλῆς ἡμῖν δεῖ τῆς ἐμπειρίας καί τῆς διαλέξεως, εἴγε μέλλοιμεν βάλλειν τούς ἀντιτεταγμένους, καί πᾶν αὐτῶν καθαιρεῖν ὕψωμα, κατά τῆς ἀληθοῦς ἐπαιρόμενον γνώσεως. Διά τοῦτο παντί τρόπῳ ἐκείνους παρέθηγε· συνεκρότει, λόγοις ἤλειφε πρός ἀνδρείαν,γενναιοτέρου ἐνεπίπλα φρονήματος. Εἰ (84) γάρ καί τῷ θρόνῳ ὑπερεῖχον, ἀλλά τήν γε σοφίαν καί σύνεσιν, ἐλλάτους ἦσαν καί ἀποδέοντες· ἵνα μή τήν ἄλλην ἀρετήν λέγω, καί τήν ἐν ἅπασι τοῦ ἀνδρός εὔκλειαν. Ὅθεν καί λόγοις τε ἦσαν

τοῖς ἐκείνου ὑπείκοντες, καί παραινέσεσιν ἄλλαις καί συβουλαῖς οὕτω πολύ ὠφέλιμον ἐχούσαις, ἀναντιῤῥήτως πειθόμενοι. Ἑώρων γάρ ἐν τῷ ἀνδρί βίον μέν ἀνῳκισμένον καί ὑπερφυῆ, λόγον δέ ἄφθονον καί πολύν, καί οὐ κατά τινας ψεκάδας, ἀλλά κατά ποταμούς ῥέοντα· σύνεσιν δέ καί τήν ἄλλην κατάστασιν ἐν ψυχῇ, οὐδενί οὐδ' ὅλως παρισουμένην. Δι' ἅ πάντα, οὐχ ὅσον ἐν ἱερεῦσι καί ἐπισκόποις, ἀλλά καί ὅσοι τοῦ λαοῦ καί ὅσοι τοῦ πλήθους προτεταγμένοι, ἐκείνου τε ἦσαν ὅλοι δι' ὅλων ἐξηρτημένοι, καί αὐτοῦ οἷα μαγνήτιδος ἐκκρεμάμενοι· ταυτόν πεπονθότες πρός τόν μακάριον, ὅ φασι πρός τήν λίθον ἐκείνην τά σιδήρια· ἤ καί ὅ πρός τάς μυθευομένας Σειρῆνας, οἱ τούτων τοῖς μέλεσιν ἐνισχημένοι. Ἐπεί δ' οὗτοι ἐπύθοντο τηνικαῦτα συνέλευσιν ἐπισκόπων τόν Ῥώμης ἀθροίσαντα, ὡς ἄν κοινῇ σύν αὐτοῖς τό ἔκτοπον δόγμα ἀραῖς ὑποβάλῃ καί ἀναθέματι τοῦτο δή καί αὐτοί προτροπῇ καί εἰσηγήσει τοῦ θείου Μαξίμου πρᾶξαι προήχθησαν· οὐκ Ἀφρική μόνον καί ὅσον περί ταύτην, ἀλλά καί εἴ τινες ἐν ἄλλαις ταῖς ἐκεῖ νήσοις, πρός τό ἔργον ἐπαχθέντες, καί σπουδῇ τό καλόν δράσαντες· ὅτι δή καί ἅπαντες οὗτοι, ἐκεῖνον εἶχον καί διδάσκαλον καί καθηγητήν, καί τῶν πραττομένων συλλήπτορα.

*ΙΕ΄.*

Χρόνος τό ἀπ' ἐκείνου διῄει οὐχί συχνός, καί Ἰωάννης ὁ τῆς Ῥώμης πρόεδρος πρός κύριον ἐκδημεῖ· ἄνεισι δέ πρός τόν ἐκείνου θρόνον Θεόδωρος, οὐχ ἧττον τῆς προεδρείας, ἤ τῆς ὀρθοδοξίας διάδοχος. Ἐν τοσούτῳ δέ καί Πύῤῥος, οἷα τῆς βασιλίδος ἀπελαθείς, καταλαμβάνει τήν Ἀφρικήν, καί τῷ θείῳ Μαξίμῳ συγγίνεται, λόγους τούς οἰκείους αὐτῷ προβαλλλόμενος, καί τούς παρ' ἐκείνου δεχόμενος· ὧν καί ἀμφοτέρων πρός πεύσεις καί ἀντιῤῥήσεις ἰόντων, πῶς ἄν ἐπί τοῦ παρόντος ἀξίως, ἤ τήν τοῦ ἁγίου μετά τοῦ πιθανοῦ καί τῆς ἀληθείας ἐν ἑκάστῳ προβλήματι παραστήσαιμι λύσιν, ἤ τήν τοῦ Πύῤῥου πρός ἕκαστον τῶν λεγομένων ἧτταν καί συγκατάθεσιν; Ὁ μέν γάρ, ὥς τι τῶν ἀμάχων καί δυσεκλύτων, ἕν εἶναι τῷ ἑνί Χριστῷ προὐβάλλετο καί τό θέλημα, καί οὐκ ἄν φησιν ἄλλως ἔχειν τήν ἐπ' ἀληθείας κατάληψιν· ὁ δέ, καί ἕνα τοῦτον καθ' ὑπόστασιν ἐνθυπέφερεν· ἀλλά γε καί τό διπλοῦν διῄρει τῶν φύσεων, αἷς συνδιῃρεῖτο καί τά θελήματα καί τοῦσο ἰσχυρῶς ἄγαν καί ἀναντιῤῥήτως ἐδείκνυ. Καί ὁ μέν αὖθις τοῖς θελήμασι καί τούς θέλοντας συνῆγεν, ἀτόπῳ συνδέων τό ἄτοπον· ὁ δ' ὅσιος, τοῦτο μέν ὡς ἐκτόπως παράλογον ἀπέτρεπεν ἐκ τοῦ

ἀκολούθου καί ἤλεγχεν. "Εἰ γάρ δοθῇ, φησί, τοῖς θελήμασι συνεισάγεσθαι καί τούς θέλοντας (αὐτοῖς γάρ τοῖς τῆς μακαρίας γλώσσης χρήσομαι λόγοις), πάντως καί τοῖς θέλουσι τά θελήματα κατά τήν εὔλογον ἀντιστροφήν συνεισαχθήσεται· (85) καί εὑρεθήσεται, καθ' ὑμᾶς, τῆς ὑπερουσίου καί ὑπεραγάθου καί ἀρχικωτάτης θεότητος, διά μέν τό ἕν αὐτῆς θέλημα, μία καί ὑπόστασις, κατά Σεβέλλιον· διά δέ τά τρία πρόσωπα, τρία καί τά θελήματα· καί διά τοῦτο τρεῖς φύσεις, κατά Ἄρειον· εἴπερ, κατά τούς πατρικούς ὅρους καί κανόνας, ἡ διαφορά τῶν θελημάτων, καί φύσεων εἰσάγει διαφοράν."

*Ιστ΄.*

Καί τί ἄν τά καθ' ἕκαστα λέγοιμι τῶν τότε ῥηθέντων; ἅ καί ὑπόθεσιν ὅλην ἐνστησάμενος, μόλις ἄν δυνηθείην πᾶσιν εἰς τέλος ἐπεξελθεῖν· οὕτω μακρᾶς οὔσης καί ποικίλης καί περινενοημένης, τῆς τούτων ἐπεξηγήσεως. Οὐκοῦν ἔξεστιν, ἐκεῖνο αὐτό τό πονηθέν σύνταγμα τῷ ἁγίῳ διεξελθοῦσιν, ἐκ τοῦδε καταμαθεῖν ἀκριβέστερον, καί τοῦ ἁγίου τήν μετά συνέσεως καί λογισμῶν ἐπικαιροτάτων πεῦσιν ἐν ἅπασι καί ἀπόκρισιν, καί τοῦ Πύῤῥου τόν ἐν προτάσεσιν ἀσυνάρτητον καί μαχόμενον, ἤ μᾶλλον ἀσυλλόγιστον εἰπεῖν καί ἀνότητον· ὅς καί τοῖς ὅλοις ἀπειρηκώς, βοῦν ἐπί γλώσσης, ὅ φασι, τίθεται, καί τοῦ οἰκείου λόγου καταγινώσκει ἀσθένειαν· ὅν καίτοι εἰς πολλά μορφώσας καί ποικίλας, καί πανταχόθεν ἑλίξας, οὐκ ἔσχεν ὅμως πρός τι τῶν κατά βούλησιν αὐτῷ συναιρόμενον. Ἀμέλει καί συγγνώμην ἐφ' οἷς ἔδρασεν ἐξαιτεῖται, δόγμα παρευθύς τό οἰκεῖον καί μονοθέλητον, ἐγγράφως ἐξομοσάμενος, δούς καί τῷ Ῥώμης λιβέλλους· καί ὑπ' αὐτοῦ πῶς ἄν εἴποις δεχθείς ἀσμενέστατα. Ἀλλ' ὁ ἄφρων καί ἰσχυρῶς ἀνόητος, ὥσπερ οὐδενός ἐπ' αὐτόν καινοῦ γεγονότος, ἐν Ῥαβέννῃ κύων ἐπί τόν ἴδιον ἀνέτρεχεν ἔμετον. Ὅσπερ καί εἰς ὦτα τῷ θείῳ Μαξίμῳ πεσόν, καί αὐτῷ τῷ εἰρημένῳ προέδρῳ, κοινῇ συνελεύσει τήν κατ' αὐτοῦ ψῆφον ἐκφέρουσιν, ὥς τι μέλος σεσηπός καί συνόλως ἀνίατον, τέλεον ἐκκόψαντες τόν ἄθλιον καί ἀποβαλ(λ)όμενοι. Ὁ δέ, καί οὕτω παθών, οὐδ' οὕτως ἔληγεν ἀναιδείας, οὐδέ τοῦ μεῖζον κατωφρυῶσθαι· ἀλλ' ὁρμῇ αὐθαδεστέρᾳ, τῷ ἐν Κωνσταντινουπόλει καί αὖθις θρόνῳ ἐπιπηδᾷ, καί ἆθλον ἀσεβείας, τήν ἀρχιερωσύνην λαμβάνει δεύτερον.

*ΙΖ΄.*

Ἐπεί δέ καί τόν αἴτιον, ὅστις ἐστίν, οὐκ ἠγνόει(καί πῶς γάρ ἄν οὕτω λάμποντα πᾶσι καί ἐν ὑπαίθρῳ τόν λόγον πυρσεύοντα;), σπουδῇ τόν ὅσιον εἰσαχθῆναι προστάττει πρός τά βασίλεια· οἰόμενος ὡς εἰ τούτου κρατήσοι, καί πάντων τῶν ἄλλων ἔσται κρατῶν. Σύν αὐτῷ δέ καί τόν τούτου μαθητήν Ἀναστάσιον, μεθ' ἅμα τοῦ ὁμωνύμου τούτου καί ὁμότροπου, ὅς καί ἀποκρισιάριος τῆς κατά Ῥώμην Ἐκκλησίας ἐλέγετο· οὐ μήν ἀλλά καί Μαρτῖνον τόν θειότατον σύν ἐπισκόποις τῶν ἑσπερίων πλείοσι, θᾶττον ἐν Βυζαντίδι παρίστησι· τούτοις, οἷα εἰκός, (88) διά τό τῆς γνώμης ἀντίξοον ἐμπικραινόμενος. Ἀλλά τά μέν κατά τόν ἱεράρχην Μαρτῖνον, καί ὅσα πρός τοῦτον πεπαρῳνήκει ὁ δυσσεβής, μυρίαις αὐτόν πλύνας ταῖς ὕβρεσι καί αἰκίαις, ὢ χειρῶν ἀνοσίων! τόν ἀθῶον τιμωρησάμενος, καί τό τελευταῖον ὑπερορίᾳ μακροτάτῃ καταδικάσας (Χερσών δ' ἦν αὐτῷ ὁ τῆς ὑπερορίας τόπος), τά ἴσα δηλαδή καί τοῖς αὐτοῦ δράσας ἐπισκόποις· ἀλλά ταῦτα μέν οὐ σχολή τέως ἐμοί καθά ἐπράχθη διεξελθεῖν, πρός τά τοῦ θείου Μαξίμου ἐπειγομένῳ· πολλοί δέ ἴσως ἐκεῖνα, οἱ μέν ἤδη ἐροῦσιν, οἱ δέ καί εἰρήκασιν, οἶμαι, τόν ἄνδρα τιμῶντες, καί τούτου τήν πολιτείαν σεμνύνοντες· ἡμῖν δ' ὡς ὁ λόγος ἔχει, τά τοῦ σκοποῦ διίτω.

*ΙΗ΄.*

Ὡς οὖν λοιπόν ὁ ἱερός οὗτος ἀνήρ χερσίν ἦν φονώντων συνειλημμένος, καί πρός αὐτόν ἦσαν ἅπαντες ἐνορῶντες· ἴδωμεν ποίοις πρῶτον αὐτόν δεξιοῦνται τοῖς ἀπαντήμασι, καί ποταπῇ κρίσει τά κατ' αὐτόν οἱ καλοί οὗτοι διεξάγουσι θεσμοθέται. Ἅμα γάρ τῷ προσοκεῖλαι τῇ Βυζαντίδι διά πλοίου ἤδη ἀναχθέντα, ἥκουσι πρός αὐτόν οἱ παρά βασιλέως ἀποσταλέντες, ἄνδρες ἀπό μόνης τῆς ὄψεως πολλήν ἐν τῇ ψυχῇ τήν πικρίαν ἐμφαίνοντες· οἵ καί ἀναίδην τοῦ ὁσίου λαβόμενοι, ἀνυποδήτου καί δίχα ὄντος περικαλύμματος, εἷλκον βίᾳ τήν ὁδόν καί ἀπῆγον, συνεπομένου καί τοῦ μαθητοῦ, καί τοῖς δρωμένοις ἐπιστενάζοντος· ὅν δή καί ἀπαγαγόντες, πρός τι καθεῖρξαν ζοφῶδες δωμάτιον, μηδ' αὐτό μόνον, τῆς τοῦ μαθητοῦ μεταδόντες αὐτῷ συνοικήσεως. Καί δή καί ἡμερῶν διαγενομένων, ἄγουσι τόν δίκαιον ἐν τῷ παλατίῳ τῆς συγκλήτου ἁπάσης προκαθημένης, καί φόνιόν τι καί μανικόν πρός αὐτόν ἀποβλεπομένης· καί τέως μεν τῷ Σακελλαρίῳ, πρώτῳ τήν ἀξίαν τυγχάνοντι, τήν κατ' αὐτοῦ ἐπιτρέπουσι δίκην· ἀνδρί δεινῷ μέν εἰπεῖν· δεινῷ δέ λόγους

συμπλάσαι· κακουργῆσαι δι’ ἀλήθειαν, πάντων οὐχ ἥκιστα δεινοτέρῳ. Ὅς, τί μέν κακίας ἐνέλιπε; τί δέ πονηρίας οὐκ εἴργαστο; μή γῆρας αὐτοῦ τό τίμιον αἰδεσθείς (περί γάρ τά ὀγδοήκοντά που τότε ἐτύγχανεν ἔτη μικροῦ δέοντος), μή τήν ἐπανθοῦσαν τῷ προσώπῳ χάριν, μή τό ἐν ἤθει κόσμιον, καί τήν ἄλλην εὐπρεπῆ, καί σεμνοτάτην κατάστασιν· καί ταῦτ’ ἔχων ὁ ἀδικώτατος, δίκαιον μέν οὐδέν οὐδ’ εὔλογον ἐφ’ οἷς ἔπραττεν ἐγκαλεῖν, μόνην δ’ ὡς εἰπεῖν, τήν οἰκείαν ἐμφαίνων σκαιότητα, καί τό ἰταμόν τοῦ τρόπου καί μοχθηρότατον· ὅς, εἰ καί τά τηλικαῦτα ὤφθη ἀναιδευόμενος, ὅμως γοῦν μάτην ἐφάνη πάντα κυκῶν· δύσνους μόνον ἐξελεγχθείς, καί τήν πονηρίαν διασημότατος. Ἀλλά γάρ τά καθ’ ἕκαστα τῶν τότε ῥηθέντων καί πραχθέντων, καί οἵας τάς συκοφαντίας τῷ ἀναιτίῳ προσῆψαν οἱ τῷ ψεύδει οἰόμενοι σκεπασθήσεσθαι, αὐτός ὁ καλός τοῦ ὁσίου μαθητής ἐπί μέρους διέξεισιν, ἐν ἰδίῳ ἐκθέμενος ὑπομνήματι· παρ’ οὗ καί τῷ βουλομένῳ ἐξέσται πάντα διιέναι πρός ῥῆμα, καί ἀναμαθεῖν ἀκριβέστερον. Πλήν οὐκ ἀπό σκοποῦ καί (89) ἡμῖν βραχέα ἀπ’ ἐκείνων ἐρεῖν, καί τῷ παρόντι ἐνθεῖναι λόγῳ, ὡς ἄν μή ὦμεν παντελῶς τῶν τοιούτων μηδενός μεμνημένοι· καί ταῦτα μέλλοντες, οὐ κατά διήγησιν, ἀλλά κατ’ ἐπιδρομήν, ὡς ἄν εἴποι τις, περί τῶν πεπραγμένων διεξελθεῖν.

***ΙΘ΄.***

Ὡς οὖν ὁ δυσώνυμος ἐκεῖνος Σακελλάριος εἰς ὄψιν τόν ἅγιον παρεστήσατο, λόγοις αὐτόν τραχυτέροις καί ἀπειλαῖς εὐθύς προκατασείειν ἤρχετο· ἄδικον καί προδότην, καί τοῖς βασιλεῦσιν ἐχθρόν, καί τά πάτων ἀποκαλῶν αἴσχιστα.Ὡς δ’ ἐπύθετο οὗτος, ὅτου χάριν εἴη ταῦτα καταλέγων αὐτοῦ, καί τίς ἦν εἴργαστο προδοσίαν· τότ’ ἐκεῖνος συμπλάττει διαβολάς, ἅς ἐκεῖνον μόνον συμπλάσσειν εἰκός, παριστῶν ἐφ’ ὁμολογουμένῳ τῷ ψεύδει καί μάρτυρας. Καί δή κατεφλυάρει τοῦ ὁσίου, ὡς εἴη πόλεις μεγάλας προσεδωκώς, Ἀλεξάνδρειαν φημί καί Αἴγυπτον καί Πεντάπολιν, τῶν ἡμετέρων μέν, φησίν, ἀποσπάσας ὁρίων, τοῖς δέ Τῶν Σαρακηνῶν ἤδη προσθέμενος· ὧν καί τά μάλιστα εὔνουν αὐτόν ἐκάλει, καί οἰκειότατον.

***Κ΄.***

Ὡς δέ ταύτην αὐτοῦ τήν σκαιωρίαν λόγῳ ἀναντιῤῥήτῳ ὁ ἅγιος ἀπεκρούσατο, συκοφαντίαν σαφῆ καί οὐδέν ἄλλο οὖσαν δείξας (τί γάρ αὐτῷ καί τῇ ἁλώσει τῶν πόλεων, αἷς μᾶλλον τά λυσιτελῆ ἐβούλετο;)·

ἑτέραν ὁ ἀναιδής ἐτράπετο, ὀνείρους τινάς πλάττων καί σκιάς καί φαντάσματα· ἐν οἷς καί φωνῶν ἀπηχήσεις μειζόνων τε καί ἐλαττόνων, καί βασιλέων προσηγορίας, καί τῷ τῆς Ἑσπέρας μᾶλλον, ἤ τῷ τῆς Ἑῴας, τήν τρανοτέραν φωνήν ἐπαφιεμένην ἀπήχησιν· κατηγόρους κἀνταῦθα, καί συκοφάντας ἐμφανίζων καί προβαλλόμενος. Ἐφ' ᾧ καί μᾶλλον ὁ ὅσιος ἐπιστενάξας, "Εὐχαριστῶ τῷ Θεῷ μου, εἶπεν, ὅτι εἰς χεῖρας ὑμῶν παραδέδομαι, καί τοιούτοις αἰτιάμασι βάλλομαι· ὡς ἄν διά τῶν ἀκουσίων τουτωνί, τά ἑκουσίως μοι προστριβέντα ἀπαλιφῇ, καί κηλίδων τῶν ἐν τῷ βίῳ ἐμαυτόν ἀποσμήξαιμι. Πλήν ἵνα μικρόν καί πρός ταῦτα ἀπολογήσωμαι, οὔτε ὀνειροσκόπος ἐγώ, οὔτε ἐπίστωρ ὀνείρων· ὅτι μηδέ σχολή ἐμοί τοῖς τοιούτοις καταφαντάζειν τόν νοῦν. Ἐπεί δ' οὕτω μου κατηγορεῖν εἵλεσθε, ὡς καί μάρτυρας παριστᾷν· καί τούτους οὐ τούς εἰδότας, ἀλλά τούς παρά τῶν εἰδότων ἀκηκοότας, ὡς ἐκείνων, φατέ, ἀπολελοιπότων τόν βίον· διά τί μή ἀπ' ἀρχῆς, καί ἔτι περιόντων τῶν πρώτων, τάς περί τῶν ὀνείρων ἀπητεῖτε εὐθύνας; Οὕτω γάρ ἄν αὐτοί τε ἦτε πραγμάτων ἀπηλλαγμένοι, κἀγώ ἄν εἰσεπραξάμην τήν δίκην ἐφ' ὁμολογουμένοις τοῖς πράγμασιν. Ἀλλ', ὡς ἔοικεν, οὔτε ἡ ἀλήθεια οὕτως ἔχει, οὔθ' οἱ κατειπόντες ἡμῶν, τόν ἐτάζοντα καρδίαν ἐν ὀφθαλμοῖς ἔθεντο. Μή γάρ ἴδοιμι τοῦ ἐμοῦ Δεσπότου καί Κυρίου ἐπιφάνειαν, μηδέ Χριστιανός (92) λογισθείην (οὐ γάρ ἄλλο τι ἔχω ἐμαυτῷ ἐπαράσασθαι), εἰ τόν συμπλασθέντα ὄνειρον,ἤ εἶδον ἐγώ ἤ ἀνετυπωσάμην, ἤ ἄλλοις ἐξηγησάμην, ὡς ἑρμαίῳ δῆθεν τῷ πράγματι ἐφηδόμενος."

***ΚΑ΄.***

Εἶτα καί τρίτην αὐτῷ ἐπάγουσι κατηγορίαν, ὡς τήν δευτέραν εἶδον ἐληλεγμένην· ἥν οὐδ' ἐνθεῖναι τῷ λόγῳ δέον ᾠήθην, τῷ πρός τῷ ἀπιθάνῳ καί παιδιώδη εἶναι καί καταγέλαστον. Ἐπεί δ' οὐδέ τετάρτων λόγων καί ψευδολογιῶν οἱ καλοί ἀπέσχοντο δικασταί, εἰσάγουσί τινα Γρηγόριον, εἰρηκέναι λέγοντα ἐν Ῥώμῃ τόν τοῦ ἁγίου μαθητήν, μή ὅσιον εἶναι μηδ' εὔλογον, ἱερέα τόν βασιλέα καλεῖσθαι· ἅτε παρά τοῦ διδασκάλου τοῦτο μεμαθηκότα. Ἀλλ' ὁ ἱερός ἀνήρ, οὐδέ πρός ταῦτα ἀπολογίας ἠπόρησεν, αὐτῷ κατά πρόσωπον Γρηγορίῳ ἀντικαταστάς, καί δείξας, ἄλλα μέν εἶναι τά τότε ὁμιληθέντα, ἄλλά δέ τά νῦν προβαλλόμενα. "Καί ὅτι, φησίν, ἐκείνῳ τήν Ῥώμην καταλαβόντι, περί ἑνώσεως ἦν ὁ λόγος, καί τοῦ τό δεδέχθαι τόν τύπον ἡμᾶς, δι' οὗ τό

θρυλλούμενον δόγμα ἐτυποῦτο καί ἐπεγράφετο. Πρός ἅ δηλαδή καί ἡμῖν οἵ τε λόγοι ἦσαν καί ἀπαντή, τά συνοίσοντα ἑαυτοῖς διεξιοῦσι, καί ἅ λυσιτελῆ ἐνομίζομεν. Διά τοῦτο γοῦν οὔτε ἐμά οἶδα τά νῦν προφερόμενα, οὔτε τοῦ ἐνδιαβαλλομένου μαθητοῦ· ᾧτινι οὐδέν ποτε τοιοῦτον ἐπί Θεῷ μάρτυρι ἐκοινολογησάμην. Πλήν τοῦτο μόνον σύνοιδα εἰρηκώς (οὐ τῷ μαθητῇ, ἀλλ' αὐτῷ δήπου τῷ Γρηγορίῳ· ὅπερ οὐδ' αὐτός παντελῶς ἀρνηθείη, εἰ μή καί ἑαυτόν τελείως ἀρνήσοιτο), ὅτι τό ὁρίζεσθαι περί δογμάτων καί ζητεῖν, ἱερέων μᾶλλον ἤ βασιλέων ἐστί. Ἐπεί καί τούτοις ἀνεῖται χρίειν, καί χειροθετεῖν, καί τόν ἄρτον προσφέρειν, καί θυσιαστηρίῳ παρίστασθαι, καί ὅσα ἄλλα θειότερα πράττειν καί μυστικώτερα. Ταῦτα καί τότε ἐφθεγξάμην, καί νῦν φθέγγομαι. Ἐπί τούτοις βουλόμενος ἤ ἀφιέτω, ἤ κατακρινέτω· οὐ γάρ ἄν ἀδικηθείη ἄνθρωπος παρά ἀνθρώπων, κἄν εἰ τά πάντων δεινότερα πείσοιτο."

***ΚΒ΄.***

Εἶτα μή ἔχοντές τι δρᾶσαι, οἱ τῷ ψεύδει τήν ἐλπίδα τιθέμενοι, ἐξάγουσι μέν τοῦ κριτηρίου τόν δίκαιον, τόν δέ τούτου μαθητήν εἰσάγουσιν Ἀναστάσιον· ὅν λόγοις καί ἀπειλαῖς ἐξεδειμάτουν, τοῦ διδασκάλου κατειπεῖν ἀναγκάζοντες· καί ὡς εἴη τόν Πύῤῥον λελυπηκώς, ὅτ' εἰς λόγους αὐτῷ συνεγένετο, εἰπεῖν ἐκβιάζοντες· οὐκ οἶδα ἀνθ' ὅτου τό τοιοῦτον οἱ ψευδολόγοι συσκευαζόμενοι. Ὡς δέ τἀναντία ἤ αὐτοί προσεδόκων εἰρήκει καί Ἀναστάσιος, καί ὅτι οὐδέν οὔμενουν οὐ μόνον τοῦτον λυπήσοι, ἀλλά καί τιμῇ τιμήσοι τῇ πάσῃ, καί οἷα εὔνουν δοκοῦντα φιλοφρονέστατα δεξιώσοιτο, πυγμαῖς αὐτόν καί κονδύλοις κατά κεφαλῆς καί παρειῶν αἰκίσαντες, καί ταύτην (93) τῆς ἀληθείας εἴσπραξιν διδωκότες, φρουρᾷ καί αὖθις ἐγκλεισθῆναι προστάττουσιν.

***ΚΓ΄.***

Ἄγουσι δέ πάλιν πρός ἑαυτούς τόν ὅσιον, ὥσπερ οὐκ ἀρκούμενοι τοῖς προλαβοῦσι, καί πεῖραν ἄλλην τῷ ἀπειράστῳ προσάγουσιν. Ἡ δέ ἦν, ὡς εἴη στοιχῶν τοῖς τοῦ Ὠριγένους δόγμασι, καί τούτῳ ἐν ἅπασι συμφρονῶν. Ὡς δέ θᾶττον τήν σαθράν ταύτην καί εὐδιάλυτον κατηγορίαν διέλυσε, φάμενος παῤῥησίᾳ, ὡς εἴη Θεοῦ κεχωρισμένος καί τῆς τῶν Χριστιανῶν μοίρας, ὁ τά Ὠριγένους φρονῶν, καί λόγους αὐτοῦ τούς ληρρώδεις παραδεχόμενος· περί τοῦ Πύῤῥου ἐκ δευτέρου καί τῶν τότε λεχθέντων πυνθάνονται, προσωπεῖον ὑποδύντες

χρηστότητος, ἤ εἰδότες, ἤ ἐπί καρδίαν θέμενοι. Εἶθ’ ἑξῆς, καί ὅτῳ τρόπῳ τῆς τοῦ πατριάρχου κοινωνίας ἀπέῤῥηξεν. Ἐφ’ οἷς καί ἄλλας ἐν τῷ μεταξύ πεύσεις καί ἐρωτήσεις προτεινάμενοι, καί τόν παρ’ αὐτοῖς προβαλλόμενον τύπον τιμᾶσθαι δέον ἰσχυρισάμενοι, οὕτω σφόδρα ὑπ’ ἐκείνου βδελυττόμενον καί ἀτιμαζόμενον· καί ἁπλῶς ὅσα τούτοις ἐδόκει ἄφυκτά τινα, καί ταῖς ἀπαντήσεσι δύσληπτα παρενθέμενοι, καί μήτε ἀπειλῶν τῶν κατ’ αὐτοῦ, μήτε ὕβρεων ἀποσχόμενοι· τέλος ὡς εἶδον ἑαυτούς ἡττωμένους ἐν ἅπασι, καί οἰκείοις, τό τοῦ λόγου, πίλοις [πτίλοις] ἁλισκομένους· τό συνέδριον λύσαντες, αὐτοί σπουδῇ πρός τόν βασιλέα εἰσῄεσαν, τήν τοῦ ἀνδρός ἔνστασιν, καί τό ἐν λόγοις ἀήττητον προσαγγέλοντες, καί ὅτι Μάξιμον οὐδείς ἄν πείσοι συνθέσθαι τοῖς ἡμετέροις, κἄν κολάζειν ἐπιχειροίη.

***ΚΔ΄.***

Χρόνος τό ἀπ’ ἐκείνου βραχύς, καί ἀφικνοῦνται πρός αὐτόν ἕτεροι, ἔμφρουρον ἤδη τυγχάνοντα· οἰόμενοι τάχα τῷ συχνά προσβάλλειν, καί λόγοις δεδίττειν μαλακωτέρῳ ἐντεύξεσθαι. Ἔφασκον δ’ οἱ ἀφιγμένοι πρός τοῦ πατριάρχου ἐστάλθαι· οἵ καί ταῦτα, ὡς εἶχον, προὔτειναν τῷ ἁγίῳ· "Ποίας εἶ, φασίν, ὦ οὗτος, Ἐκκλησίας;" αὐτοῖς γάρ τοῖς ἐκείνων χρήσομαι ῥήμασι·"Βυζαντίου, Ῥώμης, Ἀντιοχείας, Ἀλεξανδρείας, Ἱεροσολύμων; Ἰδού πᾶσαι μετά τῶν ὑπ’ αὐτάς ἐπαρχιῶν ἡνώθησαν. Εἰ τοίνυν εἶ τῆς Καθολικῆς καί αὐτός Ἐκκλησίας, ἑνώθητι, μήπως ξένην ὁδόν τῷ βίῳ καινοτομῶν, πάθῃς ἅπερ οὐ προσδοκᾷς." Πρός οὕς ὁ μακάριος πῶς ἄν εἴποις ἐπικαίρως καί συνετῶν ἀποκρίνεται· "Καθολικήν Ἐκκλησίαν, τήν ὀρθήν καί σωτήριον τῆς πίστεως ὁμολογίαν, ὁ Κύριος εἶναι εἰπών, ἐπί τούτῳ καί Πέτρον καλῶς ὁμολογήσαντα, ἐμακάρισεν· ἐφ’ ᾧ καί τήν τοιαύτην οἰκοδομήσειν Ἐκκλησίαν, ὁ τῶν ὅλων Θεός ἀπεφήνατο. Πλήν βούλομαι μαθεῖν τήν ὁμολογίαν, ἐφ’ ᾗ πᾶσα ἡ τῶνἘκκλησιῶν γέγονεν ἕνωσις· καί εἰ καλῶς τοῦτο γέγονεν, οὐδ’ αὐτός ἀλλοτριοῦμαι."

***ΚΕ΄.***

(96) Πρός ὅν οἱ ἀπεσταλμένοι, "Κἄν οὐκ ἔχωμεν, εἶπον, περί τούτου κέλευσιν, ὅμως ἐροῦμεν, διά τό εἶναί σε παντελῶς ἀπροφάσιστον. Δύο λέγομεν ἐνεργείας διά τήν διαφοράν, καί μίαν διά τήν ἕνωσιν." Ὁ δέ φησι· "Τάς δύο, διά τήν ἕνωσιν μίαν φατέ γεγενῆσθαι, ἤ παρά ταύτας ἑτέραν; - Οὔ, φασίν οὗτοι, ἀλλά τάς δύο

μίαν διά τήν ἕνωσιν. -Ἀπηλλάγημεν, ἔφη, πραγμάτων, ἑαυτοῖς ἀνυπόστατον πίστιν, καί Θεόν ἀνύπαρκτον πλάσαντες. Εἰ γάρ εἰς μίαν συγχέομεν τάς δύο διά τήν ἕνωσιν, καί πάλιν εἰς δύο διαιροῦμεν τήν μίαν διά τήν διαφοράν, οὐκ ἔσται μονάς οὔτε δυάς ἐνεργειῶν· ὑπ' ἀλλήλων ἀναιρουμένων ἀεί, καί ποιουσῶν ἀνενέργητον, τόν ᾧ προσπεφύκασι, καί παντελῶς ἀνύπαρκτον. Τό γάρ μηδέ μίαν ἔχων ἐκ φύσεως ἀναφαίρετον, καί μηδενί λόγῳ τροπῆς ἀλλοιουμένην καί μεταπίπτουσαν κίνησιν, πάσης οὐσίας ἐστέρηται, κατά τούς Πατέρας· οὐκ ἔχον ἐνέργειαν οὐσιωδῶς αὐτό χαρακτηρίζουσαν. Τοῦτο τοίνυν λέγειν οὐ δύναμαι, οὐδέ ἐδιδάχθην ἐκ τῶν ἁγίων Πατέρων ὁμολογεῖν· δοκοῦν οὖν ὑμῖν οὖσιν ἐξουσιασταῖς, ποιήσατε."

***Κστ΄.***

Οἱ δέ μή ἔχοντες πρός ταῦτα ἀντειπεῖν, τό δόξαν τοῖς κρατοῦσι τούτῳ προσεπιφέρουσιν· ὡς εἴη, φάσκοντες αὐτόν ἀναθέματι μή πειθόμενοι ὑποβληθῆναι, καί θάνατον αὐτῷ τόν ὁρισθέντα προσαπενέγκασθαι.Ὁ δέ πράως οὕτω καί ταπεινῶς, "Τό τῷ Θεῷ, φησίν, ὁρισθέν ἐπ' ἐμοί, νῦν δέξοιτο πέρας, φέρον αὐτῷ δόξαν πρό παντός ἐγνωσμένην αἰῶνος." Ἀλλά τέως μέν ἀναβάλλονται τά ἐξενηνεγμένα· συμβούλιον δέ ποιησάμενοι βασιλεύς ἅμα καί πατριάρχης, οὐδέν ἧττον ἤ Πιλάτος καί Ἰουδαῖοι ἐπί τῷ ἐμῷ Ἰησοῦ, κατακρίνουσιν ἐξορίᾳ τόν δίκαιον· ἐπί τι πολίχνιον, Βυζύη οὕτω καλούμενον, θᾶττον ἀπαγόμενοι· ἐν ταυτῷ δέ καί τόν μαθητήν Ἀναστάσιον, εἴς τινα τόπον ἐκτόπως φαῦλον, καί τῆς Ῥωμαίων ἀρχῆς ἔσχατον, μόνον ἀπενεγκάμενοι (Πέρβερις οὕτω πως γλώσσῃ βαρβάρῳ ὁ τόπος ὠνόμασται)· τά ἴσα δηλαδή καί τῷ αὐτοῦ δράσαντες συνωνύμῳ, τῷ τῆς Ῥώμης ἀποκρισιαρίῳ φημί.

***ΚΖ΄.***

Καί δή ἡμερῶν συχνῶν διαγενομένων, πέμπουσιν ἐν ἐξορίᾳ πρός τόν ἅγιον Θεοδόσιον ἐκεῖνον τόν Καισαρείας ἐπίσκοπον, καί Παῦλον καί Θεοδόσιον ἕτερον, τήν τοῦ ὑπάτου ἀμφοτέρους περικειμένους ἀξίαν· οἵ καί αὐτοί, πολλούς μέν καί ποικίλους τῷ μακαρίῳ προὔτειναν λόγους· νῦν μέν κολακευόντες, νῦν δ' ἀπειλοῦντες· νῦν δέ καί πρός τό πύθεσθαι διερωτῶντες. Ὧν καί τήν ἀνά μέρος ὑφήγησιν, τό ἐκτεθέν πρός τοῦ καλοῦ Ἀναστασίου, καθά μοι καί ἀνωτέρω εἴρηται, διεμφαίνει ὑπόμνημα. Οὐκ ἄκαιρον δέ ἴσως καί ἡμῖν ὀλίγα καί ἀπό τούτων ἐρεῖν, ποιουμένοις κἀνταῦθα κατ' ἐπιδρομήν τήν

διήγησιν. (97) Οὕτω γάρ ἄν μᾶλλον, τό ἐν πᾶσιν ἀνάλωτον τοῦ ἀνδρός καταμάθοιμεν, ὅτι καί πολλῶν ὄντων τῶν τινασσόντων, καί διασαλεύειν πολυτρόπως ἐπιχειρούντων, αὐτός οὐδέν ἧττον ἀκλινής ἔμενε, στεῤῥός ὅλος καί τό φρόνημα ἄτρεπτος.

***ΚΗ΄.***

Ἀλλά γάρ ἴδωμεν οἷα οἱ ῥηθέντες οὗτοι τῷ ἁγίῳ προσφέρουσι. Τά κατ' αὐτόν ὅπως ἔχοι, πρῶτον διαπυνθάνονται· φιλικήν δῆθεν ταύτην, ἤ κολακικήν μᾶλλον εἰπεῖν, τήν πεῦσιν τούτῳ προσάγοντες. Ὡς δ' ἔφη οὗτος· "Καθά προεγνωσμένον τε καί προωρισμένον ἐστί τῷ προνοητικῷ τοῦ Θεοῦ τό περί αὐτόν τῆς βιοτῆς πέρας, οὕτως δή καί ἔχοιμι·" αὖθις ἀντερωτῶσιν αὐτοί· "Τί τό προγνῶναι αὐτό, καί τί τό προωρίσθαι δηλοῖ, καί τί τό τῶν ἑκατέρων διάφορον." Τοῦ δέ φάντος, τό μέν, τῶν ἐν ἡμῖν εἶναι, ἐννοιῶν τέ φημι, καί λόγων, καί ἔργων, τό προγνῶναι· ἐξ ὧν αἱ ἀρεταί καί αἱ κακίαι ἡμῖν ἐπεισίασι· τό δέ, τῶν οὐκ ἐφ' ἡμῖν, ἀλλά τῶν ἔξωθεν ἐπισυμβαινόντων ἀκουσίως, τό προωρίσθαι· ἐπιφορῶν τε δήπου παντοίων, καί ἄλλων κολαστικῶν τρόπων· καί ἁπλῶς περί ἑκάστου τούτων τοῦ θεοληπτικωτάτου διεξελθόντος· καί ποῖαι μέν τῶν θλίψεων, δι' ἔκτισιν ἁμαρτιῶν, διελθόντος· ποῖαι δέ διά δοκιμασίαν, ἤ καί οἰκονομίαν δικαίως ἡμῖν, καί ὡς οὐκ ἄν εἴποι τις ἄλλως, συμφερόντως ἐπάγονται· ἐκεῖνοι τούτων τέως ἀφέμενοι, περί ὧν ἥκοντες ἦσαν ἀντεπῆγον τούς λόγους· πρός κοινωνίαν αὐτόν, ἐκκαλούμενοι, καί ὧν ἔδρασαν, συγκατάθεσιν. Ὡς δέ οὗτος τήν γενομένην τῇ Ἐκκλησίᾳ ἀνθυπέφερε καινοτομίαν, καί τήν τῆς πίστεως σύγχυσιν· τηνικαῦτα καί ὁ Καισαρείας Θεοδόσιος πρός διάλεξιν αὐτῷ ἐπισυνίσταται, καί ὡς οὐδέν ἐναντίον παρά τούτοις πρεσβεύοιτο, οὐδ' ἔκφυλον καί τοῦ ὀρθοῦ λόγου ἀλλότριον, μάλα ἐνστατικῶς προὔφερε· τήν ἐνέργειαν καί τό μονοθέλητον ἐκεῖνο θέλημα συγκροτῶν, καί ὑπερμαχόμενος.

***ΚΘ΄.***

Ἀλλά τήν ἐν τοῖς τοιούτοις ἀτοπίαν ὁ ὅσιος διελέγξας, καί ὡς εἰ μία ἐνέργεια, φησίν, δύο θείη ἐπί θεότητος λέγεσθαι καί ἀνθρωπότητος, συγχυθήσεται πάντως καί ὁ τῆς θεολογίας καί ὁ τῆς οἰκονομίας λόγος· καί τό ἄτοπον, τετράς ἔσται ἡ τριάς, τῷ ὁμοφυῆ τῷ Λόγῳ, γενέσθαι τήν σάρκα· εἴπερ, κατά τούς Πατέρας, " Ὧν οὐσία μία, μία ἔσται καί ἐνέργεια." Ἀλλά μήν καί τά γνωριστικά καί συστατικά τῆς τε θεότητος καί ἀνθρωπότητος ἀφαιρεθήσεται, ἤ καί εἰς τελείαν ἑκατέρα

χωρήσει ἀνυπαρξίαν· τῷ μήτε μίαν, μήτε δύο τάς ἐνεργείας ἤ τάς θελήσεις, ἐξόν ἤ νοεῖσθαι ἤ λέγεσθαι κατά τούς ὑμετέρους τούτους λόγους, καί τήν καινήν δογματοποιίαν· καί πολλά ἕτερα τῷ λόγῳ προσθείς, ὥσπερ ἀπορήσας ὁ Θεοδόσιος, " Ἀλλά τό δι' οἰκονομίαν, φησί, γεγενημένον οὐ δέον ὡς κύριον δόγμα λαμβάνειν, καθά καί (100) νῦν ὁ παρ' ἡμῶν προτεινόμενος τύπος, οἰκονομικῶς γεγένητο, ἀλλ' οὐ δογματικῶς."Τοῦ δέ ὁσίου, "Οὔτ' εὔλογον, οὔτε δίκαιον ταῖς τοιαύταις καινοτομίαις συμφέρεσθαι, ὑπειπόντος, καί ὡς ψευδοδιδασκάλων τό τοιοῦτον καί ἀπατεώνων, οἷς οὐδέ πείθεσθαι χρή, ἀλλ' ἐκκλίνειν, ὡς ἐγχωροῦν, καί ἀποδιίστασθαι, ἵνα μή καί δόξωμεν κακόν τι τῆς τούτων συνουσίας παραπολαύειν·" ἐνεοί ὥσπερ ἐπί τοῖς λαληθεῖσιν οὗτοι γενόμενοι, σιγῶντες ἦσαν ἐφ' ἱκανοῦ, καί τάς κεφαλάς κάτω κύπτοντες.

Λ΄.

Ἀλλά πάλιν ὁ Θεοδόσιος ἐφ' ἑαυτοῦ γεγονώς, καί πεύσεις ἑτέρας κατά σχολήν συναγηοχώς, ἅς καί ὡσεί τινας ἀκροπόλεις ἀκαθαιρέτους ἑαυτῷ ᾤετο διαμένειν· ταύτας οὖν τάς ῥήσεις προτεθεικώς, καί παραδοχήν φωνῶν τινων ἁπλῶν· καί παραδέχεσθαι τόν Μάξιμον ταύτας ἰσχυρισάμενος· πρός δέ, καί ζητήσεις ἄλλας περί τε ὑποστατικῆς ἐνεργείας, καί φυσικῆς τινος καί σχετικῆς θελήσεως κεκινηκώς, ὧν καί ὁ λόγος μακροτέρας δεῖται, καί οὐ κατά τόν παρόντα λόγον, τῆς διηγήσεως· ἐπεί οὖν ἐκεῖνος μέν ταῦτα, ὁ δ' ὅσιος, πᾶσαν τήν ἐν λόγοις αὐτοῦ καί λογισμοῖς προβολήν μάλα ῥᾳδίως ἔτυχεν ἀνατετραφώς· τέλος ἀποκαμών οὗτος, καί μή ἔχων τέως ἀντιφθέγξασθαί τι πρός τά παρόντα τρόπον ἕτερον πειρᾶται τόν ἅγιον ἐφελκύσαι· φιλικώτερον τούτῳ δήπου προσομιλῶν, καί ὡς βούλοιτο ἄν καί αὐτός, τά ἐν μέσῳ ἐξαιρεθῆναι σκῶλά τε καί προσκόμματα, καί τήν προτέραν εἰρήνην τῇ Ἐκκλησίᾳ ἀποδοθῆναι. Ὅπερ οὐκ ἄν, φησί, γένοιτο ἄλλως, εἰ μή καί πρός τούς ἐν Ῥώμῃ ἀφικοίμεθα ἤδη, καί ἐπί συμβάσεις καί διαλλαγάς τούτους ἐκκαλεσοίμεθα· τό ἕν δηλαδή σύν ἐκείνοις καί πνεύσαντες, καί φρονήσαντες. Ἐφ' ᾧ καί μᾶλλον ὁ ἅγιος εὔθυμος γεγονώς, πῶς ἄν εἴποις αὐτόν πρός τά εἰρημένα διατεθήσεσθαι· ποίαις δ' εὐθημίαις τόν εἰρηκότα οὐ διαμείψασθαι. Ὅς γε καί οὕτω πονήρως ἔχων τοῦ σώματος, τῷ ἀσκήσει ἅμα καί γήρᾳ ἐκτετρυχῶσθαι, πρόθυμος ἦν ὅμως καί τῇ Ῥώμῃ αὖθις ἐπιφοιτῆσαι, καί συνάμα αὐτοῖς τά λυσιτελῆ

καταπρᾶξαι· "Μόνον ἔργον γένοιτο, φησί, τοῦτο, ἀλλά μή λόγος εἴη λελεγμένος τηνάλλως."

*ΛΑ΄.*

Τοῦ δέ Θεοδοσίου καί ὅρκῳ τά εἰρημένα ἐπιβεβαιώσαντος, καί χερσί τῶν ἀχράντων Εὐαγγελίων προσψαύσαντος, εἰ καί οὐδέν ὁ ἀσύνετος τούτων διεφυλάξατο, οἷα τοῖς τῶν κρατούντων θελήμασι συνελκόμενος· ἔτι μᾶλλον ὁ ὅσιος εὔθυμος ἦν, ὅλον ἑαυτόν πρός τήν ἀποδημίαν συντείνων, καί τά συνοίσοντα αὐτοῖς τε καί τοῖς κατά Ῥώμην σκοπῶν. Εἶθ' ὡς ἐκεῖθεν ἔμελλεν ἀπαίρειν ὁ Θεοδόσιος, ἵνα καί τοῖς κατά τήν βασιλίδα περί τούτων κοινωνήσοιτο, ἀσπασμῷ αὖθις τόν ὅσιον δεξιωσάμενος· καί τι καί στιχάριον αὐτῷ καί φαιόν ἀναδεδωκώς τριβώνιον, οὕτως τήν (101) Βυζαντίδα εἰσέρχεται, μεθ' ἅμα καί τῶν δύο ὑπάτων, οἵ τούτῳ συνείποντο.

*ΛΒ΄.*

Ὀκτώ δέ τό ἀπ' ἐκείνου διῆλθον ἡμέραι, καί Παῦλος τῇ τοῦ ὑπάτου καί αὐτός ἀξίᾳ τετιμημένος, πρός τόν ἅγιον ἔξεισι· προσταχθέν τούτῳ παρά βασιλέως, σύν αἰδοῖ τόν ὅσιον καί σεβάσματι, οἷα φίλον καί συνήθη καί τῶν ἑαυτοῦ προγόνων τυγχάνοντα, τῆς Βιζύης ἀναλαβεῖν, καί πρός τι τῶν ἐν τῷ Ῥηγίῳ μοναστηρίων, ὅ τοῦ ἁγίου προσωνόμασται Θεοδώρου, τοῦτον μετακομίσαι. Καί τῇ ἑξῆς φοιτῶσι πρός αὐτόν Ἐπιφάνιος καί Τρωΐλος, πατρικίων ἀμφότεροι ἀξίωμα περικείμενοι, σύν ἅμα καί τῷ Καισαρείας Θεοδοσίῳ· ὅν καί τά εἰρημένα ἐμπεδώσειν ὁ ἅγιος ἔμενε, μή ἐκείνου τό ὕπουλον φωρασάμενος, ὁ τήν διάνοιαν ἀδολώτατος· οἵ δή καί αὐτοί πλεῖστα τῷ ὁσίῳ διομιλησάμενοι, τά παρά τοῦ βασιλέως ἐπαγγειλάμενοι, ὡς καί πατέρα θήσειν ἑαυτοῦ καί ἀνώτερον δείξειν πάντων ὑπισχνουμένου, μόνον εἰ γένοιτο τούτῳ ἑνωθῆναι καί συνελθεῖν, καί κοινῇ σύν αὐτοῖς ἑλέσθαι τά δεδογμένα· καί ὅτι τούτου ἀποδιισταμένου καί στασιάζοντος, καί Ἀνατολή μικροῦ πᾶσα καί Δύσις συστασιάζει καί συναφίσταται· καί ἄλλα πρός τούτοις, ἅ πρός ἐκείνων εἶναι ἐδόκει, εἰπόντες καί προβαλ(λ)όμενοι, τόν ἀτύπωτον ἐκεῖνον τύπον, ἄνω καί κάτω ἐν οἷς ἔλεγον πᾶσι προσεπιφέροντες· ἐπεί ἔγνωσαν ἤδη οὐδέ βραχύ τόν ὅσιον τῶν παρ' ἐκείνοις λόγων ἐπιστρεφόμενον, τοῦτο πρό τῶν ἄλλων μέγα ἀνακεκραγότα, ὅτι "Πᾶσα ἡ τῶν οὐρανῶν δύναμις, τό παρ' ὑμῖν πρᾶξαι οὐ πείσει με· τί γάρ, φησι, ἀπολογήσομαι, οὐ τῷ Θεῷ λέγω, ἀλλά τῷ ἐμῷ συνειδότι, εἴ γε διά δόξαν ἀνθρώπων τήν

οὐδέν πρός ὕπαρξιν ἔχουσαν, τήν σώζουσάν με πίστιν ἐξομόσομαι ἤδη;"

*ΛΓ΄.*

Ἐπεί οὖν ἐκεῖνον οὕτως ἔχοντα ἔγνωσαν, καί μάλιστα καί τῷ Θεοδοσίῳ ἐπιμεμφόμενον, μάτην οὕτω καί ἐπί κακῷ τῷ σφετέρῳ τούς λόγους καί τούς ὅρκους προϊσχομένῳ, τότε ἀναστάντες οὗτοι σπουδῇ, τά ἑαυτῶν ἔπραττον, καί οἷα ἄν τοιοῦτοι πράξειαν ἄνθρωποι. Οἱ μέν γάρ αὐτόν πυγμαῖς, ὢ χειρῶν ἀνοσίων! ᾔκιζον, παραθήγοντες καί τούς συνεπομένους πρός τήν τόλμαν ὑπηρέτας· οἱ δ' ἐκολάφιζον· ἄλλοι ῥαπίσμασι καί ὠθισμοῖς ἔβαλλον· οἱ δέ, καί εἰς τό τούτου ἐνέπτυον πρόσωπον, καθά καί τόν ἐμόν Ἰησοῦν οἱ στρατιῶται καί δῆμος ὁ ἄνομος· ὅν οὐ πρίν ἀνῆκαν τοῖς πτύσμασιν οἱ ἀληθῶς κατάπτυστοι ἐπιπάττοντες, πρίν τό πρόσωπον ἅπαν τῶν πτυέλων ἐμπλῆσαι, καί ῥάκια αὐτά κατακλῦσαι· ὡς καί τῷ πλήθει τῶν καταφερομένων σιέλων, δυσωδίαν οὐχ ὅπως καί φορητήν ἐγγίνεσθαι· ἧς ἄλλος μέν οὐδείς, μόνοι δ' οἱ δυσώδεις ἐκεῖνοι καί ἐξάγιστοι, ὀσφραίνεσθαι ἄξιοι· καί οὐκ ἄν ἐπαύσαντο οὕτω (104) δρῶντες οἱ ἀναιδέστατοι, εἰ μή ὁ Καισαρείας Θεοδόσιος, τάς τούτων ἐπισχών ὁρμάς, πρός ἄλλα τετράφθαι ἀποίησεν. Οἵ καί ὡς μηδέν δεδρακότες, οἱ πῶς εἴποιμι καί κυνῶν ἰταμώτεροι, πάλιν μεταβραχύ, ἐρωτήσεις καί πεύσεις, καί ἄλλα ἄττα ληρήματα τῷ ἁγίῳ προσῆγον· ὡς δ' ἀνήνυτα τά παρ' αὐτῶν ἑώρων καί ἄπρακτα, εἰκῇ μόνον πονοῦντες καί ματαιάζοντες, ὕβρεις αὐτοῦ τάς οὐδέ λόγῳ ῥητάς καταχέαντες, καί εἴ τι τῶν χρειωδῶν τούτῳ καί ἀναγκαίων ἐτύγχανεν ἀφελόμενοι, ἐκεῖθεν ἀναχωροῦσιν οἱ δύστροποι.

*ΛΔ΄.*

Μετά δέ τινα χρόνου παραδρομήν, εἰσάγουσιν αὐτόν ἐν Κωνσταντινουπόλει, σύν αὐτῷ καί τόν μαθητήν Ἀναστάσιον εἰσάγοντες· πρός δέ, καί τόν ἕτερον Ἀναστάσιον, ὅν καί ἀποκρισιάριον ἔφαμεν. Καί ἀραῖς κατ' αὐτῶν χρησάμενοι, οἱ ἐπίῤῥητοι οὗτοι καί ἐπάρατοι, καί ἀναθέματι ὑποβαλόντες (οὐκ αὐτούς μόνον, ἀλλά ἅπαντας ὀρθοδόξους, τούς τε περιόντας, καί τούς ἀπελθόντας) παραδιδόασι τότε τοῖς ἐπί τό κολάζειν τεταγμένοις, ὡς ἄν τά ἐξενηνεγμένα κατ' αὐτῶν διαπράξοιντο· τό μέν ζῆν δῆθεν τούτοις οὐ παντάπασιν ἀφαιρούμενοι, ἵν' ᾖ τι καί τοῖς ἀφιλανθρώποις φιλάνθρωπον, πικρότερον δ' αὐτοῦ θανάτου τάς τιμωρίας

προσεξεργάζοντες. Ὁ γάρ τῆς πόλεως αὐτούς παραλαβών ἔπαρχος, καί ἐν τῷ πραιτωρίῳ εἰσαγαγών, πρῶτα μέν τόν θεῖον Μάξιμον ἐκ τεσσάρων τείνας, νεύροις ἀπεσκληκόσιν ἐκέλευε τύπτεσθαι· μή γῆρας αὐτοῦ κατοικτίσας ὁ μιαρός, μή τά κατεῤῥικνωμένα τῶν σαρκῶν μέλη, μή σῶμα ἐκεῖνο τό νηστείᾳ καί πόνοις δαπανηθέν· ἀλλ' οὕτως ὠμῶς ἔξαινεν, ὡς καί τῷ πλήθει τοῦ καταῤῥέοντος αἵματος, τό ὑποκείμενον ἔδαφος ἅπαν φοινίξαι, καί σάρκας πάσας δαπανῆσαι, καί μηδέ βραχύ τῶν μελῶν ὑγιές ἐναπολιπεῖν.

***ΛΕ΄.***

Εἶτα ὁ θηριώδης, καί πρός τόν αὐτοῦ μέτεισι μαθητήν· ἑξῆς δέ καί πρός τόν ἐκείνου συνώνυμον, πολλάς καί αὐτοῖς ἐπιθείς τάς πληγάς, καί μωλώπων ὑποπλέους ἀπεργασάμενος· ἐπιστήσας τούτοις καί κήρυκας, ταῦτα μαστιζομένοις ἐπιβοῶντας· "Οἱ τοῖς βασιλικοῖς ἀπειθοῦντες θεσπίσμασι, καί ἀνένδοτοι μένοντες, οὕτω παθεῖν ἄξιοι." Οὕς δή καί μικρά πνέοντας, φέροντες τῇ εἱρκτῇ ἐναπέῤῥιψαν.

***Λστ΄.***

Καί τό ἑξῆς παριστῶσι τόν ὅσιον συνάμα καί τῷ μαθητῇ, ὅλον τοῖς μώλωψιν ἐστιγμένον, ὅλον ἐξῳδηκότα, ὅλον ταῖς πληγαῖς ἐμφλεγμαίνοντα· ὅν καί οὕτως ὀδυνῶν ἔχοντα, δρᾶσαι ὅμως ἐπ' αὐτόν καί ἄλλα χείρω οὐκ ἀπέσχοντο, τήν φύσιν παντάπασι διωσάμενοι. Γλῶσσαν γάρ ἐκείνην τήν θεολόγον, καί τούς λόγους ὑπέρ ποταμούς βλύσασαν, ἔνδον ἀπό τοῦ φάρυγγος καί τῆς παραψαυούσης ἐπιγλωττίδος, (105) παρανόμως ἐκτέμνουσιν· ὡς ἄν τοῦ φωνητικοῦ ἀφαιρεθέντος ὀργάνου, συναφαιρεθείη καί λόγος τούτῳ καί διδασκαλία· καί σιγῶν εἴη ἄφθογγος. Ἀλλ' οὐκ ἔμελλες, ὦ καλέ Μάξιμε, καί τήν γλῶσσαν τεμνόμενος, σιωπᾶν· οὐδέ λόγους ἐκείνους τούς ἡδίστους μή κελαδεῖν· ἀλλ' ὁ γλῶσσαν καταρτίζων νηπίων, καί ἄλαλον θείς φθέγξασθαι καί κωφόν, αὐτός καί σέ παρά δόξαν καί φθέγγεσθαι πεποίηκε, καί λαλεῖν, καί μεῖζον ἤ πρόσθεν διηρθρωμένους τούς λόγους προΐεσθαι.

***ΛΖ΄.***

Ἐπεί δέ τό αὐτό κἀν τῷ μαθητῇ Ἀναστασίῳ ἔδρασαν, καί γλῶσσαν κἀκείνῳ ἔνδον ἀπέτεμον, ἡ αὐτή ἦν καί τοῦτον ἐνισχύουσα χάρις· καί λόγον διδοῦσα δίχα τοῦ φωνοῦντος ὀργάνου, πολύν τινα τοῦτον παραδόξως καί ἄφθονον. Ἐφ' ᾧ καί μείζονι φθόνῳ πληγέντες οἱ

μιαροί, καί ἄλλην τοῖς γενναῖοις καινοτέραν βάσανον προσεπῆγον· ὥσπερ ἀδικεῖν νομίζοντες, εἰ μή πᾶσαν πεῖραν δεινῶν ἐπί τούτοις κινήσαιεν· οὕς καί πολλῷ βέλτιον ἦν θανάτῳ ὑπεξαγαγεῖν, καθό καί ἦν ἐκείνοις δοκοῦν, ἤ οὕτω παραδοῦναι κολάσεσι. Σχοίνοις γάρ λεπταῖς τόν μακάριον ἐνειλίσαντες, καί στρέβλαις πανταχόθεν πιέσαντες, σμίλῃ καί σφύρᾳ τήν δεξιάν τῶν χειρῶν ἀποκόπτουσι, καί ἐπ' ἐδάφους ῥίπτουσιν· εἶθ' ὡς εἶχον, καί πρός τόν σύναθλον μετίασιν Ἀναστάσιον· τήν ἴσην κἀκεῖνον τιμωρίας εἰσπράττοντες, ἵν' ἔχοι πάντως καί τῆς ἴσης δόξης τήν παραπόλαυσιν. Οὕς καί ἀγλώττους καί ἄχειρας ἐκβαλόντες τοῦ πραιτωρίου, εἷλκον καί περιῆγον κατά τήν ἀγοράν, τά κεκομμένα θεατρίζοντες μέλη, καί κραυγαῖς ἀσήμοις χρώμενοι· καί τωθασμοῖς αὐτούς καί σκώμμασι βάλλοντες. Ἐφ' ᾧ καί μετά τήν ἄτιμον ἐκείνην περιαγωγήν, ἐξορίᾳ μακροτάτῃ παραδιδόασι· μεθ' ἅμα καί τοῦ ἀποκρισιαρίου Ἀναστασίου· τοῦτο γε μόνον καλῶς ποιησάμενοι τούς ἁγίους, οἱ ἐναγεῖς, ἑαυτῶν ἀποδιαστείλαντες.

***ΛΗ΄.***

Ἀλλά γάρ ἡ θεία οὐκ ἠμέλει δίκη, καίτοι μακροθυμοῦσα ὡς τά πολλά· ἀλλά τιμωρίαν μετά μικρόν τόν παρανομίσαντα βασιλέα εἰσέπραξε· πόῤῥω ἐκτοπίσασα, καί εἰς τήν ἐν Σικελίᾳ Συράκουσαν τόν οἴκτιστον δοῦσα θάνατον ἀπενέγκασθαι. Τοῖς γάρ Βυζαντίοις δι' ἅ ἔδρασεν ὁ μίσους ἄξιος μισηθείς, καί ἔχθιστος μάλα γεγενημένος· δείσας μήτι καί πάθοι πρός τούτων κακόν, μετά συζύγου καί παίδων ἐκεῖσε ἀφίκετο· ᾧ δή καί ἐν βαλανείῳ λούσασθαι εἰσελθόντι, τῶν τις ὑπηρετούντων καιρίαν δούς κατά κεφαλῆς, τό τε κρανίον ἅπαν συνέτριψε, καί τῷ δυστήνῳ τήν ζωήν προσαφείλετο. Ἐπεί δ' ὁ τούτου υἱός Κωνσταντῖνος ὅς ἐκαλεῖτο, μετά Ἡρακλείου καί Τιβερίου τῶν ἀδελφῶν ἐπί τῶν σκήπτρων κατέστη, ἔγνω δεῖν αὐτός μή τήν ἴσην πατρί πεπορεῦσθαι, ἵνα μή τῶν ἴσων καί ἀντιτύχοι· ὅθεν καί τούς ἁπανταχῇ συναθροίσας Πατέρας, καί σύνοδον μεγάλην κροτήσας, ἤ καί ἕκτη τῶν οἰκουμενικῶν λέγεται· πολλά μέν καί ἄλλα ἐν αὐτῇ μνήμης ἄξια (108) κατεπράξατο, καί διττάς δή τοῦ Χριστοῦ θελήσεις καί ἐνεργείας, ἐπί τῶν δύο φύσεων τρανώτερον διεξήρυξεν· ἀρᾷ καί ἀναθέματι καθυποβαλών τούς τό μονοθέλητον ἐκεῖνο δόγμα παρεισάγοντας καί πρεσβεύοντας. Τοῦτο δέ πρότερον ἐν Ῥώμῃ καί ὁ ταύτης πρόεδρος Ἀγάθων, ὅς καί μετά Μαρτῖνον τῷ θρόνῳ ἐπικαθιδρύθη, θείῳ κινούμενος Πνεύματι ἔπραξεν· ἐπαράτους καί τῆς

Ἐκκλησίας ἐκπτύστους τούς τά παράνομα δεδρακότας καί οὗτος καταστησάμενος. Ἀλλά ταῦτα μέν ὕστερον.

***ΛΘ΄.***

Ἐπεί δ' ὡς ὁ λόγος ἔφη, πρός τήν ὑπερορίαν τόν θεῖον ἀπήνεγκαν Μάξιμον, πολλά μέν συνέβη τοῦτον παθεῖν κατά τήν ὁδόν, καί πολλάς ὑπομεῖναι τάς ἀλγηδόνας, οἷα μήτ' εἰς ὑποζύγιον, μήτ' εἰς λεκτίκιον καθεσθῆναι δυνάμενον· τῷ πάντη κατειργάσθαι τοῖς πόνοις, καί ταῖς μυρίαις τετρυχῶσθαι ὀδύναις. Ἀμέλει καί εἴς τι χαλάδριον βέργεσι πεπλεγμένον τοῦτον ἐνθέμενοι, μόλις καί κόπῳ διαβαστάζοντες, τήν μακράν ὁδόν ἐκείνην ἀπήγαγον· ὅν καί εἰς ἕν τῶν κατά τήν Ἀλανίαν κάστρων, Σχίμαριν οὕτω λεγόμενον, ἔμφρουρον ποιησάμενοι, εἴασαν αὐτόν παντάπασιν ἀτημέλητον. Ἐπεί δέ καί τόν καλόν μαθητήν μετά τοῦ συνωνύμου αὐτοῦ τήν αὐτήν ὁδόν ἤλαυνον, διαιροῦσι μέν ἀμφοτέρους τοῦ διδασκάλου· διαιροῦσι δέ καί αὐτούς ἀπ' ἀλλήλων· ἕνα πρός ἕνα πολλούς διαμείβοντας τόπους, καί πόῤῥω που τῆς τῶν Ἀβασγῶν χώρας ἀπαγομένους · ἐξ οὗ καί τόν ἕνα αὐτῶν τῇ πολλῇ ἀπειρηκότα κακοπαθείᾳ, καί αὐτήν τήν πνοήν διαφεῖναι, ἥ μόνη τούτῳ περιελείπετο· καί μηδ' αὐτήν ἐγνῶσθαι ἀκριβῶς τήν ἡμέραν καθ' ἥν τῶν ὧδε μετέστη, ὡς ὁ τούτου εἰρήκει ὁμώνυμος· ἀποκρισιάριός φημι Ἀναστάσιος.

***Μ΄.***

Ἀλλά γάρ τῷ θείῳ Μαξίμῳ τῷ κατά τήν Ἀλανίαν ἤδη κάστρῳ ἐγκαθειρμένῳ, θεία τις ἐπιφοιτᾷ ἄνωθεν ὄψις· τήν τε ἡμέραν αὐτῷ δηλοῦσα τῆς τελευτῆς, καί πρός τάς ἐκεῖθεν μετακαλουμένη σκηνάς· Ἐπεί δέ καί ἡ ἡμέρα καταλάβοι ἐκείνη· ἡ δέ ἦν ἡ τρισκαιδεκάτη τοῦ Αὐγούστου μηνός, ἀφίησι μέν τά ἐνταῦθα, πρός δέ τούς οὐρανούς ἀνατρέχει, ὁ τῶν οὐρανῶν ἀληθῶς καί τῆς ἐκεῖ κατοικίας ἄξιος. Ἐν ᾧ δέ τό ἱερόν αὐτοῦ σῶμα ἐναπετέθη, τρεῖς διαφανεῖς πυρσοί κατά μίαν τῶν νυκτῶν ἔκτοτε τῷ μνήματι ἐναυγάζουσι· θαυμαστήν μέν τήν αἴγλην ἐναφιέντες, θαυμαστοτέραν δ', ὡς εἰκός, τοῖς ὁρῶσι τήν ἔκπληξιν ἐμποιοῦντες, καί τοῦ μεγαλοδώρου Θεοῦ περί τόν ἑαυτοῦ θεράποντα πλουσιωτάτην χάριν ἐμφαίνοντες.

***ΜΑ΄.***

Ἀλλά σοί μέν, ὦ ἱερώτατε πάτερ, μεγάλη μέν καί ἡ τῶν παρόντων δόξα τε καί λαμπρότης, πλέον σε κἀνταῦθα τοῦ Δεσπότου

τετιμηκότος · μείζων δέ πολλῷ καί ὑπεροχικωτάτη ἡ αὐτόθι λῆξις καί οὐρανία · φωτί τῷ μεγάλῳ παρισταμένῳ, καί ὅλην τήν αἴγλην τῆς μακαρίας καί ἀρχιφώτου Τριάδος ἐν ἑαυτῷ δεχομένῳ· καί Θεόν ὁρῶντι, τό παραδοξότατον, θεῷ δηλαδή καί αὐτῷ τῇ ἑνώσει γεγενημένῳ, καί κατά μέθεξιν ὅλῳ θεουμένῳ, καί ἄῤῥητον τήν θέωσιν ὑφισταμένῳ. Οὐκοῦν οὕτω δόξης τυχών, δίδου πολλήν καί τήν παρά σου βοήθειαν τοῖς ἔτι (109) νηχομένοις ἡμῖν τά παρόντα, καί τόν δολιχόν τοῦτον βίον καί πολυκινδυνότατον διαπλέουσιν· ὡς ἄν ὑπό σοί κυβερνήτῃ καί ὁδηγῷ, κοῦφοι τήν ἄστατον θάλασσαν ὑπερπλεύσαντες, τοῖς ἀκλύστοις καί ἀϊδίοις λιμέσι καθορμισθείημεν· ἔνθα ἡ μακαρία διαγωγή καί κατάπαυσις ἡ γαληνοτάτη.

***ΜΒ΄.***

Οὗτος ὁ παρ’ ἡμῶν σοι λόγος, ὦ πατέρων ἄριστε καί φιλοτεκνότατε, τῶν μέν πραγμάτων, ὥσγε καί αὐτόν οἶδα, πάντῃ ἀπολειπόμενος, τοῦ δέ πόθου οἶμαι οὐδενός ἐλαττούμενος. Αἴτιος δέ πάντως τοῦ λόγου καί καθηγεμών, ὁ σοῦ ἐξεχόμενος ἱεράρχης· ὅς καί τήν ὁμωνυμίαν καί ὁμοτροπίαν τοῦ ἐν Μύροις ἐπλούτησε ποιμενάρχου· λόγων οὗτος ἀεί τῶν σῶν θαυμασίως ἐρῶν, καί σέ διαφερόντως ποθῶν· καί τρυφήν γλώσσης, τό ἥδιστόν σου ποιούμενος ὄνομα. Ὧ καί ἀντιδοίης τήν μετά σοῦ συναυλίαν καί συσκηνίαν· πολλήν ὡς ὁρᾷς καί αὐτῷ ὑπέρ τοῦ καλοῦ τεθεμένῳ τήν ἀγωνίαν, καί τήν ψυχήν προϊεμένῳ αὐτήν, μόνον εἴ τι βέλτιον εἴη τούτῳ ἐν τοῖς πράγμασι καταπράξασθαι· ἐν αὐτῷ Χριστῷ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καί τό κράτος, νῦν καί ἀεί, καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΕΞΗΓΗΣΙΣ ΤΗΣ ΚΙΝΗΣΕΩΣ Σελ. (110)

***Γενομένης, μεταξύ τοῦ κυρίου ἀββᾶ Μαξίμου, καί τῶν σύν αὐτῷ, καί τῶν ἀρχόντων ἐπί σεκρέτου.***

*Α΄.*

Τῇ ἡμέρᾳ ᾗ προσωρμίσθησαν ταύτῃ τῇ βασιλευούσῃ πόλει, ὅ τε κύριος Μάξιμος, καί οἱ σύν αὐτῷ, περί δυσμάς ἡλίου, ἐλθόντες δύο μανδάτωρες μετά δέκα ἐκσκουβιτώρων, ἐπῆραν αὐτούς ἐκ τοῦ πλοίου γυμνούς, καί ἀνυποδέτους· καί μερίσαντες αὐτούς ἀπ' ἀλλήλων, ἐφύλαξαν εἰς διάφορα ἐκσκούβιτα. Καί μεθ' ἡμέρας τινάς ἀναφέρουσιν αὐτούς ἐν τῷ παλατίῳ, καί εἰσάγουσι τόν γέροντα, ἐν ᾧ τόπῳ συνήχθη ἡ σύγκλητος, καί πολύς ἄλλος ὄχλος· καί παριστῶσιν αὐτόν μέσον τῶν ἀρχόντων καθημένων, καί λέγει αὐτῷ ὁ σακελλάριος μετ' ὀργῆς πολλῆς καί μανίας· Χριστανός εἶ; Καί εἶπε · Χάριτι Χριστοῦ τοῦ Θεοῦ τῶν ὅλων, Χριστανός εἰμι. Καί λέγει ἐκεῖνος· Οὐκ ἔστιν ἀληθές. Ἀπεκρίθη ὁ δοῦλος τοῦ Θεοῦ· Σύ λέγεις. Οὐκ εἰμί· ἀλλ' ὁ Θεός λέγει εἶναί με, καί διαμένειν Χριστιανόν. Καί πῶς, φησίν, εἴπερ (112) Χριστιανός εἶ, μισεῖς τόν βασιλέα; Ἀποκριθείς ὁ τοῦ Θεοῦ δοῦλος, ἔφη· Καί πόθεν δῆλον; τό γάρ μῖσος ψυχῆς ἐστι κεκρυμμένη διάθεσις, ὥσπερ οὖν καί ἡ ἀγάπη. Καί λέγει αὐτῷ· Ἐξ ὧν ἐποίησας, πᾶσιν ἐγένου φανερός, ὅτι μισεῖς τόν βασιλέα, καί τήν πολιτείαν αὐτοῦ· σύ γάρ μόνος Αἴγυπτον καί Ἀλεξάνδρειαν καί Πεντάπολιν καί Τρίπολιν καί Ἀφρικήν Σαρακηνοῖς παρέδωκας. Καί τίς τούτων ἀπόδειξις; ἔφη. Καί παραφέρουσιν Ἰωάννην τόν γενόμενον σακελλάριον Πέτρου τοῦ γενομένου στρατηγοῦ Νουμηδίας τῆς Ἀφρικῆς λέγοντα, Ὅτι πρό εἰκοσιδύο ἐτῶν ὁ πάππος τοῦ δεσπότου ἐκέλευσε τῷ μακαρίῳ Πέτρῳ, λαβεῖν στρατόν, καί ἀπελθεῖν εἰς Αἴγυπτον κατά τῶν Σαρακηνῶν, καί ἔγραψέ σοι ὡς πρός δοῦλον τοῦ Θεοῦ λαλῶν, πληροφορίαν ἔχων εἰς σέ ὡς ἅγιον ἄνθρωπον, εἰ συμβουλεύεις αὐτῷ ἀπελθεῖν. Καί ἀντέγραψας αὐτῷ λέγων, μηδέν τοιοῦτο ποιῆσαι, ἐπειδή οὐκ εὐδοκεῖ ὁ Θεός ἐπί τῆς βασιλείας Ἡρακλείου, καί τοῦ γένους αὐτοῦ, συμπραχθῆναι τήν πολιτείαν τῶν Ῥωμαίων. Λέγει ὁ δοῦλος τοῦ Θεοῦ· Ἐάν ἀληθεύῃ, πάντως ἔχεις καί τήν πρός ἐμέ Πέτρου, καί τήν ἐμήν πρός αὐτόν ἐπιστολήν· παρενεχθῶσι, καί ὑπόκειμαι ταῖς δοκούσαις τῷ νόμῳ ποιναῖς. Καί

Λέγει· Ἐγώ οὐκ ἔχω ἐπιστολήν, ἀλλ’ οὔτε οἶδ, εἰ ὅλως ἔγραψέ σοι. Ἀλλ’ ἐν τῷ φοσάτῳ ταῦτα κατ’ ἐκεῖνον ἐλάλουν πάντες τόν καιρόν. Λέγειν πρός αὐτόν ὁ τοῦ Θεοῦ δοῦλος· Εἰ τό φοσάτον ὅλον τοῦτο διελάλει, πῶς σύ μόνος τοῦτο σικοφαντεῖς με; Ἐθεώρησάς μέ ποτε, ἤ ἐγώ σε; Καί λέγει· Οὐδέποτε. Τότε στραφείς πρός τήν σύγκλητον ὁ τοῦ Θεοῦ δοῦλος εἶπεν· Εἰ δίκαιόν ἐστι τοιούτους παρακομίζεσθαι κατηγόρους, ἤ μάρτυρας, κρίνατε· Ὧ γαρ κρίματι κρίνετε, κριθήσεσθε· καί οἵῳ μέτρῳ μετρεῖτε, μετρηθήσεσθε, φησίν ὁ τῶν ὅλων Θεός.

***Β΄.***

Καί μετά τοῦτον φέρουσι Σέργιον τόν Μαγουδάν, λέγοντα· Πρό ἐννέα ἐτῶν ὁ μακάριος ἀββᾶς Θωμᾶς ἐλθών ἀπό Ῥώμης εἶπέ μοι, ὅτι ὁ Πάππας Θεόδωρος ἔπεμψέ με πρός τόν πατρίκιον Γρηγόριον, ἵνα εἴπω αὐτῷ, μή φοβηθῆναί τινα. Ὁ γάρ δοῦλος τοῦ Θεοῦ ὁ ἀββᾶς Μάξιμος ἐθεώρησεν ὄναρ, ὅτι κατ’ οὐρανούς εἰς ἀνατολάς καί δυσμάς ἦσαν δῆμοι ἀγγέλων· καί οἱ μέν εἰς ἀνατολάς ἔκραζον· Κωνσταντῖνε Αὔγουστε, τοῦ βίγκας· οἱ δέ εἰς δυσμάς ἐβόουν· Γρηγόριε Αὔγουστε, τοῦ βίγκας· καί ὑπερίσχυσεν ἡ φωνή τῶν εἰς δυσμάς, τήν τῶν εἰς ἀνατολήν φωνήν. Καί τότε κραυγάζει ὁ σακελλάριος· Ἔπεμψέ σε ὁ Θεός καυθῆναι εἰς τήν πόλιν ταύτην. Λέγει ὁ τοῦ Θεοῦ δοῦλος· Εὐχαριστῶ τῷ Θεῷ, καθαίροντί με τῶν ἑκουσίων κακῶν, δι’ ἀκουσίου κολάσεως· πλήν, Οὐαί τῷ κόσμῳ ἀπό τῶν σκανδάλων. Ἀνάγκη γάρ ἐλθεῖν τά σκάνδαλα· οὐαί δέ δι’ οὗ σκάνδαλον ἔρχεται. Ὄντως οὐκ ἔδει τοιαῦτα λαλεῖσθαι παρουσίᾳ Χριστιανῶν· οὐδέ ἀτιμωρήτους μένειν τούς τά τοιαῦτα πράττοντας πρός τό ἀρέσαι ἀνθρώποις, σήμερον οὖσι, καί αὔριον οὐκ οὖσι. Ταῦτα ζῶντος Γρηγορίου ἔδει τοῦτον εἰπεῖν, (113) καί γνωρίσαι τῷ βασιλεῖ τήν εἰς αὐτόν εὔνοιαν. Δίκαιον δέ ἐστι, εἰ καί ὑμῖν παρίσταται, τόν πρό τούτου συκοφάντην, ἐκβιασθῆναι ἀπελθεῖν ἐνέγκαι τόν πατρίκιον Πέτρον, καί τοῦτον τόν ἀββᾶν Θωμᾶν, κἀκεῖνον τόν μακάριον πάππαν Θεόδωρον· καί τότε παρουσίᾳ πάντων, ἔλεγον τῷ πατρικίῳ Πέτρῳ· Εἰπέ, κῦρι ὁ πατρίκιος · ἔγραψάς μοι ποτε περί ὧν εἶπεν ὁ σακελλάριός σου, ἤ ἐγώ σοί; Καί ὅταν κατέθετο, ὑπό κόλασιν ἐγενόμην. Ὁμοίως δέ καί τῷ μακαρίῳ πάππᾳ· Εἰπέ, δέσποτα, ἐγώ σοί ποτε ὄναρ ἀφηγησάμην; Καί ὅταν ἤλεγξέ με, ἐκείνου ἦν τό ἔγκλημα, οὐκ ἐμοῦ τοῦ ἑωρακότος. Ἀπροαίρετον γάρ πρᾶγμα τό ὄναρ· μόνα δέ τά προαιρετικά κολάζει ὁ νόμος, εἴπερ αὐτῷ ἐναντιοῦται. Τότε λέγει πρός αὐτόν ὁ Τρωΐλος·

Παίζεις, ἀββᾶ, οὐκ οἶδας ποῦ εἶ. Ὁ δέ· Οὐ παίζω, ἀλλά πενθῶ τήν ζωήν μου συντηρηθεῖσαν μέχρι τοῦ νῦν, ἵνα τοιούτων λάβω πεῖραν φαντασμάτων. Λέγει Ἐπιφάνιος ὁ πατρίκιος· Ὁ Θεός γινώσκει, καλῶς ποιεῖ παίζων αὐτά, ἐάν οὐκ εἰσίν ἀληθῆ. Μεθ' ὅν ὁ σακελλάριος πάλιν πρός αὐτόν μετ' ὀργῆς εἶπεν· Ἁπλῶς πάντες ψεύδονται, καί σύ μόνος ἀληθεύεις ; Καί ἀποκριθείς εἶπεν ὁ τοῦ Θεοῦ δοῦλος, συνδακρύσας τῷ λόγῳ· Ἐξουσίαν ἔχετε συγχωροῦντος τοῦ Θεοῦ, καί ζωῶσαι καί θανατῶσαι· πλήν ἐάν οὗτοι ἀληθεύωσι, καί ὁ Σατανᾶς φύσει Θεός ἐστιν. Εἰ δέ οὐκ ἔστιν, ὥσπερ οὖν οὐδέ ἐστιν, οὐδέ οὗτοι ἀλήθευσαν. Μήτε γάρ ἀξιωθῶ μετά Χριστιανῶν θεωρῆσαι τήν ἐπιφάνειαν τοῦ ὑπερουσίου Θεοῦ, ποιητοῦ τε καί δημιουργοῦ, καί κτίστου, κα προνοητοῦ, καί κριτοῦ, καί Σωτῆρος τῶν ὅλων, εἴ ποτε ὄναρ τοιοῦτον ἀφηγησάμην, ἤ ἄλλου ἀφηγουμένου ἤκουσα, εἰ μή τῇ ὥρᾳ ταύτῃ παρά τοῦ κυροῦ Σεργίου τοῦ εὐνοϊκοῦ τῆς βασιλείας.

***Γ΄.***

Εἶτα τρίτον συκοφάντην προβάλλονται, Θεόδωρον τόν υἱόν Ἰωάννου τοῦ Κανδιδάτου λεγομένου, τόν ἐπίκλην Χιλά, τόν νῦν γαμβρόν τοῦ κυροῦ Πλάτωνος τοῦ πατρικίου, λέγοντα· Ὅτι συντυχίας μεταξύ ἡμῶν ἐν Ῥώμῃ γενομένης περί τοῦ βασιλέως, διέσυρε τό λαλούμενον, βυτία ποιῶν καί λαιβία. Πρός ὅν εἶπεν ὁ τοῦ Θεοῦ δοῦλος· Οὐδέποτε διελέχθην σοι, εἰ μή ἅπαξ μετά τοῦ ὁσιωτάτου πρεστυτέρου κυροῦ Θεοχαρίστου, τοῦ ἀδελφοῦ τοῦ ἐξάρχου, διά τόν πριμικήριον, προτραπείς διά γραμμάτων περί τούτου. Καί ἐάν εὑρεθῶ ψευδόμενος, ἀπολαύω.

***Δ΄.***

Καί μετά τοῦτον, τέταρτον ἄγουσι Γρηγόριον τόν υἱόν Φωτεινοῦ, λέγοντα, ὅτι Ἀπῆλθον εἰς τό κελλίον τοῦ ἀββᾶ Μαξίμου ἐν Ῥώμῃ, κἀμοῦ εἰπόντος, ὅτι καί ἱερεύς ἐστιν ὁ βασιλεύς, εἶπεν ὁ ἀββᾶς Ἀναστάσιος ὁ μαθητής αὐτοῦ· Μή ἀξιωθῇ εἶναι ἱερεύς. Εὐθέως λέγει πρός αὐτόν ὁ τοῦ Θεοῦ δοῦλος· Φοβήθητι τόν Θεόν, κῦρι Γρηγόριε, οὐδέν παντελῶς ἐν τῇ περί τούτων διαλέξει λελάκηκεν ὁ σύνδουλός μου. Καί (116) ῥίπτει ἑαυτόν εἰς τήν γῆν, λέγων τῇ συγκλήτῳ· Ἀνάσχεσθε τοῦ δούλου ὑμῶν, καί πάντα λέγω ὡς ἐλαλήθη, καί ἐλέγξει με ἐάν ψεύσομαι. Ὁ κύριός μου εἶναι Γρηγόριος ἐλθών εἰς Ῥώμην, ἠξίωσεν ἐλθεῖν εἰς τό κελλίον τοῦ δούλου ὑμῶν· ὅν θεωρήσας, ὡς ἔθος μοί ἐστιν, ἔῤῥιψα ἑμαυτόν εἰς τήν γῆν, καί προσεκύνησα

αὐτῷ· καί ἠσπασάμην αὐτόν, καί εἶπον αὐτῷ μετά τό καθίσαι· Τίς ἡ αἰτία τῆς ποθητῆς παρουσίας τοῦ δεσπότου μου; Καί εἶπεν· Ὁ ἀγαθός καί θεοστήρικτος ἡμῶν δεσπότης, φροντίζων τῆς εἰρήνης τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν, ἐποίησε κέλευσιν πρός τόν θεοτίμητον πάππαν, πέμψας καί προσφοράν εἰς τόν ἅγιον Πέτρον, προτρεπόμενος αὐτόν ἑνωθῆναι τῷ προέδρῳ Κωνσταντινουπόλεως· ἅπερ πεμφθῆναι διά τῆς ἐμῆς μετριότητος κατηξίωσε τό εὐσεβές αὐτοῦ κράτος. Καί εἶπον· Δόξα Θεῷ τῷ ποιήσαντί σε ἄξιον τῆς τοιαύτης διακονίας. Πλήν, ἐπί ποίῳ τρόπῳ γενέσθαι τήν ἕνωσιν ἡ αὐτοῦ θεοστεφής ἐκέλευσε γαληνότης; Πάλιν εἶπε· Εἴπερ οἶδας. Καί εἶπας· Ἐπί τῷ Τύπῳ. Καί ἔφην· Ἀδύνατον, ὡς οἶμαι, τοῦτο καθέστηκεν· οὐ γάρ ἀνέχονται οἱ Ῥωμαῖοι συναναιρεθῆναι ταῖς τῶν ἀκαθάρτων αἱρετικῶν φωναῖς, τάς τῶν ἁγίων Πατέρων φωτοφόρους φωνάς· ἤ τῷ ψεύδει συναποσβεσθῆναι τήν ἀλήθειαν· ἤ τῷ σκότει συναφανισθῆναι τό φῶς. Οὐδέν γάρ ἡμῖν ἔσται τό προσκυνούμενον, εἰ γένηται τῶν θεοδιδάκτων λόγων ἀναίρεσις. Καί εἶπας· Οὐκ ἀναίρεσιν τῶν ἱερῶν τύπος ποιεῖται φωνῶν, ἀλλά σιωπήν, ἵνα τήν εἰρήνην οἰκονομήσωμεν. Καί εἶπον· Ἔστι παρά τῇ θείᾳ Γραφῇ σιωπή καί ἀναίρεσις. Ὁ Θεός γάρ εἶπε διά τοῦ Δαβίδ· Οὐκ εἰσί λαλίαι, οὐδέ λόγοι, ὧν οὐκ ἀκούονται αἱ φωναί αὐτῶν. Οὐκοῦν εἰ μή λαλοῦνται καί ἀκούονται οἱ περί Θεοῦ λόγοι, οὐδέ ὅλως εἰσί κατά τήν γραφήν. Καί εἶπας· Μή βάλης με εἰς ὕλας· ἐγώ ἀρκοῦμαι τῷ ἁγίῳ συμβόλῳ. Καί πῶς δύνασαι τῷ ἁγίῳ ἀρκεῖσθαι συμβόλῳ, ἔφην, δεχόμενος τόν τύπον; - Καί τί βλάπτει τό δέχεσθαι τόν τόν τύπον, καί λέγειν τό σύμβολον; ἔφης. Λέγω· Ὅτι προφανῶς ἀναιρεῖ τό σύμβολον ὁ τύπος. Καί εἶπας· Διά τόν Κύριον, πῶς; -Εἰπέ μοι, ἔφην, τό σύμβολον, καί γνῶθι πῶς ἀναιρεῖται ὑπό τοῦ τύπου. Καί ἦρξω τοῦ λέγειν· Πιστεύω εἰς ἕνα Θεόν Πατέρα παντοκράτορα, ποιητήν οὐρανοῦ καί γῆς· ὁρατῶν τε πάντων καί ἀοράτων. Ἐπίσχε, εἶπον, μικρόν, καί μάθε πῶς ἡ τῶν ἐν Νικαίᾳ πίστις ἤρνηται. Ποιητής γάρ οὐκ ἄν εἴη Θεός, θελήσεως καί ἐνεργείας φυσικῆς ἐστερημένος, εἴπερ θελήσας, ἀλλ’ οὐκ ἀναγκασθείς ἐποίησε τόν οὐρανόν καί τήν γῆν, εἴπερ ἀληθεύει ἐν Πνεύματι Δαβίδ· Πάντα ὅσα ἠθέλησεν ὁ Κύριος, ἐποίησεν ἐν τῷ οὐρανῷ καί ἐν τῇ γῇ· ἐν ταῖς θαλάσσαις, καί ἐν πάσαις ταῖς ἀβύσσοις. Εἰ δέ οἰκονομίας χάριν συναναιρεῖται τῇ κακοπιστίᾳ ἡ σωτήριος πίστις, χωρισμός Θεοῦ παντελής, ἀλλ’ οὐχ ἕνωσις Θεοῦ ἐστι τό τοιοῦτον εἶδος τῆς λεγομένης οἰκονομίας. Καί γάρ αὔριον οἱ δυσώνυμοι Ἰουδαῖοι λέγουσιν·

Οἰκονομήσωμεν τήν πρός ἀλλήλους εἰρήνην, (117) καί ἑνωθῶμεν, καί περιέλωμεν ἡμεῖς μέν τήν περιτομήν, καί ὑμεῖς τό βάπτισμα, καί μηκέτι ἀλλήλους πολεμήσωμεν. Τοῦτο Ἀρειανοί ποτε προέτειναν ἐγγράφως ἐπί τοῦ μεγάλου Κωνσταντίνου, λέγοντες· Περιέλωμεν τό Ὁμοούσιον καί τό ἑτεροούσιον, καί ἑνωθῶσιν αἱ Ἐκκλησίαι. Καί οὐ κατεδέξαντο οἱ θεοφόροι Πατέρες ἡμῶν· ἀλλ' εἵλκοντο μᾶλλον διώκεσθαι καί ἀποθανεῖν, ἤ σιωπῆσαι φωνήν παραστατικήν τῆς μιᾶς τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ ἁγίου Πνεύματος ὑπερουσίου θεότητος. Καί ταῦτα συνεπιτιθεμένου τοῖς τά τοιαῦτα προτείνουσι τοῦ μεγάλου Κωνσταντίνου, καθώς πολλοῖς ἱστόρηται τοῖς φιλοπόνως τά τότε γενόμενα γράψασι. Καί οὐδείς τῶν βασιλέων ἠδυνήθη μέσαις φωναῖς πεῖσαι τούς θεηγόρους πατέρας συμβιβασθῆναι τοῖς ἐπί αὐτῶν αἱρετίζουσιν· ἀλλά ταῖς τρανaῖς καί κυρίαις, καί καταλλήλοις τῷ ζητουμένῳ δόγματι ἐκέχρηντο, λέγοντες προφανῶς, ὅτι Ἱερέων ἐστί τό ζητεῖν, καί ὁρίζεσθαι περί τῶν σωτηρίων δογμάτων τῆς καθολικῆς Ἐκκλησίας. Καί εἶπας· Τί οὖν; οὐκ ἔστι πᾶς βασιλεύς Χριστιανός καί ἱερεύς; Καί εἶπον· Οὐκ ἔστιν· οὐδέ γάρ παρίσταται θυσιαστηρίῳ, καί μετά τόν ἁγιασμόν τοῦ ἄρτου ὑψοῖ αὐτόν, λέγων· Τά ἅγια τοῖς ἁγίοις. Οὔτε βαπτίζει, οὔτε μύρου τελετήν ἐπιτελεῖ, οὔτε χειροθετεῖ, καί ποιεῖ ἐπισκόπους καί πρεσβυτέρους καί διακόνους· οὔτε χρίει ναούς, οὔτε τά σύμβολα τῆς ἱερωσύνης ἐπιφέρεται, ὠμοφόριον καί τό Εὐαγγέλιον, ὥσπερ τῆς βασιλείας, τόν τε στέφανον καί τήν ἁλουργίδα. Καί πῶς ἡ Γραφή βασιλέα καί ἱερέα λέγει εἶναι τόν Μελχισεδέκ; ἔφης. Καί εἶπον· Ἑνός τοῦ φύσει βασιλέως Θεοῦ τῶν ὅλων γενόμενου φύσει διά τήν ἡμῶν σωτηρίαν ἀρχιερέως, εἷς ὑπῆρχε τύπος ὁ Μελχισεδέκ. Ὡς δέ γε κατά τήν τάξιν Μελχισεδέκ ἕτερον εἶναι λέγεις βασιλέα καί ἱερέα, καί τά λοιπά τόλμησον εἰπεῖν, τό, ἀπάτωρ, ἀμήτωρ, ἀγενεαλόγητον, μήτε ἀρχήν ἡμερῶν, μήτε τέλος ζωῆς ἔχοντα. Καί σκόπει τό ἐκ τούτου ἀναφυόμενον κακόν· ἄλλος γάρ εὑρεθήσεται Θεός ὁ τοιοῦτος ἐνανθρωπήσας, κατά τήν τάξιν Μελχισεδέκ, ἀλλ' οὐ κατά τήν τάξιν Ἀαρών τήν ἡμῶν ἱερουργῶν σωτηρίαν.

*Ε΄.*

Πλήν, τί θέλομεν διά πολλῶν ἐλθεῖν; Εἰς τήν ἁγίαν ἀναφοράν ἐπί τῆς ἁγίας τραπέζης, μετά τούς ἀρχιερέας καί διακόνους, καί παντός ἱερατικοῦ τάγματος, μετά τῶν λαϊκῶν οἱ βασιλεῖς μνημονεύονται,

λέγοντος τοῦ διακόνου· Καί τῶν ἐν πίστει κεκοιμημένων λαϊκῶν, Κωνσταντίνου, Κώνσταντος, καί τούς λοιπούς. Οὕτω δέ καί τῶν ζώντων μνημονεύει βασιλέων, μετά τούς ἱερωμένους πάντας. Ταῦτα αὐτοῦ λέγοντος, κράζει ὁ Μηνᾶς· Ταῦτα λέγων ἔσχισας τήν Ἐκκλησίαν. Καί λέγει πρός αὐτόν· Εἰ ὁ λέγων τά τῶν ἁγίων Γραφῶν, καί τά τῶν ἁγίων Πατέρων σχίζει τήν Ἐκκλησίαν, ὁ ἀναιρῶν τά τῶν ἁγίων δόγματα, τί δειχθήσεται τῇ Ἐκκλησίᾳ ποιῶν, ὧν χωρίς, οὐδέ αὐτό τοῦτο, Ἐκκλησίαν εἶναι δυνατόν; Καί στραφείς ὁ σακελλάριος, εἶπε τοῖς (120) ἀνθρώποις τοῦ ἐξάρχου μετά κραυγῆς· Εἴπατε τῷ ἐξάρχῳ· Τοιοῦτον ἄνθρωπον ὤφειλες ἐᾶσαι ζῆν ὅπου ἄρχεις; Καί λαβόντες αὐτόν ἔξω, εἰσάγουσι τόν μαθητήν, καί ἀπαιτοῦντες αὐτόν κατειπεῖν τοῦ ἐπιστάτου, ὡς θλίψαντος Πύῤῥον, ἀπεκρίνατο ἠρεμαίᾳ τῇ φωνῇ τά τῆς ἀληθείας, ὅτι οὐδείς ἐτίμησε Πύῤῥον ὡς ἐτίμησε· καί κελεύεται κράξαι. Καί ἐπείπερ οὐ κατεδέξατο τῆς πρεπούσης μοναχοῖς εὐλαβοῦς φωνῆς ξενωθῆναι, κελεύει τυπῆναι αὐτόν ὑπό τῶν παρεστώτων· καί πυγμαῖς αὐτόν βαλόντες, ἡμιθανῆ αὐτόν πεποιήκασι. Καί ἀπολύσαντες αὐτούς εἰς τά δεσμωτήρια καταλαμβάνει τόν γέροντα ὁ Μηνᾶς, λέγων παρουσίᾳ τῶν ἀρχόντων· Ἔβαλέ σε ὁ Θεός, καί ἤγαγέ σε ὧδε, ἵνα ἀπολάβῃς, ὅσα εἰς ἄλλους ἐποίησας, πλανῶν πάντας εἰς τά Ὠριγένους δόγματα. Πρός ὅν εἶπεν ὁ τοῦ Θεοῦ δοῦλος παρουσίᾳ πάντων· Ἀνάθεμα Ὠριγενεῖ καί τοῖς δόγμασιν αὐτοῦ, καί παντί σύμφρονι αὐτοῦ. Καί λέγει ὁ πατρικίος Ἐπιφάνιος· ἐλύθη, κῦρι ἀββᾶ Μηνᾶ, ὁ κατ' αὐτοῦ παρά σοῦ ἐπαγόμενος ψόφος, ἵνα καί εἰ ἦν Ὠριγενιστής, ἐπάν ἀνεθεμάτισε, τῆς τοιαύτης ἑαυτόν ἠλευθέρωσε μέμψεως. Ἐγώ δέ ὡς οὐκέτι τοιοῦτο περί αὐτοῦ λεγόμενον παραδέχομαι· Ἀπηνέχθη ἕκαστος αὐτῶν, ἐν ᾧ παρεφυλάττετο τόπῳ.

***Στ΄.***

Καί τῇ αὐτῇ ἡμέρᾳ περί τήν αὐτήν ἀφήν τοῦ λύχνου, Τρώϊλος ὁ πατρίκιος, καί Σέργιος ὁ Εὐκρατᾶς, ὁ ἐπί τῆς τραπέζης τῆς βασιλικῆς, παρεγένοντο πρός τόν δοῦλον Θεοῦ τόν γέροντα, καί καθίσαντες, ἐκέλευσαν καί αὐτόν καθίσαι, καί εἶπον πρός αὐτόν· Εἰπέ ἡμῖν, κῦρι ἀββᾶ, τήν μεταξύ σοῦ καί Πύῤῥου γενομένην ἐν Ἀφρικῇ καί Ῥώμῃ περί τῶν δογμάτων κίνησιν· καί ποίοις αὐτόν ἔπεισας ἀναθεματίσαι τό δόγμα τό ἴδιον, καί τῷ σῷ συνθέσθαι. Καί ἀφηγήσατο αὐτοῖς πάντα καθεξῆς, ὅσα ἡ μνήμη ἀνέσωσε. Καί τοῦτο εἶπεν, ὅτι Ἐγώ δόγμα ἴδιον

οὐκ ἔχω, ἀλλά τό κοινόν τῆς Ἐκκλησίας τῆς καθολικῆς. Οὐ γάρ ἐκίνησα φωνήν τήν οἱανοῦν, ἵνα ἴδιόν μου λέγηται δόγμα· καί μετά τήν ἀφήγησιν λέγουσιν αὐτῷ· Οὐ κοινωνεῖς τῷ θρόνῳ Κωνσταντινουπόλεως; Καί εἶπεν· Οὐ κοινωνῶ. Διά ποίαν οὐ κοινωνεῖς αἰτίαν, εἶπον; Ἀπεκρίθη· Ὅτι τάς ἁγίας τέσσαρας συνόδους ἐξέβαλον διά τῶν ἐν Ἀλεξανδρείᾳ γενομένων ἐννέα κεφαλαίων· καί διά τῆς ἐν ταύτῃ τῇ πόλει γενομένης παρά Σεργίου ἐκθέσεως, καί διά τοῦτο προσεχῶς ἐπί τῆς ἕκτης ἰνδικτιῶνος ἐκτεθέντος τύπου· καί ὅτι ἅπερ ἐδογμάτισαν διά τῶν κεφαλαίων, διά τῆς ἐκθέσεως κατέκριναν· καί ἅπερ ἐδογμάτισαν διά τῆς ἐκθέσεως, διά τοῦ τύπου ἠκύρωσαν· καί καθεῖλαν ἑαυτούς τοσαυτάκις. Οἱ τοίνυν ὑφ’ ἑαυτῶν κατακριθέντες καί ὑπό τῶν Ῥωμαίων, καί τῆς μετά ταῦτα ἐπί τῆς ὀγδόης ἰνδικτιῶνος γενομένης συνόδου καθαιρεθέντες, ποίαν ἐπιτελέσουσι μυσταγωγίαν· ἤ ποῖον πνεῦμα τοῖς παρά τῶν τοιούτων ἐπιτελουμένοις ἐπιφοιτᾷ; Καί λέγουσιν αὐτῷ· Σύ μόνος σώζῃ, καί πάντες ἀπόλλυνται; Καί εἶπεν· (121) Οὐδένα κατέκριναν οἱ τρεῖς παῖδες μή προσκυνήσαντες τῇ εἰκόνι, πάντων ἀνθρώπων προσκυνούντων. Οὐ γάρ ἐσκόπουν τά τῶν ἄλλων, ἀλλ’ ἐσκόπουν ὅπως ἄν αὐτοί μή ἐκπέσωσι τῆς ἀληθοῦς εὐσεβείας. Οὕτω καί Δανιήλ βληθείς εἰς τόν λάκκον τῶν λεόντων, οὐ κατέκρινέ τινα τῶν μή προσευξαμένων τῷ Θεῷ κατά τό θέσπισμα Δαρείου, ἀλλά τό ἴδιον ἐσκόπησε· καί εἵλετο ἀποθανεῖν, καί μή παραπεσεῖν τῷ Θεῷ, καί ὑπό τῆς ἰδίας μαστιγωθῆναι συνειδήσεως, ἐπί τῇ παραβάσει τῶν φύσει νομίμων. Κἀμοί οὖν μή δῷ ὁ Θεός κατακρῖναί τινα, ἤ εἰπεῖν, ὅτι ἐγώ μόνος σώζομαι. Αἱροῦμαι δέ ἀποθανεῖν, ἤ θρόησιν ἔχειν κατά τό συνειδός, ὅτι περί τήν εἰς Θεός πίστιν παρεσφάλην καθ’ οἱονδήποτε τρόπον.

**Ζ΄.**

Λέγουσιν αὐτῷ· Καί τί ἔχεις ποιῆσαι, τῶν Ῥωμαίων ἑνουμένων τοῖς Βυζαντίοις; Ἰδού γάρ χθές ἦλθον οἱ ἀποκρισιάριοι Ῥώμης, καί αὔριον τῇ Κυριακῇ κοινωνοῦσι τῷ πατριάρχῃ· καί πᾶσι δῆλον γίνεται, ὅτι σύ διέστρεφες τούς Ῥωμαίους· ἀμέλει σοῦ ἀπαρθέντος ἐκεῖθεν, συνέθεντο τοῖς ἐνταῦθα. Καί εἶπε πρός αὐτούς· Οἱ ἐλθόντες, οἱονδήποτε πρόκριμα τῷ θρόνῳ Ῥώμης, κἄν κοινωνήσωσιν, ἐπάν οὐκ ἤγαγον πρός τόν πατριάρχην ἐπιστολήν, οὐ ποιοῦσι· καί οὐ πείθομαι πάντως ὅτι οἱ Ῥωμαῖοι ἑνοῦνται τοῖς ἐνταῦθα, εἰ μή ὁμολογήσωσι τόν Κύριον ἡμῶν καί Θεόν, καθ’ ἑκατέραν τῶν ἐξ ὧν, ἐν οἷς τε καί ἅπερ

ἐστίν, εἶναι φύσει θελητικόν τε καί ἐνεργητικόν τῆς ἡμῶν σωτηρίας. Καί λέγουσιν· Εἰ δέ συμβιβασθῶσι τοῖς ἐνταῦθα οἱ Ῥωμαῖοι, τί ποιεῖς; Καί εἶπε· Τό Πνεῦμα τό ἅγιον διά τοῦ Ἀποστόλου, καί ἀγγέλους ἀναθεματίζει παρά τό κήρυγμά τι νομοθετοῦντας.

***Η΄.***

Καί λέγουσι· Πάντως ἀνάγκη ἐστί, θελήσεις λέγεσθαι ἐπί Χριστοῦ καί ἐνεργείας; Ἀπεκρίθη· Πᾶσα ἀνάγκη, εἴπερ εὐσεβεῖν κατά ἀλήθειαν θέλωμεν. Οὐδέν γάρ τῶν ὄντων χωρίς ἐνεργείας φυσικῆς ὑφέστηκεν. Οἱ γάρ ἅγιοι Πατέρες φανερῶς λέγουσι· Μήτε εἶναι, ἤ γινώσκεσθαι χωρίς τῆς οὐσιώδους αὐτῆς ἐνεργείας τήν οἱανδήποτε φύσιν. Εἰ δέ οὔτε ἔστιν, οὔτε γινώσκεται φύσις, ἄνευ τῆς αὐτήν οὐσιωδῶς χαρακτηριζούσης ἐνεργείας, πῶς εἶναι τόν Χριστόν, ἤ γνωρίζεσθαι Θεόν ἀληθῶς φύσει καί ἄνθρωπον, ἄνευ τῆς θεϊκῆς καί ἀνθρωπίνης ἐνεργείας, ἐστί δυνατόν; Ἀπολέσας γάρ, κατά τούς Πατέρας, τό βρυχικόν ὁ λέων, οὐκ ἔστι λέων· καί κύων τό ὑλακτικόν οὐκ ἔστι κύων. Καί ἄλλο τό οἱονοῦν τό φυσικῶς αὐτοῦ συστατικόν ἀπολέσας, οὐκ ἔστιν ἔτι ὅπερ ἦν. Καί λέγουσιν αὐτῷ· Οἴδαμεν ὄντως ὅτι οὕτως ἦν· πλήν μή λυπήσῃς τόν βασιλέα, διά τήν εἰρήνην καί μόνον ποιήσαντα τόν τύπον, οὐκ ἐπ’ ἀναιρέσει τινός τῶν ἐπί Χριστοῦ νοουμένων· ἀλλ’ ἐπί εἰρήνῃ τήν (124) σιωπήν τῶν ποιουσῶν τήν διάστασιν φωνῶν οἰκονομοῦντα.

***Θ΄.***

Καί ῥίψας ὁ τοῦ Θεοῦ δοῦλος ἑαυτόν εἰς τήν γῆν μετά δακρύων· Οὐκ ὤφειλε λυπηθῆναι ὁ ἀγαθός καί εὐσεβής δεσπότης κατά τῆς ἐμῆς ταπεινώσεως. Οὐ γάρ δύναμαι λυπῆσαι τόν Θεόν σιωπῶν, ἅπερ αὐτός λαλεῖσθαι καί ὁμολογεῖσθαι προσέταξεν. Εἰ γάρ κατά τόν θεῖον Ἀπόστολον, αὐτός ἐστιν ὁ θέμενος ἐν τῇ Ἐκκλησίᾳ, πρῶτον ἀποστόλους· δεύτερον, προφήτας· τρίτον, διδασκάλους, δῆλον ἐστίν, ὅτι αὐτός ἐστιν ὁ διά τούτων λαλήσας. Διά πάσης οὖν τῆς ἁγίας Γραφῆς, τῆς τε Παλαιᾶς καί Νέας Διαθήκης, καί τῶν ἁγίων διδασκάλων καί συνόδων διδασκόμεθα, θελητικόν τε καί ἐνεργητικόν θεότητί τε καί ἀνθρωπότητι, τόν σαρκωθέντα Θεόν. Οὐδενός γάρ τῶν οἷς ὡς Θεός γινώσκεται, καί τῶν οἷς ὡς ἄνθρωπος φύσει γνωρίζεται, χωρίς ἁμαρτίας, ἐστίν ἄν ἐλλιπής. Εἰ δέ τέλειός ἐστι καθ’ ἑκάτερον, ὡς οὐδενός καθ’ ἑκατέτου ἐλλιπής, προφανῶς τό κατ᾽ αὐτόν ὅλον νοθεύει μυστήριον, ὁ μή ὁμολογῶν αὐτόν εἶναι ὅπερ ἐστί, μετά τῶν

προσόντων αὐτῷ καθ’ ἑκάτερον, ἐν οἷς τε καί ἅπερ ἐστί, πάντων φυσικῶν ἰδιωμάτων.

***Ι΄.***

Καί μικρόν σιωπήσαντες, ἀλλήλοις προσνεύσαντες λέγουσι· Πόθεν δύνασαι δεῖξαι, ὅτι τάς συνόδους ἐκβάλλουσιν, οἱ θρόνου Κωνσταντινουπόλεως; Καί λέγει αὐτοῖς· Ἤδη δέκεικται μερικῶς διά τῶν ἐν Ῥώμῃ λαληθέντων παρ’ ἐμοῦ πρός τόν κῦριν Γρηγόριον, τόν ἀσηκρῆτιν· καί νῦν, εἰ παρίσταται τῷ δεσπότῃ τοῦτο δειχθήσεσθαι, κελεύσει δοθῆναι ἄδειαν τῷ ἀναξίῳ ὑμῶν δούλῳ, καί ποιῶ γνῶσιν βιβλίων, ὅτι τά ἐμά ἀφῃρέθησαν· καί πᾶσι φανερόν ποιῶ τοῦτο, χωρίς οἱασδήποτε σκολιότητος λόγων. Καί λοιπόν ἄλλων πολλῶν λαληθέντων, εἰς γραφικάς καί φυσικάς καί τεχνικάς ἐτράπησαν γυμνασίας τε καί θεωρίας· ἐφ’ αἷς ἡδυνθέντες, ἱλαρωτέρως διετέθησαν· καί ἤρξαντο λέγειν· Οἶδεν ὁ Κύριος, ὠφελήθημεν, καί ἀπό τοῦ νῦν ἐνοχλεῖν ὑμῖν οὐκ ἔχομεν.

**ΙΑ΄.**

Ὁ δέ κῦρις Σέργιος εἶπεν αὐτῷ, ὅτι Πολλάκις ἦλθον εἰς τό κελλίον σου εἰς Βέββας, καί ἠκροασάμην τῆς διδασκαλίας σου· καί ὁ Χριστός ἔχει βοηθῆσαί σοι· καί μή ἀγωνιάσῃς. Εἰς ἕν δέ μόνον λυπεῖς πάντας, ὅτι πολλούς ποιεῖς χωρισθῆναι τῆς κοινωνίας τῆς ἐνταῦθα Ἐκκλησίας. Ἔστι τις ὁ λέγων, εἶπεν ὁ δοῦλος τοῦ Θεοῦ, ὅτι εἶπον· Μή κοινωνήσῃ τῇ Ἐκκλησίᾳ τῶν Βυζαντίων; Ἀπεκρίθη ὁ κῦρις Σέργιος· αὐτό τοῦτο, τό σε μή κοινωνεῖν, μεγάλη πρός πάντας ἐστί φωνή, μή κοινωνῆσαι. Καί εἶπεν ὁ τοῦ Θεοῦ δοῦλος· οὐδέν βιαιότερον συνειδότος κατηγοροῦντος, καί οὐδέν τούτου συνηγοροῦντος παῤῥησιαστικώτερον. Ἀκούσας δέ ὁ κῦρις Τρώϊλος, ὅτι ὁ τύπος ἀναθεματίζεται εἰς πᾶσαν τήν δύσιν, λέγει πρός τόν δοῦλον τοῦ Θεοῦ, Καλόν ἐστιν, ὅτι τοῦ εὐσεβοῦς ἡμῶν δεσπότου ἡ ὑπόληψις ὑβρίζεται; (125) Ἀπεκρίθη ὁ τοῦ Θεοῦ δοῦλος· Ὁ Θεός συγχωρήσει τοῖς ἐκβιβάσασι τόν δεσπότην ποιῆσαι τόν τύπον, καί τοῖς συγχωρήσασι. Καί λέγει· Τίνες εἰσίν οἱ ἐκβιβάσαντες, καί τίνες οἱ συγχωρήσαντες; Ἀπεκρίθη· Οἱ τῆς Ἐκκλησίας ἐξεβίβασαν, καί οἱ ἄρχοντες συνεχώρησαν· καί ἰδού ὁ ῥύπος ἐκ τῶν ὑπευθύνων εἰς τόν ἀθῶον καί καθαρόν πάσης αἱρέσεως, ἐξετινάχθη. Ἀλλά συμβουλεύσατε ποιῆσαι, ὅ ἐποίησεν ὁ εὐσεβής τῇ μνήμῃ γενόμενος αὐτοῦ πάππος. Ἐκεῖνος γάρ αἰσθόμενος ὅτι ψόγον αὐτοῦ τινες κατά τήν δύσιν καταχέουσι, διά κελεύσεως ἐλεύθερον ἑαυτόν ἐποίησε τῆς

ἐπί τῇ Ἐκκλησίᾳ μέμψεως, γράψας, ὅτι Ἔκθεσις οὐκ ἔστιν ἐμή· οὔτε γάρ ἐγώ ὑπηγόρευσα, ἤ ἐκέλευσα γενέσθαι· ἀλλά Σέργιος αὐτήν ὁ πατριάρχης συντάξας πρό πέντε ἐτῶν, τοῦ ἀνελθεῖν με ἀπό τῆς Ἀνατολῆς, ἐδεήθη μου κατ' αὐτήν γενομένου τήν πανευδαίμονα πόλιν, ὀνοματί μου προτεθῆναι αὐτήν μεθ' ὑπογραφῆς· καί κατεδεξάμην τήν ἐκείνου παράκλησιν. Νῦν δέ γνούς ὅτι τινές ἐπ' αὐτήν διαμάχονται, πᾶσι δῆλον ποιῶ, ὅτι οὐκ ἔστιν ἐμή. Ταύτην ἐποιήσατο τήν κέλευσιν πρός τόν μακάριον Ἰωάννην πάππαν, κατακρίνοντα τήν ἔκθεσιν, ἐν τοῖς πρός Πύῤῥον τότε γραφεῖσι. Καί ἔκτοτε Σεργίου χρηματίζει πανταχοῦ εἶναι ἔκθεσις. Τοῦτο ποιήσει καί ὁ νῦν εὐσεβῶς βασιλεύων ἡμῶν, καί μενεῖ παντελῶς ἄχραντος πάσης μέμψεως ἡ πρόληψις αὐτοῦ. Τότε σείσαντες τάς κεφαλάς, ἐσιώπησαν, τοῦτο μονον εἰρηκότες· Ὅλα δυσχερῆ καί ἀνέκβατα.

Τούτων καί ἑτέρων διαφόρων λαληθέντων, προσκυνηθέντες καί προσκυνήσαντες, μετά πάσης ἱλαρότητος ἀνεχώρησαν. Καί πάλιν τῷ ἄλλῳ Σαββάτῳ, ἀνήγαγον αὐτούς ἐν τῷ παλατίῳ· καί εἰσφέρουσι πρῶτον τόν μαθητήν τοῦ γέροντος, συνελθόντων καί τῶν δύο πατριαρχῶν· καί ἄγουσι Κωνσταντῖνον καί Μηνᾶν κατηγόρους τοῦ γέροντος, καί ἀπαιτοῦντες τήν μαθητήν συγκαταθέσθαι τοῖς κατ' αὐτῶν λαλουμένοις. Μετά δέ πάσης παῤῥησίας εἶπεν ὁ μαθητής ἀφόβως πρός τήν σύγκλητον· Κωνσταντῖνον εἰσάγετε ἐν σεκρέτῳ παλατίου; Οὗτος οὐκ ἔστιν οὔτε πρεσβύτερος, οὔτε μοναχός, ἀλλά τριβοῦνος θυμέλης. Ἐγνωρίσθη Ἀφροῖς καί Ῥωμαίοις, ποῖα γύναια βόσκων ἦλθεν ἐκεῖσε. Πάντες ἔμαθον τάς πανουργίας αὐτοῦ, ἅς ἐποίησε πρός τό λαθεῖν· ποτέ μέν λέγων, ὅτι ἀδελφαί αὐτοῦ εἰσί· ποτέ δέ, ὅτι διά τό μή κοινωνῆσαι τῇ Ἐκκλησίᾳ Κωνσταντινουπόλεως ἐπῆρα αὐτάς, ἵνα μή χρανθῶσι τῇ αἱρετικῇ κοινωνίᾳ. Ἀλλά καί πάλιν ἐάν λείψῃ αὐτῷ σπατάλῃ, καί εὕρῃ χώραν μή γνωρίζουσαν αὐτόν, τά αὐτά ποιεῖ, αἰσχροῦ κέρδους χάριν, καί ῥυπαρᾶς ἡδονῆς. Καί μεγάλη αἰσχύνη ἐστί, τό κἄν συντυγχάνειν αὐτῷ, τοῖς σεμνῶς βιῶναι θέλουσιν. Εἶτα μετά ταῦτα, ἐρωτηθείς εἰ τόν τύπον ἐνεθεμάτισεν, ἀφόβως εἶπεν· Οὐ μόνον ἀνεθεμάτισα, ἀλλά καί λίβελλον ἐποίησα. Τί οὖν; οὐχ ὁμολογεῖς πεποιηκέναι κακῶς; λέγουσιν αὐτῷ οἱ ἄρχοντες. Καί λέγει· Μή δῷ ὁ Θεός, ἵνα ὅπερ ἐποίησα καλῶς κατά θεσμόν ἐκκλησιαστικόν, εἴπω (128) γενέσθαι κακῶς. Καί πολλά ἄλλα ἐρωτηθείς, καί ἀποκριθείς καθώς ὁ Θεός ἐχορήγησεν αὐτῷ, ἐξάγεται τοῦ σεκρέτου.

## *ΙΓ΄.*

Καί εἰσάγουσι τόν γέροντα, καί λέγει πρός αὐτόν κῦρις Τρώϊλος· Εἰπέ, ἀββᾶ, βλέπε, εἰπέ τήν ἀλήθειαν, καί ἐλεεῖ σε ὁ δεσπότης· ἐπεί ἐάν διά τῆς νομίμου διηγήσεως ἔλθωμεν, καί εὕρῃ κἄν ἕν τῶν κατηγορηθέντων σου ἀληθές, ὁ νόμος φονεύει σε. Καί εἶπε· καί ἤδη εἶπον, καί πάλιν λέγω, ὅτι ἐάν μόνον ἕν λέγηται εἶναι ἀληθές, καί ὁ Σατανᾶς Θεός ἐστιν. Εἰ δέ οὐκ ἔστι Θεός, ἀλλ' ἀποστάτης, καί τά κατηγορηθέντα μου ψευδῆ καί ἀνυπόστατα. Πλήν εἴ τι κελεύετε ποιῆσαι, ποιήσατε. Θεόν σέβων, οὐκ ἀδικοῦμαι. Καί λέγει αὐτῷ· Οὐκ ἀνεθεμάτισας τόν τύπον; Ἀπεκρίθη· Πολλάκις εἶπον ὅτι ἀνεθεμάτισα. Λέγει αὐτῷ τόν τύπον ἀνεθεμάτισας; τόν βασιλέα ἀνεθεμάτισας. Ἀπεκρίθη ὁ δοῦλος τοῦ Θεοῦ· Ἐγώ βασιλέα οὐκ ἀνεθεμάτισα, ἀλλά χάρτην ἀλλότριον τῆς ὀρθοδόξου καί ἐκκλησιαστικῆς πίστεως. Καί λέγει αὐτῷ· Ποῦ ἀνεθεματίσθη; - Ὑπό τῆς συνόδου Ῥώμης, ἀπεκρίθη, εἰς τήν ἐκκλησίαν τοῦ Σωτῆρος, καί εἰς τήν Θεοτόκον. Τότε λέγει πρός αὐτόν ὁ ἔπαρχος· Κοινωνεῖς τῇ Ἐκκλησίᾳ τῶν ὧδε, ἤ οὐ κοινωνεῖς; Ἀπεκρίθη, καί εἶπεν· Οὐ κοινωνῶ. Λέγει αὐτῷ· Διά τί; Ἀπεκρίθη· Ὅτι ἔξω ἔβαλε τάς συνόδους. Καί εἶπεν· Ἐάν ἔξω ἔβαλε τάς συνόδους, πῶς εἰς τά δίπτυχα ἀναφέρονται; Καί λέγει· Καί τίς ὄνησις ὀνομάτων, τῶν δογμάτων ἐκβεβλημένων; Καί δύνασαι, ἔφη, τοῦτο δεῖξαι; Καί εἶπεν· Ἐάν λάβω ἄδειαν, καί κελεύετε, δειχθῆναι ἔχω τοῦτο πάνυ εὐχερῶς. Καί σιωπησάντων αὐτῶν, λέγει αὐτῷ ὁ σακελλάριος· Διατί ἀγαπᾷς τούς Ῥωμαίους, καί τούς Γραικούς μισεῖς. Ἀποκριθείς ὁ τοῦ Θεοῦ δοῦλος, εἶπε· Παραγγελίαν ἔχομεν, τοῦ μή μισῆσαί τινα. Ἀγαπῶ τούς Ῥωμαίους, ὡς ὁμόπιστους· τούς δέ Γραικούς, ὡς ὁμογλώσσους. Καί πάλιν λέγει αὐτῷ ὁ σακελλάριος· Πόσων ἐτῶν λέγεις ἑαυτόν· Ἀπεκρίθη; Ἑβδομήκοντα πέντε. Καί λέγει αὐτῷ· Πόσους χρόνους ἔχει μετά σοῦ ὁ μαθητής σου; Ἀπεκρίθη· Τριάκοντα ἑπτά. Τότε ἀνέκραξε εἷς κληρικός· Ἀπέδωκέ σοι ὁ Κύριος, ὅσα ἐποίησας τῷ μακαρίῳ Πύῤῥῳ. Πρός ὅν οὐδέν ἀπεκρίθη ὅλως.

## *ΙΔ΄.*

Τοσοῦτων δέ λαληθέντων ἐν τῷ σεκρέτῳ, οὐδείς οὐδέν τῶν πατριαρχῶν ἐφθέγξατο. Ἐν δέ τῷ κινεῖσθαι περί τῆς συνόδου Ῥώμης λόγον, κράζει ὁ Δημοσθένης· Οὐ κεκύρωται ἡ σύνοδος, τοῦ συγκροτήσαντος αὐτήν καθαιρεθέντος. Καί λέγει ὁ τοῦ Θεοῦ δοῦλος· Οὐ καθηρέθη, ἀλλ' ἐδιώχθη. Ποία γέγονεν ἐπί τοῖς πεπραγμένοις

συνοδική καί κανονική πρᾶξις ἀσφαλῶς ἔχουσα αὐτοῦ τήν καθαίρεσιν; Πλήν ἵνα καί κανονικῶς καθηρέθη, οὐ ποιεῖ τοῦτο πρόκριμα τοῖς ὀρθοδόξως κατά τούς θείους κανόνας κυρωθεῖσιν· οἷς καί τά γραφέντα παρά τοῦ ἐν ἁγίοις πάπα Θεοδώρου συμβαίνουσι. Καί λέγει τούτων ἀκούσας Τρώϊλος ὁ πατρίκιος· Οὐκ οἶδας τί λέγεις, ἀββᾶ· τό γενόμενον γέγονε.

***ΙΕ΄.***

*(*129) Ταῦτα ὅσα ἡ μνήμη κατέχει τά κεκινημένα τε καί εἰρημένα· καί εἰς τοιοῦτον τά κατ' αὐτούς κατέληξε τέλος, ἀπολύσαντες καί τόν ἅγιον γέροντα τοῦ σεκρέτου, ἐν τῇ φρουρᾷ. Καί τῇ ἐπαύριον, ἥτις ἦν Κυριακή, συμβούλιον ποιήσαντες οἱ τῆς Ἐκκλησίας, ἔπεισαν τόν βασιλέα, ταύτην αὐτούς κατακρῖναι τήν πικράν καί ἀπάνθρωπον ἐξορίαν, διῃρημένους ἀλλήλων· τόν μέν ἅγιον γέροντα εἰς Βιζύην κάστρον τῆς Θράκης· τόν δέ μαθητήν αὐτοῦ εἰς Πέρβεριν· ὅ οὐκ ἔχει ἐξώτερον βῆμα ποδός ἡ Ῥωμαίων βασιλεία, ἀπρονοήτους, γυμνούς, ἀτρόφους, πάσης τῆς πρός τό ζῆν ἀφορμῆς ἐστερημένους· μή ἐγγίζοντας θαλάσσῃ, ἵνα μή ἔχωσιν ἐκ τῶν ἐλεημόνων ἐπίσκεψιν. Καί οὕτως εἰσί γυμνοί καί ἄτροφοι, μόνην ἔχοντες τήν ἐλπίδα τοῦ Θεοῦ· παρακαλοῦντες πάντας τούς Χριστιανούς, τοῦτο βοῶντες· Εὔξασθε διά τόν Κύριον, ἵνα τελειώσῃ ὁ Θεός τό ἔλεος αὐτοῦ μετά τῆς ταπεινώσεως ἡμῶν, καί διδάξῃ ἡμᾶς ὅτι οἱ συμπλέοντες αὐτῷ, ἠγριωμένης πεῖραν λαμβάνουσι θαλάσσης, ἀνέμοις καί κύμασι δονουμένου μέν τοῦ σκάφους, ἀκατασείστου δέ διαμένοντος. Συγχωρεῖ γάρ κλύδωνος μεγάλου αὐτούς πειραθῆναι, δοκιμάζων αὐτῶν τήν περί αὐτόν διάθεσιν, ἵνα μεγάλῃ τῇ φωνῇ κράξωσι· Κύριε, σῶσον ἡμᾶς, ἀπολλύμεθα· καί μάθωσι πάντα μόνῳ αὐτῷ ἐπιγράφειν, τά τῆς αὐτῶν σωτηρίας· καί μή πεποιθότες ὦσιν ἐφ' ἑαυτοῖς, καί τύχωσι γαλήνης μεγάλης, τοῦ ἀνέμου καί τῶν κυμάτων κατευνασθέντων· καί εἰς μέσον λύκων αὐτούς ἐκδίδωσι, καί διά τῆς στενῆς πύλης εἰσελθεῖν, καί διά τεθλιμμένης ὁδεύειν τρίβου παρακελεύεται· καί λιμόν, καί δίψαν, καί γύμνωσιν, καί δεσμά, καί φυλακάς, καί ἀπαγωγάς, καί μάστιγας, καί σταυρόν, καί ἥλους καί ὄξος, καί χολήν, καί ἐμπτύσματα, καί ῥαπίσματα, καί κολαφίσματα, καί ἐμπαιγμούς προτείνεται· καί πάθος καί θανάτους πολυτρόπους· ὧν τέλος, ἡ παμφαής ἀνάστασις, φέρουσα μεθ' ἑαυτῆς εἰρήνην τοῖς δι' αὐτόν διωχθεῖσι· καί χαράν, τοῖς δι' αὐτόν θλιβεῖσι· καί ἀνάληψιν εἰς

οὐρανούς, καί προσαγωγήν τῷ Πατρικῷ καί ὑπερουσίῳ θρόνῳ, καί λῆξιν ὑπέρ ἄνω πάσης ἀρχῆς οὖσαν καί ἐξουσίας καί δυνάμεως καί κυριότητος· καί παντός ὀνόματος ὀνομαζομένου, εἴτε ἐν τῷ αἰῶνι τούτῳ, εἴτε ἐν τῷ μέλλοντι· ἧς τύχοιμεν ἅπαντες, εὐχαῖς καί πρεσβείαις τῆς πανυμνήτου πανσέπτου καί ὑπερενδόξου κυρίως φύσει Θεοτόκου καί ἀειπαρθένου Μαρίας, καί τῶν ἁγίων ἀποστόλων, προφητῶν καί μαρτύρων. Ἀμήν.

**ΠΡΟΣ ΑΝΑΣΤΑΣΙΟΝ ΜΟΝΑΖΟΝΤΑ (132)**

Χθές ὀκτωκαιδεκάτῃ τοῦ μηνός, ἥτις ἦν ἡ ἁγία Πεντηκοστή, ὁ πατριάρχης

ἐδήλωσέ μοι λέγων· Ποίας Ἐκκλησίας εἶ; Βυζαντίου; Ῥώμης; Ἀντιοχείας Ἀλεξανδρείας; Ἱεροσολύμων; Ἰδού πᾶσαι μετά τῶν ὑπ' αὐτάς ἐπαρχιῶν ἡνώθησαν. Εἰ τοίνυν εἶ τῆς καθολικῆς Ἐκκλησίας, ἑνώθητι, μήπως ξένην ὁδόν τῷ βίῳ καινοτομῶν, πάθῃς ὅπερ οὐ προσδοκᾷς. Πρός οὕς εἶπον· Καθολικήν Ἐκκλησίαν, τήν ὀρθήν καί σωτήριον τῆς εἰς αὐτόν πίστεως ὁμολογίαν, Πέτρον μακαρίσας ἐφ' οἷς αὐτόν καλῶς ὡμολόγησεν, ὁ τῶν ὅλων εἶναι Θεός ἀπεφήνατο. Πλήν μάθω τήν ὁμολογίαν, ἐφ' ἥν πασῶν τῶν Ἐκκλησιῶν γέγονεν ἡ ἕνωσις· καί τοῦ γενομένου καλῶς, οὐκ ἀλλοτριοῦμαι. Καί φασι· Κἄν οὐκ ἔχωμεν περί τούτου κέλευσιν, λέγομεν διά τό γενέσθαι σε πάντως ἀπροφάσιστον. Δύο λέγομεν ἐνεργείας διά τήν διαφοράν, καί μίαν διά τήν ἕνωσιν. -Τάς δύο διά τήν ἕνωσιν μίαν φατέ γεγονέναι, ἤ παρά ταύτας, εἶπον, ἑτέραν -Οὐ, φασίν, ἀλλά τάς δύο μίαν διά τήν ἕνωσιν, - Ἀπηλλάγημεν πραγμάτων, ἔφην, ἑαυτοῖς ἀνυπόστατον πίστιν, καί Θεόν ἀνύπαρκτον πλάσαντες. Εἰ γάρ εἰς μίαν συγχέομεν τάς δύο διά τήν ἕνωσιν, καί πάλιν εἰς δύο διαιροῦμεν διά τήν διαφοράν, οὐκ ἔσται μονάς οὔτε δυάς ἐνεργειῶν, ἀλλήλαις ἀναιρουμένων ἀεί, καί ποιουσῶν ἀνενέργητον ᾧ προσπέφηκαν, καί παντελῶς ἀνύπαρκτον. Τό γάρ μηδεμίαν ἔχον ἐκ φύσεως ἀναφαίρετον, καί μηδενί λόγῳ τροπῆς ἀλλοιουμένην καί μεταπίπτουσαν κίνησιν, πάσης οὐσίας ἐστέρηται κατά τούς Πατέρας, οὐκ ἔχον ἐνέργειαν οὐσιωδῶς αὐτό χαρακτηρίζουσαν. Τοῦτο οὖν λέγειν οὐ δύναμαι, οὔτε ἐδιδάχθην παρά τῶν ἁγίων Πατέρων ὁμολογεῖν. Τό δοκοῦν ὑμῖν, οὖσιν ἐξουσιασταῖς, ποιήσατε. - Οὐκοῦν ἄκουσον, ἔφησαν· ἔδοξε τῷ δεσπότῃ καί τῷ πατριάρχῃ, διά πραικέπτου τοῦ πάππα Ῥώμης, ἀναθεματισθῆναί σε μή πειθόμενον, καί τόν ὁριζόμενον αὐτοῖς ἀπενέγκασθαι θάνατον. - Τό τῷ Θεῷ πρό παντός αἰῶνος ὁρισθέν ἐν ἐμοί δέξοιτο πέρας, φέρον αὐτῷ δόξαν πρό παντός ἐγνωσμένην αἰῶνος, αὐτοῖς τοῦτο ἀκούσας ἀπεκρινάμην. -Καί πρός τό γνῶναί σε, καί προσθήκην εὐχῆς τῷ Θεῷ ποιήσασθαι καί δεήσεως, ἐμφανῆ σοι τά δηλωθέντα πεποίηκα, παρακαλῶν τῷ κυρίῳ Θείῳ, καί τοῖς ἐκεῖ σύν αὐτῷ πατράσιν ἡμῶν ἁγίοις γνώριμα καταστῆσαι ταῦτα, τῆς αὐτῆς χάριν αἰτίας.

ΤΟΜΟΣ Β΄. Σελ. (136)

Τοῦ ἐν ἁγίοις Πατρός ἡμῶν καί ὁμολογητοῦ Μαξίμου,

**Περί τῶν πραχθέντων ἐν τῇ πρώτῃ ἐξορίᾳ, ἤτοι ἐν Βιζύῃ· τά παρά τοῦ Θεοδοσίου ἐπισκόπου Καισαρείας Βιθυνίας, καί αὐτοῦ διαλεχθέντα.**

***Α΄.***

*Τά κεκινημένα περί τῆς ἀμωμήτου ἡμῶν τῶν Χριστιανῶν πίστεως, καί τῆς τῶν δι' ἐναντίας παρεισάκτου καινοτομίας, μεταξύ τοῦ ἀββᾶ Μαξίμου, καί Θεοδοσίου ἐπισκόπου Καισαρείας Βιθυνίας ἀναγκαῖον ἡγησάμην κατάδηλον ποιῆσαι πᾶσιν ὑμῖν τοῖς ἐν ὀρθοδοξίᾳ διατελοῦσιν, ἵνα ἀκριβέστερον τά περί τούτων εἰδέναι ἔχοντες, δοξάζητε μᾶλλον τόν φιλάνθρωπον Θεόν, τόν διδόντα λόγον ἐν ἀνοίξει τοῦ στόματος (137) τῶν φοβουμένων αὐτόν· μήπως συνήθως οἱ ἐχθροί τῆς ἀληθείας, τἀναντία ταύτης διαφημίζοντες, ἐκταράξωσιν ὑμῶν τάς καρδίας.*

Β'.

Τοιγαροῦν τῇ εἰκοστῇ τετάρτῃ τοῦ Αὐγούστου μηνός τῆς νυνί παρελθούσης τεσσαρεσκαιδεκάτης ἐπινεμήσεως, ἐξῆλθεν πρός αὐτόν ἐν ᾗ παρεφυλάττετο ἐξορίᾳ, τουτέστιν ἐν κάστρῳ Βιζύης, ὁ προρηθείς ἐπίσκοπος Θεοδόσιος, ὡς εἶπεν, ἐκ προσώπου Πέτρου τοῦ προέδρου Κωνσταντινουπόλεως πεμφθείς· καί Παῦλος καί Θεοδόσιος οἱ ὕπατοι, ὡς εἶπον καί αὐτοί, ἐκ προσώπου βασιλέως πεμφθέντες· καί ἀνελθόντες πρός τόν εἰρημένον μοναχόν Μάξιμον, ἐν ᾧ τόπῳ ἀπεκέκλειστο, ἐκάθισαν, καί ἐπέτρεψαν καί αὐτόν καθίσαι, συνόντος αὐτοῖς δηλονότι καί τοῦ ἐπισκόπου Βιζύης. Καί λέγει πρός αὐτόν Θεοδόσιος ὁ ἐπίσκοπος· Πῶς ἔχεις, κῦρι ἀββᾶ; ΜΑΞ. Ὡς προώρισεν ὁ Θεός πρό πάντων τῶν αἰώνων τήν περί ἐμέ προνοητικήν διεξαγωγήν, οὕτως ἔχω. ΘΕΟΔ. Τί οὖν; πρό παντός περί ἑκάστου ἡμῶν ὥρισεν(προώρισεν) Ο Θεός; ΜΑΞ. Εἴπερ προέγνω, πάντως καί προώρισε· ΘΕΟΔ. Τί ἔστιν αὐτό τό, Προέγνω, καί Προώρισεν; ΜΑΞ. Ἡ πρόγνωσις τῶν ἐφ' ἡμῖν ἐννοιῶν καί λόγων καί ἔργων ἐστίν· ὁ προορισμός δέ τῶν οὐκ ἐφ' ἡμῖν συμβαινόντων ἐστί. ΘΕΟΔ. Ποῖά ἐστι τά ἐφ' ἡμῖν, καί ποῖα τά οὐκ ἐφ' ἡμῖν; ΜΑΞ. Ὡς ἔοικε, πάντα

γινώσκων ὁ δεσπότης μου, δοκιμαστικῶς διαλέγεται πρός τόν δοῦλον αὐτοῦ. ΘΕΟΔ. Μά τήν ἀλήθειαν τοῦ Θεοῦ, ἀγνοῶν ἠρώτησα, καί μαθεῖν θέλων τήν διαφοράν τῶν ἐφ’ ἡμῖν, καί οὐκ ἐφ’ ἡμῖν· καί πῶς τά μέν ὑπό τήν πρόγνωσιν τοῦ Θεοῦ ὑπάρχουσι· τά δέ, ὑπό τόν προορισμόν εἰσιν. ΜΑΞ. Ἐφ’ ἡμῖν ἐστι τά ἑκούσια πάντα, τουτέστιν ἀρεταί καί κακίαι· οὐκ ἐφ’ ἡμῖν δέ, αἱ ἐπιφοραί τῶν συμβαινόντων ἡμῖν κολαστικῶν τρόπων, ἤ τῶν ἐναντίων. Οὔτε γάρ ἐφ’ ἡμῖν ἐστιν ἡ κολάζουσα νόσος, οὔτε ἡ εὐφραίνουσα ὑγεία· καί αἱ ποιότητες καί αἱ τούτων αἰτίαι. Οἷον αἰτία νόσου ἀταξία, ὥσπερ καί ὑγείας εὐταξία· καί βασιλείας οὐρανῶν αἰτία, ἡ τῶν ἐντολῶν φυλακή, ὥσπερ καί πυρός αἰωνίου, ἡ τῶν τούτων παράβασις. ΘΕΟΔ. Τί οὖν; διά τοῦτο θλίβῃ ἐν τῇ ἐξορίᾳ ταύτῃ, ἐπειδή ἄξιά τινα ἐποίησας ταύτης τῆς θλίψεως; ΜΑΞ. Παρακαλῶ ἵνα ὁ Θεός ταῦτῃ τῇ θλίψει περιορίσῃ τάς ἐκτίσεις ὧν ἥμαρτον αὐτῷ ἐν τῇ παραβάσει τῶν αὐτοῦ δικαιωτικῶν ἐντολῶν. ΘΕΟΔ. Οὐκ ἔστι δοκιμῆς ἕνεκεν ἀπαγομένοη θλίψις πολλοῖς; ΜΑΞ. Ἡ δοκιμή τῶν ἁγίων ἐστίν, ἵνα φανερωθῶσι διά τῆς θλίψεως τῷ βίῳ τῶν ἀνθρώπων, αἱ περί τό φύσει καλόν διαθέσεις αὐτῶν, ἑαυταῖς συνεκφαίνουσαι τάς ἠγνοημένας πᾶσιν ἀρετάς, ὡς ἐπί Ἰώβ καί Ἰωσήφ. Ὁ μέν γάρ ἐπί φανερώσει τῆς κεκρυμμένης ἀνδρείας ἐπειράζετο· ὁ δέ, ἐπ’ ἐκφωνήσει τῆς ἁγιαστικῆς σωφροσύνης ἐδοκιμάζετο· καί πᾶς τῶν ἁγίων ἀκουσίως ἐν τῷ αἰῶνι τούτῳ θλιβείς, ἐπι τισί τοιαύταις οἰκονομίαις ἐθλίβετο, ἵνα διά τῆς ἀσθενείας τῆς συγχωρουμένης αὐτοῖς ἐπαχθῆναι, τόν ὑπερήφανον καί ἀποστάτην περιπατήσωσι δράκοντα, τουτέστι τόν διάβολον.(140) Ἡ γάρ ὑπομονή, δοκιμῆς ἔργον ἐστίν ἐφ’ ἑκάστου τῶν ἁγίων. ΘΕΟΔ. Μά τήν ἀλήθειαν τοῦ Θεοῦ, καλῶς εἶπας· καί ὁμολογῶ τήν ὠφέλειαν· καί ἐζήτουν ἀεί εν τοῖς τοιούτοις συνδιαλέγεσθαι ὑμῖν· ἀλλ’ ἐπειδή ἐπ’ ἄλλῳ κεφαλαίῳ κἀγώ καί οἱ δεσπόται μου οἱ μελλοπατρίκιοι πρός σέ γεγόναμεν, καί τοσαῦτα διαστήματα ἤλθομεν, παρακαλοῦμέν σε τά παρ’ ἡμῶν προτεινόμενα δέξασθαι, καί χαροποιῆσαι πᾶσαν τήν οἰκουμένην. ΜΑΞ. Ποῖα ταῦτά εἰσι, δέσποτα, καί τίς ἐγώ, καί πόθεν εἰμί, ἵνα ἡ ἐπί τοῖς προτεινομένοις μοι συγκατάθεσις χαροποιήσῃ πᾶσαν τήν οἰκουμένην; ΘΕΟΔ. Μά τήν ἀλήθειαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἅπερ λέγω σοι, ἐγώ τε καί οἱ δεσπόται μου μελλοπατρίκιοι ἐκ τοῦ στόματος τοῦ δεσπότου ἡμῶν τοῦ πατριάρχου καί τοῦ εὐσεβοῦς Δεσπότου τῆς οἰκουμένης ἠκούσαμεν. ΜΑΞ. Κελεύσατε, οἱ δεσπόται μου, εἰπεῖν ἅπερ βούλεσθε, καί ἅπερ ἠκούσατε.

*Γ΄*.

ΘΕΟΔ. Παρακαλεῖ ὁ βασιλεύς καί ὁ πατριάρχης δι' ἡμῶν, μαθεῖν παρά σοῦ, διά ποίαν αἰτίαν οὐ κοινωνεῖς τῷ θρόνῳ Κωνσταντινουπόλεως. ΜΑΞ. Ἔχετε περί τούτου ἐπιτροπήν ἔγγραφον παρά τοῦ εὐσεβεστάτου βασιλέως, ἤ παρά τοῦ πατριάρχου; ΘΕΟΔ. Οὔκ ὤφελες, δέσποτα, ἀπιστῆσαι ἡμῖν. Κἄν γάρ ταπεινός εἰμι, ἐπίσκοπος ἀκούω· καί οἱ δεσπόται μου συγκλήτου μέρος τυγχάνουσι· καί οὐκ ἤλθομεν πειράσαι σε· μή δῴη Θεός. ΜΑΞ. Οἱῳδήποτε τρόπῳ ἤλθατε πρός τόν δοῦλον ὑμῶν, ἐγώ χωρίς πάσης ὑποστολῆς λέγω τήν αἰτίαν δι' ἥν οὐ κοινωνῶ τῷ θρόνῳ Κωνσταντινουπόλεως· Πλήν κἄν ἄλλων ἦν τό ἐρωτᾷν με διά ποίαν αἰτίαν, ὑμῶν ἔστι, τῶν γινωσκόντων ἀσφαλῶς πλεῖον ἐμοῦ τήν αἰτίαν.

*Δ΄*.

Γινώσκετε τάς γενομένας καινοτομίας ἀπό τῆς ἕκτης ἐπινεμήσεως τοῦ διελθόντος κύκλου ἀρξαμένας ἀπό Ἀλεξανδρείας διά τῶν ἐκτεθέντων ἐννέα κεφαλαίων παρά Κύρου, τοῦ οὐκ οἶδα πῶς γεγονότος ἐκεῖσε προέδρου, τῶν βεβαιωθένων ὑπό τοῦ θρόνου Κωνσταντινουπόλεως· καί τάς ἄλλας ἀλλοιώσεις, προσθήκας τε καί μειώσεις, τάς γενομένας συνοδικῶς ὑπό τῶν προεδρευσάντων τῆς τῶν Βυζαντίων Ἐκκλησίας, Σεργίου λέγω, καί Πύῤῥου, καί Παύλου· ἅστινας καινοτομίας πᾶσα γινώσκει ἡ οἰκουμένη. Διά ταύτην τήν αἰτίαν οὐ κοινωνῶ, ὁ δοῦλος ὑμῶν, τῇ Ἐκκλησίᾳ Κωνσταντινουπόλεως. Ἀρθῶσι τά προσκόμματα τά τεθέντα ὑπό τῶν εἰρημένων ἀνδρῶν, μετ' αὐτῶν ἐκείνων τῶν θεμένων αὐτά, καθώς εἶπεν ὁ Θεός· Καί τούς λίθους ἐκ τῆς ὁδοῦ διαῤῥίψατε, καί τήν λείαν καί τετριμμένην, καί πάσης ἀκανθώδους αἱρετικῆς κακίας ἐλευθέραν ὁδόν τοῦ Εὐαγγελίου, καθάπερ καί ἦν εὑρίσκων, ὁδεύω πάσης δίχα προτροπῆς ἀνθρωπίνης. Ἕως δέ ἄν τοῖς (141) τεθεῖσι προσκόμμασι, καί τοῖς τεθεικόσιν αὐτά σεμνύνωνται οἱ πρόεδροι Κωνσταντινουπόλεως, οὐδείς ἐστιν ὁ πείθων με λόγος ἤ τρόπος κοινωνεῖν αὐτοῖς.

*Ε΄*.

ΘΕΟΔ. Τί γάρ κακόν ὁμολογοῦμεν, ἵνα χωρισθῇς τῆς κοινωνίας ἡμῶν; ΜΑΞ. Ὅτι μίαν ἐνέργειαν λέγοντες θεότητος καί ἀνθρωπότητος τοῦ Θεοῦ καί Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, συγχέετε τόν τε τῆς θεολογίας, καί τῆς οἰκονομίας λόγον. Εἰ γάρ πεισθῆναι δεῖ

τοῖς ἁγίοις Πατράσι, λέγουσιν, Ὧν ἡ ἐνέργεια μία, τούτων καί ἡ οὐσία μία· τετράδα ποιεῖτε τήν ἁγίαν Τριάδα, ὡς ὁμοφυοῦς τῷ Λόγῳ γενομένης τῆς αὐτοῦ σαρκός, καί ἐκστάσης τῆς πρός ἡμᾶς καί τῆς αὐτόν τεκούσης συγγενοῦς κατά φύσιν ταυτότητος.

***Στ΄.***

Καί πάλιν, ἀναιροῦντες τάς ἐνεργείας, καί μίαν κυροῦντες θέλησιν θεότητος τοῦ αὐτοῦ καί ἀνθρωπότητος, ἀφαιρεῖσθε αὐτοῦ τήν τῶν ἀγαθῶν διανομήν. Ἐάν γάρ ἐνέργειαν οὐδεμίαν ἔχῃ, κατά τούς τοῦτο θεσπίσαντας, δῆλον ὅτι, κἄν θέλῃ, ἐλεῆσαι οὐ δύναται, ἀφαιρεθείσης αὐτῷ τῆς τῶν ἀγαθῶν ἐνεργείας, εἴπερ ἐνεργείας ἀγαθῆς χωρίς, οὐδέν τῶν ὄντων ἐνεργεῖν ἤ πράττειν πέφυκεν.

***Ζ΄.***

Ἄλλως τε δέ, καί τήν σάρκα ποιεῖτε τῷ θελήματι συνδημιουργόν πάντων τῶν αἰώνων, καί τῶν ἐν αὐτοῖς, Πατρί τε, καί Υἱῷ, καί Πνεύματι· τῇ δέ φύσει κτιστήν, ἤ τό ἀληθέστερον εἰπεῖν, ἄναρχον τῇ θελήσει, ἐπείπερ ἡ θεία θέλησις ἄναρχός ἐστιν, ὡς ἀνάρχου Θεότητος· τῇ δέ φύσει πρόσφατον, ὅπερ πᾶσαν οὐκ ἄνοιαν ὑπερβαίνει μόνον, ἀλλά καί ἀσέβειαν. Οὐ γάρ λέγετε ἁπλῶς μόνον ἕν θέλημα, ἀλλά καί τοῦτο θεϊκόν. Θείας δέ θελήσεως, οὐδείς δύναται ἀρχήν ἐπινοῆσαι χρονικήν, ἤ τέλος, ἐπειδή μηδέ τῆς θείας φύσεως, ἧς ἐστιν οὐσιώδης ἡ θέλησις.

Η΄.

Πάλιν δέ ἑτέραν εἰσάγοντες καινοτομίαν, ἀφαιρεῖσθε παντάπασι πάντα τά γνωριστικά καί συστατικά τῆς θεότητος καί τῆς ἀνθρωπότητος τοῦ Χριστοῦ, νόμοις καί τύποις θεσπίζοντες μήτε μίαν, μήτε δύο ἐπ’ αὐτοῦ θελήσεις ἤ ἐνεργείας λέγεσθαι· ὅπερ ἐστί πράγματος ἀνυπάρκτου. Οὐδέν γάρ τῶν ὄντων, εἴτε νοερόν ἐστιν ἀφήρηται θελητικῆς δυνάμεως καί ἐνεργείας, εἴτε αἰσθητικόν αἰσθητικῆς ἐνεργείας, εἴτε φυτικόν, αὐξητικῆς καί θρεπτικῆς ἐνεργείας· εἴτε παντελῶς ἄψυχον, καί πάσης ἄμοιρον ζωῆς, τῆς καθ’ ἕξιν λεγομένης ἐνεργείας καί ἐπιτηδειότητος. Καί δηλοῦσι πάντα τά οὕτως ὄντα, ἀντιληπτά τυγχάνοντα ταῖς τῶν αἰσθητικῶν αἰσθήσεσιν. Ἐνέργεια γάρ τῶν τοιούτων, τό ὑποπίπτειν πάντως ὁράσεσι, διά τῆς ἰδίας ἐπιφανείας· ἀκοῇ, διά κτύπου· ὀσφρήσει, δι’ ἀτμοῦ τινος προσφυοῦς· γεύσει, τισί χυμοῖς· καί ἁφῇ, διά τῆς ἀντιτυπίας. Ὥσπερ

γάρ ἐνέργειαν λέγομεν τῆς ὁράσεως τό ὁρᾷν, οὕτως καί τῶν ὁρωμένων τό ὁρᾶσθαι. Καί τά λοιπά πάντα κατά τόν αὐτόν θεωροῦμεν γινόμενα τρόπον. Εἰ τοίνυν οὐδέν τῶν ὄντων ἐστί πάσης ἔρημον παντελῶς φυσικῆς (144) ἐνεργείας· ὁ δέ Κύριος ἡμῶν καί Θεός ( ἱλάσθητι, Κύριε ) οὐδεμίαν ἔχει φυσικήν θέλησιν ἤ ἐνέργειαν καθ' ἑκάτερον τῶν ἐξ ὧν, ἐν οἷς τε καί ἅπερ ἐστί· πῶς δύνασθε ἤ εἶναι ἤ καλεῖσθαι θεοσεβεῖς, κατ' οὐδένα τρόπον ὑπάρχοντα θελητικόν ἤ ἐνεργητικόν, παρ' ὑμῶν προσκυνούμενον λέγοντες; Τρανῶς γάρ ὑπό τῶν ἁγίων Πατέρων διδασκόμεθα, λεγόντων· Τό γάρ μηδεμίαν δύναμιν ἔχον, οὔτε ἔστιν, οὔτε τί ἐστιν, οὔτε ἔστι τις αὐτοῦ παντελῶς θέσις.

***Θ΄.***

ΘΕΟΔ. Τό δι' οἰκονομίαν γενόμενον, μή λάβῃς ὡς κύριον δόγμα. ΜΑΞ. Εἰ μή ἐστι κύριον δόγμα τῶν δεχομένων, ὁ θεσπίζων τύπος καί νόμος μηδεμίαν λέγεσθαι τοῦ Κυρίου θέλησιν ἤ ἐνέργειαν, ὧν ἡ ἀφαίρεσις τήν ἀνυπαρξίαν δηλοῖ τοῦ ταύτας ἀφῃρημένου, διά ποίαν αἰτίαν βαρβάροις ἔθνεσι καί ἀθέοις ἀπέδοσθέ με ἄνευ τιμῆς; Διά ποίαν αἰτίαν κατεκρίθην οἰκῆσαι Βιζύην, καί οἱ σύνδουλοί μου, ὁ μέν Πέρβεριν, ὁ δέ Μεσημβρίαν; ΘΕΟΔ. Μά τόν Θεόν τόν μέλλοντά με ἐτάσαι, καί ὅτε γέγονεν, εἶπον, καί νῦν τά αὐτό λέγω, ὅτι κακῶς γέγονεν ὁ Τύπος, καί ἐπί βλάβῃ πολλῶν. Πρόφασις δέ γέγονε τό ἐκτεθεῖναι αὐτόν, ἡ πρός ἀλλήλους τῶν ὀρθοδόξων περί θελημάτων καί ἐνεργειῶν ζυγομαχία· καί διά τό πρός ἀλλήλους εἰρηνεῦσαι πάντας, συνεῖδόν τινες τάς τοιαύτας κατασιγασθῆναι φωνάς. ΜΑΞ. Καί ποῖος πιστός δέχεται οἰκονομίαν κατασιγάζουσαν φωνάς, ἅσπερ λαλεῖσθαι δι' ἀποστόλων, καί προφητῶν, καί διδασκάλων ὁ τῶν ὅλων Θεός ᾠκονόμησε; Καί σκοπήσωμεν, κῦρι ὁ μέγας, εἰς ποῖον κακόν καταντᾷ ψηλαφούμενον τό κεφάλαιον τοῦτο. Εἰ γάρ ὁ μέν Θεός ἔθετο ἐν τῇ Ἐκκλησίᾳ, πρῶτον μέν ἀποστόλους, δεύτερον προφήτας, τρίτον διδασκάλους πρός τόν καταρτισμόν τῶν ἁγίων· εἰρηκώς ἐν τῷ Εὐαγγελίῳ τοῖς ἀποστόλοις, καί δι' αὐτῶν καί τοῖς μετ' αὐτούς· Ὅ ὑμῖν λέγω, πᾶσι λέγω. Καί πάλιν· Ὁ δεχόμενος ὑμᾶς, ἐμέ δέχεται· καί ὁ ἀθετῶν ὑμᾶς, ἐμέ ἐθετεῖ· δῆλον ὅτι καί προφανές, ὡς ὁ μή δεχόμενος τούς ἀποστόλους καί προφήτας, καί διδασκάλους, ἀλλ' ἀθετῶν αὐτῶν τάς φωνάς, αὐτόν ἀθετεῖ τόν Χριστόν.

*Ι΄.*

Καί ἄλλο δέ σκοπήσωμεν· Ὁ Θεός ἐκλεξάμενος, ἐξήγειρεν ἀποστόλους, καί προφήτας, καί διδασκάλους, πρός τόν καταρτισμόν τῶν ἁγίων· ὁ δέ διάβολος, ψευδαποστόλους καί ψευδοπροφήτας, καί ψευδοδιδασκάλους κατά τῆς εὐσεβείας ἐκλεξάμενος ἐξήγειρεν, ὥστε καί τόν παλαιόν πολεμηθῆναι νόμον, καί τόν εὐαγγελικόν. Ψευδαποστόλους δέ, καί (145) ψευδοπροφήτας, καί ψευδοδισκάλους μόνους νοῶ τούς αἱρετικούς· ὧν οἱ λόγοι καί οἱ λογισμοί διεστραμμένοι εἰσίν. Ὥσπερ οὖν ὁ τούς ἀληθεῖς ἀποστόλους, καί προφήτας, καί διδασκάλους δεχόμενος, Θεόν δέχεται· οὕτως καί ὁ τούς ψευδαποστόλους, καί ψευδοπροφήτας, καί ψευδοδιδασκάλους δεχόμενος, τόν διάβολον δέχεται. Ὁ τοίνυν συνεκβαλών τούς ἁγίους τοῖς ἐναγέσι καί ἀκαθάρτοις αἱρετικοῖς (δέξασθε λέγοντα τήν ἀλήθειαν), τῷ διαβόλῳ προφανῶς τόν Θεόν συγκατέκρινεν.

*ΙΑ΄.*

Εἰ τοίνυν γυμνάζοντες τάς γενομένας καινοτομίας ἐν τοῖς ἡμετέροις χρόνοις, εἰς τοῦτο καταντούσας αὐτάς εὑρίσκομεν τό ἀκρότατον κακόν, ὁρᾶτε μήπως εἰρήνην προφασιζόμενοι, τήν ἀποστασίαν εὑρεθῶμεν νοσήσαντες, καί κηρύττοντες ἥν πρόδρομον εἶπεν ἔσεσθαι τῆς τοῦ Ἀντιχρίστου παρουσίας ὁ θεῖος Ἀπόστολος. Ταῦτα χωρίς ὑποστολῆς εἶπον ὑμῖν, δεσπόται μου, ἵνα φείσησθε ἑαυτῶν τε καί ἡμῶν. Κελεύετε ἵνα ταῦτα γεγραμμένα ἔχων ἐν τῇ βίβλῳ τῆς καρδίας, ἔλθω κοινωνήσων ἐν ᾗ ταῦτα κηρύττεται Ἐκκλησίᾳ· καί γένωμαι κοινωνός τῶν ἀληθῶς μέν τόν Θεόν, δῆθεν δέ τόν διάβολον τῷ Θεῷ συνεκβαλλόντων; Μή γένοιτό μοι παρά τοῦ Θεοῦ, τοῦ δι' ἐμέ γενομένου χωρίς ἁμαρτίας. Καί βαλών μετάνοιαν εἶπεν· Ἐγώ, εἴ τι κελεύετε εἰς τόν δοῦλον ἡμῶν ποιῆσαι, ποιήσατε· ἐγώ τοῖς ταῦτα δεχομένοις, οὐδέποτε γένωμαι συγκοινωνός.

*ΙΒ΄.*

Καί ἀποπαγέντες ἐπί τοῖς λαληθεῖσι, κάτω βαλόντες τάς κεφαλάς ἐσίγησαν ἐπί ὥραν ἱκανήν· καί ἀνακύψας, καί τῷ ἀββᾷ Μαξίμῳ ἀτενίσας Θεοδόσιος ὁ ἐπίσκοπος, εἶπεν· Ἡμεῖς ἀντιφωνοῦμέν σοι, τόν δεσπότην ἡμῶν τόν βασιλέα, ὅτι σοῦ κοινωνοῦντος κουφίζει τόν Τύπον. ΜΑΞ. Πολύ ἀπεχόμεθα ἀπ' ἀλλήλων ἀκμήν· τί ποιοῦμεν περί τῆς συνοδικῶς βεβαιωθείσης φωνῆς, τοῦ ἑνός θελήματος, ἐπ' ἐκβολῇ

πάσης ἐνεργείας ὑπό Σεργίου καί Πύῤῥου ; ΘΕΟΔ. Ἐκεῖνος ὁ χάρτης κατηνέχθη καί ἀπεβλήθη. ΜΑΞ. Κατηνέχθη ἐκ τῶν λιθίνων τοίχων, οὐ μήν ἐκ τῶν νοερῶν ψυχῶν. Δέξωνται τήν κατάκρισιν τούτων τήν ἐν Ῥώμῃ συνοδικῶς ἐκτεθεῖσαν δι' εὐσεβῶν δογμάτων τε καί κανόνων, καί λέλυται τό μεσότοιχον, καί προτροπῆς οὐ δεόμεθα. ΘΕΟΔ. Οὐκ ἔῤῥωται ἡ σύνοδος ἡ ἐν Ῥώμῃ, ἐπειδή χωρίς κελεύσεως γέγονε βασιλέως. ΜΑΞ. Εἰ τάς γνομένας συνόδους αἱ κελεύσεις τῶν βασιλέων κυροῦσιν, ἀλλ' οὐχί εὐσεβής πίστις, δέξωνται καί τάς κατά τοῦ ὁμοουσίου γενομένας συνόδους, ἐπειδή κελεύσει βασιλέων γεγόνασιν· φημί δέ, τήν ἐν Τύρῳ, τήν ἐν Ἀντιοχείᾳ, τήν ἐν Σελευκείᾳ, τήν ἐν Κωνσταντινουπόλει ἐπί Εὐδοξίου τοῦ Ἀρειανοῦ· τήν ἐν Νίκῃ τῆς Θράκης, τήν ἐν τῷ Σιρμίῳ· καί μετά ταύτας πολλοῖς ὕστερον χρόνοις, τήν ἐν Ἐφέσῳ δεύτερον, ἧς ἐξῆρχε Διόσκορος· ὅλας γάρ ταύτας, κέλευσις βασιλέων ἤθροισε, καί ὅμως πᾶσαι κατεκρίθησαν διά τήν ἀθεΐαν τῶν κυρωθέντων ἀσεβῶς δογμάτων. Διά τί δέ οὐκ ἐκβάλλετε τήν καθελοῦσαν Παῦλον τόν Σαμοσατέα ἐπί τῶν ἁγίων καί μακαρίων (148) Πατέρων, Διονυσίου τοῦ πάπα Ῥώμης καί Διονυσίου τοῦ Ἀλεξανδρείας καί Γρηγορίου τοῦ Θαυματουργοῦ, τοῦ τῆς αὐτῆς ἄρξαντος συνόδου, ἐπειδή μή γέγονε κελεύσει βασιλέως; Ποῖος δέ κανών διαγορεύει, μόνας ἐκείνας ἐγκρίνεσθαι συνόδους, τάς κελεύσει βασιλέως ἀθροισθείσας, ἤ ὅλως κελεύσει βασιλέως πάντας τάς συνόδους ἀθροίζεσθαι. Ἐκείνας οἶδεν ἁγίας καί ἐγκρίτους συνόδους ὁ εὐσεβής τῆς Ἐκκλησίας κανών, ἅς ὀρθότης δογμάτων ἔκρινεν. Ἀλλά, καθώς οἶδεν ὁ δεσπότης μου, καί ἄλλους διδάσκει, δεύτερον γίνεσθαι σύνοδον κατά πᾶσαν ἐπαρχίαν τοῦ ἔτους ὁ κανών, διηγόρευσε, κελεύσεως βασιλικῆς μηδεμίαν μνήμην πεποιημένος, ἐπ' ασφαλείᾳ τῆς σωτηριώδους ἡμῶν πίστεως, καί διορθώσει πάντων τῷ θείῳ τῆς Ἐκκλησίας νόμῳ μή συναινούντων κεφαλαίων.

***ΙΓ΄.***

ΘΕΟΔ. Ὡς λέγεις ἐστίν· ἡ τῶν δογμάτων ὀρθότης ἐγκρίνει τάς συνόδους· πλήν οὐ δέχῃ τόν λίβελλον Μηνᾶ, ἐν ᾧ μίαν θέλησιν καί μίαν ἐνέργειαν τοῦ Χριστοῦ ἐδογμάτισεν; ΜΑΞ. Μή δῷ Κύριος ὁ Θεός· Ὑμεῖς οὐ δέχεσθε, ἀλλ' ἐκβάλλεσθε πάντας τούς διδασκάλους, τούς μετά τήν ἁγίαν ἐν Χαλκηδόνι σύνοδον, τούς ἀγωνισαμένους κατά τῆς τοῦ Σεβήρου μιαρίας· κἀγώ ἔχω δέξασθαι τόν λίβελλον Μηνᾶ, τοῦ γενομένου μετά τήν σύνοδον; δι' οὗ συνηγορεῖ προφανῶς Σεβήρῳ, καί

Ἀπολιναρίῳ καί Μακεδονίῳ καί Ἀρείῳ καί πάσῃ αἱρέσει, καί κατηγορεῖ τῆς συνόδου· μᾶλλον δέ τελείως ἐκβάλλει, δι' ὧν ἐδογμάτισε. ΘΕΟΔ. Τί οὖν; ὅλως οὐ δέχῃ μίαν ἐνέργειαν; ΜΑΞ. Καί τίς λέγει μίαν ἐνέργειαν τῶν ἐγκρίτων διδασκάλων; καί ἤγαγε Θεοδόσιος τάς ψευδωνύμως παρ' αὐτῶν περιφερομένας Ἰουλίου τοῦ Ῥώμης, καί τοῦ θαυματουργοῦ Γρηγορίου, καί Ἀθανασίου τῶν ἁγίων χρήσεις, καί ἀνέγνω αὐτάς. ΜΑΞ. Φοβηθῶμεν δή τόν Θεόν, καί μή θελήσωμεν παροργίσαι αὐτόν, ἐπί τῇ παραγωγῇ τῶν αἱρετικῶν χρήσεων. Οὐδείς ἀγνοεῖ ταύτας εἶναι τοῦ δυσσεβοῦς Ἀπολιναρίου. Εἰ μέν ἄλλας ἔχεις, δεῖξον· Ἐπεί ταύτας προφέροντες, πλεῖον πείθετε πάντας, ὅτι κατ' ἀλήθειαν Ἀπολιναρίου τοῦ δυσσεβοῦς, καί τῶν ὁμοφρόνων αὐτῷ κακοδοξίαν ἐνοσήσατε. Καί προφέρει ὁ αὐτός ἐπίσκοπος Θεοδόσιος, ἐπ' ὀνόματι τοῦ Χρυσοστόμου δύο χρήσεις, ἅς ἀναγνούς ὁ ἀββᾶς Μάξιμος ἔφη· Αὗται Νεστορίου εἰσί τοῦ νοσήσαντος ἐπί Χριστοῦ τήν προσωπικήν δυάδα. Καί εὐθέως θυμῷ ζέσας ὁ ἐπίσκοπος εἶπε· Κῦρι μοναχέ, ὁ Σατανᾶς ἐλάλησε διά τοῦ χαλινοῦ σου. ΜΑΞ. Μή λυπηθῇ ὁ δεσπότης μου πρός τόν δοῦλον αὐτοῦ. Καί λαβών, εὐθέως ἔδειξεν αὐτῷ τάς αὐτάς φωνάς οὔσας Νεστορίου, καί ἐν ποίοις λόγοις αὐτοῦ κειμένας. ΘΕΟΔ. Ὁ Θεός οἶδεν, ἀδελφέ, τάς χρήσεις ταύτας ὁ πατριάρχης μοι ἔδωκε· πλήν ἰδού, τάς μέν Ἀπολιναρίου εἶπας· τάς δέ, Νεστορίου. Καί παραγαγών τήν τοῦ ἁγίου Κυρίλλου χρῆσιν τήν λέγουσαν· Μίαν τε καί συγγενῆ, καί δι' ἀμφοῖν ἐπιδεικνύς ἐνέργειαν,(149) εἶπε· Τί πρός ταῦτα λέγεις; ΜΑΞ. Εἰσί τινες δείξαντες αὐτήν κατ' ἀλήθειαν κατά προσθήκην τεθεῖσαν ἐν τῇ ἑρμηνείᾳ τοῦ Εὐαγγελίου, τῇ γενομένῃ ἐκ τοῦ ἁγίου τούτου Πατρός, ὑπό Τιμοθέου τοῦ Ἐλούρου. Ἔστω δέ καθ' ὑμᾶς αὐτοῦ. Ἐξετάσωμεν τοίνυν τήν διάνοιαν τῶν πατρικῶν φωνῶν, καί γνωσόμεθα τήν ἀλήθειαν. ΘΕΟΔ. Τοῦτο οὐ συγχωρῶ γενέσθαι· ἁπλᾶς γάρ τάς φωνάς ἀνάγκην ἔχεις δέξασθαι. [ΜΑΞ. Εἰπέ μοι τήν διαφοράν, ἱκέσιος γενόμενος, τῶν ἁπλῶν φωνῶν πρός τάς ποικίλας. ΘΕΟΔ. Ἵνα ὡς ἔστι τήν φωνήν δέξῃ, καί μή ἐρευνήσῃς τήν διάνοιαν αὐτῆς.] ΜΑΞ. Προφανῶς καινούς καί ξένους τῆς Ἐκκλησίας καί περί τῶν φωνῶν εἰσάγετε θεσμούς. Εἰ καθ' ὑμᾶς οὐ δεῖ ἐρευνᾷν τάς φωνάς τῶν Γραφῶν καί τῶν Πατέρων, ἐκβάλλομεν πᾶσαν τήν Γραφήν τήν Παλαιάν καί τήν Καινήν. Ἠκούσαμεν γάρ λέγοντος τοῦ Δαβίδ· Μακάριοι οἱ ἐξερευνῶντες τά μαρτύρια αὐτοῦ, ἐν ὅλῃ καρδίᾳ ἐκζητήσουσιν αὐτόν· ὡς μηδενός χωρίς ἐρεύνης δυναμένου ἐκζητῆσαι τόν Θεόν. Καί πάλιν· Συνέτισόν με, καί

ἐξερευνήσω τόν νόμον σου, καί φυλάξω αὐτόν ἐν ὅλῃ καρδίᾳ μου· ὡς τῆς ἐρεύνης ἀγούσης ἐπί τήν γνῶσιν τοῦ νόμου, καί τῆς γνώσεως πόθῳ πειθούσης τούς ἀξίους ἐν καρδίᾳ αὐτῶν φυλάξαι, διά τῆς πληρώσεως τῶν ἐν αὐτῷ κειμένων ἁγίων ἐντολῶν. Καί πάλιν· Θαυμαστά τά μαρτύριά σου, διά τοῦτο ἐξηρευνήσεν αὐτά ἡ ψυχή μου. Τί δέ παραβολάς καί αἰνίγματα καί σκοτεινούς λόγους ἐρευνᾷν ἡμᾶς βούλεται ὁ παροιμιακός λόγος; Τί δέ ὁ Κύριος ἐν παραβολαῖς λαλῶν βούλεται νοεῖν τούς μαθητάς, διδάσκων τῶν παραβολῶν τήν διάνοιαν; Τί δέ προστάσεων, Ἐρευνᾶτε τάς Γραφάς, ὡς μαρτυρούσας περί αὐτοῦ; Τί δέ ὁ τῶν ἀποστόλων κορυφαῖος Πέτρος διδάσκειν βούλεται, Περί ἧς σωτηρίας ἐξεζήτησαν, καί ἐξηρεύνησαν προφῆται, λέγων; Τί δέ Παῦλος ὁ θεῖος ἀπόστολος, λέγων· Εἰ κεκαλυμμένον ἐστί τό Εὐαγγέλιον, ἀλλ' ἐν τοῖς ἀπολλυμένοις, ὧν ὁ Θεός τοῦ αἰῶνος τούτου ἐτύφλωσε τούς ὀφθαλμούς τῆς διανοίας αὐτῶν, εἰς τό μή διαυγάσαι αὐτοῖς τόν φωτισμόν τῆς γνώσεως τοῦ Χριστοῦ; Ὡς ἔοικεν, ἐξομοιωθῆναι ἡμᾶς βούλεσθε τοῖς Ἰουδαίοις, οἵτινες ἁπλαῖς ταῖς φωναῖς, ὡς λέγετε, τουτέστι μόνῳ τῷ γράμματι ὥσπερ τινι φορυτῷ ἐγχώσαντες τόν νοῦν, ἐξέπεσαν τῆς ἀληθείας, τό κάλυμμα ἔχοντες ἐν ταῖς καρδίαις αὐτῶν, τοῦ μή νοῆσαι τό κύριον πνεῦμα, τό ἐγκεκρυμμένον τῷ γράμματι, περί οὗ φησι· Τό μέν γράμμα ἀποκτένει· τό δέ πνεῦμα ζωοποιεῖ. Πληροφορηθῇ ὁ δεσπότης μου, ὅτι ἐγώ οὐκ ἀνέχομαι δέξασθαι φωνήν χωρίς τῆς ἐγκειμένης αὐτῇ διανοίας, ἵνα μή γένωμαι προφανής Ἰουδαῖος.

*ΙΔ*.

Τοῦτο δέ ἀκούσας Θεοδόσιος, εἶπεν· Μίαν ἐνέργειαν τοῦ Χριστοῦ ὑποστατικήν ὀφείλομεν λέγειν. ΜΑΞ. Σκοπήσωμεν τό τικτόμενον ἐκ τούτου κακόν, καί φύγωμεν τήν ξένην ταύτην φωνήν· μόνων γάρ αἱρετικῶν πολυθεούντων ἐστίν. Εἰ γάρ ὑποστατικήν λέγομεν τοῦ Χριστοῦ τήν μίαν ἐνέργειαν, οὐ (152 συμβαίνει δέ κατά τήν ὑπόστασιν τῷ Πατρί καί Πνεύματι ὁ Υἱός, δῆλον ὅτι οὔτε κατά τήν ὑποστατικήν ἐνέργειαν· ἀναγκαζόμεθα δέ ὥσπερ τῷ Υἱῷ, οὕτω καί τῷ Πατρί καί τῷ Πνεύματι ὑποστατικάς ἐνεργείας ἀπονεῖμαι· καί καθ' ὑμᾶς, τέσσαρας ἐνεργείας ἕξει μακαρία Θεότης· τρεῖς ἀφοριστικάς τῶν ἐν οἷς ἔστι προσώπων, καί μίαν κοινήν σημαντικήν τῆς κατά φύσιν τῶν τριῶν ὑποστάσεων κοινότητος· καί κατά τούς Πατέρας, εἴπερ αὐτῶν δεχόμεθα τήν διδασκαλίαν, τετραθεΐαν νοσήσομεν. Φυσικήν γάρ, ἀλλ'

οὐχ ὑποστατικήν πᾶσαν εἶναι διαγορεύουσιν ἐνέργειαν. Καί εἰ τοῦτό ἐστιν ἀληθῶς, ὡς οὖν καί ἔστι, τέσσαρας φύσεις, τέσσαρας θεούς, διαφέροντας ἀλλήλων ὑποστάσει τε καί φύσει δειχθησόμεθα λέγοντες. Πλήν, τίς εἶδεν ἤ ἐθεώρησεν ἰδιάζουσαν ἐνέργειαν οἱανδήποτε τῶν ὑπό τό εἶδος φύσει ἀγομένων, καί ὑπό τόν κοινόν ὁρισμόν τοῦ εἴδους φύσει ταττομένων; Οὐδέποτε γάρ γίνεται τό φύσει κοινόν, ἑνός καί μόνου τινός ἴδιον. Τά γάρ ὑποστατικά σήμαντρα, οἷον, γρυπότης, ἤ σιμότης ἤ γλαυκότης, ἤ ψεδνότης, καί ὅσα τοιαῦτα, ἀφοριστικά εἰσι συμβεβηκότα τῶν ἀριθμῷ ἀλλήλων διαφερόντων. Πᾶς γάρ ἄνθρωπος, ὥς τι τήν φύσιν ὤν, ἀλλ' οὐχ ὥς τις τήν ὑπόστασιν, ἐνεργεῖν πέφυκε, κατά τε τόν ἰδιαίτατα καί κοινῶς νοούμενόν τε καί λεγόμενον κατηγορικόν λόγον, οἷον τό ζῶον, τό λογικόν, τό θνητόν, ὅπερ ἐστί τοῦ καθ' ἡμᾶς γενικοῦ λόγου. Πάντες γάρ τῆς αὐτῆς μετέχομεν ζωῆς, τῆς αὐτῆς λογικότητος, καί τῆς αὐτῆς ῥοῆς καί ἀποῤῥοῆς, καί τοῦ καθέζεσθαι καί ἵστασθαι, καί λαλεῖν καί σιγᾷν, καί ὁρᾷν καί ἀκούειν καί ἅπτεσθαι· ἅπερ εἰσί τοῦ κοινοῦ ἐφ' ἡμῶν νοουμένου λόγου. Οὐ δεῖ οὖν καινοτομεῖν φωνάς μή ἐχούσας ἰσχύν ἤ Γραφικήν, ἤ Πατρικήν, ἤ φυσικήν· ἀλλά ξένην, καί διαστροφαῖς ἀνθρώπων ἐξηυρημένην. Πλήν δεῖξόν μοι ταύτην κειμένην ἐν οἱῳδήποτε Πατρί, καί πάλιν τόν νοῦν τοῦ ταύτην εἰρηκότος ἐπιζητοῦμεν.

**ΤΟΥ ΑΓΙΟΥ ΙΠΠΟΛΥΤΟΥ ( Τόμ. Β'. Σελ. 180 )**

Ἐπισκόπου Πόρτου, ἤγουν τοῦ λιμένος, Ῥώμης, καί μάρτυρος τῆς ἀληθείας.

***Ἐκ τοῦ κατά Βήρωνος καί Ἥλικος τῶν αἱρετικῶν περί θεολογίας καί σαρκώσεως κατά στοιχεῖον, οὗ ἡ ἀρχή· "Ἅγιος, ἅγιος, ἅγιος, Κύριος Σαβαώθ ἀσιγήτῳ φωνῇ βοῶντα τά Σεραφίμ τόν Θεόν δοξάζουσιν."***

***ΙΖ'.***

Ἀπειραδυνάμῳ θελήσει τοῦ Θεοῦ καί γέγονε πάντα, καί σώζεται τά γενόμενα, κατά τούς ἑαυτῶν εὐκρινῶς ἕκαστα συντηρούμενα λόγους, αὐτῷ τῷ κατά φύσιν ἀπειροδυνάμῳ Θεῷ καί ποιητῇ τῶν ὅλων· τῆς θείας αὐτοῦ θελήσεως, ᾗ τά παντα πεποίηκέ τε καί κινεῖ, τοῖς ἑαυτῶν ἕκαστα φυσικοῖς διεξαγόμενα νόμοις, ἀκινήτου συνδιαμενούσης. Τό γάρ ἄπειρον κατ᾽ οὐδένα τρόπον ἤ λόγον ἐπιδέχεται κίνησιν, οὐκ ἔχον ὅποι καί περί ὅ κινηθήσεται. Τροπή γάρ τοῦ κατά φύσιν ἀπείρου, κινεῖσθαι μή πεφυκότος, ἡ κίνησις. Διό καί καθ᾽ ἡμᾶς ἀληθῶς γενόμενος ἄνθρωπος χωρίς ἁμαρτίας ὁ τοῦ Θεοῦ Λόγος, ἐνεργήσας τε καί παθών ἀνθρωπίνως ὅσα τῆς φύσεώς ἐστιν ἀναμάρτητα, καί φυσικῆς σαρκός περιγραφῆς ἀνασχόμενος δι᾽ ἡμᾶς, τροπήν οὐχ ὑπέμεινεν, μηδ᾽ ἐνί παντελῶς ᾧ ταὐτόν ἐστι τῷ Πατρί, γενόμενος ταὐτόν τῇ σαρκί διά τήν κένωσιν· ἀλλ᾽ ὥσπερ ἦν δίχα σαρκός, πάσης ἔξω περιγραφῆς μεμένηκε· καί διά σαρκός θεϊκῶς ἐνεργήσας ἅπερ θεότητός ἐστιν. Ἀμφότερα δεικνύς ἑαυτόν, δι᾽ ὧν ἀμφοτέρως, θεϊκῶς δή φημι καί ἀνθρωπίνως, ἐνήργησε κατ᾽ αὐτήν τήν ὄντως ἀληθῆ καί φυσικήν ὕπαρξιν· Θεόν ἄπειρον ὁμοῦ καί περιγραπτόν ἄνθρωπον ὄντα τε καί νοούμενον· τήν οὐσίαν ἑκατέρου τελείως πελείαν ἔχοντα, μετά τῆς αὐτῆς ἐνεργείας, ἤγουν φυσικῆς ἰδιότητος· ἐξ ὧν μένουσαν ἀεί κατά φύσιν δίχα τροπῆς τήν αὐτῶν ἴσμεν διαφοράν· ἀλλ᾽ οὐχ ὥς τινές φασι, κατά σύγκρισιν· ἵνα μή τόν αὐτόν κατά τό ἑαυτό, αὐτῷ παρ᾽ ὅ δεῖ, μείζονα καί μείονα λέγωμεν. Ὁμοφυῶν γάρ, οὐχ ἑτεροφυῶν, αἱ συγκρίσεις· Θεῷ δέ ποιητῇ τῶν ὅλων, ποιητόν· ἀπείρῳ, περατόν· καί ἀπειρίᾳ τέρας κατ᾽ οὐδένα συγκρίνεται λόγον, ἀεί κατά πάντα φυσικῶς, ἀλλ᾽ οὐ συγκριτικῶς, ἀλλήλων διαφέροντα· κἄν ἄῤῥητός τις καί ἄῤῥηκτος εἰς μίαν ὑπόστασιν ἀμφοτέρων γέγονεν

ἕνωσις, πᾶσαν παντός γεννητοῦ παντελῶς διαφεύγουσα γνῶσιν. Τό γάρ Θεῖον, ὡς ἦν πρό σαρκώσεως, ἔστι καί μετά σάρκωσιν κατά φύσιν ἄπειρον, ἄσχετον, ἀπαθές, ἀσύγκριτον, ἀναλλοίωτον, ἄτρεπτον, αὐτοσθενές, καί τό πᾶν εἰπεῖν, ὑφεστώς οὐδιῶσες, μόνον ἀπειροσθενές ἀγαθόν.

***(181) Τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ λόγου β΄.***

***ΙΗ΄.***

Γέγονεν οὖν ἀληθῶς, κατά τάς Γραφάς, μή τραπείς ὁ τῶν ὅλων Θεός, ἄνθρωπος ἀναμάρτητος· ὡς οἶδεν αὐτός μόνος, ὑπάρχων τεχνίτης φυσικός τῶν ὑπέρ ἔννοιαν· κατ᾽ αὐτήν ἅμα τήν σωτήριον σάρκωσιν, τῆς ἰδίας θεότητος ἐμποιοῦσα τῇ σαρκί τήν ἐνέργειαν, οὐ περιγραφομένην αὐτῇ διά τήν κένωσιν· οὐδ᾽ ὥσπερ τῆς αὐτοῦ θεότητος, οὕτω καί αὐτῆς φυσικῶς ἐκφυομένην· ἀλλ᾽ ἐν οἷς ἄν σαρκωθείς θεϊκῶς ἐνήργησε δι᾽ αὐτῆς ἐκφαινομένην οὐ γάρ γέγονε φύσει θεότητος, μεταβληθεῖσα τήν φύσιν, ἡ σάρξ, γενομένη τῇ φύσει θεότητος σάρξ· ἀλλ᾽ ὅπερ ἦν, καί θεότητι συμφυεῖσα, μεμένηκε· ἤγουν σάρξ, ἀσθενής καί παθητήν τήν φύσιν καί τήν ἐνέργειαν· καθώς εἶπεν ὁ Σωτήρ· Τό μέν πνεῦμα πρόθυμον, ἡ δέ σάρξ ἀσθενής· καθ᾽ ἥν ἐνεργήσας τε καί παθών ἅπερ ἦν ἀναμαρτήτου σαρκός, τήν ὑπέρ ἡμῶν ἐπιστώσατο κένωσιν Θεότητος, θαύμασι καί σαρκός παθήμασι φυσικῶς βεβαιουμένην. Διά γάρ τοῦτο γέγονεν ἄνθρωπος ὁ τῶν ὅλων Θεός, ἵνα σαρκί μέν παθητῇ πάσχων, ἅπαν ἡμῶν τό τῷ θανάτῳ πραθέν λυτρώσηται γένος· ἀπαθεῖ δέ θεότητι διά σαρκός θαυματουργῶν, πρός τήν ἀκήρατον αὐτοῦ μακαρίαν ἀπαναγάγῃ ζωήν· ἧς ἀπέπεσεν τῷ διαβόλῳ πειθόμενος· καί τά κατ᾽ οὐρανούς ἅγια τάγματα τῶν νοερῶν οὐσιῶν στομώσῃ πρός ἀτρεψίαν τῷ μυστηρίῳ τῆς αὐτοῦ σωματώσεως· ἧς ἔργον ἡ τῶν ὅλων ἀνακεφαλαίωσις. Μεμένηκεν οὖν καί σαρκωθείς κατά τήν φύσιν Θεός ὑπεράπειρος, τήν ἑαυτῷ συγγενῆ καί κατάλληλον ἔχων ἐνέργειαν· τῆς Θεότητος οὐσιωδῶς ἐκφυομένην· διά δέ τῆς αὐτοῦ παναγίας σαρκός ἐν τοῖς θαύμασιν οἰκονομικῶς ἐκφαινομένην· ἵνα πιστευθῇ Θεός εἶναι, δι᾽ ἀσθενοῦς φύσει σαρκός αὐτουργῶν τήν τοῦ παντός σωτηρίαν.

***Τοῦ αὐτοῦ, ἐκ τοῦ αὐτοῦ λόγου γ΄.***

***ΙΘ΄.***

Κἀμοί γάρ, ἵνα τρανώσω παραδείγματι τό περί Σωτῆρος λεχθέν, ὁ φυσικός μου λόγος συγγενής ἐστι καί κατάλληλος ὄντι λογικῷ τε καί νοερῷ τήν ψυχήν· ἧς κατά φύσιν ἐστίν αὐτοκίνητος ἐνέργεια τε καί πρώτη δύναμις ἀεικίνητος, ὁ λόγος, φυσικῶς αὐτῆς πηγαζόμενος· ὅν ῥηματίσας τε καί γραμμαῖς εὖ χαράξας, γλώσσῃ μέν ὀργανικῶς, ὅτε χρή προφέρω, καί γράμμασι τεχνικῶς, διά τῶν ἀνομοίων ὑπάρχοντα, καί διά τῶν ἀνομοίων μή τραπέντα δεικνύς αὐτόν ἐξακουόμενον. Οὐ γάρ γλώσσης καί γραμμάτων ὁ φυσικός μου λόγος ἐστί, κἄν δι᾿ αὐτῶν αὐτοῦ ποιουμένου τήν προφοράν· ἀλλ᾿ ἐμοῦ τοῦ κατά φύσιν λαλοῦντος, καί δι᾿ ἀμφοῖν αὐτόν ὡς ἐμόν ἐκφωνοῦντος· τῆς μέν νοερᾶς μου ψυχῆς φυσικῶς ἀεί παγαζόμενον· διά δέ τῆς σωματικῆς μου γλώσσης ὀργανικῶς, ὡς ἔφην, ὅτε χρή προφερόμενον. Ὥσπερ οὖν ἡμῶν ὅσον εἰκάσαι (184) τόν παντελῶς ἀνείκαστον, διά τῆς σωματικῆς ἡμῶν γλώσσης, ἀτρέπτως ἡ κατά φύσιν τῆς ψυχῆς λογική προφέρεται δύναμις, οὕτω καί ἐπί τῆς ὑπερφυοῦς τοῦ Θεοῦ σωματώσεως, διά τῆς αὐτοῦ παναγίας σαρκός, ἐν οἷς ἄν θεϊκῶς ἐνήργησε, δίχα τροπῆς ἡ παντοκρατορική καί τῶν ὅλων ποιητική τῆς ὅλης θεότητος ἐνέργεια διαδείκνυται, πάσης ἐκτός κατά φύσιν περιγραφῆς διαμένουσα, κἄν διά σαρκός διέλαμψε φύσει πεπερασμένης. Οὐ γάρ πέφυκε περιγράφεσθαι γενητῇ φύσει τό κατά φύσιν ἀγένητον· κἄν συνέφυ αὐτῷ κατά σύλληψιν πάντα περιγράφουσαν νοῦν· οὔτε μέν εἰς ταὐτόν αὐτῷ φέρεσθαι φύσεώς ποτε καί φυσικῆς ἐνεργείας, ἕως ἄν ἑκάτερον τῆς ἰδίας ἐντός μένει φυσικῆς ἀτρεψίας. Ὁμοφυῶν γάρ μόνον ἡ ταὐτουργός ἐστι κίνησις, σημαίνουσα τήν οὐσίαν, ᾗ φυσική καθέστηκε δύναμις, ἑτεροφυοῦς ἰδιότητος οὐσίας εἶναι κατ᾿ οὐδένα λόγον ἤ γενέσθαι δίχα τροπῆς δυναμένης.

***Τοῦ αὐτοῦ, ἐκ τοῦ αὐτοῦ λόγου δ΄.***

***Κ΄.***

Τό γάρ μυστήριον τῆςθείας σαρκώσεως, ἀποστόλοις τε καί προφήταις καί διδασκάλοις, διττήν καί διάφορον ἔχον διέγνωσται τήν ἐν πᾶσι φυσικήν θεωρίαν· ἀνελλιποῦς ὑπάρχον θεότητος, καί πλήρους ἐνδεικτικόν ἀνθρωπότητος ὄν. Ἕως ἄν ουχ εἷς κατά τήν οὐσίαν

γνωρίζεται Λόγος μιᾶς ἐνεργείας, οὐδέποτε καθοτιοῦν ἀμφοτέρων γνωσθήσεται κίνησις. Ὁ γάρ ἀεί κατά φύσιν ὑπάρχων Θεός, ὑπεραπείρῳ δυνάμει γενόμενος, ὡς ἠθέλησεν, ἄνθρωπος ἀναμάρτητος, ὅπερ ἦν, ἐστί, μεθ᾽ ὅσων νοεῖται Θεός· καί ὅπερ γέγονεν, ἐστί, μεθ᾽ ὅσων νοεῖται καί γνωρίζεσθαι πέφυκεν ἄνθρωπος. Ἑαυτοῦ καθ᾽ ἑκάτερον ἀεί μένων ἀνέκπτωτος, οἷς θεϊκῶς ὁμοῦ καί ἀνθρωπίνως ἐνήργησε, τέλειον κατά τόν ἑκάτερον λόγον σώζων ἑαυτοῦ φυσικῶς ἀναλλοίωτον.

***Τοῦ αὐτοῦ, ἐκ τοῦ αὐτοῦ λόγου ε΄.***

***ΚΑ΄.***

Βήρων γάρ τις ἔναγχος, μεθ᾽ ἑτέρων τινῶν, τήν Βαλεντίνου φαντασίαν ἀφέντες, χείρονι κακῷ κατεπάρησαν, λέγοντες· Τήν μέν προσληφθεῖσαν τῷ λόγῳ σάρκα γενέσθαι ταυτουργόν τῇ θεότητι, διά τήν πρόσληψιν· τήν θεότητα δέ γενέσθαι ταυτοπαθῆ τῇ σαρκί, διά κένωσιν· τροπήν ὁμοῦ καί φύρσιν καί σύγχυσιν, καί τήν εἰς ἀλλήλους ἀμφοτέρων μεταβολήν δογματίζοντες. Εἰ γάρ ἡ προσληφθεῖσα σάρξ γέγονε κενωθεῖσα τῇ σαρκί ταυτουργός τῇ θεότητι, δηλονότι καί φύσει Θεός, μεθ᾽ ὅσων φυσικῶς νοεῖται Θεός. Καί εἰ γέγονε κενωθεῖσα τῇ σαρκί ταυτοπαθής ἡ θεότης, δηλονότι καί φύσει σάρξ, μεθ᾽ ὅσων φυσικῶς γνωρίζεσθαι πέφυκε σάρξ. Τά γάρ ἀλλήλοις ὁμοεργῆ καί ταὐτουργά, καί ὁμόφυλα πάντως καί ταυτοπαθῆ διαφοράν οὐκ ἐπιδέχεται φύσεως· καί φύσεως αὐτῶν συγκεχυμένων, ἔσται δυάς ὁ Χριστός, καί προσώπων μεμερισμένων τετράς, τό φευκτότατον. Καί πῶς αὐτοῖς εἷς καί ὁ αὐτός Θεός ὁμοῦ φύσει καί (185) ἄνθρωπος, ὁ Χριστός; Ποίαν δέ κατ᾽ αὐτούς ἕξει τήν ὕπαρξιν, μεταβολῇ θεότητος γενόμενος ἄνθρωπος, καί σαρκός μεταποιήσει Θεός; Ἡ γάρ εἰς ἀλλήλας τούτων μετάπτωσις, παντελής ἐστιν ἀμφοτέρων ἀναίρεσις· σκοπείσθω δέ πάλιν ἡμῖν ἑτέρως ὁ λόγος.

***Τοῦ αὐτοῦ, ἐκ τοῦ αὐτοῦ λόγου στ΄.***

***ΚΒ΄.***

Εὐσεβές κεκύρωται δόγμα Χριστιανοῖς· κατ᾽ αὐτήν τε φύσιν καί τήν ἐνέργειαν, καί πᾶν ἕτερον αὐτῷ προσφυές, ἴσον ἑαυτῷ καί ταυτόν

εἶναι τόν Θεόν, μηδέν ἑαυτῷ τῶν ἑαυτοῦ παντελῶς ἄνισον ἔχοντα καί ἀκατάλληλον. Εἰ τοίνυν κατά Βήρωνα τῆς αὐτῆς αὐτῷ προσληφθεῖσα φυσικῆς ἐνεργείας γέγονεν ἡ σάρξ, δηλονότι καί τῆς αὐτῆς αὐτῷ γέγονε φύσεως, μεθ᾽ ὅσων ἡ φύσις, ἀναρχίας, ἀγεννησίας, ἀπειρίας, ἀϊδιότητος, ἀκαταληψίας, καί τῶν ὅσα τούτων καθ᾽ ὑπεροχήν ὁ θεολογικός ὑπερφυῶς ἐνορᾷ τῇ θεότητι λόγος· καί τροπήν ἀμφότερα πέπονθεν, μηδετέρου τόν τῆς φύσεως οὐσιώδη λόγον ἔτι σωζόμενον ἔχοντος. Ὁ γάρ ἑτεροφυῶν εἰδώς ταυτουργίαν, σύγχυσιν ὁμοῦ φυσικήν, καί διαίρεσιν αὐτῶν εἰσηγεῖται προσωπικήν· ἀδιαγνώστου παντελῶς τῇ τῶν ἰδιωμάτων μεταβολῇ τῆς φυσικῆς αὐτῶν γενομένης ὑπάρξεως.

***Τοῦ αὐτοῦ, ἐκ τοῦ αὐτοῦ λόγου ζ΄.***

***ΚΓ΄.***

Εἰ δέ τῆς αὐτῆς αὐτῷ μή γέγονε φύσεως, οὐδέ τῆς αὐτῆς αὐτῷ γενήσεται φυσικῆς ἐνεργείας, ἵνα μή δειχθῇ τῇ φύσει τήν ἐνέργειαν ἄνισον, ἔχων καί ἀκατάλληλον· καί τῆς αὐτοῦ δι᾽ ὅλων τῶν ἑαυτοῦ φυσικῆς ἔξω γεγονώς ἰσότητος καί ταυτότητος· ὅπερ ἀσεβές.

***Τοῦ αὐτοῦ, ἐκ τοῦ αὐτοῦ λόγου η΄.***

***ΚΔ΄.***

Εἰς ταύτην δέ τήν πλάνην κατήχθησαν, κακῶς πεισθέντες ἰδίαν γενέσθαι τῆς σαρκός τήν δι᾽ αὐτῆς ἐκφανθεῖσαν ἐν τοῖς θαύμασοι θείαν ἐνέργειαν· ᾗ τό πᾶν ὁ Χριστός οὐσιώσας, καθό νοεῖται Θεός, συνέχει κρατούμενον. Οὐ γάρ ἔγνωσαν, ἀδύνατον εἶναι θείας ἐνέργειαν φύσεως ἑτεροφανοῦς οὐσίας ἰδίωμα γενέσθαι δίχα τροπῆς· οὐδέ συνῆκαν, ὡς οὐ πάντως ἴδιόν ἐστι σαρκός, τό δι᾽ αὐτῆς μέν ἐκφαινόμενον, οὐκ αὐτῆς δέ φυσικῶς ἐκφυόμενον· καίτοι σαφοῦς αὐτοῖς οὔσης καί προφανοῦς τῆς ἀποδείξεως. Ἐγώ γάρ γλώσσῃ λαλῶν καί χειρί γράφων, μίαν καί τήν αὐτήν δι᾽ ἀμφοῖν τῆς νοερᾶς μου ψυχῆς ἐκφαίνω διάνοιαν, ἐνέργειαν αὐτῆς ὑπάρχουσαν φυσικήν· μηδενί λόγῳ δείξας αὐτήν γλώσσης ἤ χειρός φυσικῶς ἐκφυομένην· μήτε μήν γενομένην αὐτῶν ἤ λεγομένην διάνοιαν, διά τήν δι᾽ ἀμφοῖν αὐτῆς ἔκφανσιν. Γλῶσσαν γάρ ἤ χεῖρα διανοητικήν συνετός οἶδεν

οὐδείς· ὥσπερ οὐδέ τήν παναγίαν τοῦ Θεοῦ σάρκα, διά τό προσληφθῆναι, καί τό δι᾽ αὐτῆς ἐκφανθῆναι τήν θείαν ἐνέργειαν, γενομένην κατ᾽ αὐτόν φύσει δημιουργόν· ἀλλ᾽ εὐσεβῶς ὁμολογεῖ πιστεύων, ὅτι διά τήν ἡμῶν σωτηρίαν, καί τό δῆσαι πρός (188) ἀτρεψίαν τό πᾶν, ὁ τῶν ὅλων δημιουργός ἐκ τῆς παναγίας ἀειπαρθένου Μαρίας, κατά σύλληψιν ἄχραντον, δίχα τροπῆς, ἐνουσιώσας ἑαυτῷ ψυχήν νοεράν μετ᾽ αἰσθητικοῦ σώματος, γέγονεν ἄνθρωπος φύσει κακίας ἀλλότριος· ὅλος Θεός ὁ αὐτός, καί ὅλος ἄνθρωπος ὁ αὐτός· ὅλος Θεός ὁμοῦ φύσει καί ἄνθρωπος ὁ αὐτός· θεότητι μέν τά θεῖα διά τῆς αὐτοῦ παναγίας σαρκός, οὐκ ὄντα φύσει τῆς σαρκός ἐνεργῶν· ἀνθρωπότητι δέ τά ἀνθρώπινα, οὐκ ὄντα φύσει θεότητος, ἀνοχῇ πάσχων θεότητος. Μηδέν θεῖον γυμνόν σώματος ἐνεργήσας· μηδέ ἀνθρώπινον ὁ αὐτός ἄμοιρον δράσας θεότητος. Τηρῶν ἑαυτῷ καί καθ᾽ ὅν ἐνήργησεν ἀμφότερα καινοπρεπῆ τρόπον, τό κατ᾽ ἄμφω φυσικῶς ἀναλλοίωτον· εἰς πίστωσιν τῆς αὐτοῦ τελείας ἐνανθρωπήσεως, τῆς ὄντως ἀληθοῦς, καί μηδέν ἐχούσης φαυλότητος. Ὁ μέν οὖν Βήρων, οὕτως ἔχων, ὡς ἔφην, ἐνεργείας μονάδι τήν θεότητα τοῦ Χριστοῦ καί τήν ἀνθρωπότητα συγχέας, ὁμοῦ φυσικῶς καί προσωπικῶς μερίζων, καταλύει τόν βίον· ἀγνοήσας μόνης τῆς τῶν ὁμοφυῶν προσώπων ὁμοφυοῦς ταυτότητος τήν ταυτουργίαν εἶναι δηλωτικήν.

Συνέχεια τοῦ Τόμ. Β' σελ. 152

***Ι Ε.***

ΘΕΟΔ. Τί οὖν; Οὐ δεῖ παντελῶς ἐπί Χριστοῦ λέγειν μίαν ἐνέργειαν; ΜΑΞ. Κατά τήν ἁγίαν Γραφήν, καί τούς ἁγίους Πατέρας οὐδέν τοιοῦτον λέγειν παρελάβομεν· ἀλλ' ὥσπερ δύο φύσεις τόν Χριστόν τάς ἐξ ὧν ἐστιν, οὕτως καί τάς φυσικάς αὐτοῦ θελήσεις καί ἐνεργείας καταλλήλως αὐτῷ, ὁμοῦ τε φύσει Θεῷ καί ἀνθρώπῳ ὄντι τῷ αὐτῷ πιστεύειν καί ὁμολογεῖν ἐπετράπημεν. ΘΕΟΔ. Ὄντως, δέσποτα, καί ἡμεῖς ὁμολογοῦμεν καί τάς φύσεις καί διαφόρους ἐνεργείας, τουτέστι, θείαν τε καί ἀνθρωπίνην· καί θελητικήν αὐτοῦ τήν θεότητα, καί θελητικήν αὐτοῦ τήν ἀνθρωπότητα· ἐπειδή οὐκ ἄνευ θελήσεως ἦν ἡ ψυχή αὐτοῦ. Δύο δέ οὐ λέγομεν ἵνα μή μαχόμενον αὐτόν αὐτῷ εἰσαγάγωμεν. ΜΑΞ. Τί οὖν; δύο θελήσεις λέγοντες, μαχομένας αὐτάς εἰσάγετε διά τόν ἀριθμόν; ΘΕΟΔ. Οὔ. ΜΑΞ. Τί οὖν; φύσεσιν ἐπιφημηζόμενος ὁ ἀριθμός οὐ διαιρεῖ· ἀλλ' ἐπί θελήσεων καί ἐνεργειῶν λεγόμενος, διαιρέσεως ἔχει δύναμιν; ΘΕΟΔ. Πάντως καί οἱ Πατέρες ἐπί θελήσεων καί (153) ἐνεργειῶν οὐκ εἶπον, φεύγοντες τήν διαίρεσιν, ἀλλ' ἄλλην καί ἄλλην, καί θείαν, καί ἀνθρωπίνην, καί διπλῆν, καί διττήν· καί ὡς εἶπαν λέγω, καί ὡς εἰρήκασι λέγω.

***Ιστ' .***

ΜΑΞ. Διά τόν Κύριον, ἐάν τίς σοι εἴπῃ· ἄλλην καί ἄλλην, πόσας νοεῖς; ἤ, θείαν καί ἀνθρωπίνην, πόσας νοεῖς; ἤ, διπλῆν καί διττήν, πόσας νοεῖς ; ΘΕΟΔ. Οἶδα πῶς νοῶ, δύο δέ οὐ λέγω. Τότε στραφείς ὁ ἀββᾶς Μάξιμος πρός τούς ἄρχοντας, εἶπε · Διά τόν Κύριον, ἐάν ἀκούσητε μίαν καί μίαν, ἤ ἄλλην καί ἄλλην· ἤ δίς δύο, ἤ δίς πέντε, τί νοοῦντες τοῖς λέγουσιν ἀποκρίνεσθε; καί εἶπαν· Ἐπειδή ὥρκισας ἡμᾶς, τό μίαν καί μίαν δύο νοοῦμεν· καί ἄλλην καί ἄλλην, δύο νοοῦμεν· καί δίς δύο τέσσαρα νοοῦμεν. Ὁμοίως καί δίς πέντε, δέκα νοοῦμεν. Καί ὥσπερ αἰδεσθείς Θεοδόσιος τήν ἀπόκρισιν ἐκείνων, εἶπε· Τό μή εἰρημένον τοῖς Πατράσιν, οὐ λέγω. Καί λαβών εὐθέως ὁ ἀββᾶς Μάξιμος τήν βίβλον τῶν πεπραγμένων τῆς ἁγίας ἀποστολικῆς συνόδου, ἔδειξε τούς ἁγίους Πατέρας τάς δύο θελήσεις καί ἐνεργείας τοῦ Σωτῆρος ἡμῶν καί Θεοῦ Ἰησοῦ Χριστοῦ διαῤῥήδην λέγοντας· ἥν λαβών βίβλον τῶν πεπραγμένων ἐξ αὐτοῦ Θεοδόσιος ὁ ὕπατος, ἀνέγνω καί αὐτός πάσας τάς χρήσεις τῶν Πατέρων. Καί τότε ἀποκριθείς Θεοδόσιος ἐπίσκοπος

εἶπεν· Ὁ Θεός οἶδεν, εἰ μή προσωπικῶς τά ἀναθέματα ἔθηκεν ἡ σύνοδος αὕτη, πλεῖον παντός ἀνθρώπου ἐδεχόμην αὐτήν· ἀλλ᾽ ἵνα μή χρονοτριβῶμεν ἐνταῦθα, εἴ τι εἶπαν οἱ Πατέρες, λέγω, καί ἐγγράφως εὐθέως ποιῶ, δύο φύσεις, καί δύο θελήματα, καί δύο ἐνεργείας· καί εἴσελθε μεθ' ἡμῶν κοινωνήσων, καί γενέσθω ἕνωσις.

***ΙΖ΄.***

ΜΑΞ. Δέσποτα, ἐγώ οὐ τολμῶ δέξασθαι συγκατάθεσιν παρ' ὑμῶν ἔγγραφον περί τοιούτου πράγματος, ψιλός ὑπάρχων μοναχός· ἀλλ' ἐάν κατένυξεν ὑμᾶς ὁ Θεός, τάς τῶν ἁγίων Πατέρων δέξασθαι φωνάς, καθώς ἀπαιτεῖ ὁ κανών, πρός τόν Ῥώμης περί τούτου ἐγγράφως ἀποστείλατε· ἤγουν ὁ βασιλεύς, καί ὁ πατριάρχης, καί ἡ κατ' αὐτόν σύνοδος. Ἐγώ γάρ οὐδέ τούτων γινομένων κοινωνῶ, ἀναφερομένων τῶν ἀναθεματισθέντων ἐπί τῆς ἁγίας ἀναφορᾶς. Φοβοῦμαι γάρ τό κατάκριμα τοῦ ἀναθέματος. ΘΕΟΔ. Ὁ Θεός οἶδεν, οὐ καταγινώσκω σου φοβουμένου· ἀλλ' οὔτε ἄλλος τις. Ἀλλά δός ἡμῖν βουλήν διά τόν Κύριον, ἐάν ἐστι τοῦτο δυνατόν γενέσθαι. ΜΑΞ. Ποίαν βουλήν ἔχω ὑμῖν περί τούτου δοῦναι; Ὑπάγετε, ψηλαφήσατε ἐάν τι τοιοῦτον γέγονέ ποτε, καί μετά θάνατον ἀπελύθη τις τοῦ περί τήν πίστιν ἐγκλήματος, καί τοῦ ἐξενεχθέντος κατ' αὐτοῦ κατακρίματος· καί καταδέξηται ὁ βασιλεύς καί ὁ πατριάρχης μιμήσασθαι τοῦ Θεοῦ τήν συγκατάβασιν· καί ποιήσωσιν, ὁ μέν κέλευσιν παρακλητικήν, ὁ δέ, συνοδικήν δέησιν πρός τόν πάπαν Ῥώμης· καί πάντως εἴπερ εὑρεθείη τρόπος ἐκκλησιαστικός, τοῦτο ἐπιτρέπων διά τήν ὀρθήν ὁμολογίαν τῆς πίστεως, συμβιβάζεται ὑμῖν περί τούτου.

(156) ΘΕΟΔ. Τοῦτο πάντως γίνεται ἀλλά δός μοι λόγον, ὅτι, ἐάν ἐμέ πέμπωσιν, ἔρχῃ μετ' ἐμοῦ. ΜΑΞ. Δέσποτα, συμφέρει σοι τόν σύνδουλόν μου τόν ἐν Μεσημβρίᾳ λαβεῖν μεθ᾽ ἑαυτοῦ, εἴπερ ἐμέ· ἐκεῖνος γάρ καί τήν γλῶσσαν οἶδε, καί αἰδοῦνται αὐτόν ἀξίως, τοσούτους χρόνους κολαζόμενον, διά τε τόν Θεόν, καί τήν κρατοῦσαν ὀρθήν πίστιν ἐν τῷ κατ᾽ αὐτούς θρόνῳ. ΘΕΟΔ. Ἀψιμαχίας διαφόρους πρός ἀλλήλους ἔχομεν, καί οὐχ ἡδέως ἔχω μετ᾽ ἐκείνου ἀπελθεῖν. ΜΑΞ. Δέσποτα, ἐπάν ἔδοξε τοῦτο γενέσθαι, ἔκβασις γένηται τῶν δοξάντων· καί ὅπου βούλεσθε, ἀκολουθῶ ὑμῖν. Καί ἐπί τούτῳ ἀνέστησαν πάντες μετά χαρᾶς καί δακρύων· καί ἔβαλον μετάνοιαν, καί εὐχή ἐγένετο· καί ἕκαστος αὐτῶν τά ἅγια Εὐαγγέλια, καί τόν τίμιον σταυρόν, καί τήν εἰκόνα τοῦ Θεοῦ καί Σωτῆρος ἡμῶν Ἰησοῦ

Χριστοῦ, καί τῆς Δεσποίνης ἡμῶν, τῆς αὐτόν τεκούσης παναγίας Θεοτόκου ἠσπάσαντο, τεθεικότες καί τάς ἰδιάς χεῖρας ἐπί βεβαιώσει τῶν λαληθέντων.

**ΙΘ΄.**

Εἶτα μικρόν ὁμιλήσαντες πρός ἀλλήλους περί τοῦ κατά Θεόν βίου, καί τῆς θείων ἐντολῶν τηρήσεως, στραφείς Θεοδόσιος ὁ ἐπίσκοπος πρός τόν ἀββᾶν Μάξιμον εἶπεν· Ἰδού πάντα διαλέλυται τά σκάνδαλα, καί γέγονεν εἰρήνη διά τοῦ Θεοῦ, καί γενήσεται· ἀλλά διά τόν Κύριον, μή κρύψῃς με· οὐ λέγεις καθ' οἱονδήποτε τρόπον μίαν θέλησιν καί μίαν ἐνέργειαν ἐπί Χριστοῦ; ΜΑΞ. Οὐκ ἐνδέχεταί με τοῦτο εἰπεῖν ποτέ. Καί λέγω τήν αἰτίαν· ἐπειδή ξένη ἐστίν ἡ φωνή τοῖς ἁγίοις Πατράσι, δύο φύσεων μίαν λέγειν θέλησιν καί ἐνέργειαν. Εἶτα δέ, διά παντός τρόπου ὁ τοῦτο λέγων, εὑρίσκει εὐθυβόλως ὑπαντῶσαν αὐτῷ τήν ἀτοπίαν. Ἐάν γάρ εἴπω φυσικήν φοβοῦμαι τήν σύγχυσιν· ἐάν εἴπω ὑποστατικήν, διαιρῶ τοῦ Πατρός καί τοῦ Πνεύματος τόν Υἱόν, καί τρεῖς θελήσεις εἰσάγων φανήσομαι, μή συμβαινούσας ἀλλήλαις, ὥσπερ καί τάς ὑποστάσεις· ἐάν εἴπω τήν ὡς ἑνός μίαν θέλησιν καί ἐνέργειαν, ἀναγκάζομαι καί τήν ὡς ἑνός Πατρός, καί τήν ὡς ἑνός τοῦ Πνεύματος εἰπεῖν, κἄν μή θέλω, θέλησιν καί ἐνέργειαν, καί εὑρεθήσεται εἰς πολυθεῒαν ἐκπίπτων ὁ λόγος· ἐάν εἴπω σχετικήν, τήν Νεστορίου εἰσάγω προσωπικήν διαίρεσιν· ἐάν εἴπω παρά φύσιν, φθείρω τήν ὕπαρξιν τοῦ θέλοντος· φθορά γάρ τῇ φύσει, τό παρά φύσιν ἐστί, καθώς οἱ Πατέρες εἰρήκασι.

**Κ΄.**

ΘΕΟΔ. Μίαν διά τήν ἕνωσιν τοῦ Σωτῆρος ἡμῶν θέλησιν, πάντη τε καί πάντως ὀφείλομεν λέγειν, καθάπερ Σέργιος καί Πύῤῥος, ὡς οἶμαι, καλῶς νενοηκότες γεγράφασι. ΜΑΞ. Εἰ κελεύεις, δέσποτα, δέξαι μου περί τούτου δύο ῥήματα. Εἰ διά τήν ἕνωσιν μία τοῦ Θεοῦ καί Σωτῆρος ἡμῶν, καθάπερ Σέργιος, καί Πύῤῥος, καί Παῦλος γεγράφασι, γέγονε θέλησις, ἑτεροθελής κατ' αὐτούς ἔσται ὁ Υἱός τῷ Πατρί· διά τήν φύσιν, ἀλλ' οὐ διά τήν ἕνωσιν, μίαν κατά τόν (157) Υἱόν ἔχοντι θέλησιν, εἴπερ οὐ ταυτόν ἐστιν ἕνωσις καί φύσις. Εἰ διά τήν ἕνωσιν μία κατ᾿ αὐτούς τοῦ Σωτῆρος ἡμῶν γέγονε θέλησις, αἰτίαν αὐτῆς ἕξει πάντως τήν ἕ

νωσιν, ἀλλ᾿ οὐδετέραν τῶν ἐξ ὧν ἔστι φύσιν· καί σχέσεως κατ᾿ αὐτούς ἔσται προδήλως ἡ θέλησις, ἀλλ᾿ οὐ φύσεως· σχέσιν γάρ , ἀλλ᾿ οὐ φύσιν ὁ τῆς ἀληθείας τήν ἕνωσιν ἐπίσταται λόγος. Εἰ διά τήν

ἕνωσιν ὡς ἔφασαν, μία τοῦ Σωτῆρος ἡμῶν γεγένηται θέλησις, ποίᾳ θελήσει φασίν αὐτήν γεγενῆσθαι τήν ἕνωσιν. Οὐ γάρ δήπου τῇ δι᾽ αὐτήν γενομένῃ φαῖεν ἄν ἀληθείας φροντίζοντες, καί τό παράλογον φεύγοντες. Εἰ διά τήν ἕνωσιν μία τοῦ Σωτῆρος γεγένηται θέλησις, δῆλον ὅτι πρό τῆς ἑνώσεως, ἤ πολυθελής ἦν ἤ παντελῶς ἀθελής. Καί εἰ μέν πολυθελής ἦν, μείωσιν τῶν πολλῶν, πρός μίαν σταλείς, ὑπέμεινε, θέλησιν, καί τροπῆς προφανῶς ἐδέξατο πάθος, τήν τῶν προσουσῶν αὐτῷ φυσικῶς πολλῶν θελήσεων μείωσιν. Εἰ δέ πάνταπασιν ἦν ἀθελής, κρείττονα τῆς φύσεως ἀπέφηνεν οὖσαν τήν ἕνωσιν, ἐξ ἧς ἐπορίσατο θέλησιν, ἥν ἡ φύσις ἠπόρησε· καί πάλιν τρεπτός ἀπέφηνε (ἐπέφηνε), τό μή τῇ φύσει προσόν αὐτῷ, σχέσει κτησάμενος. Εἰ διά τήν ἕνωσιν μία τοῦ Σωτῆρος ἡμῶν καθ᾽ ἕτερον τῶν ἐξ ὧν ἐστι γέγονε θέλησις, πρόσφατος γέγονε θελήσει Θεός, ὁ αὐτός διά τήν ἕνωσιν τῇ φύσει μένων ἀΐδιος, καί ἄναρχος ἄνθρωπος τῇ θελήσει, μένων τῇ φύσει πρόσφατος, ὅπερ ἀδύνατον, ἵνα μή λέγω δυσσεβές. Εἰ διά τήν ἕνωσιν μία τῶν φύσεων γέγονε θέλησις, τί δήποτε διά τήν αὐτήν αἰτίαν μία τῶν φύσεων οὐ γέγονε φύσις.

***ΚΑ'.***

Καί διακόψας ἐπί τούτοις τήν τοῦ λόγου φοράν Θεοδόσιος ὁ ἐπίσκοπος, εἶπε· Τί τοίνυν διά τήν ἕνωσιν γέγονε, εἰ μηδέν τούτων γεγένηται δι᾽ αὐτήν; ΜΑΞ. Ἔνσαρκον ἔδειξεν ἀψευδῶς γεγονότα τόν ἄσαρκον αὐτόν φύσει Θεόν· καί τόν τῶν ὅλων δημιουργόν, φύσει γενόμενον ἄνθρωπον ἀριδήλως παρέστησεν, οὐ τροπῇ φύσεως, ἤ μειώσει τινός τῶν τῆς φύσεως, ἀλλ᾽ ἀληθεῖ προσλήψει νοερῶς ἐψυχωμένης σαρκός, ἤγουν ἀνελλιποῦς ἀνθρωπότητος, παντός προπατορικοῦ καθαρᾶς κατά φύσιν ἐγκλήματος. Καί τῷ κατ᾽ ἐπαλλαγήν λόγῳ, τό θαυμάσιον ὄντως καί πᾶσι κατάπληκτον, ὅλον ἐν τοῖς ἀνθρωπίνοις Θεόν τόν αὐτόν ὁλοκλήρως μένοντα τῶν ἰδίων ἐντός· ὅλον ἐν τοῖς θείοις ἄνθρωπον, ὁλοκλήρως μένοντα τῶν ἰδίων ἀνέκπτωτον. Περιχώρησις γάρ εἰς ἀλλήλας τῶν φύσεων καί τῶν αὐταῖς προσόντων φυσικῶν, κατά τήν τῶν θεηγόρων Πατέρων ἡμῶν διδασκαλίαν· ἀλλ᾽ οὐ μεταχώρησις, ἤ μείωσις διά τήν ἕνωσιν γέγονεν, ὅπερ ἴδιόν ἐστι τῶν σύγχυσιν κακούργως ποιουμένων τήν ἕνωσιν, καί διά τοῦτο τοῖς καινισμοῖς πολυτρόπως ἐμφυρομένων, καί δι᾽ ἀπορίαν τοῦ κατ᾽ αὐτούς λόγου σταθηρότητος διωκόντων τούς εὐσεβεῖς.

***ΚΒ΄.***

(160) Ὧν ἀκούσας Θεοδόσιος ὁ ἐπίσκοπος, ἔδοξε μετά τῶν λοιπῶν τῶν σύν αὐτῷ παραγενομένων, τό λεχθέν ἀποδέχεσθαι. Καί πάλιν ὁ αὐτός ἐπίσκοπος πρός τόν ἀββᾶν Μάξιμόν φησιν· Ποίησον ἀγάπην· τί ἐστιν ὅπερ εἶπας ἡμῖν, ὅτι οὐδείς ὥς τις τήν ὑπόστασιν, ἀλλ᾽ ὥς τι τήν φύσιν ἐνεργεῖ; προΐεται γάρ μοι νοήσαντι τό λεχθέν. ΜΑΞ. Οὐδείς ὥς τις τήν ὑπόστασιν ἐνεργεῖ, ἀλλ᾽ ὥς τι τήν φύσιν · οἷον, Πέτρος καί Παῦλος ἐνεργοῦσιν · ἀλλ᾽ οὐ Πετρικῶς καί Παυλικῶς, ἀλλ᾽ ἀνθρωπικῶς· ἄμφω γάρ ἄνθρωποι φυσικῶς κατά τόν κοινόν καί ὁριστικόν τῆς φύσεως λόγον (ἀλλά οὐχ ὑποστατικῶς κατά τόν ἰδίως ποῖον. Ὡσαύτως Μιχαήλ καί Γαβριήλ ἐνεργοῦσιν), ἀλλ᾽ οὐχί Μιχαηλικῶς καί Γαβριηλικῶς, ἀλλά ἀγγελικῶς· ἄμφω γάρ ἄγγελοι. Καί οὕτως ἐπί πάσης φύσεως, πολλῶν τῷ ἀριθμῷ κατηγορουμένης, κοινήν, ἀλλ᾽ οὐχί μόνην τήν ἐνέργειαν θεωροῦμεν. Οὐκοῦν ὁ λέγων ὑποστατικήν ἐνέργειαν, αὐτήν τήν φύσιν μίαν οὖσαν, ἄπειρον ταῖς ἐνεργείαις εἰσάγει γεγενημένην· καί κατά τό πλῆθος τῶν ὑπ᾽ αὐτήν ἀγομένων ἀτόμων, ἑαυτῆς διαφέρουσαν· ὅπερ εἰ δεξόμεθα καλῶς ἔχειν, πάσῃ φύσει τόν ἐπ᾽ αὐτῇ τοῦ πῶς εἶναι λόγον συνδιαφθείρομεν.

***ΚΓ΄.***

Καί τούτων εἰρημένων, ἐν τῷ ἀσπάζεσθαι ἀλλήλους, εἶπε Θεοσόσιος ὁ ὕπατος· ἰδού γέγονε τά πάντα καλῶς· ἆρα καταδέχεται ὁ βασιλεύς παρακλητικήν ποιῆσαι κέλευσιν; ΜΑΞ. Πάντως ποιεῖ, ἐάν θέλῃ μιμητής εἶναι τοῦ Θεοῦ, καί συνταπεινωθῆναι αὐτῷ, διά τήν κοινήν πάντων ἡμῶν σωτηρίαν· λογιζόμενος, ὡς εἴπερ ὁ φύσιν σώζων Θεός, οὐκ ἔσωσεν ἕως ἐταπεινώθη θέλων· πῶς ὁ φύσει σωζόμενος ἄνθρωπος ἤ σωθήσεται, ἤ σώσει μή ταπεινούμενος; Καί εἶπε Θεοδόσιος ὁ ὕπατος, ὅτι Ἐλπίζω τοῦ Θεοῦ σώζοντός μοι τήν μνήμην, τοῦτο αὐτῷ τόν λόγον λέγω, καί πείθεται. Καί ἀσπασάμενοι ἀλλήλους ἐπί τούτοις, ἀπῆλθον μετ᾽ εἰρήνης, δεδωκότος τοῦ ἐπισκόπου τῷ ἀββᾷ Μαξίμῳ πεμφθέν αὐτῷ ποσόν μικρόν, καί στιχάριν καί καμάσιν· καί τό μέν στιχάριν εὐθέως κατ᾽ αὐτήν τήν ὥραν Βιζύης ὁ ἐπίσκοπος· ἐν τῷ Ῥηγίῳ δέ οὐ τό δοθέν αὐτῷ ποσόν μόνον, ἀλλά καί ἄλλο εἴ τι δήποτε ἐξ εὐποιίας εἶχε, μετά τῶν λοιπῶν οἰκτρῶν αὐτοῦ πραγμάτων καί ἐσθημάτων, ἀφείλαντο.

*ΚΔ΄*.

Μετά δέ τό ἀπελθεῖν τούς εἰρημένους ἄνδρας, τῇ ὀγδόῃ τοῦ Σεπτεμβρίου μηνός τῆς παρούσης πεντεκαιδεκάτης ἰνδικτιῶνος, ἐξῆλθεν αὖθις Παῦλος ὁ ὕπατος ἐν Βιζύῃ πρός τόν ἀββᾶν Μάξιμον, κέλευσιν ἐπιφερόμεος περιέχουσαν οὕτως· Κελεύομεν τῇ σῇ ἐνδοξότητι ἀπελθεῖν ἐν Βιζύῃ, καί ἀγαγεῖν Μάξιμον τόν μοναχόν μετά πολλῆς τιμῆς καί κολακείας, διά τε τό γῆρας καί τήν ἀσθένειαν (161) καί τό εἶναι αὐτόν προγονικόν ἡμῶν, καί γενόμενον αὐτοῖς τίμιον· καί θέσθαι τοῦτον ἐν τῷ εὐαγεῖ μοναστηρίῳ τοῦ ἁγίου Θεοδώρου, τῷ διακειμένῳ πλησίον τοῦ Ῥηγίου· καί ἐλθεῖν, καί μηνύσαι ἡμῖν, καί πέμπομεν ἐκ προσώπου ἡμῶν δύο πατρικίους, ὀφείλοντας διαλεχθῆναι τά παραστάντα ἡμῖν, φιλοῦντας ἡμᾶς ψυχικῶς, καί φιλουμένους παρ᾿ ἡμῶν· καί ἐλθεῖν, καί ἀναγγεῖλαι ἡμῖν τήν παρουσίαν αὐτοῦ. Ἀγαγών οὖν ὁ αὐτός ὕπατος, καί θείς ἐν τῷ προειρημένῳ μοναστηρίῳ, ἀπῆλθε ἀναγγεῖλαι.

*ΚΕ΄*.

Καί τῇ ἑξῆς ἡμέρᾳ ἐξέρχονται πρός αὐτόν Ἐπιφάνιος καί Τρωΐλος οἱ πατρίκιοι μετά πολλῆς περιβολῆς καί φαντασίας, καί Θεοδόσιος ὁ ἐπίσκοπος, καί ἀνέρχονται πρός αὐτόν ἐν τῷ κατηχουμενίῳ τῆς ἐκκλησίας τῆς αὐτῆς μονῆς· καί τοῦ συνήθους ἀσπασμοῦ γενομένου, ἐκάθισαν, βιασάμενοι καί αὐτόν καθίσαι· καί ἀπαρξάμενος τοῦ πρός αὐτόν λόγου Τρωΐλος, εἶπεν· Ὁ δεσπότης ἡμῶν ἐκέλευσεν ἡμᾶς πρός σέ γενέσθαι, καί λαλῆσαι ὑμῖν τά δόξαντα τῷ αὐτοῦ θεοστηρίκτῳ κράτει. Ἀλλ᾿ εἰπέ ἡμῖν πρῶτον, ποιεῖς τήν κέλευσιν τοῦ βασιλέως, ἤ οὐ ποιεῖς; Μάξιμος εἶπε· Δέσποτα, ἀκούσω τί ἐκέλευσε τό εὐσεβές αὐτοῦ κράτος, καί δεόντως ἀποκρίνομαι· ἐπεί πρός τό ἀγνοούμενον, ποίαν ἔχων ἀπόκρισιν δοῦναι; Τρωΐλος ἐπέμενε λέγων· Οὐκ ἐνδέχεται ὅτι λέγομεν τί ποτε, ἐάν μή πρῶτον εἴπῃς εἰ ποιεῖς, ἤ οὐ ποιεῖς τήν κέλευσιν τοῦ βασιλέως. Καί ὡς οἶδεν αὐτούς ἐνισταμένους, καί ἐπί τῇ ἀναβολῇ αὐτοῦ πικρότερον βλέποντας, καί τραχύτερον ἀποκριναμένους μετά πάντων τῶν συνόντων αὐτοῖς, καί τῶν ἀξιωμάτων κόσμοις ἐπηρμένων, ἀποκριθείς ὁ ἀββᾶς Μάξιμος, εἶπεν· Ἐπάν οὐκ ἀνέχεσθε εἰπεῖν τῷ δούλῳ ὑμῶν τά παραστάντα τῷ δεσπότῃ ἡμῶν καί βασιλεῖ, ἰδού λέγω ἀκούοντος τοῦ Θεοῦ καί τῶν ἁγίων ἀγγέλων, καί πάντων ὑμῶν, ὅτιπερ εἴ τι δήποτε κελεύει μοι περί οἱουδήποτε πράγματος τῷ αἰῶνι τούτῳ συγκαταλυομένου καί

συμφθειρομένου, προθύμως ποιῶ. Καί εὐθέως ἀναστάς Τρώϊλος, εἶπεν· Εὔξασθέ μοι, ἐγώ ὑπάγω· οὗτος γάρ οὐδέν ποιεῖ. Καί πολλοῦ πάνυ γενομένου θορύβου, καί πολλῆς ταραχῆς καί συγχύσεως, εἶπεν αὐτοῖς Θεοδόσιος ὁ ἐπίσκοπος· Εἴπατε αὐτῷ τήν ἀπόκρισιν, καί γνῶτε τί λέγει· ἐπεί τό οὕτως ἐξελθεῖν μηδέν εἰρηκότας καί μηδέν ἀκούσαντας, οὐκ ἔστιν εὔλογον. Τότε Ἐπιφάνιος ὁ πατριάρχης εἶπε· Τοῦτό σοι δηλοῖ δι᾽ ἡμῶν ὁ βασιλεύς, λέγων· Ἐπειδή πᾶσα ἡ Δύσις, καί οἱ ἐν τῇ Ἀνατολῇ διαστρέφοντες εἰς σέ θεωροῦσι· καί ἅπαντες διά σέ στασιάζουσι, μή θέλοντες συμβιβασθῆναι ἡμῖν διά τήν πίστιν· κατανύξοι σε ὁ Θεός κοινωνῆσαι ἡμῖν ἐπί τῷ παρ᾽ ἡμῖν ἐκτεθέντι Τύπῳ, καί ἐξερχόμεθα ἡμεῖς δι᾽ ἑαυτῶν εἰς τήν Χαλκῆν, καί ἀσπαζόμεθά σε, καί ὑποτιθέμεθα ὑμῖν τήν χεῖρα ἡμῶν, καί μετά πάσης τιμῆς καί δόξης εἰσάγομεν ὑμᾶς εἰς τήν μεγάλην Ἐκκλησίαν, καί μεθ᾽ ἑαυτῶν ἱστῶμεν ἐν ᾧ κατά συνήθειαν οἱ βασιλεῖς ἵστανται, καί ποιοῦμεν ἅμα τήν σύναξιν, καί κοινωνοῦμεν ἅμα τῶν ἀχράντων καί (164) ζωοποιῶν μυστηρίων τοῦ ζωοποιοῦ σώματος καί αἵματος τοῦ Χριστοῦ· καί ἀνακηρύττομέν σε Πατέρα ἡμῶν· καί γίνεται χαρά οὐ μόνον τῇ φιλοχρίστῳ καί βασιλίδι ἡμῶν πόλει, ἀλλά καί πάσῃ τῇ οἰκουμένῃ. Οἴδαμεν γάρ ἀσφαλῶς, ὅτι σοῦ κοινωνοῦντος τῷ ἁγίῳ τῶν ἐνταῦθα θρόνῳ, πάντες ἑνοῦνται ἡμῖν, οἱ διά σέ καί τήν σήν διδακαλίαν ἀποσχίσαντες τῆς κοινωνίας ἡμῶν.

***Κστ΄.***

Καί στραφείς πρός τόν ἐπίσκοπον ὁ ἀββᾶς Μάξιμος, μετά δακρύων εἶπεν αὐτῷ· Κύριε ὁ μέγας, ἡμέραν κρίσεως ἐκδεχόμεθα πάντες. Οἶδας τά τυπωθέντα, καί δόξαντα ἐπί τῶν ἁγίων Εὐαγγελίων καί τοῦ ζωοποιοῦ σταυροῦ, καί τῆς εἰκόνος τοῦ Θεοῦ καί Σωτῆρος ἡμῶν, καί τῆς αὐτόν τεκούσης παναγίας ἀειπαρθένου Μητρός. Καί βαλών κάτω τό πρόσωπον ὁ ἐπίσκοπος, στυγνοτέρᾳ τῇ φωνῇ λέγει πρός αὐτόν· Καί τί ἔχω ποιῆσαι ἐγώ, ἐπάν ἕτερόν τι παρέστη τῷ εὐσεβεστάτῳ βασιλεῖ; Καί φησι πρός αὐτόν Μάξιμος· Καί διά τί ἥψω τῶν ἁγίων Εὐαγγελίων, καί οἱ μετά σοῦ, οὐκ οὔσης ἐφ᾽ ὑμῖν τῆς τῶν λαληθέτων ἐκβάσεως; Ὄντως πᾶσα ἡ δύναμις τῶν οὐρανῶν τοῦτο οὐ πείθει με ποιῆσαι. Τί γάρ ἀπολογήσομαι, οὐ λέγω τῷ Θεῷ, ἀλλά τῷ ἐμῷ συνειδότι, ὅτι διά δόξαν ἀνθρώπων, τῷ κατ᾽ αὐτήν λόγῳ μηδεμίαν ἔχουσαν ὕπαρξιν, τήν σώζουσαν τούς στέργοντας αὐτήν πίστιν ἐξωμοσάμην;

***ΚΖ΄.***

Καί ἐπί τῷ λόγῳ τούτῳ ἀναστάντες, θυμοῦ στρατηγήσαντος πᾶσιν αὐτοῖς, τιλμοῖς, καί ὠθισμοῖς, καί σφαιρισμοῖς παρέλυσαν αὐτόν, ἀπό κεφαλῆς ἕως ὀνύχων κατακλύσαντες αὐτόν πτύσμασιν· ὧνπερ, μέχρις ἄν ἐπλύνθησαν ἅπερ ἐβέβλητο ἱμάτια, διεπνέετο ὁ βρόμος. Καί ἀναστάς ὁ ἐπίσκοπος εἶπεν· Οὕτως οὐκ ἔδει γενέσθαι, ἀλλ᾿ ἀκοῦσαι μόνον παρ᾿ αὐτοῦ τήν ἀπόκρισιν, καί εἰσελθεῖν ἀναγγεῖλαι τῷ δεσπότῃ ἡμῶν τῷ ἀγαθῷ. Τά γάρ κανονικά πράγματα, ἑτέρῳ διοικοῦνται τρόπῳ. Καί μόλις πείσας αὐτούς ὁ ἐπίσκοπος ἡσυχάσαι, πάλιν ἐκάθισαν, καί μυρίαις ὕβρεσι καί ἀραῖς ἀνεπινοήτοις μωμώσαντες αὐτόν, μετά θυμοῦ καί τραχύτητος εἶπεν Ἐπιφάνιος· Εἰπέ, κακέσχατε φαγοπόλιε, ὡς αἱρετικούς ἔχων ἡμᾶς, καί τήν πόλιν ἡμῶν, καί τόν βασιλέα, τούτους εἶπας τούς λόγους; Ὄντως πλεῖόν σου Χριστιανοί ἐσμεν καί ὀρθόδοξοι· καί τόν Κύριον ἡμῶν καί Θεόν ὁμολογοῦμεν ἔχειν καί θεϊκήν θέλησιν καί ἀνθρωπίνην θέλησιν, καί νοεράν ψυχήν· καί ὅτι πᾶσα νοερά φύσις, πάντως ἔχει τό θέλειν ἐκ φύσεως καί τό ἐνεργεῖν, ἐπειδή ζωῆς ἴδιον ἡ κίνησις, καί νοός ἴδιον ἡ θέλησις. Καί θελητικόν αὐτόν οἴδαμεν, οὐ θεότητι μόνον, ἀλλά καί ἀνθρωπότητι. Ἀλλά καί τά δύο θελήσεις αὐτοῦ καί ἐνεργείας οὐκ ἀρνούμεθα.

***ΚΗ΄.***

(165) Καί ἀποκριθείς ὁ ἀββᾶς Μάξιμος, εἶπεν· Ἐάν οὕτω πιστεύετε, καθώς αἱ νοεραί φύσεις, καί ἡ τοῦ Θεοῦ Ἐκκλησία, πῶς με ἀναγκάζετε κοινωνῆσαι ἐπί τῷ Τύπῳ, τῷ μόνην τούτων ἔχοντι ἀναίρεσιν; ΕΠΙΦ. Δι᾿ οἰκονομίαν τοῦτο γέγονεν, ἵνα μή βλαβῶσιν οἱ λαοί ταῖς τοιαῦταις λεπτομερέσι φωναῖς. Καί ἀποκριθείς ὁ ἀββᾶς Μάξιμος, εἶπε· Τοὐναντίον πᾶς ἄνθρωπος ἁγιάζεται διά τῆς ἀκριβοῦς ὁμολογίας τῆς πίστεως, οὐ μήν διά τῆς ἀναιρέσεως, τῆς ἐν τῷ Τύπῳ κειμένης. Καί εἶπε Τρώϊλος· Καί ἐν τῷ παλατίῳ εἶπόν σοι, ὅτι οὐκ ἀνεῖλεν, ἀλλά κατασιγασθῆναι ἐκέλευσεν, ἵνα εἰρηνεύωμεν πάντες. Καί ἀποκριθείς ὁ ἀββᾶς Μάξιμος εἶπεν· Ἡ σιγή τῶν λόγων, ἀναίρεσις τῶν λόγων ἐστί. Διά γάρ τοῦ Προφήτου λέγει τό Πνεῦμα τό ἅγιον· Οὐκ εἰσί λαλιαί, οὐδέ λόγοι, ὧν οὐχί ἀκούονται αἱ φωναί αὐτῶν. Οὐκοῦν ὁ μή λαλούμενος λόγος, οὐδέ λόγος ἐστί. Καί εἶπε Τρώϊλος· Ἔχε ἐν καρδίᾳ σου, ὡς θέλεις· οὐδείς σε κωλύει. Ὁ ἀββᾶς Μάξιμος εἶπεν. Ἀλλ᾿ οὐ περιώρισεν ὁ Θεός τῇ καρδίᾳ τήν ὅλην σωτηρίαν, εἰπών· Ὁ ὁμολογῶν

με ἔμπροσθεν τῶν ἀνθρώπων, ὁμολογήσω αὐτόν ἔμπροσθεν τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς. Καί ὁ θεῖος Ἀπόστολος διδάσκει, λέγων· Καρδίᾳ μέν πιστεύεται εἰς δικαιοσύνην· στόματι δέ ὁμολογεῖται εἰς σωτηρίαν. Εἰ οὖν ὁ Θεός, καί οἱ τοῦ Θεοῦ προφῆται καί ἀπόστολοι κελεύουσιν ὁμολογεῖσθαι τό μυστήριον φωναῖς ἁγίων, τό μέγα καί φρικτόν, καί παντός τοῦ κόσμου σωτήριον, οὐκ ἔστι χρεία οἱῳδήποτε τρόπῳ κατασιγασθῆναι τήν τοῦτο κηρύττουσαν φωνήν, ἵνα μή μειωθῇ τῶν σιγώντων ἡ σωτηρία.

***ΚΘ΄.***

Καί ἀποκριθείς τραχυτάτῳ λόγῳ Ἐπιφάνιος, εἶπεν· Ὑπέγραψας ἐν τῷ λιβέλλῳ; Καί εἶπεν ὁ ἀββᾶς Μάξιμος· Ναί, ὑπέγραψα. - Καί πῶς ἐτόλμησας, εἶπεν, ὑπογράψαι, καί ἀναθεματίσαι τούς ὁμολογοῦντας καί πιστεύοντας ὡς αἱ νοεραί φύσεις, καί ἡ καθολική Ἐκκλησίᾳ; Ὄντως τῇ ἐμῇ κρίσει εἰσάγομέν σε εἰς τήν πόλιν, καί ἱστῶμεν εἰς τόν φόρον δεδεμένον, καί τούς μίμους καί μιμάδας, καί τάς προϊσταμένας πόρνας, καί πάντα τόν λαόν φέρομεν, ἵνα ἕκαστος καί ἑκάστη, καί ῥαπίσῃ καί ἐμπτύσῃ τό πρόσωπόν σου. Πρός ταῦτα ἀποκριθείς ὁ ἀββᾶς Μάξιμος, εἶπεν· Ὡς εἴπατε, γένηται, ἐάν τούς ὁμολογοῦντας δύο φύσεις ἐξ ὧν ὁ Κύριος ἐστι, καί τάς καταλλήλας αὐτῷ δύο φυσικάς θελήσεις καί ἐνεργείας, Θεῷ φύσει δι᾽ ἀλλήλων ὄντι καί ἀνθρώπῳ, ἀνεθεματίσαμεν. Ἀνάγνωθι, δέσποτα, τά πεπραγμένα, καί τόν λίβελλον, καί ἐάν, ὡς εἴπατε, εὕρητε, ποιήσατε ὅπερ βούλεσθε. Ἐγώ γάρ, καί οἱ σύνδουλοί μου ὅσοι ὑπέγραψαν, τούς κατά τόν Ἄρειον καί Ἀπολινάριον μίαν θέλησιν καί ἐνέργειαν λέγοντας, ἀνεθεματίσαμεν, καί μή ὁμολογοῦντας τόν Κύριον ἡμῶν καί Θεόν καθ᾽ ἕτερον τῶν ἐξ ὧν, ἐν οἷς τε καί ἅπερ ἐστί, φύσει νοερόν· καί διά τοῦτο κατ᾽ ἄμφω θελητικόν καί ἐνεργητικόν τῆς ἡμῶν σωτηρίας. Καί λέγουσιν· Ἐάν τούτῳ συνεπαχθῶμεν, οὐ τρώγομεν, οὐ πί(ν)ομεν· ἀλλ᾽ ἀναστῶμεν, καί ἀριστήσωμεν, καί εἰσέλθωμεν. Εἴπωμεν ἅ (168) ἠκούσαμεν. Οὗτος γάρ πέπρακεν ἑαυτόν τῷ Σατανᾷ. Καί ἀναστάντες ἠρίστησαν· καί εἰσῆλθον μετ᾽ ὀργῆς τῇ παραμονῇ τῆς Ὑψώσεως τοῦ τιμίου καί ζωοποιοῦ σταυροῦ.

***Λ΄.***

Καί τῇ ἑξῆς ἕωθεν ἐξῆλθε Θεοδόσιος ὁ ὕπατος πρός τόν προειρημένον ἀββᾶν Μάξιμον, καί ἀφεῖλε πάντα ὅσα εἶχεν, εἰπών αὐτῷ ἐκ προσώπου τοῦ βασιλέως· " Ὅτι οὐκ θέλησας τιμήν, καί

μακρυνθήσεται ἀπό σοῦ. Καί ὕπαγε ὅπου ἑαυτόν ἄξιον ἔκρινας εἶναι, ἔχων τό κρῖμα τῶν μαθητῶν σου, τοῦ τε ἐν Μεσημβρίᾳ, καί τοῦ ἐν Περβέροις, τοῦ γενομένου νοταρίου τῆς μακαρίας ἡμῶν μάμμης." Ἦσαν δέ καί οἱ πατρίκιοι, τουτέστι Τρώϊλος καί Ἐπιφάνιος εἰρηκότες, ὅτι Πάντως φέρομεν καί τούς δύο μαθητάς, τόν τε ἐν Μεσημβρίᾳ καί τόν ἐν Περβέροις, καί δοκιμάζομεν καί αὐτούς, καί βλέπομεν καί τήν ἐπ᾽ αὐτοῖς ἔκβασιν. Πλήν ἵνα εἶδες, κῦρι ἀββᾶ, ὅτι μικράν ἄνεσιν ἐάν λάβωμεν ἐκ τῆς συγχύσεως τῶν ἐθνῶν, ἁρμόσασθαι ὑμῖν ἔχομεν, μά τήν ἁγίαν Τριάδα, καί τόν πάπαν τόν νῦν ἐπαιρόμενον, καί πάντας τούς ἐκεῖσε λαλοῦντας, καί τούς λοιπούς σου μαθητάς· καί πάντας ὑμᾶς χωνεύομεν ἕκαστον ἐν τῷ ἐπιτηδείῳ αὐτοῦ τόπῳ, ὡς ἐχωνεύθη Μαρτῖνος. Καί λαβών αὐτόν ὁ ῥηθείς ὕπατος Θεοδόσιος, παρέδωκεν αὐτόν στρατιώταις, καί ἤγαγον αὐτός ἕως Σαλεμβρίας.

***ΛΑ΄.***

Καί ἔμειναν ἐκεῖ δύο ἡμέρας, ἕως οὗ ἀπῆλθεν εἰς τό φοσσάτον ὁ εἷς τῶν στρατιωτῶν, καί εἶπεν ὅλῳ τῷ στρατῷ, ὅτι Ὁ μοναχός ὁ βλασφημῶν τήν Θεοτόκον ὧδε ἔρχεται, ἵνα κινήσωσι τόν στρατόν κατά τοῦ ῥηθέντος ἀββᾶ Μαξίμου, ὡς βλασφημοῦντος τήν Θεοτόκον. Καί μετά δύο ἡμέρας ἐπανελθών ὁ στρατιώτης, ἔλαβεν αὐτόν ἐν τῷ φοσσάτῳ καί κατανυγείς ὑπό τοῦ Θεοῦ ὁ στρατηγός, ἤγουν ὁ τοποτηρητής τοῦ στρατηγοῦ, ἔπεμψεν ἐγγύς αὐτοῦ τούς προβεβηκότας τῶν βάνδων· πρεσβυτέρους τε καί διακόνους, καί τούς εὐλαβεῖς σιγνοφύλακας. Οὕς ἰδών παραγενομένους ὁ ῥηθείς ἀββᾶς Μάξιμος, ἐγερθείς ἔβαλε μετάνοιαν· καί ἀντέβαλον κἀκεῖνοι , καί ἐκάθισαν, κελεύσαντες καί αὐτῷ καθίσαι. Καί τις πάνυ γέρων τίμιος εἶπε πρός αὐτόν μετά πολλῆς τῆς εὐλαβείας· Πάτερ, ἐπειδή ἐσκανδάλισαν ἡμᾶς τινες εἰς τήν σήν ἁγιωσύνην, ὡς οὐ λέγεις, Θεοτόκον τήν Δέσποιναν ἡμῶν τήν παναγίαν Παρθένον, ὁρκίζω σε κατά τῆς ἁγίας καί ὁμοουσίου καί ζωοποιοῦ Τριάδος, εἰπεῖν ἡμῖν τήν ἀλήθειαν, καί ἀποτρίψασθαι τῶν καρδιῶν ἡμῶν τοῦτο τό σκάνδαλον, ἵνα μή βλαπτώμεθα ἀδίκως σκανδαλιζόμενοι. Καί βαλών μετάνοιαν, ἀνέστη, καί ἐκτείνας τάς χεῖρας εἰς τόν οὐρανόν μετά δακρύων εἶπεν· Ὁ μή λέγων τήν Δέσποιναν ἡμῶν τήν πανύμνητον καί παναγίαν ἄχραντον, καί πάσῃ φύσει τῇ νοερᾷ καί σεπτήν, φυσικήν ἀληθῶς μητέρα τοῦ Θεοῦ γενομένην, τοῦ ποιήσαντος τόν οὐρανόν καί τήν γῆν καί τήν θάλασσαν, καί πάντα τά ἐν αὐτοῖς, ἔστω ἀνάθεμα καί

κατάθεμα ἀπό τοῦ Πατρός, καί τοῦ Υἱοῦ, καί τοῦ ἁγίου Πνεύματος, τῆς ὁμοουσίου καί προσκυνητῆς Τριάδος, καί πάσης ἐπουρανίου Δυνάμεως· καί τοῦ χοροῦ τῶν ἁγίων (169) ἀποστόλων καί προφητῶν, καί τοῦ ἀπείρου δήμου τῶν μαρτύρων· καί παντός πνεύματος ἐν δικαιοσύνῃ τετελειωμένου, νῦν καί ἀεί καί εἰς τούς ἀπείρους αἰῶνας τῶν αἰώνων. Ἀμήν. Καί κλαύσαντες ηὔξαντο αὐτῷ, λέγοντες· Ὁ Θεός ἐνδυναμώσει σε, Πάτερ, καί ἀξιώσει σε ἀπρόσκοπον τελειῶσαι τόν δρόμον τοῦτον. Καί τούτων εἰρημένων, ἠθροίσθησαν πολλοί στρατιῶται, πολλῶν καλῶν κινηθέντων λόγων ἀκροώμενοι· καί θεωρήσας τίς τῶν δομεστίκων τοῦ στρατηγοῦ, ὅτι πολύς ἐπισωρεύεται στρατός, καί οἰκοδομεῖται, καί καταγινώσκει τῶν εἰς αὐτόν γινομένων, τί ὑπονοήσας ὁ Θεός οἶδεν, ἐπέτρεψεν ἀνάρπαστον αὐτόν γενέσθαι, καί βληθῆναι ἀπό δύο μιλίων τοῦ φοσσάτου, ἕως ἄν τήν σύναξιν ποιήσωσι, καί ἔλθωσιν οἱ ὀφείλοντες ἀπαγαγεῖν αὐτόν ἐν Περβέροις. Πλήν ὅτι θείᾳ ἀγάπῃ νικώμενοι οἱ κληρικοί, ἐπέζευσαν τά δύο μίλια, καί ἦλθον, καί ἠσπάσσαντο αὐτόν, καί ηὔξαντο αὐτῷ· καί χερσίν ἰδίαις βαστάσαντες αὐτόν, ἔθηκαν ἐπί τό κτῆνος, καί ὑπέστρεψαν μετ᾿ εἰρήνης εἰς τούς τόπους αὐτῶν, καί αὐτός ἀπηνέχθη ἐν Περβέροις, ἐν τῇ συνεχούσῃ αὐτόν φρουρᾷ.

***ΛΒ΄.***

Καί τοῦτο δέ ἰστέον, ὅτι ἐν τῷ Ῥηγίῳ ἀποτεινόμενος Τρώϊλος πρός τόν ἀββᾶν Μάξιμον, εἶπεν, ὡς ὁ κονσιλάριος Ἰωάννης ἔγραψεν αὐτῷ περί συμβάσεως προταθείσης αὐτοῖς· καί τοῦτο γενέσθαι τέως, ἡ τῶν σῶν μαθητῶν ἀταξία διεκώλυσε. Οἶμαι δέ, ὅτι οὐκ ἔγραψεν ὁ εἰρημένος κονσιλάριος Ἰωάννης πρός τόν Τρώϊλον, ἀλλά πρός Μεννᾶν τόν μοναχόν, κἀκεῖνος εἶπε τοῖς τοῦ παλατίου.

***ΛΓ΄.***

Καί μετά ταῦτα ἤγαγον αὐτούς ἐν Κωνσταντινουπόλει, καί ἐποίησαν κατ᾿ αὐτῶν πρᾶξιν, καί μετά τό ἀναθεματίσαι καί ἀνασκάψαι αὐτούς τόν ἐν ἁγίοις Μάξιμον, καί τόν μακάριον Ἀναστάσιον τόν μαθητήν αὐτοῦ· τόν τε ἁγιώτατον πάπαν Μαρτῖνον, καί τόν ἅγιον Σωφρόνιον τόν πατριάρχην Ἱεροσολύμων, καί πάντας τούς ὀρθοδόξους καί σύμφρονας αὐτῶν, ἤνεγκαν καί τόν ἄλλον μακάριον Ἀναστάσιον, καί τοῖς αὐτοῖς ἀναθέμασι καί ὕβρεσι χρησάμενοι καί ἐπ᾿ αὐτόν παρέδωκαν τοῖς ἄρχουσιν, εἰπόντες οὕτως· Σύ μέν οὖν, Ἀναστάσιε, τό φαῖον τῆς πανδήμου τῶν ἀναθημάτων τῆς

ἀρᾶς ἐνδυσάμενος περιβόλαιον, ἀπαλλάσου τῆς κανονικῆς ἀκροάσεως, πρός ἥν ἡρετίσω στάσιν τῆς γεέννης, ἀποφερόμενος, συνούσης ἡμῖν τῆς εὐκλεοῦς καί πάντα συνδιαιτησάσης τιμίας τε καί ἱερᾶς συγκλήτου, παραχρῆμα τήν μεθ᾽ ἡμᾶς παραληψομένης κρίσιν, καί τά τοῖς πολιτικοῖς δοκοῦντα νόμοις ἐπί σοί διαπραξομένης, ὡς αὐτοί δοκιμάσειεν, τῶν τηλικούτων σου βλασφημιῶν ἕνεκα καί τυραννίδων. Ψῆφος γάρ κατ᾽ αὐτῶν τῆς παρούσης συνόδου, καί συνεργείᾳ τοῦ παντοδυνάμου Χριστοῦ τοῦ ἀληθινοῦ ἡμῶν Θεοῦ κανονικῶς ψηφισαμένης τά δέοντα καθ᾽ ὑμῶν Μάξιμε, Ἀναστάσιε καί Ἀναστάσιε, ἐπεί τό λεῖπον ὑπῆρχε πρός τά παρ᾽ ὑμῶν λεχθέντα τε δυσσεβῶς καί πραχθέντα, (172) ταῖς αὐστηραῖς τῶν νόμων καθυποβληθῆναι ποιναῖς· εἰ καί ἀξία ποινή τῶν τοιούτων ὑμῶν πλημμελημάτων καί βλασφημιῶν οὐχ ὕπεστι, τῷ δικαίῳ ὑμᾶς περί τῆς μείζονος καταλιπόντες κριτῇ, ἐν τῷ παρόντι βίῳ, καί ἐν τούτῳ τήν τῶν νόμων κενοῦντες ἀκρίβειαν, κερδαινόντων ὑμῶν τό ζῇν, ψηφηζόμεθα ὑμῖν, τόν παρόντα ἡμῖν πανεύφημον ἔπαρχον, αὐτίκα παραναλαμβάνοντα ὑμᾶς ἐν τῷ κατ᾽ αὐτόν πολυαρχικῷ πραιτωρίῳ· καί νεύροις τά μετάφρενα τύπτοντα, (Μάξιμον, καί Ἀναστάσιον καί Ἀναστάσιον, τό ὄργανον τῆς ὑμῶν Μαξίμου καί Ἀναστασίου καί Ἀναστασίου) ἀκολασίας, τουτέστι τήν βλάσφημον ὑμῶν γλῶσσαν, ἔνδοθεν ἐκτεμεῖν. Εἶτα δέ, καί τήν διακονήσασαν τῷ βλασφήμῳ ὑμῶν λογισμῷ σκαιοτάτην δεξιάν, σιδήρῳ διατεμεῖν, περιαχθησομένων ἅμᾳ στερήσει τῶν αὐτῶν βδελύκτων μερῶν, τά δύο καί δέκα τμήματα ταύτης τῆς κυρίας τῶν πόλεων περινοστεύσας, ἀειφυγίᾳ τε καί φυλακῇ πρός ἐπί τούτοις διηνεκεῖ παραδοῦναι ὑμᾶς, πρός τό μετέπειτα ὑμᾶς, καί εἰς τόν ἅπαντα τῆς ζωῆς ὑμῶν χρόνον, τά οἰκεῖα οἰμώζειν βλάσφημα σφάλματα, τῆς ἐπινοηθείσης καθ᾽ ἡμῶν ἀρᾷς, περιτραπείσης τῇ ὑμῶν κεφαλῇ. Παραλαβών οὖν αὐτούς ὁ ἔπαρχος, καί κολάσας, ἔτεμε τά μέλη αὐτῶν· καί περιαγαγών ὅλην τήν πόλιν ἐξώρισεν αὐτούς ἐν Λαζικῇ.

**ΚΑΤΑ ΚΩΝΣΤΑΝΤΙΝΟΠΟΛΙΤΩΝ Σελ. 201 Τόμ. β'.**

Ὑπέρ τοῦ ἁγίου Πατρός ἡμῶν Μαξίμου, στηλιτευκτικόν ὑπό τινος μοναχοῦ, ἐκ δριμύξεως καρδίας συγγραφέν.

Οἱ μή τήν ἀλήθειαν συνιέντες, ὡς θέμις, τό ψεῦδος δήποθεν ἀντί τῆς εἰρημένης ἀσπάζονται. Ὅταν γάρ ψυχή ἀναξία ᾖ τῆς τοῦ Θεοῦ διά τήν οἰκείαν ῥαθυμίαν ἐλλάμψεως, ἀγνωσίας πληροῦται καί σκότους· (204) καί βλέπει τό φῶς σκότος, καί τό σκότος φῶς. Καί ὅν τρόπον τοξότης ἄσκοπος, καί πρός τούτῳ καί νευράν τείνων εὔεικτον, τήν βολήν ἀστόχως βάλλει καί ἀτέχνως· οὕτως καί αὐτή λόγους καί ἔργα προβαλλομένη, καμπύλα καί λοξώδη καί ἀσυνάρτητα ταῦτα προτείνεται· καί μάλιστα τοῖς σταγόνα οὐράνιον καταξιωθεῖσιν ὑποδέξασθαι. Ὅπερ δή πέπονθεν ὁ ἀλογώτατος καί ἐννεώτατος βασιλεύς, καί οἱ περί Ἐπιφάνιον, μᾶλλον δέ Ἀποφάνιον τόν πυρίκαον, ἀλλ᾽ οὐ πατρίκιον· καί Θεοδόσιον τόν ὑπόσκοπον, ἀλλ᾽ οὐκ ἐπίσκοπον, τῶν τόν ἅγιον Μάξιμον καί τρίτον θεολόγον γλωσσοδεξιότμητον δρασάντων· καί τοῖς δυοῖν Ἀναστασίοιν τῶν αὐτοῦ ἄνωθεν φοιτητῶν, τῷ αὐτῷ κρίματι ψηφισάντων.

Τί γάρ, ὦ οὗτοι, ἵνα μικρά πρός ὑμᾶς διαλέξωμαι ἐξ ἀνίας (λύπης), καί ἀλύκης οὐ τῆς τυχούσης, ἀσεβές ἐν τοῖς ἐγκρίτοις καί θεολογικοῖς καί ψυχωφελέσιν αὐτοῖς (αὐτῶν) δόγμασι, καί ἐν τοῖς ἠθικοῖς, καί γνωστικοῖς, καί θεοπρεπέσι νοήμασιν ἐξηύρατε, ὡς γραφῆς ἄτοπον, ἵνα τοιαύτῃ ἀπανθρώπῳ τιμωρίᾳ τόν δίκαιον ὡς δύσχριστον ἀποκόψητε; Σπέρματα πονηρά, ἀμβλωθρίδια ἀτέλεστα, πτηνά νυκτοπορινά, γῆς ἔντερα, κοιλίαι ἀργαί, τραπεζογίγαντες καί γυναικοϊέρακες. Ἰδού μετά χεῖρας τῶν ἀπόρων ἡ βίβλος αὐτοῦ, ἥν πᾶσα φύσις ἐθαύμασε καί θαυμάζει, καί ἔτι θαυματωθήσεται. Ἴδε αἱ δύο πρός ταῖς τέσαρσιν ἑκαντοντάδες, ἅς οὐ λέγω τούς ἀναξίους ὑμᾶς, ἀλλά καί τοῖς ἄγαν ἐγκρίτοις ἐφάνησαν τίμιαι. Ὁ δέ τῶν ψήφων κώδηξ σιγῇ τιμάσθω. Τά γάρ ὑπέρ τήν ἐνοῦσαν τῇ φύσει δύναμιν καθιστάμενα, ὕβριν ὑπομένει καί ἐπαινούμενα. Ἡ ὑμῶν ὤφειλε τμηθῆναι δεξιά, ὡς ἀφῇ λυσσῶσα, ὡς ἄγει, ἵνα μή λέγω διά τό δύσφημον, πάντῃ μεμολυσμένη, ὡς ὑπόδοχος τῆς δευτέρας εἰδωλολατρείας. Ἐχρῆν τούς ὑμῶν ἐξορύξαι ὀφθαλμούς, ὡς προχειρότατον τοῦ διαβόλου ὄργανον, ὡς ἀσελγείας πρόδρομον, ὡς

λυσσώδους λαγνείας διανεύματα. Τήν ὑμῶν καθῆκεν ἔνδοθεν γλῶτταν τεμεῖν, ὡς εἰς οὐρανόν ἀναχθεῖσαν, κἀκεῖθεν ἀποῤῥιφεῖσαν, ὡς τρέφουσαν πόνον καί κόπον καί ἡδονήν ἐν λάρυγγι διωθοῦσαν, καί γλασφημίαν ἐγκισσῶσαν· καί ἀργά καί πτωχοκτόνα διαλοχοῦσαν. Τόν νῶτον ὑμῶν ἐχρῆν διασπαραχθῆναι, καί τό θυμοῦ γέμον στηθήνιον, ὡς ὄχημα δαιμόνων, ὡς ὄφεως ἑρπιστήριον, ὡς δαιμόνων σκιρήντριον (σκιριτήριον), ὡς ἀσεβείας χαρτοφυλακεῖον.

Τοιαῦτά σου, ἑπτάλοφε Βαβυλών, τά αὐχήματα· τηλικαῦτα ἀνόσια καί κοσμοβόρα θηλάζεις ἔγγονα. Αἵμασιν ἁγίοις κομᾷς· τῷ λύθρῳ τῶν ὁσίων ἀνασκιρτᾷς. Πᾶν αἷμα δίκαιον ἀδίκως ἐκένωσας, καί οὐ καταπτήσεις; πᾶς ὅστις δίκαιος παρά σοῦ ἐδιώχθη, καί οὐκ ἐρυθριᾷς; ἀλαζονεύῃ, καί οὐκ ἐπιγινώσκεις; Σκάζεις, καί οὐ τρομεῖς; Λοχᾷς, καί ῥητορεύεις; Σφάζεις, καί φιλοσοφεῖς; Γλωττοτομεῖς, καί κοινωνεῖς; (205) Δεξιάν, Θεοῦ ἀλήθειαν λέγω, ἐκτέμνεις, καί Τά ἅγια τοῖς ἁγίοις ἀνεπαισθήτως κράζεις; Ἀλλά σέ μέν, καί τούς σούς ἡ τοῦ Θεοῦ ἀδιάδραστος διδάσκει δίκη· τούς δέ ὁμολογητάς καί οὐκ ἔλαττον μάρτυρας, ἡ αἰώνιος Χριστοῦ ὑποδέξεται βασιλεία· ἧς καί ἡμεῖς, εἰ καί τολμηρόν εἰπεῖν, ἐπιτύχοιμεν διά τῶν εὐπροσδέκτων αὐτῶν παρακλήσεων. Ἀμήν.

**Ἀκολουθία α'. Ἁγίου Μαξίμου. ΤΟΜΟΣ Β'. Σελ. 206.**

***ΑΚΟΛΟΥΘΙΑ α '.***

Τοῦ ὁσίου Μαξίμου, Ἀναστασίου καί Μακαρίου (Ἀναστασίου). Στιχ. Ἦχος πλάγ. δ.

Προσόμια. Μάρτυρες Κυρίου, ἱκετεύσατε.

Ὅσιοι Πατέρες, πᾶσαν πόλιν ἡγιάσατε, καί πάντα τόπον ἐφωτίσατε· καί νῦν πρεσβεύσατε οἰκῆσαι τόν φωτισμόν τοῦ Χριστοῦ ταῖς ψυχαῖς ἡμῶν, δεόμεθα.

Ὅσιοι πατέρες, ἐβδελύξασθε πᾶσαν αἵρεσιν· ἐκηρύξατε τήν εὐσέβειαν· διό πρεσβεύσατε οἰκῆσαι τόν φωτισμόν τοῦ Χριστοῦ ταῖς ψυχαῖς ἡμῶν δεόμεθα.

Ὅσιοι Πατέρες, μετά τήν ἐκτομήν τῶν μελῶν ὑμῶν ὡς οὐδέν πεπονθότες ἐνειργήσατε, λαλοῦντες στόμασιν ἀγλώσσοις, καί γράφοντες χερσί τά θεῖα δόγματα.

Ἦχος πλ. δ'. ᾠδ. α'. Τόν Ἰσραήλ ἐκ δουλείας.

Τῆς ἀνωτάτου σοφίας τούς θησαυρούς κτησάμενος ἐν τῇ καρδίᾳ, ὅσιε, δι᾽ αὐτῆς ἐπλούτισας τόν κόσμον τοῖς σοῖς δόγμασιν.

Ἀγγελικήν ἀπεδείξω διαγωγήν ἐν γῇ κατοικῶν, καί γέγονας ταμεῖον Θεοῦ, Χριστοκήρυξ ὅσιε, διό καί ἀνεκράθης αὐτῷ.

Αἱρετικῶν γλωσσαλγείας τῇ φλογιφόρῳ γλώσσῃ σου κατέφλεξας, μακάριε, τόν Σωτῆρα ἕνα Υἱόν κηρύξας ἐν δυάδι μορφῶν.

Θεοτ.

Χαῖρε, ἁγνή Θεοτόκε, ἡ τόν προόντα Λόγον Θεοῦ τεκοῦσα ἐπεσχάτων σαρκί· χαῖρε, τεῖχος πάντων ἡμῶν καί σκέπη τῶν τιμώντων σε.

Ὠιδή γ '. Οὐκ ἔστιν ἅγιος ὁ Κύριος;

Τά αἵματα στάζουσι τῆς τιμίας σου χειρός, καί τά δόγματα ῥύουσι τῆς σώφρονος γλώσσης σου, τῆς ἐνάρθρως βιώσης μετά τήν ἐκτομήν αὐτῆς, Χριστόν ἐν δύο φύσεσιν.

Ἡ χείρ σου τοῖς γράμμασιν οὐκ ἐπαύσατο βοᾶν, καί ἡ γλῶσσα τοῖς δόγμασι σαλπίζει τήν πίστιν σου, (208) θεορῆμον τρισμάκαρ. Θεός γάρ ἦν ἑκάτερα κινῶ καί συμβιβάζων λαλά.

Ἐκ γῆς τό πολέτευμα νοητῶς εἰς οὐρανούς καταλάξαντες, ὅσιοι, ἐκεῖ αὐλιζόμενοι ἐν φωτί αἰωνίῳ, διό καί οὐράνιον τό στέφος ἐκομίσατε.

Θεοτ.

Γυναῖκες μέν τίκτουσι, Μητροπάρθενε ἁγνή, ἀλλ᾽ οὐκ ἔτι παρθένοι, ὡς σύ, διαμένουσιν· οὐδεμία γάρ τούτων Θεόν ἀπεκύησεν, εἰ μή σύ, Θεοτόκε σεμνή.

Ὠιδή δ '. Ἐξ ὄρους κατασκίου.

Σύ τόν Μωϋσῆν μιμούμενος, θεόφρον, πλάκας νοεράς ἐδέξω τῶν δογμάτων. Ἐν γάρ τῷ γνόφῳ εἰσέδυς (εἰσδύς ) τῶν νοημάτων, κατεπλούτησας τό τῆς γνώσεως φῶς.

Σύ τόν Ἀβραάμ ζηλώσας, θεοφόρε, ἄλλον Ἰσαάκ προσῆξας τῷ Κυρίῳ, τήν σεαυτοῦ θυσιάσας, Πάτερ, καρδίαν, ἐν τῷ πυρί τῆς συνειδήσεως.

Τούτους ἡ Τριάς ἐδόξασεν ἀξίως· τούτους ὁ Θεός συνήρμοσε τῇ πίστει, ὁμολογοῦντας ἀλλήλοις τῇ εὐσεβείᾳ τῆς ἀπλανοῦς ὁμολογίας ἡμῶν.

Θεοτ.

Ἄχρονον Υἱόν ἐγέννησας ἐν χρόνῳ· ἄφθαρτος, ἁγνή, διέμεινας τεκοῦσα τόν δι᾽ ἡμᾶς σαρκωθέντα ἐν τῇ γαστρί σου, Θεογεννῆτορ ἀειπάρθενε.

Ὠιδή ε' . Ὀρθρίζοντες βοῶμεν.

Οὐκ ἔτεμέν σου, Πάτερ, τό ξίφος τήν παῤῥησίαν· οὐκ ἔσβεσεν, ὅσιε, ἡ ἐξορία τήν πίστιν σου.

Κηρύττει μέν ἡ Ῥώμη τόν ζῆλον σου, θεοφόρε· σαλπίζει δέ, ὅσιε, ἡ Ἐκκλησία τούς λόγους σου.

Τήν πίστιν σου ἀσάλευτον ἔστερξας ἐν καρδίᾳ, καί νοῦν ἀνεπτέρωσας πρός οὐρανόν, μεγαλώνυμε.

Θεοτ.

Πηγήν ἀθανασίας ὑμνοῦμεν σε Θεοτόκε· σύ γάρ τήν ἀένναον ζωήν τῷ κόσμῳ ἐπήγασας.

Ὠιδή ς '. Ἐκ κοιλίας ᾅδου κραυγῆς μου ἤκουσας φωνῆς μου, καί ἐρρύσω ἐκ φθορᾶς τήν ζωήν μου, ὡς φιλάνθρωπος.

Ἐθαυμάστωσέν σου, τρισμάκαρ, τήν ὁμολογίαν, ὁ ἐν σοί φθεγξάμενος Ἰησοῦς, ὁ συνάθλήσας σοι.

Οὐκ ἀρχόντων τῦφον, οὐ ξίφος, οὐ πῦρ ἀπειλοῦν σοι κατεπλάγης, ὅσιε· τῇ γάρ πίστει ἦσθα πάγιος.

Μετά βίου τέλος, Πατέρες, θαύματα τελεῖτε, ἐνεργεῖς παρέχοντες ἀποδείξεις τῶν θαυμάτων ὑμῶν.

Θεοτ.

Ὑπέρ νοῦν καί λόγον, Παρθένε, τόν τροφέα (209) πάντων ἐκ μαζῶν θηλάζουσα, τά μητέρων οὐχ ὑφίστασαι.

Κάθισμα. Ἦχος γ'. πλ. Θείας πίστεως.

Δόγμα ἔνθεον ἐπικρατύνων, στύλος γέγονας ὀσθοδοξίας, καί κραταίωμα, θεόφρον, τῆς πίστεως, δυσίν οὐσίαις καί δυσί θελήσεσιν ἀνακηρύξας Χριστόν τόν Θεόν ἡμῶν, Πάτερ Μάξιμε, ὅν νῦν ἐκτενῶς ἱκέτευε δωρήσασθαι ἡμῖν τό μέγα ἔλεος.

Συναξάριον.

Ἄθλησις τοῦ ἐν ἁγίοις Πατρός ἡμῶν Μαξίμου τοῦ ὁμολογητοῦ, ὅς ἐπί τῆς βασιλείας Κωνσταντίνου τοῦ ἐπιλεγομένου Πωγωνάτου, ἐγγόνου Ἡρακλείου, ταῖς μεγίσταις τιμαῖς ὑπό τῶν πρώην βασιλέων δεξιωθείς, καί ἱκανός ἐν ταῖς πολιτικαῖς διοικήσεσι τά πρακτέα ὑφηγεῖσθαι, διά λόγον καί τρόπον καί τήν ἀπό χρόνου σύνεσιν, εἰς τόν τοῦ πρωτοασηκρήτις προεβιβάσθη ἀξίωμα, καί βουλῆς τοῖς βασιλεῦσιν γέγονεν κοινωνός. Ἐπεί δέ ἡ πονηρά καί ἔκφυλος δόξα, τῶν μίαν θέλησιν ἐπί τῆς οἰκονομίαις τοῦ Χριστοῦ τήν διά σαρκός εἰσαγόντων ἐπεκράτει ληρωδοῦσα, καί διατάγματά τινα τήν τοιαύτην περιέχοντα βλασφημίαν κατά τήν ἀγοράν ἐπόμπευεν, καί ἐπί τῆς μεγάλης προὔκειτο Ἐκκλησίας, οὗτος οὐκ ἀνεχόμενος τῇ τῶν ἀσεβῶν

κοινωνίᾳ συνασεβεῖν, ἀφείς τάς κοσμικάς ἀρχάς καί τιμάς, εἵλετο μᾶλλον ἐν τῷ οἴκῳ τοῦ Θεοῦ παρεῤῥίφθαι, ἤ ἐν σκηνώμασιν ἁμαρτωλῶν κατοικεῖν. Καί καταλαβών τό ἐν Χρυσοπόλει μοναστήριον, τήν κόμην ἀπέθετο· οὗ καί καθηγητής ὕστερον γέγονεν. Εἶτα θείῳ ζήλῳ ὥσπερ ὑπό πυρός ἐξαφθείς, τήν πρεσβυτέραν Ῥώμην κατέλαβεν, καί Μαρτῖνον τόν μακάριον πάπαν παρεσκεύασεν, τοπικήν ἀθροίσαντα σύνοδον, ἀναθεματίσαι τούς εἰσηγητάς τοῦ ἀνοσίου δόγματος, τῶν μίαν ἐπί Χριστοῦ βλασφημούντων θέλησιν· καί εἰς ἔλεγχον τῶν οὕτως φρονούντων λόγους συγγράψας, καί ἐπιστολάς λογικαῖς ἀποδείξεσι καί γραφικαῖς τῆς καθ᾽ ἡμᾶς πίστεως συστατικάς, πανταχοῦ τῆς οἰκουμένης ἐξέπεμψεν. Ἀναζεύξας δέ ἀπό Ῥώμης μετά τῶν δύο Ἀναστασίων τῶν μαθητῶν αὐτοῦ, εἰς εὐθύνας παρά τῆς συγκλήτου καθίσταται, ὁμοδοξούσης τῇ τοῦ βασιλέως αἱρέσει· ὅτι πάντων ὑπεικόντων τῷ βασιλεῖ, αὐτός τε μόνος ἀνθίσταται, καί τούς ἄλλους εἰς ἀποστασίαν κινεῖ, ἐναντία διά τῶν ἐπιστολῶν φρονεῖν μεταπείθων αὐτούς. Ἐπί τούτῳ πέμπεται ἐν φρουρᾷ κατά τήν Θράκην· καί ἐπιμένων τῇ ὀρθοδόξῳ πίστει, τήν χεῖρα καί τήν γλῶτταν ἀκροτηριάζεται, κἀκεῖθεν εἰς τήν ὑπερορίαν κατά τήν Λαζικήν πέμπεται· ἔνθα ἐπί τρισί χρόνοις διαγαγών, καί ταῖς οἰκείαις τοῦ σώματος χρείαις αὐτός ὑπηρετησάμενος, καί πλήρης ἡμερῶν ὤν, μικρόν νοσήσας, ἀνεπαύσατο ἐν Κυρίῳ· καί κατετέθη ἐν τῇ μονῇ τοῦ ἁγίου Ἀρσενίου ἐν αὐτῇ χώρᾳ τῶν Λαζῶν, πολλάς θαυμάτων ἐνεργείας καθ᾽ ἑκάστην τελῶν.

Λέγεται δέ μετά τήν ἐκτομήν, αὖθις ὑπό Θεοῦ (212) παραδόξως ἀποκατασταθῆναι τήν γλῶτταν, καί τρανῶς φθέγγεσθαι, μέχρις ἄν ἐν τῷ βίῳ ὑπῆρχεν. Τῶν δέ δύο αὐτοῦ μαθητῶν, ὁ μέν πρεσβύτερος Ἀναστάσιος, ἴσα τῷ διδασκάλῳ τήν γλῶτταν καί τήν χεῖρα τμηθείς, μακράν ἐξωρίσθη· ὁ δέ νεώτερος, ἔν τινι τῶν κατά Θράκην φρουρίων πεμφθείς, τόν βίον κατέλυσεν.

Ὠιδ. ζ'. Ὁ ἐν ἀρχῇ τήν σήν.

Σύ τήν στολήν τῆς φυσικῆς ἀξίας, αἵματι σῷ κατέστιξας, θεόφρον· σιγῶσαν, Πάτερ, καί φθεγγομένην ἀπόδειξιν παρασχῶντα ταύτης τοῖς λόγοις σου.

Ὥσπερ χρυσός οἱ τρεῖς δοκιμασθέντες ἐν τῷ πυρί τῶν πειρασμῶν ἐκείνων, καθαρωτέραν τήν πίστιν ὑμῶν προσήξατε τῷ Χριστῷ, Πατέρες τίμιοι.

Δεῦτε λοιπόν, Πατέρες θεοφόροι, κράζει Χριστός, τούς πόνους τῶν καμάτων ἀπολαβόντες καί τά βραβεῖα, αὐλίζεσθαι ἐν χαρᾷ εἰς αἰωνίους σκηνάς.

Θεοτ.

Ὁ μυστικήν εἰκόνα τῆς Παρθένου τήν ἐν Σινᾶ σύ προτυπώσας βάτον, τήν καιομένην, οὐ φλεγομένην, εὐλογητός εἶ, Χριστέ, ὁ τῶν Πατέρων.

Ὠιδή η ' . Τόν ἐν ὄρει ἁγίῳ.

Τήν ἀκτῖνα τῆς θείας δᾳδουχίας ἐν καρδίᾳ δεξάμενος, θεόφρον, τόν φωτισμόν τῆς γνώσεως ἐπλούτησας· καί τόν τῆς σοφίας θησαυρόν ἀπέθου ἐν τῇ ψυχῇ σου, Πάτερ.

Τόν χιτῶνα τόν τῆς ἀσκήσεώς σου, μαρτυρίου κατέστησας, εἰκόνα, καί ἱεροῖς σου τοῦτον κατεποίκιλας ἄθλοις, θεοφόρε, αἵμασι φοινίξας τοῖς ὑπέρ ἀληθείας.

Ἐν ἁγνείᾳ τηρήσαντες τόν βίον, καί τῇ πίστει κοσμήσαντες τά ἔργα, τῆς οὐρανίου δόξης ἠξιώθητε, τίμιοι Πατέρες, ὅθεν ἀνυμνεῖτε Χριστόν εἰς τούς αἰῶνας.

Θεοτ.

Χαῖρε, πύλη καί ἔμψυχε νεφέλη· χαῖρε, ὄρος, καί βάτος, καί λυχνία· χαῖρε, ναέ, καί θρόνε, καί παράδεισε· χαῖρε, ἡ τεκοῦσα τόν Δημιουργόν τοῦ παντός, εὐλογημένη.

Ὠιδ' θ' . Τόν προδηλωθέντα.

Εὖ δι᾽ ἀπαθείας καί θεωρίας, τρισμάκαρ, ἐδίδαξας λόγους ἡμᾶς ζωῆς τῆς αἰωνίου, στήλην ἔμπνουν ὀρθοδοξίας τῷ κόσμῳ τήν ὁμολογίαν σου καταλείψας.

Ὄντως ἐδοξάσθητε, θεοφόροι Πατέρες, αἰκισμοῖς καί μάστιξι, διωγμοῖς καί κινδύνοις, ἐν δεσμοῖς τε καί φυλακαῖς, καί σιδήροις, καί ὑπερορίαις ἐναθλήσαντες.

Ὅσιοι Πατέρες ἡμῶν, οἱ ζήλῳ καί πόθῳ τόν τοῦ μαρτυρίου συνδιανύσαντες δρόμον, ἱκετεύσατε τόν Θεόν καί Δεσπότην, πάσης πλάνης ῥύσασθαι τούς δούλους ὑμῶν.

Θεοτ.

Βάτον καιομένην πυρί καί μή φλεγομένην προεώρα (213) πάλαι Μωσῆς, θεομῆτερ Παρθένε, τήν θεόδεκτον προτυποῦσαν γαστέρα ὑποδεχομένην τό ἀκήρατον πῦρ.

Ἐξαποστειλάριον. Φῶς ἀναλλοίωτον.

Σάλπιγξ ἐδείχθης σοφίας, εὐήχῳ γλώττῃ σου πλήττων τῶν ἐναντίων τά στίφη, Μάξιμε, φῶς μοναζόντων· διό τοῖς σοῖς ἐντρυφῶντες λόγοις τήν γνῶσιν κατανοοῦμεν τῶν ὄντων.

ΑΚΟΛΟΥΘΙΑ Β'.

Εἰς τό " Κύριε ἐκ έκραξα. "

Στίχ. Ἦχος δ ' . Προσόμια. Ὡς γενναῖον ἐν μάρτυσιν.

Τόν δι᾽ οἶκτον γενόμενον, ὡς εὐδόκησεν, ἄνθρωπον, ἐν δυσί θελήσεσιν ἐνεργείας τε κατανούμενον, ὅσιε , ἐκήρυξας, Μάξιμε, ἀποφράττων μιαρῶν τά ἀπύλωτα στόματα, μονοθέλητον, μονοενέργητον πλάνην δοξαζόντων, ἐπηρείᾳ διαβόλου, τοῦ τήν κακίαν τεκτήναντος

Ταῖς νευραῖς τῶν δογμάτων σου, Πύῤῥον, Πάτερ, ἀπέπνιξας, ληρωδοῦντα, Μάξιμε, τόν κακόφρονα· καί διωγμούς ἐκαρτέρησας καί θλίψεις, ἀοίδιμε, μαστιζόμενονς σφοδρῶς, καί τήν γλῶτταν τεμνόμενος, καί τήν πάντοτε πρός Θεόν αἰρομένην θείαν χεῖρα, δι᾽ ἧς γράφων διετέλεις τά ὑψηλότατα δόγματα.

Ὀξυγράφου ὡς κάλαμος τεθηγμένῃ τῷ Πνεύματι ἡ ἁγία γέγονε, Μάκαρ, γλῶσσά σου καλλιγραφοῦσα ἐν Πνεύματι πλαξί καρδιῶν

ἡμῶν νόμον θείων ἀρετῶν καί δογμάτων ἀκρίβειαν, καί τήν σάρκωσιν, τοῦ ἐν δύο οὐσίαις τοῖς ἀνθρώποις, καί μιᾷ τῇ ὑποστάσει ἐμφανισθῆναι θελήσαντος.

Δόξα. Ἦχος πλ. δ' .

Τῶν μοναστῶν τά πλήθη τόν καθηγητήν σε τιμῶμεν, Πάτερ ἡμῶν Μάξιμε· διά γάρ σου τήν τρίβον τήν ὄντως εὐθεῖαν πορεύεσθαι ἔγνωμεν. Μακάριος εἶ, τῷ Χριστῷ δουλεύσας, καί ἐχθροῦ θραμβεύσας τήν δύναμιν, ἀγγέλων συνόμιλε, ὁσίων συμμέτοχε καί δικαίων, μεθ᾽ ὧν πρέσβευε τῷ Κυρίῳ ἐλεηθῆναι τάς ψυχάς ἡμῶν.

Ὅσιε Πάτερ, εἰς πᾶσαν τήν γῆς ἐξῆλθεν ὁ φθόγγος τῶν κατορθωμάτων σου· διά ἐν τοῖς οὐρανοῖς εὗρες μισθόν τῶν καμάτων σου· τῶν δαιμόνων ἔτρεψας τάς φάλαγγας· τῶν ἀγγέλων ἔφθασας τά τάγματα, ὧν τόν βίον ἀμέμπτως ἐζήλωσας. Παῤῥησίαν ἔχων ἐν τῇ μνήμῃ σου, εἰρήνην αἴτησαι ταῖς ψυχαῖς ἡμῶν.

Ἀπολυτίκιον τῆς ἑορτῆς καί τοῦ ἁγίου. Ἦχος πλ. δ'.

Ὀρθοδοξίας ὁδηγέ, εὐσεβείας διδάσκαλε καί σεμνότητος, τῆς οἰκουμένης ὁ φωστήρ· τῶν μοναζόντων θεόπνευστον ἐγκαλλώπισμα, Μάξιμε σοφέ, λύρα του (216) Πνεύματος, Πάτερ ὅσιε, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τάς ψυχάς ἡμῶν.

Κανών οὗ ἡ ἀκροστιχίς. " Ὁ παμμέγιστος Μάξιμος δοξάζεται."

Ὠιδή α'. Ἦχος πλάγ. δ'. Ἄσωμεν τῷ Κυρίῳ, Ἰωάννου μοναχοῦ.

Ὅλην μοι τήν θεόπνουν ἐκ τῆς μελιῤῥύτου καί ἡδείας σου ἐναποστάζον γλώττης, θεῖε Μάξιμε, χάριν τοῦ Πνεύματος.

Πῦρ καιόμενον ὤφθης κατά τῶν αἱρέσεων, μακάριε· ὡς καλάμην γάρ ταύτας κατηνάλωσας ζήλῳ τοῦ Πνεύματος.

Ἄλογον προετέθη ἐκ δυσσεβεστάτης προαιρέσεως μονοθέλητον δόγμα· τοῖς δέ λόγοις σου, Πάτερ, διήλεγκται.

Θεοτ.

Ἄχραντε Θεοτόκε, ἡ σεσαρκωμένον τόν ἀΐδιον καί ὑπέρθεον Λόγον ὑπέρ φύσιν τεκοῦσα, ὑμνοῦμεν σε.

Ὠιδή γ'. Ὁ εἱρμός. Σύ εἶ τό στερέωμα τῶν προσεχόντων σοι, Κύριε· σύ εἶ τό φῶς τῶν ἐσκοτισμένων, καί ὑμνεῖν σε τό πνεῦμα μου·

Μέγιστος ὁ Μάξιμος τῆς εὐσεβοῦς Χριστοῦ πίστεως παναληθής κήρυξ τε καί μάρτυς ἀνεδείχθης δι᾽ αἵματος.

Μάξιμε μακάριε, σύ δι᾽ ἀσκήσεως γέγονας θεοπρεπές τῆς φιλοσοφίας καί σώφρων ἐνδιαίτημα.

Ἔμβλυσεν ἡ γλῶσσα σου ποταμηδόν Χριστοῦ δόγματα πανευσεβῆ, Μάξιμε παμμάκαρ, τῆς σοφίας ὁ τρόφιμος.

Θεοτ.

Σέ πάντες κεκτήμεθα καταφυγήν καί τεῖχος ἡμῶν, Χριστιανοί. Σέ δοξολογοῦμεν ἀσιγήτως πανύμνητε.

Κοντάκιον τῆς ἑορτῆς καί τοῦ ὁσίου. Ἦχος πλ. β'.

Τήν ὑπέρ ἡμῶν.

Φῶς τό τριλαμπές οἰκῆσαν ἐν τῇ ψυχῇ σου, σκεῦος ἐκλεκτόν ἀνέδειξέ σε, παμμάκαρ. Σαφηνίζεις γάρ τά θεῖα τοῖς πέρασι, δυσεφίκτων τε νοημάτων τήν δήλωσιν, μακάριε, Τριάδα πᾶσι, Μάξιμε, ἀναξηρύττων τρανῶς ὑπερούσιον, ἄναρχον.

Ὁ οἶκος.

Τῶν ἱερέων ἡ κρηπίς, ἡ βάσις τῶν δογμάτων, ἡ σάλπιγξ τῆς σοφίας, μαρτύρων ἡ ἀκρότης καί τῶν πιστῶν ὁ στηριγμός κόσμῳ προανίσχει, Μάξιμος ὁ θαυμαστός διά τῆς θείας αὐτοῦ μνήμης σήμερα. Τούτου οὖν πρός τήν λάμψιν ἀνάστητε πάντες, τήν παῤῥησίαν καί τόν ζῆλον εὐφημοῦντες, ὅν ἔδειξεν ὑπέρ εὐσεβείας, δι᾽ ἥν ἀληθῶς ποιμήν ὑπέρ ποίμνης παρετάξατο στεῤῥῶς κατά τόν λύκων, οὕς καταβαλών, βραβείοις νίκης ἐστέφθη· Τριάδα πᾶσιν ἀνακηρύττων τρανῶς ὑπερούσιον, ἄναρχον.

(217) Δόξα. Ἦχος γ'. Τήν ὡραιότητα.

Τά κατορθώματα τῆς πολειτείας σου, πάντων φωτίζουσι τά διαβήματα, Μάξιμε, πάτερ ἀληθῶς τῶν πίστει μιμουμένων σε· ὅθεν

τούς ἐκ πόθου σε μακαρίζοντας πάντοτε σῷζε ταῖς πρεσβείαις σου ἀπό πάσης στενώσεως, Χριστόν τόν ἀγαθόν ἱκετεύων, μάκαρ ἀξιοθαύμαστε.

Ὠιδή δ'. Εἰσακήκοα, Κύριε.

Γηγενεῖς σε γεραίρουσι, καί τῶν οὐρανίων τάξεις θαυμάζουσι· τῇ φιλίᾳ τῆς σοφίας γάρ ἀνεδείχθης, Πάτερ, ὥσπερ ἄσαρκος.

Ἰταμός μέν ὁ τύραννος· ἀλλ᾽ ἡ καρτερία σου ἀκατάπληκτος· ὅθεν σύ μέν μεμακάρισαι· ἐκεῖνος δέ, Πάτερ, ἐξωστράκισται.

Συναθλοῦσί σοι, Μάξιμε, ἡ τῶν μαθητῶν δυάς ἡ πανόλβιος, σοί τῶν ἄθλων κοινωνήσαντες· διό καί ἐπάθλων ἴσων ἔτυχον.

Τῇ ῥοῇ σου τοῦ αἵματος καταρδευομένη ἡ Ἐκκλησία Χριστοῦ, ἐξανθεῖ πατροπαράδοτον τοῦ θείου σου σπόρου δόγμα, ὅσιε.

Θεοτ.

Ἡ τόν στάχυν βλαστήσασα τόν ζωοποιόν ἀνήρωτος ἄρουρα, τόν παρέχοντα τῷ κόσμῳ ζωήν, Θεοτόκε, σῷζε τούς ὑμνοῦντάς σε.

Ὠιδή ε'. Ὀρθρίζοντες βοῶμέν σοι.

Ὁ γνῶσιν τῶν γηΐνων ἀθροίσας καί οὐρανίων, ἐνδίκως φιλόσοφος κατονομάζεται Μάξιμος.

Σοφίας τῆς ἀμείνονος τῷ ἔρωτι, τοῦ Χριστοῦ σου μιμητής πανάριστος ὤφθης, ἀοίδιμε Μάξιμε.

Μανίᾳ ὑπερόριος γέγονας τοῦ τυράννου· εὗρες δέ, Μακάριε, τόν Ἰησοῦν παραμύθιον.

Θεοτ.

Κατεύνασον τόν ἄστατον κλύδωνα τῶν παθῶν μου, ἡ Θεόν κυήσασα τόν κυβερνήτην καί Κύριον.

Ὠιδή στ'. Ὁ εἱρμός. Χιτῶνά μοι παράσχου φωτεινόν, ὁ ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον, πολυέλεε Χριστέ ὁ Θεός ἡμῶν.

Ἀνένδοτον προσφέρων τῷ Θεῷ, θεοφόρε, δέησιν, ψυχῆς τε καί σώματος τῶν παθῶν καί τῆς φθορᾶς ἡμᾶς λύτρωσαι.

Ξηραίνεται αἱρέσεως πηγή βορβορώδους ἅπασα, ἀοίδιμε Μάξιμε, φραττομένη τ·ῇ ἡδύτητι τῆς γλώττης σου.

Ἱλάσθητί μοι, μόνε ἀγαθέ, καί πηγήν τῆς χάριτος, Χριστέ, τῇ καρδίᾳ μου ταῖς λιταῖς τοῦ σοῦ ὁσίου ἀνάβλυσον.

Θεοτ.

Ἡ μόνη διά λόγου ἐν σαρκί τόν Λόγον κυήσασα, ῥῦσαι, δεόμεθα, τῶν παγίδων τοῦ ἐχθροῦ τάς ψυχάς ἡμῶν.

Ὠιδή ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.

Μίαν φύσιν Τριάδος, μίαν θέλησιν ἔφη, μίαν (220) ἐνέργειαν· Θεοῦ δέ σαρκωθέντος, δύο φύσεις, θελήσεις ἐνεργείας ἐκήρυξας· ὁ τῶν πατέρων ἡμῶν Θεός εὐλογητός εἶ.

Οὐ θελήματα δύο διαιρούμενα γνώμης ἐναντιότητι, ποιότητι δέ μᾶλλον, ἀνεκήρυξας, Πάτερ, φυσικῇ διαφέροντα· Ὁ τῶν πατέρων ἡμῶν Θεός εὐλογητός εἶ.

Στήλην ὀρθοδοξίας τούς ἐνδόξους σου λόγους, Πάτερ, κατέχοντες, τόν ἕνα τῆς Τριάδος ἐν δυσί ταῖς οὐσίαις καί θελήσεσι σέβομεν· Ὁ τῶν πατέρων ἡμῶν Θεός, εὐλογητός εἶ.

Δύο, Πάτερ, εἰδότες ἐνεργείας τοῦ οἴκτῳ σεσαρκωμένου Θεοῦ, δισσάς αὐτεξουσίους θελήσεις διδαχθέντες ὑπό σοῦ, ἀναμέλπομεν· Ὁ τῶν πατέρων ἡμῶν Θεός, εὐλογητός εἶ.

Θεοτ.

Παρθενικῆς ἐκ νηδύος σαρκωθείς ἐπεφάνης εἰς σωτηρίαν ἡμῶν· διό σου τήν μητέρα εἰδότες Θεοτόκον, εὐχαρίστως κραυγάζομεν· Ὁ τῶν πατέρων ἡμῶν Θεός, εὐλογητός εἶ.

Ὠιδή η'. Ὁ εἱρμός. Νικηταί τυράννου καί φλογός τῇ χάριτί σου σφόδρα ἀνεχόμενοι παῖδες, ἐβόων· "Εὐλογεῖτε, πάντα τά ἔργα, τόν Κύριον, καί ὑπερυψοῦτε εἰς πάντας τούς αἰῶνας."

Ὁλικῶς ποθήσας τόν ὑπερποθήσαντα γένος ἀνθρώπων, τόν σταυρόν σου ἦρας, καί αὐτῷ, μακάριε συνεσταυρώθης. Εὐλογεῖτε, πάντα τά ἔργα, τόν Κύριον.

Ξενωθείς ἁπάσης ἡδονῆς, μακάριε, θανατηφόρου, σεαυτόν εἰργάσω ὅλον ἀκηλίδωτα ἔσοπτρον θεῖον· Εὐλογεῖτε, μέλπων, τά ἔργα, τόν Κύριον.

Ἀπηνοῦς τυράννου δεσσεβοῦς ὠμότητα οὐ κατεπλάγης· ἀλλ᾽ ὡς πύργος ἔστης ἀκλινής ἀλόνητος ὀρθοδοξίας· Εὐλογεῖτε, μέλπων, τά ἔργα, τόν Κύριον.

Ζωηφόρον αἴγλην ἐκ μιᾶς Θεότητος τρισυποστάτου δεδογμένος ὤφθης τοῖς ἐν σκότει ἥλιος καί πλανωμένοις· Εὐλογεῖτε, μέλπων, τά ἔργα, τόν Κύριον.

Θεοτ.

Τοῦ Ἀδάμ, Παρθένε, τοῦ παραπεσόντος μέν ὤφθης θυγάτηρ, τοῦ Θεοῦ δέ μήτηρ, τοῦ ἀνακαινίσαντός μου τήν οὐσίαν, ὅν ὑμνοῦμεν πάντα τά ἔργα τόν Κύριον.

Ὠιδή θ'. Ὁ εἱρμός. Τόν προδηλωθέντα ἐν ὄρει τῷ νομοθέτῃ ἐν πυρί καί βάτῳ τόκον τῆς Ἀειπαρθένου, εἰς ἡμῶν τῶν πιστῶν σωτηρίαν, ὕμνοις ἀσιγήτοις μεγαλύνομεν.

Ἔτι σου ὡς Ἄβελ τό αἷμα, καί εἰς αἰῶνας τά θεόπνευστα δόγματα φωνῇ διαπρυσίῳ ἡ Χριστοῦ Ἐκκλησία κηρύττει, Μάξιμε παμμάκαρ καί παμμέγιστε.

Τέτμηται ἡ χείρ σου· γράφει δέ θείῳ δακτύλῳ, ὡς καλάμῳ καί μέλανι, τετμημένῃ τῇ γλώσσῃ τῷ σῷ αἵματι τῷ ὁσίῳ, παμμάκαρ, πίστιν ἐν καρδίαις τήν ὀρθόδοξον.

(221) Αἴδεται ἐν κόσμῳ ἡ ἔνθεος παῤῥησία καί τό πῦρ τό ἐγκάρδιον τῆς ἐνθέου ἀγάπης, δι᾽ ἥν, ὅσιε, τήν τοῦ αἵματος χύσιν, Μάξιμε, ὑπέστης προθυμότατα.

Ἵστασο πρό βήματος θείου μετά μαρτύρων, οἷς τοῦ ζήλου τῆς πίστεως ἐκοινώνησας, Πάτερ, καί ἡμᾶς οἰκειῶν τῷ Δεσπότῃ, καί σοῦ μιμητάς ἐργαζόμενος.

Θεοτ.

Σύ εἶ, Θεοτόκε, τά ὅπλα ἡμῶν καί τεῖχος· σύ εἶ ἡ ἀντίληψις τῶν εἰς σέ προστρεχόντων. Σέ καί νῦν εἰς πρεσβείαν κινοῦμεν, ἵνα λυτρωθῶμεν τῶν ἐχθρῶν ἡμῶν.

ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΟΝ.

*Γυναῖκες, ἀκουτίσθητε.*

Τά βάθη τῶν κριμάτων σου ἠρεύνηται τῷ Πνεύματι· τά δέ τοῦ Πνεύματος, Σῶτερ, ἐν πνεύματι καί δυνάμει Μάξιμος ἐξηρεύνησεν,

ὡς ἔνδικος Φιλόσοφος, θελήσεις ἐνεργείας τε ἀνακηρύττων σου δύο. Διό λαμπρῶς νῦν τιμᾶται.

Τῷ αὐτῷ μηνί ιγ'. Ἡ μετάθεσις τοῦ λειψάνου τοῦ ὁσίου Πατρός ἡμῶν Μαξίμου τοῦ ὁμολογητοῦ.

Κινοῦσί σου Μάξιμε, πιστοί τήν κόνιν,
Δηλοῦντες ὡς γῆς ἐξαμείβοντος τόπους.
Μαξίμου, ἀμφί τήν τρισκαιδεκάτην μετετέθης·

**Σελ. 244 Τόμ. Β'.**

**Πρός Θαλάσσιον τόν ὁσιώτατον πρεσβύτερον καί ἡγούμενον Περί Διαφόρων ἀπόρων τῆς θείας Γραφῆς.**

***Τῷ ὁσιωτάτῳ δούλῳ τοῦ Θεοῦ, κυρίῳ Θαλασσίῳ πρεσβυτέρῳ καί ἡγουμένῳ, Μάξιμος ταπεινός μονάζων, χαίρειν.***

Τῆς σαρκός κατά τήν σχέσιν λογικῶς τήν ψυχήν ἀποχωρήσας, καί τῆς αἰσθήσεως ὁλικῶς διά τοῦ πνεύματος ἐκσπάσας τόν νοῦν, ἄνθρωπε τοῦ Θεοῦ· τήν μέν, ἀρετῶν κατέστησας μητέρα πολύτιμον, τήν δέ, θείας πηγήν ἀέναον ἀνέδειξας γνώσεως, εἰς χρῆσιν μόνον τῆς τῶν κρειττόνων (248) οἰκονομίας, τήν πρός τήν σάρκα τῆς ψυχῆς συζυγίαν ποιούμενος, καί πρός κατανόησν τῆς τῶν ὁρωμένων μεγαλουργίας ὄργανον κεκτημένος τήν αἴσθησιν. Τήν μέν πρακτικῶς διά τοῦ ἤθους πρός εἶδος τυπούμενον τό κατ᾽ ἀρετήν τῆς ψυχῆς δεχομένην κλέος, καί τοῖς ἔξω προφαίνουσαν, ἵνα ἔχωμεν ἀρετῆς εἰκόνα, πρός μίμησιν προβεβλημένον τόν ὑμέτερον βίον· τήν δέ, τοῖς τῶν ὁρομένων σχήμασι τούς λόγους τῶν νοητῶν συμβολικῶς ἐγχαράττουσαν, καί δι αὐτῶν πρός τήν ἁπλότητα τῶν νοητῶν θεαμάτων τόν νοῦν ἀναβιβάζουσαν, πάσης καθαρῶς ἀπολυθέντα τῆς ἐν τοῖς ὁρωμένοις ποικιλίας τε καί συνθέσεως· ἵν᾽ ἔχωμεν ἀληθείας ὁδόν ἀπλανῆ τήν ὑμετέραν γνῶσιν τῆς πρός τά νοητά διαβάσεως. Ἐντεῦθεν μετά τήν τελείαν τῆς πρός αἴσθησίν τε καί σάρκα σχετικῆς προσπαθείας ἀπόθεσιν, τῷ ἀπείρῳ πελάγει τῶν λογίων τοῦ πνεύματος μετ᾽ ἐπιστήμης κατά νοῦν εὐτόνως διανηχόμενος, ἐρευνᾷς μετά τοῦ πνεύματος τά τοῦ Πνεύματος· παρ᾽ οὗ δεξάμενος τήν τῶν κεκρυμμένων μυστηρίων φανέρωσιν, διά πολλήν, ὡς ἔοικεν, ταπεινοφροσύνην, πολλῶν τῆς ἁγίας Γραφῆς ἀπορουμένων κεφαλαίων χάρτην πληρώσας ἀπέστειλας, ζητῶν καί παρ᾽ ἐμοῦ τοῦ πάσης ἀρετῆς ἐρήμου καί γνώσεως, ἑκάστου κεφαλαίου κατά τήν ἀναγωγικήν θεωρίαν τήν ἀπόκρισιν ἔγγραφον.

Ὅν δεξάμενος, καί ἀναγνούς, καταπλαγείς καί νοῦν καί ἀκοήν καί διάνοιαν, ἤτουν ὑμᾶς ἐκλιπαρῶν περί τούτου συγγνώμην τῆς

παραιτήσεως· μόλις εἶναι λέγων προσιτά τά ζητούμενα, καί τοῖς ἄγαν ἐπί πλεῖστον ἐν θεωρίᾳ διαβεβηκόσι, καί περί τό τέλος που τῆς ὑψηλοτάτης καί ἀνεφίκτου τοῖς ἄλλοις ἐφθακόσι γνώσεως· μή ὅτι γε ἐμοί τῷ κατά γῆν ἐῤῥιμμένῳ· καί κατά τόν ὄφιν, ἄλλην, ὡς ἡ παλαιά κατάρα, μετά τήν γῆν τῶν παθῶν βρῶσιν οὐκ ἔχοντι, καί σκώληκος δίκην ἰλυσπωμένῳ τῇ σήψει τῶν ἡδονῶν. Καί τοῦτο πολλάκις καί ἐπί πολύ ποιήσας, ὡς εὗρον μή δεχομένους ὑμᾶς τήν ἐμήν περί τούτου παράκλησιν, δείσας μή τι πάθῃ το χρῆμα τῆς ἀγάπης, καθ᾽ ἥν ἀλλήλοις συγκραθέντες, μίαν ἔχομεν ψυχήν, κἄν δύο σώματα φέρωμεν, εἰς πρόφασιν ἀπειθείας ὡς εἰκός νομισθείσης ὑμῖν τῆς παραιτήσεως, κατετόλμησα καί μή θέλων τῶν ὑπέρ δύναμιν· κατηγορηθῆναι μᾶλλον προπέτειαν, καί γελᾶσθαι κρεῖττον ἡγούμενος παρά τῶν βουλομένων, ἤ τήν ἀγάπην κατά τι δέξασθαι σάλον καί μείωσιν· ἧς οὐδέν τῶν μετά Θεόν ἐστί τοῖς νοῦν ἔχουσι τιμιώτερον· μᾶλλον δέ, τῷ Θεῷ προσφιλέστερον· ὡς τούς διῃρημένους, εἰς ἕν συναγούσης, καί μίαν ἐν τοῖς πολλοῖς, ἤ τοῖς πᾶσιν ἀστασίαστον κατά τήν γνώμην δημιουργῆσαι δυναμένης ταυτότητα.

Καί μοι σύγγνωθι πρῶτος αὐτός, τίμιε Πάτερ, τῆς ἐγχειρήσεως, καί τούς ἄλλους αἴτει προπετείας (248) ἀφίεσθαί με· καί ἵλεών μοι τόν Θεόν ταῖς εὐχαῖς κατάστησον, καί τῶν λεγομένων συλλήπτορα· μᾶλλον δέ τῆς ὅλης καί ὀρθῆς γενέσθαι περί ἑκάστου κεφαλαίου χορηγόν ἀποκρίσεως. Παρ᾽ αὐτοῦ γάρ ἐστιν πᾶσα δόσις ἀγαθή καί πᾶν δώρημα τέλειον, ὡς πηγῆς καί πατρός τῶν ἀναλόγως τοῖς ἀξίοις χορηγουμένων πασῶν φωτιστικῶν γνώσεών τε καί δυνάμεων. Ὑμῖν γάρ θαῤῥῶν, τό ὑμέτερον κατεδεξάμην ἐπίταγμα· τῆς εὐπειθείας μισθόν ἐκδεχόμενος, τήν δι᾽ ὑμῶν θείαν εὐμένειαν.

Ἕκαστον δέ τῶν κεφαλαίων, εἱρμῷ τε καί τάξει καθώς παρ᾽ ὑμῶν ἐγράφη προθείς, πρός ἔπος ποιήσομαι τήν ἀπόκρισιν, ὡς οἷόν τε σύντομον, καί ὁριστικήν καθ᾽ ὅσον οἷός τε ὦ· καί τήν πρός το νοεῖν τε καί λέγειν εὐσεβῶς, θεόθεν χορηγοῦμαι χάριν καί δύναμιν· ἵνα μή πλήθει λόγων βαρήσωμεν τῶν ἐντευξομένων τήν ἀκοήν· καί μάλιστα πρός ὑμᾶς γε τῶν λόγων ποιούμενος τήν ἀκοήν, τούς γνωστικούς ὄντως καί ἀκριβεῖς τῶν θείων θεάμονας· καί τῶν παθῶν διαβάντας τήν ὄχλησιν, καί τήν ὅλην παρελθόντας σχέσιν τῆς φύσεως, καί τῶν καθηκόντων κεκτημένους τόν λόγον ἡγεμόνα καί δικαστήν δικαιότατον· καί τόν νοῦν διά τῆς κατά τό κρεῖττον ἀνοησίας, εἰς τό ἐνδότατον τῆς θείας ἀφθεγξίας καταστήσαντας τόπον· ἔνθα μόνης

ἐστίν ἀγνώστως εὐφροσύνης θείας ἀντιλαμβάνεσθαι, τῆς τῶν ἀξιουμένων αὐτῆς πεῖραν μόνην ἐχούσης τοῦ οἰκείου μεγέθους διδάσκαλον· καί διά τοῦτο, μόνης χρήζοντας μικρᾶς περί τῶν ζητουμένων ἐμφάσεως, προδεικτικῆς τοῦ παμφαοῦς κάλλους, τῶν ἐμφερομένων τοῖς θείοις λογίοις μυστικῶν θεαμάτων, καί τῆς ἐπ᾽ αὐτοῖς πνευματικῆς μεγαλονοίας· εἴπερ καί τοῦτο θεμιτόν ἐμοί πρός ὑμᾶς εἰπεῖν, τούς ἅλας ἤδη τῆς γῆς, καί φῶς τοῦ κόσμου, κατά τόν Κυριακόν λόγον, διά τόν πλοῦτον τῆς ἀρετῆς, καί τήν πολλήν χύσιν τῆς γνώσεως γεγεννημένους καί τήν ἐν ἄλλοις σηπεδόνα τῶν παθῶν, τρόποις ἀρετῶν ἐκκαθαίροντας· καί τήν ἄγνοιαν, ψυχῆς ὑπάρχουσαν τύφλωσιν, τῷ τῆς γνώσεως φωτί καταυγάζοντας.

Παρακαλῶ δέ τούς ἁγιωτάτους ὑμᾶς, καί πάντας τούς ὡς εἰκός ἐντευξομένους τῷδε γράμματι, μή τοῦτο ὅρον ποιεῖσθαι τῆς τῶν κεφαλαίων πνευματικῆς ἑρμηνείας τά λεγόμενα παρ᾽ ἐμοῦ· πολύ γάρ τῆς τῶν θείων λογίων ἀπολιμπάνομαι διανοίας, καί τῆς ἄλλων πρός τοῦτο χρήζω διδασκαλίας· ἀλλ᾽ εἴ τι καί παρ᾽ ἑαυτῶν, ἤ παρ᾽ ἄλλων ἐπιβάλλειν, ἤ μαθεῖν δυνηθῆτε, μᾶλλον ἐκεῖνο διδκαίως ἐκκρίνατε, καί τῆς ὑψηλοτέρας καί ἀληθοῦς γενέσθαι διανοίας· ἧς ἔργον ἐστίν, ἡ τῆς καρδίας πληροφορία, τῶν ἐφιεμένων τῆς ἀπορηθέντων πνευματικῆς διαγνώσεως.

Ὕδατι γάρ ὁ θεῖος ἔοικεν λόγος, ὥσπερ φυτοῖς παντοδαποῖς καί βλαστήμασιν, καί διαφόροις ζώοις, τοῖς αὐτόν φημι τόν λόγον ποτιζομένοις, ἀναλόγως αὐτοῖς ἐκφαινόμενός τε γνωστικῶς καί πρακτικῶς διά τῶν ἀρετῶν ὡς καρπός προδεικνύμενος, κατά τήν (249) ἑκάστῳ ποιότητα τῆς ἀρετῆς καί τῆς γνώσεως, καί γινόμενος δι᾽ ἄλλων ἄλλοις ἐπίδημος· ἑνί γάρ οὐδέ ποτέ περιγράφεται· καί μιᾶς ἐντός οὐκ ἀνέχεται διανοίας γενέσθαι, διά τήν φυσικήν ἀπειρίαν κατάκλειστος.

Ἐπειδή δέ περί τῶν διοχλούντων ἡμῖν παθῶν πρῶτον εἰπεῖν ἐκελεύσατε, πόσα τε καί ποῖα. Τυγχάνει, καί ἐκ ποίας ἀρχῆς, καί εἰς οἷον διά τῆς οἰκείας μεσότητος καταντᾷ πέρας· καί ποίας ἕκαστον δυνάμεως ψυχῆς, ἤ μέλους σώματος ἐκφυόμενον, πρός ἑαυτό ἀοράτως μορφοῖ τόν νοῦν, καί τό σῶμα ποιεῖ βαφῆς δίκην, ὅλην διά τῶν λογισμῶν πρός τήν ἁμαρτίαν χρῶσαν τήν ἀθλίαν ψυχήν· τῆς τε προσηγορίας ἑκάστου τήν δύναμιν καί τήν ἐνέργειαν· τούς τε καιρούς καί τά σχήματα, καί τούς δι᾽ αὐτῶν δόλους τῶν ἀκαθάρτων δαιμόνων· καί τάς ἀοράτους συμπλοκάς, καί τάς ὑποκρίσεις· καί πῶς δι᾽ ἄλλων

ἄλλα λεληθότως προβάλλονται· καί ἐπ᾽ ἄλλα δι᾽ ἄλλων πιθανῶς ἐπισύρουσιν [Fr. ἐπισύρ.]· τάς τε λεπτότητας, καί τάς σμικρότητας, καί τά μεγέθη, καί τούς ὄγκους αὐτῶν· ὑφέσεις τε καί ὑποχωρήσεις καί συστολάς, ἐπιμονάς τε καί προσεδρείας ταχυτέρας ἤ βραδυτέρας· καί οἷον τάς ὡς ἐν δικαστηρίῳ πρός τήν ψυχήν δικαιολογίας καί τάς δῆθεν κατά διάνοιαν γινομένας ψήφους· τάς τε φαινομένας ἧττας ἤ νίκας· τίς τε ἡ ἐφ᾽ ἑκάστῳ διάθεσις· καί διά ποίαν αἰτίαν ἑνί πολλά πάθη τῇ ψυχῇ συγχωροῦνται προσβάλλειν, καί τοῦτο ἤ καθ᾽ ἑαυτούς ἤ σύν ἀλλήλοις καί ποίῳ λογισμῷ [Fr. λόγῳ] ἀναφέρουσιν ἑαυτοῖς ἀχρόνως τάς οἰκείας ὕλας, δι᾽ ὧν κεκρυμμένως πρός ἡμᾶς τόν πικρόν συμπλέκουσι πόλεμον· ὡς ἐπί παροῦσιν ἐργωδῶς τοῖς μηδαμῶς οὖσιν διαπονουμένους, καί οἷον ὁρμῶντας ταῖς ὕλαις, ἤ φεύγοντας. Τό μέν, δι᾽ ἡδονήν· τό δέ, δι᾽ ὀδύνην πάσχοντας. Τόν τε τρόπον τῆς ἐν ἡμῖν ὑπάρξεως αὐτῶν, καί τῆς πολυπλόκου καί διαφόρου κατά τόν ὕπνον αὐτῶν ἐν ὀνείροις φαντασίας· καί εἰ ἔν τινι μέρει καθείργνυνται τῆς ψυχῆς, ἤ τοῦ σώματος· ἤ ἐν ὅλῃ τῇ ψυχῇ, καί ἐν ὅλῳ τῷ σώματι· καί εἰ ἐντός ὄντες, διά τῶν ψυχικῶν παθῶν τά ἐκτός ἐπισπᾶσθαι πείθουσι τήν ψυχήν διά μέσου τοῦ σώματος, καί πλανῶσι, τῆς αἰσθήσεως μόνης ὅλην γενέσθαι, τῶν κατά φύσιν οἰκείων ἀφεμένην· ἤ ἐκτός ὄντες, διά τῆς ἔξωθεν ἐπαφῆς τοῦ σώματος, τήν ἀόρατον ψυχήν πρός τά ὑλικά σχηματίζουσιν, σύνθετον αὐτῇ μορφήν ἐπιτιθέντες, τῆς ἀναλειφθείσης (Fr. ἀναληφθείσης] κατά τήν φαντασίαν ὕλης τό εἶδος, προσπλάττοντες· καί εἰ τάξις ἐστίν ἐν αὐτοῖς, καί εἱρμός κακούργως ἐπινενοημένος, διά τῶνδε τῶν παθῶν πρότερον ἀπόπειραν λαβεῖν τῆς ψυχῆς, καί οὕτως διά τῶν ἄλλων ἀκολούθως αὐτῇ μάχεσθαι· καί τίνες τίνων προηγοῦνται, τίνες τε τίσιν συνέπονται πάλιν, ἤ παρέπονται, ἤ φύρδην ἀτάκτως, ὡς ἔτυχεν, δι᾽ οἵων δήποτε παθῶν τήν ψυχήν ἐκταράττουσιν· καί εἰ προνοίας δίχα τα τοιαῦτα πάσχειν ὑπ᾽ αὐτῶν ἡ ψυχή συγχωρεῖται, ἤ κατά πρόνοιαν· καί τίς ὁ τῆς προνοίας ἐφ᾽ ἑκάστῳ πάθει τῆς ἐγκαταλείψεως τῆς ψυχῆς λόγος· τίς τε τῆς ἑκάστου τῶν ἀπηριθμημένων παθῶν ἀναιρέσεως ὁ τρόπος· καί ποίοις ἔργοις, (252) ἤ λόγοις, ἤ λογισμοῖς ἡ ψυχή τούτων ἐλεθεροῦται, καί τῆς συνειδήσεως τόν μολυσμόν ἐκτινάσσεται· ποίῳ δέ πάθει ποίαν ἀρετήν ἀντιθεῖσα νικήσει, τόν πονηρόν φυγαδεύσασα δαίμονα, συναφανίσασα παντελῶς αὐτῷ καί τήν αὐτήν τοῦ πάθους κίνησιν· καί πῶς μετά τήν τῶν παθῶν ἀπαλλαγήν, τά οἰκεῖα καλῶς διασκοπῆσαι δυνήσεται· καί διά ποίων λόγων ἤ τρόπων τάς ἀπαθεῖς τῶν αἰσθητῶν

πρός τάς αἰσθήσεις οἰκειωσαμένη διά τοῦ κατά φύσιν λόγου σχέσεις, μορφώσει πρός ἀρετάς, ὡς διά τῶν παθῶν αὐτή πρότερον ἐμορφοῦτο πρός ἁμαρτίαν· καί πῶς τήν καλλήν ποιήσεται δή δεόντως ἀντιστροφήν, τοῖς δι᾽ ὧν τό πρίν ἐπλημμέλει, χρωμένη πρός γένεσιν ἀρετῶν καί ὑπόστασιν· πῶς δέ τούτων πάλιν ἀπαλλαγεῖσα τῶν σχέσεων, τούς τῶν γεγονότων λόγους διά τῆς εν πνεύματι φυσικῆς θεωρίας, ἀφέτους τῶν ἐν αὐτοῖς αἰσθητῶν συμβόλων γενομένους, ἐπιστημονικῶς ἀναλέξεται· πῶς τε αὖ μετά τούτους πάλιν τοῖς νοητοῖς προσβαλοῦσα, καθαρῷ τῆς ἐπ᾽ αἰσθήσεσιν διανοίας γενομένῳ τῷ νῷ, τάς ἁπλᾶς δέξεται νοήσεις, καί τήν τά πάντα συνδέουσαν ἀλλήλοις κατά τόν ἀρχικόν τῆς σοφίας λόγον, ἁπλῆν ἀναλήψεται γνῶσιν· μεθ᾽ ἥν, ὡς πάντα τά ὄντα περάσασα, μετά τῶν αὐτοῖς προσφυῶν νοημάτων, πάσης ὑπολελυμένη καθαρῶς, καί αὐτῆς πρός τό νοεῖν οἰκείας δυνάμεως, πρός αὐτόν πάθῃ τόν Θεόν τήν ὑπέρ νόησιν ἕνωσιν· καθ᾽ ἥν ἀφράστως παρ᾽ αὐτοῦ δεχομένη τῆς ὄντως ἀληθείας, σπέρματος δίκην, τήν μάθησιν, πρός ἁμαρτίαν οὐκέτι τραπήσεται χώρας οὐκ οὔσης ἔτι τῷ διαβόλῳ πρός κακίαν αὐτήν πιθανῶς ὑποσύρεσθαι, διά τήν ἄγνοιαν τοῦ φύσει καλοῦ, καί πάντα τά μετέχειν αὐτοῦ δυνάμενα καλλωπίζοντος.

Ἐπειδή τούτων, καί τῶν τοιούτων ἐζητήσατε τούς λόγους καί τούς τρόπους, καί τάς αἰτίας ἐγγράφως ὑμῖν καταθέσθαι, κελευόντων ὑμῶν, ἀναμεινάτω μικρόν τέως ὁ περί τούτων λόγος· ἄν διδῷ Θεός, ἐν ἄλλοις εὐκαιρότερον ἐξετασθησόμενος καί φιλοπονώτερον βασανισθησόμενος, εἴπερ ὅλως αἴσθωμαι δυνάμεως κατά νοῦν νυκτικῆς, καί τούτου τοῦ μεγάλου καί βαθέως κατατολμῆσαι πελάγους ἀνεχομένης· οὐ γάρ αἰσχύνομαι λέγειν, ὡς οὐδέπω τάς δυσεκλύτους ἔγνων τῶν ἀκαθάρτων δαιμόνων μεθοδείας τε καί τέχνας, ἅτε δή τόν τῆς ὕλης κονιορτόν ἔχων ἐπισκοτοῦντα τοῖς ὄμμασι τῆς ψυχῆς, καί οὐκ ἐῶντα καθαρῶς θεωρῆσαι τήν τῶν γεγονότων φύσιν· καί διακρῖναι τῶν ὄντων συλλόγου τά εἶναι δοκοῦντα, καί μόνην φενακίζοντα τήν ἄλογον αἴσθησιν· ὅτι μόνων ὡς ἀληθῶς ἐστιν τά τοιαῦτα διερευνᾶσθαι καί εἰπεῖν, τῶν ἄγαν θεωρητικῶν καί ὑψηλῶν τήν διάνοιαν· καί διά πείρας πολλῆς εἰληφότων, τήν τε τῶν καλῶν καί μή τοιούτων διάγνωσιν· καί τό δή τῶν ἄλλων ἁπάντων κρεῖττον καί τιμιώτερον, τήν πρός τό νοεῖν τε καλῶς, καί λέγειν σαφῶς τά νοηθέντα (253) παρά τοῦ Θεοῦ δεξαμένων χάριν καί δύναμιν· πλήν ὡς ἄν μή παντελῶς ἀπαραμύθητος κατά τήν

παροῦσαν ὑπόθεσιν ὁ περί τούτων λόγος καταλειφθῇ, μικρά περί τῆς γενέσεως τῶν παθῶν εἰπών, καί ὅσον παραδεῖξαι τοῖς καθ᾽ ὑμᾶς γνωστικοῖς τό τέλος ἐκ τῆς ἀρχῆς, τῶν ἐφ᾽ ἑξῆς ἀκολούθως ποιοῦμαι κεφαλαίων τήν ἐξήγησιν.

Ὅρος κακοῦ.

Τό κακόν οὔτε ἦν, οὔτε ἔσται κατ᾽ οἰκείαν φύσιν ὑφεστώς· οὔτε γάρ ἔχει καθ᾽ ὁτιοῦν οὐσίαν, ἤ φύσιν, ἤ ὑπόστασιν, ἤ δύναμιν, ἤ ἐνέργειαν ἐν τοῖς οὖσιν· οὔτε, ποιότης ἐστίν, οὔτε ποσότης, οὔτε σχέσις, οὔτε τόπος, οὔτε χρόνος, οὔτε θέσις, οὔτε ποίησις, οὔτε κίνησις, οὔτε ἕξις, οὔτε πάθος, φυσικῶς τινι τῶν ὄντων ἐνθεωρούμενον, οὔτε μήν ἐν τούτοις πᾶσιν τό παράπαν κατ᾽ οἰκείωσιν φυσικήν ὑφέστηκεν· οὔτε ἀρχή, οὔτε μεσότης, οὔτε τέλος ἐστίν· ἀλλ᾽ ἵνα ὡς ἐν ὅρῳ περιλαβών εἴπω, τό κακόν τῆς πρός τό τέλος τῶν ἐγκειμένων τῇ φύσει δυνάμεων ἐνεργείας ἐστίν ἔλλειψις, καί ἄλλο καθάπαξ οὐδέν· ἤ πάλιν, τό κακόν, τῶν φυσικῶν δυνάμεων κατ᾽ ἐσφαλμένην κρίσιν ἐστίν, ἐπ᾽ ἄλλο παρά τό τέλος ἀλόγιστος κίνησις· τέλος δέ φημι, τήν τῶν ὄντων αἰτίαν, ἧς φυσικῶς ἐφίεται πάντα, κἄν εἰ τά μάλιστα τόν φθόνον εὐνοίας πλάσματι καλύψας ὁ πονηρός, πρός ἄλλο τι τῶν ὄντων παρά τήν αἰτίαν κινῆσαι τήν ἔφεσιν παραπείσας δόλῳ τόν ἄνθρωπον, τήν τῆς αἰτίας ἐδημιούργησεν ἄγνοιαν.

Τῆς οὖν πρός τό τέλος ἐνεργείας τῶν κατά φύσιν δυνάμεων ὁ πρῶτος ἄνθρωπος ἐλλείψας τήν κίνησιν, τήν τῆς οἰκείας αἰτίας ἐνόσησεν ἄγνοιαν· ἐκεῖνον νομίσας εἶναι Θεόν, διά τῆς συμβουλῆς τοῦ ὄφεως, ὅνπερ ἔχειν ἀπόμοτον ὁ τῆς θείας ἐντολῆς διετάξατο λόγος. Οὕτω δέ παραβάτης γενόμενος, καί τόν Θεόν ἀγνοήσας, πρός ὅλην τήν αἴσθησιν, ὅλην ἀπρίξ ἀναμίξας τήν νοεράν δύναμιν, τήν σύνθετον καί ὀλέθριον πρός πάθος ἐνεργουμένην τῶν αἰσθητῶν ἐπεσπάσατο γνῶσιν, καί παρεσυνεβλήθη τοῖς κτήνεσιν τοῖς ἀνοήτοις, καί ὡμοιώθη αὐτοῖς, τά αὐτά αὐτοῖς κατά πάντα τρόπον καί ἐνεργῶν καί ζητῶν καί βουλόμενος· καί πλέον εἰς ἀλογίαν ἔχων, τοῦ κατά φύσιν λόγου πρός τό παρά φύσιν τήν ἄμειψιν. Ὅσον οὖν κατά μόνην τήν αἴσθησιν, τῆς τῶν ὁρωμένων ἐπεμελεῖτο γνώσεως ὁ ἄνθρωπος, τοσοῦτον ἐπέσφιγγεν ἑαυτῷ τοῦ Θεοῦ τήν ἄγνοιαν· ὅσον δέ ταύτης τῆς ἀγνοίας συνέσφιγγε τόν δεσμόν, τοσοῦτο τῆς πείρας ἀντείχετο τῆς τῶν γνωσθέντων ὑλικῶν αἰσθητικῆς ἀπολαύσεως· ὅσον δέ ταύτης ἐνεφορεῖτο, τοσοῦτον τῆς ἐκ ταύτης γεννώμενης φιλαυτίας ἐξῆπτε

τόν ἔρωτα· ὅσον δέ πεφροντισμένως περιεποιεῖτο τῆς φιλαυτίας τόν ἔρωτα, τοσοῦτον τῆς ἡδονῆς, ὡς τῆς φιλαυτίας οὔσης καί γεννήματος καί τέλους, πολλούς ἐπενόει τρόπους συστάσεως. Καί ἐπειδή πᾶσα κακία πέφυκε τοῖς συνιστῶσιν αὐτήν συμφθείρεσθαι τρόποις· (255) εὑρίσκων δι᾽ αὐτῆς τῆς πείρας, πάσης ἡδονῆς εἶναι πάντως τήν ὀδύνην διάδοχον, πρός μέν τήν ἡδονήν, τήν ὅλην ἔσχεν ὁρμήν· πρός δέ τήν ὀδύνην, τήν ὅλην ἀποφυγήν· τῆς μέν, κατά πᾶσαν ὑπεραγωνιζόμενος δύναμιν, τήν δέ, κατά πᾶσαν σπουδήν καταγωνιζόμενος· οἰόμενος, ὅπερ ἀμήχανον ἦν, διά τῆς τοιαύτης μεθοδείας, ἀλλήλων ταύτας διαστῆσαι, καί μόνην τήν ἡδονήν συνημμένην τήν φυλαυτίαν ἔχειν, παντελῶς ὀδύνης ἀπείραστον· ἀγνοήσας ὑπό τοῦ πάθους, ὡς ἔοικεν, ὡς οὐκ ἐνδέχεταί ποτε χωρίς ὀδύνης εἶναι τήν ἡδονήν. Ἐγκέκραται γάρ τῇ ἡδονῇ τῆς ὀδύνης ὁ πόνος, κἄν λανθάνειν δοκεῖ τούς ἔχοντας διά τήν κατά τό πάθος τῆς ἡδονῆς ἐπικράτειαν· ἐπειδή τό ἐπικρατοῦν ἀεί διαφαίνεσθαι πέφυκεν, καλύπτον τοῦ παρακειμένου τήν αἴσθησιν.

Ἐντεῦθεν ὁ πολύς ὄχλος, τῶν παθῶν καί ἀναρίθμητος εἰσεφθάρη τῷ βίῳ τῶν ἀνθρώπων. Ἐντεῦθεν πολυστένακτος γέγονεν ἡμῖν ἡ ζωή, τῆς οἰκείας ἀναιρέσεως τιμῶσα τάς ἀφορμάς, καί τῆς φθορᾶς τάς προφάσεις ἑαυτῇ διά τήν ἄγνοιαν ἐξευρίσκουσά τε καί περιέπουσα. Ἐντεῦθεν ἡ μία φύσις, εἰς μυρία κατεμερίσθη τιμήματα· καί οἱ τῆς αὐτῆς φύσεως, ἀλλήλων ἐσμέν δίκην ἑρπετῶν θηρίων παραναλώματα. Ἡδονῆς γάρ διά τήν φιλαυτίαν ἀντιποιούμενοι, καί ὀδύνην διά τήν αὐτήν αἰτίαν πάλιν φεύγειν σπουδάζοντες, τάς ἀμυθήτους τῶν φθοροποιῶν παθῶν ἐπινοοῦμεν γενέσεις· οἷον, εἰ μέν δι᾽ ἡδονῆς τῆς φιλαυτίας φροντίζομεν, γεννῶμεν τήν γαστριμαργίαν, τήν ὑπερηφανίαν, τήν κενοδοξίαν, τήν φυσίωσιν, τήν φιλαργυρίαν, τήν πλεονεξίαν, τήν τυραννίδα, τόν γαῦρον, τήν ἀλαζονείαν, τήν ἀπόνοιαν, τήν μανίαν, τήν οἴησιν, τόν τῦφον, τήν καταφρόνησιν, τήν ὕβριν, τό βέβηλον, τό εὐτράπελον, τήν ἀσωτείαν, τήν ἀκολασίαν, τήν περπερείαν, τόν μετεωρισμόν, τήν βλακείαν, τόν αἰκισμόν, τόν ἐκμυκτηρισμόν, τήν πολυλογίαν, τήν ἀκαιρολογίαν, τήν αἰσχρολογίαν, καί ὅσα ἄλλα τοιούτου γένους ἐστίν· εἰ δέ μᾶλλον δι᾽ ὀδύνης ὁ τῆς φιλαυτίας αἰκίζεται τρόπος, γεννῶμεν τόν θυμόν, τόν φθόνον, τό μῖσος, τήν ἔχθραν, τήν μνησικακίαν, τήν λοιδορίαν, τήν καταλαλιάν, τήν συκοφαντίαν, τήν λύπην, τήν ἀνελπιστίαν, τήν ἀπόγνωσιν, τήν τῆς προνοίας διαβολήν, τήν ἀκηδίαν, τήν ὀλιγωρίαν, τήν ἀθυμίαν, τήν δυσθυμίαν, τήν ὀλιγοψυχίαν, τό ἄκαιρον πένθος,

τόν κλαυθμόν, τήν κατήφειαν, τόν ὀλοφυρμόν, τόν ζῆλον, τήν ζηλοτυπίαν, τήν παραζήλωσιν, καί ὅσα ἄλλα τῆς τῶν καθ᾽ ἡδονήν ἀφορμῶν ἐστερημένης ἐστίν διαθέσεως. Ἐκ δέ τῆς γινομένης δι᾽ ἄλλας τινάς αἰτίας καθ᾽ ἡδονήν [Fr.καί ὀδύνην] ὀδύνης μίξεως ἤγουν μοχθηρίας· οὕτω γάρ καλοῦσι τινές τήν ἐκ τῶν ἐναντίων μερῶν τῆς κακίας σύνθεσιν, γεννῶμεν τήν ὑπόκρισιν, τήν εἰρωνείαν, τόν δόλον, τήν προσποίησιν, τήν κολακείαν, τήν ἀνθρωπαρέσκειαν, καί ὅσα ἄλλα τῆς μικτῆς εἰσι πανουργίας ἐπινοήματα [Phot. al. ἐπινοσήματα]. Πάντα γάρ ἀπαριθμεῖσθαι τανῦν, καί λέγειν μετά τῶν οἰκείων σχημάτων τε, καί τρόπων, καί αἰτιῶν, καί καιρῶν, (257) οὐκ ἀνεκτόν· τῆς ἐπ᾽ αὐτοῖς ἐξετάσεως Θεοῦ χαριζομένου δύναμιν, κατ᾽ ἰδίαν ὑπόθεσιν ἐρευνηθησομένης.

Ὅρος ἄλλος κακίας.

Τό τοίνυν κακόν ἐστιν, ὡς προέφην, ἡ ἄγνοια τῆς ἀγαθῆς τῶν ὄντων αἰτίας· ἥτις τόν μέν νοῦν πηρώσασα τόν ἀνθρώπινον, τήν αἴσθησιν δέ τρανῶς διανοίξασα, τῆς μέν θείας γνώσεως παντελῶς αὐτόν ἀπεξένωσεν· τῆς δέ τῶν αἰσθητῶν ἐμπαθοῦς ἐπλήρωσε γνώσεως· ἧς πρός μόνην τήν αἴσθησιν ἀνέδην μεταλαμβάνων κτηνῶν ἀλόγων δίκην ὁ ἄνθρωπος, καί εὑρών διά τῆς πείρας τῆς φαινομένης αὐτοῦ σωματικῆς φύσεως συστατικήν τῶν αἰσθητῶν τήν μετάληψιν, εἰκότως οἷα τοῦ νοητοῦ κάλλους ἤδη τῆς θείας ὡραιότατος διαμαρτήσας, τήν φαινομένην κτίσιν εἰς Θεόν παρεγνώρισεν, διά τήν αὐτῆς πρός σύστασιν σώματος χρείαν, θεοποιήσας· καί τό σῶμα τό ἴδιον οἰκείως ἔχον κατά φύσιν πρός τήν νομισθεῖσαν εἶναι Θεόν κτίσιν, κατά τό εἰκός ἠγάπησε, κατά πᾶσαν σπουδήν, διά τῆς περί μόνον τό σῶμα φροντίδος τε καί ἐπιμελείας, λατρεύων τῇ κτίσει παρά τόν κτίσαντα. Οὐ γάρ ἄλλως δύναταί τις λατρεύειν τῇ κτίσει, μή τό σῶμα περιποιούμενος· ὥσπερ οὐδέ τῷ Θεῷ τις λατρεύειν, μή τήν ψυχήν ταῖς ἀρεταῖς ἐκκαθαίρων. Καθ᾽ ὅ σῶμα τήν φθοροποιόν ἐπιτελῶν λατρείαν ὁ ἄνθρωπος, καί καθ᾽ ἑαυτοῦ γενόμενος φίλαυτος, ἡδονήν εἶχεν ἀπαύστως, καί ὀδύνην ἐνεργουμένην· ἐσθίων ἀεί τοῦ ξύλου [Al. τό ξύλον] τῆς παρακοῆς, τοῦ καλοῦ τε καί κακοῦ κατ᾽ αὐτόν μεμιγμένην κατά τήν αἴσθησιν διά τῆς πείρας ἔχων τήν οἴησιν [Fr. γνῶσιν] .

Καί τάχα ξύλον εἶναι γνωστόν καλοῦ καί πονηροῦ τήν φαινομένην κτίσιν εἰπών τις, οὐχ ἁμαρτήσει τῆς ἀληθείας· ἡδονῆς γάρ καί ὀδύνης ποιητικήν ἔχει φυσικῶς τήν μετάληψιν.

Ἤ πάλιν ἐπειδή καί λόγους ἔχει πνευματικούς τῶν ὁρωμένων ἡ κτίσις, καί νοῦν διατρέφοντας· καί δύναμιν πάλιν φυσικήν, τήν μέν αἴσθησιν τέρπουσαν· τόν δέ νοῦν διαστρέφουσαν, ξύλον γνωστόν καλοῦ τε καί κακοῦ προσηγορεύθη· τοῦ καλοῦ μέν ἔχουσα γνῶσιν θεωρουμένη πνευματικῶς· τοῦ κακοῦ δέ, λαμβανομένη σωματικῶς. Παθῶν γάρ γίνεται διδάσκαλος τοῖς σωματικῶς αὐτῆς μεταλαμβάνουσιν, τῶν θείων αὐτοῖς λήθην ἐπάγουσα· διό τῷ ἀνθρώπῳ τυχόν ἀπηγόρευσεν, ἀναβαλλόμενος αὐτῆς τέως τήν μετάληψιν ὁ Θεός, ἵνα πρότερον, ὡς ἦν μάλιστα δίκαιον, διά τῆς ἐν χάριτι μετοχῆς τήν οἰκείαν ἐπιγνοῦς αἰτίαν, καί τήν δοθεῖσαν κατά χάριν ἀθανασίαν διά τῆς τοιαύτης μεταλήψεως πρός ἀπάθειαν στομώσας καί ἀτρεψίαν, ὡς θεός ἤδη τῇ θεώσει γενόμενος, ἀβλαβῶς ἐπ᾽ ἀδείας μετά Θεοῦ τά τοῦ Θεοῦ διασκέψηται κτίσματα, καί τήν αὐτῶν ἀναλήψηται (260) γνῶσιν ὡς Θεός, ἀλλ᾽ οὐκ ἄνθρωπος, τήν αὐτήν ἔχων τῷ Θεῷ κατά χάριν τῶν ὄντων μετά σοφίας εἴδησιν, διά τήν πρός θέωσιν τοῦ νοῦ καί τῆς αἰσθήσεως μεταποίησιν.

Οὕτω μέν οὖν ἐνταῦθα ληπτέον περί τοῦ ξύλου, κατά τήν πᾶσιν ἁρμόσαι δυναμένην ἀναγωγήν, τοῦ μυστικωτέρου λόγου καί κρείττονος φυλαττομένου τοῖς μυστικοῖς τήν διάνοιαν, καί παρ᾽ ἡμῶν διά τῆς σιωπῆς τιμωμένου. Τοῦ ξύλου δέ νῦν τῆς παρακοῆς ἐμνήσθην παροδικῶς, δεῖξαι θέλων ὡς ἡ περί Θεόν ἄγνοια, τήν κτίσιν ἐθεοποίησεν· ἧς ὑπάρχει λατρεία σαφής, ἡ κατά τό σῶμα τοῦ γένους τῶν ἀνθρώπων φυλαυτία· περί ἥν ἐστιν ὥσπερ τις μικτή γνῶσις, ἡ τῆς ἡδονῆς πεῖρα καί τῆς ὀδύνης· δι᾽ ἅς ἡ πᾶσα τῶν κακῶν ἐπεισήχθη τῷ βίῳ τῶν ἀνθρώπων ἰλύς, διαφόρως τε καί ποικίλως, καί ὡς οὐκ ἄν τις ἐφίκοιτο λόγος, πολυμόρφως συνισταμένη, καθόσον ἕκαστος τῶν τῆς ἀνθρωπίνης μετειληφότων φύσεως, κατά τό ποσόν τε καί ποιόν ἐν ἑαυτῷ ζῶσαν ἔχει καί πράττουσαν τήν περί τό φαινόμενον αὐτοῦ μέρος· λέγω δέ τό σῶμα, φιλίαν, ἀναγκάζουσαν αὐτόν δουλοπρεπῶς, διά τε τήν ἐπιθυμίαν τῆς ἡδονῆς, καί τόν φόβον τῆς ὀδύνης, πολλάς ἰδέας ἐπινοῆσαι παθῶν, καθώς οἵ τε καιροί συμπίπτουσι καί τά πράγματα, καί ὁ τῶν τοιούτων ἐπιδέχεται τρόπος· ἐφ᾽ ᾧ τήν μέν ἡδονήν ἑλεῖν δυνηθῆναι διαπαντός πρός συμβίωσιν· τῆς ὀδύνης δέ παντελῶς ἀνέπαφον διαμεῖναι, τό ἀμήχανον ἐπιτηδεύειν

διδάσκουσαν, καί εἰς πέρας κατά σκοπόν ἐλθεῖν μή δυνάμενον. Φθαρτῆς γάρ οὔσης τῆς ὅλης φύσεως τῶν σωμάτων καί σκεδαστῆς, δι᾽ ὅσων τις ἐπιτηδεύει τρόπων ταύτην συστήσασθαι, τήν αὐτῆς φθοράν ἰσχυροτέραν μᾶλλον καθίστησιν· δεδοικώς καί μή θέλων ἀεί τό στεργόμενον, καί παρά γνώμην περιέπων ἀνεπαισθήτως διά τοῦ στεργομένου τό μή στεργόμενον, ἐξηρτημένον τῶν φύσει στῆναι μή δυναμένων· καί διά τοῦτο συνεξαλλοιῶν τοῖς σκεδαστοῖς τῆς ψυχῆς τήν διάθεσιν, συνδιανηχομένην ἀστάτως τοῖς ῥέουσιν, καί τήν οἰκείαν ἀπώλειαν οὐ κατανοῶν, διά τήν παντελῆ τῆς ψυχῆς πρός ἀλήθειαν τύφλωσιν.

Πάντων δέ τούτων τῶν κακῶν ἐστιν ἀπαλλαγή, καί σύντομος πρός σωτηρίαν ὁδός, ἡ ἀληθής τοῦ Θεοῦ κατ᾽ ἐπίγνωσιν ἀγάπη, καί ἡ καθ᾽ ὅλου τῆς κατά ψυχήν πρός τε τό σῶμα καί τόν κόσμον τοῦτον ἐξάρνησις· καθ᾽ ἥν, τῆς μέν ἡδονῆς τήν ἐπιθυμίαν, καί τῆς ὀδύνης δέ τόν φόβον ἀποβαλλόμενοι, τῆς κακῆς ἐλευθερούμεθα φιλαυτίας, πρός τήν γνῶσιν ἀναβιβασθέντες τοῦ Κτίσαντος, καί πονηρᾶς ἀγαθήν ἀντιλαμβάνοντες νοεράν φιλαυτίαν σωματικῆς κεχωρισμένην στοργῆς, οὐ παυόμεθα λατρεύοντες τῷ Θεῷ διά ταύτης τῆς καλῆς φιλαυτίας, ἐκ Θεοῦ τῆς ψυχῆς ἀεί ζητοῦντες σύστασιν. Αὕτη γάρ ἐστιν ἡ ἀληθής λατρεία, καί ὄντως θεάρεστος ἡ τῆς ψυχῆς διά τῶν ἀρετῶν ἀκριβής ἐπιμέλεια.

Ὁ τοίνυν σωματικῆς ἡδονῆς μή ἐφιέμενος, καί ὀδύνην παντελῶς μή φοβούμενος, γέγονεν ἀπαθής, καί ταύταις μετά τῆς τεκούσης αὐτάς φιλαυτίας, πάντα τά (261) δι᾽ αὐτῆς τε καί ἐξ αὐτῶν, μετά τῆς ἀρχικωτάτης τῶν κακῶν ἀγνοίας ὁμοθυμαδόν συναπέκτεινε πάθη, καί ὅλος γέγονεν τοῦ ἑστῶτός τε καί μένοντος, καί ἀεί ὡσαύτως ἔχοντος φύσει καλοῦ· παντάπασιν αὐτῷ συνδιαμένων ἀκίνητος, καί ἀνακεκαλυμμένῳ προσώπῳ τήν δόξαν τοῦ Θεοῦ κατοπτριζόμενος, ἐκ τῆς ἐν αὐτῷ φωτοειδοῦς λαμπρότητος, τήν θείαν καί ἀπρόσιτον δόξαν θεώμενος.

Δειχθείσης τοιγαροῦν ἡμῖν ὑπό τοῦ λόγου τῆς ὀρθῆς καί ῥᾳδίας ὁδοῦ τῶν σωζομένων, τήν ἡδονήν τῆς παρούσης ζωῆς, καί τήν ὀδύνην ὅση δύναμις ἀρνησώμεθα· καί τούς ὑφ᾽ ἡμᾶς τοῦτο ποιεῖν διδάξωμεν παρακλήσει πολλῇ, καί πάσης παθῶν ἐπινοίας καί δαιμονιώδους κακουργίας παντελῶς ἀπηλλάγημέν τε καί ἀπηλλάξαμεν· καί μόνης ἀντιποιηθῶμεν τῆς ἀγάπης, καί οὐδείς ἡμᾶς τοῦ Θεοῦ χωρίσαι δυνήσεται, οὐ θλίψις, οὐ στενοχωρία, οὐ λιμός, οὐ κίνδυνος, οὐ

μάχαιρα, οὐχ ὅσα τῷ ἁγίῳ ἀπηρίθμηται Ἀποστόλῳ κατά τόν τόπον· διά τῆς κατ᾿ ἐνέργειαν γνώσεως, τῆς ἀγάπης ἐν ἡμῖν ἀκινήτου μενούσης, τήν ψυχῆς ἀΐδιόν τε καί ἄῤῥητον ἐξ αὐτοῦ χορηγούμενοι εὐφροσύνην καί σύστασιν· ἧς ἀξιωθέντες, πρός μέν τόν κόσμον, τήν σώζουσαν ἕξομεν ἄγνοιαν, μηκέτι δίχα λογισμοῦ σώφρονος, ὡς τό πρότερον ἀνακεκαλυμμένῳ προσώπῳ τῆς αἰσθήσεως, ὡς δόξαν τήν τῶν αἰσθητῶν ἐπιφάνειαν βλέποντες, περί ἥν τά πάθη προδήλως ἔχει τήν γένεσιν· ἀλλά μᾶλλον ἀνακεκαλυμμένῳ προσώπῳ τῆς διανοίας, παντός αἰσθητοῦ καλύμματος ἀπηλλαγμένῳ, τήν ἐν ἀρεταῖς καί γνώσει πνευματικῇ δόξαν τοῦ Θεοῦ κατοπτριζόμενοι· καθ᾿ ἥν ἡ κατά χάριν προσγίνεσθαι πέφυκεν ἕνωσις. Ὡς γάρ ἀγνοήσαντες τόν Θεόν τήν ἀπολαυστικῶς τῇ αἰσθήσει γνωσθεῖσαν κτίσιν διά τήν ἐξ αὐτῆς τοῦ σώματος σύστασιν Θεόν ἐποιήσαμεν· οὕτω τήν ἐφικτήν τῇ νοήσει κατ᾿ ἐνέργειαν γνῶσιν τοῦ Θεοῦ λαμβάνοντες, διά τήν ἐξ αὐτοῦ τήν ψυχῆς πρός τε τό εἶναι, καί εὖ εἶναι σύστασιν, πᾶσαν πάσης αἰσθήσεως ἀγνοήσομεν πεῖραν.

## *ΠΡΟΛΟΓΟΣ*

### ***Τῶν παρακειμένων τοῖς μετωπίοις σχολίων.***

Φυσικόν μέν τοῖς λογικοῖς πέφυκεν κάλλος, ὁ λόγος· λόγου δέ κάλλος, ἡ κατά τόν λόγον ἀκριβής τῶν λογικῶν ἐστι σύνεσις· συνέσεως δέ κάλλος ἐστίν ἡ κατά τήν ἀρετήν σύν λόγῳ τῶν λογικῶν γνώριμος ἕξις. Ταύτης δέ κάλλος τῆς ἕξεως, ἡ περί τήν ἀληθῆ γνῶσιν ἀπλανής θεωρία καθέστηκεν, ἧς τέλος ἐστίν ἡ σοφία, συνέσεως ὑπάρχουσα σαφεστάτη συμπλήρωσις, οἷα δή λόγος τυγχάνουσα κατά φύσιν τετελεσμένος, ὅστις ἐστίν νοῦς καθαρός, τῇ περί τήν αἰτίαν ἑνώσει, σχέσιν λαβών ὑπέρ νόησιν· καθ᾿ ἥν ἀποπαύσας τήν πολυποίκιλον πρός τά μετά τήν αἰτίαν φυσικήν αὐτοῦ κίνησίν τε καί σχέσιν, μόνης (264) ἀγνώστως ἀντέχεται, κατά τήν ἄφθεγκτον λῆξιν γεγενημένος τῆς ὑπέρ νόησιν παμμακαρίστου σιγῆς ἥν δηλῶσαι παντελῶς οὐ δύναται λόγος ἤ νόησις· ἀλλά μόνη κατά μέθεξιν ἡ πεῖρα τῶν ἀξιωθέντων τῆς ὑπέρ νόησιν ἀπολαύσεως· ἧς σημεῖόν ἐστιν εὔγνωστόν τε καί πᾶσι κατάδηλον, ἡ κατά διάθεσιν πρός τόν αἰῶνα τοῦτον παντελής ἀναισθησία τῆς ψυχῆς διάστασις.

Ἐντεῦθεν εἰδώς μηδέν λόγου κατά φύσιν εἶναι τοῖς λογικοῖς οἰκειότερον, μήτε μήν τοῖς περί αὐτόν τριβῆς καί συνέσεως τοῖς φιλοθέοις πρός εὐδοξίαν ἁρμοδιώτερον· φημί δέ λόγον, οὐ τόν ἐκ τέχνης ἐν προφορᾷ κατ᾽ εὐγλωττίαν πρός ἀκοῆς ἡδονήν κομψῶς γεγοητευμένον, ὅν ἀσκεῖσθαι καί μοχθηροί δύναντ᾽ ἄν ἄνδρες ἐπιτηδεύοντες· ἀλλ᾽ ὅν ἡ φύσις οὐσιωδῶς καί δίχα μαθήσεως κατά διάθεσιν ἔχει κρυπτόμενον, πρός τε τήν ἄπταιστον τῶν ὄντων διάσκεψιν, καί τῆς ἐν λόγοις ἀληθείας διάληψιν· ὅν καί τό Πνεῦμα τοῦ Θεοῦ τό ἅγιον καλῶς τοῖς ἀρεταῖς διαπλασθέντα, πρός συμβίωσιν πέφυκεν ἄγεσθαι, καί θεῖον ἄγαλμα τῆς καθ᾽ ὁμοίωσιν ὡραιότητος αὐτόν κατασκευάζειν· μηδενί τῶν προσόντων φυσικῶς τῇ θεότητι κατά τήν χάριν λειπόμενον. Ὄργανον γάρ ἐστιν ὅλην ἐπιστημόνως συλλεγόμενον τήν νοητῶς ἐν τοῖς οὖσι ἀπαστράπτουσαν τῆς θείας ἀγαθότητος ἔμφασιν· δι᾽ ἧς ἐμβατεύων τῇ τῶν ὄντων μεγαλουργίᾳ, πρός τήν γενέτιν φέρει τε καί φέρεται τῶν ὄντων αἰτίαν· τούς αὐτῷ δι᾽ ὅλου ποιώσαντας τήν ὅλην ὁρμήν τῆς ἑνούσης αὐτοῖς κατά φύσιν ἐφέσεως, μηδενί τῶν μετά τήν αἰτίαν παντελῶς κρατουμένους. Ὅν ἡμεῖς περιέποντες, πάντων παρά φύσιν δουλούμενοι· πασῶν δέ τῶν θείων ἀναδεικνύμεθα πράκτορες ἀρετῶν, παντί δηλονότι καλῷ τό κατά τήν ὕλην αἶσχος τῆς ψυχῆς, πρός κάλλος πνευματικόν ἀποξέοντες. Ἔνθα γάρ λόγος κρατεῖ, τό κατ᾽ αἴσθησιν πέφυκεν ἀπογίνεσθαι κράτος, ἐν ᾧ τῆς ἁμαρτίας πέφυρταί πως ἡ δύναμις, πρός οἶκτον τῆς συγγενοῦς καθ᾽ ὑπόστασιν σαρκός τήν ψυχήν δι᾽ ἡδονῆς ὑποσύρουσα· καθ᾽ ἥν ὡς ἔργον αὐτῇ φυσικόν ἐγχειρήσασα τήν ἐμπαθῆ καί καθ᾽ ἡδονήν τῆς σαρκός ἐπιμέλειαν, ἀπάγει τῆς κατά φύσιν ζωῆς, καί πείθεται τῆς ἀνυποστάτου κακίας αὐτήν γενέσθαι δημιουργόν. Κακία γάρ ἐστι ψυχῆς νοερᾶς, ἡ λήθη τῶν κατά φύσιν καλῶν, ἥτις ἐκ τῆς περί σάρκα τε καί κόσμον ἐμπαθοῦς, ἐπιγίνεται σχέσεως· ἥν ἀφανίζει στρατηγῶν ὁ λόγος, καί κατ᾽ ἐπιστήμην πνευματικήν, τήν τε τοῦ κόσμου καί τῆς σαρκός διερευνώμενος γένεσίν τε καί φύσιν, καί πρός τήν συγγενῆ τῶν νοητῶν τήν ψυχήν χώραν ἐλαύνων, πρός ἥν ὁ νόμος τῆς ἁμαρτίας οὐδεμίαν ποιεῖται δύναμιν, οὐχ ἔχων καθάπερ γέφυραν πρός τόν νοῦν διαβιβάζουσαν αὐτόν ἔτι τήν αἴσθησιν, διαλυθεῖσαν ἤδη πρός τήν ψυχήν κατά τήν σχέσιν, καί τοῖς αἰσθητοῖς ἐναποῤῥιφεῖσαν θεάμασιν· ὧν διαβάς τήν σχέσιν καί τήν φύσιν ὁ νοῦς, παντελῶς οὐκ αἰσθάνεται.

(265) Τοῦτο, καθάπερ ἔφην, εἰδώς, δεῖν ᾠήθην ἑτέραν τινά τῷ παρόντι λόγῳ τῆσδε τῆς συγγραφῆς δοῦναι βοήθειαν, τήν τῶν παρατεθέντων ἐν τοῖς μετωπίοις σχολίων γραφήν· αὐτόν τε πρός κάλλος συμπληροῦσαν τόν λόγον· καί τοῖς ἐντευξομένοις, ἡδυτέραν τῶν ἐν τοῖς νοήμασι παρεχομένην ἑστίασιν· καί πάσης ἁπλῶς γινομένην τῆς ἐμφερομένης τῇ συγγραφῇ διανοίας, ἀσφάλειαν. Μετά γάρ ἔκδοσιν ἀναγνούς τήν ὅλην πραγματείαν, εὑρών τε τινας μέν τόπους δεομένους σαφηνείας· τινάς δέ, προσθήκης καί διανοίας· καί ἄλλους μετρίας τινός ἐπί τῷ κειμένῳ κατά τήν ἔκδοσιν ἐπενθυμήσεως· ταύτην ἐποιησάμην τήν τῶν σχολίων γραφήν, ἁρμόσας ἑκάστῳ τόπῳ τό προσῆκον ἐνθύμημα. Διό παρακαλῶ πάντας τούς ἐντευξομένους, ἤ καί μεταγράψοντας, καί τήν τῶν σχολίων ἔξωθεν ἀναγνῶναι καί παραθέσθαι γραφήν, κατά τήν ἑκάστῳ σημείωσιν· ἵνα ἄρτιος ᾖ κατά πάντα τρόπον ὁ λόγος, μηδενί παρημελημένῳ παντελῶς κολοβούμενος.

ΣΧΟΛΙΑ.

α.' Τήν σάρκα φησίν διά τῶν φαινομένων ἠθῶν εἶναι δεκτικήν τῆς κατ᾽ ἀρετήν τῆς ψυχῆς διαθέσεως, ὄργανον πρός ἔμφασιν αὐτῇ τῇ ψυχῇ συνεζευγμένην.

β'. Τήν αἴσθησιν λέγει παραπέμπουσαν τῷ νῷ τήν τῶν ὁρατῶν φαντασίαν, πρός κατανόησιν τῶν ἐν τοῖς οὖσιν λόγων, ὡς ὄργανον τῆς τοῦ νοῦ πρός τά νοητά διαβάσεως.

γ'. Τῆς ἀγάπης ἴδιόν φησι τῶν κατ᾽ αὐτήν ζώντων μίαν ἐνδεῖξαι γνώμην.

δ'. Ὅτι τῶν ὄντων διαβάς τήν οὐσίαν ὁ νοῦς, ἀνόητος γίνεται Θεῷ προσβάλλων ὑπέρ πᾶσαν ὄντι καί οὐσίαν καί γνῶσιν καί νόησιν.

ε'. Ὅτι πρός διαθέσεις ψυχῶν ὁ τοῦ Θεοῦ Λόγος ἐν τοῖς δεχομένοις αὐτόν ποιεῖται τήν τῶν χαρισμάτων διαφοράν.

στ'. Ὅτι κατά διάνοιαν ὡς ὑπέρ παρουσῶν τῶν ὑλῶν τούς ἀφανεῖς ἡμῶν συμπλέκονται πολέμους οἱ δαίμονες.

ζ'. Ὅτι διά τήν ἡδονήν φησι ἀγαπῶμεν τά πάθη· καί διά τήν ὀδύνην τήν ἀρετήν ἀποφεύγομεν.

η'. Ὅτι καθάπερ ὁ λόγος κρατῶν τῶν παθῶν ἀρετῆς ὄργανον ποιεῖται τάς αἰσθήσεις, οὕτω καί τά πάθη κρατοῦντα τοῦ λόγου, μορφοῦσιν τάς αἰσθήσεις πρός ἁμαρτίαν.

θ'. Τῶν αἰσθητῶν δηλονότι.

ι'. Ὅτι καθ᾽ ἕξιν μετά τήν ἀπαλλαγήν τῆς πρός τά ὄντα φυσικῆς σχέσεως ἑνωθεῖσα τῷ Θεῷ ἡ ψυχή, τήν περί τό καλόν παγιότητα λαμβάνει ἀμετακίνητον.

(268) ια '. Ὄντα λέγει τάς τῶν ὄντων οὐσίας· εἶναι δέ δοκοῦντα τάς κατά ποῖον καί πόσον ῥοάς τε καί ἀποῤῥοάς, περί ἅς ἡ τῶν αἰσθήσεων πλάσις συνέστηκεν τήν ἁμαρτίαν δημιουργοῦσα.

ιβ '. Ὅτι μέσος ὤν Θεοῦ καί ὕλης ὁ ἄνθρωπος, τό πρός τόν Θεόν ὡς αἰτίαν καί τέλος τῆς οἰκείας γενέσεως μή κινεῖσθαι, ἀλλά πρός τήν ὕλην, εἰκότως τόν Θεόν ἠγνόησε, τῇ πρός τήν ὕλην ῥοπῇ τόν νοῦν ἀπογεώσας.

ιγ'. Σύνθετον γνῶσιν εἶπεν, τήν κατ᾽ αἴσθησιν πεῖραν τῶν αἰσθητῶν, ὡς κατά φύσιν ἔχουσαν ἡδονήν διά τήν γένεσιν, καί πόνον διά τήν φθοράν.

ιδ'. Κτίσις τῶν ὁρατῶν, φησιν, καί πρός τόν νοῦν ἔχει λόγους πνευματικούς, καί φυσικήν πρός αἴσθησιν δύναμιν· ὧν τά νοήματα καθάπερ ξύλον ἐν μέσῳ τῆς καρδίας, παραδείσου τροπικῶς νοουμένης, ὑπάρχουσι.

ιε'. Ἀγνοεῖ τις τήν καθ᾽ ἡδονήν καί ὀδύνην τῆς αἰσθήσεως πεῖραν, ὅταν τῷ Θεῷ προσδήσει τόν νοῦν, τῆς σωματικῆς ἐλεύθερος γενόμενος σχέσεως.

***Ἐκ τῶν Φωτίου.***

Τούτων τάς λύσεις ὁ θεῖος οὗτος ἀνήρ καί γενναῖος ὁμολογητής ἀποδιδόναι ὑπέρχεται πόνον. Ἐστί δέ τήν φράσιν σχοινοτενής τε ταῖς περιόδοις, καί χαίρων ὑπερβατοῖς· ἐνακμάζων τε ταῖς περιβολαῖς, καί κυριολογεῖν οὐκ ἐσπουδασμένος· ἐξ ὧν αὐτοῦ τῇ συγγραφῇ καί τό ἀσαφές καί δυσεπίκτητον (δυσεπισκόπητον) διατρέχει. Τῷ τραχεῖ δέ τοῦ ὄγκου, ὅσα περί συνθήκην καί ἀναπαύσεις τόν λόγον ὑποβάλλων, οὐδ᾽ ἡδύς εἶναι σπουδάζει τῇ ἀκοῇ. Μεταφορά αὐτῷ τῶν λέξεων οὐκ εἰς τό χάριεν καί γεγοητευμένον περιήνθισται, ἀλλ᾽ οὕτως ἁπλῶς καί ἀπεριμερίμνως παραλαμβάνεται· ὅ δέ ἐγγύς, καί τούς περί αὐτόν ἀποκναίει ἐσπουδακότας, πόῤῥω τοῦ γράμματος καί τῆς ἐγνωσμένης ἱστορίας ἤ μᾶλλον καί αὐτοῦ τοῦ ἠπορημένου αἱ λύσεις αὐτῷ περινοοῦνται· πλήν εἴ τινι φίλον ἀναγωγαῖς καί θεωρίαις τόν νοῦν ἀνελίσσειν, οὐκ ἄν ποικιλωτέραις οὐδ᾽ ἐσπουδασμέναις μᾶλλον ἤ ταύταις περιτύχοι. Συλλέγει μέν γάρ καί τῶν πρό αὐτοῦ εἰς ἔνια τῶν

ἠπορημένων εἰρημένα· συνάπτει δέ καί τῆς οἴκοθεν φιλοπονίας οὐδέν ἔλαττον, εἰ μή καί μᾶλλον, τό γλαφυρόν τε καί περινενοημένον προβεβλημένα. Πανταχοῦ δέ τό εὐσεβές αὐτοῦ, καί τοῦ εἰς Χριστόν πόθου τό καθαρόν καί γνήσιον διαλάμπει.

Ἐπειδή ἠγάθυνέ σε ὁ Θεός, κελεῦσαί μοι ἅπερ εἶχον σεσημειωμένα τῶν ἀπορουμένων μοι κεφαλαίων γράψαι, καί πέμψαι σοι, τά ἀναγκαιότερά μοι φανέντα προέταξα.

## *ΕΡΩΤΗΣΙΣ Α΄.*

***Τά πάθη αὐτά καθ᾽ ἑαυτά κακά, ἤ παρά τήν χρῆσιν κακά; Λέγω δέ ἡδονήν καί λύπην, ἐπιθυμίαν καί φόβον, καί τά τούτοις ἑπόμενα.***

Ἀπόκρισις. (269)

Τά πάθη αὐτά, ὥσπερ καί τά λοιπά, τῇ φύσει τῶν ἀνθρώπων προηγουμένως οὐ συνεκτίσθη· ἐπεί καί εἰς τόν ὅρον ἄν συνετέλουν τῆς φύσεως. Λέγω δέ, παρά τοῦ Νυσσαέως μεγάλου Γρηγορίου μαθών, ὅτι διά τήν τῆς τελειότητος ἔκπτωσιν, ἐπεισήχθη αὐτά τῷ ἀλογωτέρῳ μέρει προσφυέντα τῆς φύσεως· δι᾽ ὧν, ἀντί τῆς θείας καί μακαρίας εἰκόνος, εὐθύς ἅμα τῇ παραβάσει διαφανής καί ἐπίδηλος ἐν τῷ ἀνθρώπῳ γέγονεν, ἡ τῶν ἀλόγων ζώων ὁμοίωσις. Ἔδει γάρ τῆς ἀξίας τοῦ λόγου καλυφθείσης, ὑφ᾽ ὧν γνωμικῶς ἐπεσπάσατο τῆς ἀλογίας γνωρισμάτων, ἐνδίκως τήν φύσιν τῶν ἀνθρώπων κολάζεσθαι· σοφῶς εἰς συναίσθησιν τῆς λογικῆς μεγαλονοίας ἐλθεῖν οἰκονομοῦντος τοῦ Θεοῦ τόν ἄνθρωπον.

Πλήν καλά γίνεται καί τά πάθη ἐν τοῖς σπουδαίοις· ὁπηνίκα σοφῶς αὐτά τῶν σωματικῶν ἀποστήσαντες, πρός τήν τῶν οὐρανίων μεταχειρίζονται κτῆσιν· οἷον, τήν ἐπιθυμίαν, τῆς νοερᾶς τῶν θείων ἐφέσεως ὀρεκτικήν ἐργάζονται κίνησιν· τήν ἡδονήν δέ, τῆς ἐπί τοῖς θείοις χαρίσμασι τοῦ νοῦ θελητικῆς ἐνεργείας εὐφροσύνην ἀπήμονα· τόν δέ φόβον, τῆς μελλούσης ἐπί πλημμελήμασι τιμωρίας προφυλακτικήν ἐπιμέλειαν· τήν δέ λύπη, διορθωτικήν ἐπί παρόντι κακῷ μεταμέλειαν. Καί συντόμως εἰπεῖν, κατά τούς σοφούς τῶν ἰατρῶν, σώματι φθαρτικοῦ θηρός τῆς ἐχίδνης τήν οὖσαν ἠμελετωμένην ἀφαιρουμένους λώβωσιν, τοῖς πάθεσιν τούτοις πρός ἀναίρεσιν χρώμενοι παρούσης κακίας ἤ προσδοκωμένης, καί κτῆσιν καί φυλακήν ἀρετῆς τε καί γνώσεως. Καλά οὖν, ὡς ἔφην, ταῦτα

τυγχάνει διά τήν χρῆσιν, ἐν τοῖς πᾶν νόημα αἰχμαλωτίζουσιν εἰς τήν ὑπακοήν τοῦ Χριστοῦ.

Εἰ δέ καί ἐπί Θεοῦ τι τούτων εἴρηται τῇ Γραφῇ, ἤ ἐφ᾽ ἁγίων· ἐπί μέν Θεοῦ, δι᾽ ἡμᾶς, καί ὡς ἡμῖν προσφυῶς διά τῶν ἡμετέρων παθῶν τάς σωστικάς ἡμῶν καί ἀγαθουργούς τῆς προνοίας προόδους ἐκφανούσης, ἐπί δέ τῶν ἁγίων, ὡς οὐκ ἄλλως δυναμένων τάς περί Θεόν νοεράς αὐτῶν σχέσεις καί διαθέσεις διά φωνῆς προενέγκαι σωματικῆς, χωρίς τῶν ἐγνωσμένων τῇ φύσει παθῶν.

ΣΧΟΛΙΑ.

α'. Πῶς καί πότε καλά ταῦτα τά πάθη γίνεται.

β'. Ὅτι τούς δαφόρους περί ἡμᾶς τῆς Προνοίας τρόπους τοῖς ἡμῖν ἐγνωσμένοις πάθεσιν ἡ Γραφή διαπλάττει.

γ'. Ὅτι τήν περί Θεόν ποιάν σχέσιν τῶν ἁγίων τοῖς ὀνόμασι τούτοις τούτοις ἡ Γραφή διασημαίνει.

***ΕΡΩΤΗΣΙΣ Β΄. (272) Εἰ πάντα τά εἴδη τά συμπληροῦντα τό κόσμον, ἐν ταῖς ἕξ ἡμέραις ὁ Δημιουργός ἐποίησεν, τί μετά ταῦτα ὁ Πατήρ ἐργάζεται; Ἔφη γάρ ὁ Κύριος· " Ὁ Πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγώ ἐργάζομαι." Μή τι ἄρα τῶν ἅπαξ γεγονότων εἰδῶν συντήρησιν λέγει;***

Ἀπόκρισις.

Τούς μέν πρώτους τῶν γεγονότων λόγους Θεός, καί τάς καθ᾽ ὅλου τῶν ὄντων οὐσίας ἅπαξ, ὡς οἶδεν αὐτός, συμπληρώσας, ἕως ἔτι ἐργάζεται, οὐ μόνον τήν τούτων αὐτῶν πρός τό εἶναι συντήρησιν, ἀλλά καί τήν κατ᾽ ἐνέργειαν τῶν ἐν αὐτοῖς δυνάμει μερῶν δημιουργίαν, πρόοδόν τε καί σύστασιν· ἔτι μήν καί τήν διά τῆς προνοίας πρός τά καθ᾽ ὅλου τῶν μερικῶν ἐξομοίωσιν· ἕως ἄν τῷ κατά φύσιν γενικωτέρῳ λόγῳ τῆς λογικῆς οὐσίας, διά τῆς πρός τό εὖ εἶναι κινήσεως τῶν μερικῶν, τήν αὐθαίρετον ἑνώσας ὁρμήν, ποιήσειεν ἀλλήλοις τε καί τῷ ὅλῳ σύμφωνα καί ταὐτοκίνητα, μή ἐχόντων τήν γνωμικήν πρός τά καθ᾽ ὅλου τῶν ἐπί μέρους διαφοράν· ἀλλ᾽ εἷς καί ὁ αὐτός ἐφ᾽ ὅλων θεωρηθήσεται λόγος, μή διαιρούμενος τοῖς τῶν καθ᾽ ὧν ἴσως κατηγορεῖται τρόποις· καί οὕτως ἐνεργουμένην τήν ἐκθεωτικήν τῶν ὅλων ἐπιδείξηται χάριν· δι᾽ ἥν γενόμενος ἄνθρωπος ὁ Θεός καί Λόγος φησίν· Ὁ Πατήρ μου ἕως ἄρτοι ἐργάζεται, κἀγώ

ἐργάζομαι· ὁ μέν, εὐδοκῶν· ὁ δέ, αὐτουργῶν, καί τοῦ ἁγίου Πνεύματος οὐσιωδῶς τήν τε τοῦ Πατρός ἐπί πᾶσιν εὐδοκίαν καί τήν αὐτουργίαν τοῦ Υἱοῦ συμπληροῦντος, ἵνα γένηται διά πάντων καί ἐν πᾶσι εἷς ὁ ἐν Τριάδι Θεός, ἀναλόγως ἑκάστῳ κατά χάριν τῶν ἀξιουμένων, καί ὅλοις ἐνθεωρούμενος, ὡς ὅλῳ καί ἑκάστῳ μέλει τοῦ σώματος δίχα μειώσεως ἐνυπάρχει φυσικῶς ἡ ψυχή.

ΣΧΟΛΙΑ.

α ΄. Ἐν τῇ ὕλῃ· τουτέστι, τῇ καθόλου τῶν ὄντων οὐσίᾳ δυνάμει τυγχάνουσι, τά κατά μέρος ἐκ τῆς ὕλης φινόμενα μερικά, ὧν τήν γένεσίν φησιν ὁ Θεός προδήλως ἐργάζεται.

β ΄. Τήν πρός τά καθόλου τῶν μερικῶν ἐξομοίωσιν λέγει, τήν πάντων τῶν ἀνθρώπων κατά μίαν τῆς γνώμης κίνησιν πρός τόν λόγον τῆς φύσεως ἕνωσιν, ἥν ἐργάζεται διά τῆς προνοίας ὁ Θεός, ἵνα γένηται πάντων ὥσπερ μία φύσις, οὕτω καί γνώμη, πάντων Θεῷ τε καί ἀλλήλοις συναφθέντων διά τοῦ Πνεύματος.

γ ΄. Τό ἴσως, ἀνθ᾽ ὁμοίως.

### *ΕΡΩΤΗΣΙΣ Γ ΄.*

***Τίς ἐστι κατά τό Εὐαγγέλιον ὁ ἐν πόλει τό κεράμιον βαστάζων τοῦ ὕδατος, ᾧ οἱ ὑπό Χριστοῦ πεμπόμενοι μαθηταί ἀπαντῶσι, καί κελεύονται ἀκολουθεῖν; Τίς τε ὁ οἰκοδεσπότης; πῶς τοῖς (καί διά τί παρά τοῖς) εὐαγγελισταῖς σιωπᾶται τό ὄνομα; καί τί τό ἀνώγεων τό μέγα καί ἐστρωμένον, ἐν ᾧ τό φρικτόν τοῦ θείου δείπνου τελεῖται μυστήριον;***

Ἀπόκρισις. (273)

Η Γραφή παρεσιώπησε τοῦ ἀνθρώπου τό ὄνομα, πρός ὅν ἀπέστειλεν ὁ Σωτήρ τούς δύο μαθητάς εἰς τήν τοῦ Πάσχα παρασκευή· ἀλλά καί τῆς πόλεως εἰς ἥν ἀπεστάλησαν. Ὅθεν κατά πρώτην ἐπιβολήν, ὑπονοῶ τοῦτον δηλοῦσθαι διά τῆς πόλεως τόν αἰσθητόν κόσμον· τόν ἄνθρωπον δέ, τήν καθόλου φύσιν τῶν ἀνθρώπων, πρός ἥν ἀποστέλλονται ὡς μαθηταί τοῦ Θεοῦ καί Λόγου, καί πρόδρομοι τῆς αὐτοῦ πρός τήν φύσιν τῶν ἀνθρώπων μυστικοῖς εὐωχίας ἑτοιμασταί, ὁ τῆς πρώτης διαθήκης νόμος, καί ὁ τῆς καινῆς· ὁ μέν, διά τῆς πρακτικῆς φιλοσοφίας παντός μολυσμοῦ τήν φύσιν ἀποκαθαίρων· ὁ δέ, διά τῆς θεωρητικῆς μυσταγωγίας, ἀπό τῶν σωματικῶν πρός τά συγγενῆ τῶν νοητῶν θεάματα τόν νοῦν γνωστικῶς ἀναβιβάζων· καί τούτου

τεκμήριον, τό τούς πεμφθέντας μαθητάς εἶναι Πέτρον καί Ἰωάννην. Ἔστι γάρ ὁ μέν Πέτρος, πράξεως, ὁ δέ Ἰωάννης, θεωρίας σύμβολον.

Διό προσφόρως ὑπαντᾷ πρῶτος αὐτοῖς ὁ τό κεράμιον βαστάζων τοῦ ὕδατος· σημαίνων δι᾽ αὐτοῦ πάντας τούς κατά τήν πρακτικήν φιλοσοφίαν τοῖς ὤμοις τῶν ἀρετῶν, ὡς ἐν κεραμίῳ τῇ νεκρώσει τῶν ἐπί γῆς μελῶν τοῦ σώματος, φρουρουμένην βαστάζοντας τήν διά τῆς πίστεως τῶν μολυσμῶν αὐτούς ἐκκαθαίρουσαν χάριν τοῦ Πνεύματος. Εἶτα μετά τοῦτον δεύτερος, ὁ τό ἀνώγεω ἐστρωμένον δεικνύς οἰκοδεσπότης· διδάσκων ὡσαύτως δι᾽ αὐτοῦ, πάντας τούς κατά θεωρίαν τό ὕψος τῆς ἑαυτῶν καθαρᾶς καί μεγαλοφυοῦς διανοίας, ὥσπερ ἀνώγεων πρός ὑποδοχήν τοῦ μεγάλου Λόγου θεοπρεπῶς, γνωστικοῖς νοήμασί τε καί δόγμασι καταστρώσαντας. Ἡ δέ οἰκία ἐστίν ἡ κατ᾽ εὐσέβειαν ἕξις· πρός ἥν μέν πρακτικός ὁδεύει νοῦς τήν ἀρετήν διέπων· δεσπόζει δέ ταύτης, ὡς ἰδίαν φύσει λοιπόν κτησάμενος, ὁ τῷ θείῳ φωτί τῆς μυστικῆς γνώσεως καταλαμπόμενος νοῦς· καί διά τοῦτο σύν τῷ πρακτικῷ, τῆς ὑπερφυοῦς τοῦ Σωτῆρος Λόγου παρουσίας τε καί εὐωχίας ἀξιούμενος.

Εἷς μέν οὖν ὁ ἄνθρωπος εἴρηται, καί δύο· εἴπερ ὁ μέν, κεράμιον βαστάζων γέγραπται, ὁ δέ, οἰκοδεσπότης ἀναγορεύεται. Εἷς μέν, ὡς ἔφην, τυχόν, διά τήν μίαν φύσιν· δύο δέ, διά τό ταύτην τήν φύσιν τοῖς πρακτικοῖς κατ᾽ εὐσέβειαν διῃρῆσθαι, καί θεωρητικοῖς· οὕς πάλιν διά τοῦ πνεύματος μιγνύς ὁ λόγος, ἕνα καλεῖ τε καί ποιεῖ.

Εἰ δέ καί εἰς τόν καθέκαστον ἄνθρωπον θέλοι τις τά εἰρημένα θεωρῆσαι, τῆς ἀληθείας οὐκ ἐκβέβηκε. Πόλις γάρ ἐστιν ἡ τοῦ καθέκαστον ψυχή, εἰς ἥν διαπαντός ἀποστέλλονται ὡς μαθηταί τοῦ Λόγου καί Θεοῦ, οἱ περί ἀρετῆς καί γνώσεως λόγοι. Ὁ δέ τό κεράμιον βαστάζων τοῦ ὕδατός ἐστιν ὁ ἀνέχων τοῖς ὤμοις τῆς ἐγκρατείας ἀκαθαίρετον τήν ἐν βαπτίσματι δοθεῖσαν χάριν τῆς πίστεως καρτερικός τρόπος τε καί λογισμός. Ἡ δέ οἰκία ἐστίν ἡ ἐκ πολλῶν καί διαφόρων, ὥσπερ λίθων στεῤῥῶν τε καί ἀνδρικῶν ἠθῶν τε καί λογισμῶν οἰκοδομηθεῖσα κατάστασίς τε (276) καί ἕξις τῶν ἀρετῶν. Τό δέ ἀνώγεων, ἡ πλατεία καί εὐρύχωρός ἐστι διάνοιά τε καί ἀποῤῥήτων δογμάτων κατακοσμηθεῖσα θεάμασιν. Ὁ δέ οἰκοδεσπότης ἐστίν ὁ νοῦς, ὁ τῷ λαμπρῷ τῆς κατ᾽ ἀρετήν οἰκίας, καί τῷ ὕψει, κάλλει τε καί μεγέθει τῆς γνώσεως ἐμπλατυνόμενος· πρός ὅν μετά τῶν αὐτοῦ μαθητῶν, τουτέστι τῶν περί φύσεως καί χρόνου πρώτων καί πνευματικῶν νοσημάτων, ἐνδημῶν ὁ Λόγος, ἑαυτόν μεταδίδωσι.

Πάσχα γάρ ἀληθῶς ἐστιν ἡ πρός τόν ἀνθρώπινον νοῦν τοῦ Λόγου διάβασις, καθ᾽ ἥν τό πλῆρες ἅπασι χαρίζεται τοῖς ἀξίοις διά τῆς τῶν οἰκείων ἀγαθῶν μετοχῆς, παραγενόμενος μυστικῶς ὁ τοῦ Θεοῦ Λόγος.

ΣΧΟΛΙΟΝ.

Ἐν οἷς κρυπτόμενος φαίνεται. Ἐκ γάρ τῶν ὄντων, τόν τῶν ὄντων γινώσκομεν Ποιητήν, ὄντα κυρίως οἱ λόγοι τῶν γεγονότων. Χρόνον δέ καί φύσιν, οἷς περιέχεται τό ὑπό χρόνον καί φύσιν φησί, καί ὑφ᾽ ἅ πᾶν κτιστόν, νοητόν τε καί αἰσθητόν· μεθ᾽ ὧν ὁ Λόγος καί Θεός τοῖς ἀξίοις ἐπιδημῶν. Ἐκ γάρ τῶν περί αὐτόν γινώσκεται, ὅλον τε αὐτόν ἐμπαρέχει, κατ᾽ ἀναλογίαν ἑκάστῳ συμμορφαζόμενος. Πνευματικά δέ νοήματα περί χρόνου καί φύσεως, τό τούς λόγους τούτων εἰδέναι, διά τοῦ ἔξω ὕλης καί εἴδους γενέσθαι, ἤτοι σαρκός καί κόσμου, διά τόν ταῦτα δι᾽ ἡμᾶς γενόμενον.

### *ΕΡΩΤΗΣΙΣ Δ΄.*

***Πῶς τοις μαθηταῖς ἐνετείλατο ὁ Κύριος, μή κτήσασθαι δύο χιτῶνας, αὐτός πέντε κεκτημένος, κατά τόν ἅγιον εὐαγγελιστήν Ἰωάννην, ὡς ἐκ τῶν μερισαμένων αὐτά δῆλόν ἐστι· καί τίνα ταῦτα τά ἱμάτια;***

Ἀπόκρισις

Ὁ Σωτήρ οὐκ ἔσχε πέντε χιτῶνας, ἀλλ᾽ ἕνα τόν ἐπί τοῦ σώματος, καί τήν ἔξω περιβολήν· ὧν τό μέν ἐντός ἐπί τοῦ σώματος, καλοῦσι χιτώνιον· τήν ἔξω δέ περιβολήν, προσαγορεύουσιν ἱμάτιον. Ἀλλά μυστικῶς τῷ ῥητῷ τῆς ἱστορίας τό τῆς θεωρίας ἄῤῥητον ὁ μέγας ἐξέδωκεν διά τοῦ Πνεύματος εὐαγγελιστής Ἰωάννης, ἵνα τόν ἡμέτερον νοῦν διά τῶν ἱστορουμένων, ἐπί τήν ἀλήθειαν ὁδηγήσῃ τῶν νοουμένων. Ὁ μέν οὖν ἄνωθεν ὑφανθείς διόλου χιτών τοῦ Σωτῆρος, ὅν οὐκ ἔσχισαν οἱ σταυρώσαντες, κἄν ἐκδύσαι συνεχωρήθησαν, ἡ διάλληλος τῶν ἀρετῶν καί ἀδιάστατός ἐστι συνοχή τε καί συμπλοκή· καί ἡ παρ᾽ ἡμῶν τῷ Λόγῳ κατάλληλός τε καί πρέπουσα σκέψις· ἤ ἡ ἄνωθεν τοῦ νέου κατ᾽ αὐτόν ἀνθρώπου διά τοῦ Πνεύματος ὑφασμένη χάρις. Ἡ ἔξω δέ περιβολή ὁ αἰσθητός ἐστι κόσμος, στοιχείοις τέσσαρσι

διαιρούμενος, ὅν ὡς τέσσαρα ἱμάτια μερίζονται οἱ νοητῶς ἐν ἡμῖν σταυροῦντες τόν Κύριον.

Μερίζονται τοίνυν οἱ δαίμονες τήν φαινομένην (277) κτίσιν τῶν τεσσάρων στοιχείων, πρός πάθος ὁρᾶν κατ᾽ αἴσθησιν ἡμᾶς παρασκευάζοντες, τούς ἐν αὐτῇ θείους ἀγνοήσαντας λόγους· τόον δέ χιτῶνα τῶν ἀρετῶν κἄν ἐπαίρωσιν ἐξ ἡμῶν διά τῆς τῶν καλῶν ἀπραξίας· ἀλλά τήν ἀρετήν κακίαν εἶναι πεῖσαι οὐ δύνανται. Μή τοίνυν πλεονεξίας ἀφορμήν ποιήσωμεν τά πέντε τοῦ Σωτῆρος ἱμάτια, ἀλλά γνῶμεν τί τῆς Γραφῆς ὑπάρχει τό βούλημα, καί πῶς ἐν ἡμῖν ἀμελοῦσι τῶν καλῶν, ὁ Κύριος σταυροῦται, καί γυμνοῦται διά τῆς ἡμῶν ἐν τοῖς καλοῖς ἀργίας· καί πρός ὑπηρεσίαν παθῶν δι᾽ ἡμῶν, ὥσπερ ἱμάτια μερίζονται τήν αὐτοῦ κτίσιν οἱ δαίμονες· καί ἀσφαλεῖς γενώμεθα φύλακες τῶν ἐκ Θεοῦ χαρισθέντων ἡμῖν ἀγαθῶν· καί τήν κτίσιν, καλῶς πρός μόνην τήν αὐτοῦ θεασώμεθα δόξαν· καί τόν χιτῶνα τοῦ λόγου τῆς γνώσεως, φημί δέ τάς ἀρετάς, διά τῆς σπουδῆς τῶν ἀγαθῶν ἔργων ἀναφαίρετον τηρήσωμεν.

Εἰ δέ βούλεσθε πρός τοῖς εἰρημένοις χιτῶνα μέν νοεῖν ἄνωθεν ὑφαντόν, τόν τῶν ἀσωμάτων καί νοητῶν οὐσιῶν κόσμον, τήν ἔξω δέ περιβολήν, ἥν εἰς τέσσαρα μέρη ὡς στοιχεῖα διεῖλεν ὁ λόγος, εἰς τήν σωματικήν φύσιν νοεῖν, οὐχ ἁμαρτήσεσθε τῆς ἀληθείας· ὧν τό μέν σῶμα τῇ φθορᾷ διέλυσαν, ἰσχύν λαβόντες καθ᾽ ἡμῶν τοῦ νόμου τῆς ἐντολῆς τήν παράβασιν· τήν δέ ψυχήν, ὡς τῆς ἄνωθεν συγγενείας ὑπάρχουσαν, οὐ κατέσχισαν.

***ΕΡΩΤΗΣΙΣ Ε΄.***

***Τίς ἡ κατηραμένη γῆ ἐν τοῖς ἔργοις τοῦ Ἀδάμ κατά τήν ἀναγωγήν, καί τί τό ἐν λύπαις αὐτήν φαγεῖν· καί τί τό, μετά τό ἀνατεῖλαι ἀκάνθας καί τριβόλους, τόν χόρτον ἐσθίειν· καί τί τό τελευταῖον, ἐν ἱδρῶτι τοῦ προσώπου αὐτοῦ τόν ἄρτον φαγεῖν; Καί μέν τοι οὐδέποτε ὤφθη ἄνθρωπος γῆν ἐσθίων, οὐδέ χόρτον· οὐδέ οἱ τόν ἄρτον ἐσθίοντες, κατά τήν ἀπόφασιν τῆς ἱστορίας, ἐν ἱδρῶτι τοῦ προσώπου ἐσθίουσιν.***

Ἀπόκρισις.

Ἡ καταραμένη γῆ ἐν τοῖς ἔργοις τοῦ Ἀδάμ ἐστιν ἡ σάρξ τοῦ Ἀδάμ, ἀεί γινομένη διά τῶν ἔργων τοῦ Ἀδάμ, λέγω δέ τῶν παθῶν τοῦ γεωθέντος νοῦ, κατηραμένη τῇ τῶν ἀρετῶν, ὡς ἔργων Θεοῦ, ἀκαρπίᾳ· ἥν μετ᾽ ὀδύνης πολλῆς καί λύπης ἐσθίει, τῆς κατ᾽ αὐτήν μικρᾶς

ἡδονῆς ἀπολαύων. Ἥτις σάρξ ὑπέρ ταύτης τῆς φθαρτῆς ἀπολαύσεως, ἀνατέλλει αὐτῷ μερίμνας καί φροντίδας, καθάπερ ἀκάνθας· καί μεγάλους πειρασμούς καί κινδύνους ὥσπερ τριβόλους, κατά τε λόγον καί θυμόν καί ἐπιθυμίαν, ἀλγεινῶς αὐτόν πανταχόθεν κατακεντοῦντας, ἵνα μόλις δυνηθῇ τήν ταύτης ὑγείαν τε καί εὐεξίαν, ὡς χόρτον μαραινόμενον περιποιήσασθαι καί φαγεῖν, τουτέστι, τυχεῖν· καί τότε μετά πολλήν τῶν ὀδυνῶν ἐπανακύκλησιν, ἐν ἱδρῶτι τοῦ προσώπου, τουτέστιν, ἐν τῷ κατ᾽ αἴσθησιν καμάτῳ τε καί κόπῳ τῆς περιέργου κατασκοπῆς τῶν αἰσθητῶν· ὥσπερ ἄρτον τήν πρός σύστασιν ἔχειν τῆς παρούσης ζωῆς ἀφορμήν, ἤ διά (280) τέχνης, ἤ δι᾽ ἄλλης τινός περινενοημένης τῷ βίῳ μεθοδείας.

Ἤ μᾶλλον γῆ, τοῦ Ἀδάμ ἐστιν ἡ καρδία, κατάραν λαβοῦσα διά τῆς παραβάσεως, τήν τῶν οὐρανίων ἀγαθῶν ἀφαίρεσιν. Ἥντινα γῆν κατά τήν πρακτικήν φιλοσοφίαν διά πολλῶν θλίψεως ἐσθίει, καθαρθεῖσαν τῆς κατά συνείδησιν κατάρας τῶν ἔργων αἰσχύνης. Καί πάλιν τούς ἀνατέλλοντας ἐν αὐτῇ δίκην ἀκανθῶν λογισμούς περί τῆς τῶν σωμάτων γενέσεως, καί ὥσπερ τριβόλους τούς περί τῆς τῶν ἀσωμάτων προνοίας τε καί κρίσεως περισκελεῖς λογισμούς ἀποκαθαίρων τῷ λόγῳ, τήν φυσικήν ὥσπερ χόρτον δρέπεται θεωρίαν πνευματικήν· καί οὕτως, ὡς ἐν ἱδρῶτι τοῦ προσώπου, τῷ ἐπιστημονικῷ τῆς διανοίας κατά τήν γνῶσιν τρόπῳ, τόν ἄφθαρτον τῆς θεολογίας ἄρτον ἐσθίει, τόν μόνον ὄντως ζῶντα [Fr.ζωτικόν], καί ἐσθιόντων συντηροῦντα πρός ἀφθαρσίαν τήν γένεσιν. Γῆ τοίνυν ἐστί καλῶς ἐσθιομένη, ἡ διά πρακτικῆς (πράξεως) τῆς καρδίας κάθαρσις· χόρτος δέ, ἡ κατά τήν φυσικήν θεωρίαν ἐπιστήμη τῶν γεγονότων· ἄρτος δέ, ἡ κατά τήν θεολογίαν ἀληθής μυσταγωγία.

ΣΧΟΛΙΟΝ.

*α'* . Ἔργα λέγει τοῦ Ἀδάμ τά πάθη τῆς ἀτιμίας· τάς γάρ ἀρετάς ἐργάζεται μόνος ὁ Θεός ἐν τοῖς βουλομένοις· πρός τήν τῶν ἀρετῶν φενέρωσιν, μόνην καθάπερ ὄργανον λαμβάνων, τῶν βουλομένων τήν πρόθεσιν.

*ΕΡΩΤΗΣΙΣ Στ'.*

***Εἰ κατά τόν ἅγιον Ἰωάννην, " Ὁ γεγεννημένος ἐκ τοῦ Θεοῦ, ἁμαρτίαν οὐ ποιεῖ, ὅτι σπέρμα αὐτοῦ ἐν αὐτῷ μένει, καί οὐ δύναται ἁμαρτάνειν·" ὁ δέ γεγεννημένος ἐξ ὕδατος καί Πνεύματος, οὗτος ἐκ***

***τοῦ Θεοῦ γεγέννηται· πῶς οἱ ἐκ τοῦ Θεοῦ διά τοῦ βαπτίσματος γεγεννημένοι ἡμεῖς δυνάμεθα ἁμαρτάνειν;***

Ἀπόκρισις.

Διττός ἐν ἡμῖν τῆς ἐκ Θεοῦ γεννήσεως ὁ τρόπος· ὁ μέν πᾶσαν δυνάμει παροῦσαν τοῖς γεννωμένοις διδούς τήν χάριν τῆς υἱοθεσίας· ὁ δέ, κατ᾽ ἐνέργειαν ὅλην παροῦσαν καί τήν τοῦ γεννωμένου πᾶσαν πρός τόν γεννῶντα Θεόν προαίρεσιν, γνωμικῶς μεταπλάττουσαν εἰσάγων· καί ὁ μέν, κατά πίστιν μόνην δυνάμει παροῦσαν τήν χάριν ἔχων· ὁ δέ πρός τῇ πίστει, καί τήν κατ᾽ ἐπίγνωσιν ἐνεργοῦσαν, ἐν τῷ ἐπεγνωκότι τήν τοῦ γνωσθέντος θειοτάτην ὁμοίωσιν ἐμποιῶν. Οἷς μέν οὖν ὁ πρῶτος τῆς γεννήσεως ἐνθεωρεῖται τρόπος, διά τό μήπω τήν γνώμην καθαρῶς ἐξηλωθεῖσαν τῆς σαρκικῆς προσπαθείας ποιωθῆναι διόλου τῷ Πνεύματι, κατ᾽ αὐτήν τῶν ἐγνωσμένων θείως μυστηρίων δι᾽ ἐνεργείας τήν μέθεξιν, τό πρός ἁμαρτίαν ῥέψαι ποτέ βουλομένοις οὐκ ἄπεστιν. Οὐ γάρ γεννᾷ γνώμην τό Πνεῦμα μή θέλουσαν, ἀλλά βουλομένην μεταπλάττει πρός θέωσιν, ἧς ὁ κατ᾽ ἐπίγνωσιν πείρᾳ μεταλαβών, οὐ δύναται τοῦ κυρίως κατ᾽ ἀλήθειαν ἅπαξ ἔργῳ διαγνωσθέντος, πρός ἄλλο(281) τι παρ᾽ ἐκεῖνο, κἀκεῖνο εἶναι προσποιούμενον, μεταπεσεῖν· ὥσπερ οὔτε ὀφθαλμός ἅπαξ τόν ἥλιον θεασάμενος, εἰς τήν σελήνην, ἤ τινας ἄλλους τῶν κατ᾽ οὐρανόν ἀστέρων παραγνωρίσαι. Ὧν δέ κατά τήν γέννησιν, τήν ὅλην προαίρεσιν λαβόν τό Πνεῦμα τό ἅγιον, ἀπό τῆς γῆς πρός οὐρανούς δι᾽ ὅλου μετέθηκε, καί διά τῆς κατ᾽ ἐνέργειαν ἀληθοῦς ἐπιγνώσεως, ταῖς τοῦ Θεοῦ καί Πατρός μακαρίαις ἀκτῖσι τόν νοῦν μετεποίησεν, ὡς ἄλλον εἶναι θεόν νομισθῆναι παρόντα τά κατά τήν ἕξιν διά τῆς χάριτος· ὅπερ οὐ πάσχων, ἀλλ᾽ ὑπάρχων κατ᾽ οὐσίαν ἐστίν ὁ Θεός· τούτων σαφῶς ἀναμάρτητος κατά τήν ἕξιν τῆς ἀρετῆς καί τῆς γνώσεως ἡ προαίρεσις γέγονεν, μή δυναμένων ἀρνήσασθαι τό διά τῆς πείρας αὐτῆς κατ᾽ ἐνέργειαν διεγνωσμένον. Κἄν οὖν ἔχομεν τό πνεῦμα τῆς υἱοθεσίας, ὅπερ ἐστί σπέρμα πρός τήν τοῦ σπείραντος εἰδοποιοῦν τούς γεννωμένους ὁμοίωσιν· ἀλλ᾽ οὐ παρέχομεν αὐτῷ τήν γνώμην τῆς ἐπ᾽ ἄλλο ῥοπῆς τε καί διαθέσεως καθαράν· καί διά τοῦτο καί μετά τό γεννηθῆναι δι᾽ ὕδατος λέγω καί Πνεύματος, τήν ἐνέργειαν δέχεσθαι γνωστικῶς τήν γνώμην παρεσκευάζομεν, ἄραγε διά [Fr. ἄρα ἄν διά) τῆς πρακτικῆς τό μυστικόν ὕδωρ ἐποιεῖτο τῆς συνειδήσεως κάθαρσιν· καί τό ζωοποιόν Πνεῦμα τήν ἄτρεπτον ἐν ἡμῖν

τοῦ καλοῦ διά τῆς ἐν πείρᾳ γνώσεως ἐνήργει τελείωσιν. Λείπει τοιγαροῦν ἑκάστῳ ἡμῶν τῶν ἁμαρτεῖν ἔτι δυναμένων, τό καθαρῶς ἑαυτούς ὅλους κατά τήν γνώμην ἐμπαρέχειν βουληθῆναι τῷ Πνεύματι.

ΣΧΟΛΙΑ.

α'. Πρός τούς ἐρωτῶντας, πότερον ὁ Ἀδάμ θνητός ἤ ἀθάνατος διεπλάσθη, πρόσφορος ὁμοῦ καί λίαν κατάλληλος ἡ ἀπόκρισις.

β'. Ἀργή πίστις, φησί, δυνάμει τήν χάριν ἔχει τῆς υἱοθεσίας, ὡς διά τῶν ἐντολῶν μή κινουμένη ὑπό τῶν ἐχόντων αὐτήν.

γ'. Δύο τινάς ἀποφαίνεται τρόπους γεννήσεως· τόν μέν κατ᾽ οὐσίαν, ἵν᾽ οὕτως εἴπωμεν, τοῦ ὅλου ἀνθρώπου· καθ᾽ ὅν ἡ τῆς υἱοθεσίας τελείωσις δυνάμει τῇ ψυχῇ ἐγγίνεται· τό δέ κατά γνώμην καί προαίρεσιν, καθ᾽ ὅν τό Πνεῦμα τό ἅγιον παραλαβόν θέλουσαν γνώμην τε καί προαίρεσιν, μεταπλάττει πρός θέωσιν, ὅλην αὐτήν ἑνοῦν τῷ Θεῷ. Κατά μέν οὖν τόν πρῶτον τῆς γεννήσεως τρόπον, οἷόν τε τούς γεγεννημένους ῥέψαι πρός ἁμαρτίαν, μή βουλομένους εἰς ἔργον ἄγειν τήν ἐνοῦσαν αὐτοῖς τῆς υἱοθεσίας δύναμιν, τῇ πρός τήν σάρκα προσπαθείᾳ. Ἡ γάρ προαίρεσίς ἐστι τό χρώμενον· ἡ δέ τῆς υἱοθεσίας δύναμις, οἱονεί τό ὄργανον, ἤ τις δή ἀνενέργητος μένει, τῆς προαιρέσεως μή ταύτης χρῆσθαι προαιρουμένης. Κατά μέν οὖν τοῦτον τῆς γεννήσεως τόν τρόπον, οἷόν τέ φησι τούς γεγεννημένους ἐξαμαρτῆσαι· κατά δέ τόν δεύτερον, ἀμήχανον, ἅπαξ θεωθείσης τῆς γνώμης(284) καί προαιρέσεως. Τόν οὖν Ἀπόστολον, κατά τοῦτον τῆς γεννήσεως τόν τρόπον φάναι, τόν γεγεννημένον ἐκ τοῦ Θεοῦ, ἁμαρτίαν μή ποιεῖν.

***ΕΡΩΤΗΣΙΣ Ζ '.***

***Τί ἐστίν, "Εἰς τοῦτο γάρ καί νεκροῖς εὐηγγελίσθη, ἵνα κριθῶσι μέν κατά ἄνθρωπον σαρκί, ζῶσι δέ κατά θεόν πνεύματι·" Πῶς οἱ νεκροί σαρκί κρίνονται;***

Ἀπόκρισις.

Ἔθος ἐστί τῇ Γραφῇ τούς χρόνους μεταλλάσσειν, καί εἰς ἀλλήλους μεταλαμβάνειν· καί τόν μέλλοντα ὡς παρῳχηκότα, καί τόν

παρῳχηκότα ὡς μέλλοντα· καί τόν ἐνεστῶτα, εἰς τόν πρό αὐτοῦ καί μετ᾽ αὐτόν χρόνον ἐκφωνεῖν, ὡς ἔστι δῆλον τοῖς αὐτῆς πεπειραμένοις. Φασίν οὖν τινες, νεκρούς λέγειν ἐνταῦθα τήν Γραφήν, τούς πρό τῆς ἐπιδημίας τοῦ Χριστοῦ τελειωθέντας ἀνθρώπους· οἷον, τούς ἐν τῷ κατακλυσμῷ, τούς ἐν τῷ χρόνῳ τῆς πυργοποιίας, τούς ἐν Σοδόμοις, τούς ἐν Αἰγύπτῳ, καί τούς ἄλλους τούς κατά διαφόρους καιρούς τε καί τρόπους, τήν πολύτροπον δίκην, καί τάς ἐξαισίας ἐπαγωγάς τῶν θείων κριμάτων δεξαμένους. Οἵτινες οὐχ ὑπέρ ἀγνοίας Θεοῦ τοσοῦτον, ὅσον τῆς εἰς ἀλλήλους παροινίας τήν δίκην ἔτισαν· οἷς εὐηγγελίσθαι λέγει τό μέγα τῆς σωτηρίας κήρυγμα, κριθεῖσιν ἤδη σαρκί κατά ἄνθρωπον· τουτέστιν ἀπολαβοῦσι τῶν εἰς ἀλλήλους ἐγκλημάτων τήν δίκην, διά τῆς ἐν σαρκί ζωῆς, ἵνα ζήσωσι κατά Θεόν πνεύματι, τουτέστι ψυχῇ· δεχόμενοι κατά τόν ᾅδην ὄντες τῆς θεογνωσίας τό κήρυγμα, διά τοῦ καί νεκρούς σῶσαι κατελθόντος εἰς ᾅδην Σωτῆρος πιστεύσαντας. Ὑπέρ δέ τοῦ νοηθῆναι τόν τόπον, οὕτως ἐκλάβωμεν· Εἰς τοῦτο γάρ καί νεκροῖς εὐηγγελίσθη, κριθεῖσι κατά ἄνθρωπον σαρκί, ἵνα ζήσωσι κατά Θεόν πνεύματι.

Ἤ πάλιν νεκρούς λέγει τυχόν ἐπικεκρυμμένως, τούς τήν νέκρωσιν τοῦ Ἰησοῦ ἐν τῷ σώματι περιφέροντας, οἷς εἰκότως κατά ἀλήθειαν, δι᾽ αὐτῶν τῶν ἔργων δέδοται τό θεῖον Εὐαγγέλιον· εἴπερ τό Εὐαγγέλιον σαρκικῆς μέν εἰσηγεῖται ζωῆς ἄρνησιν, πνευματικῆς δέ ὁμολογίαν· τούς ἀεί μέν κατά ἄνθρωπον, λέγω δέ τήν ἀνθρωπίνην ἐν σαρκί κατά τόν αἰῶνα τοῦτον ζωήν, ἀποθνήσκοντας, ζῶντας δέ κατά Θεόν μόνῳ τῷ πνεύματι, κατά τόν θεῖον Ἀπόστολον καί τούς ἀμφ᾽ αὐτόν· τούς ζῶντας μέν οὐδαμῶς ἰδίαν ζωήν, ζῶντα δέ τόν Χριστόν ἐν ἑαυτοῖς, κατά μόνην ἔχοντας τήν ψυχήν. Οὕτως οἱ διά τόν Θεόν ἐν τῷ αἰῶνι τούτῳ νεκροί, σαρκί κρίνονται, θλίψεις καί βασάνους πολλάς καί στενοχωρίας ἔχοντες καί διωγμούς, καί μυρία πειρασμῶν εἴδη μετά χαρᾶς ὑπομένοντες.

### *ΕΡΩΤΗΣΙΣ Η΄.*

***Ἐπειδή πάλιν λέγει ὁ ἅγιος Ἰωάννης· " Ὁ Θεός φῶς ἐστι·" καί μετ᾽ ὀλίγα πάλιν· " Ἐάν ἐν τῷ φωτί περιπατῶμεν, ὡς αὐτός ἐστιν ἐν τῷ φωτί· " πῶς καί φῶς ὁ αὐτός λέγεται καί ἐν τῷ φωτί εἶναι, ὡς ἄλλος ἐν ἄλλῳ;***

Ἀπόκρισις.

(285) Ὁ κατ᾽ οὐσίαν ἀληθῶς φῶς ὑπάρχων Θεός, ἐν τοῖς ἐν αὐτῷ διά τῶν ἀρετῶν περιπατοῦσίν ἐστιν ἀληθῶς φῶς γενόμενος. Ὥσπερ οὖν τό κατά μέθεξιν φῶς, ὡς οἱ ἅγιοι πάντες, διά φιλοθεΐας ἐν τῷ κατ᾽ οὐσίαν γίνονται φωτί, οὕτω τό κατ᾽ οὐσίαν ἐν τῷ κατά μέθεξιν φωτί διά φιλανθρωπίαν γίνεται φῶς. Ἐάν οὖν ἐσμέν κατά τήν ἀρετήν καί τήν γνῶσιν ὡς ἐν φωτί τῷ Θεῷ, καί αὐτός ὁ Θεός ἐν τῷ μιμήσει γίνεται φωτί, ὡς ἐν εἰκόνι ἀρχέτυπον· ἤ μᾶλλον φῶς ἐστίν ὁ Θεός καί Πατήρ, ἐν φωτί δηλαδή τῷ Υἱῷ καί ἁγίῳ Πνεύματι, οὐκ ἄλλο καί ἄλλο, καί ἄλλο φῶς ὑπάρχων· ἀλλά κατ᾽ οὐσίαν ἕν καί τό αὐτό, κατά τόν τῆς ὑπάρξεως τρόπον τρισσοφαές.

***ΕΡΩΤΗΣΙΣ Θ΄.***

***Τί λέγει πάλιν ὁ ἅγιος Ἰωάννης· "Ἀδελφοί, νῦν τέκνα Θεοῦ ἐσμεν, καί οὔπω ἐφανερώθη τί ἐσόμεθα;" Πῶς ὁ ἅγιος Παῦλος λέγει· " Ἡμῖν δέ ἀπεκάλυψεν ὁ Θεός διά τοῦ Πνεύματος· τό γάρ Πνεῦμα πάντα ἐρευνᾷ, καί τά βάθη τοῦ Θεοῦ." Πῶς δέ καί τά τοιαῦτα φιλοσοφεῖ περί τοῦ, τί ἐσόμεθα;***

Ἀπόκρισις.

Ὁ μέν οὖν ἅγιος εὐαγγελιστής Ἰωάννης, τόν τρόπον τῆς μελλούσης τῶν γενομένων ἐνταῦθα τέκνων τοῦ Θεοῦ διά τῶν κατά τήν πίστιν ἀρετῶν θεώσεως, ἠγνοηκέναι λέγει, μήπω φανερωθείσης τῆς αὐθυπάρκτου κατά τό εἶδος τῶν μελλόντων ἀγαθῶν ὑποστάσεως. Διά πίστεως γάρ ἐνταῦθα περιπατοῦμεν, οὐ διά εἴδους. Ὁ δέ ἅγιος Παῦλος, τόν ἐπί τοῖς μέλλουσιν ἀγαθοῖς θεῖον σκοπόν λέγει, δι᾽ ἀποκαλύψεως εἰληφέναι· οὐ μήν αὐτόν ἐπεγνωκέναι τόν κατά τόν θεῖον σκοπόν τῆς ἐκθεώσεως τρόπον. Διό λέγει σαφῶς ἑαυτόν ἑρμηνεύων· Κατά σκοπόν διώκω, πρός τό βραβεῖον τῆς ἄνω κλήσεως· γνῶναι δηλονότι θέλων ἐκ τοῦ παθεῖν τόν τρόπον τῆς κατ᾽ ἐνέργειαν ἐκπληρώσεως τοῦ θείου, καί αὐτῷ δι᾽ ἀποκαλύψεως ἐνταῦθα γνωσθέντος σκοποῦ, τῆς ἐκ θεωτικῆς τῶν ἀξιουμένων δυνάμεως. Συνᾴδουσιν οὖν οἱ ἀπόστολοι, διά τῆς δοκούσης ἐναντιοφανοῦς διδασκαλίας ἀλλήλοις συμπνέοντες, ὡς ὑφ᾽ ἑνός καί τοῦ αὐτοῦ κινούμενοι Πνεύματος. Ὁ μέν γάρ, τοῦ τρόπου τῆς μελλούσης κατά τήν χάριν θεώσεως ὁμολογεῖ τήν ἄγνοιαν· ὁ δέ, τοῦ σκοποῦ μεγαλοφυῶς εἰσηγεῖται τήν εἴδησιν. Ὅτι δέ ταύτης ἔχεται τῆς γνώμης ὁ ἅγιος Ἀπόστολος, αὐτός ἑαυτοῦ διά πάντων τῶν θείων αὐτοῦ λόγων μάρτυς καθέστηκεν· ποτέ μέν, πᾶσαν καταργηθήσεσθαι φάσκων

γνῶσιν καί προφητείαν· ποτέ δέ, οὔπω λογιζόμενος ἑαυτόν κατειληφέναι· ποτέ δέ, δι᾽ ἐσόπτρου καί αἰνιγμάτων βλέπειν λέγων τά μέλλοντα· καί εἶναι καιρόν, ὅτι τῷ προσώπῳ πρός πρόσωπον τῶν ἐλπιζομένων μεγάλης(288) καί ὑπέρ νόησιν ἀπολαύσει χάριτος· ποτέ δέ ἀκ μέρους γινώσκειν ὁμολογῶν, καί ἐκ μέρους προφητεύειν· ποτέ δέ, χρῆναι αὐτόν γνώσεσθαι, καθώς καί ἐπεγνώσθη, διαῤῥήδην βοῶν· ὡς οὔπω δηλονότι γνούς τό γνωσθησόμενον· καί συντόμως εἰπεῖν τό, Ὅταν ἔλθῃ τό τέλειον, τό ἐκ μέρους καταργηθήσεται, τῷ Ἀποστόλῳ εἰρημένον, ταυτόν εἶναί μοι φαίνεται τῷ, Οὔπω ἐφανερώθη τί ἐσόμεθα, λεχθέντι τῷ Θεολόγῳ·

***ΕΡΩΤΗΣΙΣ Ι΄.***

**Εἰ ὁ φοβούμενος οὐ τετελείωται ἐν τῇ ἀγάπῃ, πῶς οὐκ ἔστιν ὑστέρημα τοῖς *φοβουμένοις αὐτόν. Ἐάν οὐκ ἔστιν ὑστέρημα, δῆλον ὅτι τετελείωται· πῶς οὖν ὁ φοβούμενος οὐ τετελείωται;***

Ἀπόκρισις.

Ἡ καλή τῶν θείων Γραφῶν εὐταξία, κατά τόν σωστικόν τοῦ Πνεύματος θεσμόν, τῶν ἀπό τῆς ἐκτός κατά τά πάθη πληθύος ἐπί τήν θείαν ἑνότητα κινουμένων τούς βαθμούς διορίζουσα, τούς μέν εἰσαγομενους, καί ἐπί τά πρόπυλά που τυγχάνοντας τῆς θείας αὐλῆς τῶν ἀρετῶν, φοβουμένους ἐκάλεσε· τούς δέ κτησαμένους σύμμετρον ἕξιν τῶν κατά τήν ἀρετήν λόγων τε καί τρόπων, οἶδεν ὀνομάζειν προσκόπτοντας· τούς δέ κατά αὐτήν γνωστικῶς ἤδη γεγενημένους, τῆς τῶν ἀρετῶν ἐκφαντικῆς ἀληθείας κορυφήν, προσαγορεύει τελείους. Οὔτε οὖν ὁ φοβούμενος τόν Κύριον, ἀπεστραμμένος διόλου τήν κατά τήν φθοράν τῶν παθῶν ἀρχαίαν ἀναστροφήν, καί πᾶσαν ἑαυτοῦ τήν διάθεσιν διά τόν φόβον ἐκδεδωκώς τοῖς θείοις προστάγμασιν, ὑστερεῖ τινος καλοῦ τῶν εἰσαγομένοις πρεπόντων· κἄν οὔπω τήν ἐν ἀρεταῖς ἕξιν ἐκτήσατο, καί τῆς ἐν τοῖς τελείοις λαλουμένης σοφίας γέγονε μέτοχος· ἀλλ᾽ οὐδέ ὁ προκόπτων, τῶν ἐπιβεβλημένων αὐτῷ τῷ βαθμῷ καλῶν τινος ὑστερεῖ· κἄν τήν αὐτήν οὔπω τοῖς τελείοις ὑπερέχουσαν τῶν θείων ἐκτήσατο γνῶσιν.

Καί πάλιν, οἱ μέν τήν πρακτικήν ἀνδρικῶς μετιόντες φιλοσοφίαν, φόβου καί μνήμης τῶν μελλόντων θείων δικαιωτηρίων οὔπω τήν ψυχήν ἀπολύσαντες, νοείσθωσαν ἡμῖν οἱ φοβούμενοι· μηδενός μέν, κατά τόν μακάριον Δαβίδ, ὑστεροῦντες καθάπαξ τῶν ὑπέρ ἀληθείας ἀγωνιζομένων κατά τῆς ἀντικειμένης δυνάμεως· ὅμως δ᾽ οὖν ἔτι

λειπόμενοι τῆς κατά νοῦν τῶν τελείων ἀκραιφνοῦς τῶν μυστικῶν θεαμάτων διαδόσεως. Οἱ δέ τῆς θεωρητικῆς ἤδη μυστικῶς ἀξιωθέντες θεολογίας, καί πάσης φαντασίας ὑλικῆς τόν νοῦν καθαρόν καταστήσαντες, καί εἰκόνα τῆς θείας ὡραιότητος ὅλην ἀνελλιπῶς φέρουσαν τήν ἐκμίμησιν, ἔστωσαν ἡμῖν οἱ ἀγαπῶντες.

Οὐκ ἔστιν οὖν ὑστέρημα τοῖς φοβουμένοις, κατά τόν μακάριον Δαβίδ, ὡς φοβουμένοις, κἄν οὐκ ἔχῃ τό πλῆρες καί τέλειον τῆς ἀμέσου πρός τόν λόγον (288) ἑνώσεως κατά τό ἴσον τοῖς ἀγαπῶσι τόν Κύριον, ὁ φοβούμενος. Ἕκαστος γάρ ἐν τῷ ἰδίῳ τάγματι, κατά τήν ἠφωρισμένην αὐτῷ μονήν, ἔχει τό τέλειον· κἄν ἄλλος ἄλλου κατά ποιόν ἤ ποσόν τῆς πνευματικῆς ἡλικίας ἐστίν ὑψηλότερος. Ἐπειδή δέ διττός ἐστιν ὁ φόβος, κατά τό· Φοβήθητε μᾶλλον τόν δυνάμενον καί ψυχήν καί σῶμα ἀπολέσαι ἐν γεέννῃ· καί κατά τό· Ὁ φόβος Κυρίου ἁγνός, διαμένων εἰς αἰῶνα αἰῶνος· καί· Μέγας, καί φοβερός ἐστιν ἐπί πάντας τούς περικύκλῳ αὐτοῦ· ζητητέον, πῶς ἔξω βάλλει τόν φόβον ἡ ἀγάπη, εἴπερ εἰς αἰῶνα αἰῶνος διαμένει· πῶς δέ φοβερός ἐστι διαμένων ὁ Θεός, εἰς τούς ἀπείρους αἰῶνας ἐπί πάντας τούς περικύκλῳ αὐτοῦ; Ἤ μᾶλλον, ἐπειδή, καθώς ἔφην, διττός ἐστιν ὁ φόβος, ὁ μέν ἁγνός, ὁ δέ οὐχ ἁγνός· οἷον, ὁ μέν ἐπί πλημμελήμασι κατ᾽ ἐκδοχήν κολάσεως συνιστάμενος φόβος, αἰτίαν ἔχων τῆς οἰκείας γενέσεως τήν ἁμαρτίαν, ὡς οὐχ ἁγνός, οὐκ ἔσται διαπαντός· τῇ ἁμαρτίᾳ διά τῆς μετανοίας συναφανιζόμενος· ὁ δέ ἁγνός φόβος, ὁ δίχα τῆς ἐπί πλημμελήμασι μνήμης ἀεί συνεστώς, οὐκ ἀπογεννήσεταί ποτε· διότιπερ οὐσιωδῶς. Ἐμπέφυκέ πως τῷ Θεῷ πρός τήν κτίσιν, ποιούμενος ἔκδηλον αὐτοῦ πᾶσι τήν φυσικήν αἰδεσιμότητα τῆς ὑπέρ πᾶσαν βασιλείαν τε καί δύναμιν ὑπεροχῆς. Ὁ τοίνυν μή φοβούμενος τόν Θεόν ὡς κριτήν, ἀλλ᾽ αἰδούμενος αὐτόν διά τήν ὑπερβάλλουσαν τῆς ἀπείρου δυνάμεως ὑπεροχήν, οὐκ ἔχει δικαίως ὑστέρημα, τέλειος ὑπάρχων ἐν τῇ ἀγάπῃ, μετ᾽ αἰδοῦς καί τῆς πρεπούσης σεβασμότητος ἀγαπῶν τόν Θεόν· καί οὗτός ἐστιν ὁ κτησάμενος τόν διαμένοντα φόβον εἰς αἰῶνα αἰῶνος, καί οὐκ ἔσται αὐτῷ ὑστέρημα τό παράπαν οὐδέν.

Συνᾴδουσιν οὖν ἀλλήλοις ὅ τε προφήτης καί ὁ εὐαγγελιστής· ὁ μέν, λέγων μή εἶναι τοῖς κατά τόν ἁγνόν φόβον τόν Κύριον φοβουμένοις ὑστέρημα· ὁ δέ, τόν φοβούμενον, ὡς κριτήν, διά τήν ἐῤῥυπωμένην συνείδησιν, μή εἶναι τέλειον ἐν τῇ ἀγάπῃ· κατά ταύτην τήν ἐκδοχήν λοιπόν, καί ἐπί πάντας τούς περικύκλῳ αὐτοῦ φοβερός ἐστιν ὁ Θεός·

ὡς ἐγκεκραμένην φόβῳ ποιῶν τήν τῶν ἀγαπώντων αὐτόν, καί περί αὐτόν γενησομένων, ἀγάπην. Φόβου γάρ καθ᾽ ἑαυτήν κεχωρισμένη ἡ ἀγάπη, εἰς καταφρόνησιν πέφυκεν ὡς τά πολλά μεταπίπτειν· μή οἷον στομουμένης φόβῳ τῆς ἐξ αὐτῆς τικτομένης φυσικῶς παῤῥησίας· τί δέ βούλεται τό, περικύκλῳ αὐτοῦ, λεγόμενον, εἰ δοκεῖ, κατανοήσωμεν.

Ὁ γάρ κυκλούμενος καί ἔμπροσθεν, καί ὄπισθεν, καί ἐκ δεξιῶν, καί ἐξ ἀριστερῶν ἔχει τούς περικυκλοῦντας αὐτόν. Ἐπειδή τοίνυν καί ὁ Κύριος ἔχει τούς περικυκλοῦντας, νοήσωμεν τούς μέν ὀπίσω, τούς διά τῶν ἐντολῶν κατά τήν πρακτικήν ἀρετήν (292) ἀμέπτως ὀπίσω Κυρίου τοῦ Θεοῦ πορευθέντας τούς ἐξ ἀριστερῶν δέ, τούς τήν φυσικήν ἐν πνεύματι θεωρίαν μετά τῆς τῶν κριμάτων εὐσεβοῦς ἀναλήψεως κατορθώσαντας. Φησί γάρ περί τῆς Σοφίας ἡ τῶν Παροιμιῶν βίβλος· Ἐν δέ τῇ ἀριστερᾷ αὐτῆς, πλοῦτος καί δόξα· τούς ἐκ δεξιῶν δέ, τούς καθαράν αἰσθητῆς φαντασίας δεξαμένους τήν ἄϋλον γνῶσιν τῶν νοητῶν· ἐν γάρ τῇ δεξιᾷ αὐτῆς, φησίν, ἔτη ζωῆς· τούς δέ ἔμπροσθεν τούς δι᾽ ὑπερβάλλουσαν περί τό θεῖον κάλλος ἐρωτικήν τῆς κατά νοοῦν ἐφέσεως ζέσιν, ἀξιωθέντας τῆς πρόσωπον πρός πρόσωπον ἀπολαύσεως. Εἰ δέ καί ἄλλος ἐστί περί τούτου μείζων λόγος καί ὑψηλότερος, ὑμῖν καί τοῖς καθ᾽ ὑμᾶς θείοις ἀνδράσιν ἐστί ληπτός.

ΣΧΟΛΙΟΝ.

*α* '. Διττόν εἶναί φησι τόν φόβον, τόν μέν ἁγνόν, τόν δέ οὐχ ἁγνόν· ἐπειδή τῶν ἀνθρώπων, οἱ μέν εἰσίν ἁμαρτωλοί, οἱ δέ δίκαιοι· ὧν οἱ μέν δίκαιοι, διά τό καθαρόν καί ἄῤῥυπον τῆς συνειδήσεως τόν πρῶτον ἐν ἑαυτοῖς φυλάττουσι πρός τό Θεῖον φόβον, αἰδούμενοι τοῦτον διά τήν ὑπερβάλλουσαν ὑπεροχήν τῆς αὐτοῦ ἀπείρου, δυνάμεως· οἱ δέ ἁμαρτωλοί, κατά τόν δεύτερον φόβον, ἀπεκδεχόμενοι παρ᾽ αὐτοῦ τάς ἐπί πλημμελήμασι τιμωρίας. Καί τόν μέν ἁγνόν φόβον διαμένειν ἀεί καί ἀνεξάλειπτον εἶναι, κατά τό, Ὁ φόβος Κυρίου ἁγνός, διαμένων εἰς αἰῶνα αἰῶνος· τόν δέ οὐχ ἁγνόν, ἐξίτηλον εἶναι καί ἀνεπίμονον, διά τῆς μετανοίας ἀφανιζόμενον. Τόν μέν οὖν Ἀπόστολον, μή τέλειον εἶναι φάναι τόν φοβούμενον ἐν τῇ ἀγάπῃ, κατά τόν οὐχ ἁγνόν φόβον· τόν δέ Προφήτην, μή εἶναι, ὑστέρημα τοῖς φοβουμένοις τόν Κύριον, κατά τόν ἁγνόν φόβον.

*ΕΡΩΤΗΣΙΣ ΙΑ΄.*

***Τίς ἡ ἀρχή τῶν μή τηρησάντων αὐτήν ἀγγέλων, καί τί τό οἰκητήριον ὅ ἀπέλιπον; καί τίνες οἱ ἀΐδιοι δεσμοί; καί τίς ὁ ζόφος, ὑφ᾿ ὅν τετήρηνται; καί τί ἐν τῇ κρίσει τῆς μεγάλης ἡμέρας πείσονται;***

Ἀπόκρισις.

Ὁ μέν ἀκριβής περί τούτων λόγος, τοῖς ἀποστολικοῖς τήν διάνοιαν μόνοις ἔστω τετηρημένος, τοῖς ἀμέσως παρά τοῦ Λόγου διδαχθεῖσι, τήν τε τῶν ὄντων γνῶσιν ἀψευδῆ, καί τῆς ἐπί τοῖς οὖσι σαφῶς (σοφῆς) προνοίας τήν ἀγαθήν καί δικαίαν διεξαγωγήν· οἷα μηδέν ἑαυτῶν καί τοῦ Λόγου κατά νοῦν ἀφεῖσι κωλυτικόν διατείχισμα. Ὅσον δ᾿ οὖν εἰς ἐμέ φθάνει τόν κάτω, καί πολλά ἔχοντα τῆς τοῦ Λόγου πρός μέ κωλύματα διαβάσεως, ἀρχή τῶν μή τηρησάντων αὐτήν ἀγγέλων ἐστίν, ὁ λόγος τυχόν, καθ᾿ ὅν ἐκτίσθησαν· ἤ ἡ δοθεῖσα πρός ἐκθέωσιν αὐτοῖς κατά χάριν φυσική δυναστεία· ἤ πάλιν, ἡ κατά τήν ἀξίαν τῆς χάριτος τάξις τῆς στάσεως· τό δέ οἰκητήριον ἐστιν, ἤ ὁ οὐρανός, ἤ ἡ κατά τήν ἕξιν τῶν ὑπέρ ἔννοιαν ἀγαθῶν σοφία, ἥν οἰκεῖν ἐδημιουργήθησαν· οἶδε γάρ καί σοφίαν οἶκον ὀνομάζειν ὁ λόγος· ἤ ἡ φρουρητική τῶν δοθέντων αὐτοῖς φυσικῶν τε καί (293) ἐπικτήτων ἀγαθῶν ἐπισκοπή τῆς ἀχράντου θεότητος, ἥν ἀπέλιπον τυραννήσαντες· ἀΐδιοι δέ δεσμοί εἰσιν, ἡ κατά γνώμην αὐτῶν παντελής τε καί διηνεκής περί τό καλόν ἀκινησία, καθ᾿ ἥν οὐδαμῶς οὐδέ ποτε θείας ἀνέσεως ἀπολαύουσιν· ἤ πάλιν, ἡ διά τήν ἡμῶν σωτηρίαν τῆς καθ᾿ ἡμῶν μανίας αὐτούς ἐπέχουσα προβῆναι τῆς αὐτῶν πονηρίας τά καθ᾿ ἡμῶν μηχανήματα· ζόφος δέ ἐστιν, ἡ παντελής καί ὁλόκληρος τῆς θείας ἄγνοια χάριτος· καθ᾿ ἥν διόλου γνωμικῶς ποιωθέντες, τῆς μακαρίας καί παμφαοῦς τοῦ ἀκηράτου φωτός ἐστέρηνται διαδόσεως· περί τό μή ὄν, πᾶσαν τήν δοθεῖσαν αὐτοῖς κατά φύσιν νοεράν δύναμιν ἀναλώσαντες. Τί δέ πείσονται κατά τήν φοβεράν ἡμέραν τῆς κρίσεως, μόνος οἶδεν ὁ δίκαιος Κριτής, ὁ κατ᾿ ἀξίαν ἑκάστῳ δικαίαν ἀφορίζων τήν ἀμοιβήν, καί τῷ μέτρῳ τῆς κακίας ἴσον πρεπόντως τό εἶδος διανέμων τῆς κρίσεως· καί πρόσφορον τήν ἐπ᾿ αἰῶσιν ἀτελευτήτοις ψῆφον συνεκφέρων μετά δικαιοσύνης, τοῖς αγαθοῖς αὐτοῦ δόγμασιν.

***ΕΡΩΤΗΣΙΣ ΙΒ΄.***

***Τίς ὁ ἀπό τῆς σαρκός ἐσπιλωμένος χιτών.***

Ἀπόκρισις.

Ὁ πολλοῖς πλημμελήμασι τῶν ἐκ τῆς σαρκός παθῶν (παθημάτων) κεκηλιδωμένος βίος, χιτών ἐστιν ἐσπιλωμένος. Ὡς ἔκ τινος γάρ ἐνδύματος τῆς κατά τόν βίον ἀναστροφῆς ἕκαστος τῶν ἀνθρώπων διαφαίνεσθαι πέφυκεν, εἴτε δίκαιος, εἴτε ἄδικος· ὁ μέν, χιτῶνα καθαρόν ἔχων, τόν ἐνάρετον βίον· ὁ δέ, πονηροῖς ἐσπιλωμένην ἔργοις τήν ζωήν κεκτημένος. Ἤ μᾶλλον, ἐσπιλωμένος ἀπό τῆς σαρκός ἐστι χιτών, ἡ κατά συνείδησιν μορφοῦσα διά τῆς μνήμης τῶν ἐκ τῆς σαρκός πονηρῶν κινημάτων τε καί ἐνεργημάτων τήν ψυχήν ἕξις τε καί διάθεσις· ἥν ὁρῶσα διά παντός καθάπερ χιτῶνά τινα περί ἑαυτήν, δυσωδίας πληροῦται παθῶν. Ὡς γάρ ἀπό τοῦ πνεύματος διά τῶν ἀρετῶν ἀλλήλαις κατά λόγον συνυφαινομένων, ἀφθαρσίας γίνεται καλή καί ἐπίδοξος· οὕτω καί ἀπό τῆς σαρκός, τῶν παθῶν ἀλλήλοις κατά τήν ἀναλογίαν συνυφαινομένων, γίνεταί τις χιτών ἀκάθαρτος καί ἐσπιλωμένος, ἐξ ἑαυτοῦ δεικνύς γνώριμον τήν ψυχήν, μορφήν ἄλλην αὐτῇ καί εἰκόνα παρά τήν θείαν ἐνθέμενος.

***ΕΡΩΤΗΣΙΣ ΙΓ΄.***

***Τί ἐστι, "Τά γάρ ἀόρατα αὐτοῦ ἀπό κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται· ἥ τε ἀΐδιος αὐτοῦ δύναμις καί θειότης; "Τίνα τά ἀόρατα τοῦ Θεοῦ, καί τίς ἡ ἀΐδιος αὐτοῦ δύναμις καί θειότης;***

Ἀπόκρισις.

Οἱ τῶν ὄντων λόγοι προκαταρτισθέντες τῶν αἰώνων (296) Θεῷ, καθώς οἶδεν αὐτός, ἀόρατοι ὄντες· οὕς καί ἀγαθά θελήματα καλεῖν τοῖς θείοις ἔθος ἐστίν ἀνδράσιν· ἀπό τῶν ποιημάτων νοούμενοι καθορῶνται. Πάντα γάρ τά ποιήματα τοῦ Θεοῦ κατά φύσιν μετά τῆς δεούσης ἐπιστήμης γνωστικῶς ὑφ᾽ ἡμῶν θεωρούμενα, τούς καθ᾽ οὕς γεγένηνται λόγους κρυφίως ἡμῖν ἀπαγγέλλουσι, καί τόν ἐφ᾽ ἑκάστῳ ποιήματι θεῖον σκοπόν ἑαυτοῖς συνεκφαίνουσι· καθ᾽ ὅ καί Οἱ οὐρανοί διηγοῦνται δόξαν Θεοῦ, καί τό στερέωμα τήν τῶν χειρῶν ἀναγγέλλει ποίησιν. Ἀΐδιος δέ δύναμίς ἐστι καί θειότης, ἡ συνεκτική τῶν ὄντων πρόνοια, καί ἡ κατά ταύτην ἐκθεωτική τῶν προνοουμένων ἐνέργεια.

Ἤ τάχα τά ἀόρατα τοῦ Θεοῦ εἰσιν οὐκ ἄλλο τι παρά τήν ἀΐδιον αὐτοῦ δύναμιν καί θειότητα, ἔχουσαν διαπρυσίως κήρυκας τάς τῶν γεγονότων ὑπερφυεῖς μεγαλοπρεπείας. Ὡς γάρ ἐκ τῶν ὄντων τόν κυρίως ὄντα Θεόν ὅτι ἔστι πιστεύομεν· οὕτως καί ἐκ τῆς τῶν ὄντων οὐσιώδους κατ᾿ εἶδος διαφορᾶς, τήν κατ᾿ οὐσίαν ἔμφυτον αὐτοῦ σοφίαν ὑφεστῶσαν, καί τῶν ὄντων συνεκτικήν διδασκόμεθα. Καί πάλιν, ἐκ τῆς οὐσιώδους κατ᾿ εἶδος τῶν ὄντων κινήσεως, τήν κατ᾿ οὐσίαν ἔμφυτον αὐτοῦ ζωήν ὑφεστῶσαν, καί τῶν ὄντων συμπληρωτικήν μανθάνομεν· ἐκ τῆς κατά τήν κτίσιν σοφῆς θεωρίας, τόν περί τῆς ἁγίας Τριάδος, Πατρός λέγω, καί Υἱοῦ καί ἁγίου Πνεύματος, λόγον λαμβάνοντες· Θεοῦ γάρ ἀΐδιος ἐστιν ὡς ὁμοούσιος δύναμις ὁ Λόγος, καί θειότης ἀΐδιος τό Πνεῦμα ἅγιον. Κατάκριτοι τοιγαροῦν οἱ μή συνδιδαχθέντες ἐκ τῆς τῶν ὄντων θεωρίας, τήν αἰτίαν τῶν ὄντων, καί τά κατά φύσιν τῆς αἰτίας ἴδια, τήν δύναμιν λέγω, καί τήν θειότητα. Βοᾷ τοίνυν ἡ κτίσις διά τῶν ἐν αὐτῇ ποιημάτων, καί οἷον ἀπαγγέλλει τοῖς νοερῶς δυναμένοις ἀκούειν, τήν ἰδίαν αἰτίαν τριαδικῶς ὑμνουμένην· λέγω δέ τόν Θεόν καί Πατέρα, καί τήν ἄφραστον αὐτοῦ δύναμιν καί τήν θειότητα, ἤγουν τόν μονογενῆ Λόγον καί τό Πνεῦμα τό ἅγιον. Ταῦτα γάρ ἐστι τά ἀόρατα τοῦ Θεοῦ τά ἀπό τῆς κτίσεως τοῦ κόσμου νοήσει καθορώμενα.

ΣΧΟΛΙΟΝ.

α'. Ὅτι ἐκ τῶν ὄντων, φησί, τῶν ὄντων γινώσκομεν αἴτιον· καί ἐκ τῆς διαφορᾶς τῶν ὄντων τήν ἐνυπόστατον τοῦ ὄντος διδασκόμεθα σοφίαν· καί ἐκ τῆς τῶν ὄντων φυσικῶς κινήσεως, τήν ἐνυπόστατον τοῦ ὄντος μανθάνομεν ζωήν, τήν τῶν ὄντων ζωοποιόν δύναμιν, τό Πνεῦμα τό ἅγιον.

***ΕΡΩΤΗΣΙΣ ΙΔ'.***

***Τί ἐστι, "Καί ἐσεβάσθησαν καί ἐλάτρευσαν τῇ κτίσει παρά τόν Κτίσαντα;" Τί ἐστι σέβας, καί τί ἐστι λατρεία;***

Ἀπόκρισις.

Σέβας ἐστίν ἡ μετά πίστεως προσκύνησις τοῦ Θείου· λατρεία δέ, ἡ διά τῶν ἔργων θεραπεία. Τοῦτο δέ τό σέβας, ἤγουν τήν πίστιν, ἐπί τήν κτίσιν μεταβιβάσαντες οἱ ἄνθρωποι, παρά τόν Κτίσαντα (297) προσκύνησαν [Fr. προσεκύνουν], πιστεύοντες δαιμονίοις· καί ἐλάτρευον, τήν διά τῶν πονηρῶν ἔργων αὐτοῖς θεραπείαν

προσάγοντες. Ἡμεῖς δέ τόν Θεόν σέβοντες, διά τῆς εἰς αὐτόν Πίστεως, σπουδάσωμεν καί λατρείαν αὐτῷ προσάγειν καθαράν, τήν διά τῶν ἀρετῶν τετελειωμένην πολιτείαν.

***ΕΡΩΤΗΣΙΣ ΙΕ΄.***

***Τί ἐστι, "Τό γάρ ἄφθαρτόν σου Πνεῦμα ἐστιν ἐν πᾶσι· διό τούς* παραπίπτοντας, κατά μικρόν ἐλέγχεις." Εἰ περί τοῦ ἁγίου Πνεύματος λέγει, πῶς εἰς ἀσύνετον καρδίαν σοφία οὐκ εἰσελεύσεται, οὐδέ κατοικήσει ἐν σώματι κατάχρεῳ ἁμαρτίαις; ἐσημειωσάμεθα (Fr. ἐσημειωσάμην) δέ τοῦτο, διά τό ἁπλῶς εἰπεῖν, " Ἐν πᾶσιν."**

Ἀπόκρισις.

Τό Πνεῦμα τό ἅγιον, οὐδενός ἄπεστι τῶν ὄντων· καί μάλιστα τῶν λόγου καθοτιοῦν μετειληφότων· Συνεκτικόν γάρ ὑπάρχει τῆς ἑκάστου γενέσεως, ὅτι Θεός καί Θεοῦ Πνεῦμα κατά δύναμιν προνοητικήν διά πάντων χωροῦν, καί τόν ἐν ἑκάστῳ κατά φύσιν λόγον ἀνακινοῦν, καί δι᾽ αὐτοῦ πρός συναίσθησιν τῶν πλημμελῶς παρά τόν θεσμόν τῆς φύσεως πεπραγμένων ἄγον τό αἰσθανόμενον· τόν τήν προαίρεσιν (Fr. καί τήν προαίρ.) εὔεικτον ἔχοντα πρός ὑποδοχήν τῶν ἐκ φύσεως ὀρθῶν λογισμῶν. Ἀμέλει τοι πολλούς εὑρίσκομεν καί τῶν ἄγαν βαρβάρων καί νομάδων ἀνθρώπων, καλοκἀγαθίας μεταποιουμένους, καί τούς ἀνέκαθεν κρατήσαντας τούς ἐν αὐτοῖς θηριώδεις ἀθετοῦντας νόμους. Οὕτω μέν οὖν ἐν πᾶσιν ἁπλῶς ἐστι τό Πνεῦμα τό ἅγιον.

Προσδιωρισμένως δέ καί κατ᾽ ἄλλην ἐπίνοιάν ἐστιν ἐν πᾶσι τοῖς κατά νόμον ὡς νομοθετικόν, καί προαγορευτικόν μελλόντων μυστηρίων, ἐμποιοῦν αὐτοῖς, αἴσθησιν μέν τῆς τῶν ἐντολῶν παραβάσεως, ἐπιστήμην δέ, τῆς προαγορευθείσης (Reg. et Fr. προσαγορ.) κατά Χριστόν τελειότητος· ὅθεν κἀκ τούτων πολλούς εὑρίσκομεν, τούς μέν παλαιάν καί ἐν σκιαῖς κειμένην καταλιμπάνοντας λατρείαν, πρός δέ τήν νέαν καί μυστικήν προθύμως μεταβαλλομένους.

Ἔστι δέ πρός τοῖς εἰρημένοις τρόποις, καί ἐν πᾶσι τοῖς τό θεῖον καί θεοποιόν ὄντως ὄνομα τοῦ Χριστοῦ κληρωσαμένοις διά τῆς πίστεως, οὐ μόνον ὡς φρουρητικόν, καί προνοητικῶς λόγου τοῦ κατά φύσιν ἀνακινητικόν· καί ὡς δεικτικόν τῆς τῶν ἐντολῶν παραβάσεως καί φυλακῆς, καί τῆς κατά Χριστόν ἐξαγγελτικόν προαγορεύσεως. Ἀλλά καί ὡς δημιουργόν τῆς κατά χάριν διά τῆς πίστεως δοθείσης υἱοθεσίας.

Ὡς γάρ σοφίας ποιητικόν ἐν μόνοις ἐκείνοις γίνεται, τοῖς κατά ψυχήν καί σῶμα καθαρθεῖσι διά τῆς τῶν ἐντολῶν ἀκριβοῦς συνασκήσεως, ὡς οἰκείοις προσομιλοῦν, διά τῆς ἁπλῆς καί ἀΰλου γνώσεως (Fr. Ὅρα τίς ἡ ἁπλῆ καί ἄϋλος γνῶσις), καί τόν νοῦν αὐτῶν ταῖς ἀχράντοις τῶν ἀῤῥήτων νοήσεσι πρός ἐκθέωσιν ἐκτυποῦν.

Ἔστι οὖν ἐν πᾶσι μέν ἁπλῶς, καθ᾽ ὅ πάντων ἐστί συνεκτικόν καί προνοητικόν, καί τῶν φυσικῶν σπερμάτων ἀνακινητικόν· προσδιωρισμένως δέ, καί ἐν (300) πᾶσι τοῖς ἐν νόμῳ, καθότι τῆς τῶν ἐντολῶν ἐστιν ὑποδεικτικόν παραβάσεως, καί τῆς κατά Χριστόν προαγορευθείσης ἐπαγγελίας φωτιστικόν· Ἐν δέ πᾶσι τοῖς κατά Χριστόν, πρός τοῖς εἰρημένοις, ὡς υἱοθετικόν· ὡς δέ σοφίας ποιητικόν, ἐν οὐδενί τῶν εἰρημένων ἐστίν ἁπλῶς, πλήν τῶν συνιέντων, καί ἑαυτούς διά τῆς ἐνθέου πολιτείας ἀξίους ποιησαμένων τῆς αὐτοῦ θεωτικῆς ἐνοικήσεως. Πᾶς γάρ μή ποιῶν τά θεῖα θελήματα, κἄν πιστός ἐστιν, ἀσύνετον ἔχει τήν καρδίαν, ὡς πονηρῶν λογισμῶν ἐργαστήριον, καί τό σῶμα κατάχρεων ἁμαρτίαις, ὡς διαπαντός μολυσμοῖς παθῶν συνεχόμενον.

***ΕΡΩΤΗΣΙΣ Ιστ΄.***

***Τίς ὁ χωνευτός μόσχος, καί διά τί μόσχον ἑνικός λέγει· τό δέ, "Οὗτοι οἱ θεοί σου, Ἰσραήλ" πληθυντικῶς. Καί τί τό, λεπτυνθῆναι καί διασπαρῆναι ὑπό τό ὕδωρ· καί τίνα τά ἐνώτια, καί τά ἑξῆς κόσμια;***

Ἀπόκρισις.

Ὁ κατά τόν Ἰσραήλ ἐξ Αἰγύπτου τῆς ἁμαρτίας ἐξερχόμενος νοῦς, καί συνεξιοῦσαν ἔχων ἑαυτῷ τῆς καθ᾽ ἁμαρτίαν πλάνης, καθάπερ ἐκτυπώματα κακίας ἐν τῇ διανοίᾳ τήν φαντασίαν, ἐπάν μικρόν ἀμελήσας ἀπολειφθῇ τῆς λογικῆς διακρισίας, ὡς πάλαι τοῦ Μωϋσέως ὁ Ἰσραήλ, τήν ἀλόγιστον καθάπερ μόσχον, καί πάντων μητέρα τῶν παθῶν ἕξιν ὑφίστησιν· ὡς μέν ἐνώτια, τούς λόγους οὕς εἴληφε φυσικῶς περί θεολογίας ἐκ τῆς τῶν ὄντων εὐσεβοῦς κατανοήσεως· ὡς δέ περιτραχηλίους κόσμους, τάς ἐκ τῆς φυσικῆς θεωρίας ἐγγινομένας αὐτῷ θεοπρεπεῖς περί τῶν ὄντων δόξας· ὡς δέ ψέλλια χειρῶν, τάς κατά τήν πρακτικήν τῶν ἀρετῶν φυσικάς ἐνεργείας χωνεύων ἐν καμίνῳ, τῇ διαπύρῳ ζέσει τῆς τοῦ θυμοῦ καί τῆς ἐπιθυμίας ἐμπαθοῦς διαθέσεως· καί κατά τήν προαποκειμένην τῇ διανοίᾳ τοῦ κακοῦ φαντασίαν τε καί μορφήν, δι᾽ ἐνεργείας αὐτῆς τήν ἀεί σκεδαστήν, καί συνδιασκεδάζουσαν ἑαυτῇ τόν αὐτήν διαπραττόμενον νοῦν, καί τῆς

περί τήν ἀλήθειαν ἑνικῆς ταυτότητος, αὐτόν διατέμνουσαν· καί περί πολλάς καί ἀπαγεῖς διαχέουσαν τῶν οὐκ ὄντων φαντασίας τε καί δόξας, ἀλόγιστον ἕξιν συνίστησιν, ἥν λεαίνει καί σπείρει ὑπό τό ὕδωρ ἡ τοῦ θείου Λόγου παρουσία, τῇ λεπτότητι τῆς θεωρίας τό πρός αἴσθησιν κατ᾽ ἐπιφάνειαν ἐν τοῖς πάθεσι πάχος τῇ διανοίᾳ λεαίνουσα, καί τήν εἰς ἀλλήλας τῶν φυσικῶν δυνάμεων γενομένην κατά τό πάθος μεταβολήν τε καί σύγχυσιν, εὐκρινῶς διαστέλλουσα, καί πρός τήν οἰκείαν πάλιν ἀρχήν τῆς γνώσεως ἐπανάγουσα. Τοῦτο γάρ τό ὑπό τό ὕδωρ σπεῖραί μοι νοεῖται (al. νενόηται)· πᾶσαν μέν οὖν τήν τῶν ἱστορουμένων κατά τόν τόπον (Fr. τύπον) ἐν τούτοις συντέμων, παρέθετο τήν θεωρίαν ὁ λόγος. Ἵνα δέ σαφέστερον γένηται τό χωρίον, ὁριστικῶς ἕκαστον, εἰ δοκεῖ, θεωρήσωμεν.

Μόσχος οὖν ἐστι χωνευτός, ἡ τῶν κατά φύσιν δυνάμεων εἰς ἀλλήλας φύρσις καί σύγχυσις· ἤ μᾶλλον (301) σύνοδος ἐμπαθής καί ἀλόγιστος, καί τῆς ἀλογίστου τῶν παρά φύσιν παθῶν ἐνεργείας ἀποτελεστική. Εἷς δέ μόσχος, ὅτι μία κακίας ἕξις, εἰς πολλά κακίας εἴδη διασκεδαζομένη· μόσχος δέ, διά τό καρτερικόν καί φιλόπονον, καί γεωργικόν, καί οἷον ἀναδοτικόν καί ἐπινοητικόν, ὡς ἐν μηρυκισμῷ τῆς περί τά πάθη κακῆς διαθέσεως· χωνευτός δέ, ὅτι κατ᾽ εἶδος τῆς προαποκειμένης τῇ διανοίᾳ κακῆς φαντασίας, ἡ τῶν παθῶν ἕξις ἀποτελεῖται καί ἐνέργεια. Τό δέ· Οὗτοι οἱ θεοί σου, πληθυντικῶς εἰρημένον, ἐπειδή σκεδαστόν φύσει τό κακόν ὑπάρχει καί ἄστατον, καί πολύμορφον καί διαιρετικόν. Εἰ γάρ φύσει τό καλόν ἐστιν ἑνοποιητικόν τῶν διῃρημένων καί συνεκτικόν, τό κακόν δηλονότι τῶν ἡνωμένων ἐστί διαιρετικόν τε καί φθαρτικόν. Ἐνώτια δέ, οἱ περί θεολογίας φυσικῶς τῷ νῷ ἐνυπάρχοντες ἐκ τῆς τῶν ὄντων εὐσεβοῦς κατανοήσεως τυγχάνουσι λόγοι. Οἱ δέ περί τόν τράχηλον κόσμοι εἰσί, τά κατά τήν φυσικήν θεωρίαν ὀρθά περί τῶν ὄντων δόγματα· τά ψέλλια, ἡ κατά τήν πρᾶξίν ἐστιν ἐνέργεια τῶν ἀρετῶν.

Ἤ πάλιν ἐνώτιά ἐστιν ὁ ἔμφυτος λόγος. Λόγου γάρ τό οὖς σύμβολον. Περιτραχήλιος δέ κόσμος ἐστί τό θυμικόν· ἀναστήματος γάρ καί τυραννίδος τύπος ὁ τράχηλος. Ψέλλια δέ χειρῶν, ἡ ἐπιθυμία, διά τῆς καθ᾽ ἡδονάς μηνυομένη πράξεως. Ἅπερ πάντα κατά τήν περί ἑκάστου δοθεῖσαν ἔννοιαν ἅπτων ὁ νοῦς εἰς τό πῦρ τῶν παθῶν, ἀποτελεῖ τήν ἄλογον καί ἀνόητον τῆς ἀγνοίας ἕξιν, τήν πάντων μητέρα τῶν κακῶν. Λεπτύνει δέ αὐτήν, ὁπηνίκα τό τοῦ πάθους κατά τήν ἐπιφάνειαν πρός αἴσθησιν πάχος τῇ διανοίᾳ διασκοπήσας ὁ νοῦς,

τῶν ποιούντων τοῦ πάθους τήν σύνθεσιν, πρός τήν οἰκείαν ἀρχήν ἕκαστον διελών ἀναγάγῃ, καί οὕτως σπείρῃ ὑπό τό ὕδωρ· λέγω δέ τήν γνῶσιν τῆς ἀληθείας, ἄγων τά διευκρινηθέντα, καί τῆς πρός ἄλληλα κακῆς ἀπαλλαγέντα συμπλοκῆς καί συνθέσεως.

Οἷον τι λέγω, πᾶν πάθος κατά συμπλοκήν πάντως αἰσθητοῦ τινος, καί αἰσθήσεως καί φυσικῆς δυνάμεως· θυμοῦ λέγω τυχόν, ἤ ἐπιθυμίας, ἤ λόγου παρατραπέντος τοῦ κατά φύσιν, συνίσταται. Ἐάν οὖν τό πρός ἄλληλα κατά σύνθεσιν τέλος, τοῦ τε αἰσθητοῦ καί τῆς αἰσθήσεως, καί τῆς ἐπ᾽ αὐτῇ φυσικῆς δυνάμεως θεωρήσας ὁ νοῦς, δυνηθῇ πρός τόν οἰκεῖον φύσει λόγον τούτων ἕκαστον διακρίνας ἐπαναγαγεῖν, καί θεωρῆσαι καθ᾽ ἑαυτόν τό αἰσθητόν, ἄνευ τῆς πρός αὐτό τῆς αἰσθήσεως σχέσεως, καί τήν αἴσθησιν δίχα τῆς τοῦ αἰσθητοῦ πρός αὐτήν οἰκειότητος, καί τήν ἐπιθυμίαν, φέρε εἰπεῖν, ἤ ἄλλην τινά τῶν κατά φύσιν δυνάμεων, χωρίς τῆς ἐμπαθοῦς ἐπ᾽ αἰσθήσει τε καί αἰσθητῷ διαθέσεως, ὡς ἡ τοῦ πάθους ποιά παρασκευάζει τήν θεωρίαν γίνεσθαι κίνησις, ἐλέπτυνε λεάνας τοῦ μόσχου, τουτέστι τοῦ οἱουδήποτε πάθους συμβαίνοντος τήν σύστασιν, καί ὑπό τό ὕδωρ τῆς γνώσεως ἔσπειρεν· ἀφανίσας παντελῶς καί αὐτήν τῶν παθῶν τήν ψιλήν φαντασίαν, διά τῆς πρός ἑαυτά τῶν ἀποτελούντων αὐτά κατά φύσιν πραγμάτων ἀποκαταστάσεως. Γένοιτο δέ καί ἡμᾶς τόν χωνευτόν μόσχον λεπτύναντας τῆς (304) ψυχῆς ἀφανίσαι, μόνην ἐχούσης ἀκίβδηλον τήν θείαν εἰκόνα, μηδενί καθάπαξ τῶν ἐκτός μολυνομένην. Τό δέ φερόμενον, Καί ἐπότισεν αὐτό Μωϋσῆς τούς υἱούς Ἰσραήλ, τόν τρόπον σημαίνει τῆς τῶν παθῶν καθαιρετικῆς διδασκαλίας, τοῖς μανθάνουσι παρά τῶν διδασκόντων διδόμενον.

**_ΕΡΩΤΗΣΙΣ ΙΖ᾽._**

***Εἰ ὁ Θεός τόν Μωϋσῆν ἀπέστειλεν εἰς Αἴγυπτον, τίνι τῷ λόγῳ τόν ὑπό τοῦ Θεοῦ ἀπεσταλμένον ὁ τοῦ Θεοῦ ἄγγελος ἀποκτεῖναι ἐζήτει, καί ἄν ἀπέκτεινεν, εἰ μή σπεύσασα ἡ γυνή τό παιδίον περιέτεμεν, καί δι᾽ ἑαυτῆς τήν τοῦ ἀγγέλου ὁρμήν ἔστησε; Καί εἰ ἀναγκαία ἦν ἡ περιτομή τοῦ παιδίου, διά τί πρό τοῦ αὐτόν τόν Θεόν ἀποστεῖλαι, μετά ἡμερότητος οὐκ ἐνετείλατο αὐτῷ περιτεμεῖν τό παιδίον; Διά τί δέ καί ὅτι πταῖσμα ἦν, ὁ ἀγαθός ἄγγελος τόν ὑπό τοῦ Θεοῦ εἰς τοιαύτην διακονίαν ἀποστελλόμενον, ἡμέρως οὐκ ἐνουθέτησεν;***

Ἀπόκρισις.

Ὁ τῶν γραφικῶν αἰνιγμάτων φόβῳ Θεοῦ τόν νοῦν διερευνώμενος, καί μόνης τῆς θείας ἕνεκεν δόξης, οἷον ὡς προκάλυμμα, περιαιρῶν τό γράμμα τοῦ πνεύματος, Εὑρήσει πάντα, κατά τόν τῆς Σοφίας λόγον, ἐνώπια, μηδενός εὑρισκομένου κωλύμματος πρός τήν ἄμεμπτον ἐπί τά θεῖα τῆς διανοίας κίνησιν. Τήν μέν οὖν ἱστορίαν ἤδη πληρωθεῖσαν σωματικῶς ἐν τοῖς κατά Μωσέα καιροῖς, παρήσομεν· τήν δέ τῆς ἱστορίας ἐν πνεύματι δύναμιν, νοεροῖς κατανοήσομεν ὄμμασιν, ἀεί γινομένην, καί τῷ γίνεσθαι, πλέον ἀκμάζουσαν.

Ἔρημος τοίνυν ἀφ᾽ ἧς πέμπεται Μωσῆς εἰς Αἴγυπτον ἐξαγαγεῖν τούς υἱούς Ἰσραήλ, ἐστίν ἡ ἡ ἀνθρωπεία φύσις, ἤ ὁ κόσμος οὗτος, ἤ ἡ παθῶν ἐστερημένη ἕξις· καθ᾽ ἥν καί ἐν ᾧ τήν διά τῆς θεωρίας τῶν ὄντων παιδευθείς γνῶσιν ὁ νοῦς, ἐπιτροπήν δέχεται παρά Θεοῦ κρυφίαν τε καί μυστικήν, κατά τό ἀφανές τῆς καρδίας, ἐξαγαγεῖν τῆς Αἰγύπτου, λέγω δή τῆς σαρκός καί τῆς αἰσθήσεως, καθάπερ Ἰσραηλίτας, τά θεῖα τῶν ὄντων νοήματα· περί τόν πηλόν, τά πάθη λέγω τῆς σαρκός, ἀνοήτως πονούμενα. Ταύτην δέ τήν θείαν ὁ νοῦς πιστευόμενος διακονίαν μετά τῆς συνημμένης αὐτῷ συμβίου δίκην κατά τήν γνῶσιν σοφίας, καί τοῦ ἐξ αὐτῆς γεννηθέντος εὐγενοῦς τρόπου τε καί λογισμοῦ, τῆς κατά τόν βίον σεμνῆς πολιτείας, τήν ὁδόν πάντως ὁδεύει τῶν ἀρετῶν, τήν μηδαμῶς ἐπιδεχομένην τῶν ἐν αὐτῇ βαδιζόντων στάσιν· ἀλλ᾽ ἀεικίνητον καί ὀξύν ἐχόντων κατά σκοπόν τῆς ψυχῆς, πρός τό βραβεῖον τῆς ἄνω κλήσεως τόν δρόμον. Ἐπειδή τῆς ἀρετῆς ἡ στάσις, κακίας ἐστίν ἀρχή, τοῦ νοῦ περί τι τῶν ἑκατέρωθεν τῇ ὁδῷ παρακειμένων ὑλικῶν ἐμπαθῶς ἀσχοληθέντος· καί τόν καθαρόν, καί διόλου περιτετμημένον τρόπον τε καί λογισμόν τῆς εὐσεβοῦς ἀγωγῆς, ἀκρόβυστον ποιουμένου καί βέβηλον. Διό τόν ἐλέγχοντα λόγον εὐθύς ὡς ἄγγελον κατά συνείδησιν θάνατον ἀπειλοῦντα θεωρεῖ, καί τῆς ἀπειλῆς αἰτίαν εἶναι τήν κατ᾽ ἀρετήν στάσιν (305) διαμαρτυρόμενον, τήν τῆς ἀκροβυστίας· τοῦ λογισμοῦ περιποιητικήν· ὅν ἡ σύνοικος τῷ νῷ δυσωπεῖ σοφία, ψήφῳ τῷ λόγῳ τῆς πίστεως, ὡς ἡ Σεπφόρα τήν ἐγγενομένην ὑλικήν τῷ λογισμῷ παιδί φαντασίαν περιτέμνουσα, καί πᾶσαν αἰσθητῆς ζωῆς ἔννοιαν ἀποξηραίνουσα. Φησί γάρ· " Ἔστη τό αἷμα τῆς περιτομῆς τοῦ παιδίου·" τουτέστιν, ἔληξεν ἡ ἐμπαθής ζωή καί φαντασία καί κίνησις, καθαρθέντος διά τῆς σοφίας κατά τήν πίστιν τοῦ μολυνθέντος λογισμοῦ μεθ᾽ ἥν κάθαρσιν, παύεται καθάπερ τις ἄγγελος ὁ διά τῆς συνειδήσεως πλήττων τόν ἁμαρτάνοντα νοῦν, καί ἐνδιαβάλλων αὐτοῦ

πᾶν νόημα παρά τό προσῆκον κινούμενον λόγος. Πολλῶν γάρ ἐπ᾽ ἀληθείᾳ πεπλήρωται τῶν ἀρετῶν ἡ ὁδός ἁγίων ἀγγέλων, τῶν ἑκάστης ἀρετῆς κατ᾽ εἶδος ἐνεργητικῶν, φημί, λόγων τε καί τρόπων, καί τῶν ἀοράτων πρός τά καλά συνεργούντων ἡμῖν ἀγγέλων· καί τούς τοιούτους ἡμῖν ἀνακινούντων λογισμούς [λόγους ambo Seguierani] .

Καλῶς οὖν ἔχει καί μεγαλοφυῶς τῆς ἁγίας Γραφῆς ὁ λόγος, παριστῶν ἀεί τά νοούμενα πρό τῶν ἱστορουμένων, ἐν τοῖς ὑγιῆ κεκτημένοις τῆς ψυχῆς τά ὄμματα καί μηδεμίαν ἔχων διαβολήν ἤ τοῦ Θεοῦ ἤ τῶν ἁγίων αὐτοῦ ἀγγέλων. Οὐ γάρ εἶχε Μωϋσῆς ἀποστελλόμενος παρά τοῦ Θεοῦ, κατά τόν νοούμενον τῆς Γραφῆς, ἀκρόβυστον υἱόν, ἤτοι λογισμόν. Ἐπεί ἄρα προστάξας αὐτῷ πρότερον περιτεμεῖν, ἀπέστελλεν· οὔτε μήν ὁ θεῖος ἄγγελον ἀπηνής ἦν, μηνύων τῷ Μωϋσῇ τόν ἐκ τῆς ἐσφαλμένης αὐτῷ κατά τήν τῶν ἀρετῶν ὁδόν στάσεως συμβάντα θάνατον, ὅν ἡ περί τόν δρόμον τυχόν ἀτονία τῶν ἀρετῶν ὑπέστησεν ἐπισκήπτοντες γάρ καί ὑμεῖς ἀκριβέστερον τῇ ἱστορίᾳ, σαφῶς εὑρήσετε ὡς οὐ κατά τήν ἀρχήν, οὔτε κατά τό μέσον, οὔτε κατά τό τῆς ὁδοῦ τέλος, ἀλλ᾽ ἐν τῷ καταλύματι ὑπαντήσας ὁ ἄγγελος, τόν ὑπέρ τοῦ συμβάντος λεληθότως κατά διάνοιαν πάθους ἠπείλησε θάνατον· ὡς, εἴγε μή ἔστη τοῦ δρόμου καί κατέλυσε τῆς ὁδοιπορίας, οὐκ ἄν διεβλήθη, δεξάμενος διά τοῦ ἀγγέλου τήν ἀγανάκτησιν ἐπί τῇ τοῦ παιδός ἀκροβυστίᾳ. Παρακαλέσωμεν δέ τόν Θεόν, εἴπερ ἐσμέν ἐν τῇ ὁδῷ τῶν ἐντολῶν, κατά πᾶσαν ἡμῶν παράβασιν τοῦ ἐξ αὐτῆς θανάτου μή παύσασθαι καθάπερ ἄγγελόν τινα τόν μηνυτήν κατά συνείδησιν ἀποστέλλοντα λόγον [Fr.Μή παύσασθαι ἀποστέλλοντα μηνυτήν τοῦ ἐκ τῆς παραβάσεως θανάτου ἄγγελον λόγον], ὅπως λαβόντες αἴσθησιν, μάθωμεν διά τῆς ἐμφύτου φρονήσεως περιτέμνειν καθάπερ ἀκροβυσίαν τήν κατά τόν δρόμον τοῦ βίου λεληθότως συμβαίνουσαν ἡμῖν τῶν παθῶν ἀκαθαρσίαν.

### *ΕΡΩΤΗΣΙΣ ΙΗ΄.*

***Εἰ οἱ ποιηταί τοῦ νόμου δικαιωθήσονται, κατά τόν Ἀπόστολον, πῶς πάλιν λέγει· " Ὅσοι ἐν νόμῳ δικαιοῦσθε, τῆς χάριτος ἐξεπέσατε;"***

Ἀπόκρισις.

Οὐχ ἁπλῶς οἱ ποιηταί τοῦ νόμου δικαιωθήσονται, ἀλλ᾽ οἱ τοῦ πνευματικοῦ νόμου, καί νοουμένου πνευματικῶς, καί κατά τόν ἔσω ἄνθρωπον ἐν πνεύματι ποιοῦντες τόν κατά πνεῦμα νόμον,

δικαιωθήσονται μή ἐκπίπτοντες τῆς χάριτος, διά τήν εἰς τό βάθος (308)τῆς ψυχῆς κατά τήν κάθαρσιν τοῦ Λόγου διάβασιν· οἱ δέ κατά τό φαινόμενον τοῦ νόμου σωματικῶς λατρεύοντες, τῆς θείας πάντως ἐκπίπτουσι χάριτος, ἀγνοοῦντες τήν τόν νοῦν πάσης καθαίρουσαν κηλῖδος ἐν χάριτι τοῦ πνευματικοῦ νόμου τελείωσιν, καί τό τέλος, Χριστόν.

*ΕΡΩΤΗΣΙΣ ΙΘ΄.*

***Τί ἐστιν· " Ὅσοι ἀνόμως ἥμαρτον, ἀνόμως καί ἀπολοῦνται· καί ὅσοι ἐν νόμῳ ἥμαρτον, διά νόμου κριθήσονται;" Καί πῶς ὁ αὐτός λέγει πάλιν· " Ὅτε κρινεῖ ὁ Θεός τά κρυπτά τῶν ἀνθρώπων κατά τό Εὐαγγέλιόν μου, διά Ἰησοῦ Χριστοῦ; " Εἰ διά νόμου κριθήσονται, πῶς διά Ἰησοῦ Χριστοῦ;***

Ἀπόκρισις.

Ὁ τοῦ Θεοῦ Λόγος Ἰησοῦς Χριστός, ὡς μέν πάντων δημιουργός, καί νόμου τοῦ κατά φύσιν ἐστί ποιητής. Ὡς δέ προνοητής καί νομοθέτης, καί τοῦ ἐν τῷ γράμματι σαφῶς, καί τοῦ ἐν πνεύματι, τουτέστιν ἐν χάριτι, νόμου ἐστί δοτήρ· Τέλος γάρ νόμου Χριστός, δηλονότι τοῦ γραπτοῦ νοουμένου πνευματικῶς. Εἰ τοίνυν εἰς Χριστόν ὡς δημιουργόν, προνοητήν τε καί νομοθέτην, καί ἱλασμόν, ὅ τε κατά φύσιν, καί ὁ γραπτός, καί ὁ τῆς χάριτος συνάγεται νόμος, ἀληθεύει φάσκων ὁ θεῖος Ἀπόστολος, ὅτι ὁ Θεός τά κρυπτά τῶν ἀνθρώπων μέλλει κρίνειν κατά τό Εὐαγγέλιον αὐτοῦ, τουτέστι, καθ᾿ ὅ εὐαγγελίζεται· διά Ἰησοῦ Χριστοῦ τοῦ μονογενοῦς κατ᾿ οὐσίαν οἰκείου Λόγου, χωρῶν διά πάντων· καί τούς μέν ἐλέγχων, τούς δέ προσφόρως ἀποδεχόμενος· καί τοῖς κατά φύσιν καί νόμον καί χάριν, διά τοῦ συνόντος αὐτῷ κατ᾿ οὐσίαν μονογενοῦς ἀφράστου Λόγου, τά κατ᾿ ἀξίαν ἀπονέμων· πάσης γάρ φύσεως καί παντός νόμου, καί θεσμοῦ, καί τάξεως, ὁ τοῦ Θεοῦ Λόγος ἐστί ποιητής, καί τῶν ἐν φύσει καί νόμῳ καί θεσμῷ καί τάξει κριτής· τοῦ γάρ διαγορεύοντος λόγου χωρίς, νόμος οὐκ ἔστιν. Εἴτε οὖν ἐν νόμῳ τις κρίνεται, ὡς ἐν Χριστῷ κριθήσεται· εἴτε χωρίς νόμου, πάλιν ἐν αὐτῷ πάντως κριθήσεται· πάντων γάρ τῶν ὄντων, καί νοουμένων καί λεγομένων, ἐστί καί ἀρχή, καί μεσότης, καί τέλος, ὡς δημιουργός ὁ Λόγος.

ΕΡΩΤΗΣΙΣ Κ΄.

***Τίς ἡ ἐν τῷ Εὐαγγελίῳ παραλόγως, ὅσον πρός τό φαινόμενον, ξηρανθεῖσα συκῆ; Τίς ἡ ἀκρασία τῆς πείνης, παρά καιρόν ἐπιζητούσης καρπόν; Καί τίς ἡ τοῦ ἀναισθήτου κατάρα;***

Ἀπόκρισις.

Ὁ πάντα σωτηρίας ἕνεκεν τῶν ἀνθρώπων μετά σοφίας οἰκονομῶν Θεός Λόγος, πρότερον διά νόμου σωματικωτέραν ἔχοντος λατρείαν παιδαγωγήσας τήν φύσιν· οὐ γάρ ἠδύνατο γυμνήν τυπικῶν προκαλυμμάτων δέξασθαι τήν ἀλήθειαν, διά τήν ἐγγενομένην αὐτῇ πρός τήν ἀρχετυπίαν τῶν θείων πράγματων ἄγνοιάν τε καί ἀλλοτρίωσιν ὕστερον ἐμφανῶς δι᾽ ἑαυτοῦ γενόμενος ἄνθρωπος, κατά πρόσληψιν σαρκός (309) νοεράν τε καί λογικήν ἐχούσης ψυχήν παραγενόμενος, πρός τήν ἄϋλον γνωστικήν ἐν πνεύματι λατρείαν, ὡς Λόγος τήν φύσιν μεταγαγών, οὐκ ἠβούλετο τῆς ἀληθείας τῷ βίῳ διαφανείσης, τήν σκιάν ἔχειν τήν δυναστείαν, ἧς τύπος ὑπῆρχεν ἡ συκῆ. Διά τοῦτο φησιν· Ἐπανιών ἐκ Βηθανίας εἰς Ἱεροσόλυμα, τουτέστι, μετά τήν τυπικήν καί σκιώδη κατά τόν νόμον λανθάνουσαν αὐτοῦ παρουσίαν, αὖθις τῇ φύσει τῶν ἀνθρώπων διά σαρκός ἐπιδημῶν. Οὕτω γάρ ληπτέον τό· Ἐπανιών, εἶδε συκῆν ἐν τῇ ὁδῷ φύλλα μόνα ἔχουσαν, τήν ἐν σκιαῖς ὑπάρχουσαν καί τύποις, σωματικήν δηλαδή τοῦ νόμου λατρείαν, κατά τήν ἄστατον καί τήν παροδικήν, ὡς ἐν ὁδῷ κειμένην, παράδοσιν, καί μόνων οὖσαν τῶν παρερχομενων τύπων τε καί θεσμῶν· ἥν θεασάμενος ὁ Λόγος, κομψῶς τε καί ἀμφιλαφῶς, καθάπερ συκῆν τοῖς ἐκτός ὥσπερ φύλλοις, περιειλήμασι τῶν σωματικῶν τοῦ νόμου προτερημάτων κεκοσμημένην· καί μή εὑρηκώς καρπόν, δηλονότι δικαιοσύνης, ὡς Λόγον μή τρέφουσαν, κατηράσατο· μᾶλλον δέ προσέταξε, μηκέτι τοῖς κατά νόμον τύποις καταδυναστευομένην καλύπτεσθαι τήν ἀλήθειαν. Ὅ δή προβάν, ἐδείχθη διά τῶν ἔργων, καταξηρανθείσης παντελῶς τῆς ἐν μόνοις σχήμασιν ἐχούσης τό εἶναι νομικῆς ὡραιότητος, καί τοῦ ἐπ᾽ αὐτῇ τύφου τῶν Ἰουδαίων ἀποσβεσθέντος. Οὐ γάρ ἦν εὔλογον, οὔτε μήν εὔκαιρον, τῆς ἀληθείας τῶν τῆς δικαιοσύνης καρπῶν ἐμφανῶς δειχθείσης, ἀπατωμένην παραπείθεσθαι φύλλοις τήν ὄρεξιν, τῶν τήν παροῦσαν ζωήν ὡς ὁδόν παρατρεχόντων, ἀφέντων τοῦ Λόγου τήν ἐδώδιμον εὐκαρπίαν. Διό φησιν· Οὐκ ἦν ὁ καιρός σύκων· ὁ χρόνος δηλαδή καθ᾽ ὅν ἐκράτει τῆς ἀνθρωπίνης φύσεως ὁ νόμος, οὐκ ἦν

δικαιοσύνης καρπῶν, ἀλλ᾽ εἰκονιστικός τῶν ἐν δικαιοσύνῃ καρπῶν· καί οἷον τῆς μελλούσης πάντων σωστικῆς θείας καί ἀποῤῥήτου χάριτος μηνυτικός· εἰς ἥν μή φθάσας ὁ παλαιός διά τῆς ἀπιστίας ἀπώλετο λαός. Ἰσραήλ γάρ, φησίν ὁ θεῖος Ἀπόστολος, διώκων νόμον δικαιοσύνης, τόν ἐν σκιᾷ δηλονότι καί τύποις, εἰς νόμον διακαιοσύνης οὐκ ἔφθασε, τόν ἐν πνεύματι κατά Χριστόν δηλαδή τελειούμενον.

Ἤ πάλιν, ἐπειδή τῶν ἱερέων καί γραμματέων, καί νομικῶν καί Φαρισαίων ἡ πληθύς τήν κενήν νοσήσασα δόξαν, διά τῆς τῶν εὐσεβῶς δῆθεν πεπλασμένων ἠθῶν ἐπιδείξεως, τῷ δοκεῖν μετιέναι δικαιοσύνην, τόν ἐκ τῆς οἰήσεως διέτρεφε τῦφον· συκῆν ἄκαρπον, μόνοις κομῶσαν τοῖς φύλλοις εἶναί φησι τῶν εἰρημένων τήν οἴησιν ὁ λόγος· ἥν ὁ τῆς σωτηρίας ὀρεγόμενος πάντων ἀνθρώπων, καί πεινῶν αὐτῶν τήν ἐκθέωσιν, ὡς ἄκαρπον καταρώμενος ἀποξηραίνει· ὅπως τοῦ δοκεῖν εἶναι δίκαιοι, τό εἶναι μᾶλλον προκρίναντες, τόν μέν καθ᾽ ὑπόκρισιν τῆς ἠθικῆς ἐπιδείξεως ἐκδυσάμενοι χιτῶνα, τόν ἐνάρετον δέ καθώς ὁ θεῖος βούλεται λόγος, ἀνοθεύτως μετελθόντες, εὐσεβῶς τήν ζωήν διενέγκωσι· Θεῷ μᾶλλον τῆς ψυχῆς τήν διάθεσιν, ἤ τοῖς ἀνθρώποις τόν ἐκτός ἐπιδεικνύμενοι περί τά ἤθη σχηματισμόν.

(312) Εἰ δέ καί τῶν Χριστιανῶν ἐσμέν τοιοῦτοί τινες, τήν εὐλάβειαν διά τῶν τρόπων σχηματιζόμενοι δίχα τῆς ἐπ᾽ ἔργοις δικαιοσύνης, ἐκδεξώμεθα τόν λόγον ὡς φιλάνθρωπον, ἡμῶν πεινῶντα τήν σωτηρίαν, ἀποξηραίνοντα τῆς ψυχῆς τό τῆς κακίας σπέρμα τήν οἴησιν, μηκέτι φθορᾶς καρπόν φέρουσαν τήν ἀνθρωπαρέσκειαν [Fr.ἀνθρωπαρεσκίαν]. Ἔχετε κατά τήν ἐμήν πενιχράν δύναμιν, τοῦ λόγου τήν δύναμιν· κατά τήν ἐκδοθεῖσαν ἀφήγησιν καλῶς πεινῶντα τόν Κύριον, χρησίμως τε τήν συκῆν καταρώμενον, καί εὐκαίρως ξηραίνοντα δείξασαν, ὡς ἐμποδιστικήν τῆς ἀληθείας, εἴτε κατά τήν παλαιάν κατά τόν νόμον τῶν σωματικῶν τύπων παράδοσιν, εἴτε τῶν Φαρισαίων καί ἡμῶν ἐπί τοῖς ἤθεσιν οἴησιν.

### *ΕΡΩΤΗΣΙΣ ΚΑ᾽.*

***Τί ἐστιν, "Ἀπεκδυσάμενος τάς ἀρχάς καί τάς ἐξουσίας," καί τά ἑξῆς; Πῶς δέ καί ἦν αὐτάς ὅλως ἐνδυσάμενος, ἁμαρτίας χωρίς γεγενημένος;***

Ἀπόκρισις.

Ὁ κατά πάντα τρόπον ὅμοιος ἡμῖν, δίχα μόνης ἁμαρτίας, ἀτρέπτως ὑποδύς τήν ἡμετέραν φύσιν θεαρχικός Λόγος, τέλειος γενόμενος

ἄνθρωπος, τόν πρῶτον Ἀδάμ εἶχε, τοῖς κατά γένεσίν τε καί γέννησιν τρόποις φαινόμενον· οἷον ὁ ἄνθρωπος, ἐκ Θεοῦ τό εἶναι λαβών, καί γενόμενος κατ᾽ αὐτήν τοῦ εἶναι τήν γέννησιν, φθορᾶς ἦν καί ἁμαρτίας ἐλεύθερος. Οὐ γάρ συνεκτίσθη αὐτῷ φθορά καί ἁμαρτία. Ὅτε δέ τήν ἐντολήν παραβάς ἥμαρτε, γέννησιν καταδικάζεται, διά πάθους καί ἁμαρτίας συνιστάμενην, ἐν τῷ δι᾽ αὐτήν παθητῷ, τῆς ἁμαρτίας ἐχούσης ὡς ἐν νόμῳ λοιπόν κατά τήν φύσιν τήν γένεσιν· καθ᾽ ὅν οὐδείς ἐστιν ἀναμάρτητος, ὑποκείμενος (313) φύσει τῷ νόμῳ τῆς μετά τήν γένεσιν διά τήν ἁμαρτίαν ἐπεισαχθείσης γεννήσεως.

Ἐπειδή τοίνυν διά τήν παράβασιν ἡ ἁμαρτία, διά δέ τήν ἁμαρτίαν τό παθητόν κατά τήν γέννησιν τῇ φύσει τῶν ἀνθρώπων ἐπεισῆλθε, καί συνήκμαζεν ἀεί τῷ παθητῷ τῆς γεννήσεως διά τῆς ἁμαρτίας ἡ πρώτη παράβασις, οὐκ ἦν ἐλπίς ἐλευθερίας, δεσμῷ πονηρῷ δεθείσης ἀλύτως κατά γνώμην τῆς φύσεως. Ὅσον γάρ πρός τήν οἰκείαν ἔσπευδε διά τῆς γεννήσεως σύστασιν ἡ φύσις, τοσούτῳ πλέον ἑαυτήν τῷ νόμῳ τῆς ἁμαρτίας ἐπέσφιγγεν, ἐνεργουμένην ἔχουσα κατά τό παθητόν τήν παράβασιν. Ἐν αὐτῷ γάρ τῷ παθητῷ διά τήν φυσικήν περίστασιν ἔχουσα τῆς ἁμαρτίας τήν αὔξησιν, πασῶν εἶχε τῶν οὐρανίων Δυνάμεων, Ἀρχῶν τε καί Ἐξουσιῶν, κατά τήν ἐν τῷ παθητῷ γενικήν ἁμαρτίαν, διά τῶν παρά φύσιν παθῶν, ἐγκεκρυμμένας τοῖς κατά φύσιν πάθεσι τάς ἐνεργείας. Δι᾽ ὧν πᾶσα πονηρά δύναμις ἐνήργει, κατά τό παθητόν τῆς φύσεως, εἰς τήν [Fr.καί τήν] φθοράν τῶν παρά φύσιν παθῶν, τήν γνώμην διά τῶν κατά φύσιν ἐλαύνουσα.

Γενόμενος γάρ οὖν ὑπέρ φιλανθρωπίας ὁ τοῦ Θεοῦ μονογενής Υἱός καί Λόγος, τέλειος ἄνθρωπος, διά τό ταύτης τῆς πονηρᾶς ἐξελέσθαι τήν τῶν ἀνθρώπων φύσιν ἀμηχανίας, ἐκ μέν τῆς κατά τήν γένεσιν τοῦ Ἀδάμ πρώτης συστάσεως, λαβών εἶχε δίχα τῆς ἀφθαρσίας τό ἀναμάρτητον· ἐκ δέ τῆς ὕστερον διά τήν ἁμαρτίαν ἐπεισαχθείσης τῇ φύσει γεννήσεως, μόνον εἴληφε δίχα τῆς ἁμαρτίας τό παθητόν. Ἐπεί τοίνυν ἐν τῷ παθητῷ τῷ κατά τόν Ἀδάμ, ὡς ἔφην, διά τήν ἁμαρτίαν, αἱ πονηραί Δυνάμεις ἔσχον τάς ἐνεργείας ἀφανῶς ἐγκεκρυμμένας τῷ περιστατικῷ νόμῳ τῆς φύσεως· εἰκότως ἐν τῷ Σωτῆρι Θεῷ τοῦ Ἀδάμ θεωροῦσαι κατά φύσιν διά τήν σάρκα τό παθητόν, καί δοκοῦσαι πρός ἀνάγκης περιστατικῶς ὡς ψιλόν ἄνθρωπον, καί τόν Κύριον κεκτῆσθαι τόν νόμον τῆς φύσεως, ἀλλ᾽ οὐχί κατά θέλησιν γνώμῃ κινούμενον, προσέβαλον, ἐλπίζουσαι κἀκεῖνον διά τοῦ κατά φύσιν πάθους τό παρά φύσιν πείθειν

φαντάζεσθαι πάθος, καί τι δρᾷν αὐταῖς ἐοικός. Ὅς διά τῆς πρώτης πείρας τῶν καθ᾽ ἡδονήν πειρασμῶν, τοῖς οἰκείοις συγχωρήσας ἐμπαίζεσθαι αὐτάς δόλοις, ἐξεδύσατο ταύτας ἐξωσθείσας τῆς φύσεως, ἀπρόσιτος μείνας αὐταῖς καί ἀνέπαφος· ἡμῖν προδήλως, ἀλλ᾽ οὐχ ἑαυτῷ τήν νίκην ποιούμενος· οἷς καί γέγονεν ἄνθρωπος, προσάγων ὡς ἀγαθός ὅλον τό κατορθούμενον. Οὐ γάρ αὐτός ἐδεῖτο πείρας, Θεός ὤν καί Δεσπότης, καί παντός πάθους κατά φύσιν ἐλεύθερος· ἀλλ᾽ ἵνα τοῖς ἡμετέροις πειρασμοῖς τήν πονηράν προσκαλούμενος δύναμιν, ἕληται τῇ προσβολῇ νεκρώσεως, τήν ἑλεῖν αὐτόν ὡς ἐν ἀρχῇ τόν Ἀδάμ προσδοκήσασαν.

Οὕτω μέν οὖν κατά τήν πρώτην πεῖραν προσβαλούσας τάς Ἀρχάς καί τάς ἐξουσίας ἐξεδύσατο, πόῤῥω ποιήσας τῆς φύσεως, καί τό καθ᾽ ἡδονήν παθητόν ἰασάμενος, καί τό χειρόγραφον ἐν ἑαυτῷ τοῦ Ἀδάμ τῆς τῶν καθ᾽ ἡδονήν παθῶν γνωμικῆς (316) συγκαταθέσεως ἀπαλείψας. Δι᾽ οὗ τήν γνώμην ὁ ἄνθρωπος ῥέουσαν ἔχων πρός ἡδονήν, τήν πονηράν καθ᾽ ἑαυτοῦ, καί σιγῶν διά τῶν ἔργων ἀνεκήρυττε δεσποτείαν, τῷ τοῦ θανάτου φόβῳ τῆς καθ᾽ ἡδονήν ἐνοχῆς οὐκ ἐλευθερούμενος.

Ἐπειδή τοίνυν διά τῆς καθ᾽ ἡδονήν πρώτης πείρας ἡττήσας, τάς πονηράς ἐματαίωσε Δυνάμεις, Ἀρχάς τε καί Ἐξουσίας ὁ Κύριος, καί δευτέραν αὐταῖς συγχωρεῖ ποιεῖσθαι προσβολήν, καί τήν λειπομένην δι᾽ ὀδύνης καί πόνων πεῖραν τῶν πειρασμῶν προσαγαγεῖν· ἵνα τελείως κενώσας ἐν ἑαυτῷ τόν φθαρτικόν ἰόν τῆς αὐτῶν πονηρίας, ὡς πῦρ δαπανήσῃ, παντελῶς ἐξαφανίσας τῆς φύσεως, ἀπεκδυσάμενος κατά τόν τοῦ θανάτου καιρόν ἐν τῷ σταυρῷ τάς Ἀρχάς καί τάς Ἐξουσίας, μείνας τοῖς πόνοις ἀνάλωτος· μᾶλλον δέ φοβερός φανείς κατά τοῦ θανάτου, τό κατ᾽ ὀδύνην παθητόν ἐξηλώσας τῆς φύσεως· ἧς ἀποῤῥέπουσαν διά τῆς δειλίας τήν γνώμην ἔχων ὁ ἄνθρωπος, διά παντός φόβῳ θανάτου καί παρά γνώμην τυραννούμενος, διά τό ζῇν, τῆς καθ᾽ ἡδονήν ἀντείχετο δουλείας.

Ἐξεδύσατο μέν οὖν ὁ Κύριος τάς Ἀρχάς καί τάς Ἐξουσίας κατά τήν πρώτην ἐν τῇ ἐρήμῳ πεῖραν τῶν πειρασμῶν, τό καθ᾽ ἡδονήν παθητόν τῆς ὅλης φύσεως ἰασάμενος. Ἀπεξεδύσατο δέ ταύτας πάλιν κατά τόν καιρόν τοῦ θανάτου, τῆς φύσεως ὁμοίως ἐξηλώσας τό κατ᾽ ὀδύνην παθητόν, τό ἡμῖν κατορθούμενον, ἑαυτοῦ διά τήν φιλανθρωπίαν ὡς ὑπευθύνου ποιούμενος· μᾶλλον δέ τῶν κατορθουμένων τό κλέος, ἡμῖν ὡς ἀγαθός λογιζόμενος. Ἐπειδή γάρ ὁμοίως ἡμῖν λαβών χωρίς

ἁμαρτίας τό τῆς φύσεως παθητόν, δι᾽ οὗ πέφυκεν ἐνεργεῖν τά ἑαυτῆς πᾶσα πονηρά καί ὀλέθριος δύναμις, ἐν τῷ καιρῷ τοῦ θανάτου, καί ἐπ᾽ αὐτόν ἐλθούσας ἐρεύνης χάριν ἀπεξεδύσατο, θριαμβεύσας τε καί παραδειγματίσας αὐτάς ἐν τῷ σταυρῷ κατά τήν ἔξοδον τῆς ψυχῆς, μηδέν τό σύνολον εὑρούσας ἐν τῷ κατ᾽ αὐτόν παθητῷ τῆς φύσεως ἴδιον· ὅτε μάλιστα προσεδόκων διά τό φύσει κατά σάρκα παθητόν, εὑρεῖν τι πάντως ἀνθρώπινον· εἰκότως τῇ ἑαυτοῦ δυνάμει, καί πᾶσαν ὡς διά τινος ἀπαρχῆς τῆς ἐξ ἡμῶν ἁγίας αὐτοῦ σαρκός, τήν φύσιν τῶν ἀνθρώπων τῆς ἐμφυρείσης αὐτῇ κατά τό παθητόν κακίας ἠλευθέρωσεν, ὑποτάξας αὐτῷ τῷ τῆς φύσεως παθητῷ τήν ἐν αὐτῷ ποτε, φημί δέ τῷ παθητῷ, βασιλεύσασαν τῆς φύσεως πονηράν δυναστείαν.

Ἦν μέν καί ἄλλως τόν περί τούτου λόγον μυστικώτερόν τε καί ὑψηλότερον θεωρῆσαι δυνατόν· ἀλλ᾽ ἐπειδή, καθώς ἴστε, τά τῶν θείων δογμάτων ἀποῤῥητότερα διά γραφῆς οὐ δεῖ κατατίθεσθαι, ἀρκεσθῶμεν τοῖς εἰρημένοις δυσωποῦσι φιλοπραγμονοῦσαν περί τούτου τήν ἔννοιαν. Θεοῦ δέ χαριζομένου, καί τό κατ᾽ ὀφθαλμούς ὑμῶν ἀξιωθῆναι, τήν ἀποστολικήν διάνοιαν ἅμα φιλομαθῶς ἐξετάζομεν.

ΣΧΟΛΙΑ.

α' . Γένεσιν λέγει τήν ἐκ Θεοῦ πρώτην τοῦ ἀνθρώπου διάπλασιν· γέννησιν δέ, τήν ἐκ καταδίκης (317) ὕστερον διά τήν παράβασιν ἐξ ἀλλήλων διαδοχήν.

β' . Τήν ἡμῶν καθ᾽ ἡδονήν, οἰκειοῦσαι πεῖραν εἰς πρόκλησιν τοῦ πειράζοντος, φύσει καθ᾽ ἡδονήν καί ὡς ἄνθρωπος, ἀπαθής ὑπάρχων· παθητός γάρ ἦν σαρκί κατά φύσιν, ὡς ἄνθρωπος, διά τό θνητόν, ἀλλ᾽ οὐκ ἐμπαθής κατά γνώμην ὡς ἀναμάρτητος.

γ' . Φύσεως ἴδιον κέκληκε, τό κατά γνώμην μετά παράβασιν πρός ἁμαρτίαν ἐξ ἀσθενείας ὀλισθηρόν· ὅπερ οὔτε κατά σάρκα φυσικῶς εἶχεν ὁ Κύριος, καί σαρκί κατ᾽ οὐσίαν ἀναμάρτητος ὤν.

***ΕΡΩΤΗΣΙΣ ΚΒ' .***

***Εἰ ἐν τοῖς αἰῶσι τοῖς ἐπερχομένοις δείξει τόν πλοῦτο αὐτοῦ ὁ Θεός, πῶς εἰς ἡμᾶς τά τέλη τῶν αἰώνων κατήντησεν;***

Ἀπόκρισις.

Ὁ πάσης κτίσεως ὁρατῆς τε καί ἀοράτου κατά μόνην τοῦ θελήματος τήν ῥοπήν ὑποστήσας τήν γένεσιν, πρό πάντων τῶν

αἰώνων, καί αὐτῆς τῆς τῶν γεγονότων γενέσεως, τήν ἐπ᾽ αὐτοῖς ἀφράστως ὑπεράγαθον εἶχε βουλήν· ἡ δέ ἦν αὐτόν μέν ἀτρέπτως ἐγκραθῆναι τῇ φύσει τῶν ἀνθρώπων διά τῆς καθ᾽ ὑπόστασιν ἀληθοῦς ἑνώσεως· ἑαυτῷ δέ τήν φύσιν ἀναλλοιώτως ἑνῶσαι τήν ἀνθρωπίνην· ἵνα αὐτός μέν ἄνθρωπος γένηται, καθώς οἶδεν αὐτός, Θεόν δέ ποιήσειε τῇ πρός ἑαυτόν ἑνώσει τόν ἄνθρωπον, μερίσας δηλονότι σοφῶς τούς αἰῶνας καί διορίσας· τούς μέν, ἐπ᾽ ἐνεργείᾳ τοῦ αὐτόν γενέσθαι ἄνθρωπον· τούς δέ, ἐπ᾽ ἐνεργείᾳ τοῦ τόν ἄνθρωπον ποιῆσαι Θεόν. Τῶν οὖν ἐπ᾽ ἐνεργείᾳ τοῦ αὐτόν γενέσθαι ἄνθρωπον προωρισμένων αἰώνων, εἰς ἡμᾶς τά τέλη κατήντησε, τῆς θείας προθέσεως κατά τήν σάρκωσιν δι᾽ αὐτῶν τῶν πραγμάτων λαβούσης τήν ἔκβασιν. Ὅπερ ὁ θεῖος διασκοπήσας Ἀπόστολος, τῆς κατά πρόθεσιν τῶν αἰώνων πρός τό γενέσθαι τόν Θεόν ἄνθρωπον βουλῆς ἐνιδών τό τέλος, δι᾽ αὐτῆς τοῦ Θεοῦ καί Λόγου σαρκώσεως, φησίν, εἰς ἡμᾶς κατηντηκέναι τά τέλη τῶν αἰώνων· οὐχ ἁπλῶς παρ᾽ ἡμῶν νοουμένων τῶν αἰώνων, ἀλλά τῶν, ἐπ᾽ ἐνεργείᾳ δηλονότι τοῦ τῆς ἐνσωματώσεως μυστηρίου, τό οἰκεῖον κατά πρόθεσιν τοῦ Θεοῦ πέρας εἰληφότων.

Ἐπεί οὖν οἱ κατά πρόθεσιν ἐπ᾽ ἐνεργείᾳ τοῦ γενέσθαι τόν Θεόν ἄνθρωπον προορισθέντες αἰῶνες εἰς ἡμᾶς τό τέλος εἰλήφασιν, ἐνεργήσαντος κατ᾽ ἀλήθειαν τοῦ Θεοῦ τήν ἑαυτοῦ τελείαν ἐνανθρώπησιν καί πληρώσαντος· τούς ἄλλους ἐκδέχεσθαι χρή λοιπόν αἰῶνας ἐλευσομένους, ἐπ᾽ ἐνεργείᾳ τῆς τῶν ἀνθρώπων μυστικῆς καί ἀποῤῥήτου θεώσεως· καθ᾽ οὕς τόν ὑπερβάλλοντα πλοῦτον τῆς χρηστότητος αὐτοῦ εἰς ἡμᾶς δείξει ὁ Θεός, ἐνεργήσας τελείως ἐν τοῖς ἀξίοις τήν θέωσιν. Εἰ γάρ αὐτός τῆς ἐπί τῷ (320) ἀνθρωπισθῆναι μυστικῆς ἐνεργείας εἴληφε πέρας, κατά πάντα τρόπον χωρίς μόνης ἁμαρτίας ἡμῖν ὁμοιωθείς, καί εἰς τά κατώτερα μέρη τῆς γῆς καταβάς, ἔνθα τόν ἄνθρωπον ἀπεώσατο τῆς ἁμαρτίας ἡ τυραννίς· πάντως καί τῆς ἐπί τῷ θεωθῆναι τόν ἄνθρωπον μυστικῆς ἐνεργείας λήψεται πέρας, κατά πάντα τρόπον, χωρίς μόνης δηλονότι τῆς πρός αὐτόν κατ᾽ οὐσίαν ταυτότητος, ὁμοιώσας ἑαυτῷ τόν ἄνθρωπον, καί ὑπεράνω πάντων τῶν οὐρανῶν ἀναβιβάσας· ἔνθα τό τῆς χάριτος φύσει μέγεθος ὑπάρχον προκαλεῖται διά τήν ἀπειρίαν τῆς ἀγαθότητος τόν κάτω κείμενον ἄνθρωπον. Ὅπερ μυστικῶς διδάσκων ὁ μέγας Ἀπόστολος φησίν ἐν τοῖς αἰῶσι τοῖς ἐπερχομένοις τήν ἐν ἡμῖν [Fr. εἰς ἡμᾶς] ὑπερβάλλοντα πλοῦτον τῆς τοῦ Θεοῦ χρηστότητος δειχθήσεσθαι.

Διέλωμεν οὖν καί ἡμεῖς τῇ ἐπινοίᾳ τούς αἰῶνας, καί ἀφορίσωμεν, τούς μέν, τῷ μυστηρίῳ τῆς θείας ἐνανθρωπήσεως, τούς δέ, τῇ χάριτι τῆς ἀνθρωπίνης θεώσεως· καί εὑρήσομεν τούς μέν περί τό οἰκεῖον ὄντας τέλος, τούς δέ, οὔπω πραγενομένους. Καί συντόμως εἰπεῖν, τῶν αἰώνων οἱ μέν τῆς τοῦ Θεοῦ πρός ἀνθρώπους εἰσί καταβάσεως, οἱ δέ τῆς τῶν ἀνθρώπων πρός Θεόν ὑπάρχουσιν ἀναβάσεως. Οὕτω νοοῦντες, οὐκ ἐνσκάζομεν τῇ ἀσαφείᾳ τῶν θείων λόγων, τήν εἰς ταυτόν περίπτωσιν νομίζοντες παθεῖν τόν θεῖον Ἀπόστολον.

Ἤ μᾶλλον, ἐπειδή καί ἀρχή, καί μεστότης, καί τέλος πάντων ἐστί τῶν αἰώνων, τῶν τε παρελθόντων, καί ὄντων καί ἐσομένων, ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, εἰκότως εἰς ἡμᾶς κατήντησε δυνάμει τῆς πίστεως, τό κατ᾽ εἶδος ἐνεργείᾳ κατά τήν χάριν ἐσόμενον ἐπί θεώσει τῶν ἀξίων τέλος τῶν αἰώνων.

Ἤ πάλιν, ἐπειδή ἕτερος ὁ τοῦ ποιεῖν, καί ἕτερος ὁ τοῦ πάσχειν λόγος· μυστικῶς ἄρα καί σοφῶς διεῖλε παρελθοῦσιν αἰῶσι καί μέλλουσι, τόν τοῦ ποιεῖν καί τόν τοῦ πάσχειν λόγον ὁ θεῖος Ἀπόστολος· οἷον οἱ τῆς σαρκός αἰῶνες, ἐν οἷς νῦν ζῶμεν. Οἶδε γάρ ἡ Γραφή καί χρονικούς αἰῶνας, καί τό, Καί ἐκοπίασεν εἰς τόν αἰῶνα, καί ζήσεται εἰς τέλος, τῆς τοῦ ποιεῖν εἰσίν ἰδιότητος· οἱ δέ μέλλοντες εἶναι τοῦ πνεύματος μετά τήν παροῦσαν ζωήν, τῆς τοῦ πάσχειν εἰσίν μεταποιήσεως. Ἐνταῦθα τοίνυν ὄντες ὡς ποιοῦντες, εἰς αἰώνων τέλος καταντῶμεν, πέρας λαμβανούσης ἡμῶν κατά τό ποιεῖν τῆς δυνάμεώς τε καί τῆς ἐνεργείας· ἐν δέ τοῖς αἰῶσι τοῖς ἐπερχομένοις πάσχοντες τήν πρός τό θεοῦσθαι χάριτι μεταποίησιν, οὐ ποιοῦμεν, ἀλλά πάσχομεν· καί διά τοῦτο οὐ λήγομεν θεουργούμενοι. Ὑπέρ φύσιν γάρ τότε τό πάθος ἐστί, καί μηδένα λόγον ἔχον ὁριστικόν τῆς ἐπ᾽ ἄπειρον τῶν τοῦτο πασχόντων θεουργίας. Ποιοῦμεν γάρ ἡμεῖς, ἐφ᾽ ὅσον τήν τε τῶν ἀρετῶν ποιητικήν φύσει λογικήν ἔχομεν δύναμιν ἐνεργουμένην, καί τήν πάσης γνώσεως δεκτικήν νοεράν ἀσχέτως δύναμιν πᾶσαν τῶν ὄντων καί γινωσκομένων φύσιν διαβαίνουσαν, καί πάντας κατόπιν ἑαυτῆς τούς αἰῶνας ποιουμένην· καί πάσχομεν ἡνίκα τῶν ἐξ οὐκ ὄντων τελείως τούς λόγους περάσαντες, εἰς τήν τῶν (321) ὄντων ἀγνώστως ἔλθωμεν αἰτίαν, καί συγκαταπαύσωμεν τοῖς φύσει πεπερασμένοις τάς οἰκείας δυνάμεις, ἐκεῖνο γινόμενοι, ὅπερ τῆς κατά φύσιν δυνάμεως οὐδαμῶς ὑπάρχει κατόρθωμα· ἐπειδή τοῦ ὑπέρ φύσιν ἡ φύσις καταληπτικήν οὐ κέκτηται δύναμιν. Θεώσεως γάρ οὐδέν γενητόν κατά φύσιν ἐστί ποιητικόν, ἐπειδή μηδέ Θεοῦ καταληπτικόν·

μόνης γάρ τῆς θείας χάριτος ἴδιον πέφυκεν εἶναι, τό ἀναλόγως τοῖς οὖσι χαρίζεσθαι θέωσιν, καί λαμπρυνούσης τήν φύσιν τῷ ὑπέρ φύσιν φωτί, καί τῶν οἰκείων ὅρων αὐτήν ὑπεράνω κατά τήν ὑπερβολήν τῆς δόξης ποιουμένης.

Οὐκοῦν τά τέλη τῶν αἰώνων εἰς ἡμᾶς εἰκότως κατήντησαν (Fr. κατήντησε), τούς ὅσον οὐδέπω διά τῆς ἐν Χριστῷ χάριτος ληψομένους τῶν ὑπέρ αἰῶνας καί φύσιν ἀγαθῶν τήν δωρεάν· ὧν τύποι καί προχαράγματι καθεστήκασιν, οἱ τρόποι τῶν ἀρετῶν, καί τῶν γνωσθῆναι φύσει δυναμένων οἱ λόγοι· δι᾽ ὧν ὁ Θεός ἀεί θέλων ἐν τοῖς ἀξίοις ἄνθρωπος γίνεται. Μακάριος οὖν ὁ μεταποιήσας διά σοφίας ἐν ἑαυτῷ τόν Θεόν ἄνθρωπον, καί τοῦ τοιούτου μυστηρίου πληρώσας τήν γένεσιν, πάσχων τῷ γενέσθαι τῇ χάριτι Θεός, ὅτι τοῦ ἀεί τοῦτο γένεσθαι πέρας οὐ λήψεται. Ὁ γάρ ταύτην τοῖς ἀξίοις ποιῶν, ἀόριστος ὑπάρχων κατ᾽ οὐσίαν, ἀόριστον ἔχει, καί πάσης ἀοριστίας ἐπέκεινα, τήν τοῦτο ποιοῦσαν δύναμιν, καί μηδέποτε συγκαταλήγουσαν τοῖς ὑπ᾽ αὐτῆς γινομένοις, καθάπερ ἡμεῖς· ἀεί δέ μᾶλλον ἑαυτῇ συγκρατοῦσαν τούς ἐξ αὐτῆς τό εἶναι λαβόντας, ἄνευ αὐτῆς εἶναι μή δυναμένους. Ὅθεν καί πλοῦτον εἶπε χρηστότητος, ὡς μή παυομένης ποτέ τῆς ἐφ᾽ ἡμῖν ἐν χρηστότητι κατα τήν πρός θέωσιν μεταποίησιν, θείας καί παμφαοῦς διαθέσεως.

ΣΧΟΛΙΑ.

α' . Ἡ πρός τήν σάρκα τοῦ Λόγου καθ᾽ ὑπόστασιν ἕνωσις, τόν ἀπόῤῥητον τῆς θείας βουλῆς ἐφανέρωσε σκοπόν, ἐν τῷ μή φῦραι τῇ ἑνώσει τῆς σαρκός τήν οὐσίαν· μίαν δέ δεῖξαι, κἀν τῇ σαρκώσει τοῦ Λόγου τήν ὑπόστασιν· ἵνα καί μείνῃ σάρξ κατά τήν οὐσίαν ἡ σάρξ, καί γένηται θεία κατά τήν ὑπόστασιν.

β' . Τῶν αἰώνων, φησίν, οἱ μέν ἐκφαντικοί γεγόνασιν ἐνανθρωπήσεως, ὧν εἰς ἡμᾶς τά τέλη κατήντησεν· οἱ δέ τῆς ἡμῶν ἀποδεικτικοί τυγχάνουσιν ἐκθεώσεως· ὧν οὔπω τῆς δόξης ὁ πλοῦτος ἐφανερώθη.

γ' . Βεβαία πίστωσίς ἐστι, φησί, τῆς πρός ἐκθέωσιν ἐλπίδος τῇ φύσει τῶν ἀνθρώπων, ἡ τοῦ Θεοῦ ἐνανθρώπησις· τοσοῦτον Θεόν ποιοῦσα τόν ἄνθρωπον, ὅσον αὐτός γέγονεν ἄνθρωπος. Ὁ γάρ χωρίς ἁμαρτίας γενόμενος ἄνθρωπος, δῆλον ὅτι χωρίς τῆς εἰς Θεόν μεταβολῆς, τήν φύσιν θεοποιήσει· καί τοσοῦτον ἀναβιβάσει δι᾽ ἑαυτόν, ὅσον διά τόν ἄνθρωπον ἑαυτόν κατεβίβασε.

δ' . Ἄλλη θεωρία, δι᾽ ἧς ἐν Χριστῷ κατά περιγραφήν εἶναι δείκνυσιν ἀδιαστάτως, τήν ἀρχήν καί τό μέσον καί τό (324) τέλος τῶν αἰώνων. Ὅς εἰς ἡμᾶς κατήντησεν ὡς αἰώνων τέλος διά σαρκώσεως, ἔχων φυσικῶς τό πλήρωμα τῆς πατρικῆς ἀγαθότητος, οὗπερ ἐν ἑαυτῷ κατά χάριν ἡμᾶς μετόχους κατέστησε, πίστεως ἡμῖν θέμενος τήν ἐλπίδα βεβαίωσιν.

ε' . Ἄλλη θεωρία. Ὁ τοῦ ποιεῖν λόγος ἐστίν ἡ φυσική πρός ἀρετῶν ἐνέργειαν δύναμις· ὁ δέ τοῦ πάσχειν λόγος ἐστίν ἡ χάρις τῶν ὑπέρ φύσιν, ἤ σύμβασις τῶν παρά φύσιν. Ὡς γάρ τοῦ ὑπερόντος φυσικήν οὐκ ἔχομεν δύναμιν, οὕτως οὔτε τοῦ μή ὄντος ἔχομεν φύσει τήν δύναμιν. Πάσχομεν οὖν ὡς ὑπέρ φύσιν οὖσαν κατά χάριν, ἀλλ᾽ οὐ ποιοῦμεν τήν θέωσιν. Οὐ γάρ ἔχομεν πρός γένεσιν κακίας φυσικήν δύναμιν. Ποιοῦμεν οὖν ἐνταῦθα, φησίν, ὄντες, τάς ἀρετάς πρός τό ποιεῖν ταύτας ἔχοντες φύσει τήν δύναμιν· πάσχομεν δέ κατά τό μέλλον τήν θέωσιν, τήν πρός τό παθεῖν ταύτην κατά δωρεάν χάριν δεχόμενοι.

στ' . Τάς μέν ἀρετάς ποιοῦντες μετά τήνδε, φησί, παυόμεθα τήν ζωήν· τήν δέ κατά χάριν ὑπέρ φύσιν πάθος, ἀόριστον, ὅτι καί δραστικόν· τό δέ παρά φύσιν, ἀνύπαρκτον, ὅτι καί ἀδρανές.

ζ' . Τοῦ τε θυμοῦ καί τῆς ἐπιθυμίας ἐπιστατῶν ὁ λόγος, φησί, ποιεῖ τάς ἀρετάς· ὁ δέ νοῦς τοῖς λόγοις ἐπιβάλλων τῶν γεγονότων τήν ἄπταιστον τῶν γεγονότων συλλέγεται γνῶσιν. Ὅταν οὖν ὁ λόγος μετά τήν τῶν ἀντικειμένων ἀποβολήν εὕρῃ τό κατά φύσιν ἐραστόν· καί ὁ νοῦς μετά τήν τῶν γινωσκομένων διάβασιν λάβηται τῆς ὑπέρ οὐσίαν καί γνῶσιν τῶν ὄντων αἰτίας, τηνικαῦτα τό τῆς θεώσεως κατά χάριν ἐπιγίνεται πάθος, τόν μέν λόγον ἀπάγον τῆς φυσικῆς διακρίσεως, ἔνθα διακρινόμενον οὐκ ἔστι· τόν δέ νοῦν καταπαῦον τῆς κατά φύσιν νοήσεως, ἔνθα μή ἐστι τό γινωσκόμενον, καταποιοῦν τῇ κατά τήν στάσιν ταυτότητι Θεόν, τόν ἀξιούμενον τῆς θείας μεθέξεως.

η' . Τῶν θείων φησίν ἀγαθῶν τύπους εἶναι τούς τε κατ᾽ ἀρετήν τρόπους, καί τούς τῶν ὄντων λόγους· τούς τρόπους ἔχων τῶν ἀρετῶν ὡς σῶμα· ὡς δέ ψυχήν, τούς ἐν πνεύματι λόγους τῆς γνώσεως, οἷς τούς ἀξίους θεοποιεῖ, χαρακτῆρα διδούς ἀρετῆς ἐνυπόστατον, καί ἀπλανοῦς γνώσεως ἐνούσιον χαριζόμενος ὕπαρξιν.

θ' . Πλοῦτον ἑρμήνευσεν εἶναι χρηστότητος, τήν εἰς ἡμᾶς τοῦ Θεοῦ διάθεσιν τῆς ἀγαθότητος.

*ΕΡΩΤΗΣΙΣ ΚΒ΄.*

***Εἰ Δαβίδ τοῦ κατά σάρκα μόνον Ἰσραήλ ἐβασίλευσεν· ὁ δέ κατά σάρκα Ἰσραήλ τήν τοῦ Χριστοῦ ἀπώσατο βασιλείαν, διό καί μετῆλθεν ἐπί τά ἔθνη· πῶς κατά τήν φωνήν τοῦ Ἀρχαγγέλου (325) σταθήσεται, τό· "Καί δώσει αὐτῷ ὁ Θεός τόν θρόνον Δαβίδ τοῦ πατρός αὐτοῦ, καί βασιλεύσει ἐπί τόν οἶκον Ἰακώβ εἰς αἰῶνας;"***

Ἀπόκρισις.

Τοῦτο πάνυ φαίνεται τό ἄπορον, δήλην ἔχον καί φανεράν τήν διασάφησιν. Εἰ γάρ οὐ πάντες οἱ ἐξ Ἰσραήλ, οὗτοι Ἰσραήλ· οὐδ᾿ ὅτι εἰσί σπέρμα Ἀβραάμ, πάντα τέκνα· ἀλλά τέκνα τῆς ἐπαγγελίας λογίζεται ὁ Θεός εἰς σπέρμα. Καί, Ἐάν ᾖ ὁ ἀριθμός τῶν υἱῶν Ἰσραήλ ὡς τά ἄστρα τοῦ οὐρανοῦ, καί ὡς ἡ ἄμμος τῆς θαλάσσης, τό κατάλειμμα σωθήσεται, δῆλον ὡς ὁ πιστός λαός, καί δι᾿ ἔργων δικαιοσύνης καί ἀληθοῦς τῆς κατά τήν πίστιν γνώσεως ὁρῶν τόν Θεόν, ἐστίν Ἰσραήλ· εἴτε κατά σάρκα φέρει τό γένος ἐξ Ἰσραήλ, εἴτε τῆς ἐθνικῆς ὑπάρχει μερίδος. Ὁ γάρ τοῦ Ἀβραάμ καί Ἰσαάκ καί Ἰαώβ, ἐν ἑαυτῷ φέρων τρανόν καί ἄχραντον τόν χαρακτῆρα τῆς πίστεως, τῆς τοῦ ἀληθινοῦ Ἰσραήλ οὐκ ἀπηλλωτρίωται κλήσεώς τε καί χάριτος.

Ἀλλά καί Δαβίδ αὐτός ὁ μακάριος τῶν ἐν Ἰσραήλ πιστῶν εἶχε τήν βασιλείαν· ὅθεν ἅμα τῆς πίστεως κατέσβεσεν ἑαυτοῦ τό φέγγος ὁ Ἰσραήλ, ἅμα καί τῆς τοῦ Δαβίδ εὐθέως ἀπέστη βασιλείας. Ἀρ᾿ οὖν τόν τοῦ Δαβίδ πνευματικόν θρόνον, καί τήν νοητήν τῶν λογικῶν ψυχῶν βασιλείαν, καί τόν πιστόν οἶκον τοῦ Ἰακώβ, καί τό ἅγιον μέγα ἔθνος, ἐφ᾿ ὅν ἀντί τοῦ σωματικοῦ καί παραπικραίνοντος Ἰσραήλ, προφητικῶς χρηματίζων ὁ Θεός τῷ Μωϋσῇ καταστήσειν αὐτόν· ἤτοι τόν δι᾿ αὐτοῦ τυπικῶς νοούμενον ἐπηγγείλατο, εἰπών· Ἄφες με, καί ἐξαλείψω τό ἔθνος τοῦτο εἰσάπαξ, καί καταστήσω σε εἰς ἔθνος μέγα καί φοβερόν, ἤ τοῦτο· ἀλλ᾿ οὐ τόν ἄπιστον οἶκον τοῦ Ἰακώβ, καί παραπικραίνοντα, καί τό ἁμαρτωλόν ἔθνος, καί τό πονηρόν σπέρμα, καί τούς ἀνόμους υἱούς, καί τούς ἄρχοντας Σοδόμων, καί τόν λαόν Γομόῤῥας, καί τούς ἀποστραφέντας ἀποστροφήν πονηράν, καί τόν Κύριον ἐγκαταλίποντας, καί τόν Ἅγιον Ἰσραήλ παροξύναντας, καί τόν Θεόν οὐκ ἐπεγνωκότας, οὐδέ συνιέντας, καί πληγέντας πληγήν ἀπιστίας ἀνίατον, καί μηδεμίαν δεχομένην λογικῆς ἰατρείας μέθοδον, ἀπιστίαν ψυχῆς θεραπεύουσαν. Οὐαί γάρ, φησίν, ἔθνος ἁμαρτωλόν, σπέρμα πονηρόν, υἱοί ἄνομοι· ἐγκατελείπατε τόν Κύριον, καί

παρωξύνατε τόν Ἅγιον τοῦ Ἰσραήλ· τί ἔτι πληγῆτε προστιθέντες ἀνομίαν; Οὐκ ἔστι μάλαγμα ἐπιθεῖναι, οὔτε ἔλαιον, οὔτε καταδέσμους. Οὐ τούς χωλάναντας ἐπ᾽ ἀμφοτέραις ταῖς ἰγνύαις, καί τήν ἀλήθειαν ἀπεστραμμένους, καί ἐκβεβλημένους τῆς θείας κληρονομίας κατά τόν Κάϊν καί Ἰσμαήλ καί Ἠσαῦ καί Ῥουβίμ καί Ἤρ καί Αὐνάν καί Μανασσῆν καί Ἐλιάφ καί Ἀμνών, τούς τῶν πατριαρχῶν τε καί προφητῶν πρωτοτόκους καί ἐκβεβλημένους καί ἀποδεδοκιμασμένους. Φησί γάρ· Υἱός μου πρωτότοκος Ἰσραήλ· οὐ γάρ μονογενής· ἐπείπερ ἐπεισαγωγή πρός υἱοθεσίαν θεσπεσίου λαοῦ (328) καί εὐσεβοῦς ἠλπίζετο, κατά Θεόν κτιζομένου, καί εἰς υἱοθεσίαν προσαγομένου τήν ἐν χάριτι, διά τῆς ἐκβολῆς τοῦ πρωτοτόκου καί ἀπίστου λαοῦ Ἰσραήλ (Fr. ἀπίστου Ἰσραήλ) ἐπαναστάντος τῷ νοητῷ Ἄβελ διά φθόνον, καί ἀποκτείναντος κατά τόν Κάϊν, καί ἐμπαίξαντος τῷ θείῳ τρόπῳ τοῦ νοητοῦ Ἰσαάκ κατά τόν Ἰσμαήλ· καί μανέντος κατά τοῦ νοητοῦ Ἰακώβ, ὡς Ἠσαῦ· καί τό σπέρμα τῆς πίστεως, καί τῆς κατ᾽ αὐτήν δικαιοσύνης εἰς τήν γῆν τῆς πλάνης καί τῶν παθῶν ἐκχέαντος κατά τόν Ἤρ καί Ἀμνών· καί τήν τοῦ Θεοῦ Ἐκκλησίαν, ὡς ἐκεῖνοι τήν Θάμαρ, ἀρνησαμένου· καί τήν λήθην οἰκειωσαμένου τῶν ἀρετῶν, κατά τόν Μανασσῆν· καί ἐπί τῷ νοητῷ Δαβίδ λαβόντι τήν βασιλείαν ἐξ ὑπερηφανίας διαπονηθέντος, καί διά τοῦτο ἐξουδενωθέντος κατά τόν Ἐλιάφ, καί γενομένου ξένης παρανομίας δημιουργοῦ κατά τόν Ἀμών. Οὐ τούτους τούς ἀλλοτρίους υἱούς, καί χωλάναντας ἀπό τῶν τρίβων αὐτῶν· τούς μανίας καί φόνου πνέοντας (al. γέμοντας), τούς σαρκικούς ὄντως, κατά σαρκῶν μόνων υἱούς, τούς ξένους τῆς χάριτος, ὧν Θεός ἡ κοιλία, καί ἡ δόξα ἐν τῇ αἰσχύνῃ αὐτῶν· ὧν τῆς ἀπιστίας ἀπώλετο τό μνημόσυνον μετ᾽ ἤχου· ἀλλ᾽, ὡς ἔφην, τόν πιστόν καί πνευματικόν Ἰσραήλ, καί ὁρῶντα Θεόν διά τῆς πίστεως· τόν ἐκ πάντων τῶν ἐθνῶν συνειλεγμένον, κατ᾽ ἐκλογήν χάριτος, εἰς περιποίησιν, λαόν, καί ἅγιον ἔθνος, καί βασιλικόν ἱεράτευμα, ἐπηγγείλατο δώσειν διά τοῦ ἀγγέλου πρός τήν Παρθένον χρηματίζων ὁ Θεός, τῷ ἐξ αὐτῆς τεχθησομένῳ Σωτῆρι Θεῷ τῶν ὅλων. Ὅπερ δι᾽ αὐτῆς τῆς τῶν πραγμάτων ἐκβάσεως τήν οἰκείαν ἐδέξατο πίστωσιν· τοῦ Κυρίου τάς πρός τούς πατέρας ἐπαγγελίας πληρώσαντος, καί πάντα τά ἔθνη ἐν τῷ νοητῷ Ἀβράαμ εὐλογήσαντός τε καί υἱοθετήσαντος, καί πάντων τῶν ἐθνῶν καταστήσαντος ἐν πνεύματι διά τῆς πίστεως αὐτόν πατέρα τόν Ἀβράαμ· καί καθεσθέντος ἐν τῷ πνευματικῷ θρόνῳ τοῦ Δαβίδ, καί βασιλεύοντος

ἐπί τόν πιστόν οἶκον Ἰακώβ εἰς τούς αἰῶνας, βασιλείαν πέρας οὐκ ἔχουσαν.

ΣΧΟΛΙΑ.

α'. Ἐπί τοῦ Ἱεροβάμ ἀπέστη ὁ Ἰσραήλ τοῦ οἴκου Δαβίδ ἀπιστήσας τῷ Θεῷ.

β'. Ἀπαρίθμησις τῶν ἀπό τοῦ αἰῶνος ἐκβεβλημένων πρωτοτόκων, οἷς εἰκαζόμενος καί ὁ Ἰσραηλίτης λαός· καί δῶμεν περί αὐτοῦ συμπεριφορικῶς εἰρῆσθαι τό· Υἱός μου πρωτότοκος Ἰσραήλ, ὡς πρωτότοκος ἀποβέβληται διά τήν τοῦ μετ᾽ αὐτόν εἰσποιηθέντος λαοῦ τῶν ἐντεῦθεν διά πίστεως κλῆσιν.

γ'. Τούς ὑποβουλευθέντας ὑπό τῶν πρωτοτόκων ἀδελφούς, φέρειν τύπον φησί τοῦ Κυρίου καί τοῦ κατά πίστιν νέου λαοῦ.

***ΕΡΩΤΗΣΙΣ ΚΔ'.***

***Τί ἐστι τό ἐν ταῖς Πράξεσι περί τοῦ Πέτρου κείμενον· " Διελθόντες πρώτην φυλακήν καί δευτέραν, ἤλθομεν (ἦλθον) ἐπί τήν πύλην τήν σιδηρᾶν;"***

Ἀπόκρισις.

Ὁ πιστός, κατά Πέτρον τόν ἅγιον, καί πρακτικός (329) νοῦς, ὑπό Ἡρώδου κρατούμενος, τοῦ δερματίνου νόμου (δερμάτινος γάρ ὁ Ἡρώδης ἑρμηνεύεται· Ὅπερ ἐστί, τό φρόνημα τῆς σαρκός, ὑπό δύο συγκλείεται φύλακε [Fr.φυλακάς] καί μίαν πύλην σιδηρᾶν), πολεμούμενος ἔκ τε τῆς τῶν παθῶν ἐνεργείας, καί τῆς κατά διάνοιαν ἐπί τοῖς πάθεσι συγκαταθέσεως· ἅστινας καθάπερ φυλακάς, ἤτοι εἱρκτάς διά τοῦ λόγου τῆς πρακτικῆς φιλοσοφίας, ὡς δι᾽ ἀγγέλου διαπεράσας, ἔρχεται ἐπί τήν πύλην τήν σιδηρᾶν, τήν φέρουσαν εἰς τήν πόλιν· τήν πρός τά αἰσθητά λέγω τῶν αἰσθήσεων στεῤῥάν καί ἀπότομον καί δυσκαταμάχητον σχέσιν· ἥν ὁ τῆς φυσικῆς ἐν πνεύματι θεωρίας διανοίγων λόγος, αὐτομάτην πρός τά συγγενῆ νοητά λοιπόν ἀφόβως τόν νοῦν παραπέμπει, τῆς Ἡρώδου μανίας ἐλεύθερον.

ΣΧΟΛΙΟΝ.

α'. Φυλακάς εἶπεν τήν ἕξιν τῆς κακίας καί τήν ἐνέργειαν· χαρακτήρ γάρ τῆς ἕξεως ἡ συγκατάθεσις· ἐφ᾽ ἅς ὁ πονηρός ποιεῖν ἀγωνίζεται τούς ἁγίους. Πύλην δέ σιδηρᾶν τήν πρός τά αἰσθητά φυσικήν τῶν αἰσθήσεων σχέσιν, ὧν καθάπερ ἄγγελος ἐξαιρεῖται τόν ἀληθῶς πιστόν, ὁ τῆς πρακτικῆς γνώσεως λόγος.

*ΕΡΩΤΗΣΙΣ ΚΕ΄.*

***Τί ἐστι, "Θέλω ὑμᾶς εἰδέναι, ὅτι παντός ἀνδρός ἡ κεφαλή ὁ Χριστός ἐστι, κεφαλή δέ γυναικός ὁ ἀνήρ, κεφαλή δέ Χριστοῦ ὁ Θεός· καί πᾶς ἀνήρ προσευχόμενος ἤ προφητεύων κατά κεφαλῆς ἔχων καταισχύνει τήν κεφαλήν αὐτοῦ· πᾶσα δέ γυνή προσευχομένη ἤ προφητεύουσα ἀκατακαλύπτῳ τῇ κεφαλῇ καταισχύνει τήν κεφαλήν αὐτῆς· ἕν γάρ καίτό αὐτό ἐστι τῇ ἐξυρημένῃ;" Καί τί πάλιν ἐστί τό· "Διά τοῦτο ὀφείλει ἡ γυνή ἐξουσίαν ἔχειν ἐπί τῆς κεφαλῆς διά τούς ἀγγέλους;"***

Ἀπόκρισις.

Ἰστέον, ὅτι παντός ἀνδρός εἰπών ὁ θεῖος Ἀπόστολος εἶναι κεφαλήν τόν Χριστόν, πιστοῦ δηλονότι κατά τήν πρᾶξιν τῶν θείων ἐντολῶν, καί τήν θεωρίαν τῶν εὐσεβῶν δογμάτων, ἀνδρός ἀπεφήνατο τήν κεφαλήν τόν Χριστόν εἶναι, τῆς περιεκτικῆς σημασίας οὐ συμπερικλειούσης τῷ λόγῳ καί τούς ἀπίστους ἄνδρας. Πῶς γάρ καί εἴη κεφαλή τῶν μή πιστευόντων Χριστός; Οὐκοῦν κατά μίαν ἐπιβολήν, τῷ τῆς ἀναγωγῆς προσβαίνοντες λόγῳ, φαμέν ἄνδρα εἶναι τόν πρακτικόν νοῦν, κεφαλήν ἔχοντα τόν λόγον τῆς πίστεως· πρός ὅν ὡς Χριστόν ἀφορῶν, ταῖς τῶν ἐντολῶν χάρισιν ᾠκοδομημένον διά τῆς πράξεως, τόν οἰκεῖον συνίστησι βίον ὁ νοῦς, μή καταισχύνων τήν κεφαλήν αὐτοῦ, τουτέστι τήν πίστιν, τινί τῶν ἐκτός κατά τήν ὕλην ἐπικαλυμμάτων· ἐκ τοῦ μηδέν ὑπεράνων τῆς πίστεως τιθέναι τῶν προσκαίρων καί λυομένων. Γυναῖκα δέ τοῦ (332) τοιούτου νοός εἶναί φαμεν, αὐτήν τήν ἕξιν τῆς πράξεως, πολλοῖς τε καί διαφόροις κομῶσάν τε καί κατακεκαλυμμένην πρακτικοῖς τε λογισμοῖς καί ἤθεσι· μᾶλλον δέ αὐτόν τόν νοῦν, ὡς κεφαλήν ἰδίαν κατά τήν τῶν τοιούτων λογισμῶν τε καί τρόπων πύκνωσιν καί εὐπρέπειαν ἔχουσαν [ἔχοντα] κεκαλυμμένην. Χριστόν δέ φαμεν εἶναι τήν ἐνυπόστατον πίστιν, ἧς κεφαλή ἐστι σαφῶς ὁ Θεός, πρός ὅν ἄγει τῆς πίστεως ὁ λόγος, δεικνύς τῷ ἀναγομένῳ τόν ἐν ᾧ κατά φύσιν ὑπάρχει Θεόν.

Καί πάλιν, ἀνήρ ἐστιν ὁ τῆς φυσικῆς ἐν πνεύματι θεωρίας ἐπιμελούμενος νοῦς, κεφαλήν ἔχων τόν κατά πίστιν ἐκ τῆς τῶν ὁρωμένων διακοσμήσεως γενεσιουργόν τοῦ παντός Λόγον διαδεικνύμενον, ὅν οὐ καταισχύνει καλύπτων, καί οἷον ὑποτιθείς τινι τῶν ὁρωμένων ὁ νοῦς, καί ἄλλο [al. ἄλλα] τό παράπαν αὐτοῦ

ποιούμενος ὑψηλότερον. Γυνή δέ τοῦ τοιούτου νοός ἐστιν ἡ σύνοικος αἴσθησις, δι᾽ ἧς ἐπιβατεύει τῇ φύσει τῶν αἰσθητῶν, καί τούς ἐν αὐτῇ θειοτέρους ἀναλέγεται λόγους, μή συγχωρῶν τῶν λογικῶν αὐτήν ἀποκαλυφθεῖσαν ἐπιβλημάτων, ἀλογίας γενέσθαι καί ἁμαρτίας ὑπουργόν· τοῦ νοός εἰς κεφαλήν, διά τῆς τῶν θειοτέρων λόγων, ὡς ἐπικαλυμμάτων ἀποβολῆς, ἀνταλλαξαμένην τῆς ἀλογίας τό πάθος· κεφαλή δέ Χριστοῦ, τουτέστι τοῦ κατά πίστιν διά τῆς κατά φύσιν τῶν γεγονότων θεωρίας ἀναλόγως τοῖς οὖσι διαφαινομένου δημιουργικοῦ Λόγου ἐστίν, ὁ κατ᾽ οὐσίαν αὐτόν γεννῶν ἀπόῤῥητος Νοῦς· πρός ὅν ὁ Λόγος δι᾽ ἑαυτοῦ τόν ἀναγόμενον διά τῆς τῶν ὄντων εὐσεβοῦς θεωρίας καθίστησι νοῦν, χορηγῶν αὐτῷ συμμέτρους κατά τήν γνῶσιν τῶν ὁρατῶν τάς νοητάς τῶν θείων ἐμφάσεις.

Καί αὖθις ἀνήρ ἐστιν ὁ τῆς μυστικῆς θεολογίας ἐντός γενόμενος νοῦς, κεφαλήν ἔχων ἀκατακάλυπτον τόν Χριστόν· τουτέστι, τόν ταῖς ἀναποδείκτοις μυσταγωγίαις ἀγνώστως νοούμενον, ἤ κυριώτερον εἰπεῖν, ἀνοήτως γινωσκόμενον λόγον τῆς πίστεως· ὑπέρ ὅν οὐδέν τίθεται τῶν ὄντων, οὐκ αἴσθητιν, οὐ λόγον, οὐ νοῦν, οὐ νόησιν, οὐ γνῶσιν, οὐ γινωσκόμενον, οὐ νοούμενον, οὐ λεγόμενον, οὐκ αἰσθητόν, οὐκ αἰσθανόμενον· ὁ τήν ἐπαινετήν καί ὑπερέχουσαν ἑαυτοῦ τε καί τῶν ὄντων παντελῶς καί διαφερόντως θεοποιόν στέρησιν συνασκούμενος νοῦς. Γυνή δέ τοῦ τοιούτου νοός ἐστιν, ἡ πάσης αἰσθητῆς φαντασίας καθαρεύουσα διάνοια, καθάπερ κεφαλήν ἔχουσα τόν νοῦν, ταῖς ἀνάρχοις καί ὑπέρ νόησιν τῶν ἀῤῥήτων καί ἀγνώστων δογμάτων ἐπιβολαῖς πεπυκασμένον. Κεφαλή δέ Χριστοῦ, τουτέστι τοῦ καθ᾽ ὑπεροχήν μυστικῶς ἀποπεφασμένου [Fr. νοουμένου] Λόγου, ἐστίν ὁ πάντων ἀπολύτως κατά πάντα τρόπον ἀπείρως ἐξῳκισμένος Νοῦς· ὅν ὡς φύσει Νοῦ Λόγος ὑπάρχων ὁ Χριστός νοούμενος, ποιεῖ γνωστόν τοῖς ἀξίοις. Ὁ γάρ ἑωρακώς ἐμέ, φησίν, ἑώρακε τόν Πατέρα. Καί γάρ ἀληθῶς ἡ τοῦ Λόγου νόησις, ἀρίδηλος τοῦ γεννήσαντος αὐτόν Νοῦν καθέστηκε γνῶσις, ὡς ἐν ἑαυτῷ δεικνύντος ὑφιστάμενον κατ᾽ οὐσίαν τόν Νοῦν, πρός ὅν ἀνάγει τόν ἐφιέμενον τῆς πρός Θεόν (333) κατά χάριν ταυτότητος νοῦν, ἀπολυθέντα τῆς ἐν πλήθει τῶν ὄντων κατά τήν νόησιν διαφορᾶς καί ταυτότητί τε καί ἁπλότητι τῆς περί Θεόν ἐπιστατικῆς ἀεικινησίας.

Πᾶς τοιγαροῦν πρακτικός νοῦς προσευχόμενος ἤ προφητεύων, τουτέστι τούς τῶν ἀρετῶν ἐξαιτούμενος λόγους (οὕτω γάρν νοητέον τό, προσευχόμενος), ἤ τούς αὐτῶν τοῖς ἔργοις ἐκφαίνων τρόπους

(οὕτω γάρ ἐκληπτέον τό, προφητεύων), μόνον ὁρᾷν ὤφειλε γυμνόν τόν τῆς πίστεως λόγον, μηδέν νοῶν ἤ λογιζόμενος, ἤ ποιῶν κατά πρόσκλισιν ἐπικαλύπτων τήν κεφαλήν, ὑπέρ αὐτήν ἄλλο τι τιθέμενος. Καί πᾶσα γυνή, τουτέστι πρακτικοῦ νοός ἕξις, προσευχομένη ἤ προφητεύουσα, ἤτοι κατά διάθεσιν ἀφανῶς κινουμένη, ἤ τοῖς ἐκτός ἤθεσι διαπλάττουσα τήν ἀρετήν, ἄνευ λογικῆς διακρίσεως, καταισχύνει τήν κεφαλήν αὐτῆς· πρός πάθος μετερχομένη τό ἀγαθόν, οἷα τοῦ καλλωπίζοντος, ὡς ἐπιβλήματος, ἐστερημένη λόγου. Καί πᾶς νοῦς τήν φυσικήν ἀσκούμενος θεωρίαν, προσευχόμεος ἤ προφητεύων, κατά κεφαλῆς ἔχων, τουτέστι, γνωστικῶς τούς τῶν ὄντων λόγους ἐπιζητῶν, ἤ τούτους διδασκαλικῶς ἄλλοις παραδιδούς, μετά τῆς πρός ἄλλο τι καθ᾽ οἷον δήποτε τρόπον ῥοπῆς, ἄνευ τοῦ κατ᾽ εὐσέβειαν σκοποῦ, καταισχύνει τήν κεφαλήν αὐτοῦ, ὡς ὑπερθέμενός τι τῶν παρερχομένων τῆς ὀρθῆς κατ᾽ εὐσέβειαν γνώσεως. Καί πᾶσα γυνή, τουτέστιν αἴσθησις, φυσικῶς τοῖς αἰσθητοῖς προσβάλλουσα, κατά κεφαλῆς μή ἔχουσα τούς νοερούς τῶν εἰρημένων λόγους αὐτήν περικαλύπτοντας, καταισχύνει τήν κεφαλήν αὐτῆς, πρός πάθος διά τήν φυσικήν σχέσιν, τῶν ὁρωμένων ἐπερχομένη θεωρίαν. Καί πᾶς νοῦς μυστικῆς γενόμενος ἐραστής θεολογίας, προσευχόμενος ἤ προφητεύεων, κατά κεφαλῆς ἔχων, τουτέστι ταῖς ἀδύτοις ἐμβατεύων ἀγνώστως θεωρίαις, ἤ διδάσκων καί μυσταγωγῶν ἄλλους πρός θεολογίαν, εἴ τινα μορφήν σχοίη νοήσεως, τόν ὑπέρ νόησιν Λόγον μυσταγωγούμενος ἤ μυσταγωγῶν, καταισχύνει τήν κεφαλήν αὐτοῦ· τόν ἁπλοῦν καί ὑπέρ ἐπέκεινα πάσης νοήσεως, ὑποθείς τινι τῶν ὄντων καί γινωσκομένων· δέον πάσης αὐτόν γυμνόν ἐννοίας καί γνώσεως ἀνομμάτως ὁρᾷν τόν ληθινόν Θεόν Λόγον, γινώσκοντα σαφῶς, ὡς ἐπί Θεοῦ μᾶλλον αἱ καθ᾽ ὑπεροχήν στερήσεις ἀληθεύουσι, ποσῶς μηνύουσαι τήν θείαν θέσιν, διά τῆς τῶν ὄντων παντελῶς ἀφαιρέσεως. Καί πᾶσα γυνή, διάνοια τοῦ τοιούτου νοός, προσευχομένη ἤ προφητεύουσα ἀκατακαλύπτῳ κεφαλῇ, τουτέστιν, ἄφετος τῆς ἐπ᾽ αὐτῇ τοῖς πολλοῖς πεπυκνωμένης μυστικοῖς θεωρήμασι νοερᾶς δυνάμεως, καταισχύνει τήν κεφαλήν αὐτῆς, ἀποβαλλομένη τήν ὡς κεφαλήν καλύπτουσαν τόν νοῦν, θείαν καί ἀπόῤῥητον γνῶσιν.

Πᾶς οὖν ἀνήρ, ἤγουν νοῦς πρακτικός, ἤ φυσικός, (336) ἤ θεολογικός, προσευχόμενος ἤ προφητεύων, τουτέστι διδασκόμενος, ἤ διδάσκων, ἀκατακάλυπτον ἐχέτω τήν κεφαλήν, τόν Χριστόν· ὁ μὲν

πρακτικός, μηδέν πίστεως καί ἀρετῆς προκρίνων· ὁ δέ φυσικός, μηδένα τοῦ πρώτου λόγου ποιούμενος ἄλλον ἀνώτερον· ὁ δέ θεολογικός, τόν ὑπέρ νόησιν καί γνῶσιν καθοτιοῦν μή σχηματίζων ταῖς διά τῶν ὄντων νοήσεσι. Καί πᾶσα γυνή, τουτέστιν ἕξις πρακτικοῦ, ἤ αἴσθησις φυσικοῦ, ἤ σοφή διάνοια θεολογικοῦ νοός, κατακαλυπτέσθω τήν κεφαλήν· ἡ μέν πρακτική ἕξις, τῶν ποιητέων καί οὐ ποιητέων ἐπικειμένην ἔχουσα τήν τοῦ λόγου διάκρισιν· ἡ δέ αἴσθησις, τήν ἐπί τοῖς ὁρωμένοις ἐπιστημονικήν τοῦ λόγου δύναμιν· ἡ δέ διάνοια, τήν παντελῶς ἀναπόδεικτον τῶν ὑπέρ νόησιν γνῶσιν. Πᾶσα γάρ ἕξις, ἤ αἴσθησις, ἤ διάνοια, μή καλυπτομένη κατά τόν ἀποδοθέντα τρόπον, οὐδέν διαφέρει τῆς ἐξυρημένης, τουτέστι, τῆς μηδένα λόγον ἐχούσης ἀρετῆς, ἤ θεοσεβείας, ἤ γνώσεως μυστικῆς καί θείας ἀγάπης.

Ὀφείλει οὖν ἔχειν, καί διά τό εἰκός, πᾶσα τοιαύτη γυνή, τήν ἐξουσίαν τοῦ λόγου διά παντός ἐπί τῆς κεφαλῆς, λέγω δέ τήν λογικήν ἐπιστασίαν, καί μάλιστα διά τούς ἀγγέλους, τούς θεωμένους ἡμῶν τά τε φανερά καί ἀφανῆ κινήματα, καί ἀπογραφομένους πᾶν νόημα καί ποίημα πρός ἔπαινον ἤ ἔλεγχον ἡμῶν, ἐν τῇ φοβερᾷ ἡμέρᾳ τῆς διαγνώσεως· καί διά τούς κατά συνείδησιν λογισμούς, καί αὐτούς ἀγγέλους τροπικῶς νοουμένους, ἐπί τοῖς γινομένοις παρ᾽ ἡμῶν κατηγοροῦντας, ἤ καί ἀπολογουμένους νῦν τε καί ὕστερον κατά τήν ἡμέραν τῆς κρίσεως· καί διά τούς πονηρούς ἀγγέλους, τούς φυλαττομέους ἡμῶν καί ἕξιν καί αἴσθησιν καί διάνοιαν· ἵνα ἐπάν εἴδωσι γυμνωθέντας τῆς λογικῆς τε καί νοερᾶς διακρίσεώς τε καί εὐσεβείας καί γνώσεως, ἐπιθῶνται, τήν τῶν ἐναντίων αὐταῖς δημιουργοῦντες γένεσιν· ἀδιακρισίαν λέγω, καί ἀσέβειαν καί ἄγνοιαν· δι᾽ ὧν κακίαν καί πλάνην καί ἀθεΐαν ἐνεργεῖν οἱ πονηροί πεφύκασι δαίμονες. Κεφαλή δέ Χριστοῦ ὁ Θεός εἴρηται, ὡς Λόγου φύσει νοῦς κατ᾽ αἰτίαν ἀρχή.

ΣΧΟΛΙΑ.

α' . Ἀνήρ ἐστι καί ὁ πρακτικήν φιλοσοφίαν μετερχόμενος.

β'. Κεφαλήν εἶπεν τόν Χριστόν, ὡς ὑπόστασιν τῶν μελλόντων ἀγαθῶν. Ἡ γάρ πίστις, κατά τόν θεῖον Ἀπόστολον, μελλόντων ἐστίν ὑπόστασις, καί πραγμάτων ἔλεγχος οὐ βλεπομένων· ὅπερ ἐστίν αὐτός, ἐν ᾧπερ εἰσίν οἱ θησαυροί τῆς σοφίας ἀπόκρυφοι, καί τῆς γνώσεως.

γ'. Ἐνυπόστατος πίσις ἐστίν, ἡ ἐνεργής καί ἔμπρακτος, καθ᾽ ἥν ὁ τοῦ Θεοῦ Λόγος ἐν τοῖς πρακτικοῖς δείκνυται ταῖς ἐντολαῖς σωματούμενος· δι᾽ ὧν ὡς Λόγος πρός τόν ἐν ᾧ κατά φύσιν ἐστίν ἀνάγει Πατέρα τούς πράττοντας.

(337) δ'. Ὅτι ἀνήρ ἐστιν καί ὁ τήν φυσικήν θεωρίαν εὐσεβῶς ἀσκούμενος νοῦς, τόν κατά πίστιν τῇ διανοίᾳ θεωρητόν τοῦ Θεοῦ Λόγον κεφαλήν ἔχων, ὡς αἰτίαν τῆς τῶν ὁρωμένων γενέσεως.

ε'. Τήν κτίσιν εἴ τις ἐθέλει καλῶς ὁρᾷν (ἔχει γάρ δύναμιν ἄνθρωπος φυσικήν τοῦ καλῶς ὁρᾷν, καί διακρίνειν τό κρεῖττον ἀπό τοῦ χείρονος), πρός τό τῆς ζωῆς χειραγωγηθήσεται ξύλον, ὅπερ ἐστίν, ὁ παντός ξύλου δημιουργός Θεός· Ἐν ᾧ οἱ θησαυροί τῆς σοφίας καί τῆς γνώσεως ἀπόκρυφοι. Εἰ δέ τῇ φυσικῇ δυνάμει παραχρησάμενος, κακῶς ὁρᾷν τήν κτίσιν βουληθῇ, πόῤῥω τε στήσεται τῆς ζωῆς, καί τό ξύλον φάγεται τό διάκρισιν ἔχον καλοῦ καί κακοῦ· τῇ αἰσθήσει καί ἀλογίᾳ τόν νοῦν ὑποτάξας ἀλόγως καί τόν λόγον. Καί καλόν μέν τήν ἡδονήν διά τήν τοῦ σώματος ἡγούμενος σύστασιν· κακόν δέ, τήν ὀδύνην, διά τήν αὐτήν αἰτίαν, καί τούς πόνους τοῦ σώματος, καί εἰς Θεόν τήν κτίσιν παραγνωρίζων, ὡς δι᾽ αὐτῆς τάς ἀφορμάς τῆς σωματικῆς ἡδονῆς πορίζόμενος.

στ '. Ἐπειδή, φησίν, συνεπινοεῖται πάντως τῷ γενεσιουργῷ τῶν ὄντων Λόγῳ καί ὁ Νοῦς, πρός ὅν ἔχει κατ᾽ αἰτίαν τήν ἀναφοράν ὁ Λόγος· κεφαλήν τοῦ Χριστοῦ τόν Πατέρα κέκληκεν ὡς Νοῦν Λόγου κατά φύσιν γεννήτορα.

ζ '. Fr. Ἐκ γάρ τῆς οὐσίας τῶν ὁρατῶν καί τῆς κινήσεως καί τῆς διαφορᾶς, τήν τρισυπόστατον ἁγίαν μονάδα γινώσκομεν. Ὡς ἀλλαχοῦ ἐν τῷ. . . . . . ῷ τινι μέν ἐξάγεται, φησίν ὁ διδάσκαλος.

η '. Ὅτι ἀνήρ ἐστι, καί ὁ τήν μυστικήν διδασκόμενος θεολογίαν.

θ'. Καθ᾽ ὑπεροχήν ἐκδέχου τό ἀνοήτως. Ὑπέρ νόησιν γάρ τό πιστευόμενον, ὅπερ ἐστίν ὁ Θεός.

ι '. Ὁ τήν ἄμεσον τῇ καθ᾽ ὑπεροχήν στερήσει τῶν γενητῶν πρός τόν ἐπέκεινα παντός λόγου Λόγον ἀγνώστως λαβών, φησίν, αὐτοψίαν, αὐτόν ἔχει κεφαλήν τόν πάντη μονώτατον Λόγον· ὑπέρ ὅν ἤ μεθ᾽ οὗ, ἤ μεθ᾽ ὅν ἕτερος φύσει καθάπαξ οὐχ ὑφέστηκε λόγος, οὗ ὁ εἷς φύσει Νοῦς ὑπάρχει γεννήτωρ· πρός ὅν ὡς κεφαλήν ἀνάγων διά τοῦ συμφυοῦς κατ᾽ οὐσίαν Πνεύματος τόν ἑπόμενον συνίστησι νοῦν.

ια'. Τοῦ μέν πρακτικοῦ γυναῖκά φησιν εἶναι τήν ἕξιν, ὡς τῶν κατ᾽ ἀρετήν τρόπων γεννητικήν· τοῦ δέ φυσικοῦ, τήν ἐξευγενισθεῖσαν τοῖς

λόγοις τοῦ πνεύματος αἴσθησιν, ὡς τίκτουσαν τάς τῶν ὄντων ἀπαθεῖς φαντασίας· τοῦ δέ θεολογικοῦ τήν καθαράν διάνοιαν τοῦ ἑνός τρισφαοῦς φωτός μοναδικῶς δεκτικήν.

ιβ'. Χριστόν λέγει τόν ὑπερούσιον, καί ὑπερουσίως σαρκωθέντα Λόγον, ὅτι μηδέ τήν σάρκωσιν αὐτοῦ λόγῳ φυσικῷ κατέλαβε νοῦς. Τούτου δέ κεφαλήν (340) φησι, τόν κατά φύσιν ἀναίτιον Νοῦν, κατ᾽ αἰτίαν φύσει τῷ Λόγῳ συνεπινοούμενον. Ὁ γάρ πίστει τόν Λόγον ἑωρακώς, ἀχρόνως αὐτῷ Λόγῳ τόν τοῦ Λόγου γεννήτορα Νοῦν, ὡς ἐν αὐτῷ κατ᾽ οὐσίαν ὄντα, μυστικῶς συνεώρακεν. Φασί δέ τινες Χριστόν μέν λέγεσθαι τοῦ Χριστοῦ τόν ἀνθρώπινον, ὡς τοῦ παντός, ἤγουν τῆς ὅλης φύσεως κεφαλήν. Οὗπερ ἀνθρωπίνου δῆλον, ἡ τοῦ Χριστοῦ θεότης καθέστηκε κεφαλή. Τῇ γάρ ὀνομασίᾳ τοῦ ὅλου τά μέλη καλέσαντες, ὀρθήν ἐκδεδώκασιν ἔννοιαν.

ιγ'. Πρός τόν Θεόν τοῦ τελειωθέντος νοῦς κατά χάριν ταυτότης, ἐστίν ἡ περί τό φύσει ταυτόν ἁπλῆ καί ἀδιαίρετος κίνησις, περί ἥν νοητῶν ἀνάληψις οὐκ ἔστι, ποσῷ τε τῷ κατ᾽ οὐσίαν καί τῷ κατά δύναμιν ποιῷ διαφερόντων· ἀλλ᾽ ἀπόλαυσις ἄῤῥητος αἴσθησιν ἔχουσα τήν ὑπέρ ἔννοιαν.

ιδ'. Προσευχήν λέγει τοῦ μέν πρακτικοῦ, τήν τῶν ἀρετῶν αἴτησιν· προφητείαν δέ, τῶν ἐν αὐταῖς λόγων τήν ἀληθῆ διδασκαλίαν· τοῦ δέ φυσικοῦ προσευχήν φησιν εἶναι, τῆς περί τῶν ὄντων ἐπιστημονικῆς γνώσεως αἴτησιν· προφητείαν δέ, τήν ταύτης κατά τήν ἀληθῆ διδασκαλίαν εἰς ἀλλήλους μετάδοσιν· τοῦ δέ θεολογικοῦ προσευχήν εἶναι λέγει, τήν ἀπόῤῥητον σιγήν· καθ᾽ ἥν ὁ νοῦς ὑπεροχικῶς τῇ στερήσει τῶν ὄντων ἄξιος γίνεται τῆς ὑπέρ νόησιν καί γνῶσιν ἑνώσεως· προφητείαν δέ, τήν ἄλλων περί τούτων μυσταγωγίαν. Ἡ γάρ προσευχή πρός Θεόν ποιεῖται τοῦ προσευχομένου τήν ἕνωσιν· ἡ δέ προφητεία διά Θεόν τοῖς ἀνθρώποις κοινωνῆσαι τῶν δοθέντων καλῶν πείθει τόν προφητεύοντα.

ιε '. Ὅταν τό Θεῖον καταφάσκωμεν τῶν ὄντων, φησί, συνεπινοοῦμεν αὐτό τοῖς οὖσιν· ἀλλ᾽ ὡς αἰτίαν ποιητικήν. Ὅταν δέ τῶν ὄντων αὐτό παντελῶς ἀποφάσκωμεν, οὔτε κατ᾽ αἰτίαν αὐτό συνεπινοοῦμεν τοῖς οὖσιν· ὅτι μηδεμίαν, ἀληθῶς εἰπεῖν, ἔχει πρός τά ὄντα σχέσιν· καθ᾽ ἥν τήν ἐπ᾽ ἀμφοῖν ὧν ἐστι σχέσις ἔννοιαν ἅμα συναναφέρειν πεφύκαμεν. Οὐκοῦν ὁ καλός θεολόγος τήν καθ᾽ ὑπεροχήν ἀγνωσίαν θέσιν γνώσεως ἀληθοῦς ποιεῖται, τοῦ Θεοῦ τό παντελῶς ἀνεννόητον.

*ΕΡΩΤΗΣΙΣ Κστ΄.*

***Εἰ ὁ βασιλεύς Βαβυλῶνος ἀλληγορεῖται εἰς τόν διάβολον, τίς ὁ λόγος ὅν διά [Gist. ᾠδιά] τοῦ, προφήτου Ἱερεμίου ἀπειλεῖ τοῖς βασιλεῦσι τῶν ἐθνῶν, καί τῷ βασιλεῖ Ἰούδα· κλοιούς καί δεσμούς, καί λιμόν, καί θάνατον, καί μάχαιραν, καί αἰχμαλωσίαν, ἐάν μή αὐτῷ δουλεύσωσι; Τοῖς δέ ἑκουσίως δουλεύουσι, μετά ἀνέσεως εἶναι ἐπί τῆς γῆς αὐτῶν· καί ὅτι δοῦλον αὐτόν προσαγορεύει, λέγων· " Ἐγώ ἔδωκα πᾶσαν τήν γῆν (341) Ναβουχοδονόσορ βασιλεῖ Βαβυλῶνος, τῷ δούλῳ μου, καί τά θηρία τοῦ ἀγροῦ δέδωκα δουλεύειν αὐτῷ." Τίς οὖν ἐστιν ἡ τοῦ διαβόλου δουλεία, καί τίνα τά θηρία, καί τίνα τά ἕξ εἴδη τῆς ἀπειλῆς, καί τίνες οἱ βασιλεῖς τῶν ἐθνῶν, καί ὁ βασιλεύς Ἰούδα;***

Ἀπόκρισις.

Ὁ διάβολος καί ἐχθρός ἐστι τοῦ Θεοῦ, καί ἐκδικητής· ἐχθρός μέν, ὅταν ὡς μισῶν αὐτόν, δοκῇ πως τήν ὀλέθριον κεκτῆσθαι πρός ἡμᾶς τούς ἀνθρώπους ἀγάπην, τοῖς τῶν ἑκουσίων παθῶν τρόποις διά τῆς ἡδονῆς πείθων ἡμῶν τήν προαίρεσιν τῶν αἰωνίων ἀγαθῶν προκρίνειν τά πρόσκαιρα· δι᾽ ὧν κλέπτων ὅλης τῆς ψυχῆς τήν ἔφεσιν, τῆς θείας ἡμᾶς παντελῶς ἀγάπης ἀφίστησιν, ἑκουσίους ἐχθρούς ποιῶν τοῦ ποιήσαντος· ἐκδικητής δέ, ὅταν γυμνώσας τό πρός ἡμᾶς μῖσος, ὡς ἤδη γενομένους αὐτῷ διά τήν ἁμαρτίαν ὑποχειρίους, ἐξαιτεῖται τήν καθ᾽ ἡμῶν τιμωρίαν. Οὐδέν γάρ οὕτω φίλον τῷ διαβόλῳ καθέστηκεν, ὡς ἄνθρωπος τιμωρούμενος. Τοῦτο δέ συγχωρηθείς, τάς ἐπαλλήλους ἐπινοῶν τῶν ἀκουσίων παθῶν ἐπαγωγάς, λαίλαπος δίκην ἀπηνῶς ἐπιφέρεται, τοῖς καθ᾽ ὧν ἐκομίσατο συγχωρήσει Θεοῦ τήν ἐξουσίαν· οὐ τό πρόσταγμα τό θεῖον ἐκπληρῶσαι βουλόμενος, ἀλλά τό οἰκεῖον τοῦ καθ᾽ ἡμῶν μίσους διαθρέψαι πάθος ἐπιθυμῶν· ἵνα τῷ πολλῷ μέτρῳ τῶν ὀδυνηρῶν συμφορῶν ἡ ψυχή δι᾽ ἀτονίαν ὀκλάσασα, τῆς θείας ἐλπίδος ἑαυτῆς περικόψῃ τήν δύναμιν· ἀντί νουθεσίας, ἀθεΐας αἰτίαν ποιουμένη τήν τῶν ἀλγεινῶς συμβαινόντων ἐπαγωγήν.

Ἀγαθός γάρ ὑπάρχων ὁ Θεός, καί θέλων ἡμῶν ἐκτῖλαι παντελῶς τό τῆς κακίας σπέρμα, τήν ἡδονήν τήν τόν νοῦν τῆς θείας ἀποσυλῶσαν ἀγάπης, συγχωρεῖ τῷ διαβόλῳ πόνους ἡμῖν καί τιμωρίας ἐπαγαγεῖν· κατά ταυτόν καί τῆς προλαβούσης ἡδονῆς τόν ἰόν, διά τῶν πόνων τῆς ψυχῆς ἀποξέων, καί πρός τά παρόντα καί μόνην τήν αἴσθησιν σαίνοντα, μῖσος ἡμῖν καί τελείαν ἀποδιάθεσιν, ὡς μηδέν

τιμωρίας πλέον εἰς κέρδος κεκτημένα κατά τήν χρῆσιν, ἐμποιῆσαι βουλόμενος· καί τήν ἐκείνου τιμωρόν δύναμιν καί μισανθρωπίαν, τῆς πρός ἀρετήν ἐπαγαγωγῆς περιστατικήν αἰτίαν ποιήσασθαι, τῶν αὐτῆς ἑκουσίως ἀπολισθησάντων.

Ὡς οὖν κατά συγχώρησιν τιμωρούμενος τούς ἁμαρτάνοντας ὁ διάβολος τοῦ Θεοῦ κέκληται δοῦλος, ἀποστάτης ὤν καί ληστής πονηρός, καί τοῖς ἑκουσίως διά τῆς ἡδονῆς ἀφισταμένοις τοῦ Θεοῦ, τήν γνώμην ἔχων πάνυ κατάλληλον. Πρέπον γάρ ἐστιν ὑπό τοῦ διαβόλου κολάζεσθαι τούς τάς αὐτοῦ πονηράς ὑποθήκας τῶν ἑκουσίων ἁμαρτημάτων ἡδέως δεξαμένους· οὕτω μέν οὖν καί ἡδονῆς ἐστι διά τῶν ἑκουσίων παθῶν σπορεύς ὁ διάβολος, καί ὀδύνης διά τῶν ἀκουσίων ἐπαγωγεύς.

(344) Ὅταν οὖν οἱ τήν Ἰουδαίαν καί τήν Ἱερουσαλήμ οἰκοῦντες, τουτέστι, τήν πρακτικήν ἕξιν, ἤ τήν θεωρητικήν ἀπειληφότες ἐπιστήμην, πρός τήν τῶν ἀνθρώπων ταύτας μετέρχονται δόξαν· ἤθη μέν ἀρετῶν τῷ φαινομένῳ τρόπῳ σκιαγραφοῦντες· λόγους δέ σοφίας καί γνώσεως μόνους λαλοῦντες, δίχα τῶν κατά δικαιοσύνην ἔργων, καί τόν ἐπ᾿ ἀρετῇ καί γνώσει τοῖς ἄλλοις ἐπιδείκνυνται τῦφον· εἰκότως τοῖς πρέπουσι παραδίδονται πόνοις, διά τοῦ πάσχειν τήν ἀγνοηθεῖσαν αὐτοῖς ἐκ τῆς ματαίας οἰήσεως ταπεινοφροσύνην μεταμανθάνοντες· ὅπερ εἰδώς καί ὁ θαυμάσιος Ἀπόστολος, παρέδωκε τῷ Σατανᾷ τόν παρανομήσαντα Κορίνθιον, εἰς ὄλεθρον τῆς σαρκός, ἵνα τό πνεῦμα σωθῇ ἐν ἡμέρᾳ τοῦ Κυρίου Ἰησοῦ. Διά τοῦτο τῆς Ἰουδαίας καί Ἱερουσαλήμ ὁ βασιλεύς παραδίδοται τῷ βασιλεῖ τῶν Ἀσσυρίων, τουτέστιν, ὁ θεωρητικός νοῦς καί γνωστικός πρός τιμωρίαν ἐκδίδοται τῷ διαβόλῳ, πόνους αὐτῷ δικαίως ἐπάγοντι καί συμφοράς· ἵνα μάθῃ πάσχων, περί καρτερίας μᾶλλον, καί πόνων ὑπομονῆς φιλοσοφεῖν, ἤ διακενῆς τοῖς οὐκ οὖσιν ὑπερηφάνως ἐμματαιάζειν.

Πᾶς οὖν ἀνεχόμενος ἑκουσίως ἐκ τῆς τῶν αὐτῷ πεπραγμένων συναισθήσεως, δέξασθαι τάς ἐπιπόνους τῶν ἀκουσίων ἐπιφοράς πειρασμῶν, μετά τῆς δεούσης εὐχαριστίας, οὐκ ἐξοικίζεται τῆς κατ᾿ ἀρετήν καί γνῶσιν ἕξεώς τε καί χάριτος· καθάπερ οἱ πάλαι τῆς Ἰουδαίας καί Ἱερουσαλήμ· ὡς ὑπελθών ἑκουσίως τόν ζυγόν βασιλέως Βαβυλῶνος, καί ὡς χρέος ἀποτιννύς, τάς τῶν βασάνων ἐπιφοράς καταδεχόμενος· καί ἐν αὐταῖς μένων, τελεῖ τῷ μέν βασιλεῖ Βαβυλῶνος τούς ἐκ τοῦ παθητοῦ τῆς φύσεως βιαίους πόνους, καί τήν ἐπ᾿ αὐτοῖς κατά τήν διάνοιαν ὡς ὀφειλέτης αὐτοῦ διά τάς προλαβούσας

πλημμελείας συγκατάθεσιν· τῷ δέ Θεῷ προσφέρει διά λατρείας ἀληθοῦς, τῆς ταπεινῆς λέγω διαθέσεως, τήν τῶν πεπλημμελημένων διόρθωσιν.

Ὁ δέ τήν κατά συγχώρησιν Θεοῦ πρός διόρθωσιν ἐπαγομένην αὐτῷ διά τῶν ἀκουσίων πειρασμῶν συμφοράν εὐχαρίστως μή καταδεχόμενος, καί τήν ἐπί τῷ δοκεῖν δίκαιον εἶναι ματαγνούς οὐκ ἀποτιθέμενος οἴησιν, ὡς τοῖς θείοις τῶν δικαίων κριμάτων ἐμπίπτων θεσπίσμασι, κατά τούς πάλαι τῆς Ἰουδαίας οἰκήτορας, καί μή καταδεχόμενος ἑκουσίως ὑπό τόν ζυγόν γενέσθαι τοῦ βασιλέως Βαβυλῶνος, κατά τήν θείαν διαταγήν, εἰς αἰχμαλωσίαν παραδίδοται τῷ βασιλεῖ Βαβυλῶνος, καί κλοιούς, καί δεσμά, καί θάνατον, καί λιμόν, καί μάχαιραν, καί τῆς ἰδίας παντελῶς ἀποικίζεται γῆς· τουτέστι, τῆς κατ᾽ ἀρετήν καί γνῶσιν εἶναι δοκούσης ἕξεως· διά μέν τῆς αἰχμαλωσίας, τήν τῶν θείων ἀπόστασιν κατακρινόμενος· διά δέ τῶν κλοιῶν, τήν ψευδῆ περί τῶν ὄντων δόξαν· διά δέ τῶν δεσμῶν, τήν παντελῆ τῶν καλῶν ἀπραξίαν· διά τοῦ λιμοῦ, τήν τῶν θείων στέρησιν διδαγμάτων· διά δέ τοῦ θανάτου, τήν τελείαν πρός τά καλά πώρωσίν τε καί ἀναισθησίαν· διά δέ τῆς μαχαίρας, τούς τῶν θείων μνημῶν ἀναιρετικούς ἐμπαθεῖς καί ἀκολάστους λογισμούς.

(345) Πάντα γάρ ταῦτα, καί τούτων πλείονα, ὁ τῆς κατ᾽ ἀρετήν καί γνῶσιν ὡς ἰδίας γῆς ἐξοικιζόμενος ἕξεως, πάσχει· διά τό μή θέλειν αὐτόν ἐξ ὑπερηφανίας καί ματαίας οἰήσεως, τάς ἐφ᾽ οἷς ἐπλημμέλησεν ἐκτιννύς δίκας, ἐν θλίψεσιν εὐδοκῆσαι καί ἀνάγκαις καί στενοχωρίαις κατά τόν θεῖον Ἀπόστολον, καίτοι πάσης τῆς ἐπί τούτοις ὀφειλῆς ὄντα διά τήν δικαιοσύνην ἐλεύθερον. Ἤιδει γάρ ὁ μέγας Ἀπόστολος, φυλακτικήν τῶν θείων κατά ψυχήν θησαυρῶν ὑπάρχουσαν, τήν ἐκτός περί τό σῶμα συνισταμένην διά τῶν πόνων ταπείνωσιν· καί διά τοῦτο, στέργων ὑπέμενε, καί δι᾽ ἑαυτόν, καί τούς, οἷς ἀρετῆς καί πίστεως προέκειτο τύπος· ἵνα κἄν ὡς ὑπεύθυνοι πάσχωσι κατά τόν ἐπιτιμηθέντα Κορίνθιον, εἰς παρηγορίαν ἔχωσι καί ὑπομονῆς μίμησιν [Fr. et. Reg. ὑπομονήν καί μίμησιν], τόν ἀνευθύνως πάσχοντα.

Τούς δέ βασιλεῖς τῶν ἐθνῶν εἶναι νομίζω κατά τοῦτον τῆς Γραφῆς τόν τόπον, τούς τῶν λοιπῶν τῆς ἀτιμίας παθῶν ἐπάρχοντας ἀνθρώπους [ἴσ. λογισμούς], καί αὐτούς ὑποκειμένους ἐνδίκως τῇ τιμωρίᾳ τῶν οἰκείων ὀφλημάτων· καί διά τοῦτο τῷ βασιλεῖ Βαβυλῶνος παραδιδομένους ὡς τιμωρῷ δυνάμει, καί χαιρούσῃ τῇ βασάνῳ τῆς

φύσεως. Ἔστιν οὖν ὁ μέν Αἰγύπτιος βασιλεύς, ὁ φιλήδονος νοῦς καί ἀκόλαστος· ὁ δέ Μωαβίτης, ὁ τρυφητής καί βέβηλος νοῦς· ὁ δέ Ἀμμανίτης, ὁ πλεονεκτικός νοῦς· ὁ δέ Σύρος, ὁ δεισιδαίμων καί διαλεκτικός νοῦς· μόνος γάρ ἀντικεῖσθαι γέγραπται τῷ Σαλομῶν ὁ Σύρος, τουτέστι, τῇ εἰρήνῃ καί σοφίᾳ· ὁ δέ Τύριος, ὁ φιλόκοσμος νοῦς καί φιλόζωος· καί οἱ λοιποί πάντες βασιλεῖς, οὕς γνώσεται διά τῆς οἰκείας σημασίας ὁ γνωστικός ἐκ τῆς ὀνομάτων ἑρμηνείας, ἤ τῆς τῶν τόπων θέσεως, ἤ τῆς κρατούσης ἐν αὐτοῖς γενικῆς παραδόσεως, ἤ τῆς ἐν ἀλλήλοις ἐπιτηδεύσεως, ἤ τῆς πρός Ἰσραήλ ποιᾶς ἀντιπαθείας. Οὐ γάρ πάντοτε καί πάντες ὡσαύτως καί καθ᾽ ἕν σημαινόμενον λαμβάνονται· ἀλλά πρός τήν προκειμένην χρείαν, καί τῆς προφητείας τήν δύναμιν.

Ἐπείτοι γε καί εἰς τόν διάβολον οἶδεν ἡ Γραφή λαμβάνειν τόν Φαραώ, ὅταν ἀναιρέτης γίνηται τοῦ Ἰσραήλ· καί πάλιν εἰς τόν τῆς φύσεως νόμον, ὅταν αὐτῷ δουλεύῃ κατ᾽ οἰκονομίαν ὁ Ἰωσήφ, προφητικῶς δι᾽ ἑαυτοῦ σημάνας τόν φύσει καί πάθεσιν ἡμετέροις ἑκουσίως δουλεύοντα Θεόν Λόγον, δίχα μόνης ἁμαρτίας. Ὁμοίως καί ὁ βασιλεύς Τύρου νοεῖται εἰς τόν διάβολον, ὅταν τόν Ἰσραήλ διά τοῦ Σισάρα πολεμῇ· καί πάλιν εἰς τόν φυσικόν νόμον, ὅταν σπένδηται τῷ Δαβίδ, καί εἰς τήν οἰκοδομήν τοῦ θείου ναοῦ τῷ Σολομῶν πλεῖστα συμβάλλεται· καί εἰς ἄλλα πολλά σημαινόμενα, ἕκαστος τῶν ἀπηριθμημένων τῇ Γραφῇ βασιλέων, παραλαμβάνεται [Fr.λαμβάνεται]· κατά μέντοι τήν ὑποκεμένην τῇ προφητείᾳ δύναμιν.

Τά δέ θηρία ἅπερ δίδωσιν ὁ Θεός τῷ βασιλεῖ Βαβυλῶνος, εἰσίν οἱ δαίμονες, ἕκαστος κατά τήν ἐνδιαθέτως ἐπικειμένην ἐπιτηδειότητα πρός τήνδε ἤ τήνδε (348) τῶν πειρασμῶν ἐπαγωγήν λειτουργῶν. Ἄλλος γάρ ἄλλης ἐμποιητικός κακίας, καί ἄλλος ἄλλους σαφῶς ἐστι μιαρώτερος· καί πρός τόδε μᾶλλον τό εἶδος τῆς κακίας ἐπιτηδειότερος. Οὔτε γάρ αὐτοί οἱ δαίμονες ἄνευ θείας συγχωρήσεως κατ᾽ οὐδέν ὑπουργεῖν δύνανται τῷ ἀρχεκάκῳ διαβόλῳ· ἵνα καθώς οἶδεν αὐτός ὁ Θεός, μετά τῆς δεούσης καί φιλανθρώπου καί ἀγαθοῦ προνοίας, συγχωρῇ τῷ διαβόλῳ διά τῶν αὐτοῦ ὑπουργῶν, τάς ἐφ᾽ οἷς ἡμάρτομεν διαφόρους ποιεῖσθαι τιμωρίας. Καί δηλοῖ τοῦτο σαφῶς ἡ περί τοῦ Ἰώβ συγγραφή, μή δυνάμενον τῷ Ἰώβ προσπελάσαι τόν διάβολον ἀναγραφομένη δίχα τῆς θείας συγχωρήσεως.

Ἀλλά καί Ναβουχοδονόσορ αὐτός ὁ τῆς Βαβυλωνίας βασιλεύς, λαμβάνεται πολλάκις εἰς τόν φυσικόν νόμον. Καί τοῦτο δηλοῦσι

γράφοντες τοῖς ἐν Ἱερουσολύμοις, οἱ τόν πνευματικόν νόμον στέρξαι μή δυνηθέντες, καί διά τοῦτο πρός τήν Βαβυλωνίαν κατασυρέντες γῆν· λέγω δέ τήν ἕξιν τῆς κατά τήν ὕλην συγχύσεως· εὔξασθαι ὑπέρ τῆς ζωῆς Ναβουχονόσορ βασιλέως Βαβυλῶνος, καί τῆς ζωῆς Βαλτάσαρ τοῦ υἱοῦ αὐτοῦ· τοῦ φυσικοῦ νόμου δηλαδή, καί τῆς αὐτοῦ κατά τήν κίνησιν ἕξεως· ὑφ᾽ οὕς τότε γεγόνασιν, ἵνα ὦσιν αἱ ἡμέραι αὐτῶν ὡς αἱ ἡμέραι τοῦ οὐρανοῦ. Διά τούτων παρακαλοῦντες εὔξασθαι τούς ἐν τῇ ἀπαθείᾳ τῆς ἀρετῆς, καί τῇ ἀληθείᾳ τῆς γνώσεως μείναντας, ἵνα ὦσι τά νοήματα τοῦ κατά φύσιν νόμου, καί τῆς αὐτοῦ κατά τήν κίνησιν ἕξεως, ἐν ᾧ, τόν πνευματικόν ἀπολιπόντες νόμον, γεγόνασιν· ὡς τά θεῖα νοήματα τοῦ νόμου τοῦ πνεύματος· ἡμέρας καλέσαντες τά νοήματα· οὐρανόν δέ, τόν πνευματικόν νόμον· ἐζήτουν γάρ μή ἀπᾴδειν τοῦ πνευματικοῦ νόμου, τόν ὑφ᾽ ὅν γεγόνασι φυσικόν καί ἐπίμοχθον νόμον.

Τούτοις συμφωνεῖ καί τό πρός αὐτόν κατά τήν θείαν ἀπειλήν μυστικῶς εἰρημένον ὑπό τοῦ μεγάλου Δανιήλ, τό θεαθέν ὄναρ ἑρμηνεύοντος· Καί σέ ἐκδιώξουσιν ἀπό τῶν ἀνθρώπων, καί μετά θηρίων ἀγρίων ἔσται ἡ κατοικία [Seg. 1, κατοίκησίς] σου, καί χόρτον ὡς βοῦν ψωμιοῦσί σε, καί ἀπό τῆς δρόσου τοῦ οὐρανοῦ αὐλισθήσῃ· καί ἑπτά καιροί ἀλλαγήσονται ἐπί σέ, ἕως οὗ γνῷς ὅτι κυριεύει ὁ Ὕψιστος τῆς βασιλείας τῶν ἀνθρώπων καί ᾧ ἐάν θέλει δώσει αὐτήν· καί ὅτι εἶπεν· Ἐάσατε τήν φυήν τοῦ δένδρου τῶν ῥιζῶν ἐν τῇ γῇ, ἡ βασιλεία σου σοί μενεῖ, ἀφ᾽ ἧς ἄν γνῷς τήν βασιλείαν τήν ἐπουράνιον. Ἐκδίωξιν μέν λέγων τάχα τήν εἰς τόν κόσμον τοῦτον διά τήν παράβασιν ἐκ τοῦ παραδείσου ἐκβολήν, καί τῆς μετά τῶν ἁγίων ἀγγέλων διαίτης ἀλλοτρίωσιν· ἤγουν τήν ἐκ τῶν νοητῶν θεαμάτων πρός τήν κατ᾽ αἴσθησιν τοῦ νόμου τῆς φύσεως σχέσιν· τήν δέ μετά τῶν ἀγρίων θηρίων κατοικίαν, τήν μετά τῶν παθῶν καί τῶν ἐνεργούντων αὐτά δαιμόνων καταμονήν, ἤγουν κατοικίαν καί συναναστροφήν σημαίνων. Ὁ δέ χόρτους ὅν ἐψώμισαν αὐτόν, [οἱ ἄνθρωποι Gisl. ἄγγελοι, ita etiam Fr. Ad marg.] δῆλον , ἀλλ᾽ οὐχί τά θηρία, μεθ᾽ ὧν ἔσχε τήν κατοικίαν· ἐκεῖνα γάρ οὐ ψωμιοῦσιν, (349) ἀλλά σπαράττουσιν), ἡ κατ᾽ αἴσθησίν ἐστι τῶν φαινομένων φυσική κατανόησις, καί κατ᾽ ἀρετήν ἐπίπονος πρᾶξις. Ἅπερ ὡς χόρτον χορηγοῦσι τοῖς ἀνθρώποις οἱ ἄγγελοι.

Τό δέ ἀπό τῆς δρόσου τοῦ οὐρανοῦ αὐλισθῆναι, τό διά τῆς θείας προνοίας ἐσχηκέναι τήν ἐν τούτοις οὖσαν δύναμιν. Δρόσον γάρ

οὐρανοῦ, τήν πρόνοιαν ἐκάλεσεν ὁ λόγος, δι᾽ ἧς ἐν τῷ αἰῶνι τούτῳ μετά τήν τῶν ἀπηριθμημένων τήν συντήρησιν ἔσχεν ὁ ἄνθρωπος· ἤτοι ὁ κατά φύσιν νόμος, παντελῶς μή διαφθει ρόμενος· ἤ τυχόν ἡ διά τῶν φαινομένων γινομένη κατά χάριν Θεοῦ περί τῶν νοουμένων σύμμετρος γνῶσις· δι᾽ ἥν ἐστιν ὁ ἄνθρωπος ἐνταῦθα τῇ ἐλπίδι τῶν μελλόντων κρατούμενος.

Τό δέ, Ἑπτά καιροί ἀλλαγήσονται ἐπί σέ, τήν κατά τόν αἰῶνα τοῦτον ἑβδοματικήν τοῦ χρόνου παράτασιν δηλοῖ, ὑφ᾽ ἥν γέγονε, τήν φυλακήν τῆς οἰκείας ἕξεως καί ἐνεργείας ἐάσας ὁ κατά φύσιν νόμος, καί μεθ᾽ ἥν συντελουμένην κατά τήν προσδοκωμένην ἀνάστασιν, διά τῆς ἀποβολῆς τῶν ἰδιωμάτων τῶν ἀλόγων, πρός ἑαυτόν ἐπανελεύσεται πάλιν, τήν ἐξ ἀρχῆς εὐκληρίαν τῆς βασιλείας ἀπολαμβάνων· ἐπιγνούς διά τῆς κατά τόν αἰῶνα τοῦτον προνοητικῆς οἰκονομίας, τό κράτος τῆς ἀληθοῦς βασιλείας. Τό γάρ, Ἐάσατε τήν φυήν τῶν ῥιζῶν τοῦ δένδρου ἐν τῇ γῇ, φάναι, τό μή τῆς φύσεως ἀναιρεθῆναι τελείως διά παράβασιν τό σπέρμα, καί τάς δυνάμεις τῆς ἀγαθότητος, δηλοῖ· καθ᾽ ἅς καί πάλιν λαμβάνουσα τήν αὔξησιν, εἰς τό πρώην φυσικόν διά τῆς ἀναστάσεως ἐπανάγεται μέγεθός τε καί κάλλος.

Ἀλλ᾽ ἡμῖν γε κρεῖττον τῷ νόμῳ στοιχοῦντας τῶν ἐντολῶν, ἑαυτούς πρός ἀναίρεσιν τοῦ φρονήματος τῆς σαρκός ἑκουσίοις ἐμπαιδεύειν πόνοις· καί οὐ νόμον κρεῖττον, ἀλλά καί πάνυ φιλόσοφον καί πρέπον τοῖς τόν ἔμφυτον λόγον ἡγεμόνα τῶν παθῶν καταστήσασιν· εἰ δέ μή τοῦτο, τόγε τούτου δεύτερον· ἀκουσίως παιδευόμενοι, στέρξωμεν τοῦ παιδεύοντος ἡμᾶς τήν βουλήν, μετά τῆς πρεπούσης εὐχαριστίας, καθάπερ ζυγόν βασιλέως Βαβυλῶνος καταδεχόμενοι, ἐφ᾽ οἷς ἡμάρτομεν κόλασιν· καί τῆς ἡμετέρας γῆς τουτέστι τῆς πίστεως καί τῆς ἐλπίδος, καί τῆς κατ᾽ ἀρετήν ἕξεως· οὐ μεταφέρει τόν ἡμέτερον νοῦν ὁ νοητός βασιλεύς Βαβυλῶνος. Κατά τοῦτον οὖν τόν προαποδοθέντα τρόπον, καί Θεοῦ δοῦλος ὁ διάβολος λέγεται, καί παραδίδονται αὐτῷ οἱ βασιλεῖς τῶν ἐθνῶν, καί ὁ βασιλεύς Ἰούδα, καί τά θηρία τοῦ ἀγροῦ.

ΣΧΟΛΙΑ.

α'. Κατά ποῖον τρόπον, φησίν, ἐχθρός ἐστι Θεοῦ καί ἐκδικητής ὁ διάβολος.

β'. Ὅτι κατιωθεῖσαν ψυχήν τῷ ῥύπῳ τῆς ἡδονῆς φησίν, ἀποκαθαίρει πόνος, καί ἀφαιρεῖ παντελῶς αὐτῆς τήν σχέσιν τῶν ὑλικῶν, τῆς πρός αὐτά φιλίας τήν ζημίαν μεταμαθοῦσαν· δι᾽ ἥν αἰτίαν ὁ Θεός συγχωρεῖ τῷ διαβόλῳ κατά κρίσιν δικαίαν τούς ἀνθρώπους βασάνοις καταπιέζειν.

γ'. Ὁ πάσχων φησίν, ὑπέρ χάριτος Θεοῦ παραβαθείσης, ἐάν ἐπιγνῷ τῆς ἰωμένης αὐτόν θείας προνοίας τόν λόγον, τήν τε συμφοράν εὐχαρίστως (352) δέχεται χαίρων, καί τήν ὑπέρ ἧς παιδεύεται διορθοῦται πλημμέλειαν· ὁ δέ ταύτης ἀναισθητῶν τῆς ἰατρείας τῆς δοθείσης, ἐνδίκως ἀπάγεται χάριτος, καί τῇ συγχύσει τῶν παθῶν παραδίδοται· πρός τήν πρᾶξιν ἐλθεῖν καταλιμπανόμενος, ὧν ἐνδιάθετον εἶχε τήν ἔφεσιν.

δ'. Τήν μέν εἰρήνην κατά προσηγορίαν εἶχεν τοῦ ὀνόματος· τήν δέ σοφίαν κατά θείαν δωρεάν ὡς προσευχῆς καρπόν εἶχεν ὁ Σολομῶν.

ε'. Εἰς τόν φυσικόν νόμον ἐνταῦθα λαμβάνει τόν Ναβουχοδονόσορ, καί εἰς τήν ἕξιν αὐτοῦ τοῦ φυσικοῦ νόμου τόν υἱόν αὐτοῦ Βαλτάσαρ.

στ'. Ἐκ τῆς εὐχῆς δῆλόν ἐστι, φησίν, ὅτι τόν φυσικόν νόμον, καί τήν ἐξ αὐτοῦ τικτομένην ἕξιν ἐνταῦθα σημαίνουσι Ναβουχοδονόσορ καί Βαλτάσαρ, ἀλλ᾽ οὐ τόν διάβολον· οὐδείς γάρ εὐχήν ὑπέρ τοῦ διαβόλου γίνεσθαι παντελῶς ἐξηγεῖται· ἥν γάρ οὐ διέβαλεν εὐχήν ὁ τῆς προφητείας λόγος, οὐ χρή νομίζειν ὑπέρ τοῦ διαβόλου ταύτην τῷ Θεῷ προσενηνέχθαι.

ζ'. Fr. Ἐπανελεύσεται πρός ἑαυτήν ἡ φύσις, τήν ἀναμαρτησίαν καί τήν ἀφθαρσίαν ἀπολαμβάνουσα. Ἀπολοῦνται γάρ οἱ ἁμαρτωλοί, ἤγουν τῆς ἁμαρτίας τά αἴτια, καί πάντες ἔσονται ἀναμάρτητοι, καί διά τοῦτο, καί ἄφθαρτοι· ἐξ ἀλλήλων δέ καί ταῦτα καί πάντες τήν ἀληθινήν ἐπιγνώσονται βασιλείαν· οἱ μέν τῇ ἐλλάμψει, οἱ δέ τῇ κολάσει· οὐ πάντες δέ τῶν ἀγαθῶν, οὐδ᾽ ὁμοίως οἱ ἀπολαύοντες ἀπολαύσουσι.

## *ΕΡΩΤΗΣΙΣ ΚΖ'.*

***Τοῦ Κυρίου μετά τήν ἀνάστασιν φανερῶς ἐντειλαμένου μαθητεῦσαι πάντα τά ἔθνη, πῶς ἐδεῖτο ὁ Πέτρος ἐπί τοῦ Κορνηλίου ἀποκαλύψεως διά τά ἔθνη; ἤ πῶς οἱ ἐν Ἰερουσαλήμ ἀκούσαντες ἀπόστολοι τά κατά τόν Κορνήλιον, διεκρίνοντος πρός τόν Πέτρον;***

Ἀπόκρισις.

Πάνυ μέν οὖν ἐδεῖτο τῆς περί ἐθνῶν θείας ἀποκαλύψεως ὁ τῶν ἀποστόλων ἔξαρχος Πέτρος ὁ πανάγιος· οὐ γάρ ἐγίνωσκεν ὅτι περιτομῆς καί ἀκροβυστίας οὐκ ἔστι διαστολή κατά τήν πίστιν· οὔτε μήν ᾔδει σαφῶς, ὅτι δίχα τῆς κατά νόμον φαινομένης λατρείας, μαθητευθῆναι τά ἔθνη ὁ Κύριος εἶπεν, ἕως οὗ τῆς ἀποῤῥήτου βουλῆς αὐτοῦ δι᾽ ἀποκαλύψεως ἐφανέρωσε τό μυστήριον, διά τε τοῦ κατά τήν σινδόνα παραδείγματος πείσας, διά τε τῆς ἴσως αὐτῷ κατά μόνην τήν πίστιν δοθείσης καί τοῖς ἔθνεσι χάριτος τοῦ ἁγίου Πνεύματος, ὡς οὐκ ἔστιν ἐν Χριστῷ διαστολή Ἰουδαίου καί Ἕλληνος· ὅπερ καί οἱ ἐν Ἱεροσολύμοις ἀγνοοῦντες ἀπόστολοι, διεκρίνοντο πρός αὐτόν, ἕως ἔμαθον καί αὐτοί τόν ἐν ἀποκρύφοις πλοῦτον τῆς ἐπί πάντας ἀνθρώπους θείας χρηστότητος. Θείας γάρ ζωῆς καί καινῆς λατρείας παρά τήν νομικήν ἐπεισαγωγή, καί ψυχῆς ἑκουσίως σώματος αὐτήν ἀπολυούσης κατά τήν γνώμην ὑπῆρχε διδαχή, καί ἄλλης ἀρχῆς θειοτέρας γενέσεως ὑποτύπωσις, ἡ τοῦ κηρύγματος χάρις. Καί διά τοῦτο, (353) τῆς τοῦ προστάξαντος ἔχρηζον, ἐφ᾽ ἑκάστῳ λόγῳ διδαχῆς, οἱ ταύτην πιστευθέντες τήν διακονίαν. Εἰ δέ τῷ μή δοκῷ τοῦ δέοντος εἶναι περιεργότερος, πᾶς λόγος χρῄζει θείας ἐντολῆς πάντως, τοῦ ἐπ᾽ αὐτῷ πρός ἐνέργειαν ὁρισθέντος τρόπου, διδαχῆς καί ἀποκαλύψεως. Οὐ γάρ ἔστι τό παράπαν ὁ διαγινώσκων τόν τινος λόγου τρόπον, χωρίς τῆς τοῦ φαμένου τόν λόγον ἀποκαλύψεως. Ὅπερ εἰδώς καί ὁ πανεύφημος Πέτρος, λαβών ἤδη παρά τοῦ Κυρίου τόν περί τῶν ἐθνῶν τοῦ κηρύγματος λόγον, οὐκ ἐνεχείρησεν, ἀναμένων διδαχθῆναι παρά τοῦ δόντος τόν λόγον, τοῦ λόγου τόν τρόπον.

Τάχα δέ καί ἕτερα πρός τούτοις ἦν, ἅπερ διά τῆς καθιεμένης οὐρανόθεν ὀθόνης, καί τῶν ἐν αὐτῇ διαφόρων ζώων, ὁ μέγας ἐδιδάσκετο Πέτρος. Μᾶλλον δέ, τό πᾶν γένος τῶν ἀνθρώπων· ἤ ὁ κατ᾽ αὐτόν τόν Πέτρον, ἐπειλημμένος τῆς κατά τήν πίστιν θείας ἀκρότητος, μανθάνων διαῤῥήδην πᾶσαν ἑαυτοῦ παντελῶς ἀποσβέσαι τήν αἴσθησιν· καθ᾽ ἥν ἕως ὁρᾷ τά φαινόμενα, φθαρτικήν ἑαυτῆς τήν τοῦ Θεοῦ κτίσιν ἐπίσταται, μή δυναμένην φθορᾶς εἶναι καθαράν καί συγχύσεως. Διά μέν οὖν τῆς ὀθόνης, καί τῶν ἐν αὐτῇ ζώων, τόν φαινόμενον προεδείκνυε διά τοῦ ἀοράτου κόσμον τοῖς λόγοις νοούμενον, ἤ τόν ἀόρατον, τοῖς τῶν αἰσθητῶν τύποις φαινόμενον, ὁ πρός αὐτόν χρηματίζων, καί ὡς πρός ἐδωδήν πνευματικήν ἐπιτήδειον. Διό φησιν· Ἀναστάς, Πέτρε, θῦσον, καί φάγε. Πόθεν ἀναστῆναι κελεύεται; Πόθεν ἄλλοθεν, ἤ τῆς κατ᾽ αἴσθησιν ἕξεώς τε καί σχέσεως,

καί τῆς περί τῶν ὄντων χθαμαλωτέρας προλήψεως, ἤ τῆς νομιζομένης κατά νόμον δικαιοσύνης; ἵνα κατά μόνον τόν νοῦν ἀπολελυμένον τῆς κατ᾽ αἴσθησιν φαντασίας, δυνηθείς σχημάτων γυμνούς θεάσασθαι τούς λόγους τῶν αἰσθητῶν, ἐπιγνῷ τούς τύπους τῶν νοητῶν, καί μάθῃ μηδέν τῶν ὑπό Θεοῦ γεγονότων ἀκάθαρτον εἶναι. Ὁ γάρ θεωρήσας ἐκ τοῦ νοητοῦ κόσμου προφαινομένην τοῖς λόγοις τήν ὁρωμένην κτίσιν, ἤ τούς τύπους τῶν νοητῶν ἐκ τῆς τῶν φαινομένων διακοσμήσεως, καθάπερ οὐρανόθεν ὀθόνην διαφαινομένην, οὐδέν ἀκάθαρτον εἶναι πιστεύσειε τῶν ὁρατῶν· μηδεμίαν τοῖς τῶν ὄντων λόγοις ἐμφαινομένην θεωρῶν ἀντιπάθειαν. Ἡ φθορά γάρ ἐν τῇ αἰσθήσει καθέστηκε, καί ὁ τῶν γεγονότων πρός ἄλληλα πόλεμος· ἐν δέ τοῖς λόγοις οὐδέν ὑπάρχει καθάπαξ ἐναντίον.

Ἔστι μέν οὖν ἡ ὀθόνη, ὁ αἰσθητός κόσμος ἐκ τεσσάρων ἀρχῶν, καθάπερ στοιχείων, καί αὐτόν κρατούμενος· τά δέ ἑρπετά καί τά θηρία καί τά πετεινά, οἱ διάφοροι λόγοι τῶν γεγονότων εἰσί, πρός μέν αἴσθησιν ὄντες ἀκάθαρτοι, πρός δέ νοῦν, καθαροί τε καί τρόφιμοι, καί τῆς νοουμένης συστατικοί τυγχάνοτες ζωῆς. Ἡ δέ ἐκ τρίτου γενομένη φωνή, πρακτικήν καί φυσικήν καί θεολογικήν διδάσκει φιλοσοφίαν. Δεῖ γάρ οὐχ ἅπαξ, ἀλλά καί δίς, καί τρίς ἀναστάντα θῦσαι τήν κτίσιν τῶν φαινομένων, καί φαγεῖν αὐτήν γνωστικῶς, τόν τῷ Θεῷ διόλου (356) ἑψόμενον γνησίως. Ὁ γάρ ἀναστάς τῆς ἐμπαθοῦς περί τά φαινόμενα διαθέσεως, τήν τῶν φαινομένων ἔθυσε κίνησιν, καί τήν πρακτικήν κατορθώσας ἔφαγεν ἀρετήν. Ὁ δέ τῆς ψευδοῦς περί τῶν ὄντων δόξης ἀναστάς, τά μέν τῶν φαινομένων ἔθυσε σχήματα· τούς δέ μή φαινομένους λόγους φαγών, τήν ἐν πνεύματι φυσικήν θεωρίαν κατώρθωσεν· ὁ δέ τῆς πολυθέου πλάνης ἀναστάς, αὐτήν μέν τῶν ὄντων τήν οὐσίαν κατέθυσε· τήν δέ τῶν ὄντων αἰτίαν κατά πίστιν φαγών, θεολογικῆς ἐνεφορήθη δυνάμεως.

Πᾶς οὖν θεωρητικός νοῦς ἔχων τήν μάχαιραν τοῦ πνεύματος, ὅ ἐστι ῥῆμα Θεοῦ, ἐν ἑαυτῷ τῆς φαινομένης κτίσεως ἀποκτείνας τήν κίνησιν, κατώρθωσεν ἀρετήν· καί τῶν αἰσθητῶν σχημάτων ἑαυτοῦ τήν φαντασίαν ἀποτεμών, τήν ἐν τοῖς λόγοις τῶν ὄντων εὗρεν ἀλήθειαν· καθ᾽ ἥν ἡ φυσική θεωρία συνέστηκε· καί τῆς οὐσίας τῶν ὄντων ὑπεράνω γενόμενος, τόν τῆς θείας καί ἀμάχου μονάδος δέχεται φωτισμόν, καθ᾽ ὅν τῆς ἀληθοῦς θεολογίας συνέστηκε τό μυστήριον.

Ἤ τυχόν ἐκελεύετο θεόθεν ἡ τῶν ἀποστόλων ἀκρότης, Πέτρος ὁ πανένδοξος, ἀναστάς τῆς συμ[με]μετρημένης τῇ φύσει δυνάμεως, ἐπί

τήν κατά χάριν θείαν εὐκληρίαν, μετά Θεοῦ καταθῦσαι τῇ μαχαίρᾳ τοῦ λόγου τά ἐν ἀνθρώποις πάθη τῆς μοχθηρίας, καί ποιῆσαι βρῶμα καλόν, καί τῷ Λόγῳ πρόσφορον, καί εἰς πέψιν πνευματικήν ἀναδιδόμενον, τῇ ἀποθέσει τῆς προτέρας ἐμπαθοῦς καί θηριώδους ζωῆς. Φασί γάρ ζωῆς σύμβολον εἶναι τό αἷμα, ὅπερ παντός ἀποῤῥεῖν σφαττομένου ζώου πέφυκεν. Καί δηλοῖ τάχα τῶν δειχθέντων ζώων ἡ διαφορά, τήν ἐν ἀνθρώποις τῶν παθῶν ποικιλίαν σημαίνουσα. Τά μέν γάρ ἑρπετά, τούς ἅπαν τό ἐπιθυμητικόν τοῖς γηΐνοις ἐπισυρόμενον ἔχοντας προδείκνυσι· τά δέ θηρία, τούς ὅλον τό θυμικόν εἰς τήν ἀλλήλων φθοράν ἐκμανῶς διεγείροντας· τά δέ πετεινά, τούς ὅλον τό λογικόν πρός τήν ὕβριν τῆς ὑπερηφανίας ἀνώσαντας, καί τήν ἐξ αὐτῆς ὑψηλοφροσύνην, καί ἀδικίαν λαλοῦντας εἰς ὕψος, καί θεμένους εἰς οὐρανόν τό στόμα αὐτῶν· ἅπερ οἷα Θεῷ συνεργός ὁ μέγας Πέτρος καταθύσας τῷ λόγῳ τοῦ πνεύματος, τούς μέν ἐποίησε τῶν οὐρανίων ἐπιθυμητάς, τούς δέ ἡμέρους καί φιλανθρώπους, καί ἀλλήλων ἀνθεκτικούς· τούς δέ φιλοθέους καί ταπεινόφρονας.

Τί δέ καί Ἰόππη βούλεται δηλοῦν διά τῆς ἑρμηνείας τοῦ οἰκείου ὀνόματος, ἐν ᾗ ταύτην εἶδε τήν ὀπτασίαν ἡ μεγάλη τῆς Ἐκκλησίας κρηπίς, Πέτρος ὁ πανάγιος, κατίδωμεν. Ἰόππη κατασκοπή ἑρμηνεύεται, (357) τήν πρακτικήν πρέπουσαν φυλακήν σημαίνουσα. Παρ᾽ αὐτήν γάρ κειμένη τῆς θαλάσσης τήν ὄχθην, πολλοῖς ἀνεβάλλετο κύμασιν, εἰ μή ἐφ᾽ ὕψος εἶχε τήν θέσιν ἡ πόλις. Ὅθεν μοι φαίνεται δηλοῦν τόν ἐπί τό ὕψος τῆς γνώσεως, καθάπερ πόλιν οἰκοδομοῦντα τήν ἀρετήν· οὐ μακράν δέ τῶν ἀκουσίων ὄντα πειρασμῶν, ἔχοντα παρακειμένην ἐγγύθεν καθάπερ θάλασσαν, τήν μήπω τελείως ἀποῤῥαπισθεῖσαν σχέσιν τῶν αἰσθητῶν, καί διά τοῦτο κατασκοπῆς δεόμενον, μήπως λαθόντες διά τῶν ἀκουσίων πειρασμῶν, ποιήσωνται τήν τῶν ἑκουσίων παθῶν ἐπιδρομήν οἱ ἀκάθαρτοι δαίμονες· ἀλλά καί τῆς μερίδος τυγχάνουσα τῆς φυλῆς [al. φυλακῆς]. Ἰσσάχαρ Ἰόππη· μισθός δέ καί κάματος οὗτος ἑρμηνεύεται· δίδωσι πλέον νοεῖν, ὅτι πρακτικῆς ἐστιν ἕξις φυλακτική Ἰόππη, τάς ἀοράτους ἐφόδους φυλαττομένη τῶν πνευμάτων τῆς πονηρίας. Ταύτης οὖν ἀναστάντα πρός τήν τῶν ὑψηλῶν γνῶσιν μεταθεῖναι τόν νοῦν ἴσως ἐκελεύετο ὁ μέγας ἀπόστολος.

Ὁ τοίνυν τῆς πρακτικῆς φιλοσοφίας οἰκῶν τό τῆς κατασκοπῆς ὕψος, ἐν Ἰόππῃ λεγέσθω εἶναι· ὁ δέ τήν ἐν Ἱεροσολύμοις Σιών κατοικῶν, τουτέστι τό σκοπευτήριον, τό κατα τήν ὅρασιν τῆς εἰρήνης

ἱδρυμένον· τοῦτο γάρ Ἱερουσαλήμ ἑρμηνεύεται, πάσης μακράν γέγονε τῆς κατ᾽ αἴσθησιν σχέσεως, ὅσον ἱστορικῶς, τοῦ τόπου τῆς Σιών κατά τήν θέσιν, ἡ θάλασσα· καί σκοπεύει μόνον κατά τό ὕψος τυγχάνων τῆς γνώσεως, τά νοητά τῶν ὄντων θεάματα· τῇ κατά νοῦν περιαιρέσει τῶν φαινομένων ἐν τοῖς οὖσι σχημάτων· καί δέχεται τάς τῶν θείων ἐμφάσεις κατά τό θεμιτόν ἐκφανεῖς, τυπούσας αὐτοῦ τό ἡγεμονικόν πρός τό θειότερον. Ὁ γοῦν οἰκῶν Ἰόππην πρακτικός ἐστι, καταθεωρῶν τῶν ἐναντίων τά θήρατρα· ὁ δέ κατοικῶν ἐν Σιών, γνωστικός ἐστι μόνην κατά νοῦν τῶν θείων θεωρῶν τήν εὐπρέπειαν.

Εἰ δέ πάλιν εἰς οὐρανόν ἀνασπασθῇ τό σκεῦος τῆς ὀθόνης, νοήσωμεν ὅτι μετά τό δειχθῆναι τῷ μεγάλῳ Πέτρῳ τούς τῶν αἰσθητῶν πνευματικούς λόγους τοῖς νοητοῖς συνυπάρχοντας, πάλιν ἀνέλκει πρός ἑαυτόν τούτους ὁ Θεός· διδάσκων, ὡς οὐδέν ὧν οἱ λόγοι παρ᾽ αὐτῷ μένουσιν, ἐστίν καθάπαξ ἀκάθαρτον. Διό γνούς τῶν ὁραθέντων τήν δύναμιν ὁ μέγας Ἀπόστολος, ἔμαθε μηδένα λέγειν ἀκάθαρτον ἄνθρωπον, μηδέ προσωποληψίαν εἶναι παρά τῷ Θεῷ, ποιουμένην ἄδικον τήν τῶν ὄντων διαίρεσιν. Ὅθεν μηδέν μελλήσας, τό θεῖον ἐπλήρωσε πρόσταγμα, θύσας πρός ζωήν πνευματικήν τούς τήν καρδίαν ἑκουσίως περιτεμνομένους τῷ λόγῳ τῆς χάριτος, καί πᾶσαν ἀπιστίας, κακίας τε καί ἀγνωσίας ἀκαθαρσίαν καθάπερ ἀκροβυστίαν ἀποβαλλομένους [Fr. ἀποβαλλομένους]· τῆς δέ σαρκός, μηδέν τῶν προσόντων αὐτῇ φυσικῶς περιτέμνοντας· ὧν οὐκ ἐξ ἐμπαθοῦς γνώμης ἡ σύστασις, ἀλλ᾽ ἐκ θείας δημιουργίας ἡ γένεσις. Οὐδέν γάρ (360) τῶν κατά φύσιν ἀκάθαρτον, ὅτι Θεόν ἔχει τῆς ὑπάρξεως αἴτιον.

ΣΧΟΛΙΑ.

α'. Ζωῆς μετάθεσίν φησι καί λατρείαν ἀγγελικήν, καί πρός σῶμα ψυχῆς ἑκούσιον ἀλλοτρίωσιν· καί ἐν πνεύματι θείας μεταποιήσεως γένεσιν, τό τῆς νέας Διαθήκης καταγγέλλει μυστήριον.

β'. Ἕτερος, φησίν, ὁ τῆς ἐντολῆς ἐστι λόγος, καί ἕτερος ὁ τοῦ γίνεσθαι τῆς ἐντολῆς ὁ τρόπος. Λαβών οὖν ὁ μέγας Πέτρος περί τῶν ἐθνῶν τοῦ κηρύγματος ἐντολήν, ἀγνοῶν διά τῆς ὀθόνης τῆς ἐντολῆς ἐδιδάσκετο τόν τρόπον· ὅτι δίχα περιτομῆς, καί τῶν λοιπῶν τοῦ νόμου σωματικωτέρων,τῶν ἐθνῶν χρή γίνεσθαι τήν κλῆσιν· πνευματικήν γάρ οἶδεν ὁ λόγος περιτομήν, ἐμπαθοῦς σχέσεως πρός σῶμα τῆς ψυχῆς ἐκτομήν.

γ'. Fr. Πᾶς λόγος θείας ἐντολῆς χρῄζει πάντως διδαχῆς τοῦ πῶς ὀφείλει πραχθῆναι· ὅπερ ὁ μέγας Ἀπόστολος ἱκανότητα λέγει.

δ'. Ὁ μή τοῖς σχήμασι τῶν ὁρατῶν ἐναπομένων διά τήν αἴσθησιν, ἀλλά κατά νοῦν τούς λόγους αὐτῶν ἀναζητων, ὡς νοητῶν τύπους, ἤ λόγους αἰσθητῶν θεώμενος κτισμάτων, οὐδέν ἀκάθαρτον εἶναι τῶν ὁρωμένων διδάσκεται. Πάντα γάρ φύσει καλά λίαν καθέστηκεν.

ε'. Ὁ τῇ κινήσει φησί τῶν αἰσθητῶν μή συναλλοιούμενος, ἀκίβδηλον τήν τῶν ἀρετῶν μετέρχεται πρᾶξιν. Ὁ δέ τοῖς αὐτῶν σχήμασι μή διατυπώσας τόν νοῦν, τήν ἀληθῆ περί τῶν ὄντων ἀπείληφε δόξαν. Ὁ δέ καί αὐτήν τήν οὐσίαν τῶν ὄντων τῇ διανοίᾳ παρέδραμεν, ὡς ἄριστος θεολόγος μετά ταύτην ἀγνώστως τῇ μονάδι προσέβαλεν. Οὐκοῦν ὁ τρίτον ἐν ἑαυτῷ καταθύσας τήν κτίσιν τῶν ὁρωμένων, τῆς τῶν τελείων ἄξιος γέγονε τάξεως.

στ'. Ἰόππη μέν ἕξις ἐστίν ἀρετῆς, φησίν, τήν ἐκ τῶν παρακειμένων αἰσθητῶν φυλαττομένη βλάβην. Ἡ δέ Σιών ἕξις ἐστί γνωστική, τήν τῶν νοητῶν σκοπεύουσα χαρισμάτων ὑποδοχήν.

***ΕΡΩΤΗΣΙΣ ΚΗ' .***

***Τό· "Δεῦτε, καταβάντες συγχέωμεν αὐτῶν τάς γλώσσας," πρός τίνας ἔλεγεν ὁ Θεός;***

Ἀπόκρισις.

Πρός τήν ὑποκειμένην τῶν προνοουμένων διάθεσιν εὑρίσκομεν τήν ἁγίαν Γραφήν τόν Θεόν διαπλάττουσαν· ὅθεν καί λέοντα, καί ἄρκτον, καί πάρδαλιν, καί πάνθηρα, καί ἄνθρωπον, καί βοῦν, καί πρόβατον, καί ἥλιον, καί ἀστέρα, καί πῦρ, καί πνεῦμα, καί ἄλλα μυρία, ἅπερ μηδαμῶς ὑπάρχων λέγεται, κατά τήν ἑκάστης φωνῆς ἐπίνοιαν θεωρούμενος. Τῷ γοῦν Ἀβραάμ φανείς ὁ Θεός ὄντι τελείῳ κατά τήν γνῶσιν, ἐν τῷ περί μονάδος λόγῳ τόν ἄϋλον περί Τριάδος εἶναι λόγον ἐδίδασκεν, ἤδη τόν νοῦν ἔχοντι τῆς ὕλης παντελῶς, καί τῶν κατ᾽ αὐτήν τύπων ἐκβεβηκότα. Καί διά τοῦτο καί ὡς τρεῖς ἐφαίνετο, καί ὡς εἷς διελέγετο· τῷ δέ Λώτ, μήπω (361) τῆς τῶν σωμάτων καθαρόν τόν νοοῦν ποιησαμένῳ συνθέσεως, ἀλλ᾽ ἔτι τῆς ἐξ ὕλης καί εἴδους τῶν σωμάτων γενέσεως ἐξηρτημένῳ, καί μόνης δημιουργόν εἶναι πιστεύοντι τόν Θεόν τῆς ὁρατῆς κτίσεως, ἐμφανιζόμενος ὁ Θεός, δυϊκῶς, ἀλλ᾽ οὐ τριαδικῶς ἐφάνη· δεικνύς δι᾽ ὧν αὐτός ἑαυτόν ἐσχηματίζε, μήπω τῆς ὕλης καί τοῦ εἴδους ἐκβεβηκέναι τόν ἀναγόμενον νοῦν. Οὕτως ἐφ᾽ ἑκάστῳ τόπῳ τῆς τόν

Θεόν πολυτρόπως διαπλαττούσης Γραφῆς, τούς λόγους μετ᾽ ἐπιστήμης διασκοπούμενος, εὑρήσεις αἰτίαν εἶναι τῆς πολλῆς τῶν θείων πλασμάτων ἐξαλλαγῆς, τήν τῶν προνοουμένω διάθεσιν.

Ἐπειδή τοίνυν καί οἱ τόν πύργον οἰκοδομήσαντες, πρότερον τῆς τοῦ φωτός χώρας τῆς ἀνατολῆς κινηθέντες, λέγω δέ τῆς μιᾶς καί ἀληθοῦς περί Θεόν γνώσεως, ἦλθον εἰς γῆν Σενναάρ, τήν ἑρμηνευομένην βλασφήμους ὀδόντας, καί εἰς πολλάς περί Θεότητος δόξας κατέπεσαν, καί τόν ἑκάστης δόξης λόγον, οἱονεί πλίνθους τινάς συνθήσαντες, ᾠκοδόμησαν καθάπερ πύργον τήν πολύθεον ἀθεΐαν· εἰκότως ὁ τῆς κακῆς συμφωνίας τῶν πλανηθέντων ἀνθρώπων διασκεδάζων τήν ὁμολογίαν Θεός, ἐκ τῆς τῶν προνοουμένων διαθέσεως εἰς ἀπείρους δόξας διασκεδασθείσης καί διασπαρθείσης, πληθυντικῶς ἑαυτόν ὀνομάζει· δεικνύς εἷς ὅτι ὤν, εἰς πολλούς ἐν ἐκείνοις ἐμερίσθη· ὥσπερ καί ἐπί τοῦ Ἀδάμ φαίνεται λέγων· Ἰδού γέγονεν Ἀδάμ ὡς εἷς ἐξ ἡμῶν. Πρός οὖν τό ὑποκείμενον αἴτιον, ἤ πληθύνεται ταῖς τῶν Γραφῶν ἐκφωνήσεσιν ὁ Θεός, ἤ συνάγεται.

Τό δέ, πρός τίνας ὁ Θεός διαλέγεται, ἔθος ἐστί τῇ Γραφῇ τάς ἀλαλήτους καί κρυφίας βουλάς τοῦ Θεοῦ σωματικῶς διαπλάττειν, ἵν᾽ ἡμεῖς ἐκ τῶν συγγενῶν ῥημάτων τε καί φωνῶν, νοῆσαι τά θεῖα δυνηθῶμεν· ἐπεί ὁ Θεός νοῦς ἐστιν ἄγνωστος, καί λόγος ἄῤῥητος, καί ζωή ἀκατάληπτος, καί οὔτε λαλεῖ οὔτε λαλεῖται, αὐτόλογος ὤν, καί αὐτοβουλή κατ᾽ οὐσίαν ὑπάρχων. Καί εἰ οὕτω νοήσομεν τάς τῶν θείων λόγων φωνάς, οὐδενί τῶν γεγραμμέων ἐκ τῆς ἀσαφείας προσκόψομεν.

Εἰ δέ τις φαίη, μή πάντως ἐπί διαβολῆς κεῖσθαι τῇ Γραφῇ τήν περί Θεοῦ πληθυντικήν σημασίαν, καί προφέρει πρός τήν τοῦ οἰκείου λόγου βεβαίωσιν τό· Καί εἶπεν ὁ Θεός· Ποιήσωμεν ἄνθρωπον κατ᾽ εἰκόνα ἡμετέραν, καί καθ᾽ ὁμοίωσιν, καί οὐ δήπου διά ταύτης, εἴποι, τῆς φωνῆς, πολυθεΐας ὑπόνοιαν εἰσηγεῖσθαι νοοῦμεν τόν λόγον· φαμέν, ὡς ὁπόταν μέν πρός τούς εὐσεβεῖς εὐσεβῶς ἡ ἁγία Γραφή τῷ πληθυντικῷ περί Θεοῦ κέχρηται λόγῳ, τήν δήλωσιν ποιεῖται τῶν παναγίων τριῶν ὑποστάσεων· μυστικῶς τόν τῆς ὑπάρξεως σημαίνουσα τρόπον τῆς παναγίας καί ἀνάρχου καί ὁμοουσίας Τριάδος· ἐπειδή μονάς κατ᾽ οὐσίαν ἐστίν ἡ πάνσεπτος καί προσκυνητή καί πανεύφημος Τριάς τῶν ὑποστάσεων. Μονάς γάρ ἐν Τριάδι καί ἐν μονάδι Τριάς ἐστιν ὁ Θεός ἡμῶν. Ἡνίκα δέ πρός τούς ἀσεβεῖς πληθυντικόν περί Θεοῦ ποιεῖται τόν λόγον, τήν ψεκτήν (364) ἐκείνων,

ὡς οἶμαι, διελέγει περί Θεότητος ἔννοιαν, φυσικήν, ἀλλ᾽ οὐχί ὑποστατικήν εἶναι τήν ἐν τοῖς ἰδιώμασιν ὑπειληφότων διαφοράν· ὅπερ σαφῶς τήν πολύθεον εἰσηγεῖται πλάνην τοῖς οὕτως περί Θεότητος ἔχουσιν.

Εἰ δέ μή τοῦτο λέγοντες πείθομεν, ἐπειδή φίλον τῷ Πνεύματι, καί τοῖς Πνεῦμα φιλοῦσιν ἀγαπητόν, τό μή μάχεσθαι, δεξώμεθα συμφώνως ἀλλήλοις τήν ἁγίαν Γραφήν· τήν ἐν μονάδι παναγίαν Τριάδα, ποτέ μέν, ὡς δημιουργόν εἰσηγουμένην, ὡς τό· Ποιήσωμεν ἄνθρωπον· Πατρός γάρ καί Υἱοῦ, καί ἁγίου Πνεύματος ἔργον ἐστίν ἡ τῶν ὄντων ὑπόστασις· ποτέ δέ, ὡς ἀποδεκτικήν τῶν τοῖς αὐτῆς εὐσεβῶς νόμοις πολιτευσαμένων· ὡς προνοητικήν τῶν ὑπ᾽ αὐτῆς εἰληφότων τοῦ εἶναι τήν γένεσιν· ὡς τῷ Ἀβραάμ τριαδικῶς φαινομένην, καί μοναδικῶς διαλεγομένην· ποτέ δέ, ὡς τιμωρητικήν, ἤγουν κριτικήν τῶν τούς νόμους παραφθειρόντων τῆς φύσεως· ὡς τό· Καταβάντες συγχέωμεν αὐτῶν τάς γλώσσας. Οὐ γάρ δημιουργική μόνον ὑπάρχει τῶν ὄντων ἡ ἁγία καί ὁμοούσιος Τριάς· ἀλλά καί συνεκτική, καί πρός ἀξίαν ἑκάστου διανεμητική· οἷα δή Θεός εἷς ὑπάρχουσα κατά φύσιν δημιουργός, προνοητική τε καί κριτική τῶν ὑπ᾽ αὐτοῦ πεποιημένων· κοινόν γάρ Πατρός, καί Υἱοῦ, καί ἁγίου Πνεύματος, ὥσπερ τό δημιουργεῖν, οὕτω δέ καί τό κρίνειν, καί τῶν πεποιημένων σοφῶς προνοεῖν.

ΣΧΟΛΙΑ.

α'. Ἑκάστῳ φησί, κατά τήν ὑποκειμένην αὐτῷ περί Θεοῦ δόξαν ὁ Θεός ἐμφανίζεται. Τοῖς μέν κατ᾽ ἔφεσιν τήν ὑλικήν περάσασι σύνθεσιν, καί τάς δυνάμεις τῆς ψυχῆς ἰσονομούσας ἀλλήλαις κατά μίαν καί τήν αὐτήν περί Θεόν ἀεικινησίαν κεκτημένοις, ὡς μονάς ἐμφαίνεται καί Τριάς· ἵνα τήν οἰκείαν ὕπαρξιν παραδείξειεν, καί τόν αὐτῆς τρόπον μυστικῶς ἐκδιδάξειεν. Τοῖς δέ περί μόνην τήν ὑλικήν διάθεσιν ἔχουσι κινουμένην τήν ἔφεσιν, καί ἀλλήλαις ἀσυνδέτους τάς τῆς ψυχῆς δυνάμεις κεκτημένοι, οὐχ ὡς ἔστιν, ἀλλ᾽ ὡς εἰσίν ἐμφανίζεται· δεικνύς ὅτι τῆς ἡμῶν δυάδος ἀμφοῖν ἐπελάβοντο ταῖν χεροῖν, καθ᾽ ἥν ὁ σωματικός ἐξ ὕλης καί εἴδους συνέστηκε κόσμος.

β'. Ὁ φυσικήν εἶναι λέγων, φησίν, ἐπί Θεοῦ τήν τῶν ἰδιωμάτων, ἀλλ᾽ οὐχ ὑποστατικήν διαφοράν, οὐκ ἔνθεος ὁ τοιοῦτος, ἀλλά πολύθεος, οὐσιῶν ἰδιότησιν, ἀλλ᾽ οὐχ ὑποστάσεων ἐπιδέχεσθαι φάσκων τό Θεῖον τήν ἐξαρίθμησιν.

*ΕΡΩΤΗΣΙΣ ΚΘ΄.*

***Τί ἐστι τό ἐν ταῖς Πράξεσι κείμενον· "Οἵτινες διά τοῦ Πνεύματος ἔλεγον τῷ Παύλῳ, μή ἀναβαίνειν εἰς Ἱεροσόλυμα;" Διά τί παρήκουσε τοῦ Πνεύματος καί ἀνέβη;***

Ἀπόκρισις. (365)

Ὁ μέν ἅγιος Ἡσαΐας ὁ προφήτης, ἐν τῇ κατ᾽ αὐτόν προφητείᾳ ἑπτά πνεύματα τῷ ἐκ τῆς ῥίζης Ἰεσσαί ἀνατείλαντι Σωτῆρι λέγει ἐπαναπαύεσθαι· οὐχ ἑπτά πνεύματα Θεοῦ γινώσκων, καί οὕτω τούς ἄλλους ἐκδέχεσθαι διδάσκων, ἀλλά τάς ἐνεργείας τοῦ ἑνός καί τοῦ αὐτοῦ ἁγίου Πνεύματος, πνεύματα καλέσας, διά τό πάσῃ ἐνεργείᾳ ὅλον ἀνελλιπῶς ὑπάρχειν ἀναλόγως τό ἐνεργοῦν ἅγιον Πνεῦμα. Ὁ δέ θεῖος Ἀπόστολος τάς διαφόρους ἐνεργείας αὐτοῦ τοῦ ἑνός ἁγίου Πνεύματος χαρίσματα λέγει διάφορα· ὑφ᾽ ἑνός δηλονότι καί τοῦ αὐτοῦ ἐνεργούμενα Πνεύματος. Εἰ τοίνυν κατά τό μέτρον τῆς ἐν ἑκάστῳ πίστεως δίδοται ἡ φανέρωσις τοῦ Πνεύματος, ἐν τῇ μετοχῇ τοῦ τοιοῦδε χαρίσματος· ἕκαστος τῶν πιστῶν δηλονότι κατά τήν ἀναλογίαν τῆς πίστεως, καί τῆς ὑποκειμένης αὐτῷ κατά τήν ψυχήν διαθέσεως, συμμεμετρημένην δέχεται τοῦ Πνεύματος τήν ἐνέργειαν, χαριζομένην αὐτῷ τῆσδε ἤ τῆσδε τῆς ἐντολῆς τήν ἁρμόζουσαν πρός ἐνέργειαν ἕξιν.

Οὐκοῦν ὥσπερ ὁ μέν λαμβάνει λόγον σοφίας, ὁ δέ λόγον γνώσεως, ἕτερος δέ πίστεως, καί ἄλλος ἄλλο τι τῶν ἀπηριθμημένων τῷ μεγάλῳ Ἀποστόλῳ χαρισμάτων τοῦ Πνεύματος· οὕτως ὁ μέν δέχεσθαι διά τοῦ Πνεύματος χάρισμα τῆς τελείας καί ἀμέσου πρός Θεόν, καί μηδέν ἐχούσης ὑλικόν ἀγάπης, κατά τήν ἀναλογίαν τῆς πίστεως· ἕτερος δέ διά τοῦ αὐτοῦ Πνεύματος, τῆς τελείας πρός τόν πλησίον ἀγάπης χάρισμα, καί ἄλλος ἄλλο τι κατα τό αὐτό Πνεῦμα, ὡς ἔφην, ἔχοντος ἑκάστου ἐνεργούμενον τό οἰκεῖον χάρισμα. Ταῦτα δέ τά χαρίσματα κατά τόν ἅγιον Ἡσαΐαν, πνεύματα καλέσας τις, ὡς οἶμαι, τῆς ἀληθείας οὐ διαπίπτει· παντί γάρ χαρίσματι ὅλον ὡς ἐνεργοῦν ἀναλόγως ἐνυπάρχει τό Πνεῦμα τό ἅγιον, εἴτε μείζονι, εἴτε ἧττονι.

Οὐκοῦν ὁ μέγας ὄντως, καί τῶν ὑπέρ ἄνθρωπον μυστηρίων γενόμενος διάκονος Παῦλος , ἀμέσως τῆς ἐν ἀγάπῃ Θεοῦ τελείας χάριτος τό πνεῦμα δεξάμενος κατά τήν ἀναλογίαν τῆς ἐν αὐτῷ πίστεως, τῶν εἰληφότων τό χάρισμα τῆς τελείας εἰς αὐτόν ἀγάπης, λεγόντων αὐτῷ μή ἀναβαίνειν εἰς Ἱεροσόλυμα· διά τοῦ Πνεύματος,

τουτέστι τοῦ ἐνεργουμένου αὐτοῖς ὑπό τοῦ Πνεύματος τῆς εἰς αὐτόν ἀγάπης χαρίσματος· ταυτόν γάρ τῷ χαρίσματι τό πνεῦμα, καθά ἔφην ἐκ τοῦ προφήτου λαβών, παρήκουσεν· ἀσυγκρίτως τῆς ἐξ ἄλλων εἰς αὐτόν πνευματικῆς ἀγάπης, προκρίνων τήν θείαν καί ὑπέρ νόησιν. Μᾶλλον δέ οὐδέ παρακούσας ἀνῆλθεν, ἀλλ᾽ ἐκείνους διά τῆς συμμέτρως αὐτοῖς κατά τό χάρισμα δοθείσης ἐνεργείας τοῦ Πνεύματος προφητεύοντας, τῷ κατ᾽ αὐτόν τύπῳ πρός τόν τοῦ παντός ὑπερεπέκεινα πόθον κατά τήν ἔφεσιν ἕλκων. Οὐκοῦν οὐ παρήκουσεν ὁ μέγας Παῦλος τοῦ Πνεύματος, ἀλλ᾽ ἐδίδαξεν ἐπί τό ὑψηλότερον ἀπό τοῦ ἥττονος μετενεχθῆναι Πνεύματος τουτέστι χαρίσματος, τούς περί αὐτοῦ κατά τό χάρισμα τῆς ἀγάπης προφητεύοντας.

Καί πάλιν, εἰ τό προφητικόν χάρισμα πολύ τοῦ ἀποστολικοῦ ὑπάρχει δεύτερον, οὐκ ἦν λόγου τοῦ τό (368) πᾶν διευθύνοντος, καί τήν ἑκάστου διορίζοντος τάξιν, τό κρεῖττον εἴκειν τῷ ἥττονι· ἀλλά μᾶλλον ἕπεσθαι τό ἧττον τῷ κρείττονι. Οἱ μέν γάρ τότε προφητεύοντες διά τοῦ ἐν αὐτοῖς προφητικοῦ πνεύματος, ἀλλ᾽ οὐκ ἀποστολικοῦ, τόν τρόπον τῆς τῷ ἁγίῳ Παύλῳ συμβησομένης ὑπέρ τοῦ λόγου κακοπαθείας ἐμήνυον· ὁ δέ πρός μόνον ἀφορῶν τόν θεῖον σκοπόν, εἰς οὐδέν ἡγεῖτο τά μέσα πάντα, σπουδήν ἔχων οὐχ ὅπως διενέγκῃ τά συμβησόμενα, ἀλλ᾽ ὅπως ἄλλος γένηται Χριστός· μιμήσει τοῦ Χριστοῦ πάντα κατορθώσας τά, δι᾽ ἅ Χριστός τήν ἐν σαρκί φιλανθρώπως κατ᾽ οἰκονομίαν εἵλατο ζωήν. Οὐκοῦν εὐταξίας ἐστί φυλακή, τῆς πάντα διεπούσης τά θεῖα καί διευθυνούσης, καί τῆς οἰκείας ἀνέκπτωτον μονῆς καί ἱδρύσεως ἕκαστον διαφυλαττούσης, ἡ δοκοῦσα τοῦ μεγάλου Ἀποστόλου παρακοή, καί σαφής διδασκαλία τοῦ μηδαμῶς ἀλλήλοις φύρεσθαι τούς καλῶς ὑπό τοῦ Πνεύματος διωρισμένους τῆς Ἐκκλησίας βαθμούς.

ΣΧΟΛΙΑ.

*α'*. Τό διαφόρως ἐνεργοῦν, ἐν ἑκάστῳ τῶν ὑπ᾽ αὐτοῦ διαφόρως ἐνεργουμένων, ὅλον ἐστίν, καί ἐν ὅλοις ἅμα μή διαιρούμενον. Ἀμιγῶς γάρ, φησίν, ἐν ὅλοις καί τῷ καθ᾽ ἕκαστον ἀδιαιρέτως κατά μίαν καί τήν αὐτήν ἐκφαίνεται δύναμιν ἐνεργοῦν τό Πνεῦμα τό ἅγιον, ὅτι καί πάντων ἐστί τῶν ὄντων πληρωτικόν· Θεός γάρ, καί πᾶσιν ἀχώρητον τοῖς οὖσιν, ὑπερούσιον.

*β'*. Πᾶσαν ἐντολῆς ἕξιν ἐνεργουμένην, Πνεύματος εἶναι χάρισμα λέγει.

γ'. Ὁ τόν Θεόν ἀγαπῶν ἐξ ὅλης καρδίας καί ψυχῆς καί δυνάμεως, τοῦ τόν πλησίον ἀγαπῶντος,φησί, μείζων ἐστίν. Οὐκ ἔστιν οὖν λόγου νομοθετεῖσθαι τό κρεῖττον ὑπό τοῦ χείρονος· ἀλλά γενέσθαι μᾶλλον τό ἧττον ὑπό τοῦ μείζονος. Διό τήν ἀποστολικήν ἀξίαν τε καί τάξιν, ὑπ᾽ ἐκείνων ὧν ἄρχει βαθμῶν ἄρχεσθαι δικαίως οὐ συνεχώρησεν ὁ θεῖος Ἀπόστολος, μήπως ἡ πάντων τῶν ὄντων εὐκοσμία, καί μάλιστα τῶν θείων τάξις, λυθῇ.

δ'. Μέσα φησίν τά εἴδη τῶν πειρασμῶν, ἅπερ προγνωστικῶς ἐθεώρουν διά τοῦ Πνεύματος οἱ προφητεύοντες τῷ ἁγίῳ Παύλῳ τήν ὑπέρ ἀληθείας ἄθλησιν· ὧν παντελῶς οὐκ ἐφρόντιζεν ἑνωθῆναι σπεύδων τῷ Χριστῷ, κατά τήν ἐν εἴδει τῶν ἀγαθῶν ὑπόστασιν, μετά τήν ἐν πίστει τῶν ὄντων διάβασιν.

***ΕΡΩΤΗΣΙΣ Λ'.***

***Τί ἐστι τό· "Δύνασθε τό ποτήριον, ὅ ἐγώ πίνω, ποεῖν, καί τό βάπτισμα, ὅ ἐγώ βαπτίζομαι, βαπτισθῆναι;" Τίς ἡ διαφορά τοῦ ποτηρίου καί τοῦ βαπτίσματος;***

Ἀπόκρισις.

Τό τοῦ Κυρίου βάπτισμα τῶν ὑπέρ ἀρετῆς κατά πρόθεσιν ἑκουσίων καί ἡμετέρων πόνων τύπος ὑπάρχει· δι᾽ ὧν τάς κατά συνείδησιν ἀποῤῥύπτοντες κηλῖδας, τόν πρός τά φαινόμενα τῆς προαιρέσεως (369) ἑκούσιον καταδεχόμεθα θάνατον· τό δέ ποτήριον, τῶν ἐκ περιστάσεως παρά προαίρεσιν ἐπανισταμένων ἡμῖν ὑπέρ τῆς ἀληθείας ἀκουσίων πειρασμῶν τύπος ἐστί· δι᾽ ὧν καί αὐτῆς προκρίνοντες τόν θεῖον πόθον τῆς φύσεως, ἑκόντες τόν περιστατικόν ὑπερχόμεθα τῆς φύσεως θάνατον. Ταύτην οὖν ἔχει τήν διαφοράν τό βάπτισμα πρός τό ποτήριον, ὅτι τό μέν βάπτισμα ὑπέρ ἀρετῆς πρός τά ἡδέα τοῦ βίου, νεκράν ἐργάζεται τήν προαίρεσιν· τό δέ ποτήριον, τήν ἀλήθειαν καί αὐτῆς προκρίνει πείθει τῆς φύσεως τούς εὐσεβεῖς. Πρότερον δέ τοῦ βαπτίσματος ἔθετο τό ποτήριον, ὅτι διά τήν ἀλήθειάν ἐστιν ἡ ἀρετή· ἀλλ᾽ οὐ διά τήν ἀρετήν ἡ ἀλήθεια. Ὅθεν ὁ διά τήν ἀλήθειαν πράττων τήν ἀρετήν, κενοδοξίας οὐ τιτρώσκεται βέλεσιν· ὁ δέ τήν ἀλήθειαν ἀρετῆς ἕνεκεν ἐπιτηδεύων, σύνοικον ἔχει τῆς κενοδοξίας τήν οἴησιν.

ΣΧΟΛΙΑ.

α'. Τό τοῦ Κυρίου βάπτισμα, φησίν, ἐστίν ἡ παντελής πρός τόν αἰσθητόν κόσμον τῆς ἡμετέρας προαιρέσεως νέκρωσις· τό δέ ποτήριον, καί αὐτῆς ἡμῶν τῆς παρούσης ζωῆς ὑπέρ ἀληθείας καθέστηκεν ἄρνησις.

β'. Ἀλήθειαν μέν εἶναι λέγει τήν θείαν γνῶσιν· ἀρετήν δέ, τούς ὑπέρ αὐτῆς τῶν αὐτῆς ἐφιεμένων ἀγῶνας. Ὁ τοίνυν γνώσεως ἕνεκεν ἀρετῆς ὑπομένων πόνους, οὐ κενοδοξεῖ, γινώσκων ἀπερίληπτον εἶναι φύσει τοῖς πόνοις τήν ἀλήθειαν. Τοῖς δευτέροις γάρ οὐ περιγράφεται φύσει τό πρῶτον. Ὁ δέ τήν γνῶσιν διά τούς ὑπέρ ἀγῶνας ἐπιτηδεύων, πάντως κενοδοξεῖ, ὡς εἰληφέναι δοκῶν τούς στεφάνους πρό τῶν ἱδρώτων· οὐ εἰδώς, ὅτι διά τούς στεφάνους οἱ πόνοι, ἀλλ᾽ οὐ διά τούς πόνους οἱ στέφανοι. Φύσει γάρ ἀμελέτητος πᾶσα καθέστηκε μέθοδος, τοῦ δι᾽ ὅ πέφυκεν ἐπιτηδεύεσθαι ἐξανυσθέντος, ἤ ἐξανυσθῆναι δόξαντος.

## *ΕΡΩΤΗΣΙΣ ΛΑ'.*

***Εἰ οὐκ ἐν χειροποιήτοις ναοῖς ὁ Θεός κατοικεῖ, πῶς κατῴκει ἐν τῷ ναῷ τῶν Ἰουδαίων;***

Ἀπόκρισις.

Ὁ τῆς ἀναλογίας σοφῶς τῶν προνοουμένων φροντίζων ὁ Θεός, πρότερον διά τῶν τύπων συμφυῶς τοῖς δι᾽ αἴσθησιν οἰκονομουμένοις πρός τήν ἀλήθειαν ποδηγῶν, πᾶσιν ἑαυτόν τοῖς δοθεῖσι τῷ παλαιῷ λαῷ τύποις ἀφανῶς ἐγκατέμιξεν, ἐνεργῶν τήν τῶν παιδαγωγουμένων ἀνάβασιν. Ὤικει τοίνυν ἐν τῷ ναῷ τῶν Ἰουδαίων ὁ Θεός, τυπικῶς, ἀλλ᾽ οὐκ ἀληθῶς, περιγράφων τῇ τοιᾷδε περί τόν ναόν οἰκήσει [Fr. κατ᾽ αὐτόν οἰκήσει], πάσης τῆς μυσταγωγίας τήν ἄῤῥητον βουλήν. Ἐπιτηδειότατος γάρ πρός κατοικητήριον Θεοῦ μόνος ὁ καθαρός ὑπάρχει νοῦς· δι᾽ ὅν τόν τυπικόν οἰκοδομηθῆναι ναόν συνεχώρησε, διά τῶν ἄγαν παχυτέρων συμβόλων, τόν πολύ πλέον τῶν ἀναισθήτων τόπων [Fr. τύπων] παχυθέντα νοῦν τῶν Ἰουδαίων, ἀνασπάσαι τῆς ὕλης βουλόμενος, συνιδόντα τό πρός (372) κατοίκησιν Θεοῦ ἀνεπιτήδειον ἐκ τοῦ προσύλου καί ἀπεμφαίνονος· κἀκ τούτου, τῆς τῶν προσόντων αὐτῷ φυσικῶς γενέσθαι διόλου συναισθήσεως. Ὅπερ μή διαγνούς, ὁ μόνον τόν κατ᾽ εὐσέβειαν τῦφον ἐξ ὑπερηφανίας διατρέφειν εἰδώς Ἰουδαῖος, καί τοῦ τύπου καλῶς ἐστερήθη, καί τῆς ἀληθείας ἑαυτόν κακῶς ἀπεξένωσεν.

ΣΧΟΛΙΟΝ.

α'. Ὁ μόνην τῆς γνώσεως τήν μορφήν, ὅπερ ἐστίν ὁ ψιλός λόγος· καί ὁ τήν εἰκόνα τῆς ἀρετῆς, ὅπερ ἐστί, τό ψιλόν ἦθος ἐπιτηδεύων, Ἰουδαῖός ἐστι, φησί, καί αὐτός ἀληθείας τύποις φυσιούμενος.

***ΕΡΩΤΗΣΙΣ ΛΒ΄.***

***Τί ἐστιν, "Εἰ ἀρά ψηλαφήσειεν, καί εὕροιεν Θεόν;" Πῶς τις ψηλαφῶν εὑρίσκει Θεόν;***

Ἀπόκρισις.

Ὁ πᾶσαν τήν φαινομένην τοῦ νόμου σωματικήν λατρείαν μή κατ᾽ αἴσθησιν ὁρῶν, ἀλλά ταῖς κατά νοῦν ἐφόδοις ἕκαστον τῶν ὁρωμένων συμβόλων διασκοπήσας, τόν ἐν ἑκάστῳ κεκρυμμένον θεοτελῆ λόγον ἐκδιδασκόμενος, ἐν τῷ λόγῳ τόν Θεόν εὑρίσκει· καλῶς ψηλαφῶν διά τῆς νοερᾶς δυνάμεως, ὡς ἐν φορυτῷ τῇ ὕλῃ τῶν νομικῶν διατάξεως, εἴπου κεκρυμμένον εὕροι τῇ σαρκί τοῦ νόμου, τόν τήν αἴσθησιν παντελῶς διαφεύγοντα μαργαρίτην λόγον. Ὡσαύτως δέ καί ὁ τήν φύσιν τῶν ὁρωμένων μή τῇ αἰσθήσει μόνῃ περιγράφων, ἀλλά κατά νοῦν σοφῶς τόν ἐν ἑκάστῳ κτίσματι λόγον διερευνώμενος, εὑρίσκει Θεόν, ἀπό τῆς προβεβλημένης τῶν ὄντων μεγαλουργίας, τήν αὐτῶν τῶν ὄντων διδασκόμενος αἰτίαν.

Ἐπειδή τοίνυν ἴδιον τοῦ ψηλαφῶντος ἡ διάκρισίς ἐστιν, ὁ τά νομικά σύμβολα γνωστικῶς ἐπερχόμενος, καί τήν φαινομένην τῶν ὄντων φύσιν ἐπιστημονικῶς θεώμενος, διακρίνων τήν Γραφήν, καί τήν κτίσιν, καί ἑαυτόν· τήν μέν Γραφήν, εἰς γράμμα καί πνεῦμα· τήν δέ κτίσιν, εἰς λόγον καί ἐπιφάνειαν· ἑαυτόν δέ, εἰς νοῦν καί αἴσθησιν· καί τῆς μέν Γραφῆς, τό πνεῦμα· τῆς δέ κτίσεως, τόν λόγον· ἑαυτοῦ δέ τόν νοῦν λαβών καί ἀλλήλοις ἀλύτως ἑνώσας, εὗρε Θεόν, ὡς ἐπιγνούς, καθώς δεῖ καί δυνατόν ἐστι τόν Θεόν,τόν ἐν νῷ καί λόγῳ καί πνεύματι· πάντων τῶν πλανώντων, καί εἰς μυρίας δόξας κατασυρόντων ἀπαλλαγείς· λέγω δή γράμματος καί ἐπιφανείας καί αἰσθήσεως, ἐν οἷς ἡ διάφορος ὑπάρχει ποσότης, καί τῆς μονάδος ἀντίθετος· εἰ δέ τό γράμμα τοῦ νόμου, καί τήν τῶν ὁρωμένων ἐκφάνειαν, καί τήν οἰκείαν αἴσθησιν ἀλλήλοις τις προσπλέξας συμφύρῃ, τυφλός ἐστι μυωπάζων, τήν τῆς αἰτίας τῶν ὄντων ἀγνωσίαν νοσῶν.

ΣΧΟΛΙΟΝ.

*α'*. Ὁ μόνον, φησί, τῆς Γραφῆς τό πνεῦμα δίχα τῶν τύπων· καί τῆς κτίσεως δίχα τῶν σχημάτων τούς λόγους, κατά μόνον τόν νοῦν, τῆς κατά τήν αἴσθησιν (373) ἐνεργείας ἀπηλλαγμένον ἑωρακώς, εὗρεν Θεόν· ἐν μέν τῷ πνεύματι τῆς Γραφῆς, ὡς ἀγαθότητος· ἐν δέ τοῖς τῶν ὄντων λόγοις, ὡς δυνάμεως· ἐν ἑαυτῷ δέ, ὡς σοφίας αἴτιον. Οἱ γάρ τῶν ἐξ οὐκ ὄντων λόγοι, τήν δύναμιν ἀφηγοῦνται τοῦ Κτίσαντος· καί τό τῆς Γραφῆς πνεῦμα πρός θέωσιν ἐπανάγων πλανηθέντας, τήν ἀγαθότητα διαγγέλλει τοῦ γράψαντος· καί τό καθ᾽ ἡμᾶς νοερόν, ἀδιαστάτως τούς τῶν γεγονότων λόγους χωροῦν, ἀναφανδόν τήν τοῦ Τεχνίτου κηρύσσει σοφίαν.

***ΕΡΩΤΗΣΙΣ ΛΓ΄.***

***Τί ἐστιν· " Ἀμήν λέγω ὑμῖν, ὅτι ὅς ἄν εἴπη τῷ ὄρει τούτῳ, Ἄρθητι καί βλήθητι εἰς τήν θάλασσαν, καί μή διακριθῇ ἐν τῇ καρδίᾳ αὐτοῦ, ἀλλά πιστεύσῃ ὅτι ἅ λέγει γίνεται, ἔσται αὐτῷ ὅ ἐάν εἴπῃ;" Τί ἐστι τό, "Καί μή διακριθῇ;"***

Ἀπόκρισις.

Ὁ μέν θεῖος καί μέγας Ἀπόστολος, τί ἐστι πίστις ὁρίζων, φησί· "Πίστις ἐστίν ἐλπιζομένων ὑπόστασις, καί πραγμάτων ἔλεγχος οὐ βλεπομένων." Εἰ δέ τις καί ἐνδιάθετος ἀγαθόν αὐτήν ὁρίσαιτο, καί γνῶσιν ἀληθῆ τῶν ἀποῤῥήτων ἀγαθῶν ἀποδεικτικήν, τῆς ἀληθείας οὐ διήμαρτεν. Ὁ δέ Κύριος διδάσκων περί τῶν ἀποῤῥήτων ἀγαθῶν, καί τῶν ἐλπιζομένων, καί οὐχ ὁρωμένων, φησίν· Ἡ βασιλεία τοῦ Θεοῦ ἐντός ὑμῶν ἐστιν. Ἀκούων ταὐτόν τῇ βασιλείᾳ τοῦ Θεοῦ, ἡ τοῦ Θεοῦ πίστις ἐστίν, κατά μόνην ἐπίνοιαν διαιρουμένη πρός τήν βασιλείαν. Ἡ μέν γάρ πίστις ἀνείδεος Θεοῦ βασιλεία ἐστίν· ἡ δέ βασιλεία, πίστις θεοειδῶς εἰδοπεποιημένη.

Ὥστε κατά τοῦτον τόν λόγον, οὐκ ἐκτός ἡμῶν ἐστιν ἡ πίστις, ἥτις ἐνεργουμένη ταῖς θείαις ἐντολαῖς, γίνεται βασιλεία Θεοῦ, μόνοις γινωσκομένη τοῖς ἔχουσιν· ἡ δέ βασιλεία τοῦ Θεοῦ ἐνεργουμένη πίστις ἐστίν· ἡ δέ βασιλεία τοῦ Θεοῦ τῶν κατ᾽ αὐτήν βασιλευόντων ἄμεσον πρός Θεόν ποιεῖται τήν ἕνωσιν.

Ἡ πίστις ἀπεδείχθη σαφῶς ὑπάρχουσα δύναμις σχετική τῆς ὑπέρ φύσιν ἀμέσου τοῦ πιστεύοντος πρός τόν πιστευόμενον Θεόν τελείας ἑνώσεως. Ἐπειδή τοίνυν ὁ ἄνθρωπος ἐκ ψυχῆς ὑπάρχων καί σώματος, δυσί σαλεύεται νόμοις (σαρκός λέγω καί πνεύματος), καί ὁ μέν τῆς σαρκός νόμος, κατά τήν αἴσθησιν, ὁ δέ τοῦ πνεύματος, κατά τόν νοῦν

κέκτηται τήν ἐνέγειαν· καί ὁ μέν τῆς σαρκός, ὕλῃ συνδεῖν πέφυκε, κατά τήν αἴσθησιν ἐνεργούμενος· ὁ δέ τοῦ πνεύματος, κατά τόν νοῦν ἐνεργούμενος, πρός τόν Θεόν ἀμέσως ποιεῖται τήν ἕνωσιν· εἰκότως ὁ μή διακριθείς ἐν τῇ καρδίᾳ αὐτοῦ, τουτέστι, τῷ νοΐ μή διακρίνας, ἤγουν διατεμών τήν διά τῆς πίστεως πρός τόν Θεόν γεγενημένην ἄμεσον ἕνωσιν, ὡς ἀπαθής, μᾶλλον δέ Θεός ἤδη διά τῆς πίστεως τῇ ἑνώσει γεγενημένος· ἐρεῖ τῷ ὄρει τούτῳ μεταβῆναι, καί μεταβήσεται· δεικτικῶς διά τοῦ, τούτῳ, φάναι, τό φρόνημα καί τόν νόμον δηλῶν τῆς σαρκός, τόν βαρύν ὄντως καί δυσμετακίνητον· καί ὅσον πρός δύναμιν φυσικήν, παντελῶς ἀκίνητον καί ἀσάλευτον. Τοσοῦτον γάρ ἐῤῥίζωται τῇ φύσει τῶν ἀνθρώπων διά τῆς (376) αἰσθήσεως τῆς ἀλογίας ἡ δύναμις, ὥστε τούς πολλούς μηδ᾽ ἄλλο νομίζειν εἶναι τόν ἄνθρωπον, ἤ σάρκα, δύναμιν πρός ἀπόλαυσιν τῆς παρούσης ζωῆς τήν αἴσθησιν ἔχουσαν. Πάντα γοῦν δυνατά τῷ πιστεύοντι καί μή διακρινομένῳ· τουτέστι, μή διαιρουμένῳ τῆς κατά νοῦν διά τῆς πίστεως γεγενημένης αὐτῷ πρός τόν Θεόν ἑνώσεως, διά τήν πρός τό σῶμα τῆς ψυχῆς κατά τήν αἴσθησιν σχέσιν· ὅσα κόσμου καί σαρκός τόν νοῦν ἀλλοτριοῖ, Θεῷ δέ προσοικειοῖ τετελειωμένα τοῖς κατορθώμασιν.

ΣΧΟΛΙΑ.

α'. Τήν ψιλήν πίστιν λέγει βασιλείαν ἀνείδεον, οὐκ ἔχουσαν τήν ἐκ τῶν ἀρετῶν θείαν ὁμοίωσιν. Βασιλείαν δέ λέγει τήν ἔχουσαν διά τῶν ἔργων τήν θείαν μορφήν τῆς ἀγαθότητος πίστιν.

β'. Πίστις, φησίν, ἀναπόδεικτος γνῶσίς ἐστιν. Εἰ δέ γνῶσις ἀναπόδεικτός ἐστιν, ἄρα σχέσις ἐστίν ὑπέρ φύσιν ἡ πίστις, δι᾽ ἧς ἀγνώστως, ἀλλ᾽ οὐκ ἀποδεικτικῶς ἑνούμεθα τῷ Θεῷ, κατά τήν ὑπέρ νόησιν ἕνωσιν.

γ'. Τήν ἄμεσον λαβών πρός τόν Θεόν ἕνωσιν ὁ νοῦς, τήν τοῦ νοεῖν καί νοεῖσθαι κατά φύσιν παντελῶς δύναμιν ἔχει σχολάζουσαν. Ὁπηνίκα γοῦν ταύτην λύσῃ νοήσας τι τῶν μετά Θεόν, διεκρίθη τεμών τήν ὑπέρ νόησιν ἕνωσιν· καθ᾽ ἥν ἕως ἐστί τῷ Θεῷ συνημμένος, ὡς ὑπέρ φύσιν, καί τῇ μεθέξει θεός γεγενημένος, καθάπερ ὄρος ἀκίνητον, ἑαυτοῦ τόν τῆς φύσεως μετατίθησι νόμον.

δ'. Προσυπακουστέον φησί τό· Πάντα δυνατά τῷ πιστεύοντι, τά ὅσα κόσμου καί σαρκός τόν νοῦν ἀλλοτριοῖ. Ταῦτα γάρ εἰσι τά δυνατά τῷ πιστεύοντι παρά Θεῷ.

*ΕΡΩΤΗΣΙΣ ΛΔ΄.*

***Τί πάλιν ἐστί· "Διά τοῦτο λέγω ὑμῖν, ὅτι πάντα ὅσα ἄν προσευχόμενοι αἰτεῖσθε, πιστεύετε ὅτι λαμβάνετε, καί ἔσται ὑμῖν;" Πῶς τις δύναται πιστεύειν, ὅτι πάντα λαμβάνει αἰτῶν, μόνου Θεοῦ εἰδότος εἰ συμφέρει τό αἰτούμενον, ἤ μή, Καί εἰ ἐξ ἀγνοίας ὅ οὐ συμφέρει αἰτεῖ, πῶς παρέχει; Καί εἰ οὐ παρέχει τό μή συμφερόντως ἐξ ἀγνοίας αἰτούμενον, πῶς πιστεύειν τις δύναται ἐπί παντί αἰτήματι ὅ τι λαμβάνει, καί ἔσται αὐτῷ;***

Ἀπόκρισις.

Πάντα μέν ἐπί τοῦ παρόντος κεφάλαια κατ᾽ ἐπιτομήν ἐν τῷ πρό αὐτοῦ ἐπιλέλυται. Μόνων γάρ τῶν ἐπεγνωκότων πῶς δεῖ πιστεύειν, ἐστί τό εἰδέναι, τί δεῖ, καί πῶς, καί περί τίνων αἰτεῖσθαι. Οὐ γάρ πάντων ἡ γνῶσις, ὥσπερ οὐδέ πίστις. Πλήν ὁ Κύριος εἰπών· Ζητεῖτε πρῶτον τήν βασιλείαν τοῦ Θεοῦ καί τήν δικαιοσύνην αὐτοῦ· τουτέστι, πρό πάντων τήν ἐπίγνωσιν τῆς ἀληθείας, καί οὕτω τήν τῶν καθηκόντων τρόπων ἐξάσκησιν· σαφῶς ἔδειξε περί μόνης τῆς θείας γνώσεως δεῖν ζητεῖν τούς πιστεύοντας, καί τῆς αὐτήν κοσμούσης διά τῶν ἔργων ἀρετῆς.(377) Ἐπειδή γοῦν πολλά τυγχάνει τά πρός γνῶσιν Θεοῦ καί ἀρετήν ζητούμενα τοῖς πιστεύουσιν, ἀπαλλαγή παθῶν, ὑπομονή πειρασμῶν, ἀρετῶν λόγοι, τρόποι ἐνεργειῶν, ἐξήλωσις τῆς πρός πρός σάρκα τῆς ψυχῆς διαθέσεως, ἀποξένωσις τῆς πρός τά αἰσθητά τῆς αἰσθήσεως σχέσεως, τοῦ νοῦ παντελής ἀπό πάντων τῶν γεγονότων ἀναχώρησις· καί ἁπλῶς μυρία ἄλλα ἐστί τά πρός ἀποχήν μέν κακίας καί ἀγνωσίας, κατόρθωσιν δέ γνώσεως καί ἀρετῆς, εἰκότως ὁ Κύριος ἔφη· Πάντα ὅσα αἰτῆσθε πιστεύοντες, λήψεσθε· πάντα ἁπλῶς τά πρός ἐπίγνωσιν Θεοῦ καί ἀρετήν συντείνοντα, μόνα καί ζητεῖν καί αἰτεῖν, μετ᾽ ἐπιστήμης καί πίστεως δεῖν εἰπών τούς εὐσεβεῖς. Ταῦτα γάρ πάντα συμφέρει, καί πάντως δίδωσιν αὐτά τοῖς αἰτουμένοις ὁ Κύριος. Ὁ τοίνυν διά μόνην τήν πίστιν, ἤγουν τήν πρός Θεόν ἄμεσον ἕνωσιν, πάντα ζητῶν τά πρός τήν ἕνωσιν, πάντως λήψεται. Ὁ δέ ταύτης δίχα τῆς αἰτίας, κἄν ἄλλα, κἄν τά προειρημένα ζητῇ, οὐ λήψεται· οὐ γάρ πιστεύει, ἀλλ᾽ οἰκείαν ὡς ἄπιστος διά τῶν είων πραγματεύεται δόξαν.

*ΕΡΩΤΗΣΙΣ ΛΕ'.*

***Ἐπειδή ὁ Λόγος σάρξ ἐγένετο, καί οὐ μόνον σάρξ, ἀλλά καί αἷμα καί ὀστᾶ· καί κελευόμεθα ἐσθίειν μέν τήν σάρκα, πίνειν δέ τό αἷμα, μή συντρίβειν δέ τά ὀστᾶ, παρακαλῶ μαθεῖν, τίς ἡ τριμερής αὕτη τοῦ ἀνθρωπισθέντος Λόγου δύναμις;***

Ἀπόκρισις.

Εἰς οὐσίαν ἐλθεῖν βουληθείς ὡς οἶδεν αὐτός ὁ ὑπερούσιος Λόγος, καί πάντων τῶν ὄντων δημιουργός, τούς τῶν ὄντων πάντων τῶν φαινομένων καί νοουμένων, μετά τῶν ἀκαταλήπτων τῆς οἰκείας θεότητος νοημάτων, φυσικούς ἐπιφέρεται λόγους· ὧν, τῶν μέν νοητῶν οἱ λόγοι, εἶεν τό αἷμα τοῦ Λόγου· τῶν δέ αἰσθητῶν οἱ λόγοι, ἡ φαινομένη Λόγου ἔστω σάρξ. Ἐπειδή τοίνυν, καί τῶν ἐν τοῖς φαινομένοις, καί τῶν ἐν τοῖς νοουμένοις πνευματικῶν λόγων ὑπάρχει διδάσκαλος ὁ Λόγος· πρεπόντως καί κατά λόγον δίδωσι τοῖς ἀξίοις, ὡς σάρκα φαγεῖν, τήν ἐν τοῖς λόγοις τῶν ὁρωμένων ἐπιστήμην· καί ὡς αἷμα πίνειν, τήν ἐν τοῖς λόγοις τῶν νοουμένων γνῶσιν· οὕς καί ἡ Σοφία διά τοῦ κρατῆρος, καί τῶν θυμάτων πόῤῥωθεν μυστικῶς διά τῶν Παροιμιῶν ἡτοιμάσατο. Τά δέ ὀστᾶ, τουτέστι τούς ὑπέρ νόησιν περί Θεότητος λόγους, πάσῃ γενητῇ φύσει κατά τό ἴσον ἀπείρως ἀπέχοντας, οὐ δίδωσιν· οὐκ ἐχούσης τῆς τῶν ὄντων φύσεως κατά τινα δύναμιν πρός τούτους τήν ἐπιδεχομένην σχέσιν.

Καί πάλιν, σάρξ ἐστι τοῦ Λόγου, ἡ ἀληθής ἀρετή· αἷμα δέ, ἡ ἄπταιστος γνῶσις· ὀστᾶ δέ, ἡ ἀπόῤῥητος θεολογία. Τρόπον γάρ αἵματος, κατ᾽ εἶδος εἰς σάρκα μεταβαλλομένου, καί ἡ γνῶσις διά τῆς πρακτικῆς, εἰς ἀρετήν μεταπλάττεται· καί ὀστέων δίκην συστατικῶν αἵματος καί σαρκός, καί οἱ πάσης (380) ἐπέκεινα νοήσεως περί θεότητος λόγοι τοῖς οὖσιν ἐνυπάρχοντες, τάς τῶν ὄντων ἀγνώστως καί ποιοῦσι καί πρός τό εἶναι συνέχουσιν, οὐσίας· καί πᾶσαν γνῶσιν, καί πᾶσαν ἀρετήν συνιστῶσιν.

Εἰ δέ καί τούς περί κρίσεως καί προνοίας λόγους εἶναι τήν σάρκα καί τό αἷμα, ὡς πάντως ποτέ βρωθησομένους καί ποθησομένους· τούς δέ τούτοις ἐγκεκρυμμένους ἀῤῥήτους περί θεότητος λόγους ὀστᾶ φήσειέ τις, οὐκ ἔξω βέβηκεν, ὡς οἶμαι, τοῦ εἰκότος.

Τυχόν δέ σάρξ ἐστι πάλιν τοῦ Λόγου, καί ἡ τῆς φύσεως τελεία πρός ἑαυτήν δι᾽ ἀρετῆς καί γνώσεως ἐπάνοδος καί ἀποκατάστασις· αἷμα δέ, ἡ ταύτην πρός τό ἀεί εὖ εἶναι χάριτι συνέχειν μέλλουσα θέωσις· ὀστᾶ

δέ, αὐτή ἡ πρός τό ἀεί εὖ εἶναι διά θεώσεως συνέχουσα τήν φύσιν ἄγνωστος δύναμις.

Εἰ δέ καί τό λεπτότερον εἴποι τις, ὅτι σάρξ ἐστιν ἡ διά τῶν ἀρετῶν ἑκούσιος νέκρωσις· αἷμα δέ, ἡ κατά περίστασιν ὑπέρ τῆς ἀληθείας διά τοῦ θανάτου τελείωσις· ὀστᾶ δέ, τούς πρώτους ἡμῖν ἀνεφίκτους περί θεότητος λόγους, καλῶς καί οὗτος ἔφη, καί τῆς πρεπούσης ἐννοίας οὐδαμῶς διαπέπτωκεν.

ΣΧΟΛΙΑ.

α'. Cod. Fr. Τήν οὐσίαν λέγει καί τήν δύναμιν ἑκάστου τῶν ὄντων καί τήν ἐνέργειαν, ἐφ᾽ οἷς θεωροῦνται πάντα τά ὄντα, καί δι᾽ ὧν γινώσκεται ἡμῖν ὁ Θεός δημιουργός καί προνοητής καί κριτής. Ἤ τήν δυάδα τῶν ὄντων, τῶν μέν αἰσθητῶν, τῶν τήν ὕλην καί τό εἶδος· τῶν δέ νοητῶν, τήν οὐσίαν καί τό συμβεβηκός· ἤ τήν ἀρετήν καί τήν γνῶσιν, δι᾽ ὧν τοῖς ἀξίοις ἐγνῶσθαι ὁ ὑπεράγνωστος.

β'. Ἀπόῤῥητός ἐστι θεολογία, ἡ παντελής καθ᾽ ὑπεροχήν ἀγνωσία, ἥτις τοσοῦτον ἠγνόηται, ὅσον ἔγνωσται τά φυσικῶς γινωσκόμενα.

γ'. Τό αἷμα εἰς τήν θέωσιν ἐλάμβανε, ὡς ζωήν ἐσομένην τῶν ἀξιωθησομένων αὐτῆς. Ζωῆς γάρ τό αἷμα σύμβολον.

***ΕΡΩΤΗΣΙΣ Λστ'.***

***Τί ἐστι τῶν ἀλόγων ζώων σώματα καί αἵματα, δι᾽ ὧν λατρεύοντες οἱ Ἰσραηλῖται, τά μέν σώματα ἤσθιον, τά δέ αἵματα οὐκ ἔτι, πρός δέ τήν βάσιν κύκλῳ του θυσιαστηρίου προσέχεον;***

Ἀπόκρισις.

Τῶν εἰσαγομένων πρός εὐσέβειαν τύπον ἔφερον, τό πάλαι τῷ Θεῷ κατά νόμον ἐν σκιᾷ λατρεύοντες, μόλις κἄν αὐτοί τά φαινόμενα τῶν τυπικῶν συμβόλων διατάγματα νοῆσαι δυνάμενοι. Ἐπειδή οὖν οὐκ ἐκείνοις προηγουμένως, ἀλλ᾽ ἡμῖν ὁ νόμος ἐδόθη, κατά Χριστόν πνευματικῶς δι᾽ ἡμῶν τελειούμενος, σκοπήσωμεν τῶν τότε θυμάτων μετ᾽ εὐσεβείας τόν λόγον.

Ὁ πρός εὐσέβειαν εἰσαγόμενος, περί τῶν ἔργων διδασκόμενος τῆς δικαιοσύνης, τήν πρᾶξιν μόνην ἐπιτελεῖ μετά πάσης ὑπακοῆς καί πίστεως, (381) καθάπερ σάρκας ἐσθίων τῶν ἀρετῶν τά φαινόμενα· τούς δέ τῶν ἐντολῶν λόγους, ἐν οἷς ἡ τῶν τελείων ὑπάρχει γνῶσις, τῷ Θεῷ παραχωρεῖ διά τῆς πίστεως, μή δυνάμενος τέως συνεπεκτανθῆναι τῷ μήκει τῆς γνώσεως. Θεοῦ γάρ σύμβολόν ἐστι τό θυσιαστήριον, ᾧ πάντες πνευματικῶς θυόμεθα, καί τῶν ὑπέρ δύναμιν

παραχωροῦμεν τήν εἴδησιν, ἵνα ζήσωμεν. Τῆς δέ κατ᾽ αὐτόν πίστεως τύπος ἐστίν, ἡ τοῦ θυσιαστηρίου βάσις· θεμέλιον γάρ ἡ πίστις ὑπάρχει, πᾶσαν τήν οἰκοδομήν τῶν θείων ἔργων καί νοημάτων βαστάζουσα πρός ἥν πᾶς μή δυνάμενος τῆς ἐκ τοῦ θείου τῆς σοφίας κρατῆρος κατά τήν γνῶσιν σωφρόνως ἀπολαῦσαι μέθης, τῶν οὐκ ἐφικτῶν αὐτῷ γνώσεως καλῶς ποιῶν προχέει τούς λόγους· τουτέστι, τῶν ὑπέρ δύναμιν λόγων τήν γνῶσιν τῇ πίστει παραχωρεῖ.

Ὡς οὖν τύπον τῶν κατ᾽ εὐσέβειαν εἰσαγομένων ὁ παλαιός λαός φέρων, ἐσθίοντες τῶν θυομένων τάς σάρκας τό αἷμα πρός τήν βάσιν τοῦ θυσιαστηρίου προσέχεον, οὐ δυνάμενοι διά τόν νηπιάζοντα λογισμόν, τῆς τῶν γινομένων μυστικῆς ἐφικέσθαι γνώσεως. Χριστός δέ παραγενόμενος ἀρχιερεύς τῶν μελλόντων ἀγαθῶν, τήν ἀπόῤῥητον θύων θυσίαν ἑαυτόν, μετά τῆς σαρκός καί τό αἷμα δίδωσι τοῖς τά αἰσθητήρια τῆς ψυχῆς διά τήν τελειότητα γεγυμνασμένα ἔχουσι, πρός διάκρισιν καλοῦ τε καί κακοῦ. Ὁ γάρ τέλειος οὐ μόνον τήν τῶν εἰσαγομένων τάξιν, ἀλλά καί τήν τῶν προκοπτόντων διαδραμών, οὐκ ἀγνοεῖ τῶν ὑπ᾽ αὐτοῦ κατ᾽ ἐντολήν γινομένων τούς λόγους· ἀλλ᾽ ἐκείνους πνεύματι πρῶτον διαπιών, πᾶσαν ἐσθίει διά τῶν ἔργων τήν σάρκα τῶν ἀρετῶν· πρός τήν κατά νοῦν γνῶσιν ἀναβιβάζων τήν τῶν γινομένων κατ᾽ αἴσθησιν νόησιν. Εἰσί μέν καί ἕτεροι πλεῖστοι λόγοι περί τούτων, ὑμῖν μάλιστα τοῖς φιλοθεωτάτοις· ἀλλά παρείσθωσαν νῦν διά τό πλῆθος.

ΣΧΟΛΙΑ.

α' . Τά φαινόμενα τῶν ἀρετῶν εἶπεν τήν ἠθικήν παιδαγωγίαν.

β' . Fr. Ὅρα , ὅτι λόγους τήν γνῶσιν ἐκάλεσεν. Εἰ δέ οἱ λόγοι γνῶσις, ὁ γνούς τούς λόγους, πάντως ἔγνω τόν Λόγον καί τόν τοῦ Λόγου Πατέρα· γνῶσις γάρ ὁ Λόγος τοῦ οἰκείου Πατρός ἀκριβής· Ὁ ἑωρακώς ἐμέ, φησίν ὁ Σωτήρ, ἑώρακε τόν Πατέρα·

γ' . Τό αἷμα κατά θεωρίαν, εἰς τήν γνῶσιν ἔλαβεν, ὡς ὑποτρέφουσαν τό σῶμα τῶν ἀρετῶν.

***ΕΡΩΤΗΣΙΣ ΛΖ' .***

***Λέγει εἰς τάς Πράξεις περί τοῦ ἁγίου Παύλου· " Ὥστε καί ἐπί τούς ἀσθενοῦντας ἐπιφέρεσθαι ἀπό τοῦ χρωτός αὐτοῦ σουδάρια καί σημικίνθια, καί ἀπαλλάττεσθαι ἀπ᾽ αὐτῶν (384) τάς νόσους." Ἆρα γάρ διά τήν διακονίαν καί τούς ἀπίστους τουτί ἐγίνετο, ἤ***

***ἁγιασθέντος τοῦ σώματος ταῦτα ἐκ τοῦ χρωτός αὐτοῦ ἐπετελεῖτο; Καί εἰ κατά τοῦτο, καί ἐπί τῆς ἐχίδνης οὐδέν ἔπαθεν, τίνι τῷ λόγῳ, τῷ μέν ἰῷ τοῦ θηρίου οὐχ ὑπέπεσε τό σῶμα τοῦ ἁγίου, τῷ δέ ξίφει ὑπέπεσε; τό δέ αὐτό ζητῶν καί ἐπί τοῦ σώματος τοῦ Ἐλισσαίου. Τίνα δέ τά σημικίνθιά εἰσιν;***

Ἀπόκρισις.

Οὔτε διά μόνην τοῦ ἁγίου Παύλου τήν ἁγιότητα, οὔτε διά μόνην τήν τῶν δεχομένων πίστιν, ὁ χρώς τοῦ σώματος αὐτοῦ διά τῶν σουδαρίων καί τῶν σημικινθίων ἐπιτέλει τάς ἰάσεις· ἀλλ᾽ ὅτιπερ αὐτῷ τε κἀκείνοις ἡ θεία χάρις ἑαυτήν ἐπιμερίσασα, φιλανθρώπως ἐν ἐκείνοις διά τῆς πίστεως ἐνεργόν ἐποίει τοῦ Ἀποστόλου τήν ἁγιότητα. Οὕτω μέν οὖν πάλιν βουληθείσης τῆς χάριτος, ἀπαθές διέμεινεν αὐτοῦ τό σῶμα, τῷ ἰῷ τοῦ θηρίου μή διαφθειρόμενον· εἴτε τήν ἐν τῷ ἰῷ τοῦ θηρός φθαρτικήν ποιότητα μεταβαλούσης· εἴτε τό σῶμα τοῦ ἁγίου τῆς τοιαύτης δαπανητικόν φθορᾶς ἀπεργασαμένης· εἴτε κατ᾽ ἄλλον τινά τρόπον οἰκονομίας, ὅν οἶδεν ὁ ταῦτα ποιῶν καί μετασκευάζων Θεός. Τῷ δέ ξίφει πάλιν ὑπέπεσε, βουληθείσης τῆς χάριτος· οὐ γάρ ἦν κατά φύσιν ἀθάνατον, κἄν ἦν διά τήν χάριν θαυματουργόν. Εἰ μέν κατά φύσιν ὑπῆρχεν ἀθάνατον, καλῶς ἄν ἐζητοῦμεν τόν καθ᾽ ὅν παρά φύσιν ὑπέπεσε τῷ ξίφει λόγον. Εἰ δέ φύσει, καί μετά τήν ἁγιότητα, διέμεινε θνητόν, οὐκ ἔστιν ἀναγκαῖον ζητῆσαι τόν καθ᾽ ὅν οὐ τοιῶσδε, ἀλλά τοιῶσδε τήν ἐν σαρκί ζωήν παρῆλθε λόγον ὁ θεῖος Ἀπόστολος. Ὧι γάρ τρόπῳ βούλεται, ὁ τήν ἑκάστου πρό τῶν αἰώνων συμφερόντως διορίσας ζωήν Θεός, ἕκαστον πρός τό οἰκεῖον τῆς ζωῆς ἄγει, εἴτε δίκαιον, εἴτε ἄδικον.

Εἰ μέν οὖν εἷς καί ὁ αὐτός φύσεως ἦν καί χάριτος λόγος, θαύματος ἦν ἄξιον καί καταπλήξεως, τό (385) κατά τήν φύσιν παρά τήν χάριν, ἤ κατά τήν χάριν παρά τήν φύσιν γινόμενον. Εἰ δέ μᾶλλον ἕτερος καί ἕτερος φύσεως καί χάριτος λόγος, δῆλόν ἐστι καί σαφές, ὅτι ὡς μέν ἅγιοι ἐθαυματούργουν διά τήν χάριν, ὡς ἄνθρωποι ἔπασχον διά τήν φύσιν· ἐπειδή μή ἀνεῖλε τό τῆς φύσεως παθητόν ἡ χάρις· οὐδαμῶς ἀλλήλοις συμφυρέντων τῶν ἐν φύσει καί χάριτι λόγων. Οὕτω δεξόμεθα πάντα ποιεῖν κατ᾽ οἰκονομίαν τῶν προνοουμένων ἐν τοῖς ἁγίοις τήν τοῦ Θεοῦ χάριν, καί ζῶσι καί ἀποθανοῦσιν, ὡς ἐν ὀργάνοις οἰκείοις τῆς τῶν ἄλλων προνοουμένην σωτηρίας· ἀλλ᾽ οὐ κατά φύσιν ταῦτα διά τήν χάριν ἐν τοῖς ἄλλοις ἐνεργοῦντας τούς ἁγίους. Τοῦτο γοῦν καί ἐπί τοῦ σώματος Ἑλισσαίου.

Ἀλλ᾽ ἐπειδή τῶν ἱστορουμένων τά νοούμενα μᾶλλον εὐφραίνει τήν τῶν φιλοθέων ψυχήν, χρῶτα μέν φαμεν εἶναι τοῦ μεγάλου Ἀποστόλου, τήν εὐσέβειαν· καθ᾽ ἥν τοῖς μέν ἦν ὀσμή ἀπό ζωῆς εἰς ζωήν· τοῖς δέ, ὀσμή ἐκ θανάτου εἰς θάνατον· σουδάρια δέ, τούς ἐκφανεῖς τῆς γνωστικῆς αὐτοῦ θεωρίας λόγους· τά δέ σημικίνθια, τούς σεμνούς κατ᾽ ἀρετήν πρακτικῆς φιλοσοφίας τρόπους· ἐγχείρια γάρ εἶναί φασιν τά σημικίνθια· οὕστινας λόγους τε καί τρόπους πνέοντας καί ἐκπέμποντας καθάπερ εὐωδίαν τά χρῶτα, τουτέστι, τήν τοῦ μακαρίου Ἀποστόλου μεγάλην εὐσέβειαν, οἱ δεχόμενοι, τήν τῆς πιεζούσης αὐτούς ἀσθενείας ἐλάμβανον ἴασιν· οἱ μέν, διά τῶν περί θεωρίας λόγων, ὡς σουδαρίων, τῆς ἀγνωσίας τήν νόσον διώκοντες· οἱ δέ, διά τῶν κατά τήν πρᾶξιν ἐναρέτων τρόπων τήν ἀῤῥωστίαν τῆς κακίας παντελῶς ἀφανίζοντες.

Οὕτω δέ καί τόν οὕτω συμβάντα ζοφερόν χειμῶνα, τό βάρος εἶναι τῶν ἀκουσίων πειρασμῶν τεκμαίρομαι· τήν δέ νῆσον, τήν παγίαν ἕξιν τῆς θείας ἐλπίδος καί ἄσειστον· τήν δέ πυράν, τήν ἕξιν τῆς γνώσεως τά δέ φρύγγανα, τήν τῶν ὁρωμένων φύσιν· ἥν συνέστρεφε τῇ χειρί, τῇ κατά θεωρίαν λέγω ψηλαφητικῇ τοῦ νοῦ δυνάμει, διατρέφων τοῖς ἐξ αὐτῆς νοήμασι τήν ἕξιν τῆς γνώσεως, τήν θεραπεύουσαν τήν ἐκ τοῦ χειμῶνος τῶν πειρασμῶν προστριβεῖσαν τῇ διανοίᾳ κατήφειαν. Τήν δέ ἔχιδναν, τήν λανθανότως ἐγκεκρυμμένην τῇ φύσει τῶν αἰσθητῶν πονηράν καί ὀλέθριον δύναμιν· δήξασαν μέν τήν χεῖρα, τουτέστι, τήν ψηλαφητικήν κατά νοῦν τῆς θεωρίας ἐνέργειαν· οὐ βλάψασαν δέ τόν διορατικόν νοῦν, τῷ φωτί τῆς γνώσεως αὐτοῦ εὐθύς ὡς ἐν πυρί (388) διαφθείραντα τήν τῷ πρακτικῷ κινήματι τοῦ νοῦ προσαφθεῖσαν ἐκ τῶν τῶν αἰσθητῶν θεωρίας ὀλέθριον δύναμιν.

Ὡσαύτως καί ἐπί τοῦ Ἐλισσαίου νοῶ· ὅτιπερ ἕκαστος νεκρός τοῖς παραπτώμασιν, ἐπειδάν τοῦ μνήματος ἐπιτεθῇ [Fr. ἐπιτεθείς] τοῦ προφήτου, ἐν ᾧ ἦν τό σῶμα, τουτέστι, τῇ τό ἴχνος ἐχούσῃ τοῦ προφητικοῦ βίου μνήμῃ· ἐν ᾧ ἦν καλῶς φυλαττόμενον τό σῶμα τῶν ἀρετῶν, τῇ κατά μίμησιν τῶν τρόπων ἀναστροφῇ ζωοποιεῖται, πρός τήν ἐνάρετον μετατιθέμενος ζωήν, ἀπό τῆς τῶν παθῶν τῆς κακίας νεκρότητος.

ΣΧΟΛΙΑ.

α' . Πίστις τῶν δεομένων ἰάσεως, φησί, παρεκαλεῖτο τήν ἐν τοῖς ἁγίοις τοῦ Πνεύματος δύναμιν, ἵνα διά τῆς πίστεως λανθάνουσα

φανερά γένηται δύναμις· καί ἡ κεκρυμμένη πίστις διά τῆς δυνάμεως γένηται πᾶσι διάδηλος. Τηνικαῦτα γάρ ὁ τῶν ἰαμάτων ἀληθής πέφυκε διαδείκνυσθαι τρόπος, ὁπηνίκα τῇ τῶν ἐνεργουμένων πίστει συμβαίνει διά πάντων ἡ τῶν ἐνεργοῦντων ἐν πνεύματι δύναμις.

β' . Ὁ γνώμῃ, φησίν, τῆς καθ᾽ ἁμαρτίαν καθαρεύων φθορᾶς, φθείρει τήν τῶν φθείρειν πεφυκότων φθοράν. Ἡ γάρ ἀφθαρσία τῆς προαιρέσεως τήν φθοράν συντηρεῖν τῆς φύσεως πέφυκε ἄφθαρτον κατά πρόνοιαν, διά τῆς ἐν αὐτῇ τοῦ Πνεύματος χάριτος μή συγχωροῦσα ταῖς ἐναντίαις ποιότησιν αὐτήν δυναστεύεσθαι.

γ'. Ἐπειδή φύσεως, φησίν, καί χάριτος εἷς καί ὁ αὐτός λόγος, οὐκ ἔστιν ἀπορίας ἄξιον, πῶς τινες τῶν ἁγίων ποτέ μέν τῶν παθῶν ὑπερεῖχον, ποτέ δέ μᾶλλον ὑπέπιπτον πάθεσι· γινωσκόντων ἡμῶν, ὅτι τό μέν θαῦμα τῆς χάριτος ἦν· τό δέ πάθος τῆς φύσεως.

δ' . Ὀσμή ἀπό ζωῆς εἰς ζωήν ὁ Ἀπόστολος εἰς τούς πιστούς τῷ καθ᾽ ἑαυτόν παραδείγματι, διά πράξεως πρός τήν εὐωδίαν τῶν ἀρετῶν κινεῖσθαι παρασκευάζων ἤ τούς πειθουμένους τῷ λόγῳ τῆς χάριτος ὡς κήρυξ ἀπό τῆς κατ᾽ αἴσθησιν ζωῆς εἰς τήν ἐν πνεύματι μετάγων ζωήν· ὀσμή δέ ἀπό θανάτου εἰς θάνατον, τοῖς ἀπό τοῦ θανάτου τῆς ἀγνοίας εἰς τόν τῆς ἀπιστίας ἐλάσασιν θάνατον, διδούς αὐτοῖς αἴσθησιν τῆς μενούσης αὐτούς κατακρίσεως. Ἤ πάλιν, ὀσμή ἀπό ζωῆς εἰς ζωήν, τοῖς ἀπό πράξεως εἰς θεωρίαν ἀναγομένοις· ὀσμή δέ ἀπό θανάτου εἰς θάνατον, τοῖς ἀπό τοῦ νεκρῶσαι τῇ καθ᾽ ἁμαρτίαν ἀργίᾳ τά μέλη τά ἐπί τῆς γῆς, εἰς τήν τῶν ἐμπαθῶν νοημάτων τε καί φαντασιῶν ἐπαινουμένην μεταβαίνουσι νέκρωσιν.

ε' . Fr. Τό· Χριστοῦ εὐωδία ἐσμέν τῷ Θεῷ ἐν τοῖς σωζομένοις καί ἐν τοῖς ἀπολλυμένοις· οἷς μέν, ὀσμή ζωῆς εἰς ζωήν· οἷς δέ, ὀσμή θανάτου εἰς θάνατον, ἐνταῦθα μάλιστα σεσαφήνισται. Τό μέν οὖν, ὀσμή ζωῆς εἰς ζωήν, οἷς μή ἐστιν αὐτοῦ κεκαλυμμένον τό Εὐαγγέλιον· τό δέ, οἷς δέ ὀσμή θανάτου εἰς θάνατον, ἐνταῦθα μάλιστα σεσαφήνισται. Τό μέν οὖν, ὀσμή ζωῆς εἰς ζωήν, οἷς μή ἐστιν αὐτοῦ κεκαλυμμένον τό Εὐαγγέλιον· τό δέ, οἷς δε ὀσμή θανάτου εἰς θάνατον, οἷς παντελῶς κεκαλυμμένον ἐστίν· Ἐν οἷς ὁ Θεός, φησί, τοῦ αἰῶνος τούτου (389) ἐτύφλωσε τά νοήματα τῶν ἀπίστων. Ἀποκεκάλυπται δέ καί ἐπικεκάλυπται, παρά τήν τῶν ἀκοούντων θερμότητα ἤ ψυχρότητα.

στ' . Διά μιμήσεως, φησί, τήν μνήμην ἔχων τις τῆς τῶν ἁγίων ἀναστροφῆς, τήν μέν τῶν παθῶν ἀποτίθεται νέκρωσιν· τήν δέ τῶν ἀρετῶν ζωήν ἀποδέχεται.

*ΕΡΩΤΗΣΙΣ ΛΗ΄.*

***Ἆρα γάρ ὡς ἔτυχεν οἱ Σαδδουκαῖοι τόν ἀριθμόν τῶν ἑπτά ἀδελφῶν εἶπον ἐπί τῆς μιᾶς γυναικός, ἤ ἔχει τινά λόγον βαθύτερον; Εἰ δέ ἔχει, τίνες ἐκεῖνοι, καί τίς αὕτη;***

Ἀπόκρισις.

Φασί τινες μή ἀλληγορεῖσθαι τῶν ἐν τῇ Γραφῇ ψεκτῶν προσώπων τούς λόγους· πλήν ἐπειδή κρεῖττον μᾶλλον φιλοπονεῖν, καί τόν Θεόν ἀπαύστως αἰτεῖσθαι χορηγεῖν σοφίαν καί δύναμιν, πρός τό πᾶσαν νοηθῆναι πνευματικῶς τήν γραφήν· ταῖς ὑμετέραις εὐχαῖς θαῤῥῶν, καί περί τοῦ παρόντος ἀπόρου τάδε φημί. Σαδδουκαῖοί εἰσι, κατά τόν τῆς ἀναγωγῆς λόγον, οἱ τόν αὐτοματισμόν εἰσάγοντες δαίμονες, ἤ λογισμοί. Ἡ δέ γυνή ἐστιν, ἡ τῶν ἀνθρώπων φύσις· οἱ δέ ἑπτά ἀδελφοί, οἱ κατά καιρούς ἀπό τοῦ αἰῶνος δοθέντες αὐτῇ παρά τοῦ Θεοῦ πρός παιδαγωγίαν καί γένεσιν καρπῶν διακιοσύνης, νόμοι· οἷς ὡς ἀνδράσιν ὁμιλήσασα, παρ᾽ οὐδενός ἔσχεν υἱόν, οἷα τοῦ κατά δικαιοσύνην καρποῦ στειρεύουσα. Καί ἔστι πρῶτος νόμος, ὁ τῷ παραδείσῳ δοθείς τῷ Ἀδάμ· δεύτερος, ὁ τῷ αὐτῷ μετά τόν παράδεισον δεδομένος ἐν ἐπιτιμίου τάξει· τρίτος, ὁ κατά τήν κιβωτόν τῷ Νῶε δοθείς· τέταρτος, ὁ τῆς περιτομῆς τῷ Ἀβραάμ· πέμπτος, ὁ τῷ αὐτῷ περί τῆς προσαγωγῆς τοῦ Ἰσαάκ· ἕκτος, ὁ κατά Μωσέα· καί ἕβδομος, ὁ τῆς προαγορευτικῆς χάριτος, ἤγουν προφητικῆς ἐπιπνοίας. Τῷ γάρ Εὐαγγελίῳ οὔπω ἦν διά τῆς πίστεως ἁρμοσθεῖσα πρός συμβίωσιν ἡ φύσις, ἀνδρί εἰς πάντας τούς αἰῶνας διαμένοντι.

Τούτους οὖν προβάλλονται διαπαντός τῷ ἐν ἡμῖν λόγῳ διά τῶν λογισμῶν οἱ δαίμονες, εὐλογοφανῶς ἐκ τῶν γεγραμμένων καταγωνιζόμενοι τῆς πίστεως, καί διαποροῦντες ὡς εἴπερ νεκρῶν ἀνάστασίς ἐστι, καί ἕτερόν τι εἶδος ζωῆς, μετά τήν παροῦσαν ἐκδέχεσθαι δεῖ· κατά ποῖον νόμον τῶν ἀπό τοῦ αἰῶνος δοθέντων πολιτεύσηται τῶν ἀνθρώπων ἡ φύσις; ἵνα καθ᾽ ἕνα τῶν εἰρημένων εἰ φῶμεν, ἐπαγάγωσι φάσκοντες· Οὐκοῦν ματαία καί ἀνωφελής ἔσται πάλιν ἡ τῶν ἀνθρώπων ζωή, τῶν πρωτέρων μή ἀπηλλαγμένη κακῶν· εἴπερ ἐπί τοῖς αὐτοῖς πάλιν ἡ φύσις ἐρεσχελισθήσεται πράγμασιν· ὅπερ τόν αὐτοματισμόν εἰσάγει σαφῶς, καί τῶν ὄντων ἐκβάλλει τήν Πρόνοιαν. Ἀλλ᾽ ὁ Κύριος καί σωτήριος Λόγος, ἀποφιμοῖ τούς τοιούτους δαίμονάς τε καί λογισμούς, ἡ κατά τό Εὐαγγέλιον ἐσύστερον φανησομένην τῆς φύσεως ἀφθαρσίαν ὑποφαίνων, καί κατ᾽

οὐδένα τῶν προλαβόντων νόμων πολιτευσομένη δεικνύς τήν ἀνθρώπου φύσιν, θεωθεῖσαν ἤδη καί ἁρμοσθεῖσαν διά τοῦ Πνεύματος (392) αὐτῷ τῷ Λόγῳ καί Θεῷ, παρ᾽ οὗ, καί εἰς ὅν τοῦ εἶναι τήν ἀρχήν, καί τό τέλος εἴληφέ τε καί λήψεται.

Εἰ δέ καί τάς ἑπτά χιλιάδας τῶν ἐτῶν, ἤγουν αἰῶνας λαμβάνῃ τις εἶναι τούς ἄνδρας, οἷς συνεγένετο τῶν ἀνθρώπων ἡ φύσις, οὐκ ἄνευ λόγου καί τῆς δεούσης λήψεται θεωρίας τόν τόπον· ὧν οὐδενός τούτων ἔσται γυνή κατά τήν μέλλουσαν ζωήν ἡ φύσις, ὡς τῆς χρονικῆς τέλος λαβούσης φύσεως· καί ὀγδόου ἀνδρός, τοῦ ἀτελευτήτου καί πέρας οὐκ ἔχοντος, αὐτήν παραλαβόντος αἰῶνος.

*ΕΡΩΤΗΣΙΣ ΛΘ΄.*

*Τίνες αἱ τρεῖς ἡμέραι, ἅς προσμένουσι τῷ Κυρίῳ ἐν τῇ ἐρήμῳ;*

Ἀπόκρισις.

Ἡ ἔρημος ἐστιν ἡ φύσις τῶν ἀνθρώπων, ἤ ὁ κόσμος οὗτος, ἐν ᾧ προσμένουσι τῷ λόγῳ τῆς ἀρετῆς καί τῆς γνώσεως, οἱ διά τῆς πίστεως καί τῆς τῶν μελλόντων ἀγαθῶν ἐλπίδος κακοπαθοῦντες· αἱ δέ τρεῖς ἡμέραι εἰσί, καθ᾽ ἕνα τρόπον τῆς ἐπ᾽ αὐταῖς θεωρίας, αἱ τρεῖς δυνάμεις τῆς ψυχῆς, καθ᾽ ἅς προσμένουσι τῷ θείῳ λόγῳ τῆς ἀρετῆς καί τῆς γνώσεως· τῇ μέν ζητοῦντες, τῇ δέ ποθοῦντες, τῇ δέ ὑπεραγωνιζόμενοι, δέχονται τροφήν ἄφθαρτον, καί τόν νοῦν πιαίνουσαν, τήν γνῶσιν τῶν γεγονότων.

Καθ᾽ ἕτερον δέ τρόπον, τούς τρεῖς γενικωτέρους νόμους αἱ τρεῖς ἡμέραι σημαίνουσι· τόν γραπτόν φημι, καί τόν φυσικόν, καί τόν πνευματικόν, ἤτοι τόν τῆς χάριτος. Πᾶς γάρ νόμος οἰκείως ἑαυτῷ φωτός ἔχων δημιουργόν τόν τῆς δικαιοσύνης Ἥλιον. Ὡς γάρ ἡλίου χωρίς ἡμέραν γενέσθαι παντελῶς ἀμήχανον· οὕτω δίχα τῆς οὐσιώδους καί ὑφεστώσης σοφίας, νόμος εἶναι δικαιοσύνης οὐ δύναται, τῆς ἐν ἑκάστῳ νόμῳ τήν οἰκείαν ποιουμένης ἀνατολήν, καί τούς νοερούς τῶν ψυχῶν ὀφθαλμούς νοητοῦ φωτός ἐμπιπλώσης. Ὅπερ εἰδώς ὁ Δαβίδ ὁ μακάριός φησι· Λύχνος τοῖς ποσί μου ὁ νόμος σου, καί φῶς ταῖς τρίβοις μου· λύχνος τόν γραπτόν καλέσας νόμον, ὡς τεχνικῶς τοῖς τῶν σωματικῶν συμβόλων, αἰνιγμάτων τε καί τύπων διαφόροις συνθήμασι, τό καυστικόν φῶς τῆς τῶν παθῶν μοχθηρίας πυρσεύοντα, τοῖς διά πράξεως κατά τῶν ἐναντίων δυνάμεων πλατύνουσι τῆς ψυχῆς τά διαβήματα· φῶς δέ, τόν πνευματικόν τῆς χάριτος νόμον, ὡς ἀτεχνῶς δίχα τῶν αἰσθητῶν συμβόλων τάς αἰωνίους δεικνύοντα

τρίβους· ἐν αἷς τόν δρόμον ὁ θεωρητικός ποιούμενος νοῦς, πρός τό ἀκρότατον τῶν ἀγαθῶν πέρας ἄγεται, τόν Θεόν· μηδενί τῶν ὄντων διορίζων τῆς διανοίας τήν κίνησιν. Ἀνέσπερον γάρ ὑπάρχει τό φῶς τοῦ νόμου τῆς χάριτος, οὐκ ἔχον τῆς οἱανοῦν γνῶσιν τάς αὐτοῦ παμφαεῖς ἀκτῖνας ὁρίζουσαν. Ἤ τυχόν πόδας ἐκάλεσεν ὁ προφήτης, ὅλου τοῦ κατά Θεόν βίου τόν δρόμον· ἤ τάς κατά ψυχήν κινήσεις τῶν ἀγαθῶν λογισμῶν, ὁδηγουμένας καθάπερ λύχνῳ τῷ ἐν τῷ γράμματι τοῦ νόμου φωτί· τρίβους δέ (393) τούς κατά τόν φυσικόν νόμον τρόπους τῶν ἀρετῶν, καί τούς κατά τόν πνευματικόν νόμον τῆς γνώσεως λόγους, τῇ παρουσίᾳ τοῦ Θεοῦ Λόγου δεικνυμένους, καί πρός ἑαυτήν τήν φύσιν καί τήν αἰτίαν δι᾽ ἀρετῆς τε καί γνώσεως ἐπανάγοντες.

Ταύτας τάς τρεῖς ἡμέρας, ἤγουν νόμους, τῷ Θεῷ Λόγῳ προσμείναντες, καί τούς ὑπέρ ἑκάστου προθύμως ὑπομείναντες πόνους, οἱ πρός σωτηρίαν τετραμμένην τήν ἔφεσιν ἔχοντες, οὐκ ἀπολύονται νήστεις, ἀλλά δέχονται τροφήν δαψιλῆ τε καί θείαν· ὑπέρ μέν τοῦ γραπτοῦ νόμου, τήν τῶν παρά φύσιν παθῶν τελείαν ἀπαλλαγήν· ὑπέρ δέ τοῦ φυσικοῦ, τήν ἄπταιστον τῶν κατά φύσιν ἐνέργειαν· καθ᾽ ἥν ἡ ἀλληλοῦχος σχέσις συνίσταται, πᾶσαν ἀπωθουμένη τῆς φύσεως σκεδαστήν ἑτερότητά τε καί διαίρεσιν· ὑπέρ δέ τοῦ πνευματικοῦ, τήν πρός αὐτόν ἕνωσιν τόν Θεόν· καθ᾽ ἥν πάντως ἐκβάντες τῶν γενητῶν, τήν ὑπέρ φύσιν δέχονται δόξαν, δι᾽ ἧς ὁ Θεός μόνος ἐν αὐτοῖς ἀπαστράπτων γνωρίζεται. Ἔχετε δέ πλατύτερον περί τούτου ἐν τοῖς Ἀπόροις εἰς τόν περί τῆς ἁγίας Πεντηκοστῆς λόγον τοῦ ἁγίου Γρηγορίου.

ΣΧΟΛΙΑ.

α΄. Λόγον, θυμόν, ἐπιθυμίαν λέγει. Τῷ γάρ λόγῳ ζητοῦμεν· τῇ ἐπιθυμίᾳ δέ, ποθοῦμεν τό ζητηθέν ἀγαθόν· τῷ δέ θυμῷ, ὑπεραγωνιζόμεθα.

β΄. Καί τάς δυνάμεις τῆς ψυχῆς κέκληκεν ἡμέρας, ὡς δεκτικάς τοῦ φωτός τῶν θείων προσταγμάτων· καί τούς τρεῖς γενικωτέρους νόμους, φωτιστικούς τῶν δεκτικῶν, δῆλον ὅτι τῶν ψυχῶν. Ὥσπερ γάρ τό φῶς ἐκάλεσεν ἡμέραν ἡ Γραφή τῆς Γενέσεως, φάσκουσα· Καί ἴδεν ὁ Θεός τό φῶς ὅτι καλόν, καί ἐκάλεσεν ὁ Θεός τό φῶς ἡμέραν· καί πάλιν τόν πεφωτισμένον ἀέρα, φήσασα· Καί ἐγένετο ἑσπέρα, καί ἐγένετο πρωΐ ἡμέρα μία· οὕτως οὐ μόνον τάς δυνάμεις τῆς ψυχῆς ἐκάλεσεν ἡμέρας, ἀλλά καί τούς ταύτας φωτίζοντας νόμους. Ἡ γάρ διόλου τούτων εἰς

ἄλληλα περιχώρησις, τήν σύνθετον ποιεῖ τῶν ἀρετῶν ἡμέραν, μή διακρίνουσα τοῦ κατά τόν λόγον θείου φωτός, τάς ποιωθείσας αὐτῷ δι᾽ ὅλου δυνάμεις.

γ' . Λύχνος ἐστί κατά ταυτόν ὁμοῦ καί φῶς ὁ τοῦ Θεοῦ Λόγος, ὡς καί φωτίζων τούς κατά φύσιν λογισμούς τῶν πιστῶν, καί ὡς λύων τόν ζόφον τῆς κατ᾽ αἴσθησιν ζωῆς τοῖς διά τῶν ἐντολῶν πρός τήν ἐλπιζομένην ἐπειγομένοις ζωήν, καί ὡς κολάζων τῇ καύσει τῆς κρίσεως τούς ταύτης τῆς σκοτεινῆς τοῦ βίου νυκτός κατά γνώμην διά φιληδονίαν σαρκός ἀντεχομένους.

δ' . Ὁ μή πρός ἑαυτόν, φησί, πρότερον ἀναχθείς διά τῆς ἀποβολῆς τῶν παρά φύσιν παθῶν πρός τήν ἰδίαν αἰτίαν, ἤγουν τόν Θεόν, διά τῆς ἐν χάριτι τῶν ὑπέρ φύσιν ἀγαθῶν ἐπικτήσεως οὐκ ἀναχθήσεται. Τῶν γάρ πεποιημένων χωρισθῆναι δεῖ κατά διάνοιαν, τόν πρός Θεόν ἀληθῶς συναγόμενον.

ε' . Τοῦ μέν γραπτοῦ νόμου φύσιν ἔργον ἐστίν ἡ τῶν παθῶν ἀπαλλαγή· φυσικοῦ δέ νόμου, ἡ κατ' ἰσοτιμίαν πρός πάντας ἀνθρώπους ἰσονομία· (396) πνευματικοῦ δέ νόμου τελείωσις, ἡ πρός τόν Θεόν, ὡς ἔστι ἀνθρώπῳ δυνατόν, ἐξομοίωσις.

***ΕΡΩΤΗΣΙΣ Μ΄ .***

***Τί σημαίνει ὁ ἀριθμός τῶν ἕξ ὑδριῶν ἐν τῷ γάμῳ τῷ ἐν Κανᾷ τῆς Γαλιλαίας;***

Ἀπόκρισις.

Ὁ τήν φύσιν τῶν ἀνθρώπων δημιουργήσας Θεός, ἅμα βουλήσει τό εἶναι αὐτῇ δέδωκε, συνήρμοσεν αὐτῇ καί δύναμιν τῶν καθηκόντων ποιητικήν. Αἱ τοίνυν ἕξ ὑδρίαι, ἡ κατά φύσιν ποιητική τῶν θείων ἐντολῶν ἐστι δύναμις· ἧς κενώσαντες τήν γνῶσιν οἱ ἄνθρωποι, περί τήν ματαίαν τῶν ὑλικῶν πραγμάτων σπουδήν, κενήν τήν τοιαύτην δύναμιν εἶχον καί ἄνυδρον· καί διά τοῦτο πῶς τῆς κακίας καθᾶραι τόν ῥύπον οὐκ ᾔδεσαν. Ὁ γάρ γνώσεως ἄμοιρος, τόν κατ᾽ ἀρετήν ῥυπτικόν τῆς κακίας οὐδαμῶς ἐπίσταται τρόπον· ἕως ἐλθών ὁ τῆς φύσεως δημιουργός Λόγος, ἐπλήρωσε τήν προειρημένην ποιητικήν τῶν καθηκόντων δύναμιν τῆς κατά φύσιν γνώσεως· καί οὕτω μετέβαλεν εἰς τόν οἶνον, φημί δή τόν ὑπέρ φύσιν τῆς γνώσεως λόγον, τόν τε λόγον καί νόμον τῆς φύσεως· ὅν οἱ πίνοντες, τῆς τῶν ὄντων ἁπάντων ἐξίστανται φύσεως, καί εἰς τόν κρύφιον τῆς θείας ἐνδότητος ἀφίπτανται τόπον· καθ᾽ ὅν τήν πᾶσαν ὑπερκειμένην τῶν γνώσεως

εὐφροσύνην δέχονται καί ἀγαλλίασιν· τόν καλόν οἶνον, τουτέστι, τόν ποιητικόν τῆς θεώσεως, πάντων ὕστερον τῶν κατά Πρόνοιαν περί τό ἀνθρώπινον [Fr. τόν ἄνθρωπον], οἰκονομιῶν πίνοντες ἀπόῤῥητον λόγον.

Εἰς δέ τόν ἕξ ἀριθμόν, ἡ ποιητική τῆς φύσεως λαμβάνεται δύναμις· οὐ μόνον ὅτι ἐν ἕξ ἡμέραις ἐποίησεν ὁ Θεός τόν οὐρανόν καί τήν γῆν, ἀλλ᾽ ὅτι καί μόνος τῶν ἐντός δεκάδος ἀριθμῶν ἐστι τελειότατος, καί ἐκ τῶν ἰδίων συνιστάμενος μερῶν οὗτος ὁ ἀριθμός. Χωρούσας δέ τάς ὑδρίας ἀνά μετρητάς δύο φησίν ὁ Λόγος, ἤ τρεῖς· ὡς τῆς κατά φύσιν πρακτικῆς δυνάμεως χωρούσης, κατά μέν τήν φυσικήν θεωρίαν, ὥσπερ δύο μετρητάς, τήν ὅλην τῶν γεγονότων γνῶσιν· τῶν τε ἐξ ὕλης καί εἴδους σωματικῶν φύσεως, τῶν τε ἐξ οὐσίας καί συμβεβηκότος νοητῶν οὐσιῶν· ἤγουν τήν τῶν σωμάτων καί ἀσωμάτων περιληπτικήν γνῶσιν· κατά δέ τήν ἐφικτήν τῇ φύσει θεολογικήν μυσταγωγίαν, ὡς μετρητάς τρεῖς· τήν περί τῆς ἁγίας Τριάδος, ἤγουν Πατρός, καί Υἱοῦ, καί ἁγίου Πνεύματος, γνῶσιν καί φωταγωγίαν.

Ὑμεῖς οὖν ὡς γνωστικοί τό λεγόμενον θεωρήσατε· πῶς ἡ ποιητική τῶν κρειττόνων γενική τῆς φύσεως δύναμις, εἰς ἕξ διαιρεῖται, καί αὐτούς γενικούς, τῶν ἀρετῶν τρόπους· καί τίς ἡ πρός τήν καθόλου ποιητικήν τῶν ἀρετῶν τῆς φύσεως δύναμίν ἐστιν ἡ καθόλου καί γενικωτάτη τῶν ἄλλων ἀρετή, καί εἰς ἕξ εἴδη, καί αὐτά γενικά, διαιρουμένη· ἵνα τῇ δυνάμει τῆς φύσεως ἁρμοσθεῖσα, χωρηθῇ διά τῶν ἐκείνων τρόπων ἐξαχῶς εἰδοποιουμένη· τίνες δέ πρός (397) τούτοις οἱ τό ὕδωρ ἠντληκότες ὑπηρέται, τίς ὁ νυμφίος, τίς ἡ νύμφη, τίς ὁ ἀρχιτρίκλινος, τίς ἡ τῷ Λόγῳ παῤῥησιαστικῶς ἀπαγγείλασα Μήτηρ, ὅτι Οἶνον οὐκ ἔχουσι. Ταῦτα γάρ πάντα λείπεται προσεξετάζειν τῷ μύστῃ καί μυσταγωγῷ τῶν θείων καί λόγων καί νοημάτων, εἴπερ πάντως τῷ τῆς ἀναγωγῆς κατά νοῦν ἥδεται τρόπῳ. Πλήν ἵνα μή παντελῶς ἐπί τοῦ παρόντος ἄφωνος καταλειφθείς ἡμῖν ὁ περί τούτων οἰχήσεται λόγος, μή διδούς τοῖς καλῶς πεινῶσι κἄν ἀπό μέρους τήν πνευματικήν πανδαισίαν, ἐρῶ κατά δύναμιν, οὐχ ὅλην ἀποκαλύπτειν ἐπαγγελλόμενος τήν ἐν τοῖς εἰρημένοις διάνοιαν (ἀσθενής γάρ πρός περίληψιν τῶν ἐν τούτοις νοηθένων θεαμάτων ὁ ἐμός καθέστηκε νοῦς), ἀλλ᾽ ὅσην ἡ τῆς ἐμῆς διανοίας χωρεῖν πέφυκε δύναμις.

Γενικωτάτην οὖν τῶν ἀρετῶν φασιν εἶναι τήν ἀγάπην· τήν δέ ταύτης ποιητικήν γενικωτάτην τῆς φύσεως δύναμιν, φασίν εἶναι τόν λόγον· ὅς τῆς οἰκείας ἀπρίξ ἐπιλαβόμενος αἰτίας, ἐνεργούμενος εἰς ἕξ

διακρίνεται γενικωτέρους τρόπους, περιληπτικούς τῶν οἷς ὁ τῆς ἀγάπης διακρίνεσθαι πέφυκε λόγος εἰδῶν, πεινῶντας καί διψῶντας, καί ξένους καί γυμνούς, ἀσθενοῦντάς τε καί τούς ἐν φυλακῇ περιποιούμενος σωματικῶς τε καί πνευματικῶς· οὐ γάρ μόνοις τοῖς σώμασιν ὁ τῆς ἀρετῆς περιγράφεται λόγος, οὐδέ περί μόνην τήν αἴσθησιν ἡ τῆς φύσεως καταγίνεται δύναμις.

Εἰδοποιός οὖν τῆς γενικωτάτης καθέστηκεν ἀρετῆς ἡ γενικωτάτη τῆς φύσεως δύναμις, τοῖς οἰκείοις ἕξ τρόποις εἰς εἴδη τοσαῦτα τήν ἀρετήν διακρίνουσα· δι᾿ ὧν ἡ φύσις ἑνοῦται τῷ τῆς γνώμης μοναδικῷ, τόν ἐν πᾶσιν ἰσοτίμως ἀδιαίρετον δεικνῦσα τῆς πλάσεως λόγον, ἐν τῷ ποιεῖν εὖ καί πάσχειν πρός ἑαυτόν συναγόμενον· ὅν ἐῤῥωμένον ἐπαναλαβών διά τῶν καθηκόντων πόνων ὁ νοῦς, πάσας περιτέμνει τῆς φύσεως τάς ὑπερβολάς καί τάς ἐλλείψεις, ἅς ἡ φιλαυτία τῆς ἑκάστου γνώμης ἐπινοήσασα, τήν ἡμερωτάτην ἐθηρίωσε φύσιν· καί μίαν τήν οὐσίαν εἰς πολλάς καί ἀντιθέτους· οὐδέν δέ χεῖρον εἰπεῖν, καί φθαρτικάς ἀλλήλων, κατέτεμε μοίρας· καί τήν σταθηράν μεσότητα φέρων, δείκνυσι, καθ᾿ ἥν, τῶν ἀρετῶν οἱ νόμοι κατά φύσιν ἐξ ἀρχῆς θεόθεν ἐγράφησαν. Καί τοῦτο τυχόν παραδεικνύς τό μυστήριον ὁ λόγος, τάς ἕξ ὑδρίας ἐξάγει κενάς καί ἀνύδρους, ὑποφαινούσας τῆς κατά φύσιν γενικωτάτης δυνάμεως τήν περί τό καλόν ἀπραξίαν.

Οὕτω μέν οὖν ἡ κατά φύσιν γενικωτάτη δύναμις εἰς ἕξ διαιρουμένη κατά τήν πρᾶξιν τρόπους εἰς εἴδη τοσαῦτα μορφοῖ τήν γενικωτάτην τῶν ἀρετῶν, ὅλην ὅλη περιλαμβάνουσα· καθ᾿ ἥν γενομένη, τόν ἑαυτῆς γενικώτατον δέχεται νόμον ἡ φύσις, ἄπταιστον τῆς ἀληθείας κριτήν· ὅν ὁ λόγος προσηγόρευσεν ἀρχιτρίκλινον· διεγνωκότα σοφῶς, ὅτι τόν καλόν οἶνον, ὅν ὕστερον διά τῆς ἰδίας παρουσίας ὁ Λόγος ἐκέρασεν, ἔδει κατ᾿ ἀρχάς πρῶτον πιεῖν, καί μεθυσθῆναι τήν ἀνθρωπίνην φύσιν· λέγω δέ τόν (400) περί Θεοῦ κρείττονα καί ὑψηλότερον λόγον· καί οὕτως ὕστερον, καθάπερ οἴνους, τούς ὅσον πρός τόν πρῶτον λόγον, ἥττονας τῶν γεγονότων μυηθῆναι λόγους· δικαιότατον γάρ ἦν ὡς ἀληθῶς καί πρεπωδέστατον, τόν δι᾿ ὅν γέγονεν Λόγον μυηθῆναι πρότερον τήν φύσιν, καί οὕτως ὕστερον ζητεῖν τῶν δι᾿ αὐτήν γενομένων τούς λόγους.

Οἱ ἠντληκότες δέ τό ὕδωρ, εἰσίν οἱ διάκονοι τῆς τε Παλαιᾶς καί Καινῆς Διαθήκης· φημί δή τούς ἁγίου πατριάρχας, καί τούς νομοθέτας, καί τούς στρατηγούς, τούς κριτάς τε καί τούς βασιλεῖς, καί τούς προφήτας καί τούς εὐαγγελιστάς καί ἀποστόλους, δι᾿ ὧν

ἠντλήθη τό ὕδωρ τῆς γνώσεως, καί ἀπεδόθη τῇ φύσει πάλιν· ὅπερ μετέβαλεν εἰς τήν τῆς θεώσεως χάριν, ὁ τήν φύσιν ὡς ἀγαθός δημιουργήσας, καί θεώσας διά φιλανθρωπίαν τῇ χάριτι, Λόγος. Εἰ δέ καί τούς κατά φύσιν ἐπιστημονικούς τε καί εὐσεβεῖς λογισμούς εἴποι τις εἶναι διακόνους, ἐκ τῶν ὄντων διακοσμήσεως κελεύσει τοῦ Λόγου ἀντλοῦντας τό ὕδωρ τῆς γνώσεως, οὐ διαπέπτωκεν, ὡς οἶμαι, τῆς ἀληθείας.

Νυμφίος δέ προδήλως ἐστίν ὁ ἀνθρώπινος νοῦς, ὡς νύμφην ἀγόμενος πρός συζυγίαν τήν ἀρετήν· ὧν τιμῶν τήν συμβίωσιν παραγίνεται προθύμως καλούμενος ὁ Λόγος, διασφίγγων αὐτῶν τήν τοῦ πνευματικοῦ γάμου συναλλαγήν, καί τῷ ἰδίῳ οἴνῳ πνευματικῶς διαθερμαίνων αὐτῶν πρός πνευματικήν πολυγονίαν τήν ἔφεσιν. Μήτηρ δέ τοῦ Λόγου καθέστηκεν ἡ ἀληθής καί ἀμόλυντος πίστις. Ὡς γάρ τῆς τεκούσης αὐτόν κατά σάρκα μητρός, ὡς Θεός, ὑπάρχει κατά φύσιν δημιουργός ὁ Λόγος, ἥν ἐποιήσατο μητέρα διά φιλανθρωπίαν ἐξ αὐτῆς ὡς ἄνθρωπος γεννηθῆναι καταδεξάμενος· οὕτως ἐν ἡμῖν πρότερον τήν πίστιν δημιουργήσας ὁ Λόγος, ὕστερον γίνεται τῆς ἐν ἡμῖν πίστεως υἱός, ἐξ αὐτῆς κατά τήν πρᾶξιν ταῖς ἀρεταῖς σωματούμενος· δι᾿ ἧς πάντα διανύομεν, παρά τοῦ Λόγου λαμβάνοντες τά πρός σωτηρίαν χαρίσματα· χωρίς γάρ πίστεως, ἧς καί Θεός κατά φύσιν ὑπάρχει, καί υἱός κατά χάριν, ὁ Λόγος, οὐδεμίαν ἔχομεν παῤῥησίαν τάς πρός αὐτόν ποιεῖσθαι δεήσεις. Ἀλλά γένοιτο διά παντός ἡμᾶς τε τόν τοιοῦτον συγκροτεῖν γάμον, καί μετά τῆς ἰδίας μητρός παραγίνεσθαι τόν Ἰησοῦν· ἵνα τήν ἀποῤῥυεῖσαν ἡμῶν διά τήν ἁμαρτίαν ἀποκαταστήσῃ γνῶσιν, καί μεταβάλῃ ταύτην πρός τήν ἐξοικίζουσαν τόν νοῦν τῆς τῶν ὄντων γνώσεως.[Fr. et Reg. γενέσεως]θέωσιν, τήν στομοῦσαν καί οἱονεί νευροῦσαν πρός ἀτρεψίαν καθάπερ ὕδωρ τό νοούμενον οἴνου ποιότητι ,τήν γνῶσιν τῆς φύσεως.

ΣΧΟΛΙΑ.

α' . Δύναμιν λέγει, τήν οὐσιωδῶς μέν κατεσπαρμένην τῇ φύσει πρός ἀρετῶν ἐνέργειαν κίνησιν, γνωμικῶς δέ πρός τήν τοῦ κεκτημένου βούλησιν, κατά τήν χρῆσιν ἐκφαινομένην.

β' . Τήν κενωθεῖσαν τῆς δοθείσης γνώσεως φύσιν, γενόμενος ἄνθρωπος ὁ τοῦ Θεοῦ Λόγος, πάλιν ἐπλήρωσε γνώσεως· καί στομώσας πρός ἀτρεψίαν, οὐ φύσει, ποιότητι δέ ταύτην ἐθέωσεν,

ἀνελλιπῶς (401) αὐτήν τῷ οἰκείῳ χαρακτηρίσας Πνεύματι, καθάπερ ὕδωρ οἴνου ποιότητι πρός τόνον μετακεράσας. Διά τοῦτο γάρ καί γίνεται κατ᾽ ἀλήθειαν ἄνθρωπος, ἵνα κατά χάριν ἡμᾶς καταστήσῃ θεούς.

γ' . Καλόν οἶνον λέγει τόν πρός θέωσιν ἐκστατικόν τῆς φύσεως λόγον· ὅν ἡ παράβασις μέν τῷ Ἀδάμ πιεῖν οὐ συνεχώρησεν· αὐτός δέ χάριτι διά φιλανθρωπίαν ὡς Θεός ἑαυτόν κενώσας, ὕστερον διά τῆς σαρκώσεως, ὡς οἶδεν μόνος αὐτός, κατέστησεν πότιμον. Αὐτός γάρ ἐστι καί Πρόνοια, ὡς συνοχή τῶν ὄντων· καί Προνοίας λόγος, ὡς μέθοδος τῆς τῶν προνοουμένων ἰατρείας· καί Προνοητής, ὡς πάντα τοῖς ἑαυτῶν τοῦ εἶναι τοῖς λόγοις συνέχων.

δ' . Τῆς μέν τῶν σωματικῶν καί ἀσωμάτων γνώσεως δεκτική κατά φύσιν ἐστίν ἡ τοῦ νοῦ δύναμις, φησίν· τῆς δέ τῆς ἁγίας Τριάδος κατά μόνην τήν χάριν δέχεται τάς ἐμφάσεις, ὅτι ἔστι μόνον πιστεύουσα· ἀλλ᾽ οὐ, τί ποτε κατ᾽ οὐσίαν ἐστί, ζητεῖν αὐθαδιζομένη.

ε' . Ὅτι καί ἡ καθ᾽ ὅλου δύναμιν τῆς φύσεως, εἰς ἕξ διαιρεῖται τρόπους καί ἐνεργείας· καί ἡ καθ᾽ ὅλου ἀγάπη, εἰς ἕξ ἀρετῶν εἴδη μερίζεται. Πεῖναν γάρ, καί δίψαν, καί γύμνωσιν, καί ξενιτείαν, καί ἀσθένειαν, καί φυλακήν, τῶν τούτοις κατειλημμένων, εἴτε σωματικῶς, εἴτε πνευματικῶς ὁ παραμυθούμενος, τήν ἐκ τῶν ἕξ ἀρετῶν συνισταμένην πεπλήρωκεν πρός τε τόν Θεόν καί τόν πλησίον ἀγάπην· ὡς μόνῳ Θεῷ πεποιωμένην τῆς ψυχῆς διατηρήσας τήν ἔφεσιν.

στ' . Αἰτίαν τοῦ Λόγου φησί τόν Θεόν· ὅν ζητεῖν, τοῦ λόγου τήν δύναμιν ὁ ἄνθρωπος εἴληφεν.

η' . Ὁ κατ᾽ ἀρετήν τῇ γνώμῃ, φησίν, ἴσος πρός πάντας γενόμενος, ἀπροσωπόληπτον ἐν ἑαυτῷ δείκνυσι τόν Θεόν, ὥσπερ πάντων καθ᾽ ἕνα καί τόν αὐτόν λόγον δημιουργήσαντα τήν φύσιν, οὕτω καί πᾶσαν νομοθετήσαντα μίαν τῆς γνώμης τήν κίνησιν, καθ᾽ ἥν ὁ δοκῶν σκορπεῖσθαι τῆς φύσεως συνάγεσθαι πέφυκε λόγος.

θ'. Μεσότητα λέγει τήν ἀπηλλαγμένην μέν τῶν παρά φύσιν παθῶν, οὔπω δέ τῶν ὑπέρ φύσιν ἀγαθῶν ἐπειλημμένην κατάστασιν. Ἰσονομοῦσαν γάρ τῇ φύσει τήν γνώμην δείκνυσι, μηδέν ἔχουσαν αὐτοῤῥεπές, καί τῷ λόγῳ τῆς φύσεως ἀντιφερόμενον· καί διά τοῦτο πάντας ἀνθρώπους ἕνα γινώσκουσαν, ἅτε δή βίβλον θεόγραφον ἔχουσαν τόν νόμον τῆς φύσεως.

ι'. Ὅτι φυσικόν ἔχομεν κριτήριον τόν κατά φύσιν νόμον, διδάσκοντα ἡμᾶς, ὅτι πρό τῆς ἐν ὅλοις σοφίας ἔδει πρός τήν τοῦ Ποιητοῦ τῶν ὅλων μυσταγωγίαν ἡμῶν κινεῖσθαι τήν ἔφεσιν.

ια'. Πίστις, ἡ τοῦ Λόγου Μήτηρ, κατά τήν ἀναγωγήν· ἥτις δημιουργουμένη πρότερον, γεννᾷ σωματούμενον ὕστερον ταῖς ἀρεταῖς τόν αὐτήν δημιουργήσαντα Λόγον.

***(404) ΕΡΩΤΗΣΙΣ ΜΑ΄.***

***Τίς ὁ λόγος τῶν ε' ἀνδρῶν τῆς Σαμαρείτιδος, καί τοῦ ἕκτου καί μή ὄντος ἀνδρός;***

Ἀπόκρισις

Καί ἡ Σαμαρεῖτις γυνή, καί ἡ τούς ἑπτά λαβοῦσα κατά τούς Σαδδουκαίους, πρός γάμον ἀδελφούς, καί ἡ αἱμόῤῥους, καί ἡ πρός γῆν συγκύπτουσα, καί ἡ θυγάτηρ Ἰαείρου, καί ἡ Συροφοινίκισσα, καί τήν καθόλου τῶν ἀνθρώπων φύσιν, καί τήν τοῦ καθ᾿ ἕκαστον ἀνθρώπου ψυχήν δηλοῦσιν, ἑκάστη κατά τήν ὑποκειμένην διάθεσιν τοῦ πάθους σημαίνουσα καί τήν φύσιν καί τήν ψυχήν. Οἷον, ἡ μέν τῶν Σαδδουκαίων γυνή ἐστίν ἡ φύσις ἤ ἡ ψυχή· ἡ πᾶσι μέν τοῖς ἀπό τοῦ αἰῶνος δοθεῖσι θείοις νόμοις ἀγόνως συνοικήσασα, τήν δέ τῶν μελλόντων προσδοκίαν οὐκ ἀποδεχομένη. Ἡ δέ αἱμόῤῥους ὡσαύτως ἡ φύσις ἐστί καί ἡ ψυχή, τήν δοθεῖσαν αὐτῇ πρός γένεσιν ἔργων δικαιοσύνης καί λόγων τοῖς πάθεσι πρός τήν ὕλην καί διαῤῥέουσαν ἔχουσα δύναμιν. Ἡ δέ Συροφοινίκισσα, ἡ αὐτή φύσις ἐστί καί ἡ τοῦ καθ᾿ ἕκαστον ψυχή, ὡς θυγατέρα τήν διάνοιαν ἐπαχθῶς τῇ φιλίᾳ τῆς ὕλης ἐξ ἀμηχανίας ἐπιληπτικῶς διαῤῥησσομένην ἔχουσα. Ἡ δέ θυγάτηρ Ἰαείρου ὁμοίως, ἡ κατά τόν νόμον φύσις τε καί ψυχή, παντελῶς ἀποθανοῦσα τῇ ἀπραξίᾳ τῶν νομικῶν ἐντολῶν καί ἀνενεργησίᾳ τῶν θείων προσταγμάτων. Ἡ δέ συγκύπτουσα γυνή, ἐστίν φύσις ἤ ἡ ψυχή, ἡ πρός τήν ὕλην τήν περί πρᾶξιν νοεράν δύναμιν ὅλην διά τῆς ἀπάτης τοῦ διαβόλου ἐπικάμψασα. Ἡ δέ Σαμαρεῖτις, ὡσαύτως ταῖς προλαβούσαις γυναιξί, τήν φύσιν δηλοῖ ἤ τήν τοῦ καθ᾿ ἕκαστον ψυχήν, δίχα τοῦ προφητικοῦ χαρίσματος, πᾶσι συνοικήσασαν καθάπερ ἀνδράσι, τοῖς δοθεῖσι τῇ φύσει νόμοις· ὧν πέντε μέν ἦσαν παρελθόντες· ὁ ἕκτος δέ, κἄν παρῆν, ἀλλ᾿ οὐκ ἦν ἀνήρ τῆς φύσεως ἤ τῆς ψυχῆς, μή γεννῶν ἐξ αὐτῆς τήν σώζουσαν εἰς τό παντελές δικαιοσύνην.

Εἶχεν οὖν πρῶτον νόμον ἡ φύσις ἄνδρα, τόν ἐν τῷ παραδείσῳ· δεύτερον, τόν μετά τόν παράδεισον· τρίτον, τόν ἐν τῷ κατακλυσμῷ ἐπί τοῦ Νῶε· τέταρτον, τόν τῆς περιτομῆς ἐπί τοῦ Ἀβράαμ· πέμπτον, τόν τῆς προσαγωγῆς τοῦ Ἰσαάκ. Τούτους λαβοῦσα πάντας ἡ φύσις, ἀπεβάλετο, θανόντας τῇ κατ᾽ αὐτήν ἀκαρπίᾳ τῶν ἔργων τῆς ἀρετῆς. Ἕκτον δέ, τόν μή ποιεῖν τήν κατ᾽ αὐτόν τεταγμένην δικαιοσύνην· ἤ διά τό μέλλειν πρός ἕτερον, ὡς ἄνδρα, νόμον μεταβήσεσθαι τό Εὐαγγέλιον· ὡς τοῦ νόμου μή δι᾽ αἰῶνος δοθέντος τῇ φύσει τῶν ἀνθρώπων, ἀλλ᾽ ἐπ᾽ οἰκονομίᾳ παιδαγωγούσῃ πρός τό μεῖζόν τε καί μυστικώτερον· καθ᾽ ὅ σημαινόμενον οἶμαι τόν Κύριον φάναι πρός τήν Σαμαρείτιδα γυναῖκα· Καί νῦν ὅν ἔχεις, οὐκ ἔστι σός· ᾔδει γάρ εἰς τό Εὐαγγέλιον τήν φύσιν μετενεχθήσεσθαι· διό καί περί ἕκτην ὥραν, ὅτε μάλιστα πανταχόθεν ἡ ψυχή περιλάμπεται ταῖς ἀκτῖσι τῆς γνώσεως, διά τήν πρός αὐτήν τοῦ Λόγου παρουσίαν, τῆς ἐν νόμῳ σκιᾶς ἀπογενομένης αὐτῇ διελέγετο, καί περί τό φρέαρ τοῦ Ἰακώβ, (405) περί τήν πηγήν δηλαδή, σύν τῷ Λόγῳ τῶν Γραφικῶν ἱσταμένῃ θεωρημάτων. Ταῦτα καί περί τούτου τέως εἰρήσθω.

ΣΧΟΛΙΟΝ.

*α'*. Τό φρέαρ τοῦ Ἰακώβ, ἐστίν ἡ Γραφή· τό δέ ὕδωρ, ἐστίν ἡ ἐν τῇ Γραφῇ γνῶσις· τό δέ ἄντλημα, ἐστί, τῶν γραμμάτων τοῦ θείου λόγου μάθησις, ἥν οὐκ εἶχεν ὁ Κύριος Αὐτολόγος ὑπάρχων, καί οὔτε ἐκ μαθήσεως καί μελέτης γνῶσιν διδούς τοῖς πιστεύουσιν, ἀλλά τήν ἐκ χάριτος πνευματικῆς ἀένναον σοφίαν, καί μηδέποτε λήγουσαν τοῖς ἀξίοις δωρούμενος. Τό γάρ ἄντλημα, τουτέστιν ἡ μάθησις, μέρος ἐλάχιστον λαμβάνουσα γνώσεως, τό πᾶν ἐᾷ μηδενί λόγῳ κρατούμενον. Ἡ δέ κατά χάριν γνῶσις, ὅλην ἔχει καί δίχα μελέτης τήν ἐφικτήν ἀνθρώποις σοφίαν, πρός τάς χρείας ποικίλως βλύζουσαν.

***ΕΡΩΤΗΣΙΣ ΜΒ' .***

***Πῶς ἡμεῖς μέν λεγόμεθα ποιῆσαι τήν ἁμαρτίαν καί εἰδέναι, ὁ δέ Κύριος γενέσθαι μέν ἁμαρτία λέγεται, μή γνῶναι δέ αὐτήν; Πῶς δέ καί τοῦ ποιῆσαι καί εἰδέναι αὐτήν οὐκ ἔστι βαρύτερον τό γενέσθαι καί μή γνῶναι; "Τόν γάρ μή γνόντα ἁμαρτίαν, φησίν, ὑπέρ ἡμῶν ἁμαρτίαν ἐποίησεν. "***

Ἀπόκρισις.

Φθαρεῖσα πρότερον τοῦ κατά φύσιν λόγου τοῦ Ἀδάμ ἡ προαίρεσις, τήν φύσιν ἑαυτῇ συνέφθειρεν, ἀποθεμένην τῆς ἀπαθείας τήν χάριν, καί γέγονεν ἁμαρτία· πρώτη μέν καί εὐδιάβλητος, ἡ πρός κακίαν ἀπό τοῦ ἀγαθοῦ τῆς προαιρέσεως ἔκπτωσις· δευτέρα δέ διά τήν πρώτην, ἡ τῆς φύσεως ἐξ ἀφθαρσίας εἰς φθοράν ἀδιάβλητος μεταποίησις. Δύο γάρ ἁμαρτίαι γεγόνασιν ἐν τῷ προπάτορι κατά τήν παράβασιν τῆς θείας ἐντολῆς· ἡ μέν, διαβεβλημένη· ἡ δέ, ἀδιάβλητος, αἰτίαν ἔχουσα τήν διαβεβλημένην. Καί ἡ μέν, προαιρέσεως ἑκουσίως ἀποθεμένης τό ἀγαθόν· ἡ δέ, φύσεως ἀκουσίως διά τήν πραίρεσιν ἀποθεμένης τήν ἀθανασίαν. Ταύτην οὖν τήν διάλληλον φθοράν τε καί ἀλλοίωσιν τῆς φύσεως ὁ Κύριος ἡμῶν καί Θεός διορθούμενος, ὁλόκληρον τήν φύσιν λαβών, εἶχε καί αὐτός ἐν τῇ ληφθείσῃ φύσει τό παθητόν, τῇ κατά προαίρεσιν ἀφθαρσίᾳ κοσμούμενον· καί γέγονε φύσει μέν διά τό παθητόν ὑπέρ ἡμῶν ἁμαρτία, μή γνούς δέ τήν γνωμικήν ἁμαρτίαν, διά τήν ἀτρεψίαν τῆς προαιρέσεως· τό δέ παθητόν τῆς φύσεως διά τήν ἀφθαρσίαν τῆς προαιρέσεως διορθώσας· τό τέλος τοῦ παθητοῦ τῆς φύσεως, φημί δέ τόν θάνατον, τῆς κατά φύσιν πρός ἀφθαρσίαν μεταποιήσεως ἀρχήν ποιησάμενος· καί γέγονεν ὥσπερ δι᾽ ἑνός ἀνθρώπου τραπέντος ἑκουσίως ἀπό τοῦ ἀγαθοῦ τήν προαίρεσιν εἰς πάντας ἀνθρώπους ἡ τῆς φύσεως ἐξ ἀφθαρσίας εἰς φθοράν μεταποίησις· οὕτως δι᾽ ἑνός ἀνθρώπου Ἰησοῦ Χριστοῦ, (408) μή τραπέντος ἀπό τοῦ ἀγαθοῦ τήν προαίρεσιν, εἰς πάντας ἀνθρώπους ἡ τῆς φύσεως ἐκ φθορᾶς εἰς ἀφθαρσίαν ἀποκατάστασις.

Τήν ἐμήν οὖν μή γνούς ἁμαρτίαν ὁ Κύριος, τουτέστι τήν τροπήν τῆς ἐμῆς προαιρέσεως, τήν ἐμήν οὐκ ἔλαβεν ἁμαρτίαν, οὔτε γέγονεν· ἀλλά τήν δι᾽ ἐμέ ἁμαρτίαν, τουτέστι τήν διά τήν τροπήν τῆς προαιρέσεως φθοράν τῆς φύσεως ἀναλαβών, ὑπέρ ἡμῶν γέγονε φύσει παθητός ἄνθρωπος· διά τῆς δι᾽ ἐμέ ἁμαρτίας, τήν ἐμήν ἀνελών ἁμαρτίαν. Καί ὥσπερ ἐν τῷ Ἀδάμ, τό περί κακίαν τῆς προαιρέσεως ἴδιον, τό κοινόν τῆς ἀφθαρσίας ἀφείλατο κλέος τῆς φύσεως, φύσιν ἀθάνατον ἔχειν οὐκ εἶναι καλόν κρίναντος τοῦ Θεοῦ τόν κακισθέντα τήν προαίρεσιν ἄνθρωπον· οὕτως ἐν τῷ Χριστῷ τό περί τό καλόν τῆς προαιρέσεως ἴδιον, τό κοινόν τῆς φθορᾶς αἶσχος τῆς ὅλης ἀφείλατο φύσεως, κατά τήν ἀνάστασαιν μεταπλασθείσης εἰς ἀφθαρσίαν τῆς φύσεως, διά τήν ἀτρεψίαν τῆς προαιρέσεως· εὔλογον κρίναντος τοῦ Θεοῦ πάλιν ἀθάνατον ἀπολαβεῖν τήν φύσιν, τόν μή τραπέντα τήν πραίρεσιν ἄνθρωπον. Ἄνθρωπον δέ λέγω τόν σαρκωθέντα Θεόν

Λόγον, δι᾽ ἥν ἑαυτῷ καθ᾽ ὑπόστασιν ἥνωσε λογικῶς ἐψυχωμένην σάρκα. Εἰ γάρ τό κατά φύσιν παθητόν τε καί φθαρτόν καί θνητόν ἐν τῷ Ἀδάμ ἡ τροπή τῆς προαιρέσεως ἐπεισήγαγεν, εἰκότως τό κατά φύσιν ἀπαθές καί ἄφθαρτον καί ἀθάνατον ἐν τῷ Χριστῷ διά τῆς ἀναστάσεως ἡ ἀτρεψία τῆς προαιρέσεως ἐπανήγαγε.

Κατάκρισις οὖν ἐστι τῆς προαιρετικῆς ἁμαρτίας τοῦ Ἀδάμ, ἡ τῆς φύσεως πρός πάθος καί φθοράν καί θάνατον μεταποίησις· ἥν οὐ γέγονε μέν ἐκ Θεοῦ καταρχάς ἔχων ὁ ἄνθρωπος, ἐποίησε δέ καί ἔγνω, τήν προαιρετικήν διά τῆς παρακοῆς ἁμαρτίαν δημιουργήσας· ἧς ὑπάρχει γέννημα σαφῶς, ἡ διά τοῦ θανάτου κατάκρισις. Ταύτην δέ τῆς ἐμῆς προαιρετικῆς ἁμαρτίας τήν κατάκρισιν, λέγω δέ τό κατά φύσιν παθητόν καί φθαρτόν καί θνητόν ὁ Κύριος λαβών, ἁμαρτία γέγονε δι᾽ ἐμέ, κατά τό παθητόν καί θνητόν καί φθαρτόν, τήν ἐμήν ἑκουσίως ὑποδύς φύσει κατάκρισιν, ἀκατάκριτος ὑπάρχων τήν προαίρεσιν· ἵνα τήν ἐμήν προαιρετικήν τε καί φυσικήν ἁμαρτίαν καί κατάκρισιν κατακρίνῃ, κατά ταυτόν ἁμαρτίαν, καί πάθος, καί φθοράν, καί θάνατον ἐξωθήσας τῆς φύσεως· καί γένηται κοινόν μυστήριον, ἡ περί ἐμέ τόν πεσόντα ἐξ ἀπειθείας, τοῦ ὑπέρ ἐμέ ἐκ φιλανθρωπίας οἰκονομία, τῆς ἐμῆς ἕνεκεν σωτηρίας τόν ἐμήν ἑκουσίως οἰκειουμένου διά τοῦ θανάτου κατάκρισιν, καί δι᾽ αὐτῆς χαριζομένου μοι τήν πρός ἀθανασίαν ἀνάκλησιν.

Πολλαχῶς, οἶμαι, δέδεικται κατ᾽ ἐπιτομήν, πῶς τε γέγονεν ἁμαρτία ὁ Κύριος, οὐκ ἔγνω δέ τήν ἁμαρτίαν· καί πῶς ὁ ἄνθρωπος οὐ γέγονε μέν, ἐποίησε δέ καί ἔγνω τήν ἁμαρτίαν· τήν τε προαιρετικήν, ἧς (409) αὐτός ἀπήρξατο· τήν τε φυσικήν, ἥν δι᾽ αὐτόν ὁ Κύριος κατεδέξατο, τῆς πρώτης παντελῶς ὑπάρχων ἐλεύθερος. Οὐδαμῶς οὖν τοῦ γίνεσθαι κρεῖττον ὑπάρχει τό ποιῆσαι καί γνῶναι τήν ἁμαρτίαν, κατά τόν ἀποδοθέντα νοούμενον τοῦ Λόγου σκοπόν, καί μετά τῆς πρεπούσης διαστολῆς, τῆς κατά τήν ἁμαρτίαν ὁμωνυμίας νοουμένης. Τό μέν γάρ, Θεοῦ ποιεῖται χωρισμόν, ἀπωθουμένης ἑκουσίως τά θεῖα τῆς προαιρέσεως· τό δέ, κακίας πολλῆς γίνεται καταλυτικόν, μή συγχωροῦν εἰς ἔργον προβῆναι, διά τήν φυσικήν ἀσθένειαν, τήν κακίαν τῆς προαιρέσεως.

ΣΧΟΛΙΑ.

α'. Fr. Ἀνάγνωθι, Νεῖλε, καί φρόνησον κἄν ὀψέ ποτε.

β'. Ἁμαρτίαν φύσεως εἶναί φησι τόν θάνατον, καθ᾽ ὅν τοῦ εἶναι καί μή θέλοντες ἀπογινόμεθα· ἁμαρτίαν δέ προαιρέσεως, τήν τῶν παρά φύσιν αἵρεσιν, καθ᾽ ἥν τό εὖ εἶναι θέλοντες ἀποπέμπομεν.

γ'. Ὅτι φθαρτός μέν κατα φύσιν σαρκωθείς ὡς ἄνθρωπος ὑπῆρχεν ὁ Κύριος, καθά καί ἁμαρτία γεγονέναι λέγεταί φησι· ἄφθαρτος δέ φύσει κατά προαίρεσιν, ὡς ἀναμάρτητος.

δ'. Ὁ τοῦ Κυρίου θάνατος, φησίν, ἀφθαρσίας ἀρχή τῆς ὅλης φύσεως γέγονεν.

ε'. Ὅτι καί ὡς ἄνθρωπος κατά φύσιν ἀναμάρτητος ἦν.

στ'. Ἡ δι᾽ ἡμᾶς ἐστιν ἁμαρτία, τό τῆς φύσεως φθαρτόν· ἡ δέ ἡμῶν ἁμαρτία, τό τρεπτόν τῆς προαιρέσεως. Διό γέγονε θνητός ὁ ἄνθρωπος, τόν φυσικόν ὑπομείνας θάνατον, κατά δικαίαν κρίσιν, εἰς ἀναίρεσιν τοῦ θανάτου τῆς προαιρέσεως.

ζ'. Πρώτην ἁμαρτίαν φησί τήν τῆς προαιρέσεως, ἥν οὐκ εἶχεν ὁ Κύριος, καίτοι λαβών ἀληθῶς τό κατά φύσιν παθητόν, ἐπιτίμιον ὑπάρχον τῆς τραπείσης τοῦ Ἀδάμ προαιρέσεως. Διό καί μόνος ἐν νεκροῖς ἐλεύθερος, οὐκ ἔχων τήν, δι᾽ ἥν ὁ θάνατος γέγονεν, ἁμαρτίαν.

η'. Τό ποιῆσαι καί γνῶναι τήν ἁμαρτίαν, κατά προαίρεσιν δῆλον ὅτι.

θ'. Τό γενέσθαι δηλαδή φύσει παθητόν τόν Ἀδάμ εἰς κόλασιν τῆς ἁμαρτίας τῆς προαιρέσεως· ἥν μή γνούς ὁ Κύριος γέγονεν ἁμαρτία, τό δι᾽ αὐτήν παθητόν ὡς ἄνθρωπος κατά σάρκα φύσει λαβών.

### *ΕΡΩΤΗΣΙΣ ΜΓ'*

***Εἰ τό ξύλον τῆς ζωῆς σοφία λέγεται εἶναι παρά τῇ Γραφῇ, ἔργον δέ σοφίας τό διακρίνειν καί (412) γνῶναι τό γνωστόν τοῦ καλοῦ καί τοῦ πονηροῦ ξύλον, τί διαφέρει λοιπόν τοῦ ξύλου τῆς ζωῆς;***

Ἀπόκρισις.

Πολλά μέν εἰπεῖν δυνάμενοι περί τοῦ προκειμένου ζητήματος διά τῆς ἐν αὐτοῖς χάριτος οἱ τῆς Ἐκκλησίας διδάσκαλοι, σιωπῇ μᾶλλον τιμήσαντες τόν τόπον, ἡγήσαντο κρεῖττον, διά τήν τῶν πολλῶν διάνοιαν μή δυναμένην ἐφικέσθαι τοῦ βάθους τῶν γεγραμμένων, μηδέν βαθύτερον εἰπεῖν ἀνασχόμενοι· εἰ δέ καί εἶπόν τινες, πρότερον διακρίναντες τῶν ἀκουόντων τήν δύναμιν, οὕτω μέρος πρός λυσιτελές τῶν διδασκομένων εἰρηκότες, τό πλεῖστον κατέλιπον ἀνεξέταστον. Διό κἀγώ μᾶλλον σιωπῇ τόν τόπον παρελθεῖν διενοούμην, εἰ μή

λυπεῖσθαι τήν ὑμετέραν φιλόθεον ψυχήν ὑπενόησα. Πλήν ἀλλ᾽ ὑμῶν χάριν ἐρῶ, τό πᾶσιν δυνάμενον εἶναι κατάλληλον, καί μικροῖς καί μεγάλοις τήν διάνοιαν πρόσφορον.

Τό ξύλον τῆς ζωῆς, καί τό μή τοιοῦτον, ἐξ αὐτοῦ μόνου τοῦ, τό μέν ξύλον ὀνομασθῆναι, τό δέ οὐ ζωῆς, ἀλλά μόνον γνωστόν καλοῦ καί πονηροῦ, πολλήν καί ἄφατον ἔχουσι τήν διαφοράν. Τό γάρ τῆς ζωῆς ξύλον, πάντως καί ζωῆς ἐστι ποιητικόν· τό δέ ζωῆς ξύλον, δηλονότι θανάτου ποιητικόν. Τό γάρ μή, ποιητικόν ζωῆς, ἐκ τοῦ μή προσαγορευθῆναι ζωῆς ξύλον, θανάτου σαφῶς ἄν εἴη ποιητικόν· ἄλλο γάρ οὐδέν τῇ ζωῇ κατ᾽ ἐναντίωσιν ἀντιδιαιρεῖται.

Ἄλλως τε δέ καί ὡς σοφία, τό ξύλον τῆς ζωῆς πλείστην ἔχει διαφοράν πρός τό ξύλον τό γνωστόν καλοῦ καί πονηροῦ, τό μήτε ὄν σοφία, μήτε ὠνομασμένον. Τῆς μέν γάρ σοφίας ἴδιον, νοῦς καί λόγος· τῆς δέ τῇ σοφίᾳ κατά τό ἐναντίον ἀντικειμένης ἕξεως ἴδιον, ἀλογία καί αἴσθησις. Οὐκοῦν ἐπειδή ἐκ ψυχῆς νοερᾶς καί σώματος αἰσθητικοῦ συνεστώς πρός γένεσιν ἦλθεν ὁ ἄνθρωπος, ἔστω κατά μίαν ἐπιβολήν ξύλον ζωῆς, ὁ τῆς ψυχῆς νοῦς, ἐν ᾧ τῆς σοφίας ὑπάρχει τό χρῆμα· ξύλον δέ γνωστόν καλοῦ καί πονηροῦ, ἡ τοῦ σώματος αἴσθησις, ἐν ᾗ τῆς ἀλογίας ὑπάρχει σαφῶς ἡ κίνησις· ἧς κατά τήν πεῖραν μή ἅψασθαι δι᾽ ἐνεργείας ὁ ἄνθρωπος τήν θείαν λαβών ἐντολήν, οὐκ ἐφύλαξεν.

Ἀμφότερα δέ τά ξύλα, κατά τήν Γραφήν, τινῶν εἰσι διακριτικά· ἤγουν, ὁ νοῦς καί ἡ αἴσθησις· οἷον, ὁ μέν νοῦς δύναμιν ἔχει διακριτικήν νοητῶν καί αἰσθητῶν, προσκαίρων καί αἰωνίων· μᾶλλον δέ ψυχῆς ὑπάρχων δύναμις διακριτική, τῶν μέν αὐτήν ἀντέχεσθαι πείθει· τῶν δέ, ὑπεραίρεσθαι· ἡ δέ αἴσθησις ἔχει δύναμιν διακριτικήν ἡδονῆς σώματος καί ὀδύνης· μᾶλλον δέ δύναμις ὑπάρχουσα ἐμψύχων καί αἰσθητικῶν σωμάτων, τήν μέν, ἐπισπᾶσθαι πείθει· τήν δέ, ἀποπέμπεσθαι.Ἐάν μέν οὖν ὁ ἄνθρωπος μόνης τῆς καθ᾽ ἡδονήν καί ὀδύνην αἰσθητικῆς τῶν σωμάτων γένηται διακρίσεως, τήν θείαν παραβάς(413) ἐντολήν, ἐσθίει τό ξύλον τό γνωστόν καλοῦ τε καί πονηροῦ, τουτέστι τήν κατ᾽ αἴσθησιν ἀλογίαν, μόνην ἔχων τήν συστατικήν τῶν σωμάτων διάκρισιν, καθ᾽ ἥν, ὡς μέν καλοῦ τῆς ἡδονῆς ἀντέχεται, ὡς δέ κακοῦ, τῆς ὀδύνης ἀπέχεται. Ἐάν δέ μόνης τῆς τῶν αἰνωίων διακρινούσης τά πρόσκαιρα διόλου νοερᾶς γένηται διακρίσεως, τήν θείαν φυλάξας ἐντολήν, ἐσθίει τό ξύλον τῆς ζωῆς· τήν κατά νοῦν λέγω συνισταμένην σοφίαν, μόνην ἔχων τήν συστατικήν

τῆς ψυχῆς διάκρισιν· καθ᾽ ἥν ὡς μέν κακοῦ, τῆς τῶν προσκαίρων ἀπέχεται φθορᾶς.

Πολλή τοιγαροῦν ἐστιν ἡ διαφορά τῶν δύο ξύλων, καί τῆς αὐτῶν φυσικῆς διακρίσεως, καί τῆς ἐν ἑκάστῳ προσφυοῦς ἐμφάσεως· ὁμωνύμως ἐκφωνηθείσης ἄνευ διαστολῆς προσηγορίας τοῦ καλοῦ τε καί τοῦ κακοῦ· καί πολλήν δύναται ποιῆσαι τοῖς μή σοφῶς τε καί ἐπισκεμμένως ἐντυγχάνουσι τοῖς λόγοις τοῦ Πνεύματος τήν πλάνην· ἀλλ᾽ ὑμεῖς σοφοί διά τῆς χάριτος ὄντες, γνῶτε ὅτι τό ἁπλῶς λεγόμενον κακόν, οὐ πάντως κακόν· ἀλλά πρός τι μέν κακόν, πρός τι δέ οὐ κακόν. Ὡσαύτως καί τό ἁπλῶς λεγόμενον καλόν, οὐ πάντως καλόν, ἀλλά πρός τι μέν καλόν, πρός τι δέ οὐ καλόν· καί τήν ἐκ τῆς ὁμωνυμίας βλάβην φυλάξασθε.

ΣΧΟΛΙΟΝ.

α'. Νοῦ μέν γάρ καλόν ἐστιν, ἡ ἀπαθής πρός τό πνεῦμα διάθεσις· κακόν δέ, ἡ ἐμπαθής σχέσις. Αἰσθήσεως δέ καλόν ἐστιν, ἡ καθ᾽ ἡδονήν ἐμπαθής πρός τό σῶμα κίνησις· κακόν δέ, ἡ κατ᾽ ἀρετήν ταύτῃ ἐπιγινομένη διάθεσις.

*ΕΡΩΤΗΣΙΣ ΜΔ'.*

***Πρός τίνα λέγει ὁ Θεός· "Ἰδού Ἀδάμ γέγονεν ὡς εἷς ἐξ ἡμῶν;" Εἰ μέν πρός τόν Υἱόν, καί πῶς συγκρίνεται Ἀδάμ Θεῷ, μή ὤν τῆς οὐσίας αὐτοῦ; Εἰ δέ πρός ἀγγέλους, πῶς τόν ἄγγελον πάλιν ἑαυτῷ συγκρίνει, ὡς πρός ἴσον κατά τήν οὐσίαν λέγων τό, " Ὡς εἷς ἐξ ἡμῶν;"***

Ἀπόκρισις.

Ἤδη μέν εἶπον ἐν τῷ περί πυργοποιίας κεφαλαίῳ, ὅτι κατά τήν ὑποκειμένην τῇ ψυχῇ τῶν προνοουμένων διάθεσιν, ἡ Γραφή λαλοῦντα τόν Θεόν διαπλάττεται· διά τῶν κατά φύσιν ἡμῖν συμφύτων τρόπων, τήν θείαν αἰνιττομένη βουλήν. Καί ἐνταῦθα τοίνυν οὐχ ἁπλῶς λέγοντα τόν Θεόν ἡ Γραφή δείκνυσι, τό, (416) Ἰδού γέγονεν Ἀδάμ ὡς εἷς ἐξ ἡμῶν, ἀλλά δηλονότι μετά τήν παράβασιν· προσθεῖσα καί τήν αἰτίαν τῆς λέξεως, ἥν ὑμεῖς ἐντάξαι τῷ κεφαλαίῳ παρελίπατε, τῆς ὅλης σαφηνιστικήν ὑπάρχουσαν ἐννοίας. Εἰπών γάρ ὁ λόγος· Ἰδού Ἀδάμ γέγονεν ὡς εἷς ἐξ ἡμῶν, προσέθηκε· Τοῦ γινώσκειν καλόν καί πονηρόν· καί νῦν μήποτε ἐκτείνῃ τήν χεῖρα αὐτοῦ, καί λάβῃ τοῦ ξύλου τῆς ζωῆς καί φάγῃ, καί ζήσεται εἰς τόν αἰῶνα. Ἐπειδή γάρ ἅμα τῇ συμβουλῇ πολυθεῖαν αὐτόν ἐδίδαξεν ὁ διάβολος, εἰπών· Ἧι δ᾽ ἄν ἡμέρα φάγητε ἀπό τοῦ ξύλου, διανοιχθήσονται ὑμῶν οἱ ὀφθαλμοί, καί

ἔσεσθε ὡς θεοί, γινώσκοντες καλόν καί πονηρόν· διά τοῦτο μεθ᾽ ὑποκρίσεως, καί οἷον εἰπεῖν εἰρωνευτικήν καί ὀνειδιστικήν εἰς ἔλεγχον τοῦ πεισθέντος ἀνθρώπου τῷ διαβόλῳ, τήν τό, Γέγονεν ὡς εἷς ἐξ ὑμῶν, πρός τήν ἐντεθεῖσαν διά τῆς ἀπάτης παρά τοῦ ὄφεως τῷ Ἀδάμ περί θεότητος ἔννοιαν, πληθυντικῶς ποιεῖται φωνήν ὁ Θεός.

Καί μή τις δόξῃ τῆς Γραφικῆς συνθήκης ἀλλότριον τό εἶδος τῆς κατ᾽ εἰρωνείαν λέξεως, ἀκούων τῆς Γραφῆς ἐκ προσώπου τοῦ Θεοῦ λεγούσης πρός τόν Ἰσραήλ· Ἐάν πορευθῆτε πρός με πλάγιοι, κἀγώ πορεύσομαι πρός ὑμᾶς πλάγιος. Εἰδώς μηδέν διαφέρειν εἰρωνείας πλαγιασμόν· καί πάλιν εὑρίσκων πῶς τήν τοῦ Ἀχάβ συνεσκεύασεν ἀπάτην, ὡς ἀλήθειαν αὐτῷ προ[σ]βαλλόμενος τό ψεῦδος, δι᾽ ὧν ἥμαρτε, φέρων αὐτῷ δικαίως τήν κόλασιν. Εἰ γάρ μή πρός τήν πλάνην τοῦ Ἀδάμ ἡ Γραφή τόν Θεόν λέγοντα τό, Ὡς εἷς ἐξ ἡμῶν, εἰσήγαγε, πῶς ἐπέφερε, Τοῦ γινώσκειν καλόν καί πονηρόν, ὡς σύνθετον ἔχοντα γνῶσιν, καί ἐξ ἐναντίων συγκειμένην; ὅπερ ἀμήχανον ἐπί Θεοῦ κἄν ἐννοῆσαι, μή ὅτι γε τοῦ εἰπεῖν τολμῆσαι τοῦ μόνου ἁπλοῦ τήν οὐσίαν καί τήν δύναμιν καί τήν γνῶσιν, καί μόνην τήν τοῦ καλοῦ γνῶσιν ἔχνοντος· μᾶλλον δέ, αὐτοουσία καί δύναμις καί γνῶσις ὄντος. Ἀλλ᾽ οὐδέ τις τῶν ἐκ Θεοῦ καί μετά Θεόν λογικῶν οὐσιῶν ἔχει ὁμοῦ τε καί κατά ταυτόν ἐν τῷ τῆς διανοίας ἁπλῷ κενήματι, κατά τήν σύνθεσιν ἐκ τῶν ἐναντίων ὑφισταμένην τήν γνῶσιν· διότι πέφυκεν ἡ θατέρα τῶν ἀλλήλοις ἀντικειμένων γνῶσις, τήν τοῦ ἑτέρου ποιεῖσθαι γνώσεως ἄγνοιαν. Ἀμιγής γάρ τῶν ἀντικειμένων ἡ γνῶσις καί παντάπασιν ἀσυνύπαρκτος· ἐπείπερ ἡ τοῦδε γνῶσις τήν θατέρου τῶν ἀντικειμένων συνίστησιν ἄγνοιαν, ὥσπερ οὔτε ὀφθαλμός τοῦ ἄνω τε καί τοῦ κάτω, καί τοῦ ἐφ᾽ ἑκάτερα κατά ταυτόν, χωρίς τῆς πρός θάτερον ἰδιαζούσης ἐπιστροφῆς, καί τῶν ἄλλων πάντη κεχωρισμένης, ἀντιλαμβάνεσθαι.

Τό τοίνυν πάθος τοῦ Ἀδάμ οἰκειούμενον ἡ Γραφή τόν Θεόν παραδείκνυσιν· ἤ τόν Ἀδάμ ἐπί τῇ συμβουλῇ τοῦ ὄφεως διαλέγχει, πρός συναίσθησιν ἄγουσα τῶν ἐκ τῆς ἀπάτης ἐπιτριβέντων αὐτῷ περί πολυθεΐας ὕθλων. Καί εἰ μέν οὕτως ἔχει καλῶς, ἅλις τῶν ζητημάτων· ἐπείτοι γε αὐτός παρ᾽ ἑαυτοῦ τό μεῖζον εὑρίσκων, μετάδος κἀμοί τῆς χορηγουμένης σοι (417) περί τῶν ὄντων θεόθεν χάριτος. Τό δέ, Καί νῦν, μήπως ἐκτείνῃ τήν χεῖρα αὐτοῦ καί λάβῃ τοῦ ξύλου τῆς ζωῆς, καί ζήσεται εἰς τόν αἰῶνα, τήν κατά τήν πρᾶξιν, ὡς οἶμαι, τῶν ἀμίκτων προνοητικῶς ποιεῖται διαίρεσιν· ἵνα μή ἀθάνατον γένηται τό κακόν τῇ

μετοχῇ τοῦ καλοῦ συντηρούμενον. Ἄμικτον γάρ εἶναι βούλεται περί τόν αὐτόν ἄνθρωπον κατά τήν σχέσιν τῶν ἀντικειμένων τήν γνῶσιν, ὁ ποιήσας τόν ἄνθρωπον.

ΣΧΟΛΙΑ

α'. Ὅτι πρός ἥν ἔσχεν περί θεότητος ἔννοιαν ὑπό τοῦ διαβόλου διδαχθείς ὁ Ἀδάμ, διαλέγεται πρός αὐτόν ὁ Θεός.

β'. Ὁ τό ψεῦδος ἀγαπῶν, αὐτῷ παραδίδοται πρός ἀπώλειαν, ἵνα γνῷ πάσχων, ὅπερ ἑκών περιεῖπεν, καί μάθῃ κατά τήν πεῖραν γενόμενος, ὡς ἐλάνθανεν ἀντί ζωῆς περιπτυσσόμενος θάνατον.

γ'. Ὅτι μόνον ἔχει τοῦ καλοῦ τήν γνῶσιν ὁ Θεός, ὡς καί τοῦ καλοῦ φύσις τε καί γνῶσις ὑπάρχων· τοῦ δέ κακοῦ τήν ἄγνοιαν, ὡς τήν αὐτοῦ ἔχων ἀδυναμίαν. Ὧν γάρ ἔχει τήν δύναμιν φυσικῶς, τούτων οὐσιωδῶς κέκτηται γνῶσιν· ὅτι κατά πάθος παρά φύσιν ἐπισυμβαίνουσα, ἀλλ᾽ οὐ κατά δύναμιν φυσικήν τοῖς λογικοῖς ἐνθεωρεῖται κακία.

δ'. Ἀναμέρος, φησίν, ἡ τῶν ἀντικειμένων γνῶσις ἐν τοῖς δεκτικοῖς θεωρεῖσθαι πέφυκε.

ε'. Ὁ πείσας τό συνειδός ὡς φύσει καλόν πραττόμενον ἔχειν τό κάκιστον, οὗτος χειρός δίκην τῆς ψυχῆς ἐκτείνας τό πρακτικόν, ἔλαβεν ψεκτῶς τοῦ ξύλου τῆς ζωῆς, ἀθάνατον ἡγησάμενος φύσει τό κάκιστον. Διόπερ τήν κατά τό συνειδός τοῦ κακοῦ διαβολήν τῷ ἀνθρώπῳ φυσικῶς ἐνθέμενος ὁ Θεός, διέκρινεν αὐτόν τῆς ζωῆς κακόν τῇ προαιρέσει γενόμενον· ἵνα μή, τό κακόν πράττων, δύνηται πεῖσαι τήν ἰδίαν συνείδησιν, ὅτι φύσει καλόν ὑπάρχει τό κάκιστον.

***ΕΡΩΤΗΣΙΣ ΜΕ'.***

***Τί σημαίνει τό ἐν τῷ Λευϊτικῷ στηθύνιον τοῦ ἐπιθέματος, καί ὁ βραχίων τοῦ ἀφαιρέματος, εἰς τιμήν Θεοῦ τοῖς ἱερεῦσιν ἀφιερούμενος;***

Ἀπόκρισις.

Οἶμαι τήν ἀμείνω καί ὑψηλήν θεωρίαν δηλοῦσθαι διά, τοῦ στηθυνίου, καί τήν πρᾶξιν διά τοῦ βραχίονος· ἤγουν τοῦ διανοητικοῦ τήν ἕξιν καί τήν ἐνέργειαν, ἤ τήν γνῶσιν καί τήν ἀρετήν· ὡς τῆς μέν γνώσεως αὐτῷ προσαγούσης ἀμέσως τόν νοῦν τῷ Θεῷ· τῆς ἀρετῆς δέ κατά τήν πρᾶξιν, πάσης αὐτόν ἀφαιρουμένης τῆς τῶν ὄντων γενέσεως· ἅπερ ἱερεῦσιν ἀφώρισεν ὁ Λόγος, τοῖς μόνον τόν Θεόν διά

πάντων κεκτημένοις κληρονομίαν, καί μηδέν τό σύνολον κεκτημένοις ἐπίγειον.

Ἤ πάλιν, ἐπειδή τάς ἄλλων καρδίας διά τοῦ λόγου τῆς διδασκαλίας, οἱ γνώσει καί ἀρετῇ διόλου ποιωθέντες τῷ πνεύματι, εὐσεβείας καί πίστεως ποιοῦνται (420) δεκτικάς· καί τήν πρακτικήν αὐτῶν ἕξιν καί δύναμιν ἀφαιρούμενοι, τῶν ἐπί τῇ φθαρτῇ φύσει σπουδασμάτων, πρός τήν τοῦ ὑπέρ φύσιν ἀφθάρτων ἐνέργειαν ἀγαθῶν μεταφέρουσιν· εἰκότως τῶν προσαγομένων εἰς θυσίαν Θεοῦ τό στηθύνιον τοῦ ἐπιθέματος, τουτέστι τῶν προσαγομένων τήν καρδίαν· καί τόν βραχίονα, τῶν αὐτῶν δηλονότι τήν πρᾶξιν, προσέταξεν ἀφιεροῦσθαι τοῖς ἱερεῦσιν ὁ Λόγος.

ΣΧΟΛΙΑ.

α'. Θεωρίας μέν τό στηθύνιον, πράξεως δέ ὁ βραχίων σύμβολον. Ἕξις γάρ τοῦ διανοητικοῦ πέφυκεν ὑπάρχειν ἡ θεωρία, καί ἡ πρᾶξις ἐνέργεια. Δι᾽ ἀμφοτέρων δέ τούτων ἡ ἀληθής ἱερωσύνη χαρακτηρίζεται.

β'. Ὁ ἱερουργῶν τῷ Θεῷ δι᾽ εὐσεβοῦς λόγου τάς ἄλλων καρδίας, αἷς ἀναλογεῖ τό στηθύνιον· καί τήν πρακτικήν αὐτῶν δύναμιν, ᾗ ἀναλογεῖ ὁ βραχίων, ἀφορίζων ταῖς ἐνεργείαις τῶν ἐντολῶν, γέγονεν ἱερεύς λαμβάνων παρά τῶν ἑαυτούς θυσίαν τῷ Θεῷ προσαγόντων, τό στῆθος καί τόν βραχίονα.

***ΕΡΩΤΗΣΙΣ Μστ'.***

***Τίς ἡ διαφορά τοῦ ἐσόπτρου πρός τό αἴνιγμα;***

Ἀπόκρισις.

Τό μέν ἔσοπτρόν ἐστιν, ὡς ἐν ὅρῳ φάναι, συνείδησις τήν τῶν κατά πρᾶξιν ἀνελλιπῶς πάντων ἀγαθῶν ἔχουσα μορφήν· δι᾽ ἧς ὁ καθαρός τήν διάνοιαν πέφυκεν ὁρᾷν τόν Θεόν· ἤ, ἕξις πρακτική, τήν πασῶν τῶν ἀρετῶν εἰς ἀλλήλας ἑνοειδῶς καθάπερ πρόσωπον θεῖον περιγράφουσα σύνθεσιν. Τό δέ αἴνιγμα, γνῶσίς ἐστι διά τῆς κατά θεωρίαν παντελοῦς τῶν θείων λόγων ἐφικτῆς τῇ φύσει περιοχῆς, τήν τῶν ὑπέρ νόησιν ἔμφασιν ἔχουσα. Καί ἁπλῶς ἔσοπτρόν ἐστι, ἕξις ἐνδεικτική τῆς μελλούσης τῶν ἀρετῶν ἐμφανισθῆναι τοῖς ἀξίοις πρωτοτύπου μορφῆς. Τό γάρ ἐσόμενον τέλος τῆς πρακτικῆς φιλοσοφίας παραδηλοῖ τοῖς ἔχουσι, τό ἔσοπτρον· τό αἴνιγμα δέ, τῆς τῶν νοουμένων περί γνῶσιν ἀρχετυπίας ἐστίν ἔνδειξις.

Πᾶσα τοίνυν ἐνταῦθα δικαιοσύνη, συγκρινομένη πρός τήν μέλλουσαν ἐσόπτρου λόγον ἐπέχει, τήν τῶν ἀρχετύπων πραγμάτων εἰκόνα, οὐκ αὐτά δέ τά πράγματα κατ᾽ εἶδος ὑφιστάμενα ἔχουσα. Καί πᾶσα γνῶσις ἐνταῦθα τῶν ὑψηλῶν, συγκρινομένη πρός τήν μέλλουσαν, αἴνιγμά ἐστιν, ἔμφασιν τῆς ἀληθείας, ἀλλ᾽ οὐκ αὐτήν ὑφισταμένην ἔχουσα τήν φανήσεσθαι μέλλουσαν ἀλήθειαν. Ἐπειδή γάρ ἀρετῇ καί γνώσει τά θεῖα συνέχεται, τῶν κατ᾽ ἀρετήν πρωτοτύπων ἐστίν ἐνδεικτικόν τό ἔσοπτρον, καί τῶν κατά γνῶσιν ἀρχετύπων ἐμφατικόν ὑπάρχει τό αἴνιγμα. Ταύτην ἔχει τήν διαφοράν τό ἔσοπτρον πρός τό αἴνιγμα· καθότι τό μέν ἔσοπτρον πρακτικῆς μηνύει τέλος ἐσόμενον· τό δέ αἴνιγμα, θεωρητικῆς ἐμφαίνει μυστήριον.

ΣΧΟΛΙΟΝ.

α'. Ὅτι τό μέν ἔσοπτρον τῶν τῇ πρακτικῇ (421) προσφυῶν ἀγαθῶν ἐστιν ἐμφατικόν· τό δέ αἴνιγμα, τῶν ἐπί τῇ γνώσει μελλόντων μυστηρίων ἐστίν ἐνδεικτικόν.

***ΕΡΩΤΗΣΙΣ ΜΖ'.***

***Τί ἐστι, " Φωνή βοῶντος ἐν τῇ ἐρήμῳ, "καί τά ἑξῆς; Τίς ἡ ἔρημος, καί τίς ἐνταῦθα ἡ ὁδός Κυρίου, καί τίς ἡ ἑτοιμασία αὐτῆς; Τίνες τε αἱ τρίβοι αὐτοῦ, καί τί τό εὐθῦναι αὐτάς; Τίνες τε αἱ φάραγγες, καί τί σημαίνει τό " Πληρωθήσεται πᾶσα φάραγξ;" Τίνα τά ὄρη, καί οἱ βουνοί, καί τίς ἡ τούτων ταπείνωσις; Τίνα τά σκολιά, καί πῶς ἔσται εἰς εὐθεῖαν; Τίνες αἱ τραχεῖαι, καί πῶς ἔσονται εἰς ὁδούς λείας; Καί τί τό μετά ταῦτα πάντα, "Καί ὄψεται πᾶσα σάρξ τό Σωτήριον τοῦ Θεοῦ;"***

Ἀπόκρισις.

Φωνή τοῦ ἐξ ἀρχῆς βοῶντος ἐν τῇ ἐρήμῳ, τῇ φύσει λέγω τῶν ἀνθρώπων, ἤ τῷ κόσμῳ τούτῳ, Θεοῦ Λόγου, προδήλως ἐστί πᾶς ἅγιος, εἴτε κατά τόν Ἄβελ ὀρθῶς προσφέρων ἐξ εἰλικρινείας ἐστεατωμένα ταῖς ἀρεταῖς τά τῆς ψυχῆς πρῶτα τῆς θεωρίας κινήματα· εἴτε κατά τόν Ἐνώς ἐλπίδι πίστεως βεβαίᾳ τῶν μελλόντων ἀγαθῶν ἐπιδραξάμενος· ὑπέρ ὧν ἤλπισεν εὔτονον ἐκτήσατο τήν ἐπίκλησιν· εἴτε κατά τόν Ἐνώχ, διά πάσης εὐαρεστίας ἀρετῆς, τῆς τῶν ὄντων σχέσεώς τε καί γνώσεως τόν νοῦν παντελῶς ἀπάρας, πρός αὐτήν τήν ὑπέρ νόησιν ἀσχέτως αἰτίαν μετέθηκεν· εἴτε κατά τόν Νῶε, πίστει θεωρήσας τά μέλλοντα τῆς θείας κρίσεως εἴδη, κατεσκεύασεν ἑαυτῷ κιβωτοῦ δίκην, τήν ῥυομένην αὐτόν ἀπό τῆς μελλούσης ὀργῆς πανταχόθεν

ἠσφαλισμένην τῷ θείῳ φόβῳ πολιτείαν καί ἄσκησιν· εἴτε κατά τόν Ἀβράαμ, καθαρῷ πίστεως ὀφθαλμῷ τῶν μελλόντων ἀγαθῶν ἰδών τήν εὐπρέπειαν, ὑπήκουσε, γῆς καί συγγενείας καί οἴκου πατρικοῦ προθύμως ἐξελθεῖν· καταλιπών τήν πρός σάρκα καί αἴσθησιν καί αἰσθητά, σχέσιν τε καί προσπάθειαν· καί φύσεως ἐν καιρῷ πειρασμῶν καί ἀγώνων ὑψηλότερος ὤν, προτιμήσας τήν αἰτίαν τῆς φύσεως, ὡς τοῦ Ἰσαάκ τόν Θεόν, ὁ μέγας Ἀβράαμ· εἴτε κατά τόν Ἰσαάκ, δι᾽ ἄκραν ἀπάθειαν καί τήν περί θεωρίαν καλήν τῆς ψυχῆς ἀπληστίαν, ἀμετάβατον ἀπό τῆς ἀληθείας ἔσχε, καί πολεμούμενος ὑπό τῶν πονηρῶν πνευμάτων, τήν ἕξιν τῆς ἀρετῆς καί τῆς γνώσεως· εἴτε κατά τόν Ἰακώβ, τῆς τῶν ὑλικῶν δασύτητός τε καί τῆς περί αὐτά συγχύσεως τόν νοῦν ἀποκαθάρας, κατέστησε λεῖον· καί τῇ τῶν ἐριφείων ἐπιθέσει δερμάτων, τῇ περί τήν σάρκα λέγω τοῦ κατά Θεόν βίου τραχύτητι, τήν κατά τοῦ φρονήματος τῆς σαρκός παρά τοῦ Θεοῦ κομισάμενος δύναμιν· φόβῳ τε τῆς τῶν παθῶν ἐπαναστάσεως, καί πόθῳ τῆς κατά πεῖραν ὑψηλοτέρας μαθήσεως, μεταβάς [Al. καταβάς] εἰς Χαῤῥάν, τήν φυσικήν φημι θεωρίαν, ἐξ ἧς λαβών διά πόνων πρακτικῶν πᾶσαν τοῦ φαινομένου κόσμου τήν πνευματικήν ἐπιστήμην, ἐν διαφόροις συλλεγεῖσαν λογισμοῖς τε καί νοήμασιν, (424) καί ἐπανῆλθεν εἰς τήν γῆν τήν πατρικήν καί οἰκείαν, φημί τήν γνῶσιν τῶν νοητῶν, ἐπιφερόμενος καθάπερ γυναῖκας καί παιδίσκας, τάς ἐγγενομένας αὐτῷ τῆς τε πρακτικῆς καί τῆς θεωρητικῆς παγίας ἕξεις καί ἐνεργείας, καί τούς ἐκ τούτων αὐτῷ γεννηθέντας υἱούς, οἵτινες οὗτοι τυγχάνουσι. Καί ἁπλῶς (ἵνα μή πλέον τοῦ δέοντος ὁ Λόγος μηκύνηται, τόν ἑκάστου βίον διεξιών), πᾶς ἅγιος διά τῆς οἰκείας ἀναστροφῆς, ὡς ἐσχηκώς βοῶντα τόν Λόγον τά οἰκεῖα τοῖς ἄλλοις ἀνθρώποις θελήματα, φωνή τοῦ Λόγου σαφῶς ὑπάρχει, καί πρόδρομος κατά τήν ἀναλογίαν τῆς ἐν αὐτῷ δικαιοσύνης καί πίστεως.

Πάντων δέ μάλιστα φωνή τοῦ Λόγου καί πρόδρομός ἐστιν Ἰωάννης ὁ μέγας, καί τῆς ἄνευ τύπων καί συμβόλων ἀληθοῦς τοῦ Θεοῦ παρουσίας μηνυτής τε καί κήρυξ, καί τοῖς ἀγνοοῦσιν ἐμφανιστής· δεικνύς ἀναφανδόν τόν αἴροντα τοῦ κόσμου τήν ἁμαρτίαν, καί πρός τήν οἰκονομίαν εἰς τήν τῶν μυστηρίων ἐκπλήρωσιν κατά τό βάπτισμα συνεισφέρων τήν ἑαυτοῦ λειτουργίαν. Ἐπειδή δέ διά τόν πλοῦτον τῆς χάριτος, πολυτρόπως δύναται ληφθῆναι, πρός ὠφέλειαν τῶν ἀρετῆς τε καί γνώσεως ἐφιεμένων, πᾶσα συλλαβή, καί ἡ τυχοῦσα, τῆς θείας

Γραφῆς· φέρε, κατά τό δυνατόν ἡμῖν, καί ἑτέρως τά προτεθέντα θεωρήσωμεν.

Ἔρημος τοιγαροῦν, ὡς ἔφην, ἐστίν, ἡ τῶν ἀνθρώπων φύσις, καί ὁ κόσμος οὗτος, καί πᾶσα καθέκαστον ψυχή, διά τήν γενομένην ἐκ τῆς ἀρχαίας παραβάσεως τῶν ἀγαθῶν ἀκαρπίαν. Φωνή δέ τοῦ βοῶντός ἐστι Λόγου, ἡ κατά συνείδησιν ἐπί τοῖς ἑκάστῳ πλημμεληθεῖσι συναίσθησις· οἷον ἡ βοῶσα κατά τό κρυπτόν τῆς καρδίας, ἑτοιμάσαι τήν ὁδόν τοῦ Κυρίου, σαφής δέ καί πρόδηλος ἑτοιμασία τῆς θείας ὁδοῦ καθέστηκεν, ἡ τῶν τρόπων τε καί λογισμῶν ἐπί τό κρεῖττον μεταβολή καί διόρθωσις, καί ἡ τῶν προτέρων κάθαρσις μολυσμῶν. Ὁδός δέ καλή τε καί ἐπίδοξος, ὁ κατ᾽ ἀρετήν ὑπάρχει βίος· ἐν ᾧ καθάπερ ὁδῷ τόν ἐν ἑκάστῳ ποιεῖται τῆς σωτηρίας δρόμον ὁ Λόγος, ἐνοικῶς τε διά τῆς πίστεως, καί ἐμπεριπατῶν τοῖς κατ᾽ ἀρετήν τε καί γνῶσιν διαφόροις θεσμοῖς τε καί δόγμασι. Τρίβοι δέ τοῦ Λόγου εἰσίν, οἱ διάφοροι τρόποι τῶν ἀρετῶν, καί ἡ τοῦ κατά Θεόν βίου διάφορος ἀγωγή, ἤγουν τά κατά Θεόν ἐπιτηδεύματα· ἅς εὐθύνουσιν οἱ μήτε δόξης ἕνεκα, μήτε προφάσει πλεονεξίας, μήτε κολακείας χάριν καί ἀνθρωπαρεσκείας καί ἐπιδείξεως, τήν ἀρετήν ἤ τήν μελέτην τῶν θείων λόγων μετελθεῖν ἐπιτηδεύοντες, ἀλλά πάντα διά τόν Θεόν καί ποιοῦντες καί λέγοντες καί διανοούμενοι. Τρίβοις γάρ οὐκ εὐθείαις ὁ θεῖος οὐ πέφυκεν ἐμφιλοχωρεῖν Λόγος, κἄν εὕρῃ τήν ὁδόν ἔν τισιν ἕτοιμον. Οἷόν τι λέγω· Νηστεύει τις, καί ἀπέχεται τῆς ἐξαπτικῆς τῶν παθῶν διαίτης· τά ἄλλα τε ποιεῖ, ὅσα πρός ἀπαλλαγήν κακίας συμβάλλεσθαι δύναται. Τήν λεγομένην ὁδόν οὗτος ἡτοίμασε κενοδοξίας δέ, ἤ πλεονεξίας, ἤ κολακείας, ἤ ἀνθρωπαρεσκείας, ἤ ἄλλης τινός ἕνεκεν αἰτίας, δίχα τῆς θείας εὐαρεστήσεως, τούς τοιούτους ἐπιτηδεύει τρόπους, (425) οὗτος εὐθείας οὐκ ἐποίησε τάς τρίβους τοῦ Θεοῦ· καί τό μέν τῆς ἑτοιμασίας τῆς ὁδοῦ πόνον ὑπέμεινε, τόν δέ Θεόν οὐκ ἔσχε ταῖς αὐτοῦ τρίβοις ἐμπεριπατοῦντα. Ὁδός οὖν τοῦ Κυρίου ἐστίν ἡ ἀρετή· εὐθεῖα δέ τρίβος, ὁ κατ᾽ ἀρετήν ὑπάρχει ὀρθός τρόπος καί ἄδολος.

Πᾶσα φάραγξ πληρωθήσεται· τῶν ἑτοιμασαμένων δηλονότι καλῶς τήν ὁδόν τοῦ Κυρίου, καί εὐθείας ποιησαμένων τάς αὐτοῦ τρίβους. Οὐ γάρ ἁπλῶς, οὐδέ πάντων· οὔτε γάρ τῶν μή ἑτοιμασάντων τήν ὁδόν τοῦ Κυρίου, καί εὐθείας ποιησάντων τάς τρίβους αὐτοῦ. Φάραγξ δέ ἐστιν, ἡ τοῦ καθ᾽ ἕκαστον σάρξ, ἡ τῷ πολλῷ ῥεύματι τῶν παθῶν ἐγχαραδρωθεῖσα, καί τήν πρός τήν ψυχήν κατά τόν συνδήσαντα Θεοῦ νόμον πνευματικήν διατμηθεῖσα συνέχειάν τε καί συνάφειαν.

Δυνατόν δέ καί τήν ψυχήν φάραγγα νοηθῆναι, τῷ πολλῷ χειμῶνι τῆς κακίας κοιλανθεῖσαν, καί τῆς ἐν πνεύματι καλῆς ὁμαλότητος διά τῆς κακίας τό κάλλος ἀποθεμένην. Πᾶσα τοίνυν φάραγξ, ἤγουν σάρξ καί ψυχή τῶν ἑτοιμασάντων τήν ὁδόν τοῦ Κυρίου, καί εὐθείας ποιησάντων τάς τρίβους αὐτοῦ, πληρωθήσεται διά τῆς ἀποβολῆς τῶν παθῶν, τῶν ποιούντων αὐταῖς φαράγγων δίκην τήν ἀνωμαλίαν· καί τῆς τῶν ἀρετῶν ἐπαγωγῆς ἀπολαβοῦσα τήν φυσικήν ἐπιφάνειαν, ὁμαλισθεῖσαν τῷ πνεύματι.

Καί πᾶν ὄρος καί βουνός ταπεινωθήσεται. Ταῖς φάραγξιν, ὡς ἔοικε, μάλιστα πεφύκασί πως συνίστασθαι τά ὄρη καί οἱ βουνοί. Ὄρος ἐστί πᾶν ὕψωμα ἐπαιρόμενον κατά τῆς γνώσεως τοῦ Θεοῦ· βουνός δέ, πᾶσα κακία κατεπανισταμένη τῆς ἀρετῆς· ἤγουν ὄρη μέν εἰσι τά ἐνεργητικά τῆς ἀγνωσίας πνεύματα· βουνοί δέ, τά ποιητικά τῆς κακίας· ὁπηνίκα προδήλως πᾶσα φάραγξ, ἤγουν σάρξ ἤ ψυχή τῶν ἑτοιμασάντων, ὡς εἶπον, τήν ὁδόν τοῦ Κυρίου, καί εὐθείας ποιησάντων τάς τρίβους αὐτοῦ, διά τῆς τοῦ περιπατοῦντος ἐν αὐτοῖς διά τῶν ἐντολῶν Θεοῦ Λόγου παρουσίας, πληρωθῇ γνώσεως καί ἀρετῆς· πάντα τά τῆς ψευδωνύμου γνώσεως, καί τά τῆς κακίας πνεύματι ταπεινοῦται, πατοῦντος αὐτοῦ τοῦ Θεοῦ Λόγου καί ὑποτάσσοντος, καί τό ἐπαιρόμενον κατά τῆς ἀνθρωπίνης φύσεως πονηρόν κράτος καταβάλλοντος, καί οἷον τό μέγεθος καί ὕψος τῶν ὀρέων καί τῶν βουνῶν κατασκάπτοντος, καί εἰς τήν τῶν φαράγγων ἄγοντος ἀναπλήρωσιν. Τῷ ὄντι γάρ, εἰ πάντα λήψεταί τις διά τῆς τοῦ Λόγου δυνάμεως, ὅσα παρά τῆς φύσεως λαβόντες οἱ δαίμονες, τήν περί φύσιν ἀγνωσίαν τε καί κακίαν ἐδημιούργησαν· οὐδαμῶς ὑποστήσεται καθ᾽ οἷον δήποτε τρόπον ἀγνωσίας ἤ κακίας ὕψος· ὥσπερ οὐδέ ὄρος ἤ βουνός τῶν αἰσθητῶς φαινομένων, εἰ μηχανή τις ἦν τοῖς ἀνθρώποις αὐτά μέν κατασκάψαι τά ὄρη, καί τούς βουνούς καί τάς φάραγγας ἀναπληρῶσαι.

Ταπείνωσις οὖν ἐστι τῶν νοητῶν καί πονηρῶν ὀρέων καί βουνῶν, ἡ τῆς σαρκός τε καί τῶν τῆς ψυχῆς πρός ἑαυτάς τῶν κατά φύσιν δυνάμεων ἀποκατάστασις· καθ᾽ ἥν φυσικῶς εὐθηνούμενος τῷ πλούτῳ (428) τῆς ἀρετῆς καί τῆς γνώσεως ὁ φιλόθεος νοῦς, ὁμαλῶς διαπορεύεται τόν αἰῶνα τοῦτον, καί πρός τόν ἀγήρω καί ἄφθαρτον προτροπάδην φέρεται κόσμον τῶν νοητῶν καί ἁγίων δυνάμεων. Μήτε τοῖς ἑκουσίοις τῆς σαρκός πάθεσι διά τῆς πολυτρόπως σκολιευομένης πλανώμενος ἡδονῆς· μήτε τοῖς ἀκουσίοις πειρασμοῖς διά τῆς ὀδύνης

τραχυνόμενος· τῇ περί τήν σάρκα φειδοῖ, τήν ὁδόν τῶν ἐντολῶν ὡς δύσβατον διά τήν τραχύτητα τῶν πόνων τῆς ἀρετῆς παραιτούμενος.

Ἰθύνεται μέν οὖν τά σκολιά, ὅταν ὁ νοῦς τά μέλη τοῦ σώματος τῶν παθῶν ἐλευθερώσας, ἤγουν τά αἰσθητήρια καί τά λοιπά τῆς καθ᾽ ἡδονήν ἐκκόψας ἐνεργείας, κατά τόν ἁπλοῦν τῆς φύσεως λόγον αὐτά κινεῖσθαι διδάξειεν· αἱ δέ τραχεῖαι, τουτέστιν αἱ τῶν ἀκουσίων πειρασμῶν ἐπιφοραί, ἔσονται εἰς ὁδούς λείας· ὅταν μάλιστα χαίρων καί εὐφραινόμενος ὁ νοῦς, ἐν ἀσθενείαις εὐδοκεῖ καί θλίψεσι καί ἀνάγκαις· διά τῶν ἀκουσίων πόνων τήν ὅλην τῶν ἑκουσίων παθῶν ἀφαιρούμενος δυναστείαν. Ὁ γάρ τῆς ἀληθοῦς ἐφιέμενος ζωῆς, γνούς ὅτι πᾶς πόνος, εἴτε ἑκούσιος εἴτε ἀκούσιος, τῆς τοῦ θανάτου μητρός ἡδονῆς γίνεται θάνατος, πάσας τάς τραχείας τῶν ἀκουσίων πειρασμῶν ἐπιφοράς δέξεται μετ᾽ εὐφροσύνης, χαίρων διά τῆς ὑπομονῆς, ὁδούς εὐμαρεῖς τε καί λείας τάς θλίψεις ποιούμενος, πρός τό βραβεῖον τῆς ἄνω κλήσεως ἀπλανῶς παραπεμπούσας αὐτόν, εὐσεβῶς ἐν αὐταῖς τόν θεῖον δρόμον ποιούμενον.

Πᾶς τοιγαροῦν τήν πολυέλικτόν τε καί πολύπλοκον ἡδονήν, καί πᾶσιν ὁμοῦ τοῖς αἰσθητηρίοις πολυτρόπως συμπεπλεγμένην τῇ ἐγκρατείᾳ διαλύσας, τά σκολιά εἰς εὐθεῖαν ἐποίησε· καί ὁ τήν δύσβατον καί τραχεῖαν τῶν πόνων ἐπιφοράν δι᾽ ὑπομονῆς πατήσας, τάς τραχείας ἐποίησεν εἰς ὁδούς λείας. Ὅθεν ὥσπερ ἔπαθλον ἀρετῆς, καί τῶν ὑπέρ αὐτῆς καμάτων, οἷον καλῶς τε καί νομίμως ἀθλήσας, καί τήν ἡδονήν νικήσας τῷ πόθῳ τῆς ἀρετῆς, καί τήν ὀδύνην πατήσας τῷ τῆς γνώσεως ἔρωτι, καί δι᾽ ἀμφοτέρων γενναίως τούς θείους διενέγκας ἀγῶνας, ὄψεται τό σωτήριον τοῦ Θεοῦ. Καί ὄψεται γάρ, φησί, πᾶσα σάρξ τό σωτήριον τοῦ Θεοῦ. Πᾶσα σάρξ, δηλονότι πιστή· κατά τό, Ἐκχεῶ ἀπό τοῦ Πνεύματός μου ἐπί πᾶσαν σάρκα· δηλαδή τήν πιστεύσασαν. Οὐχ ἁπλῶς οὖν πᾶσα σάρξ ὄψεται τό σωτήριον τοῦ Θεοῦ· οὔτε γάρ ἡ τῶν ἀσεβῶν σάρξ, εἴπερ ἀληθής ὁ ἀποφαινόμενος λόγος. Ἀρθήτω ὁ ἀσεβής, ἵνα μή ἴδῃ τήν δόξαν Κυρίου· ἀλλά προσδιωρισμένως πᾶσα πιστή σάρξ. Ἐκ μέρους δέ τῆς σαρκός, τόν ὅλον ἄνθρωπον σημαίνει συνήθως ὁ Γραφικός λόγος, οἱονεί βοῶν, Καί ὄψεται πᾶς ἄνθρωπος τό σωτήριον τοῦ Θεοῦ. Πᾶς ἄνθρωπος, ἀκούσας δηλονότι τῆς ἐν τῇ ἐρήμῳ φωνῆς βοώσης· καί κατά τόν ἀποδοθέντα τῆς θεωρίας λόγον, ἑτοιμάσας τήν ὁδόν τοῦ Κυρίου, καί εὐθείας ποιήσας τάς τρίβους αὐτοῦ, καί πληρώσας διά τῆς τῶν νοητῶν καί πονηρῶν ὀρέων καί βουνῶν καθαιρέσεως, τήν διά τοῦ ἰδίου

κοιλώματος παρασχομένην κατά τήν παράβασιν τῆς θείας ἐντολῆς τοῖς (429) εἰρημένοις πονηροῖς ὄρεσι καί βουνοῖς τό ὕψος καί τό ἀνάστημα, φάραγγα ψυχήν, καί τήν ταύτης ἀναπλήρωσιν, τῶν πονηρῶν Δυνάμεων ταπείνωσιν ἐργαζόμενος· καί τά σκολιά τῶν ἑκουσίων παθῶν, ἤγουν τῆς ἡδονῆς τά κινήματα, διά τῆς ἐγκρατείας εὐθύνας· καί τάς τραχείας τῶν ἀκουσίων πειρασμῶν συμφοράς, ἤγουν τούς τρόπους τῆς ὀδύνης διά τῆς ὑπομονῆς ὁμαλίσας, καί εἰς ὁδούς λείας καταστήσας· ὁ τοιοῦτος εἰκότως ὄψεται τό Σωτήριον τοῦ Θεοῦ, καθαρός τῇ καρδίᾳ γενόμενος· καθ᾽ ἥν διά τῶν ἀρετῶν, καί τῶν εὐσεβῶν θεωρημάτων ὁρᾷ τόν Θεόν ἐπί τέλει τῶν ἄθλων, κατά τό, Μακάριοι οἱ καθαροί τῇ καρδίᾳ, ὅτι αὐτοί τόν Θεόν ὄψονται· τῶν ὑπέρ ἀρετῆς πόνων, τῆς ἀπαθείας τήν χάριν ἀντιλαβών, ἧς οὐδέν πλεῖον τόν Θεόν ἐμφανίζει τοῖς ἔχουσι.

Καθ᾽ ὅ τυχόν τοῖς τά ὑψηλότερα ζητοῦσι τῶν θεωρημάτων, καί ἄλλως πάρεστιν ὁρᾷν, ὡς ἐν ἐρήμῳ, τῇ ἐστερημένῃ παθῶν ψυχῇ, τήν διά τῶν ἀρετῶν φωνήν τῆς ἀφώνως βοώσης θείας σοφίας καί γνώσεως· ἐπί πάντα κατά τήν ἀναλογίαν ἑκάστου πᾶσιν ὁ εἷς καί αὐτός γίνεται Λόγος, χωρῶν δι᾽ ἑκάστου· καί ὡς πρόδρομον φωνήν, τήν προκατασκευάζουσαν ἕκαστον πρός τήν αὐτοῦ παρουσίαν προδωρούμενος χάριν· ἐν μέν τοῖς γινομένην μετάνοιαν, ὡς μελλούσης δικαιοσύνης πρόδρομον· ἐν δέ τοῖς ἀρετήν, ὡς προσδοκωμένης γνώσεως προκαταρτισμόν· ἐν ἄλλοις δέ γνῶσιν, ὡς τῆς παρεσομένης θεωρητικῆς ἕξεως χαρακτῆρα. Καί ἁπλῶς ἐπιλείψει τόν θεωρητικόν νοῦν ὁ χρόνος, τάς θείας ἀναβάσεις τοῦ Λόγου γνωστικῶς ποιούμενον· καί τάς αὐτοῦ πρός ἕκαστον ὑπερφυεῖς ἁρμόζοντα καί φιλανθρώπους ἐπινοίας· καθ᾽ ἅς πάντα γίνεται πᾶσιν, ἵνα πάντας σώσῃ διά τόν πλοῦτον τῆς αὐτοῦ χρηστότητος.

ΣΧΟΛΙΑ.

α'. Ὁ τήν γνῶσιν ἐστεατωμένην ταῖς ἀρεταῖς, τουτέστιν ἔμπρακτον, μετιών, οὗτος γέγονεν Ἄβελ, ἔχων τόν Θεόν ἐπ᾽ αὐτόν, καί ἐπί τοῖς δώροις αὐτοῦ ἐπιβλέποντα.

β'. Ὁ γνούς καί ἀληθῶς ἐλπίσας τά μέλλοντα, τῆς κατά τήν πρᾶξιν, ὑπέρ ὧν ἤλπισεν, ἐπικλήσεως οὐδέποτε παύεται· καί γίνεται νέος Ἐνώς, τόν Θεόν ἐπικαλούμενος.

γ'. Ὁ διά πράξεως εὐαρεστήσας τῷ Θεῷ, διά θεωρίας πρός τήν τῶν νοητῶν χώραν, τόν νοῦν δηλαδή μετατίθησι, ἵνα μή διά φαντασίας

τινός τόν ἐν τοῖς πάθεσι κατά τήν αἴσθησιν θεάσηται θάνατον, ὡς ὑπ᾽ οὐδενός τῶν ἑλεῖν βουλομένων παντελῶς εὑρισκόμενος.

δ'. Ὁ διά τήν μέλλουσαν ὀργήν, φησί, τήν διά τῆς κακουχίας μετελθών ἀγωγήν, γέγονεν Νῶε, τῇ μικρᾷ τῆς σαρκός στενοχωρίᾳ τήν μέλλουσαν τῶν ἀσεβῶν φεύγων κατάκρισιν.

ε'. Γῆν λέγει τήν σάρκα· συγγένειαν, τάς αἰσθήσεις· οἶκον πατρός, τόν αἰσθητόν κόσμον, ἀφ᾽ ὧν ὁ (432) πατριάρχης ἐκβέβηκεν, τήν πρός αὐτά σχέσιν τῆς ψυχῆς ἀποθέμενος.

στ'. Μόνος ὁ Ἰσαάκ γέγραπται μή μεταβάς τῆς γῆς τῆς ἐπαγγελίας· τοῦ πατρός αὐτοῦ Ἀβραάμ, καί τοῦ υἱοῦ αὐτοῦ Ἰακώβ, τοῦ μέν ἐξελθόντος ἐκ Μεσοποταμίας, καί εἰσελθόντος εἰς Αἴγυπτον· τοῦ δέ διωχθέντος εἰς Μεσοποταμίαν, καί μετά ταῦτα παροικήσαντος εἰς Αἴγυπτον, ἐν ᾗ καί τέθνηκεν.

ζ'. Τάς γυναῖκας εἰς τάς ἕξεις τῆς ἀρετῆς τε καί τῆς γνώσεως· τάς δέ παιδίσκας εἰς τάς τούτων ἐνεργείας ἔλαβεν· ἀφ᾽ ὧν γεννᾷ καθάπερ υἱούς, τούς ἐν φύσει καί χρόνῳ λόγους.

η'. Ὥσπερ γίνεται φάραγξ ἡ σάρξ, ταῖς τῶν παθῶν βαλλομένη φοραῖς· οὕτω, φησίν, καί ἡ ψυχή γίνεται φάραγξ τοῖς τῶν πονηρῶν λογισμῶν ῥεύμασι κοιλαινομένη.

θ'. Ἡ τῶν παρά φύσιν ἀποβολή παθῶν, καί ἡ τῶν κατά φύσιν ἀρετῶν ἐπιβολή, τήν φαραγγωθεῖσαν ψυχήν ἀναπληροῖ, καί τήν ὀρινομένην τῶν πονηρῶν πνευμάτων ταπεινοῖ διάνοιαν.

ι'. Σκολιά κέκληκεν τά παρά φύσιν τῶν αἰσθήσεων κινήματα, ἰθυνόμενα ὅταν ὁ νοῦς αὐτά πρός τήν ἰδίαν αἰτίαν· λέγω δέ τόν Θεόν, κατά φύσιν κινεῖσθαι διδάξειεν.

ια'. Τάς τραχείας κέκληκεν, τάς τῶν ἀκουσίων πειρασμῶν συμβάσεις, εἰς ὁδούς λείας διά τῆς κατά τήν εὐχαριστίαν ὑπομονῆς μεταπιπτούσας.

ιβ'. Τοῦ μέν θανάτου μήτηρ ἐστίν ἡ ἡδονή· τῆς ἡδονῆς δέ θάνατός ἐστιν ὁ πόνος, ὅ τε προαιρετικός καί ὁ παρά προαίρεσιν.

ιγ'. Ὁ τήν ἀρετήν ἀγαπῶν, τήν τῶν ἡδονῶν ἑκούσιον μαραίνει κάμινον· ὁ δέ τῇ γνώσει τῆς ἀληθείας πεποιωμένος τόν νοῦν, ἀκουσίοις οὐκ ἐπέχεται πόνοις τῆς κατα τήν ἔφεσιν πρός τόν Θεόν φερούσης ἀεικινησίας.

ιδ'. Ὅτι διά τῆς παραβάσεως ἡ ψυχή κοιλανθεῖσα, τοῖς δαίμοσι καθάπερ ὄρεσιν τό ὕψος δέδωκεν· τουτέστι τό καθ᾽ ἑαυτῆς κράτος.

ιε'. Ἀρετή κατά τήν πρᾶξιν ἐνεργουμένη, φωνή γίνεται τῆς βοώσης γνώσεως, ὡς ἐν ἐρήμῳ, τῇ παθῶν ἐστερημένῃ καταστάσει τῆς ψυχῆς. Πρόδρομος γάρ τῆς ἀληθοῦς σοφίας ἡ ἀρετή, μηνύουσα τήν μετ᾽ αὐτήν κατ᾽ οἰκονομίαν φανησομένην ἀλήθειαν, πρό αὐτῆς κατ᾽ αἰτίαν ὑπάρχουσαν.

*ΕΡΩΤΗΣΙΣ ΜΚ'.*

***Περί τοῦ Ὀζίου φησίν ἡ δευτέρα τῶν Παραλειπομένων, ὅτι " Ἐποίησε τό εὐθές ἐνώπιον Κυρίου, καί ἦν ἐκζητῶν τόν Κύριον ἐν ταῖς ἡμέραις Ζαχαρίου τοῦ συνιέντος ἐν φόβῳ Κυρίου, καί εὐώδωσεν ἐν αὐτῷ ὁ Κύριος. Καί ᾠκοδόμησεν Ὀζίας πύργους ἐν Ἱερουσαλήμ, καί ἐπί τήν πύλην τῆς γωνίας, καί ἐπί τήν γωνίαν [Sgxt. πύλην] τῆς φάραγγος, καί ἐπί τῶν γωνιῶν· καί κατίσχυσεν, καί ᾠκοδόμησεν πύργους ἐν τῇ ἐρήμῳ, καί ἐλατόμησεν λάκκους πολλούς, ὅτι κτήνη (433) πολλά ὑπῆρχεν αὐτῷ ἐν Σεφιλᾷ, καί ἐν τῇ πεδεινῇ· καί ἀμπελουργοί ἐν τῇ ὀρεινῇ, καί ἐν τῷ Καρμήλῳ, ὅτι γεωργός ἦν." Τίνες οἱ πύργοι, καί τίς ἡ πύλη τῆς γωνίας, καί τίς ἡ φάραγξ, καί ἡ γωνία αὐτῆς· καί τίνες πάλιν αἱ γωνίαι, τίνες τε οἱ ἐν τῇ ἐρήμῳ πύργοι· καί τίνες οἱ λελατομμένοι λάκκοι, τίνα τε τά κτήνη; καί τίς ἡ Σεφιλά καί ἡ πεδεινή, τίνες τε οἱ ἀμπελουργοί, καί τίς ἡ ὀρεινή καί ὁ Κάρμηλος; καί τί, " Ὅτι γεωργός ἦν;"***

Ἀπόκρισις.

Ἐλθέ, Λόγε Θεοῦ πανύμνητε· δός τῶν οἰκείων λόγων τήν σύμμετρον ἡμῖν ἀποκάλυψιν· καί περιελών τήν τῶν ἐπικαλυμμάτων παχύτητα, δεῖξον ἡμῖν τό κάλλος, Χριστέ, τῶν νοουμένων. Λαβοῦ τῆς χειρός ἡμῶν τῆς δεξιᾶς· τῆς ἐν ἡμῖν λέγω νοερᾶς δυνάμεως, καί ὁδήγησον ἐν τῇ ὁδῷ τῶν ἐντολῶν σου, καί εἰς τόπον ἄγαγε τῆς θαυμαστῆς σου σκηνῆς, ἕως τοῦ οἴκου τοῦ Θεοῦ ἐν φωνῇ ἀγαλλιάσεως καί ἐξομολογήσεως ἤχου ἑορτάζοντος, ὅπως καί ἡμεῖς διά τῆς κατά τήν πρᾶξιν ἐξομολογήσεως, καί τῆς κατά τήν θεωρίαν ἀγαλλιάσεως, πρός τόν σόν τῆς εὐωχίας ἄφραστον τόπον ἐλθεῖν ἀξιωθέντες, συνευωχήσωμεν τοῖς ἐκεῖσε πνευματικῶς ἑορτάζουσι, τήν τῶν ἀλαλήτων γνῶσιν ἀσιγήτοις νοῦ φωναῖς ἀναμέλποντες.

Καί μοι σύγνωθι, Χριστέ, καί ἵλαθι, διά τήν τῶν ἀξίων σου δούλων ἐπιταγήν, κατατολμῶντι τῶν ὑπέρ δύναμιν· καί φώτισον πρός τήν τῶν προκειμένων θεωρίαν, τήν ἀφώτιστόν μου διάνοιαν, ἵνα πλέον

δοξασθῇς, τυφλοῖς τό βλέπειν διδούς, καί μογιλάλοις τρανήν τήν γλῶσσαν ποιούμενος.

Οἶμαι τοίνυν, ὅτι ὥσπερ ἕως τινός Χριστοῦ τοῦ Θεοῦ τύπος ὑπῆρχεν ὁ Σολομών, οὕτω καί ὁ Ὀζίας ἕως τινός τύπος ἦν τοῦ Σωτῆρος· ἰσχύν γάρ Θεοῦ πρός τήν Ἑλλάδα φωνήν μεταφερόμενον σημαίνει Ὀζίου τόν ὄνομα· ἰσχύς δέ φυσική καί δύναμις ἐνυπόστατος τοῦ Θεοῦ καί Πατρός, ὁ Κύριος ἡμῶν Ἰησοῦ Χριστός· ὁ εἰς κεφαλήν γωνίας γενόμενος λίθος· λέγω δέ τῆς Ἐκκλησίας. Ἡ γωνία δύο τειχῶν ποιεῖται δι᾽ ἑαυτῆς πρός ἀλλήλους συνάφειαν· οὕτως ἡ τοῦ Θεοῦ Ἐκκλησία τῶν δύο λαῶν, τοῦ τε ἐξ ἐθνῶν, καί τοῦ ἐξ Ἰουδαίων ἕνωσις γίνεται, τόν Χριστόν ἔχουσα σύνδεσμον, τόν οἰκοδομοῦντα τούς πύργους ἐν τῇ Ἰερουσαλήμ (τήν ὅρασιν λέγω τῆς εἰρήνης), τούς θείους καί ἀκαθαιρέτους πρώτους τῶν περί θεότητος δογμάτων λόγους, ἤγουν ὀχυρώματα· καί ἐπί τήν πύλη τῆς γωνίας, τούς τῶν περί σαρκώσεως δογμάτων λόγου· πύλη γάρ καί θύρα τῆς Ἐκκλησίας, αὐτός ἐστι πάλιν, ὁ λέγων· Ἐγώ εἰμί ἡ θύρα· ἡ τούς πύργους ἔχουσα, τουτέστι, τά ὀχυρώματα τῶν περί σαρκώσεως θείων δογμάτων, πύλη· δι᾽ ὧν φρουρουμένους, εἰς τήν γωνίαν, τήν Ἐκκλησίας έγω, ποιεῖσθαι δεῖ τούς καλῶς πιστεύειν βουλομένους τήν εἴσοδον. Ὁ γάρ τοῖς πύργοις τῶν θείων δογμάτων ὡς ἀληθείας ὀχυρώμασι καθωπλισμένος, τούς ἐπηρεαστάς οὐ φοβεῖται λόγους καί δαίμονας.

(436) Καί ἐπί τήν γωνίαν τῆς φάραγγος. Φάραγξ ἐστίν ἡ σάρξ. Γωνία δέ ταύτης ἐστίν ἡ πρός τήν ψυχήν κατά τήν ἐν πνεύματι συνάφειαν ἕνωσις· ἐφ᾽ ἧς οἱ πύργοι, ἤγουν τά ὀχυρώματα τῶν ἐντολῶν οἰκοδομοῦνται· καί τά ἐπ᾽ αὐταῖς κατά τήν διάκρισιν δόγματα, πρός τό φυλαχθῆναι τῆς σαρκός πρός τήν ψυχήν ἀδιάλυτον γωνίας ἕνωσιν.

Καί ἐπί τῶν γωνιῶν ᾠκοδόμησε πύργους. Γωνίας τυχόν εἶπεν ὁ λόγος, τάς διά Χριστοῦ γεγενημένας διαφόρους τῶν διῃρημένων κτισμάτων ἑνώσεις· Ἥνωσε γάρ τόν ἄνθρωπον, τήν κατά τό ἄῤῥεν καί θῆλυ διαφοράν τῷ πνεύματι μυστικῶς ἀφελόμενος, καί τῶν ἐν τοῖς πάθεσιν ἰδιωμάτων καταστήσας ἐπ᾽ ἀμφοῖς ἐλεύθερον τόν λόγον τῆς φύσεως. Ἥνωσεν δέ καί τήν γῆν τήν κατά τόν αἰσθητόν παράδεισον καί τήν οἰκουμένην διώσας ἐξαλλαγήν. Ἥνωσεν καί τήν γῆν καί τόν οὐρανόν, μίαν ἀποδείξας πρός ἑαυτήν νεύουσαν τήν φύσιν τῶν αἰσθητῶν. Ἥνωσεν δέ καί τά αἰσθητά καί νοητά, καί μίαν ἀπέδειξεν οὖσαν τήν τῶν γεγονότων φύσιν, κατά τινα λόγον μυστικόν

συναπτομένην. Ἥνωσεν δέ κατά τόν ὑπέρ φύσιν λόγον καί τρόπον, καί τήν κτιστήν φύσιν τῇ ἀκτίστῳ· καί ἐφ᾽ ἑκάστης ἑνώσεως, ἤγουν γωνίας, τούς συνεκτικούς τε καί συνδετικούς τῶν θείων δογμάτων ὀχυρώσας, ᾠκοδόμησεν πύργους.

Καί ᾠκοδόμησεν πύργους ἐν τῇ ἐρήμῳ. Ἔρημός ἐστιν ἡ τῶν φαινομένων φύσις, ἤγουν ὁ κόσμος οὗτος· ἐν ᾧ πύργους οἰκοδομεῖν πέφυκεν Λόγος, τάς εὐσεβεῖς περί τῶν ὄντων δόξας τοῖς αἰτοῦσι δωρούμενος· τουτέστι τούς τῶν περί τῆς φυσικῆς θεωρίας δογμάτων ὀρθούς ἐν πνεύματι λόγους.

Καί ἐλατόμησε λάκκους πολλούς, ὅτι κτήνη πολλά ὑπῆρχε αὐτῷ ἐν Σεφιλᾷ, καί ἐν τῇ πεδεινῇ· καί ἀμπελουργοί ἐν τῇ ὀρεινῇ, καί ἐν τῷ Καρμήλῳ, ὅτι γεωργός ἦν. Λάκκους ἐλατόμησεν ἐν τῇ ἐρήμῳ· λέγω δέ τῷ κόσμῳ, καί τῇ φύσει τῶν ἀνθρώπων, τάς τῶν ἀξίων καρδίας ἐκχοΐζων, καί ἀποκαθαίρων τοῦ ὑλικοῦ βάρους τε καί φρονήματος, καί ποιῶν εὐρυχώρους πρός ὑποδοχήν τῶν θείων τῆς σοφίας καί τῆς γνώσεως ὑετῶν, ἵνα ποτίζωσιν τά κτήνη τοῦ Χριστοῦ, τούς δεομένους λέγω, διά ψυχῆς νηπιότητα, τῆς ἠθικῆς διδασκαλίας.

Τά τε ἐν Σεφιλᾷ κτήνη. Σεφιλά ἑρμηνεύεται λεκάνη στενή· δηλοῖ δέ, τούς διά τῶν ἀκουσίων καθαιρομένους πειρασμῶν, καί λευκαινομένους τῶν κατά ψυχήν καί σῶμα μολυσμῶν· δεομένους ποτισθῆναι καθάπερ ὕδωρ τόν περί καρτερίας καί ὑπομονῆς λόγον.

Καί ἐν τῇ πεδεινῇ. Τούς τῷ πλάτει δῆλον ὅτι (437) τῶν δεξιῶν πραγμάτων κατά ῥοῦν αὐτοῖς φερομένων εὐθηνουμένους· ἤ τούς ἐν ἀρεταῖς εὐδρομοῦντας, καί τῇ ὁδῷ, τῷ νόμῳ, τῶν ἐντολῶν ἀπαθῶς πλατυνουμένους· δεομένους καί αὐτούς ποτισθῆναι τόν περί ταπεινοφροσύνης, μεταδόσεώς τε καί συμπαθείας τῶν ἀσθενεστέρων, καί τῆς τῶν δοθέντων αὐτοῖς εὐχαριστίας λόγον.

Καί ἀμπελουργοί μέν εἰσιν ἐν τῇ ὀρεινῇ, οἱ τόν θεῖον καί ἐκστατικόν τῆς γνώσεως, καί τῆς καρδίας εὐφραντικόν ἐν τῷ ὕψει τῆς θεωρίας φιλοπονοῦντες λόγον. Οἱ δέ ἐν τῷ Καρμήλῳ ἀμπελουργοί τυγχάνουσιν, οἱ κατά θεωρίαν ὑψηλῶς τόν περί τῆς τελείας καθάρσεως, καί τῆς τῶν ὄντων παντελοῦς ἀφαιρέσεως ἀσκούμενοι λόγον· ἐπίγνωσις γάρ περιτομῆς ὁ Κάρμηλος ἑρμηνεύεται ἐφ᾽ ὅν ὁ γεωργῶν ἄμπελον, τόν τῆς περιτομῆς μυστικόν λόγον γεωργεῖ, κατ᾽ ἐπίγνωσιν τόν νοῦν περιτέμνων τῆς ὕλης, καί τῶν ὑλικῶν· ἀλλ᾽ οὐκ Ἰουδαϊκῶς τήν αἰσχύνην δόξαν ἡγούμενος. Χρῄζειν δέ καί τούτους φησίν ὁ λόγος, τοῦ ἐκ τῶν λατομηθέντων ἐν τῇ ἐρήμῳ λάκκων, θείου

τῆς σοφίας νάματος· ἵνα κατά τήν ἀναλογίαν τῆς πίστεως, ἕκαστος τόν ἐπιτήδειον δέχηται λόγον ἐκ τῶν πεπιστευμένων, τήν χάριν τῆς τοῦ σωτηρίου λόγου διδασκαλίας· δι᾿ οὗ μεγαλοφυῶς τῆς τοῦ καθ᾿ ἕκαστον ἐπιμελεῖται ψυχῆς ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, ὁ καλός καί ἐπιστήμων γεωργός καί ὤν, καί ἀεί γινόμενος, καί πάντα τά προειρημένα τῆς ἡμῶν ἕνεκεν σωτηρίας διαπραξάμενος.

Οὕτως μέν οὖν ἐπιτόμως ἡμῖν καθ᾿ ἕνα τρόπον τεθεωρήσθω τά προτεθέντα, τόν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν ὑφηγούμενα· καθ᾿ ἕτερον δέ τρόπον, καί εἰς τόν καθ᾿ ἕκαστον νοῦν θεωρούμενα, πλείστην ἔχει δύναμιν πρός ἀπαρτισμόν τελειότητος, τῶν τῷ φόβῳ καί τῇ ἀγάπῃ τοῦ Κυρίου πεφρουρισμένων. Πρίν δέ τῆς αὐτῶν ἅψασθαι θεωρίας, ἀπορῶ θαυμάζων, πῶς ἠδύνατο τῆς Ἰουδαίας ὑπάρχων βασιλεύς ὁ Ὀζίας κατά τήν ἱστοράν, ἔχειν ἀμπελουργούς ἐν τῷ καρμήλῳ, μή ὄντι ὑπό τήν βασιλείαν Ἰούδα· ἀλλά τῇ τοῦ Ἰσραήλ ὑποκειμένῳ βασιλείᾳ· ἐφ᾿ οὗ καί ἡ πόλις αὐτή τῆς τοῦ Ἰσραήλ βασιλείας σχεδόν ᾠκοδόμητο. Ἀλλ᾿, ὡς ἔοικε, τό νωθρόν ἡμῶν τῆς διανοίας πρός ἔρευναν τῆς ἀληθείας (410) διεγείρων ὁ λόγος, τό μηδαμῶς ὑπάρχον τῷ τῆς ἱστορίας ὕφει παρέμιξεν.

Ὀζίας τοίνυν ἐστίν ὁ περί πρᾶξιν καί θεωρίαν τήν θείαν ἰσχύν κεκτημένος νοῦς· ἰσχύς γάρ Θεοῦ, καθώς ἔφην, ἑρμηνεύεται. Καί ἦν, φησίν, Ὀζίας ἐκζητῶν τόν Κύριον ἐν ταῖς ἡμέραις Ζαχαρίου τοῦ συνιέντος ἐν φόβῳ Κυρίου. Ζαχαρίας ἑρμηνεύεται μνήμη Θεοῦ. Οὐκοῦν ὁ νοῦς ἐφ᾿ ὅσον ἔχει ζῶσαν ἐν ἑαυτῷ τήν τοῦ Θεοῦ μνήμην, διά τῆς θεωρίας ἐκζητεῖ τόν Κύριον· καί οὐχ ἁπλῶς, ἀλλ᾿ ἐν φόβῳ Κυρίου· τουτέστιν, ἐν τῇ πράξει τῶν ἐντολῶν. Ὁ γάρ ἐκζητῶν διά θεωρίας τόν Κύριον χωρίς πράξεως, οὐχ εὑρίσκει τόν Κύριον, ὅτι οὐκ ἐν φόβῳ Κυρίου τόν Κύριον ἐζήτησε.

Καί εὐώδωσεν αὐτῷ ὁ Κύριος. Παντί γάρ τῷ μετά γνώσεως πράττοντι, εὐοδοῖ ὁ Κύριος· τούς τε τῶν ἐντολῶν διδάσκων τρόπους, καί τούς τῶν ὄντων ἀληθεῖς λόγους ἀποκαλύπτων.

Καί ᾠκοδόμησεν Ὀζίας πύργους ἐν Ἱερουσαλήμ. Ὁ καλῶς εὐοδούμενος ἐπί τήν διά θεωρίας ἐκζήτησιν τοῦ Κυρίου, μετά τοῦ ἐπιβεβλημένου φόβου, τουτέστι τῆς τῶν ἐντολῶν πράξεως, οἰκοδομεῖ πύργους ἐν Ἱερουσαλήμ· κατά τήν ἁπλῆν δηλαδή καί ἠρεμαίαν τῆς ψυχῆς κατάστασιν, τούς περί Θεότητος ἀνυψῶν λόγους.

Καί ἐπί τήν πύλην τῆς γωνίας. Πύλη τῆς γωνίας (ἤγουν τῆς ἐκκλησιαστικῆς πίστεως), ἡ εὐσεβής πολιτεία, δι᾿ ἧς εἰς τήν τῶν

ἀγαθῶν εἰσαγόμεθα κληρονομίαν· ἐφ᾽ ἧς καθάπερ πύργους, ἰσχυρούς τε καί γενναίους, ὁ γνωστικός νοῦς τά ὀχυρώματα τῶν περί σαρκώσεως δογμάτων οἰκοδομεῖ, ὡς ἐκ λίθων τινῶν τῶν διαφόρων νοημάτων συγκείμενα· καί τούς τρόπους τῶν ἀρετῶν, εἰς τήν φυλακήν τοῦ ἔργου τῶν ἐντολῶν.

Καί ἐπί τήν γωνίαν τῆς φάραγγος. Φάραγξ ἐστίν ἡ σάρξ· γωνία δέ ταύτης, ἡ πρός τήν ψυχήν διά τοῦ νόμου τῶν ἐντολῶν ἐστιν ἕνωσις· ἐφ᾽ ἧς καθάπερ πύργον οἰκοδομεῖ, τήν κατά τόν νόμον τοῦ πνεύματος ὑποτάσσουσαν τῇ ψυχῇ τήν σάρκα, διάγνωσιν.

Καί ἐπί τῶν γωνιῶν. Πολλάς φησιν εἶναι τάς γωνίας, ἐφ᾽ ὧν ᾠκοδομηκέναι λέγεται τούς πύργους, ὁ κατά Θεόν ἰσχυρότατος νοῦς. Γωνία ἐστίν, οὐ μόνον ἐπί τῆς αὐτῆς φύσεως ἡ τῶν μερικῶν πρός τά καθ᾽ ὅλου κατά τόν αὐτόν τοῦ εἶναι λόγον ἕνωσις· ὡς φέρε εἰπεῖν, πρός τά εἴδη τά ὑπ᾽ αὐτά ἄτομα, καί πρός τά γένη τά εἴδη· καί πρός τήν οὐσίαν τά γένη, μοναδικῶς κατά τό πέρας τῶν ἄκρων ἀλλήλοις συναπτομένων· ἐφ᾽ ὧν οἱ καθ᾽ ὅλου τῶν μερικῶν προφανέντες λόγοι, ποιοῦνται καθάπερ γωνίας, τάς πολλάς καί διαφόρους τῶν διῃρημένων ἑνώσεις· ἀλλά καί νοῦ πρός αἴσθησιν, καί οὐρανοῦ πρός γῆν· καί αἰσθητῶν πρός νοητά, καί φύσεως πρός λόγον· ἐφ᾽ ὧν ἁπάντων κατά τήν οἰκείαν ἐπιστήμην τάς ἀληθεῖς ἐφ᾽ ἑκάστῳ δόξας πηξάμενος ὁ θεωρητικός νοῦς, ἐπί τῶν γωνιῶν σοφῶς οἰκοδομεῖ τούς νοητούς πύργους· τουτέστιν, ἐπί τῶν ἑνώσεων τά συνδετικά τῶν ἑνώσεων δόγματα.

(411) Καί κατίσχυσε, καί ᾠκοδόμησε πύργους ἐν τῇ ἐρήμῳ· καί ἐλατόμησε λάκκους πολλούς· ὁ τῶν παθῶν ἐξηλῶσαι δυνηθείς τάς αἰσθήσεις, καί τῆς τῶν αἰσθήσεων σχέσεως τήν ψυχήν ἀποδιαστείλας, κατίσχυσεν ἀποτειχίσαι τήν γενομένην τοῦ διαβόλου πρός τόν νοῦν διά μέσων τῶν αἰσθήσεων εἴσοδον· καί διά τοῦτο κατά τήν ἔρημον, φημί δή τήν φυσικήν θεωρίαν, οἷον πύργους ἀσφαλεῖς τάς εὐσεβεῖς περί τῶν ὄντων ᾠκοδόμησε δόξας· ἐν αἷς ὁ καταφεύγων, οὐ φοβεῖται τούς κατά τήν ἔρημον ταύτην, λέγω δέ τήν φύσιν τῶν ὁρωμένων, ληστεύοντας δαίμονας, καί πλανῶντας τόν νοῦν διά τῆς αἰσθήσεως, καί πρός ἀγνοίας κατασύροντας ζόφον.

Καί ἐλατόμησε λάκκους πολλούς· τάς διαφόρους δηλαδή τῶν κρειττόνων ἕξεις, τάς δεκτικάς τῶν θεόθεν χορηγουμένων κατά τήν γνῶσιν μαθημάτων. Ὅτι κτήνη πολλά ὑπῆρχεν αὐτῷ ἐν Σεφιλᾷ, καί ἐν τῇ πεδεινῇ· καί ἀμπελουργοί ἐν τῇ ὀρεινῇ, καί ἐν τῷ Καρμήλῳ, ὅτι

γεωργός ἦν. Ὁ διά τῶν ὅπλων τῶν δεξιῶν καί ἀριστερῶν νομίμως ὑπέρ ἀληθείας ἀθλῶν, ἐκ τῶν περί τήν ἀρετήν καί τήν γνῶσιν διαφόρων ἕξεων, ὡς ἐκ λατομητῶν λάκκων, τά ἐν Σεφιλᾷ κτήνη, τουτέστι, τά διά τῆς τῶν ἀκουσίων πειρασμῶν γυμναζόμενα πείρας, περί τό σῶμα τῆς ψυχῆς κινήματα, πρός ὑπομονήν ὑπαλείφει, ποτίζων τούς περί καρτερίας λόγους· τά δέ ἐν τῇ πεδινῇ, τουτέστι, τά διά τῶν δεξιῶν εὐθηνούμενα, τῷ πλάτει τῶν ἀρετῶν τῆς ψυχῆς κινήματα, τούς περί ταπεινοφροσύνης καί μετριοπαθείας ποτίζει λόγους, πρός τό, μήτε τοῖς ἀριστεροῖς καταπεσεῖν, μήτε τοῖς δεξιοῖς ἐπαρθῆναι.

Καί ἀμπελουργούς ἐν τῇ ὀρεινῇ, καί ἐν τῷ Καρμήλῳ. Ἀμπελουργοί εἰσιν ἐν τῇ ὀρεινῇ, οἱ κατά τό ὕψος μένοντες τῆς θεωρίας, καί τήν ἐκστατικήν καί ἀπόῤῥητον φιλοκαλοῦντες γνῶσιν εὐσεβεῖς λογισμοί. Καί ἐν τῷ Καρμήλῳ, οἱ τόν περί τελείας ἀπαθείας τε καί καθάρσεως διά τῆς τῶν ἁπάντων ὡς ἀκροβυστίας τινός τῷ γονίμῳ τῆς ψυχῆς πειρικειμένης ἀφαιρέσεως γεωργοῦντες λόγον, λογισμοί, καί οἷον γνωστικῶς περιτέμνοντες παντελῶς τοῦ νοῦ τήν σχέσιν τῶν ὑλικῶν. Ἐπίγνωσις γάρ περιτομῆς ὁ Κάρμηλός ἐστι.

Γεωργόν δέ φησιν εἶναι τόν Ὀζίαν, ὅτι πᾶς νοῦς ἰσχύν Θεοῦ πρός θεωρίαν ἔχων, καί ἀληθής ἐστι γεωργός, καθαρά ζιζανίων διά τῆς οἰκείας σπουδῆς καί ἐπιμελείας, τά θεῖα τῶν ἀγαθῶν διαφυλάττων σπέρματα· μέχρις οὗ συντηροῦσαν αὐτόν ἔχῃ τοῦ Θεοῦ τήν μνήμην. Φησί γάρ· Καί ἦν ἐκζητῶν τόν Κύριον ἐν ταῖς ἡμέραις Ζαχαρίου ἐν φόβῳ Κυρίου. Ζαχαρίαν δέ μνήμην Θεοῦ, πρός τήν Ἑλλάδα φωνήν μεταφερόμενον οἶδεν ὁ λόγος. Διό πάντοθεν δεηθῶμεν τοῦ Κυρίου, τήν σωτήριον αὐτοῦ ἡμῖν φυλαχθῆναι μνήμην, ἵνα μή διαφθείρῃ τήν ψυχήν τό κατορθούμενον, πρός ὕψος ἀρθεῖσαν, καί τῶν ὑπέρ φύσιν ὡς Ὀζίας κατατολμήσασαν.

ΣΧΟΛΙΑ.

*α'*. Σκηνήν λέγει θαυμαστήν τήν ἐξ ἡμῶν ἁγίαν τοῦ (444) Θεοῦ σάρκα, ὡς δίχα σπορᾶς ἐν αὐτῷ τό εἶναι λαβοῦσαν· οἶκον δέ, τήν νοεράν ψυχήν. Σάρκα γάρ νοερῶς ἐμψυχωμένην ἀῤῥήτως ἥνωσεν ἑαυτῷ γενόμενος ἄνθρωπος ὁ Λόγος τῷ ὁμοίῳ τό ὅμοιον ἀνακαθαίρων. Τόπος δέ, αὐτός ἐστιν ὁ Λόγος ὁ καθ᾽ ὑπόστασιν ἀτρέπτως ἐν ἑαυτῷ τήν φύσιν πηξάμενος. Πρός ταύτην οὖν τήν σκηνήν σάρκα διερχόμεθα, τήν ἡμετέραν διά τῶν ἀρετῶν ἁγιάζοντες σάρκα, δι᾽ ὧν σύμμορφος πέφυκεν γίνεσθαι τῷ σώματι τῆς δόξης

αὐτοῦ κατά τήν χάριν τοῦ Πνεύματος· καί ἔσω τοῦ οἴκου τοῦ Θεοῦ, τῆς ἀμιγοῦς θεωρίας, κατά τήν ἁπλῆν καί ἀδιαίρετον γνῶσιν, πρός αὐτήν ἀφικνούμενοι τήν νοεράν τοῦ Κυρίου ψυχήν· ἵνα καί ἡμεῖς νοῦν Χριστοῦ κατά τόν Ἀπόστολον τῇ μεθέξει τοῦ Πνεύματος ἔχωμεν, γινόμενοι κατά χάριν δι᾿ αὐτόν ὅσαπερ αὐτός φύσει κατ᾿ οἰκονομίαν γέγονεν δι᾿ ἡμᾶς.

β'. Τόν ἀκρογωνιαῖον λίθον σύνδεσμον κέκληκεν τῆς γωνίας, ἤγουν Ἐκκλησίας.

γ'. Πύλην γωνίας τήν σάρκωσιν λέγει, πύλην οὖσαν τῆς Ἐκκλησίας· πύργους δέ, τά ὀρθά περί τῆς σαρκώσεως δόγματα.

δ'. Φάραγγος γωνίαν εἶπεν, τήν πρός τήν ψυχήν κατά φύσιν ἕνωσιν τῆς σαρκός· τήν τε κατά πνεῦμα πρός αὐτήν ψυχῆς ὡς ἀρετῆς ὑπουργόν συνάφειαν.

ε'. Γωνίας ἁπλῶς λέγει, τάς τῶν ὄντων διαφόρους ἑνώσεις· ἤγουν τάς τῶν διαφόρων γενικωτέρων φύσεων πρός ἀλλήλας εἰς μίαν σύννευσιν ἑνώσεις.

στ'. Ὅτι πᾶσα ἕνωσις τῶν εἰρημένων κτισμάτων, λόγον ἔχει σοφίας, καθ᾿ ὅν γίνεται· οὕστινας πύργους γωνιῶν εἶπεν ὁ λόγος. Ὀχύρωμα γάρ καί πύργωσίς ἐστιν ἑκάστου τῶν ὄντων, ὅ τε κατ᾿ οὐσίαν τῆς ἐπ᾿ αὐτῷ γνώσεως, καί ὁ πρός ἄλληλα πάντων συνδετικός εἰς μίαν σύννευσιν λόγος.

ζ'. Λάκκους ἐκάλεσεν, τάς δεκτικάς τῶν οὐρανίων χαρισμάτων τῆς ἁγίας γνώσεως καρδίας, λατομουμένας τῷ στεῤῥῷ λόγῳ τῶν ἐντολῶν· καί ἀποβαλλομένας καθάπερ πωρώματα τήν τε πρός τά πάθη φιλίαν, καί τήν πρός τά αἰσθητά τῆς φύσεως σχέσιν· καί πληρουμένας τῆς ἄνωθεν φερομένης ῥυπτικῆς τε τῶν παθῶν, καί ζωοποιητικῆς τῶν ἀρετῶν ἐν πνεύματι γνώσεως.

η'. Τά κτήνη τῆς Σεφιλά, τουτέστιν ἠθικήν παιδευομένους διά πολλῶν θλίψεων φιλοσοφίαν, δεομένους τήν ὑπομονήν διδασκόντων Λόγων φησίν.

θ'. Τά κτήνη τῆς πεδεινῆς φησιν, τούς εὐδρομοῦντας ἐν ἀρεταῖς, καί ἀπαθεῖς τοῦ χείρονος διαμένοντας, δεομένους τῶν περί εὐχαριστίαν λόγων τε καί διδαγμάτων.

ι'. Τήν ἁπλῶς ὀρεινήν λέγει, τήν ὑψηλόν ἐν πνεύματι θεωρίαν τῆς φύσεως, ἥν γεωργοῦσιν οἱ τῶν αἰσθητῶν ἀπογενόμενοι φαντασιῶν, καί πρός τούς διά μέσων τῶν ἀρετῶν διαβάντες λόγους.

ια'. Κάρμηλος μέν ἐστι τό ὕψος τῆς κατά τήν (445) περιτομήν ἐπιγνώσεως. Περιτομή δέ καθέστηκεν, ἥ τε τῆς κατά φύσιν πρός γένεσιν ἀφαίρεσις διαθέσεως, ἥ τε τῆς τοῦ νοῦ πρός τά ὄντα κατά διάθεσιν σχέσεως ἀπογένεσις. Ταύτης δέ προδήλως ἄμπελός ἐστι τῆς καταστάσεως, ὁ τήν σώφρονα διδούς ἔκστασιν τῆς Προνοίας λόγος· ὅν γεωργοῦσιν οἱ περί μόνην τήν ἁπλῆν καί ἄναρχον μονάδα κινούμενοι ἄνδρες καί λογισμοί. Ὁ γάρ πρός μόνην ταύτην κινούμενος, ὥσπερ ἀκροβυστίαν ἀπέτεμεν ἑαυτοῦ, τήν καλύπτουσαν τήν αἰτίαν γῆς γενέσεως τῶν ὄντων διάθεσιν.

ιβ'. Ἄλλος τῶν αὐτῶν θεωρίας τρόπος.

ιγ'. Ἀπορίας γενναία, τοῦ μή δύνασθαι κατά τόνδε τόν τόπον συμβαίνειν τήν ἱστορίαν τῶν πραγμάτων.

ιδ'. Φόβον Κυρίου κέκληκε τήν πρακτικήν φιλοσοφίαν· ἐκ τῆς ἀρχῆς τό τέλος. Ἀρχή γάρ σοφίας, φόβος Κυρίου.

ιε'. Ὁ περί θεότητος ὑψηλός λόγος, πύργος ἐστί κατά ψυχήν, ταῖς τῶν ἐντολῶν ἐνεργείαις ὠχυρωμένος.

ιστ'. Τίς ἡ πύλη τῆς γωνίας;

ιζ'. Οἱ τῶν ἐπί μέρους λόγοι φησίν, τοῖς καθ᾽ ὅλου προσχωροῦντες, τάς τῶν διῃρημένων ἑνώσεις ποιοῦνται. Διότι τῶν μερικωτέρων ἑνοειδῶς οἱ καθολικώτεροι τούς λόγους περιλαμβάνουσι· πρός οὕς φυσικῶς τήν ἀναφοράν ἔχει τά κατά μέρος.

ιη'. Ὅτι καί τούτων ἔστι τις σχετικός ἐν πνεύματι λόγος, τήν πρός ἄλληλα διδούς αὐτοῖς ἕνωσιν.

ιθ'. Σκόπει πῶς δεῖ, φησί, λαμβάνειν τό, κατίσχυσε.

κ'. Ὁ τήν εὐσεβῆ περί ἑκάστου δόξαν κτησάμενος, οὐ δέδοικε τούς διά τῶν φαινομένων τούς ἀνθρώπους πλανῶντας δαίμονας.

κα'. Ἡ ἄμπελος οἶνον ποιεῖ· ὁ οἶνος, μέθην ἡ μέθη, ἔκστασιν· οὐκοῦν καί ὁ ἐνεργής λόγος, ὅπερ ἐστίν ἡ ἄμπελος, γεωργούμενος ταῖς ἀρεταῖς, γεννᾷ τήν γνῶσιν· ἡ δέ γνῶσις, τήν καλήν ἔκστασιν, τήν τόν νοῦν τῆς κατ᾽ αἴσθησιν σχέσεως ἐξιστῶσαν.

## *ΕΡΩΤΗΣΙΣ ΜΘ'.*

***Τί ἐστι πάλιν ἐν τῇ αὐτῇ βίβλῳ· "Καί εἶδεν Ἐζεκίας ὅτι ἥκει Σενναχειρίμ, καί τό πρόσωπον αὐτοῦ τοῦ πολεμῆσαι, ἐν (Sgt. ἐπί) Ἰερουσαλήμ· καί ἐβουλεύσατο μετά πρεσβυτέρων αὐτοῦ καί δυνατῶν, ἐμφράξαι τά ὕδατα τῶν πηγῶν, ἅ ἦν ἔξω τῆς πόλεως· καί συνεπίσχυσαν αὐτῷ. Καί συνῆγε λαόν πολύν, καί ἐνέφραξε τά ὕδατα***

***τῶν πηγῶν, καί τόν ποταμόν τόν διορίζοντα διά τῆς πόλεως;" Τί θέλει ταῦτα σημαίνειν κατά θεωρίαν;***

Ἀπόκρισις.

Ὁ μετά γνώσεως τήν πρακτικήν φιλοσοφίαν νοῦς, καί πᾶσαν διάκρισιν θείαν διεζωσμένος κατά τῆς ἐναντίας δυνάμεως, Ἐζεκίας ἐστί, κατα τοὔνομα (448) αὐτοῦ κράτος θεῖον ἑρμηνευόμενος· καί διά τοῦτο βασιλεύων τῆς Ἱερουσαλήμ, ἤγουν τῆς ψυχῆς, ἡ τῆς ὁράσεως τῆς εἰρήνης· τουτέστι, τῆς παθῶν ἀπηλλαγμένης γνωστικῆς θεωρίας. Ὅς ἐπειδάν κεκινημένην ἴδῃ κατ᾽ αὐτοῦ τήν ἀντικειμένην δύναμιν, δεόντως βουλεύεται μετά τῶν πρεσβυτέρων αὐτοῦ καί δυνατῶν, ἐμφράξαι τά ὕδατα τῶν ἔξω τῆς πόλεως πηγῶν. Ἄρχοντες δέ τυγχάνουσι τοῦ τοιούτου νοός, ὁ τῆς πίστεως λόγος, καί ὁ τῆς ἐλπίδος, καί ὁ τῆς ἀγάπης, πρεσβυτικῶς δυναστεύοντες πάντων τῶν κατά ψυχήν θείων νοημάτων τε καί λογισμῶν· καί σοφῶς τῷ νῷ συμβουλεύοντες, κατά ταυτόν ὁμοῦ καί συνεπισχύοντες κατά τῆς ἐναντίας δυνάμεως, καί τούς τρόπους τῆς αὐτῆς καθαιρέσεως ὑποδεικνύντες. Χωρίς γάρ πίστεως, καί ἐλπίδος, καί ἀγάπης, οὐδέν οὔτε τῶν κακῶν καταργεῖται παντελῶς, οὔτε τῶν καλῶν κατορθοῦται τό σύνολον.

Ἡ μέν γάρ πίστις πείθει τῷ Θεῷ προσχωρεῖν τόν νοῦν πολεμούμενον, πάσης αὐτῷ γινομένη παρασκευῆς ὅπλων πνευματικῶν πρός τό θαῤῥεῖν παραμύθιον. Ἡ ἐλπίς δέ, τῆς θείας αὐτῷ καθίσταται βοηθείας ἐγγυητής ἀψευδέστατος, τήν τῶν ἐναντίων καθαίρεσιν ἐπαγγελλομένη δυνάμεων. Ἡ δέ ἀγάπη, δυσμετακίνητον· μᾶλλον δέ πάμπαν ἀκίνητον τῆς θείας στοργῆς αὐτόν εἶναι παρασκευάζει καί πολεμούμενον, προσηλοῦσα τῷ θείῳ πᾶσαν αὐτοῦ τήν τῆς φύσεως δύναμιν.

Καί συνᾴδει γε τούτοις τοῖς ῥήμασιν, ἑρμηνευόμενα τά τῶν ἀρχόντων ὀνόματα. Ἄρχοντες δέ τοῦ Ἐζεκίου κατ᾽ ἐκεῖνον ὑπῆρχον τόν χρόνον, Ἐλιακίμ ὁ τοῦ Χελκίου οἰκονόμος, καί Σομνάς ὁ γραμματεύς, καί Ἰωάχ, ὁ τοῦ Ἀσάφ ὁ ὑπομνηματογράφος [Sgt. ὁ ἀναμιμνήσκων]· ἑρμηνεύεται δέ, ὁ μέν Ἐλιακίμ, Θεοῦ ἀνάστασις· ὁ δέ πατήρ αὐτοῦ Χελκίας, μερίς Θεοῦ. Οὐκοῦν θείας μερίδος, ἤγουν γνώσεως ἀληθοῦς, υἱός πρῶτός τε καί μόνος, ὁ κατά τήν πίστιν τῆς ἐν ἡμῖν θείας ἀναστάσεώς ἐστι λόγος, μετά τῆς δεούσης κατά τήν γνῶσιν οἰκονομίας, ἤγουν διακρίσεως, καλῶς διαφέρων τάς τε τῶν ἑκουσίων καί ἀκουσίων πειρασμῶν ἐπαναστάσεις.

Σομνάς δέ ὁ γραμματεύς ἑρμηνεύεται, ἐπιστροφή· σαφῶς μηνύουσα δι᾽ ἑαυτῆς τόν πληρέστατον τῆς θείας ἐλπίδος λόγον, οὗ χωρίς, οὐδαμῶς οὐδενί καθοτιοῦν πρός Θεόν ἐπιστροφή γίνεσθαι πέφυκεν· εἴπερ ἐλπίδος ἴδιον τό γραμματεύειν, ἤγουν διδάσκειν τε καί ὑπ᾽ ὄψιν ἄγειν ὡς παρόντα τά μέλλοντα, καί μηδαμῶς ἀπεῖναι πείθειν τῶν πολεμουμένων ὑπό τῆς ἀντικειμένης δυνάμεως, τόν (449) ὑπερασπίζοντα θεόν· ὑπέρ οὗ, καί δι᾽ ὅν τοῖς ἁγίοις ὁ πόλεμος.

Ἰωάχ δέ ὁ τοῦ Ἀσάφ ὁ ὑπομνηματογράφος, ἑρμηνεύεται ἀδελφότης Θεοῦ· καί Ἀσάφ ὁ πατήρ αὐτοῦ συναγωγή. Οὐκοῦν τῆς κατά τό αὐτό περί τά θεῖα συναγωγῆς τε καί ἑνώσεως τῶν ψυχικῶν δυνάμεων, τουτέστι, τῆς λογικῆς καί θυμικῆς καί ἐπιθυμητικῆς, ἡ ἀγάπη καθέστηκε γέννημα· καθ᾽ ἥν ἐγγράγοντες τῇ μνήμῃ τό τῆς θείας ὡραιότητος κάλλος, οἱ τό ἰσότιμον ἤδη πρός Θεόν διά τῆς χάριτος κομισάμενοι· τῆς γάρ ἰσοτιμίας τήν χάριν σημαίνεται προδήλως ἡ ἀδελφότης, ἀνεπίληστον ἔχουσι, τῆς τῷ ἡγεμονικῷ τῆς ψυχῆς ὑπομνηματογραφούσης τε καί ἐντυπούσης τό ἀκήρατον κάλλος, τῆς θείας ἀγάπης τήν ἔφεσιν.

Ἐπειδή τοίνυν ταῦτα τοῦτον ἔχει τόν τρόπον, καί ποσῶς ἐκ τῆς τῶν ὀνομάτων ἑρμηνείας κατεστοχάσατο τῆς ἀληθείας ὁ λόγος· πᾶς νοῦς κατά τόν Ἐζεκίαν θείῳ κράτει διεζωσμένος, καθάπερ πρεσβυτέρους τινάς καί ἄρχοντας κέκτηται· τήν τε λογικήν δύναμιν, ἐξ ἧς ἡ γνωστική γεννᾶσθαι πέφυκε πίστις· καθ᾽ ἥν ἀεί παρόντα τόν Θεόν ἀῤῥήτως διδάσκεται· καί ὡς παροῦσι συγγίνεται διά τῆς ἐλπίδος τοῖς μέλλουσι· καί τήν ἐπιθυμητικήν δύναμιν, καθ᾽ ἥν ἡ θεία συνέστηκεν ἀγάπη· δι᾽ ἧς ἑκουσίως ἑαυτόν προσηλώσας τῷ πόθῳ τῆς ἀκηράτου θεότητος, ἄλυτον ἔχει τοῦ ποθουμένου τήν ἔφεσιν. Ἔτι μήν καί τήν θυμικήν δύναμιν, καθ᾽ ἥν ἀπρίξ τῆς θείας εἰρήνης ἀντέχεται, ἐπιστύφων πρός τόν θεῖον ἔρωτα τῆς ἐπιθυμίας τήν κίνησιν. Ταύτας δέ ἔχει τάς δυνάμεις πᾶς νοῦς συνεργούσας αὐτῷ, πρός τε τήν τῆς κακίας καθαίρεσιν καί τήν τῆς ἀρετῆς σύστασίν τε καί συντήρησιν· ὡς μέν πρεσβυτέρους, ὅτι πρῶται τῆς ψυχῆς καί συμπληρωτικαί τῆς αὐτῆς οὐσίας δυνάμεις ὑπάρχουσιν· ὡς ἄρχοντας δέ, ὅτι καί τῶν ἐξ αὐτῶν κινημάτων ἔχουσι τήν ἀρχήν, καί τῶν ὑφ᾽ αὐτάς ἐνεργημάτων βουλήσει τοῦ κινοῦντος νοός τήν ἐξουσίαν. Αὗται, καί συμβουλεύουσιν αὐτῷ, καί συνεπισχύουσιν, ἵνα ἐμφράξῃ καί ὕδατα τῶν πηγῶν, ἅ ἦν ἔξω τῆς πόλεως· μᾶλλον δέ κυριώτερον εἰπεῖν,

ὑπάρχουσιν. Ἀεί γάρ τό διά τῆς ἱστορίας παρελθόν, ὡς παρόν μυστικῶς διά τῆς θεωρίας ἐνέστηκε.

Ταύτας ἔχων ὑγιεῖς κα ἀνεξαπατήτους, συνάγει τόν πολύν λαόν, τά ἐξ αὐτῶν εὐδεβῆ δῆλον ὅτι κατά φύσιν κινήματά τε καί διανοήματα. Ὕδατα δέ τά ἔξω τῆς πόλεως, τουτέστι τῆς ψυχῆς, τά ποιοῦντα τόν ποταμόν τόν διορίζοντα διά μέσου τῆς πόλεως, εἰσί τά κατά τήν φυσικήν θεωρίαν δι᾽ ἑκάστης αἰσθήσεως ἐκ τοῦ κατ᾽ αυτήν αἰσθητοῦ παραπεμπόμενά τε καί εἰσρέοντα τῇ ψυχῇ νοήματα· ἐξ ὧν ὁ διερχόμενος ὡς πόλιν τήν ψυχήν, τῆς τῶν αἰσθητῶν ἐσπιστήμης ποταμοῦ δίκην· ἀποτελεῖται λόγος· ὅν ἕως ἔχῃ διερχόμενον αὐτήν ἡ ψυχή, οὐκ ἀποβάλλεται τάς τῶν αἰσθητῶν εἰκόνας τε καί φαντασίας· δι᾽ ὧν ἐφισταμένη πολεμεῖν αὐτήν πέφυκεν ἡ πονηρά καί ὀλέθριος δύναμις.

(452) Διό φησιν Ἐζεκίας· Μή ἔλθῃ βασιλεύς Ἀσσούρ, καί εὕρῃ ὕδωρ πολύ, καί κατισχύσῃ· ὡσανεί ἔλεγε ὁ διαγνωστικός νοῦς ταῖς ἑαυτοῦ δυνάμεσιν ἐν τῷ καιρῷ τῆς τῶν παθῶν ἐπαναστάσεως. Παυσώμεθα τῆς φυσικῆς θεωρίας, καί μόνῃ προσχωρήσωμεν τῇ προσευχῇ, καί τῇ κατά τήν πρακτικήν φιλοσοφίαν κακοπαθείᾳ τοῦ σώματος· ὧν, τῆς μέν προσευχῆς, ἡ εἰς τόν ναόν τοῦ Θεοῦ ἄνοδος τοῦ βασιλέως ἔφερε τύπον· τῆς δέ σωματικῆς κακοπαθείας, ἡ τοῦ σάκκου περιβολή· μήπως τοῖς τῶν αἰσθητῶν νοήμασι, συνεισκαλεῖ κακούργως λαθών ὁ πονηρός, τά τῶν αἰσθητῶν εἴδη καί σχήματα· δι᾽ ὧν πέφυκε τά πάθη δημιουργεῖσθαι περί τάς ἐπιφανείας τῶν ὁρατῶν, στάσιν λαμβανούσης διά τῆς μέσης αἰσθήσεως τῆς πρός τά νοητά διαβάσεως, τῆς ἐν ἡμῖν λογικῆς ἐνεργείας, καί κατισχύσῃ πορθῆσαι τήν πόλιν, τουτέστιν, τήν ψυχήν· καί εἰς Βαβυλῶνα, λέγω δέ τήν παθῶν σύγχυσιν, κατασύρῃ.

Ὁ τοίνυν ἐν καιρῷ τῆς τῶν παθῶν ἐπαναστάσεως γενναίως μύσας τάς αἰσθήσεις, καί τήν τῶν αἰσθητῶν φαντασίαν τε καί μνήμην παντελῶς ἀπωσάμενος, καί συστείλας πάντῃ τάς τοῦ νοῦ περί τήν τῶν ἐκτός ἔρευναν φυσικάς κινήσεις, κατά τόν Ἐζεκίαν ἐνέφραξε τά ὕδατα τῶν πηγῶν ἅ ἐστιν ἔξω τῆς πόλεως· καί τόν διορίζοντα διά μέσου τῆς πόλεως ποταμόν διέκοψε, συνεπισχυσασῶν αὐτῷ τῶν εἰρημένων δυνάμεων· καί τοῦ συναχθέντος λαοῦ πολλοῦ, φημί δή τῶν καθ᾽ ἑκάστην δύναμιν εὐσεβῶν λογισμῶν, καί κατήσχυνε νικήσας διά τῆς θείας χειρός, τήν ἐπαναστᾶσαν αὐτῷ πονηράν καί τυραννικήν δυναστείαν· διά τοῦ θείου προστάγματος, ὡς δι᾽ ἀγγέλου τινός, τοῦ

διαφθείρειν τά πάθη πεφυκότος λόγου, ἀποκτείνας τάς ἑκατόν καί ὀγδοήκοντα καί πέντε χιλιάδας· τουτέστι, τήν ποιητικήν τῆς κακίας ἕξιν, τήν παραλόγως ταῖς τρισί τῆς ψυχῆς διά τῶν αἰσθητῶν ἐπιφυομένην δυνάμεσι, καί τήν ἐπ᾽ αὐταῖς ἐνέργειαν τῶν αἰσθήσεων.

Χρή τοιγαροῦν μήτε φυσικήν μετιέναι θεωρίαν, τόν γνωστικῶς τάς ἀοράτους συμπλοκάς ὑπαναλίσκειν ἐσπιστάμενον νοῦν· μηδ᾽ ἄλλο τι ποιεῖν ἐν τῷ καιρῷ τῆς τῶν πονηρῶν δαιμόνων προσβολῆς, ἤ μόνον προεύχεσθαι, καί τό σῶμα πόνοις καταδαμάζειν, καί τήν τοῦ χοϊκοῦ φρονήματος διά πάσης σπουδῆς ποιεῖσθαι καθαίρεσιν, καί φυλάττειν τά τείχη τῆς πόλεως (λέγω δέ τάς φρουρητικάς τῆς ψυχῆς ἀρετάς, ἤ τάς τῶν ἀρετῶν φυλακτικάς μεθόδους, ἐγκράτειαν λέγω καί ὑπομονήν) διά τῶν ἐμφύτων ἀγαθῶν λογισμῶν· μηδενός τό σύνολον λογισμοῦ ἀντιῤῥητικῶς τινι τῶν ἐκτός νοητῶν πολεμίων ἀποκρινομένου· μήπως διά τῶν δεξιῶν ἀπατήσας, ἀποστήσῃ Θεοῦ, κλέψας τήν ἔφεσιν, ὁ τήν ψυχήν ποτίζων ἀνατροπήν θολεράν [Argent. etc. δολεράν], καί διά τῶν νομιζομένων καλῶν, πρός τά χείρονα τήν τά καλά ζητοῦσαν ὑποσύρῃ διάνοιαν, λαλῶν Ἰουδαϊστί Ῥαψάκης ὁ ἀρχιστράτηγος Σενναχειρίμ βασιλέως (453) Ἀσσούρ. Ῥαψάκης δέ ἑρμηνεύεται, πολύς ποτισμῷ μετά φιλημάτων, ἤ, μεγάλα ἔχων φιλήματα. Ὁ πονηρός γάρ δαίμων, ὁ διά τῶν δεξιῶν τόν νοῦν εἰωθώς πολεμεῖν, Ἰουδαϊστί λαλεῖ, διά τῆς νομιζομένης, ἀλλ᾽ οὐκ οὔσης ἀρετῆς, τήν θολεράν ἀνατροπήν τήν ψυχήν ποτίζων· δεικνύς αὐτῇ τήν ἠπατημένην καί ὀλέθριον φιλίαν· ἧς τοῦ πλήττοντος μᾶλλον φίλου καθέστηκε τά τραύματα κρείττονα. Φησί γάρ· Ἀξιοπιστότερα τραύματα φίλου ὑπέρ φιλήματα ἐχθροῦ. Σεναχειρίμ δέ, πειρασμός ξηρασίας ἑρμηνεύεται, ἤ, ὀδόντες ἠκονημένοι, ὅς ἐστιν ὁ διάβολος, ὁ κατ᾽ ἀλήθειαν διά τῶν πρός κακίαν ἠκονημένων λογισμῶν (τοῦτο γάρ μοι νοεῖται ὀδόντες ἠκονημένοι) τήν ἐν ἡμῖν τῶν θείων ναμάτων τῆς γνώσεως καταξηραίνων ἀποῤῥοήν, κατά τήν ἐνέργειαν ἥν πέφυκε τοῖς αὐτήν παραδεχομένοις ἐμποιεῖν, λαχών τήν κλῆσιν τοῦ ὀνόματος πρόσφορον· πειρασμός ὄντως ξηρασίας καί ὤν καί καλούμενος, ὡς ἐρήμους καθιστῶν πάσης τῆς ἐν πνεύματι ζωτικῆς διαδόσεως τούς ὑποπεσόντας τοῖς δόλοις αὐτοῦ.

Ἤ τυχόν πειρασμός κέκληται ξηρασίας ὁ Σενναχειρίμ, τουτέστιν ὁ διάβολος, ὡς ἄπορος καί πένης, καί πάσης ἐστερημένος πρός τήν καθ᾽ ἡμῶν ἐπανάστασιν ἰδικῆς δυναστείας· καί χωρίς τῶν αἰσθητῶν, δι᾽ ὧν εἴωθε τήν ψυχήν πολεμεῖν, οὐδέν ἡμᾶς βλάψαι δυνάμενος, καί διά

τοῦτι δεόμενος τῆς καθ᾽ ἡμῶν περινενοημένης τυραννίδος, τῶν ἔξω τῆς πόλεως πηγῶν, τουτέστι, τῶν ὑλικῶν νοημάτων, οἷς πέφυκεν εἰσβάλλειν τῇ ψυχῇ τά σχήματα καί τά εἴδη τῶν αἰσθητῶν· δι᾽ ὧν τυπουμένη φυσικῶς διά τήν σχέσιν ἡ αἴσθησις, πολλάκις γίνεται τῷ διαβόλῳ πρός καθαίρεσιν τῆς κατά ψυχήν θείας εὐπρεπείας ὅπλον πονηρόν καί ὀλέθριον, ὅλην προδιδοῦσα τῷ ἐχθρῷ, διά τῆς καθ᾽ ἡδονήν θωπείας, τοῦ ἐν ἡμῖν λόγου τήν δύναμιν.

Ἀλλ᾽ ὁ γενναίως διά τῆς λεγομένης ἐγκρατείας μύσας τάς αἰσθήσεις, καί διά τῶν κατά ψυχήν δυνάμεων τάς πρός τόν νοῦν αἰσθητῶν σχημάτων ἀποτειχίσας εἰσόδους, εὐχερῶς τοῦ διαβόλου τάς πονηράς διόλλυσι μηχανάς, ὑποστρέφων αὐτόν μετ᾽ αἰσχύνης τῇ ὁδῷ ᾗ ἦλθεν. Ὁδός δέ δι᾽ ἧς ὁ διάβολος ἔρχεται, ἐστί τά πρός σύστασιν τοῦ σώματος εἶναι δοκοῦντα ὑλικά, εἰς τήν ἑαυτοῦ γῆν, φημί δέ τήν σύγχυσιν, σύν τοῖς ἐξ αὐτοῦ γεννηθεῖσι πονηρούς λογισμοῖς αὐτόν ἀποκτένων, μεταφέρων αὐτοῖς πρός τήν παράθεσιν τῆς ἀναπαύσεως. Ὁ γάρ δυνηθείς τόν διάβολον τοῖς αὐτοῦ χειρώσασθαι λογισμοῖς, διά τῆς πρός τό κρεῖττον κατά τήν θεωρίαν συγχρήσεως, τόν Σενναχειρίμ ἀπέκτεινε διά τῶν αὐτοῦ υἱῶν, καί πρός τήν γῆν αὐτοῦ ἐφυγάδευσεν Ἀρμενίας· καταθέμενος δηλονότι πρός τήν παράθεσιν τῆς ἀναπαύσεως, τούς τήν ψυχήν διά τῆς αἰσθήσεως συγχέοντας λογισμούς. Παράθεσις γάρ ἀναπαύσεως Ἀρμενία ἑρμηνεύεται. Παράθεσις δέ τῆς ἀναπαύσεώς ἐστιν ἡ προσβολή τῶν θείων ἀρετῶν, (456) πρός ὅν μεταφέρων ὁ νοῦς ποτε πρός τά κατ᾽ αἴσθησιν πάθη τῆς ἀτιμίας αὐτόν ὑποστρέφοντας λογισμούς, ἀποκτείνει τόν ἐπ᾽ ὀλέθρῳ τῆς ἀνθρωπίνης φύσεως τούτους γεννῶντα διάβολον.

Καλῶς οὖν καί πάνυ σοφῶς κατά νοούμενον τῆς Γραφῆς Ἐζεκίας πεποίηκεν, ἐμφράξας τά ὕδατα τῶν πηγῶν, ἅ ἦν ἔξω Ἱερουσαλήμ, διά Σενναχειρίμ βασιλέα τῶν Ἀσσυρίων. Πηγαί οὖν εἰσιν ἔξω τῆς πόλεως, τουτέστι, τῆς ψυχῆς, τά αἰσθητά πάντα· ὕδατα δέ τούτων τυγχάνουσι τῶν πηγῶν, τά τῶν αἰσθητῶν νοήματα. Ποταμός δέ διορίζων διά μέσου τῆς πόλεώς ἐστιν ἡ κατά τήν φυσικήν θεωρίαν ἐκ τῶν αἰσθητῶν νοημάτων συναγομένη γνῶσις, διά μέσης διερχομένης τῆς ψυχῆς, ὡς νοῦ καί αἰσθήσεως οὖσα μεθόριος. Ἡ γάρ γνῶσις τῶν αἰσθητῶν, οὔτε πάντη τῆς νοερᾶς ἀπεξένωται δυνάμεως, οὔτε δι᾽ ὅλου μόνῃ προσνενέμηται τῇ κατ᾽ αἴσθησιν ἐνεργείᾳ· ἀλλ᾽ οἷον τῆς τε τοῦ νοῦ πρός τήν αἴσθησιν, καί πρός τόν νοῦν τῆς αἰσθήσεως συνόδου μέση τυγχάνουσα, δι᾽ ἑαυτῆς ποιεῖται τήν πρός ἄλληλα τούτων συνάφειαν·

κατά μέν τήν αἴσθησιν, κατ᾽ εἶδος τυπουμένη τοῖς σχήμασι τῶν αἰσθητῶν· κατά δέ τόν νοῦν, εἰς λόγους τῶν σχημάτων τούς τύπους μεταβιβάζουσα· διό ποταμός διορίζων διά μέσης τῆς πόλεως εἰκότως προσηγορεύθη τῶν ὁρωμένων ἡ γνῶσις, ὡς τῶν ἄκρων, λέγω δέ νοῦ καί αἰσθήσεως, οὖσα μεταίχμιος. Ταύτην ἐμφράττων ἐν καιρῷ τῆς τῶν παθῶν διοχλήσεως, διά τήν ἐπήρειαν τῆς πρός τόν νοῦν τῶν ὑλικῶν σχημάτων ἐμπτώσεως, ὁ μετά γνώσεως τάς ἀφανεῖς τῶν πονηρῶν δαιμόνων συμπλοκάς διαλύων, ἀποκτείνει τάς ἑκατόν καί ὀγδοήκοντα καί πέντε χιλιάδας· λέγω τήν ποιητικήν τῆς κακίας ἕξιν, τήν παραλόγως, ὡς ἔφην, ταῖς τρισί τῆς ψυχῆς διά τῶν αἰσθητῶν ἐπιφυομένην δυνάμεσι δύναμιν, καί τήν ἐπ᾽ αὐταῖς ἐνέργειαν τῶν αἰσθήσεων, ἤτοι τήν τῶν φυσικῶν δυνάμεων ἐπ᾽ αἰσθήσεσι παράλογον ἐνέργειαν. Ὁ γάρ ἑξαδικός ἀριθμός, εἴτε ἐκ μονάδων ἔχει τήν σύνθεσιν, εἴτε ἐκ δεκάδων, εἴτε ἐξ ἑκατοντάδων, εἴτε ἐξ ἑτέρου τινός ἀριθμοῦ, τήν ποιητικήν ἕξιν δηλοῖ τῆς ἀρετῆς καί τῆς κακίας, κατά τήν ἀναλογίαν τοῦ πολυπλασιασμοῦ τῆς συνθέσεως, τήν ἀπαρτίζουσαν τήνδε ἤ τήνδε τήν ἕξιν διάθεσιν, τοῖς μετ᾽ ἐπιστήμης τοῖς ἀριθμοῖς ἐπιβάλλουσι παριστῶν· ᾧτινι ἑξαδικῷ ἀριθμῷ συναφθείς ἤ προστεθείς, ἤ συντεθείς ὁ πέντε ἀριθμός, παραδηλοῖ τάς αἰσθήσεις, ἤγουν τήν τῶν αἰσθητῶν δύναμιν, ἤ ἕξιν ἤ ἐνέργειαν, παρακειμένην, ἤ ἐπικειμένην, ἤ συγκειμένην ταῖς κατά φύσιν τῆς ψυχῆς δυνάμεσιν. Οἷον, εἰ μέν συνῆπται κατά τάς μονάδας, ὡς ἁπλοῦς ἁπλῷ ὁ πέντε ἀρθμός τῷ ἕξ, τήν ἐπ᾽ αἰσθήσεσι μόνῃ δυνάμει ποιητικήν ἐπιτηδειότητα παρίστησιν. Εἰ δέ προστέθειται συνθέτῳ ἐκ πολλῶν τῷ ἕξ ἀριθμῷ ὁ ἁπλοῦς ἐκ μονάδων πέντε ἀριθμός, τήν ἐπ᾽ αἰσθήσεσι κατά δύναμιν ποιητικήν ἕξιν δηλοῖ. Εἰ δέ συντέθειται συνθέτῳ τῷ ἐκ πολλῶν ἕξ ἀριθμῶν, ὁ ἐκ πολλῶν πέντε σύνθετος, τήν ἐπ᾽ αἰσθήσεσι κατά τε τήν δύναμιν καί τήν ἕξιν καί τήν ἐνέργειαν ἀποτελεστικήν σημαίνει ποιήσιν, ἤγουν περαίωσιν τῆς ἀρετῆς ἤ τῆς κακίας. Ὡς δ᾽ ἄν ὁ ἀριθμός ἔχων τύχοι, (457) εἴτε ψεκτῶς, εἴτε ἐπαινετῶς κατά τόν θεωρούμενον τῆς Γραφῆς, ἤγουν ἐξεταζόμενον τόπον, ὁ μέν ἑξαδικός ἀριθμός ἐκ δεκάδων συντεθείς, ποιεῖ τόν ἑκατόν καί ὀγδοήκοντα καί πέντε ἀριθμόν, καί δηλοῖ τήν ἐπ᾽ αἰσθήσεσι τῶν κατά φύσιν δυνάμεων ποιητικήν τῆς κακίας ἕξιν, ἐπειδή ψεκτῶς κεῖται κατά τοῦτον τῆς ἁγίας Γραφῆς τόν τόπον οὗτος ὁ ἀριθμός· ἥν ἀποκτείνει ὡς δι᾽ ἀγγέλου τινός τοῦ θείου λόγου τῆς γνώσεως, ὁ τῆς οἰκείας δυνάμεως τῇ προσευχῇ πλέον ἐπερειδόμενος νοῦς, καί παντός

κατορθώματος, καί πάσης κατά δαιμόνων νίκης αἴτιον τόν Θεόν μόνον ἐπιγραφόμενος.

Ὁ τοίνυν κατά τόν καιρόν τῆς τῶν πειρασμῶν ἐπαναστάσεως, τῆς μέν φυσικῆς ἀπεχόμενος θεωρίας, τῆς δέ προσευχῆς κατά τήν ἐκ πάντων πρός ἑαυτόν τε καί τόν Θεόν τοῦ νοῦ συστολήν ἀντεχόμενος, ἀποκτείνει τήν ἐπ᾽ αἰσθήσεσι τῶν φυσικῶν τῆς ψυχῆς δυνάμεων παρά φύσιν κινουμένων ποιητικήν τῆς κακίας ἕξιν, καί ἀποστρέφει μετ᾽ αἰσχύνης τόν διάβολον, ἀποβαλόμενον τήν εἰρημένην ἕξιν, ἐφ᾽ ᾗ πεποιθώς μετά τῆς οἰκείας ἀλαζονείας, ἦλθε πρός τήν ψυχήν, διά τῶν ὑπερηφάνων λογισμῶν τῆς ἀληθείας κατεπαιρόμενος. Ὅπερ τυχόν καί γνούς, καί παθών, καί ποιήσας ὁ μέγας Δαβίδ, ὁ πάντων μάλιστα πεῖραν ἔχων τῆς τῶν νοητῶν πολέμων παρατάξεως· Ἐν τῷ συστῆναι, φησί, τόν ἁμαρτωλόν ἐναντίον μου, ἐκωφώθην καί ἐταπεινώθην, καί ἐσίγησα ἐξ ἀγαθῶν. Καί μετ' αὐτόν ὁ θεῖος Ἰερεμίας, προστάσσων τῷ λαῷ μή ἐκβῆναι τῆς πόλεως, διά τήν κυκλόθεν παροικοῦσαν τῶν ἐχθρῶν ῥομφαίαν. Τοῦτο εἴπερ ὁ Ἄβελ ὁ μακάριος ἐφυλάξατο, καί μή συνεξῆλθε τῷ Κάϊν ἐν τῷ πεδίῳ· τουτέστιν ἐν τῷ πελάγει τῆς φυσικῆς θεωρίας, πρό τῆς ἀπαθείας, οὐκ ἄν ἐπαναστάς ἀπέκτεινεν αὐτόν μετά δόλου, κλέψας τοῖς δεξιοῖς κατά τήν τῶν ὄντων θεωρίαν, πρό τῆς τελείας ἕξεως, ὁ τῆς σαρκός νόμος, ὁ Κάϊν καί ὤν καί καλούμενος· ὅν πρῶτον ἐκτήσατο καρπόν τῆς παραβάσεως, κατά δύναμιν τῆς αὐτοῦ προσηγορίας ὁ πρῶτος ἄνθρωπος Ἀδάμ· γεννήσας νόμον ἁμαρτίας, ὅν κατά τόν παράδεισον αὐτῷ ὁ Θεός οὐκ ἐδημιούργησε. Κτῆσις γάρ ἑρμηνεύεται ὁ Κάϊν. Ὁμοίως καί ἡ Δίνα ἡ τοῦ μεγάλου θυγάτηρ Ἰακώβ, εἰ μή συνεξῆλθε ταῖς θυγατράσιν τῶν ἐγχωρίων, τουτέστι, ταῖς αἰσθητικαῖς φαντασίαις, οὐκ ἄν Συχέμ υἱός Ἐμμόρ ἐπαναστάς αὐτήν ἐταπείνωσε. Συχέμ δέ ἑρμηνεύεται νῶτος· Ἐμμόρ δέ, ὄνος, τουτέστι τό σῶμα.Ὁ μέν οὖν νῶτος, τουτέστιν, ὁ Συχέμ, τοῦ Ἐμμόρ, ἤγουν τοῦ σώματος, ὀπίσθιος νόμος ἐστίν, ἀλλ' οὐκ ἐμπρόσθιος· τουτέστιν, ὕστερος, ἀλλ'οὐ πρῶτος. Κατ᾽ ἀρχάς γάρ ἤτουν ἔμπροσθεν, πρίν γενέσθαι τῆς θείας ἐντολῆς τήν παράβασιν, οὐκ εἶχε τό σῶμα τοῦτο τό ἀνθρώπινον, τουτέστιν ὁ Ἐμμόρ, τόν νόμον τῆς ἁμαρτίας· λέγω δέ τόν Συχέμ, ἀλλ᾽ ὕστερον ἐπεφύη τῷ σώματι διά τήν παρακοήν, τῆς ἁμαρτίας ὁ νόμος· ὅν ὁ ἀληθής διασκοπήσας λόγος, διά τήν ὕστερον γένεσιν, προσηγόρευσε Συχέμ, τουτέστι, νῶτον, ὅπερ (460) ἐστίν ὀπίσθιος· τόν γάρ ὀπίσθιον δηλοῖ σαφῶς κατά φύσιν ὁ νῶτος. Ὥστε καλόν ἐστι πρό τῆς τελείας ἕξεως, μή ἅπτεσθαι τῆς φυσικῆς θεωρίας,

ἵνα μή λόγους ἐπιζητοῦντες πνευματικούς ἐκ τῶν ὁρωμένων κτισμάτων, λάθωμεν πάθη συλλέγοντες. Πλέον γάρ ἐν τοῖς ἀτελέσι δυναστεύει πρός τήν αἴσθησιν τά φαινόμενα σχήματα τῶν ὁρωμένων, ἤ πρός τήν ψυχήν οἱ ἐγκεκρυμμένοι τοῖς σχήμασι λόγοι τῶν γεγονότων.

ΣΧΟΛΙΑ.

α'. Ἡ τῶν ὄντων ἁπλῆ θεωρία, παθῶν ἀπηλλαγμένης δεῖται ψυχῆς· ἥτις Ἱερουσαλήν λέγεται, διά τε τήν ἄρτιον ἀρετήν, καί τήν ἄϋλον γνῶσιν· ἥτις οὐ μόνον κατά στέρησιν παθῶν, ἀλλά καί φαντασιῶν αἰσθητῶν ἐπιγίνεται, ἅσπερ ὕδατα τῶν ἔξω πηγῶν κέκληκεν ὁ λόγος.

β'. Ἡ πίστις παραμυθεῖται τόν νοῦν πολεμούμενον, βοηθείας ἐλπίδι ῥωννύμενον· ἡ δέ ἐλπίς ὑπ᾿ ὄψιν ἄγουσα τήν πιστευθεῖσαν βοήθειαν, ἀποκρούεται τήν τῶν ἀντικειμένων καταδρομήν. Ἡ δέ ἀγάπη, νεκράν καθίστησι τῷ φιλοθέῳ νῷ τῶν πολεμίων τήν προσβολήν, τῇ πρός Θεόν ἐφέσει παντελῶς ἀμαυρουμένην.

γ' . Πρώτη ἐν ἡμῖν ἀνάστασις, φησί, τοῦ διά τῆς ἀγνοίας νεκρωθέντος Θεοῦ, ἡ πίστις ἐστί καλῶς τοῖς ἔργοις τῶν ἐντολῶν οἰκονομουμένη.

δ'. Συνᾴδει, φησί, τά πράγματα τοῖς ὀνόμασι. Χωρίς γάρ τινος προσδοκίας, ἤ δυσχεροῦς ἤ εὐχεροῦς ἐπιστροφή πρός τό καλόν οὐδενί ποτε πέφυκε γίνεσθαι.

ε'. Οὐδέν ὡς ἀγάπη, φησί, συνάγει τούς ἐσκορπισμένους, καί μίαν αὐτῶν δημιουργεῖν τήν γνώμην συμπνοίᾳ κρατουμένην· ἧς χαρακτήρ, τό τῆς ἰσοτιμίας καθέστηκε καλόν.

στ'. Ὅτι δίχα λογικῆς δυνάμεως, φησίν, ἐπιστημονική γνῶσις οὐκ ἔστι· καί γνώσεως χωρίς, οὐ συνίσταται πίστις, ἀφ᾿ ἧς τό καλόν γέννημα πρόεισιν, ἡ ἐλπίς· καθ᾿ ἥν ὡς παροῦσι συγγίνεται τοῖς μέλλουσιν ὁ πιστός. Καί δίχα τῆς κατ᾿ ἐπιθυμίαν δυνάμεως, οὐ συνίσταται πόθος, οὗ τό τέλος ἐστίν ἡ ἀγάπη. Τό γάρ ἐρᾷν τινος, ἴδιον ἐπιθυμίας ἐστί. Καί δίχα θυμικῆς δυνάμεως νευρούσης τήν ἐπιθυμίαν πρός τήν τοῦ ἡδέος ἕνωσιν, οὐδαμῶς γίνεσθαι πέφυκεν εἰρήνη, εἴπερ ἀληθῶς εἰρήνη ἐστίν, ἡ ἀνενόχλητος καί παντελής τοῦ καταθυμίου κατάσχεσις.

ζ'. Ὁ λόγος, φησίν, ἀρχή τῶν γνωστικῶν λογισμῶν, ὥσπερ καί τῶν θυμικῶν καί ἐπιθυμικῶν, ὁ θυμός καί ἡ ἐπιθυμία.

η'. Τόν Ἐζεκίαν κατά τήν ἀναγωγήν ἐθεώρησεν, τόν κατά τήν πρᾶξιν φιλόσοφον νοῦν. Πόλιν δέ, τήν ψυχήν· πηγήν δέ, τά ποικίλα εἴδη τῶν αἰσθητῶν. Ὕδατα δέ, τάς αὐτῶν φαντασίας, ἤ τά νοήματα· ποταμόν δέ, τήν κατά τήν φυσικήν θεωρίαν ἐκ τῶν αἰσθητῶν νοημάτων συναγομένην γνῶσιν.

θ'. Οὐ δεῖ, φησί, τόν μή καθαρθέντα παθῶν, φυσικῆς ἅπτεσθαι θεωρίας, διά τάς εἰκόνας τῶν αἰσθητῶν (461) δυναμένας τυπῶσαι πρός πάθος τόν νοῦν, τοῦ μή τελέως ἀπαλλαγέντος τῶν παθῶν.

ι'. Ὁ κατά τήν φαντασίαν ταῖς ἐπιφανείαις τῶν αἰσθητῶν ἐναπομένων διά τήν αἴσθησιν νοῦς, ἀκαθάρτων γίνεται παθῶν δημιουργός· διά θεωρίας πρός τά συγγενῆ νοητά μή διαβαίνων.

ια'. Ὅταν ἄνους ὁ λόγος γένηται, καί προπετής ὁ θυμός, καί ἄλογος ἡ ἐπιθυμία, ἄγνοια καί τυραννίς καί ἀκολασία κρατοῦσι τήν ψυχήν· ἐξ ὧν ἡ τῆς κακίας ἕξις γίνεσθαι πέφυκεν ἔμπρακτος, συμπλακεῖσα τῇ διαφόρῳ τῶν αἰσθήσεων ἡδονῇ. Ταύτην γάρ ὁ ἀριθμός δηλοῖ τῶν ρπε' χιλιάδων. Τρίς γάρ ἑξήκοντα συνθείς διά τήν ἑκάστης δυνάμεως ἐκ τῶν κακῶν τελείαν κίνησιν, καί προσεπάγων καί ε' διά τήν ἐπ᾽ αἰσθήσεσι κατ᾽ ἐνέργειαν ἡδονήν, τοῦτον πληροῖς δῆλον ὅτι τόν ἀριθμόν, ποιητικήν τῆς κακίας ἕξιν σημαίνοντα. Ἥν ἔχων ἐπιδύεται τῇ ψυχῇ τυραννικῶς ὁ διάβολος· ἥν ὁ Θεός ὡς δι᾽ ἀγγέλου, τοῦ κατά τήν γνωστικήν σοφίαν λόγου καταφονεύει, καί σώζει τήν ψυχήν τήν ἀληθῶς Ἱερουσαλήμ, καί τόν ἐν τῇ ψυχῇ νοῦν πρός τήν κακίαν ἀδούλωτον.

ιβ'. Ἐμφύτους λογισμούς λέγει,τόν ἐπί τά τείχη λαόν.

ιγ'. Ἐνταῦθα φίλος ἐστίν ὁ Κύριος· τραύματα δέ τούτου τυγχάνουσι, τά εἴδη τῆς ἐπαγομένης ἑκάστῳ πρός σωτηρίαν παιδείας εἰς κόλασιν τῆς σαρκός, ἤγουν τοῦ σαρκικοῦ φρονήματος, ἵνα τό πνεῦμα σωθῇ ἐν τῇ ἡμέρᾳ τοῦ Κυρίου. Ἐχθρός δέ ἐστιν ὁ διάβολος· φιλήματα δέ τούτου καθέστηκε, τά εἴδη τῶν κατ᾽ αἴσθησιν ἡδονῶν· δι᾽ ὧν ἀπατῶν τήν ψυχήν, πείθει χωρισθῆναι τῆς ἀγάπης τοῦ Κτίσαντος αὐτήν.

ιδ'. Πειρασμούς ξηρασίας ἑρμηνεύτεται Σενναχειρίμ, καθ᾽ ἕν μέν ὅτι ξηραίνει τάς καρδίας τῶν ἀνεχομένων αὐτῷ, χωρίζων τῆς πηγαίας χάριτος τῶν ἁγίων λογισμῶν· καθ᾽ ἕτερον δέ, ὅτι αὐτός ξηρός ἐστιν ὡς πένης καί ἄπορος, καί μηδέν ἔχων ἴδιον. Καί διά τοῦτο δολερῶς, οἷά τις κλέπτης ταῖς ἐπιφανείαις τῶν αἰσθητῶν ἐγρυπτόμενος εἰς τήν καθ᾽ ἡμῶν ἐπανάστασιν.

ιε'. Πᾶν τό περιττόν, καί ὑπέρ τήν χρείαν τήν φυσικήν, ἀκρασίαν εἶναί φασιν· δι᾽ ἧς ὑποστρέφει μετ᾽ αἰσχύνης εἰς τήν ἑαυτοῦ γῆν, ἐγκρατείας τήν φύσιν παιδαγωγούσης. Ἤ πάλιν, ὁδός ἐστιν αὐτά τά φυσικά πάθη· τῷ μέν ὑπέρ τήν χρείαν τρόπῳ τῆς χρήσεως, ἄγοντα πρός τήν ψυχήν τόν διάβολον· τῷ δέ κατά τήν χρείαν τρόπῳ τῆς χρήσεως, δι᾽ ἑαυτῶν εἰς τήν ἑαυτοῦ γῆν αὐτόν ὑποστρέφοντα. Γῆ δέ τούτου ἐστίν, ἡ παγία τῆς κακίας ἕξις καί σύγχυσις, εἰς ἥν ἀεί βέβηκε, καί πρός ἥν ἄγει τοῦ ἡττημένους τῇ φιλίᾳ τῶν ὑλικῶν.

ιστ'. Ὁ πρός τήν ἀρετήν μετενέγκας τούς λογισμούς, ἀνέπαυσεν αὐτούς, μακράν ποιήσας τῆς τῶν παθῶν ἀστάτου συγχύσεως.

ιζ'. Νοῦς ἑαυτῷ κατά φύσιν, διά μέσου λόγου (464) συνάψας τήν αἴσθησιν, τήν ἐκ τῆς φυσικῆς θεωρίας ἀληθῆ συλλέγεται γνῶσιν, ἥτις ποταμός ἐκλήθη τήν ψυχήν διορίζων διά τήν ἐπ᾽ αἰσθήσεσι διάνοιαν.

ιθ'. Ἀριθμοῦ συνάφειαν λέγει, τήν τῶν ἁπλῶν ἀριθμῶν τῶν ἐντός δεκάδος ἐκφώνησιν, τῷ, καί, συνδέσμῳ διακρινομένην· οἷον ἕξ καί πέντε· καί δηλοῖ, εἴτ᾽ ἐπί κακῷ κεῖται τῇ γραφῇ, εἴτ᾽ ἐπί καλῷ, τήν δύναμιν ποιητικήν ἐπιτηδειότητα τῆς ἀρετῆς ἤ τῆς κακίας. Ἀριθμοῦ δέ πρόσθεσιν λέγει, τήν τῷ πολυπλασιασθέντι εἰς ἑαυτόν ἀριθμῷ γενομένην τοῦ ἐκ μονάδων ἁπλοῦ ἀριθμοῦ προσθήκην, τῷ, καί, συνδέσμῳ διακρινομένην, οἷον ἑξήκοντα καί πέντε, ἤ ἑκατόν ὀγδοήκοντα καί πέντε, καθώς ὁ παρών ἔχει ἀριθμός. Καί δηλοῖ, οὐ μόνον τήν ἐπ᾽ αἰσθήσεσιν κατ᾽ ἐπιτηδειότητα ποίησιν, ἀλλά καί τήν ἐπ᾽ αἰσθήσεσιν ποιητικήν ἕξιν τῆς ἀρετῆς ἤ τῆς κακίας. Ἀριθμοῦ δέ σύνθεσιν λέγει, τήν τῶν ἐξ ἑαυτῶν εἰς ἑαυτούς πολυπλασιασθεῖσαν τῶν ἐριθμῶν εἰς ἀλλήλους σύνοδον, τῷ, καί, συνδέσμῳ διακρινομένην· οἷον ξ'καί ν', ἤ χ' καί φ', καί τούς τοιούτους· καί δῆλοι οὐ μόνον τήν κατ᾽ ἐπιτηδειότητα δυνάμει ποίησιν καί τήν ἕξιν, ἀλλά καί τήν ἐπ᾽ αἰσθήσεσι κατά τήν ἕξιν ἐνέργειαν τῆς ἀρετῆς ἤ τῆς κακίας. Ὁ τοίνυν γινώσκων ἑκάστου τῶν ἐντός δεκάδος ἀριθμοῦ τήν δύναμιν· ὡς ἡ μονάς δηλοῖ τό ἀμιγές· ἡ δέ δυάς, τό διάφορον· ὁ δέ τρεῖς, ἔστιν ἴσός τε καί νοητός· ὁ δέ τέσσαρα, αἰσθητός· ὁ δέ πέντε, αἰσθητικός τε καί κυκλικός· ὁ δέ ἕξ, δραστικός τε καί τέλειος· ὁ δέ ἑπτά, περιφερής τε καί ἀμιγής· ὁ δέ ὀκτώ, βάσιμος καί ἀκίνητος· ὁ δέ ἐννέα, μεταίχμιος ὕλης καί εἴδους, ἤγουν αἰσθητῶν καί αἰσθήσεως· ὁ δέ δέκα, πληρέστατος· εἴσεται τί σημαίνει κατά τήν Γραφήν ἕκαστος ἀριθμός, εἴτε κατά συνάφειάν ἐστιν, εἴτε κατά πρόσθεσιν, εἴτε κατά σύνθεσιν.

κ'. Κάϊν ἐστίν ὁ νόμος τῆς σαρκός, ὅν πρῶτον γεννᾷ παραβάς τήν θείαν ἐντολήν ὁ Ἀδάμ. Ἀβέλ δέ ἐστι τό φρόνημα τοῦ πνεύματος, ὅν ὕστερον γεννᾷ μέν διά μετανοίας ὁ αὐτός, ἀποκτείνει δέ πρό τῆς τελείας ἕξεως τοῖς φυσικοῖς ἐμβάντα θεάμασιν ὁ Κάϊν· ὅν ἀποκτείνας, ἑπτά παρέλυσεν ἐκδικούμενα, φησίν ὁ Θεός. Τοῦτον πνεῦμα πονηρόν ἐν τοῖς Εὐαγγελίοις ὁ αὐτός προσηγόρευσε, καί τῶν αὐτοῦ πονηροτέρων ἑπτά πνευμάτων συμπαραληπτικόν. Οὗτος δέ τυχόν ἐστιν ὁ φίλαυτος, ἤγουν γαστρίμαργος λογισμός, ᾧ παρέπεται πάντως ὁ τῆς πορνείας λογισμός, καί ὁ τῆς φιλαργυρίας, καί ὁ τῆς λύπης, καί ὁ τῆς ὀργῆς, καί ὁ τῆς ἀκηδίας, καί ὁ τῆς κενοδοξίας καί ὁ τῆς ὑπερηφανίας. Ὁ γοῦν ἀποκτείνας κατά τήν θείαν ψῆφον τόν Κάϊν, τουτέστι τήν γαστριμαργίαν, συναπέκτεινε αὐτῇ καί τά αὐτήν παρυφιστάμενα πάθη, κατά τό, Ὁ ἀποκτείνας Κάϊν, ἑπτά ἐκδικούμενα παρέλυσεν.

(465) κα'. Ὁ τά πρός γένεσιν καί φθοράν τοῦ σώματος, φησί, νόμος, ὕστερον ἐπεβλήθη τῇ φύσει τῶν ἀνθρώπων, καθ᾽ ὅν γεννῶμεν καί γεννώμεθα, διά τήν παράβασιν, μή φυλάξαντες τόν κατά τήν πρώτης ἐντολήν θεοποιόν νόμον τοῦ πνεύματος.

## *ΕΡΩΤΗΣΙΣ Ν΄.*

***Τί ἐστι πάλιν τό σημαινόμενον ἐν τῇ αὐτῇ βίβλῳ, τό· "Καί προσηύξατο Ἐζεκίας ὁ βασιλεύς, καί Ἡσαΐας υἱός Ἀμώς ὁ προφήτης περί τούτων· καί ἐβόησαν εἰς τόν οὐρανόν. Καί ἀπέστειλε Κύριος ἄγγελον, καί ἐξέτριψε πάντα δυνατόν καί πολεμιστήν καί ἄρχοντα καί στρατηγόν ἐν τῇ παρεμβολῇ βασιλέως Ἀσσούρ· καί ἀπέστρεψε μετ᾽ αἰσχύνης προσώπου εἰς τήν γῆν αὐτοῦ."***

Ἀπόκρισις.

Ὁ τῆς ἁγίας Γραφῆς λόγος, κἄν εἰ δέχεται περιγραφήν κατά τό γράμμα, τοῖς χρόνοις τῶν ἱστορουμένων πραγμάτων συναπολήγων· ἀλλά κατά τό πνεῦμα, ταῖς τῶν νοουμένων θεωρίαις μένει διά παντός ἀπερίγραφος. Καί μηδείς πρός τοῦτο δυσανασχετῶν ἀπιστήσει, γινώσκων, ὡς ὁ λαλήσας Θεός κατά φύσιν ἐστίν ἀπερίγραφος· ᾧ μᾶλλον ἐοικέναι τόν ὑπ᾽ αὐτοῦ λαληθέντα λόγον πιστεύειν χρή, τούς γνησίως κατακούειν τοῦ βουλήματος τῆς Γραφῆς βουλομένους. Εἰ γάρ Θεός ὁ λαλήσας ἐστίν, οὗτος δέ κατ᾽ οὐσίαν ἀπερίγραφος, δῆλον ὅτι ὁ λαληθείς ὑπ᾽ αὐτοῦ λόγος ἐστίν ἀπερίγραφος.

Οὐκοῦν τά συμβάντα τυπικῶς κατά τούς Ἐζεκίου χρόνους, καί λαβόντα πέρας, τήν τότε τῶν ἱστορουμένων ἔκβασιν, πνευματικῶς θεωρήσαντες, θαυμάσωμεν τήν ἱστορίαν του γράψαντος ἁγίου Πνεύματος· πῶς ἑκάστῳ τῶν μετειληφότων τῆς ἀνθρωπίνης φύσεως ἁρμόζουσαν ἔθετο καί προσήκουσαν τήν τῶν γεγραμμένων διάνοιαν· ὥστε πάντα τόν βουλόμενον, τοῦ θείου λόγου γενέσθαι φοιτητήν, καί μηδέν ἔχειν τῶν παρόντων καί λυομένων τῆς ἀρετῆς ἰσοστάσιον, γενέσθαι δύνασθαι ἄλλον Ἐζεκίαν ἐν πνεύματι· καί Ἡσαΐαν ἕτερον ὑπ᾽ οὐδενός κωλυόμενον καί προσεύξασθαι, καί βοῆσαι εἰς τόν οὐρανόν, καί εἰσακουσθῆναι, καί λαβεῖν παρά Θεοῦ τήν δι᾽ ἀγγέλου τῶν νοητῶς αὐτόν πολεμούντων φθοράν καί ἀπώλειαν.

Ἐπειδή δέ χρή, τόν γνωστικῶς πρός ψυχήν τήν ἁγίαν Γραφήν κατά Χριστόν ἐκδεχόμενον, ἀσκηθῆναι φιλοπόνως καί τῶν ὀνομάτων τήν ἑρμηνείαν, αὐτόθεν δυναμένην ὅλην τήν τῶν γεγραμμένων σαφηνίσαι διάνοιαν, εἴπερ μέλει αὐτῷ τῆς ἀκριβοῦς τῶν γεγραμμέων κατανοήσεως, ἀλλ᾽οὐχί Ἰουδαϊκῶς πρός σῶμα περί γῆν κατάγειν τό ὕψος τοῦ πνεύματος, καί τάς θείας καί ἀκηράτους τῶν νοητῶν ἀγαθῶν τῇ φθορᾷ τῶν παρερχομένων περιγράφειν ἐπαγγελίας, καθώς τινες τῶν παρ᾽ ἡμῖν λεγομένων (468) Χριστιανῶν ὑπειληφότες, λελήθασι ψευδώνυμον αὐτοῖς τήν ἀπό Χριστοῦ προσηγορίαν ἐπιφημίζοντες, ἧς δείκνυνται παντελῶς ἠρνημέναι δι᾽ αὐτῶν τῶν πραγμάτων τήν δύναμιν, καί τήν ἐναντίαν τῷ Χριστῷ προδήλως ὁδεύουσιν, ὡς δείξει κατ᾽ ἐπιτομήν ὁ λόγος.

Εἰ γάρ μετά τῶν ἄλλων μυστηρίων, ὧν οὐκ ἄν τις ἐφίκοιτο λόγος, καί εἰς τοῦτο γενόμενος ἄνθρωπος ὁ Θεός ἦλθεν, ἵνα πληρώσῃ τόν νόμον πνευματικῶς ἐν τῇ καταργήσει τοῦ γράμματος· καί τό ζωοποιοῦν αὐτοῦ, φημί δή τοῦ νόμου, στήσῃ τε καί φανερόν καταστήσῃ, τῇ προαιρέσει τοῦ ἀποκτείνοντος· τό δέ ἀποκτεῖνον τοῦ νόμου, κατά τόν θεῖον Ἀπόστολον, ἔστι τό γράμμα, ὥσπερ καί τό ζωοποιόν τοῦ νόμου κατ᾽ αὐτόν, τό πνεῦμά ἐστι. Φησί γάρ, Τό μέν γράμμα ἀποκτείνει, τό δέ πνεῦμα ζωοποιεῖ· διαῤῥήδην ἄρα τήν ἀντίπαλον τῷ Χριστῷ μοῖραν ἀνείλαντο, καί τό πᾶν τῆς αὐτοῦ σαρκώσεως ἠγνόησαν μυστήριον· οὐ μόνον γράμματι κατορύξαντες τῆς σφῶν διανοίας τήν δύναμιν, καί οὐκ ἐθέλοντες εἶναι κατ᾽ εἰκόνα Θεοῦ καί ὁμοίωσιν· ἀλλά μᾶλλον τό, γῆν εἶναι, κατά τήν ἀπειλήν, καί εἰς γῆν ἀπελεύσεσθαι διά τῆς ὡς πρός γῆν τό γράμμα σχέσεως· τοῦ πρός οὐρανόν, λέγω δέ τό πνεῦμα, εἰς ἀέρα, τουτέστι, τόν νοερόν

φωτισμόν, ἐν νεφέλαις, ταῖς ὑψηλαῖς δηλαδή θεωρίαις εἰς ἀπάντησιν ἁρπαγῆναι τοῦ Κυρίου, καί οὕτως πάντοτε σύν αὐτῷ εἶναι διά τῆς γνώσεως, προτιμῶντες. Ὑπέρ ὧν ἄχθεσθαι μέν δίκαιον, ἀφόρητον ζημίαν ἐξ ἀγνοίας ὑπομενόντων, τήν τῆς ἀληθείας ἔκπτωσιν· λυπεῖσθαι δέ, ὡς πολλάς εἰς βεβαίωσιν ἀπιστίας τοῖς Ἰουδαίοις ἀφορμάς παρεχόντων. Ἀλλ᾽ ἡμεῖς ἐκείνους ἐάσαντες ὡς θέλουσιν ἔχοντας, πρός ἑαυτούς καί τόν Λόγον ἐπανέλθωμεν, τήν ἀρχήν τῆς τοῦ προκειμένου κεφαλαίου πνευματικῆς ἐρεύνης, ἐκ τῶν ὀνομάτων ἑρμηνείας ποιησόμενοι.

Ἐζεκίας τοίνυν ἑρμηνεύεται κράτος Θεοῦ· Ἀχάς δέ ὁ πατήρ αὐτοῦ, ἰσχύς· καί Ἡσαΐας ἑρμηνεύεται ἔπαρσις Θεοῦ· τουτέστιν ὕψος Θεοῦ. Ἀμώς δέ, ὁ πατήρ αὐτοῦ, λαός πόνου. Κράτος Θεοῦ καθέστηκεν, ἡ ἀναιρετική τῶν παθῶν ἀρετή, καί τῶν εὐσεβῶν φρουρητική λογισμῶν, ἥν γεννᾷ ννᾷ πρᾶξις ἐντολῶν· ἰσχύς τροπικῶς νοουμένη, δι᾽ ἧς τάς ἀντικειμένας τῶν ἀγαθῶν πονηράς δυνάμεις συνεργείᾳ Θεοῦ· μᾶλλον δέ μόνῃ δυνάμει Θεοῦ, διαφθείρομεν.Ὕψος δέ Θεοῦ ἐστιν, ἡ γνῶσις τῆς ἀληθείας, ἥν γεννᾷ τῆς τῶν γεγονότων θεωρίας ὁ πόνος· καί οἱ ἐπί τῇ πράξει τῶν ἀρετῶν ἱδρῶτες, πόνου πατέρες γινόμενοι· δι᾽ ἧς τήν ἀντικειμένην τῇ ἀληθείᾳ τοῦ ψεύδους δύναμιν (469) παντελῶς ἐξαφανίζομεν· πᾶν ὕψωμα τῶν ἐπαιρομένων κατά τῆς γνώσεως τοῦ Θεοῦ πονηρῶν πνευμάτων ταπεινοῦντές τε καί καταβάλλοντες.

Προσευχή δέ ἐστιν αἴτησις ὧν πέφυκε Θεός ἀνθρώποις δωρεῖσθαι πρός σωτηρίαν· καί μάλα γε εἰκότως. Εἰ γάρ εὐχή ἐστιν, ὑπόσχεσις τῶν ἐξ ἀνθρώπων Θεῷ κατ᾽ ἐπαγγελίαν προσαγομένων καλῶν· προσευχή κατά τόν εἰκότα λόγον ἔσται σαφῶς, ἡ τῶν ἐκ Θεοῦ πρός σωτηρίαν χορηγουμένων τοῖς ἀνθρώποις ἀγαθῶν ἐξαίτησις, ἀντίδοσιν φέρουσα τῆς τῶν προηυγμένων διαθέσεως.

Βοή δέ ἐστιν, ἡ τῶν κατά τήν πρᾶξιν ἐναρέτων τρόπων, καί τῶν κατά τήν θεωρίαν γνωστικῶς θεωρημάτων ἐν τῷ καιρῷ τῆς τῶν πονηρῶν δαιμόνων ἐπαναστάσεως, ἐπίδοσίς τε καί ἐπαύξησις,ἧς πάντων οὐχ ἥκιστα φυσικῶς ἀκούει Θεός, ἀντί μεγάλης φωνῆς, τήν τῶν ἀρετῆς καί γνώσεως ἐπιμελουμένων λαμβάνων διάθεσιν.

Οὐρανός δέ πολλάκις λέγεται κατά τήν ἁγίαν Γραφήν, αὐτός ὁ Θεός· ὥς που ὁ μέγας τῆς ἀληθείας κήρυξ Ἰωάννης ὁ πρόδρομός φησιν, Οὐ δύναται ἄνθρωπος λαμβάνειν ἀφ᾽ ἑαυτοῦ, ἐάν μή ᾖ δεδομένον αὐτῷ ἐκ τοῦ οὐρανοῦ· ἀντί τοῦ, ἐκ Θεοῦ· διότι, Πᾶσα δόσις ἀγαθή, καί πᾶν δώρημα τέλειον, ἄνωθέν ἐστι καταβαῖνον ἀπό τοῦ

Πατρός τῶν φώτων. Καθ᾽ ὅ σημαινόμενον, ἐπί τοῦ προκειμένου κεφαλαίου, τόν τῆς Γραφῆς τόπον ἐκληπτέον: Οἶδε δέ πάλιν ἡ Γραφή καλεῖν οὐρανόν καί τάς οὐρανίου Δυνάμεις, κατά τό, Οὐρανός μοι θρόνος· ὡς ταῖς ἁγίαις δηλονότι καί ἀσωμάτοις ἐπαναπαυομένῳ φύσεσιν. Εἰ δέ καί τόν νοοῦν τόν ἀνθρώπινον πάσης μέν ὑλικῆς καθαιρόμενον φαντασίας, τοῖς δέ θείοις τῶν νοητῶν κατακοσμούμενον λόγοις, φαίη τις εἶναι οὐρανόν, οὐκ ἔξω γε τῆς ἀληθείας, ὡς ἔμοιγε δοξεῖ, βέβηκεν. Εἰ δέ τό ὕψος τῆς ἐν ἀνθρώποις νοερᾶς γνώσεως, οὐρανόν εἴποι τις, οὐκ ἄν ἁμάρτοι τοῦ πρεπόντος. Τῷ ὄντι γάρ ὡς οὐρανός, θρόνος γίνεται τοῦ Θεοῦ ἡ ἀληθής γνῶσις, δεχομένη τόν Θεόν ἐνθρονιζόμενον κατά τήν ἀμετάθετον ἕξιν τῆς περί τό καλόν παγίας καί ὑψηλῆς ἐφέσεως· ὥσπερ καί ὑποπόδιον, ἡ καθαρά λέγεται πρᾶξις τῶν ἀρετῶν, ἐφ᾽ ἑαυτῆς δεχομένη τάς θείας βάσεις, καί οὐκ ἐῶσα τό σύνολον τοῖς ἀπό τοῦ σώματος καθάπερ γῆς μολύνεσθαι ῥύποις.

Οὐκοῦν ἐπειδή τῆς ἀρετῆς ὑποτύπωσιν φέρει, κατά τήν ἑρμηνείαν τοῦ οἰκείου ὀνόματος Ἐζεκίας ὁ βασιλεύς, κράτος Θεοῦ κατά τήν Ἑλλάδα φωνήν λεγόμενον τοῦτο σημαίνει τό ὄνομα· Θεοῦ δέ κράτος μόνη κατά τῶν ἐναντίων δυνάμεων εἶναι καθέστηκεν ἡ ἀρετή. Ἄχας δέ ὁ τοῦ Ἐζεκίου πατήρ, ἰσχύς ἑρμηνεύεται, ἥν εἰς τήν πρᾶξιν προλαβών ὁ λόγος ἐξέδωκεν, ἐξ ἧς γεννᾶσθαι τό κατ᾽ ἀρετήν θεῖον πέφυκε κράτος. Ὁ δέ προφήτης Ἡσαΐας, τήν τῶν (472) ὑψηλῶν γνῶσιν σημαίνει· ὕψος γάρ Θεοῦ ἑρμηνευόμενος λέγεται, δι᾽ ἑαυτοῦ τό ὕψος τῆς κατά Θεόν γνώσεως δηλῶν, τῆς γεννωμένης ἐκ τοῦ πόνου τῶν περί τά ὄντα διαφόρων θεωρημάτων. Ἀμώς γάρ, λαοῦ πόνος [Al…λαός πόνου], λέγεται, καθώς προαπεδόθη.

Ἐπειδή τοίνυν καθώς εἴρηται, ταύτην ἔχει τῶν ὀνομάτων ἡ σημασία τήν δύναμιν, πᾶς δῆλον ὅτι φιλόσοφος καί εὐσεβής, ἀρετῇ καί γνώσει, ἤ πράξει καί θεωρίᾳ φρουρούμενος, ἐπειδάν ἴδῃ διά τῶν παθῶν ἐπαναστᾶσαν αὐτῷ τήν πονηράν δύναμιν, καθάπερ τῷ Ἐζεκίᾳ τῶν Ἀσσυρίων ὁ βασιλεύς, μίαν ἔχει πρός τήν τῶν κακῶν λύσιν βοήθειαν, τόν Θεόν, ὅν ἱλεοῦται βοῶν ἀλαλήτως διά τῆς κατά τήν ἀρετήν καί τήν γνῶσιν πλείονος ἐπιτάσεως· καί δέχεται πρός συμμαχίαν, μᾶλλον δέ πρός σωτηρίαν, ἄγγελον· δηλονότι μείζονα σοφίας καί γνώσεως λόγον, ἐκτρίβοντα πάντα δυνατόν καί πολεμιστήν καί ἄρχοντα καί στρατηγόν ἐκ τῆς παρεμβολῆς βασιλέως Ἀσσούρ, καί ἀποστρέφοντα αὐτόν μετ᾽ αἰσχύνης προσώπου εἰς τήν

γῆν αὐτοῦ. Ἡ γάρ πονηρά καί ὀλέθριος τοῦ διαβόλου βασιλεία, διά τῆς Ἀσσυρίων τυπουμένη βασιλείας, τόν κατά τῆς ἀρετῆς καί τῆς γνώσεως πρός ἀνθρώπους συνεγείρουσα πόλεμον, διά τῶν αὐτοῖς ἐμφύτων δυνάμεων τροποῦσθαι μηχανᾶται τήν ψυχήν· τήν μέν ἐπιθυμίαν πρῶτον εἰς ὄρεξιν τῶν παρά φύσιν διερεθίζουσα, καί τά αἰσθητά τῶν νοητῶν προτιμᾷν ἀναπείθουσα· τόν δέ θυμόν, ὑπεραγωνίζεσθαι τοῦ αἱρεθέντος ὑπό τῆς ἐπιθυμίας αἰσθητοῦ διεγείρουσα· τό δέ λογικόν, τούς τρόπους ἐπινοεῖν τῶν κατ᾽ αἴσθησιν ἡδονῶν ἐκδιδάσκουσα· καί τούτων ἄρχειν τῶν δυνάμεων τά αἰσθητά, ἤγουν τῶν τῆς ψυχῆς δυνάμεων κυριεύειν τόν χοϊκόν χειροτονοῦσα νόμον.

Δυνατόν οὖν ἐκάλεσεν ἡ Γραφή, τόν ἐπικείμενον τῆς ἐπιθυμίας πονηρόν δαίνονα, καί πρός τάς τῶν αἰσχρῶν ἡδονῶν ἀπρεπεῖς ὀρέξεις αὐτήν ἐκκαίοντα· οὐδέν γάρ φυσικῆς ὀρέξεώς ἐστι δυνατώτερον ἤ βιαιότερον. Πολεμιστήν δέ, τόν ἐπικαθήμενον τῷ θυμικῷ, καί ὑπέρ τῶν ἡδονῶν ἀπαύστως μάχεσθαι παρασκευάζοντα, προσηγόρευσε δαίμονα. Ἄρχοντα δέ, τόν ταῖς ἐπιφανείαις τῶν αἰσθητῶν ἀοράτως ἐπιφυόμενον, καί πρός ἕκαστον τάς ὀρέξεις τῆς ψυχῆς δι᾽ ἑκάστης αἰσθήσεως ἀπατηλῶς ἐκκαλούμενον ὠνόμασεν. Ἄρχοντα δέ τοῦτον κέκληκεν ὁ λόγος, ἐπειδή παντός πέφυκεν ἄρχειν πάθους τό προσφυές αἰσθητόν. Ἄνευ γάρ τινος ὑποκειμένου, καί τάς δυνάμεις τῆς ψυχῆς διά μέσης τινός αἰσθήσεως ἐπικινοῦντος πρός ἑαυτό, πάθος οὐκ ἄν συσταίη ποτέ. Στρατηγόν δέ, τόν τῇ δυνάμει τοῦ τῆς ψυχῆς λογιστικοῦ καταχρώμενον, εἶπε δαίμονα, πρός ἐπίνοιαν κινῶν καί ἐξεύρεσιν πασῶν τῶν κατά κακίαν μεθόδων. Πρόσωπον δέ διαβόλου, τό λεῖον ὑπάρχει τῆς ἡδονῆς, δι᾽ οὗ, πάσης ἀνεχομένης αὐτοῦ ψυχῆς πέφυκε δυναστεύειν· καί τά θελκτικά τῶν αἰσθήσεων αἰσθητά, τῆς τόν νοῦν πιαινούσης τῶν νοητῶν θεωρίας προτιμώσης· ὅπερ πρόσωπον καταισχύνει, ὁ (473) διά προσευχῆς τόν ἐκτρίβοντα πᾶσαν πονηράν δύναμιν παρά Θεοῦ κομισάμενος, σοφίας λόγον· τουτέστι τόν τελείως ἀφανιστικόν τῆς διοχλούσης τῇ ψυχῇ πονηρᾶς τυραννίδος· Ἐξέτριψε γάρ, φησίν ὁ Λόγος, ἀλλ᾽ οὐκ ἔτριψεν. Ἡ μέν γάρ τρίψις, τῆς ἐμπαθοῦς κατ᾽ ἐνέργειαν μόνης ὑπάρχει πράξεως κατάργησις· ἡ δέ ἔκτριψις, καί τῶν κατά διάνοιαν πονηρῶν κινημάτων παντελής ἀφανισμός.

Ἡ δέ χώρα τοῦ βασιλέως Ἀσσούρ, λέγω δή τοῦ πονηροῦ καί ἀρχεκάκου δαίμονός ἐστιν, ἡ στιβαρά καί ἀπότομος τῆς κακίας καί

ἀγνωσίας ἕξις, ἡ πάσης τῆς κατ᾽ ἀρετήν ζωτικῆς θερμότητος, καί παντός τοῦ κατά τήν γνῶσιν νοεροῦ φωτός ἐστερημένη· εἰς ἥν μόνος ὁ διάβολος ἀποστρέφεται, μετά τήν πεῖραν τῆς προσβολῆς, μή δυνηθείς μετοικίσαι εἰς τήν οἰκείαν ἕξιν, τήν Ἱερουσαλήμ· τουτέστι, τήν θεοφιλῆ καί ἀπαθέστατην ψυχήν, ἔχουσαν ἐν ἑαυτῇ τόν τε τῆς πράξεως καθάπερ Ἐζεκίαν τέλειον λόγον, καί τόν τῆς γνώσεως καθάπερ Ἡσαΐαν πεφωτισμένον νοῦν, τόν Θεόν ἱλεουμένους, καί δι᾽ ἀγγέλου τήν πονηράν ἐξαφανίζοντας δύναμιν.

Ἐγώ μέν οὕτως τούς τόπους ἐνόησα, κατά τήν εἰποῦσάν μοι δύναμιν. Εἰ δέ τις ὑψηλοτέρως ἐκδέχεσθαι δύναται τά εἰρημένα, καί ἑαυτῷ καί ἡμῖν χαρίζεται, τιμιώτερον ἐκφαίνων, ὡς δεῖ, τῶν γεγραμμένων τόν νοῦν· προέφην γάρ, ὅτι μένει διά παντός ἀπερίγραφος, ὁ τῆς θείας Γραφῆς λόγος· πάντας μέν περιγράφων τούς λέγοντας, αὐτός δέ τοῖς λέγουσιν οὐδαμῶς περιγραφόμενος. Ὥστε κἄν εἶπόν τι κατά τήν δύναμιν, καί τοῦτο τολμηρῶς, ἀλλ᾽ οὐ περιέλαβον πᾶσαν τῶν γεγραμμένων τήν δύναμιν, ἀπείρως τῆς ἐμῆς ἀνῳκισμένην δυνάμεως.

ΣΧΟΛΙΑ.

α'. Ὅτι καθάπερ ὁ Θεός κατ᾽ οὐσίαν οὐχ ὑποπέπτωκε γνώσει, οὕτως οὔτε λόγος αὐτοῦ γνώσει τῇ καθ᾽ ἡμᾶς περιλαμβάνεται.

β'. Οἱ μόνῳ τῷ γράμματι προσδήσαντες Ἰουδαϊκῶς τήν διάνοιαν, φησί, κατά τόν αἰῶνα τοῦτον ἐκδέχονται τάς ἐπαγγελίας τῶν ἀκηράτων ἀγαθῶν, ἀγνοοῦντες τά κακά φύσιν τῆς ψυχῆς ἀγαθά.

γ'. Ὁ τήν εἰκόνα φορέσας τοῦ ἐπουρανίου, φησίν, τῷ πνεύματι διά πάντων ἕπεσθαι σπεύδει τῆς ἁγίας Γραφῆς· ἐν ᾧ δι᾽ ἀρετῆς καί γνώσεως ἡ τῆς ψυχῆς ὑπάρχει συντήρησις· ὁ δέ τήν εἰκόνα φέρων τοῦ χοϊκοῦ, τό γράμμα μόνον περιέπει· ἐν ᾧ ἡ κατ᾽ αἴσθησιν πρός σῶμα λατρεία συνέστηκε, τά πάθη δημιουργοῦσα.

δ'. Ἡ πρᾶξις γεννᾷ τήν ἀρετήν, φησίν, ὡς Ἄχας τόν Ἐζεκίαν.

ε'. Ἡ θεωρία, φησί, γεννᾷ τήν γνῶσιν, ὡς Ἀμώς τόν Ἡσαΐαν.

στ'. Ὁ μετά πράξεως γινώσκων, φησί, καί μετά γνώσεως πράττων, θρόνος καί ὑποπόδιόν ἐστι τοῦ (476) Θεοῦ. Θρόνος μέν, διά τήν γνῶσιν· ὑποπόδιον δέ, διά τήν πρᾶξιν.

ζ' Παρεμβολή βασιλέως Ἀσσούρ, ἐστίν ἡ συναγωγή τῶν πονηρῶν λογισμῶν, ἐν ᾗ δυνατός ἐστιν, ὁ πρός ἡδονήν τάς φυσικάς ὀρέξεις κινῶν· πολεμιστής δέ ἐστιν. Ὁ το θυμικόν εἰς τήν τῶν ἡδονῶν

φυλακήν διεγείρων· ἄρχων δέ, ὁ ταῖς ἐπιφανείαις τῶν ὁρατῶν τάς αἰσθήσεις διερεθίζων· στρατηγός δέ, ὁ εἰδοποιός τῶν παθῶν, καί τῶν ὕλων καί τρόπων τῆς αὐτῶν ἐνεργείας ἐπινοητικός.

η'. Ὅτι χωρίς αἰσθητοῦ πράγματος, φησίν, οὐ συνίσταται πάθος. Μή γάρ οὔσης γυναικός, οὐκ ἔστι πορνεία· καί βρωμάτων οὐκ ὄντων, οὐκ ἔσται γαστριμαργία· καί χρυσίου μή ὄντος, φιλαργυρίας οὐκ ἔσται πάθος. Οὐκοῦν πάσης ἐμπαθοῦς κινήσεως τῶν ἐν ἡμῖν φυσικῶν δυνάμεων, ἄρχει τό αἰσθητόν, ἤγουν ὁ δι᾽ αὐτοῦ τήν ψυχήν διερεθίζων πρός ἁμαρτίαν δαίμων.

θ'. Ἡ τρίψις, φησί, τήν ἐνέργειαν· ἡ ἔκτριψις δέ, καί αὐτήν ἀφανίζει τῆς κακίας τήν ἐνθύμησιν.

ι'. Ὡς γάρ ὁ βοῤῥᾶς, φησίν, ἥλιον οὐκ ἔχει διοδεύοντα· οὕτως οὔτε ἡ κακή ἕξις, ἥν οἰκεῖ ὁ διάβολος, γνώσεως φωτισμόν ἐπιδέχεται.

## *ΕΡΩΤΗΣΙΣ ΝΑ'.*

***"Καί πολλοί ἔφερον δῶρα τῷ Κυρίῳ εἰς Ἰερουσαλήμ, καί δόματα τῷ Ἐζεκίᾳ βασιλεῖ Ἰούδα. Καί ὑπερήρθη κατ᾽ ὀφθαλμούς πάντων τῶν ἐθνῶν". Τί τά δῶρα, καί τί τά δόματα; καί τί τό ὑπεραρθῆναι κατ᾽ ὀφθαλμούς πάντων τῶν ἐθνῶν.***

Ἀπόκρισις.

Τήν ὁρωμένην ἅπασαν φύσιν ὁ Θεός ὑποστήσας, οὐκ ἀφῆκεν αὐτήν κατά μόνην κινεῖσθαι τήν αἴσθησιν· ἀλλ᾽ ἐγκατέσπειρεν ἑκάστῳ τῶν αὐτήν συμπληρούντων εἰδῶν, καί σοφίας λόγους πνευματικούς, καί ἀγωγῆς ἀστείας τρόπους· ὥστε μή μόνον διά τῶν σιγώντων κτισμάτων μεγαλοφώνως κηρύττεσθαι τόν Ποιητήν τῶν κτισμάτων τοῖς τῶν γεγονότων μηνυόμενον λόγοις· ἀλλά καί τόνἄνθρωπον τοῖς κατά φύσιν τῶν ὁρωμένων θεσμοῖς τε καί τρόποις παιδαγωγούμενον, εὐμαρῶς τήν πρός αὐτόν ἄγουσαν ὁδόν τῆς διδασκαλίας εὑρεῖν. Τοῦτο γάρ τῆς ἄκρας ἦν ἀγαθότητος ἴδιον, μή μόνον τάς θείας καί ἀσωμάτους τῶν νοητῶν οὐσίας, τῆς ἀποῤῥήτου καί θείας ἀπεικονίσματα καταστῆσαι δόξης, ὅλην κατά τό θεμιτόν ἀναλόγως αὐταῖς εἰσδεχομένας τήν ἀπερινόητον ὡραιότητα τοῦ ἀπροσίτου κάλλους· ἀλλά καί τοῖς αἰσθητοῖς καί τῶν νοητῶν οὐσιῶν κατά πολύ ἀποδέουσιν, ἀπηχήματα τῆς οἰκείας ἐγκαταμίξαι μεγαλειότητος, δυνάμενα τόν ἀνθρώπινον νοῦν ἐποχούμενον αὐτοῖς πρός τόν Θεόν ἀπλανῶς διαπορθμεύειν, ὑπεράνω τῶν πάντων τῶν

ὁρωμένων γενόμενον, καί τά μέσα πάντα, δι᾿ ὧν τήν τοιαύτην τεμών ἐξήνυσε πορείαν, κατόπιν ἑαυτοῦ ποιησάμενον.

Οὐ μόνον δέ, ἀλλ᾿ ἵνα καί μηδείς τῶν λατρευσάντων τῇ κτίσει παρά τόν Κτίσαντα, πρόφασιν ἀπολογείας (477) ἔχῃ τήν ἄγνοιαν· φωνῆς πάσης τρανότερον τόν οἰκεῖον ποιητήν κηρυττούσης ἀκούων τῆς κτίσεως.

Οὐκοῦν ἐπειδή καί λόγους σοφίας πνευματικούς, καί τρόπους ἀγωγῆς καί ἀστείας ἐγκατασπαρέντας αὐτῇ φυσικῶς ἔχει παρά τοῦ Δημιουργοῦ τῶν ὁρωμένων ἡ φύσις· πᾶς νοῦς εἰκότως ἀρετῇ καί γνώσει κατεστεμμένος, οἷα δή κατά τόν μέγαν Ἐζεκίαν βασιλεύειν λαχών τῆς Ἱερουσαλήμ, τουτέστι, τῆς εἰρήνην μόνην ὁρώσης ἕξεως· ἤγουν τῆς παντοίων ἐστερημένης παθῶν καταστάσεως. Ὅρασις γάρ εἰρήνης Ἱερουσαλήμ ἑρμηνεύεται· πᾶσαν ἔχει τήν κτίσιν ὑποχείριον, διά τῶν αὐτήν συμπληρούντων εἰδῶν, ὁ τοιοῦτος νοῦς· τῷ μέν Θεῷ, δι᾿ αὐτοῦ τούς ἐν αὐτῇ πνευματικούς τῆς γνώσεως καθάπερ δῶρα προσκομίζουσαν λόγους· αὐτῷ δέ, καθάπερ δόματα τούς ἐνυπάρχοντας αὐτῇ κατά τόν φυσικόν νόμον πρός ἀρετήν τρόπους παρέχουσαν· καί διά τῶν ἀμφοτέρων δεξιουμένην τόν κατ᾿ ἀμφότερα κρατίστως εὐδοκιμεῖν δυνάμενον· λέγω δέ τόν κατά λόγον καί βίον πράξεώς τε καί θεωρίας τελειωθέντα φιλόσοφον νοῦν. Δῶρα μέν οὖν τῷ Κυρίῳ, καί δόματα τῷ βασιλεῖ φέρεσθαι προσδιωρισμένως εἴρηκεν ὁ Λόγος. Ἐπειδή, καθώς φασιν οἱ περί ταῦτα τήν σπουδήν ἐσχηκότες, δῶρα σεσημειωμένως ἐκεῖνα λέγεται, τά τοῖς ἀπροσδεέσιν εἰσκομιζόμενα· δόματα δέ, τά τοῖς δεομένοις διδόμενα. Διό καί ἡ καθ᾿ ὅλου συνήθεια τῶν ἀνθρώπων, τά τοῖς βασιλεῦσι προσφερόμενα, προσηγόρευσε δῶρα· τυχόν τό ἀπροσδεές τῶν δεχομένων σκοπήσασα.

Φήσειε δ᾿ ἄν τις τῶν πάντα φιλοτίμων, ταύτης ἕνεκεν τῆς αἰτίας καί τά πρός τῶν Μάγων προσενεχθέναι τῷ Κυρίῳ καθ᾿ ἡμᾶς γενομένῳ διά φιλανθρωπίαν, ( 480) δῶρα προσηγορεῦθαι, μηδέν τῆς ἀληθείας τοῦτο λέγων παραμείβων τό σύμβολον.

Προσκομίζοντες οὖν τούς ἐκ τῶν γεγονότων πνευματικούς τῷ Κυρίῳ λόγους, δῶρα προσφέρομεν, καθ᾿ ὅτι πάντων τούτων ἐστίν κατά φύσιν ἀπροσδεής· οὐ γάρ ὡς δεομένῳ πρός ἄλλοις, καί τούς τῶν ὄντων τῷ Κυρίῳ προσκομίζομεν λόγους, ἀλλ᾿ ἵνα ποσῶς ἡμεῖς κατά δύναμιν ἐκ τῶν αὐτοῦ κτισμάτων χρεωστούμενον αὐτόν ἀνυμνήσωμεν. Δόματα δέ λαμβάνει, ὁ τήν θείαν προσθύμως

μετερχόμενος φιλοσοφίαν· ὡς καί τρόπων πρός ἀρετήν, καί λόγων πρός γνῶσιν κατά φύσιν δεόμενος.

Ἤ καί ἄλλως ἐκληπτέον τά δῶρα. Ἐπειδή δῶρον πάλιν ἐστί, τό τοῖς μηδέν προεισενεγκοῦσι διδόμενον· δῶρα μέν λαμβάνει ὁ γνωστικός νοῦς ἐκ τῆς τῶν ὄντων θεωρίας, δι᾽ αὐτοῦ προσαγομένους τῷ Κυρίῳ, τούς ἄνευ λογικῆς ἀποδείξεως συνεκτικούς λόγους τῆς πίστεως· ὑπέρ ἧς οὐδείς οὐδαμῶς οὐδέν προεισφέρει· φυσικῶς, καί δίχα πάσης τῆς ἐν λόγοις τεχνικῆς μεθοδείας, τόν ἴδιον ποιητήν θεώμενος, μηνυούσης τῆς κτίσεως. Τί γάρ καί προσενέγκαι δυνήσεταί τις πίστει παρισωθῆναι δυνάμενον, ὥστε χρέος, ἀλλά μή δῶρον τήν εἰς τόν Θεόν πίστιν κομίσασθαι; Δόματα δέ λαμβάνει, τούς τῶν ὄντων φυσικούς νόμους τοῖς τρόποις μιμούμενος· δηλαδή τῆς τούτων προεισφέρων κτίσεως, τούς κατά τήν μετάνοιαν πόνους· δι᾽ ὧν ἐκδύεσθαι πρότερον τόν παλαιόν πέφυκεν ἄνθρωπον, καί οὕτω πρός συλλογήν καρπῶν δικαιοσύνης ἐξιέναι, τούς ἐν τοῖς οὖσι πεποιημένους πρός ἀρετήν ἀναλεγόμενος τρόπους· οἷς οὐκ ἄν ποτε προσεγγίσειεν, μή πρότερον πόνοις καί ἱδρῶσι πολλοῖς καθάπερ ὄφις τήν λεβηρίδα· φημί δή τόν παλαιόν εἰσάγαν καταπιέσας ἄνθρωπον καί ἀποδυσάμενος.

Διό τῷ μέν Θεῷ δῶρα τούς ἐκ τῶν ὄντων εἰκότως συνεκτικούς τῆς πίστεως λόγους ὁ γνωστικός δέχεται νοῦς, μηδέ τό σύνολον τούτων προεισφέρων καί προδιδούς. Τίς γάρ, φησί, προέδωκεν αὐτῷ, καί ἀνταποδοθήσεται αὐτῷ;

Λαμβάνει δέ δόματα, τούς κατά φύσιν τῶν ὄντων τοῖς τρόποις ἐκμιμούμενος νόμους· οἷον ἔτι λέγω, μιμούμενος μέν ὁ διαγνωστικός νοῦς τόν κατά φύσιν τοῦ οὐρανοῦ νόμον, δόματα λαμβάνει, ὁμαλωτάτην καί ὡσαύτως ἔχουσαν ἀεί τῆς ἀρετῆς ἐν ἑαυτῷ καί τῆς γνώσεως διαφυλάττων τήν κίνησιν, παγίως φέρουσαν καθάπερ ἀστέρας, τούς περί τῶν ὄντων φωτεινούς καί διαυγεστάτους λόγους.

Μιμούμενος δέ τοῦ ἡλίου τόν κατά φύσιν νόμον, ἄλλους ἐξ ἄλλων πρός τάς χρείας τοῦ παντός ἀμειβομένου τόπους, ἕτερον δόμα λαμβάνει, τήν πρός τό πᾶσι τοῖς συμβαίνουσι, δεόντως μετά σοφίας ἁρμόζεσθαι σύνεσιν, μηδέν ὑφιείς ἑαυτοῦ τῆς φωτιστικῆς κατά τήν ἀρετήν καί τήν γνῶσιν ταυτότητος.

Λαμβάνειν δέ πάλιν καί τοῦ ἀετοῦ, τό πρός τήν θείαν τοῦ ἀκηράτου φωτός μαρμαρυγήν εὐθυτενές τῶν ὀμμάτων, (481) κατά μηδέν ὑπό τῆς παμφαοῦς ἀκτῖνος τήν νοεράν δριμυσσόμενος κόρην.

Μιμεῖται καί τήν ἔλαφον, καθάπερ ὄρη τά ὕψη τῶν θείων θεωρημάτων μεταδιώκων· καί τά ἐμφωλεύοντα τῇ φύσει τῶν ὄντων πάθη, ἰοβόλων δίκην τῷ λόγῳ διαφθείρων τῆς διακρίσεως· καί τόν τῇ μνήμῃ κατά περίστασιν ἐναπολαμβανόμενον τῆς κακίας ἰόν, ταῖς πολλαῖς καί διαφόροις πηγαῖς κατασβεννύων τῆς γνώσεως.

Μιμεῖται καί τῆς δορκάδος τήν ὀξυωπίαν, καί τοῦ ὀρνέου τήν ἀσφάλειαν, τούς βρόχους τῶν πολεμούντων τῇ ἀρετῇ δαιμόνων, ὡς δορκάς ὑπερπηδῶν καί διαλλόμενος· καί τάς παγίδας τῶν τῇ γνώσει μαχομένων πνευμάτων, ὡς ὄρνεον ὑπεριπτάμενος.

Φασί τινες τοῦ λέοντος ἀλλήλοις τά ὀστᾶ συγκρουόμενα, πῦρ ἀποβάλλειν. Μιμεῖται καί τοῦτο τό φύσει πεφυκός ὁ γνωστικός νοῦς καί θεοφιλής, διά τῆς κατά τήν ἀλήθειαν συζητήσεως, ἀλλήλοις τούς εὐσεβεῖς ὀστέων δίκην συγκρούων λογισμούς, καί τό πῦρ ἐξάπτων τῆς γνώσεως.

Γίνεται φρόνιμος ὡς ὁ ὄφις, καί ἀκέραιος ὡς ἡ περιστερά, διά πάντων ἄθλαστον ὡς κεφαλήν τήν πίστιν συντηρῶν· καί τοῦ θυμοῦ τήν πικρίαν ἐξ ἑαυτοῦ σαφῶς κατά τήν περιστεράν ἀποθέμενος· ὡς τοῖς θλίβουσι καί ἐπηρεάζειν σπουδάζουσι μνησικακεῖν οὐκ εἰδώς.

Δέχεται κἀκ τῆς τρυγόνος καθάπερ δόμα, τήν τῆς σωφροσύνης ἐκμίμησιν· γνώμης ἔργα ποιούμενος, πάντα τά ἐξ ἀνάγκης προσόντα ταῖς φύσεσιν.

Οὕτω μέν οὖν κατά τόν ἑκάστου λόγον τε καί τρόπον τῆς φύσεως, μετά γνώσεως ἐπελθών τήν τῶν ὄντων γένεσιν ὁ φιλοσοφώτατος νοῦς· ὡς μέν γνωστικός, τούς τῶν ὄντων πνευματικούς λόγους καθάπερ δῶρα δέχεται τῷ Θεῷ προσφερομένους παρά τῆς κτίσεως· ὡς δέ πρακτικός, τούς τῶν ὄντων φυσικούς νόμους τοῖς τρόποις μιμούμενος, δόματα δέχεται, πᾶσαν ἐκκαλύπτων ἐν ἑαυτῷ κατά τόν βίον τῆς ἐμφερομένης ἀοράτως τοῖς οὖσι θείας σοφίας τήν μεγαλοπρέπειαν.

Εἰ δέ καί τοῦτο φαίη τις, ὅτι δῶρα τῷ Θεῷ προσφέρεσθαι διωρίσατο φήσας ὁ Λόγος, ἵνα παραστήσῃ τό τῆς θείας ἀγαθότητος ἄπειρον· ὡς μηδέν προεισενεγκούσης, δέχεσθαι παρ᾽ ἡμῶν ὡς δῶρα τά δόματα, τό πᾶν ἡμῖν λογιζομένης τῆς εἰσφορᾶς, οὐκ ἔξω τοῦ πρέποντος γέγονε τοῦτο φήσας, πολλήν καί ἄφατον εἶναι περί ἡμᾶς τοῦ Θεοῦ δείξας τήν ἀγαθότητα· δεχομένου ὡς ἡμῶν τά ἑαυτοῦ ἐξ ἡμῶν αὐτῷ προσφερόμενα· καί τήν ὑπέρ αὐτῶν ὡς ἀλλοτρίων ὀφειλήν ὁμολογοῦντος.

Καί ὑπερήρθη, φησίν, Ἐζεκίας κατ᾿ ὀφθαλμούς πάντων τῶν ἐθνῶν. Ὁ διά πράξεως καί θεωρίας κατορθώσας εἰς ἄκρον τήν ἀρετήν καί τήν γνῶσιν κατά τόν Ἐζεκίαν, εἰκότως ὑπεραίρεται πάντων τῶν ἐθνῶν· τῶν τε σαρκικῶν καί διαβεβλημένων λέγω παθῶν ὑπεράνω κατά τήν πρᾶξιν γενόμενος, ( 484) καί τῶν φυσικῶν λεγομένων σωμάτων. Καί ἁπλῶς, ἵνα συνελών εἴπω, πάντων τῶν ὑπό αἴσθησιν εἰδῶν, κατά τήν θεωρίαν τούς ἐν αὐτοῖς πάντας γνωστικῶς διαπεράσας λόγους· ἐθνῶν καί αὐτῶν τῇ Γραφῇ τροπικῶς ὀνομαζομένων, διά τό πρός τήν ψυχήν, καί τόν νοῦν κατά φύσιν ἀλλόφυλον· ἅπερ μή πολεμοῦντα τόν νοῦν, πολεμεῖσθαι παντελῶς ὁ Θεός οὐ προσέταξεν. Οὐ γάρ τοῖς ἔξω περί τήν αἴσθησιν πολεμεῖν ἐπετάγημεν κτίσμασιν, ἀλλά τοῖς ἐν ἡμῖν αὐτοῖς παρά φύσιν κατά τήν γῆν τῆς καρδίας οἰκοῦσι τῆς ἀτιμίας ἀεί διαμάχεσθαι πάθεσιν ἐκελεύθημεν, ἕως ἄν ἐξολοθρεύσωμεν αὐτούς ἐξ αὐτῆς· καί κατασχῶμεν μόνοι τήν γῆν, ἀσάλευτον μένουσαν τῇ ἀναιρέσει τῶν ἀλλοτρίων παθῶν. Διό καί τετηρημένως, κατά μέν τόν τόπον τῆς εἰσφορᾶς τῶν δώρων τοῦ Θεοῦ, καί τῶν δομάτων τοῦ βασιλέως, οὐχ ἁπλῶς ἡ Γραφή, Πάντες ἔφερον, εἶπεν, δῶρα τῷ Θεῷ, καί δόματα τῷ βασιλεῖ· ἀλλά, πολλοί· τουτέστιν, οὐ πάντα τά ἔθνη, ἀλλά πολλά ἔθνη· δηλοῦντος ἐνεῦθεν, ὅτι εἰσί λεγόμενα ἔθνη, ἐξ ὧν οὐδέν τῷ Θεῷ, ἤ τῷ βασιλεῖ προσάγεται. Τά γάρ συμπληροῦντα τήν τῶν γεγονότων φύσιν κτίσματα, μόνα φέρειν εἰκότως φησίν τῷ τε Θεῷ δῶρα, τούς ἐν αὐτοῖς θειοτέρους, καθ᾿ οὕς καί ἐκτίσθησαν λόγους, ὡς ἐκ Θεοῦ γεγενημένα· καί δόματα τῷ βασιλεῖ, τούς οἰκείους αὐτῶν καί κατά φύσιν δηλονότι νόμους, ὡς δι᾿ αὐτόν [marg. τόν ἄνθρωπον δηλονότι] ὑποστάντα· καθ᾿ οὕς ῥυθμιζόμενος ὁ ἀνθρώπινος νοῦς, τούς συνεκτικούς τῆς ἀρετῆς συνίστησι τρόπους· ἀλλ᾿ οὐχί τῶν ἐκ Θεοῦ μή γεγονότων ἐν ἡμῖν ἐθνῶν, λέγω δέ τῶν παθῶν, παρυπόστασις προσφέρει Θεῷ ἤ ἀνθρώποις· διότι οὐκ ἐκ Θεοῦ γεγένηται. Ἐξ ἡμῶν γάρ τῆς θείας παρακουσάντων ἐντολῆς, ἀλλ᾿ οὐκ ἐκ Θεοῦ τά πάθη τῆς ἀτιμίας ἔσχε τήν γένεσιν· ἐξ ὧν οὐδείς οὐδαμῶς οὐδέν προσφέρει Θεῷ, μή ἐχόντων τό σύνολον λόγον σοφίας ἤ γνώσεως· ἅτε τῆς σοφίας ἀποβολῇ καί τῆς γνώσεως παρυποστάντα.

Κατά δέ τόν τόπον τοῦ, Καί ἐπήρθη κατ᾿ ὀφθαλμούς πάντων τῶν ἐθνῶν, τοῦ Λόγου δηλοῦντος, ὡς ὁ τήν ἀπάθειαν καθάπερ Ἱερουσαλήμ οἰκεῖν διά τῶν κατά τήν πρᾶξιν πόνων λαχών, καί πάσης τῆς καθ᾿ ἁμαρτίαν ἀπηλλαγμένος ὀχλήσεως, καί μόνην εἰρήνην καί πράττων καί λαλῶν καί ἀκούων καί λογιζόμενος, μετά τό δέξασθαι

διά τῆς φυσικῆς θεωρίας τήν φύσιν τῶν ὁρατῶν, τούς ἐν αὐτῇ θειοτέρους καθάπερ δῶρα τῷ Κυρίῳ, δι᾽ αὐτοῦ προσκομίζουσαν, λόγους· καί τούς ἐν αὐτῇ νόμους, αὐτῷ καθάπερ βασιλεῖ δόματα φέρουσαν, κατ᾽ ὀφθαλμούς ἐπαίρεται πάντων τῶν ἐθνῶν, ὑπεράνω γινόμενος, πάντων δηλονότι τῶν τε κατά τήν σάρκα παθῶν διά πράξεως, τῶν τε φυσικῶν σωμάτων, καί τῶν ὑπό τήν αἴσθησιν ἁπάντων εἰδῶν διά τῆς θεωρίας, τούς ἐν αὐτοῖς πνευματικούς διαβάς λόγους τε καί τρόπους· οὕτως νενόηταί μοι καί τό, Ἔφερον πολλοί, ἀλλ᾽ οὐ πάντες· τουτέστι, τά ἐκτός ἔθνη, ἤγουν κτίσματα· ἀλλ᾽ οὐ τά ἐντός ἡμῶν ἔθνη, ἤγουν πάθη. Πάντα γάρ τά συμπληροῦντα τόν κόσμον κτίσματα, ( 485) Θεόν ὑμνεῖ καί δοξάζει φωναῖς ἀλαλήτοις· καί ὁ ἐκείνων ὕμνος, ἡμέτερος γίνεται· Δι᾽ ὧν ἐγώ τό ὑμνεῖν λαμβάνω, φησί Γρηγόριος ὁ μέγας τῆς θεολογίας ἐπώνυμος.

Οὐκοῦν ἡ ἁγία Γραφή, καθώς δέδεικται, πᾶσιν ἄνετον προθεῖσα τοῖς βουλομένοις σωθῆναι, τό ἑαυτῆς βούλημα, ἑνί προσώπῳ παντελῶς ἑαυτήν οὐ συνέκλεισεν. Ἕκαστος γάρ δύναται Ἐζεκίας γενέσθαι, τόν Ἐζεκίαν κατά πνεῦμα μιμούμενος· καί διά προσευχῆς βοῆσαι πρός τόν Θεόν, καί εἰσακουσθῆναι· καί δέξασθαι ἄγγελον· λέγω δέ σοφίας μείζονος λόγον καί γνώσεως, ἐν καιρῷ τῆς τῶν πονηρῶν δαιμόνων ἐπαναστάσεως· καί ἐκτρίψαι πάντα δυνατόν καί πολεμιστήν καί ἄρχοντα καί στρατηγόν· τουτέστι, τάς ἐμπαθεῖς τῆς ἐπιθυμίας καί θυμοῦ κινήσεις· καί τῶν αἰσθητῶν τήν προσπάθειαν· καί τόν, καθάπερ στρατηγόν, ἐπινοοῦντα τούς καθ᾽ ἁμαρτίαν τρόπους, λογισμόν· καί οὕτως ἐν εἰρήνῃ γενέσθαι διά τῆς ἀπαλλαγῆς τῶν παθῶν, καί σχολάσαι τῇ τῶν ὄντων θεωρίᾳ, καί δέξασθαι τούς συνεκτικούς τῆς γνώσεως λόγους καθάπερ δῶρα, καί τούς τῶν ἀρετῶν συστατικούς τρόπους καθάπερ δόματα, πρός τε δόξαν Θεοῦ καί προκοπήν ἑαυτοῦ, παρά πάσης αὐτῷ προσφερομένους τῆς κτίσεως· καί μετά τοῦτο πρεπόντως κατ᾽ ὀφθαλμούς ὑπεραρθῆναι πάντων τῶν ἐθνῶν· τουτέστιν, ὑπεράνω πάντων τῶν παθῶν κατά τήν ἀρετήν, καί πάντων τῶν κτισμάτων γενέσθαι κατά γνῶσιν· καί φυλάξαι διά μετριοφροσύνης τήν χάριν τῆς σωτηρίας, καί μή παθεῖν τά τούτοις κατά Γραφήν ἑπόμενα.

ΣΧΟΛΙΑ.

α'. Τίνες οἱ λόγοι, καί τίνες οἱ τρόποι τῆς κτίσεως.

β'. Τριῶν τούτων ἕνεκεν ἐγκατέσπειρεν ὁ Θεός τῇ ὁρωμένῃ φύσει λόγους πνευματικούς καί τρόπους ἀγωγῆς ἀστείας· ὥστε κηρύττεσθαι τόν Ποιητήν τῶν κτισμάτων, καί ὥστε τόν ἄνθρωπον τοῖς κατά φύσιν θεσμοῖς τε καί τρόποις παιδαγωγούμενον, εὑρεῖν εὐμαρῶς τήν πρός αὐτόν ἄγουσαν τῆς δικαιοσύνης ὁδόν· καί ἵνα μηδείς τῶν ἀπίστων, πρόφασιν ἀπολογίας ἔχῃ τήν ἄγνοιαν.

γ'. Μέσα Θεοῦ καί ἀνθρώπων εἰσί τά αἰσθητά καί τά νοητά· ὧν ὑπεράνω γίνεται χωρῶν πρός Θεόν ὁ ἀνθρώπινος νοῦς· τοῖς μέν αἰσθητοῖς κατά τήν πρᾶξιν μή δουλούμενος· τοῖς νοητοῖς δέ κατά τήν θεωρίαν μηδόλως κρατούμενος.

δ'. Ὅτι κατήγορος ἡ κτίσις γίνεται, φησί, τῶν ἀσεβῶν ἀνθρώπων· διά μέν τῶν ἐν ἑαυτῇ λόγων τόν ἑαυτῆς κηρύττουσα Ποιητήν· διά δέ τῶν ἐν αὐτῇ κατ᾽ εἶδος ἕκαστον φυσικῶν νόμων πρός ἀρετήν παιδαγωγοῦσα τόν ἄνθρωπον. Οἱ μέν οὖν λόγοι ἐν τῇ συνοχῇ τῆς μονιμότητος τοῦ καθ᾽ ἕκαστον εἴδους γνωρίζονται· οἱ δέ νόμοι, ἐν τῇ ταυτότητι φαίνονται τῆς τοῦ καθ᾽ ἕκαστον εἴδους φυσικῆς ἐνεργείας· οἷς μή ἐπιβάλλοντες κατά τήν ἐν ἡμῖν νοεράν δύναμιν, (488) τήν τε τῶν ὄντων ἠγνοήσαμεν αἰτίαν, καί πᾶσι τοῖς παρά φύσιν προστετήκαμεν πάθεσι.

ε'. Ὁ ἄνθρωπος τούς πνευματικούς τῶν ὁρωμένων λόγους κατανοῶν διδάσκεται, ὡς ἔστι τῶν φαινομένων Ποιητής· τήν τοῦ ὁποῖός ἐστιν ἔννοιαν, ὡς ἀνέφικτον ἀφείς ἀνεξέταστον. Τήν γάρ ὅτι Ποιητής, ἀλλ᾽ οὐχ ὁποῖός ἐστιν ὁ Ποιητής ὁρωμένη σοφῶς ἡ κτίσις παρέχει κατάληψιν. Διόπερ δῶρα μέν κέκληκεν ἡ Γραφή τούς λόγους τῶν ὁρωμένων, ὡς τῆς κατά πάντων δεσποτείας μηνυτικούς· δόματα δέ, τούς φυσικούς αὐτῶν νόμους, δι᾽ ὧν ὁποῖόν τι τῶν ὄντων ἕκαστον ὑπάρχει κατ᾽ εἶδος γνωριζόμενον διδάσκει τόν ἄνθρωπον, ἀλλοτρίῳ νόμῳ μή παραφθείρειν τόν κατά φύσιν.

στ'. Ἄλλη θεωρίας περί τῶν δώρων μεταβολή.

ζ'. Κατά δωρεάν φησι τήν Θεόν εἰλήφαμεν πίστιν, γνῶσιν ὑπάρχουσαν ἀμέσως περί Θεόν ἱδρυμένην· ἥτις ἀναπόδεικτον ἔχει τήν ἐπιστήμην. Ἐλπιζομένων γάρ ἐστιν ὑπόστασις πραγμάτων, οὔπω γνώσει τῶν ὄντων τινός περιληφθέντων.

η'. Ἀρετῆς μέν προεισφέρεται πίστις, φησίν· ἀρετή δέ, γνώσεως· πίστεως δέ, παντελῶς οὐδέν. Ἀρχή γάρ τῶν ἐν ἀνθρώποις καλῶν ἡ πίστις· ἧς οὐδέν παρ᾽ ἡμῶν προεισάγεσθαι πέφυκεν.

θ'. Οὐδέν φησίν ἐστιν πίστεως ἰσοστάσιον.

ι'. Ὁ πιστός δηλονότι καί πνευματικός.

ια'. Συνηγόρους τῆς εἰς τόν Θεόν πίστεως τούς τῶν ὄντων ὁ γνωστικός νοῦς δέχεται λόγους φησίν, ἀλλ᾽ οὐ ποιητικούς τῆς πίστεως. Οὐκ εἰσί γάρ ἀρχή τῆς πίστεως οἱ λόγοι τῶν γεγονότων· ἐπεί καί περιγραπτόν ἔσται τό πιστευόμενον. Οὗ γάρ ἡ πρός ἀπόδειξιν ἀρχή γνώσει περιλαμβάνεται, τοῦτο δηλαδή, γνώσει κατά φύσιν ὑπάρχει περιληπτόν.

ιβ'. Οὐρανοῦ νόμος ἐστί, τό κατά κύκλον ὡσαύτως φέρεσθαι, παρ᾽ οὗ λαμβάνει τήν ἐν τῷ καλῷ παγίαν κίνησιν ὁ γνωστικός, περί τό ταυτόν τῆς ἀρετῆς τήν οὐρανοῦ μιμούμενος ἀεικινησίαν.

ιγ'. Ἡλίου νόμος ἐστί φυσικός, τό ταῖς μεταβάσεσιν ἐργάζεσθαι τήν χρόνων διαφοράν· παρ᾽ οὗ λαμβάνει, τό πρός τάς διαφόρους ἁρμόζεσθαι συμβάσεις ὁ γνωστικός, λόγῳ φυλάττων τῆς ἀρετῆς τήν λαμπρότητα, μηδενί τῶν ἀβουλήτως συμβαινόντων ἀμαυρουμένην.

ιδ'. Ἀετοῦ νόμος ἐστί φυσικός,τό δέχεσθαι κατά τῆς κόρης τοῦ ἡλίου τήν ἀκτῖνα προσβάλλουσαν· πρ᾽ οὗ λαμβάνει κατά γνώμην ὁ γνωστικός, διά παντός τῷ θείῳ φωτί τόν νοῦν ἐναστράπτεσθαι.

ιε' Τί διδάσκεται κἀκ τοῦ φυσικοῦ νόμου τῶν ἐλάφων ὁ γνωστικός, τήν ὄντων φύσιν διασκεπτόμενος.

ιστ'. Τί κἀκ τῆς δορκάδος καί τοῦ ὀρνέου κατά μίμησιν λαμβάνων, ἀνάλωτον φυλάττει τήν ἀρετήν, ὁ κατά πρᾶξιν τήν ὁδόν τέμνων τήν γνώσεως.

(489) ιζ' Ποῖον διδάσκεται καλόν ὁ τά θεῖα φιλοσοφῶν, τήν φυσικήν τοῦ λέοντος θεωρίαν εἰς ἑαυτόν κατά γνώμην λογικῶς μεταφέρων.

ιη'. Πῶς δεῖ μιμούμενον τόν ὄφιν καί τήν περιστεράν γένεσθαι φιλόσοφον.

ιθ'. Τί κἀκ τῆς τρυγόνος ὠφελεῖσθαι δυνάμεθα.

κ'. Ὁ πρός τόν ἑαυτοῦ νόμον, τούς τῶν ὄντων κατά μίμησιν μεταφέρων νόμους, ἐνάρετος, λογίζων τῶν ἐστερημένων λόγου τήν κίνησιν· ὁ δέ τόν ἑαυτοῦ πρός τούς νόμους τῶν ἄλλων κατά μίμησιν μεταβάλλων, ἐμπαθής, πρός ἀλογίαν ἐκφέρων τοῦ λόγου τήν δύναμιν.

κα'. Ἄλλη θεωρία περί τῶν δώρων, ἀγαθότητος θείας ἀποδεικτική.

κβ'. Σώματα λέγει φυσικά, πάντα τά ὑπό γένεσιν καί φθοράν.

κγ'. Καλή παρατήρησις, ὅτι δεῖ μή τήν κτίσιν πολεμεῖσθαι παρ᾽ ἡμῶν, ἧς ἐστι δημιουργός ὁ Θεός, ἀλλά τάς ἐπ᾽ αὐτῇ τῶν ἐν ἡμῖν κατ᾽ οὐσίαν δυνάμεων ἀτάκτους καί παρά φύσιν κινήσεις καί ἐνεργείας.

κδ'. Πρακτική φιλοσοφία, τόν πρακτικόν, φησιν, ὑπεράνω ποιεῖ τῶν παθῶν· ἡ θεωρία δέ τόν γνωστικόν καί ὑπεράνω τῶν ὁρωμένων καθίστησιν, ἀναβιβάσασα τόν νοῦν πρός τά συγγενῆ νοητά.

*ΕΡΩΤΗΣΙΣ ΝΒ'.*

***" Καί οὐ κατά τό ἀνταπόδομα ὅ ἀνταπέδωκεν αὐτῷ ὁ Θεός ἀνταπέδωκεν Ἐζεκίας· ἀλλ᾽ ὑψώθη ἡ καρδία αὐτοῦ, καί ἐγένετο ἐπ᾽ αὐτόν ὀργή, καί ἐπί Ἰούδαν καί ἐπί Ἱερουσαλήμ· καί ἐταπεινώθη Ἐζεκίας ἀπό τοῦ ὕψους τῆς καρδίας αὐτοῦ, καί οἱ κατοικοῦντες Ἱερουσαλήμ· καί οὐκ ἐπῆλθεν ἐπ᾽ αὐτούς ὀργή Κυρίου ἐν ταῖς ἡμέραις Ἐζεκίου. " Τί τό ἀνταπόδομά ἐστι, καί τά ἑξῆς;***

Ἀπόκρισις.

Ἐπειδή γάρ μετά πολλάς καί διαφόρους εὐεργεσίας, ἅς κατά καιρούς ὁ Θεός χορηγήσας τῷ Ἐζεκίᾳ, διέσωσεν ἐκ πάσης ἀνάγκης αὐτόν λυτρωσάμενος καί περιστάσεως· αὐτός δέ τήν ὅλην τῷ Θεῷ τῆς σωτηρίας, ὡς ἐχρῆν, οὐκ ἀνέθετο χάριν· ἀλλ᾽ ἥψατό τις αὐτοῦ μῶμος ἀνθρώπινος, καί τῶν κατορθωμάτων ἐπεμερίσατο δύναμιν· εἰκότως κατά τό ἀνταπόδομα ὅ ἀνταπέδωκεν αὐτῷ ὁ Θεός, οὐκ ἀνταπέδωκεν Ἐζεκίας. Οὐ γάρ ἀντεσήκωσε τῷ μεγέθει τῶν ἐπ᾽ αὐτῷ θείων κατορθωμάτων εὐγνωμόνως τήν εὐχαριστίαν· ἀλλ᾽ ὑψώθη ἡ καρδία αὐτοῦ, μή διαδράς τό νόσημα τῆς ἐπ᾽ ἀρετῇ καί γνώσει φυσικῆς οἰήσεως.

Καί ἐγένετο ἐπ᾽ αὐτόν ὀργή, καί ἐπί Ἰούδαν καί ἐπί Ἱερουσαλήμ. Ὀργή Θεοῦ ἐστι, κατά μίαν ἐπιβολήν, ἡ τῶν παιδαγωγουμένων ἐπίπονος αἴσθησις· ἐπίπονος δέ καθέστηκεν αἴσθησις, ἡ τῶν ἀκουσίων πόνων ἐπαγωγή· δι᾽ ἧς τόν ἐπ᾽ ἀρετῇ καί (492) γνώσει φυσιούμενον νοῦν ὁ Θεός πολλάκις ἄγει πρός συστολήν καί ταπείνωσιν· αὐτόν ἑαυτοῦ γενέσθαι διδούς ἐπιγνώμονα, καί τῆς οἰκείας ἀσθενείας συνίστορα· ἧς ἐπαισθόμενος, τό μάταιον οἴδημα τῆς καρδίας ἀποτίθεται· φησί γάρ μετά τό γενέσθαι τήν ὀργήν· Καί ἐταπεινώθη Ἐζεκίας ἀπό τοῦ ὕψους τῆς

καρδίας αὐτοῦ, καί οἱ κατοικοῦντες Ἱερουσαλήμ· καί οὐκ ἐπῆλθεν ἐπ᾽ αὐτούς ὀργή Κυρίου ἐν ταῖς ἡμέραις Ἐζεκίου.

Ἤ πάλιν ὀργή Κυρίου ἐστίν, ἡ ἀνακωχή τῆς τῶν θείων χαρισμάτων χορηγίας· ἥτις, συμφερόντως ἐπί πάντα γίνεται νοῦν ὑψηλόν καί μετέωρον, καί τοῖς δοθεῖσιν αὐτῷ θεόθεν καλοῖς ὡς ἐπ᾽ ἰδικοῖς

κατορθώμασι μεγαλαυχούμενον. Ἄξιον δέ ἐστιν ἐπιστῆσαι, καί ἰδεῖν, τί δήποτε μή ἐπί μόνον τόν Ἐζεκίαν ὑψωθέντα τήν καρδίαν ἦλθεν ἡ ὀργή, ἀλλά καί ἐπί Ἰούδαν καί ἐπί Ἱερουσαλήμ. Τοῦτο μάλιστα πείσει τούς τῷ γράμματι μόνῳ τῆς Γραφῆς φιλοπόνως παρακαθημένους, ὅτι χρή τούς φιλοθέους περί τήν πνευματικήν θεωρίαν τῶν γεγραμμένων τήν πᾶσαν ποιεῖσθαι σπουδήν, εἴπερ ὁ τῆς ἀληθείας λόγος αὐτοῖς πάντων ἐστί τιμιώτερος. Εἰ γάρ μόνῳ τῷ γράμματι στοιχήσομεν, πολλάκις, ὡς εἰκός, ἀδικίαν τῆς θείας καταψηφισόμεθα κρίσεως, τῷ ἁμαρτήσαντι συγκολαζούσης ἀδίκως τούς μηδαμῶς ἁμαρτήσαντας· καί πῶς ἀληθής ὁ φάσκων ἔσται λόγος, Οὐκ ἀποθανεῖται πατήρ ὑπέρ υἱοῦ, οὔτε υἱός ὑπέρ πατρός. Ἕκαστος ἐν τῇ ἁμαρτίᾳ αὐτοῦ ἀποθανεῖται; καί, Σύ ἀποδώσεις ἑκάστῳ κατά τά ἔργα αὐτοῦ, πρός Θεόν παρά τοῦ Δαβίδ λεγόμενον.

Καί ὑψώθη, φησίν, ἡ καρδία Ἐζεκίου· καί οὐκ ἐπήγαγε, Καί ἡ καρδία τῶν οἰκούντων Ἱερουσαλήμ καί Ἰούδαν· πῶς οὖν συνεκόλασε τῷ αἰτίῳ τούς ἀναιτίους, κατ᾽ αὐτούς ἐκείνους συνιδεῖν οὐκ ἔχω. Λέγει γάρ· Καί ὑψώθη ἡ καρδία Ἐζεκίου, καί ἐγένετο ἐπ᾽ αὐτόν ὀργή, καί ἐπί Ἰούδαν καί ἐπί Ἱερουσαλήμ· περί ὧν οὐ γέγραφεν ὁ Λόγος, ὅτι ὑψώθησαν. Οὐκοῦν ἐπειδή ἀμήχανος ἡ λύσις τῶν ἀπορουμένων τοῖς προεστηκόσι τοῦ γράμματος, καί τό ῥητόν τῆς διανοίας προκρίνουσιν, ἐπί τήν πνευματικήν τῶν γεγραμμένων κατανόησιν ἔλθωμεν, καί εὑρήσομεν ἀκμητί, τήν τῷ γράμματι κεκαλυμμένων τήν ἀλήθειαν, φωτός δίκην τοῖς φιλαληθέσι προλάμπουσαν.

(493) Πᾶς τοιγαροῦν γνωστικός καί φιλόσοφος νοῦς, καί τόν Ἰούδαν ἔχει, καί τήν Ἱερουσαλήμ· τόν μέν Ἰούδαν, εἰς τόν κατ᾽ ἐξομολόγησιν τρόπον πνευματικῶς λαμβανόμενον· ἤγουν, τήν ἕξιν τῆς μετανοίας, μετά τῶν αὐτῆς συνεκτικῶν λογισμῶν τῇ προκοπῇ τῆς κατά νοῦν ἀναβάσεως πρακτικῶς συναυξάνουσαν. Ἐξομολόγησις γάρ Ἰούδας ἑρμηνεύεται. Τήν δέ Ἱερουσαλήμ, εἰς τήν εἰρηνικήν τῆς ἀληθείας ἕξιν, μετά τῶν συμπληρούντων αὐτήν θείων θεωρημάτων ἀλληγορικῶς νοουμένην. Καί συντόμως εἰπεῖν, τήν μέν Ἰουδαίαν, ὡς πρακτικήν, ἔχει φιλοσοφίαν· τήν δέ Ἱερουσαλήμ, θεωρητικήν μυσταγωγίαν. Ὁπηνίκα οὖν διά τῆς θείας χάριτος ὁ φιλόσοφος νοῦς, κατά τε τήν πρακτικήν καί τήν θεωρητικήν φιλοσοφίαν, πᾶσαν ἀντικειμένην ἀρετῇ τε καί γνώσει διακρουσάμενος δύναμιν, τελείως τό κατά τῶν πνευμάτων τῆς πονηρίας ἀναδήσεται κράτος, καί μή τήν δέουσαν εὐχαριστίαν ἀνάθηται τῷ αἰτίῳ τῆς νίκης Θεῷ· ἀλλ᾽ ὑψώθη τήν

καρδίαν, ἑαυτόν τοῦ παντός κατορθώματος ἡγησάμενος αἴτιον, τηνικαῦτα ὡς μή ἀνταποδούς τῷ Θεῷ κατά τό ἀνταπόδομα ὅ ἀνταπέδωκεν αὐτῷ, δέχεται οὐ μόνον αὐτός γινομένην ἐπ᾽ αὐτόν τήν ὀργήν τῆς ἐγκαταλείψεως, ἀλλά καί Ἰούδας καί Ἱερουσαλήμ· τουτέστιν, ἡ τῆς πράξεως ἕξις καί τῆς θεωρίας· παθῶν ἀτιμίας εὐθέως συγχωρήσει Θεοῦ κατεπανισταμένων τῆς πράξεως, καί τήν τέως καθαράν μολυνόντων συνείδησιν· καί ψευδῶν ἐννοιῶν συνεπιπλεκομένων τῇ θεωρίᾳ τῶν ὄντων, καί τήν τέως ὀρθήν διαστρεφουσῶν δόξαν τῆς γνώσεως.

Θεῖος γάρ ὡς ἀληθῶς ὅρος τε καί νόμος κατά Πρόνοιαν ἐνυπάρχει τοῖς οὖσι, παιδεύεσθαι διά τῶν ἐναντίων ἐπιτρέπων πρός εὐγνωμοσύνην, τούς ἐπί κρείττοσι φανέντας ἀγνώμονας· καί τήν πεῖραν τῶν ἀντικειμένων, τῆς τῶν καλῶν κατορθωτικῆς θείας ἐπίγνωσιν ποιεῖσθαι δυνάμεως· ὡς ἄν μή παντελῶς ἐπί τοῖς ἀμείνοσιν ἀκαθαίρετον παρά τῆς Προνοίας ἔχειν συγχωρηθέντες, τήν οἴησιν, εἰς τήν ἀντίθεον τῆς ὑπερηφανίας διάθεσιν κατολισθήσωμεν· ἑαυτῶν κατά φύσιν, ἀλλ᾽ οὐκ ἐπίκτητον χάριτι τήν τῆς ἀρετῆς καί τῆς γνώσεως κτῆσιν εἶναι νομίζοντες· καί εὑρεθῶμεν τῷ καλῷ, πρός τήν τοῦ κακοῦ χρώμενοι γένεσιν· καί δι᾽ ὧν ἔδει πλέον διασφιγχθεῖσαν ἐν ἡμῖν ἀσάλευτον μένειν τήν θείαν ἐπίγνωσιν, δι᾽ ἐκείνων, ὡς οὐκ ὤφελον, τήν ταύτης νοσήσαντες ἄγνοιαν.

Ὁ γάρ οἰόμενος ἑαυτόν κατειληφέναι τό τέλος τῆς ἀρετῆς, οὐδαμῶς ἐπιζητήσει λοιπόν τήν πηγαίαν τῶν καλῶν αἰτίαν· ἑαυτῷ μόνῳ περιγράψας τήν τῆς ἐφέσεως δύναμιν· αὐτόν τῆς σωτηρίας τόν ὅρον,ὑφ᾽ ἑαυτοῦ φημί δέ τόν Θεόν, ζημιούμενος. Ὁ δέ τῆς ἑαυτοῦ περί τά καλά φυσικῆς συναισθόμενος πενίας, οὐ παύεται προτροπάδην τρέχειν πρός τόν δοῦναι δυνάμενον τῆς ἐνδείας τήν πλήρωσιν.

Γίνεται τοίνυν δικαίως ἐπί τόν ὑψηλόφρονα νοῦν ὀργή· τουτέστιν, ἐγκατάλειψις· ἤγουν ἡ τοῦ διοχληθῆναι αὐτόν κατά τε τήν πρᾶξιν, ὡς Ἰουδαίαν· κατά τε τήν θεωρίαν, ὡς Ἱερουσαλήμ, ὑπό δαιμόνων (496) συγχώρησις· ἵνα λάβῃ τῆς ἐν ἑαυτοῦ φυσικῆς ἀσθενείας συναίσθησιν· τῆς δέ σκεπούσης αὐτόν, καί τό πᾶν κατορθούσης τῶν ἀγαθῶν θείας δυνάμεώς τε καί χάριτος, τήν ἐπίγνωσιν· καί ταπεινωθῇ, πόῤῥω παντελῶς ἑαυτοῦ τό ἀλλότριον καί παρά φύσιν ὕψος ποιούμενος· ὥστε μή ἐπελθεῖν ἐπ᾽ αὐτόν τήν ἄλλην ὀργήν τῆς τῶν δοθέντων χαρισμάτων ἀφαιρέσεως ἥτις ἐπί τόν Ἐζεκίαν οὐκ ἐπῆλθεν, εὐθέως ἐκ τῆς ἐπ᾽ αὐτόν γενομένης πρώτης ὀργῆς, ἤγουν ἐγκαταλείψεως,

ταπεινωθέντα, καί γενόμενον τῆς τοῦ παρέχοντος τά καλά συναισθήσεως· φησί γάρ μετά τό, Καί ἐγένετο ἐπ᾽ αὐτόν ὀργή, καί ἐπί Ἰούδαν, καί ἐπί Ἱερουσαλήμ· Καί οὐκ ἐπῆλθεν ἐπ᾽ αὐτούς ὀργή Κυρίου ἐν ταῖς ἡμέραις Ἐζεκίου· ἡ ἄλλη δηλονότι ὀργή, τῆς τῶν χαρισμάτων ἀφαιρέσεως· διά τό τήν πρώτην ἐγκατάλειψιν, τῆς καλῆς ἐπιγνωμοσύνης αὐτῷ γενέσθαι διδάσκαλον. Ὁ γάρ μή σωφρονισθείς τῷ πρώτῳ εἴδει τῆς ὀργῆς, ἤγουν ἐγκαταλείψεως, ἐλθεῖν πρός ταπείνωσιν, τήν ἄλλην δέχεται σαφῶς ἐπ᾽ αὐτόν ἐρχομένην ὀργήν, ἀφαιρουμένην αὐτοῦ τήν τῶν χαρισμάτων ἐνέργειαν, καί ἔρημον αὐτόν καθιστῶσαν τῆς τέως φρουρούσης δυνάμεως. Καί ἀφελῶ τόν φραγμόν αὐτοῦ, φησί περί τοῦ ἀγνώμονος Ἰσραήλ ὁ Θεός λέγων· Καί ἔσται εἰς διαρπαγήν· καί καθελῶ τόν τοῖχον αὐτοῦ, καί ἔσται εἰς καταπάτημα· καί ἀνήσω τόν ἀμπελῶνά μου, καί οὐ μή τμηθῇ, οὐδέ μή σκαφῇ· καί ἀναβήσεται εἰς αὐτόν ὡς εἰς χέρσον ἄκανθα· καί ταῖς νεφέλαις ἐντελοῦμαι, τοῦ μή βρέξαι ἐπ᾽ αὐτόν· καθάπερ ἀλληγορεῖται παθών καί Σαούλ ὁ πρῶτος τοῦ Ἰσραήλ βασιλεύς. Ἐκεῖνος γάρ ἅμα τῇ βασιλείᾳ λαβών διά τοῦ χρίσματος καί τῆς προφητείας τήν χάριν, ἐπειδή ταύτην μή ἐφύλαξεν, ὀργήν δέχεται πρώτην, τήν τοῦ πονηροῦ πνεύματος ἐνέργειαν· ἧς μηδεμίαν λαβών συναίσθησιν, τῇ ἄλλῃ ταμιευθείς ὀργῇ, συγκατέληξε· πάσης διά τήν ἄνοιαν γυμνός πρό θανάτου θεοσεβείας γενόμενος. Καί δηλοῖ τοῦτο παθών, πρῶτον μέν ὑπό τοῦ δαίμονος ἐνεργούμενος· εἶθ᾽ ὕστερον πρός αὐτούς αὐτομολῶν ἑκουσίως διά τῆς ἐγγαστριμύθου τούς δαίμονας· καί ἴσως τοῖς ἀθέοις τήν τῆς μαντείας, τοῖς δαίμοσιν, ἐπιτελῶν τελετήν.

Οὐκοῦν ἐπειδή τόν Ἐζεκίαν εἰς τόν φιλόσοφον ἐλάβομεν νοῦν· τήν δέ Ἰουδαίαν, εἰς τήν πρᾶξιν· τήν δέ Ἱερουσαλήμ, εἰς τήν θεωρίαν, ὅταν τι καθ᾽ οἱονδήποτε τρόπον τόν νοῦν πεπονθέναι νοήσωμεν, τῷ τοιούτῳ νοΐ τήν τε πρακτικήν αὐτοῦ καί τήν θεωρητικήν δύναμιν κατά τούς συνεκτικούς αὐτῶν λόγους, συμπεπονθέναι πάντως πιστεύομεν. Οὐ γάρ ἐστι δυνατόν παθεῖν τό ὑποκείμενον, τῶν ἐν ὑποκειμένῳ μή συμπασχόντων.

Καλῶς οὖν τῷ ῥητῷ τῆς Γραφῆς συμφέρεται τῆς θεωρίας ὁ λόγος, μή φέρων διαβολήν τῇ θείᾳ ψήφῳ τῶν κριμάτων, μηδέ ἄλλης ἀνατροπήν ποιούμενος ἐντολῆς. Μή μόνος γάρ κατά τήν ἀποδοθεῖσαν τοῦ λόγου θεωρίαν Ἐζεκίας· τουτέστι νοῦς, ὑψοῦται μεγαλοφρονῶν, ἐπί τοῖς κατορθώμασι, μή συνυψουμένων αὐτῷ τῆς Ἰουδαίας καί τῆς Ἱερουσαλήμ· (497) ἤγουν, πράξεως καί θεωρίας· ὅτι μηδέ πεφύκασι

τοῦτο πάσχειν, καθ᾽ ἑαυτάς ὑποστατικῶς μή θεωρούμεναι· καί ἐπί μόνον τόν Ἐζεκίαν· τουτέστι, τόν νοῦν, οὐ γίνεται ἡ ὀργή· ἀλλά καί ἐπί Ἰούδαν καί Ἱερουσαλήμ. Ἡ γάρ πρᾶξις καί ἡ θεωρία, τῷ νῷ κατά τι μολυνομένῳ, πάντως συχχραίνονται καί μή οὖσαι [leg. ὡς καί οὖσαι] τῆς πρός ὀργήν αἰτίας συμμέτοχοι.

Γενώμεθα τοίνυν καί ἡμεῖς τῆς τῶν γεγραμμένων ἐννοίας [al. αἰτίας]. Κἄν γάρ ἐκείνοις συνέβη τυπικῶς κατά τήν ἱστορίαν, ἀλλά δι᾽ ἡμᾶς ἐγράφη πρός νουθεσίαν πνευματικήν, οἷς διαπαντός συμβαίνει τά γεγραμμένα νοητῶς, τῆς ἀντικειμένης καθ᾽ ἡμῶν ἀεί παραταττομένης δυνάμεως· ἵνα πᾶσαν, εἰ δυνατόν, πρός τόν νοῦν τήν Γραφήν μεταβιβάσαντες, αὐτόν [marg. τόν νοῦν δηλονότι] μέν φωτίσωμεν τοῖς θείοις νοήμασι· τό δέ σῶμα, τοῖς τῶν νοηθέντων θειοτέρων λόγων τρόποις φαιδρύνωμεν· ἀρετῆς αὐτό ποιοῦντες λογικόν ἐργαστήριον, τῇ ἀποβολῇ τῶν ἐμφύτων παθῶν.

Πᾶς οὖν θεοφιλής καί ἐνάρετον ἄνθρωπος, κατά τόν Ἐζεκίαν γνωστικῶς τό κατά δαιμόνων διαζωσάμενος κράτος, εἰ γένηταί τις αὐτῷ προσβολή πνευμάτων πονηρῶν, ἀοράτως κατά νοῦν πρός αὐτόν συμπλεκόντων τόν πόλεμον, καί διά προσευχῆς δέξηται θεόθεν αὐτῷ πεμπόμενον ἄγγελον· λέγω δέ σοφίας λόγον μείζονα· καί πᾶσαν ἐκτρίψας διασκεδάσῃ τοῦ διαβόλου τήν φάλαγγα, καί τῆς τοιαύτης νίκης τε καί σωτηρίας αἴτιον τόν Θεόν μή ἐπιγράψηται· ἀλλ᾽ ἑαυτῷ τήν ὅλην ἀνάθηται νίκην· ὁ τοιοῦτος οὐκ ἀνταπέδωκε τῷ Θεῷ κατά τό ἀνταπόδομα αὐτοῦ· μή ἐξισώσας τῷ μεγέθει τῆς σωτηρίας, τό πλῆθος τῆς εὐχαριστίας· μηδέ τῇ εὐεργεσίᾳ τοῦ σώσαντος, ἀντιμετρήσας, τήν οἰκείαν διάθεσιν. Ἀνταπόδοσις γάρ ἐστιν, ἡ πρός τόν σώσαντα τοῦ σωθέντος δι᾽ ἔργων ἀντιμετρουμένη διάθεσις· ἀλλ᾽ ὕψωσεν ἑαυτοῦ τήν καρδίαν, ἐφ᾽ οἷς ἔλαβε χαρίσμασι μεγαλοφρονῶν, ὡς μή λαβών· ὁ τοιοῦτος ἐνδίκως δέχεται γινομένην ἐπ᾽ αὐτῷ τήν ὀργήν, συγχωροῦντος τοῦ Θεοῦ τῷ διαβόλῳ νοητῶς αὐτῷ συμπλακῆναι, καί τούς κατά τήν πρᾶξιν παρασαλεῦσαι τρόπους τῆς ἀρετῆς, καί τούς κατά θεωρίαν διαυγεῖς ἐπιθολῶσαι λόγους τῆς γνώσεως· ἵνα μαθών τήν οἰκείαν ἀσθένειαν, ἐπιγνῷ τήν μόνην δύναμιν τήν τά πάθη ἡμῖν καταπαλαίουσαν· καί ταπεινωθῇ μετανοήσας, τόν ὄγκον ἀποβαλών τῆς οἰήσεως· καί τόν Θεόν ἱλεώσηται, καί ἀποστρέψῃ τήν ἐπερχομένην τοῖς μή μετανοοῦσιν ὀργήν, τήν ἀφαιρουμένην τήν φρουροῦσαν τήν ψυχήν χάριν, καί ἔρημον καταλιμπάνουσαν τόν ἀγνώμονα νοῦν.

Ἡμέρας δέ τοῦ βασιλέως Ἐζεκίου τυχόν προσηγόρευσεν ἡ Γραφή, τούς διαφόρους φωτισμούς, οὕς δέχεται πᾶς εὐσεβής καί φιλόθεος νοῦς, ἐπιβάλλων τῇ θεωρίᾳ τῶν γεγονότων πρός κατανόησιν τῆς διά πάντων ποικίλως μηνυομένης σοφίας. Οἷς ἕως ἡ πρᾶξις καί ἡ θεωρία ῥυθμίζεται, στέρησις ἀρετῆς καί γνώσεως αὐταῖς οὐ πέφυκε γίνεσθαι· τοῦ ἡλίου τῆς δικαιοσύνης ἐν τῷ τοιούτῳ νοΐ διά τῆς ἰδίας ἀνατολῆς τάς τοιαύτας ἡμέρας δημιουργοῦντος.

(500) ΣΧΟΛΙΑ.

α'. Τί ἐστιν ὀργή Θεοῦ;

β'. Πῶς καί κατ᾽ ἄλλον τρόπον ἡ ὀργή τοῦ Κυρίου νοηθῆναι δύναται;

γ'. Τούς τῷ γράμματι μόνῳ στοιχοῦντας.

δ'. Ὅτι τόν ἐπαιρόμενον ἐπί πράξει, παθῶν ἀτιμία διαδέχεται· τόν δέ ἐπί γνώσει ὑψούμενον, περί τήν ἀληθῆ θεωρίαν πταίειν ἡ δικαία κρίσις συγχωρεῖ.

ε'. Ὅρον καί νόμον ἐνυπάρχοντα θείως τοῖς οὖσι λέγει, τήν τῶν ὄντων συνεκτικήν πρόνοιαν, κατά κρίσιν δικαίαν τῇ σπάνει τῶν ἀγαθῶν παιδεύουσαν πρός εὐγνωμοσύνην, τούς ἐπί τῇ ἀφθονίᾳ τῶν ἀγαθῶν, πρός τόν αὐτῆς χορηγόν φανέντας ἀγνώμονας· διά τῶν ἐναντίων αὐτούς πρός συναίσθησιν ἄγουσαν τῆς τοῦ χαριζομένου τά καλά διαγνώσεως· ἡ ἐπ᾽ ἀρετῇ γάρ καί γνώσει οἴησις ἀπαιδαγώγητος μένουσα, τό τῆς ὑπερηφανίας γεννᾷν πέφυκε νόσημα, τό τήν ἀντικειμένην τῷ Θεῷ φέρον διάθεσιν.

στ'. Ὁ τήν ἀπορίαν φησίν ἀρετῆς διαγνούς, οὐδέποτε τοῦ κατ᾽ αὐτήν παύεται δρόμου, ἵνα μή ζημιωθῇ αὐτήν τῆς ἀρετῆς τήν ἀρχήν καί τό τέλος, τόν Θεόν λέγω, περί ἑαυτόν στήσας τήν κίνησιν τῆς ἐφέσεως· καί λάθη νομίζων ἐπειλῆφθαι τῆς τελειότητος, ὑπομένων τοῦ ἀληθῶς ὄντος τήν ἔκπτωσιν· πρός ὅπερ ἐπείγεται πᾶσα σπουδαίου κίνησις.

ζ'. Ὅτι πρός ἀσέβειαν, φησί, πρηνής καθέστηκεν ὁδός, ἡ περί τήν ζημίαν τῶν ἀρετῶν ἀναισθησία. Ὁ γάρ ἐθίσας αὐτόν διά τάς ἡδονάς τῆς σαρκός Θεοῦ παρακούειν, καί αὐτόν ἀρνήσεται τόν Θεόν καλούσης προφάσεως, Θεοῦ τήν τῆς σαρκός ζωήν προτιμῶν, ἧς καί μόνας τάς ἡδονάς τῶν θείων κρείττους ἔσχηκε θελημάτων.

η'. Ὑποκείμενον λέγει τόν νοῦν, ὡς ἀρετῆς καί γνώσεως δεκτικόν· ἐν ὑποκειμένῳ δέ, τήν πρᾶξιν καί τήν θεωρίαν, αἵτινες πρός τόν νοῦν

συμβεβηκότων λόγον ἔχουσι· διά κατά πάντα τρόπον καί συμπάσχουσι πάσχοντι, τήν αὐτοῦ ποιάν κίνησιν ἀρχάς τῆς οἰκείας ἀλλοιώσεως ἔχουσαι.

θ'. Τῆς λεγούσης υἱόν ὑπέρ πατρός μή ἀποθανεῖν.

ι'. Τά ἔμφυτα πάθη τοῦ σώματος λόγῳ μέν κυβερνώμενα οὐκ ἔχει διαβολήν· κινούμενα δέ τούτου χωρίς φέρει διαβολήν. Τούτων οὖν λέγει γενέσθαι δεῖν τήν ἀποβολήν, ὧν ἔμφυτος μέν ἡ κίνησις, παρά φύσιν δέ γίνεται πολλάκις ἡ χρῆσις, τῷ λόγῳ μή κυβερνωμένη.

ια'. Ὀργή σωτήριός ἐστιν, ἡ πρός τό πολεμεῖσθαι τήν ὑψηλόφρονα νοῦν τοῖς πάθεσιν ὑπό τῶνδαιμόνων θεία συγχώρησις· ἵνα γνῷ πάσχων ἀτίμως ἐπ᾽ ἀρεταῖς μεγαλαυχούμενος, τίς ὁ τοιούτων ὑπάρχει δοτήρ· ἤ γένηται τῶν ἀλλοτρίων γυμνός, ἅπερ ὡς μή λαβών ἔχειν ἐνόμιζεν.

ιβ'. Τίνες εἰσίν αἱ ἡμέραι Ἐζεκίου τοῦ βασιλέως, ἐν αἷς οὐκ ἐπάγεται ἡ ὀργή.

ιγ'. Πρᾶξιν λέγει καί θεωρίαν κατά τόν τῆς ἀναγωγῆς λόγον, τήν Ἰουδαίαν καί τήν Ἱερουσαλήμ.

ιδ'. Ἥλιος δικαιοσύνης ὁ Κύριος καί Θεός, καί τῶν ὅλων Σωτήρ Χριστός Ἰησοῦς.

### *(501) ΕΡΩΤΗΣΙΣ ΝΓ' .*

***Πάλιν περί Ἐζεκίου φησί, "Καί ἔθαψαν αὐτόν ἐν ἀναβάσει τάφων υἱῶν Δαβίδ· καί δόξαν καί τιμήν ἔδωκαν αὐτῷ ἐν τῷ θανάτῳ αὐτοῦ πᾶς Ἰούδα, καί οἱ κατοικοῦντες Ἱερουσαλήμ." Τί ἐστι τό, " Ἐν ἀναβάσει τάφων υἱῶν Δαβίδ, " καί τά ἑξῆς;***

Ἀπόκρισις.

Δαβίδ ἐστί νοητός ὁ Κύριος ἡμῶν Ἰηδοῦς Χριστός· ὁ λίθος ὅν ἐξουδένωσαν ἀποδοκιμάσαντες οἱ οἰκοδομοῦντες ἱερεῖς τῶν Ἰουδαίων καί ἄρχοντες· ὁ γενόμενος εἰς κεφαλήν γωνίας· τουτέστι, τῆς Ἐκκλησίας. Γωνία γάρ ἐστιν, ἡ Ἐκκλησία, κατά τήν Γραφήν. Ὡς γάρ ἡ γωνία δύο τοίχων ἕνωσις γίνεται, πρός ἀλλήλους αὐτούς διασφίγγουσα πρός ἀδιάλυτον συνοχήν· οὕτω καί ἡ ἁγία Ἐκκλησία, τῶν δύο λαῶν γέγονεν ἕνωσις· τούς ἐξ Ἐθνῶν καί Ἰουδαίων καθ᾽ ἕνα πίστεως λόγον ἀλλήλοις συνενοῦσα, καί πρός μίαν ἐνδιασφίγγουσα σύμπνοιαν· ἧς ἀκρογωνιαῖος λίθος ὁ Χριστός, ὡς κεφαλή τοῦ παντός

σώματος. Ἐξουδένωσις γάρ ἑρμηνευόμενον δηλοῖ τοῦ Δαβίδ τό ὄνομα· ὅς ἐστιν ὁ τοῦ Θεοῦ Λόγος καί Υἱός, ὁ δι᾽ ἐμέ τήν δουλικήν μορφήν ὑποδύς, καί γενόμενος ὄνειδος ἀνθρώπων ἀπιστούντων τῇ ἀληθείᾳ, καί ἐξουδένωμα [Six. ἐξουθένημα] λαοῦ πλήρους ἁμαρτιῶν· ὁ ποιμήν ὁ καλός ὁ τιθείς τήν ψυχήν αὐτοῦ ὑπέρ τῶν προβάτων· ὁ ἀποκτείνας τόν λέοντα καί τήν ἄρκον· τόν θυμόν λέγω καί τήν ἐπιθυμίαν ἐξηλώσας τῆς φύσεως· τά σπαράττοντα τῆς ἐν ἡμῖν κατά τόν λόγον θείας εἰκόνος τήν μορφήν· ὁ πυῤῥάκης διά τό πάθημα τοῦ θανάτου· μετά κάλλους ὀφθαλμῶν, τουτέστι, μετά δόξης τῶν κατά Πρόνοιαν καί κρίσιν ὑψηλοτέρων λόγων· ὀφθαλμοί γάρ τοῦ Λόγου, ἡ κρίσις ἄν εἴη καί ἡ πρόνοια· δι᾽ ὧν καί πάσχων ὑπέρ ἡμῶν, ποιεῖται τοῦ παντός τήν ἐπισκοπήν· ὁ τοῦ νοητοῦ Γωλιάθ καί ὑπερηφάνου· φημί δέ τοῦ διαβόλου, σφαγεύς· τοῦ πεντάπηχυν ἔχοντος τήν ἡλικίαν, διά τήν ἐμπάθειαν τῆς ἐν ἡμῖν πενταπλῆς αἰσθήσεως. Ἐπί τοσοῦτον γάρ ἔχει τό μέγεθος τῆς κατά κακίαν ἡλικίας ὑψούμενον ὁ διάβολος, ἐφ᾽ ὅσον τοῖς αἰσθητοῖς ἐμπαθῶς ἐν ἡμῖν ἡ τῆς αἰσθήσεως ἐπεκτείνεται δύναμις· ὁ βασιλεύς τοῦ ἀληθινοῦ Ἰσραήλ καί ὁρῶντος Θεόν· κἄν Σαούλ, ὁ παλαιός κατά τόν νόμον λαός, μαίνεται, φθόνῳ διά τήν ἀπιστίαν τηκόμενος. Οὐ φέρει γάρ τῆς προσκαίρου δόξης τήν στέρησιν· οὗ ἀφαιρεῖται τό δόρυ καί τοῦ ὕδατος τόν φακόν, Δαβίδ ὁ ἐμός βασιλεύς καί διωκόμενος· τουτέστι, τό κράτος τῆς πρακτικῆς ἀρετῆς, καί τήν χάριν τῆς γνωστικῆς θεωρίας· καί (504) πάλιν ταῦτα κιχρῶν δίδωσι τοῖς πρός αὐτόν κατά τήν πίστιν διαβαίνουσι, διά τούς ἐξ Ἰουδαίων μέλλοντας κληρονομεῖν σωτηρίαν, δεχομένους τῆς βασιλείας τό κήρυγμα.

Οὗπερ πάλιν ἐν τῷ σπηλαίῳ πρός τήν τῶν περιττωμάτων ἀποβολήν καθημένου, τό τῆς διπλοΐδος ἀφαιρεῖται πτερύγιον· τουτέστι, τό ὕψος τῆς κατά τήν ἠθικήν φιλοσοφίαν εὐσχημοσύνης· ἤ τό ἐν νοήμασιν ὑψηλόν τῆς τῶν νομικῶν συμβόλων καί αἰνιγμάτων περιβολῆς· οὐκ ἄξιον οὔτε μήν δίκαιον κρίνας, εἰς φθοράν τῇ ἀποχρήσει, τόν ὡς ἐν σπηλαίῳ τῷ αἰῶνι τούτῳ, ἤ τῷ σκοτεινῷ τοῦ νόμου γράμματι καθήμενον λαόν τῶν Ἰουδαίων· τῆς γηΐνων ὄντως καί φιλοσωμάτων, καί τῇ φθορᾷ τῶν παρερχομένων περιγράφοντα τάς θείας τῶν ἀφθάρτων ἐπαγγελίας, ἔχειν τῆς μυστικῆς τῶν νομικῶν διαταγμάτων, καθάπερ διπλοΐδος πτερύγιον, τήν νοουμένην εὐπρέπειαν.

Οὗτός ἐστιν Δαβίδ ὁ νοητός, ὁ ἀληθινός ποιμήν καί βασιλεύς· καί τῶν ἀντικειμένων ἀναιρετικός δυνάμεων· ποιμήν μέν, τῶν ἔτι πρακτικήν μετερχομένων φιλοσοφίαν, καί πόας δίκην νεμομένων τήν φυσικήν θεωρίαν· βασιλεύς δέ, τῶν νόμοις καί λόγοις πνευματικοῖς ἀνακαινισάντων πρός τό ἀρχέτυπον τῆς δοθείσης εἰκόνος τό κάλλος· καί αὐτῷ τῷ μεγάλῳ Βασιλεῖ τῶν αἰώνων ἀμέσως κατά νοῦν παρισταμένων, καί τό ἀπρόσιτον κάλλος, ὡς θέμις εἰπεῖν, ἐσοπτριζομένων.

Υἱοί μέν οὖν τούτου Δαβίδ τυγχάνουσι πάντες οἱ ἀπό τοῦ αἰῶνος ἅγιοι, ἐξ αὐτοῦ γεννηθέντες ἐν πνεύματι. Τάφοι δέ τούτων τῶν υἱῶν εἰσιν, αἱ μνῆμαι τῆς κατά Θεόν αὐτῶν ἐπί γῆς πολιτείας. Ἀναβάσεις δέ τούτων τῶν τάφων εἰσί, τό ὕψος τῆς αὐτῶν περί Θεόν γνώσεως καί ἀγάπης· ἔνθα πᾶς Ἰούδα, καί οἱ κατοικοῦντες Ἱερουσαλήμ θάπτουσιν, ἐνιδρύοντες ἐν τῷ κατ᾽ ἀξίαν τόπῳ τῆς μακαρίας μονῆς· οἵ τε κατά πρᾶξιν τρόποι, καί οἱ τήν ἀληθῆ θεωρίαν οἰκοῦντες λόγοι τῆς γνώσεως· τόν τοῖς οὖσιν ἅπασιν ἐπαινετῶς ἀποθανόντα νοῦν· τοῖς μέν αἰσθητοῖς, τῇ ἀποθέσει τῆς κατ᾽ αἴσθησιν ἐνεργείας· τοῖς δέ νοητοῖς, τῇ τῆς νοερᾶς ἀποπαύσει κινήσεως.

Τόν τοίνυν Ἐζεκίαν κράτος Θεοῦ ἑρμηνευόμενον, ὡς νοῦν κραταιόν περί πρᾶξιν καί περί γνῶσιν λαμπρότατον, θάπτουσιν ἀποθανόντα· τουτέστι, πάντων ὄντων κατά τήν γνώμην ἀπογενόμενον, καί πρός τόν ὑπέρ τά ὄντα γενόμενον· Πᾶς Ἰούδα καί οἱ κατοικοῦντες Ἱερουσαλήμ· ἡ κατ᾽ ἀρετήν πρᾶξις αὐτοῦ δηλονότι, καί ἡ κατά τήν γνῶσιν ἀληθής θεωρία· Ἐν ἀναβάσει τάφων υἱῶν Δαβίδ· ἐν τῷ ὕψει λέγω τῆς τῶν ἀπ᾽ αἰῶνος ἁγίων μνήμης· Δεδωκότες αὐτῷ δόξαν καί τιμήν· δόξαν μέν, ὡς πάντων ὑπέρ ἄνω κατά τήν νοεράν γνῶσιν τῶν ἐν τοῖς οὖσι λόγων· τιμήν δέ, ὡς πάντων γενομένῳ παθῶν καθαρῷ, καί τῆς ἐν τοῖς οὖσι φυσικῶν νόμων ἀνεύθυνον κατά τήν αἴσθησιν κτησαμένῳ τήν κίνησιν.

Τυχόν δέ τις τῶν σφόδρα φιλοκάλων ἐρεῖ φιλοτιμούμενος, (505) δόξαν μέν εἶναι, τό ἀκρότατον κατ᾽ εἰκόνα κάλλος· τιμήν δέ, τό καθ᾽ ὁμοίωσιν ἀπαράλλακτον μίμημα· τό μέν γάρ, λόγων πνευματικῶν ἀληθής πέφυκεν ποιεῖν θεωρία· τό δέ, πρᾶξις ἐντολῶν ἀκριβής καί ἀνόθευτος· ἅς ὁ μέγας ἐσχηκώς Ἐζεκίας, ἐν ἀναβάσει τάφων υἱῶν Δαβίδ ἐτάφη· ὡς ἄν εἴ τις ἐπί τό σαφέστερον λαβών, εἴποι, τό ῥητόν, ἀντί τοῦ, Ἔθαψαν αὐτόν ἐν ἀναβάσει τάφων υἱῶν Δαβίδ, καί ἔθηκαν τήν μνήμην Ἐζεκίου ἐν τῷ ὕψει τῆς μνήμης τῶν ἀπ᾽ αἰῶνος ἁγίων.

Σκοπήσωμεν δέ, ὡς οὐκ εἴρηται, Ἐν τάφοις Δαβίδ, ἤ, Ἐν ἀναβάσει τάφων Δαβίδ· ἀσύγκριτος γάρ τοῖς οὖσιν· οὐκ ἀνθρώποις μόνον, ἀλλά καί ἀγγέλοις· καί παντελῶς ἀχώρητος, καί αὐτός ὁ τοῦ Κυρίου κατά σάρκα λόγος, καί ὁ τοῦ βίου τρόπος· μή ὅτι γε τῆς ἀπείρου θεότητος αὐτοῦ ἡ ἀνέφικτος ἔννοια· οὐκοῦν ἀγαπητόν παντί τῷ καί λίαν ἐπησθημένῳ μεγαλειότητος· τό, κἄν ἐν τάφοις υἱῶνΔαβίδ· ἤ τό κράτιστον, ἐν ἀναβάσει τάφων υἱῶν Δαβίδ [ταφῆναι·] ἐν γάρ τάφοις Δαβίδ οὐδείς φέρεται τῇ Γραφῇ τεθαμμένος· μή ὅτι ἐν ἀναβάσει τάφων Δαβίδ. Τοῦ Κυρίου καί Θεοῦ καί Σωτῆρος ἡμῶν ἀσύγκριτος, ὡς ἔφην, κατά πάντα καί λόγον καί τρόπον, ὁ κατά σάρκα βίος. Φησί γάρ, Ἐκάλυψεν οὐρανούς ἡ ἀρετή αὐτοῦ· τουτέστι, καί αὐτή ἡ κατά ἄνθρωπον διά σαρκός τοῦ Κυρίου δικαιοσύνη, καί τάς ἄνω δυνάμεις ἐκάλυψε τῇ ὑπερβολῇ τῆς ἐν πᾶσι κατά δικαιοσύνην ὑπεροχῆς. Οὐ γάρ ἦν ψιλός ἄνθρωπος· ἀλλά καί Θεός [Fr. ἀλλά Θεός] ἐνανθρωπήσας· πρός τό καινίσαι δι᾽ ἑαυτοῦ καί ἐν ἑαυτῷ τήν παλαιωθεῖσαν ὑφ᾽ ἑαυτῆς τῶν ἀνθρώπων φύσιν· καί ποιῆσαι θείας κοινωνόν φύσεως, ἀποθεμένην δηλαδή πᾶσαν φθοράν καί ἀλλοίωσιν· δι᾽ ὧν ὁμοιωθεῖσα τοῖς κτήνεσι, πλεονεκτοῦσαν τόν λόγον εἶχε τήν αἴσθησιν. Αὐτῷ δόξα εἰς τούς αἰῶνας.

Ἐπληρώθη, σύν Θεῷ ὁ τέταρτος τόμος.

ΣΧΟΛΙΑ.

α'. Πενταπηχεύς ἐστιν ὁ διάβολος, φησί, διά τάς αἰσθήσεις. Τούτων γάρ χωρίς προκοπήν οὐ δέχεται τῆς καθ᾽ ἁμαρτίαν αὐξήσεως, ἡ περί ψυχήν τῆς αὐτοῦ κακίας ἀλόγιστος κίνησις.

β'. Τό δόρυ μέν τοῦ κατ᾽ ἀρετήν ἐστι κράτους σύμβολόν φησιν· ὁ δέ φακός τοῦ ὕδατος, τοῦ κατά τήν γνῶσιν ὑπάρχει μυστηρίου τεκμήριον.

γ'. Σπήλαιον λέγει τόν κόσμον τοῦτον, καί τό γράμμα τό νομικόν· τόν δέ Σαούλ εἶναι, τόν λαόν τῶν Ἰουδαίων, ὧν ὁ νοῦς τοῦ θείου τῶν νοητῶν ἀπονεύσας φωτός, τῷ σκότει τῶν νομικῶν, καί τῇ σκιᾷ τοῦ γράμματος συγκαθέζεται, πρός γένεσιν φθορᾶς τήν κτίσιν τοῦ Θεοῦ καί τόν νόμον ποιούμενος. Ὁ γάρ μόνῳ τῷ γράμματι, καί ταῖς ἐπιφανείαις τῶν αἰσθητῶν τάς ἀθανάτους περιγράφων ἐπαγγελίας, τῇ φθορᾷ καθάπερ βρώματι κατάλληλον ποιεῖται τήν ἔκκρισιν, ἐκ τοῦ τέλους τήν ἀρχήν τῆς οἰκείας περί (508) Θεοῦ δόξης δεικνύς. Τήν διπλοΐδα δέ λέγει, τήν περιβολήν τῶν νομικῶν αἰνιγμάτων. Τό δέ

πτερύγιον αὐτῆς, τό κατ᾽ ἐξοχήν ἐν νοήμασιν ὑψηλόν τῆς πνευματικῆς θεωρίας, περικοπτόμενον τῶν πρός μόνην τήν αἴσθησιν τήν ἁγίαν ἐκδεχομένων Γραφήν.

δ'. Ὅτι ποιμήν, ὁ Κύριος λέγεται διά τῆς φυσικῆς θεωρίας πρός τήν ἄνω μάνδραν ὁδηγουμένων· βασιλεύς δέ τῶν ὑποταγέντων τῷ νόμῳ τοῦ πνεύματος, καί τῷ θρόνῳ τῆς χάριτος Θεοῦ διά τῆς κατά τήν ἀμερῆ γνῶσιν τῶν νοός ἁπλῆς προσβολῆς παρισταμένων.

ε'. Τούς κατ᾽ ἀρετήν τῆς πράξεως τρόπους λέγει, τούς οἰκοῦντας τήν Ἰουδαίαν· τούς δέ κατά τήν θεωρίαν λόγους τῆς γνώσεως, λέγει τούς οἰκοῦντας τήν Ἱερουσαλήμ.

στ'. Νοῦ ἐπαινούμενον θάνατον λέγει, τήν πρός πάντα τά ὄντα γνωμικήν ἀπογέννησιν, μεθ᾽ ἥν τήν θείαν χάριτι ζωήν ὑποδέχεσθαι πέφυκεν, ἀντί τῶν ὄντων τόν αἴτιον τῶν ὄντων ἀνεννοήτως ἀπολαβών.

ζ'. Δόξαν λέγει τήν ἀόριστον γνῶσιν, καί μηδενί περατουμένην λόγῳ· τιμήν δέ, τήν κατ᾽ ἀρετήν πρός τήν φύσιν τῆς γνώμης ἀκάθεκτον κίνησιν.

η'. Ἡ ἄληστος γνῶσις, ἀόριστον, φησί, ἔχουσα περί τήν θείαν ἀπειρίαν, τήν κατά νοῦν ὑπέρ νόησιν κίνησιν, εἰκονίζει διά τῆς ἀοριστίας τήν ὑπεράπειρον δόξαν τῆς ἀληθείας. Ἡ δέ τῆς κατά τήν Πρόνοιαν σοφῆς ἀγαθότητος αὐθαίρετος μίμησις, τιμήν φέρει, τήν πρός τόν Θεόν τοῦ νοῦ κατά τήν διάθεσιν ἀρίδηλον, ὡς ἔστι δυνατόν, ἐξομοίωσιν.

θ'. Ft. Ἄκουε, Νεῖλε, κάτω συρόμενε, καί σιώπα.

ι'. Κατά τήν ἀναγωγήν τόν Δαβίδ εἶναί φησι τόν Χριστόν· τήν δέ ταφήν αὐτοῦ, τήν ἐν δικαιοσύνῃ μνήμην ἀσύγκριτον οὖσαν πάσῃ τῇ λογικῇ φύσει. Οὐ γάρ τοῖς κατά φύσιν τῆς σαρκός νόμοις τήν δικαιοσύνην ἐμέτρησε γενόμενος ἄνθρωπος ὁ τοῦ Θεοῦ Λόγος· ἀλλά τήν ὡς Θεῷ φυσικήν παροῦσαν αὐτῷ δικαιοσύνην ἐνήργησε διά σαρκός, φυσικῆς ἐνεργείας οὐκ ἀμειρούσης.

## *ΕΡΩΤΗΣΙΣ ΝΔ΄.*

***Ἐν τῷ πρώτῳ Ἔσδρᾳ γέγραπται περί τοῦ Ζοροβάβελ· "Καί ὅτε ἐξῆλθεν ὁ νεανίσκος, ἄρας τό πρόσωπον εἰς τόν οὐρανόν ἐναντίον Ἱερουσαλήμ, εὐλόγησε τῷ Βασιλεῖ τοῦ οὐρανοῦ, λέγων. Παρά σοῦ ἡ νίκη, καί παρά σοῦ ἡ σοφία, καί σοῦ ἡ δόξα· καί ἐγώ σός οἰκέτης.***

***Εὐλογητός εἶ, ὅς ἔδωκάς μοι σοφίαν· καί σοί ὁμολογῶ, Δέσποτα τῶν πατέρων. " Τί σημαίνει, τό, " Ἄρας τό πρόσωπον εἰς τόν οὐρανόν ἐναντίον Ἱερουσαλήμ," καί τά ἑξῆς;***

Ἀπόκρισις.

Ζοροβάβελ, κατά τήν ἀκρίβειαν τῆς Ἑβραΐδος καί δασεῖαν δέχεται καί ψιλήν· καί σύνθεσιν καί (509) διαίρεσιν καί στιχισμόν. Καί δασυνόμενον μέν, τοῦτο τό ὄνομα, δηλοῖ σποράν συγχύσεως· ψιλούμενον δέ, ἀνατολήν συγχύσεως. Συντιθέμενον δέ, ἀνατολήν ἐν συγχύσει· διαιρούμενον δέ, ἀνατολήν διασπορᾶς· στοιχιζόμενον δέ, αὐτός ἀνάπαυσις.

Ζοροβάβελ οὖν ἐστι, νοῦς φιλόσοφος· πρῶτον διά μετανοίας ἐν τῇ συγχύσει τῆς τῶν παθῶν αἰχμαλωσίας κατά δικαιοσύνην σπειρόμενος. Δεύτερον ἀνατολή συγχύσεως, φανεράν ποιούμενος τῶν συγκεχυμένων παθῶν τήν αἰσχύνην. Τρίτον, ἀνατολή ἐν συγχύσει, διδούς φωτισμόν διά γνώσεως ἐν τῇ συγχύσει τῆς πρός τά αἰσθητά τῶν αἰσθήσεων ἐνεργείας, καί οὐκ ἐῶν λόγου χωρίς αὐτάς προσβάλλειν τοῖς αἰσθητοῖς. Τέταρτον, ἀνατολή διασπορᾶς, παρέχων ταῖς διασπαρείσαις περί τά αἰσθητά δυνάμεσι τῆς ψυχῆς, ἔργων δικαιοσύνης ἀνατολήν· καθ᾽ ἥν ἡ μετά λόγου πρᾶξις συνέστηκεν, οὐκ ἀμοιροῦσα γνωστικῆς θεωρίας τῆς πρός τά νοητά ἐπαναγούσης τάς διεσπαρμένας δυνάμεις. Καί πέμπτον, αὐτός ἀνάπαυσις· ὡς πᾶσαν ποιήσας εἰρήνην καί συνάψας· τό μέν πρακτικόν, τῷ κατά φύσιν ἀγαθῷ· τό δέ θεωρητικόν, τῇ κατά φύσιν ἀληθείᾳ.

Πᾶσα γάρ πρᾶξις, διά τό ἀγαθόν γίνεσθαι πέφυκε· καί πᾶσα θεωρία, τήν γνῶσιν διά μόνην ἐπιζητεῖ ἀλήθειαν· ὧν διανυσθέντων, οὐδέν ἔσται τό σύνολον τό πλεῖττον τῆς ψυχῆς τό πρακτικόν, οὔτε μήν τό θεωρητικόν αὐτῆς διά ξένων δριμύττων θεωρημάτων· παντός ἐπέκεινα γενομένης καί ὄντος καί νοουμένου, καί αὐτόν ἐνδυσάσης τόν Θεόν, τόν μόνον ἀγαθόν καί ἀληθινόν καί ὑπέρ πᾶσαν οὐσίαν ὄντα καί νόησιν.

Ὁ τοιοῦτος ταῖς διαφόροις προκοπαῖς τῶν ἀρετῶν γενόμενος νοῦς, ὅταν ἐξέλθῃ μετά τήν νίκην ἀπό Δαρείου τοῦ βασιλέως, τουτέστι, τοῦ φυσικοῦ νόμου, δείξας αὐτῷ τῆς ἀγάπης καί τῆς ἀληθείας τήν δύναμιν, κατά τήν τῶν ἀρετῶν πρός τά πάθη σύγκρισιν· καί λάβῃ ψῆφον νομίμως, τήν μέν αὐτοῦ προβολήν ἐπικυροῦσαν· τάς δέ τῶν ἐναντίων ἀκυροῦσαν· διαγινώσκων πόθεν τῆς νίκης αὐτῷ γέγονεν ἡ

χάρις, Αἴρει τό πρόσωπον εἰς τόν οὐρανόν ἐναντίον Ἱερουσαλήμ, καί εὐλογεῖ τόν Βασιλέα τοῦ οὐρανοῦ.

Πρόσωπον οὖν ἐστι τοῦ τοιούτου νοός, ἡ κατά τό κρυπτόν τῆς ψυχῆς νοουμένης διάθεσις· ἐν ᾗ τῶν ἀρετῶν πάντες ὑπάρχουσιν οἱ χαρακτῆρες· ἥν πρός τόν οὐρανόν αἴρει, τό ὕψος δηλαδή τῆς θεωρίας· ἐναντίον Ἱεουσαλήμ· τουτέστι, τῆς κατά τήν ἕξιν ἀπαθείας.

Ἤ πάλιν, εἰς τόν οὐρανόν ἐναντίον Ἱερουσαλήμ (512) τό οἰκητήριον τό ἐν οὐρανῷ ἐπιζητῶν, καί τήν πόλιν τῶν ἀναγραφομένων ἐν οὐρανοῖς· περί ἧς, Τά δεδοξασμένα ἐλαλήθη, φησίν ὁ Δαβίδ.

Οὐ γάρ ἄλλως ἠδύνατο τόν Θεόν εὐλογεῖν, μή ἄρας πρός ὕψος θεωρίας καί γνώσεως κατά τήν ἕξιν τῆς ἀπαθείας· ἤγουν τῆς ἀπήμονος εἰρηνικῆς καταστάσεως· τό κατά ψυχήν τῆς διαθέσεως πρόσωπον· τό ἐκ πολλῶν καί διαφόρων ἀρετῶν χαρακτήρων δίκην συγκείμενον.

Καί τί λέγων αἴρει τό πρόσωπον; Παρά σοῦ ἡ νίκη· τό κατά παθῶν τῆς πρακτικῆς τέλος διά τῆς νίκης δηλῶν, καί οἷον ἔπαθλον τῶν κατά τῆς ἁμαρτίας θείων ἀγώνων. Καί παρά σοῦ ἡ σοφία· τό διά θεωρίας, κατά τήν γνῶσιν δηλαδή, τέλος, τό πᾶσαν τῆς ψυχῆς ἀφαιρούμενον ἄγνοιαν. Καί σοί ἡ δόξα· τό ἐκ τούτων ἀναδεδειγμένον κάλλος, τῆς θείας, κατά τό θεμιτόν, ὡραιότητος, δόξαν καλέσας· ὅπερ ἐστίν ἕνωσις νίκης καί σοφίας, καί πράξεως καί θεωρίας· ἀρετῆς τε καί γνώσεως· ἀγαθότητός τε καί ἀληθείας. Αὗται γάρ ἀλλήλαις ἑνούμεναι, μίαν ἀπαστράπτουσι δόξαν, καί αὐτήν τοῦ Θεοῦ· διό προσφόρως ἐπάγει, λέγων, Καί ἐγώ σοί οἰκέτης· εἰδώς ὅτι πᾶσαν ἐν ἡμῖν ὡς ὀργάνοις ὁ Θεός ἐπιτελεῖ πρᾶξιν καί θεωρίαν· ἀρετήν τε καί γνῶσιν, καί νίκην καί σοφίαν καί ἀγαθότητα καί ἀλήθειαν· μεδέν ἡμῶν συνεισφερόντων τό σύνολον πλήν τῆς θελούσης τά καλά διαθέσεως· ἥν ἔχων ὁ μέγας Ζοροβάβελ, πρός τοῖς εἰρημένοις φησίν· Εὐλογητός εἶ, πρός τόν Θεόν λέγων, ὅς ἔδωκάς μοι σοφίαν· καί σοί ὁμολογῶ, Δέσποτα τῶν πατέρων. Ὡς εὐγνώμων οἰκέτης πάντα τῷ Θεῷ ἀνέθετο, τῷ πάντα δωρησαμένῳ· ἐξ οὗ λαβών εἶχε τήν σοφίαν, αὐτῷ ὁμολογῶν ὡς Δεσπότῃ τῶν πατέρων, τῶν κεχαρισμένων ἀγαθῶν τήν δύναμιν. Εὐλογητόν δέ καλεῖ τόν Θεόν, ὡς ἄπειρον ἔχοντα τήν σοφίαν· μᾶλλον δέ αὐτοσοφίαν· ἐξ οὗ λαβών, ὁμολογεῖ τήν χάριν.

Δεσπότην δέ αὐτόν τῶν πατέρων προσαγορεύει, παραστῆσαι θέλων, ὅτι πάντα τά τῶν ἁγίων κατορθώματα, Θεοῦ προδήλως ὑπῆρχον χαρίσματα· μηδενός τό παράπαν ἔχοντος μηδέν, ἤ τό δοθέν

ἀγαθόν ὡς παρά Δεσπότου τοῦ Θεοῦ, πρός ἀναλογίαν τῆς εὐγνωμοσύνης τε καί εὐνοίας τοῦ δεχομένου μετρούμενον· κἀκεῖνα μόνα κεκτημένου, ὅσα τῷ Δεσπότῃ δωρουμένῳ παρίσταται.

Πατέρα δέ καλεῖ, τούς ἀπ᾿ αἰῶνος ἁγίου· ὧν τήν πίστιν δεξάμενος, καί μιμησάμενος τόν βίον, τό ἐξ ἐκείνων γεννηθῆναι τῷ πνεύματι θέλων κατώρθωσε· γονέων υἱός γεγεννημένος αὐθαιρέτων αὐθαίρετος· ὅπερ τῶν παρά βούλησιν γινομένων ἀπό σαρκός πατέρων τε καί υἱῶν, τοσοῦτόν ἐστι τῷ Θεῷ τιμιώτερον, ὅσον σαρκός ψυχή κατ᾿ οὐσίας ὑπεροχήν διενήνοχεν.

Οὗτος ὁ Ζοροβάβελ εἷς ὑπάρχει τῶν παρισταμένων νεανίσκων Δαρείῳ τῷ βασιλεῖ· τῷ φυσικῷ λέγω νόμῳ, καί πᾶσαν τῶν ἐν ἀνθρώποις θείων ἀγαθῶν δυσί περιγράψας λόγοις τήν δύναμιν· καί τήν τῶν ἄλλων διασκεδάσας προπέτειαν· καί εἰς ἑαυτόν ἑλκύσας ( 513) τόν βασιλεύοντα νόμον τῆς φύσεως, ἄφεσιν θεσπίζοντα ταῖς κρατουμέναις εἰς δουλείαν τῆς τῶν παθῶν ἀλλοιώσεως τῆς ψυχῆς δυνάμεσι.

Τῶν γάρ προϊσταμένων, ὡς ὑλικωτέρου τοῦ σώματος, πονηρῶν πνευμάτων δύο τυγχανόντων, δι αὐτῆς τῆς τοῦ ἀριθμοῦ ἰδιότητος ἐδηλοῦτο τό ἐμπαθές καί ἐπίκηρον. Ὁ δέ τῆς ψυχῆς ὑπερασπίζων νοῦς, ἁπλῆς οὔσης κατά τήν οὐσίαν, εἷς ὑπάρχων, τῆς ἀδιαιρέτου μονάδος ἔφερεν ἔμφασιν, ἧς καθοτιοῦν τό σύνολον οὐ πέφυκεν ἅπτεσθαι θάνατος, ὅτι μήτε διαιρέσεως καθόλου τομή.

Φησί γάρ ὁ εἷς, ἤγουν ὁ πρῶτος νεανίσκος, τήν ἐμπαθῆ τοῦ σώματος εἰσφέρων εὐζωΐαν, Ὑπερισχύει ὁ οἶνος· οἶνον καλῶν, πᾶσαν ὁμοῦ κατά περιγραφήν τήν ἐν ἡδοναῖς παθῶν περιφοράν· καί μέθην, ὡς ἐκστατικήν τῆς διανοίας, καί τῶν κατά φύσιν λογισμῶν τήν χρῆσιν παραχαράττουσαν. Θυμός γάρ δρακόντων, φησίν, ὁ οἶνος αὐτῶν· καί θυμός ἀσπίδων ἀνίατος τήν ζέσιν τῶν σαρκικῶν ἡδονῶν, οἶνον δρακόντων, φήσας· καί τῆς παρακοῆς τήν τυραννικήν καί ὑπερήφανον καταφρόνησιν, καλέσας οἶνον ἀσπίδων· τοῦτο γάρ, ὥς φασι, τό θηρίον, παρά πάντα τά θηρία τῆς γῆς, ἐμφράττει τά ὦτα πρός ἐπᾴσματα, ἐξ ὑπερηφανίας τυραννοῦν [Fr. καί ἐξ ὑπερηφανίας τυραννεῖ] τούς ἐπᾴδοντας.

Ὁ ἕτερος, ἤγουν ὁ δεύτερος, φησίν, Ὑπερισχύει ὁ βασιλεύς· βασιλέα δέ οὗτος καλῶν, πᾶσαν ὁμοῦ τήν ἐν πλούτῳ καί δυναστείᾳ καί ταῖς ἄλλαις περιφανείαις κενήν δόξαν, τήν γεννητικήν τῆς ἀγνοίας· καθ᾿ ἥν ὁ τῆς φύσεως γίνεται σκεδασμός· πάντων ἀγνοούντων ἀλλήλους,

καί πάντων πᾶσι προσρηγνυμένων· ὑπέρ ἑνός, τοῦ πλέον ἀλλήλων θέλειν δοξάζεσθαι, δυνάμει ἤ πλούτῳ ἤ τρυφῇ, καί τοῖς ἄλλοις τρόποις, οἷς δοξάζεσθαι θέλουσιν, οἱ τήν θείαν καί μένουσαν ἠγνοηκότες δόξαν, καί τό κατ᾽ αὐτήν κράτος περιφρονοῦντες.

Οὗτοι μέν πᾶσαν, ὡς εἰπεῖν, τήν ἰλύν τοῦ βυθοῦ τῶν παρά φύσιν παθῶν, τοῖς δυσί τούτοις προβλήμασι περιγράψαντες, κριτήν ἐποιοῦντο τῶν λεγομένων, τόν βασιλέα Δαρεῖον· τόν, ὡς ἔφην, κρατοῦντα νόμον τῆς φύσεως, ἐπικληθῆναι τοῖς αὐτῶν ἐλπίζοντες δόγμασιν.

Ὁ δέ τρίτος, ὅς ἐστιν τῆς ἀρετῆς καί τῆς γνώσεως προϊστάμενος νοῦς, καί τῆς κακῆς τῶν παθῶν δουλείας στερηθῆναι τήν ψυχήν βεβουλημένος, φησίν, Ὑπερισχύουσιν αἱ γυναῖκες, καί ὑπερνικᾷ ἡ ἀλήθεια· γυναῖκας μέν εἰπών, τάς θεοποιούς ἀρετάς, ἐξ ὧν ἡ πρός Θεόν καί ἀλλήλους τοῖς ἀνθρώποις ἑνοποιός ἀγάπη συνέστηκε, πάντων τήν ψυχήν ἐξαρπάζουσα τῶν ὑπό γένεσιν καί φθοράν· καί τῶν ὑπέρ αὐτά νοητῶν οὐσιῶν, καί αὐτῷ τῷ Θεῷ κατ᾽ ἐρωτικήν τινα σύγκρασιν περιπλέκουσα, καθ᾽ ὅσον ἐστί δυνατόν ἀνθρωπίνῃ φύσει· καί τήν ἄχραντον καί θείαν μυστικῶς δημιουργοῦσα συμβίωσιν. Ἀλήθειαν δέ φήσας, τήν μίαν καί μόνην αἰτίαν τῶν ὄντων, καί ἀρχήν καί βασιλέα καί δύναμιν καί δόξαν, (516) ἐξ ἧς, καί δι᾽ ἥν γέγονέ τε καί γίνεται· καί πρός τό εἶναι ὑπ᾽ αὐτῆς τε καί δι᾽ αὐτήν συγκρατεῖται· καί ὑπέρ ἧς πᾶσα τοῖς φιλοθέοις ἐστί σπουδή τε καί κίνησις. Καί συντόμως εἰπεῖν, διά μέν τῶν γυναικῶν, τό τέλος ἐνεδείξατο τῶν ἀρετῶν τήν ἀγάπην· ὅπερ ἐστί ἡ κατ᾽ ἔφεσιν τοῦ φύσει ἀγαθοῦ τῶν μετεχόντων ἀδιάσπαστος ἡδονή καί ἀδιαίρετος ἕνωσις· διά δέ τῆς ἀληθείας, τό πέρας πασῶν ἐπεσήμανε τῶν γνώσεων· καί αὐτῶν πάντων τῶν γινωσκομένων, εἰς ὅπερ ὡς ἀρχήν καί πέρας πάντων τῶν ὄντων, αἱ κατά φύσιν κινήσεις, γενικῷ τινι λόγῳ συνέλκονται· πάντα νικώσης κατά φύσιν, ὡς ἀληθείας τῆς τῶν ὄντων ἀρχῆς καί αἰτίας· καί πρός ἑαυτήν συνελκούσης τῶν γεγονότων τήν κίνησιν.

Οὕτω διαλεχθείς ὁ φιλόσοφος νοῦς τῷ κατά φύσιν νόμῳ, πᾶσαν αὐτοῦ τῶν πονηρῶν δαιμόνων ἀποκρούεται πλάνην· ψηφίσασθαι πείθων ἐλευθερίαν τοῖς πρός δουλείαν παθῶν κεκρατημένοις λογισμοῖς τε τῆς ψυχῆς καί δυνάμεσι καί τῶν τῆς νοουμένης αἰχμαλωσίας δεσμῶν, λύσιν καί ἄφεσιν κηρύξαι τοῖς καθειργμένοις ἐν τῷ σκότει· τῇ προσπαθείᾳ λέγω τῶν αἰσθητῶν· ὥστε ἀναβάντας αὐτούς εἰς τήν Ἰουδαίαν· φημί δέ τήν ἀρετήν, οἰκοδομῆσαι ἐν

Ἱερουσαλήμ· τῇ ἕξει λέγω τῆς ἀπαθείας, τόν ναόν Κυρίου τουτέστι τήν δεκτικήν τῆς σοφίας γνῶσιν.

Σοφός οὖν καί πάνυ σοφός ὁ μέγας ἐστί Ζοροβάβελ, οἷα παρά Θεοῦ τήν σοφίαν λαβών, καί δι᾽ αὐτῆς δυνηθείς ἑκάστῳ τῶν πρός ἀπάτην προβεβλημένων ἐπί φθορᾷ τοῦ γένους τῶν ἀνθρώπων, ὑπό τῶν ὑπεραγωνιζομένων τοῦ σώματος πονηρῶν πνευμάτων, ἀντιπροβάλλεσθαι καί νικῆσαι καί ἀνατρέψαι· καί δι᾽ ἑκατέρου τῶν οἰκείων προβλημάτων τό ἑκάτερον τῶν ἀντικειμένων προβλημάτων παντελῶς ἐξαφανίσαι· καί τήν ψυχήν πονηρᾶς λυτρώσασθαι δουλείας παθῶν. Ἐπειδή γάρ ἐκεῖνοι, διά μέν τοῦ οἴνου τήν ζέσιν τιμᾶσθαι τῶν σαρκικῶν ἡδονῶν ἐπεζήτουν· διά δέ τοῦ βασιλέως, τῆς κοσμικῆς δόξης τό κράτος ἐπεκύρουν· οὗτος τήν πνευματικήν καί πέρας οὐκ ἔχουσαν διά τῶν γυναικῶν εἰσήγαγεν ἡδονήν· καί διά τῆς ἀληθείας, τό μή σαλευόμενον ἔδειξε κράτος· καί ἔπεισε, τῶν μέν παρόντων καταφρονεῖν ἀγαθῶν· τῶν δέ μελλόντων, ἀντέχεσθαι.

Ταύτην ἔχει τά προβλήματα, κατ᾽ ἐμέ φάναι, τήν ἔννοιαν, καλήν τε καί σοφήν, καί τοῦ γραφῆναι πρός νουθεσίαν ἡμῶν οὐκ ἀναξίαν τοῦ πνεύματος· εἰ δέ τις ὑψηλότερον τόν τῶν γεγραμμένων νοῦν σκοπῆσαι δυνηθῇ, κατά τήν χορηγουμένην αὐτῷ τοῦ νοεῖν τά θεῖα δύναμιν, φθόνος οὐδείς· ὅτι μηδέ πέφυκεν ἐλαττοῦσθαι τοῦ Πνεύματος ἡ χάρις ἐν τοῖς συμμετέχουσι· δι᾽ ὅ μάλιστα τό τοῦ φθόνου τίκτεται πάθος· κἄν ὁ μέν, πλέον· ὁ δέ, ἔλαττον ἔχει τῆς χάριτος· ἕκαστος γάρ, κατά τήν ἀναλογίαν τῆς ἐν αὐτῷ πίστεως, φανερουμένην κέκτηται τοῦ Πνεύματος τήν ἐνέργειαν. Ὥστε ταμείας ὑπάρχει τῆς χάριτος ἕκαστος, ἑαυτοῦ, καί οὔποτ᾽ ἄν εὖ φρονῶν ἄλλῳ φθονήσειεν ( 517) εὐδοκιμοῦντι ταῖς χάρισιν· ἐπ᾽ αὐτῷ κειμένης τῆς δεκτικῆς τῶν θείων ἀγαθῶν διαθέσεως.

Ἔλθωμεν δέ καί ἐπ᾽ ἄλλην μυστικήν θεωρίαν, τήν ἀρχικήν τῶν γεγραμμένων ἀλήθειαν προδεικνύουσαν. Ζοροβάβελ ἐστίν ἀληθινός τε καί νέος, καί διά τοῦ παλαιοῦ τυπικῶς μηνυόμενος, ὁ Κύριος ἡμῶν καί Θεός Ἰησοῦς Χριστός· ὁ ἐν τῇ συγχύσει τῆς φύσεως ἡμῶν συλληφθείς καί κυηθείς, καί τεχθείς, καί τέλειος κατά τήν φύσιν γενόμενος ἄνθρωπος· ἵνα πρός ἑαυτόν, τῆς συγχύσεως ἀποστᾶσαν ἀναγάγῃ τήνφύσιν.

Ὁ μή γενόμενος μέν σύν ἡμῖν αἰχμάλωτος, καί πρός τήν τῶν παθῶν ἀποικισθείς σύγχυσιν. Οὐ γάρ ἐποίησεν ἁμαρτίαν, οὐδέ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ· ἐν ἡμῖν δέ τοῖς αἰχμαλώτοις ὡς

αἰχμάλωτος γεννηθείς, καί μεθ᾽ ἡμῶν τῶν ἀνόμων λογισθείς· διά φιλανθρωπίαν γενόμενος ἐν ὁμοιώματι σαρκός ἁμαρτίας, καί περί ἁμαρτίας. Ἐν ὁμοιώματι μέν σαρκός ἁμαρτίας, ὅτι φύσει Θεός ὑπάρχων ἀπαθής, ἀτρέπτως κατ᾽ οἰκονομίαν φύσει παθητός γενέσθαι κατηξίωσεν ἄνθρωπος· περί ἁμαρτίας δέ, ὅτι διά τάς ἁμαρτίας ἡμῶν ἤχθη εἰς θάνατον, καί ὑπέρ ἡμῶν ὠδυνήθη· καί διά τάς ἁμαρτίας ἡμῶν ἐτραυματίσθη, καί ἐμαλακίσθη διά τάς ἀνομίας ἡμῶν, ἵνα ἡμεῖς τῷ μώλωπι αὐτοῦ ἰαθῶμεν. Πνεῦμα γάρ πρό προσώπου ἡμῶν, φησί, Χριστός Κύριος συνελήφθη ἐν ταῖς διαφθοραῖς ἡμῶν, οὗ εἴπαμεν, Ἐν τῇ σκιᾷ αὐτοῦ ζησόμεθα ἐν τοῖς ἔθνεσιν.

Οὗτος ἐστιν ἡ δικαία ἀνατολή τῆς ἡμῶν ἐκ τῆς ἁμαρτίας διασπορᾶς περί ἧς διά τοῦ προφήτου φησί τό Πνεῦμα τό ἅγιον, Ὅτι ἀνατελεῖται ὑμῖν Ἀνατολή δικαία. Καί, Ἰδού ἀνήρ, Ἀνατολή ὄνομα αὐτῷ· καί ὑποκάτωθεν αὐτοῦ ἀνατελεῖ· καί, Ἥλιος δικαιοσύνης, καί, ἴασις ἐν ταῖς πτέρυξιν αὐτοῦ· τοῦ ὑποκάτωθεν δηλοῦντος, τό ἀπόῤῥητον μυστήριον τῆς τοῦ Λόγου σαρκώσεως, ἐξ ἧς ἀνέτειλεν ἡ τῶν ὅλων σωτηρία. Πτέρυγες δ᾽ ἄν εἶεν τοῦ Ἡλίου τῆς δικαιοσύνης, αἱ δύο Διαθῆκαι, δι᾽ ὧν ἱπτάμενος ἐν ἡμῖν ὁ Λόγος, τήν πληγήν θεραπεύει παραβάσεως, καί τήν κατ᾽ ἀρετήν τελείαν χαρίζεται ῥῶσιν· διά μέν τῆς Παλαιᾶς, ποιούμενος τήν τῆς κακίας ἀναίρεσιν· διά τῆς Νέας δέ, τήν θέσιν τῆς ἀρετῆς ἐργαζόμενος.

Ἤ πάλιν, πτέρυγές εἰσιν, ἡ Πρόνοια καί ἡ κρίσις, δι᾽ ὧν ἱπτάμενος ὁ Λόγος, ἀγνώστως ἐπιβατεύει τοῖς οὖσι· σοφίας μέν λόγοις θεραπεύων τούς θέλοντας· παιδείας δέ τρόποις, τούς πρός ἀρετήν δυσκινήτους ἰώμενος· καί τοῖς μέν, σαρκός μολυσμόν ἐκκαθαίρων· τοῖς δέ, ψυχῶν κηλίδας ἰώμενος.

Οὗτός ἐστιν ὁ τήν αἰχμαλωσίαν τοῦ ἀληθινοῦ Ἰσραήλ ἐπανάγων· οὐκ ἀπό γῆς εἰς γῆν, καθώς ὁ παλαιός πέπραχε Ζοροβάβελ, ἀπό βαβυλῶνος εἰς ( 520) τήν Ἰουδαίαν τόν λαόν μεταβιβάσας· ἀλλ᾽ ἀπό γῆς εἰς οὐρανόν, καί ἀπό κακίας εἰς ἀρετήν, καί ἀπό ἀγνωσίας εἰς ἐπίγνωσιν ἀληθείας· καί ἀπό φθορᾶς εἰς ἀφθαρσίαν, καί εἰς ἀθανασίαν ἀπό θανάτου· καί συντόμως εἰπεῖν, ἀπό τοῦ φαινομένου κόσμου καί ῥέοντος, εἰς τόν σταθηρόν νοούμενον· καί ἀπό τῆς διαλυομένης ζωῆς, εἰς τήν ἀδιάλυτον καί μένουσαν.

Οὗτός ἐστιν ὁ ἀληθινός οἰκοδόμος τοῦ διαρυέντος τοῖς παραπτώμασι λογικοῦ ναοῦ, καί ἐμπρησθέντος ἀλλοτρίῳ πυρί· ὅπερ ἡμεῖς ἐξεκαύσαμεν, πορευθέντες τῷ φωτί τοῦ πυρός ἡμῶν, καί τῇ

φλογί, ᾗ ἐξεκαύσαμεν· οὐ μόνον τῷ σαρκικῷ φρονήματι τό τῆς ψυχῆς νοερόν ἕπεσθαι δουλικῶς παρασκευάσαντες, ἀλλά καί τήν τῶν παθῶν ὕλην ἀναίδην δι᾽ ἐνεργείας ἐξάψαντες.

Οὗτός ἐστιν ὁ πείσας διά σοφίας Δαρεῖον τόν βασιλέα· τουτέστι, τόν νόμον τῆς φύσεως· οὐ γάρ θέμις κατά τόν τόπον τοῦτον εἰς τόν διάβολον λαμβάνειν τόν Δαρεῖον, συνεργόν μέν γεγενημένον ἑκουσίως τῆς κατά τήν ἄφεσιν τοῦ λαοῦ χάριτος· πεισθέντα δέ, μηδέν ἰσχυρότερον εἶναι μηδέ τῇ φύσει πρός σωτηρίαν λυσιτελέστερον, πίστεως καί ἀγαθῆς συνειδήσεως. Ἀληθείας γάρ λόγον ἡ πίστις ἐπέχει· καί διά τῆς τῶν γυναικῶν ἀλληγορικῶς νοουμένης θείας ἀγάπης, ἡ ἀγαθή συνείδησις ἐπιφέρεται τύπον [Fr. τόπον]· ἐν ᾗ τό παράπαν θείων ἐντολῶν οὐκ ἔστι παράβασις.

Οὗτός ἐστιν, ὁ δειμάμενος ἐν ἑαυτῷ καθ᾽ ἕνωσιν ἄῤῥητόν τε καί ἀδιαίρετον τήν σκηνήν Δαβίδ τήν πεπτωκυῖαν· λέγω δέ τήν διά τήν ἁμαρτίαν τῷ θανάτῳ διαφθαρεῖσαν φύσιν.

Οὗτός ἐστιν ὁ Ζοροβάβελ, ὁ μετά δόξης ἐγείρας πεπτωκότα τόν οἶκον τοῦ Θεοῦ· περί οὗ φησι τό Πνεῦμα· Ἔσται ἡ δόξα τοῦ οἴκου τούτου ἡ ἐσχάτη ὑπέρ τήν προτέραν. Δευτέραν γάρ κοινωνίαν ὁ Λόγος ἐκοινώνησε τῇ φύσει, πολύ τῆς προτέρας παραδοξοτέραν· ὅσῳ πρῶτον τοῦ κρείττονος μεταδούς, ὕστερον μετέλαβε θέλων τοῦ χείρονος· ἵνα καί τήν εἰκόνα σώσῃ, καί τήν σάρκα ἀθανατίσῃ· καί τόν ἐνηχηθέντα τῇ φύσει λόγον τοῦ ὄφεως, παντελῶς ἐξαφανίσας, ὡς ἐξ ἀρχῆς καθαράν πάλιν παραστήσῃ τήν φύσιν, τῇ θεώσει πλεονεκτοῦσαν τήν πρώτην διάπλασιν· καί ὥσπερ ἐξ ἀρχῆς μή οὖσαν ὑπεστήσατο, οὕτω διαῤῥυεῖσαν ἀνασώτηται, στομώσας πρός ἀπτωσίαν τῇ ἀτρεψίᾳ· καί τήν ἐπ᾽ αὐτῇ πᾶσαν βουλήν τοῦ Θεοῦ καί Πατρός ἐπιτελέσῃ, θεώσας αὐτήν τῇ δυνάμει τῆς ἐνανθρωπήσεως· Αἱ χεῖρες γάρ, φησί, Ζοροβάβελ (τοῦ νοητοῦ) ἐθεμελίωσαν τόν οἶκον τοῦτον (τουτέστι τόν ἄνθρωπον)· καί αἱ χεῖρες αὐτοῦ ἐπιτελοῦσιν αὐτόν· τήν προτέραν λέγω διάπλασιν καί τήν ἐν αὐτῷ καθ᾽ ἕνωσιν ἄῤῥητον τελευταίαν ἀνάπλασιν.

Οὗτός ἐστιν ὁ Ζοροβάβελ, ὁ τῶν αἰχμαλώτων λυτρωτής· ὁ ἔχων ἐν τῇ χειρί τόν λίθον τοῦ κασσιτέρου [Fr. κασσιτέρινον], τόν τοῖς ἑπτά τοῦ Κυρίου κοσμούμενον ὀφθαλμοῖς, δι᾽ ὧν ὁ Θεός ἐπιβλέπει ἐπί ( 521) πᾶσαν τήν γῆν. Καί κατά μέν τήν ἱστορίαν, οὐδαμῶς ἐσχηκώς φαίνεται Ζοροβάβελ ἐν τῇ χειρί κασσιτέρινον λίθον ἑπτά ὀφθαλμούς ἔχοντα, καί αὐτούς τοῦ Κυρίου, ἐπιβλέποντας ἐπί πᾶσαν τήν γῆν·

οὐκοῦν ἐπειδή παντελῶς ἀμήχανον τοῦτο στῆναι κατά τήν λέξιν, ἐπί τήν τῶν γεγραμμένων χωρῶμεν διάνοιαν.

Ζοροβάβελ ἐστί, καθώς πολλάκις προλαβών ἔφην, ὁ Κύριος ἡμῶν καί Θεός Ἰησοῦς Χριστός· τούτου δέ λίθος ἐστίν, ἡ πίστις ἡ εἰς αὐτόν· ἐν τῇ χειρί δέ, ὅτι τῇ πράξει τῶν ἐντολῶν πίστις τοῦ Χριστοῦ διαφαίνεται. Πίστις γάρ χωρίς ἔργων, νεκρά· ὥσπερ καί ἔργα δίχα πίστεως. Πράξεως δέ σύμβολόν ἐστι προδήλως ἡ χείρ. Φέρων οὖν ἐν τῇ χειρί τόν λίθον ὁ Κύριος, ἔμπρακτον ἡμᾶς διδάσκει τήν εἰς αὐτόν πίστιν ἔχειν, τοῖς ἑπτά τοῦ Κυρίου κοσμούμενον ὀφθαλμοῖς· τουτέστι, ταῖς ἑπτά τοῦ ἁγίου Πνεύματος ἐνεργείαις. Καί ἐπαναπαύσεται, φησίν, ἐπ᾽ αὐτόν ἑπτά πνεύματα· πνεῦμα σοφίας, πνεῦμα συνέσεως, πνεῦμα γνώσεως, πνεῦμα ἐπιστήμης, πνεῦμα βουλῆς, πνεῦμα ἰσχύος, πνεῦμα φόβου Θεοῦ.

Ἔστι δέ τό μέν πνεῦμα τοῦ φόβου τοῦ Θεοῦ ἡ τῶν κατ᾽ ἐνέργειαν κακῶν ἀποχή· τό δέ πνεῦμα τῆς ἰσχύος ἐστίν, ἡ πρός ἐνέργειαν καί πρᾶξιν τῶν ἐντολῶν πρόθυμος ὁρμή καί κίνησις· τό δέ πνεῦμα βουλῆς ἐστιν, ἡ ἕξις τῆς διακρίσεως· καθ᾽ ἥν σύν λόγῳ τάς θείας πράττομεν ἐντολάς, καί τῶν κρειττόνων διαιροῦμεν τά χείρονα· τό δέ πνεῦμα τῆς ἐπιστήμης ἐστίν, ἡ τῶν κατ᾽ ἀρετήν τῆς πράξεως τρόπων ἄπτωτος εἴδησις· καθ᾽ οὕς πράττοντες, τῆς ὀρθῆς τοῦ λόγου κρίσεως οὐδαμῶς διαπίπτομεν· τό δέ πνεῦμα τῆς γνώσεώς ἐστιν, ἡ τῶν ἐν ταῖς ἐντολαῖς λόγων περίληψις, καθ᾽ οὕς οἱ τρόποι τῶν ἀρετῶν συνεστήκασι· πνεῦμα δέ συνέσεώς ἐστιν, ἡ (524) πρός τούς τρόπους καί τούς λόγους τῶν ἀρετῶν συνδιάθεσις· ἤ κυριώτερον εἰπεῖν, μεταποίησις· καθ᾽ ἥν σύγκρασις γίνεται τῶν φυσικῶν δυνάμεων πρός τούς τρόπους καί τούς λόγους τῶν ἐντολῶν. Πνεῦμα δέ σοφίας ἐστίν, ἡ πρός τήν αἰτίαν τῶν ἐν ταῖς ἐντολαῖς πνευματικωτέρων λόγων ἀνάληψίς τε καί ἕνωσις· καθ᾽ ἥν, ἀγνώστως τούς ἐν Θεῷ κατά τό θεμιτόν ἀνθρώποις ἁπλοῦς μυούμενοι τῶν ὄντων λόγους, ὡς ἔκ τινος βλαστανούσης πηγῆς τῆς καρδίας, τήν ἐν τοῖς ὅλοις ἀλήθειαν ποικίλως τοῖς ἄλλοις ἀνθρώποις προφέρομεν· ἀπό μέν τῶν ἐκ Θεοῦ τελευταίων, ἡμῖν δέ προσεχῶν, ἐπί τά πρῶτα, καί ἡμῶν μέν πόῤῥω, τῷ Θεῷ δέ προσεχῆ, καθ᾽ ὁδόν καί τάξιν ἀναβαίνοντες.

Ἀπό γάρ τῆς ἀργίας τῶν κακῶν διά φόβου, ἐπί τήν τῶν ἀρετῶν δι᾽ ἰσχύος ἐρχόμεθα πρᾶξιν· ἀπό δέ τῆς τῶν ἀρετῶν πράξεως, ἐπί τήν διάκρισιν τῆς βουλῆς· ἀπό δέ τῆς διακρίσεως, ἐπί τήν ἕξιν τῶν ἀρετῶν, ἤγουν ἐπιστήμην· ἀπό δέ τῆς ἕξεως τῶν ἀρετῶν, ἐπί τήν γνῶσιν τῶν

ἐν αὐταῖς ταῖς ἀρεταῖς λόγων· ἀπό δέ ταύτης, εἰς τήν πρός τούς ἐγνωσμένους λόγους τῶν ἀρετῶν μεταποιητικήν ἕξιν· φημί δέ τήν σύνεσιν· καί ἀπό ταύτης, εἰς τήν ἁπλῆν τῆς ἐν ὅλοις ἀληθείας ἀκριβῆ θεωρίαν· ἀφ᾽ ἧς ὁρμώμενοι, πολλούς καί ποικίλους ἐκ τῶν τῶν ὄντων αἰσθητῶν τε καί νοητῶν οὐσιῶν σοφῆς θεωρίας εὐσεβεῖς λόγους περί τῆς ἀληθείας ἀποδώσομεν.

Διά τούτων οὖν ἀναβαίνοντες τῶν ὀφθαλμῶν τῆς πίστεως· ἤγουν φωτισμῶν, πρός τήν θείαν τῆς σοφίας συναγόμεθα μονάδα· τήν γεγενημένην δι᾽ ἡμᾶς τῶν χαρισμάτων διαίρεσιν συνάγοντες, ταῖς κατά μέρος τῶν ἀρετῶν ἀναβάσεσι· μηδέν τῶν εἰρημένων, συνεργείᾳ Θεοῦ, παραλιμπάνοντες· ἵνα μή κατ᾽ ὀλίγον ἀμελοῦντες, τυφλήν ἡμῶν τήν πίστιν καί ἀνόμματον καταστήσωμεν, οὐκ ἔχουσαν τούς διά τῶν ἀρετῶν τοῦ Πνεύματος φωτισμούς· καί κολασθῶμεν δικαίως εἰς ἀπείρους αἰῶνας, ὡς ἐν ἑαυτοῖς κατά τήν πίστιν, ὅσον ἐφ᾽ ἡμῖν, τούς θείους ἐκτυφλώσαντες ὀφθαλμούς.

Πᾶς γάρ ὁ τῆς πίστεως ἐν ἑαυτῷ διά τῆς ἀργίας τῶν ἐντολῶν, τούς τοιούτους ἀνορύξας ὀφθαλμούς, πάντως κατάκριτος· μηκέτι τόν Θεόν ἔχων εἰς αὐτόν ἐπιβλέποντα. Καί οἶμαί γε ταύτης ἕνεκα τῆς αἰτίας, λίθον κασσιτέρινον τῇ Γραφῇ προσηγορεῦθαι τήν πίστιν, διά τό τήν αὐτήν καί τιμωρητικήν εἶναι τῶν μή κοσμούντων αὐτήν ταῖς ἐντολαῖς, καί περιποιητικήν τῶν διατηρούντων αὐτήν κατηγλαϊσμένην ταῖς ἐνεργείαις τοῦ Πνεύματος. Ἔσται γάρ, φησί Συμεών ὁ μέγας περί τοῦ Κυρίου λέγων, εἰς πτῶσιν καί ἀνάστασιν πολλῶν ἐν τῷ Ἰσραήλ· πτῶσιν μέν, τῶν ἀπιστούντων· ἀνάστασιν δέ, τῶν πιστευόντων. Φασί γάρ τινες ἐξ ἀργύρου καί μολίβδου σύνθετον εἶναι τόν κασσίτερον. Οὐκοῦν ὁ μέν μόλυβδος, παιδείας καί τιμωρίας καί κολάσεως, καί τοῦ βάρους τῆς κατακρίσεως φέρει σύμβολον· ὁ δέ ἄργυρος, λαμπρότητός τε καί δόξης καί περηφανείας, (525) τύπος ἐστίν. Εἰ δέ τοῦτο, καί ἡ πίστις ἡ διά τοῦ κασσιτέρου σημαινομένη, καί παιδεύει καί τιμωρεῖται καί κολάζει καί κατακρίνει τούς ἀδοκίμους ἐν αὐτῇ γενομένους διά τῆς ἀργίας τῶν ἐντολῶν· ὡς μόλιβδον ἔχουσα τυχόν, τῆς σαρκός τήν ἀσθένειαν, ἐν τῷ Λόγῳ δυναμωθεῖσαν κατά τήν ἕνωσιν· καί λαμπρύνει πάλιν καί δοξάζει καί φωτίζει, καί πρός ἐκθέωσιν ἄγει τούς ἐν αὐτῇ γενομένους δοκίμους διά τῆς ἐργασίας τῶν ἐντολῶν· ὡς ἀργύριον ἔχουσα τάχα τήν τοῦ Λόγου θεότητα, τοῖς ἀξίοις ὁλικῶς κατά τό δυνατόν ἐναστράπτουσαν.

Ἔλαβον δέ τινες τόν κασσιτέρινον λίθον, εἰς τόν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ὡς ἐκ δύο συγκείμενον φύσεων, θεότητός τε καί ἀνθρωπότητος· εἰ δέ τις τοῦ Χριστοῦ πίστιν, ἤ τόν Χριστόν αὐτόν θεωρῆσαι βούλεται γνωστικώτερον· μόλιβδός ἐστιν ἡ πίστις, καί αὐτός ὁ Χριστός, ὡς παιδεύων ψυχήν, καί κολάζων σάρκα, καί τιμωρούμενος πάθη, καί κατακρίνων δαίμονας· ἄργυρος δέ, ὡς νοῦν λαμπρύνων ταῖς ἀρεταῖς, καί δοξάζων ταῖς γνώσεσι, καί τῇ θεώσει ποιῶν αὐτόν φῶς, τοῦ πρώτου φωτός ἀπεικόνισμα. Κατά ταύτην τήν ἔννοιαν ἐκληπτέον καί τήν ἐξ αὐτοῦ γινομένην πτῶσιν καί ἀνάστασιν· πτῶσιν γάρ ποιεῖται σαρκός, ἤγουν σαρκικοῦ φρονήματος· καί φυσικῶν δυνάμεων καί ἀρετῆς καί τῶν συνεκτικῶν τῆς γνώσεως λογισμῶν, ἀνάστασιν. Καί ἁπλῶς, ὅλου τοῦ παλαιοῦ κατά τόν Ἀδάμ ἀνθρώπου, καί τοῦ γράμματος τοῦ νόμου ἐν τοῖς ἀξίοις ποιεῖται πτῶσιν ὁ Λόγος, καί τοῦ νέου κατ᾽ αὐτόν ἀνθρώπου, καί τοῦ πνεύματος τοῦ νόμου ἀνάστασιν.

Τυχόν δέ καί διά τοῦτο κασσιτερίνῳ λίθῳ κατά τήν Γραφήν παρεικάζεται ἡ πίστις, τῶν ἐν τοῖς μελαίνουσιν αὐτῆς τήν ἀρετήν ἤ τήν γνῶσιν, δυναμένων πάλιν διά μετανοίας κατά πρᾶξιν καί θεωρίαν λαμπρύνεσθαι, καί τήν οἰκείαν αὖθις ἀπολαμβάνειν φωτεινήν τοῦ βίου διαύγειαν.

ΣΧΟΛΙΑ.

α'. Ποσαχῶς ἑρμηνεύεται Ζοροβάβελ, πρός τήν Ἑλλάδα φωνήν μεταφερόμενος.

β'. Ἀρετῆς τέλος εἶναί φησι τό ἀγαθόν· τοῦτο δέ, θείας ἐνεργείας ὑπάρχει συμπλήρωσις· πρός ἥν ἄγει τό λογικόν τῆς ψυχῆς, τῷ τε θυμῷ καί τῇ ἐπιθυμίᾳ κατά φύσιν χρώμενον· ἐν ᾗ τό καθ᾽ ὁμοίωσιν πέφυκεν ἀναφαίνεσθαι κάλλος. Θεωρητικῆς δέ φιλοσοφίας τέλος εἶναί φησι τήν ἀλήθειαν, ἥτις ἀμερῶς τῶν περί Θεόν ἁπάντων ἑνοειδής ἐστι γνῶσις· πρός ἥν ὁ καθαρός φέρεται νοῦς, ἀποσκευάσας ἑαυτοῦ παντελῶς τήν κατ᾽ αἴσθησιν κρίσιν· ἐν ᾗ γνώσει δῆλον ἀκίβδηλον τό τῆς θείας εἰκόνος ἀξίωμα δείκνυται.

γ'. Τάς μέν γυναῖκας εἰς ἀρετάς, ὧν ἡ ἀγάπη τέλος ἐστίν ἐθεώρησε· τήν ἀλήθειαν δέ, πρός τήν ἄποσον ἀνήγαγε γνῶσιν· ὧν, ἀγάπης τέ φημι καί γνώσεως, ὁ βασιλεύων τῆς φύσεως ἐπιγνούς τόν χαρακτῆρα νόμος, ἀποβάλλεται καθάπερ οἶνον, τήν τῶν παθῶν τῆς σαρκός ἡδονήν· καί ὥσπερ βασιλεία, τήν πάντων ἀσχέτως κατοιομένων δοξομανίαν.

δ'. (528) Ἡ κατ᾽ ἀρετήν διάθεσις, φησίν, πρόσωπόν ἐστι τοῦ θεωρητικοῦ νοός, ὡς εἰς οὐρανόν, πρός τό ὕψος τῆς ἀληθινῆς ἀπαιρόμενον γνώσεως.

ε'. Ἄλλη περί τοῦ αὐτοῦ θεωρία· καθ᾽ ἥν τήν ἐν οὐρανοῖς ἀπογραφήν λέγει μόνων ἐκείνων εἶναι, τῶν κατά πρόθεσιν ὅλους ἑαυτούς ἀπογράφεσθαι τῷ καλάμῳ παρεχόντων τοῦ Πνεύματος. Βουλομένους γάρ, ἀλλ᾽ οὐκ ἀναγκαζομένους ἐν οὐρανοῖς ἀπογράφεται τό Πνεῦμα τό ἅγιον.

στ'. Οὐδείς δύναται, φησίν, ἀληθῶς τόν Θεόν εὐλογεῖν, μή τό σῶμα καθαγιάσας ταῖς ἀρεταῖς, καί τήν ψυχήν καταφωτίσας ταῖς γνώσεσι.

ζ'. Τήν μέν νίκην, τῶν κατά τό πρακτικόν τῆς ψυχῆς θείων ἀγώνων πέρας εἶναί φησιν· ὅπερ ἐπί τό ἀμιγές ἀγαθόν. Τήν δέ σοφίαν, τῶν κατά τό γνωστικόν τῆς ψυχῆς μυστικῶν ὑπάρχειν τέλος ἀποφαίνεται θεαμάτων· ὅπερ ἐστίν ἡ ἁπλῆ ἀλήθεια· πρός ἅπερ νοῦς τόν γενόμενον τῆς κατ᾽ αἴσθησιν καθαρόν φαντασίας ἄγει· καί λόγος, ὑποζεύξας αὐτῷ τό τῆς ψυχῆς ζωτικόν· ὧν, νίκης τέ φησι καί σοφίας, ἤγουν ἀγαθότητος καί ἀληθείας ἡ σύνοδος, μίαν δείκνυσιν, οἷς ἄν γένηται, δόξαν τοῦ καθ᾽ ὁμοίωσιν ἀκραιφνοῦς ἀπαστράπτουσαν.

η'. Fr. Τί πρός ἀρετήν ἡμεῖς συνεισφέρομεν.

θ'. Διά ποίαν αἰτίαν Δεσπότης Πατέρων Θεός προσαγορεύεται.

ι'. Οἱ κατά πνεῦμα Πατέρες, φησί, διά τῆς διδασκαλίας θελόντων υἱῶν θέλοντες καθίστανται Πατέρες· λόγῳ καί βίῳ κατά Θεόν αὐτούς διαπλάττοντες· καί οἱ κατά πνεῦμα υἱοί κατά θέλησιν διά τῆς μαθήσεως αὐθαιρέτων υἱοί γίνονται Πατέρων, αὐθαίρετοι γνωμικῶς, κατά Θεόν ὑπ᾽ αὐτῶν λόγῳ τε καί βίῳ διαπλαττόμενοι. Ἡ γάρ χάρις τοῦ Πνεύματος γνωμικήν τήν τῶν κατ᾽ αὐτόν γεννώντων καί γεννωμένων ἐργάζεται γέννησιν· ὅπερ οἱ κατά σάρκα πατέρες οὐκ ἔχουσιν, ἀκουσίων υἱῶν πατέρες ἀκούσιοι· φύσεως γάρ, ἀλλ᾽ οὐ γνώμης ἔργον καθέστηκεν, ἡ τῶν φυσικῶς γεννώντων τε καί γεννωμένων διάπλασις.

ια'. Ἡ δυάς ἐνταῦθα, τήν ὕλην δηλοῖ καί τό εἶδος· ὧν ἡ μέν σύνοδος ποιεῖται σώματος γένεσιν· ἡ δέ διάλυσις, πέφυκε τήν αὐτοῦ ποιεῖσθαι φθοράν. Οὐκοῦν τά ἐξ ὕλης καί εἴδους ὄντα, τῇ ἀρχῇ φυσικῇ ἐναντίον ἔχει τό τέλος, εἴπερ ἡ διαφορά τῆς γενέσεώς ἐστιν ἀναίρεσις. Γενέσεως δέ καί φθορᾶς ὑπερασπίζουσι αἱ δυνάμεις αἱ δύο, ἥ τε κατ᾽ ἐπιθυμίαν καί ἡ θυμική· ἡ μέν, ἐφιεμένη δι᾽ ἑαυτῆς κρατῆσαι πρός τό εἶναι τήν γένεσιν· ἡ δέ, τήν ἐκ τῆς φθορᾶς ἀγωνιστικῶς ἀπωθουμένη διάλυσιν.

Τούτων συνήγοροι τῶν δυνάμεων οἱ πονηροί καθίστανται δαίμονες· οἱ μέν, τήν κατ' ἐπιθυμίαν τῆς ψυχῆς ἀπό τῶν θείων ἔκστασιν, ἧς ὁ οἶνος ὑπάρχει σύμβολον· οἱ δέ, τήν ἐπί τῶν ὑλικῶν τυραννίδα τῆς θυμικῆς δυνάμεως, ἧς ἡ εἰκών ἡ βασιλεία καθέστηκε, προβαλλόμενοι τῷ νόμῳ τῆς φύσεως, παραπεῖσαι βουλόμενοι τήν κατ᾽ αὐτάς ἐμπαθῆς ψηφίσασθαι ζωήν. Ἡ δέ μονάς, τήν ἁπλῆν σημαίνει κατ᾽ οὐσίαν ψυχήν, ὡς εἰκόνα τῆς κατ᾽ οὐσίαν ὑπερφυοῦς τρισυποστάτου (529) μονάδος· ἧς ὁ νοῦς, φημί δέ τῆς ψυχῆς, ὡς εἷς μιᾶς ὑπάρχει συνήγορος, τήν εἰς τόν Θεόν πίστιν διά τῆς ἀληθείας, καί τήν εἰς αὐτόν ἀγάπην διά τῶν γυναικῶν, πάντων ἰσχυροτέραν ἀποδεικνύς τῷ νόμῳ τῆς φύσεως· καί τό κατ᾽ αὐτάς κράτος πείθων ψηφίσασθαι.

ιβ'. Ὅτι τῇ καθ᾽ ὑπεροχήν στερήσει τῶν πολλῶν, ὡς ἕν καί μόνον ἡ ἀλήθεια πέφυκεν ἀναφαίνεσθαι, φησί, καλύπτουσα πάντων νοεῖν ἤ νοεῖσθαι δυναμένων τάς γνωστικάς δυνάμεις, ὡς ὑπέρ τά νοοῦντα καί τά νοούμενα καθ᾽ ὕπαρξιν ὑπερούσιον οὖσα, καί ἀπείρῳ δυνάμει, τάς κατά τήν ἀρχήν καί τό τέλος τῶν ὄντων ἀκρότητας περιγράφουσα, πᾶσα πάντων πρός ἑαυτήν συνέλκει κίνησιν· τοῖς μέν παρεχομένη γνῶσιν ἀρίδηλον, ἧς ἐστερήθησαν χάριτος· τοῖς δέ δωρουμένη κατ᾽ αἴσθησιν ἄῤῥητον, ἧς εἶχον τήν ἔφεσιν ἀγαθότητος, τῇ μεθέξει φανερόν τήν ἐπίγνωσιν.

ιγ'. Τόν ἐν Βαβυλῶνι λαόν ἀλληγορικῶς, νόει, τούς εἰς δουλείαν παθῶν κεκρατημένους λογισμούς· τόν δέ Δαρεῖον, τόν φυσικόν νόμον· τό δέ Ζοροβάβελ, τόν γνωστικόν νοῦν· τήν Ἰουδαίαν δέ, τήν ἀρετήν· τήν Ἱερουσαλήμ, τήν ἕξιν τῆς ἀπαθείας· τόν δέ ναόν, τήν δεκτικήν τῆς σοφίας γνῶσιν· τήν δέ πρός τήν Ἰουδαίαν ἐκ Βαβυλῶνος ἀνάβασιν, τήν ἀπό τῶν σωματικῶν εἰς τά πνευματικά διά μετανοίας μετάθεσιν.

ιδ'. Αἴτιον εἶναι λέγει, τῆς τῶν θείων διανομῆς ἀγαθῶν, τό μέτρον τῆς ἑκάστου πίστεως· καθώς γάρ πιστεύομεν, καί τήν ἐπί τό πράττειν τῆς προθυμίας ἐπίδοσιν ἔχομεν. Ὁ γοῦν πράττων, κατά τήν ἀναλογίαν τῆς πράξεως ἐπιδείκνυται τό μέτρον τῆς πίστεως, δεχόμενος ὡς ἐπίστευσε τό μέτρον τῆς χάριτος· ὁ δέ μή πράττων, κατά τήν ἀναλογίαν τῆς ἀπραξίας ἐπιδείκνυται τό μέτρον τῆς ἀπιστίας, δεχόμενος ὡς ἠπίστησε, τήν τῆς χάριτος στέρησιν. Οὐκοῦν κακῶς ποιεῖ βασκαίνων ὁ φθονερός, ἐπ᾽ αὐτῷ σαφῶς, ἀλλ᾽ οὐκ ἐν ἄλλῳ κειμένης, τῆς τοῦ πιστεύειν τε καί πράττειν, καί πρός τό μέτρον τῆς πίστεως ἐρχομένης δέξασθαι τήν χάριν, ἐπιλογῆς.

ιε'. Πῶς τοῦ Κυρίου τύπος ἐστί Ζοροβάβελ.

ιστ'. Καλῶς ἐδείχθη τῇ ἀληθείᾳ συμβαίνειν ὁ τύπος. Ὥσπερ γάρ ὁ Ζαροβάβελ οὐ γέγονεν αἰχμάλωτος, ἀλλ᾽ ἐκ τῶν αἰχμαλώτων ἐν Βαβυλῶνι τότε δεδουλωμένων ἐγεννήθη, καί γέγονεν αὐτῶν λυτρωτής· οὕτως καί ὁ Κύριος ἀναμάρτητος ὤν, ἐξ ἡμῶν ἐν ἡμῖν ὡς εἷς ἐξ ἡμῶν κατελογίσθη, τό τῆς φύσεως ἡμῶν ἑκουσίως ὑποδύς παθητόν, καθ᾽ ὅ τῆς ἡμῶν πρός ἀλήθειαν φυσικῆς ἀνασχόμενος ἀσθενείας, τοῦ φθοροποιοῦ κράτους ἡμᾶς ἠλευθέρωσε, καί εἰς οὐρανούς ἡμᾶς ἀνήγαγεν ἀπό γῆς· τῇ μέν δυνάμει τῆς αὐτοῦ σαρκώσεως ὅλην ἀνελλειπῶς ἑαυτῷ καθ᾽ ἕνωσιν ἄῤῥητον τήν φύσιν προσλαβών· τῇ δέ κλήσει τῆς χάριτος, μόνους ἐκείνους τούς δεξαμένους τε περιχαρῶς τήν κλῆσιν, καί διά τῶν ἔργων τήν χάριν αἰδεσθέντας τῆς ἀναπλάσεως.

ιζ'. Σάρξ ἁμαρτίας ἐστίν, ἡ ἐκ σπορᾶς ἀνδρός τήν γένεσιν ἔχουσα· κατά ταὐτόν γάρ ἔχει δυνάμει τήν (532) ἁμαρτίαν καί τήν φθοράν κατά φύσιν, τήν μέν ἀρχήν, τήν δέ τέλος ἔχουσα τῆς οἰκείας γενέσεως· ἡ δέ ἐν ὁμοιώματι σαρκός ἁμαρτίας ἐστί σάρξ, ἡ δίχα σπορᾶς ἀνδρός συστᾶσα τοῦ Θεοῦ σάρξ· κατά φύσιν μέν ἔχουσα τήν φθοράν, καθ᾽ ἥν ἡμῖν ὅμοιος ἦν· κατά δύναμιν δέ φύσει τήν ἀναμαρτησίαν, καθ᾽ ἥν ἡμῖν ἀνόμοιος ἦν.

ιη'. Ἐπειδή φησιν, ὡς πρός τήν ἄκρατόν τε καί ἄκραν θεολογίαν, δεύτερός ἐστιν ὁ τῆς σαρκώσεως λόγος· ἡ μέν γάρ τοῦ περί τήν οὐσίαν ἄκρου καθέστηκε λόγου· ὁ δέ, τῆς κατά τήν πρόνοιαν ἀκροτάτης ἐνεργείας ὑπάρχει συνεκτικός, ὑποκάτωθεν ἀνατολή προσηγορεύθη τῷ Πνεύματι. Ἐν γάρ τῷ λόγῳ τῆς θείας σαρκώσεως, ἡ τῶν αἰώνων τε καί τῶν ἐν αἰῶνι περιέχεται γένεσις· καί ἡ πρός ἀοριστίαν τῆς ὑπέρ αἰῶνας κατά χάριν ζωῆς τῶν ὄντων παράτασις.

ιθ'. Ὁ τῶν καλῶν, φησίν, ἐραστής, κατά πρόνοιαν σοφίας λόγοις ἑκουσίως ἐπείγεται πρός τήν τῆς θεώσεως χάριν· ὁ δέ τούτων ἀνέραστος, κατά δικαίαν κρίσιν παιδείας τρόποις ἀκουσίως κακίας ἀπάγεται· ὁ μέν ὡς φιλόθεος διά τῆς προνοίας θεούμενος· ὁ δέ διά τῆς κρίσεως ὡς φιλόϋλος εἰς κατάκρισιν ἐλθεῖν μή συγχωρούμενος.

κ'. Πῦρ μέν ἡμῶν ὑπάρχει ψεκτόν, ὁ τῆς σαρκός νόμος· φῶς δέ τούτου τοῦ πυρός ἐστιν, ἡ κατά τοῦτον τόν ψεκτόν νόμον ἐν ἕξει τῶν παθῶν ἡ κίνησις· ἡ δέ ψεκτή φλόξ ἐστιν, ἡ διά τῆς ἐνεργείας ἔκκαυσις τῶν παθῶν. Ἤ πάλιν, πῦρ μέν ἐστι ψεκτόν, ἡ κακία· φῶς δέ ψεκτόν, ἡ τῆς κακίας ἕξις· φλόξ δέ ἡ ἐνέργεια. Οὐ δεῖ οὖν τούτῳ τόν νοῦν θερμαίνεσθαι τῷ πυρί, μηδέ τούτῳ φωτίζεσθαι τῷ φωτί, μηδέ ταύτῃ

καταπιμπρᾶσθαι τῇ φλογί· τό γάρ καθ᾽ ἡδονήν πρός αἴσθησιν φῶς, πρός νοῦν σκότος ὑπάρχει βαθύτατον.

κα'. Ἡ μέν ὄντως πίστις ἀληθείας ἐστίν συστατική, ψεῦδος οὐχ ἔχουσα· ἡ δέ ἀγαθή συνείδησις, τήν τῆς ἀγάπης ἐπιφέρεται δύναμιν, ὡς μηδεμίαν ἔχουσα θείας παράβασιν ἐντολῆς.

κβ'. Ἡ ἀνάστασις ἀνάπλασίς ἐστι τῆς φύσεως, πλεονεκτοῦσα τήν τῆς φύσεως ἐν τῷ παραδείσῳ διάπλασιν· γενικῶς μέν, τῇ καθ᾽ ὅλου τῶν ὅλων ἀντρεψίᾳ· ἰδικῶς δέ, τῇ κατά χάριν ἀῤῥήτῳ θεώσει τῶν ἁγίων.

κγ'. Χεῖρας τυχόν εἶπεν ὁ λόγος τοῦ νοητοῦ Ζοροβάβελ, τήν τε δημιουργικήν, καθ᾽ ἥν τήν ἐπί τό εὖ εἶναι λαμβάνομεν γένεσιν· καί τήν ἀνανεωτικήν, καθ᾽ ἥν ἐπί τό ἀεί εὖ εἶναι διχόμεθα χάριν· ἤ τήν ἐν ἡμῖν κατά τήν πρᾶξιν τῶν ἀρετῶν αὐτουργόν αὐτοῦ χάριν· καί τήν ἐπ᾽ αὐτῇ κατά τήν θεωρίαν ἀδιασκέδαστον χύσιν τῆς γνώσεως.

κδ'. Λίθος ἡ πίστις ἐκλήθην, διά τό στεῤῥόν, ἄτρεπτόν τε καί βάσιμον, καί παντελῶς ἀκίνητον τῆς κατ᾽ αὐτήν ἀληθείας· καί μηδαμῶς ὑπεῖκον ψεύδους ἐπαναστάσεσιν. Ἐν χειρί δέ, διά τό κατ᾽ ἐνέργειαν πρακτικόν, καί πασῶν κατά περιγραφήν τῶν ἀρετῶν συνεκτικόν. Ἑπτά δέ ὀφθαλμούς ἔχουσα, διά τό (533) διακριτικόν, καί τῆς παντελοῦς τῶν ὑπό χρόνον ἀπταίστου γνώσεως περιεκτικόν· καί τῆς ἀμιγοῦς ἐν ἀριθμοῖς ἑπταπλῆς τοῦ παναγίου Πνεύματος ἐνεργείας δεκτικόν.

κε'. Διάληψις ἀποδεικτική ἐκ τῆς ἰδιότητος τοῦ πνευματικοῦ χαρίσματος. Φόβου γάρ ἴδιον ἀποχή τῶν κακῶν· ἰσχύος δέ, ἡ πρᾶξις τῶν ἀγαθῶν· βουλῆς δέ, ἡ τῶν ἀντικειμένων διάκρισις· ἐπιστήμης δέ, ἡ τῶν καθηκόντων ἀνόθευτος εἴδησις· γνώσεως δέ, ἡ κατ᾽ ἐνέργειαν τῶν ἐν ταῖς ἀρεταῖς θείων λόγων περίληψις· συνέσεως δέ, ἡ πρός τά γνωσθέντα διόλου τῆς ψυχῆς συνδιάθεσις· σοφίας δέ, ἡ πρός Θεόν ἀδιάγνωστος ἕνωσις, καθ᾽ ἥν τοῖς ἀξίοις ἡ ἔφεσις ἀπόλαυσις γίνεται, μεθέξει ποιοῦσα θεόν τόν μετέχοντα· καί τῆς θείας αὐτόν ὑποφήτην καθιστῶσα μακαριότητος, κατά τήν ἀένναον πρός τούς δεομένους τῶν θείων μυστηρίων ἀνεκπόμπευτον προβολήν καί διέξοδον.

κστ'. Τό πρός ἡμᾶς, φησί, κατ᾽ ἐνέργειαν πρῶτον ἀγαθόν, ὅπερ ἐστίν ὁ φόβος, τελευταῖον ἀπηριθμήσατο τῆς Γραφῆς ὁ λόγος ὡς σοφίας ἀρχήν· ἀφ᾽ ἧς κινούμενοι, πρός τό τῆς σοφίας τέλος τήν σύνεσιν ἀναβαίνομεν· μεθ᾽ ἥν προσεχεῖς αὐτῷ γινόμεθα τῷ Θεῷ, μόνην τήν σοφίαν τῆς πρός αὐτόν ἑνώσεως μεσιτεύουσαν ἔχοντες. Οὐ

γάρ ἐστι δυνατόν ἐπιλαβέσθαι σοφίας, τόν μή πρότερον διά τοῦ φόβου, καί τῶν διά μέσου λοιπῶν χαρισμάτων, τήν τε λήμην τῆς ἀγνοίας, καί τόν τῆςκακίας κονιορτόν ἀποσεισάμενον. Διά τοῦτο, Θεῷ μέν προσεχῆ τήν σοφίαν· ἡμῖν δέ προσεχῆ τόν φόβον ἡ Γραφική τάξις διέθηκεν· ἵνα ἡμεῖς εὐταξίας μάθωμεν ὅρον καί νόμον.

κζ'. Ἡ τῆς σοφίας, φησί, μονάς ἐστι, ταῖς ἐξ αὐτῆς διαφόροις ἀρεταῖς ἀτμήτως ἐνθεωρουμένη· καί μονοειδῶς ταῖς τῶν ὅλων ἀρετῶν ἐνεργείαις ἐπισυναγομένη· καί πάλιν ἁπλῆ μονάς ἀποδεικνυμένη ταῖς πρός αὐτήν τῶν ἐξ αὐτῆς ἀρετῶν ἀποκαταστάσεσιν· ὅταν ἡμεῖς, δι᾽ οὕς κατά τήν ἑκάστης ἀρετῆς γένεσιν ποιεῖται τήν πρόοδον, ἀνατατικῶς δι᾽ ἑκάστης ἀρετῆς πρός αὐτήν συναγόμεθα.

κη'. Τυφλήν ἔχει τήν πίστιν, φησίν, ὁ τά κατά τήν πίστιν θεῖα προστάγματα μή ἐργαζόμενος. Εἰ γάρ φῶς ἐστι τά τοῦ Κυρίου προστάγματα, δῆλον ὅτι δίχα θείου φωτός ἐστιν, ὁ μή πράττων τά θεῖα προστάγματα, καί ψιλήν, ἀλλ᾽ οὐκ ἀληθῆ τήν τῆς πίστεως ἐπιφέρεται κλῆσιν.

κθ'. Εἰς τάς ἐνεργείας τοῦ Πνεύματός φησιν, ὀφθαλμούς Κυρίου προσηγόρευσεν ὁ λόγος. Ὁ μή τούτους τῇ πράξει τῶν ἐντολῶν διανοίγων, ἐπιβλέποντα τόν Θεόν ἐπ᾽ αὐτόν οὐκ ἔχει. Διά πολλῶν γάρ, ὡς εἰκός, ἐπισκοπεῖν ὀφθαλμῶν τούς ἐπί γῆς πέφυκεν ὁ Θεός, εἴπερ θείας ὁράσεως ἀκτίς ἐστιν ὁ κατ᾽ ἀρετήν ἡμῶν φωτισμός.

λ'. Ὁ κασσίτερος, φησί, τήν τε τοῦ ἀργυρίου καί τοῦ μολίβδου φυσικῶς ἔχων τήν ἰδιότητα, χαρακτηρίζει τήν πίστιν· κολάζει γάρ μή φυλαττομένη, (536) μόλιβδον ἔχουσα τήν ἐπ᾽ αἰῶσι τῶν μή φυλαξάντων αὐτήν κατηγορίαν· καί δοξάζει τούς φυλάττοντας, ἄργυρον ἔχουσα διαφανῆ καί λαμπρόν, τήν ἐπ᾽ αἰῶσι τῶν φυλαξάντων αὐτήν συνηγορίαν.

λα'. Οὐδείς ἁμαρτάνων, φησί, δύναται τῆς ἁμαρτίας συνήγορον ἔχειν τῆς σαρκός τήν ἀσθένειαν. Ἡ γάρ πρός τόν Θεόν Λόγον ἕνωσις, ὅλην τήν φύσιν τῇ λύσει τῆς κατάρας ἀνέῤῥωσεν· ἀπροφάσιστον ἡμῖν ποιησαμένη, τήν πρός τά πάθη τῆς γνώμης προσπάθειαν· ἡ γάρ τοῦ Λόγου θεότης κατά χάριν ἀεί συνοῦσα τοῖς εἰς αὐτόν πιστεύουσι, τόν ἐν τῇ σαρκί νόμον τῆς ἁμαρτίας ἀπομαραίνει.

λβ'. Ὥσπερ, φησίν, ὁ κασσίτερος μελαινόμενος λαμπρύνεται πάλιν· οὕτω καί οἱ πιστεύοντες κἄν μελαίνωνται ἁμαρτάνοντες, λαμπρύνονται πάλιν μετανοοῦντες· δι᾽ ἥν αἰτίαν καί κασσιτέρῳ τυχόν ἡ πίστις παρεικάσθη.

*ΕΡΩΤΗΣΙΣ ΝΕ΄.*

***" Οἱ δέ πάντες ἦσαν ἐξ Ἰσραήλ ἀπό δωδεκαετοῦς, καί ἐπάνω, χωρίς παίδων καί γυναικῶν, μυριάδες τέσσαρες τρισχίλιοι τριακόσιοι ἑξήκοντα. Παῖδες τούτων καί παιδίσκαι, ἑπτακισχίλιοι τριακόσιοι ἑπτά. Ψάλται καί ψαλτῳδοί, ὀκτακόσιοι πεντήκοντα πέντε. Κάμηλοι τετρακόσιοι τριάκοντα πέντε. Καί ἵπποι ἑπτακισχίλιοι ἑπτακόσιοι τριάκοντα ἕξ. Ἡμίονοι ὀκτακόσιοι τεσσαράκοντα πέντε· ὑποζύγια πεντακισχίλια πεντακόσια εἴκοσι πέντε·" Ποίησον ἀγάπην τοιούτων μεγάλων καί ὑψηλῶν περί τῆς ἕκτης αἰχμαλωσίας ἐπανόδου ὑπό τοῦ ἁγίου Πνεύματος διά τοῦ προφήτου εἰρημένων. Τίς ἡ τοσαύτη ταπεινότης, καί ἀκαιρόγραφος ἐξήγησις, καί ἀναξιότης τοῦ Πνεύματος, καμήλων μνημονεῦσαι καί ἵππων καί ἡμιόνων καί ὄνων, καί ταῦτα μετ᾿ ἀκριβείας ἀριθμοῦ;***

Ἀπόκρισις.

Τό μέν δι᾿ ἀκριβείας περί τούτων εἰπεῖν, μόνων ἐκείνων ἐστί, τῶν διά πολλήν καθαρότητα νοῦ, θεόθεν ὅλην εἰληφότων τήν ἐφικτήν ἀνθρώποις χάριν τοῦ Πνεύματος· καθ᾿ ἥν τῷ πελάγει τῶν μυστικῶν θεαμάτων γνωστικῶς ἐνδιαθέοντες, τούς λόγους μόνον ὁρῶσι τῶν γεγραμμένων γυμνούς τῶν ἐπ᾿ αὐτοῖς τυπικῶν συνθημάτων· μηδενός τό σύνολον ποιούμενοι λόγον, τῶν τυπούντων αὐτούς συμβόλων· εἰ μή που βουληθῶσι σοφῶς αὐτούς τυπῶσαι σωματικῶς, τοῖς διά νηπιότητος νοῦ γενέσθαι μή δυναμένοις ὑπέρ τήν αἴσθησιν· ἵνα τοῖς τύποις πρότερον ἐγγυμνασθέντες [οἱ διδασκόμενοι δηλονότι] κατά τήν αἴσθησιν, πρός τούς ἄνευ αἰσθήσεως ἀρχετύπους ἐλθεῖν ποθήσωσι λόγους. Τῷ δέ στοχασμῷ τοῖς ψιλωτέροις ἐπιβάλλειν διά τήν φυσικῶς ἐν ἡμῖν ἐφιεμένην τῆς τῶν θείων γνώσεως δύναμιν, οὐκ ἄτοπον· δύο καλῶν ἐκ τοῦ στοχασμοῦ τοῖς εἰλικρινές περί τά θεῖα κεκτημένοις τό σέβας ἀναδεικνυμένων. Ἤ γάρ ἐπιτυγχάνει τῆς ἀληθείας τῶν νοουμένων, ὁ στοχαστικήν τήν ἔφοδον τῶν θείων ποιούμενος· καί προσφέρει χαίρων θυσίαν αἰνέσεως τήν εὐχαριστίαν, (538) τῷ δεδωκότι τοῦ ζητουμένου τήν εἴδησιν· ἤ διαφεύγουσαν εὑρίσκει τῶν γεγραμμένων τήν ἔννοιαν· καί τά θεῖα πλέον σεβάζεται, τήν τῆς οἰκείας δυνάμεως ὑπεραίνοντα μανθάνων κατάληψιν.

Τοίνυν κἀγώ στοχαστικῶς ἐπιβάλλων τοῖς προκειμένοις, τόν Θεόν ἐπικαλοῦμαι γενέσθαι τῶν λεχθησομένων συλλήπτορα, κατά πάντα

τρόπον πρός τό ὕψος τῶν Γραφικῶν αἰνιγμάτων ἀσθενοῦσαν εὑρίσκων τῆς ἐμαυτοῦ διανοίας τήν δύναμιν. Κἄν τε γάρ ἐπιτύχω, τοῦ Θεοῦ τό πᾶν ὑπάρχει κατόρθωμα, διά τῆς καταλήψεως ἐνάγοντός με πρός εὐχαριστίαν· κἄν τε γάρ μή, καί οὕτως πάλιν τοῦ Θεοῦ τό τῆς ἀκαταληψίας ὑπάρχει καλόν, τόν, ὡς εἰκός, ἐκ τῆς γνώσεως τεχθησόμενόν μοι κατά πρόνοιαν τύφον προανακόπτοντος, καί τήν ἀκαταληψίαν ποιουμένου μοι μετριοφροσύνης ὑπόθεσιν.

Οὐκοῦν στοχασμῷ, καθώς εἴρηται, τήν τῶν γεγραμμένων διάνοιαν ὑπερχόμενος, ἐντεῦθεν ἄρχομαι τῆς τῶν προκειμένων Γραφῆς. Ἐν τῷ πρό τούτου κεφαλαίῳ γέγραπται περί τοῦ Ζοροβάβελ· Καί ὅτε ἐξῆλθεν ὁ νεανίσκος, ἄρας τό πρόσωπον αὐτοῦ εἰς τόν οὐρανόν ἐναντίον Ἱερουσαλήμ, εὐλόγησε τῷ βασιλεῖ τοῦ οὐρανοῦ. Δῆλόν ἐστιν ὅτι μετά τήν τῶν προβλημάτων τῶν πρός Δαρεῖον τόν βασιλέα γεγενημένων προσαγωγήν, ἐξῆλθεν ἀπό προσώπου, δῆλον ὅτι Δαρείου τοῦ βασιλέως. Δαρεῖος μέν οὖν ἐστιν, ὡς ἤδη φθάσας πρό τούτων ἔφην τῶν λόγων, ὁ κρατῶν τῆς φύσεως νόμος· καί συνᾴδει γε σαφῶς οὕτω νοούμενος τῇ τοῦ οἰκείου ὀνόματος ἑρμηνείᾳ. Γενεά γάρ, ἤ γενεαλογία, ἤ γενεαλογούμενος δηλοῖ τό τοῦ Δαρείου ὄνομα, καθώς φασιν οἱ τήν ἀκρίβειαν τῆς τοιᾶσδε φωνῆς ἐπιστάμενοι. Φυσικοῦ δέ νόμου καθέστηκεν ἴδιον, τό τῆς γενεᾶς, καί γενεαλογίας ὄνομα· τῶν γάρ ὑπό φύσιν τό γένος, καί τά γενεαλογούμενα· καί τῶν περί φύσιν ἡ γενεαλογία.

Οὐκοῦν καλῶς ὁ Δαρεῖος εἰς τόν τῆς φύσεως ἐλήφθη νόμον. Περιέχει γάρ ὁ νόμος τῆς φύσεως, καί τά ὑπό φύσιν ἀναγόμενα γένη καί εἴδη· καί τά περί τήν φύσιν θεωρούμενα· τόν χρόνον φημί καί τόν τόπον. Παντός γάρ γενητοῦ, τά ὧν οὐκ ἄνευ φυσικῶς συνεπιθεωρεῖται.

Δαρεῖος οὖν, ὡς ἔφην, ὁ νόμος τῆς φύσεως· Ζοροβάβελ δέ, ὁ θεωρητικός νοῦς, ὁ ἐξελθών ὡς ἀπό (540) Δαρείου, τοῦ νόμου τῆς φύσεως, καί τήν ὑπό χρόνον καί τόπον τῶν φαινομένων ὑπερβάς διακόσμησιν, καί ἄρας τό πρόσωπον τῆς κατ᾽ ἀρετήν γνωστικῆς διαθέσεως εἰς τόν οὐρανόν· τουτέστι τό ὕψος τῶν νοητῶν οὐσιῶν· ἐναντίον τῆς ἐν οὐρανοῖς νοουμένης Ἱερουσαλήμ· ἐκείνης λέγω τῆς Ἱερουσαλήμ, τῆς ἐπί τῶν χειρῶν Κυρίου ἐχούσης ἐζωγραφημένα τείχη· ἐν ᾗ πάντων εὐφραινομένων ἐστίν ἡ κατοικία· πρός ἥν ἡ ἀληθινή τῶν αἰχμαλώτων ἐπάνοδος γίνεται· τῶν ἐπιζητούντων τό ἐξ οὐρανοῦ κατά τόν θεῖον Ἀπόστολον οἰκητήριον· τῶν μετά τοῦ μεγάλου Δαβίδ

δυναμένων λέγειν· Ἐάν ἐπιλάθωμαί σου, Ἱερουσαλήμ, ἐπιλαθείη ἡ δεξιά μου· κολληθείη ἡ γλῶσσά μου τῷ λάρυγγί μου, ἐάν μή σου, μνησθῶ· δεξιάν λέγοντος τυχόν, τήν πνευματικήν τῶν θείων καί ἐπαινουμένων πρᾶξιν· γλῶσσαν δέ κολλωμένην τῷ λάρυγγι, τήν ἐν ἡμῖν τοῦ λόγου γνωστικήν ἐνέργειαν, κολλωμένην ἐξ ἀγνοίας τῷ λαιμῷ· τουτέστι, τῷ περί τόν λαιμόν πηγνυμένῳ πάθει, καί ἀκίνητον μένουσαν περί τήν ἔφεσιν τῶν ἀῤῥήτων ἀγαθῶν· καί διά τοῦτο γεύσασθαι μή δυναμένην τῆς τοῦ Κυρίου χρηστότητος.

θ'. Εἰ δέ χρόνου καί φύσεως πρός Ἱερουσαλήμ ἐπειγόμενος ἐκβαίνει τούς λόγους ὁ Ζοροβάβελ· εἴθ᾽ ὁ καθ᾽ ἡμᾶς θεωρητικός νοῦς· εἴθ᾽ ὁ ὑπέρ ἡμᾶς δημιουργός Λόγος, ἐν ἡμῖν καθ᾽ ἡμᾶς γενόμενος καί διά τοῦτο γενόμενος ἄνθρωπος, ἵνα πρός ἑαυτόν ἀγάγῃ διά σαρκώσεως τούς πρός τά πάθη καί τόν θάνατον τῆς σαρκός ἑαυτούς ἀπό τῆς ἀπαθείας καί τῆς ζωῆς ἐξώσαντας, εἰκότως τούς αὐτῷ γεγεννημένους κατά τόν θεμιτόν παραπλησίους, ἑαυτῶ συνεξάγει, καί πρός τήν Ἱερουσαλήμ ἄγει τήν οὐράνιον· ὧν τῆς ἀρετῆς τήν ἀκρότητα καί τῆς γνώσεως, τοῖς προκειμένοις εἴδεσί τε καί ἀριθμοῖς συμβολικῶς διά ποικιλίας ὁ λόγος παρείκασε. Πᾶς γάρ θεοφιλής καί δίκαιος ἄνθρωπος, νοητῶς τήν ἐπάνοδον πρός τήν ἄνω ποιούμενος Ἱερουσαλήμ, τούς προκειμένους διαφόρων εἰδῶν ἀριθμούς συμπληροῖ· τούς ἑκάστου εἴδους καί ἀριθμοῦ λόγους εἰς μίαν ἀρετῆς τε καί γνώσεως συνάγων ἐκπλήρωσιν· καί δηλοῖ τοῦτο σαφῶς, τῆς προκειμένης ἡμῖν εἰς ἐξέτασιν Γραφῆς ὁ λόγος, ἔχων οὕτως.

Οἱ δέ πάντες ἦσαν ἐξ Ἰσραήλ, ἀπό δωδεκαετοῦς χωρίς παίδων καί γυναικῶν, μυριάδες τέσσαρες τρισχίλιοι τριακόσιοι ἑξήκοντα. Εὖγε τῆς ἀκριβείας τῶν λογίων τοῦ Πνεύματος, ἐπισημηναμένου μηδένα τῶν ἀριθμουμένων ἐν Ἱερουσαλήμ καί τῆς Βαβυλωνίας ἐκβεβηκότων· ταύτην δέ λέγω τοῦ παρόντος αἰῶνος τήν σύγχυσιν, εἶναι παντελῶς ὑπό τόν δωδεκαετῆ χρόνον· δηλοῦντος τοῦ λόγου μυστικῶς, ὅτι μόνος ὁ γεγεννημένος ὑπέρ αἴσθησιν καί χρόνον· τουτο γάρ δώδεκα σημαίνει σαφῶς ἀριθμός, ἐκ πέντε διά τάς αἰσθήσεις, καί ἑπτά διά τόν χρόνον συναγόμενος· καί τήν πρός ταῦτα τῆς ψυχῆς διακόψας σχέσιν, ἐκβαίνει τῆς αὐτῶν συγχύσεως, πρός τήν ἄνω πόλιν ἐπειγόμενος· ἔχων χωρίς (541) γυναικῶν καί παίδων, μυριάδας τέσσαρας τρισχιλίους τριακοσίους ἑξήκοντα.

Παῖδές εἰσι τυχόν, οἱ περί τῶν φυσικῶν ἀδιαβλήτων καί οὐκ ἐφ᾽ ἡμῖν παθῶν λογισμοί· γυναῖκες δέ, ἤ αἱ ἐνθυμήσεις, ἤ αἱ κατά φύσιν

ὀρέξεις καί ἡδοναί, μή φέρουσαι τοῖς κεκτημένοις διαβολήν· ὡς ἀναγκαῖον παρακολούθημα καθεστῶσαι φυσικῆς ὀρέξεως. Ἡδονήν γάρ ποιεῖ κατά φύσιν καί μή βουλομένων ἡμῶν, καί ἡ τυχοῦσα τροφή, προλαβοῦσαν ἔνδειαν παραμυθουμένη· καί πόσις ἀποκροουμένη τοῦ δίψους τήν ὄχλησιν· καί ὕπνος τήν ἐκ τῆς ἐγρηγόρεσεως δαπανηθεῖσαν ἀνανεούμενος δύναμιν· καί ὅσα τῶν καθ᾽ ἡμᾶς φυσικῶν ἕτερα τυγχάνει, πρός μέν σύστασιν φύσεως ἀναγκαῖα· πρός δέ κτῆσιν ἀρετῆς ὑπάρχοντα χρήσιμα τοῖς σπουδαίοις· ἅπερ κἄν μή συναριθμεῖται τοῖς ἀνδράσιν, ἀλλά συνεκβαίνει παντί νοΐ φεύγοντι τῆς ἁμαρτίας τήν σύγχυσιν· ἵνα μή δι᾽ αὐτά μείνῃ κρατούμενος εἰς δουλείαν τῶν ἐφ᾽ ἡμῖν καί διαβεβλημένων καί παρά φύσιν παθῶν· οὐκ ἐχόντων ἄλλην ἀρχήν ἐν ἡμῖν πλήν τῆς κινήσεως τῶν κατά φύσιν παθῶν.

Οὐ συναριθμεῖται δέ, ὅτι μή πέφυκε πρός τήν ἀθάνατον καί μακραίωνα ζωήν συμμεταβαίνειν ἡμῖν, τά τήν φύσιν πρός τήν παροῦσαν ζωήν συνέχοντα πάθη. Τέσσαρες δέ μυριάδες εἰσίν, ἡ τετράς τῶν γενικῶν ἀρετῶν· μεθ᾽ ὧν φύσιν καί χρόνον διαβάς ὁ νοῦς, πρός τήν μακαρίαν τῆς ἀπαθείας ἀποκαθίσταται λῆξιν. Ὡς γάρ ἡ μυριάς τῷ τῆς μονάδος στοιχείῳ μόνη γνωρίζεται· παντελῶς δι᾽ ἄλλου γράμματος σημανθῆναι μή δυναμένη, ὡς ταυτόν οὖσα κατά τό ὑποκείμενον τῇ μονάδι, κἄν δέχεται μόνῃ τῇ ἐπινοίᾳ διαφοράν, ὡς πρός ἀρχήν τέλος. Τέλος γάρ μονάδος ἐστίν ἡ μυριάς· καί ἀρχή μυριάδος ἐστίν ἡ μονάς· ἤ, κυριώτερον εἰπεῖν, κινουμένη μονάς, ἐστίν ἡ μυριάς· καί ἀκίνητος μυριάς, ἐστίν ἡ μονάς. Οὕτω καί πᾶσα τῶν γενικῶν ἀρετή, τήν θείαν καί ἄῤῥητον μονάδα φημί τόν Θεόν, ἀρχήν ἔχει καί τέλος, ὡς ἐξ αὐτοῦ καί εἰς αὐτόν ἀρχομένη καί λήγουσα· καί ταυτόν ὑπάρχουσα τῷ Θεῷ, κατά μόνον τῆς ἐπινοίας διαφέρουσα τόν λόγον· παρ᾽ οὗ, καί εἰς ὅν πᾶσα γένεσις ἀρετῆς προδήλως ὑφέστηκεν.

Ἤ τυχόν τάς τέσσαρας προκοπάς τῶν ἐν τῇ δεκάδι τῶν θείων ἐντολῶν, εἰς μῆκος θεωρίας καί γνώσεως προβαινόντων, φησίν εἶναι τάς τέσσαρας μυριάδας ὁ λόγος. Οἷον πρώτη προκοπή ἐστιν, ἡ ἁπλῶς ἐν τοῖς εἰσαγομένοις μετά τήν ἀποφυγήν τῆς κακίας, πρᾶξις τῶν ἐντολῶν· πλήρη ποιοῦσα τήν πρώτην δεκάδα, τήν αὐτήν καί μονάδα. Δευτέρα προκοπή ἐστιν, ἡ δι᾽ ἑκάστης ἐντολῆς ἐνεργουμένη τῶν λοιπῶν συμπερίληψις, τήν αὐτήν δεκάδα ποιουμένη καί ἑκατοντάδα, τῇ δι' ἀλλήλων ἑκάστης ἐντολῆς ἐνεργείᾳ συμπληρουμένην· ἡ γάρ δεκάς δεκαχῶς ἐνεργηθεῖσα, ποιεῖ τήν ἑκατοντάδα. Τρίτη προκοπή

ἐστιν, ἡ κατά τόν νόμον τῆς φύσεως ταύτης τῆς ἑκατοντάδος δεκάπλωσις· δεκαδικός γάρ καί ὁ τῆς φύσεως νόμος ἐστιν, ὡς ἐκ δέκα συνεστηκώς· (544) λέγω δέ, τῶν τριῶν τῆς ψυχῆς δυνάμεων, καί τῶν πέντε αἰσθήσεων, καί τῆς φωνητικῆς ἐνεργείας, καί τῆς φυσικῆς γονιμότητος· κέχρηται γάρ, τῷ μέν λογιστικῷ πρός τήν τῆς αἰτίας, καί τῶν περί τήν αἰτίαν τῶν καλῶν ζήτησιν· τῷ ἐπιθυμητικῷ δέ, πρός πόθον τῶν ζητουμένων· τῷ δέ θυμικῷ, πρός φυλακήν καί στοργήν· ταῖς αἰσθήσεσι δέ, πρός διάκρισιν, πενταχῶς καί αὐτήν διαιρουμένην, ἐξ ἧς ἐπιστήμη γενέσθαι πέφυκε. Διαιρεῖται γάρ ἡ καθόλου διάκρισις, τοῖς ἠργμένοις, καί οὐκ ἠργμένοις· τοῖς νοητέοις, καί οὐ νοητέοις· τοῖς ῥητέοις καί οὐ ῥητέοις· τοῖς ποιητέοις, καί οὐ ποιητέοις· τοῖς φθαρτοῖς, καί τοῖς ἀφθάρτοις. Τῷ δέ φωνητικῷ πρός ἐκφώνησιν· καί τῇ γονιμότητι, πρός αὔξησιν τῶν ζητηθέντων καί ἐπιθυμηθέντων καί στερχθέντων καί γνωσθέντων καί ἐκφανθέντων καλῶν. Γίνεται οὖν ἡ ἑκατοντάς, κατά τόν νόμον δεκαπλουμένη τῆς φύσεως, χιλιάς. Τετάρτη δέ προκοπή ἐστιν, ἡ διά θεωρίας καί γνώσεως τοῦ φυσικοῦ νόμου κατά τήν ἀποδοθεῖσαν διαίρεσιν, πρός τόν ἑκάστης ἐντολῆς ἀρχικώτερον λόγον ἀνάβασις· καθ᾽ ἥν ἡ μυριάς συναγομένη θεωρεῖται, τῷ τῆς πρώτης μονάδος στοιχείῳ γνωριζομένη. Ὁ γάρ ἁπλῶς ἐνεργήσας τάς ἐντολάς· καί πάλιν κατά τήν ἑκάστην ἐνέργειαν τάς ἄλλας συμπαραλαβών· καί αὖθις τῇ περιλήψει τούτων, τήν τοῦ φυσικοῦ νόμου συζεύξας διάκρισιν· καί τοῦτον πάλιν πρός τόν ἑκάστης ἐντολῆς λόγον γνωστικῶς ἀναβιβάσας, τάς τέσσαρας μυριάδας συνήγαγε· καθ᾽ ἑκάστην προκοπήν τῷ τῆς μονάδος τιμηθείσας μυστηρίῳ, πρός ἥν ὁ τῆς μυριάδος συνάγεται λόγος.

Ἤ πάλιν, τάς λεγομένας τέσσαρας γενικάς ἀπαθείας, αἱ τέσσαρες μυριάδες σημαίνουσι. Πρώτη γάρ ἐστιν ἀπάθεια, ἡ παντελής ἀποχή τῶν κατ᾽ ἐνέργειαν κακῶν, ἐν τοῖς εἰσαγομένοις θεωρουμένη· δευτέρα δέ, ἡ παντελής κατά διάνοιαν περί τήν τῶν κακῶν συγκατάθεσιν ἀποβολήν λογισμῶν, ἐν τοῖς μετά λόγου τήν ἀρετήν μετιοῦσι γινομένη· τρίτη, ἡ κατ᾽ ἐπιθυμίαν περί τά πάθη παντελής ἀκινησία, ἐν τοῖς διά τῶν σχημάτων τούς λόγους νοητῶς θεωρουμένοις τῶν ὁρωμένων. Τετάρτη ἀπάθεια, ἡ καί αὐτῆς τῆς ψιλῆς τῶν παθῶν φαντασίας παντελής κάθαρσις ἐν τοῖς διά γνώσεως καί θεωρίας καθαρόν καί διειδές ἔσοπτρον τοῦ Θεοῦ ποιησαμένοις τό ἡγεμονικόν συνισταμένη.

Ὁ τοίνυν καθάρας ἑαυτόν ἐνεργείας παθῶν, καί τῆς ἐπ᾽ αὐτοῖς κατά διάνοιαν συγκαταθέσεως ἐλευθερώσας· καί τῆς περί αὐτά κατ᾽ ἐπιθυμίαν κινήσεως στάσιν λαβών· καί τῆς αὐτῶν ψιλῆς φαντασίας τόν νοῦν καταστήσας ἀμόλυντον, τάς τέσσαρας μυριάδας ἔχων ἐξέρχεται τῆς ὕλης καί τῶν ὑλικῶν, καί πρός τήν θείαν καί εἰρηνικήν τῶν νοητῶν ἐπείγεται λῆξιν.

Οὕτω μέν οὖν νοείσθωσαν ἡμῖν αἱ τέσσαρες μυριάδες· αἱ δέ τρεῖς χιλιάδες, τόν τέλειον καί ὀρθόν καί εὐσεβῆ περί τῆς ἁγίας καί ὁμοουσίου Τριάδος λογικόν σημαίνουσι λόγον· καθ᾽ ὅν ἡ ἁγία τρισυπόστατος (545) μονάς, εἷς παρ᾽ ἡμῶν ὑμνεῖται Θεός καί πιστεύεται.

Οἱ δέ τριακόσιοι, τόν περί προνοίας ἐνταῦθα παραδηλοῦσι λόγον· οὐχ ὅτι μόνον τῷ σχήματι τοῦ γράμματος ἡ ἄνωθεν ἐπί τά κάτω διήκουσα, καί τῶν ἑκατέρωθεν πλαγίων τά ἄκρα περιλαμβάνουσα σημαίνεται δύναμις· ὅπερ τήν τό πᾶν διασφίγγουσαν ἀῤῥήτως δηλοῖ πρόνοιαν· ἀλλ᾽ ὅτι καί τῷ τοῦ σταυροῦ τύπῳ τετίμηται, ἐν ᾧ τό μέγα καί πρῶτον καί ἀπόκρυφον τῆς προνοίας ἀπετελέσθη μυστήριον. Προνοίας γάρ καθέστηκε τρόπος ἀπόῤῥητος, τό μέγα τῆς ἐνανθρωπήσεως τοῦ Θεοῦ μυστήριον· ᾧ τύπῳ, μετά τοῦ ὀνόματος τοῦ ἐπ᾽ αὐτοῦ δι᾽ ἡμᾶς προσηλωθέντος, τάχα θαῤῥήσας ὁ μέγας πατριάρχης Ἀβραάμ, μετά τριακοσίων δέκα καί ὀκτώ· τουτέστι, τύπου καί ὀνόματος Ἰησοῦ, τάς δηλουμένας διά τῶν βασιλέων ἀνετικειμένας ἐξελθών κατεπάλαισε δυνάμεις. Πολλάκις γάρ οἶδεν ἡ Γραφή καί ἐκ τῶν ἐν τοῖς γράμμασι σχημάτων, τόν ἴδιον φανερῶσαι σκοπόν, τοῖς ἐπί τοῦτο καθαιρομένοις.

Εἰ δέ καί ἐκ τοῦ ἀριθμοῦ βούλεταί τις τό βούλημα σκοπῆσαι τῆς ἁγίας Γραφῆς, καί οὕτως τήν πρόνοιαν δι᾽ αὐτοῦ μηνυομένην εὑρήσει. Προνοίας γάρ ἔργον, οὐ μόνον κατά τόν ἑαυτῆς τοῦ εἶναι λόγον φυλάξαι τήν φύσιν ἀμείωτον· ἀλλά καί κατά τόν ἐπίκτητον τοῦ εὖ εἶναι χάριτι λόγον ἀνελλιπῶς ἔχουσαν δεῖξαι. Οὐκοῦν τοῖς διακοσίοις τά ἑκατόν συνάψας τις, ἀποτελεῖ τόν τριακόσια· δηλοῦντα φύσιν καί ἀρετήν. Δηλοῖ γάρ φύσιν ὁ διακόσια ὡς ἐξ ὕλης καί εἴδους ὑπάρχουσαν, εἴπερ ἡ ὕλη τετραδική διά τά τέσσαρα στοιχεῖα· τό δέ εἶδος, πενταδικόν, διά τήν αἴσθησιν τήν τό ὑλικόν πρός εἶδος σχηματίζουσαν φύραμα. Πεντάκις γάρ συνθείς τόν τεσσαράκοντα· ἤ τετράκις τόν πεντήκοντα, ποιεῖ τόν διακόσια. Ὁ δέ ἑκατόν ἀριθμός, τήν τελείαν ἀρετήν σημαίνει, ὡς ἔχων δεκαπλουμένην τήν θείαν

δεκάδα τῶν ἐντολῶν· εἰς ἥν φθάσας Ἀβράαμ, πατήρ γίνεται τοῦ μεγάλου Ἰσαάκ, νεκρός κατά φύσιν· ζωῆς καί χαρᾶς γεννήτωρ κατά πνεῦμα γενόμενος. Συνθείς οὖν τοῖς διακοσίοις τά ἑκατόν, τόν τριακόσια πληρώσαις ἄν ἀριθμόν, δηλοῦντα τήν πρόνοιαν, κατά τόν εὖ εἶναι λόγον τήν φύσιν συνέχουσαν.

Ὁ δέ ἑξήκοντα, τήν κατά φύσιν ποιητικήν τῶν ἐντολῶν σημαίνει δύναμιν τετελειωμένην τοῖς λόγοις τῶν ἀρετῶν. Εἰ γάρ ὁ ἕξ τήν ποιητικήν σημαίνει τῆς φύσεως δύναμιν, ὡς τέλειος καί ἐκ τῶν ἰδίων μερῶν συνιστάμενος· διό καί ἐν ἕξ ἡμέραις πεποιηκέναι τόν Θεόν τόν κόσμον γέγραπται· ὁ δέ δέκα τό τέλειον τῆς ἐν ταῖς ἐντολαῖς ἀρετῆς δηλοῖ· ἄρα ὁ ἑξήκοντα, τήν κατά τήν φύσιν δεκτικήν τῶν ἐν ταῖς ἐντολαῖς θείων λόγων σαφῶς παραδηλοῖ δύναμιν.

Οὐκοῦν αἱ τέσσαρες μυριάδες πρός τοῖς τρισχιλίοις τριακοσίοις ἑξήκοντα, δηλοῦσι τόν τέλειον περί ἀρετῆς λόγον· καί τό σεπτόν τῆς θεολογίας μυστήριον· (548) καί τόν ἀληθῆ τῆς προνοίας σκοπόν· καί τήν ἀρεταῖς ποιωθεῖσαν πρακτικήν τῆς φύσεως δύναμιν μεθ᾿ ὧν ὁ σαρκός, αἰσθήσεώς τε καί κόσμου τῷ πνεύματι διακρίνας τόν νοῦν, πάντως ἐξέρχεται· τήν ἐν ἀλλήλοις τούτων ἀφείς, ὡς τήν Βαβυλωνίαν οἱ πάλαι, φύρσιν καί σύγχυσιν· καί πρός τήν ἄνω πόλιν ἐπείγεται, πάσης τόν νοῦν ἔχων τῆς πρός ὁτιοῦν σχέσεως ἀνετόν.

Παῖδες δέ τούτων καί παιδίσκαι ἑπτακισχίλιοι τριακόσιοι ἑπτά. Ὁ νόμος ἐν τῷ περί παίδων καί παιδίσκων τόπῳ διαγορεύων φησί, Τούς Ἑβραίους παῖδας καί παιδίσκας ἕξ ἔτη δουλεύειν· καί τῷ ἑβδόμῳ ἀπολύεσθαι ἐλευθέρους· τούς δέ ἀλλοφύλους παῖδας καί παιδίσκας δουλεύειν εἰς τόν αἰῶνα· τό πεντηκοστόν ἔτος οἶμαι τῆς ἀφέσεως αἰῶνα καλῶν. Ἑβραῖος δέ παῖς καί Ἑβραία παιδίσκη εἰσίν, οἱ τῷ πρακτικῷ φιλοσόφῳ δουλεύοντες ἕξ ἔτη, λόγος καί διάνοια, πρός ἐπίνοιαν τῆς ἠθικῆς εὐπρεπείας καί ἀρετῆς τρόπων ἐξεύρεσιν. Παντί γάρ πρακτικῷ, παιδός καί παιδίσκης δίκην ὁ λόγος καί ἡ διάνοια μοχθοῦσι, τούς κατ᾿ ἀρετήν τῆς πράξεως τρόπους ἐπινοοῦντές τε καί δημιουργοῦντες· καί οἷον πᾶσαν ἑαυτῶν κατά τῶν ἀντικειμένων τῇ πρακτικῇ πνευμάτων τῆς πονηρίας τήν δύναμιν ἔχοντες ἀντιτεταγμένην. Πληρώσαντες οὖν τήν πρακτικήν φιλοσοφίαν, ἥν ὁ ἕξ τῶν ἐτῶν παρεδήλωσε ἀριθμός· εἴρηται γάρ ὡς ὁ ἕξ ἀριθμός τήν πρακτικήν σημαίνει φιλοσοφίαν· ἐλεύθεροι πρός τήν πενυματικήν ἀπολύονται· δῆλον ὅτι τῶν ἐν τοῖς οὖσι συγγενῶν λόγων θεωρίαν ἐπανερχόμενοι, ὅ τε λόγος καί ἡ διάνοια· ὁπηνίκα κατά τό ἕβδομον

ἔτος γένωνται· τουτέστι, τῆς ἀπαθείας τήν ἕξιν· καθ᾿ ἥν δαμασθέντα τῷ πολλῷ καμάτῳ τοῦ λόγου καί τῆς συνημμένης αὐτῷ διανοίας, ὑποχωρεῖ τῆς ψυχῆς τά πάθη καί ὑπεξίσταται.

Ἀλλόφυλος δέ παῖς καί παιδίσκη, ὁ θυμός καί ἡ ἐπιθυμία, οὕς ὑποζεύγνυσι διαπαντός τῇ δεσποτείᾳ τοῦ λόγου πρός ὑπηρεσίαν τῶν ἀρετῶν δι᾿ ἀνδρείας καί σωφροσύνης ὁ θεωρητικός νοῦς, οὐ διδούς αὐτοῖς παντελῶς τήν πρός ἐλευθερίαν ἄφεσιν, ἕως ἄν καταποθῇ τῷ νόμῳ τοῦ πνεύματος τελείως ὁ τῆς φύσεως νόμος· καθάπερ ὑπό ζωῆς ἀπείρου, σαρκός δυστήνου θάνατος· καί πᾶσα δειχθῇ καθαρῶς ἡ τῆς ἀνάρχου βασιλείας εἰκών, πᾶσαν ἔχουσα τοῦ ἀρχετύπου διά μιμήσεως τήν μορφήν· καθ᾿ ἥν γενόμενος ὁ θεωρητικός νοῦς, ἐλευθέρους ποιεῖται τόν τε θυμόν καί τήν ἐπιθυμίαν· τήν μέν, πρός τήν ἀκήρατον τοῦ θείου ἔρωτος ἡδονήν, καί τήν ἄχραντον θέλξιν μετασκευάζων· τόν δέ, πρός ζέσιν πνευματικήν καί διάπυρον ἀεικινησίαν καί σώφρονα μανίαν μεταβιβάζων· καθ᾿ ἥν, ὡς ἔοικεν, ἡ μεγάλη τοῦ ἀκηράτου φωτός ἀκτίς ὁ μέγας Παῦλος γενόμενος, ἐν ταῖς Πράξεσιν ἤκουσε παρά τοῦ βασιλέως Ἀγρίππα, Μαίνῃ, Παῦλε. Καί πάλιν αὐτός περί ἑαυτοῦ πρός Κορινθίου γράφων, Εἴτε ἐξέστημεν Θεῷ, εἴτε σωφρονοῦμεν ὑμῖν· τήν κατά Θεόν (549) σώφρονα μανίαν ἔκστασιν δῆλον ὅτι καλέσας· ὡς ἔξω ποιουμένην τῶν ὄντων τόν κατ᾿ αὐτήν σώφρονα νοῦν.

Τόν δέ τούτων ἀριθμόν σημαίνειν ὑπονοῶ, τήν κατά τόν λόγον χρονικήν μετά τῆς ἀπαθείας τῶν τρόπων πρόνοιαν· καθ᾿ ἥν καί λόγῳ καί διανοίᾳ καθάπερ Ἑβραίοις παισί καί παιδίσκαις κατά τήν πρᾶξιν δουλεύουσιν ἐπικείμενος ὁ νοῦς, ὁρίζει τά μέτρα τῆς κατ᾿ ἀρετήν τούτων ὑπουργίας· μεταφέρων πρός θεωρίαν· καί θυμοῦ καί ἐπιθυμίας ὡς ἀλλοφύλων παίδων καί παιδίσκων ἐπιμελούμενος, ὡς δούλων δεσπότης, πρός τόν ἰσότιμον ἄγει κατά τό τέλος ἐλευθερίαν. Τήν μέν ἐπιθυμίαν, ποιῶν ἔφεσιν τῶν θείων ἀπολαυστικήν· τόν δέ θυμόν, τόνον ἀπολαυτικῆς ἐφέσεως ἄληκτον· καί ἀποτελῶν Ἑβραίους ἀληθινοῦς κατά τήν χάριν, τούς ἀλλοφύλους δούλους.

Ψάλται καί ψαλτῳδοί, ὀκτακόσιοι πεντήκοντα πέντε. Ψάλται εἰσίν, οἱ τόν θεῖον λόγον τοῖς τῶν ἀρετῶν τρόποις ἄνευ θεωρίας κατά τήν πρᾶξιν ἀναφωνοῦντες. Ψαλτῳδοί εἰσίν, οἱ τόν θεῖον λόγον τοῖς τῶν ἀρετῶν τρόποις μετά τῆς κατά τήν θεωρίαν γνωστικῆς τερπνότητος τοῖς ἄλλοις μυσταγωγοῦντες, καί τά νοητά αὐτῶν ὦτα καθηδύνοντες.

Ὁ δέ τούτων ἀριθμός δηλοῖ, τήν ἐφικτήν ἀνθρώποις ἐπιστήμην τῶν αἰωνίων· ὁ γοῦν ὀκτακόσια καί ὁ πεντήκοντα· Ὁ μέν, τούς τῆς γνώσεως· ὁ δέ, τούς τῶν ἀρετῶν μέλλοντας λόγους ὑποφαίνει. Ὁ δέ πέντε, τήν ἐπί τούτοις ἐπιστήμην παρίστησι· καθώς περί τοῦ πέντε μικρῷ πρόσθεν ἀποδεδώκαμεν ἀριθμοῦ.

Κάμηλοι τετρακόσιαι τριάκοντα πέντε. Κάμηλοι συνεξιοῦσαι τοῖς υἱοῖς Ἰσραήλ σύν ἐλευθερίᾳ πολλῇ, τῆς πικρᾶς ἀπολυομένοις αἰχμαλωσίας εἰσίν, αἱ φυσικαί τῶν ὁρωμένων διάφοροι θεωρίαι, κατά τήν κάμηλον ἔχουσαι πρός μέν αἴσθησιν, ὥσπερ πόδας ἀκαθάρτους, τάς ἐπιφανείας τῶν ὁρατῶν· πρός δέ νοῦν, ὥσπερ κεφαλήν καθαρούς, τούς ἐν αὐτοῖς ὑψηλοτέρους ἐν πνεύματι λόγους.

Καί τάχα περί τούτων τῶν καμήλων, τήν δόξαν τῆς νοουμένης Ἱερουσαλήμ προφητικῶς ὁ μέγας προδεικνύς Ἡσαΐας, ἔφη· Καί καλύψουσί σε κάμηλοι Μαδιάν καί Γεφάρ· τουτέστιν, αἱ πνευματικαί θεωρίαι τῶν κατά φύσιν παθῶν. Ἔκκρισις γάρ Μαδιάν ἑρμηνεύεται, ἤ πηλός αἱματώδης· ἤ ἱδρῶτες ἀνθρώπινοι καί μητρός. Γεφάρ δέ, κτῆσις νώτου, ὅπερ ἐστί θεωρία εἰς ὕψος αἰρομένη τῶν περί σάρκα παθῶν. Ψυχῆς δέ νῶτον, ὡς ὀπίσθιον, ἡ σάρξ· οἷς καθάπερ πόλιν ἁγίαν, τήν πνευματικήν τῆς εἰρηνικῆς καί ἀστασιάστου τῶν μυστικῶν θεαμάτων (552) γνώσεως λῆξιν, οἷα κτήνεσι καλύπτεσθαί φησιν ὁ λόγος.

Δηλοῖ δέ τήν ἀποδοθεῖσαν δύναμιν, καί αὐτός ὁ ἀριθμός, τήν περί φύσιν καί χρόνον λογικήν σημαίνων κίνησιν.

Καί ἵπποι ἑπτακισχίλιοι ἑπτακόσιοι τριάκοντα ἕξ· Ἵππος ἐστίν, ὁ ἐν τῷ δρόμῳ τῶν ἐναρέτων κατά τόν βίον, ἔχων τήν ὅλην τοῦ θυμοῦ τήν εὐτονίαν. Φασί γάρ τοῦ ἵππου τήν χολήν εἰς τάς κατά φύσιν τῶν ποδῶν ὁπλάς εἶναι. Διό καί πάντων τῶν λοιπῶν ἡμέρων ζώων, καί τῶν τῇ φύσει τῶν ἀνθρώπων ὑποζευγμένων, ἐκρίθη μᾶλλον πρός δρόμον ἐπιτηδειότερός τε καί δυνατώτερος· οἷς παρεικάσας τούς ἁγίους ἀποστόλους ὁ μέγας προφήτης Ἀββακούμ διά τοῦ Πνεύματος, φησί· Καί ἐπεβίβασας εἰς θάλασσαν τούς ἵππους σου, ταράσσοντας ὕδατα πολλά· ἵππους καλέσας τούς ἁγίους καί μακαρίους ἀποστόλους, τόν σωτήριον τῆς ἀληθείας λόγον βαστάζοντας ἐνώπιον ἐθνῶν καί βασιλέων ἐν παντί τῷ κόσμῳ· ὅν τροπικῶς ὠνόμασε θάλασσαν· καί τά ἔθνη παρείκασεν ὕδασι, διά τῆς ἐν τῷ λόγῳ τοῦ Πνεύματος μεγάλης δυνάμεως ταρασσόμενά τε καί σειόμενα, καί τῷ σωτηρίῳ σεισμῷ μεταβιβαζόμενα πρός πίστιν ἐξ ἀπιστίας, καί πρός ἐπίγνωσιν ἐξ ἀγνωσίας· καί ἀπό κακίας εἰς ἀρετήν.

Δηλοῖ δέ τοῦτο καί αὐτός τῶν ἵππων ἀριθμός, τήν κατ᾽ ἀρετήν τῆς πρακτικῆς φιλοσοφίας ἕξιν τυπῶν. Ὁ γάρ ἑπτακισχίλια ἑπτακόσια ἀριθμός, ὡς χρονικός σημαίνει τήν ἐν ἀρεταῖς ὀξεῖαν κίνησιν· ὁ δέ τριάκοντα ἕξ, τήν ταῖς ἀρεταῖς συντρέχουσαν τῆς φύσεως πρᾶξιν.

Ἡμίονοι δέ ὀκτασόσιοι τεσσαράκοντα πέντε. Ἡμίονός ἐστι κατά τόν ἐπαινούμενον λόγον, ἡ παντελῶς κατά κακίαν ἄγονος ἕξις· δι᾽ ὅ πάνυ τῷ πνεύματι τῆς Γραφῆς προσφυῶς τε καί πρεπόντος ὁ βασιλεύειν λαχών τοῦ Ἰσραήλ, οὐχ ἵππῳ, ἀλλ᾽ ἡμιόνῳ καθέζεσθαι προσετάγη· τοῦ λόγου δηλοῦντος, ὅτι δεῖ τόν θεωρητικόν νοῦν βασιλεύοντα τῶν ἐν τοῖς οὖσι νοημάτων τε καί θεαμάτων, καί τῶν οἰκείων κινημάτων, ἕξιν ἄγονον ἔχειν κακίας· τουτέστι, κακίαν μήτε συλλαμβάνουσαν παντελῶς μήτε τίκτουσαν· ἐφ᾽ ἧς αὐτόν δεῖ περί θεωρίαν κινούμενον φέρεσθαι· μήπως πνευματικήν ποιούμενος τήν τῶν ὄντων διάσκεψιν, λαθών περιπέσῃ τινί τῶν παραφθείρειν διά τινος τῶν αἰσθητῶν πεφυκότων πονηρῶν πνευμάτων τήν ἁγνήν τῆς καρδίας διάθεσιν.

Οἴδαμεν δέ καί ἐπί ψόγῳ κειμένην τῇ Γραφῇ τήν ἡμίονον, ὡς τό, Μή γένεσθε ὡς ἵππος καί ἡμίονος, οἷς οὐκ ἔστι σύνεσις· ἵππον καλέσαντος τοῦ λόγου τήν χρηματίζουσαν ἕξιν ταῖς τῶν παθῶν ἡδοναῖς· καί ἡμίονον, τήν τό καλόν μήτε συλλαμβάνουσαν, μήτε τίκτουσαν ἕξιν· ἅς ἀπηγόρευσεν ὁ λόγος ἰσοτίμως τοῖς σωτηρίας ἐφιεμένοις· τήν μέν, ὡς ἐνεργητικήν κακίας· τήν δέ, ὡς ἀρετῆς ἀπραξίαν ἔχουσαν. Καί ἡ Ἀβεσαλώμ δέ ἡμίονος ἐπί ψόγῳ λαμβάνεται, (553) ἐφ᾽ ἧς καθήσας ἐξῆλθε τόν θάνατον ἐπιζητῶν τοῦ γεννήσαντος· δηλοῦντος ἐν τούτοις τοῦ Πνεύματος, ὡς ὁ κενοδοξίᾳ τινί δι᾽ ἀρετήν ἤ γνῶσιν τρωθείς, τήν κόμην ματαίως διατρέφει τοῖς οἰήσεως ἐπιτετεχνασμένην τε καί μικτήν, ὥσπερ ἡμίονον πρός ἀπάτην τῶν θεωμένων τήν ἠθικήν ἐπιδείκνυται πολιτείαν· ἐφ᾽ ἧς αἰωρούμενος οἴεται τόν γεννήσαντα διά τῆς διδασκαλίας τοῦ λόγου πατέρα χειρώσαθαι, πᾶσαν βουλόμενος τήν τῷ πατρί προσοῦσαν θεόθε δόξαν τῆς ἀρετῆς καί τῆς γνώσεως, ὡς ὑπερήφανον εἰς ἑαυτόν τυραννικῶς ἐφελκύσασθαι.

Ἀλλ᾽ ὁ τοιοῦτος ἐξελθών εἰς τό πλάτος τῆς ἐν πνεύματι φυσικῆς θεωρίας πρός τόν ὑπέρ ἀληθείας λογικόν πόλεμον, διά τήν ζῶσαν αἴσθησιν, τῷ δάσει τῆς δρυός τῶν ὑλικῶν θεαμάτων, κρατεῖται τῆς κόμης, αὐτήν ἔχων δεσμοῦσαν τόν νοῦν πρός θάνατον τήν διάκονον οἴησιν· τήν κρεμνοῦσαν αὐτόν ἀναμέσον τοῦ οὐρανοῦ καί ἀναμέσον

τῆς γῆς. Οὐ γάρ ἔχει γνῶσιν ὁ κενόδοξος καθάπερ οὐρανόν ἀνέλκουσαν αὐτόν τῆς κατασπώσης οἰήσεως· οὐδ᾽ αὖ πάλιν γῆν· τήν ἐν τῇ ταπεινώσει λέγω βάσιν τῆς πράξεως, καθέλκουσαν αὐτόν τῆς ἀνασπώσης αὐτόν φυσιώσεως· ὅν πενθεῖ καί θανόντα διά φιλανθρωπίαν ὡς φιλόθεος ὁ γεννήσας διδάσκαλος, μιμήσει Θεοῦ, μή βουλόμενος τόν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τό ἐπιστρέψαι καί ζῆν αὐτόν.

Ἵνα δέ καί κατ᾽ ἄλλον τρόπον θεωρήσωμεν τόν τόπον, Δαβίδ τόν πρακτικόν νοῦν σαφῶς παραδείκνυσιν· Ἀβεσσαλώμ δέ, τήν ἐκ τοῦ πρακτικοῦ κατά τήν τοῦ νοῦ πρός αἴσθησιν συνουσίαν τικτομένην οἴησιν. Αἴσθησις γάρ ἐστιν ἡ θυγάτηρ τοῦ βασιλέως Γεσούρ, ἥν λαβών ὁ Δαβίδ, τόν Ἀβεσαλώμ ἐγέννησεν. Ἑρμηνεύεται δέ Γεσούρ, ὁδηγία τοίχου. Τοῖχος δέ, τό σῶμα προδήλως καθέστηκεν. Ὁδηγία δέ τοῦ σωμάτός ἐστιν, ὁ νόμος τοῦ σώματος, ἤγουν ἡ αἴσθησις· ἐξ ἧς γεννᾶται Ἀβεσαλώμ, πατρός εἰρήνη νομιζομένη ἑρμηνευόμενος· ὅπερ ἐστί σαφῶς ἡ οἴησις. Νομίζοντες γάρ εἰρηνεύειν παθῶν, συνιστῶμεν τόν οἴησιν· ἥν ἐπαναστᾶσαν αὐτῷ γνούς ὁ μέγας Δαβίδ, ἅτε γνώσει τήν πρᾶξιν διατεμών, καί τήν σκηνήν καί τήν Ἱερουσαλήμ καί τήν Ἰουδαίαν ἀφείς, φεύγει πέραν τοῦ Ἰορδάνου πρός τήν γῆν Γαλάδ· τουτέστιν, εἰς τήν μετοικίαν τῆς μαρτυρίας, ἤ τήν ἀποκάλυψιν αὐτῶν, ἀνάξιον ἑαυτόν κρίνας διά ( 556) τήν ἐπαναστᾶσαν οἴησιν, τῆς ἁγίας σκηνῆς· τουτέστι, τῆς μυστικῆς θεολογίας· καί τῆς Ἱερουσαλήμ, τουτέστι, τῆς εἰρηνικῆς καί τῶν θείων ἐποπτικῆς γνώσεως· καί τῆς Ἰουδαίας, τουτέστι, τῆς ἐπί χαρᾷ τῆς πράξεως ἐξομολογήσεως.

Πρός γάρ τό πένθος μετοικίσας ὁ νοῦς τάς οἰκείας δυνάμεις, καί τήν τῶν πρώην πεπραγμένων καθάπερ μαρτυρίαν συνείδησιν· καί τήν μνήμην τῶν κατ᾽ εἶδος πλημμεληθέντων· τοῦτο γάρ ἐστι ἀποκάλυψις αὐτῶν· καί, ἁπλῶς εἰπεῖν, εἰς τόν πρό τῆς χάριτος χρόνον τῇ διανοίᾳ γενόμενος· τοῦτο γάρ ἐστι πέραν τοῦ Ἰορδάνου γενέσθαι· καθ᾽ ὅν τῆς κατ᾽ ἀρετήν καί γνῶσιν ἠλλοτρίωτο χάριτος· καί τήν ἰδίαν ἐπιγνούς ἀσθένειαν, καί τήν ἰσχυράν καί ἀντίθετον τῆς οἰήσεως κτησάμενος ταπεινοφροσύνην, διά τῆς τῶν οἰκείων συναισθήσεως, διαπερῶσαν πρός αὐτόν ὄντα ἐν πένθει καλῷ, τόν τύραννον οἴησιν ἀποκτενεῖ, καί πρός τήν οἰκίαν πάλιν ἐπανέρχεται δόξαν· καί τῆς γῆς κρατεῖ τοῦ Ἰούδα, καί τῆς Ἱερουσαλήμ βασιλεύει· καί τῇ ἁγίᾳ σκηνῇ τοῦ Θεοῦ λατρεύει, τήν ἀκήρατον καί ἄμωμον λατρείαν.

Ἀλλ᾽ ἐπανέλθωμεν πρός τόν ἀριθμόν τῶν ἡμιόνων, τῶν ἀπό τῆς αἰχμαλωσίας ἀπολυθέντων Ἰουδαίων, τόν ἐν αὐτῷ πνευματικόν κατά δύναμιν ἐποψόμενοι λόγον. Ἡμίονοι, φησίν, ὀκτακόσιοι τεσσαράκοντα πέντε. Δηλοῖ δέ ὁ παρών ἀριθμός, τήν τοῦ κατά τήν ἄγονον ἕξιν τῆς κακίας· τουτέστι, τήν μή τίκτουσαν κακίαν ἕξιν, πρός τε τά αἰσθητά καί τήν αἴσθησιν τελείαν ἀπάθειαν. Ὁ γάρ ὀκτακόσια, σημαίνει τήν χαρακτηριστικήν τοῦ μέλλοντος αἰῶνος ἀπάθειαν ἐπαινετῶς λαμβανόμενος· ὁ δέ τεσσαράκοντα, τά αἰσθητά· καί ὁ πέντε, τάς αἰσθήσεις.

Ὑποζύγια πεντακισχίλια πεντακόσια εἰκοσιπέντε, ὑποζύγιόν ἐστι, τό ὑποζευγμένον τῇ ψυχῇ σῶμα πρός ἀχθοφορίαν τῶν ὑπέρ ἀρετῆς κατά τήν πρᾶξιν καμάτων τε καί πόνων· ἤγουν ἡ κατ᾽ ἀρετήν τοῦ σώματος ἕξις· καί τάχα τοιούτους ὄνους ἔχοντες οἱ τοῦ μεγάλου Ἰακώβ υἱοί, πρός ἀποτροφήν τόν ἐξ Αἰγύπτου σῖτον μετέφερον πρός τήν γῆν τῆς ἐπαγγελίας· τήν ἐκ τῆς φυσικῆς θεωρίας, ὡς ἐξ Αἰγύπτου σῖτον τοῖς μαρσίποις τῶν διανοιῶν ἀποκλεισθεῖσαν πνευματικήν γνῶσιν· διά πράξεως ἐπιτιθέντες τοῖς σώμασι, καί πρός τήν μέλλουσαν ζωήν ματακομίζοντες.

Ὁ δέ τούτων ἀριθμός τῶν ὄνων σφαιρικός ὅλος ὑπάρχων, δηλοῖ τήν ὡσαύτως ἔχουσαν κίνησιν τῆς κατ᾽ ἀρετήν περί πρᾶξιν σωματικῆς ἕξεως, καί ἀτρέπτως τῷ λόγῳ τῆς γνώσεως συμφερομένην. Μόνην γάρ καλοῦσιν ἄτρεπτον τήν σφαιρικήν κίνησιν, ὡς ὁμαλότητα διά πάντων παρά τάς λοιπάς τῶν ὄντων κινήσεις ἔχουσαν, οἱ περί ταῦτα δεινοί.

Ταῦτα μέν κατά τόνδε τόν τρόπον ἡμῖν εἰρήσθω, τῆς ἡμῶν κατά τό νοεῖν τε καί λέγειν οὐκ ἀπολειπόμενα δυνάμεως· εἰ δέ τις βούλεται πάλιν τῆς (557) Ἐκκλησίας ἐν τούτοις προδιατυποῦσθαι λέγειν τούς διαφόρους βαθμούς τῶν πιστευόντων, καί οἷον εἰπεῖν, διαθέσεις, ἄνδρες εἰσίν, οἱ τό μέτρον ἐφθακότες, κατά τό ἐφικτόν, τῆς ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ, καί κατ᾽ ἀγάπην αὐθαιρέτῳ γνώμῃ τήν ἀρετήν κατορθοῦντες. Παῖδές εἰσι καί παιδίσκαι, οἱ φόβῳ τῶν ἠπειλημένων αἰωνίων κολάσεων, ὑπερχόμενοι τό βάρος τῆς πρακτικῆς φιλοσοφίας. Ψάλται δέ, οἱ καλῶς τόν περί πρακτικῆς ἐξηγούμενοι λόγον, καί τά πάθη τῶν ἄλλων ἐξιώμενοι. Ψαλτῳδοί δέ, οἱ τό κάλλος τῆς γνώσεως τῶν θείων λόγων διά θεωρίας ἐκφαίνοντες, καί τῶν ἄλλων ἀπελαύνοντες ὥσπερ ζόφον τήν ἄγνοιαν. Κάμηλοι δέ, οἱ τό σκολιόν τῆς γνώμης ἐξημεροῦντες τῷ λόγῳ πρός ἀρετήν. Ἵπποι

δέ, οἱ τό στάδιον τοῦ κατά Θεόν βίου καλῶς διατρέχοντες. Ἡμίονοι δέ, οἱ μιγάδες τό ἦθος, καί ἐν τῷ κοινῷ τό φιλόσοφον ἀβλαβῶς ἐπιδεικνύμενοι. Ὄνοι ἤγουν ὑποζύγια, οἱ κατά τήν πρᾶξιν ἔχοντες τό μοχθεῖν, καί τόν λόγον ἐπιβαίνοντα διά θεωρίας δεχόμενοι. Τούτους γάρ τις συναγαγών, τῆς ἁγίας Ἐκκλησίας ἀθροίσει τό πλήρωμα, πολλοῖς καί διά πολλῶν ἀρετῆς ὡραϊσμένον κάλλεσι.

Τῆς μέν οὖν τῶν ἀπορηθέντων πνευματικῆς θεωρίας ὁ λόγος, ἐνταῦθα, κατ᾽ ἐμέ φάναι, τό πέρας εἴληφεν. Εἰ δέ τις εὑρεθῇ πλούτῳ κομῶν χάριτος γνωστικῆς, καί κατά τόν μέγαν Σαμουήλ, νοητῶς βλέπων τά ἔμπροσθεν, ἀποκαλύψει σαφῶς ἡμῖν τήν τῷ ῥητῷ τῶν γεγραμμένων κατακειμένην διάνοιαν, τό ὑψηλόν φῶς τῆς ἐν ὅλοις ἀληθείας γνωστικῶς ἀπαστράπτουσαν· πείθων τούς μαθεῖν δυναμένους, ὡς οὐδέν ἀκαίρως, οὐδέ μάτην τῷ ἁγίῳ Πνεύματι γέγραπται, κἄν ἡμεῖς χωρεῖν οὐ δυνάμεθα· πάντα δέ μυστικῶς καί εὐκαίρως, καί τῆς ἀνθρωπίνης ἕνεκεν σωτηρίας· ἧς ἀρχή καί τέλος ἐστίν ἡ σοφία· φόβον μέν ἀρχομένην πρῶτον δημιουργοῦσα, καί πόθον ὕστερον τελειουμένη συνιστῶσα. Μᾶλλον δέ φόβος αὐτή κατ᾽ ἀρχάς δι᾽ ἡμᾶς οἰκονομικῶς γινομένη, ἵνα παύσῃ κακίας τόν ἐραστήν· καί πόθος ὕστερον φυσικῶς εὑρισκομένη δι᾽ ἑαυτήν κατά τό τέλος, ἵνα πληρώσῃ γέλωτος νοητοῦ, τούς τήν αὐτῆς πάντων τῶν ὄντων ἀλλαξαμένους συμβίωσιν.

Τοιούτους ἐγώ ἀναγράφεσθαι ἄνδρας τῷ Πνεύματι πεπίστευκα· τοιούτους παῖδας καί παιδίσκας· τοιούτους ψάλτας καί ψαλτῳδούς· τοιαύτας καμήλους καί τοιούτους ἡμίονους καί τοιούτους ὄνους, οὕς γράφειν οἶδε τό Πνεῦμα τό ἅγιον· οὐχ οὕς σωματική περιγράφειν πέφυκεν αἴσθησις, ἀλλ᾽ οὕς ὑποδέχεται νοῦς καθαρός τῷ καλάμῳ τυπουμένους τῆς χάριτος.

Ἐπληρώθη σύν Θεῷ ὁ πέμπτος τόμος.

ΣΧΟΛΙΑ.

α'. Πεπληρωμένη χάρις τοῦ Πνεύματος ἐστιν, ἡ κατά τήν δύναμιν καί τήν ἕξιν καί τήν ἐνέργειαν περιληπτική πασῶν τῶν εἰς ἀνθρώπους κατά Χριστόν τελείους φθανουσῶν γνώσεων σοφία· δι᾽ ἧς ὁ νοῦς τῶν κατ᾽ αἴσθησιν τύπων ἔξω γενόμενος, πάσης γυμνοῖς ποικιλίας προσβάλλει τοῖς τε τῶν γεγενημένων καί τῶν ( 560) γεγραμμένων λόγοις, τούς ἐν αὐτοῖς θείους χαρακτῆρας εἰς μιᾶς περί ἑαυτόν θεοπρεποῦς μορφῆς συνάγων συμπλήρωσιν· καθ᾽ ἥν πάντων ὡς

ἐφικτόν τῶν ὄντων ἑνοειδῶς τήν ἀδιαίρετον γνῶσιν διαστράπτων ἀποφαίνεσθαι πέφυκεν τῆς ἀληθείας τό φέγγος.

β'. Οἱ κατ᾽ ἀλήθειαν γνωστικοί, τῶν ἐν ταῖς Γραφαῖς, φησί, μυστηρίων τούς λόγους διδάσκοντες, ὡς παραδείγμασι τοῖς καθ᾽ ἱστορίαν κέχρηνται τύποις, πρός τήν τῶν διδασκομένων ἀναγωγήν, ἁρμόζοντες τῷ τῆς ἱστορίας γράμματι τό πνεῦμα τῆς θεωρίας· ἵνα ὅ τε τύπος διά τήν αἴσθησιν, καί διά τόν νοῦν ὁ λόγος περί τόν ἄνθρωπον σώζωνται, τόν ἐκ ψυχῆς καί σώματος· περί ἅ πέφυκεν ὑπάρχειν ὅ τε νοῦς καί ἡ αἴσθησις, ὡς ἑνός ἀνθρώπου τυγχάνοντα.

γ'. Αἶνός ἐστι λόγος θείας μηνυτικός καλλονῆς· αἴνεσις δέ ἐστι, σχέσις αἰνοῦντος· τουτέστιν, ἀφήγησις τῶν μηνυτικῶν τῆς θείας εὐπρεπείας λόγων· καθ᾽ ἥν ἡ τῆς γνώσεως ἕξις συνίστασθαι πέφυκε, μεταποιοῦσα πρός τόν αἰνετόν τό αἰνοῦν. Θυσία δέ ταύτης ἐστί τῆς αἰνέσεως, οὐ μόνων τῶν παρά φύσιν παθῶν τελεία νέκρωσις, καί τῶν κατά φύσιν ὑπέρθεσις, ἀλλά καί ἡ πρός Θεόν παντελής τοῦ αἰνοῦντος προσαγωγή.

δ'. Ἡ μή χαλινουμένη τῷ θείῳ φόβῳ κατά τήν πρᾶξιν γνῶσις, τῦφον ἐργάζεται, φησίν, ὡς οἰκεῖον τό δεδανεισμένον προβάλλεσθαι πείθουσα τόν ἐπ᾽ αὐτῇ τυφωθέντα, πρός οἰκεῖον ἔπαινον τόν ἔρανον τοῦ λόγου ποιούμενον· ἡ δέ πρᾶξις τῷ θείῳ συναυξάνουσα πόθῳ, τῶν ὑπέρ τά πρακτικά μή λαμβάνουσα γνῶσιν, τόν πρακτικόν ἐργάζεται ταπεινόφρονα, τοῖς ὑπέρ τήν οἰκείαν δύναμιν λόγοις πρός ἑαυτόν συστελλόμενον.

ε'. Ὁ τῶν παρά φύσιν παθῶν διά τῆς εἰς Θεόν πίστεως καί ἀγάπης νικήσας τάς παραλόγους κινήσεις, καί αὐτοῦ τοῦ κατά φύσιν ἔξω γίνεται νόμον, φησί, καί πρός τήν χώραν τῶν νοητῶν ὁ λόγος μεταβιβάζεται, καί τό κατά φύσιν ὁμόφυλον, μετά τῶν προσγενομένων αὐτοῖς, τῆς ἀλλοτρίας συνεκβάλλει δουλείας.

στ' Ὑπό φύσιν μέν ἐστι πᾶν ὅ καθοτιοῦν ἤ ὑποκείμενον, ἤ καθ᾽ ὑποκειμένου, ἤ ἐν ὑποκεμένῳ εἶναι πέφυκεν· ἐξ ὧν οἱ ὅροι συνάγονται τῶν ὁριστῶν. Τά γάρ συμπληροῦντα τάς διαφόρους τῶν ὄντων φύσεις, εἰς τούς αὐτῶν συμπαραλαμβάνεσθαι πέφυκεν ὁρισμούς, πρός τήν ἀκριβῆ τοῦ σημαινομένου δήλωσιν, ὡς ἐν τῷ ὑποκειμένῳ, καί σύν τῷ ὑποκειμένῳ φυσικῶς ὑφιστάμενα· καί ἐξ ὧν τό ὑποκείμενον, καί ἐν οἷς ἔχει τήν γένεσιν· ἀλλ᾽ οὐκ ἔξωθεν θεωρούμενα. Τά δέ περί φύσιν ἐστί τά προεπινοούμενά τε καί συνεπινοούμενα· τό μέν, ὅτι ποῦ καί πότε πάντως ἡ τῶν ὄντων ὑπέστη γένεσις· τό δέ, ὅτι ἅμα τῇ πρώτῃ

γενέσει τῶν ὄντων, συνεπεθεωρήθη καί ἡ καθόλου τῶν ὄντων θέσις καί κίνησις, ἅπερ ἐστί χρόνος καί τόπος, ἐν οἷς κατά τήν ἔξωθεν θέσιν, καί (561) τήν πρός ἀρχήν κίνησιν ἡ φύσις ἐστίν, ἀλλ᾽ οὐ καθ᾽ ὑπόστασιν· οὐ γάρ ἐξ αὐτῶν ἡ φύσις, ἀλλ᾽ ἐν αὐτοῖς ἔξωθεν ἔχει τήν ἀρχήν τοῦ εἶναι, καί τήν θέσιν. Ὅταν οὖν τῶν γενῶν καί εἰδῶν καί ἀτόμων μόνου τοῦ εἶναι σκοπῶμεν τούς λόγους, τάς τούτων συστατικάς τοῖς αὐτῶν κατ᾽ οὐσίαν λόγοις διαφοράς συμπαραλαμβάνομεν· ὅταν δέ γενεαλογῶμεν, τό ποῦ καί πότε πάντως, τουτέστι, χρόνον καί τόπον ἐξ ἀνάγκης τοῖς οὖσι συμπαραλαμβάνομεν, ἀρχήν καί θέσιν σκοποῦντες, ὧν ἄνευ τῶν γενητῶν οὐδέν καθάπαξ ὑφέστηκεν. Τῆς γάρ κατά τήν ἀρχήν καί τήν θέσιν περιγραφῆς οὐδέν ἐστι τῶν ὄντων ἐλεύθερον.

ζ'. Ἱρουσαλήμ, καί οὐράνιον οἰκητήριόν ἐστιν, ἡ κατ᾽ ἀρετήν ἀπαθής ἕξις, καί ἡ μηδέν ἔχουσα πλάνης πολεμοῦν αὐτῇ νόημα, γνῶσις.

η'. Ἡ γλῶσσα τῆς κατά ψυχήν γνωστικῆς ἐστιν ἐνεργείας, φησί, σύμβολον· ὁ δέ λάρυγξ, τῆς πρός τό σῶμα φυσικῆς φιλαυτίας τεκμήριον. Ὁ γοῦν ταύτας ψεκτῶς κολλήσας ἀλλήλοις, μνησθῆναι τῆς κατ᾽ ἀρετήν καί γνῶσιν εἰρηνικῆς ἕξεως οὐ δύναται, τῇ συγχύσει διά σπουδῆς τῶν σωματικῶν ἡδόμενος παθῶν.

θ'. Ὁ Δαρεῖος, φησίν, εἰς τόν νόμον ἐλήφθη τῆς φύσεως· ὁ δέ νόμος τῆς φύσεως περιέχει καί τήν φύσιν καί τόν χρόνον, ὡς πάντων ἔχων τήν ἐξουσίαν τῆς χρήσεως τῶν τε κατά φύσιν καί περί φύσιν. Ὁ τοίνυν ὡς ἀπό Δαρείου τοῦ νόμου τῆς φύσεως ἐξερχόμενος νοῦς, ὑπεράνω δηλαδή γίνεται χρόνου καί φύσεως· μηδενί τῶν ὑπό φύσιν καί χρόνον νοημάτων κρατούμενος, ἵνα μή τάς τῶν φθαρτῶν εἰκόνας περιφέρων γένηται ναός εἰδώλων, ἀνθ᾽ ἑνός Θεοῦ πολλάς ἔχων παθῶν ἀκαθάρτων προσκυνουμένας μορφάς.

ι'. Ποῖον μυστήριον ἔχει ὁ δώδεκα ἀριθμός.

ια'. Παῖδας ἐθεώρησε μή συναριθμουμένους μέν, συνεξιόντας δέ τοῖς κεκτημένοις, τούς τῶν οὐκ ἐφ᾽ ἡμῖν παθῶν λογισμούς, ὧν κἄν ἐφ᾽ ἡμῖν ἡ γένεσις, ἀλλ᾽ ἡ χρῆσις ἐφ᾽ ἡμῖν οὐδέποτε οὖσα καθέστηκε. Γυναῖκας δέ, τάς ἐκ τῶν οὐκ ἐφ᾽ ἡμῖν παθῶν ἐπιγινομένας χωρίς διαβολῆς τῶν κατά φύσιν ὀρέξεις· ἅς ἑαυτῷ συνεξάγει πρός τήν κατά Θεόν ἐλαύνων ζωήν, ἵνα μή γένωνται τῇ τῶν παρά φύσιν δουλείᾳ κατάσχετοι παθῶν.

ιβ'. Αἰτίαν λέγει, δη᾿ ἥν οὐ συνηρίθμησε τοῖς ἀνδράσιν ὁ λόγος τούς παῖδας καί τάς γυναῖκας.

ιγ'. Ὥσπερ τέλος κινηθείσης μονάδος ἐστίν ἡ μυριάς, καί ἀρχή μή κινηθείσης μυριάδος ἐστίν ἡ μονάς· ἀρχή γάρ παντός τέλους, ἡ κατ᾿ αὐτό σαφῶς ἀκινησία καθέστηκε· καί τέλος πάσης ἀρχῆς, ἡ τῆς κατ᾿ αὐτήν κινήσεως ὑπάρχει συμπλήρωσις· οὕτω (564) καί ἡ πίστις ἀρετῶν ἀρχή κατά φύσιν ὑπάρχουσα, τέλος ἔχει τοῦ δι᾿ αὐτῶν ἀγαθοῦ τήν συμπλήρωσιν· καί τό κατά φύσιν ἀγαθόν, ὡς ἀρετῶν τέλος ἀρχήν ἔχον τήν πίστιν, πρός αὐτήν ἐνδιαθέτως συνάγεται. Πίστις γάρ ἐστιν ἐνδιάθετον ἀγαθόν· καί ἀγαθόν ἐστιν ἐνεργηθεῖσα πίστις. Πιστός δέ κατά φύσιν καί ἀγαθός ἐστιν ὁ Θεός· τό μέν, ὡς πρῶτον ἀγαθόν· τό δέ, ὡς ἔσχατον ὀρεκτόν. Ταυτόν δέ ταῦτα παντί τρόπῳ καθέστηκεν ἀλλήλοις ὄντα, μηδενί λόγῳ πλήν τοῦ κατ᾿ ἐπίνοιαν ἀλλήλων παντελῶς διαιρούμενα, διά τήν ἀπ᾿ αὐτοῦ τῶν ἐρχομένων, καί εἰς αὐτόν ληγόντων κίνησιν. Ἄρα ἡ μυριάς ἐσχάτου ὀρεκτοῦ φέρουσα τύπον, τῶν πρός αὐτό κινουμένων τελείαν περιγράφει τήν ἔφεσιν· καί ἡ μονάς πρώτου ἀγαθοῦ φέρουσα σύμβολον, τῶν ἀπ᾿ αὐτοῦ κινουμένων τελείαν ἐπιφέρεται βάσιν. Οὐκοῦν τέσσαρες μυριάδες εἰσί, τό καθ᾿ ἑκάστην γενικήν ἀρετήν ἀναλόγως κατ᾿ ἐνέργειαν δεικνύμενον τέλειον ἀγαθόν.

ιδ'. Ὁ μετά τήν φυγήν τῆς κακίας ἁπλῶς τήν ἀργίαν τῆς ἁμαρτίας φυλάξας, φησί, τήν δεκάδα τῶν ἐντολῶν· καί πάλιν τήν ἑκάστης πρᾶξιν ἐντολῆς τελείαν τῶν ἄλλων δείξας περίληψιν, ὡς πασῶν ἐν ἑκάστῃ κατά τήν ἑκάστης πρᾶξιν θεωρουμένων, τήν δεκαδα πεποίηκε ἑκατοντάδα· ἡ γάρ ἑκάστης ἐντολῆς τελεία κατ᾿ ἐνέργειαν τήρησις τῶν λοιπῶν ἐστι πρᾶξις πεπληρωμένη. Καί πάλιν ὁ κατά φύσιν τούτων τελείαν ἐπιστημονικῶς διάκρισιν ἐσχηκώς, τήν ἑκατοντάδα πεποίηκε χιλιάδα. Καί τέλος ὁ τοῖς τούτων κατά νοῦν γυμνοῖς προσβαλών κατά τήν θεωρίαν λόγοις, πεποίηκε μυριάδα τήν χιλιάδα, ἀπό τῆς κατά τήν πρᾶξιν διαστολῆς, ἐπί τήν κατά θεωρίαν ἑναδικήν συναγόμενος μονάδα. Καί συντόμως εἰπεῖν, ὁ τῇ τελείᾳ τῆς κακίας ἀποφυγῇ τηρήσας ἀπαραβάτους τάς ἐντολάς, καί τελείαν αὐτῶν τήν πρᾶξιν ἐπιδειξάμενος, καί πληρεστάτην αὐτῶν κατορθώσας τήν κατά φύσιν διάκρισιν, καί τελείαν αὐτῶν διανύσας τήν πνευματικήν θεωρίαν, οὗτος τάς τέσσαρας ἔσχε μυριάδας, τῷ καθ᾿ ἑκάστην προκοπήν τελείῳ λόγῳ συναγομένας· τό γάρ τέλειον ἀδιαστάτως ὁμοῦ, τῆς τε ἀρχῆς καί τοῦ τέλους ἔχει τούς λόγους.

ιε'. Πῶς ὁ κατά φύσιν ἡμέτερος ἐνεργεῖται νόμος.

ιστ'. Τίς ὁ ἑκάστης φυσικῆς δυνάμεως τρόπος τῆς ἐνεργείας, δι᾽ οὕς καί τάς φυσικάς εἰλήφαμεν δυνάμεις.

ιζ'. Τῶν θείων δῆλον ὅτι.

ιη'. Ποσαχῶς ἡ κατ᾽ ἀρετήν γενική διαιρεῖται διάκρισις.

ιθ'. Ἠργμένον λέγει τό κακόν· ἀρχήν γάρ ἔχει τήν ἡμῶν παρά φύσιν κίνησιν. Οὐκ ἠργμένον δέ, τό ἀγαθόν· πρό παντός γάρ αἰῶνος καί χρόνου φύσει τό ἀγαθόν. Νοητόν λέγει τό ἀγαθόν, ὅπερ δεῖ μόνον μή νοεῖν· οὐ νοητόν δέ λέγει τό κακόν, ὅπερ δεῖ μόνον νοεῖν. Ῥητόν λέγει τό ἀγαθόν· αὐτό γάρ εἰ μόνον λαλεῖσθαι· οὐ ῥητόν δέ κακόν, ὅπερ δεῖ μόνον μή λαλεῖσθαι. Καί γινόμενον λέγει τό ἀγαθόν (565) κατά φύσιν γάρ ὑπάρχει ἀγέννητον· κατά χάριν δέ διά φιλανθρωπίαν, παρ᾽ ἡμῶν ἀνέχεται γίνεσθαι, πρός τήν ἡμῶν τῶν ποιούντων καί λαλούντων καί νοούντων ἐκθέωσιν, ὅπερ δεῖ μονώτατον γίνεσθαι· οὐ ποιούμενον δέ τό κακόν, ὅπερ δεῖ μόνον μή γίνεσθαι. Φθαρτόν λέγει τό κακόν, φθορά γάρ ἐστιν ἡ τοῦ κακοῦ φύσις οὐδαμῶς κατ᾽ οὐδέν ὑπάρχουσα· ἄφθαρτον δέ τό ἀγαθόν, ὡς ἀεί ὄν, καί μή ποτε τοῦ εἶναι παυόμενον· καί πάντων οἷς ἄν ἐγγένηται φρουρητικόν. Τοῦτο γοῦν, τῷ μέν λογιστικῷ ζητοῦμεν· τῷ δέ ἐπιθυμητικῷ, ποθοῦμεν· τῷ δέ θυμικῷ, φυλάττομεν ἄσυλον· τῷ δέ αἰσθητικῷ, κατ᾽ ἐπιστήμην ἀμιγές αὐτό τῶν ἐναντίων διακρίνομεν· τῷ δέ φωνητικῷ λαλοῦντες αὐτό ποιοῦμεν φανερόν τοῖς ἀγνοοῦσι· καί τῷ γονίμῳ, πληθύνομεν αὐτό. Μᾶλλον δέ, ἀληθές εἰπεῖν, ἡμεῖς κατ᾽ αὐτό πληθυνόμεθα.

κ'. Ἄλλος θεωρίας τρόπος.

κα'. Πρώτην ἀπάθειαν λέγει, τήν πρός ἁμαρτίαν τοῦ σώματος κατ᾽ ἐνέργειαν ἀνέπαφον κίνησιν.

κβ'. Δευτέραν ἀπάθειαν λέγει, τήν κατά ψυχήν τῶν ἐμπαθῶν λογισμῶν τελείαν ἀποβολήν· δι᾽ ἧς ἡ τῶν παθῶν μαραίνεται κατά τήν πρώτην ἀπάθειαν κίνησις, ἐξάπτοντας αὐτήν πρός ἐνέργειαν οὐκ ἔχουσα τούς ἐμπαθεῖς λογισμούς.

κγ'. Τρίτην ἀπάθειαν λέγει, τήν περί τά πάθη τελείαν τῆς ἐπιθυμίας ἀκινησίαν· δι᾽ ἥν καί ἡ δευτέρα γίνεσθαι πέφυκεν, ἡ τῶν λογισμῶν καθαρότητι συνισταμένη.

κδ'. Τετάρτην ἀπάθειαν λέγει, τήν κατά διάνοιαν περί τῶν αἰσθητῶν φαντασιῶν τελείαν ἀπόθεσιν· καθ᾽ ἥν ἡ τρίτη τήν γένεσιν εἴληφεν, οὐκ ἔχουσα τάς φαντασίας τῶν αἰσθητῶν, εἰδοποιούσας αὐτῇ τῶν παθῶν τάς εἰκόνας.

κε'. Ἡ χιλιάς ἀπροσδεής τελειότητος ὑπάρχει μονάς· πασῶν γάρ τῶν πρό αὐτῆς μονάδων, καί ἑαυτῆς τόν λόγον ἔχει πληρέστατον. Διό καί συντιθεμένη μονάδος πάλιν, καί οὐ δεκάδος ἐστί ποιητική. Μονάς γάρ τήν τῆς χιλιάδος δέχεται σύνθεσιν, ὥς φασιν οἱ τῶν ἀριθμῶν ἠκριβωκότες τήν δύναμιν. Εἰκότως οὖν τόν κατά θεολογίαν τριαδικόν σημαίνει λόγον, ἡ τῶν χιλίων τριάς· ὅν μετά τῆς τελείας ἀρετῆς ὁ τήν νοουμένην· Βαβυλωνίαν ἀφείς ἔχων ἐξέρχεται.

κστ'. Τό Ταῦ γράμμα σταυροῦ τύπος ἐστίν, ἐν τῷ σχήματι σώζων τοῦ σταυροῦ τήν ἐκτύπωσιν. Τό δέ Ἰῶτα, ὡς ἀκροστίχιον τοῦ Ἰησοῦ, τό φοβερόν ὄνομα σημαίνει. Τό δέ Ἦτα, ὡς ἀκροστίχιον καί αὐτό, ἀρετῆς ἦθος παραδηλοῖ παγιώτατον· ἅπερ πρός ἀριθμόν μυστικῶς μετάξας, θαῤῥῶν ἐξῆλθε κατά τῶν ἐναντίων δυνάμων Ἀβραάμ ὁ πατριάρχης, ὡς οἰκογενῶν ἔχων τριακοσίους δέκα καί ὀκτώ· τουτέστι τόν τό πᾶν περιγράφοντα τῆς θεολογίας λόγον διά τοῦ τ'· καί τό ἄῤῥητον μυστήριον τῆς θείας τοῦ Λόγου ( 568) σαρκώσεως διά τούς δέκα· καί τόν τέλειον τῆς κατ᾽ ἀρετήν παγίας ἕξεως τρόπον διά τοῦ ὀκτώ· ἅπερ οἰκογενῆ προσηγόρευσεν ὁ λόγος, ὡς τῆς καρδίας ὄντα τοῦ κτησαμένου θεῖα κατά χάριν γεννήματα.

κζ'. Πῶς κατά τόν ἀριθμόν τήν τελείαν δηλοῖ πρόνοιαν ὁ τριακόσια.

κη'. Ὁ ἑκατόν ἀριθμός, τῆς θείας τῶν ἐντολῶν δεκάδος ἐστί δεκαπλασιασμός· πασῶν γάρ ἐστι καθ᾽ ἑκάστην ἐνεργουμένη δι᾽ ἀλλήλων τελεία περίληψις. ἡ δέ δι᾽ ἀλλήλων τῶν θείων ἐντολῶν καθ᾽ ἑκάστην ἐνεργουμένη περίληψίς ἐστιν, ἡ παντελής καί ὁλόκληρος ἀρετή. Ἀρετή δέ τελεία ἐστίν, ἄπταιστος γνῶσις τῆς ἀληθείας. Ὁ τοίνυν ἄπταιστος νοῦς τήν ἀλήθειαν ἑκατονταετής γέγονε κατά τόν μέγαν Ἀβράαμ, κατανοῶν καί αὐτός τό ἑαυτοῦ σῶμα νενεκρωμένον· τουτέστιν, ἀπογινόμενον ὁρᾷ τήν κατ᾽ αἴσθησιν ζωήν, καί γεννᾷ τήν ἐν πνεύματι ζῶσαν χαράν. Τοῦτο γάρ Ἰσαάκ ἑρμηνεύεται. Προνοίας οὖν ἐστι μή μόνον φυλάξαι κατά τήν ἑαυτῆς λόγον τήν φύσιν, ἀλλά καί ποιῆσαι θείαν, ταῖς ἀρεταῖς τελείως ποιωθεῖσαν τήν γνώμην κατά τήν ἐπίκτητον σοφίαν· μεθ᾽ ἧς ἡ φύσις θεωρουμένη, τόν τριακόσια πέφυκεν ἀποτελεῖν ἀριθμόν.

κθ'. Ὁ ἕξ ἀριθμός τήν τελείαν ἔχει τοῦ εἶναι τῶν ὄντων δήλωσιν. Ὁ δέ δέκα τήν τοῦ εὖ εἶναι σημαίνει τῶν ὄντων σύστασιν. Δεκαπλασιάσας οὖν τόν ἕξ, ἤ ἑξαπλασιάσας τόν δέκα τις, ποιεῖ τόν

ἑξήκοντα, δηλοῦντα τήν κατ᾽ ἐνέργειαν τοῦ εὖ εἶναι τῶν ὄντων κατάστασιν.

λ'. Σαρκός καί αἰσθήσεως καί κόσμου δῆλον ὅτι.

λα'. Τίνες εἰσί κατά τήν ἀναγωγήν ὁ Ἑβραῖος παῖς καί ἡ Ἑβραία παιδίσκη.

λβ'. Ἀπαθείας, φησίν, ἥν τό ἕβδομον ἔτος δηλοῖ, παραγενομένης, πρός τήν τῶν συγγενῶν ἐπανέρχονται θεωρίαν, ὅ τε λόγος καί ἡ διάνοια, λαβόντες ἐλευθερίαν, τῆς ἐπί τοῖς σωματικοῖς τρόποις τῶν ἀρετῶν ὑπουργίας.

λγ'. Τήν ἐνεργουμένην ἐπιθυμίαν φασίν εἶναι τήν ἡδονήν, εἴπερ παρόν ἀγαθόν κατά τήν αὐτῆς ἐστιν ὁρισμόν. Ἀνενέργητον δέ ἡδονήν τήν ἐπιθυμίαν, εἴπερ μέλλον ἀγαθόν κατά τόν αὐτῆς ἐστιν ὁρισμόν. Τόν δέ θυμόν, μανίας μελετωμένης κίνησιν· καί τήν μανίαν θυμόν ἐνεργούμενον. Ὁ γοῦν ταύτας συνυποτάξας τῷ λόγῳ τάς δυνάμεις, εὑρίσκει τήν μέν ἐπιθυμίαν αὐτῷ γινομένην ἡδονήν κατά τήν ἐν χάριτι πρός τό Θεῖον τῆς ψυχῆς ἄχραντον συμπλοκήν· τόν δέ θυμόν, ζέσιν ἀκήρατον τῆς περί τό Θεῖον ἡδονῆς φρουρητικήν, καί σώφρονα μανίαν, τῆς κατά τήν ἔφεσιν τῆς ψυχῆς περί τό Θεῖον θελητικῆς δυνάμεως ἀπό τῶν ὄντων τελείως ἐκστατικήν. Οὐκοῦν ἕως ἐν ἡμῖν ὁ κόσμος ζῇ κατά τήν πρός τά ὑλικά τῆς ψυχῆς ἑκούσιον σχέσιν, οὐ δεῖ ταύταις παρέχειν ἐλευθερίαν ταῖς δυνάμεσι· μήπως μιγεῖσαι τοῖς αἰσθητοῖς ὡς ὁμοφύλοις, πολεμήσωσι τήν ψυχήν, καί λάβωσιν αὐτήν δορυάλωτον γεγενημένην τοῖς πάθεσιν, ὡς πάλαι τήν Ἱερουσαλήμ οἱ Βαβυλώνιοι. Τόν γάρ αἰῶνα, καθ᾽ ὅν τούς ἀλλοφύλους παῖδας ὁ νόμος δουλεύειν ἐκέλευσε, ( 569) τήν πρός τόν κόσμον τοῦτον, ἤγουν τήν παροῦσαν ζωήν γνωμικήν τῆς ψυχῆς ἐσήμανε σχέσιν ὁ λόγος, διά τῶν ἱστορουμένων παραδεικνύς τά νοούμενα.

λδ'. Ὁ ἑπτακισχίλια ἀριθμός ἐπαινετός ἐνταῦθα κείμενος, τήν χρονικήν καί παροῦσαν ζωήν ἀρετῇ καί λόγῳ σημαίνει κεκοσμημένην. Εἰ γάρ γραπτόν καί φυσικόν νόμον ὁ χιλιάς ἀριθμός, κατά τήν ἀποδοθεῖσαν ἐν ταῖς μυριάσιν ἔννοιαν, περί τόν βίον ἀλλήλοις σημαίνει τοῦ φιλοθέου συμπρέποντας, δῆλον ἐντεῦθεν ὡς ἑπτακισχίλια πᾶσαν τούτοις φρουρουμένην τήν ὑπό χρόνον δηλοῖ τοῦ φιλοθέου ζωήν. Ὁ δέ τριακόσια, τήν ἐπί τό εἶναι κατά φύσιν, καί εὖ εἶναι κατά χάριν τῶν προνοουμένων δηλοῖ πρόνοιαν. Ὁ δέ ἑπτά, τήν ἐν τοῖς τρόποις ἀπάθειαν. Ὁ τοίνυν διά τῶν κατά φύσιν οἰκείων δυνάμεων ἀπαθῆ, καθώς ἡ πρόνοια βούλεται, διατηρήσας τήν οἰκείαν

ζωήν, παῖδας ἔχων καί παιδίσκας ἑπτακισχιλίους τριακοσίους ἑπτά, τήν τῶν παθῶν ἐξέρχεται σύγχυσιν.

λε'. Τέλος λέγει, καί τήν ἐνταῦθα κατά τήν πρᾶξιν ἀπάθειαν, καί τήν ἐκεῖσε κατά χάριν ἐκθέωσιν.

λστ'. Ψάλτας λέγει, τούς κατά τήν πρᾶξιν τόν βίον ἔχοντας, κράζοντας τοῦ Θεοῦ τά θελήματα.

λζ'. Ψαλτῳδούς εἶναί φησι, τούς οὐ μόνον ποιητάς τῶν θείων θελημάτων, ἀλλά καί τῶν ἐν αὐτοῖς μυστηρίων ἄλλοις γινομένης ἐξηγητάς.

λη'. Ὁ ὀκτώ ἀριθμός, καί στάσιν ἔχει καί κίνησιν· στάσιν μέν καθ᾽ ἑαυτόν θεωρούμενος· πᾶς γάρ ἄρτιος ἀριθμός ἀκίνητος, κέντρον οὐκ ἔχων· κίνησιν δέ, τῷ πρό αὐτοῦ, ἤ τῷ μετ᾽ αὐτόν συντιθέμενος· ποιεῖ γάρ περιττόν ἀριθμόν. Πᾶς γάρ περιττός καθ᾽ ἑαυτόν κινητός, κατά τήν τῶν ἄκρων αὐτοῦ πρός τό μέσον ἴσην ἀπόστασιν. Ὅπερ οὖν ποιεῖ ἐν τοῖς ὑπό δεκάδα ἀριθμοῖς ὁ ὀκτώ, τοῦτο ποιεῖ καί ὁ ὀγδοήκοντα ἐν τοῖς ὑπό τήν ἑκατοντάδα ἀριθμοῖς· ὡσαύτως δέ καί ὁ ὀκτακόσια ἐν τοῖς ὑπό χιλιάδα διαταττομένοις ἀριθμοῖς. Καθ᾽ ἑαυτόν οὖν θεωρούμενος στάσιν ἔχει, περιγράφων τοῦ πρό αὐτοῦ ὄντος τήν κίνησιν. Ὁ γάρ ἑπτά καί ὁ ἑβδομήκοντα καί ἑπτακόσια, χρονικῆς ἐμφαντικοί τυγχάνουσιν ἰδιότητος. Οὐκοῦν ἐπειδή τῶν ὑπό χρόνον καί γένεσιν ἔχει μᾶλλον ἡ αἴσθησις τήν κατάληψιν, λείπεται τήν τῶν αἰωνίων καί νοητῶν τόν τελειούμενον νοῦν ἄπταιστον ὑποδέχεσθαι γνῶσιν ἤγουν ἐπιστήμην· τήν γάρ ἐπιστήμην ὁρίζονται τοῦ ὑποκειμένου γνῶσιν. Ὁ δέ πεντήκοντα ἀριθμός, μονάδα φέρων περιττήν μετά τόν εἰς ἑαυτόν τῆς ἑβδομάδος ἑπταπλασιασμόν, τό πέρας δηλοῖ τῆς τῶν ἀρετῶν ἐν τοῖς ἀξίοις ποιήσεως· οὐ γάρ ἔτι κινεῖται περί τήν τῶν ἀρετῶν ποίησιν, ὁ κατά φύσιν φθάσας ἀγαθόν, καί ἐν αὐτῷ τήν στάσιν λαβών· ἀρχή γάρ καί τέλος πάσης κινήσεως ἡ μονάς. Ὁ δέ πέντε ἀριθμός, τήν ἐπί τούτοις ἐπιστήμην δηλοῖ· περιέχει γάρ νοητῶν τε καί λογικῶν, αἰσθητικῶν τε καί ζώντων καί ὄντων τούς λόγους· οὕς μόνη περιγράφειν ἡ θεία πέφυκε σοφία, ἥν ἄπταιστον ἐπιστήμην τῆς ἀληθείας ὁρίζονται.

λθ'. (572) Καμήλους Μαδιάν φησιν, ὡς μέν ἐκκρίσεως ἑρμηνευόμενος, τάς τῶν γινομένων καί ἀπογινομένων ἀληθεῖς θεωρίας· ὡς δέ πηλοῦ αἱματώδους, τούς κατά ταύτην τήν παροδικήν καί ἄστατον ζωήν τῆς προνοίας νενόηκε λόγους· ὡς δέ ἱδρώτων ἀνθρωπίνων καί μητρός, τούς ἐπί τῇ παρούσῃ ζωῇ τῆς θείας κρίσεως

λόγους, οὕς συνάγουσιν, οἵ τε κατά διάνοιαν λογισμοί, καί ἡ κατ᾽ αἴσθησιν φαντασία τῶν ὁρατῶν· ἐξ ὧν, λογισμῶν φημι καί φαντασίας, ἡ τῶν ὄντων ἀληθής συνάγεται δόξα, τῆς ἐπ᾽ αἰσθήσεσι διανοίας ὑπάρχουσα καρπός. Ἀνθρωπίνους οὖν καί μητρός λέγει ἱδρῶτας, τούς μετά πόνου προβληθέντας τῆς διανοίας λογισμούς, καί τάς φαντασίας, τῆς μητρός δίκην ἡμᾶς τιθηνούσης αἰσθήσεως. Κάμηλοι δέ Γεφάρ, τουτέστι τῆς κτήσεως τοῦ νώτως· νῶτος δέ ἐστι, τῆς ψυχῆς ἡ σάρξ, ὡς διά τήν ψυχήν γινομένη. Ἐάν οὖν κτησώμεθα τήν σάρκα καλῶς, ἔχομεν αὐτήν τῇ ψυχῇ δουλεύουσαν πρός γένεσιν ἀρετῶν, καί μόνους κατανοοῦμεν αὐτῆς τούς ἐφ᾽ οἷς γέγονε θείους λόγους· μεθ᾽ οὕς καί τούς τῶν ὁρατῶν ὡς καμήλους Μαδιάν ἀθροίσαντες λόγους, καλύπτομεν τήν ἡμετέραν Ἱερουσαλήμ, τήν ψυχήν, περιβάλλοντες τοῖς θείοις τῶν ὄντων θεωρήμασι, καί ἀθέατον αὐτήν ποιοῦντες τοῖς πάθεσι καί ἀνάλωτον.

μ'. Ὁ τετρακόσια ἀριθμός τήν τοῦ σωματικοῦ κόσμου φύσιν δηλοῖ. Τέσσαρα γάρ αὐτήν στοιχεῖα συμπληροῦσιν. Ὁ δέ τριακονταπέντε, τήν κατά χρόνον τῶν ἐναρέτων σύν λόγῳ σημαίνει κίνησιν. Ὁ γάρ ἑπτά πεντάκις εἰς ἑαυτόν συντεθείς, τόν τριακονταπέντε ποιεῖ ἀριθμόν. Ἔστιν οὖν ὁ ἑπτά κινήσεως χρονικῆς· ὁ δέ πέντε, λογικῆς ἐπιστήμης σημαντικός. Συνάψας οὖν τόν τετρακόσια καί τριάκοντα καί πέντε, τήν κατά φύσιν καί χρόνον τῶν ἐν αὐτοῖς ζώντων θείων ἀνδρῶν λογικήν ἐπιστήμην ἐδήλωσας.

μα'. Συμφωνεῖ τοῖς ἀριθμοῖς τά ἀριθμούμενα. Ὁ ἵππος περί τόν δρόμον ταχύς, τό ἀεικίνητον καί ἀνωφερές στοιχεῖον ἔχων ἐν τοῖς ποσίν· ὁ χρόνος περί τήν κίνησιν ὀξύς, ἀδιάστατον τήν οἰκείαν ποιούμενος φοράν, ἡ πρᾶξις τῶν ἀριθμουμένων δραστική· κυκλικός γάρ αὐτήν ἀριθμός ποιεῖται κατάδηλον. Ὁ γάρ ὑφ᾽ ἑαυτόν ἑξάκις συντεθείς, ἑαυτόν γεννᾷ ἑξαπλάσιον. Οὐκοῦν τό ταχύ καί ἰξύ καί δραστικόν τῆς κατ᾽ ἀρετήν ἕξεως, μυστικῶς δηλουμένων θείων ἀνδρῶν, διά τῶν ἵππων καί τῶν αὐτῶν ἀριθμῶν δεδήλωκεν ὁ λόγος τοῦ πνεύματος.

μβ'. Τί ἐστιν ἡμίονος.

μγ'. Τίς ὁ τῆς Γραφῆς ψεκτός ἵππος καί ἡμίονός ἐστι.

μδ'. Ὁ πρόληψιν περί ἑαυτοῦ γνώσεως, φησί, τοῖς θεωμένοις διδούς κατά μόνην τήν προφοράν ὧν σεσύληκε λόγων, τάς τῶν ἀσυνέτων ἀκοάς ὡς Ἀβεσαλώμ παραπείθων, καί τῇ συνουσίᾳ τυραννικῶς τάς καλάς τοῦ διδάξαντος θεοφιλεῖς ὥσπερ γυναῖκας, εἰς (573) ἀκοάς

ἀμύστους μιαίνων θεωρίας κατά τήν Ἀχιτόφελ συμβουλήν, ὅπερ ἐστίν ἑρμηνευόμενον ἀδελφός κονιάζων· τουτέστιν ἀδελφός δόλῳ φιλιάζων, ἐλέγχεται δοξομανῶν, ὑπό τήν χεῖρα πίπτων τῶν παίδων Δαβίδ, ἐν τῷ πλάτει τῆς τῶν φυσικῶν θεωρημάτων ποικιλίας, τῷ κρείττονι μετά τῆς οἰκείας αὐθαδείας παρατάττόμενος. Δείκνυται γάρ μήτε γῆς ἐπιβαίνων, ὡς ἤθους ἀρετῆς πῆξιν οὐκ ἔχων· μήτε μήν οὐρανοῦ παντελῶς ἐπιλαβόμενος, ὡς τῆς ἀληθῶς ὑψηλῆς κατά τήν γνῶσιν ἕξεως οὐδ᾿ ὅλως ἁψάμενος· καί θνήσκει τρία βέλη κατά τῆς καρδίας δεχόμενος, τήν τε τῆς εἰς τόν διδάξαντα παρανομίας φημί μνήμην, καί τήν ἐπί τῇ οἰήσει τῆς οὐκ οὔσης γνώσεως αἰσχύνην· καί τήν ἐπί τούτοις ἄφυκτον τῆς μελλούσης κρίσεως ἀποδοχήν. Ταύταις γάρ φωραθείς ὁ κενόδοξος ταῖς ἀκίσι, θνήσκει βαλλόμενος, ὅν προλαμβάνει τόν δι᾿ ἀγχόνης, ὡς δίκαιον ἦν, ἀποφερόμενος θάνατον, ὁ κακός σύμβουλος Ἀχιτόφελ, διδάσκων πατράσιν ἐπανίστασθαι παῖδας, καί τήν κακήν βουλήν διασκεδαζομένην ὁρῶν. Οὐ φέρει γάρ ἔτι ζῆν, τῆς τε πρός Δαβίδ ψεκτῆς φιλίας ἄρας τό πέπλον, καί τόν δοξομανῆ καί ψευδώνυμον γνωστικόν, ἔχοντα τοῦ λόγου τό κράτος ἀποδεῖξαι μή δυνηθείς.

με'. Κατ᾿ ἄλλον τρόπον περί τῶν αὐτῶν θεωρία.

μστ'. Γαλαάδ, ὡς μέν μετοικία πένθους ἑρμηνευομένη, φησί, τήν τῆς μετανοίας δηλοῖ κακοπάθειαν· ὡς δέ μετοικία μαρτυρίας, τόν ἐπί τοῖς πλημμεληθεῖσιν ἔλεγχον σημαίνει τῆς συνειδήσεως· ὡς δέ ἀποκάλυψις αὐτῶν, τήν κατ᾿ εἶδος τυποῖ τῶν ἁμαρτηθέντων ἐξαγόρευσιν. Ταύτην ὑπελθών τήν κατάστασιν, ὁ τήν οἴησιν ἐπί τινι καλῷ διώκουσαν ἔχων νοῦς, τήν ἐξ αὐτοῦ κατά τήν πρός τήν ἀλλόφυλον αἴσθησιν ἕνωσιν γεννηθεῖσαν οἴησιν ἀποκτείνει· καί πάλιν πρός τήν Ἰουδαίαν καί τήν Ἱερουσαλήμ ἐπανέρχεται· λέγω δέ, τήν ἐξομολόγησιν τῶν ἐπ᾿ αὐτῷ θείων οἰκτιρμῶν· καί τήν ἐπ᾿ ἀρεταῖς τελείαν ἀπάθειαν· καί τήν εἰρηνικήν ἐν πνεύματι θεωρίαν τῶν ὄντων· καί τήν ἐπ᾿ αὐταῖς, οἷα δή θείαν σκηνήν μυστικήν θεολογίαν· ἐν ᾗ μυστικῶς τά παντελῶς τοῖς ἄλλοις ἀθέατα περικαλύπτεται κάλλη.

μζ'. Ὁ ὀκτώ εἷς ὤν τῶν ἐντός δεκάδος ἀριθμῶν· καί ὁ ὀγδοήκοντα, τῶν ἐντός ἑκατοντάδος· καί ὁ ὀκτακόσια, τῶν ἐντός χιλιάδος· καί ὁ ὀκτακισχίλια, τῶν ἐντός μυριάδος, ἀκινησίαν καθ᾿ ἑαυτούς θεωρούμενοι δηλοῦσι, κατά μέντοι τήν ἄνεσιν τοῦ ποσοῦ καί τήν ἐπίτασιν. Οὐκοῦν ἐπαινετῶς τῇ Γραφῇ κείμενοι, τήν πρός τά πάθη τελείαν ἀκινησίαν δηλοῦσι· (5760 τουτέστι, παθῶν ἀπογένεσιν. Τοῦτο

δέ τήν τοῦ μέλλοντος αἰῶνος χαρακτηρίζει κατάστασιν, ἐν ᾧ παθῶν γένεσις οὐκ ἔστιν. Ὁ δέ τεσσαράκοντα, τῶν αἰσθητῶν εἰκόνα φέρει· καί ὁ πέντε, τῶν αἰσθήσεων· αἷς κατ᾽ ἐπιστήμην φυσικήν ὁ αἰσθητός ὑποπέπτωκε κόσμος. Εἰκότως οὖν τήν περί κακίαν ἄγονον ἕξιν, καί τήν πρός τά αἰσθητά κατά τήν πρός αὐτά τῶν αἰσθήσεων σχέσιν τελείαν τῶν θείων ἀνδρῶν ἀποδιάθεσιν ὁ παρών ἀριθμός.

μη'. Τί ἐστιν ὑποζύγιον κατά τήν ἀναγωγήν θεωρούμενον.

μθ'. Σφαιρικόν τόν πέντε φησίν ἀριθμόν ὑπάρχειν, καί εἰς ἑαυτόν κατά πᾶσαν αὐτοῦ πρός πάντα περιττόν ἀριθμόν γινομένην σύνθεσιν, ἀποκαθιστάμενον. Ἑκάστῳ γάρ περιττῷ τῶν πέντε πενταπλασίονα συνθείς, εἰς πέντε λήγοντα τόν συναγόμενον εὑρήσεις ἀριθμόν. Οἷον πέντε οἱ τρεῖς, δεκαπέντε· πέντε οἱ πέντε, εἰκοσιπέντε· πέντε οἱ ἑπτά, τριακονταπέντε· πέντε οἱ ἐννέα, τεσσαρακονταπέντε. Οὕτως οὖν ἐπ᾽ ἄπειρον προϊών, εὑρήσεις ἑκάστῳ ἀριθμῷ συντιθέμενον πεντάκις πέντε, καί πεντηκοντάκις τόν πεντήκοντα· καί πεντακοσιοντάκις τόν πεντακόσια· καί πεντακισχιλιοντάκις τόν πεντακισχίλια, πρός ἑαυτόν κατά τόν συναγόμενον ἀριθμόν ἀποκαθιστάμενν ὅπερ κυκλικῆς ἴδιον καί σφαιρικῆς ὑπάρχει κινήσεως. Εἰκότως οὖν σφαιρικόν τε καί κυκλικόν οἱ τά τοιαῦτα σοφοί τόν πέντε κεκλήκασιν ἀριθμόν· ὡς μηδέποτε παντελῶς ἑαυτοῦ κατά τήν πρός τούς λεγομένους περιττούς ἀριθμούς σύνθεσιν ἐξιστάμενον. Σημαίνει δέ καί τήν γενικήν ἐπιστήμην, τήν μηδαμῶς τῇ περί τό πᾶν ἀλήκτῳ κινήσει κατά τήν γνῶσιν ἑαυτῆς ἐξισταμένην, καί πάντα δυνάμει τοῦ λόγου περιλαμβάνουσαν.

ν'. Ἄλλη πάντων τῶν εἰρημένων κατ᾽ ἐπιτομήν ἀκριβής τε καί εὐδιάθετος θεωρία.

να'. Διά κολάσεως παθῶν ἀπαλλάσσουσα, φόβον ἡ σοφία ποιεῖ· τῇ δέ τῶν ἀρετῶν ἐπικτήσει τόν νοῦν ἐρεθίζουσα βλέπειν τά μέλλοντα, πόθον ἐργάζεται.

νβ'. Ἡ σοφία φόβος ἐστί, κατά τήν ἀποφυγήν γινομένη στέρησις τοῖς οὐκ ὀρεγομένοις αὐτῆς· καί πόθος ἐστίν, ἕξις ἀπολαυστικῆς ἐνεργείας εὑρισκομένη τοῖς ἀγαπῶσιν αὐτήν.

***ΕΡΩΤΗΣΙΣ Ιστ'.***

***Πάλιν γέγραπται ἐν τῷ δευτέρῳ Ἔσδρα, "Καί ἀκούσαντες οἱ ἐχθροί τῆς φυλῆς Ἰούδα καί Βενιαμίν, ἐληλύθασιν ἐπιγνῶναι τίς ἡ***

***φωνή τῶν σαλπίγγων, καί ἐπέγνωσαν, ὅτι οἱ ἐκ τῆς αἰχμαλωσίας οἰκοδομοῦσι τόν ναόν τῷ Κυρίῳ Θεῷ Ἰσραήλ. Καί προσελθόντες τῷ Ζοροβάβελ καί τῶ Ἰησοῦ καί τοῖς ἡγουμένοις τῶν πατριῶν, λέγουσιν αὐτοῖς, Συνοικοδομήσωμεν ὑμῖν· ὁμοίως γάρ ὑμῖν ἀκούομεν Κυρίου ὑμῶν, καί αὐτῷ ἐπιθύομεν, ἀφ᾽ ἡμερῶν Ἀσβακαφάθ βασιλέως Ἀσσυρίων, ὅς μετήγαγεν ἡμᾶς ἐνταῦθα. (577) Καί εἶπεν αὐτοῖς Ζαροβάβελ καί Ἰησοῦς καί οἱ ἡγούμενοι τῶν πατριῶν Ἰσραήλ· Οὐχ ἡμῖν καί ὑμῖν τοῦ οἰκοδομῆσαι τόν οἶκον Κυρίῳ Θεῷ ἡμῶν· ἡμεῖς γάρ μόνοι οἰκοδομήσομεν τῷ Κυρίῳ Θεῷ τοῦ Ἰσραήλ. " Τί ἄρα σημαίνει ταῦτα, καί μάλιστα ὁ φθόνος, δι᾽ ὅν οὐκ ἠθέλησαν συνοικοδομῆσαι αὐτοῖς τούς τῷ αὐτῶ θρησκεύοντας Θεῷ;***

Ἀπόκρισις.

Ἰούδας ἐξομολόγησις ἑρμηνεύεται. Διττός δέ τῆς φωνῆς ταύτης ὁ λόγος· ὁ μέν ἐπ᾽ εὐχαριστίᾳ τῶν δεδωρημένων ἀγαθῶν γινόμενος· ὁ δέ ἐπ᾽ ἐλέγχῳ καί ἐτασμῷ τῶν κακῶς πεπραγμένων λεγόμενος. Ἐξομολόγησις γάρ λέγεται, καί ἡ παρά τῶν εὖ πεπονθότων μετ᾽ εὐχαριστίας τῶν θείων εὐεργεσιῶν ἀπαρίθμησις, καί ἡ τῶν καλῶς πεπραγμένων παρά ὑπαιτίων ἐξαγόρευσις. Ἀμφότερα δέ ταπεινώσεως ὑπάρχει ποιητικά, ὅ τε γάρ ἐπ᾽ ἀγαθοῖς εὐχαριστῶν ὁμοῦ, καί ὁ ἐπ᾽ ἐγκλήμασιν ἐταζόμενος ταπεινοῦται· ὁ μέν ἑαυτόν κρίνων ἀνάξιον τῶν δοθέντων καλῶν· ὁ δέ, λαβεῖν ἄφεσιν τῶν πλημμεληθέντων δεόμενος.

Βενιαμίν δέ, πένθος ἤ στεναγμός μητρός, ἤ μέτρον μητρός, ἤ υἱός δεξιᾶς, ἤ οἰκοδομή λαοῦ, κατά τήν ἀκριβῆ τῆς παρ᾽ Ἑβραίοις φωνῆς ἑρμηνεύεται δύναμιν. Οὐκοῦν πᾶς ἐξομολογούμενος καθ᾽ ἕνα τῶν εἰρημένων τρόπων, τῆς φυλῆς ἐστι τοῦ Ἰούδα· καί πᾶς ὑπέρ ἀρετῆς πενθῶν, ἤ μητρός δίκην ἔχων τήν δικαιοσύνην, τόν ἑαυτοῦ βίον τε καί λόγον δεξιῶς ὁρίζουσαν· ἤ πολλῶν ὑπάρχων δι᾽ ἀρετῆς περιουσίαν καί χύσιν τῆς ἐν λόγῳ διδασκαλίας πρός σωτηρίαν ὁδός καί οἰκοδομή, τῆς φυλῆς ὑπάρχει τοῦ Βενιαμίν. Τοιούτους γάρ οἶδεν ὁ Λόγος τούς ἐλευθερίαν λαμβάνοντας τῆς τῶν παθῶν αἰχμαλωσίας, καί τῆς τῶν αἰσθητῶν ἐκβαίνοντας σχέσεως· καί οἶκον τῷ Κυρίῳ κατά τήν ἕξιν τῆς ἀπαθείας γενομένους, οἰκοδομεῖν δυναμένους. Οἶκον δέ λέγω, τόν ἐξ ἀρετῶν διαφόρων καί λόγων κατά τε πρᾶξιν καί θεωρίαν οἰκοδομούμενον νοῦν, εἰς κατοικητήριον τοῦ Θεοῦ ἐν πνεύματι. Ἐχθροί δέ τούτων εἰσί, τά τέσσαρα ἔθνη τά μετοικισθέντα εἰς τήν γῆν τοῦ Ἰσραήλ ὑπό Ἀσβακαφάθ βασιλέως Ἀσσούρ. Οὗτος γάρ πρῶτος εἰς

τήν γῆν τοῦ Ἰσραήλ κατῴκισεν ἄνδρας Βαβυλωνίους, καί ἄνδρας Χούθ καί ἄνδρας Αἱμάθ καί τούς Εὐαίους.

(580) Οἱ μέν οὖν Βαβυλώνιοι, τήν ὑπερηφανίαν δηλοῦσι, συγκεχυμένη φύσις ἑρμηνευόμενοι.

Χουδαῖοι δέ, τήν κενοδοξίαν, πρός τόν ἄκαρπον οἴησιν ἀπό τῆς ἀρετῆς μεταβάλλοντες τήν διάνοιαν. Ἔκστασις γάρ ἐκ τούτων ἑρμηνευόμενον τό ὄνομα σημαίνει.

Οἱ δέ ἄνδρες Αἱμάθ, τήν ἀνθρωπαρέσκειαν· Αἱμάθ γάρ, ὅρασις φαινομένων ἑρμηνεύεται· δι᾽ ἧς τά ἁδρότερα τῶν λημμάτων τοῖς ψευδῶς μετιοῦσι δι᾽ ἀνθρώπους τήν ἀρετήν ἐπινέμονται.

Οἱ δέ Εὐαῖοι, τήν ἀπάτην δηλοῦσι τῆς ὑποκρίσεως. Ὀφιώδεις γάρ ἑρμηνεύονται, κατά τόν πρῶτον ὄφιν δι᾽ ἀπάτης καί ὑποκρίσεως φιλικῆς ὡς τόν Ἀδάμ, τούς πειθομένους ἀρετῆς ἐξοικίζοντες.

Ἀσβακαφάθ δέ, ὁ τούτους εἰς τήν γῆν τοῦ Ἰσραήλ μετοικίσας, αἰχμαλωτεύων ὀπίσθιος ἑρμηνεύται· τουτέστιν, ἀφανῶς ἤ λανθανόντως, ἤ πάλιν αἰχμαλωτεύων δεσμοῖς. Οὗτος δέ σαφῶς ἐστιν ὁ διάβολος, ὁ πάντα λανθανόντως ποιῶν πρός καθαίρεσιν τῆς ἀνθρωπίνης φύσεως, καί σειραῖς ἕκαστον τῶν οἰκείων ἁμαρτιῶν διασφίγγων. Οὗτος εἰς τήν γῆν τοῦ Ἰσραήλ· τήν ἕξιν λέγω τῆς ἀρετῆς καί τῆς γνώσεως· μετῴκισε τήν ὑπερηφάνειαν, καί τήν κενοδοξίαν καί τήν ἀνθρωπαρέσκειαν καί τήν ὑπόκρισιν, παραζεύξας αὐτάς τοῖς ἐναρέτοις τε καί γνωστικοῖς, ἵνα κλέψῃ τῶν κοπιώντων ἐν ἀγαθοῖς τούς πόνους, ἐπ᾽ ἄλλα παρά τήν αἰτίαν τόν σκοπόν σοφιστικῶς ἀπάγων τῶν γινομένων.

Καί τάχα τούτους γινώσκων τούς πονηρούς δαίμονας παρέπεσθαι τοῖς ἐναρέτοις ὁ θεῖος Ἀπόστολος Κορινθίους ἔπεισε [Fr. ἔπειθε] γράφων, ὡς οὐκ ἐν λόγῳ κολακείας γέγονε πρός αὐτούς, ὡς ὑποκριτής· τοῦτο τυχόν ἐκείνων περί αὐτοῦ νομιζόντων· οὔτε προφάσει πλεονεξίας, ὡς ἀνθρωπάρεσκος· (581) οὔτε ζητῶν δόξαν παρά τινος, ὡς κενόδοξος· τήν γάρ ὑπερηφάνειαν παρεσιώπησε, φανερούς ἔχων τῆς ταπεινοφροσύνης τούς χαρακτῆρας· τούς τε μυρίους διωγμούς, καί τά τοῦ σώματος παθήματα· καί τήν ἄγαν ἀκτημοσύνην, καί τήν ἐν τῶ λόγῳ τῷ κατά προφοράν ἰδιωτίαν. Εἰ γάρ καί ἰδιώτης τῷ λόγῳ, φησίν, ἀλλ᾽ οὐ τῇ γνώσει.

Οὗτοι ἀκούσαντες τῆς φωνῆς τῶν σαλπίγγων, ἐληλύθασιν ἐπιγνῶναι τίς ἡ φωνή· καί ἐπέγνωσαν ὅτι οἱ ἐκ τῆς αἰχμαλωσίας, οἰκοδομοῦσι τόν ναόν τῷ Κυρίῳ Ἰσραήλ. Σάλπιγγές εἰσιν, ὧν τῆς

φωνῆς ἀκούουσιν οἱ ἀκάθαρτοι δαίμονες, οἵ τε περί ἀρετῆς καί γνώσεως λόγοι. Φωνή δέ τούτων ὑπάρχει τῶν λόγων, τά ἔργα τῶν ἀρετῶν, καί ἡ κατ᾽ ἦθος τῶν τρόπων εὐστάθεια, τῶν διά μετανοίας πρός ἀρετήν ἀπό κακίας ἐπανελθόντων· καί ἐξ ἀγνοίας πρός ἐπίγνωσιν Θεοῦ ἐπαναβεβηκότων.

Καί προσῆλθον τῷ Ζαροβάβελ καί τῷ Ἰησοῦ καί τοῖς ἡγουμένοις τῶν πατριῶν, καί λέγουσιν αὐτοῖς, Συνοικοδομήσωμεν ὑμῖν· ὁμοίως γάρ ὑμῖν ἀκούομεν τοῦ Κυρίου ὑμῶν, καί αὐτῷ θύομεν. Ζοροβάβελ ἐστίν, ὁ πρακτικός νοῦς· καί Ἰησοῦς, ὁ θεωρητικός· ἡγούμενοι δέ τῶν πατριῶν εἰσιν, αἱ τῆς ψυχῆς δυνάμεις, ἐξ ὧν ὥρμηνται τῆς ἀρετῆς οἱ τρόποι, καί οἱ λόγοι τῆς γνώσεως· οἷς προσέρχονται τῆς ὑπερηφανείας καί τῆς κενοδοξίας, ἀνθρωπαρεσκείας τε καί ὑποκρίσεως οἱ ἀκάθαρτοι δαίμονες, λέγοντες, Συνοικοδομήσωμεν ὑμῖν τόν ναόν Κυρίου. Οὐδείς γάρ τούτων τῶν πονηρῶν δαιμόνων τοῦ ἐναρέτου ποτέ κωλύει τό πρόθυμον· ἀλλά καί μᾶλλον τάς ἐλλείψεις δολερῶς περικόψας τῶν ἀρετῶν, τάς ἐπιτάσεις ὑπαγορεύει τοῖς ἀγωνισταῖς συμπροθυμούμενος, ἵνα πρός ἑαυτόν ὅλην ποιήσηται τοῦ ἀσκουμένου τήν ἔννοιαν, παραπολέσασαν τό ἴσον τῆς μετριότητος στάθμιον, καί λάθῃ πρός ἄλλο παρά τό δοκοῦν ὁδεύουσα καταγώγιον. Δύο φασίν οἱ κακοῦργοι, Ὁμοίως ὑμῖν ἀκούομεν τοῦ Κυρίου ὑμῶν. Οὔτε γάρ μισοῦσι σωφροσύνην, οὔτε νηστείαν βδελύσσονται· οὐ χρημάτων διάδοσιν, οὐ φιλοξενίαν, οὐ ψαλμῳδίαν, οὐ σχολήν ἀναγνώσεως, οὐ τῶν μαθημάτων τά ὑψηλότερα, οὐ χαμευνίαν, οὐκ ἀγρυπνίαν, οὐ τά λοιπά πάντα, δι᾽ ὧν ὁ κατά Θεόν χαρακτηρίζεται βίος, ἕως πρός αὐτούς νένευκεν ὁ σκοπός, καί ἡ αἰτία τῶν γινομένων. Τούς μέν γάρ ἄλλους τάχιον ἴσως ὁ ἀσκητής καταλαβόμενος δαίμονας, ῥᾳδίως τήν ἐξ αὐτῶν βλάβην διαδιδράσκει· τούτους δέ δοκοῦντας συνεργεῖν τῷ δρόμῳ τῆς ἀρετῆς, καί οἷον συνοικοδομεῖν βουλομένων τόν ναόν Κυρίου, τίς ἄν τῶν ἄγαν ὑψηλῶν καταλάβοι νοῦς, χωρίς τοῦ διαπάντων χωροῦντος ἐνεργοῦς λόγου καί ζῶντος, καί διϊκνουμένου ἄχρι μερισμοῦ ψυχῆς καί πνεύματος· τουτέστι διαγινώσκοντος τίνα τῶν ἔργων ἤ νοημάτων εἰσί ψυχικά· τουτέστιν εἴδη φυσικά τῆς ἀρετῆς ἤ κινήματα· καί τίνα τυγχάνει πνευματικά· τουτέστιν, ὑπέρ φύσιν, καί Θεόν χαρακτηρίζοντα· τῇ φύσει δέ κατά χάριν διδόμενα.

(584) Ἁρμῶν τε καί μυελων· τήν πρός τούς πνευματικούς λόγους τῶν κατ᾽ ἀρετήν τρόπων, ἁρμόδιον ἤ ἀναρμόδιον διόλου σύνεσιν ἐπισταμένου.

Κρίνοντός τε τας ἐνθυμήσεις καί τάς ἐννοίας τῶν καρδιῶν· τουτέστι, τάς ἐπί τοῖς εἰρημένοις ἀφανεῖς κατά τό βάθος σχέσεις· καί τάς κατά ψυχήν ἀοράτους τούτων αἰτίας.

Ὧι οὐκ ἔστιν ἡ κτίσις ἀφανής· ἐν ἡμῖν δῆλον ὅτι, τοῖς λανθάνειν δοκοῦσι, πάντα δέ γυμνά, καί τετραχηλισμένα· οὐ μόνον τά γεγενημένα τε καί νενοημένα, ἀλλ᾿ἤδη καί τά γενησόμενα παρ᾿ ἡμῶν καί τά νοηθησόμενα. Περί γάρ τῆς μελλούσης τυχόν πράξεως καί νοήσεως, τό, Οὐκ ἔστι ἡ κτίσις ἀφανής, ὁ λόγος φησίν· οὐ γάρ περί γεγενημένης, ἥτις καί ὑμῖν αὐτοῖς καί ἄλλοις πεφανέρωται· σχολῇ γε [Fr σχολή γ' ἄν] Θεῷ, τῷ πάντας τούς ἀπείρους τούς τε προγενομένους, καί ὄντας καί ἐσομένους αἰῶνας προεγνωκότι· καί τῆς πάντων γενέσεως προειληφότι κατά φύσιν τήν γνῶσιν· καί οὐκ ἐκ τῶν ὄντων, ἐξ ἑαυτοῦ δέ τήν τῶν ὄντων ἐν ἑαυτῷ προειληφότι γνῶσιν. Μόνος γάρ αὐτός τῶν ὄντων ὑπάρχει κατά φύσιν γνῶσις, ὡς τῶν ὄντων αἴτιος· καί πάλιν αὐτό γνῶσις ὡς ὑπέρ αἰτίαν φύσει τήν ἑαυτοῦ γνῶσιν ἔχων· καί ταύτης ἔτι κατά τόν πάντα καί πάμπαν τῆς ἀπειρίας ὑπεράπειρον ἀπειράκις λόγον ἀνῳκισμένος· ὅτι καί τῆς οὕτω λεγομένης γνώσεως δημιουργός παντί λόγῳ τε καί τρόπῳ, καί πάσης ἄλλης λεχθῆναι ἤ νοηθῆναι δυναμένης γνώσεως ὑπάρχων ἀπρόσιτος.

Τίς τοῦτον οὐκ ἔχων ἐνοικοῦντα τόν λόγον τῷ βάθει τῆς καρδίας, δυνήσεται τούς ἀφανεῖς δόλους τῆς καθ᾿ ἡμῶν ὑποκρίσεως τῶν δαιμόνων ὑπαλύξας, στῆναι καθ᾿ ἑαυτόν μονώτατος χωρίς τινος ἐπιμιξίας, καί οἰκοδομῆσαι τοῦ Κυρίου τόν ναόν κατά τόν μέγαν Ζοροβάβελ καί τόν Ἰησοῦν καί τούς ἡγεμόνας [Fr. ἡγουμένους] τῶν πατριῶν, φάσκοντας διαῤῥήδην μεγάλῃ τῇ φωνῇ τοῖς ἀπατεῶσι πνεύμασι τῆς ὑπερηφανείας καί τῆς κενοδοξίας καί τῆς ἀνθρωπαρεσκείας καί τῆς ὑποκρίσεως, Οὐχ ἡμῖν καί ὑμῖν οἰκοδομῆσαι τόν οἶκον Κυρίῳ τῷ Θεῷ ἡμῶν· ἡμεῖς γάρ μόνοι οἰκοδομήσομεν τῷ Κυρίῳ τοῦ Ἰσραήλ· γινώσκων ὡς ἡ τούτων ἐπιμιξία τῆς ὅλης οἰκοδομῆς ποιεῖται φθοράν καί καθαίρεσιν, καί συλᾷ τῆς τῶν θείων ἀναθημάτων εὐπρεπείας τήν χάριν. Οὐδείς γάρ δύναται, τινά τῶν εἰρημένων δαιμόνων ἔχων τήν ἀρετήν συμμετερχόμενον, ταύτην τῷ Κυρίῳ οἰκοδομῆσαι· οὐ γάρ ἔχει τόν Θεόν τῶν γινομένων τέλος, ὅν θεώμενος ταύτην διέξεισι. Οὐ φθονοῦντες οὖν οἱ ἀπό τῆς αἰχμαλωσίας, οὐ κατεδέξαντο τούς Βαβυλωνίους, καί τούς Χουθαίους καί τούς Αἱμαθαίους καί τούς Εὐαίους συνοικοδομοῦντας αὐτοῖς τόν τοῦ Κυρίου ναόν· ἀλλ᾿ ἐπεγνωκότες τούς φιλικούς δόλους τῆς τῶν

δαιμόνων κακουργίας, διά τοῦ ἀγαθοῦ λεληθότως αὐτοῖς βουλομένης κατεργάσασθαι τῆς ἁμαρτίας τόν θάνατον.

Γένοιτο δέ καί ἡμᾶς ἀεί λέγειν τοῖς ἐν πλάσματι (585) φιλίας πνευματικῆς ἀοράτως προσβάλλουσι πνεύμασι τῆς πονηρίας, καί λέγουσι· Συνοικοδομήσωμεν ὑμῖν τόν ναόν τῷ Κυρίῳ ὑμῶν· Οὐχ ὑμῖν καί ἡμῖν οἰκοδομῆσαι τόν οἶκον Κυρίῳ τῷ Θεῷ ἡμῶν· ἡμεῖς γάρ μόνοι οἰκοδομήσομεν τῷ Κυρίῳ τοῦ Ἰσραήλ. Μόνοι μέν, ὅτι τῶν κατ᾽ ἔλλειψιν τῆς ἀρετῆς πολεμούντων ἐλευθερωθέντες πνευμάτων, ὧν καί ἐκβεβήκαμεν, οὐ βουλόμεθα ταῖς ὑπερβολαῖς δι᾽ ὑμῶν ἐπαρθέντας πάλιν περιπαρῆναι, καί πεσεῖν πτῶσιν τοσοῦτον τῆς προτέρας χαλεπωτέραν, ὅσον τῆς μέν ἦν ἐπανόδου ἐλπίς εὐχερής· συγγνωθεῖσι διά τήν ἀσθένειαν· τῆς δέ, ἤ οὐκ ἔστιν ἡ δυσχερής ἔσται, μισηθεῖσι διά τήν ὑπερηφάνειαν, καί τοῦ δεξιοῦ ποιουμένοις ἕτερόν τι δεξιώτερον. Οὐ μόνοι δέ πάλιν, ὅτι τούς ἁγίους ἀγγέλους ἔχομεν τῶν καλῶν συλλήπτορας· μᾶλλον δέ τόν Θεόν, αὐτόν ἐν ἡμῖν ἑαυτόν ἐμφανίζοντα διά τῶν ἔργων τῆς δικαιοσύνης, καί ἡμᾶς ἑαυτῷ ναόν ἅγιον οἰκοδομοῦντα, καί παντός πάθους ἐλεύθερον.

ΣΧΟΛΙΑ.

α'. Ὅτι διχῶς ἐξομολόγησις.

β'. Ὅτι πᾶσα, φησίν, ἐξομολόγησις ταπεινοῖ τήν ψυχήν· ἡ μέν, χάριτι δικαιωθεῖσαν, ἡ δέ, ἀθυμίᾳ γνώμης οἰκείας ἐπ᾽ ἐγκλήμασιν ἐνεχομένην αὐτήν ἐκδιδάσκουσα.

γ'. Ὁ πενθῶν ἐπί τοῖς πρώτοις ἁμαρτήμασι, καί τελείως ἔχων γεννῶσαν αὐτόν ἀεί εἰς δικαιοσύνην τήν εἰς Θεόν πίστιν· καί πᾶσαν ἀρετῆς ὑποτύπωσιν τόν ἑαυτοῦ παρεχόμενον βίον καί λόγον, τῆς τοῦ Βενιαμίν πνευματικῆς ἑαυτόν κατέστησε φυλῆς, γνώμης ἔργον, ἀλλ᾽ οὐκ ἀνάγκης τήν κατά Θεόν ὑπάρχουσαν δείξας γέννησιν. Δεξιᾶς γάρ υἱός ἐστιν, ὁ τήν κατά Θεόν γνωμικήν ἑκουσίως ὑπερχόμενος γέννησιν.

δ'. Τούς Βαβυλωνίους λέγει τήν ὑπερηφάνειαν, ὡς συγκεχυμένην ὑπάρχουσαν φρόνησιν. Τό γάρ τῆς ὑπερηφανείας πάθος ἐκ δύο συνέστηκεν ἀγνοιῶν. Δύο δέ συνελθοῦσαι πρός ἕνωσιν ἄγνοιαι, μίαν φρόνησιν συγκεχυμένην ἀποτελοῦσι. Μόνος γάρ ἐκεῖνός ἐστιν ὑπερήφανος, ὁ καί τήν θείαν βοήθειαν, καί τήν ἀνθρωπίνην ἀγνοήσας ἀσθένειαν. Οὐκοῦν ὑπερηφάνειά ἐστι θείας καί ἀνθρωπίνης γνώσεως

στέρησις. Τῇ γάρ τῶν ἀληθῶς ἄκρων ἀποφάσει, μία ψευδής ὑπάρχει κατάφασις.

ε'. Τούς Χουθαίους λέγει τήν κενοδοξίαν. Σκοποῦ γάρ τοῦ κατά Θεόν ἔκστασις, καί πρός ἄλλον σκοπόν παρά τόν θεῖόν ἐστιν ἡ κενοδοξία μετάβασις. Κενόδοξος γάρ ἐστιν ὁ τῆς οἰκείας, ἀλλά μή τῆς θείας ἕνεκα δόξης τήν ἀρετήν ἐπιτηδεύων· καί πόνοις οἰκείοις τούς ἐξ ἀνθρώπου ἀνυποστάτους ἐπαίνους ὠνούμενος.

στ'. Αἱμάθ λέγει τήν ἀνθρωπαρέσκειαν. Μόνων γάρ ἐπιμελεῖται τῶν φαινομένων ἠθῶν ὁ ἀνθρωπάρεσκος, καί μή καί λόγου τοῦ κόλακος, ἵνα τοῖς μέν τήν ὅρασιν, τοῖς δέ τήν ἀκοήν σφετερίζηται, τῶν μόνοις ἡδομένων ἤ καταπληττομένων τοῖς φαινομένοις τε καί ἀκουομένοις, καί μόνῃ τῃ αἰσθήσει περιγραφόντων τήν ἀρετήν. Ἀνθρωπαρέσκειαν οὖν (588) εἶναί φαμεν, τήν ὡς ἐπ᾽ ἀρετῇ δι᾽ ἀνθρώπους τιμωμένην τῶν ἠθῶν τε καί λόγων ἐπίδειξιν.

ζ'. Εὐαίους λέγει τήν ὑπόκρισιν. Ὑπόκρισις δέ ἐστι φιλίας προσποίησις, ἤ μῖσος σχήματι φιλίας κεκαλυμμένον· ἤ ἔχθρα δι᾽ εὐνοίας ἐνεργουμένη, ἤ φθόνος ἀγάπης χαρακτῆρα μιμούμενος· ἤ φιλαμαρτήμων διάθεσις, τῇ τῶν κατ᾽ ἀρετήν ἠθῶν προβολῇ τούς θεωμένους λαμβάνουσα· ἤ βίος ἀρετῆς πλάσματι, ἀλλ᾽ οὐ πράγματι τό κόσμιον ἔχω ἤ δικαιοσύνης προσποίησις, τῇ τοῦ εἶναι δοκήσει συντηρουμένη, ἤ τρόπος ἠθικῆς φιλοσοφίας, τήν κατ᾽ ἀρετήν συγκαλύπτων τῆς γνώμης λανθάνουσαν στέρησιν· ἤ ἀπάτη, ἀληθείας ἔχουσα μόρφωσιν, ἥν οἱ τόν ὄφιν τῇ τῶν ἠθῶν σκολιότητι μιμούμενοι ἐπιτηδεύουσι.

η'. Τῶν ὄντων αἰτία, καί τῶν ἐν τοῖς οὖσιν ὄντων ἀγαθῶν ἐστιν ὁ Θεός. Ὁ τοίνυν περί τήν ἀρετήν καί τήν γνῶσιν πονούμενος, καί μή τῷ μέτρῳ τῆς ἐν χάριτι προκοπῆς συνεπεκτείνων τῆς οἰκείας ἀνικανότητος τήν ἐπιγνωμοσύνην, τό τῆς ὑπερηφανείας κακόν οὐ διέφυγεν. Ὁ δέ δόξης ἕνεκεν ἰδίας τό καλόν ἐπιτηδεύων, ἑαυτόν τοῦ Θεοῦ προετίμησε, τῷ τῆς κενῆς δόξης ἥλῳ περιπαρείς. Ὁ δέ πρός τό θεαθῆναι τοῖς ἀνθρώποις ποιῶν ἤ διώκων τήν ἀρετήν, τῆς θείας πολλῷ τήν ἀνθρωπίνην ὑπερέθηκεν ἀποδοχήν, τῷ τῆς ἀνθρωπαρεσκίας πάθει νοσηλευόμενος. Ὁ δέ μόνῃ τῇ κατ᾽ ἀρετήν σεμνότητι πρός ἀπάτην κακούργως ἐπιχρώσας τά ἤθη, καί τήν πονηράν τῆς γνώμης διάθεσιν τῷ φαινομένῳ σχήματι τῆς εὐσεβείας ἐπικαλύπτων, τῷ τῆς ὑποκρίσεως ἐξωνεῖται δόλῳ τήν ἀρετήν. Οὐκοῦν

ἐπ᾽ ἄλλα παρά τήν αἰτίαν ἑκάστου τούτων ἀπήγαγε τόν σκοπόν, ὁ νοητός Ἀσβακαφάθ.

θ'. Οἱ λόγοι τοῦ Θεοῦ ψιλῶς κατά μόνην λαλούμενοι τήν προφοράν, φησίν, οὐκ ἀκούονται, φωνήν, τήν τῶν αὐτούς λαλούντων πρᾶξιν, οὐκ ἔχοντες. Εἰ δέ τῇ πράξει τῶν ἐντολῶν ἐκφωνοῦνται, τούς τε δαίμονας ἔχουσι τῇ τοιαύτῃ διατηκομένους φωνῇ, καί τούς ἀνθρώπους τῇ προκοπῇ τῶν ἔργων τῆς δικαιοσύνης εὐπειθῶς τόν θεῖον τῆς καρδίας οἰκοδομοῦντας ναόν.

ι'. Τόν Ζοροβάβελ ἐνταῦθα, εἰς τόν πρακτικόν νοῦν ἔλαβεν, ὡς πολεμικώτερον· τόν δέ Ἰησοῦν, εἰς τόν θεωρητικόν, ὡς ἱερέα, καί διά παντός τήν ἐντυχίαν πρός τόν Θεόν ποιεῖσθαι τεταγμένον.

ια'. Μερισμόν ψυχῆς καί πνεύματος λέγει τήν διαφοράν τῶν ἐκ φύσεως ἀρετῶν, ὧν φυσικῶς ἔχομεν τούς λόγους, καί τῶν ἐκ Πνεύματος, ὧν κατά δωρεάν δεχόμεθα τήν χάριν· τούτων γάρ εὐκρινῶς τήν διαστολήν ποιεῖται κρίνων ὁ λόγος.

ιβ'. Μυελός ἐστιν ὁ θεῖος λόγος, ὁ τούς ἐν ἡμῖν ὥσπερ ὀστᾶ θείους διατρέφων λογισμούς, τούς ὑποτρέφοντας τό σῶμα τῶν ἀρετῶν. Ἁρμός δέ ἐστιν, ὁ τῆς πράξεως τρόπος, καθ᾽ ὅν ἡ πρός τούς θείους λόγους τῶν λογισμῶν γίνεσθαι πέφυκεν ἕνωσις πρός μίαν ἀρετῆς ἐκπλήρωσιν.

ιγ'. (589) Τάς ἐνθυμήσεις δέ καί τάς ἐννοίας, ὧν ἐστι κριτικός ὁ Λόγος φησίν εἶναι, τά τῆς ψυχῆς ἐπί τε τοῖς θείοις λόγοις καί τοῖς λογισμοῖς σχέσεις, καί τάς αὐτῶν δηλαδή τῶν σχέσεων αἰτίας. Ἡ γάρ ἐνθύμησις κινεῖ μνήμην, ἧς οἰκεῖον ἡ σχέσις· ἡ δέ ἔννοια, πέρας ἀποσκοπεῖ, ὅπερ αἰτίαν χαρακτηρίζει.

ιδ'. Ἡ κατ᾽ οὐσίαν γνῶσις, φησίν, ἔστιν ὁ Θεός· προηγεῖται δέ σαφῶς πάσης γνώσεως ὁ νοῦς, ᾧ καί ὑποπίπτειν πέφυκεν· ἄρα καί ὑπέρ ταύτην ἐστίν ὁ Θεός, ὅτι καί ὑπέρ πάντα νοῦν, ᾧ γνῶσις καθοτιοῦν πέφυκεν ὑποπίπτειν, ὑπεραπείρως καθέστηκεν.

ιε'. Οἱ κατ᾽ ἔλλειψιν ἀρετῆς πολεμοῦντες δαίμονές εἰσιν, οἱ πορνείαν καί μέθην, φυλαργυρίαν τε καί φθόνον, καί τοιαῦτα διδάσκοντες· οἱ δέ καθ᾽ ὑπερβολήν πολεμοῦντές εἰσιν, οἱ τήν οἴησιν καί τήν κενοδοξίαν καί τήν ὑπερημάνειαν, καί τά τοιαῦτα διδάσκοντες· καί διά τῶν δεξιῶν τοῖς ἀριστεροῖς ἐπικεκρυμμένως ἐμπείροντες.

ιστ'. Ἀρετῆς ὅρος ἐστίν, ἡ τῆς ἀνθρωπίνης ἀσθενείας κατ᾽ ἐπίγνωσιν πρός τήν θείαν δύναμιν ἕνωσις. Ὁ τοίνυν ἑαυτόν τῇ

ἀσθενείᾳ περιγράφων τῆς φύσεως, πρός τόν ὅρον οὐκ ἦλθε τῆς ἀρετῆς· διά τοῦτο πλημμελεῖ, μήπω λαβών τήν τό ἀσθενές ἰσχυούσαν δύναμιν· ὁ δέ τῆς θείας δυνάμεως τήν οἰκείαν ἀσθένειαν ὡς ἰσχύν αὐθαδῶς ἀντιπροβαλλόμενος, τόν ὅρον παρῆλθε τῆς ἀρετῆς· καί διά τοῦτο πλημμελῶν, ὡς τοῦ κατόπιν ὑπερφεροῦς παρ᾽ ἑαυτοῦ γενομένου, οὐκ ἐπιγινώσκει. Ἀρετήν γάρ εἶναι νομίζει τό πλημμέλημα. Συγγνωστός οὖν μᾶλλον, ὅ τῇ κατά τήν φύσιν ἀσθενείᾳ ἑαυτόν περιγράψας, παθών μᾶλλον ἐκ ῥᾳθυμίας τῆς ἀρετῆς τήν ἔκπτωσιν, ἤ ὁ τήν οἰκείαν ἀσθένειαν ὡς ἰσχύν πρός τήν τῶν καθηκόντων ποίησιν ἀντιπαραβαλλόμενος τῆς θείας δυνάμεως, δράσας μᾶλλον ἐξ αὐθαδίας τήν ἔκπτωσιν.

### *ΕΡΩΤΗΣΙΣ ΝΖ΄.*

***Πολύ ἰσχύει δικαίου ἐνεργουμένη· τί ἐστι τό ἐνεργουμένη.***

Ἀπόκρισις.

Κατά δύο τρόπους ἐνεργουμένην οἶδα τοῦ δικαίου τήν δέησιν· καθ᾽ ἕνα μέν, ὁπόταν μετά τῶν κατ᾽ ἐντολήν ἔργων τῷ Θεῷ τήν ταύτης ποιεῖται προσαγωγήν τῆς δεήσεως ὁ εὐχόμενος· καί μή μόνον ἐν ψιλῷ λόγῳ, καί διακένῳ φωνῆς ἤχῳ τῆς γλώττης ἐκπίπτουσαν, ἀργήν κεῖσθαι τήν δέησιν καί ἀνυπόστατον· ἀλλ᾽ ἐνεργόν καί ζῶσαν, τοῖς τρόποις τῶν ἐντολῶν ψυχουμένην. Εὐχῆς γάρ καί δεήσεως ὑπόστασις, ἡ διά τῶν ἀρετῶν ὑπάρχει προδήλως ἐκπλήρωσις· καθ᾽ ἥν ἰσχυράν καί πάντα δυναμένην ὁ δίκαιος ἔχει τήν δέησιν, ἐνεργουμένην ταῖς ἐντολαῖς. Καθ᾽ ἕτερον δέ τρόπον ὁπόταν ὁ τῆς εὐχῆς τοῦ δικαίου δεόμενος, τά ἔργα τῆς εὐχῆς διαπράττεται, (592) τόν τε πρότερον διορθούμενος βίον, καί τήν δέησιν τοῦ δικαίου ἰσχυράν διά τῆς οἰκείας καλῆς ἀναστροφῆς δυναμουμένην.

Οὐ γάρ ὄφελος τῆς τοῦ δικαίου δεήσεως, τοῦ ταύτης χρῄζοντος πλέον τῶν ἀρετῶν ἡδομένου τοῖς πλημμελήμασιν. Ἐπειδή καί ὁ μέγας ποτέ Σαμουήλ ἐπένθει πλημμελοῦντα τόν Σαούλ, ἀλλ᾽ οὐκ ἴσχυσε τόν Θεόν ἱλεώσασθαι, μή λαβών συλλήπτορα τοῦ πένθους τήν καθήκουσαν τοῦ πλημμελοῦντος διόρθωσιν. Διό τοῦ ἀνονήτου πένθους ὁ Θεός καταπαύων τόν ἑαυτοῦ θεράποντα, φησί πρός αὐτόν, Ἕως πότε σύ πενθεῖς ἐπί Σαούλ· κἀγώ ἐξουδένωκα αὐτόν τοῦ μή βασιλεύειν ἐπί Ἰσραήλ.

Καί πάλιν Ἱερεμίας ὁ συμπαθέστατος, ὑπέρ τοῦ λαοῦ τῶν Ἰουδαίων περί τήν πλάνην μανέντος τῶν δαιμονίων, οὐκ εἰσακούεται προσευχόμενος, οὐκ ἔχων εἰς προσευχῆς δύναμιν, τήν ἀπό τῆς πλάνης τῶν ἀθέων Ἰουδαίων ἐπιστροφήν· ὅθεν τοῦ διακενῆς προσεύχεσθαι καί τοῦτον ἀπάγων ὁ Θεός, φησί, Καί σύ μή προσεύχου περί τοῦ λαοῦ τούτου, καί μή ἀξίου τοῦ ἐλεηθῆναι αὐτούς· καί μή εὔχου, καί μή προσέλθῃς μοι περί αὐτῶν ἔτι, ὅτι οὐκ εἰσακούσομαι.

Πολλῆς γάρ ὄντως ἐστίν ἀβελτηρίας, ἵνα μή λέγω παραφροσύνης, δι᾽ εὐχῆς δικαίων ἐπιζητεῖν τήν σωτηρίαν, τόν κατά διάθεσιν τοῖς ὀλεθρίοις ἡδόμενον· κἀκείνων αἰτεῖσθαι συγχώρησιν, οἷς ἐγκαυχᾶται κατ᾽ ἐνέργειαν προθέσει σπιλούμενος· δέον μή ἀργήν ἐᾷν γίνεσθαι καί ἀκίνητον τοῦ δικαίου τήν δέησιν τόν ταύτης δεόμενον, εἴπερ ἀληθῶς τοῖς πονηροῖς ἀπεχθάνεται· ἀλλ᾽ ἐνεργόν ποιεῖν, καί ἰσχυράν ταῖς οἰκείαις ἀρεταῖς πτερουμένην, καί φθάνουσαν τόν συγχώρησιν διδόναι τῶν πλημμεληθέντων δυνάμενον.

Εἴτε οὖν ἐκ τοῦ ποιουμένου τήν δέησιν δικαίου, εἴτε ἐκ τοῦ γίνεσθαι ταύτην αἰτουμένου τόν δίκαιον ἐνεργουμένη, πολύ ἰσχύει τοῦ δικαίου ἡ δέησις. Ὑπό μέν γάρ τοῦ δικαίου ἐνεργουμένη, δίδωσιν αὐτῷ παῤῥησίαν πρός τόν δοῦναι δυνάμενον τά τῶν δικαίων αἰτήματα· ὑπό δέ τοῦ ταύτην αἰτουμένου δικαίων αἰτήματα· ὑπό δέ τοῦ ταύτην αἰτουμένου τόν δίκαιον, τῆς προτέρας αὐτόν μοχθηρίας ἀφίστησι, μεταβάλλουσα πρός ἀρετήν αὐτοῦ τήν διάθεσιν.

### *ΕΡΩΤΗΣΙΣ ΝΗ΄.*

***" Ἐν ᾧ ἀγαλλιᾶσθε ὀλίγον ἄρτι, εἰ δέον ἐστί λυπηθέντας ὑμᾶς [Fr.ἡμᾶς] ἐν ποικίλοις πειραμοῖς." Πῶς τις λυπούμενος ἐν πειρασμοῖς, δύναται ἀγαλλιᾶσθαι ἐν ᾧ λυπεῖται.***

Ἀπόκρισις.

Τήν λύπην διττήν οἶδε τῆς ἀληθείας ὁ λόγος· τήν μέν, κατά ψυχήν ἀφανῶς· τήν δέ, κατ' αἴσθησιν φανερῶς συνισταμένην· καί τήν μέν, ὅλον τῆς ψυχῆς τό βάθος περιλαμβάνουσαν, τῇ μάστιγι τῆς συνειδήσεως αἰκιζόμενον· τήν δέ, πᾶσαν τήν αἴσθησιν περιγράφουσαν, τῷ βάρει τῶν ἀλγεινῶν συστελλομένην τῆς φυσικῆς διαχύσεως. Καί τήν μέν, τῆς κατ᾽ αἴσθησιν ἡδονῆς, τήν δέ, τῆς κατά ψυχήν (593) εὐφροσύνης τέλος ὑπάρχουσαν. Μᾶλλον δέ, τήν μέν, τῶν

κατ᾽ αἴσθησιν γνωμικῶν, τήν δέ, τῶν κατ᾽ αὐτήν συμπέρασμα παρά γνώμην παθῶν τυγχάνουσαν.

Λύπη γάρ ἐστι, κατ᾽ ἐμέ φάναι, διάθεσις ἡδονῶν ἐστερημένη. Στέρησις δέ καθέστηκεν ἡδονῶν, πόνων ἐπαγωγή. Πόνος δέ σαφῶς ἐστι φυσικῆς ἕξεως ἔλλειψις, ἤ ὑποχώρησις· ἔλλειψις δέ φυσικῆς ἕξεώς ἐστι, πάθος τῆς κατά φύσιν ὑποκειμένης τῇ ἕξει δυνάμεως· πάθος δέ τῆς κατά φύσιν ὑποκειμένης τῇ ἕξει δυνάμεώς ἐστιν, ὁ κατά τήν παράχρησιν τῆς φυσικῆς ἐνεργείας τρόπος· παράχρησις δέ τοῦ κατ᾽ ἐνέργειαν τρόπου καθέστηκεν, ἡ πρός τό μή πεφυκός κατά φύσιν, καί ὑφιστάμενον τῆς δυνάμεως κίνησις.

Ὥσπερ δέ τήν λύπην διττήν, ὡς ἔφην, οἶδεν ὁ λόγος, οὕτω καί τῶν πειρασμῶν διττόν ἐπίσταται τόν τρόπον· τόν μέν, κατά γνώμην, τόν δέ, παρά γνώμην· καί τόν μέν, ἑκουσίων ἡδονῶν δημιουργόν· τόν δέ, ἀκουσίων ὀδυνῶν ἐπακτικόν. Ὁ γάρ κατά γνώμην πειρασμός, τάς κατά προαίρεσιν ἑκουσίους σαφῶς συνίστησιν ἡδονάς· ὁ δέ παρά γνώμην, προδήλως τούς ἀκουσίους παρά προαίρεσιν ἐφίστησι πόνους· καί ὁ μέν, τῆς κατά ψυχήν· ὁ δέ, τῆς κατ᾽ αἴσθησιν λύπης καθέστηκεν αἴτιος.

Ὅθεν οἶμαι τόν Κύριον ἡμῶν καί Θεόν, πῶς δεῖ προσεύχεσθαι τούς οἰκείους διδάσκοντα μαθητάς, πρός τό, τό κατά γνώμην εἶδος τῶν πειρασμῶν ἀπεύχεσθαι φάσκειν· Καί μή εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, τῶν ἡδονικῶν δηλονότι καί γνωμικῶν καί ἑκουσίων πειρασμῶν, μή ἐγκαταλειφῆναι πεῖραν λαβεῖν εὔχεσθαι τούς οἰκείους διδάσκοντα μαθητάς. Τόν δέ μέγαν Ἰάκωβον τόν τοῦ Κυρίου λεγόμενον ἀδελφόν, πρός τό τῶν ἀκουσίων πειρασμῶν εἶδος διδάσκοντα μή συστέλλεσθαι, τούς ὑπέρ ἀληθείας ἀγωνιζομένους φάναι, Πᾶσαν χαράν ἡγήσασθε, ἀδελφοί μου, ὅταν πειρασμοῖς περιπέσητε ποικίλοις· δηλονότι τοῖς ἀκουσίοις καί παρά γνώμην, καί πόνων ποιητικοῖς πειρασμοῖς· καί δηλοῦσι σαφῶς, ἐκεῖ μέν ἐπάγων ὁ Κύριος· Ἀλλά ῥῦσαι ἡμᾶς ἀπό τοῦ πονηροῦ· ἐνταῦθα δέ ὁ μέγας Ἰάκωβος, Γινώσκοντες ὅτι τό δοκίμιον ἡμῶν τῆς πίστεως κατεργάζεται ὑπομονήν· ἡ δέ ὑπομονή ἔργον τέλειον ἐχέτω· ἵνα ἦτε τέλειοι, καί ὁλόκληροι, ἐν μηδενί λειπόμενοι. Τέλειός ἐστιν, ὁ τοῖς ἑκουσίοις δι᾽ ἐγκρατείας μαχόμενος, καί τοῖς ἀκουσίοις δι᾽ ὑπομονῆς ἐγκαρτερῶν πειρασμοῖς καί ὁλόκληρός ἐστιν, ὁ καί τήν πρᾶξιν μετά γνώσεως, καί τήν θεωρίαν οὐκ ἄπρακτον διανύων.

Διῃρημένης γάρ εἰς ψυχήν τε καί αἴσθησιν τῆς τε λύπης καί τῆς ἡδονῆς· ὁ τήν τῆς ψυχῆς περιποιούμενος ἡδονήν, τήν δέ τῆς αἰσθήσεως καταδεχόμενος λύπην, δόκιμος γίνεται καί τέλειος καί ὁλόκληρος. Δόκιμος μέν, διά τήν πεῖραν τῶν κατ᾽ αἴσθησιν ἐναντίων· τέλειος δέ, ὡς τῇ κατ᾽ αἴσθησιν ἡδονῇ τε καί λύπῃ, δι᾽ ἐγκρατείας καί ὑπομονῆς (596) ἀνενδότως μαχόμενος· ὁλόκληρος δέ, ὡς τάς μαχομένας ταῖς κατ᾽ αἴσθησιν ἀλλήλαις ἀντικειμέναις διαθέσεσιν ἕξεις ἐν τῇ σταθηρότητι τῆς κατά τόν λόγον ταυτότητος ἀλωβήτους διαφυλάττων· φημί δέ τήν πρᾶξιν καί τήν θεωρίαν ἀλλήλαις συνεχομένας, καί μηδεμίαν τῆς ἑτέρας διεζευγμένην· ἀλλά τήν μέν πρᾶξιν, τῆς θεωρίας τήν γνῶσιν διά τῶν τρόπων προφαίνουσαν· τήν δέ θεωρίαν, οὐχ ἧττον τοῦ λόγου τήν ἀρετήν τεθωρακισμένην τῆς πράξεως.

Οὐκοῦν ἐπειδή τήν τε λύπην καί τήν ἡδονήν διττήν οὖσαν ἀπέδειξεν ὁ λόγος· καί τήν μέν, κατά ψυχήν, τήν δέ, κατ᾽ αἴσθησιν συνισταμένην· φέρε καί τάς τούτων συνοπτικώτερον θεωρήσωμεν αἰτίας. Τῆς μέν οὖν κατά ψυχήν λύπης διττός ὁ τρόπος. Ὁ μέν, ἐπί τοῖς οἰκείοις, ὁ δέ, ἐπί τοῖς ἀλλοτρίοις πλημμελήμασι συνιστάμενος. Αἰτία δέ τῆς τοιαύτης λύπης ἡ κατ᾽ αἴσθησιν τοῦ λυπουμένου σαφῶς, ἤ τῶν δι᾽ οὕς λυπεῖται, καθέστηκεν ἡδονή. Κατά γάρ τόν ἀκριβῆ λόγον, οὐκ ἔστι παντελῶς ἁμαρτία σχεδόν ἐν ἀνθρώποις, μή τήν ψυχῆς πρός αἴσθησιν ἡδονῆς ἕνεκεν ἀλόγιστον σχέσιν ἀρχήν τοῖς οἰκείας γενέσεως ἔχουσαν. Τῆς δέ κατά ψυχήν ἡδονῆς αἰτία προδήλως ἐστίν, ἡ κατ᾽ αἴσθησιν τοῦ ἐπί ταῖς οἰκείαις ἤ ταῖς ἀλλοτρίαις ἀρεταῖς ἡδομένου τε καί χαίροντος λύπη· κατά γάρ τόν ἀκριβῆ λόγον οὐκ ἔστι παντελῶς ἀρετή σχεδόν ἐν ἀνθρώποις, μή τήν ψυχῆς πρός αἴσθησιν λελογισμένην ἀποδιάθεσιν ἀρχήν τῆς οἰκείας γενέσεως ἔχουσα.

Τῆς δέ ψυχῆς ὑπέρ ἀρετῆς πρός τήν αἴσθησιν ἀποδιάθεσιν κτησαμένης, ἐξ ἀνάγκης ἡ αἴσθησις ἐν πόνοις ἔσται· τήν τῶν ἡδέων ἐπινοητικήν συνημμένην, αὐτῇ κατά τήν γνωμικήν σχέσιν τῆς ψυχῆς οὐκ ἔχουσα δύναμιν· τοὐναντίον δέ, τῶν μέν αὐτῆς φυσικῶν ἡδονῶν ἐπανάστασιν δι᾽ ἐγκρατείας ἀνδρικῶς ἀποῤῥαπίζουσαν· πρός δέ τήν τῶν παρά φύσιν καί ἀκουσίων πόνων ἐπαγωγήν, διά τῆς ὑπομονῆς ἀμείλικτον παντελῶς διαμένουσαν· καί τῆς κατ᾽ ἀρετήν θεοπρεποῦς ἀξίας τε καί δόξης, διά τήν ἀνυπόστατον ἡδονήν οὐκ ἐξισταμένην. Καί πρός τήν τῶν πόνων ἀντίληψιν φειδοῖ τῆς σαρκός διά τήν ὀδύνουσαν αἴσθησιν, τοῦ ὕψους τῶν ἀρετῶν οὐκ ἀποπίπτουσαν. Τῆς δέ κατ᾽

αἴσθησιν λύπης αἰτία καθέστηκεν, ἡ πρός τά κατά φύσιν τῆς ψυχῆς παντελής ἀσχολία. τήν κατ᾽ αἴσθησιν ἡδονήν ἡ παρά φύσιν ἐνέργεια τῆς ψυχῆς προδήλως ὑφίστησιν, ἄλλην ἀρχήν ἔχειν οὐ δυναμένην συστάσεως, ἤ τήν ψυχῆς τῶν κατά φύσιν ἀπόθεσιν.

Νοῦς γάρ καί αἴσθησις ἀντικειμένην ἔχουσι πρός ἄλληλα τήν κατά φύσιν ἐνέργειαν, διά τήν τῶν αὐτοῖς ὑποκειμένων ἀκροτάτην διαφοράν καί ἑτερότητα. Ὁ μέν γάρ ὑποκειμένας ἔχει τάς νοητάς καί ἀσωμάτους οὐσίας, ὧν κατ᾽ οὐσίαν ἀντιλαμβάνεσθαι πέφυκεν· ἡ δέ, τάς αἰσθητάς καί σωματικάς φύσεις, ὧν καί αὐτή φυσικῶς ἀντιλαμβάνεται.

Ἐπεί οὖν οὐκ ἔστι δυνατόν πρός τά συγγενῆ (597) νοητά νοῦν διαβῆναι, δίχα τῆς τῶν διά μέσου προβεβλημένων αἰσθητῶν θεωρίας· ταύτην δέ γεννᾶσθαι [ Fr.γενέσθαι] παντελῶς ἀμήχανον χωρίς τῆς αὐτῷ μέν συγκειμένης, τοῖς αἰσθητοῖς δέ κατά φύσιν συγγενοῦς αἰσθήσεως· εἰκότως εἰ μέν προσβαλών ἐνσχεθῇ ταῖς ἐπιφανείαις τῶν ὁρατῶν ἐνέργειαν εἶναι φυσικήν τήν συγκειμένην οἰόμενος αἴσθησιν· τῶν μέν κατά φύσιν ἐκπέπτωκε νοητῶν, τῶν δέ παρά φύσιν ἀμφοῖν ταῖν χεροῖν, τό δή λεγόμενον, ἐπελάβετο σωμάτων· οἷς παρά τόν λόγον ἐνεργούμενος, διά τήν αὐτόν ἐκνικήσασαν αἴσθησιν· τῆς μέν κατά ψυχήν λύπης γεννήτωρ καθίσταται, συχναῖς ταῖς κατά συνείδησιν μάστιξιν αἰκιζομένην· τῆς δέ κατ᾽ αἴσθησιν ἡδονῆς ἀριδήλως γίνεται ποιητής, ταῖς ἐπινοίαις τῶν περιποιητικῶν τῆς σαρκός τρόπων λιπαινόμενος. Εἰ δέ τήν πρός αἴσθησιν ἅμα τῇ προβολῇ τῶν ὁρωμένων διατεμών ἐπιφάνειαν, τούς πνευματικούς τῶν ὄντων καθαρούς τῶν ἐπ᾽ αὐτοῖς σχημάτων θεάσηται λόγους τήν μέν τῆς ψυχῆς ἡδονήν ματειργάσατο· μηδενί τῶν αἰσθήσει θεωρουμένων κρατούμενος· τήν δέ τῆς αἰσθήσεως συνεστήσατο λύπην, πάντων κατά φύσιν τῶν αἰσθητῶν ἐστερημένος. Ἔνθα γάρ προκαθηγεῖται ὁ λόγος τῆς αἰσθήσεως κατά τήν τῶν ὁρατῶν θεωρίαν, πάσης ἐστέρηται τῆς κατά φύσιν ἡ σάρξ ἡδονῆς, οὐκ ἔχουσα τήν αἴσθησιν ἄφετον, καί τῶν λογικῶν ἀπολελυμένην δεσμῶν, εἰς ὑπηρεσίαν τῶν κατ᾽ αὐτήν ἡδονῶν.

Οὐκοῦν, ὡς ἔφην, ἐπειδή τήν μέν τῆς ψυχῆς λύπην, ἤγουν τόν πόνον· ταὐτόν γάρ ἀλλήλοις ἀμφότερα, ἡ κατ᾽ αἴσθησιν ἡδονή συνίστησι· τήν δέ τῆς αἰσθήσεως λύπην, ἤγουν τόν πόνον, ἡ κατά ψυχήν ἡδονή ποιεῖν πέφυκεν· εἰκότως ὁ τῆς κατ᾽ ἐλπίδα ζωῆς Τοῦ Θεοῦ καί Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ δι᾽ ἀναστάσεως νεκρῶν εἰς

κληρονομίαν ἄφθαρτον καί ἀμίαντον καί ἀμάραντον τετηρημένην ἐν οὐρανοῖς ἐφιέμενος, κατά μέν ψυχήν ἀγαλλίασιν ἔχει καί χαράν χαίρει ἀνεκλάλητον, διηνεκῶς τῇ τῆς μελλόντων ἀγαθῶν ἐλπίδι γαννύμενος [Fr. et. Reg. γαννυμένην]· κατά δέ τήν σάρκα καί τήν αἴσθησιν, λύπην. Ἤγουν τούς ἐκ τῶν ποικίλων πειρασμῶν ἐπιγινομένους αὐτῇ πόνους, καί τάς ἐπ᾽ αὐτοῖς ὀδύνας· πάσῃ γάρ ἀρετῇ, ἡδονή καί πόνος παρέπεται· πόνος μέν σαρκός, ἐστερημένης τῆς προσηνοῦς καί λειοτέρας αἰσθήσεως· ὀδύνη δέ ψυχῆς, παντός αἰσθητοῦ καθαροῖς ἐντρυφώσης τοῖς ἐν πνεύματι λόγοις.

Δέον οὖν ἐστι τόν νοῦν κατά τήν παροῦσαν ζωήν· τοῦτο γάρ μοι νοεῖται τό, νῦν· κατά σάρκα λυπούμενον, διά τούς πολλούς πόνους τῶν ὑπέρ ἀρετῆς αὐτῷ προσαγομένων πειρασμῶν, ἀεί χαίρειν κατά ψυχήν καί ἥδεσθαι, διά τήν ἐλπίδα τῶν αἰωνίων ἀγαθῶν, κἄν ἔχῃ καταπονουμένην τήν αἴσθησιν· οὐ γάρ ἄξια τά παθήματα τοῦ νῦν καιροῦ, πρός τήν μέλλουσαν δόξαν εἰς ἡμᾶς ἀποκαλύπτεσθαι, φησίν ὁ θεῖος Ἀπόστολος.

Οὕτως οὖν κατ᾽ ἐμέ φάναι, δύναται χαίρειν ἄνθρωπος ἐφ᾽ ᾧ λυπεῖται. Τῇ γάρ ἀρετῇ κατά σάρκα (600) μέν διά τούς πόνους λυπούμενος, ἐν αὐτῇ χαίρει τῇ ἀρετῇ κατά ψυχήν, ὡς παροῦσαν θεώμενος τήν τῶν μελλόντων εὐπρέπειαν· ὑπέρ ἧς κατά τόν μέγαν Δαβίδ, τῇ κατά γνώμην ἀπογενέσει τῆς σαρκός καθ᾽ ἑκάστην ἀποθνήσκει τήν ἡμέραν, ὁ κατά τήν ψυχῆς ἐν πνεύματι γένεσιν ἀεί καινιζόμενος· ἅτε δή καί τήν ἡδονήν ἔχων σωτήριον, καί τήν λύπην ὠφέλιμον. Λύπην γάρ φαμεν οὐ τήν παράλογον καί τῶν πολλῶν, ἐπί στερήσει παθῶν ἤ πραγμάτων ὑλικῶν τήν ψυχήν ἀφανίζουσαν· ὡς τάς ὁρμάς παρά φύσιν ἐφ᾽ ἅ μή δεῖ, καί τάς ἀποφυγάς ἀφ᾽ ὧν μή δεῖ ποιουμένων· ἀλλά τήν λελογισμένην καί τοῖς τά θεῖα σοφοῖς ἐγκριθεῖσαν, καί τό παρόν κακόν ὑποσημαίνουσαν. Παρόν γάρ κακόν, φασίν εἶναι τήν λύπην, συνισταμένην μέν κατά ψυχήν, ὅταν ἡ κατ᾽ αἴσθησιν ἡδονή τῆς λογικῆς κρατῇ διακρίσεως· ὑφισταμένην δέ κατ᾽ αἴσθησιν, ὅταν τῆς ψυχῆς κατ᾽ ἀρετήν ἀκωλύτως ὁ δρόμος ἀνύεται, τοσοῦτον ἐπάγων τῇ αἰσθήσει τούς πόνους, ὅσον ἡδονήν ἐμποιεῖ καί χαράν τῇ ψυχῇ τῷ Θεῷ προσαγομένῃ, διά τῆς συγγενοῦς κατ᾽ ἀρετήν τε καί γνῶσιν ἐλλάμψεως.

ΣΧΟΛΙΑ.

α'. Τήν κατά ψυχήν λύπην φησί.

β'. Τήν κατ᾽ αἴσθησιν ὀδύνην, λύπην νῦν προσηγόρευσε.

γ'. Τήν κατά ψυχήν λύπην τέλος εἶναί φησι τῆς κατ᾽ αἴσθησιν ἡδονῆς· ἐκ γάρ ταύτης συνίσταται λύπη ψυχῆς· ὥσπερ οὖν καί τῆς κατά ψυχήν ἡδονῆς τέλος ἐστίν ἡ κατά σάρκα λύπη· ψυχῆς γάρ εὐφροσύνη, σαρκός γίνεται λύπη.

δ'. Ὁρισμοί λύπης ἐπάλληλοι πρός τήν αἰτίαν, καθ᾽ ἥν γίνεσθαι πέφυκεν, ἀναφέροντες.

ε'. Διττήν τήν λύπην λέγει· τήν μέν περί τήν αἴσθησιν, κατά στέρησιν τῶν σωματικῶν ἡδονῶν συνισταμένην· τήν δέ περί νοῦν, κατά στέρησιν τῶν τῆς ψυχῆς ἀγαθῶν γινομένην. Διττούς δέ λέγει καί τούς πειρασμούς, τούς μέν ἑκουσίους, τούς δέ ἀκουσίους· καί τούς μέν ἑκουσίους, τῆς μέν κατ᾽ αἴσθησιν σωματικῆς ἡδονῆς εἶναι πατέρας· τῆς δέ κατά ψυχήν λύπης εἶναι γεννήτορας. Μόνη γάρ πραχθεῖσα λυπεῖ τήν ψυχήν ἁμαρτία. Τούς δέ ἀκουσίους, οἵτινες ἐν τοῖς παρά γνώμην δείκνυνται πόνοις, τῆς μέν κατά ψυχὴν ἡδονῆς εἶναι πατέρας, τῆς δέ κατ᾽ αἴσθησιν σωματικῆς ὀδύνης εἶναι γεννήτορας.

στ'. Ὁ μέν κατά γνώμην πειρασμός, φησι, τήν μέν κατά ψυχήν λύπην συνίστησι· τήν δέ κατ᾽ αἴσθησιν δημιουργεῖ σαφῶς ἡδονήν· ὁ δέ παρά γνώμην, τήν μέν τῆς ψυχῆς ἡδονήν· τήν δέ τῆς σαρκός λύπην ὑφίστησι.

ζ'. Ὁ μέν Κύριος, φησί, τούς ἑκουσίους ἀπεύχεσθαι ἡμᾶς διδάσκει πειρασμούς· ὡς σαρκός μέν ἡδονῆς, ψυχῆς δέ ποιητικούς ὀδύνης· ὁ δέ μέγας Ἰάκωβος, ἐπί τοῖς ἀκουσίοις ἡμῖν παραινεῖ χαίρειν πειρασμοῖς· ὡς σαρκός μέν ἡδονήν, ψυχῆς δέ ὀδύνην ἀφαιρουμένους.

η'. (601) Τίνα λέγει τέλειον.

θ'. Τίνα λέγει ὁλόκληρον.

ι'. Ὁ λύπης καί ἡδονῆς σαρκός πεῖραν λαβών, λέγοιτ᾽ ἄν δόκιμος, ὡς εὐχερείας καί δυσχερείας τῶν περί σάρκα πραγμάτων πεπειραμένος. Τέλειος δέ, ὁ τήν ἡδονήν τῆς σαρκός, καί τήν ὀδύνην τῇ τοῦ λόγου δυνάμει καταπαλαίσας. Ὁλόκληρος δέ, ὁ τάς κατά τήν πρᾶξιν καί τήν θεωρίαν ἕξεις ἀτρέπτους τῇ περί τόν θεῖον συντονίᾳ διατηρήσας.

ια'. Πάσης λύπης συνισταμένης κατά ψυχήν, ἡδονή σαρκός φησι προηγεῖται.

ιβ'. Ὅτι χωρίς τῆς κατά ψυχήν ἐμπαθοῦς πρός αἴσθησιν σχέσεως, ἐν ἀνθρώποις οὐκ ἔστι παντελῶς ἁμαρτία.

ιγ'. Ὅτι ψυχήν πνευματικῶς εὐφραίνει, φησίν, ὁ τοῖς ἑκουσίοις τήν σάρκα πόνοις δομάζων.

ιδ'. Ὅτι γένεσίς ἐστιν ἀρετῆς, φησίν, ἡ πρός τήν σάρκα τῆς ψυχῆς ἑκούσιος ἀλλοτρίωσις.

ιε'. Ἐπινοητικήν λέγει τήν νοεράν τῆς ψυχῆς δύναμιν· ἥτις χωριζομένη τῆς κατ᾽ αἴσθησιν σχέσεως, ἔρημον τῆς πρός ἡδονήν τήν σάρκα καταλιμπάνει προνοίας κατά τήν ἐν γνώμῃ σχέσιν. Οὐδέ τήν ὀδύνην τῆς σαρκός ἀνεχομένης παραμυθεῖσθαι διά τήν ἐν σχέσει τῆς γνώμης ὁλικήν περί τά θεῖα σχολήν.

ιστ'. Ἡ τῆς ψυχῆς τῶν κατά φύσιν ἀπόθεσίς φησι τῆς κατ᾽ αἴσθησιν ὀδύνης ἀρχή γίνεσθαι πέφυκε. Τῆς γάρ ψυχῆς περί τά κατά φύσιν ἀγαθά πονουμένης, οὐκ ἔστιν ἡ τῶν κατ᾽ αἴσθησιν τῆς ἡδονῆς τρόπων ἐφευρίσκουσα δύναμις.

ιζ'. Ὑπόκειται τῇ μέν αἰσθήσει, τά αἰσθητά· τῷ δέ νῷ, τά νοητά. Πολλή γοῦν διαφορά νοητῶν ἐστι καί αἰσθητῶν.

ιη'. Ὁ νοῦς, φησίν, ἅμα τήν αἴσθησιν οἰκείαν κατά φύσιν ἡγήσεται δύναμιν, ταῖς τῶν αἰσθητῶν ἐπιπλεκόμενος ἐπιφανίαις, ἐπινοεῖ τάς τῆς σαρκός ἡδονάς, οὐ δυνάμενος τῶν ὁρατῶν διαβῆναι τήν φύσιν, τῇ πρός τήν αἴσθησιν ἐμπαθεῖ σχέσει περισχεθείς.

ιθ'. Fr. Ὁ πρός τόν ἑαυτοῦ νόμον, τούς τῶν ὄντων κατά μίμησιν μεταφέρων νόμους, ἐνάρετον λογίζων τῶν ἐστερημένων λόγου τήν κίνησιν. Ὁ δέ τόν ἑαυτοῦ πρός τούς νόμους τῶν ἄλλων κατά μίμησιν μεταβάλλων, ἐμπαθής· πρός ἀλογίαν ἐκφέρων τοῦ λόγου τήν δύναμιν.

κ'. Ὅτι κρατοῦντος ἐν ἡμῖν τοῦ λόγου φησίν, ἐξ ἀνάγκης ἡ πρός ἀρετήν αὐτῶ δουλωθεῖσα βασανίζεται σάρξ.

κα'. Ψυχῆς ἡ σάρξ, ἀλλ᾽ οὐ σαρκός ἡ ψυχή. Τοῦ γάρ κρείττονός φησι τόν ἧττον· ἀλλ᾽ οὐ τοῦ ἥττονος τό κρεῖττον. Οὐκοῦν ἐπειδή τῇ σαρκί διά τήν παράβασιν ἐνεφύρη τῆς ἁμαρτίας ὁ νόμος, ὅπερ ἐστίν ἡ κατ᾽ αἴσθησιν ἡδονή, δι᾽ ἥν διά πόνων κατεκρίθη τῆς σαρκός ὁ θάνατος, εἰς τήν τοῦ νόμου τῆς ἁμαρτίας ἀναίρεσιν ἐπινενοημένος· ὁ διαγνούς ὅτι διά τήν ἁμαρτίαν, εἰς τήν αὐτῆς ἀναίρεσιν ἐπεισῆλθεν ὁ θάνατος, ἀεί χαίρουσαν ἔχει τήν ψυχήν διά πόνων ποικίλων θεωμένην ἀπογινόμενον τῆς οἰκείας σαρκός τόν νόμον τῆς ἁμαρτίας, πρός ὑποδοχήν τῆς μελλούσης ἐν πνεύματι μακαρίας ζωῆς· ἧς ἄλλως οὐκ (604) ἔστι τυχεῖν, μή πρότερον κενωθέντος ὡς ἐξ ἀγγείου τινός τῆς

σαρκός ἐν τῇ παρούσῃ ζωῇ κατά τήν πρός αὐτήν σχέσιν τῆς γνώμης τοῦ νόμου τῆς ἁμαρτίας.

κβ'. Ἡδονήν λέγει σωτήριον, τήν ἐπ᾽ ἀρετῇ χαράν τῆς ψυχῆς ὠμέλιμον δέ λύπην, τήν ὑπέρ ἀρετῆς ὀδύνην τῆς σαρκός.

κγ'. Ὁ πάθεσι προστετηκώς καί πράγμασιν, ἐφ᾽ ἅ μή δεῖ τάς ὁρμάς ποιεῖται.

κδ'. Ὁ τάς ποιητικάς τῶν παθῶν καί τῶν πραγμάτων στερήσεως συμβάσεις οὐκ ἀσπαζόμενος, ἀφ᾽ ὧν μή δεῖ τάς ἀποφυγάς ποιεῖται.

*ΕΡΩΤΗΣΙΣ ΝΘ'.*

***Περί ἧς σωτηρίας ἐξεζήτησαν καί ἐξηρεύνησαν προφῆται οἱ περί τῆς εἰς ὑμᾶς [Fr.ἡμᾶς] χάριτος προφητεύσαντες, ἐρευνῶντες εἰς τίνα ἤ πόσον καιρόν ἀδήλου τό ἐν αὐτοῖς Πνεῦμα Χριστοῦ· μαρτυρούμενον [Fr. μαρτυρόμενον] τά εἰς Χριστόν παθήματα, καί τάς μετά ταῦτα δόξας· ἐάν αὐτοί οἱ μακάριοι προφῆται ἅπερ ἐκ Πνεύματος ἁγίου ἐνηχήθησαν, ἡμῖν ἐγγράφως κατέλιπον ἐκζητεῖν καί ἐρευνῆσαι· πῶς αὐτοί ἐκ Πνεύματος ἁγίου ἐνηχούμενοι, καί τά ἀποκαλυπτόμενα αὐτοῖς συγγράφοντες, ποίαν ἐκζήτησιν καί ἐξερεύνησιν ἐξεζήτουν ἤ ἐξηρεύνων.***

Ἀπόκρισις.

Τάς μέν ἐκζητικάς [Fr. ζητητικάς τε καί ἐρευνητικάς] τε καί ἐξερευνητικάς τῶν θείων δυνάμεις οὐσιωδῶς ἔχει καταβεβλημένας αὐτῇ παρά τοῦ κτίσαντος, κατ᾽ αὐτήν τήν εἰς τό εἶναι πάροδον, ἡ τῶν ἀνθρώπων φύσις· τάς δέ τῶν θείων ἀποκαλύψεις, κατά χάριν ἡ τοῦ παναγίου Πνεύματος ἐπιφοιτῶσα ποιεῖται δύναμις· Ἐπειδή δέ καταρχάς διά τῆς ἁμαρτίας τῇ φύσει τῶν ὁρατῶν ταύτας ὁ πονηρός προσήλωκε τάς δυνάμεις· καί οὐκ ἦν ὁ συνιών ἤ ἐκζητῶν τόν Θεόν, πάντων τῶν μετειληφότων τῆς φύσεως τήν νοεράν τε καί λογικήν δύναμιν ἐχόντων περιγεγραμμένην τῇ ἐπιφανείᾳ τῶν αἰσθητῶν, καί μηδεμίαν κεκτημένων ἔννοιαν τῶν ὑπέρ αἴσθησιν· εἰκότως ἡ τοῦ παναγίου Πνεύματος χάρις τοῖς μή κατά πρόθεσιν ἐνδιαθέτως ὑπό τήν ἀπάτην γενομένοις, τῶν ὑλικῶν ἀφηλώσασα τήν προσηλωμένην ἀπεκατέστησε δύναμιν· ἥν καθαράν ἀπολαβόντες διά τῆς χάριτος, πρῶτον ἐζήτησαν καί ἠρεύνησαν, καί οὕτως ἐξεζήτησαν καί ἐξηρεύνησαν· διά τῆς αὐτῆς δηλαδή τοῦ Πνεύματος χάριτος.

Οὐ γάρ θέμις εἰπεῖν, ὡς μόνη καθ᾽ ἑκάστην ἡ χάρις ἐνήργει τοῖς ἁγίοις τάς γνώσεις τῶν μυστηρίων, χωρίς τῶν τῆς γνώσεως δεκτικῶν κατά φύσιν δυνάμεων. Ἐπεί μή συνιέντας εἰσάγομεν τούς ἁγίους Προφήτας τῶν δοθέντων αὐτοῖς ὑπό τοῦ παναγίου Πνεύματος φωτισμῶν τήν δύναμιν· καί πῶς ἀληθής ὁ φάσκων ἐστί λόγος, Ὅτι ὁ σοφός νοήσει τά ἀπό τοῦ ἰδίου στόματος. Οὔτε μήν δίχα τῆς τοῦ παναγίου Πνεύματος χάριτος, μόνη τῇ κατά φύσιν δυνάμει ζητήσαντες τήν ἀληθῆ τῶν ὄντων ἀπειλήφασιν γνῶσιν· ἐπειδή περιττή δειχθήσεται τοῖς ἁγίοις ἡ τοῦ Πνεύματος ἐπιφοίτησις, κατά μηδέν αὐτοῖς (605) συνεργοῦσα πρός τήν τῆς ἀληθείας φανέρωσιν. Καί πῶς ἀληθής ὁ φάσκων ἔσται λόγος, Ὅτι πᾶσα δόσις ἀγαθή, καί πᾶν δώρημα τέλειον, ἄνωθέν ἐστι, καταβαῖνον ἀπό τοῦ Πατρός τῶν φώτων· καί τό, Ἑκάστῳ δέδοται ἡ φανέρωσις τοῦ Πνεύματος πρός τό συμφέρον· ᾧ μέν γάρ φησί, διά τοῦ Πνεύματος δόδοται λόγος σοφίας· ἄλλῳ δέ λόγος γνώσεως κατά τό αὐτό πνεῦμα· ἑτέρῳ δέ, πίστις ἐν τῷ αὐτῷ Πνεύματι· ἄλλῳ δέ, χαρίσματα ἰαμάτων, καί τά ἑξῆς. Οἷς ἐπάγει, Πάντα δέ ἐνεργεῖ τόν ἕν καί τό αὐτό Πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ καθώς βούλεται. Βούλεται δέ τό ἑκάστῳ δηλονότι συμφέρον, εἰς πληροφορίαν τῆς ἀπαθοῦς τῶν ἐπιζητούντων τά θεῖα ἐφέσεως. Ὁ γάρ ἀπαθῶς τά θεῖα ζητῶν, πάντως λήψεται τό ζητούμενον. Ὁ δέ μετά τινος πάθους αἰτῶν, ὡς κακῶς ζητῶν, ἀποτεύξεται τοῦ ζητουμένου. Φησί γάρ· Αἰτεῖσθε, καί οὐ λαμβάνετε, διότι κακῶς αἰτεῖσθε.

Οὐκοῦν οὔτε ἡ χάρις τοῦ ἁγίου Πνεύματος ἐνεργεῖ σοφίαν ἐν τοῖς ἁγίοις, χωρίς τοῦ ταύτην δεχομένου νοός· οὔτε γνῶσιν, χωρίς τῆς δεκτικῆς τοῦ λόγου δυνάμεως· οὔτε πίστιν, ἄνευ τῆς κατά νοῦν καί λόγον τῶν μελλόντων καί πᾶσι τέως ἀδήλων πληροφορίας· οὔτε ἰαμάτων χαρίσματα, δίχα τῆς κατά φύσιν φιλανθρωπίας· οὔτε τι ἕτερον τῶν λοιπῶν χαρισμάτων, χωρίς τῆς ἑκάστου δεκτικῆς ἕξεώς τε καί δυνάμεως· οὔτε μήν πάλιν ἕν τῶν ἀπηριθμημένων ἄνθρωπος κτήσεται κατά δύναμιν φυσικήν, δίχα τῆς χορηγούσης ταῦτα θείας δυνάμεως.

Καί δηλοῦσι τοῦτο σαφῶς πάντες οἱ ἅγιοι, μετά τάς ἀποκαλύψεις τῶν θείων ζητοῦντες τῶν ἀποκαλυφθέντων τούς λόγους. Ἀβραάμ γάρ λαβών τήν ἐπαγγελίαν τῆς κληρονομίας τῆς δειχθείσης αὐτῷ γῆς, φάσκοντος πρός αὐτόν τοῦ Θεοῦ· Ἐγώ ὁ Θεός, ὁ ἐξαγαγών σε ἐκ χώρας Χαλδαίων, ὥστε δοῦναί σοι τήν γῆν ταύτην κληρονομῆσαι αὐτήν οὐκ ἠρκέσθη λαβών ὅπερ ἐκζητῶν ἐξῆλθεν ἐκ γῆς Χαλδαίων·

ἀλλ᾽ ἠρεύνησε μαθεῖν ποθῶν καί τόν τρόπον τῆς κληρονομίας, λέγων πρός τόν Θεόν· Δέσποτα Κύριε, κατά τί γνώσομαι ὅτι κληρονομήσω αὐτήν; Καί Μωϋσῆς λαβών τῶν σημείων καί τῶν τεράτων τήν δύναμιν, ἐζήτει καί τούς τρόπους διδαχθῆναι καί τούς λόγους, καθ᾽ οὕς ἔδει τῶν δοθέντων σημείων ἀποδειχθῆναι τήν πίστωσιν. Καί ἔθετο ἐν αὐτοῖς, φησίν ὁ μέγας Δαβίδ, τούς λόγους τῶν σημείων αὐτοῦ, καί τῶν τεράτων αὐτοῦ, ἐν γῇ Χάμ. Καί πάλιν αὐτός περί ἑαυτοῦ φησι πρός τόν Θεόν βοῶν ὁ μέγας Δαβίδ· Ἀποκάλυψον τούς ὀφθαλμούς μου, καί κατανοήσω τά θαυμάσιά σου ἐκ τοῦ νόμου σου. Καί· Λύχνος τοῖς ποσί μου ὁ νόμος σου, καί φῶς ταῖς τρίβοις μου. Καί Δανιήλ ὁ μέγας ἀνήρ τῶν ἐπιθυμιῶν, τῶν θείων ὁράσεων, ὑπέρ ὧν τρεῖς ἑβδομάδας ἡμερῶν ἐτέλεσεν ἄσιτος, τούς λόγους ἐκζητῶν, ἀκούει ἀγγέλου πρός Ἄγγελον [Al. πρός ἄλλον ἄγγελον] λέγοντος, (608) Συνέτισον ἐκεῖνον τήν ὅρασιν· Καί Ζαχαρίας ὁ μέγας Προφήτης, δι᾽ ὅλης τῆς αὐτοῦ προφητείας, καθ᾽ ἑκάστην ὅρασιν τόν ἐν αὐτῷ λαλοῦντα ἄγγελον εἰσάγει, δεικνύοντά τε τάς ὁράσεις, καί διδάσκοντα τούς τῶν ὁράσεων λόγους, φάσκων· Καί ἔδειξέ μοι ὁ ἄγγελος ὁ λαλῶν ἐν ἐμοί· καί εἶπα τῷ ἀγγέλῳ τῷ λαλοῦντι ἐν ἐμοί, Κύριε, τί ἐστι ταῦτα;

Καί δῆλον ἐντεῦθεν, ὅτι πάντες οἱ ἅγιοι καί ἐδέχοντο ὑπό τοῦ Πνεύματος ἀποκαλύψεις, καί ἐζήτουν ἀποκαλυφθῆναι τῶν ἀποκαλυφθέντων τούς λόγους· καί ὅτι τοῦ Πνεύματος ἡ χάρις οὐδαμῶς τῆς φύσεως καταργεῖ τήν δύναμιν, ἀλλά μᾶλλον καταργηθεῖσαν τῇ χρήσει τῶν παρά φύσιν τρόπων, ἐνεργόν ἐποίει πάλιν τῇ χρήσει τῶν κατά φύσιν, πρός τήν τῶν θείων κατανόησιν εἰσάγουσα.

Ζητεῖ γάρ ἐν ἡμῖν τήν τῶν ὄντων γνῶσιν τό Πνεῦμα τό ἅγιον, καί ἐρευνᾷ· ἀλλ᾽ οὐχ ἑαυτῷ ζητεῖ τό ζητούμενον· ὅτι Θεός, καί πάσης ἐπέκεινα γνώσεως· ἀλλ᾽ ἡμῖν τοῖς δεομένοις τῆς γνώσεως. Ὥσπερ ἀμέλει καί ὁ Λόγος γίνεται σάρξ· οὐχ ἑαυτῷ, ἀλλ᾽ ἡμῖν τό διά τῆς σαρκώσεως ἐξανύων μυστήριον. Ὡς γάρ χωρίς σαρκός νοερῶς ἐμψυχωμένης οὐκ ἐνήργει θεοπρεπῶς τά κατά φύσιν τῆς σαρκός ὁ Λόγος· οὕτως οὐδέ τό Πνεῦμα τό ἅγιον ἐν τοῖς ἁγίοις ἐνεργεῖ τάς γνώσεις τῶν μυστηρίων χωρίς τῆς κατά φύσιν ζητούσης τε καί ἐρευνώσης τήν γνῶσιν δυνάμεως. Εἴτε οὖν ἐζήτουν ἤ ἐξεζήτουν, εἴτε ἠρεύνων ἤ ἐξηρεύνων οἱ ἅγιοι, τήν χάριν εἶχον τοῦ Πνεύματος κινοῦσαν αὐτῶν τήν νοεράν καί λογικήν δύναμιν πρός ζήτησιν καί ἔρευναν τῆς τῶν ψυχῶν σωτηρίας· καί χωρίς τοῦ Πνεύματος οὐδέν

παντελῶς ἐθεώρουν πνευματικόν· ὅτι μηδέ πέφυκεν ὁ ἀνθρώπινος νοῦς ἄνευ θείου φωτός τῶν θείων καί νοητῶν ἀντιλαμβάνεσθαι.

Ὡς γάρ οὐκ ἔστι χωρίς ἡλιακοῦ φωτός ὀφθαλμόν ἀντιλαμβάνεσθαι τῶν αἰσθητῶν· οὕτω δίχα πνευματικοῦ φωτός, νοῦς ἀνθρώπινος οὔποτ᾽ ἄν δέξαιτο θεωρίαν πνευματικήν. Τό μέν γάρ, φωτίζει κατά φύσιν τήν αἴσθησιν πρός τήν τῶν σωμάτων ἀντίληψιν· τό δέ, τήν πρός θεωρίαν τόν νοῦν καταυγάζει πρός κατανόησιν τῶν ὑπέρ αἴσθησιν. Σωτηρία δέ τῶν ψυχῶν κυρίως ἐστί τό τέλος τῆς πίστεως. Τέλος δέ πίστεώς ἐστιν, ἡ τοῦ πιστευθέντος ἀληθής ἀποκάλυψις. Ἀληθής δέ τοῦ πιστευθέντος ἐστιν ἀποκάλυψις, ἡ κατά ἀναλογίαν τῆς ἐν ἑκάστῳ πίστεως ἄῤῥητος τοῦ πεπιστευμένου περιχώρησις. Περιχώρησις δέ τοῦ πεπιστευμένου καθέστηκεν, ἡ πρός τήν οἰκείαν [Reg. Et. Fr. non habent οἰκείαν] ἀρχήν κατά τό τέλος τῶν πεπιστευκότων ἐπάνοδος. Ἡ δέ πρός τήν οἰκείαν ἀρχήν κατά τό τέλος τῶν πεπιστευκότων ἐπάνοδός ἐστιν, ἡ τῆς ἐφέσεως πλήρωσις. Ἐφέσεως δέ πλήρωσίς ἐστιν, ἡ περί τό ἐφετόν τῶν ἐφιεμένων ἀεικίνητος στάσις. Ἀεικίνητος δέ στάσις περί τό ἐφετόν τῶν ἐφιεμένων ἐστίν, ἡ τοῦ ἐφετοῦ διηνεκής καί ἀδιάστατος ἀπόλαυσις, ἀπόλαυσις δέ διηνεκής καί ἀδιάστατος τοῦ ἐφετοῦ, ἡ τῶν ὑπέρ φύσιν θείων καθέστηκε μέθεξις. Μέθεξις δέ τῶν ὑπέρ φύσιν θείων ἐστίν ἡ πρός τό μετεχόμενον τῶν μετεχόντων ὁμοίωσις. (609) Ἡ δέ πρός τό μετεχόμενον τῶν μετεχόντων ὁμοίωσίς ἐστιν, ἡ κατ᾽ ἐνέργειαν πρός αὐτό τό μετεχόμενον τῶν μετεχόντων δι᾽ ὁμοιότητος ἐνδεχομένη ταυτότης. Ἡ δέ τῶν μετεχόντων ἐνδεχομένη κατ᾽ ἐνέργειαν δι᾽ ὁμοιότητος πρός τό μετεχόμενον ταυτότης ἐστίν, ἡ θέωσις τῶν ἀξιουμένων θεώσεως· ἡ δέ θέωσίς ἐστι, καθ᾽ ὑπογραφῆς λόγον πάντων τῶν χρόνων καί τῶν αἰώνων, καί τῶν ἐν χρόνῳ καί αἰῶνι περιοχή καί πέρας. Περιοχή δέ καί πέρας τῶν χρόνων καί τῶν αἰώνων ἐστί, καί πάντων τῶν ἐν αὐτοῖς, ἡ τῆς ἀκραιφνοῦς καί κυρίως ἀρχῆς, πρός τό κυρίως τέλος καί ἀκραιφνές ἐν τοῖς σωζομένοις ἀδιάστατος ἑνότης· ἀδιάστατος δέ τῆς ἀκραιφνοῦς τε καί ἀρχῆς καί τέλους ἑνότης ἐν τοῖς σωζομένοις ἐστίν, ἡ κρείττων τῶν οὐσιωδῶς ἀρχῇ τε καί τέλει μεμετρημένων τῶν κατά φύσιν ἔκβασις. Ἔκβασι δέ τῶν κατά φύσιν τῶν κατ᾽ ἀρχήν τε καί τέλος περιγεγραμμένων ἐστίν, ἡ ἄμεσος καί ἄπειρος, καί ἐπ᾽ ἄπειρον ἐν τοῖς ἀξιωθεῖσι τῆς κατά τό κρεῖττον νοουμένης τῶν κατά φύσιν ἐκβάσεως, ἐνέργεια τοῦ Θεοῦ πανσθενής καί ὑπερδύναμος. Ἄμεσος δέ καί ἄπειρος καί ἐπ᾽ ἄπειρον ἐνέργεια τοῦ Θεοῦ πανσθενής ἐστι καί ὑπερδύναμος, ἡ κατά τήν

ἄφθεγκτον καί ὑπέρ νόησιν ἕνωσιν, ἄῤῥητός τε καί ὑπεῤῥάρητος ἡδονή καί χαρά τῶν ἐνεργουμένων· ἧς οὐκ ἔστι νοῦν ἤ λόγον παντάπασιν, ἤ νόησιν ἤ ῥῆσιν ἐν τῇ φύσει τῶν ὄντων εὑρεῖν.

Οὐκ ἔχει γάρ ἡ φύσις τῶν ὑπέρ φύσιν τούς λόγους· ὥσπερ οὐδέ τῶν παρά φύσιν τούς νόμους. Ὑπέρ φύσιν δέ λέγω, τήν θείαν καί ἀνεννόητον ἡδονήν, ἥν ποιεῖν πέφυκεν ὁ Θεός φύσει, κατά τήν χάριν τοῖς ἀξίοις ἑνούμενος· παρά φύσιν δέ, τήν κατά στέρησιν ταύτης συνισταμένην ἀνεκλάλητον ὀδύνην· ἥν ποιεῖν εἴωθεν ὁ Θεός φύσει, παρά τήν χάριν τοῖς ἀναξίοις ἑνούμενος· κατά γάρ τήν ὑποκειμένην ἑκάστῳ ποιότητα τῆς διαθέσεως ὁ Θεός τοῖς πᾶσιν ἑνούμενος, ὡς οἶδεν αὐτός, τήν αἴσθησιν ἑκάστῳ παρέχεται, καθώς ἐστιν ἕκαστος ὑφ᾽ ἑαυτοῦ διαπεπλασμένος πρός ὑποδοχήν τοῦ πάντως πᾶσιν ἑνωθησομένου κατά τό πέρας τῶν αἰώνων.

Σωτηρίαν δέ ψυχῶν, ὡς οἶμαι, τυχόν ὁ τῶν ἀποστόλων ἀκρότατος ἔφη Πέτρος, ὡς πίστεως τέλος, τῶν ὑπέρ φύσιν τήν μέθεξιν. Περί ἧς σωτηρίας, διά Πνεύματος ἁγίου δηλαδή σαφῶς, ἐξεζήτησαν προφῆται, καί ἐξηρεύνησαν, εἰς τίνα ἤ ποῖον καιρόν ἐδήλου τό ἐν αὐτοῖς Πνεῦμα Χριστοῦ, προμαρτυρούμενον [Seg. Fr. μαρτυρόμενον] τά εἰς Χριστόν παθήματα, καί τάς μετά ταῦτα δόξας. Οὐκοῦν τούς ἐκζητοῦντας ἐν Πνεύματι τήν τῶν ψυχῶν σωτηρίαν, καί ἐξερευνῶντας τούς ταύτης πνευματικούς τῆς σωτηρίας λόγους τε καί τρόπους, ὁδηγεῖ πρός κατανόησιν τό Πνεῦμα τό ἅγιον· οὐκ ἐῶν ἀκίνητον ἐν αὐτοῖς μένειν καί ἀνενέργητον, τήν δι᾽ ἧς ἐκζητεῖν τά θεῖα πεφύκασι δύναμιν.

Πρῶτον μέν αὐτούς διδάσκον ζητῆσαι τήν κατά (612) τήν ἁμαρτίαν τῆς προαιρέσεως, ἤ τήν κατά τήν προαίρεσιν τῆς ἁμαρτίας νέκρωσιν· καί τήν κατά τήν ἀρετήν τῆς προαιρέσεως, ἤ τήν κατά τήν προαίρεσιν τῆς ἀρετῆς ἀναβίωσιν· ἐρευνῆσαι δέ, τῆς κατά τήν ἁμαρτίαν τῆς προαιρέσεως, ἤ τῆς κατά τήν προαίρεσιν τῆς ἁμαρτίας νεκρώσεως τούς τρόπους· ὡσαύτως δέ καί τῆς κατά τήν ἀρετήν τῆς προαιρέσεως, ἤ τῆς ἀρετῆς κατά τήν προαίρεσιν ἀναστάσεως τούς λόγους· δι᾽ ὧν τρόπων τέ φημι καί λόγων, ἡ κατά τήν προαίρεσιν τῆς ἁμαρτίας, ἤ ἡ κατά τήν ἁμαρτίαν τῆς προαιρέσεως νέκρωσις· καί ἡ κατά τήν προαίρεσιν τῆς ἀρετῆς, ἤ τῆς προαιρέσεως κατά τήν ἀρετήν ἀνάστασις πέφυκε γίνεσθαι· ἔχουσα προδήλως κατά τόν αἰῶνα τοῦτον (ὅν καιρόν προσηγόρευσεν ὁ λόγος) τά εἰς Χριστόν, ἤτοι ὑπέρ Χριστοῦ περί φύσιν παθήματα· ἅπερ αὐτοῖς προεμαρτύρετο τό Πνεῦμα τό ἅγιον· ἵνα γένωνται σύμφυτοι τῷ ὁμοιώματι τοῦ θανάτου τοῦ Χριστοῦ

κατά τήν νέκρωσιν τῆς ἁμαρτίας, καί τῆς ἀναστάσεως κατά τήν ἐνέργειαν τῆς ἀρετῆς.

Δεῖ γάρ ὡς ἀληθῶς τόν σωθησόμενον, μή μόνον τῇ προαιρέσει νεκρῶσαι τήν ἁμαρτίαν, ἀλλά καί αὐτήν τήν προαίρεσιν τῇ ἁμαρτίᾳ· καί μή μόνον ἀναστῆσαι τῇ ἀρετῇ τήν προαίρεσιν, ἀλλά καί αὐτήν [al. αὐτῇ] τῇ προαιρέσει τήν ἀρετήν· ἵνα νεκρά νεκρᾶς ὅλη ὅλης διαιρεθεῖσα τῆς ἁμαρτίας, μή αἰσθάνηται· καί ζῶσα ζώσης ὅλη ὅλης τῆς ἀρετῆς ἐπαισθάνηται καθ᾽ ἕνωσιν ἀδιάσπαστον [al. ἀδιάστατον], ἡ προαίρεσις.

Ταῦτα μέν τυχόν πρῶτον ζητήσαντες, καί ἐρευνήσαντες οἱ ἅγιοι διά τοῦ Πνεύματος ἁγίου, τήν πρακτικήν κατώρθωσαν φιλοσοφίαν· μεθ᾽ ἥν οἷα δή καθαροί γεγονότες, καί παντός ἐλεύθεροι μολυσμοῦ, πρός τό τέλος τῶν ὄντων ὑπό τοῦ αὐτοῦ Πνεύματος τό νοερόν ἐκίνησαν ὄμμα τῆς ψυχῆς· ἐκζητοῦντες μετά τήν προαιρετικήν ἀνάστασιν, καί τήν τῆς φύσεως ἀφθαρσίαν· καί ἐξερευνῶντες τούς τε τρόπους καί τούς λόγους τῆς κατ᾽ αὐτήν θεοπρεποῦς ἀθανασίας. Οὐ γάρ ἐζήτουν ἔτι τήν ἀνάστασιν τῆς προαιρέσεως, ἥν ἤδη κατά τήν πρακτικήν λαβόντες εἶχον παρά τοῦ Πνεύματος· οὐδέ τούς κατ᾽ αὐτήν ἠρεύνων τρόπους· ἀλλ᾽ ἥν οὐκ εἶχον τῆς φύσεως ἐξεζήτουν ἀφθαρσίαν· καί τούς τρόπους καί τούς λόγους τῆς κατ᾽ αὐτήν ἐξηρεύνων θεώσεως· πρός ἥν ἠπείγοντο, τῆς κατ᾽ αὐτήν ἐν Χριστῷ δόξης ἐπιθυμοῦντες· ἵνα ὥσπερ συνέπαθον αὐτῷ κατά τόν αἰῶνα τοῦτον· ὅν, ὡς ἔφην, καιρόν ὠνόμασεν ὁ Λόγος· οὕτω καί συνδοξασθῶσι κατά τόν αἰῶνα τόν μέλλοντα, κληρονόμοι μέν ὑπέρ φύσιν Θεοῦ, κατά τήν χάριν, συγκληρονόμοι δέ Χριστοῦ κατ᾽ οἰκονομίαν, τῇ δυνάμει τῆς ἐνανθρωπήσεως, τήν ὅλην οἰκειουμένου φύσιν, γινόμενοι.

Θεός γάρ ὑπάρχων φύσει καί ἄνθρωπος ὁ Χριστός, ὑφ᾽ ἡμῶν ὡς Θεός ὑπέρ φύσιν χάριτι κληρονομεῖται, κατά τήν ἄῤῥητον μέθεξιν· καί δι᾽ ἡμᾶς ἐν εἴδει τῷ καθ᾽ ἡμᾶς ὡς ἄνθρωπος ἡμᾶς οἰκειούμενος, ἑαυτόν κληρονομεῖ σύν ἡμῖν, κατά τήν ἀνεννόητον συγκατάβασιν· ὅν τῷ Πνεύματι μυστικῶς οἱ ἅγιοι προθεωρήσαντες, ἐδιδάχθησαν ὡς χρή τῆς κατά τό (613) μέλλον φανησομένης διά τήν ἀρετήν ἐν Χριστῷ δόξης, τά εἰς αὐτόν ὑπέρ ἀρετῆς κατά τό παρόν προκαθηγεῖσθαι παθήματα. Ἐρευνῶντες γάρ, φησίν· Εἰς τίνα ἤ ποῖον καιρόν ἐδήλου, τό ἐν αὐτοῖς Πνεῦμα Χριστοῦ, προμαρτυρούμενον [Fr.

προμαρτυρόμενον] τά εἰς Χριστόν παθήματα, καί τάς μετά ταῦτα δόξας.

Οὐκοῦν καί ἐξεζήτουν καί ἐξηρεύνων, οὐ μόνον τήν ἀφθαρσίαν τῆς φύσεως, καί τούς λόγους τῆς κατ᾽ αὐτήν ἐκθεώσεως, ἀλλά δή καί τόν καιρόν, καθ᾽ ὅν ἡ διά παθημάτων ὑπέρ αὐτῆς δοκιμασία γενήσεται· φανεράν ποιουμένη τῶν τε κατά ἀλήθειαν αὐτῆς ἐφιεμένων τήνδιάθεσιν [Marg. κατά χάριν θεώσεως δηλονότι], καί τῶν καθ᾽ ὑπόκρισιν αὐτῆς ἐφιεμένων τήν πρόθεσιν. Καί τόν ἄλλον καιρόν ἤγουν αἰῶνα, καθ᾽ ὅν παροῦσα φανήσεται κατ᾽ ἐνέργειαν [Marg. ἡ κατά χάριν θέωσις δηλονότι]. Πάντας ἀναλόγως καθ᾽ ὅ ἕκαστός ἐστιν αὐτῆς δεκτικός μεταποιοῦσα πρός τήν θείαν ὁμοίωσιν· ἥν δόξαν τυχόν τοῖς ὑπέρ ἀρετῆς μεθεπομένην πόνοις προσεῖπεν ὁ λόγος.

Ταῦτα μέν ἐρεῖ τις ἀπολογούμενος πρός τόν λέγοντα, τί δή ποτε μή ζήτησιν καί ἐρεύνησιν· ἀλλ᾽ ἐκζήτησιν ἐνταῦθα καί ἐξερεύνησιν εἶπεν ἡ Γραφή· κατά τόν πρόχειρον νοῦν ἐμφαντικῶς προδεικνύμενος. Ἐγώ δέ καί ἄλλον οἶδα παρά τινος σοφοῦ λόγον ἀκούσας· ἔλεγε γάρ ἐκεῖνος, μυστικώτερον τόν περί τῆς ἀρχῆς και τοῦ τέλους τῆς τε ζητήσεως καί ἐκζητήσεως λόγον ποιούμενος· πρός μέν τήν ἀρχήν τετάχθαι φυσικῶς τήν ζήτησιν, πρός δέ τό τέλος τήν ἐκζήτησιν. Οὐ γάρ τις φυσικῶς ἐκζητεῖ τήν ἀρχήν, ὥσπερ οὐδέ ζητεῖ φυσικῶς τό τέλος· ἀλλά τήν μέν ἀρχήν ζητεῖ, τό δέ τέλος ἐκζητεῖ. Ἀφ᾽ οὗ γάρ, ἔφασκεν, ἅμα τῷ εἶναι διά τῆς παρακοῆς τήν οἰκείαν ἀρχήν ὀπίσω ποιήσας ὁ ἄνθρωπος, ζητεῖν οὐκ ἠδύνατο τό κατόπιν αὐτοῦ γεγενημένον· καί ἐπειδή φυσικῶς ἡ ἀρχή περιγράφει τῶν ὑπ᾽ αὐτῆς γεγενημένων τήν κίνησιν, εἰκότως προσηγρεύθη καί τέλος, εἰς ὅπερ ὡς αἰτίαν τῆς τῶν κινουμένων κινήσεως δέχεται πέρας ὁ δρόμος.

Ἐκζητῶν οὖν τό ἑαυτοῦ τέλος ὁ ἄνθρωπος, εἰς τήν ἀρχήν καταντᾷ, φυσικῶς ἐν τῷ τέλει τυγχάνουσαν· ἧς ἀπολιπών τήν ζήτησιν, τήν αὐτῆς ὡς τέλους φύσει μετῆλθεν ἐκζήτησιν. Οὐ γάρ ἦν αὐτῆς διαφυγεῖν τήν περιγραφήν, πανταχόθεν αὐτόν περιϊσταμένην, καί τήν αὐτοῦ περιορίζουσαν κίνησιν. Οὐκ ἦν οὖν ζητῆσαι τήν ἀρχήν, ὡς ἔφην, ὀπίσω γεγενημένην· ἀλλ᾽ ἐκζητῆσαι τό τέλος ἔμπροσθεν ὑπάρχον· ἵνα γνῷ διά τοῦ τέλους τήν ἀπολειφθεῖσαν ἀρχήν, ἐπειδή μή ἔγνω τό τέλος ἐκ τῆς ἀρχῆς.

Καί τοῦτο τυχόν ὁ σοφός μυσταγωγῶν Σολομῶν, φησί· Τί τό γεγενημένον· αὐτό τό γενησόμενον. (616) Καί, Τί τό πεποιημένον· αὐτό τό ποιηθησόμενον· ὡσανεί σοφῶς [Fr. ὡς ἀεί σοφῶς] τήν ἀρχήν

ἐκ τοῦ τέλους δεικνύς. Οὐκ ἔτι γάρ μετά τήν παράβασιν δείκνυται τό τέλος ἐκ τῆς ἀρχῆς, ἀλλ᾽ ἡ ἀρχή ἐκ τοῦ τέλους· οὐδέ ζητεῖ τις τούς τῆς ἀρχῆς λόγους, ἀλλ᾽ ἐκζητεῖ τούς πρός τό τέλος τούς κινουμένους [Mrg. λόγοις δηλονότι] ἀπάγοντας.

Εἰ δέ τις ὅτι πολλαχοῦ τῆς Γραφῆς ἡ ζήτησις εἴρηται, ὡς τό· Ζήτησον εἰρήνην καί δίωξον αὐτήν· καί, Ζητεῖτε πρῶτον τήν βασιλείαν τοῦ Θεοῦ, καί τήν δικαιοσύνην αὐτοῦ· βεβαίαν οὐχ ἡγεῖται ταύτην τήν ἔννοιαν, αὐτόθεν ἔχει νουνεχῶς ἐπισκήπτων τῶν λεχθέντων τήν πίστωσιν· εἰπών γάρ ὁ Λόγος· Ζήτησον εἰρήνην καί δίωξον αὐτήν, ἐν τῷ τέλει τήν ἀρχήν διῶξαι παρηγγύησε. Καί τήν βασιλείαν ἀρχήν οὖσαν, διά τῆς δικαιοσύνης ὡς τέλους τῆς βασιλείας ἐκζητῆσαι παρεκελεύσατο. Βασιλεία γάρ Θεοῦ, πρό πάσης ἐστί δικαιοσύνης· μᾶλλον δέ κυριώτερον εἰπεῖν, αὐτοδικαιοσύνη· πρός ἥν ὡς τέλος ἐπείγεται πᾶσα σπουδαίου κίνησις. Ἡ γάρ δικαιοσύνη ἐστίν ἡ τοῦ ἴσου κατ᾽ ἀξίαν ἑκάστῳ διανέμησις· βασιλεία δέ, ἔννομός ἐστιν ἐπιστασία. Ἄρα ταυτόν τῇ βασιλείᾳ ἡ δικαιοσύνη· δι᾽ ἧς ὡς τέλους ὁδεύειν τοῖς βουλομένοις ἐστίν εὐμαρές, ὡς πρός ἀρχήν τήν βασιλείαν. Δικαιοσύνη γάρ ἐστί, βασιλεία ἐνεργουμένη· καί βασιλεία δικαιοσύνη ἐστί δι᾽ ἔργων κεκυρωμένη· τό γάρ ἐννόμως ἐπιστατεῖν τοῖς οὖσι, διανέμειν ἐστίν ἑκάστῳ τά πρός ἀξίαν· καί τό διανέμειν ἑκάστῳ τά πρός ἀξίαν, ἔννομός ἐστι τῶν ὄντων ἐπιστασία. Οὐκοῦν οὐδέν τῆς κατά νοῦν τῆς ἁγίας Γραφῆς ὁμαλότητος, ἡ κατά τήν λέξιν διαφορά παρεσάλευσε, παρά τοῖς σοφοῖς δηλαδή τῶν θείων νοήμοσιν.

Εἰ δέ καθ᾽ ἕτερον βούλοιτό τις ἐκδέχεσθαι τρόπον τήν τε ζήτησιν καί ἐρεύνησιν, καί τήν ἐκζήτησιν καί τήν ἐξερεύνησιν· εὑρήσει τήν μέν ζήτησιν καί τήν ἐκζήτησιν περί τόν νοῦν κινουμένας· τήν δέ ἐρεύνησιν καί τήν ἐξερεύνησιν περί τόν λόγον. Ζητεῖ γάρ φυσικῶς ὁ νοῦς, ἐρευνᾷ δέ κατά φύσιν ὁ λόγος. Ζήτησις γάρ ἐστιν, ἵν᾽ ὡς ἐν ὅρῳ περιλαβών εἴπω, ἁπλῆ τοῦ νοός πρός τι γνωστόν μετ᾽ ἐφέσεως κίνησις· ἐρεύνησις δέ ἐστιν ἁπλῆ τοῦ λόγου περί τι γνωστόν μετά τινος ἐννοίας διάκρισις. Ἐκζήτησις δέ ἐστιν ἡ κατ᾽ ἐπιστήμην τοῦ νοός γνωστική πρός τι γνωστόν μετα ποιᾶς, ἤγουν τοιᾶσδε ἐφέσεως κίνησις· ἐξερεύνησις δέ ἐστιν, ἡ τοῦ λόγου κατ᾽ ἐνέργειαν περί τι γνωστόν μετά ποιᾶς, ἤγουν τοιᾶσδε ἐννοίας διάκρισις· οὕς τινας ὅρους ἐπί τά θεῖα μεταφέροντες, φαμέν, ὅτι ζήτησίς ἐστιν ἡ τοῦ νοῦ πρώτη τε καί ἁπλῆ πρός τήν ἰδίαν αἰτίαν μετ᾽ ἐφέσεως κίνησις· ἐρεύνησις δέ ἐστιν, ἡ πρώτη καί ἁπλῆ τοῦ λόγου περί τήν ἰδίαν αἰτίαν μετά τινος

ἐννοίας διάκρισις. Ἐκζήτησις δέ πάλιν ἐστίν, ἡ τοῦ νοῦ κατ᾽ ἐπιστήμην γνωστική πρός τήν ἰδίαν αἰτίαν μετά τινος ζεούσης ἐφέσεως κίνησις. Ἐξερεύνησις δέ ἐστιν, ἡ τοῦ λόγους κατ᾽ ἐνέργειαν τῶν ἀρετῶν περί τήν ἰδίαν (617) αἰτίαν μετά τινος ἔμφρονος καί σοφῆς ἐννοίας γινομένη διάκρισις.

Οὐκοῦν καί οἱ ἅγιοι προφῆται περί τῆς σωτηρίας τῶν ψυχῶν ἐκζητήσαντές τε καί ἐξερευνήσαντες, διάπυρον εἶχον καί ζέουσαν μετ᾽ ἐπιστήμης καί γνώσεως πρός τόν Θεόν τήν τοῦ νοῦ κατ᾽ ἔφεσιν κίνησιν, καί ἔμφρονα καί σοφήν τήν τοῦ λόγου κατά τήν ἐνέργειαν τῶν θείων διάκρισιν οὕς οἱ μιμούμενοι μετά γνώσεως καί ἐπιστήμης τήν τῶν ψυχῶν ἐκζητοῦσι σωτηρίαν καί μετά φρονήσεως καί σοφίας ἐξερευνῶντες, μετέρχονται τήν ἐν τοῖς θείοις ἔργοις διάκρισιν.

ΣΧΟΛΙΑ.

α'. Οὔτε ἡ θείας χάρις φησίν ἐνεργεῖ φωτισμούς γνώσεως, οὐκ ὄντος τοῦ κατά δύναμιν φυσικήν δεχομένου τόν φωτισμόν· οὔτε μή τό δεκτικόν δίχα τῆς χορηγούσης χάριτος τόν φωτισμόν ἐνεργεῖ γνώσεως.

β'. Ὁ δίχα πάθους αἰτῶν λαμβάνει τήν τοῦ ἐνεργεῖν δύνασθαι χάριν κατά τήν πρᾶξιν τάς ἀρετάς· καί ὁ ζητῶν ἀπαθῶς, εὑρίσκει κατά τήν φυσικήν θεωρίαν τήν ἐν τοῖς οὖσιν ἀλήθειαν· καί ὁ κρούων ἀπαθῶς τήν θύραν τῆς γνώσεως, ἀκωλύτως εἰς τήν ἀπόκρυφον τῆς μυστικῆς θεολογίας εἰσελεύσεται χάριν.

γ'. Ὁ νοῦς σοφίας ὄργανόν φησιν· ὁ λόγος, γνώσεως· ἡ κατ᾽ ἄμφω πληροφρία, τῆς κατ᾽ ἄμφω συνισταμένης πίστεως· τοῦ δέ τῶν ἰαμάτων χαρίσματος, ἡ φυσική φιλανθρωπία. Πᾶν γάρ χάρισμα θεῖον, ἐπιτήδειον ἐν ἡμῖν ἔχει καί προσφυές ὥσπερ δύναμιν ἤ διάθεσιν ὄργανον δεκτικόν. Οἷον ὁ τόν νοῦν πάσης αἰσθητῆς φαντασίας ποιήσας καθαρόν, δέχεται σοφίαν· ὁ δέ τόν λόγον τῶν ἐμφύτων παθῶν, θυμοῦ λέγω καί ἐπιθυμίας, καταστάσας Δεσπότην, δέχεται γνῶσιν· ὁ δέ τήν κατά νοῦν καί λόγον περί τό Θεῖον ἀσάλευτον πληροφορίαν ἔχων, τήν πάντα δυναμένην δέχεται πίστιν· ὁ δέ τήν φυσικήν κατορθώσας φιλανθρωπίαν, μετά τήν τελείαν τῆς φιλαυτίας ἀναίρεσιν, ἰαμάτων δέχεται χαρίσματα.

δ'. Τό αἰσθητόν φῶς δῆλον ὅτι.

ε'. Τό πνευματικόν φῶς δῆλον ὅτι.

στ' Τῶν πρός Θεόν, δηλονότι κινουμένων.

ζ'. Ὁ τοῦ εἶναι λόγος τόν Θεόν ὡς ἀρχήν φυσικήν ἐπιφέρεται, φησίν· καί ὁ τοῦ εὖ εἶναι λόγος, τόν Θεόν ὡς τέλος, πρός ὅν ἐπείγεται γνωμικῶς, πᾶς ὁ τήν ἔφεσιν εἰς Θεόν ἀναπλάσαι γλιχόμενος· ὧν ἑνότης ἐστίν, ὁ τοῦ εὖ εἶναι λόγος κατά χάριν παραγινόμενος, καί τόν Θεόν ἐπιφερόμενος, τόν πάσης ἀρχῆς καί τέλους κατά φύσιν ἀνώτερον, ποιοῦντα τούς ἀρχήν ἔχοντας κατά φύσιν καί τέλος ἀνάρχους κατά χάριν καί ἀτελευτήτους.

η'. Ἡ κατά χάριν ἐν τῷ ποιῷ πρός θέωσιν μεταποίησις, ἔκβασις τῶν ἀρχῇ τε καί τέλει φυσικῶς περιγεγραμμένων ἐστί.

θ'. Ἔμφασις μυστικά τῆς ἐσομένης κρίσεως ἀποδεικτική.

ι'. (620) Πρῶτόν τις ζητεῖ, φησί, τῇ προαιρέσει νεκρῶσαι τήν ἁμαρτίαν, καί τήν προαίρεσιν τῇ ἁμαρτίᾳ· καί οὕτως ἐρευνᾷ, πῶς δεῖ καί ποίῳ τρόπῳ νεκρῶσαι ταύτας ἀλλήλαις. Καί πάλιν μετά τήν τούτων ἀλλήλαις τελείαν νέκρωσιν, ζητεῖ τήν κατ᾽ ἀρετήν τῆς προαιρέσεως, καί τῆς ἀρετῆς τήν κατά προαίρεσιν ζωήν. Καί οὕτως ἐρευνᾷ, πῶς δεῖ, καί ποίῳ τρόπῳ τήν ἐν ἀλλήλαις τούτων δημιουργῆσαι ζωήν· ἔστιν οὖν, ὡς ἐν ὁρισμῷ λαβεῖν, ἡ μέν ζήτησις, ὄρεξις καταθυμίου τινός· ἡ δέ ἐρεύνησις, τρόπος τῆς πρός το καταθύμιον ὀρέξεως ἀνυστικός.

ια'. Ὁ νεκρώσας φησί τῇ ἁμαρτίᾳ τήν προαίρεσιν, σύμφυτος γέγονε τῷ ὁμοιώματι τοῦ θανάτου τοῦ Χριστοῦ· καί ὁ ταύτην ἀναστήσας τῇ δικαιοσύνῃ, σύμφυτος γέγονε καί τῆς ἀναστάσεως αὐτοῦ.

ιβ'. Ἡ ἁμαρτία, καί ἡ προαίρεσίς φησιν ἀλλήλαις νεκρούμεναι, διπλῆν ἔχουσι πρός ἀλλήλας τήν ἀναισθησίαν· καί ἡ δικαιοσύνη, καί ἡ προαίρεσις ἐν ἀλλήλαις ἔχουσαι τήν ζωήν, διπλῆν ἔχουσι τήν αἴσθησιν.

ιγ'. Ἄλλη περί τῶν αὐτῶν θεωρία.

ιδ'. Ὁ μέν νοῦς, φησί, κατά μόνην τήν ἔφεσιν ἀγνώστως τῶν ὄντων αἰτίαν κινούμενος, ζητεῖ μόνον· ὁ δέ λόγος, τούς ἐν τοῖς οὖσιν ἀληθεῖς ποικίλως ἐφοδεύων ἐρευνᾷ λόγους.

### *ΕΡΩΤΗΣΙΣ Ξ'.*

***" Ὡς ἀμνοῦ ἀμώμου καί ἀσπίλου Χριστοῦ, προεγνωσμένου μέν πρό καταβολῆς κόσμου· φανερωθέντος δέ ἐπ᾽ ἐσχάτων τῶν χρόνων δι᾽ ἡμᾶς" [ὑμᾶς]. Ὑπό τίνος προεγνωσμένον;***

Ἀπόκρισις.

Τό τοῦ Χριστοῦ μυστήριον, Χριστόν ὁ τῆς Γραφῆς ὠνόμασε λόγος· καί μαρτυρεῖ σαφῶς οὑτωσί φάσκων ὁ μέγας Ἀπόστολος, Τό μυστήριον τό ἀποκεκρυμμένον ἀπό τῶν γενεῶν, νῦν ἐφανερώθη· ταυτόν λέγων δηλαδή τῷ Χριστῷ, τό κατά Χριστόν μυστήριον· τοῦτο προδήλως ἐστίν ἄῤῥητός τε καί ἀπερινόητος θεότητός τε καί ἀνθρωπότητος καθ᾽ ὑπόστασιν ἕνωσις· εἰς ταυτόν ἄγουσα τῇ θεότητι κατά πάντα τρόπον, τῷ τῆς ὑποστάσεως λόγῳ, τήν ἀνθρωπότητα· καί μίαν ἀμφοτέρων ἀποτελοῦσα τήν ὑπόστασιν σύνθετον· τῆς αὐτῶν κατά φύσιν οὐσιώδους διαφορᾶς μηδεμίαν καθοτιοῦν ἐπάγουσα μείωσιν· ὥστε καί μίαν αὐτῶν γενέσθαι, καθ᾽ ὅ ἔφην, τήν ὑπόστασιν, καί τήν φυσικήν διαφοράν ἀπαθῆ διαμένειν· καθ᾽ ἥν καί μετά τήν ἕνωσιν οὐδέν τό παράπαν τροπῆς ἤ ἀλλοιώσεως τοῖς ἑνωθεῖσι παρηκολούθησε πάθος, ἀκραιφνής ὁ κατά τήν οὐσίαν ἑκατέρου τῶν ἡνωμένων διαμεμένηκε λόγος· ὧν δέ ἀκραιφνής ὁ τῆς οὐσίας καί μετά τήν ἕνωσιν διαμεμένηκε λόγος, τούτων ἀλώβητος κατά πάντα τρόπον μεμενήκασιν αἱ φύσεις· μηδεμιᾶς τό σύνολον ἀρνησαμένης τά ἑαυτῆς διά τήν ἕνωσιν.

Ἔπρεπε γάρ τῷ ποιητῇ τῶν ὅλων, καί γενομένῳ (621) φύσει κατ᾽ οἰκονομίαν ὅπερ οὐκ ἦν, καί ἑαυτόν ὅπερ ἦν κατά φύσιν, καί ὅπερ γέγονε φύσει κατ᾽ οἰκονομίαν, ἄτρεπτον διασώσασθαι. Θεῷ γάρ οὐ πέφυκεν ἐνθεωρεῖσθαι τροπή, ᾧ μηδεμία καθάπαξ κίνησις ἐπινοεῖται· περί ἥν ὑπάρχει τοῖς κινουμένοις τό τρέπεσθαι. Τοῦτό ἐστι τό μέγα καί ἀπόκρυφον μυστήριον. Τοῦτό ἐστι τό μακάριον, δι᾽ ὅ τά πάντα συνέστησαν, τέλος. Τοῦτό ἐστιν ὁ τῆς ἀρχῆς τῶν ὄντων προεπινοούμενος θεῖος σκοπός, ὅν ὁρίζοντες εἶναί φαμεν, προεπινοούμενον τέλος, οὗ ἕνεκα μέν πάντα, αὐτό δέ οὐδενός ἕνεκα. Πρός τοῦτο τό τέλος ἀφορῶν, τά τῶν ὄντων ὁ Θεός παρήγαγεν οὐσίας. Τοῦτο κυρίως ἐστί τό τῆς προνοίας καί τῶν προνοουμένων, πέρας· καθ᾽ ὅ εἰς τόν Θεόν, ἡ τῶν ὑπ᾽ αὐτοῦ πεποιημένων ἐστίν ἀνακεφαλαίωσις. Τοῦτό ἐστι τό πάντας περιγράφον τούς αἰῶνας, καί τήν ὑπεράπειρον καί ἀπειράκις ἀπείρως προϋπάρχουσαν τῶν αἰώνων μεγάλην τοῦ Θεοῦ βουλήν ἐκφαῖνον μυστήριον· ἧς γέγονεν ἄγγελος αὐτός κατ᾽ οὐσίαν τοῦ Θεοῦ Λόγος γενόμενος ἄνθρωπος· καί αὐτόν, εἰ θέμις εἰπεῖν, τόν ἐνδότατον πυθμένα τῆς Πατρικῆς ἀγαθότητος φανερόν καταστήσας, καί τό τέλος ἐν αὐτῷ δείξας, δι᾽ ὅ τήν πρός τό εἶναι σαφῶς ἀρχήν ἔλαβον τά πεποιημένα. Διά γάρ τόν Χριστόν, ἤγουν τό κατά Χριστόν μυστήριον, πάντες οἱ αἰῶνες, καί τά ἐν αὐτοῖς

τοῖς αἰῶσιν, ἐν Χριστῷ τήν ἀρχήν τοῦ εἶναι καί τό τέλος εἰλήφασιν. Ἕνωσις γάρ προϋπενοήθη τῶν αἰώνων, ὅρου καί ἀοριστίας, καί μέτρου καί ἀμετρίας, καί πέρατος καί ἀπειρίας, καί κτίστου καί κτίσεως, καί στάσεως καί κινήσεως· ἥτις ἐν Χριστῷ ἐπ᾽ ἐσχάτων τῶν χρόνων φανερωθέντι γέγονε· πλήρωσιν δοῦσα τῇ προγνώσει τοῦ Θεοῦ δι᾽ ἑαυτῆς· ἵνα περί τό πάντη κατ᾽ οὐσίαν ἀκίνητον στῇ τά κατά φύσιν κινούμενα, τῆς πρός τε αὐτά καί πρός ἄλληλα παντελῶς ἐκβεβηκότα κινήσεως, καί λάβῃ τῇ πείρᾳ τήν κατ᾽ ἐνέργειαν γνῶσιν τοῦ, ἐν ᾧ στῆναι κατηξιώθησαν, ἀναλλοίωτον καί ὡσαύτως ἔχουσαν, τήν τοῦ γνωσθέντος αὐτοῖς παρεχομένην ἀπόλαυσιν.

Διττήν γάρ οἶδε τήν τῶν θείων γνῶσιν ὁ λόγος· τήν μέν, σχετικήν, ὡς ἐν μόνῳ λόγῳ κειμένην καί νοήμασι· καί τήν κατ᾽ ἐνέργειαν τοῦ γνωσθέντος διά πείρας οὐκ ἔχουσαν αἴσθησιν, δι᾽ ἧς κατά τήν παροῦσαν ζωήν οἰκονομούμεθα. Τήν δέ κυρίως ἀληθῆ ἐν μόνῃ τῇ πείρᾳ κατ᾽ ἐνέργειαν δίχα λόγου καί νοημάτων, ὅλην τοῦ γνωσθέντος κατά χάριν μεθέξει παρεχομένην τήν αἴσθησιν· δι᾽ ἧς κατά τήν μέλλουσαν λῆξιν τήν ὑπέρ φύσιν ὑποδεχόμεθα θέωσιν ἀπαύστως ἐνεργουμένην· καί τήν μέν σχετικήν ὡς ἐν λόγῳ κειμένην καί τοῖς νοήμασι, κινητικήν εἶναί φασι τῆς πρός τήν μεθέξει κατ᾽ ἐνέργειαν γνῶσιν ἐφέσεως· τήν δέ κατ᾽ ἐνέργειαν, διά τῆς πείρας μεθέξει παρεχομένην τοῦ γνωσθέντος τήν αἴσθησιν, ἀφαιρετικήν εἶναι τῆς ἐν λόγῳ κειμένης καί νοήμασι γνώσεως.

(624) Ἀμήχανον γάρ εἶναί φασιν οἱ σοφοί, συνυπάρχειν τῇ πείρᾳ τοῦ Θεοῦ, τόν περί Θεοῦ λόγον· ἤ τῇ αἰσθήσει τοῦ Θεοῦ, τήν περί αὐτοῦ νόησιν· λόγον δέ περί Θεοῦ φημι, τήν ἐκ τῶν ὄντων ἀναλογίαν τῆς περί αὐτοῦ γνωστικῆς θεωρίας· αἴσθησιν δέ, τήν ἐπί τῇ μεθέξει πεῖραν τῶν ὑπέρ φύσιν ἀγαθῶν· νόησιν δέ, τήν ἐκ τῶν ὄντων περί αὐτοῦ ἁπλῆν καί ἑνιαίαν γνῶσιν. Τάχα δέ καί ἐπ᾽ ἄλλου παντός τοῦτο γνωρίζεται· εἴπερ ἡ τοῦδε τοῦ πράγματος πεῖρα, τόν περί αὐτόν καταπαύει λόγον· καί ἡ τοῦδε τοῦ πράγματος αἴσθησις, τήν περί αὐτοῦ σχολάζουσαν ἐργάζεται νόησιν. Πεῖραν δέ λέγω, αὐτήν τήν κατ᾽ ἐνέργειαν γνῶσιν, τήν μετά πάντα λόγον ἐπιγινομένην· αἴσθησιν δέ, αὐτήν τήν τοῦ γνωσθέντος μέθεξιν, τήν μετά πᾶσαν νόησιν, ἐκφαινομένην. Καί τοῦτο τυχόν μυστικῶς διδάσκων ὁ μέγας Ἀπόστολος, φησίν, Εἴτε προφητεῖται καταργηθήσονται, εἴτε γλῶσσαι παύσονται, εἴτε γνώσεις καταργηθήσονται· περί τῆς ἐν λόγῳ κειμένης καί νοήμασι γνώσεως δηλονότι φάσκων.

Τοῦτο τό μυστήριον προεγνώσθη πρό πάντων τῶν αἰώνων τῷ Πατρί καί τῷ Υἱῷ καί τῷ ἁγίῳ Πνεύματι. Τῷ μέν κατ᾽ εὐδοκίαν· τῷ δέ, κατ᾽ αὐτουργίαν· τῷ δέ, κατά συνέργειαν. Μία γάρ ἡ Πατρός καί Υἱοῦ καί ἁγίου Πνεύματος γνῶσις, ὅτι καί μία ουσία καί δύναμις. Οὐ γάρ ἠγνόει τοῦ Υἱοῦ τήν σάρκωσιν ὁ Πατήρ, ἤ τό Πνεῦμα τό ἅγιον· ὅτι ἐν ὅλῳ τῷ Υἱῷ τό μυστήριον αὐτουργοῦντι τῆς ἡμῶν σωτηρίας διά σαρκώσεως, ὅλος κατ᾽ οὐσίαν ὁ Πατήρ· οὐ σαρκούμεος, ἀλλ᾽ εὐδοκῶν τοῦ Υἱοῦ τήν σάρκωσιν· καί ὅλον ἐν ὅλῳ τῷ Υἱῷ τό Πνεῦμα τό ἅγιον κατ᾽ οὐσίαν ὑπῆρχεν· οὐ σαρκούμενον, ἀλλά συνεργοῦν τῷ Υἱῷ τήν δι᾽ ἡμᾶς ἀπόῤῥητον σάρκωσιν.

Εἴτε οὖν Χριστόν εἴποι τις, εἴτε μυστήριον τοῦ Χριστοῦ, τούτου τήν πρόγνωσιν μόνη κατ᾽ οὐσίαν ἔχει ἡ ἁγίας Τριάς, Πατήρ καί Υἱός καί ἅγιον Πνεῦμα. Καί μηδείς διαπορήσει, πῶς ὁ Χριστός εἷς ὤν τῆς ἁγίας Τριάδος, ὑπ᾽ αὐτῆς προγινώσκεται· γινώσκων ὅτι οὐχ ὡς Θεός ὁ Χριστός προεγνώσθη, ἀλλ᾽ ὡς ἄνθρωπος· ἤγουν ἡ κατ᾽ οἰκονομίαν αὐτοῦ διά τόν ἄνθρωπον σάρκωσις. Τό γάρ ἀεί ὄν, ἐκ τοῦ ἀεί ὄντος ὑπέρ αἰτίαν καί λόγον, οὐδέποτε προγινώσκεται. Ἡ γάρ πρόγνωσις, τῶν ἀρχήν ἐχόντων τοῦ εἶναι δι᾽ αἰτίαν ἐστίν. Προεγνώσθη οὖν ὁ Χριστός, οὐχ ὅπερ ἦν κατά φύσιν δι᾽ ἑαυτόν, ἀλλ᾽ ὅπερ ἐφάνη κατ᾽ οἰκονομίαν δι᾽ ἡμᾶς γενόμενος ὕστερον.

Ἔδει γάρ ὡς ἀληθῶς τόν κατά φύσιν τῆς τῶν ὄντων οὐσίας δημιουργόν, καί τῆς κατά χάριν αὐτουργόν γενέσθαι τόν γενόμενον θεώσεως· ἵνα ὁ τοῦ εἶναι δοτήρ, φανῇ καί τοῦ ἀεί εὖ εἶναι χαριστικός. Ἐπεί οὖν οὐδέν τῶν ὄντων ἑαυτό τό παράπαν ἤ ἄλλο γινώσκει, ὅ τί ποτε κατ᾽ οὐσίαν ἐστίν· (625) εἰκότως οὐδέ τῶν γενησομένων οὐδενός οὐδέν τῶν ὄντων ἔχει κατά φύσιν τήν πρόγνωσιν, πλήν τοῦ ὑπέρ τά ὄντα Θεοῦ· τοῦ καί ἑαυτόν γινώσκοντος, ὅ τί ποτε κατ᾽ οὐσίαν ἐστί, καί πάντων τῶν ὑπ᾽ αὐτοῦ πεποιημένων, καί πρίν γενέσθαι, προεγνωκότος τήν ὕπαρξιν, καί μέλλοντος κατά χάριν φιλοτιμεῖσθαι τοῖς οὖσι, τήν ἑαυτῶν καί ἀλλήλων ὅ τί ποτε κατ᾽ οὐσίαν ὑπάρχουσι, γνῶσιν· καί τούς ἐν αὐτῷ μονοειδῶς προόντας τῆς αὐτῶν γενέσεως φανερῶσαι λόγους.

Τό γάρ δή λέγειν τινάς προεγνῶσθαι τόν Χριστόν πρό καταβολῆς κόσμου, ἐκείνοις, οἷς ὕστερον ἐφανερώθη ἐπ᾽ ἐσχάτων τῶν χρόνων· ὡς αὐτῶν ἐκείνων πρό καταβολῆς κόσμου ὄντων σύν τῷ προεγνωσμένῳ Χριστῷ· ὡς τῆς ἀληθείας ἀλλότριον ὄντα τόν λόγον, οἷα συναΐδιον τῷ Θεῷ τήν τῶν λογικῶν οὐσίαν εἰσάγοντα,

παραγραφόμεθα. Οὐ γάρ ἐστι παντελῶς σύν Χριστῶ γενέσθαι ποτέ· εἴπερ ἐν αὐτῷ πέφυκεν ἡ τῶν αἰώνων ἀποπεράτωσις γίνεσθαι, καί ἡ στάσις τῶν κινουμένων· καθ᾽ ἥν οὐδέν ἔσται τό παράπαν τῶν ὄντων τρεπόμενον. Ἄμωμον δέ καί ἄσπιλον ὁ τῆς Γραφῆς τόν Χριστόν ἔφη λόγος, ὡς κατά ψυχήν καί σῶμα φύσει παντελῶς τῆς κατά τήν ἁμαρτίαν φθορᾶς ἀλλότριον. Οὐ γάρ ἔσχεν αὐτοῦ μῶμον κακίας ἡ ψυχή· οὐδέ τό σῶμα σπίλον τῆς ἁμαρτίας.

ΣΧΟΛΙΑ.

α'. Ὅρος μέν ἔστι περιοχῆς, πέρας τῶν φύσει πεπερασμένων· τό δέ μέτρον, καθόλου ποσότητος περιγραφή, καί τέλος αἰώνων τε καί χρονικῶν φύσεων. Τό δέ πέρας ἐστί, περιφραφή τῶν ἀρχῇ τε καί τέλει κατά γένεσιν πεπερασμένων. Ἡ δέ κτίσις ἐστί, τῶν κατά παραγωγήν ἐξ οὐκ ὄντων ὑπόστασις. Τούτων ἕνωσις καθ᾽ ὑπόστασιν προεπενοήθη φησί κατά πρόνοιαν πρός τόν ἐξ οὗ ταῦτα γεγόνασιν. Ἵνα καί τό εἶναι τῶν ὄντων φυλαχθῇ κατ᾽ οὐσίαν ὡς πέφυκε· καί τό ὑποστῆναι, ἤγουν πῶς εἶναι κατά χάριν δέξηται θείαν, τῇ πρός τόν Θεόν ἑνώσει πάντων πρός ἀτρεψίαν μεταποιηθέντων.

β'. Διττήν εἶναι λέγει τήν γνῶσιν· τήν μέν ἐν λόγῳ κειμένην καί θείοις νοήμασι, κατ᾽ εἶδος παροῦσαν τήν αἴσθησιν τῶν νοηθέντων οὐκ ἔχουσαν· τήν δέ, κατ᾽ ἐνέργειαν, μόνην ἔχουσαν δίχα λόγου καί νοημάτων τῶν ἀληθῶν τήν κατ᾽ εἶδος ἀπόλαυσιν.

γ'. Ἐπειδή, φησί, διά γνώσεως ὁ λόγος τό γνωστόν πέφυκεν ὑποσημαίνειν, κινεῖ τήν ἔφεσιν τῶν δι᾽ αὐτοῦ κινουμένων, πρός τήν τοῦ σημανθέντος ἀπόλαυσιν.

δ'. Πρό πάσης πείρας, φησί, λόγος ὑπάρχει γνώσεως· ὅτι κατά τήν πεῖραν μόνην πέφυκε δυναστεύειν ἀπόλαυσις.

***ΕΡΩΤΗΣΙΣ ΞΑ'.***

***" Ὅτι καιρός τοῦ ἄρξασθαι τό κρίμα ἀπό τοῦ (628) οἴκου τοῦ Θεοῦ· εἰ δέ πρῶτον ἀφ᾽ ἡμῶν, τί τέλος τῶν ἀπειθούντων τῷ τοῦ Θεοῦ Εὐαγγελίῳ; καί εἰ ὁ μέν δίκαιος μόλις σώζεται, ὁ ἀσεβής καί ἁμαρτωλός ποῦ φανεῖται; " Τί ἐστι τό, "Καιρός τοῦ ἄρξασθαι τό κρίμα ἐκ τοῦ οἴκου τοῦ Θεοῦ· " Καί τό, "Εἰ ὁ δίκαιος μόλις σώζεται;"***

Ἀπόκρισις.

Ὁ τήν φύσιν τῶν ἀνθρώπων δημιουργήσας Θεός, οὐ συνέκτισεν αὐτῇ κατά τήν αἴσθησιν οὔτε ἡδονήν οὔτε ὀδύνην· ἀλλά δύναμίν τινα κατά νοῦν αὐτῇ πρός ἡδονήν, καθ᾽ ἥν ἀποῤῥήτως ἀπολαύειν αὐτοῦ δυνήσεται, ἐτεκτήνατο. Ταύτην δέ τήν δύναμιν (λέγω δέ τήν κατά φύσιν τοῦ νοῦ πρός τόν Θεόν ἔφεσιν)· ἅμα τῷ γενέσθαι τῇ αἰσθήσει δούς ὁ πρῶτος ἄνθρωπος, πρός τά αἰσθητά κατ᾽ αὐτήν τήν πρώτην κίνησιν διά μέσης τῆς αἰσθήσεως ἔσχε παρά φύσιν ἐνεργουμένην τήν ἡδονήν· ᾗ τινι κατά πρόνοιαν ὁ τῆς ἡμῶν σωτηρίας κηδόμενος, παρέπηξεν ὥσπερ τινά τιμωρόν δύναμιν, τήν ὀδύνην· καθ᾽ ἥν ὁ τοῦ θανάτου μετά σοφίας ἐνεῤῥιζώθη τῇ τοῦ σώματος φύσει νόμος, περιορίζων τῆς τοῦ νοῦ μανίας παρά φύσιν ἐπί τά αἰσθητά κινουμένην τήν ἔφεσιν.

Ἐντεῦθεν διά τήν ἐπεισελθοῦσαν τῇ φύσει παρά λόγον ἡδονήν, ἡ κατά λόγον ἀντεισῆλθεν ὀδύνη, διά πολλῶν παθημάτων, ἐν οἷς καί ἐξ ὧν ὁ θάνατος, ποιουμένη τῆς παρά φύσιν ἡδονῆς τήν ἀφαίρεσιν· οὐ μήν δέ, καί τελείαν ἀναίρεσιν· καθ᾽ ἥν ἡ κατά νοῦν τῆς θείας ἡδονῆς δείκνυσθαι πέφυκε χάρις. Πᾶς γάρ πόνος, ὡς αἰτίαν τῆς ἰδίας γενέσεως ἔχων κατ᾽ ἐνέργειαν προηγουμένην τήν ἡδονήν, χρέος ἐστί δηλαδή φυσικῶς κατ᾽ αἰτίαν παρά πάντων τῶν μετειληφότων τῆς φύσεως ἐκτιννύμενον. Τῇ γάρ παρά φύσιν ἡδονῇ, πάντως παρέπεται φυσικῶς ὁ πόνος· ἐν πᾶσιν, ὧν ὁ τῆς ἡδονῆς νόμος ἀναιτίως προκαθηγήσατο τῆς γενέσεως. Ἀναίτιον δέ φημι τήν ἐκ τῆς παραβάσεως ἡδονήν, ὡς μή γενομένην δηλονότι προλαβόντος πόνου διάδοχον.

Οὐκοῦν ἐπειδή μετά τήν παράβασιν πάντες οἱ ἄνθρωποι τήν ἡδονήν εἶχον τῆς ἰδίας φυσικῶς προκαθηγουμένην γενέσεως, καί οὐδείς ἦν τό σύνολον ὁ τῆς καθ᾽ ἡδονήν ἐμπαθοῦς γενέσεως φυσικῶς ὑπάρχων ἐλεύθερος· ἀλλ᾽ ὡς χρέος πάντες φυσικῶς ἀποδιδόντες τούς πόνους, καί τόν ἐπ᾽ αὐτοῖς ὑπέμενον θάνατον· καί ἦν ἄπορος παντάπασι τῆς ἐλευθερίας τρόπος, τοῖς ὑπό τῆς ἀδίκου τυραννουμένοις ἡδονῆς, καί ὑπό τῶν δικαίων πόνων, καί τοῦ ἐπ᾽ αὐτοῖς δικαιοτάτου θανάτου φυσικῶς ἐνεχομένοις. Ἔδει δέ πρός ἀναίρεσιν τῆς ἀδικωτάτης ἡδονῆς, καί τῶν δι᾽ αὐτήν δικαιοτάτων πόνων· ὑφ᾽ ὧν ἐλεεινῶς διεσπᾶτο πάσχων ὁ ἄνθρωπος, ἐκ φθορᾶς τῆς καθ᾽ ἡδονήν ἔχων τήν ἀρχήν τῆς γενέσεως, καί εἰς φθοράν τήν διά θανάτου τό τῆς ζωῆς καταλῆγον [Fr. καταλήγων] τέλος· πρός δέ τήν ἐπανόρθωσιν τῆς παθούσης φύσεως, ἐπινοηθῆναι πόνον καί θάνατον,

ἄδικον ὁμοῦ καί ἀναίτιον· ἀναίτιον μέν, ὡς οὐδαμῶς προλαβοῦσαν ἡδονήν ἐσχηκότα (629) κατά τήν γένεσιν, ἄδικον δέ, ὡς οὐδεμιᾶς ἐμπαθοῦς τό παράπαν ζωῆς ὄντα διάδοχον· ἵνα μέσος διαληφθείς ἡδονῆς ἀδίκου καί πόνου καί θανάτου δικαιοτάτου, πόνος καί θάνατος ἀδικώτατος, ἀνέλῃ διόλου τήν ἐξ ἡδονῆς ἀδικωτάτην ἀρχήν, καί τό δι᾽ αὐτήν διά θανάτου δικαιότατον τέλος τῆς φύσεως· καί γένηται πάλιν ἡδονῆς καί ὀδύνης ἐλεύθερον τό γένος τῶν ἀνθρώπων, τήν ἐξ ἀρχῆς εὐκληρίαν ἀπολαβούσης τῆς φύσεως, μηδενί τῶν ἐμπεφυκότων τοῖς ὑπό γένεσιν καί φθοράν γνωρισμάτων μολυνομένην.

Διά τοῦτο Θεός ὑπάρχων τέλειος κατά φύσιν ὁ τοῦ Θεοῦ Λόγος, γίνεται τέλειος ἄνθρωπος ἐκ ψυχῆς νοερᾶς καί σώματος παθητοῦ κατά φύσιν, παραπλησίως ἡμῖν χωρίς μόνης ἁμαρτίας, συνεστώς· τήν μέν ἐκ τῆς παρακοῆς ἡδονήν οὐδαμῶς τό σύνολον ἐσχηκώς προηγουμένην αὐτοῦ τῆς ἐκ γυναικός ἐν χρόνῳ γεννήσεως· τήν δέ δι᾽ αὐτήν ὀδύνην, ὑπάρχουσαν τέλος τῆς φύσεως, διά φιλανθρωπίαν κατά θέλησιν προσηκάμενος· ἵνα πάσχων ἀδίκως ἀνέλῃ τήν ἐξ ἡδονῆς ἀδίκου τυραννοῦσαν τήν φύσιν ἀρχήν τῆς γενέσεως, οὐκ ἔχουσαν ὡς χρέος ὑπέρ αὐτῆς ἐκτιννύμενον κατά τούς ἄλλους ἀνθρώπους, καί τοῦ Κυρίου τόν θάνατον, ἀλλά μᾶλλον κατ᾽ αὐτῆς προβεβλημένον· καί τό διά τοῦ θανάτου δίκαιον τέλος ἐξαφανίσῃ τῆς φύσεως, οὐκ ἔχον τήν δι᾽ ἥν ἐπεισῆλθεν, καί ὑπ᾽ αὐτοῦ δικαίως τιμωρουμένην, ὡς αἰτίαν τοῦ εἶναι, παράνομον ἡδονήν.

Ἔδει γάρ ὡς ἀληθῶς, ἔδει, σοφόν καί δίκαιον καί δυνατόν ὄντα κατά φύσιν τόν Κύριον· ὡς μέν σοφόν, μή ἀγνοῆσαι τόν τρόπον τῆς ἰατρείας· ὡς δίκαιον δέ, μή τυραννικήν ποιήσασθαι τοῦ κατειλημμένου κατά γνώμην ὑπό τῆς ἁμαρτίας ἀνθρώπου τήν σωτηρίαν· ὡς δέ παντοδύναμον, μή ἀτονῆσαι πρός τήν τῆς ἰατρείας ἐκπλήρωσιν.

Φανερόν οὖν ἐποίησε τόν μέν τῆς σοφίας λόγον ἐν τῷ τρόπῳ τῆς ἰατρείας, χωρίς τροπῆς καί τῆς οἱασοῦν ἀλλοιώσεως γενόμενος ἄνθρωπος. Τήν ἰσότητα δέ τῆς δικαιοσύνης, ἐν τῷ μεγέθει τῆς συγκαταβάσεως ἔδειξε· τό ἐν τῷ παθητῷ κατάκριμα τῆς φύσεως κατά θέλησιν ὑποδύς· κἀκεῖνο ποιήσας ὅπλον πρός τήν τῆς ἁμαρτίας ἀναίρεσιν, καί τοῦ δι᾽ αὐτήν θανάτου, τουτέστι, τῆς ἡδονῆς, καί τῆς δι᾽ αὐτήν ὀδύνης, ἐν ᾧ τῆς ἁμαρτίας ὑπῆρχε καί τοῦ θανάτου τό κράτος, καί ἡ κατά τήν ἡδονήν τῆς ἁμαρτίας τυραννίς, καί δι᾽ αὐτήν κατά τήν ὀδύνην τοῦ θανάτου δυναστεία. Ἐν γάρ τῷ παθητῷ προδήλως ὑπάρχει τῆς φύσεως τό τῆς ἡδονῆς κρατος και τῆς ὀδύνης. Θέλοντες γάρ

ἐκφυγεῖν τήν κατά τήν ὀδύνην ἐπίπονον αἴσθησιν, πρός τήν ἡδονήν καταφεύγομεν, τῷ τῆς ὀδύνης αἰκισμῷ πειζομένην τήν φύσιν ἐπιχειροῦντες παραμυθεῖσθαι. Σπεύδοντες δέ διά τῆς ἡδονῆς τά τῆς ὀδύνης ἀμβλῦναι κινήματα, πλέον αὐτῆς τό καθ᾽ ἑαυτῶν ἐπικυροῦμεν χειρόγραφον, (632) ὀδύνης καί πόνου ἀπολελυμένην ἔχειν τήν ἡδονήν οὐ δυνάμενοι.

Τήν δέ τῆς ὑπερβαλλούσης δυνάμεως ἰσχύν, δήλην κατέστησε· τῶν οἷς αὐτός ἔπασχεν ἐναντίων, ὑποστήσας τῇ φύσει τήν γένεσιν ἄτρεπτον. Διά πάθους γάρ τήν ἀπάθειαν, καί διά πόνων τήν ἄνεσιν· καί διά θανάτου τήν ἀΐδιον ζωήν τῇ φύσει δούς, πάλιν ἀπεκατήστησε· ταῖς ἑαυτοῦ κατά σάρκα στερέσεσι τάς ἕξεις ἀνακαινίσας τῆς φύσεως· καί διά τῆς ἰδίας σαρκώσεως, τήν ὑπέρ φύσιν χάριν δωρησάμενος τῇ φύσει, τήν θέωσιν.

Γέγονεν οὖν ὁ Θεός κατά ἀλήθειαν ἄνθρωπος, καί δέδωκεν ἄλλην ἀρχήν τῇ φύσει δευτέρας γενέσεως, διά πόνου πρός ἡδονήν μελλούσης ζωῆς καταλήγουσαν. Ὡς γάρ Ἀδάμ ὁ προπάτωρ ἐπειδή τήν θείαν ἐντολήν παραβάς, ἄλλην ἀρχήν γενέσεως ἐξ ἡδονῆς μέν συνισταμένην, εἰς δέ τόν διά πόνου θάνατον τελευτῶσαν τῇ φύσει παρά τήν πρώτην παρεισήγαγε, καί ἐπενόησε κατά τήν συμβουλήν τοῦ ὄφεως ἡδονήν οὐκ οὖσαν προλαβόντος πόνου διάδοχον, ἀλλά μᾶλλον εἰς πόνου περαιουμένην, πάντας τούς ἐξ αὐτοῦ σαρκί κατ᾽ αὐτόν γενομένους, διά τήν ἐξ ἡδονῆς ἄδικον ἀρχήν, εἶχε συνυπαγουμένους αὐτῷ δικαίως πρός τό διά πόνου κατά τόν θάνατον τέλος· οὕτω καί ὁ Κύριος γενόμενος ἄνθρωπος, καί ἄλλην ἀρχήν δευτέρας γενέσεως ἐκ Πνεύματος ἁγίου τῇ φύσει δημιουργήσας, καί τόν διά πόνου τοῦ Ἀδάμ δικαιότατον καταδεξάμενος θάνατον, ἐν αὐτῷ δηλαδή γενόμενον ἀδικώτατον, ὡς οὐκ ἔχοντα τῆς ἰδίας ἀρχήν γενέσεως τήν ἐκ παρακοῆς ἀδικωτάτην τοῦ προπάτορος ἡδονήν, ἀμφοτέρων τῶν ἄκρων· ἀρχῆς τε λέγω καί τέλους τῆς κατά τόν Ἀδάμ ἀνθρωπίνης γενέσεως, οἷα δή προηγουμένως οὐκ ὄντων ἐκ τοῦ Θεοῦ, τήν ἀναίρεσιν ἐποιήσατο· καί πάντας τούς ἐξ αὐτοῦ πνευματικῶς ἀναγεννωμένους, τῆς ἐπ᾽ αὐτοῖς ἐνοχῆς ἐλευθέρους κατέστησεν· ἔχοντας μέν τοῦ Ἀδάμ, οὐκέτι τήν ἐκ τοῦ Ἀδάμ ἡδονήν τῆς γενέσεως· μόνην δέ τήν διά τόν Ἀδάμ ὀδύνην ἐνεργοῦσαν ἐν αὐτοῖς, οὐ κατά χρέος ὑπέρ ἁμαρτίας, ἀλλά κατ᾽ οἰκονομίαν διά τήν κατά φύσιν περίστασιν, κατά τῆς ἁμαρτίας, τόν θάνατον· ὅς [marg. Θάνατος δηλονότι] ὁπόταν μή ἔχῃ γεννῶσαν αὐτόν μητέρα τήν, ἧς γίνεσθαι

πέφυκε τιμωρός, ἡδονήν, ἀϊδίου ζωῆς προδήλως καθίσταται πατήρ. Ὡς γάρ τοῦ Ἀδάμ ἡ καθ᾽ ἡδονήν ζωή, θανάτου καί φθορᾶς γέγονε μήτηρ· οὕτω καί ὁ διά τόν Ἀδάμ τοῦ Κυρίου θάνατος, ὑπάρχων τῆς ἐκ τοῦ Ἀδάμ ἐλεύθερος ἡδονῆς, ἀϊδίου γεννήτωρ γίνεται ζωῆς.

Οὐκοῦν ἐπειδή, καθώς οἶμαι καλῶς διεῖλεν ὁ λόγος, πῶς μέν ἡ καθ᾽ ἡδονήν ἐκ τοῦ Ἀδάμ γένεσις τυραννοῦσα τήν φύσιν, βοράν τῷ δι᾽ αὐτήν θανάτῳ παρέπεμπε· πῶς δέ πάλιν ἡ διά φιλανθρωπίαν τοῦ Κυρίου κατά σάρκα γέννησις ἀμφοτέρων ἀναίρεσιν ἐποιήσατο· ἡδονῆς λέγω τῆς ἐκ τοῦ Ἀδάμ, καί θανάτου τοῦ διά τόν Ἀδάμ· συνεξαφανίζουσα τῇ τοῦ Ἀδάμ ἁμαρτίᾳ τό τοῦ Ἀδάμ ἐπιτίμιον. Οὐ γάρ ἦν (633) δυνατόν πρός φθοράν ἁλῶναι διά τοῦ θανάτου κατά τό τέλος, τήν μηδαμῶς τῆς ἀρχῆς ἁψαμένην γένεσιν, δι᾽ ἧς ὑπέστη κατά τό τέλος ὁ θάνατος· ἐπειδή ταῦτα διεῖλεν, ὡς ἔφην, ἀλλήλων ὁ λόγος, ἕως ὅτου [Fr. ὅτε] μόνα τά τοῦ Ἀδάμ κατά τε τήν ἀρχήν καί τό τέλος· φημί δέ τά κατα γένεσιν καί τήν φθοράν γνωρίσματα· τυραννικῶς ἐκράτει τῆς φύσεως, οὐκ ἦν καιρός τοῦ ἄρξασθαι τό κρῖμα πρός τελείαν τῆς ἁμαρτίας κατάκρισιν. Ὅ τε δέ διά σαρκός ἡμῖν ἐπεφάνη, καί γέγονε τέλειος ἄνθρωπος χωρίς μόνης ἁμαρτίας ὁ τοῦ Θεοῦ Λόγος, μόνον ἔχων ἐν τῇ σαρκί τοῦ Ἀδάμ φύσει κατά θέλησιν τό ἐπιτίμιον· καί κατέκρινε τήν ἁμαρτίαν ἐν τῇ σαρκί, ἀνευθύνως πάσχων ὑπέρ ἀδίκων ὁ δίκαιος· καί ἀνέτρεψε τήν χρῆσιν τοῦ θανάτου, κατάκριμα τῆς ἁμαρτίας αὐτόν [marg. τόν θάνατον δηλονότι] ἀπεργασάμενος, ἀλλ᾽ οὐ τῆς φύσεως, γέγονε καιρός τοῦ ἄρξασθαι τό κρῖμα κατά τήν ἀντιστροφήν τοῦ θανάτου πρός τήν τῆς ἁμαρτίας κατάκρισιν.

Οἷόν τι λέγω· τόν Ἀδάμ ἡ ἁμαρτία κατ᾽ ἀρχάς δελεάσασα, πρός παράβασιν ἐλθεῖν τῆς θείας παρέπεισεν ἐντολῆς· καθ᾽ ἥν τήν ἡδονήν ὑποστήσασα, καί ἑαυτήν διά τῆς ἡδονῆς ἐν αὐτῷ καθηλώσασα τῷ πυθμένι τῆς φύσεως, τόν θάνατον τῆς ὅλης κατέκρινε φύσεως, ὠθοῦσα πρός ἀπογένεσιν κατά τόν θάνατον διά τοῦ ἀνθρώπου, τήν φύσιν τῶν γεγονότων. Τοῦτο γάρ καί μεμηχάνηται τῷ σπορεῖ τῆς ἁμαρτίας, καί πατρί τῆς κακίας πονηρῷ διαβόλῳ· τῷ ἑαυτόν μέν ἐξ ὑπερηφανίας τῆς θείας ἐξοικίσαντι δόξης· διά φθόνον δέ τόν τε πρός ἡμᾶς καί τόν Θεόν, τοῦ παραδείσου τόν Ἀδάμ ἐξοικίσαντι, ἀφανίσαι τά ἔργα τοῦ Θεοῦ, καί διαλῦσαι τά συνεστῶτα πρός γένεσιν. Φθονεῖ γάρ οὐ μόνον ἡμῖν ὁ μιαρώτατος τῆς ἐπί τῷ Θεῷ διά τήν ἀρετήν δόξης·

ἀλλά καί τῷ Θεῷ τῆς ἐφ᾽ ἡμῖν διά τήν σωτηρίαν πανυμνήτου δυνάμεως.

Πάσης οὖν ἐκράτει δυναστεύων τῆς φύσεως ὁ διά τήν παράβασιν θάνατος, τοῦ κράτους ἔχων ὑπόθεσιν, τήν ἐκ τῆς παρακοῆς ἄρξασαν τῆς κατά τήν φύσιν ὅλης γενέσεως ἡδονήν· δι᾽ ἥν αὐτός ὁ θάνατος κατεκρίθη τῆς φύσεως. Ὁ δέ Κύριος γενόμενος ἄνθρωπος, καί μή λαβών προκαθηγουμένην αὐτοῦ τῆς κατά σάρκα γεννήσεως τήν ἄδικον ἡδονήν, δι᾽ ἥν ἡ διά τοῦ θανάτου κατά τῆς φύσεως ἐξηνέχθη δικαία κατάκρισις· αὐτόν δέ κατά φύσιν θέλων ἐν τῷ παθητῷ τῆς φύσεως καταδεξάμενος θάνατον· δηλονότι πάσχων, τήν τοῦ θανάτου χρῆσιν ἀνέστρεψεν, οὐκ ὄντα λοιπόν ἐν αὐτῷ τῆς φύσεως, ἀλλά τῆς ἁμαρτίας προδήλως κατάκρισιν. Οὐ γάρ ἦν δυνατόν εἶναι τόν θάνατον ἐν τῷ μή τήν γένεσιν ἐξ ἡδονῆς ἐσχηκότι, κατάκρισιν φύσεως, ἀλλά τῆς τοῦ προπάτορος ἁμαρτίας ἀναίρεσιν· δι᾽ ἥν ὁ τοῦ θανάτου φόβος ὅλης ἐκράτει τῆς φύσεως.

Εἰ γάρ ἐν τῷ Ἀδάμ ὁ θάνατος τῆς φύσεως ὑπῆρχε κατάκρισις, ἀρχήν ἐχούσης τήν ἡδονήν τῆς ἰδίας γενέσεως· εἰκότως ὁ θάνατος ἐν Χριστῷ τῆς ἁμαρτίας (636) κατάκρισις γέγονεν, ἡδονῆς καθαράν ἐν Χριστῷ πάλιν τῆς φύσεως ἀπολαβούσης τήν γένεσιν· ἵν᾽ ὥσπερ κατέκρινεν εἰς φθοράν ἐν τῷ Ἀδάμ κατά τήν ἡδονήν ἡ ἁμαρτία διά τοῦ θανάτου τήν φύσιν, καί γέγονε καιρός τοῦ κατακρίνεσθαι θανάτῳ τήν φύσιν διά τήν ἁμαρτίαν· οὕτως ἐν Χριστῷ κατά τήν δικαιοσύνην ἡ φύσις διά τοῦ θανάτου κατακρίνῃ τήν ἁμαρτίαν, καί γένηται καιρός τοῦ κατακρίνεσθαι θανάτῳ τήν ἁμαρτίαν, διά τήν δικαιοσύνην τῆς φύσεως, ἐκδυσαμένης ἐν Χριστῶ παντελῶς τήν ἐξ ἡδονῆς γένεσιν· καθ᾽ ἥν ἀναγκαίως τοῖς πᾶσιν ὡς χρέος ὁ τῆς κατακρίσεως παρείπετο θάνατος· ὥστε τόν αὐτόν θάνατον, ἐν μέν τῷ Ἀδάμ διά τήν ἁμαρτίαν κατάκρισιν ὑπάρχειν τῆς φύσεως· ἐν δέ τῷ Χριστῷ διά τήν δικαιοσύνην κατάκρισιν ὑπάρχειν τῆς ἁμαρτίας. Ὁ γάρ πάσχων δι᾽ ἁμαρτίαν εἰς κατάκρισιν τῆς φύσεως, δικαίως ὑπομένει τόν θάνατον· ὁ δέ μή πάσχων δι᾽ ἁμαρτίαν, ὡς χάριν μᾶλλον κατ᾽ οἰκονομίαν τῇ φύσει διδούς εἰς κατάκρισιν τῆς ἁμαρτίας, τόν διά τήν ἁμαρτίαν εἰς τήν αὐτῆς ἀναίρεσιν θέλων καταδέχεται θάνατον.

Οὐκοῦν ὥσπερ διά τόν Ἀδάμ τόν ὑποστήσαντα διά τῆς παρακοῆς τόν καθ᾽ ἡδονήν τῆς γενέσεως νόμον, καί τόν δι᾽ αὐτόν κατακριθέντα τῆς φύσεως θάνατον, πάντες οἱ ἐκ τοῦ Ἀδάμ τό εἶναι λαβόντες κατά τόν ἐξ ἡδονῆς τῆς γενέσεως νόμον, εἶχον ἀναγκαίως, καί μή

βουλόμενοι, συνεζευγμένον κατά δύναμιν τῇ γενέσει καί τόν κατακριθέντα τῆς φύσεως θάνατον· καί ἦν καιρός τοῦ κατακρίνεσθαι τήν φύσιν ὑπό τῆς ἁμαρτίας, ἐφ᾿ ὅσον ἐκράτει τῆς φύσεως ὁ τῆς καθ᾿ ἡδονήν τῆς γενέσεως νόμος· οὕτως διά τόν Χριστόν, τόν παντελῶς ἀφελόμενον τῆς φύσεως τόν καθ᾿ ἡδονήν τῆς γενέσεως νόμον, καί τοῦ δι᾿ αὐτόν κατακριθέντος τῆς φύσεως θανάτου τήν χρῆσιν, εἰς μόνον τῆς ἁμαρτίας κατάκρισιν βουλήσει καταδεξάμενον· πάντες οἱ ἀπό Χριστοῦ κατά θέλησιν πνεύματι διά λουτροῦ παλιγγενεσίας ἀναγεννηθέντες, καί τήν καθ᾿ ἡδονήν προτέραν τοῦ Ἀδάμ διά τῆς χάριτος ἀποθέμενοι γένεσιν, καί τήν ἐν τῷ βαπτίσματι χάριν τῆς ἀναμαρτησίας, καί τῆς ἐν πνεύματι μυστικῆς υἱοθεσίας τήν δύναμιν ἀμείωτόν τε καί ἄχραντον διά τοῦ νόμου τῶν εὐαγγελικῶν φυλάξαντες ἐντολῶν, εἰκότως εἰς τήν τῆς ἁμαρτίας κατάκρισιν ἔχουσι τήν τοῦ θανάτου χρῆσιν ἐνεργουμένην, καιρόν λαβόντες κατακρίνειν ἐν τῇ σαρκί τήν ἁμαρτίαν· γενικῶς μέν κατά φύσιν χάριτι διά τό μέγα μυστήριον τῆς ἐνανθρωπήσεως, αὐτόν τόν ἀπό τῆς τοῦ Λόγου σαρκώσεως χρόνον· ἰδικῶς δέ κατ᾿ ἐνέργειαν χάριτι, τόν ἀφ᾿ οὗ διά τοῦ βαπτίσματος ἔλαβεν ἕκαστος τήν χάριν τῆς υἱοθεσίας· καθ᾿ ἥν ἐνεργουμένην ταῖς ἐντολαῖς γνωμικῶς μόνην τήν ἐν πνεύματι γένεσιν ἔχοντες, διά πολλῶν παθημάτων εἰς κατάκρισιν τῆς ἁμαρτίας ὑπομένουσι τήν τοῦ θανάτου χρῆσιν αὐτοῖς ἐπαγομένην.

Οὐ γάρ ἔτι δι᾿ ἁμαρτίαν, ὁ βαπτισθείς, καί φυλάξας τό βάπτισμα ταῖς ἐντολαῖς κρατυνόμενον, ὡς χρέος ὑπέρ ἁμαρτίας καταβάλλεται τόν θάνατον· ἀλλ᾿ εἰς κατάκρισιν τῆς ἁμαρτίας τήν αὐτοῦ καταδέχεται χρῆσιν, πρός τήν θείαν καί ἀτελεύτητον ζωήν (637) μυστικῶς αὐτόν παραπέμπουσαν· εἴπερ ἀληθείας ἕνεκεν καί δικαιοσύνης, διά πολλῶν παθημάτων γενναίως τόν τῆς παρούσης ζωῆς πεπληρώκασι δρόμον οἱ ἅγιοι, τῆς διά τήν ἁμαρτίαν κατακρίσεως του θανάτου τήν φύσιν ἐν ἑαυτοῖς ἐλευθερώσαντες· καί τό πρός ἀναίρεσιν τῆς φύσεως ὅπλον τοῦ θανάτου, πρός ἀναίρεσιν τῆς ἁμαρτίας, κατά τόν ἀρχηγόν τῆς ἑαυτῶν σωτηρίας Ἰησοῦν, ποιησάμενοι. Εἰ γάρ ἡ ἁμαρτία πρός ἀναίρεσιν φύσεως, ὅπλον ἐν τοῖς αὐτήν κατά τόν Ἀδάμ ἐνεργοῦσιν εἶχεν τόν θάνατον· πολλῷ μᾶλλον ἐν τοῖς ἐνεργοῦσι τήν διά πίστεως ἐν Χριστῷ δικαιοσύνην, ὅπλον ἕξει τόν θάνατον πρός ἀναίρεσιν τῆς ἁμαρτίας ἡ φύσις.

Οὐκοῦν ἀφ᾿ οὗ γέγονε το μυστήριον τῆς ἐνανθρωπήσεως, καί ἐξεῖλε πάμπαν ὁ σαρκωθείς Θεός ἐν τοῖς κατ᾿ αὐτόν πνεύματι

γεννωμένοις, τήν τοῦ καθ᾽ ἡδονήν νόμου τῆς φύσεως γένεσιν, Καιρός, ὡς ἔφην, γέγονε τοῦ ἄρξασθαι τό κρῖμα ἀπό τοῦ οἴκου τοῦ Θεοῦ· τουτέστι, κατακριθῆναι τήν ἁμαρτίαν, τήν τοῦ κατακρίνεσθαι διά παθημάτων λαβοῦσαν ἀρχήν ἀπό τῶν πιστῶν καί ἐπεγνωκότων τήν ἀλήθειαν, καί τήν καθ᾽ ἡδονήν διά τοῦ βαπτίσματος γένεσιν ἀποθεμένων· τούτους γάρ ἐκέλεσεν οἶκον Θεοῦ, καθώς μαρτυρεῖ φάσκων ὁ θειότατος ἀπόστολος Παῦλος, Χριστός δέ ἐπί τόν οἶκον αὐτοῦ, οὗ ὁ οἶκός ἐσμεν ἡμεῖς. Καί αὐτός δέ διά τοῦ ἑξῆς λόγου παρίστησι λέγων Πέτρος, ἡ κορυφή τῶν ἀποστόλων· Εἰ δέ πρῶτον ἀφ᾽ ἡμῶν· ἤρξατο δηλονότι τό κρῖμα· τί τό τέλος τῶν ἀπειθούντων τῷ τοῦ Θεοῦ Εὐαγγελίῳ· ὡσανεί ἔλεγεν· Εἰ ἡμεῖς ὁ οἶκος Θεοῦ γενέσθαι χάριτι διά πνεύματος ἀξιωθέντες, τοσαύτην ὑπέρ δικαιοσύνης εἰς κατάκρισιν τῆς ἁμαρτίας ὑπομονήν ἐπιδείκνυσθαι παθημάτων ὀφείλομεν, καί ὡς κακοῦργοι τόν ἐφύβριστον, ἀγαθοί τυγχάνοντες, προθύμως ἀποφέρεσθαι θάνατον· τί τό τέλος τῶν ἀπειθούντων τῷ τοῦ Θεοῦ Εὐαγγελίῳ· τουτέστι, ποῖον ἔσται τό τέλος, ἤγουν ἡ κρίσις, τῶν οὐ μόνον ζῶσάν τε καί ἐνεργουμένην, κατά τε ψυχήν καί σῶμα, γνώμῃ τε καί φύσει, τήν καθ᾽ ἡδονήν τοῦ Ἀδάμ κρατήσασαν τῆς φύσεως γένεσιν μέχρι τέλους διά σπουδῆς ἐσχηκότων· ἀλλά μήτε προδεξαμένων παρακαλοῦντα τόν Θεόν καί Πατέρα δι᾽ Υἱοῦ σαρκωθέντος· μήτε μήν αὐτόν τόν ὑπέρ τοῦ Πατρός πρεσβεύοντα Μεσίτην καί Υἱόν, καί ὑπέρ τῆς ἡμῶν εἰς τόν Πατέρα καταλλαγῆς, ἑαυτόν βουλήσει τοῦ Πατρός εἰς τόν ὑπέρ ἡμῶν θάνατον κατά θέλησιν προϊέμενον, ὅπως δι᾽ ἑαυτόν ἡμᾶς τοσοῦτον δοξάσῃ, τῷ κάλλει καταφαιδρύνας τῆς οἰκείας θεότητος, ὅσον δι᾽ ἡμᾶς αὐτός κατεδέξατο τοῖς ἡμῶν ἀτιμασθῆναι παθήμασι. Τοῦτο γάρ, ὡς οἶμαι, τυχόν ἐστι, τό τοῦ Θεοῦ Εὐαγγέλιον· πρεσβεία τε Θεοῦ, καί παράκλησις πρός ἀνθρώπους δι᾽ Υἱοῦ σαρκωθέντος, καί τῆς τόν Πατέρα καταλλαγῆς μισθόν δωρουμένου τοῖς πειθομένοις αὐτῷ, τήν ἀγέννητον θέωσιν.

(640) Διό σχετλιάζων τοῖς ἐφεξῆς τούς ἀπειθεῖς ὁ μέγας ἀπόστολος, φησί, Καί εἰ ὁ δίκαιος μόλις σώζεται, ὁ ἀσεβής καί ἁμαρτωλός ποῦ φανεῖται; δίκαιον λέγων, ὡς εἰκός, τόν πιστόν καί φύλακα τῆς δοθείσης κατά τό βάπτισμα χάριτος, καί διά πολλῶν παθημάτων ἀκαθαίρετον διατετηρηκότα τήν διά τοῦ Πνεύματος υἱοθεσίαν· σωτηρίαν δέ, τήν ἐκ Θεοῦ τοῖς ἀξίοις δοθησομένην πληρεστάτην τῆς θεώσεως χάριν· ἧς μόλις ἐπιτεύξεται, καί ὁ κατ᾽ ἄκρον πάντων τῶν

θείων ἀνθεκτικός· ἀσεβῆ δέ καί ἁμαρτωλόν, τόν τῆς εὐαγγελικῆς ἀλλότριον χάριτος· ἀσεβῆ μέν, διά τήν εἰς Χριστόν ἀπιστίαν· ἁμαρτωλόν δέ, διά τήν ζῶσαν ἐν αὐτῶ κατά τήν φθοράν τῶν παθημάτων τῆς παλαιότητος γένεσιν. Ἤ τυχόν, ἀσεβῆ μέν ἐκάλεσεν ὁ λόγος, τόν μόνης παντελως ἐστερημένον τῆς κατά Χριστόν ἐπιγνώσεως· ἁμαρτωλόν δέ, τόν πιστόν μέν, παραβάτην δέ κατ᾿ ἐμέ τῶν εὐαγγελικῶν ἐντολῶν, τῶν καθαρόν διατηρουσῶν τόν διά τοῦ ἁγίου βαπτίσματος χιτῶνα τῆς ἀφθαρσίας· ὧν ἡ θέσις· τοῦ ἀσεβοῦς τέ φημι καί ἁμαρτωλοῦ· τοῖς ἐπιμελουμένοις τῆς μυστικῆς ποσῶς κατείληπται γνώσεως· τό γάρ ποῦ, θέσιν δηλοῖ σαφῶς, τοπικῆς οὐκ ἀμοιροῦσαν περιγραφῆς· ἧς εἴπερ ἡ τοῦ δικαίου θέσις ἀντιδιαιρεῖται, οὐκ ἔσται ποῦ πάντως κατά τήν θέσιν ὁ δίκαιος, τήν ὑπέρ τό ποῦ κατά τήν χάριν εἰληφώς θέσιν αὐτόν τόν Θεόν, ὡς ἡ ὑπόσχεσις· ὁ γάρ Θεός, οὐ ποῦ, ἀλλά παντός ἀσχέτως ἐπέκεινα ποῦ, ἐν ᾧ πάντων τῶν σωζομένων ἡ ἵδρυσις ἔσται, κατά τό γεγραμμένον· Γενοῦ μοι εἰς Θεόν ὑπερασπιστήν, καί εἰς τόπον ὀχυρόν τοῦ σῶσαί με. Οὗ τινος πᾶς ὁ μή καθ᾿ ὁτιοῦν μεθέξων τῆς τοῦ εὖ εἶναι κατά σχέσιν δυνάμεως, μέλει σώματος ἐοικώς ἔσται πάμπαν ἀμοιροῦντι τῆς κατά ψυχήν ζωτικῆς ἐνεργείας.

Ἤ πάλιν, ἐπειδή πάντων τῶν σωζομένων ὁ Θεός ἔσται τόπος, ἀπερίγραφός τε καί ἀδιάσταστος καί ἄπειρος, πᾶσι πάντα γινόμενος κατά τήν ἀναλογίαν τῆς δικαιοσύνης· μᾶλλον δέ κατά τό μέτρον τῶν μετά γνώσεως ὑπέρ δικαιοσύνης ἐνταῦθα παθημάτων, ἑαυτόν ἑκάστῳ καταδωρούμενος, καθάπερ ψυχή σώματος μέλεσι κατά τήν ὑποκειμένην ἑκάστῳ μέλει δύναμιν, ἑαυτήν ἐνεργοῦσαν ἐκφαίνουσα, καί πρός τό εἶναι δι᾿ ἑαυτῆς τά μέλη συνάπτουσα πρός ζωήν συγκρατούμενα· ὁ ἀσεβής καί ἁμαρτωλός που φανεῖται, ταύτης ἐστερημένος τῆς χάριτος. Ὁ γάρ μή (641) δυνάμενος ἐνεργουμένην τήν κατά τό εὖ εἶναι τοῦ Θεοῦ δέξασθαι παρουσίαν, ποῦ φανεῖται τῆς θείας ζωῆς τῆς ὑπέρ αἰῶνα καί τόπον καί χρόνον, ὑπομείνας τήν ἔκπτωσιν.

Οὐκοῦν εἴτε κατά τήν πρώτην ἐπιβολήν καταφατικῶς, ὁ ἀσεβής καί ἁμαρτωλός που φανεῖται, περιγεγραμμένης οὐκ ἔσται ζωῆς τό παράπαν ἐλεύθερος· τήν πᾶσαν διαφεύγουσαν περιγραφήν, καί παντός ἐπέκεινα τόπου ζωήν οὐκ ἔχων. Εἴτε κατά τήν δευτέραν ἀποφατικῶς, Ποῦ φανεῖται, τόν Θεόν οὐκ ἔχων πρός τό εὖ συνέχοντα τήν ζωήν, τόν μέλλοντα πᾶσιν γίνεσθαι τόπον τοῖς ἀξίοις. Πῶς ἔσται,

τόπον αὐτόν οὐκ ἔχων τόν Θεόν, κατά τήν τοῦ εὖ εἶναι ἐν Θεῷ μονήν τε καί ἵδρυσιν. Καί ἁπλῶς εἰπεῖν, εἰ μετά πολλῆς δυσχερείας ὁ δίκαιος σώζεται, τί ἔσται, ἤ τί πείσεται ὁ μηδένα λόγον εὐσεβείας καί ἀρετῆς κατά τήν παροῦσαν ζωήν ποιησάμενος.

ΣΧΟΛΙΑ.

α'. Ἡδονή καί ὀδύνη, τῇ φύσει φησί τῆς σαρκός οὐ συνεκτίσθησαν· ἀλλ᾽ ἡ παράβασις, τήν μέν ἐπενόησεν εἰς φθοράν τῆς προαιρέσεως· τήν δέ κατεδίκασεν εἰς λύσιν τῆς φύσεως· ἵνα ἡ μέν ἡδονή, ψυχῆς ἑκούσιον ἐργάσηται θάνατον τῆς ἁμαρτίας· ἡ δέ ὀδύνη διά τῆς λύσεως, τήν κατ᾽ εἶδος ποιήσεται τῆς σαρκός ἀπογένεσιν.

β'. Ὅτι κατά πρόνοιαν πρός κόλασιν τῆς κατά προαίρεσιν ἡδονῆς, δέδωκεν ὁ Θεός τῇ φύσει τήν παρά προαίρεσιν ὀδύνην, καί τόν ἐπ᾽ αὐτῇ θάνατον.

γ'. Ἡ τῶν ἑκουσίων πόνων ἐπίνοια, καί ἡ τῶν ἀκουσίων ἐπαγωγή, φησίν, ἀφαιροῦνται μέν τήν ἡδονήν, τήν κατ᾽ ἐνέργειαν αὐτῆς καταπαύουσαν κίνησιν· οὐκ ἀναιροῦσι δέ τήν ὥσπερ νόμον τῇ φύσει πρός γένεσιν ἐγκειμένην αὐτῆς δύναμιν. Ἡ γάρ κατ᾽ ἀρετήν φιλοσοφία, γνώμης ἀπάθειαν, ἀλλ' οὐ φύσεως ἐργάζεσθαι πέφυκε· καθ᾽ ἥν γνωμικήν ἀπάθειαν, ἡ κατά νοῦν τῆς θείας ἡδονῆς ἐπιγίνεται χάρις.

δ'. Ἄδικον ἡδονήν λέγει, τόν ἐκ τῆς παραβάσεως ἐμφυρέντα τῇ φύσει νόμον τῆς ἁμαρτίας.

ε'. Μέσον ὀφείλοντα πρός τήν τῶν ἄκρων ἀναίρεσιν ἀναδειχθῆναι λέγει, τόν τοῦ Κυρίου πόνον καί θάνατον, ὡς ἡδονῆς ἐσχηκότος ἐλευθέραν τήν γένεσιν, καί ζωῆς ἐμπαθοῦς καθαρόν τόν θάνατον τῆς δι᾽ ἡμᾶς αὐτοῦ θείας σαρκός· καθ᾽ ἥν γένεσίν τε καί γέννησιν καί θάνατον δι᾽ ἡμᾶς ἑκουσίως ὑπέμεινεν· ἵνα τήν ἡμῶν ἐξ ἡδονῆς γένεσιν, καί τόν ἐξ ἐμπαθοῦς ζωῆς θάνατον, ἀφέλῃ μέσος ἀναφανείς, καί πρός ἑτέραν ἡμᾶς μετάγῃ ζωήν, ἀρχῆς ἐλευθέραν χρονικῆς καί τέλους, ἥν οὐ φύσις ἐλλ᾽ ἡ χάρις δημιουργεῖ.

στ'. Ὅτι παντελῶς φησιν ἀμήχανον ἦν, τήν φύσιν ὑποβληθεῖσαν τῇ τε κατά προαίρεσιν ἡδονῇ, καί τῇ παρά προαίρεσιν ὀδύνῃ, πάλιν πρός τήν ἐξ ἀρχῆς ἀνακληθῆναι ζωήν, εἰ μή γέγονεν ἄνθρωπος ὁ δημιουργός, προαιρέσει δεχόμενος τήν πρός κόλασιν τῆς κατά προαίρεσιν τῆς φύσεως ἡδονῆς ἐπινοηθεῖσαν ὀδύνην, οὐκ ἔχουσαν προηγουμένην αὐτῆς τήν (644) ἐξ ἡδονῆς γένεσιν· ἵνα τῆς ἐκ

καταδίκης ἐλευθερώσῃ τήν φύσιν γεννήσεως, ἐξ ἡδονῆς ἀρχήν οὐκ ἔχουσαν καταδεχόμενος γέννησιν.

ζ'. Τό διά θανάτου τέλος τοῦ Κυρίου.

η'. Τῷ παθητῷ δῆλον ὅτι τῆς φύσεως.

θ'. Πῶς τῆς ὀδύνης πλέον τό κατά φύσιν ἐπιτείνομεν πρόστιμον, διά τῆς ἡδονῆς αὐτήν παραμυθεῖσθαι σπουδάζοντες.

ι'. Τό μέν σοφόν τοῦ Θεοῦ φησιν, ἐν τῷ γενέσθαι φύσει κατ᾽ ἀλήθειαν ἄνθρωπον δείκνυται· τό δέ δίκαιον, ἐν τῷ παθητόν κατά τήν γένεσιν ὁμοίως ἡμῖν ἀνειληφέναι τῆς φύσεως· τό δέ δυνατόν, ἐν τῷ διά παθημάτων καί θανάτου ζωήν ἀΐδιον τῇ φύσει δημιουργῆσαι, καί ἀπάθειαν ἄτρεπτον.

ια'. Ὅτι τήν ἐκ τοῦ νόμου τῆς ἁμαρτίας ἡδονήν εἰς ἀθέτησιν τῆς κατά σάρκα γεννήσεως τῶν ἐν αὐτῷ χάριτι διά Πνεύματος γεννωμένων ὁ Κύριος ἀφελόμενος, τόν εἰς καταδίκην τό πρότερον ὄντα τῆς φύσεως, εἰς τήν τῆς ἁμαρτίας κατάκρισιν αὐτοῖς συγχωρεῖ δέχεσθαι θάνατον.

ιβ'. Ἀρχήν ἔσχεν μετά τήν παράβασιν, φησίν, ἡ τῶν ἀνθρώπων φύσις τῆς ἰδίας γενέσεως, τήν καθ᾽ ἡδονήν ἐκ σπορᾶς σύλληψιν, καί τέλος τόν κατ᾽ ὀδύνην διά φθορᾶς θάνατον. Ὁ δέ Κύριος ταύτην οὐκ ἔχων ἀρχήν τῆς κατά σάρκα γεννήσεως, οὔτε τῷ τέλει, τουτέστι τῷ θανάτῳ, κατά φύσιν ὑπῆρχεν ἁλωτός.

ιγ'. Ὅτι τήν εἰς τό μή ὄν ἀπογένεσιν δέξασθαι τήν τῶν γεγονότων φύσιν προσδοκῶν ὁ διάβολος, ἠγωνίσατο τῆς θείας ἐντολῆς παραβάτην δεῖξαι τόν ἄνθρωπον.

ιδ'. Ὅτι φθονῶν τῷ Θεῷ καί ἡμῖν ὁ διάβολος, δόλῳ τόν ἄνθρωπον ὑπό Θεοῦ φθονεῖσθαι παραπείσας, παραβῆναι τήν ἐντολήν παρεσκεύασε· τῷ Θεῷ μέν, ἵνα μή φανερά γένηται κατ᾽ ἐνέργειαν ἡ πανύμνητος αὐτοῦ δύναμις θεουργοῦσα τόν ἄνθρωπον· τῷ δέ ἀνθρώπῳ προδήλως, ἵνα μή γένηται τῆς θείας ἐν εἴδει κατ᾽ ἀρετήν μέτοχος δόξης.

ιε'. Ὅτι γενική κατάκρισίς ἐστι, φησί, τοῦ κατά τήν παράβασιν κρατήσαντος νόμου τῆς φύσεως, ἡ τοῦ Θεοῦ κατ᾽ ἀλήθειαν ἐνανθρώπησις· ἰδική δέ τούτου τοῦ νόμου κατάκρισίς ἐστιν, ἡ κατά Χριστόν γνωμική τοῦ καθ᾽ ἕκαστον ἀναγέννησις.

ιστ'. Ἀγέννητον εἶπε θέωσιν, τήν κατ᾽ εἶδος ἐνυπόστατον τῆς θεότητος ἔλλαμψιν, ἥτις οὐκ ἔχει γένεσιν, ἀλλ᾽ ἀνεννόητον ἐν τοῖς ἀξίοις φανέρωσιν.

ιζ'. Πῶς τό ποῦ δεῖ θεωρεῖν.

ιη'. Ὁ μή καθαράν τήν θείαν ληψόμενος ζωήν, φησίν, ἐν ᾗ περιγραφῆς λόγος τό παράπαν οὐκ ἔστιν ὀδύνης ἐλεύθερος οὐκ ἔσται, τήν γενητήν ἔχων διηνεκῶς τήν αὐτοῦ περιγράφουσαν ὕπαρξιν, ἤγουν σενέχουσαν, ἀλλ᾽ οὐ τήν ἀγέννητον, καί πάσης ἐλευθέραν θέσεως τοπικῆς καί κινήσεως χρονικῆς· καί μηδεμίαν κατάληψιν ἔχουσαν· καί διά τοῦτο, μηδέ περιγραφήν. Ἡ γάρ θεία ζωή καί ἀνεννόητος, κἄν ἀπόλαυσιν δίδωσιν ἑαυτῆς τοῖς κατά χάριν μεθέξουσιν, ἀλλ᾽ οὐ κατάληψιν. Μένει γάρ (645) ἀεί, κἄν τῇ μεθέξει τῶν ἀπολαυόντων αὐτῆς, ἀκατάληπτος, ὅτι κατά φύσιν ὡς ἀγέννητος ἔχει τήν ἀπειρίαν.

ιθ'. Ὁ μέν Θεός φησι, κατά μίαν ἀπειροδύναμον τῆς ἀγαθότητος αὐτοῦ βούλησιν πάντας συνέξει καί ἀγγέλους καί ἀνθρώπους· ἀγαθούς τε καί πονηρούς· οὗτοι δέ πάντες, οὐκ ἴσως μεθέξουσι Θεοῦ, τοῦ διά πάντων ἀσχέτως χωρήσοντος· ἀλλ' ἀναλόγως ἑαυτοῖς. Οἱ μέν τῇ φύσει φυλάξαντες ἰσονομοῦσαν διά πάντων τήν γνώμην, καί τῶν τῆς φύσεως λόγων κατ' ἐνέργειαν δεκτικήν αὐτήν καταστήσαντες, καθ᾽ ὅλον τόν τοῦ ἀεί εὖ εἶναι λόγον, διά τήν πρός τήν θείαν βούλησιν τῆς γνώμης εὐπάθειαν, ὅλως μεθέξουσι τῆς ἀγαθότητος κατά τήν αὐτοῖς ἐπιλάμπουσαν ὡς ἐν ἀγγέλοις, ἤ ὡς ἐν ἀνθρώποις, θείαν ζωήν. Οἱ δέ τῇ φύσει ποιήσαντες ἀνισομοῦσαν διά πάντων τήν γνώμην, καί τῶν τῆς φύσεως λόγων κατά τήν ἐνέργειαν σκεδαστικήν αὐτήν ἀποδείξαντες, καθ᾽ ὅλον τόν τοῦ εὖ εἶναι λόγον, διά τήν πρός τήν θείαν βούλησιν τῆς γνώμης ἀντιπάθειαν, ὅλης ἐκπεσοῦνται τῆς ἀγαθότητος, κατά τήν ἐμφαινομένην αὐτοῖς πρός τό φεῦ εἶναι τῆς γνώμης οἰκείωσιν· καθ᾽ ἥν πρός τόν Θεόν ἔσται τῶν τοιούτων διάστασις, οὐκ ἐχόντων κατά τήν πρόθεσιν τῆς γνώμης, ταῖς ἐνεργείαις τῶν ἀγαθῶν τόν τοῦ εὖ εἶναι λόγον ζωογονούμενον, καθ᾽ ὅν ἡ θεία ζωή διαφαίνεσθαι πέφυκε. Ζυγός οὖν τῆς ἑκάστου γνώμης ἔσται κατά τήν κρίσιν, ὁ τῆς φύσεως λόγος, τήν πρός τό φεῦ, ἤ εὖ αὐτῆς διαλέγχων κίνησιν, καθ᾽ ἥν ἡ τῆς θείας ζωῆς μέθεξις ἤ ἀμεθεξία γίνεσθαι πέφυκε. Κατά γάρ τό εἶναι, καί ἀεί πάντας συνέξει παρών ὁ Θεός· κατά δέ τό ἀεί εὖ εἶναι, μόνους ἰδιοτρόπως τούς ἁγίους ἀγγέλους τε καί ἀνθρώπους· τό ἀεί φεῦ εἶναι τοῖς μή τοιούτοις ὡς γνώμης καρπόν ἀφείς ἐπικιρνώμενον.

*ΕΡΩΤΗΣΙΣ ΞΒ'.*

***Τί ἐστιν ὅ λέγει Ζαχαρίας ὁ ἅγιος Προφήτης, "Καί ἦρα τούς ὀφθαλμούς μου, καί ἴδον· καί ἰδού δρέπανον πετόμενον, μῆκος πήχεων εἴκοσι, καί πλάτος πήχεων δέκα· καί εἶπε πρός με, Αὕτη ἐστίν ἡ ἀρά ἡ ἐκπορευομένη ἐπί πρόσωπον πάσης τῆς γῆς." Καί μετ᾿ ὀλίγα, "Καί ἐξοίσω αὐτό, λέγει Κύριος παντοκράτωρ, καί εἰσελεύσεται εἰς τόν οἶκον τοῦ κλέπτου, καί εἰς τόν οἶκον τοῦ ὀμνύοντος ἐν τῷ ὀνόματί μου ψευδῶς· καί καταλύσει αὐτόν, καί τά ξύλα αὐτοῦ, καί τούς λίθους αὐτοῦ." Τί τό δρέπανόν ἐστι, καί τό μέτρον τοῦτε μήκους καί τοῦ πλάτους· καί διά τί πετόμενον; καί τίς ὁ κλέπτης καί ἐπίορκος, καί τίς ὁ τούτου οἶκος· τίνα τά ξύλα, καί τίνες οἱ λίθοι;***

(648) Ἀπόκρισις.

Ὁ φήσας Θεός· Ὁράσεις ἐπλήθυνα, καί ἐν χερσί τῶν προφητῶν ὡμοιώθην· τῆς ἐπί τῇ σωτηρίᾳ τῶν ἀνθρώπων διά σαρκός αὐτοῦ θαυμαστῆς ἐπιδημίας, τοῖς συμβόλοις διαποικίλας προκατεβάλετο ὑποτυπώσεις· ἄλλην δι᾿ ἄλλου τῶν προφητῶν, ὧν ἕκαστος ἦν χωρητικός, προδεικνύμενος· οὐκοῦν καί τῷ μεγάλῳ προφήτῃ Ζαχαρίᾳ, τῶν οἰκείων μυστηρίων δωρούμενος τήν μύησιν, καί οἷον ἐπ᾿ ὄψιν ἄγων αὐτῷ πρός κατανόησιν τῆς μελλούσης αὐτοῦ διά σαρκός παρουσίας τήν δύναμιν, δρέπανον αὐτῶ κατά τήν θεωρίαν σοφῶς διεσκεύασε· διδάσκων ὡς αὐτόν ἔμελλεν, ὁ τοῖς τύποις ἑαυτόν πολυειδῶς ταῖς τῶν προφητῶν ὁράσεσι μυστικῶς διαπλάσας, τήν ἡμετέραν ἑκουσίως κατ᾿ ἀλήθειαν ὑπελθεῖν φύσει διάπλασιν, ἵνα δείξῃ τοῖς πράγμασι παροῦσαν τήν προμηνυθεῖσαν διά τῶν τύπων ἀλήθειαν.

Δρέπανον οὖν ἐστιν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, ὁ τοῦ Θεοῦ μονογενής Υἱός καί Λόγος· ὁ δι᾿ ἑαυτόν μέν κατά φύσιν ἁπλοῦς καί ὤν, καί ἀεί διαμένων· δι᾿ ἐμέ δέ κατά πρόσληψιν σαρκός νοερῶς ἐψυχωμένης, ὡς οἶδεν αὐτός, γινόμενος καθ᾿ ὑπόστασιν σύνθετος· οὔτε τῇ κατ᾿ ἄκρον πρός τήν σάρκα καθ᾿ ὑπόστασιν ἑνώσει τήν εἰς μίαν φύσιν παραδεχόμενος σύγχυσιν, οὔτε τῇ κατ᾿ ἄκρον πρός τήν σάρκα κατά τήν φύσιν διαφορᾷ, πρός υἱῶν δυάδα τεμνόμενος. Ἄκρον δέ φημι, τῆς μέν καθ᾿ ὑπόστασιν ἑνώσεως, τό παντελῶς ἀδιαίρετον· τῆς δέ κατά φύσιν διαφορᾶς ἄκρον, τό παντελῶς ἀσύγχυτον καί ἀναλλοίωτον· ὅτι μηδέ συνεπάγεται παντελῶς, τῇ κατά φύσιν τῶν ἐξ

ὧν συνέστηκεν ἑτερότητι, καί τήν καθ᾽ ὑπόστασιν διαφοράν, τό μυστήριον τῆς θείας σαρκώσεως· οὔτε μήν τῇ καθ᾽ ὑπόστασιν ἑνώσει, τήν εἰς μίαν φύσιν σύγχυσιν· τό μέν, ἵνα μή προσθήκην λάβῃ τό τῆς Τριάδος μυστήριον· τό δέ, ἵνα μηδέν ᾖ τῇ θεότητι ὁμογενές κατά φύσιν καί ὁμοούσιον. Δύο γάρ φύσεων πρός ὑπόστασιν· ἀλλ᾽ οὐ πρός φύσιν μίαν γέγονε σύνοδος· ἵνα καί τό καθ᾽ ὑπόστασιν ἕν, ἐκ τῶν ἀλλήλαις συνδραμουσῶν φύσεων δειχθῇ κατά τήν ἕνωσιν ἀποτελούμενον· καί τό διάφορον τῶν συνελθόντων πρός τήν ἀδιάσπαστον ἕνωσιν, κατά τήν φυσικήν ἰδιότητα πιστευθῇ πάσης ἐκτός μόνον τροπῆς καί συγχύσεως.

Εἰ γάρ πρός φύσεως γένεσιν ἡ τῶν φύσεων γέγονε σύνοδος, ἀδιάγνωστον ἄν ἦν ἡμῖν παντελῶς τό τῆς ἡμῶν σωτηρίας μυστήριον· οὐκ ἔχουσιν πόθεν, ἤ πῶς δυνηθῆναι μαθεῖν τήν πρός ἡμᾶς τοῦ Θεοῦ συγκατάβασιν· εἰς τήν θείαν φύσιν διά τήν θείαν ἕνωσιν τῆς σαρκός μεταβληθείσης, ἤ τῆς θείας εἰς τήν σαρκός οὐσίαν μετατραπείσης· ἤ ἀμφοῖν πρός ἄλλης παρ᾽ ἑαυτάς γένεσιν κατά τινα μίξιν συμφυρεισῶν· καί μηδετέρας τῶν ἐξ ὧν ἐστι φύσεων, τόν λόγον ἀλώβητον φερούσης. Εἴτε γάρ εἰς θεότητος φύσιν ἡ σάρξ, εἴτε πρός σάρκα ἡ τῆς θεότητος μετεβλήθη φύσις· εἴτε πρός ἄλλης γένεσιν φύσεως παρά ταύτας (649) ὁ τῆς πρός φύσιν μίαν ἑνώσεως τρόπος τάς φύσεις συνώθησεν, ἐγώ τό μυστήριον τῆς θείας σαρκώσεως οὐκ ἐπιγινώσκω, φυσικήν οὐχ εὑρίσκων μετά τήν ἕνωσιν ἐν τῷ μυστηρίῳ διαφοράν σαρκός καί θεότητος. Εἰ δέ σαρκός ἐν Χριστῷ καί θεότητος μετά τήν ἕνωσιν ὑπάρχει κατά φύσιν διαφορά· οὐ γάρ ταυτόν κατ᾽ οὐσίαν ποτέ θεότης καί σάρξ· πρός φύσεως μιᾶς γένεσιν ἡ τῶν συνελθόντων οὐδαμῶς γέγονεν ἕνωσις· ἀλλά πρός μίαν ὑπόστασιν· καθ᾽ ἥν οὐδεμίαν ἐν Χριστῷ οἱονδήποτε τρόπον εὑρίσκομεν διαφοράν. Ταυτόν γάρ τῇ οἰκείᾳ σαρκί κατά τήν ὑπόστασιν ὁ Λόγος. Καθ᾽ ὅ γάρ ὁ Χριστός τήν οἱανδήποτε ἐπιδέχεται διαφοράν, ἕν εἶναι κατά πάντα τρόπον οὐ δύναται. Καθ᾽ ὅ δέ τήν οἱανοῦν παντελῶς οὐκ ἐπιδέχεται διαφοράν, κατά πάντα τρόπον τό ἕν ἐπ᾽ αὐτοῦ διά παντός εὐσεβῶς ἔχει καί ὄν καί λεγόμενον.

Οὐκοῦν ἐπειδή πᾶσα μέν διαφορά καθ᾽ ὅ διαφορά πάντως ὑποκείμενον ἔχει ποσόν τῶν διαφερόντων· ποσοῦ γάρ χωρίς, οὐκ ἄν εἴη ποτέ διαφορά· τό δέ ποσόν, ἀριθμοῦ χωρίς οὐ δέχεται δήλωσιν· καλῶς ἄν πρός μόνην τήν δήλωσιν τῆς διαφορᾶς τῶν ἐξ ὧν ἔστι φύσεων ὁ Χριστός μετά τήν ἕνωσιν, τόν ἀριθμόν παραλαμβάνομεν,

σημαίνοντες ἀτρέπτους σώζεσθαι τάς φύσεις μετά τήν ἕνωσιν· ἀλλ᾽ οὐ διαιροῦντες τῷ ἀριθμῷ τῶν εἰς ὑπόστασιν μίαν συνδεδραμηκότων τήν ἕνωσιν· καί δηλοῦμεν τοῦτο φρονοῦντες, τῷ τῆς ὑποστάσεως λόγῳ, καθοτιοῦν ἀριθμόν οὐκ ἐπάγοντες. Ὧι γάρ οὐκ ἐπιθεωρεῖται διαφορά παντελῶς, οὐδέ ποσόν συνεισάγεται. Τό δέ ποσόν οὐκ ἔχον συνεισαγόμενον, οὔτε τόν δηλωτικόν τῆς διαφορᾶς ἀριθμόν ἐπιδέχεται. Σύνθετον οὖν κατά τήν ὑπόστασιν, καθ᾽ ἥν ἡ ταυτότης καί τό πάντη θεωρεῖται μοναδικόν· ἵνα καί τό ταυτόν καί μοναδικόν φυλάξωμεν τῆς ὑποστάσεως, καί τήν διαφοράν τῶν πρός ὑπόστασιν μίαν συνδραμουσῶν ὁμολογήσωμεν φύσεων. Οὗτός ἐστιν ὅν ἴδε σχήματι δρεπάνου πετόμενον ὁ θαυμαστός Ζαχαρίας. Ἐκθεριστικός γάρ πάσης κακίας τε καί ἀγνωσίας ἐστίν ὁ τοῦ Θεοῦ Λόγος.

Μῆκος αὐτοῦ, φησί, πήχεων εἴκοσι· καί πλάτος αὐτοῦ, πήχεων δέκα. Ὡς μέν οὖν Θεός καί Λόγος ὁ Χριστός, εἰς δέκα πήχεις, τάς ἐμπράκτους λέγω καί θείας ἐντολάς, τῷ τῆς Προνοίας τρόπῳ κατά πρόοδον πλατύνεσθαι πέφυκεν. Εἰς δεκάδα γάρ ἐντολῶν ὁ τοῦ Θεοῦ πλατύνεται λόγος· δι᾽ ὧν τήν τε τῶν δεόντων ἐνέργειαν, καί τῶν οὐ δεόντων τήν ἀργίαν νομοθετήσας, πᾶσαν περιέσχεν τῶν προνοουμένων τῆς αὐθαιρέτου γνώμης τήν κίνησιν. Ὡς δέ γενόμενος σάρξ ὁ αὐτός, καί τελείως ἐνανθρωπήσας, εἰς εἴκοσι πήχεις μηκύνεται· διά τήν ἐπ᾽ αἰσθήσεσι τῶν στοιχείων πρός γένεσιν σώματος σύνθεσιν. Πέντε γάρ αἰσθήσεις ὑπάρχουσι, καί τέσσαρα τυγχάνει τά στοιχεῖα· ἐξ ὧν κατά σύνοδον ἡ τῶν ἀνθρώπων συνέστηκε φύσις. Πέντε δέ ἐπί τέσσαρα συντιθέμενα, ποιεῖ τόν εἴκοσι σαφῶς ἀριθμόν. Μῆκος δέ τόν τῆς οἰκονομίας ἡ Γραφή προσηγόρευσε τρόπον, (652) διά τε τό ὕψος, καί τό ὑπέρ πᾶσαν εἶναι φύσιν τό μυστήριον τῆς θείας ἐνανθρωπήσεως.

Πετόμενον δέ, διά τε τό μηδέν ἔχειν ἐπίγειον διά τε τό ταχύ καί ὀξυκίνητον· καί συνελόντα φάναι, συντετμημένον τοῦ λόγου, καί πᾶσαν τήν τῶν ἀνθρώπων σωτηρίαν μόνῃ περιγράφον τῇ καρδίᾳ τῶν σωζομένων· κατά μόνην τήν πίστιν καί τήν ἀγαθήν συνείδησιν συνεχομένην. Οὐδέν γάρ τοῦ πιστεύειν ταχύτερον· καί τοῦ, διά στόματος ὁμολογεῖν τοῦ πιστευθέντος τήν χάριν, ἐστίν εὐκολώτερον. Τό μέν γάρ δηλοῖ τήν ἔμψυχον πρός τόν πεποιηκότα τοῦ πεπιστευκότος ἀγάπην· τό δέ, τήν θεοφιλῆ πρός τόν πλησίον διάθεσιν. Ἀγάπη δέ, καί γνησία διάθεσις· ἤγουν πίστις, καί ἀγαθή συνείδησις· ἔργον προδήλως τοῦ κατά καρδίαν ἀφανοῦς ὑπάρχει κινήματος, τῆς

ἐκτός ὕλης πρός γένεσιν παντελῶς οὐ δεόμενος. Λόγον γάρ συντετμημένον, φησί, ποιήσει Κύριος ἐπί τῆς γῆς.

Οὗτός ἐστιν ἡ ἀρά, ἥν ἐξέπεμψεν ἐπί πρόσωπον πάσης τῆς γῆς ὁ Θεός καί Πατήρ· ἡ ὄντως ἀρά τῆς ἀληθινῆς. Ἐπειδή γάρ γέγονεν ἀρά διά τῆς παραβάσεως, ἡ παρακοή τοῦ Ἀδάμ, μή συγχωρήσασα πρός γένεσιν καρπῶν δικαιοσύνης αὐξηθῆναι τήν ἐντολή, ἵνα λάβῃ τήν εὐλογίαν ἡ κτίσις, ἐν τῇ ἀρᾷ γίνεται τοῦ Ἀδάμ, ἡ κατά φύσιν τοῦ Θεοῦ καί Πατρός εὐλογία· τῆς καθ᾽ ἁμαρτίαν ἀρᾶς ἀρά γινομένη, πρός ἀναίρεσιν τῆς πρός γένεσιν καρπῶν ἀδικίας αὐξηθείσης παρακοῆς, ἵνα λάβῃ στέρησιν τῆς καθ᾽ ἁμαρτίαν αὐξήσεως ἡ κτίσις. Κατάρα γάρ δι᾽ ἐμέ, καί ἁμαρτία γέγονε, κατά τόν θεῖον Ἀπόστολον ὁ τήν ἐμήν λύων κατάραν, καί τοῦ κόσμου αἴρων τήν ἁμαρτίαν.

Δύο γάρ κατάρας εἶχον ἐγώ· μίαν μέν, καρπόν οὖσαν τῆς ἐμῆς προαιρέσεως· τουτέστι τήν ἁμαρτίαν· δι᾽ ἧς εἰς τήν γῆν τό κατ᾽ ἀρετήν τῆς ψυχῆς ἀπέπεσε γόνιμον· ἑτέραν δέ, τόν καταψηφισθέντα δικαίως διά τήν ἐμήν προαίρεσιν θάνατον τῆς φύσεως· ἐκεῖσε πρός ἀνάγκης καί μή βουλομένην τήν φύσιν ὠθούμενον, ἔνθα τῆς ἐμῆς προαιρέσεως ἐνεσπάρη κατά γνώμην ἡ κίνησις. Τήν οὖν κατακριθεῖσαν τῆς φύσεως, ὁ τῆς φύσεως ὑποστήσας τήν γένεσιν Θεός, ἑκουσίως ὑπελθών κατάραν· φημί δέ, τόν θάνατον· τήν ζῶσαν ἐν ἐμοί κατά προαίρεσιν τῆς ἁμαρτίας κατάραν, τῷ οἰκείῳ θανάτῳ διά σταυροῦ κατασφάξας ἀπέκτεινε· καί γέγονε ἡ τοῦ Θεοῦ μου κατάρα, τῆς ἐμῆς ἁμαρτίας κατάρα καί θάνατος, μή συγχωροῦσα πρός γένεσιν καρπῶν ἀδικίας ἐλθεῖν τήν παράβασιν· τῆς δέ κατ᾽ ἐντολήν θείας δικαιοσύνης εὐλογία, καί ζωή ἀτελεύτητος.

Τοῦτο τό δρέπανον, ἤγουν ὁ Κύριος ἡμῶν καί Θεός Ἰησοῦ Χριστός, συντελεῖ τόν κλέπτην καί ἐπίορκον· καί τόν οἶκον αὐτοῦ καταλύει. Κλέπτης δέ κατ᾽ ἀλήθειάν ἐστι καί ἐπίορκος, ὁ πονηρός διάβολος. Κλέπτης μέν, ὡς συλήσας δι᾽ ἀπάτης δόλῳ τοῦ παραδείσου τόν ἄνθρωπον· ἔργον καί κτίσμα Θεοῦ καί κτῆμα τίμιον ὑπάρχοντα, καί εἰς τόνδε τῆς κακώσεως ἀγαγών τόν τόπον· καί τό τῆς θείας ἀπεικόνισμα (653) δόξης, πολλαῖς ἁμαρτημάτων κηλῖσιν καταρυπώσας· ἰδίαν περιουσίαν ζητῶν ποιήσασθαι τόν ἀλλότριον πλοῦτον, τῶν ἀλλοτρίων κακῶς ἐφιέμενος ἀγαθῶν· οὐχ ἵνα τηρήσῃ, ἀλλ᾽ ἵνα κλέψῃ καί θύσῃ καί ἀπολέσῃ. Ἐπίορκος δέ, ὡς ψεύστης καί παραλογιστής. Ὑποσχόμενος γάρ τῷ Ἀδάμ δώσειν θειότητος δόξαν, πρός ἀτιμίαν κτηνῶν ἀλόγων καί ὕβριν κατέβαλε· καί παντός

κτήνους, ἵνα τό κυριώτερον εἴπω, πεποίηκεν ἀτιμώτερον· τοσοῦτον πλέον ἔχοντα τῶν κτηνῶν κατά τήν ὕβριν τῆς ἀλογίας, ὅσον τῶν κατά φύσιν τό παρά φύσιν ἐστί βδελυκτότερον· καί τῆς ἀθανασίας αὐτόν ἀποξενώσας, τῇ περιβολῇ τῆς φθορᾶς κατεμόλυνεν.

Οἶκος δέ τούτου τοῦ κλέπτου καί ἐπιόρκου, ὁ παρών τῆς φθορᾶς καί τῆς ἀλλεπαλλήλου συγχύσεως καθέστηκε κόσμος· ὅν τυχόν ἐσφετερίσατο ληστεύσας τόν ἄνθρωπον· ἐν ᾧ καί ληστεύειν συνεχωρήθη, δι᾽ ἅς οἶδεν αἰτίας, ὁ ληστεύειν αὐτόν συγχωρήσας Θεός, μέχρις ἄν ὁ κυκλικός τοῦ χρόνου συνέστηκε δρόμος.

Ἐν τούτῳ τῷ κόσμῳ καταλύσας ὡς ἐν οἴκῳ διά τῆς ἀφράστου σαρκώσεως ὁ τοῦ Θεοῦ Λόγος, τόν τε διάβολον δήσας, κατήργησε, καί τά ξύλα καί τούς λίθους τοῦ κόσμου τούτου, παντελῶς συνετέλεσε· τά ξόανα καί τούς βωμούς, καί τά τῶν ἀγαλμάτων ἱδρύματα διολέσας παντελῶς καί ἀφανίσας· δι᾽ ὧν θεός τις πολύμορφος καί ἀλλόκοτος, ὁ τῆς πλάνης πατήρ διάβολος προσκυνεῖσθαι παρά τῶν πλανηθέντων ᾤετο· τήν ἐκείνων ἄνοιαν δόξης ἰδίας, ὡς πολύ τῶν πλανωμένων ἀνοητότερος, ὕλην ποιούμενος. Τί γάρ τοῦ δοκεῖν, οὐκ ὄντος κατ᾽ ἀλήθειαν φύσει τοῦ πράγματος, ἀφρονέστερον; Ἐν τούτῳ τοῦ κλέπτου καί ἐπιόρκου, τοῦ διαβόλου, τῷ οἴκῳ· λέγω δή τῷδε τῷ κόσμῳ· ὁ φιλάνθρωπος τῶν ψυχῶν ἡμῶν λυτρωτής καί τῶν σωμάτων, διά σαρκός καταλύσας, ὅλον κατέστρεψε κατά τόν τῆς προτέρας πλάνης τρόπον· καί ὅλον πάλιν κατά τόν τῆς ἀληθοῦς ἐπιγνώσεως ἐπανωρθώσατο λόγον. Καί ἁπλῶς εἰπεῖν, τόν ληστήν διωθήσας τῶν ἀλλοτρίων κτημάτων, αὐτός πάλιν ὡς δεσπότης δι᾽ ἀρετῆς τῶν οἰκείων κεκράτηκε· κατά πᾶσαν τήν ὑπ᾽ οὐρανόν τήν ἁγίαν αὐτοῦ μεγαλοπρεπῶς Ἐκκλησίαν δειμάμενος.

Ἤ τυχόν κλέπτης ἐστίν ὁ διάβολος, ὡς δι᾽ ἀπάτης δόλῳ τήν ἑκάστου πρός ἑαυτόν μεταφέρειν μέχρι καί νῦν μηχανώμενος ἔφεσιν. Ἐπίορκος δέ καί ψεύστης, ὡς παραλογιστής ὁμοῦ, καί τῇ τῶν ἀμεινόνων ἐλπίδι τούς κουφοτέρους τῶν τέως ἐν χερσίν ἀγαθῶν ἀφίστασθαι πείθων· καί διά τῶν νομιζομένων ἡδέων, λανθανόντως τοῖς πειθομένοις αὐτῷ, πόνους δημιουργῶν. Οἶκος δέ τούτου τοῦ κλέπτου καί ψεύστου καθέστηκεν, ἡ φιλαμαρτήμων τῆς ἑκάστου καρδίας διάθεσις· ἔχουσα καθάπερ λίθους, τήν περί τά καλά καρδίας πώρωσιν καί ἀναισθησίαν· ξύλα δέ, τά ἐξαπτικά ἐνθύμια τῆς τῶν παθῶν ἀκαθάρτου πυρώσεως.

Ἤ μή ποτέ ξύλα φησί τροπικῶς ἡ Γραφή, τήν ἐπιθυμίαν. Ξύλον γάρ ταύτης [marg. Τῆς ἐπιθυμίας δηλονότι] (656) πρῶτον ἀναγέγραπται παρά φύσιν διαφθεῖραν τήν κίνησιν· καί διά τό παντός πάθους, ὡς τοῦ πυρός ἡ ξυλώδης ὕλη, ταύτης δεκτικήν εἶναι τῆς ψυχῆς τήν δύναμιν· λίθους δέ, τό στεῤῥόν τυχόν καί ἀναίσθητον, καί μή ὑπεῖκον τῷ λόγῳ τῆς ἀρετῆς, τῶν θυμικῶν κινημάτων· ἅπερ πάντα, μετά τῆς ἐν ᾗ ταῦτα τυγχάνουσιν οἰκίας, ἤγουν διαθέσεως, ἀφανίζει τε καί συντελεῖ παραγινόμενος ὁ τοῦ Θεοῦ Λόγος, ἐκβάλλων αὐτῆς πρότερον διά τῆς πίστεως, τόν διά τῆς πλάνης ἐν αὐτῇ ποτε κατοικήσαντα διάβολον· τόν οἰόμενον ἰσχυρόν εἶναι, πέδαις ἀλύτοις καταδήσας, καί τήν οἰκίαν αὐτοῦ διαρπάσας· τήν τε τῶν παθῶν ἐξαπτικήν ἕξιν, μετά τῆς περί τά καλά πωρώσεως ἀπελαύνων τῆς καρδίας.

Ἤ τυχόν λίθους μέν καλεῖ, τήν περί τά καλά τῆς ψυχῆς ῥᾳθυμίαν, ὡς ἀρετῶν ἀναισθητούσης· ξύλα δέ, τήν περί τά κακά προθυμίαν· ἅπερ πάντα ἔξω τῆς καρδίας τῶν πιστῶν διωθούμενος ὁ Λόγος, οὐ παύεται ποιῶν εἰρήνην, καί ἀποκαταλλάσσων ἐν ἑνί σώματι τῶν ἀρετῶν, τούς τε μακράν καί τούς ἐγγύς, τό μεσότοιχον δῆλον ὅτι τοῦ φραγμοῦ καταλύων· λέγω δή τήν ἁμαρτίαν· καί τῆς γνώμης ἀκυρῶν, τό περί κακίαν χειρόγραφον· καί τό φρόνημα τῆς σαρκός, καθυποτάσσων τῷ νόμῳ τοῦ πνεύματος. Τούς μακράν γάρ ἐκάλεσεν, ὡς οἶμαι, τάς κατ᾽ αἴσθησιν κινήσεις· μακράν κατά φύσιν οὔσας, καί ξένας παντάπασι τοῦ νόμου τοῦ Θεοῦ· ἐγγύς δέ, τάς νοεράς τῆς ψυχῆς ἐνεργείας, ὡς τοῦ λόγου κατ᾽ οἰκείωσιν οὐκ οὔσας μακράν· ὥσπερ συνάπτει μετά τήν κατάλυσιν τοῦ σαρκικοῦ νόμου, κατά τόν τῆς ἀρετῆς τρόπον συνδέων αὐτάς ἀλλήλαις τῷ πνεύματι. Μεσότοιχον γάρ ὡς οἶμαι, τόν κατά φύσιν νόμον τοῦ σώματος κέκληκε· πρός τά πάθη σχέσιν, ἤγουν τήν ἁμαρτίαν. Μόνη γάρ ἡ πρός τά πάθη τῆς ἀτιμίας σχέσις, τοῦ νόμου τῆς φύσεως· τουτέστι, τοῦ παθητοῦ τῆς φύσεως μέρους, φραγμός γίνεται, τῆς ψυχῆς τό σῶμα διατειχίζων, καί τοῦ λόγου τῶν ἀρετῶν· τήν πρός σάρκα διά μέσης ψυχῆς κατά τήν πρᾶξιν μή συγχωρῶν γενέσθαι διάβασιν. Ὁ δέ λόγος παραγενόμενος, καί τόν τῆς φύσεως νόμον, ἤγουν τό τῆς φύσεως παθητόν καταπαλαίσας, τήν ἐν αὐτῷ τῶν παρά φύσιν παθῶν σχέσιν κατήργησεν.

Οὗτος ἐστιν ὁ Κύριός μου καί ὁ Θεός μου Χριστός Ἰησοῦς, ὅν ὡς δρέπανον ἑώρακεν ὁ προφήτης, εἴκοσι πήχεων τό μῆκος· περιεκτικός

γάρ πάσης τῆς ἐπί τοῖς αἰσθητοῖς ἐστιν αἰσθητικῆς ἐνεργείας· καί δέκα πήχεων τό πλάτος· ὁριστικός γάρ πάσης λογικῆς ὑπάρχει κινήσεως, ὁ ἐμός Θεός καί Σωτήρ. Φασί γάρ τό ἀριθμεῖν μόνου κατά φύσιν εἶναι τοῦ λογικοῦ· παντός δέ ἀριθμοῦ περιοχή καί τέλος ἐστίν, ἡ δεκάς· ἄρα περιεκτικός οὐ μόνον αἰσθητικῶν δυνάμεων, ἀλλά καί νοερῶν ἐνεργειῶν ἐστιν ὁ τοῦ Θεοῦ (657) Λόγος· ὡς μή μόνον σωμάτων, ἀλλά καί ἀσωμάτων δημιουργός.

Δρέπανον δέ προσηγορεύθη κατά τήν ὅρασιν, οὐ μόνον ὡς θερίζων τῆς λογικῆς φύσεως, ἥν αὐτός οὐκ ἔσπειρε, κακίαν· καί συνάγων, ἥν αὐτός οὐ διεσκόρπισε, φύσιν· ἀλλά καί ὡς δρεπόμενος, καί εἴσω τῶν θείων ἀποθηκῶν τούς σωζομένους ποιούμενος. Πρός δέ, καί ὡς ταῖς ἐνεργείαις τῶν ἀρετῶν εὐαφής, ταῖς πρακτικαῖς δυνάμεσι τῆς ψυχῆς συμφυόμενος.

Εἰ δέ τινί πως δοκεῖ, προσώπων δύο καί οἴκων τοσούτων ὁ τῆς Γραφῆς ἔμφασιν ποιεῖσθαι λόγος, ὧν ἐργάζεται τό δρέπανον τήν ἀναίρεσιν, φάσκων, καί εἰσελεύσεται εἰς τόν οἶκον τοῦ κλέπτου, καί εἰς τόν οἶκον τοῦ ὀμνύοντος ἐπί τῷ ὀνόματί μου ψευδῆ· γνῶμεν ὅτι τάς δύο γενικάς, καί πασῶν περιεκτικάς ἐνεργείας τῆς τοῦ διαβόλου πλάνης, ἀντί προσώπων δύο λαβών ἐσήμανεν· ἤγουν τούς τρόπους τῶν ἐνεργειῶν· καί τάς δύο γενικάς, καί τῶν λοιπῶν ὁριστικάς περί τήν πλάνην διαθέσεις τῆς ἀνθρωπότητος, οἴκους δύο προσηγόρευσεν ὁ λόγος. Οἷον, ἡνίκα μέν δι᾿ ἀπάτης δόλῳ συλῶν τήν περί Θεόν ἔμφυτον γνῶσιν τῆς φύσεως, ταύτην ὁ πονηρός εἰς ἑαυτόν σφετερίζεται, κλέπτης ἐστίν, εἰς ἑαυτόν ἀπό τοῦ Θεοῦ τό σέβας μεταφέρειν πειρώμενος· ἀπάγων δῆλον ὅτι τῶν ἐν τοῖς γεγονόσι πνευματικῶν λόγων τήν κατά νοῦν τῆς ψυχῆς θεωρίαν, καί μόνῃ περιεγράφων τήν νοεράν δύναμιν τῇ κατά τήν ἐπιφάνειαν προσόψει τῶν αἰσθητῶν· ὁπηνίκα δέ διά τῶν φυσικῶν ἀποχρώμενος κινημάτων, πρός τά παρά φύσιν σοφιστικῶς τῆς ψυχῆς κατασύρῃ τήν πρακτικήν δύναμιν, και διά τῶν νομιζομένων καλῶν τοῖς χείροσι πιθανῶς δι᾿ ἡδονῆς προσηλώσῃ ταύτης τήν ἔφεσιν, ἐπί τῷ ὀνόματι τοῦ Κυρίου ὀμνύει ψευδῶς, πρός ἄλλα παρ᾿ ὑπόσχεσιν ἄγων τήν πειθομένην ψυχήν. Καί ἔστι κλέπτης μέν, ὡς πρός ἑαυτόν συλῶν τήν γνῶσιν τῆς φύσεως· οἰκίαν ἔχων, τήν περί τήν ἄγνοιαν τῶν πλανωμένων διάθεσιν. Ἐπίορκος δέ, ὡς τό πρακτικόν τῆς ψυχῆς μάτην διαπονεῖσθαι πείθων τοῖς παρά φύσιν· οἰκίαν ἔχων τήν φιλαμαρτήμονα τῆς γνώμης τῶν ἀνεχομένων διάθεσιν.

Οὐκοῦν κλέπτης, ὡς ἔφην, ὁ διάβολος, τήν γνῶσιν παρατρέπων τῆς φύσεως· ἐπίορκος δέ, τήν κατ᾽ ἀρετήν ἐνέργειαν αὐτῆς παραμείβων τῆς πράξεως. Οἰκία δέ κλέπτου καθέστηκεν, ἡ τῷ πταιστῷ λόγῳ τῆς γνώσεως ἐνισχημένη διάθεσις· οἰκία δέ ἐπιόρκου, ἡ τῷ μύσει τῶν παθῶν τῆς ἀτιμίας πεποιωμένη διάθεσις· ὥσπερ ὁ τοῦ Θεοῦ σωτήριος Λόγος φιλανθρώπως εἰσδύς, ποιεῖ κατοικητήριον Θεοῦ διά Πνεύματος· γνῶσιν ἀληθείας ἀντί πλάνης καί ἀγνωσίας· καί ἀρετήν καί δικαιοσύνην ἀντί κακίας καί πονηρίας δημιουργῶν· δι᾽ ὧν ἐν τοῖς ἀξίοις ποιεῖν πέφυκε τήν οἰκείαν ἐμφάνειαν.

Τοιγαροῦν ἀντί τῶν προσώπων, τούς τρόπους τῆς διαφόρου κακουργίας τοῦ ἑνός καί τοῦ αὐτοῦ πονηροῦ διαβόλου· καί ἀντί τῶν οἰκιῶν, τάς προσφυεῖς (650) τοῖς διαβολικοῖς τρόποις τῶν ἐνεργουμένων διαθέσεις κέκληκεν ὁ λόγος.

Κλέπτης δέ πάλιν ἐστίν, ὁ πρός ἀπάτην τῶν ἀκουόντων τούςθείους δῆθεν ἀσκούμενος λόγους, ὧν οὐκ ἐπέγνω διά τῶν ἔργων τήν δύναμιν· τήν ψιλήν προφοράν δόξης ἐμπορίαν ποιούμενος, καί τῷ διά γλώσσης λόγῳ, τόν τοῦ δίκαιος νομίζεσθαι παρά τῶν ἀκροουμένων θηρώμενος ἔπαινον. Καί ἁπλῶς εἰπεῖν, ὁ τῷ λόγῳ τόν βίον ἀνάρμοστον, καί τῇ γνώσει τήν διάθεσιν τῆς ψυχῆς ἀντικειμένην ἔχων, κλέπτης ἐστίν· ἐκ τῶν ἀλλοτρίων ἀγαθῶν, οὐ καλῶς διαφαινόμενος· πρός ὅν ὁ λόγος εἰκότως ἐρεῖ, Τῷ δέ ἁμαρτωλῷ εἶπεν ὁ Θεός· Ἵνα τί σύ ἐκδιηγῇ τά δικαιώματά μου, καί ἀντιλαμβάνεις τήν διαθήκην μου διά στόματός σου;

Καί πάλιν κλέπτης ἐστίν, ὁ τοῖς φαινομένοις τρόποις καί ἤθεσι, τήν μή φαινομένην συγκαλύπτων τῆς ψυχῆς κακουργίαν· ἐπιεικείας πλάσμασι, τήν ἔνδον ἐπικαλύπτων διάθεσιν· καί κλέπτων ὥσπερ ἐκεῖνος τῇ προφορᾷ τῶν λόγων τῆς γνώσεως, τήν τῶν ἀκουόντων διάνοιαν· οὕτω δή καί αὐτός τῷ τρόπῳ τῆς τῶν ἠθῶν ὑποκρίσεως, τῶν θεωμένων τήν αἴσθησιν· πρός ὅν ὁμοίως εἰρήσεται τό, Αἰσχύνθητε, οἱ ἐνδεδυμένοι ἱμάτια ἀλλότρια. Καί τό, Ἀνακαλύψει Κύριος τό σχῆμα αὐτῶν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. Καθ᾽ ἑκάστην γάρ ἐν τῷ κρυπτῷ τῆς καρδίας ἐργαστηρίῳ, ταῦτά μοι λέγοντες ἀκούειν δοκῶ τοῦ Θεοῦ, τήν ἡμέραν, ὡς ἐπ᾽ ἀμφοῖν διαῤῥήδην κατεγνωσμένος.

Ἐπίορκος δέ ἐστιν, ἤγουν ὀμνύων ἐπί τῷ ὀνόματι τοῦ Κυρίου ψευδῶς, ὁ ἐπαγγελλόμενος τῷ Θεῷ τόν κατ᾽ ἀρετήν βίον, καί ἀλλότρια παρά τήν ὑπόσχεσιν τῆς οἰκείας ἐπαγγελίας ἐπιτηδεύων· καί τήν συνθήκην τῆς ὁμολογίας τοῦ σεμνοῦ βίου διά τῆς ἀργίας τῶν

ἐντολῶν, οἷος ἐγώ, παραβαίνων. Καί συντόμως εἰπεῖν, ὁ κατά Θεόν ζῆν προελόμενος, καί μή τελείως τῷ παρόντι βίῳ νεκρούμενος, ψεύστης ἐστί καί ἐπίορκος· ὀμόσας μέν τῷ Θεῷ· τουτέστιν, ἐπαγγειλάμενος τόν τῆς ἐν τοῖς θείοις ἀγῶσιν ἄμεμπτον δρόμον· καί μή πληρώσας, καί διά τοῦτο μηδαμῶς ἐπαινούμενος· Ἐπαινεθήσεται γάρ, φησί, πᾶς ὁ ὀμνύων ἐν αὐτῷ· τουτέστι, πᾶς ὁ τῷ Θεῷ τόν ἔνθεον ἐπαγγειλάμενος βίον, καί διά τῆς ἀληθείας τῶν ἔργων τῆς δικαιοσύνης, τούς ὅρκους πληρῶν τῆς καλῆς ὑποσχέσεως. Εἰ δέ πάντως ἔπαινον ἔχει ὁ τῶν οἰκείων πληρωτής ἐπαγγελιῶν, ὡς ὀμνύων τῷ Θεῷ καί ἀληθεύων· δῆλον ὅτι ψόγον ἕξει καί ἀτιμίαν, ὁ τῶν οἰκείων συνθηκῶν παραβάτης γενόμενος, ὡς ὀμόσας ἐν τῷ Θεῷ, καί ψευσάμενος.

Τούτων ὑπερχόμενος ὥσπερ οἰκίας τινάς τάς καρδιάς, ἤγουν τήν ἑκάστου διάθεσιν, τό δρέπανον· τουτέστιν, ὁ τοῦ Θεοῦ καί Πατρός Λόγος, ἅτε δή γνῶσις κατ᾽ οὐσίαν ὑπάρχων καί ἀρετή· συντελεῖ πάμπαν αὐτάς, τῇ πρός τό κρεῖττον μεταβολῇ τήν προτέραν τῆς ἑκάστου καρδίας διαφανίζων κατάστασιν, καί φέρων ἑκάτερον πρός τήν τοῦ λείποντος αὐτῷ καλοῦ μετουσίαν· καί ποιῶν τόν μέν κλέπτην τῆς γνώσεως, (661) ἐργάτην ἀρετῆς ἀνεπαίσχυντον· τόν δέ κλέπτην τῆς τῶν ἠθῶν φαινομένης καταστολῆς, ἐπιστήμονα τῆς κατά ψυχήν κρυπτομένης γεωργόν διαθέσεως· τόν ἐπίορκον δέ, ἀληθῆ τῶν οἰκείων ὑποσχέσεων ἐργαζόμενος φύλακα, τοῖς ἔργοις τῶν ἐντολῶν τάς οἰκείας ἐπαγγελίας πιστούμενον.

***ΣΧΟΛΙΑ***

*α'*. Fr. Βλέπε τό μυστήριον· βλέπε τήν ἀγχόνην τῶν Φυσιθεσιτῶν· βλέπε τοῦ Ἰταλοῦ καί τοῦ Νείλου τόν θάνατον.

*β'*. Οὐ λέγομεν, φησίν, ἐπί Χριστοῦ διαφοράν ὑποστάσεων, ὅτι Τριάς μεμένηκεν ἡ Τριάς, καί σαρκωθέντος τοῦ Θεοῦ καί Λόγου, προσθήκης προσώπου οὐ προσγενομένης τῇ ἁγίᾳ Τριάδι διά τήν σάρκωσιν. Λέγομεν δέ φύσεων διαφοράν, ἵνα μή τῷ Λόγῳ κατά τήν φύσιν ὁμοούσιον τήν σάρκα πρεσβεύωμεν.

*γ'*. Ὅτι φύσεων διαφοράν ὁ μή λέγων, φησίν, οὐκ ἔχει πόθεν πιστώσασθαι, τήν ὅτι γέγονε σάρξ ὁ Λόγος δίχα τροπῆς ὁμολογίαν, μή γινώσκων σωζόμενον κατά τήν φύσιν τῇ μιᾷ τοῦ ἑνός Θεοῦ καί

Χριστοῦ ὑποστάσει μετά τήν ἕνωσιν τό προσλαβόν καί τό προσειλημμένον.

δ'. Πῶς δρέπανον ὁ Κύριός ἐστι, καί τί τό πλάτος αὐτοῦ θεωρεῖται τῶν πήχεων.

ε'. Πῶς αὐτός πάλιν ὡς δρέπανον ἔχει τό μῆκος εἴκοσι πήχεων.

στ'. Διά τί πετόμενον τό δρέπανον ἴδεν ὁ προφήτης.

ζ'. Ἡ πίστις τήν εἰς Θεόν διά τῆς ἐλπίδος τελείαν ἀγάπην συνίστησιν· ἡ ἀγαθή συνείδησις, τήν εἰς τόν πλησίον διά τῆς φυλακῆς τῶν ἐντολῶν ἀγάπης ὑφίστησιν. Ἡ γάρ ἀγαθή συνείδησις, παραβαθεῖσαν ἐντολήν οὐκ ἔχει κατήγορον· ταύτας δέ μόνον ἡ καρδία πιστεύεσθαι πέφυκε, τῶν ἐφιεμένων τῆς ἀληθοῦς σωτηρίας.

η'. Πῶς ἐστιν ὁ Κύριος ἀρά, καί τίνος ἀρά.

θ'. (664) Ἐπειδή, φησί, πρός τήν γῆν ἔσχεν τήν ἔφεσιν κινουμένην ὁ ἄνθρωπος, εἰς αὐτήν ὠθεῖτε καί μή θέλων ὑπό τοῦ θανάτου.

ι'. Τί ἐστιν ὁ κλέπτης, καί ὁ ἐπίορκος.

ια'. Κλοπή ἐστι πονηρά, ἡ δι᾽ ἀπάτης τῆς φύσεως ἅλωσις. Θυσία ἐστίν, ἥν θύει τούς ὑπ᾽ αὐτοῦ κλεπτομένους ὁ διάβολος, ἡ κατά τήν ἔνθεον ζωήν σφαγή τῆς προαιρέσεως, καί ἡ κατ᾽ αὐτήν τελεία τῆς μνήμης ἀναίρεσις. Ἀπώλειά ἐστιν, ἡ κατά στέρησιν τῆς τοῦ Θεοῦ γνώσεως ἐπισυμβαίνουσα τοῖς θυομένοις ἄγνοια. Διά τοῦτο γάρ κλέπτει συναρπάζων τόν λογισμόν, ἵνα τῆς κατ᾽ ἀρετήν καί γνῶσιν ζωῆς ἐργάσηται στέρησιν.

ιβ'. Τίς ἐστιν ὁ οἶκος τοῦ κλέπτου καί τοῦ ἐπιόρκου.

ιγ'. Αἰτίαν τοῦ ληστεύειν συγχωρηθῆναι τόν διάβολον, στοχαστικῶς ἐρεῖ τις τυχόν, τό καί τοῖς ἀνθρώποις διά πείρας αὐτοῦ γνωσθῆναι τήν κακίαν, ἵνα μισηθῇ πλέον δεικνύμενος· καί τό πᾶσιν ἀλλήλων δειχθῆναι τοῖς ἀνθρώποις διά τῆς δοκιμασίας τάς διαθέσεις, ἵνα ἕκαστος ἑαυτῷ σύμφυτον ἐπιφέρηται συνηγορίαν, τήν οἰκείαν συνείδησιν. Ὁ γάρ Θεός οὐ δέεται τῆς κατά τήν πεῖραν μαθήσεως, πάντων ἔχων οὐσιωδῶς, καί πρό τῆς αὐτῶν γενέσεως, τήν γνῶσιν.

ιδ'. Τίνα τά ξύλα, καί τίνες οἱ λίθοι.

ιε'. Ὅτι καταστροφή τοῦ οἴκου, τουτέστι τοῦ κόσμου, κατά τήν πλάνην διά τῆς σαρκώσεως γέγονεν.

ιστ'. Κατ᾽ ἄλλην θεωρίαν τῶν αὐτῶν ἔκθεσις.

ιζ'. Ἄλλη περί τῶν αὐτῶν θεωρία.

ιη'. Ταύτην ἔθετο τήν θεωρίαν τοῖς ἐμπαθέσιν ἁρμόδιον. Ὁ γάρ τήν παντελῆ περί τό καλόν ἀκινησίαν νοσῶν, περί τό κακόν ὑπάρχει, πάντως εὐκίνητος. Κατ᾽ ἀμφότερα γάρ ἀκίνητον ὑπάρχειν, ἀδύνατον.

ιθ'. Συναπτομένη ἡ κατ᾽ αἴσθησιν κίνησις τῇ κατά νοῦν ἐνεργείᾳ, ποιεῖ τήν μετά γνώσεως ἀρετήν.

κ'. Διά τί δρέπανον ἐκάλεσεν;

κα'. Ὅτι συμφύρεται ταῖς πρακτικαῖς τῆς ψυχῆς δυνάμεσιν ὁ Λόγος, ὥσπερ τό δρέπανον τῇ χειρί τοῦ θερίζοντος, πρός ἀναίρεσιν παθῶν, καί συγκομιδήν ἀρετῶν.

κβ'. Κλέπτης μέν, φησίν, ἐστίν ὁ διάβολος, ὡς ἀγνοίας· ἐπίορκος δέ, ὡς κακίας δημιουργός· ἔχων καθάπερ οἰκίας, τοῦ μέν ἀγνοοῦντος, τήν πλανωμένην διάνοιαν· τοῦ δέ κακοῦ, τήν φιλαμαρτήμονα γνώμην.

κγ'. Καλή θεωρία, καί πάνυ πρόσφορος ἡμῖν, τοῖς νοθεύουσι διά τήν κενοδοξίαν τό κλέος τῆς ἀρετῆς καί τῆς γνώσεως.

κδ'. Κλέπτης ἐστί, φησί, καί ὁ τήν ἀρετῶν τῶν ἠθῶν ἀπατηλήν διάπλασιν ὑποκρινόμενος· καί τῷ φαινομένῳ σχήματι, τήν λανθάνουσαν συγκαλύπτων τῆς γνώμης πονηρίαν.

κε'. Ὁ κατά μόνην τήν ἐν λόγοις προφοράν γνῶσιν ὑποκρινόμενος, φησί, πρός δόξαν ἰδίαν τήν τῶν ἀκουόντων κλέπτει διάνοιαν· καί ὁ τοῖς ἤθεσι τήν (665) ἀρετήν ὑποκρινόμενος, πρός δόξαν ἰδίαν κλέπτει τήν τῶν θεωμένων ὅρασιν· καί δι᾽ ἀπάτης ἀμφότεροι κλέπτοντες πλανῶσιν, ὁ μέν, διάνοιαν ψυχῆς τῶν ἀκοούντων· ὁ δέ τῶν θεωμένων σώματος αἴσθησιν.

κστ'. Τί ἐστιν ὁ ἐπίορκος.

## *ΕΡΩΤΗΣΙΣ ΞΓ'.*

***Ἐν τῷ αὐτῷ προφήτῃ γέγραπται πάλιν· "Καί εἶπε πρός με· Τί σύ βλέπεις; Καί εἶπα· Ἑώρακα , καί ἰδού λυχνία χρυσῆ ὅλη, καί τό λαμπάδιον ἐπάνω αὐτῆς· καί ἑπτά λύχνοι ἐπάνω αὐτῆς, καί ἑπτά ἐπαρυστρίδες τοῖς λύχνοις τοῖς ἐπάνω αὐτῆς· καί δύο ἐλαῖαι ἐπάνω αὐτῆς· μία ἐκ δεξιῶν τοῦ λαμπαδίου αὐτῆς, καί μία ἐξ εὐωνύμων. " Τίς ἡ λυχνία; καί διά τί χρυσῆ, καί τί τό λαμπάδιον τό ἐπάνω αὐτῆς; τίνες οἱ ἑπτά ἐπαρυστρίδες τῶν ἑπτά λύχνων; καί τίνες αἱ δύο ἐλαῖαι; καί διά τί ἐξ δεξιῶν καί ἐξ εὐωνύμων τοῦ λαμπαδίου;***

Ἀπόκρισις.

Τήν πολύφωτον καί ὑπερφαῆ τῆς ἁγίας Ἐκκλησίας μεγαλοπρέπειαν πόῤῥωθεν τῷ προφήτῃ συμβολικῶς προδιαγράφων ὁ Λόγος, ταύτην οὕτως αὐτῷ τήν ὅρασιν διεποίκιλε· διδάσκων, οἶμαι, τοῦ κατ᾿ αὐτήν καινοῦ μυστηρίου τήν δύναμιν. Λυχνία τοιγαροῦν ἐστιν ὁλόχρυσος, ἡ τοῦ Θεοῦ πανεύφημος Ἐκκλησία, καθαρά καί ἀμίαντος, ἄχραντός τε καί ἀκίβδηλος, καί ἀμείωτος, καί τοῦ ἀληθινοῦ φωτός δεκτική. Φασί γάρ τόν ἀκίβδηλον χρυσόν, μήτε μελένεσθαι καταχωννύμενον ἰῷ τινι καί διαφθείρεσθαι· μήτε μήν μειοῦσθαι παντελῶς ἐκπυρούμενον· πρός δέ, καί τῆς ὀπτικῆς τῶν ἐνατενιζόντων αὐτῷ δυνάμεως κατά τινα φυσικήν ἐνέργειαν εἶναι ῥωστικόν τε καί ἀνανεωτικόν. Τοιαύτη δέ καί ἡ τοῦ Θεοῦ πανένδοξος Ἐκκλησία, δι᾿ αὐτῶν κατ᾿ ἀλήθειαν τῶν πραγμάτων ὑπάρχουσα πέφυκε, κατά τοῦ χρυσοῦ καθαρωτάτην φύσιν· ἀκίβδηλος μέν, ὡς μηδέν ἔχουσα τό σύνολον τῷ κατά τήν πίστιν μυστηρίῳ τῆς θεολογίας ἐπίμικτον καί ἀλλότριον· καθαρά δέ, ὡς τῇ λαμπρότητι τῶν ἀρετῶν διαυγής καί ἐπίδοξος· ἀμίαντος δέ, ὡς μηδενί ῥύπῳ μολυνομένη παθῶν· ἄχραντος δέ,ὡς πᾶσι τοῖς πονηροῖς ἀνέπαφος πνεύμασι· μήτε μήν ταῖς ὑλικαῖς περιστάσεσιν ἰῷ τινι κακίας μελαινομένη [Fr. μολυνομένη]· ἀμείωτος δέ καί ἀνελάττωτος, ὡς μηδέ τῇ καμίνῳ τῶν κατά καιρούς διωγμῶν πυρουμένη, καί ταῖς ἀλλεπαλλήλοις τῶν αἱρέσεων ἐπαναστάσεσι βασανιζομένη, κατά λόγον ἤ βίον, ἤγουν πίστιν καί πολιτείαν, τήν οἱανοῦν ὕφεσιν διά τό βάρος τῶν πειρασμῶν ὑπομένουσα· διό καί πάσης κατά τήν χάριν ἐστί ῥωστική διανοίας, τῶν εὐσεβῶς αὐτήν κατανοούντων. Καλεῖ μέν γάρ τούς ἀσεβεῖς, παρεχομένη τό φῶς τῆς ἀληθοῦς γνώσεως· συντηρεῖ δέ τούς τῶν κατ᾿ αὐτήν μυστηρίων φιλοθεάμονας, ἀπαθῆ καί ἀρευμάτιστον τήν κόρην τῆς αὐτῶν διανοίας (668) φυλάττουσα. Τούς δέ κατά τι σάλον ὑπομεμενηκότας ἀνακαλεῖται, καί τῷ λόγῳ τῆς παρακλήσεως ἀνανεοῦται τήν παθοῦσαν διάνοιαν. Οὕτως μέν ἔχουσαν τήν ὁραθεῖσαν τῷ προφήτῃ λυχνίαν, κατά μίαν ἐπιβολήν διά τῶν εἰρημένων κατενοήσαμεν.

Τό δέ λαμπάδιοντό ἐπάνω αὐτῆς ἐστι, τό πατρικόν φῶς καί ἀληθινόν, ὅ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τόν κόσμον, ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός· διά τήν πρόσληψιν τῆς ἐξ ἡμῶν καί ἡμετέρας σαρκός, λαμπάδιον καί γεγεννημένος καί προσηγορευμένος· ἤγουν ἡ κατά φύσιν τοῦ Θεοῦ καί Πατρός Σοφία καί Λόγος· ὁ ἐν τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ κηρυττόμενός τε κατά τήν εὐσεβῆ πίστιν, καί τῷ βίῳ τῷ κατ᾿ ἀρετήν διά τῆς τῶν ἐντολῶν

φυλακῆς ὑψούμενος ἐν τοῖς ἔθνεσι καί διαφαινόμενος· καί πᾶσι λάμπων τοῖς ἐν τῇ οἰκίᾳ· λέγω δή τῷδε τῷ κόσμῳ· καθά πού φησιν αὐτός ὁ Θεός καί Λόγος· Οὐδείς ἅπτει λύχνος, καί τίθησιν αὐτόν ὑπό τόν μόδιον· ἀλλ᾽ ἐπί τήν λυχνίαν, καί λάμπει πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ· λύχνον ἑαυτόν δηλαδή λέγων, ὡς κατά φύσιν Θεός ὑπάρχων, καί σάρξ κατ᾽ οἰκονομίαν γενόμενος· οἷα δή φῶς κατ᾽ οὐσίαν, λύχνου δίκην ἀπεριγράφως διά μέσης ψυχῆς, ὡς διά θρυαλλίδος τό πῦρ, τῷ τῆς σαρκός ὀστράκῳ κρατούμενος· ὅπερ οἶμαι νοήσας καί ὁ μέγας Δαβίδ, λύχνον κέκληκε τόν Κύριον, φήσας· Λύχνος τοῖς ποσί μου ὁ νόμος σου, καί φῶς ταῖς τρίβοις μου. Σκότους γάρ ἀγνοίας τε καί πονηρίας λυτήριος ὁ ἐμός ὑπάρχει Σωτήρ καί Θεός· διό καί λύχνος τῇ Γραφῇ προσηγορεύθη. Λύχνος γάρ, παρά τό λύειν τό νύχος λέγεται. Νύχος δέ καλοῦσι τό σκότος οἱ περί λόγους σπουδάζοντες. Ὅς δή μόνος οἷα δή λύχνος τόν ζόφον τῆς ἀγνοίας καί τόν σκότον τῆς κακίας διαλύσας, πᾶσιν ὁδός γέγονε σωτηρίας· δι᾽ ἀρετῆς καί γνώσεως πρός τόν Πατέρα φέρων τούς αὐτόν ὡς δικαιοσύνης ὁδόν διά τῶν θείων ἐντολῶν ὁδεύειν βουλομένους. Λυχνίαν δέ τήν ἁγίαν Ἐκκλησίαν, ἐφ᾽ ἧς τῷ κηρύγματι λάμπων ὁ τοῦ Θεοῦ Λόγος, πάντας τούς ἐν τῷδε τῷ κόσμῳ ὡς ἐν οἰκίᾳ τινί τυγχάνοντας καταφωτίζει ταῖς ἀκτῖσι τῆς ἀληθείας, τάς πάντων διανοίας θείας πληρῶν ἐπιγνώσεως.

Μόδιον δέ, τῷ τῆς συμβολικῆς διαπλάσεως τρόπῳ κέκληκε τήν συναγωγήν τῶν Ἰουδαίων· ἤγουν τήν σωματικήν τοῦ νόμου λατρείαν, τῷ παχεῖ (669) τῶν ἐν τῷ γράμματι συμβόλων παντελῶς ἀδιάγνωστον ἔχουσαν τό φῶς τῆς ἐν νοήμασιν ἀληθοῦς ἐπιγνώσεως· ὑφ᾽ ὅν μόδιον κρατεῖσθαι παντελῶς ὁ λόγος οὐ βούλεται· τό ὕψει ἐπικεῖσθαι θέλων, καί τῷ μεγέθει τοῦ κάλλους τῆς Ἐκκλησίας. Πάντας γάρ ἄν, τῷ γράμματι τοῦ νόμου καθάπερ μοδίῳ κρατούμενος ὁ λόγος, ἐστέρησε φωτός ἀϊδίου, μή διδούς θεωρίαν πνευματικήν, τοῖς τήν αἴσθησιν ὡς ἀπατηλήν, καί μόνης δεκτικήν τῆς ἀπάτης· καί τῆς τῶν συμφυῶν σωμάτων φθορᾶς ὑπάρχουσαν μόνης ἀντιληπτικήν, ἐκδύσασθαι σπεύδουσιν· ἀλλ᾽ ἐπί τήν λυχνία, λέγω τήν Ἐκκλησίαν, ἤγουν τήν ἐν πνεύματι λογικήν λατρείαν, ἵνα πάντας φωτίσῃ· διδάσκων τούς ἐν παντί τῷ κόσμῳ, λόγῳ ζῆν μόνῳ καί πολιτεύεσθαι· καί τοσοῦτον ἔχειν περί τῶν σωμάτων τήν μέριμναν, ὅσον διά πολλῆς φροντίδος τήν πρός αὐτά σχέσιν τῆς ψυχῆς παντελῶς διακόψαι· καί μηδεμίαν διδόναι τό σύνολον ὕλης τῇ ψυχῇ φαντασίαν, ἔργον ποιεῖσθαι καί σπούδασμα· σβεσθείσης ἤδη τῷ λόγῳ, τῆς κατ᾽ ἀρχάς τόν μέν λόγον

παρωσαμένης· τήν ἀλογίαν δέ τῆς ἡδονῆς, ὄφεως δίκην ἑρπηστικοῦ, προσδεξαμένης αἰσθήσεως· καθ᾽ ἧς ὡρίσθη δικαίως ὁ θάνατος, ἵνα παύσηται τῷ διαβόλῳ πρός τήν ψυχήν παρεχομένη τήν εἴσοδον. Μία γάρ ὑπάρχουσα κατά τό γένος ἡ αἴσθησις, πενταπλοῦται τοῖς εἴδεσι, διά τῆς καθ᾽ ἕκαστον εἶδος ἀντιληπτικῆς ἐνεργείας, τό προσφυές αἰσθητόν ἀντί Θεοῦ στέργειν τήν πλανωμένην ψυχήν ἀναπείθουσα. Διόπερ ὁ τῷ λόγῳ σοφῶς ἑπόμενος, πρό τοῦ βεβιασμένου καί παρά γνώμην θανάτου, θάνατον τῆς σαρκός ἑκουσίως καταψηφίζεται· τόν πρός αἴσθησιν τῆς γνώμης παντελῶς ποιούμενος χωρισμόν.

Οὐκοῦν ὁ μόνῳ τῷ γράμματι τῆς Γραφῆς παρακαθήμενος, μόνην ἔχει τήν αἴσθησιν κρατοῦσαν τῆς φύσεως· καθ᾽ ἥν ἡ πρός σάρκα τῆς ψυχῆς σχέσις μόνη διαφαίνεσθαι πέφυκε. Τό γάρ γράμμα μή νοούμενον πνευματικῶς, μόνην ἔχει τήν αἴσθησιν περιγράφουσαν αὐτοῦ τήν ἐκφώνησιν, καί μή συγχωροῦσαν πρός τόν νοῦν διαβῆναι τῶν γεγραμμένων τήν δύναμιν. Εἰ δέ πρός μόνην τήν αἴσθησιν ἔχει τό γράμμα τήν οἰκειότητα, πᾶς ὁ καθ᾽ ἱστορίαν μόνην Ἰουδαϊκῶς τό γράμμα δεχόμενος, κατά σάρκα ζῇ, τῆς ἁμαρτίας καθ᾽ ἑκάστην ἡμέραν, διά τήν ζῶσαν αἴσθησιν, γνωμικῶς ἀποθνήσκων τόν θάνατον· μή δυνάμενος πνεύματι τάς πράξεις θανατῶσαι τοῦ σώματος, ἵνα ζῇ τήν ἐν πνεύματι μακαρίαν ζωήν. Εἰ γάρ κατά σάρκα ζῆτε, μέλλετε ἀποθνήσκειν, φησίν ὁ θεῖος Ἀπόστολος· εἰ δέ πνεύματι τάς πράξεις τοῦ σώματος θανατοῦτε, ζήσεσθε. Μή τοίνυν τόν λύχνον, ἤγουν τό φωτιστικόν τῆς γνώσεως λόγον, ἀνάπτοντες, διά θεωρίας καί πράξεως ὑπό τόν μόδιον θήσωμεν· ἵνα μή κατακριθῶμεν, ὡς περιγράφοντες τῷ γράμματι τήν τῆς σοφίας ἀπερινόητον δύναμιν· ἀλλ᾽ ἐπί τήν λυχνίαν, λέγω τήν ἁγίαν Ἐκκλησίαν, ἐν τῷ ὕψει τῆς ἀληθοῦς θεωρίας, πᾶσι τό φῶς τῶν θείων δογμάτων πυρσεύουσαν.

(672) Ταύτην τυχόν τήν ἁγίαν Ἐκκλησίαν καί ὁ νόμος τυπικῶς προκαταγγέλλων, λυχνίαν χρυσῆν ὅλην αὐτήν, καί τορευτήν γενέσθαι προσέταξε· τό μέν, ὡς μηδέν διάκενον ἔχουσαν, καί τῆς τοῦ λόγου δυνάμεως ἄμοιρον· τό δέ, ὡς τῶν ὑλικῶν πάντων περιττωμάτων παντελῶς ἀπεξεσμένην, καί μηδέν ἐπίγειον ἔχουσαν. Ἥνπερ μετά τινος ἐξαλλαγῆς θαυμαστῶς διαθρήσας ὁ μέγας Ζαχαρίας, φησί πρός τῷ λαμπαδίῳ· Καί ἑπτά λύχνοι ἐπάνω αὐτῆς. Τούς ἑπτά λύχνους ἐνταῦθα καθ᾽ ἕτερον τρόπον ἐκληπτέον ἡμῖν, παρ᾽ ὅν ἤδη τόν ἐν τῷ Εὐαγγελίῳ λύχνον προλαβών ἐξέδωκεν ὁ λόγος. Οὐ γάρ πάντες τε καί πάντα τά τήν αὐτήν ἐκφώνησιν ἔχοντα, καθ᾽ ἕνα

καί τόν αὐτόν πάντως νοηθήσεται τρόπον· ἀλλ᾽ ἕκαστον τῶν λεγομένων πρός τήν ὑποκειμένην δῆλον ὅτι τῷ τόπῳ τῆς ἁγίας Γραφῆς δύναμιν νοητέον, εἰ μέλλοιμεν ὀρθῶς τοῦ σκοποῦ τῶν γεγραμμένων καταστοχάζεσθαι.

Λύχνους οὖν ἐνταῦθα φάναι τήν ἁγίαν Γραφήν ὑπονοῶ, τάς ἐνεργείας τοῦ ἁγίου Πνεύματος· ἤγουν χαρίσματα τοῦ Πνεύματος, ἅπερ δωρεῖσθαι τῇ Ἐκκλησίᾳ πέφυκεν ὁ Λόγος, ὡς κεφαλή τοῦ παντός σώματος. Καί ἐπαναπαύσεται γάρ ἐπ᾽ αὐτόν, φησί, Πνεῦμα Θεοῦ, πνεῦμα σοφίας καί συνέσεως, πνεῦμα βουλῆς καί ἰσχύος, πνεῦμα γνώσεως καί εὐσεβείας· ἐμπλήσει αὐτόν πνεῦμα φόβου Θεοῦ. Ἡ δέ τῆς Ἐκκλησίας κεφαλή κατά τήν ἐπίνοιαν τῆς ἀνθρωπότητός ἐστιν ὁ Χριστός. Ἄρα τῇ Ἐκκλησίᾳ δεδώρηται ὁ κατά φύσιν ἔχων τό Πνεῦμα, τάς ἐνεργείας τοῦ Πνεύματος, ὡς Θεός. Ἐμοί γάρ ὁ Λόγος γενόμενος ἄνθρωπος, ἐμοί καί τήν ὅλην πραγματεύεται σωτηρίαν· διά τῶν ἐμῶν ἐμοί τά οἰκεῖα αὐτῷ κατά φύσιν ἀντιδούς· δι᾽ ὅν καί ἄνθρωπος γέγονε· καί ὡς λαμβάνων δι᾽ ἐμέ, ποιεῖται τῶν οἰκείων τήν ἔκφανσιν· καί ἑαυτῷ μέν τήν ἐμήν ὡς φιλάνθρωπος λογιζόμενος χάριν· ἐμοί δέ τήν οἰκείαν αὐτοῦ κατά φύσιν κατορθωμάτων ἐπιγραφόμενος δύναμιν· δι᾽ ὅν καί νῦν λαμβάνειν λέγεται, τό φύσει προσόν ἀνάρχως καί ὑπέρ λόγον. Τό γάρ Πνεῦμα τό ἅγιον ὥσπερ φύσει κατ᾽ οὐσίαν ὑπάρχει τοῦ Θεοῦ καί Πατρός, οὕτως καί τοῦ Υἱοῦ φύσει κατ᾽ οὐσίαν ἐστίν, ὡς ἐκ τοῦ Πατρός οὐσιωδῶς, δι' Υἱοῦ γεννηθέντος, ἀφράστως ἐκπορευόμενον· καί τῇ λυχνίᾳ, τουτέστι τῇ Ἐκκλησίᾳ, καθάπερ λύχνους τάς οἰκείας ἐνεργείας δωρούμενον. Λύχνου γάρ τρόπον τό σκότος λύοντος, πᾶσα τοῦ Πνεύματος ἐνέργεια τήν πολύτροπον γένεσιν τῆς ἁμαρτίας ἐξωθεῖσθαι τῆς Ἐκκλησίας καί ἐπελαύνειν πέφυκε. Ποιεῖται γάρ ἡ μέν σοφία, τῆς ἀνοίας ἀναίρεσιν· ἡ δέ σύνεσις, τῆς ἀνεπιγνωμοσύνης ἀφαίρεσιν· ἡ δέ βουλή, τῆς ἀδιακρισίας κατάργησιν· ἡ δέ ἰσχύς, τῆς ἀσθενείας ἐξήλωσιν· ἡ δέ γνῶσις, τῆς ἀγνωσίας ἀφανισμόν· ἡ δέ εὐσέβεια, τῆς ἀσεβείας, καί τῆς ἐπ᾽ αὐτῇ τῶν ἐνεργειῶν φαυλότητος διωγμόν· ὁ δέ φόβος, τῆς καταφρονήσεως ἀπελαύνει τήν πώρωσιν. Φῶς γάρ οὐ μόνον τά προστάγματα, ἀλλά καί τά ἐνεργήματα τυγχάνει τοῦ Πνεύματος.

(673) Λύχνοι δέ πάλιν τυγχάνουσι, παντί τῷ βίῳ διά τῆς Ἐκκλησίας τό φῶς τῆς σωτηρίας πυρσεύοντες, καί οἱ συμπληροῦντες βαθμοί τήν κατ᾽ αὐτήν εὐκοσμία. Οἷον, ὁ σοφός τῶν θείων καί ὑψηλῶν δογμάτων καί μυστηρίων διδάσκαλος, λύχνος ἐστίν, ἐκκαλύπτων τά τέως τοῖς

πολλοῖς μή φαινόμενα. Ὁ μετά συνέσεως καί ἐπιστήμης κατακούων τῆς ἐν τοῖς τελείοις λαλουμένης σοφίας, ἄλλος ὑπάρχει λύχνος, ὡς συνετός ἀκροατής, φυλάττων ἐν ἑαυτῷ τῆς τῶν λαλουμένων ἀληθείας τό φῶς. Ὁ δέ μετά βουλῆς διακρίνων ἁρμοδίους τοῖς πράγμασι τούς καιρούς, καί τοῖς λόγοις τούς ἐπιβάλλοντας τρόπους ἐπινοῶν, καί μή συγχωρῶν ἀλλήλοις ἀπροσφόρως ἐμπεσόντας συγχεῖσθαι, καί οὗτος ὡς θαυμαστός σύμβουλος, ἄλλος ὑπάρχων δέδεικται λύχνος. Ὁ δέ τάς προσβολάς τῶν ἀκουσίων πειρασμῶν, κατά τόν μακάριον Ἰώβ καί τούς γενναίους μάρτυρας, ἀκατασείστῳ φέρων τῷ φρονήματι, λύχνος ἐστίν ἰσχυρός, ἀκατάσβεστον καί αὐτός φυλάττων τό φῶς τῆς σωτηρίας, ἐν τῷ τρόπῳ τῆς κατ᾽ ἀνδρείαν ὑπομονῆς φυλαττόμενον, ὡς τόν Κύριον ἰσχύν ἔχων καί ὕμνησιν. Ὁ δέ γινώσκων τοῦ πονηροῦ τά μηχανήματα, καί τάς συπλοκάς τῶν ἀφανῶν πολέμων οὐκ ἀγνοῶν· καί οὗτος τῷ φωτί τῆς γνώσεως περιλαμπόμενος, ἄλλος πέφυκε λύχνος, τῷ μεγάλῳ Ἀποστόλῳ προσηκόντως φθεγγόμενος· Οὐ γάρ αὐτοῦ τά νοήματα ἀγνοοῦμεν. Ὁ δέ τόν κατ᾽ ἐντολήν βίον εὐσεβῶς τοῖς τρόποις πιστούμενος. Ὁ δέ τῇ προσδοκίᾳ τῆς κρίσεως, τοῖς πάθεσι πρός τήν ψυχήν δι᾽ ἐγκρατείας ἀποτειχίσας τήν εἴσοδον, ἄλλος γέγονε λύχνος· διά σπουδῆς τῷ φόβῳ τοῦ Θεοῦ τάς ἐπιτριβείσας αὐτῷ τῶν παθῶν κηλῖδας ἐκκαθαιρόμενος· καί τήν τῶν παρά φύσιν ἀποβολῇ μολυσμῶν, διαυγῆ καί λαμπρόν τόν βίον ποιούμενος.

Τήν μέν οὖν κάθαρσιν τοῖς ἀξίοις τῆς τῶν ἀρετῶν καθαρότητος, διά φόβου καί εὐσεβείας καί γνώσεως ποιεῖται τό Πνεῦμα τό ἅγιον· τόν δέ φωτισμόν, τῆς τῶν ὄντων καθ᾽ οὕς ὑπάρχουσι λόγους γνώσεως, δι᾽ ἰσχύος, καί βουλῆς, καί συνέσεως δωρεῖται τοῖς ἀξίοις φωτός· τήν δέ τελειότητα, διά τῆς παμφαοῦς καί ἁπλῆς καί ὁλοσχεροῦς σοφίας χαρίζεται τοῖς ἀξίοις θεώσεως, πρός τήν τῶν ὄντων αἰτίαν ἀναμέσως αὐτούς ἀνάγων κατά πάντα τρόπον, ὡς ἔστιν ἀνθρώπῳ δυνατόν, ἐκ μόνων τῶν θείων τῆς ἀγαθότητος ἰδιωμάτων γνωριζομένους· καθ᾽ ἥν ἐκ Θεοῦ μέν ἑαυτούς· ἐξ ἑαυτῶν δέ γινώσκοντες τόν Θεόν, οὐκ ὄντος τινός μέσου τοῦ διατειχίζοντος· σοφίας γάρ πρός Θεόν μέσον οὐδέν· τήν ἀναλλοίωτον ἕξουσιν ἀτρεψίαν, τῶν μέσων αὐτοῖς πάντων ὁλικῶς διαβαθέντων, ἐν οἷς ὑπῆρχεν ὁ περί τήν γνῶσίν ποτε τοῦ σφάλλεσθαι κίνδυνος· καί πρός αὐτήν τήν ἄπειρον καί ἐπάπειρον, καί ἀπειράκις ἀπείρως κατά φύσιν ἐπέκεινα πάντων ἀκρότητα δι᾽ ἀφασίας, (676)

ἀῤῥήτου τε σιγῆς καί ἀγνωσίας, ἀφθέγκτως τε καί ἀπερινοήτως ἀναχθεῖσι κατά τήν χάριν.

Καί ἑπτά ἐπαρυστρίδες τοῖς ἑπτά λύχνοις τοῖς ἐπάνω αὐτῆς. Ὁ μέν δή περί τῶν λύχνων, ὡς κατ᾽ ἐμέ φάναι, κατά δύο ἐπιβολάς, ἀποδέδοται τῆς θεωρίας ὁ λόγος· ὁ δέ τῶν ἐπαρυστρίδων, ἐντεῦθεν ἀρχθήσεται. Φασίν οὖν εἶναι τήν ἐπαρυστρίδα, σκεῦός τι σκυφοειδές, ἐν ᾧ τό τοῖς λύχνοις ἐπιχεόμενον οἱ ἄνθρωποι βάλλειν εἰώθασιν ἔλαιον, πρός ἀποτροφήν τοῦ φωτός καί συντήρησιν. Οὐκοῦν κατά τόν τῆς ἀναγωγῆς λόγον, ἐπαρυστρίδες εἰσί τῶν ἑπτά λύχνων τῆς ὁραθείσης λυχνίας, αἱ δεκτικαί τῶν διατρεφόντων τε καί συντηρούντων τούς ἑπτά λύχνους, ἤγουν τάς ἐνεργείας τοῦ Πνεύματος, διαφόρων λόγων τε καί τρόπων καί ἠθῶν ὑπάρχουσιν ἕξεις τε καί διαθέσεις, τῶν εἰληφότων ἐν τῇ Ἐκκλησίᾳ τήν τῶν χαρισμάτων διαίρεσιν. Ὡς γάρ ἐλαίου χωρίς ἄσβεστον διατηρηθεῖναι λύχνον ἀμήχανον· οὕτως ἕξεως χωρίς, προσφόροις, καί λόγοις καί τρόποις, καί ἤθεσι, νοήμασί τε αὖ καί λογισμοῖς καθήκουσι τά καλά διατρεφούσης, ἄσβεστον διαφυλαχθῆναι τό φῶς τῶν χαρισμάτων ἀμήχανον. Πᾶν γάρ χάρισμα πνευματικόν, προσφυοῦς χρῄζει τῆς ἕξεως, ἀπαύστως ἐπιχεούσης αὐτῷ καθάπερ ἔλαιον, τήν ὕλην τήν νοεράν· ἵνα διαμείνῃ κατά τήν ἕξιν τοῦ δεξαμένου κρατούμενον.

Ἐπαρυστρίδες οὖν τῶν ἑπτά λύχνων τῆς λυχνίας, αἱ πρόσφοροι τῶν θείων χαρισμάτων τῆς ἁγίας Ἐκκησίας ὑπάρχουσιν ἕξεις· ἀφ᾽ ὧν, ὡς ἔκ τινων ἀγγείων, κατά τάς ἐν τῷ Εὐαγγελίῳ φρονίμους παρθένους, ταῖς λαμπάσι τῶν χαρισμάτων ἐπιχέουσι, τό τῆς ἀγαλλιάσεως ἔλαιον, οἱ σοφοί τῶν δεδομένων καλῶν καί ἄγρυπνοι φύλακες.

Καί δύο ἐλαῖαι ἐπάνω αὐτῆς· μία ἐκ δεξιῶν τοῦ λαμπαδίου αὐτῆς, καί μία ἐξ εὐωνύμων. Καλῶς καί πάνυ γε προσφυῶς, ὅλην πρός ἑαυτόν νεύουσαν ὁμαλῶς τήν ὅρασιν διεσκεύασεν ὁ λόγος. Εἰπών γάρ λυχνίαν, καί λαμπάδιον, καί λύχνους, καί ἐπαρυστρίδας, ἐπήγαγε καί ἐλαίας δύο. Ἔδει γάρ ἀληθῶς τῷ φωτί συνεπινοηθῆναι φυσικῶς τήν γεννητικήν τῆς τό φῶς συντηρούσης δυνάμεως αἰτίαν, ἵνα μή τό φῶς ἀπογένηται τῆς λυχνίας δι᾽ ἀτροφίαν σβεννύμενον. Αἱ δύο τοιγαροῦν ἐλαῖαι τῆς χρυσῆς λυχνίας, τουτέστι, τῆς ἁγίας καθολικῆς Ἐκκλησίας, αἱ δύο Διαθῆκαι τυγχάνουσιν· ἀφ᾽ ὧν ὡς ἐξ ἐλαιῶν τινων ἐκπιεζομένη δι᾽ εὐσεβοῦς ζητήσεως καί ἐρεύνης, ἐκδίδοται καθάπερ ἔλαιον, ἡ τό φῶς τῶν θείων χαρισμάτων ἐκτρέφουσα δύναμις τῶν νοημάτων· ἧς

[marg. δυνάμεως δηλονότι] κατ᾽ ἀναλογίαν τῆς οἰκείας, δυνάμεως ἡ τοῦ καθ᾽ ἕκαστον ἕξις πληρουμένη, τό φῶς ἄσβεστον τῆς ἀναλογούσης αὐτῷ διαφυλάττει χάριτος· καθάπερ ἐλαίῳ, τοῖς ἐκ τῶν Γραφῶν νοήμασι συντηρούμενον. Ὡς γάρ ἐλαίας χωρίς οὐκ ἔστιν οὐδαμῶς εὑρεῖν φύσει κατ᾽ ἀλήθειαν γνήσιον (677) ἔλαιον· ἄγγους δέ δίχα, κρατεῖσθαι τοῦ δεχομένου τό ἔλαιον οὐ δυνατόν· ἐλαίῳ δέ μή τρεφόμενον, σβέννυται πάντως τό λυχναῖον φῶς· οὕτως τῶν ἁγίων Γραφῶν χωρίς οὐκ ἔστιν κατ᾽ ἀλήθειαν δύναμις νοημάτων θεοπρεπής· ἕξεως δέ δίχα καθάπερ ἄγγους νοημάτων δεκτικῆς, οὐδαμῶς ἄν συσταίη νόημα θεῖον· θείοις δέ νοήμασι μή τρεφόμενον τό φῶς τῆς ἐν τοῖς χαρίσμασι γνώσεως, ἄσβεστον οὐ συντηρεῖται τοῖς ἔχουσιν.

Οὐκοῦν καλῶς τήν ὅρασιν ἀνάγων πρός θεωρίαν πνευματικήν, ὁ λόγος παρείκασε· τήν μέν λυχνίαν, τῇ Ἐκκλησίᾳ· τό δέ λαμπάδιον τῷ σαρκωθέντι Θεῷ, καί τήν ἡμετέραν φύσιν ἀτρέπτως ἑαυτῷ καθ᾽ ὑπόστασιν περιθεμένῳ· τούς δέ λύχνους τούς ἑπτά, τοῖς τοῦ Πνεύματος χαρίσμασιν, ἤγουν ἐνεργείαις, ὡς ὁ μέγας ἀπέδειξε σαφῶς Ἡσαΐας· τάς δέ τῶν λύχνων ἐπαρυστρίδας, ταῖς δεκτικαῖς τῶν θείων τῆς Γραφῆς νοημάτων ἕξεσι, τῶν δεξαμένων τά θεῖα χαρίσματα· τάς δέ δύο ἐλαίας, ταῖς δυσί Διαθήκαις, ἐξ ὧν ἡ τῶν θείων νοημάτων ἐνεργουμένη σοφῶς ἐκδίδοσθαι πέφυκε δύναμις· δι᾽ ἧς τό φῶς τῶν θείων μυστηρίων ἄσβεστον συντηρεῖται τρεφόμενον.

Καί μία, φησίν, ἐκδεξιῶν τοῦ λαμπαδίου αὐτῆς, καί μία ἐξ εὐωνύμων. Δεξιάν οἶμαι λέγειν τόν προφήτην, τό πνευματικώτερον τοῦ λόγου μέρος· εὐώνυμον δέ, τό σωματικώτερον. Εἰ δέ τό σωματικώτερον τοῦ λόγου μέρος δηλοῖ τό ἀριστερόν· τό δέ πνευματικώτερον μέρος σημαίνει τό δεξιόν· τήν Παλαιάν Διαθήκην τήν ἐξ εὐωνύμων ἐλαίαν ὑπολαμβάνω σημαίνειν, ὡς τῆς πρακτικῆς μᾶλλον προνοουμένην φιλοσοφίας· τήν ἐκ δεξιῶν δέ, τήν Νέαν Διαθήκην, ὡς καινοῦ μυστηρίου διδάσκαλον, καί τῆς ἐν ἑκάστῳ τῶν πιστῶν θεωρητικῆς ἕξεως ποιητικήν. Ἡ μέν γάρ ἀρετῆς τρόπους· ἡ δέ, γνώσεως λόγους παρέχεται, τοῖς τά θεῖα φιλοσοφοῦσι. Καί ἡ μέν, τῆς τῶν ὁρωμένων ὁμίχλης ὑφαρπάζουσα, πρός τό συγγενές ἀνάγει τόν νοῦν, πάσης καθαρόν ὑλικῆς φαντασίας γεγενημένον· ἡ δέ, τῆς ὑλικῆς προσπαθείας αὐτόν ἀποκαθαίρει, τῷ τῆς ἀνδρείας τόνῳ καθάπερ σφύρᾳ τινί, τούς πρός τό σῶμα τῆς γνώμης κατά τήν σχέσιν ἐκκρουόμενον ἥλους. Καί ἡ μέν Παλαιά, σῶμα πρός ψυχήν λογισθέν διά μέσων διαβιβάζει [Fr. ἀναβιβάζει] τῶν ἀρετῶν, κωλύουσα τοῦ

πρός σῶμα τόν νοῦν καταβιβάζεσθαι· ἡ δέ Νέα πρός τόν Θεόν ἀναβιβάζει, τῷ πυρί τῆς ἀγάπης πυρούμενον. Καί ἡ μέν, ταυτόν ἐργάζεται τῷ νοΐ τό σῶμα κατά τήν θέσει κίνησιν· ἡ δέ ταυτόν τῷ Θεῷ τόν νοῦν ἀποτελεῖ κατά τήν ἕξιν τῆς χάριτος· τοσαύτην ἔχοντα πρός τόν Θεόν τήν ἐμφέρειαν, ὥστε δι᾽ αὐτοῦ τόν Θεόν γνωρίζεσθαι· τόν ἐξ ἑαυτοῦ κατά φύσιν οὐδαμῶς τό παράπαν οὐδενί γινωσκόμενον, ὡς ἔκ τινος εἰκόνος ἀρχέτυπον.

Ταῦτα μέν ὧδε κατά τοῦτον ἐχέτω τόν τρόπον. Εἰ δέ βούλεταί τις καί εἰς τόν καθ᾽ ἕκαστον ἄνθρωπον λαμβάνειν τῶν εἰρημένων δύναμιν, οὐκ ἀπορήσει πάντως καλῶν καί εὐσεβῶν θεωρημάτων. Λυχνίαν γάρ δυνήσεται νοεῖν τήν ἑκάστου ψυχήν· (680) χρυσῆν ὅλην, ὡς κατά φύσιν νοεράν τε καί λογικήν· ἄφθαρτόν τε καί ἀθάνατον· καί τῷ βασιλικωτάτῳ κράτει τῆς αὐτεξουσιότητος τετιμημένην· ἔχουσαν ἐφ᾽ ἑαυτῆς τό λαμπάδιον τῆς πίστεως, ἤγουν τόν σάρκα γενόμενον Λόγον πιστευόμενον αὐτῇ βεβαίως, καί ἀληθῶς ὑπ᾽ αὐτῆς λατρευόμενον· ἐφ᾽ ἥν ὁ λύχνος τοῦ λόγου τῆς γνώσεως ἀναπτόμενος τίθεται, κατά τήν αὐτοῦ τοῦ Θεοῦ καί Λόγου διδαχήν καί παραίνεσιν. Φησίν γάρ· Οὐδείς ἅπτει λύχνον καί τιθέασιν αὐτόν ὑπό τόν μόδιον· ἀλλ᾽ ἐπί τήν λυχνίαν, καί λάμπει πᾶσι τοῖς ἐν τῷ οἴκῳ· λύχνον λέγων τυχόν, τόν κατά πρᾶξιν ἐν πνεύματι τῆς γνώσεως λόγον· ἤγουν τόν νόμον τοῦ πνεύματος· μόδιον δέ, τό χοϊκόν φρόνημα τῆς σαρκός, ἤγουν τόν ἐμπαθῆ νόμον τοῦ σώματος· ὑφ᾽ ὅν οὐ δεῖ ποιεῖσθαι τόν νόμον τῆς χάριτος· ἀλλ᾽ ἐπί τήν ψυχήν· τήν ὄντως χρυσῆν λυχνίαν· ἵνα λάμπων ταῖς ἀστραπαῖς τῶν ἔργων τῆς δικαιοσύνης καί τῶν σοφῶν νοημάτων, πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ, τουτέστιν, Ἐκκλησίᾳ, ἤ τῷδε τῷ κόσμῳ, μιμητάς τοῦ καλοῦ τούς θεωμένους καθίστησι· δοξάζοντας καί αὐτούς διά τῶν ἔργων τῆς ἀρετῆς, ἀλλ᾽ οὐ ψιλῇ προφορᾷ λόγων, τόν ἐν οὐρανοῖς Πατέρα, τουτέστι τόν Θεόν, τόν ἐν τοῖς ὑψώμασι τῶν μυστικῶν θεωρημάτων τῆς γνώσεως, τήν τῶν κατά τήν ἀρετήν φαινομένων ἔργων τῆς δικαιοσύνης ἐν τοῖς ἁγίοις γεννῶντα μεγαλοπρέπειαν. Ὅπως ἴδωσιν ὑμῶν τά καλά ἔργα, φησί, καί δοξάσωσι τόν Πατέρα ὑμῶν τόν ἐν οὐρανοῖς.

Οὕτω μέν οὖν νοήσει, κατά τόν ἀποδοθέντα τρόπον τήν ὁραθεῖσαν λυχνίαν καί τό λαμπάδιον· τούς ἑπτά δέ λύχνους ἐκδέξεται, τήν τῶν διαφόρων χαρισμάτων τοῦ Πνεύματος εἶναι διαίρεσιν, κατά τήν προαποδοθεῖσαν ἐξήγησιν, ἥν μυστικῶς ἐπιλάμπειν καί ἐπαναπαύεσθαι τῷ κατά Χριστόν δι᾽ ἀρετῆς τελειουμένῳ καί

γνώσεως· ἐπειδή Χριστόν οἶδεν ὁ λόγος τόν ζῶντα κατά Χριστόν, καί τοῖς αὐτοῖς τρόποις καί λόγοις, καθώς ἐστιν ἀνθρώπῳ θεμιτόν, διαφαινόμενον· οἷα δή καί αὐτόν ἔχοντα σοφίαν τε σύνεσιν βουλήν τε καί ἰσχύν, καί γνῶσιν, καί εὐσέβειαν, καί φόβον, δι᾽ ὧν, ὡς δι᾽ ὀφθαλμῶν νοητῶν ἐπιβλέπειν λέγεται πᾶσαν τῆς ἑκάστου καρδίας τήν γῆν ὁ Θεός. Ἑπτά γάρ εἰσιν οὗτοι ὀφθαλμοί Κυρίου, φησίν, οἱ ἐπιβλέποντες ἐπί πᾶσαν τήν γῆν.

Καί ἑπτά ἐπαρυστρίδες τοῖς λύχνοις τοῖς ἐπάνω αὐτῆς. Ἐπαρυστρίδες εἰσίν, αἱ κατά πρᾶξιν καί θεωρίαν ἕξεις, τῶν ἀξίων τῆς ἐν τοῖς θείοις χαρίσμασι διαιρέσεως· ἀφ᾽ ὧν, ὡς ἐξ ἀγγείων τινῶν ἐπιχέοντες καθάπερ ἔλαιον τῶν μυστικῶν νοημάτων τήν δύναμιν, τό φῶς χαρισμάτων τοῦ Πνεύματος φυλάττουσιν ἄσβεστον.

Τάς δέ δύο ἐλαίας νοήσει, καθώς προέφην, τάς δύο Διαθήκας· τήν μέν Παλαιάν, ἐξ εὐωνύμων τοῦ λαμπαδίου· τήν τῷ γνωστικῷ τῆς ψυχῆς, ἤγουν θεωρητικῷ, καθάπερ ἔλαιον γεννῶσαν τούς (681) κατά τήν πρᾶξιν τρόπους τῶν ἀρετῶν· τήν δέ νέαν ἐκ δεξιῶν, τήν τῷ παθητικῷ τῆς ψυχῆς, ἤγουν πρακτικῷ καθάπερ ἔλαιον ἀεννάως γεννῶσαν τούς κατά τήν θεωρίαν πνευματικούς λόγους τῶν γνώσεων· ἵνα δι᾽ ἀμφοῖν καλῶς κατακριβωθῇ τό τῆς σωτηρίας ἡμῶν μυστήριον· ἐπίδειξιν μέν λόγου, τόν βίον· δόξαν δέ βίου, τόν λόγον ποιούμενον· καί τήν μέν πρᾶξιν θεωρίαν ἐνεργουμένην· τήν δέ θεωρίαν, πρᾶξιν μυσταγωγουμένην· καί συντόμως εἰπεῖν, τήν μέν ἀρετήν φανέρωσιν γνώσεως· τήν δέ γνῶσιν, ἀρετῆς συντηρητικήν ἐργαζόμενον δύναμιν· καί δι᾽ ἀμφοῖν, ἀρετῆς λέγω καί γνώσεως, μίαν σοφίαν συνισταμένην ἐπιδεικνύμενον· ἵνα γνῶμεν, ὅτι συμφωνοῦσιν ἀλλήλαις διά πάντων αἱ δύο Διαθῆκαι, κατά τήν χάριν πλέον εἰς ἑνός μυστηρίου συμπλήρωσιν, ἤ ὅσον ψυχή καί σῶμα εἰς ἑνός ἀνθρώπου γένεσιν, κατά τήν σύνθεσιν ἀλλήλοις συμβαίνουσιν.

Εἰ δέ τις, ταῖς κατά νοῦν θεωρίαις φιλοτιμούμενος, ἐκλαβών εἴποι, τάς δύο ἐλαίας εἶναι τούς δύο νόμους, τόν τε φυσικόν λέγω καί τόν πνευματικόν· οὐκ ἔξω βέβηκε τῆς ἀληθείας. Ὁ μέν γάρ φυσικός νόμος, ὡς ἐξ ἀριστερῶν τοῦ λαμπαδίου, τουτέστι τοῦ σαρκωθέντος Θεοῦ Λόγου, διά τῆς συγγενοῦς αἰσθήσεως τούς ἐν τοῖς αἰσθητοῖς πρός ἀρετήν τρόπους νοηθήσεται τῷ λόγῳ προσάγων· ὁ δέ νοερός, ἤγουν πνευματικός ἐκ δεξιῶν, διά τῆς συγγενοῦς νοήσεως τούς ἐν τοῖς οὖσι πρός γνῶσιν πνευματικήν λόγους ἀναλεγόμενος· δι᾽ ὧν [marg. δύο νόμων δηλονότι] τάς διαφόρους ἕξεις τῶν πνευματικῶν χαρισμάτων

καθάπερ λύχνων ἐπαρυστρίδας, πρακτικῶν καί γνωστικῶν θεωρημάτων πληρώσαντες, ἄσβεστον τό φῶς τῆς ἀληθεάις φυλάττομεν.

Γνωστικώτερον δέ τυχόν ὁ τόπος οὗτος τῆς Γραφῆς κατανοούμενος, διά τῶν δύο ἐλαιῶν τῶν ἐκ δεξιῶν τοῦ λαμπαδίου, καί ἐξ εὐωνύμων, τήν πρόνοιαν δηλοῖ καί τήν κρίσιν· ὧν ἕστηκε μέσος ὡς ἐπί λυχνίας χρυσῆς, τῆς ἁγίας καθολικῆς Ἐκκλησίας· ἤτοι τοῦ καθ᾽ ἕκαστον ἁγίου ψυχῆς, πᾶσιν πυρσεύων τῆς ἀληθείας τό φῶς, ὁ τό πᾶν ὡς Θεός περιέχων Λόγος· καί τούς κατά πρόνοιαν καί κρίσιν ἀληθινούς καί γενικωτάτους τῆς τῶν ὄντων συνοχῆς ἀποκαλύπτων λόγους· καθ᾽ οὕς, τό πρό πάντων τῶν αἰώνων προωρισμένον, ἐπ᾽ ἐσχάτων δέ τῶν χρόνων ἐπιτελεσθέν τῆς σωτηρίας ἡμῶν μυστήριον συνέστηκεν· ὧν, τήν μέν πρόνοιαν, καθάπερ ἐλαίαν ἐκ δεξιῶν τοῦ λαμπαδίου τυγχάνουσαν, ἐν τῷ ἀφράστῳ τρόπῳ τῆς τοῦ Λόγου πρός τήν λογικῶς ἐψυχωμένην σάρκα καθ᾽ ὑπόστασιν ἑνώσεως, διά μόνης καθορῶμεν τῆς πίστεως· τήν δέ κρίσιν ἐξ εὐωνύμων ὑπάρχουσαν, ἐν τῷ μυστηρίῳ τῶν ὑπέρ ἡμῶν σαρκωθέντος Θεοῦ ζωοποιῶν παθημάτων ἀῤῥήτως κατανοοῦμεν. Τό μέν γάρ ὡς ἀγαθός προηγουμένως κατά θέλησιν γέγονεν, οἷα δή φύσει πάντων ὑπάρχων Σωτήρ· τό δέ, καθ᾽ ἑκούσιον ἀνοχήν ἐφεπομένως ὑπέμεινεν, ὡς Λυτρωτής. Οὐ γάρ ἵνα πάθῃ προηγουμένως ὁ Θεός γέγονεν ἄνθρωπος· ἀλλ᾽ ἵνα τόν ἄνθρωπον σώσῃ διά παθημάτων· ὑφ᾽ ἅ, διά τήν παράβασιν (684) τῆς θείας ἐντολῆς, ἑαυτόν ὁ κατ᾽ ἀρχάς ἀπαθής ὑπάρχων, πεποίηκεν ἄνθρωπος.

Δεξιόν οὖν τό κατά πρόνοιαν τῆς τοῦ Λόγου σαρκώσεως ὑπάρχει μυστήριον, ὡς ἐνεργητικόν τῆς ὑπέρ φύσιν χάριτι πρό τῶν αἰώνων προωρισθείσης τῶν σωζομένων θεώσεως· ἧς οὐδείς τό παράπαν κατά φύσιν τῶν ὄντων ἐφικέσθαι δυνήσεται λόγος· εὐώνυμον δέ, τό κατά κρίσιν τοῦ ζωοποιοῦ πάθους τοῦ κατά σάρκα παθεῖν βουληθέντος Θεοῦ, σαφῶς ὑπάρχει μυστήριον· ὡς ἐνεργητικόν μέν τῆς τῶν ἐπεισαχθέντων ἐκ τῆς παρακοῆς τῇ φύσει παρά φύσιν πάντων ἰδιωμάτων καί κινημάτων παντελοῦς ἀναιρέσεως· ποιητικόν δέ, τῆς τῶν προηγουμένως κατά φύσιν ἁπάντων ἰδιωμάτων τε καί κινημάτων ἀνελλιποῦς ἀποκαταστάσεως· καθ᾽ ἥν οὐδείς τό παράπαν τῶν ὄντων κίβδηλος εὑρεθήσεται λόγος· ἐξ ὧν, προνοίας τέ φημι καί κρίσεως, ἤγουν σαρκώσεώς τε καί πάθους, διά τό στεῤῥόν τε καί καθαρόν καί ἀδιάφθορον τῆς κατά τήν πρᾶξιν ἀνδρικῆς ἀρετῆς καί ἀτρεψίας, διά τε

τό διαφανές καί λαμπρόν τῆς μυστικῆς θεωρίας καί γνώσεως, ὡς ἐκ μέσου δύο χαλκῶν ὀρέων ἐκβέβηκεν ἱππείων ἁρμάτων δίκην, ἡ ἁγία τετράς τῶν Εὐαγγελίων, τῶν πᾶσαν διειληφότων καί περιοδευσάντων τήν γῆν, καί τήν πληγήν τῆς παραβάσεως τοῦ Ἀδάμ ἰασαμένων, καί ἀναπαυσάντων τό Πνεῦμα τοῦ Θεοῦ διά πίστεως, καί τῆς ἐπ᾿ αὐτῇ κατά τόν βίον καλῆς πολειτείας· (685) ἐν γῇ Βοῤῥᾶ, τουτέστιν ἐν τοῖς ἔθνεσιν, ἐν οἷς ὁ ζόφος ἐκράτει τῆς ἀγνοίας, καί τῆς ἁμαρτίας τήν φύσιν ἐτυράννει τό σκότος.

Ἤ πάλιν ἡ τοῖς ἁγίοις Εὐαγγελίοις τῶν τεσσάρων γενικῶν ἀρετῶν ἰσάριθμος δύναμις, πᾶσαν διαλαβοῦσα καθάπερ γῆν τῶν πιστῶν τήν καρδίαν, καί περιοδεύσασα τήν ἐγγενομένην αὐτοῖς ἐκ τῶν παθῶν τῆς ἀτιμίας πληγήν· καί ἀναπαύσασα τό Πνεῦμα τοῦ Θεοῦ διά τῆς πρακτικῆς τῶν ἐντολῶν ἐνεργείας, ἐν γῇ βοῤῥᾷ, τουτέστιν, ἐν τῇ σαρκί, διά τῶν ἔργων τῆς δικαιοσύνης φαινόμενον δείξασα τόν νόμον τοῦ πνεύματος.

Ἤ πάλιν τάς δύο ἐλαίας νοητέον, τήν θεωρίαν καί τήν πρᾶξιν· ὧν, τῆς μέν θεωρίας, ἡ κατά σάρκωσιν πρόνοια δίδωσι φαίνεσθαι τόν λόγον· τῆς δέ πράξεως, ἡ κατά τό πάθος κρίσις δίδωσιν ἐνεργεῖσθαι τόν τρόπον· ὡς τῆς μέν κατά ψυχήν ἐκ δεξιῶν οὔσης τοῦ Λόγου· τῆς δέ κατά σῶμα ἐξ εὐωνύμων ὑπαρχούσης· καί τῆς μέν, τόν νοῦν πρός τήν τοῦ Θεοῦ καλούσης συγγένειαν· τῆς δέ, τῷ πνεύματι τήν αἴσθησιν ἁγιαζούσης, καί τῶν παθῶν αὐτῆς τούς τύπους ἀφαιρουμένης.

Ἤ πάλιν, πίστιν καί ἀγαθήν συνείδησιν τάς δύο νοητέον ἐλαίας, ὧν ἕστηκε μέσος ὁ Λόγος· κατά μέν τήν πίστιν, ὀρθῶς παρά τῶν πιστῶν προσκυνούμενος· κατά δέ τήν ἀγαθήν συνείδησιν, διά τῆς εἰς ἀλλήλους εὐαρεστήσεως, εὐσεβῶς λατρευόμενος.

Ἤ τούς δύο λαούς, τόν ἐξ ἐθνῶν λέγω καί τόν ἐξ Ἰουδαίων, ἐλαίαις δύο παρείκασεν ὁ Λόγος· οὕς καί πιότητος υἱούς, ὥσπερ ἑρμηνεύων τάς ἐλαίας, διά τήν ἐν πνεύμαατι γέννησιν, καί τήν πρός θέωσιν χάριν τῆς υἱοθεσίας προσηγόρευσεν· ὧν μέσος ἕστηκε ὁ σαρκωθείς Θεός, ὡς ἐπί λυχνίας, τῆς μιᾶς καί μόνης καθολικῆς Ἐκκλησίας, καταλλάσσων αὐτούς ἑαυτῷ τε καί ἀλλήλοις, καί ποιῶν φωτός τοῦ κατ᾿ ἀρετήν τε καί γνῶσιν γεννητικούς.

Τυχόν δέ καί τήν ψυχήν καί τό σῶμα διά τῶν δύο ἐλαιῶν παρῃνίξατο μυστικῶς ὁ λόγος· τήν μέν, ὡς λόγοις ἀληθοῦς γνώσεως κομῶσαν κατά τήν ἐλαίαν· τό δέ, ὡς ἀρετῶν πράξεσι πεπυκασμένον.

Εἰ δέ καί τούς δύο κόσμους διά τῶν δύο ἐλαιῶν ὁ τῆς Γραφῆς αἰνίττεται λόγος, καλῶς ἄν ἔχοι καί οὕτω νοούμενος· ὧν ἵσταται μέσος ὡς Θεός ὁ Λόγος· τόν μέν νοητόν ἐν τῷ αἰσθητῷ φαίνεσθαι τοῖς τύποις μυστικῶς διαγράφων· τόν δέ αἰσθητόν, ἐν τῷ νοητῷ τοῖς λόγοις ὄντα νοεῖσθαι διδάσκων.

Εἰ δέ καί τήν παροῦσαν ζωήν καί τήν μέλλουσαν ἡ κατά τάς ἐλαίας διετύπωσεν ὅρασις, καλῶς ἄν ἔχοι καί οὕτως τῆς θεωρίας ὁ τρόπος· ὧν ἵσταται μέσος ὁ Λόγος, τῆς μέν ἀπάγων, διά τῆς ἀρετῆς· πρός δέ τήν ἐπανάγων, διά τῆς γνώσεως. Ὅπερ νοήσας τυχόν ὁ θαυμαστός Ἀμβακούμ, φησίν· (688) Ἐν μέσῳ δύο ζωῶν γνωσθήσῃ· ζωάς [Fr. δύο ζώων γνωσθήσῃ· ζῶα] λέγων, ὥσπερ τά ὄρη τά χαλκᾶ, καί τάς ἐλαίας ὁ μέγας Ζαχαρίας, τούς δύο κόσμους, ἤγουν αἰῶνας· ἤ τάς προσφυεῖς αὐτῶν ζωάς· ἤ τήν ψυχήν καί τό σῶμα· ἤ τήν πρᾶξιν καί τήν θεωρίαν· ἤ τήν ἕξιν τοῦ καλοῦ καί τήν ἐνέργειαν· ἤ τόν νόμον καί τούς προφήτας· ἤ τήν Παλαιάν ὅλην καί τήν Νέαν Διαθήκην· ἤ τούς δύο λαούς· τόν ἐξ ἐθνῶν καί τόν ἐξ Ἰουδαίων· ἤ τούς δύο νόμους· τόν φυσικόν καί τόν πνευματικόν· ἤ τήν πίστιν καί τήν ἀγαθήν συνείδησιν· ὧν μέσος ἵσταται διά πάντων ὑμνούμενος καί δοξαζόμενος ὁ Λόγος, καί πρός μίαν τοῦ καλοῦ τά πάντα σύμπνοιαν ἄγων, ὡς πάντων Θεός· καί διά τοῦτο πάντα ποιήσας, ἵνα πάντων γένηται τῆς καθ᾿ ἕνωσιν πρός ἄλληλα τοῦ καλοῦ ταυτότητος δεσμός ἀδιάλυτος.

Λυχνίαν δέ κατά τήν ὅρασιν τυχόν τήν Ἐκκλησίαν, καί τήν ψυχήν εἶπεν ὁ λόγος, ὡς ἐπίκτητον φύσει τό τῆς χάριτος φῶς ἔχουσαν καί ἐπισκευαστόν· διότι μόνου τοῦ Θεοῦ κατά φύσιν ἐστί τό ἀγαθόν· ἐξ οὗ κατά μετοχήν πάντα φωτίζεταί τε καί ἀγαθύνεται, τά φωτός κατά φύσιν καί ἀγαθότητος δεκτικά.

Καί ταῦτα μέν περί τούτων, συμμετρίας φροντίζων διῆλθεν ὁ λόγος· αὐτός δέ παρ᾿ ἑαυτοῦ σύν Θεῷ τά κρείττω τούτοις ἐπιθεωρήσας, φαίδρυνον, ὅσιε Πάτερ, ταῖς ἀειφανέσι τῆς σῆς διανοίας ἀκτῖσι τήν ἀμβλυωποῦσάν μου ψυχήν.

***ΣΧΟΛΙΑ***

*α'*. Τίς ἡ λυχνία;

*β'*. Πῶς ἀκίβληλος χρυσός ἐστιν ἡ Ἐκκλησία;

*γ'*. Πῶς καθαρά;

δ'. Πῶς ἀμίαντος;

ε'. Πῶς ἄχραντος;

στ'. Πῶς ἀμείωτος;

ζ'. Τί τό λαμπάδιον τῆς λυχνίας;

η'. Οὐ πᾶς ἄνθρωπος εἰς τοῦτον ἐρχόμενος τόν κόσμον, φησίν, ὑπό τοῦ Λόγου πάντως φωτίζεται· πολλοί γάρ ἀφώτιστοι διαμένουσι, καί τοῦ κατ᾽ ἐπίγνωσιν ἀμέτοχοι φωτός· ἀλλά δῆλον ὅτι, πᾶς ἄνθρωπος κατ᾽ οἰκείαν γνώμην εἰς τόν ἀληθῆ κόσμον τῶν ἀρετῶν ἐρχόμενος· πᾶς γάρ ὁ κατ᾽ ἀλήθειαν διά τῆς αὐθαιρέτου γεννήσεως, εἰς τοῦτον ἐρχόμενος τῶν ἀρετῶν τόν κόσμον, ὑπό τοῦ Λόγου πάντως φωτίζεται, λαμβάνων ἕξιν ἀρετῆς ἀμετακίνητον, καί γνώσεως ἀληθοῦς ἐπιστήμην ἄπταιστον.

θ'. Πῶς καί λύχνος ἐστίν ὁ σαρκωθείς Θεός Λόγος;

ι'. Τίς ὁ μόδιος, ὑφ᾽ ὅν ὁ λύχνος οὐ γίνεται καλυπτόμενος;

ια'. Εἰς τήν αἴσθησιν τήν γυναῖκα· καί εἰς τήν ἡδονήν, τόν ὄφιν ἐθεώρησεν· ἄμφω γάρ πρός τόν λόγον κατά διάμετρον ἀφεστήκασιν.

ιβ'. (689) Ὅτι λαβοῦσα τόν νοῦν ἡ αἴσθησις ὑποχείριον, διδάσκει πολύθεον, δι᾽ ἑκάστης αἰσθήσεως τῇ περί τά πάθη δουλείᾳ ὡς Θεῖον τό προσφυές αἰσθητόν θεραπεύουσα.

ιγ'. Τίνας τούς λύχνους ὁ Λόγος φησίν;

ιδ'. Fr. Βλέπε τῆς χάριτος τό μέγεθος· βλέπε θεολογίας ἀπέραντον τό πέλαγος.

ιε'. Τίνων εἰσί κατορθωτικά τοῦ Πνεύματος τά χαρίσματα;

ιστ'. Τίνες εἰσί κατ᾽ ἄλλον θεωρίας τρόπον οἱ λύχνοι;

ιζ'. Τήν πρακτικήν φιλοσοφίαν φόβος, εὐσέβειά τε καί γνῶσις ἐργάζονται. Τήν δέ φυσικήν ἐν πνεύματι θεωρίαν, ἰσχύς, καί βουλή, καί σύνεσις κατορθοῦσι· τήν δέ μυστικήν θεολογίαν σοφία μόνη θεία χαρίζεται.

ιη'. Μέσα καλεῖ τήν τῶν αἰσθητῶν καί τῶν νοητῶν οὐσίαν· δι᾽ ὧν πρός τόν Θεόν ὡς αἰτίαν τῶν ὄντων ὁ ἀνθρώπινος νοῦς ἀνάγεσθαι πέφυκεν.

ιθ'. Τίνες εἰσί κατά τήν ἀναγωγήν, αἱ τῶν λύχνων ἐπαρυστρίδες;

κ'. Τίνες αἱ δύο τυγχάνουσιν ἐλαῖαι;

κα'. Ἀνακεφαλαίωσις τῶν θεωρηθέντων ὁριστική καί σύντομος.

κβ'. Τί τό δεξιόν, καί τό ἀριστερόν;

κγ'. Ἡ Παλαιά, φησίν, Διαθήκη, πράξεως καί ἀρετῆς ὑπάρχουσα σύμβολον, συμφωνεῖν τό σῶμα τῷ νοΐ παρασκευάζει κατά τήν

κίνησιν· ἡ δέ Νέα, θεωρίας καί γνώσεως οὖσα ποιητική, τόν μυστικῶς αὐτῆς ἀντεχόμενον νοῦν, τοῖς θείοις καταφαιδρύνει χαρίσμασιν.

κδ'. Ἄλλης θεωρίας τρόπος ἰδικός, εἰς τήν ἑκάστου ψυχήν ἀναφέρων, τήν τε λυχνίαν καί τά τῆς λυχνίας.

κε'. Τίς ὁ λύχνος;

κστ'. Ἐκείνων ὁ Θεός, φησίν, λέγεταί τε καί γίνεται κατά τήν χάριν Πατήρ, τῶν μόνην ἐχόντων καθαράν τήν γνωμικήν ἐν πνεύματι γέννησιν· καθ᾽ ἥν, ὥσπερ ψυχῆς πρόσωπον τόν ἐν ἀρεταῖς τοῦ γεννήσαντος Θεοῦ χαρακτῆρα φαινόμενον ἔχοντες κατά τόν βίον, τούς θεωμένους τῇ μεταβολῇ τῶν τρόπων δοξάζειν τόν Θεόν παρασκευάζουσι, τόν οἰκεῖον βίον πρός μίμησιν παρέχοντες αὐτοῖς ἐξαίρετον ἀρετῆς ἐξεμπλάριον. Οὐ γάρ λόγῳ ψιλῷ Θεός δοξάζεσθαι πέφυκεν· ἀλλ᾽ ἔργοις δικαιοσύνης πολλῷ πλείονα λόγου βοῶσι τήν θείαν μεγαλοπρέπειαν.

κζ'. Τίνας εἶναι δεῖ νοεῖν τούς ἑπτά λύχνους;

κη'. Τίνες αἱ ἐπαρυστρίδες;

κθ'. Τίνες αἱ δύο ἐλαῖαι;

λ'. Ἡ μέν Παλαιά, φησί τῷ γνωστικῷ χορηγεῖ τούς τρόπους τῶν ἀρετῶν· ἡ δέ Νέα, τῷ πρακτικῷ γνώσεως ἀληθοῦς λόγους χαρίζεται.

λα'. Fr. Ὅτι τό πρακτικόν, τό τῆς ψυχῆς παθητικόν λέγει.

λβ'. Ὁ τῇ πράξει σωματουμένην, φησί, τήν γνῶσιν, (692) καί τῇ γνώσει τήν πρᾶξιν δεικνύς, τόν ἀκριβῆ τρόπον εὗρε τῆς ἀληθοῦς θεουργίας. Ὁ δ᾽ ὁποτέραν τούτων τῆς ἑτέρας ἔχων διαζευγμένην, ἤ τήν γνῶσιν ἀνυπόστατον ἐποίησε φαντασίαν, ἤ τήν πρᾶξιν ἄψυχον κατέστησεν εἴδωλον· γνῶσις γάρ ἄπρακτος, φαντασίας οὐδέν διενήνοχεν, ὑφεστῶσαν αὐτήν τήν πρᾶξιν οὐκ ἔχουσα· καί πρᾶξις ἀλόγιστος, ἀψύχῳ ταυτόν εἰδώλῳ καθέστηκεν, ψυχοῦσαν αὐτήν γνῶσιν οὐκ ἔχουσα.

λγ'. Ὥσπερ ψυχή καί σῶμα ποιεῖ κατά σύνθεσιν ἄνθρωπον· οὕτω πρᾶξις καί θεωρία μίαν κατά σύνοδον σοφίαν ἀποτελεῖ γνωστικήν· καί Παλαιά καί Νέα Διαθήκη, μυστήριον ἕν ἀπεργάζεται.

λδ'. Ἀριστερός μέν ὁ φυσικός νόμος διά τήν αἴσθησιν· προσάγει δέ τῷ Λόγῳ τούς τρόπους τῶν ἀρετῶν, καί ποιεῖ γνῶσιν ἐνεργουμένην. Ὁ δέ πνευματικός νόμος, ὡς δεξιός μέν ἐστι διά τόν νοῦν· μίγνυσι δέ τῇ αἰσθήσει τούς ἐν τοῖς οὖσι πνευματικούς λόγους, καί ποιεῖ πρᾶξιν λελογισμένην.

λε'. Ἡ πρόνοια, φησίν, ἐν τῷ καθ᾽ ὑπόστασιν ἑνωθῆναι σαρκί τόν Λόγον δείκνυται· ἡ δέ κρίσις, ἐν τῷ παθεῖν ὑπέρ ἡμῶν σαρκί καταδέξασθαι φαίνεται· δι᾽ ὧν, ἑνώσεως καί πάθους, ἡ τοῦ παντός σωτηρία συνέστηκεν.

λστ'. Ἡ μέν σάρκωσις, φησίν, εἰς τήν τῆς φύσεως σωτηρίαν γέγονε· τά δέ πάθη, πρός λύτρωσιν τῶν διά τήν ἁμαρτίαν τῷ θανάτῳ κατεχομένων.

λζ'. Τό μυστήριον, φησί, τῆς ἐνανθρωπήσεως, τά μέν παρά φύσιν ἀφίστησιν ἰδιώματα τῆς ἀνθρωπίνης φύσεως· τά δέ κατά φύσιν ἀποκαθίστησιν.

λη'. Πρόνοιαν καί κρίσιν, σάρκωσίν τε καί πάθος, ὄρη χαλκᾶ νενόηκεν· ἐξ ὧν ἡ τῶν Εὐαγγελίων ἐκβαίνει τετράς.

λθ'. Γῆν Βοῤῥᾶ τά ἔθνη νενόηκεν· ἅτινα ὡς ἐν χώρᾳ σκότους ὑπῆρχόν ποτε τῇ πλάνῃ τῆς ἀγνοίας· νῦν δέ γεγόνασιν ἐν χώρᾳ φωτός, τῇ ἐπιγνώσει τῆς ἀληθείας, κατά τήν χάριν τῆς ἁγίας τῶν Εὐαγγελίων τετράδος, ὡς στοιχείων ἀφθάρτων, κατά τόν ἔσω καί νοερόν ἄνθρωπον εἰς ζωήν αἰώνιον ἀναπλασθέντες διά τῆς πίστεως.

μ'. Ἄλλη θεωρία τῶν τεσσάρων ἁρμάτων.

μα'. Ἄλλη θεωρία τῶν ἐλαιῶν.

μβ'. Ὁ μέν θεωρητικός, φησί, τόν κατά τήν πρόνοιαν λόγον τῆς σαρκώσεως ἔχει φαινόμενον· ὁ δέ πρακτικός, τόν κατά τήν κρίσιν τῶν παθημάτων τοῦ Λόγου τρόπον ἐνεργούμενον δείκνυσιν.

μγ'. Εἰς τάς ἐλαίας ἄλλη θεωρία.

μδ'. Εἰς τάς αὐτάς ἄλλη θεωρία.

με'. Ἄλλη περί τῶν αὐτῶν θεωρία.

μστ'. Ἄλλη περί τῶν δύο ἐλαιῶν θεωρία.

μζ'. Ὁ τόν φαινόμενον κόσμον νοῶν, θεωρεῖ τόν νοούμενον· τυποῖ γάρ τῇ αἰσθήσει τά νοητά φανταζόμενος, καί κατά νοῦν σχηματίζει τούς θεαθέντας λόγους· καί μεταφέρει πρός μέν αἴσθησιν πολυειδῶς τοῦ νοητοῦ κόσμου τήν σύστασιν· πρός δέ νοῦν, τοῦ αἰσθητοῦ κόσμου πολυπλόκως τήν σύνθεσιν· (693) καί νοεῖ, ἐν μέν τῷ νοητῷ τόν αἰσθητόν, μετενέγκας πρός τόν νοῦν τοῖς λόγοις τήν αἴσθησιν· ἐν δέ τῷ αἰσθητῷ τόν νοητόν, πρός τήν αἴσθησιν ἐπιστημόνως τοῖς τύποις μετεγκλώσας τόν νοῦν.

μη'. Ἄλλη περί τῶν αὐτῶν θεωρία.

*ΕΡΩΤΗΣΙΣ ΞΔ΄.*

***Ποίαν ἔννοιαν ἔχει τό ῥητόν τό ἐν τῷ Ἰωνᾷ τῷ προφήτῃ περί τῆς Νινευή φάσκον· " Ἐν ᾗ κατοικοῦσιν πλείους ἤ δώδεκα μυριάδες ἀνδρῶν, οἵτινες οὐκ ἔγνωσαν δεξιάν αὐτῶν οὐδέ ἀριστεράν αὐτῶν, ἐπειδή ἀπό τοῦ γράμματος οὐχ εὑρίσκω μίαν παθραμυθίαν; Οὐ γάρ εἶπε Παῖδας, ἵνα περί νηπίων νομίσω, ἀλλ᾽ Ἄνδρας. Ποῖος δέ ἀνήρ ἔχων ἀβλαβεῖς τάς φρένας, ἀγνοεῖ δεξιάν αὐτοῦ ἤ ἀριστεράν αὐτοῦ; ἀλλ᾽ [Fr. ἤ ἀριστεράν· ἀλλ᾽] εἰπέ τίνες οἱ ἄνδρες, καί τίς ἡ δεξιά, καί τίς ἡ ἀριστερά, κατά τόν τῆς ἀναγωγῆς λόγον.***

Ἀπόκρισις.

Οὐδέν τῶν ἀναγεγραμμένων τῇ Γραφῇ προσώπων, ἤ τόπων, ἤ χρόνων, ἤ ἑτέρων πραγμάτων, ἐμψύχων τε καί ἀψύχων, αἰσθητῶν τε καί νοητῶν, κατά τόν αὐτόν ἀεί νοούμενον τρόπον ἔχει συμβαίνουσαν ἑαυτῇ δι᾽ ὅλου τήν ἱστορίαν καί τήν θεωρίαν. Διό χρή τόν ἀπταίστως τήν θείαν τῆς ἁγίας Γραφῆς ἐξασκούμενον εἴδησιν, ταῖς διαφοραῖς τῶν γινομένων ἤ λεγομένων, διαφόρως ἐκδέχεσθαι τῶν ἀπηριθμημένων ἕκαστον· καί τήν ἁρμόζουσαν αὐτῷ κατά τόν τόπον ἤ τόν χρόνον δεόντως θεωρίαν προσνέμειν. Πολύσημον γάρ ἐστι ἑκάστου τῶν ἐν τῇ Γραφῇ σημαινομένων τό ὄνομα, κατά τήν δύναμιν τῆς Ἑβραΐδος φωνῆς· ὅπερ κἀνταῦθα σαφῶς εὑρίσκομεν.

Ἑρμηνεύεται γάρ Ἰωνᾶς κατά διαφόρους ἐκφωνήσεις· Ἀνάπαυσις καί δόμα Θεοῦ, ἴαμα Θεοῦ, καί Θεοῦ χάρις αὐτοῖς, καί πόνος Θεοῦ, καί περιστερά, καί φυγή κάλλους, καί διαπόνησις αὐτῶν. Γίνεται δέ οὗτος καί ἐν Ἰόππῃ, καί ἐν θαλάσσῃ, καί ἐν κήτει, καί ἐν Νινευῇ, καί ὑπό τήν κολόκυνταν. Ἑρμηνεύεται δέ Ἰόππη, κατασκοπή χαρᾶς, καί καλλονή θαυμαστή, καί χαρά δυνατή. Οὐκοῦν Ἰωνᾶς ὁ προφήτης, τύπον φέρει καί τοῦ Ἀδάμ, καί τῆς κοινῆς φύσεως, καί τοῦ Χριστοῦ, καί τῆς προφητικῆς χάριτος, καί τοῦ ἀγνώμονος, καί ἐπί παντί καλῷ διαπονουμένου καί ταῖς θείαις ἀεί βασκαίνοντος χάρισι λαοῦ τῶν Ἰουδαίων. Οἷον, τοῦ μέν Ἀδάμ, φέρει τύπον καί τῆς κοινῆς φύσεως, φεύγων ἐξ Ἰόππης εἰς θάλασσαν, καί διά τοῦτο κατά τήν τῆς προσηγορίας αὐτοῦ δύναμιν, φυγή κάλλους καλούμενος. Ἰόππης δέ δηλοῖ τυπούμενον ἐν αὐτῇ τόν (696) παράδεισον, τόν ὄντως κατασκοπήν χαρᾶς καί ὄντα καί ὀνομαζόμενον· καί χαράν δυνατήν καί καλλονήν θαυμασίαν, διά τόν ἐν αὐτῷ πλοῦτον τῆς ἀφθαρσίας· ὅστις ποτ᾽ ἄν ἦν ὁ παράδεισος οὗτος ὁ χειρί Θεοῦ φυτευθείς.

Ἐφύτευσε γάρ, φησί, Κύριος ὁ Θεός παράδεισον ἐν Ἐδέμ, καί ἔθετο ἐκεῖ τόν ἄνθρωπον ὅν ἔπλασε· καί τίνα τά ξύλα τά ἐν αὐτῷ, εἴτε θεωρούμενα, εἴτε νοούμενα· καί τί τό ἐν μέσῳ τοῦ παραδείσου ξύλον τῆς ζωῆς· ὧν πάντων ἐσθίειν πρόσταγμα λαβών ὁ Ἀδάμ, τυχόν οὐδέ ἥψατο· Ἀπό παντός γάρ ξύλου, φησί, τοῦ ἐν τῷ παραδείσῳ βρώσει φάγῃ.

Σημαίνει δέ πάλιν ἡ Ἰόππη, τήν ἀρετήν καί τήν γνῶσιν· καί τήν ἐπ᾽ αὐταῖς σοφίαν· τήν ἀρετήν μέν, ὅταν ἑρμηνεύεται καλλονή θαυμαστή· τήν δέ γνῶσιν, ὅταν ὡς κατασκοπή χαρᾶς λαμβάνεται· τήν δέ σοφίαν, ὁπηνίκα τήν δυνατήν σημαίνει χαράν· καθ᾽ ἥν τελειούμενος ἄνθρωπος, τήν ἀνεκλάλητον λαμβάνει χαράν· τήν δυνατήν, καί ὄντως συνεκτικήν τῆς κατά θεόν καί θείας τοῦ ἀνθρώπου συστάσεως· εἴπερ ἡ σοφία ξύλον ζωῆς ἐστι πᾶσι τοῖς ἀντεχομένοις αὐτῆς, κατά τό γεγραμμένον· καί τοῖς ἐπερειδομένοις ἐπ᾽ αὐτήν, ὡς ἐπί Κύριον, ἀσφαλής. Φεύγουσαν γάρ ἀεί τήν Ἰόππην, τουτέστι, τήν ἕξιν τῆς ἀρετῆς καί τῆς γνώσεως, καί τῆς ἐπ᾽ αὐταῖς σοφίας τήν χάριν, ὥσπερ ὁ Ἀδάμ τόν παράδεισον διά τῆς παρακοῆς, ὁρῶμεν τήν φύσιν τῶν ἀνθρώπων· διά τό τήν διάνοιαν αὐτῆς ἐπιμελῶς ἐγκεῖσθαι τοῖς πονηροῖς, καί εἰς τήν θάλασσαν· λέγω δέ τήν ἅλμην τῆς ἁμαρτίας, ἑκουσίως κατασυρομένην· ὡς πρός τοῦτον τόν κόσμον ἐκπεσών τοῦ παραδείσου ὁ προπάτωρ Ἀδάμ κατεκυλίσθη, καί τήν ἄστατον τῶν ὑλικῶν, καί ἅλμην ἄλλως φέρουσάν τε καί φερομένην πλάνην τε καί σύγχυσιν ἐπιμελῶς περιέπουσαν· ἧς τοσοῦτόν εστι τό κέρδος τοῖς ἀντεχομένοις αὐτῆς, ὅσον μόνον ποντισθῆναι, καί ὑπό τοῦ κήτους καταποθῆναι, καί περιχυθῆναι ὕδωρ ἕως ψυχῆς· καί ἀπό τῆς ἐσχάτης ἀβύσσου κυκλωθῆναι, καί δύναι τήν κεφαλήν εἰς σχισμάς ὀρέων, καί κατελθεῖν εἰς γῆν, ἧς οἱ μοχλοί αὐτῆς κάτοχοι αἰώνιοι· ὡς πυθμένα δῆλον ὅτι τῆς ἐσχάτης ἀβύσσου τυγχάνουσαν· τήν γῆν τήν σκοτεινήν ὄντως καί γνοφεράν, γῆν σκότους αἰωνίου· ἐν ᾗ οὐκ ἔστι φέγγος, οὐδέ ὁρᾷν ζωήν βροτῶν, ὥς πού φησιν ὁ μέγας καί τοῖς μεγάλοις ὑπέρ ἀληθείας ἄθλοις διηγωνισμένος Ἰώβ.

Σημαίνει γοῦν τόν Ἀδάμ ὁ προφήτης, ἤγουν τήν κοινήν φύσιν τῶν ἀνθρώπων, ἐν ἑκάστῳ ταῦτα τυπῶν μυστικῶς· τήν, ὡς ἐξ Ἰόππης τῶν θείων ἐξολισθήσασαν ἀγαθῶν, καί πρός τήνδε τοῦ βίου καθάπερ θάλασσαν τήν ταλαιπωρίαν κατενεχθεῖσαν· καί τῷ ἀστάτῳ καί πολυφλοίσβῳ πελάγει τῆς τῶν ὑλικῶν προσπαθείας καταποντισθεῖσαν· καί ὑπό τοῦ κήτους τοῦ νοητοῦ καί ἀπλήστου

θηρός τοῦ διαβόλου (697) καταποθεῖσαν· καί τό ὕδωρ πανταχόθεν τῶν ἐν κακίᾳ πειρασμῶν περιχυθέν δεξαμένην ἕως ψυχῆς· ὡς περιχεθεῖσαν δηλαδή τοῖς πειρασμοῖς τῆς ζωῆς· καί ὑπό τῆς ἐσχάτης ἀβύσσου κυκλωθῆναι· τουτέστιν, ὑπό τῆς παντελοῦς ἀγνοίας καταδεθεῖσαν τόν νοῦν, καί περικλυσθῆναι τῷ πολλῷ βάρει τῆς κακίας τόν λογισμόν· καί καταδύσαι τήν κεφαλήν εἰς σχισμάς ὀρέων· τουτέστι, τόν πρῶτον κατά τήν πίστιν περί μονάδος λόγον, ὡς κεφαλήν τοῦ παντός σώματος τῶν ἀρετῶν, ὡς εἴς τινας σχισμάς ἀφεγγεῖς ὀρέων τάς διανοίας τῶν πονηρῶν δυνάμεων κατακλεισθεῖσαν καί εἰς πολλάς δόξας καί φαντασίας καταμερισθεῖσαν. Σχισμάς γάρ ὀρέων, τῶν ἐν τῷ βάθει που τῆς ἐσχάτης ἀβύσσου τῆς ἀγνοίας κειμένων τῆς πονηρίας πνευμάτων περί πλάνην ἐννοίας εἶπεν, ὁ λόγος· καί κατελθοῦσαν εἰς τήν γῆν, ἧς οἱ μοχλοί αὐτῆς κάτοχοι αἰώνιοι· τουτέστι, πρός τήν πάσης αἰσθήσεως θείας ἔρημον, καί ζωτικῆς κινήσεως ἀρετῶν ἐστερημένην ἕξιν κατενεχθεῖσαν· τήν μηδεμίαν παντελῶς ἔχουσαν αἴσθησιν ἀγαθότητος, καί Θεοῦ κατ᾽ ἔννοιαν ἐφέσεως κίνησιν· ἐφ᾽ ἧς βέβηκεν καθάπερ ἄβυσσος, τῆς ἀγνοίας ὁ ζόφος καί τό ἀνήκεστον βάθος τῆς κακίας· καί τά ὄρη τῆς πλάνης ἐῤῥίζωται· τά πνευματικά λέγω τῆς πονηρίας· ὧν πρότερον ταῖς σχισμαῖς εἰσδῦσα, γέγονεν ὕστερον βάσις διά τήν κακίστην ἕξιν ἡ φύσις τῶν ἀνθρώπων, ὡς δεκτική τῆς αὐτῶν πλάνης καί πονηρίας. Τήν ἔχουσαν καθάπερ αἰωνίους μοχλούς, τάς ἐνδιαθέτους προσπαθείας τῶν ὑλικῶν τάς οὐκ ἐώσας τήν διάνοιαν τοῦ σκότους τῆς ἀγνοίας ἀπαλλαγεῖσαν, τό φῶς ἰδεῖν τῆς ἀληθοῦς ἐπιγνώσεως· ἥντινα τυχόν ἕξιν, ὡς μικρῷ πρόσθεν ἔφην, ὁ μέγας Ἰώβ αἰνιττόμενος ἔφη, γῆν σκοτεινήν καί γνοφεράν· γῆν σκότους αἰωνίου. Σκοτεινήν μέν, ὡς πάσης ἀληθοῦς ἔρημον γνώσεώς τε καί θεωρίας· γνοφεράν δέ ὡς πάσης ἀρετῆς ἐστερημένην καί πράξεως· Ἐν ᾗ, φησίν, οὐκ ἔστι φέγγος, δηλαδή γνώσεως καί ἀληθείας· οὐδέ ὁρᾷν ζωήν βροτῶν· τήν λογικοῖς δηλονότι πρέπουσαν ἀγωγήν.

Ἐν τούτοις μέν γίνεται τυχόν, ὁπηνίκα τά πάθη τυπῶν ἐν ἑαυτῷ τῆς ἀνθρωπότητος ὁ προφήτης, εἰς ἅπερ ἐλεεινῶς ἑαυτήν κατεσκεύασε, τά τῆς κοινῆς οἰκειούμενος φύσεως· καί ἐφαρμόζεται δεόντως αὐτῷ τυποῦντι τόν Ἀδάμ, τῆς προσηγορίας ὁ νοῦς, φυγή κάλλους ἑρμηνευόμενος. Ἡνίκα δέ τόν δι᾽ ἡμᾶς ἐν τοῖς ἡμῶν καθ᾽ ἡμᾶς διά σαρκός νοερῶς ἐψυχωμένης χωρίς μόνης ἁμαρτίας γενόμενον Θεόν προδιατυποῖ, καί τό τῆς οἰκονομίας, καί τῶν κατ᾽

αὐτήν παθημάτων προδιαγράφει μυστήριον· τήν μέν ἀπ᾽ οὐρανῶν εἰς τόν κόσμον τοῦτον σημαίνει κάθοδον, διά τῆς ἐξ Ἰόππης εἰς τήν θάλασσαν μεταβάσεως· τό δέ τοῦ θανάτου καί τῆς ταφῆς καί τῆς ἀναστάσεως μυστήριον, ὑπό τοῦ κήτους δηλοῖ καταπινόμενος, καί μετά τρεῖς ἡμέρας καί τρεῖς νύκτας ἀπαθής ἐκδιδόμενος. Καί διά τοῦτο προσφόρως κατά τήν τῆς κλήσεως δύναμιν ἀνάπαυσις καί ἴασις Θεοῦ καί Θεοῦ χάρις αὐτοῖς· τυχόν δέ, καί πόνος Θεοῦ διά τό (700) πάθος τό ἑκούσιον, καλῶς ὀνομαζόμενος. Τήν γάρ ἀληθινήν τῶν ἐν ὀδύναις κεκοπωμένων ἀνάπαυσιν, καί τήν ἴασιν τῶν συντετριμμένων, καί τήν χάριν τῆς τῶν ἁμαρτημάτων ἀφέσεως, Χριστόν Ἰησοῦν τόν ἀληθινόν Θεόν ὁ προφήτης διά τῶν οἰκείων δραμάτων μυστικῶς προδιέγραψεν. Αὐτός γάρ ὁ Κύριος ἡμῶν καί Θεός γενόμενος ἄνθρωπος, καί τῷ πελάγει τοῦ βίου τοῦ καθ᾽ ἡμᾶς ἐνδημήσας, ὡς ἀπ᾽ οὐρανοῦ τῆς Ἰόππης ἑρμηνευομένης κατασκοπή χαρᾶς, εἰς τήν θάλασσαν τοῦδε τοῦ κόσμου, κατά τό γεγραμμένον, Ὅς ἀντί τῆς προκειμένης αὐτῷ χαρᾶς ὑπέμεινε σταυρόν, αἰσχύνης καταφρονήσας· καί εἰς τήν καρδίαν τῆς γῆς, ἔνθα διά τοῦ θανάτου καταπιών εἶχεν ὁ πονηρός καθειργμένους, καταβάς ἑκουσίως, καί διά τῆς ἀναστάσεως ἀνασπάσας, πρός οὐρανόν ὅλην τήν κεκρατημένην φύσιν ἀναγαγών, ἀνάπαυσις ἡμῶν κατ᾽ ἀλήθειαν ὑπάρχει, καί ἴασις καί χάρις· ἀνάπαυσις μέν, ὡς τόν νόμον τῆς ἐν σαρκί διά τήν πρόσκαιρον ζωήν περιστατικῆς λύων δουλείας· ἴασις δέ, ὡς τό σύντριμμα τοῦ θανάτου καί τῆς φθορᾶς διά τῆς ἀναστάσεως ἐξιασάμενος· χάρις δέ, ὡς τῆς ἐν πνεύματι διά πίστεως υἱοθεσίας, καί τῆς ἐπαξίως ἑκάστου κατά τήν θέωσιν χάριτος διανομεύς. Ἔδει γάρ, ἔδει κατά ἀλήθειαν εἰς ἐκείνην γενέσθαι τήν γῆν τό φῶς, καί τήν δύναμιν τοῦ Θεοῦ καί Πατρός, ἐν ᾗ τό σκότος ὑπῆρχε, καί οἱ μοχλοί αἰώνιοι· ἵνα τό σκότος λύσας τῆς ἀγνοίας, οἷα δή πνευματικόν φῶς ὑπάρχων, καί τούς μοχλούς τῆς κακίας συντρίψας, ὡς ἐνυπόστατος Θεοῦ δύναμις, τήν τούτοις δεινῶς ὑπό τοῦ πονηροῦ κατησφαλισμένην ἐλευθερώσῃ φύσιν, δωρούμενος αὐτῇ φῶς ἀληθοῦς γνώσεως ἄσβεστον, καί δύναμιν ἀρετῶν ἀναφαίρετον [Fr. ἀκαθαίρετον].

Ὁπηνίκα δέ τήν προφητικήν χάριν ὡς ἔκ τινος Ἰόππης, τῆς τέως ἐνδόξου νομιζομένης τῆς τοῦ νόμου λατρείας, εὐαγγελικῶς εἰς τά ἔθνη μεταβαίνουσαν, καί τόν Ἰουδαϊκόν λαόν διά τήν αὐτῶν ἀπιστίαν, τῆς κατ᾽ αὐτήν χαρᾶς ἔρημον καταλιμπάνουσαν· καί διά πολλῶν θλίψεων, κινδύνων τε καί περιστάσεων, καί πόνων καί διωγμῶν καί

θανάτων, τήν τῶν ἐθνῶν καθάπερ Νινευή πρός τόν Θεόν ἐπιστρέφουσαν Ἐκκλησίαν ἑαυτῷ τυποῖ, μυστικῶς ὁ προφήτης τήν Ἰόππην ἀφίησι· τῆς κατά νόμον δηλαδή λατρείας ἀφιστάμενος, τήν χάριν σημαίνων τῆς προφητείας καί ἐν τῇ θαλάσσῃ γινομένην τῶν ἀκουσίων περιστάσεων, καί τῶν ἐπ᾽ αὐταῖς ἀγώνων καί πόνων, καί κινδύνων· καί ὑπό τοῦ κήτους τοῦ θανάτου καταπινομένην μέν, οὐδαμῶς δέ παντελῶς διαφθειρομένην. Οὐ γάρ ἴσχυσεν τόν δρόμον τῆς εὐαγγελικῶς τοῖς ἔθνεσι καταγγελθείσης κωλῦσαι χάριτος τῶν ὄντων οὐδέν· οὐ θλίψις, οὐ στενοχωρία, οὐ διωγμός, οὐ λιμός, οὐ κίνδυνος, οὐ μάχαιρα· τοὐναντίον μέν οὖν, διά τούτων ἡ χάρις ἐβεβαιώθη, πάντων τῶν ἐπαναστάντων κρατήσασα· καί ἐν τῷ πάσχειν, πλέον τούς δρῶντας νικήσασα, καί τήν φύσιν πλανωμένην ἐπέστρεψεν ἐπί Θεόν ζῶντα καί ἀληθινόν, (701) ὥσπερ Ἰωνᾶς τήν Νινευή. Κἄν ἐδόκει διά τῆς ἐπηρείας τῶν διωγμῶν καλύπτειν τήν χάριν ὁ πονηρός, ὡς τόν προφήτην τό κῆτος· ἀλλ᾽ εἰς τέλος κατέχειν οὐκ ἠδυνήθη, τῆς ἐνεργούσης τήν χάριν δυνάμεως ἀλλοιῶσαι τήν ἰσχύν οὐ δυνάμενος· ὅθεν καί λαμπροτέραν μᾶλλον ἐποίει μετά τήν πεῖραν τῶν ἐναντίων τήν χάριν, ἐν τοῖς αὐτῆς φοιτηταῖς διαφαίνεσθαι· τοσοῦτον, ὅσον αὐτός ταῖς προβολαῖς τήν οἰκείαν ἐπεφθείρετο δύναμιν· ὁρῶν ἑαυτῷ παντάπασιν τήν χάριν οὐ μόνον ἀνάλωτον, ἀλλά καί τήν φυσικήν τῶν καταγγελλόντων αὐτήν τοῖς ἔθνεσι ἁγίων ἀσθένειαν, ἰσχύν τῆς αὐτοῦ καθαιρετικήν δυνάμεως γενομένην, καί παντός ὕψους ἐπαιρομένου κατά τῆς γνώσεως τοῦ Θεοῦ παντελῶς ἀφανιστικήν· καί τῷ δοκεῖν σωματικῶς ἁλῶναι ταῖς ἐπηρείαις μᾶλλον πνευματικῶς δυναμουμένην· ὅπερ ἐκ τοῦ παθεῖν τῇ πείρᾳ μαθών ὁ ἐν καινότητι τοῦ Πνεύματος, ἀλλ᾽ οὐ παλαιότητι γράμματος, τῆς ἐν Χριστῷ πρός τά ἔθνη διάκονος προφητικῆς γενόμενος χάριτος, Παῦλος ἡ μεγάλη σάλπιγξ τῆς ἀληθείας, Ἔχομεν, φησί, τόν θησαυρόν τοῦτον ἐν ὀστρακίνοις σκεύεσι· θησαυρόν λέγων, τόν λόγον τῆς χάριτος· ὀστράκινον δέ σκεῦος, τό σῶμα τοῦτο τό παθητόν· ἤ τήν ἐν τῷ λόγῳ τῷ κατά προφοράν νομιζομένην ἰδιωτείαν, τήν πᾶσαν τοῦ κόσμου τήν σοφίαν νικήσασαν· ἤ χωρήσασαν, καθώς ἐστιν ἐφικτόν, τήν ἀχώρητον τῷ κόσμῳ παντάπασιν τοῦ Θεοῦ σοφίαν, καί τοῦ κατ᾽ αὐτήν [Fr. καθ᾽ ὅσον] φωτός τῆς ἀληθοῦς ἐπιγνώσεως τήν οἰκουμένην ὅλην πληρώσασαν. Ἵνα ἡ ὑπερβολή τῆς δυνάμεως ᾖ τοῦ Θεοῦ, καί μή ἐξ ἡμῶν· ἐν παντί, θλιβόμενοι, ἀλλ᾽ οὐ στενοχωρούμενοι· ἀπορούμενοι, ἀλλ᾽ οὐκ ἐξαπορούμενοι· διωκόμενοι, ἀλλ᾽ οὐκ

ἐγκαταλειπόμενοι· καταβαλλόμενοι, ἀλλ᾽ οὐκ ἀπολλύμενοι. Πάντοτε τήν νέκρωσιν τοῦ Ἰησοῦ ἐν τῷ σώματι περιφέροντες, ἵνα καί ἡ ζωή τοῦ Ἰησοῦ ἐν τῷ σώματι ἡμῶν φανερωθεῖ. Ἀεί γάρ ἡμεῖς οἱ ζῶντες εἰς θάνατον παραδιδόμεθα διά Ἰησοῦν, ἵνα ἡ ζωή τοῦ Ἰησοῦ φανερωθῇ ἐν τῇ θνητῇ σαρκί ἡμῶν. Ὥστε ὁ θάνατος ἐν ἡμῖν ἐνεργεῖται· ἡ δέ ζωή, ἐν ὑμῖν. Ὑπέρ ἀληθείας γάρ τόν ἐν τοῖς παθήμασι καθ᾽ ἑκούσιον γνώμην ἀνευθύνως ὑπομένοντες θάνατον, οἱ τοῦ λόγου τῆς χάριτος γενόμενοι κήρυκες, τήν ἐν πνεύματι κατ᾽ ἐπίγνωσιν ἀληθείας ζωήν ἐνήργουν τοῖς ἔθνεσιν· ὥσπερ δή, καί ὁ ταύτην τήν χάριν προδιατυπώσας ἐν ἑαυτῷ μυστικῶς πέπονθεν Ἰωνᾶς, τούς τοσούτους αὐτός ἀνατλάς κινδύνους, ἵνα πρός τόν Θεόν ἐκ πλάνης ἐπιστρέψῃ τούς Νινευΐτας· καί διά τοῦτο κατά τήν ἑνοῦσαν τῷ ὀνόματι δύναμιν, Θεοῦ δόμα καί Θεοῦ πόνος καλῶς ἑρμηνευόμενος. Δόμα γάρ Θεοῦ, καί δῶρον ὡς ἀληθῶς προσφιλές, καί φιλάνθρωπον· καί θεῖος πόνος, καί ἐπαινούμενος, ἡ πρός τά ἔθνη χάρις τῆς προφητείας ἐστίν. Δόμα μέν, ὡς φῶς δωρουμένη γνώσεως ἀληθοῦς, καί ζωῆς ἀφθαρσίαν παρεχομένη τοῖς ὑποδεχομένοις αὐτήν· Θεοῦ δέ πόνος, ὡς πείθουσα τοῖς ὑπέρ ἀληθείας ἐγκαλλωπίζεσθαι πόνοις, τούς αὐτῆς διακόνους, (704) καί πλέον ἐμπλατύνεσθαι διδάσκουσα τοῖς παθήμασιν, ἤ ταῖς ἀνέσεσιν, τούς τῆς ἐν σαρκί ζωῆς ἄγαν φροντίζοντας ὑπόστασιν αὐτοῖς ὑπερβαλλούσης κατά πνεῦμα δυνάμεως, ποιουμένη τήν κατά φύσιν τῆς σαρκός περί τό πάσχειν ἀσθένειαν.

Ὁ γάρ λόγος τῆς χάριτος, διά πολλῶν πειρασμῶν πρός τήν τῶν ἀνθρώπων φύσιν, ἤγουν τήν τῶν ἐθνῶν Ἐκκλησίαν, ὥσπερ Ἰωνᾶς διά πολλῶν θλίψεων πρός Νινευή διαβάς τήν πόλιν τήν μεγάλην, ἔπεισε τόν βασιλεύοντα νόμον τῆς φύσεως ἐξαναστῆναι τοῦ θρόνου· τῆς προτέρας περί τό κακόν δηλαδή κατά τήν αἴσθησιν ἕξεως, καί περιελέσθαι τήν στολήν αὐτοῦ· τόν ἐπί τοῖς ἤθεσιν λέγω τῆς κοσμικῆς δόξης ἀποθέσθαι τύφον· καί περιβαλέσθαι σάκκον, τό πένθος δηλαδή καί τήν δυσχερῆ καί τραχεῖαν τῆς κακοπαθείας, καί βίῳ τῷ κατά Θεόν πρέπουσαν ἀναγωγήν· καί καθῆσαι ἐπί σποδοῦ. Σποδός ἐστιν, ἡ πτωχεία τοῦ πνεύματος, ἐφ᾽ ἧς καθέζεται πᾶς εὐσεβῶς ζῆν διδασκόμενος, καί τήν μάστιγα τῆς συνειδήσεως ἔχων ἐπί τοῖς πλημμεληθεῖσιν αὐτόν καταικίζουσαν. Καί οὐ μόνον τόν βασιλέα πείθει πιστεῦσαι τῷ Θεῷ κηρυττόμενος ὁ λόγος τῆς χάριτος, ἀλλά καί τούς ἄνδρας, τούς συμπληροῦντας δηλαδή τήν φύσιν ἀνθρώπους, ἕνα πληροφορῶν ὁμολογεῖν εἶναι Θεόν τῶν πάντων ποιητήν καί κριτήν,

καί κηρύξαι πιστῶς παρασκευάζων, τήν τελείαν δηλαδή τῶν προτέρων ἀποχήν πονηρῶν ἐπιτηδευμάτων· καί ἐνδύσασθαι σάκκους, ἀπό μικροῦ ἕως μεγάλου αὐτῶν· τήν νεκρωτικήν δηλαδή τῶν παθῶν κακοπάθειαν προθύμως μετελθεῖν· μικρούς δέ καί μεγάλους ἐνταῦθα κατά τόν τῆς ἀναγωγῆς λόγον ὑπονοῶ κεκλῆσθαι, τούς ἐν ἥττονι κακίᾳ, καί μείζονι φωραθέντας ὑπό τοῦ λόγου.

Καί ἐπίστευσαν οἱ ἄνδρες Νινευή, φησί, τῷ Θεῷ, καί ἐκήρυξαν νηστείαν, καί ἐνεδύσαντο σάκκους ἀπό μικροῦ καί ἕως μεγάλου αὐτῶν. Καί ἤγγισεν ὁ λόγος πρός τόν βασιλέα τῆς Νινευή, καί ἐξανέστη ἀπό τοῦ θρόνου αὐτοῦ, καί περιείλετο τήν στολή αὐτοῦ ἀφ᾿ ἑαυτοῦ, καί περιεβάλετο σάκκον· καί ἐκάθησεν ἐπί σποδοῦ. Καί ἐκηρύχθη καί ἐῤῥέθη ἐν τῇ Νινευῇ παρά τοῦ βασιλέως καί παρά τῶν μεγιστάνων αὐτοῦ, λεγόντων· Οἱ ἄνθρωποι καί τά κτήνη καί οἱ βόες, καί τά πρόβατα μή γευσάσθωσαν μηδέν, μηδέ νεμέσθωσαν· καί ὕδωρ μή πιέτωσαν. Βασιλεύς ἐστιν, τῆς φύσεως ἔφην, ὁ νόμος τῆς φύσεως· ἄρχοντες δέ τούτου τυγχάνουσι, τό τε λογικόν καί θυμικόν καί ἐπιθυμητικόν· οἱ ἄνδρες δέ τυγχάνουσι ταύτης τῆς πόλεως, τουτέστιν τῆς φύσεως, κατά μίαν ἐπιβολήν, οἱ περί τόν λόγον πταίοντες, καί περί Θεοῦ καί τῶν θείων ἐσφαλμένην γνῶσιν κατέχοντες· κτήνη δέ, οἱ κατά τήν ἐπιθυμίαν διαμαρτάνοντες, καί διά τῶν σωματικῶν παθημάτων ἀχθοφοροῦντες τήν ἡδονήν· βόες δέ, οἱ πᾶσαν τοῦ θυμοῦ τήν κίνησιν πρός τήν τῶν γηΐνων καταβαλόντες κτῆσιν· φασίν γάρ τό αἷμα τοῦ βοός πινόμενον θάνατον (705) ἐπάγειν παραυτίκα τῷ πίνοντι· θυμοῦ δέ προδήλως σύμβολον ὑπάρχει τό αἷμα. Πρόβατα δέ φασιν εἶναι, ψεκτά δηλαδή, τούς ἀνοήτως κατά μόνην τήν αἴσθησιν πρός πάθος νεμομένους ὡς πόαν τήν τῶν ὁρατῶν θεωρίαν. Ψεκτῶς γάρ κεῖσθαι ταῦτα πάντα κατά τοῦτον τῆς Γραφῆς τόν τόπον ὑπονοοῦμεν, ἕως ὁ λόγος λαβών, πρός τό κρεῖττον αὐτά μεταβάλοι. Ὅθεν τούτοις ἐπάγει φάσκων ὁ Λόγος· Μή γευσάσθωσαν, μηδέ νεμέσθωσαν· καί ὕδωρ μή πιέτωσαν· λύων δηλαδή τάς προτέρας ἐφ᾿ ἑκάστῳ τῶν εἰρημένων συστατικάς τῶν παθῶν αἰτίας, μεθ᾿ ἅς ἀναιρουμένας τήν πρός τό κρεῖττον μεταβολήν τῶν ποτε τοῖς κακοῖς ἐπιτηδεύμασιν ἐνεσχημένων, ἐπιδεικνύμενος, ἐπιφέρει· Καί περιεβάλοντο σάκκους οἱ ἄνθρωποι, καί τά κτήνη, καί ἀνεβόησαν πρός Κύριον τόν Θεόν ἐκτενῶς· καί ἀπέστρεψεν ἕκαστος ἐκ τῆς ὁδοῦ αὐτοῦ πονηρᾶς, καί ἀπό τῆς ἀδικίας τῆς ἐν χερσίν. Ἀνθρώπους, ὡς ἔφην, λέγεσθαι νοήσομεν, τούς ἐνεχομένους κατά ἐσφαλμένην τοῦ

λόγου κρίσιν ὑπό τῶν ψυχικῶν παθημάτων· κτήνη δέ, τούς καθ᾽ ἡδονήν κατά τήν τοῦ θυμοῦ καί τῆς ἐπιθυμίας παράχρησιν, τοῖς σωματικοῖς προσηλωμένους παθήμασιν, πάντας καθάπερ σάκκους περιβαλλομένους τήν νέκρωσιν τῶν ἐπί γῆς μελῶν, ἤγουν παντός τοῦ χοϊκοῦ νόμου τε καί φρονήματος· καί ἀναβοῶντας ἐκτενῶς· τουτέστιν, μεγάλῃ τῇ φωνῇ, ἤγουν τῇ κατά τῆς ἀνομίας παῤῥησίᾳ ἐξαγορεύοντας τῶν προτέρων ἁμαρτημάτων τήν ἄδειαν· καί ἀφισταμένους ὡς ὁδοῦ τινος τοῦ κατά συνήθειαν δρόμου· καί τῆς ὡς ἐν χερσίν ταῖς πράξεσιν ἐνεργουμένης ἀδικίας.

Οὕτω μέν οὖν εἰς τήν κοινήν φύσιν, ἤγουν τήν τῶν ἐθνῶν Ἐκκλησίαν ἡ Νινευή νοουμένη, διά παντός δείκνυσιν ἐν αὐτῇ κηρύττοντα τόν Ἰωνάν· τουτέστι τόν λόγον τῆς προφητικῆς χάριτος· καί καθ᾽ ἑκάστην ἡμέραν πρός τόν Θεόν ἐπιστρέφοντα τούς πεπλανημένους. Εἰ δέ πρός τήν τοῦ καθ᾽ ἕκαστον θεωρίαν τήν Νινευή νοοῦμεν, τήν ἑκάστου ψυχήν εἶναι φαμεν τήν πόλιν τήν μεγάλην, πρός ἥν ἀποτέλλεται παρανομοῦσαν ὁ τοῦ Θεοῦ λόγος, κηρύττων μετάνοιαν πρός ζωήν. Ταύτης δέ βασιλέα νοοῦμεν τόν νοῦν· ἄρχοντας δέ, τάς ἐμφύτους δυνάμεις· ἀνθρώπους δέ, τούς ἐμπαθεῖς λογισμούς· κτήνη δέ, τά περί τό σῶμα κατ᾽ ἐπιθυμίαν κινήματα· βόας δέ, τάς κατά τόν θυμόν περί τά ὑλικά πλεονεκτικάς κινήσεις· πρόβατα δέ, τά κατά τήν αἴσθησιν χωρίς διανοίας ἀντιληπτικά τῶν αἰσθητῶν κινήματα. Καί τόν μέν βασιλέα νοῦν ὡς ἀπό θρόνου τινός τῆς κατά τήν προτέραν ἄγνοιαν ἐξανιστάμενον ἕξεως, καί ὥσπερ στολήν τήν ψευδῆ περί τῶν ὄντων δόξαν ἀποτιθέμενον· καί ὡς σάκκον περιβαλλόμενον, τόν ἐπί τοῖς κακῶς φρονηθεῖσι μετάμελον· καί ἐπί σποδοῦ καθήμενον, τῆς κατά τήν πτωχείαν τοῦ πνεύματος ἕξεως· καί προστάσσοντα τοῖς ἀνθρώποις καί τοῖς κτήνεσι καί τοῖς βουσί καί τοῖς προβάτοις νηστεύειν τῆς τε κατά κακίαν βρώσεως, καί τῆς κατά τήν ἄγνοιαν πόσεως· τουτέστι πράξεως κακῶν ἀποσχέσθαι, καί τῆς κατ᾽ αἴσθησιν πεπαπληνημένης (708) θεωρίας· καί περιβάλλεσθαι [Fr. περιβαλέσθαι] σάκκους, τουτέστι, τήν νεκρωτικήν μέν τῶν παρά φύσιν παθῶν, περιποιητικήν δέ τῶν κατά φύσιν ἀρετῶν τε καί γνώσεων ἕξιν· καί ἀναβοῆσαι πρός τόν Θεόν ἐκτενῶς· ἐξαγορεῦσαι δῆλον ὅτι συντόμως τά πρότερα, καί ἱλεώσασθαι τῇ ταπεινώσει τήν συγχώρησιν δοῦναι τῶν προλαβόντων δυνάμενον· καί αἰτῆσαι πρός τήν τῶν κρειττόνων ἐνέργειαν, καί φυλακήν προαιρέσεως δύναμιν ἄτρεπτον, τόν ἑτοίμως ταύτην τοῖς αἰτοῦσι δωρούμενον· καί ὥσπερ ὁδοῦ πονηρᾶς, τῆς

προτέρας πλάνης κωλῦσαι τήν διάνοιαν· καί τήν ἐπινοητικήν τῆς κακίας ἕξιν, τῶν κατά ψυχήν πρακτικῶν ἀποθέσθαι δυνάμεων.

Εἰς ταύτην δέ τήν πόλιν τήν μεγάλην, τουτέστι, τήν κοινήν φύσιν τῶν ἀνθρώπων, καί τήν ἐξ ἐθνῶν Ἐκκλησίαν· ἤ τήν τοῦ καθ᾽ ἕκαστον ψυχήν, διά τοῦ λόγου τῆς ἀρετῆς καί τῆς γνώσεως, ἤγουν πίστεως καί ἀγαθῆς συνειδήσεως σωζομένην, ὑπάρχουσιν πλείους ἤ δώδεκα μυριάδες ἀνθρώπων, οἵτινες οὐκ ἔγνωσαν δεξιά αὐτῶν, ἤ ἀριστεράν αὐτῶν. Δώδεκα μυριάδας ἐνταῦθα λέγειν ὑπονοῶ τήν Γραφήν κατά τούς τῆς ἀναγωγῆς λόγους, τούς περί χρόνου καί φύσεως λόγους· ἤγουν τήν μετά τῶν οὐκ ἄνευ εὐπεριληπτικήν τῆς ὁρωμένης φύσεως γνῶσιν. Εἰ γάρ ὁ δώδεκα ἀριθμός, ἐκ πέντε καί ἑπτά συντιθέμενος ἀποτελεῖται· ἡ δέ φύσις ὑπάρχει πενταδική διά τήν αἴσθησιν· ὁ δέ χρόνος ἐστίν ἑβδοματικός· ἄρα φύσιν καί χρόνον ὁ δώδεκα δηλοῖ σαφῶς ἀριθμός. Σεσημειωμένως δέ, πλείους ἤ δώδεκα μυριάδας εἶπεν ἀνθρώπων, ἵνα γνῶμεν περιγραφέντα τοῦτον τόν ἀριθμόν, καί ὑπερβαθέντα τοῖς πλείοσιν ἀορίστως, τό ὑπέρ δώδεκα ἀριθμόν δι᾽ ἑαυτῶν ποιουμένοις ποσόν.

Οὐκοῦν ἡ τοῦ Θεοῦ πανεύφημος Ἐκκλησία, τούς κατά τήν ἀρετήν καί τήν γνῶσιν παρελθόντας μέν τούς κατά χρόνον καί φύσιν λόγους, πρός δέ τήν τῶν αἰωνίων καί νοητῶν διαβάντας μεγαλοπρέπειαν ἔχουσα, πλείους ἤ δώδεκα μυριάδας ἀνδρῶν ἔχει, μή γινώσκοντας δεξιάν αὐτῶν, ἤ ἀριστεράν αὐτῶν. Ὁ γάρ διά τήν ἔννομον ἀρετήν τῶν ἐν σαρκί παθῶν ὡς ἀριστερῶν ποιούμενος λήθην, καί διά τήν ἄπταιστον γνῶσιν ἐπί τοῖς κατορθώμασι, τῇ νόσῳ τῆς φυσιούσης οἰήσεως ὡς δεξιᾶς οὐχ ἁλισκόμενος, ἀνήρ γέγονε μή γινώσκων δεξιάν αὐτοῦ, ὡς δόξης οὐκ ἐρῶν λυομένης· οὐδέ ἀριστεράν, ὡς τῆς σαρκός οὐκ ἐρεθιζόμενος πάθεσι.

Ξεξιάν οὖν, ὡς ἔοικεν, εἶπεν ὁ Λόγος, τήν ἐπί τοῖς δῆθεν κατορθώμασι κενοδοξίαν· ἀριστεράν δέ, τήν ἐπί τοῖς αἰσχροῖς πάθεσιν ἀκολασίαν. Τούτους δέ πᾶσα ψυχή ταῖς θεωρίαις τῶν νοητῶν λαμπρυνομένη κέκτηται τούς ἄνδρας, μή γινώσκοντας δεξιάν αὐτῶν καί ἀριστεράν. Πᾶσα γάρ ψυχή, τῆς περί φύσιν καί χρόνον θεωρίας, τήν διανοητικήν συστείλασα δύναμιν, τόν δώδεκα παρελθόντας ἀριθμόν ἔχει καθάπερ ἄνδρας τούς φυσικούς λογισμούς, οἷα δή λοιπόν μηκέτι τοῖς ὑπό φύσιν καί χρόνον πονουμένους λόγους· πρός δέ, τήν τῶν θείων μυστηρίων (709) κατανόησιν καί ἐπιστήμην ἀσχολουμένους· καί διά τοῦτο μή γινώσκοντας δεξιάν αὐτῶν, ἤ

ἀριστεράν αὐτῶν. Ἡ γάρ κατά λόγον γνῶσις τῶν ἀρετῶν· ἤγουν ἡ κατ᾽ ἐνέργειαν ἀληθής τῆς τῶν ἀρετῶν αἰτίας ἐπίγνωσις, ἄγνοιαν παντελῆ πέφυκε ποιεῖν, τῆς ὡς δεξιᾶς καί ἀριστερᾶς ἑκατέρωθεν παρακειμένης τῇ μεσότητι τῶν ἀρετῶν ὑπερβολῆς καί ἐλλείψεως.

Εἰ γάρ οὐδέν ἐν τῷ λόγῳ παντελῶς πέφυκεν εἶναι παράλογον· σαφῶς ὁ πρός τόν λόγον τῶν ἀρετῶν ἀναχθείς, τήν τῶν παραλόγων οὐδαμῶς ἐπιγνώσεται θέσιν. Οὐ γάρ δυνατόν ἄμφω κατ᾽ αὐτόν ἅμα καταθρῆσαι τά ἀντικείμενα· καί θατέρῳ ἅμα τό ἕτερον γνῶναι συνεμφαινόμενον.

Εἰ γάρ ἀπιστίας ἐν τῇ πίστει λόγος οὐδείς· οὐδέ σκότους αἰτία κατά φύσιν ὑπάρχει τό φῶς, οὐδέ Χριστῷ συνενδείκνυσθαι πέφυκεν ὁ διάβολος· δῆλον ὡς οὐδέ τῷ λόγῳ τό παράπαν συνυπάρχει τι παράλογον. Εἰ δέ τῷ λόγῳ συνεῖναι παντελῶς οὐ δύναται τό παράλογον· ὁ πρός τόν λόγον τῶν ἀρετῶν ἀναχθείς, τήν τῶν παράλογων, ὡς ἔφην, οὐκ ἐπίσταται θέσιν· μόνην ὡς ἔστιν, ἀλλ᾽ οὐχ ὡς νομίζεται, γινώσκων τήν ἀρετήν. Καί διά τοῦτο, μήτε τήν δεξιάν διά τῆς ὑπερβολῆς· μήτε ἀριστεράν, διά τῆς ἐλλείψεως ἐπιστάμενος· ἐπ᾽ ἀμφοῖν γάρ θεωρεῖται σαφῶς τό παράλογον. Εἰ γάρ ὅρος ὑπάρχει καί μέτρον τῶν ὄντων ὁ λόγος· ἴσον πρός ἀλογίαν ἐστί, καί διά τοῦτο παράλογον, τό παρά τόν ὅρον καί παρά τό μέτρον· ἤ πάλιν, ὑπέρ τόν ὅρον κινεῖσθαι καί ὑπέρ τό μέτρον. Ἐπίσης γάρ ἄμφω τοῖς οὕτω κινουμένοις, τοῦ κυρίως ὄντος φέρει τήν ἔκπτωσιν. Τό μέν ἄδηλον αὐτούς ποιεῖσθαι τοῦ δρόμου πεῖθον τήν κίνησιν και ἀόριστον, οὐκ ἔχουσαν σκοπόν τόν Θεόν δι᾽ ἀμετρίαν νοός, ὡς τέλος αὐτοῖς προεπινοούμενον, τοῦ δεξιοῦ, δεξιώτερον ἀναπλαττομένους· τό δέ παρά τόν σκοπόν, πρός μόνην τήν αἴσθησιν αὐτούς πεῖθον τοῦ δρόμου ποιεῖσθαι τήν κίνησιν, δι᾽ ἀτονίαν νοός προεπινοούμενον τέλος νομίζοντας τό κατ᾽ αἴσθησιν αὐτοῖς περιγραφόμενον. Ἅπερ ἀγνοεῖ μή πάσχων, ὁ μόνῳ τῷ λόγῳ τῆς ἀρετῆς συνημμένος, καί πᾶσαν αὐτῷ τῆς κατά νοῦν οἰκείας δυνάμεως περιγράψας κίνησιν· καί διά τοῦτο μηδέν ὑπέρ τόν λόγον, ἤ παρά τόν λόγον διανοεῖσθαι δυνάμενος.

Εἰ δέ τις καί πρός ὑψηλοτέραν ἔννοιαν ἀνατεῖναι φιλοτίμως βούλεται τόν νοῦν, δεξιάν νοήσει πάντως, τούς τῶν ἀσωμάτων λόγους· ἀριστεράν δέ, τούς τῶν σωμάτων· οὕς ὁ πρός τήν αἰτίαν τῶν ὄντων ἀσχέτως ἀναταθείς νοῦς, ἀγνοήσει παντελῶς, μηδέν θεωρῶν λόγον ἐν τῷ κατά πᾶσαν αἰτίαν ὑπέρ πάντα λόγον ὄντι Θεῷ· πρός ὅν

ἀπό τῶν ὄντων ἁπάντων συσταλείς, οὐδένα τῶν ἀφ᾽ ὧν ἀπέστη λόγον ἐπίσταται· μόνον τό πρόν ὅν λόγον γέγονε κατά χάριν ἀνερμηνεύτως θεώμενος.

(712) Τούτων, καί τῶν τοιούτων οἶδεν ὁ Θεός φείδεσθαι· καί διά τούς τοιούτους, τοῦ κόσμου παντός, ἀνδρῶν κατ᾽ ἀλήθειαν μή γινωσκόντων τήν ψεκτήν αὐτῶν δεξιάν, ἤ ἀριστεράν· ἐπειδή πάντα σχεδόν ἐπαινετῶς λαμβάνεται τῇ Γραφῇ, καί ψεκτῶς· κἄν ὁ βάσκανος, καί πάσης φιλανθρωπίας ἐχθρός, καί ἐπί τῇ σωτηρίᾳ τῶν ἀνθρώπων διαπονούμενος· καί διά τοῦτο πρός αὐτήν ἀπομάχεσθαι τοῦ Θεοῦ τήν ἀγαθότητα τολμῶν, ἀγνώμων, ἀχάριστός τε καί μισάνθρωπος λαός τῶν Ἰουδαίων διαπρίεται, καί τῆς ζωῆς [Fr. τήνζωήν] ἀπολέγεται· καί πένθους ὑπόθεσιν ποιεῖ τήν ἐν Χριστῷ τῶν ἐθνῶν σωτηρίαν· ἧς διά τήν ἄγνοιαν πολλῷ κρείττονα τήν κολόκυνταν ἡγούμενος, ἐπένθει ξηρανθεῖσαν θεώμενος ὑπό τοῦ σκώληκος. Εἶπον γάρ προλαβών, ὅτι καί τήν τῶν Ἰουδαίων μανίαν, ἐν ἑαυτῷ τυπικῶς ὁ μέγας προδιέγραψεν Ἰωνᾶς, οὐκ αὐτός τι πάσχων, μή γένοιτο, τῶν Ἰουδαίοις προσόντων, ἀλλ᾽ ἐν ἑαυτῷ τήν ἐκείνων προδιελέγχων ἀσέβειαν· δι᾽ ἥν τῆς προτέρας δόξης, ὡς ἔκ τινος Ἰόππης ἐξέπεσαν. Διά τοῦτο μυστικῶς τό Πνεῦμα τό ἅγιον, τοιαύτην αὐτῷ προσηγορίαν ἐπέθηκε, δυναμένην κατά τήν διάφορον αὐτῆς ἑρμηνείαν, ἐνδείξασθαι τήν πάντων τῶν ἐν αὐτῷ προτυπουμένων διάθεσιν. Ὅταν οὖν ἐν αὐτῷ τυπικῶς τήν τῶν Ἰουσαίων ἐλέγχει παραφροσύνην, λυπουμένην μέν ἐπί τῇ σωτηρίᾳ τῶν ἐθνῶν, καί συγχεομένην ἐπί τῷ παραδόξῳ τῆς κλήσεως· ἀπολεγομένην τε καί βλασφήμως παρά τήν θείαν βούλησιν τῆς ζωῆς προτιμῶσαν τόν θάνατον διά τήν ξηρανθεῖσαν κολόκυνταν, ἑρμηνεύεται διαπόνησις αὐτῶν· ἥν στηλιτεύων ὁ λόγος φησίν, Ἶδεν ὁ Θεός τά ἔργα αὐτῶν· περί τῶν Νινευϊτῶν δηλαδή φάσκων, ὅτι ἀπέστρεψαν ἀπό τῶν ὁδῶν αὐτῶν τῶν πονηρῶν, καί μετενόησε τοῦ ποιῆσαι αὐτοῖς, καί οὐκ ἐποίησε. Καί ἐλυπήθη Ἰωνᾶς, καί εἶπε· Νῦν δέσποτα Κύριε, λάβε δή τήν ψυχήν μου ἀπ᾽ ἐμοῦ, ὅτι καλόν τό ἀποθανεῖν με, ἤ ζῇν. Καί αὖθις· Καί προσέταξε Κύριος ὁ Θεός σκώληκι ἑωθινῇ τῇ ἐπαύριον, καί ἐπάταξε τήν κολόκυνταν, καί ἀπεξηράνθη. Καί ἐγένετο ἅμα τῷ ἀνατεῖλαι τόν ἥλιον, καί ἐπάταξεν ὁ ἥλιος ἐπί τήν κεφαλήν Ἰωνᾶ, καί ὠλιγοψύχησε, καί ἀπελέγετο τήν ζωήν αὐτοῦ, καί εἶπε· Καλόν μοι ἦν ἀποθανεῖν με, ἤ ζῇν.

Νινευή τοίνυν ἐστίν, ἡ τῶν ἐθνῶν Ἐκκλησία, ἡ δεξαμένη τόν λόγον τῆς χάριτος, καί ἀποστραφεῖσα τήν προτέραν πλάνην τῶν εἰδώλων,

καί διά τοῦτο σωθεῖσα, καί τῆς τῶν οὐρανῶν ἀξιωθεῖσα δόξης. Ἡ δέ σκηνή ἥν ἐξελθών ἀπό τῆς πόλεως ἑαυτῷ πεποίηκεν Ἰωνᾶς, εἰκονίζει τήν κάτω Ἱερουσαλήμ, καί τόν ἐν αὐτῇ χειροποίητον ναόν. Ἡ δέ κολόκυντα, τήν ἐν μόνῳ τῷ γράμματι πρόσκαιρον τοῦ νόμου τῆς σωματικῆς λατρείας σκιάν προδιέγραφε, μηδέν τό σύνολον ἔχουσαν μόνιμον καί τόν νοῦν φαιδρῦναι δυνάμενον. Ὁ δέ σκώληξ ἐστίν, ὁ Κύριος ἡμῶν καί Θεός Ἰησοῦς Χριστός, ὡς αὐτός περί ἑαυτοῦ ἐν τῷ προφήτῃ Δαβίδ φησί, Σκώληξ εἰμί, καί οὐκ ἄνθρωπος· (713) σκώληξ διά τήν προσληφθεῖσαν ἄσπορον σάρκα, καί γενόμενος ἀληθῶς καί λεγόμενος. Ὡς γάρ ὁ σκώληξ συνδυασμόν οὐκ ἔχει, καί μίξιν προκαθηγουμένην αὐτοῦ τῆς γενέσεως, οὕτως οὐδέ τῆς κατά σάρκα γεννήσεως τοῦ Κυρίου, προκαθηγήσατο μίξις. Πρός δέ, καί ὡς δέλεαρ πρός τήν ἀπάτην τοῦ διαβόλου τῷ τῆς θεότητος ἀγκίστρῳ περιθέμενος αὐτήν, ἵν᾿ ὡς ἄπληστος ὁ νοητός δράκων, διά τήν φύσιν εὐχείρωτον τήν σάρκα περιχανών, τῷ τῆς θεότητος ἀγκίστρῳ περισπαρῇ· καί ὅλον ἐμέσῃ διά τῆς ἐξ ἡμῶν ἁγίας τοῦ Λόγου σαρκός, καταποθεῖσαν ἤδη τήν φύσιν τήν ἀνθρωπίνην· ἵν᾿ ὡς κατέπιε πρότερον δελεάσας ἐλπίδι θεότητος τόν ἄνθρωπον, οὕτως ἀνθρωπότητος προσλήμματι δελεασθείς, ὕστερον ἐμέσῃ τόν ἀπατηθέντα διά προσδοκίαν θεότητος, ἀπατηθείς ἀνθρωπότητος προσδοκίᾳ· καί φανῇ τό ὑπερβάλλον τῆς θείας δυνάμεως, διά τῆς ἀσθενείας τῆς ἡττηθείσης φύσεως νικώσης τήν ἰσχύν τοῦ νικήσαντος· καί δειχθῇ πλέον νικῶν ὁ Θεός τόν διάβολον προβολῇ τῆς σαρκός χρώμενος, ἤ τόν ἄνθρωπον ὁ διάβολος φύσιν θεότητος ὑπισχνούμενος. Οὗτος ὁ σκώληξ ἐπάταξε τήν κολοκύνταν, καί ἀπεξήρανε· τήν νομικήν λέγω λατρείαν κατήργησεν ὡς σκιάν, καί τήν ἐν αυτῇ τῶν Ἰουδαίων ἀπεξήρανεν οἴησιν.

Καί ἐγένετο τῇ ἐπαύριον ἅμα τῷ ἀνατεῖλαι τόν ἥλιον. Ἐπαύριον μέν, ὅτι μετά τήν πάροδον τῶν κατά νόμον τυπικῶν αἰνιγμάτων, καί τόν ὡρισμένον χρόνον τῆς κατ᾿ αὐτόν σωματικῆς λατρείας, τοῦ καινοῦ μυστηρίου χάρις ἀνέτειλεν, ἡμέραν ἄλλην ποιοῦσα γνώσεως ὑψηλῆς, καί ἀρετῆς ἐνθέου, τῆς καί τῶν ἀντεχομένων αὐτῆς θεωτικήν. Μετά γάρ τό πατάξαι τόν σκώληκα τοῦτον τήν κολόκυνταν, καί τόν ἥλιον τοῦτον· ὁ αὐτός γάρ καί σκώληξ ἐστί καί ἥλιος δικαιοσύνης· τό μέν, ὡς ἀσπόρως κατά σάρκα τικτόμενος, καί πᾶσαν διαφεύγουσαν ἔννοιαν ἔχων τήν σύλληψιν· τό δέ, ὡς ὑπό γῆν δι᾿ ἐμέ κατά τό τοῦ θανάτου καί τῆς ταφῆς μυστήριον γενόμενος· καί ὡς φῶς ἀΐδιον φύσει

δι᾽ ἑαυτόν ὑπάρχων, ἐκ νεκρῶν ἀνατείλας διά τῆς ἀναστάσεως, προσέταξεν ὡς Θεός πνεύματι καύσωνος συγκαίοντι, καί ἐπάταξεν ὁ ἥλιος ἐπί τήν κεφαλήν Ἰωνᾶ. Μετά γάρ τήν ἀνατολήν τοῦ ἡλίου τῆς δικαιοσύνης, ἤγουν τήν ἀνάστασιν τοῦ Κυρίου καί τήν ἀνάληψιν, ὁ συγκαίων καύσων τῶν πειρασμῶν ἐπῆλθεν, ἀμετανοήτοις μείνασι τοῖς Ἰουδαίοις, καί ἐπάταξεν αὐτούς εἰς κεφαλάς αὐτῶν κατά δικαίαν κρίσιν, ἐπιστρέψας, κατά τό γεγραμμένον, τόν πόνον αὐτῶν εἰς τάς κεφαλάς αὐτῶν· καθώς αὐτοί προλαβόντες ηὔξαντο καθ᾽ ἑαυτῶν, εἰπόντες· Τό αἷμα αὐτοῦ ἐφ᾽ ἡμᾶς, καί ἐπί τά τέκνα ἡμῶν. Σαφῶς γάρ μετά τήν ἀνάστασιν καί τήν ἀνάληψιν τοῦ Σωτῆρος, πνεῦμα καύσωνος ἄγαν συγκαίοντος, ἡ διά τῶν ἐθνῶν ἐκδίκησις ἐπῆλθεν αὐτοῖς· καί παντός τοῦ ἔθνους καθάπερ κεφαλήν τήν δόξαν, καί τό κράτος πατάξας, κατέλαβεν ὁ ἥλιος ὁ ἐμός· πρός ὅν τούς ὀφθαλμούς τῆς διανοίας ἐπιμύσαντες, τό φῶς τῆς ἀληθείας αὐτοῖς ἐπιλάμψαν οὐκ ἔγνωσαν.

(716) Ἤ πάλιν, πνεῦμα καύσωνός ἐστιν ἐξεγειρόμενον τοῖς ἀπειθοῦσι τῷ λόγῳ τῆς χάριτος Ἰουδαίοις, ἡ τόν ὑετόν ἀνέχουσα τῆς γνώσεως, καί τῆς προφητείας τήν δρόσον, καί τήν φυσικήν τῶν εὐσεβῶν νοημάτων τῆς καρδίας ἀποξηραίνουσα πηγήν, ἐγκατάλειψις, ἐπαγομένη δικαίως αὐτοῖς, ὡς πλήσασι τάς χεῖρας αἵματος ἀθώου, καί τῷ ψεύδει προδεδωκόσι τήν ἀλήθειαν· καί ἐπί σωτηρίᾳ τοῦ γένους τῶν ἀνθρώπων ἀτρέπτως ἐν εἴδει τῷ καθ᾽ ἡμᾶς παραγενόμενον τόν Θεόν Λόγον ἀπαρνησαμένοις· καί διά τοῦτο παραδοθεῖσι τῇ αὐτονομίᾳ τῆς πλάνης· ἐν ᾗ καθ᾽ οἷον δήποτε τρόπον οὐκ ἔστιν εὑρεῖν εὐσεβείᾳ καί φόβῳ Θεοῦ κατεικασμένην διάθεσιν· ἀλλά ξηράν, καί ἄνικμον γνώμην, καί παντί μοχθηρῷ πάθει πεποιωμένην· ἥν χαρακτηρίζειν οἶδεν ὁ τῦφος, πάθος ἐπάρατον ὑπάρχον, καί ἐκ δύο κακῶν κατά σύνθεσιν συνιστάμενον, ὑπερηφανίας καί κενοδοξίας· ὧν μέν ὑπερηφανία, τήν αἰτίαν ἀρνεῖται τῆς ἀρετῆς καί τῆς φύσεως· ἡ δέ κενοδοξία, τήν τε φύσιν καί αὐτήν νόθον τήν ἀρετήν καθίστησιν. Οὐδέν γάρ τῷ ὑπερηφάνῳ κατά Θεόν διαπράττεται, καί οὐδέν τῷ κενοδόξῳ κατά φύσιν προέρχεται. Τούτων μίξις ὁ τῦφος καθέστηκε· πρός μέν Θεόν ἔχων τήν καταφρόνησιν, καθ᾽ ἥν πέφυκε βλασφήμως διαβάλλειν τήν πρόνοιαν· πρός δέ τήν φύσιν κεκτημένος τήν ἀλλοτρίωσιν· καθ᾽ ἥν πάντα τά τῆς φύσεως παρά τήν φύσιν μεταχειρίζεται, τῷ κατά παράχρησιν τρόπῳ, τήν τῆς φύσεως παραφθείρων εὐπρέπειαν. Καί συντόμως εἰπεῖν, τῷ τυφωνικῷ δαίμονι

διά τήν εἰς Χριστόν ἀπιστίαν συγχωρηθείς καταδεθῆναι τήν διάνοιαν ὁ τῶν Ἰουδαίων λαός, ἐπίσης Θεόν καί ἀνθρώπους μεμίσηκε· τόν μέν Θεόν, σαρκός ἡδονῆς ἔχων κατώτερον, καί διά τοῦτο τήν ἐν πνεύματι λατρείαν ἀποπεμπόμενος· τούς δέ ἀνθρώπους, τούς μή σαρκί τό γένος καταγομένους ἐξ Ἰακώβ ἀλλοτρίους παντάπασιν ἡγούμενος εἶναι τοῦ Κτίσαντος· καί διά τοῦτο, θείας εὐαρεστήσεως μελέτην ποιοιούμενος τήν καθ᾽ ἡμῶν μιαιφονίαν· ἀγνοήσας, ὡς ἔοικεν, ὁ μάταιος, διά τήν ἄνοιαν, ὡς οὐ τοσοῦτον δύναται τό σῶμα πρός οἰκείωσιν Θεοῦ καί γένους ἀγχιστείαν, ὅσον ψυχή, τόν αὐτόν ταῖς λοιπαῖς ἐπικομίζουσα χαρακτῆρα τῆς πίστεως, καί τήν πρός πάντας κατά τήν γνώμην περί τό καλόν ἐνδιάθετον ταυτότητα· καθ᾽ ἥν, ὁ μέν τῆς σαρκός νόμος παντελῶς ἀποσβέννυται· μόνος δέ διά πνεύματος ὁ τοῦ Θεοῦ λόγος περιφανῶς διαφαίνεται, κατά νοῦν πάντας ἑνοποιῶν πρός ἑνός ἐπίγνωσιν Θεοῦ, καί μίαν τήν εἰς ἀλλήλους ἀγάπην καί σύμπνοιαν καθ᾽ ἥν, οὐδείς οὐδενός κεχώρισται παντελῶς πνευματικῶς, κἄν ἀλλήλων σωματικῶς κατά τήν θέσιν τῶν τόπων κακράν διεστήκασιν.

Πνεῦμα γοῦν καύσωνός ἐστιν ὁ τῦφος, (717) μισόθεον ὁμοῦ καί μισάνθρωπον πάθος· ἀποξηραίνει γάρ τήν καρδίαν τῶν ἀπίστων, τούς περί θεότητος εὐσεβεῖς λογισμούς, καί τούς ὀρθούς περί φύσεως λόγους ἀπομαραίνων, κατά τήν εἰκόνα τοῦ καύσωνος. Φασί γάρ τοῦτον γίνεσθαι τόν ἄνεμον κατά μίξιν ἀνατολικοῦ καί νοτίου πνεύματος· καί διά τοῦτο ξηραίνοντα τῆς γῆς τήν παρεσπαρμένην ἰκμάδα. Καλεῖσθαι δέ φασιν αὐτόν καί Εὐροκλύδωνα καί Τυφονικόν· τό μέν, ὡς ταραχήν πανταχόθεν γῆς καί θαλάττης ἐγείροντα· τό δε, ὡς αὐχμώδους σκότους ποιητικόν· ὅπερ πέφυκε ποιεῖν καί ὁ τῦφος. Ἐπάγει γάρ μεγάλην ταραχήν τῇ ψυχῇ, καί σκότους ἀγνοίας πληροῖ τήν διάνοιαν. Τοῦτον ἐξήγειρεν ὁ Θεός τόν καύσωνα μετά τήν εἰς Χριστόν παροινίαν· τουτέστι, παρεχώρησεν ἐπελθεῖν τοῖς Ἰουδαίοις, πρόσφορον κεκτημένοις αὐτῷ τήν διάθεσιν, ἵνα γένηται πᾶσι κατάδηλος αὐτῶν ἡ περί Θεόν καί ἀνθρώπους προαίρεσις.Ὅθεν ἀγνοίας ζόφῳ καταπιεσθέντες, εἰς τήν ἀντίθετον [Fr. et. Seg ἀντίθεον] τῷ Θεῷ μοῖραν ἑαυτούς ἑκουσίως ἀπέωσαν· ἄλλο μέν οὐδέν τό σύνολον ἔχοντες, πλήν τό διαπονεῖσθαι καί ἀδημονεῖν, ἐπί τε τῇ κατά πίστιν σωτηρίᾳ καί δόξῃ τῶν ἐθνῶν, ἐπί τε τῇ καθαιρέσει τῶν παρ᾽ αὐτοῖς κατά σάρκα νομίμων, λέγοντες· Νῦν, Κύριε, λάβε δή τάς ψυχάς ἀφ᾽ ἡμῶν, ὅτι καλόν ἡμῖν ἀποθανεῖν, ἤ ζῆν, διά τήν ξηρανθεῖσαν κολόκυνταν· λέγω δέ, τήν ἐν σκιαῖς τοῦ νόμου λατρείαν

καταργηθεῖσαν· τήν ὑπό νύκτα, καί γενομένην καί ἀπογενομένην· ὡς μηδένα, τοῖς τῶν συμβόλων αἰνίγμασί τε καί τύποις μόνοις περιγραφομένην, φωτισμόν ἔχουσαν νοητόν ψυχῆς διάνοιαν λαμπρύναι δυνάμενον.

Ἀλλ᾽ ἡμεῖς πνευματικῶς διά πίστεως, καί τῆς παρομαρτούσης αὐτῇ δικαιοσύνης, τήν πνευματικήν ἀσπασώμεθα Νινευή· φημί δέ τήν ἐξ ἐθνῶν Ἐκκλησίαν, τήν ὡς ἀληθῶς Πόλιν μεγάλην τῷ Θεῷ καθεστῶσαν, ὡς γέγραπται· καί διά τῶν ὁρισθεισῶν αὐτῇ πρός ἐπιστροφήν τριῶν ἡμερῶν τῇ μετανοίᾳ διασωθεῖσαν· καί πολῖται ταύτης τῆς πόλεως τῆς τῷ Θεῷ μεγάλης διά τῆς μετανοίας, καί τῆς ἐπί τό κρεῖττον μεταβολῆς γενέσθαι σπουδάσωμεν. Ἐπιτετηρημένως γάρ φησι μεγάλην εἶναι τῷ Θεῷ τήν πόλιν ὁ λόγος οὗτος φάσκων, Ἡ δέ Νινευή, ἦν πόλις μεγάλη τῷ Θεῷ. Ποῦ τῆς Γραφῆς ὁ Ἰουδαῖος περί τῆς κάτω πόλεως Ἱερουσαλήμ ἀληθείας φροντίζων τοῦτο κείμενον ἐπί λέξεως εὑρίσκει τό ῥητόν; Οὐδαμοῦ γάρ ἔγωγε πᾶσαν πολλάκις ἀναγνούς τήν ἁγίαν Γραφήν, κείμενον ηὗρον τό, Καί Ἱερουσαλήμ(720) ἦν πόλις μεγάλη τῷ Θεῷ. Τίς δέ λόγου δυνάμει καί νοημάτων πλούτῳ θαῤῥῶν, περιγράψας μετρῆσαι δυνήσοιτο τό μέγεθος τῆς τῷ Θεῷ καί οὔσης καί λεγομένης μεγάλης πόλεως; Ἐμοί μέν τοῦτο παντελῶς ἄπορον· οἶμαι δέ, καί παντί συνετῷ τήν διάνοιαν, καί μικρόν γοῦν ἐπῃσθημένῳ τῆς θείας μεγαλειότητος, καί τῷ Θεῷ τάς θείας ψήφους ἐμφερεῖς εἶναι δοκεῖν οὐκ ἀγνοῶν. Πῶς δέ τῷ Θεῷ μεγάλη πόλις ἐστίν, ἡ πρώτη πόλις τῶν Ἀσσυρίων, ἔνθα τῆς πλάνης ὑπῆρχεν ἡ σύγχυσις· ἔνθα τῆς εἰδωλομανίας ἵδρυτο τό βασίλειον· ἡ πολύ πόῤῥω τυγχάνουσα τῆς λεγομένης ἁγίας γῆς, καί τῷ σωματικῷ Ἰσραήλ ἐπηγγελμένης, εἰ μή τό μέγεθος τῆς μηδενί λόγῳ περιγραφομένης πίστεως τῆς ἐξ ἐθνῶν Ἐκκλησίας ἐνιδών ὁ Θεός, τό μέλλον ὥσπερ ὄν ἀπεδέξατο, καί τό τέως ἀλλότριον εἰσῳκήσατο· καί τό ποτε διά τήν ἀθεΐαν φαυλότατον, ἔνθεον τῷ λόγῳ καθέστηκε καί τιμιώτατον, καί μηδενί λόγῳ τό μέλλον ὁριζόμενον ἔχον, διά τοῦ προφήτου φήσας διαῤῥήδην, Καί Νινευή ἦν πόλις μεγάλη τῷ Θεῷ· πρός ἥν ἀποσταλείς ὁ τῆς προφητικῆς χάριτος λόγος, τήν μακαρίαν καταστροφήν ἐκήρυξεν, εἰπών· Ἔτι τρεῖς ἡμέραι, καί Νινευή καταστραφήσεται. Κατά τοῦτον γενόμενος τῆς τῶν ἡμερῶν προσθεσμίας τόν τόπον, τά μέν ἄλλα δοκῶ μοι παρήσειν, ὅσα δυνατόν ῥηθῆναι τοῖς τόν λόγον ἀνάγουσι· μονώτατον δέ σκοπεῖν μετά τῆς ἀκριβοῦς σημειώσεως, καί

εἰπεῖν ὅπερ τυχόν οὐκ ἔξω βαῖνον εὑρεθήσεται τῆς ἀληθείας λεγόμενον.

Τοίνυν ἀκούων ὁριστικῶς, Ἔτι τρεῖς ἡμέραι, καί Νινευή καταστραφήσεται, τοῦ προφήτου κηρύττοντος, ἀπαράλλακτον ἐκδέχομαι κατά τῆς Νινευή τήν ἀπόφασιν· μᾶλλον δέ κυριώτερον εἰπεῖν, ὑπέρ τῆς Νινευή τήν ἐπίσκεψιν ἔσεσθαι. Νοῶ γάρ, ὅτι μετά τρεῖς ἡμέρας, ἅσπερ τυπικῶς ἐν τῇ κοιλίᾳ τοῦ κήτους ὑπάρχων, ἐν αὐτῷ προλαβών τήν τριήμερον ταφήν τοῦ Κυρίου καί ἀνάστασιν προδιέγραψεν ὁ προφήτης, ἄλλας ἐξεδέχετο τρεῖς ἡμέρας ὁ λόγος, ἐν αἷς ἔμελλε τῆς ἀληθείας ἀποδειχθῆναι τό φῶς, καί ἡ τῶν προῤῥηθέντων ἀληθής τῶν μυστηρίων ἔκβασις, καί ἡ καταστροφή γενέσθαι πάντως τῆς πόλεως, οὐκέτι μέλλουσαν προτυπούσας τήν ἀλήθειαν τῆς τοῦ Σωτῆρος ταφῆς καί ἀναστάσεως, (721) ἀλλ᾽ ἐπί τῶν πραγμάτων ἐνεργεθεῖσαν δεικνυούσας σαφῶς τήν ἀλήθειαν· ἧς προδιατύπωσις ἦν, ἡ προλαβοῦσα κατά τόν Ἰωνᾶν ἐν τῷ κήτει τριάς τῶν ἡμερῶν. Εἰ γάρ πᾶς τύπος προσδοκωμένης ἀληθείας ἐστί· κατά δέ τόν τύπον τρεῖς ἡμέρας πεποίηκεν ἐν τῇ κοιλίᾳ τοῦ κήτους Ἰωνᾶς, δῆλον ὡς τύπος πραγματειωδῶς ἐφεπομένην πάντως καινοπρεπῶς τήν ἀλήθειαν δεικνύναι τό μυστήριον ἔμελλε· καί τρεῖς ἡμέρας καί τρεῖς νύκτας ἐν τῇ καρδίᾳ τῆς γῆς πεποιηκέναι τόν Κύριον, κατά τήν αὐτοῦ τοῦ Κυρίου φωνήν, φάσκοντος· Ὥσπερ ἦν Ἰωνᾶς ἐν τῇ κοιλίᾳ τοῦ κήτους τρεῖς ἡμέρας καί τρεῖς νύκτας, οὕτως ἔσται καί ὁ Υἱός τοῦ ἀνθρώπου ἐν τῇ καρδίᾳ τῆς γῆς τρεῖς ἡμέρας καί τρεῖς νύκτας. Τό γάρ εἰπεῖν, Ἔτι τρεῖς ἡμέραι, δηλοῖ κατ᾽ ἐπίκρυψιν, ὡς παρῆλθον ἄλλαι τρεῖς ἡμέραι, ἐπεί οὐκ ἄν ἔκειτο τό, Ἔτι· τουτέστι, γενήσονται πάλιν τρεῖς ἡμέραι, καί Νινευή καταστραφήσεται. Οὐκοῦν ὁ τύπος οὐ κατέστρεψε τήν Νινευή κατά τήν θείαν ἀπόφασιν· ἀλλ᾽ ἡ ἀλήθεια, περί ἧς εἶπεν, Ἔτι τρεῖς ἡμέραι· ὡσανεί ἔλεγεν· Ἔτι τρεῖς ἡμέραι, κατά τόν [Fr. μετά τόν] ἐμοί δειχθέντα τύπον, γενήσονται, μυστικωτέρας ταφῆς καί μείζονος ἀναστάσεως· καί Νινευή καταστραφήσεται.

Ἀλλ' ἐρεῖ τις τυχόν διαπορῶν λόγος, Πῶς ἀληθεύει καταστροφῆς ψῆφον διδούς ὁ Θεός, καί μή καταστρέφων; πρός ὅν φαμεν, ὡς ἀληθεύει τήν αὐτήν καταστρέφων, καί σώζων· τό μέν, τῇ ἀποθέσει τῆς πλάνης ποιῶν· τό δέ, τῇ προσλήψει [ἀλ. προλήψει] κατορθῶν τῆς ἀληθοῦς ἐπιγνώσεως. Μᾶλλον δέ, τήν μέν πλάνην ἀποκτένων διά τῆς πίστεως πάλιν ζωογονουμένης· τήν δέ σωτηρίαν, τῷ θανάτῳ τῆς πλάνης πραγματευόμενος.

Νινεΰῆ γάρ ἑρμηνεύεται μελάνωσις αὐχμηρά, καί ὡραιότης λειοτάτη. Οὐκοῦν συμφώνως τῇ δυνάμει τῆς ἑρμηνείας, τήν μέν ἐκ τῆς παραβάσεως τῇ φύσει προσγενομένην αὐχμηράν τῆς πλάνης μελάνωσιν, μετά τήν τριήμερον ταφήν καί ἀνάστασιν ὁ Κύριος κατέστρεψε· τήν δέ ἐξ ὑπακοῆς πίστεως λειοτάτην ὡραιότητα τῆς φύσεως ἀνενεώσατο· πάλιν τό κάλλος ἐν τῇ φύσει κατά τήν ἀνάστασιν δείξας τῆς ἀφθαρσίας ἄγαν λειότατον, καί μηδενί τό παράπαν ὑλικῷ τραχυνόμενον. Ἁρμόσει δέ καί πρός τήν κοινήν φύσιν τοῦτο λεγόμενον, καί πρός τήν ἁγίαν Ἐκκλησίαν, καί πρός τήν τοῦ καθ᾽ ἕκαστον ψυχήν, ἀποθεμένην (724) διά πίστεως καί ἀγαθῆς συνειδήσεως, τοῦ παλαιοῦ Ἀδάμ καί χοϊκοῦ τήν εἰκόνα, καί ἐνδυσαμένην τήν εἰκόνα τοῦ ἐπουρανίου.

Τοιγαροῦν δέδεικται σαφῶς, ὅτι πολύτροπον ἔχει τήν ἐπ᾽ αὐτῷ θεωρίαν ὁ προφήτης, κατά τήν δύναμιν τοῦ ὀνόματος· τοῖς τόποις δηλονότι τῆς αὐτοῦ Γραφῆς προσφόρως ἁρμοζούσης κατά τήν ἑρμηνείαν ἐμφάσεως. Σημαίνει γάρ ὡς μέν φυγή κάλλους ἑρμηνευόμενος, τόν Ἀδάμ, καί τήν κοινήν φύσιν· ὡς δέ ἀνάπαυσις, καί ἴασις Θεοῦ καί πόνος Θεοῦ λεγόμενος, τόν Κύριον ἡμῶν καί Θεόν, κατά τήν ἀποδοθεῖσαν τῆς ἐξηγήσεως δύναμιν· τήν δέ τοῦ κηρύγματος χάριν, διά τοῦ ἐν αὐτῇ πλούτου τοῦ Πνεύματος μηνύων, περιστερά λέγεται, καί δόμα Θεοῦ, καί πόνος Θεοῦ διά τούς πολλούς ἀγῶνας τῶν γενομένων ταύτης τῆς ἀληθοῦς κλήσεως λειτουργῶν. Τήν δέ τῶν Ἰουδαίων κατά τῆς ἀληθείας ὑπεμφαίνων μανίαν, ἑρμηνεύτεται διαπόνησις αὐτῶν, ὅπερ ἐστί φθόνος ἐπ᾽ ἀλλοτρίοις ἀγαθοῖς, τίκτων λύπην τοῖς ἔχουσιν· ὅπερ κακόν εἰς φύσιν τοῖς Ἰουδαίοις μετέπεσε, τό πρός Θεόν καί ἀνθρώπους μῖσος ἀνελομένοις· καί διά τοῦτο, μόνην τήν δι᾽ αἵματος καί φόνων ἀναιδεῖς [Fr. ἀνέδην] φθοράν ἐπιζητοῦσι τῆς φύσεως.

Ἀλλ᾽ ἐπειδή τρέχων ὁ λόγος, τήν περί τῆς πορείας τῶν τριῶν ἡμερῶν θεωρίαν παρέλειψε· φησί γάρ· Ἡ Νινευή ἦν πόλις μεγάλη τῷ Θεῷ, ὡσεί πορείας ὁδοῦ ἡμερῶν τριῶν, εἰ δοκεῖ, δι᾽ ὀλίγων τήν ἔλλειψιν ἀναπληρώσωμεν.

Τήν τοίνυν πορείαν τῆς ὁδοῦ τῶν τριῶν ἡμερῶν, ὑποληπτέον εἶναι τούς διαφόρους βίους δρόμου τοῦ κατά Θεόν· ἤγουν τήν ἑκάστῳ γενικῷ νόμῳ πρέπουσαν ἀγωγήν. Νόμους δέ λέγω νῦν

γενικούς, τόν φυσικόν καί τόν γραπτόν, καί τόν τῆς χάριτος. Ἰδιάζουσαν γάρ τούτων ἕκαστος ἀναστροφήν ἔχει βίου καί δρόμον πρόσφορον, ὅτι καί τήν ἐξ αὐτοῦ κατά τήν γνώμην γενομένην [Fr. γενωμένην] τῶν ἀγομένων διάθεσιν ἔχει διάφορον. Ἄλλην γάρ ἄλλος ἑκάστῳ τῶν ὑπ᾽ αὐτόν πέφυκε δημιουργεῖν τήν διάθεσιν. Οἷον, ὁ μέν φυσικός νόμος, ὅταν οὐκ ἔχῃ πλεονεκτοῦσαν τόν λόγον τήν αἴσθησιν, ἀδιδάκτως ἀσπάζεσθαι πάντας πείθει τό συγγενές καί ὁμόφυλον, αὐτήν ἔχοντας τήν φύσιν, τῆς τῶν δεομένων ἐπικουρίας διδάσκαλον· κἀκεῖνο βούλεσθαι πᾶσιν ἅπαντας, ὅπερ ἕκαστος ἑαυτῷ παρά τῶν ἄλλων γινόμενον εἶναι δοκεῖ καταθύμιον· καί τοῦτο διδάσκων ὁ Κύριος, φησίν· Ὅσα θέλετε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, ὁμοίως καί ὑμεῖς ποιεῖτε αὐτοῖς. Ἐφ᾽ ὧν γάρ ἡ φύσις λόγῳ βραβεύεται, τούτων μίαν πέφυκεν εἶναι διάθεσις. Ὧν δέ ἡ διάθεσις ἡ αὐτή, καί κατ᾽ ἦθος τρόπος, καί ὁ τοῦ βίου δρόμος εἷς ὑπάρχειν προδήλως πέφυκεν.Ὧν δέ τρόπος ἠθῶν καί βίου δρόμος ἐστίν ὁ αὐτός, εἷς δηλονότι καί αὐτός κατά τήν γνώμην τῆς πρός ἀλλήλους σχέσεως ὑπάρχει δεσμός, κατά μίαν τήν γνώμην ἄγων τούς πάντας πρός τόν ἕνα λόγον τῆς φύσεως· ( 725) ἐν ᾧ παντελῶς οὐκ ἔστιν ἡ νῦν κρατοῦσα τῆς φύσεως διά τήν φιλαυτίαν διαίρεσις.

Ὁ δέ γραπτός νόμος, φόβῳ τῶν ἐπιτιμίων ἐπέχων τάς ἀτάκτους τῶν ἀφρονεστέρων ὁρμάς, ἐθίζει διδάσκων πρός μόνην αὐτούς ὁρᾷν τήν τοῦ ἴσου διανομήν, καθ᾽ ἥν τῆς δικαιοσύνης τό κράτος χρόνῳ βεβαιωθέν, εἰς φύσιν μεθίσταται· ποιοῦν τόν μέν φόβον, διάθεσιν ἠρέμα κατά μικρόν τῇ περί τό καλόν γνώμῃ κρατουμένην· ἕξιν δέ τήν συνήθειαν τῇ λήθῃ τῶν προτέρων καθαιρομένην, καί τό φιλάλληλον ἑαυτῇ συναποτίκτουσαν, καθ᾽ ὅ τοῦ νόμου γίνεσθαι τό πλήρωμα πέφυκε, πάντων ἀλλήλοις κατά τήν ἀγάπην συναρμοσθέντων. Πλήρωμα γάρ νόμου καθέστηκεν ἡ κατ᾽ ἀγάπην διάλληλος συνοχή πάντων τῶν μετειληφότων τῆς φύσεως, φέρουσα τῷ κατ᾽ ἀγάπην πόθῳ κατεστεμμένον τόν λόγον τῆς φύσεως· καί τῇ προσθήκῃ τοῦ πόθου, τόν τῆς φύσεως καταφαιδρύνουσα νόμον. Νόμος γάρ φύσεώς ἐστι, λόγος φυσικός τοῖς τρόποις τήν αἴσθησιν λαβών ὑποχείριον. Γραπτός δέ νόμος ἐστίν, ἤγουν γραπτοῦ νόμου πλήρωσις, λόγος φυσικός προσλαβών λόγον

πνευματικόν τῆς πρός τό συγγενές ἀλληλουχίας ἐπίκουρον. Διό φησιν, Ἀγαπήσεις τόν πλησίον σου ὡς ἑαυτόν· ἀλλ᾽ οὐ, Σχοίης τόν πλησίον σου ὡς ἑαυτόν. Τό μέν γάρ, τήν πρός τό εἶναι μόνον δηλοῖ τοῦ συγγενοῦς συνοχήν· τό δέ, τήν πρός τό εὖ εἶναι σημαίνει πρόνοιαν.

Ὁ δέ τῆς χάριτος νόμος, αὐτόν ἀμέσως διδάσκει τούς ἀγομένους μιμεῖσθαι τόν Θεόν, ὅς τοσοῦτον ὑπέρ ἑαυτόν ἡμᾶς, εἰ θέμις εἰπεῖν, καί ταῦτα διά τήν ἁμαρτίαν ὄντας ἐχθρούς, ἠγάπησεν, ὥστε καί εἰς τήν καθ᾽ ἡμᾶς οὐσίαν ἐλθεῖν ἀτρέπτως, ὑπέρ πᾶσαν οὐσίαν ὄντα καί φύσιν ὑπερουσίως καταδέξασθαι, καί ἄνθρωπον γενέσθαι, καί τῶν ἀνθρώπων ἕνα χρηματίσαι βούλεσθαι· καί τήν ἡμετέραν κατάκρισιν οἰκείαν ποιῆσαι μή παραιτήσασθαι· καί τοσοῦτον ἡμᾶς θεῶσαι κατά χάριν, ὅσον κατ᾽ οἰκονομίαν αὐτός φύσει γέγονεν ἄνθρωπος· ἵνα μή μόνον μάθωμεν ἀλλήλων ἀντέχεσθαι φυσικῶς, καί ὡς ἑαυτούς ἀλλήλους ἀγαπᾷν πνευματικῶς· ἀλλά καί ὑπέρ ἑαυτούς ἀλλήλων κήδεσθαι θεϊκῶς· καί ταύτην τῆς εἰς ἀλλήλους ἀγάπης ἀπόδειξιν ποιεῖσθαι, τό κατ᾽ ἀρετήν ὑπέρ ἀλλήλων τόν ἑκούσιον προθυμεῖσθαι θάνατον. Οὐκ ἔστι γάρ ταύτης ἄλλη μείζων ἀγάπης, φησίν, ἵνα τις θῇ τήν ψυχήν αὐτοῦ ὑπέρ τῶν φίλων αὐτοῦ.

Οὐκοῦν ὁ μέν τῆς φύσεως νόμος ἐστίν, ἵνα συνελών εἴπω, λόγος φυσικός τήν αἴσθησιν λαβών ὑποχείριον, πρός ἀφαίρεσιν τῆς ἀλογίας· καθ᾽ ἥν [marg. ἀλογίαν δηλονότι], τῶν φυσικῶς συνημμένων ἐστίν ἡ διαίρεσις. Ὁ δέ γραπτός νόμος ἐστί, λόγος φυσικός μετά τήν κατ᾽ αἴσθησιν τῆς ἀλογίας ἀφαίρεσιν προσλαβών καί πόθον πνευματικόν, τῆς πρός τό συγγενές ἀλληλουχίας συνεκτικόν. Ὁ δέ τῆς χάριτος νόμος, ὑπέρ φύσιν καθέστηκε λόγος, (728) πρός θέωσιν ἀτρέπτως τήν φύσιν μεταπλάττων, καί ὡς ἐν εἰκόνι δεικνύς ἀκαταλήπτως τῇ φύσει τῶν ἀνθρώπων τό ὑπέρ οὐσίαν καί φύσιν ἀρχέτυπον· καί τήν τοῦ ἀεί εὖ εἶναι διαμονήν παρεχόμενος.

Εἰ δέ τοῦτον ἔχει τόν τρόπον ὁ περί τῶν τριῶν νόμων λόγος, εἰκότως ἡ μεγάλη τοῦ Θεοῦ πόλις Ἐκκλησία· ἤγουν ἡ τοῦ καθ᾽ ἕκαστον ψυχή, πορείας ὁδοῦ τριῶν καθέστηκεν ἡμερῶν· ὡς δεκτική καί χωρητική τῆς κατά φύσιν καί νόμον καί πνεῦμα δικαιοσύνης. Ἐν τούτοις γάρ τοῖς τρισί νόμοις, ὁ πᾶς περιέχεται

τῆς Ἐκκλησίας διάκοσμος· πλάτει τε τῷ κατ᾽ ἀρετήν, [πλάτει] καί μήκει τῷ κατά γνῶσιν· καί τῷ κατά σοφίαν βάθει μυστικῆς θεολογίας περιγραφόμενος. Ἀλλά ταύτης κατά διάθεσιν, ὡς ὁ τῶν Ἰουδαίων λαός, μή χωρισθῶμεν τῆς πόλεως, τό σῶμα καθάπερ σκηνήν στέργοντες, καί τήν πρόσκαιρον τοῦ σώματος ὥσπερ κολόκυνθαν ἡδονήν περιέποντες· ἵνα μή ἄν τῆς συνειδήσεως ὁ σκώληξ πλήξας, ἀποξηράνῃ τήν καθ᾽ ἡδονήν ἠπατημένην διάθεσιν· καί ἡ διά τῶν ἀκουσίων πειρασμῶν ἐπελθοῦσα καθάπερ πνεῦμα καύσωνος τῶν κακῶς ἡμῖν βεβιωμένων ἔκτισις, ἀπειπώμεθα τήν ζωήν, καί πρός τήν θείαν δυσανασχετήσωμεν κρίσιν.

Ἕκαστος γάρ ἡμῶν τῶν ἡττημένων τῇ ἀπάτῃ τῶν ὑλικῶν, καί ταῖς ἡδοναῖς χαιρόντων τοῦ σώματος, σκώληκος δίκην τοῦ Θεοῦ τόν λόγον δέχεται, καί τήν συνείδησιν αὐτόν πλήττοντα τέως· καί ῥίζης δίκην κολοκύνθης τήν πρός τήν ἡδονήν αὐτοῦ διεσθίοντα σχέσιν· καί οὕτως διά τῆς τελείας ἀνατολῆς τοῦ φωτισμοῦ τῶν λογίων τοῦ πνεύματος, ἀποξηραίνοντα τήν καθ᾽ ἁμαρτίαν ἐνέργειαν· καί πνεύματι καύσωνος, τῇ μνήμῃ τῶν αἰωνίων κολάσεων, καθάπερ κεφαλήν τήν κατ᾽ αἴσθησιν ἐν ταῖς προσβολαῖς ἀρχήν τῶν παθῶν τῆς κακίας πατάσσοντα· ἵνα μάθωμεν προνοίας λόγους καί κρίσεως, τῶν προσκαίρων, ὧν τῇ στερήσει λυπεῖσθαι τό γένος εἴωθεν τῶν ἀνθρώπων, τά αἰώνια προκρινούσης. Εἰ γάρ τόν ἄνθρωπον διά τήν σκηνήν καί τήν κολοκύνθαν λυπούμενον· λέγω δέ τήν σάρκα καί τήν τῆς σαρκός ἡδονήν· τῆς δέ Νινευή ἀντεχόμενον τόν Θεόν εἰσήγαγε τῆς Γραφῆς ὁ λόγος, δῆλον ὡς τῶν τοῖς ἀνθρώποις τιμίων καί ἐπεράστων, τό τῷ Θεῷ φανέν προσφιλές, πάντων τῶν ὁποσοῦν ὄντων πολλῷ κρεῖττόν ἐστι καί τιμιώτερον· ἤπου γε τῶν οὐκ ὄντων, καί μόνῃ προλήψει κατ᾽ ἐσφαλμένην κρίσιν εἶναι δοκούντων, ὧν οὐδείς τό παράπαν ἐστί κατά τήν ὕπαρξιν λόγος· μόνη δέ φαντασία τόν νοῦν φενακίζουσα· καί σχῆμα τοῖς οὐκ οὖσι διάκενον, ἀλλ᾽ οὐχ ὑπόστασιν τῷ πάθει παρεχομένη.

ΣΧΟΛΙΑ

α'. Ποσαχῶς ἑρμηνεύεται Ἰωνᾶς.

β'. Ποσαχῶς ἑρμηνεύται Ἰόππη.

γ'. Πόσοις ἀναλογεῖ πνευματικῶς θεωρούμενος Ἰωνᾶς.

(729) δ'. Τίνος ἀναλογίαν ἔχει νοουμένη πνευματικῶς ἡ Ἰόππη.

ε'. Κατ᾿ ἄλλην ἐπιβολήν τοῖς καθ᾿ ἕκαστα πρόφορος θεωρία περί τῆς Ἰόππης.

στ'. Πολυταράχου ζάλης.

ζ'. Κεφαλήν λέγει τόν πρῶτον περί μονάδος λόγον, ὡς ἀρχήν πάσης ἀρετῆς· τάς δέ σχισμάς τῶν ὀρέων, τάς διανοίας τῶν πνευμάτων τῆς πονηρίας, ὑφ᾿ ὧν κατεπόθη διά τῆς παραβάσεως ὁ ἡμέτερος νοῦς.

η'. Γῆν λέγει κατωτάτην, τήν μηδαμῶς γνώσεως αἰσθανομένην θείας, ἤ τῆς κατ᾿ ἀρετήν ζωῆς τήν οἱανοῦν κίνησιν ἔχουσαν, ἕξιν.

θ'. Ἄβυσσον καλεῖ τήν ἄγνοιαν ἐπικειμένην τῇ ἕξει τῆςκακίας· ἐφ᾿ ᾗ βέβηκεν καθάπερ γῇ, τά τῆς κακίας πελάγη.

ι'. Γῆν μέν τήν παγίαν τῆς κακίας ἕξιν εἶπεν· αἰωνίους δέ μοχλούς, τάς συγκρατούσας τήν χειρίστην ἕξιν ἐμπαθεῖς προσπαθείας τῶν ὑλικῶν.

ια'. Φέγγος λέγει τήν ἀληθῆ γνῶσιν· ζωήν δέ βροτῶν, τήν πρέπουσαν λογικοῖς πολιτείαν, ἧς ὁ τήν κακήν ἕξιν ἔχων ἐστερῆται.

ιβ'. Ἐνταῦθα τήν θάλασσαν, εἰς τόν κόσμον τοῦτον ἔλαβεν· εἰς ὅν διά σαρκός ὁ Κύριος γέγονεν.

ιγ'. Ἀνάπαυσιν λέγει τόν Κύριον, ὡς τῶν ἐπ᾿ ἀρετῇ πόνων λυτήριον· ἴασιν δέ Θεοῦ, ὡς ἰατρόν τῆς ἐκ τοῦ θανάτου πληγῆς· Θεοῦ δέ χάριν, ὡς ἀπολύτρωσιν· καί Θεοῦ πόνον, ὡς τῶν ἡμῶν ἀναδοχέα παθῶν.

ιδ'. Fr. Πῶς ἐστι χάρις ὁ Κύριος ἡμῶν καί Θεός· ἴδε, Νεῖλε, καί μή σαλεύου, τῷ· Πλήρης χάριτος καί ἀληθείας.

ιε'. Πῶς δηλοῖ τήν προφητικήν χάριν Ἰωνᾶς.

ιστ'. Ὅτι δαπανᾷ, φησί, προσβάλλουσαν τήν πονηράν δύναμιν, ἡ τῶν ἁγίων ὑπομονή.

ιζ'. Ὅτι σωματικῶς οἱ ἅγιοι πάσχοντες, καί τόν ὑπέρ ἀληθείας ἑκουσίως ὑπερχόμενοι θάνατον τῆς σαρκός, τήν κατά πίστιν ἐν πνεύματι ζωήν ἐνήργουν τοῖς ἔθνεσι.

ιη'. Ὅτι τῆς καθ᾿ ὑπερβολήν θείας δυνάμεώς ἐστιν ὑπόθεσις, ἡ κατά φύσιν τῶν ἁγίων ἀσθένεια· ἧς ἥττονα τόν ὑπερήφανον διάβολον ὁ Κύριος ἔδειξεν.

ιθ'. Τόν βασιλέα φησίν εἶναι, τόν φυσικόν νόμον· τόν δέ θρόνον, τήν ἐμπαθῆ κατ᾽ αἴσθησιν ἕξιν· τήν δέ στολήν, τήν τῆς κενῆς δόξης περιβολήν· τόν δέ σάκκον, τό κατά τήν μετάνοιαν πένθος· τήν δέ σποδόν, τήν ταπεινοφροσύνην.

κ'. Ἀνθρώπους λέγει, τούς περί τόν λόγον· κτήνη δέ, τούς περί τήν ἐπιθυμίαν· βόας δέ, τούς περί τόν θυμόν· πρόβατα δέ τούς περί τήν θεωρίαν τῶν ὁρατῶν πταίοντας.

κα'. Ὅτι καί τήν ἑκάστου ψυχήν ἡ Νινευή σημαίνει.

(732) κβ'. Οὐκ ἄνευ εἰσί, χρόνος καί τόπος· ὧν χωρίς οὐδέν ἔστιν τῶν γενητῶν.

κγ'. Τούς περί ἀρετῆς καί γνώσεως λόγους ἔχουσα ἡ Ἐκκλησία, καί ἡ τοῦ καθ᾽ ἕκαστον ψυχή, ὡς ὑπερβαίνοντας χρόνον καί φύσιν, πλέον ἔχει τῶν δώδεκα μυριάδων· ὁ γάρ τῆς ἀρετῆς λόγος, τήν σαρκός ὡς ἀριστερᾶς οὐκ οἶδεν ἁμαρτίαν· ὁ δέ τῆς γνώσεως λόγος, τήν ψυχῆς ὡς δεξιάν οὐ γινώσκει κακίαν.

κδ'. Αἰτία τῶν ἀρετῶν ἐστιν ὁ Θεός· τούτου δέ κατ᾽ ἐνέργειαν γνῶσίς ἐστιν, ἡ τοῦ κατ᾽ ἀλήθειαν ἐπεγνωκότος τόν Θεόν πρός τό πνεῦμα κατά τήν ἕξιν ἀλλοίωσις.

κε'. Ὁ κατά φύσιν λόγος, φησί, διά μέσων τῶν ἀρετῶν πρός τόν νοῦν ἀνάγειν πέφυκε τόν ἐπιμελούμενον πράξεως· ὁ δέ νοῦς, πρός τήν σοφίαν εἰσάγει διά θεωρίας τόν ἐφιέμενον γνώσεως· τό δέ παράλογον πάθος, πρός τήν αἴσθησιν πείθει κατασύρεσθαι τόν ἀμελοῦντα τῶν ἐντολῶν· ἧς τέλος ἐστί, τό πρός τήν ἡδονήν καθηλωθῆναι τόν νοῦν.

κστ'. Ἀπιστίαν λέγει τήν ἄρνησιν τῶν ἐντολῶν· πίστιν δέ, τήν αὐτῶν συγκατάθεσιν, τό δέ σκότος, τοῦ καλοῦ τήν ἄγνοιαν, τό δέ φῶς, τήν τούτου ἐπίγνωσιν. Χριστόν δέ κέκληκεν, τήν οὐσίαν αὐτῶν καί τήν ὑπόστασιν· τόν διάβολον δέ, τήν πάντων γεννητικήν τῶν κακῶν χειρίστην ἕξιν.

κζ'. Ἀρετήν λέγει, ἀπαθεστάτην καί παγίαν περί τό καλόν ἕξιν· ἧς ἐφ᾽ ἑκάτερα καθέστηκεν οὐδέν, Θεοῦ φερούσης χαρακτῆρα, ᾧ οὐδέν ἐστιν ἐναντίον.

κη'. Εἰ λόγος διώρισεν, ὡς πέφυκεν, ἑκάστου τῶν ὄντων τήν γένεσιν· οὐδέν τῶν ὄντων ἑαυτοῦ φυσικῶς ἤ ὑπερβέβηκεν, ἤ ὑποβέβηκεν. Οὐκοῦν ὅρος μέν τῶν ὄντων ἐστίν, ἡ κατ᾽ ἔφεσιν τῆς αἰτίας ἐπίγνωσις· μέτρον δέ, ἡ ἐφικτή τοῖς οὖσι κατ᾽ ἐνέργειαν τῆς αἰτίας ἐκμίμησις.

κθ'. Τό ὑπέρ τόν ὅρον φέρεσθαι, καί τό μέτρον, φησί, τῶν κινουμένων τήν ἔφεσιν, ἀνόνητον ποιεῖ τόν δρόμον, μή καταντώντων εἰς Θεόν, ἐν ᾧ ἡ κατ᾽ ἔφεσιν πάντων ἵσταται κίνησις, ἀνθυπόστατον δεχομένη τέλος Θεοῦ τήν ἀπόλαυσιν.

λ'. Τό ὑπέρ τόν ὅρον καί τό μέτρον· καί παρά τόν ὅρον καί τό μέτρον δηλονότι.

λα'. Τῷ λόγῳ δηλονότι.

λβ'. Ὅτι καί τούς τῶν ἀσωμάτων καί τούς τῶν σωμάτων ἀφίησι λόγους, ὁ πρός τόν Θεόν ἀναδραμών κατ᾽ ἔκστασιν νοῦς. Οὐ γάρ πέφυκέ τι Θεῷ τῶν μετά Θεόν ἅμα συγκατοπτεύεσθαι.

λγ'. Πῶς καί εἰς τόν Ἰουδαϊκόν λαόν δύναται ληφθῆναι τυπικῶς Ἰωνᾶς.

λδ' Πῶς ἑρμηνευόμενος Ἰωνᾶς προδιελέγχει τυπικῶς τόν Ἰουδαϊκόν λαόν.

λε'. Ὅτι νενίκηκεν μᾶλλον ὁ Κύριος τήν τυράννου δύναμιν σαρκός ἀσθένειαν προβαλλόμενος, ἤπερ τόν Ἀδάμ ὁ διάβολος ἀξίαν θεότητος ὑποσχόμενος.

(733) λστ'. Σκώληξ ἐστίν ὁ Κύριος διά τήν ἄσπορον σάρκα· ἥλιος δέ, καί ὡς διά τήν δύσιν τῆς ταφῆς, καθ᾽ ἥν ὑπό γῆν γέγονε ὡς ἄνθρωπος ὁ Λόγος, καί ὡς φύσει κατ᾽ οὐσίαν φῶς ὑπάρχων καί Θεός.

λζ'. Ὅτι τό πνεῦμα τοῦ καύσωνος, οὐ μόνον τούς πειρασμούς, ἀλλά καί τήν ἐγκατάλειψιν τοῦ Θεοῦ, τήν ἀφαιρουμένην τῶν Ἰουδαίων τήν τῶν θείων χαρισμάτων χορηγίαν δηλοῖ.

λη'. Ὑπερηφανίας ἴδιόν φησι, τό ἀρνεῖσθαι τόν Θεόν ἀρετῆς εἶναι γενέτην καί φύσεως· κενοδοξίας δέ, τό μερίζειν τήν φύσιν πρός τήν ὕφεσιν· ὧν ὁ τῦφος εἶναι γέννημα πέφυκεν, ἕξις κακίας ὑπάρχων σύνθετος, Θεοῦ μέν ἄρνησιν ἑκούσιον ἔχουσα, καί τῆς κατά τήν φύσιν ἰσοτιμίας ἄγνοιαν.

λθ'. Ἡ διά πνεύματος κατά ψυχήν ἀγχιστεία, σαρκός μέν λύει τήν σχέσιν τῆς προαιρέσεως· Θεῷ δέ προσδεσμεῖ κατά πόθον προσηλωθεῖσαν.

μ'. Νύκτα φησί, τά νομικά σύμβολα, ὑφ᾽ ἅ ὁ νόμος τελεῖ· ἐν τοῖς οὐκ ἔστιν εὑρεῖν ψυχῆς φωτισμόν μή νοουμένοις πνευματικῶς.

μα΄. Ὅτι διά τό μέγα, καί μηδενί λόγῳ μετρούμενον τῆς θείας οἰκονομίας μυστήριον, ἡ τῶν ἐθνῶν Ἐκκλησία, φησί, πόλις μεγάλη τῷ Θεῷ προσηγορεύθη.

μβ΄. Κατά μέν τήν οὐσίαν ἡ ἀλήθεια, φησί, προσηγεῖται τῶν τύπων· κατά δέ τήν ἔκφανσιν, οἱ τύποι χρονικῶς προηγοῦνται τῆς ἀληθείας. Οὐκοῦν ἐπειδή προλαβών ἐν ἑαυτῶ τυπικῶς τήν ἀλήθειαν προδιέγραψεν Ἰωνᾶς, μείνας ἐν τῇ κοιλίᾳ τοῦ κήτουςς τρεῖς ἡμέρας καί τρεῖς νύκτας· Ἔτι τρεῖς ἡμέραι, φησί, τάς τρεῖς ἡμέρας τῆς τοῦ Κυρίου ταφῆς καί ἀναστάσεως λέγων, μεθ᾿ ἅς, ἡ τῶν ἐθνῶν καταστραφήσεται πλάνου καί ἀγνωσία.

μγ΄. Δηλονότι τῆς πίστεως.

μδ΄. Ἐπίτομος ἔκθεσις τῆς ἑρμηνείας τοῦ ὀνόματος Ἰωνᾶ, κατά τήν ἐπικειμένην αὐτῷ περί ἑκάστου τῶν ἐκφερομένων προσώπων τε καί τρόπων δύναμιν.

με΄. Νόμος δηλονότι.

μστ΄. Ἔργον εἶναι τοῦ φυσικοῦ νόμου φησί, τήν γνωμικήν πάντων πρός πάντας ὁμόγνωμον σχέσιν.

νζ΄. Κανόνες ἀποδεικτικοί τῆς τοῦ φυσικοῦ νόμου χαρακτηριστικῆς ἰδιότητος.

μη΄. Ὁ γραπτός νόμος, φησί, κωλύων φόβῳ τήν ἀδικίαν, ἐθίζει πρός τό δίκαιον· χρόνῳ δέ, τό ἔθος ποιεῖ διάθεσιν φιλοδίκαιον· ὑφ᾿ ἧς ἡ παγία πρός τό καλόν ἕξις ἐπιγίνεται, λήθην προλαβούσης πονηρίας ἐπάγουσα.

μθ΄. Ὅροι τῆς ἑκάστου τῶν προῤῥηθέντων νόμων ἐνεργείας ἀποδεικτικοί.

ν΄. Ὅτι τό μέν σχεῖν ὡς ἑαυτόν τόν πλησίον, μόνης ἐστί φροντίδος τῆς πρός τό εἶναι ζωῆς, ὅοερ φυσικοῦ νόμου καθέστηκε. Τό δέ τόν πλησίον ἀγαπᾷν ὡς ἑαυτόν, καί τοῦ πρός τό εὖ εἶναι κατ᾿ ἀρετήν ἐστι προνοεῖσθαι τοῦ πέλας· ὅπερ ὁ γραπτός ἐπιτρέπει νόμος. Τό δέ ὑπέρ ἑαυτόν ἀγαπῆσαι τόν πλησίον, τοῦ νόμου τῆς χάριτός ἐστιν ἰδιώτατον.

να΄. (736) Ὅροι κατ᾿ ἐπιτομήν ἀποδεικτικοί τῆς τῶν τριῶν ἡμερῶν κατορθωτικῆς τῶν καλῶν ἰδιότητος.

νβ΄. Ἡ ὁδός τῶν τριῶν ἡμερῶν ἐστί φησιν, ἡ διά τῶν τριῶν νόμων τοῦ φυλάττοντος αὐτούς κατά δικαιοσύνην τελείωσις.

νγ΄. Ἄλλη θεωρία λεπτοτέρα περί τῆς σκηνῆς καί τῆς κολοκύνθης καί τοῦ σκώληκος καί τοῦ καύσωνος καί τοῦ ἡλίου.

νδ'. Ὁ κωλυόμενος τῶν πρός ἡδονήν σώματος ἀφορμῶν, φησί, μανθάνει προνοίας λόγους ἐπεχούσης τήν ἐξαπτικήν ὕλην τῶν παθῶν. Ὁ δέ τάς πρός ὀδύνην σώματος δεχόμενος μάστιγας, διδάσκεται κρίσεως λόγους, προλαβόντων μολυσμῶν ἀκουσίοις πόνοις αὐτόν καθαιρούσης.

*ΕΡΩΤΗΣΙΣ ΞΕ'.*

***Ἐν τῇ δευτέρᾳ τῶν Βασιλειῶν γέγραπται· " Ὅτι ἐγένετο λιμός ἐν ταῖς ἡμέραις Δαβίδ τρία ἔτη· ἐνιαυτός ἐχόμενος ἐνιαυτοῦ. Καί ἐξεζήτησε Δαβίδ τό πρόσωπον Κυρίου. Καί εἶπε Κύριος· Ἐπί Σαούλ, καί ἐπί τόν οἶκον αὐτοῦ ἡ ἀδικία· περί οὗ ἐθανάτωσε τούς Γαβαωνίτας, καί εἶπεν αὐτοῖς· Τί ποιήσω ὑμῖν, καί ἐν τίνι ἐξιλάσομαι, καί εὐλογήσετε τήν κληρονομίαν Κυρίου; Καί εἶπον πρός τόν βασιλέα· Ὁ ἀνήρ, ὅς συνετέλεσεν ἡμᾶς, καί ἐλογίσατο ἐξολοθρεῦσαι ἡμᾶς, ἀφανίσωμεν αὐτόν, τοῦ μή ἑστάναι ἐν παντί ὁρίῳ Ἰσραήλ. Δότε ἡμῖν ἑπτά ἄνδρας ἐξ τῶν υἱῶν αὐτοῦ, καί ἐξηλιάσομεν αὐτούς τῷ Κυρίῳ ἐν τῷ βουνῷ Σαούλ. Καί ἔλαβεν ὁ βασιλεύς τούς δύο υἱούς Ῥεσφᾶς, θυγατρός Ἀϊᾶ παλλακῆς Σαούλ· καί τούς πέντε υἱούς Μερώβ θυγατρός Σαούλ, οὕς ἔτεκε τῷ Ἐσδριήλ, καί ἔδωκεν αὐτούς ἐν χειρί τῶν Γαβαωνιτῶν· καί ἐξηλίασαν αὐτούς ἐν ὄρει ἐναντίον Κυρίου, καί ἔπεσον ἐκεῖ οἱ ἑπτά ἐπιτοαυτό· καί ἐθανατώθησαν ἐν ἡμέραις θερισμοῦ, ἐν ἀρχῇ θερισμοῦ κριθῶν. Καί ἔλαβε Ῥεσφά θυγάτηρ Ἀϊᾶ τό σάκκον, καί διέστρωσεν αὐτόν ἑαυτῇ ἐπί τήν πέτραν, ἕως ἔσταξαν ἐπ᾽ αὐτούς ὕδατα Θεοῦ ἐξ οὐρανοῦ. Καί ἐποίησαν πάντα ὅσα ἐνετείλατο ὁ βασιλεύς. Καί ἐπήκουσεν ὁ Θεός τῇ γῇ μετά ταῦτα." Διατί τί μετά τόν θάνατον Σαούλ ὁ Δαβίδ ἀπῃτήθη δίκας, λιμοῦ κρατήσαντος τήν γῆν, ἕως ἔδωκε τούς ἐκ τοῦ σπέρματος Σαούλ ἑπτά ἄνδρας θανατωθῆναι τοῖς Γαβαωνίταις. Τίς ἡ τούτων δύναμις τῶν λόγων, καί πῶς πνευματικῶς αὐτούς θεωρήσομεν.***

(737) Ἀπόκρισις.

Ἡ μέν ἀκριβής γνῶσις τῶν λογίων τοῦ Πνεύματος, μόνοις ἀποκαλύπτεσθαι πέφυκε τοῖς ἀξίοις Πνεύματος· οἵ διά πολλήν τῶν ἀρετῶν ἐπιμέλειαν, τῆς τῶν παθῶν αἰθάλης τόν νοῦν ἐκκαθάραντες, ἐσόπτρου δίκην καθαροῦ τε καί διαυγοῦς, ἅμα τῇ πρώτῃ προσβολῇ καθάπερ πρόσωπον ἐντυπουμένην αὐτοῖς καί ἐμπίπτουσαν, τήν τῶν

θείων ὑποδέχονται γνῶσιν. Οἷς δέ κατ᾽ ἐμέ τήν τῶν παθῶν κηλῖσιν ὁ βίος κατέστικται, μόλις κἄν ἐξ εἰκότων τινῶν στοχασμῶν τεκμηριῶσαι τήν τῶν θείων γνῶσίν ἐστι δυνατόν· μή ὅτι γε νοῆσαί τε καί φράσαι ταύτην δι᾽ ἀκριβείας ἀπαυθαδιάζεσθαι. Καί οἶδ σαφῶς ἔγω γε, ὅτι πάσχων αὐτός γινώσκεις τά θεῖα μᾶλλον τίμιε πάτερ, καί πείρᾳ λαβών ἔχεις τούτων τήν ἐπιστήμην, ἤπερ ἐγώ λέγει ἐπίσταμαι, μηδέν ἐκ τοῦ παθεῖν ἀποφήνασθαι περί τῶν θείων δυνάμενος. Πλήν καί τό κατά δύναμιν οὐκ ἀπόβλητον, καί μάλισθ᾽ ὑμῖν τοῖς ἐπιτάξασι, καί τόνδε μοι περί τῶν ὑπέρ δύναμιν τοῦ λέγειν πόνον ἐπιθεμένοις.

Σαούλ τοίνυν ἐστί κατά τόνδε τῆς Γραφῆς τόν τόπον, ὁ βασιλεύων κατά δύναμιν ἐντολῆς σαρκίνης τῶν σαρκικῶν Ἰουδαίων ἐν γράμματι νόμος· ἤγουν ὁ βασιλεύων τῶν ἀγομένων μόνῳ τῷ γράμματι τοῦ νόμου σωματικός τρόπος ἤ λογισμός. Αἰτητός γάρ ᾅδης κατά μίαν ἐπιβολήν Σαούλ ἑρμηνεύεται. Τῆς γάρ ἐν πνεύματι Θεοῦ κατ᾽ ἀρετήν διεξαγομένης ζωῆς τε καί βασιλείας, προτιμήσας τήν φιλήδονον ζωήν ὁ τῶν Ἰουδαίων λαός, ᾐτήσατο τόν ᾅδην, ἤγουν τήν ἄγνοιαν, ἀντί τῆς γνώσεως αὐτοῦ βασιλεύειν. Πᾶς γάρ ὁ τῆς θείας ἐκπεπτωκώς ἀγάπης, τόν ἐν τῇ σαρκί νόμον ἔχει διά τῆς ἡδονῆς βασιλεύοντα· τόν μηδεμίαν θείαν ἐντολήν φυλάξαι δυνάμενον, ἤ μηδέ βουλόμενον.

Κατ᾽ ἄλλον δέ τρόπον Σαούλ ἑρμηνεύεται, δεδανεισμένος, ἤ δάνειον. Οὐ γάρ ἐδόθη ὁ γραπτός νόμος τοῖς λαβοῦσιν εἰς κτῆσιν περιουσίας, ἀλλ᾽ εἰς παιδαγωγίαν προσδοκωμένης ἐπαγγελίας. Διό καί δούς τῷ Σαούλ τήν βασιλείαν ὁ Θεός, ἐν τῇ πρός αὐτόν διαθήκῃ, αἰώνιον οὐ καθυπέσχετο τήν βασιλείαν. Πᾶν γάρ δάνειον, οὐ γίνεται τῷ λαβόντι κτῆμα περιουσίας, ἀλλά πρόφασις καμάτου καί πόνου [Fr. καί πόνων], εἰς ἄλλης περιουσίας συλλογήν. Ἡ δέ τοῦ Σαούλ παλλακή Ῥεσφά, δρόμος ἑρμηνεύεται στόματος. Δρόμος δέ στόματός ἐστιν, ἡ κατά μόνην τήν ἐν λόγῳ προφοράν τοῦ νόμου μάθησις· ἥν εἰσοικίζεται παρανόμως, (740) ὁ μόνην τήν σωματικήν τοῦ νόμου περιέπων λατρείαν· ἀφ᾽ οἷς οὐδέν εὐσεβές γεννᾷ καί φιλόθεον. Ὁ γάρ μόνην τήν σωματικήν τοῦ νόμου κατά προφοράν λόγου μάθησιν ἐξασκούμενος, νόμιμον οὐκ ἔχει τήν πρός τόν λόγον, ἤγουν τήν μάθησιν τοῦ νόμου συμβίωσιν. Ὅθεν δυσγενῆ καί ἀπόβλητα καθέστηκεν αὐτοῦ τά γεννώμενα. Γεννᾶται γάρ αὐτῷ διά τήν παράνομον κοίτην ἐκ τῆς Ῥεσφᾶς ὁ Ἐρμονθί καί ὁ Μεμφιβοσθέ, ὅπερ ἐστίν Ἀνάθεμα αὐτῶν, καί Αἰσχύνη στόματος αὐτῶν. Ἐρμονθί γάρ κατά μίαν ἐπιβολήν, Ἀνάθεμα ἑρμηνεύεται· καί Μεμφιβοσθέ, αἰσχύνη

στόματος αὐτῶν. Ἀνάθεμα δέ αὐτῶν ἐστίν, ἡ διά στόματος καθ᾽ ἁμαρτίαν φθορά τῆς τῶν παθῶν ἐνεργείας. Μεμφιβοσθέ δέ ἐστιν, ἡ παρά φύσιν τοῦ νοῦ πρός κακίαν κίνησις· ἤγουν ἡ κατά νοῦν ἐπινοητική τῶν φαύλων ἐνθύμησις· αἰσχύνη νοῦ, καί οὖσα καί λεγομένη.

Ἤ πάλιν ἀνάθεμα αὐτῶν ἐστι, τόπος τοῦ νῦν κρατοῦντος ἐπιτιμίου τῆς φύσεως· τουτέστιν ὁ κόσμος οὗτος, ὡς χωρίον θανάτου καί φθορᾶς διά τήν ἁμαρτίαν γενόμενος· εἰς ὅν ἐκ τοῦ παραδείσου μετά τήν παράβασιν τῆς θείας ἐντολῆς ὁ πρώτος κατέπεσεν ἄνθρωπος· ὅντινα κόσμον κατά τήν τῆς γνώμης φιλήδονον σχέσιν, ἤγουν τήν κοσμικήν προσπάθειαν, γεννᾷν πέφυκεν ἐκ τῆς κατά μόνην τήν ἐν λόγῳ τοῦ νόμου προφοράν μαθήσεως, ὁ μή διαβαίνων κατά νοῦν πρός τήν ἔνδον ἐν πνεύματι τοῦ νομικοῦ γράμματος θείαν εὐπρέπειαν. Αἰσχύνη δέ στόματος αὐτῶν ἐστιν, ἡ κατά νοῦν φιλόκοσμος μελέτη τῶν λογισμῶν καί φιλοσώματος. Ἐν ᾧ γάρ ὁ κόσμος ἐκ τῆς φαινομένης τῷ γράμματι τοῦ νόμου σωματικῆς διαπλάσεως, κατά τήν γνωμικήν σχέσιν γεννᾶσθαι πέφυκεν, ἤγουν ἡ τόν κόσμον φιλοῦσα διάθεσις· καί ἡ κατά νοῦν φιλόκοσμος μελέτη τῶν λογισμῶν εἰκότως συγγεννᾶται φιλοσώματος.

Ἤ πάλιν, ἀνάθεμα αὐτῶν ἐστιν, ἡ πρόσυλος καί ἀκαλλής τῶν παθῶν καί ἀδιατύπωτος κίνησις· αἰσχύνη δέ στόματός ἐστιν, ἡ τοῖς πάθεσιν εἶδος ἐπάγουσα, καί τό καθ᾽ ἡδονήν πρός αἴσθησιν διαπλάττουσα κάλλος τοῦ νοῦ κίνησις. Χωρίς γάρ τῆς κατά νοῦν ἐπινοητικῆς δυνάμεως, πρός διάπλασιν μορφῆς οὐδαμῶς ἄγεται πάθος. Οὐκοῦν ὁ μόνῳ τῷ γράμματι τοῦ νόμου περιγράφων τῆς θείας ἐπαγγελίας τήν δύναμιν, παλλακήν, ἀλλ᾽ οὐ γυναῖκα νόμιμον ἔχει τοῦ νόμου τήν μάθησιν. Ὅθεν ἐξ ἀνάγκης ἡ τοιαύτη μάθησις, οὐ δι᾽ ἑαυτήν, ἀλλά διά τόν αὐτήν σωματικῶς ἐκδεχόμενον, ἤγουν συγγενόμενον γεννᾶ τό ἀνάθεμα καί τήν αἰσχύνην. Ὁ γάρ διά τρυφήν σωματικήν καί ἀνάπαυσιν, τάς θυσίας καί τάς ἑορτάς· τά τε Σάββατα καί τάς νεομηνίας κατά τόν νόμον τόν Θεόν διατεταχέναι πιστεύων· πάντη τε (741) καί πάντως ὑπό τήν ἐνοχήν γενήσεται τῆς τῶν παθῶν ἐνεργείας, καί τήν αἰσχύνην τῆς τῶν ἐπ᾽ αὐτοῖς αἰσχρῶν λογισμῶν ῥυπαρίας· ὑπό τε τόν φθειρόμενον ἔσται κόσμον, καί τήν ἐν λογισμοῖς φιλοσώματον μελέτην· ὑπό τε τήν ὕλην τῶν παθῶν καί τό εἶδος, μηδέν ἄλλο πλήν τῶν φθειρομένων τίμιον ἔχειν δυνάμενος· καί διά τοῦτο τυχόν κακῶς γεννῶν τήν Μερώβ, τήν γεννῶσαν υἱούς πέντε τῷ

Ἐσδριήλ. Μερώβ δέ, πλησμονή φάρυγγος ἑρμηνεύεται, ἤ τίς ἐστιν ἡ γαστριμαργία. Μόνη γάρ αὕτη παρά τῆς ἐντολῆς Ἰουδαϊκῶς λαβοῦσα τήν ἄδειαν, τούς κατά παράχρησιν τρόπους γεννᾷ τῶν αἰσθήσεων τῷ Ἐσδριήλ· ἤγουν τῷ θεωρητικῷ μέρει τῆς ψυχῆς. Ἐσδριήλ γάρ ἑρμηνεύεται θεία δύναμις ἤ βοητός ἰσχυρός, ἤ βλέψις δυνατή· ὅπερ ἐστίν, ὁ κατ᾽ εἰκόνα μέν Θεοῦ γενόμενος νοῦς· τήν δέ γαστριμαργίαν ὡς τοῦ κατ᾽ ἐντολήν σαρκός νόμου, τουτέστι τοῦ γράμματος, γέννημα, παραπεισθείς συνοικισάμενος. Πεισθείς γάρ ὁ νοῦς θείας ἐντολῆς εἶναι διαταγήν κατά τόν ἐν γράμματι νόμον τήν κατά σάρκα τρυφήν, ἄλλην οὐ προσίεται πλήν αὐτῆς πρός συμβίωσιν· ὡς θείαν, καί νόμου τοῦ βασιλεύοντος αὐτήν ἡγησάμενος γέννημα, καί τούς κατά παράχρησιν ἐξ αὐτῆς τῶν αἰσθήσεων συνίστησι τρόπους. Ἐπειδάν γάρ τό θεωρητικόν τῆς ψυχῆς, τήν τρυφήν κατά τόν ἐν γράμματι νόμον ὡς θείαν διά τήν ἐντολήν ἀσπάσηται πρός συμβίωσιν, τήν τῶν αἰσθήσεων παρά φύσιν μετέρχεται χρῆσιν· μηδεμιᾶς συγχωροῦν κατά φύσιν διαφαίνεσθαι τήν χρῆσιν τῆς ἐνεργείας.

Ὁ τοίνυν σωματικῶς τοῦ νόμου τήν μάθησιν ἐξασκούμενος, οἷα δή παλλακήν, ἀλλ᾽ οὐ νόμιμον ἔχων γυναῖκα τῶν θείων τήν εἴδησιν· καί γεννῶν ἐξ αὐτῆς τό ἀνάθεμα τῆς τῶν παθῶν ἐνεργείας, καί τήν αἰσχύνην τῆς τῶν ἐπ᾽ αὐτοῖς λογισμῶν ἀηδίας [ἄλλ. ἀειδίας]· καί ἐκ τῆς Μερώβ, τουτέστι τῆς Σαούλ θυγατρός γαστριμαργίας, ἔκγονα λαμβάνων τούς κατά παράχρησιν τρόπους τῶν αἰσθήσεων· τούς ἐν τῇ φύσει τῶν ὄντων, ἤγουν τούς κατά φύσιν ὡς Γαδαωνίτας ἀποκτείνειν εἴωθε λόγους καί λογισμούς. Γαβαωνῖται γάρ ἑρμηνεύονται, ὀρεινοί ἤ μετέωροι. Δηλοῦσι δέ σαφῶς οὗτοι, τούς κατά τήν φυσικήν θεωρίαν ὑψηλοτέρους λόγους, ἤ τούς ἐφ᾽ ἡμῖν κατά φύσιν λογισμούς· οὕς ἀποκτείνειν Σαούλ, καί εἴ τις νῦν κατά διάθεσιν ἄλλος ὑπάρχει Σαούλ, διά τήν ἐν μόνῳ τῷ νομικῷ γράμματι πλάνην, τούς κατά φύσιν ἀποπέμπεσθαι καί παραχαράττειν οὐ (744) παραιτούμενος λόγους. Οὐδείς γάρ μόνῃ προσανέχων τῇ σωματικῇ τοῦ νόμου λατρείᾳ, φυσικόν τό παράπαν δύναιτ᾽ ἄν παραδέξασθαι λόγον ἤ λογισμόν· ὅτι μηδέ πέφυκε ταυτόν εἶναι τῇ φύσει τά σύμβολα, κατά φύσιν ὁρᾷν τῶν ὄντων τήν γέννησιν οὐδέποτε δύναται σαφῶς, ὁ τοῖς τοῦ νόμου συμβόλοις ὡς πρωτοτύποις προστετηκώς· καί διά τοῦτο παραλόγως τούς κατά φύσιν ἀποπέμπεται λόγους· μή λογιζόμενος, ὅτι χρή περιποιεῖσθαι τούς ὑπό Ἰησοῦ διασωθέντας, ὑπέρ ὧν καί πρός τούς

ἐπαναστάντας αὐτοῖς πέντε βασιλεῖς, τόν φοβερόν ἐκεῖνον συνεκρότησε πόλεμον· ἐν ᾧ καί οὐρανός αὐτός κατά τῶν ἐπαναστάντων τοῖς Γαβαωνίταις διά λίθων χαλάζης τῷ Ἰησοῦ συνεμάχησεν· οὕς κατέστηκε ξυλοφόρους καί ὑδροφόρους τῆς θείας σκηνῆς, τουτέστι, τῆς διά τῆς σκηνῆς προδιατυπωθείσης ἁγίας Ἐκκλησίας, ὁ σαρκωθείς Λόγος. Οὗτος γάρ, οὗτός ἐστιν Ἰησοῦς ὁ ἀποκτείνας τούς κατ᾽ αἴσθησιν αὐτοῖς ἐπανισταμένους ἐμπαθεῖς τρόπους καί λογισμούς. Ἀεί γάρ τούς κατά φυσικήν θεωρίαν λόγους, ὁ τοῦ Θεοῦ Λόγος Ἰησοῦς περιποιεῖται, προκαθιστῶν αὐτοῦ τῆς θείας τῶν μυστηρίων σκηνῆς ξυλοφόρους καί ὑδροφόρους· οἷα δή τῆς ἐξαπτικῆς τοῦ φωτισμοῦ θείας γνώσεως ὕλης, καί τῆς ῥυπτικῆς τῶν παθῶν καθάρσεως, καί τῆς ἐν πνεύματι ξωτικῆς διαδόσεως ἀφορμῆς χορηγός. Φυσικῆς γάρ θεωρίας χωρίς, ἐν οὐδενί κατ᾽ οὐδένα τρόπον οὐδαμῶς συντηρεῖσθαι πέφυκεν τῶν μυστηρίων ἡ δύναμις.

Εἰ δέ καί τήν Ἐθνικήν μοῖραν δηλοῦσιν οἱ Γαβαωνῖται, προσχωροῦσαν τῷ κληροδότῃ τῶν θείων ἐπαγγελιῶν Ἰησοῦ καί σωζομένην· διδασκομένην τε ξυλοφορεῖν καί ὑδροφορεῖν· τουτέστι, τόν περί σταυροῦ καί τῆς δι᾽ ὕδατος θείας ἀναγεννήσεως μυστικόν καί σωτήριον λόγον πρακτικῶς τοῖς ὤμοις τῶν ἀρετῶν περιφέρειν, καί χορηγεῖν τῇ θείᾳ κιβωτῷ τῆς εὐσεβοῦς πίστεως, ξύλων δίκην, διά μέν τῆς πρακτικῆς, τῶν ἐπί γῆς μελῶν τήν νέκρωσιν· διά θεωρίας δέ, καθάπερ ὕδωρ τήν ἐπιῤῥοήν τῆς ἐν πνεύματι γνώσεως, οὐκ ἄτοπον, οὐδέ τῆς εὐσεβείας ἀλλότριον.

Εἴτε γοῦν τούς κατά τήν φυσικήν θεωρίαν λόγους, εἴτε τήν σωζωμένην διά πίστεως μερίδα τῶν ἐθνῶν προτυποῦσιν οἱ Γαβαωνῖται, τόν Ἰουδαϊκῶς ζῆν κατά τόν ἐν μόνῳ τῷ γράμματι νόμον προῃρημένον, ἔχουσιν ἐχθρόν, καί τοῦ σωζομένου πολέμιον. Ὁ γάρ Θεόν τήν κοιλίαν ἡγούμενος, καί ὡς ἐπί δόξῃ τῇ αἰσχύνῃ καλλωπιζόμενος, μόνων οἶδεν ὡς θείων ἀνέχεσθαι διά σπουδῆς τῶν παθῶν τῆς ἀτιμίας· καί διά τοῦτο μόνα περιέπει τά χρονικά· τουτέστι, τήν ὕλην καί τό εἶδος, καί τήν κατά παράχρησιν πενταπλῆν ἐνέργειαν τῶν αἰσθήσεων. Τά μέν ὡς Ῥεσφᾶς τῆς παλλακῆς τέκνα· τά δέ, ὡς γῆς ἀτίμου θυγατρός ἔκγονα Μερώβ. Τῇ γάρ ὕλῃ καί τῷ εἴδει συμπλακεῖσα κατά μίξιν ἡ αἴσθησις, ἀποτελεῖν μέν πάθος· ἀποκτενεῖν δέ καί συντελεῖν τούς κατά φύσιν (745) πέφυκεν λογισμούς. Οὐ γάρ πέφυκε πάθει συνεμφαίνεσθαι τό παράπαν

φύσεως λόγος, ὥσπερ οὔτε φύσει συναποτίκτεσθαι κατά τήν γένεσιν πάθος.

Οὐκοῦν ὁ μόνου τοῦ γράμματος τῆς γραφῆς ἀντεχόμενος κατά τόν Σαούλ, καί τούς κατά φύσιν ἀποπέμπεται λόγους, καί τήν μυστικῶς προκεκηρυγμένην τῶν ἐθνῶν οὐ προσδέχεται κλῆσιν, πρός μόνην κεχηνώς κατά νόμον, ὡς οἴτεται, τῆς σαρκός τήν ἀπόλαυσιν. Ταύτης οὖν κρατούσης τῶν κατά μόνην τήν αἴσθησιν ζώντων, τῆς κατά νόμον σωματικῆς διαθέσεως, ὁ λιμός οὐ διαδείκνυται τῆς θείας ἐν πνεύματι γνώσεως. Λιμός γάρ ἐστιν, ὡς ἀληθῶς, ἔκλειψις τῶν κατ᾽ αὐτήν τήν πεῖραν ἐγνωσμένων ἀγαθῶν, καί ἀπορία καί σπάνις παντελής τῶν τήν ψυχήν συγκρατούντων πνευματικῶν βρωμάτων. Πῶς γάρ λιμόν ἡγήσεταί τις ἤ ζημίαν, τήν τῶν καθάπαξ αὐτῷ μηδαμῶς ἐγνωσμένων ἀφαίρεσιν; Ὅθεν ζῶντος Σαούλ, οὐ γίνεται λιμός· ὅτι μηδέ πέφυκε ζῶντος τοῦ κατά νόμον γράμματος, καί βασιλεύοντος τῶν ὑλικῶν τήν διάνοιαν Ἰουδαίων, τῆς πνευματικῆς γνώσεως διαγνωσθῆναι τήν ἔνδειαν· ὁπηνίκα δέ τῆς εὐαγγελικῆς χάριτος διαλάμψῃ τό σέλας, καί λάβῃ τήν βασιλείαν τῶν πνευματικῶν τήν διάνοιαν Δαβίδ ὁ πανεύφημος, ὅς ἐστιν ὁ κατά πνεῦμα νόμος, μετά τόν θάνατον Σαούλ, ἤγουν μετά τήν τοῦ γράμματος τελευτήν· ἑρμηνεύτεται γάρ ὁ Δαβίδ, ἐξουδένωσις, καί ἰσχυρός ὁράσει· τό μέν γάρ λέγεται κατ᾽ Ἰουδαίους πλεονεκτοῦντος τό πνεῦμα τοῦ γράμματος· τό δέ, κατά Χριστιανούς προσαγορεύεται, νικήσαντος τό γράμμα τοῦ πνεύματος· τηνικαῦτα διαγινώσκεται τῆς ἐν πνεύματι γνώσεως ὁ λιμός· κοινῶς μέν ἐν τῷ πιστῷ λαῷ, καί τῇ ψυχῇ τοῦ καθ᾽ ἕκαστον ἰδικῶς, ὅταν τῆς ἐν πνεύματι μυστικῆς θεωρίας τήν ἐκτός προφαινομένην τοῦ γράμματος προκρίνει προβολήν· καί οἷον εἰπεῖν, τήν ψυχήν τῆς Γραφῆς ἀτιμωτέραν ποιεῖται τοῦ σώματος. Λιμώττει γάρ ἐπ᾽ ἀληθείας τῶν πιστῶν καί ἐπεγνωκότων τήν ἀλήθειαν ὁ λαός, καί ἡ ψυχή τοῦ καθ᾽ ἕκαστον ἀφεμένη τῆς ἐν τῇ χάριτι πνευματικῆς θεωρίας, καί γενομένη τῆς τυπικῆς ἐν τῶ γράμματι δουλείας, μή διατρέφουσα τόν νοῦν ταῖς τῶν νοημάτων μεγαλονοΐαις· ἀλλά πληροῦσα τήν αἴσθησιν ἐμπαθοῦς φαντασίας ταῖς σωματικαῖς τῶν γραφικῶν συμβόλων διατυπώσεσι. Διό θείας γνώσεως μάλιστα γίνεται λιμός, τρία ἔτη, ἐνιαυτός ἐχόμενος ἐνιαυτοῦ. Πᾶς γάρ τήν πνευματικήν τῆς θείας Γραφῆς θεωρίαν μή προσιέμενος, τόν τε φυσικόν ταύτῃ κατά τούς Ἰουδαίους συναπώσατο νόμον· καί τόν ἐν τῇ χάριτι νόμον ἠγνόησε, καθ᾽ ὅν δίδοται τοῖς κατ᾽ αὐτόν ἀγομένοις ἡ θέωσις.

Οὐκοῦν ὁ λιμός τῶν τριῶν ἐτῶν δηλοῖ τόν ἐν τοῖς τρισί νόμοις, τῷ τε φυσικῷ λέγω, καί τῷ γραπτῷ, καί τῷ τῆς χάριτος, ἀναλόγως ἑκάστῳ γενομένην τῆς γνώσεως ἔνδειαν, τοῖς οὐκ ἐπιμελουμένοις τῆς αὐτῶν κατά τήν θεωρίαν ἀναγωγῆς. Ἐπιμελεῖσθαι γάρ παντελῶς οὐ δύναται τῆς τῶν Γραφῶν ἐπιστήμης, ὁ τούς μέν φυσικούς τῶν ὄντων κατά τήν θεωρίαν ἀπωθούμενος λόγους· ἀντεχόμενος δέ μόνων τῶν ὑλικῶν συμβόλων, καί μηδεμίαν αὐτοῖς ἐπινοῶν ὑψηγορίαν πνευματικήν. Κρατούσης γάρ μόνης τῆς (748) ἱστοριώδους τῶν Γραφῶν ἀφηγήσεως, τό τῶν προσκαίρων καί χρονικῶν τῆς διανοίας οὐκ ἀπεγένετο κράτος· ἀλλ᾽ ἔτι ζῶσι τά τέκνα τοῦ ἀποθανόντος Σαούλ, καί τά ἔκγονα, ἑπτά ὄντα τόν ἀριθμόν· τουτέστιν ἡ σωματική τοῦ νόμου λατρεία καί πρόσκαιρος, ἐξ ἧς ἡ ἐμπαθής εἴωθεν ἀπογεννᾶσθαι τοῖς φιλοσωμάτοις κατά τήν ἀποδοθεῖσαν αἰτίαν διάθεσις, ἐπίκουρον ἔχουσα τῆς πλάνης τήν πρόδηλον ἐν τοῖς συμβόλοις διαταγήν. Διά ταύτην οἶμαι τήν αἰτίαν μή γίνεσθαι λιμόν ἐν ταῖς ἡμέραις Σαούλ· τουτέστιν, ἐν τῷ χρόνῳ τῆς νομικῆς κατά σάρκα λατρείας, τήν ἔνδειαν μή διαγνωσθῆναι τῆς ἐν πνεύματι γνώσεως· ἀλλ᾽ ἐν τῷ χρόνῳ τῆς εὐαγγελικῆς χάριτος· καθ᾽ ὅν, ὅταν μή πᾶσαν πνευματικῶς τήν Γραφήν ἐκλαμβάνωμεν, μετά τήν πάροδον τῆς τοῦ γράμματος δυναστείας, λιμώττομεν πάντως, τῆς Χριστιανοῖς πρεπούσης μυστικῆς κατά πνεῦμα λατρείας οὐκ ἀπολαύοντες. Ἐπάν δέ λαβόντες αἴσθησιν κατά τόν Δαβίδ, ζητήσωμεν τό πρόσωπον Κυρίου, διδασκόμεθα σαφῶς, ὅτι διά τό μή παραδέξασθαι τούς κατά φύσιν λόγους πρός ἐπίβασιν τῆς ἐν πνεύματι μυστικῆς θεωρίας, ἀλλ᾽ ἔτι τῶν ἐν τῷ γράμματι τοῦ νόμου σωματικῶν ἀντέχεσθαι λογισμῶν, ἡ χάρις ἀφῃρέθη τῆς γνώσεως.

Καί ἐζήτησε, φησί, Δαβίδ τό πρόσωπον Κυρίου. Καί εἶπε Κύριος· Ἐπί τόν οἶκον Σαούλ ἡ ἀδικία, περί οὗ ἐθανάτωσε τούς Γαβαωνίτας. Δαβίδ ἐστι, πᾶς νοῦς κατά Χριστόν διορατικός, ἀεί ζητῶν τό πρόσωπον Κυρίου. Πρόσωπον δέ Κυρίου καθέστηκεν ἡ κατά τήν ἀρετήν τῶν θείων ἀληθής θεωρία καί γνῶσις, ἥν ζητῶν διδάσκεται τήν αἰτίαν τῆς κατ᾽ αὐτήν ἐνδείας καί ἀπορίας· καί κελεύεται δοῦναι πρός θάνατον τούς δύο υἱούς Σαούλ τούς ἐκ τῆς παλλακίδος Ῥεσφᾶς, καί τούς πέντε τῆς αὐτοῦ θυγατρός Μερώβ υἱούς. Σαούλ ἐστι, καθώς ἔφην, αἰτητός ᾅδης, ἤγουν ἄγνοια ποθητή. Ποθουμένη δέ σαφῶς ἐστιν ἄγνοια, τό γράμμα τό νομικόν, ἤγουν τό σωματικόν τῆς ἐν νόμῳ λατρείας κράτος, ὅπερ ἐστί τό τοῦ νόμου σωματικόν· ἤ νοῦς μόνης κατ᾽

αἴσθησιν ἀντεχόμενος σωματικῶς τῆς ὕλης τοῦ γράμματος. Ῥεσφᾶ δέ ἐστι, κατά τήν αὐτῆς ἑρμηνείαν, δρόμος στόματος, ὅπερ ἐστίν ἡ τοῦ νόμου κατά μόνην τήν ἐν λόγῳ προφοράν ἐκμάθησις. Δρόμον δέ ἀληθῶς ἔχει στόματος, ἀλλ᾽ οὐ διανοίας, ὁ τῆς πνευματικῆς τοῦ νόμου θεωρίας ἀλλότριος. Υἱοί δέ τῆς Ῥεσφᾶς ὑπάρχουσιν, Ἐρμονθί καί Μεμφιβοσθέ. Ἐρμονθί δέ ἐστιν, ἀνάθεμα αὐτῶν, ὅπερ ἐστίν ἡ καθ᾽ ἁμαρτίαν διά σώματος φθορά τῆς τῶν παθῶν ἐνεργείας· ἤ ὁ τόπος, τουτέστιν ὁ κόσμος, ἐν ᾧ τῆς παραβάσεως ἐδόθη τό ἐπιτίμιον· ἤγουν ἡ καθ᾽ ἡδονήν πρός τόν κόσμον ἐνδιάθετος σχέσις· ἤ τυχόν, ἡ πρόσυλος καί ἀκαλλής τῶν παθῶν καί ἀδιάπλαστος κίνησις. Μεμφιβοσθέ δέ, αἰσχύνη σώματος αὐτῶν, ὅπερ ἐστίν ἡ παρά φύσιν τοῦ νοῦ περί κακίαν κίνησις· ἤγουν ἡ ἐπινοητική τῶν παθῶν ἐνθύμησις· ἤ τυχόν, ἡ φιλόκοσμος μελέτη τῶν λογισμῶν καί φιλοσώματος. Ἤ πάλιν, ἡ τοῖς πάθεσιν εἶδος ἐπάγουσα, καί τό καθ᾽ ἡδονήν πρός αἴσθησιν διαπλάττουσα κάλλος τοῦ νοῦ κίνησις. Τούτους γάρ γεννᾷν τούς υἱούς (749) πέφυκεν ἐκ τῆς κατά μόνην τήν ἐν λόγῳ προφοράν ἐκμαθήσεως, ὅ τε γραπτός νόμος, καί ὁ μόνῳ προσκαθήμενος τῷ γράμματι τοῦ νόμου νοῦς. Μερώβ δέ, κατά τήν αὐτῆς ἑρμηνείαν ἐστίν (ἡ τοῦ Σαούλ θυγάτηρ), ἡ πλησμονή τοῦ φάρυγγος· ὅπερ δηλοῖ τό τῆς γαστριμαργίας πάθος. Μόνην γάρ οἶδε γεννᾷν σώματος τρυφήν, καί τήν τῶν ὑλικῶν ἀπολαυστικήν διάθεσιν, ὅ τε νόμος κατά τό γράμμα, τοῖς συμβόλοις τούς κατ᾽ αὐτόν λατρεύοντας περιγράφων· ὅ τε νοῦς, διά τήν φιλόσαρκον ζωήν, κατά τό γράμμα τόν νόμον τοῖς τύποις περιορίζων. Πέντε δέ τῆς Μερώβ θυγατρός Σαούλ υἱοί καθεστήκασιν, οἱ κατά πράχρησιν ἐμπαθεῖς πέντε τρόποι τῶν πέντε αἰσθήσεων· οὕς τίκτειν πάντως εἴωθε τῷ Ἐσδριήλ, ἤγουν τῷ θεωρητικῷ μέρει, ἡ μόνου τοῦ σώματος κατά νόμον διά τρυφῆς ἐπιμελουμένη διάθεσις.

Τούτους τούς δύο τοῦ Σαούλ υἱούς (ἤγουν τήν ὕλην καί τό εἶδος), καί τούς πέντε τοῦ Σαούλ υἱωνούς, ἤγουν τούς περί τήν ὕλην καί τό εἶδος κατά παράχρησιν πέντε τρόπους τῶν αἰσθήσεων (λέγω δή τήν ἐμπαθῆ τε καί παρά φύσιν πρός τά αἰσθητά τῶν αἰσθήσεων συμπλοκήν, ἤγουν τά ὑπό χρόνον καί ῥεῦσιν), μετά τήν τελευτήν Σαούλ (τουτέστι, μετά τήν πάροδον τῆς ἐν νόμῳ κατά τό γράμμα σωματικῆς λατρείας, καί τήν τῆς ἀγνοίας διάβασιν), παραδίδωσι θανατωθῆναι κατά τόν θεῖον χρηματισμόν, Δαβίδ ὁ θαυμάσιος τοῖς Γαβαωνίταις (τουτέστι, τοῖς κατά τήν φυσικήν θεωρίαν ὑψηλοτέροις λόγοις καί λογισμοῖς, ὁ πνευματικός νόμος, ἤ νοῦς, τήν ἐν τοῖς

συμβόλοις πρός αἴσθησιν καί σῶμα καθολικωτάτην τῶν ὑπό χρόνον σχέσιν ἀφανίσαι καί θανατῶσαι), κατά τό ὕψος γινομένοις τοῦ βουνοῦ Σαούλ· λέγω δή, τοῦ νόμου τῆς πνευματικῆς θεωρίας. Εἰ γάρ μή φυσικῶς πρότερόν τις τήν ἐν τοῖς συμβόλοις τῶν θείων καί νοητῶν διασκοπήσας ἀπέμφασιν, ἐλθεῖν ποθήσῃ κατά νοῦν, ἔξω παντελῶς τῶν θείων ἀδύτων τήν αἴσθησιν θέμενος, πρός τήν τῶν νοητῶν εὐπρέπειαν, τῆς ἐν τοῖς τύποις ἀπολυθῆναι καθάπαξ οὐ δύναται σωματικῆς ποικιλίας· καθ᾽ ἥν ἕως βέβηκε τοῦ γράμματος ἀντεχόμενος, τήν ἐκ τοῦ λιμοῦ τῆς γνώσεως εἰκότως ἀπορίαν οὐ παραμυθεῖται· τῆς Γραφῆς τήν γῆν, ἤγουν τό σῶμα, κατά τόν ἀπατηλόν ὄφιν ἐσθίειν ἑαυτόν καταδικάσας· ἀλλ᾽ οὐ κατά Χριστόν τόν νοῦν, ἤγουν τῆς Γραφῆς τό πνεῦμα καί τήν ψυχήν, τουτέστι τόν οὐράνιον καί ἀγγελικόν ἄρτον (λέγω δή, τήν ἐν Χριστῷ τῶν Γραφῶν πνευματικήν θεωρίαν καί γνῶσιν) [ἄλλ. βρῶσιν] βρωματιζόμενος· ἥν δίδωσι δαψιλῶς ἐποιχορηγουμένην τοῖς ἀγαπῶσιν αὐτόν ὁ Θεός, κατά τό γεγραμμένον· Ἄρτον οὐρανοῦ ἔδωκεν αὐτοῖς· ἄρτον ἀγγέλων ἔφαγεν ἄνθρωπος.

Χρή τοιγαροῦν τήν κατ᾽ αἴσθησιν πρός σῶμα τῆς Γραφῆς ἐκδοχήν, ὡς παθῶν προδήλως καί τῆς πρός τά χρονικά καί ῥέοντα σχετικῆς διαθέσεως οὖσαν γεννητικήν (ἤγουν τῆς πρός τά αἰσθητά τῶν αἰσθήσεων ἐμπαθοῦς ἐνεργείας), ὡς Σαούλ τέκνα καί ἔκγονα, διά τῆς φυσικῆς, ὡς ἐν ὄρει τῇ τῶν θείων ἀναγωγῇ λογίων [ἄλλ. λόγων], ἀφανίσας θεωρίας, εἴπερ ἐμφορηθῆναι θείας ἐφιέμεθα χάριτος. Εἰ γάρ ἐπί (752) Σαούλ ἡ ἀδικία, κατά τόν θεῖον χρησμόν, καί ἐπί τόν οἶκον αὐτοῦ, ὑπέρ οὗ ἐθανάτωσε τούς Γαβαωνίτας, δῆλον ὡς ἀδικεῖ τήν ἀλήθειαν, ὅ τε νόμος κατά μόνον τό γράμμα νοούμενος, καί ὁ τῶν Ἰουδαίων λαός, καί εἴ τις ἐκείνων μιμητής ὑπάρχει κατά διάνοιαν (τοῦτον γάρ οἶδεν ὁ λόγος οἶκον Σαούλ εἶναι), μόνῳ τῷ γράμματι περιγράφων τοῦ νόμου τήν δύναμιν, καί μή δεχόμενος πρός τήν φανέρωσιν τῆς μυστικῶς ἐγκεκρυμμένης τῷ γράμματι γνώσεως, τήν φυσικήν θεωρίαν, μέσην ὑπάρχουσαν τύπων καί ἀληθείας· τῶν μέν τούς ἀγομένους ἀπάγουσαν· πρός δέ τήν, ἐπανάγουσαν· ἀλλ᾽ οἷον ταύτην πάμπαν ἀρνούμενος, καί τῆς τῶν θείων αὐτήν ἔξω ποιούμενος μυσταγωγίας.

Ταύτην τοιγαροῦν χρή τήν σωματικήν τοῦ νόμου καί πρόσκαιρον ἐκδοχήν, ὡς ὑπό χρόνον καί ῥέουσαν ἀποκτένειν διά τῆς φυσικῆς θεωρίας, ὡς ἐν ὄρει τῷ ὕψει τῆς γνώσεως, τούς τῶν θείων ἐπιμελητάς

θεαμάτων. Καί ἐκάλεσε γάρ, φησί, Δαβίδ τούς Γαβαωνίτας, καί εἶπεν αὐτοῖς· Τί ποιήσω ὑμῖν, καί ἐν τίνι ἐξιλάσομαι, καί εὐλογήσετε τήν κληρονομίαν Κυρίου; Καί εἶπον πρός τόν βασιλέα· Ὁ ἀνήρ ὅς συνετέλεσεν ἡμᾶς, καί ἐδίωξεν ἡμᾶς, καί ἐλογίσατο ἐξολοθρεῦσαι ἡμᾶς, ἀφανίσομεν αὐτόν τοῦ μή ἑστάναι αὐτόν ἐν παντί ὁρίῳ Ἰσραήλ. Δότε ἡμῖν ἑπτά ἄνδρας, ἐκ τῶν υἱῶν αὐτοῦ, καί ἐξηλιάσομεν αὐτούς τῷ Κυρίῳ ἐν τῷ βουνῷ Σαούλ. Καί ἔλαβεν ὁ βασιλεύς τούς δύο υἱούς Ῥεσφῶς θυγατρός Ἀϊᾶ, παλλακῆς Σαούλ, τόν Ἐρμονθί, καί τόν Μεμφιβοσθέ, καί τούς πέντε υἱούς Μερώβ θυγατρός Σαούλ οὕς ἔτεκε τῷ Ἐσδιήλ. Καί ἔδωκεν αὐτούς ἐν χειρί τῶν Γαβαωνιτῶν, καί ἐξηλίασαν αὐτούς ἐν τῷ ὄρει ἔναντι Κυρίου. Καί ἔπεσιν ἐκεῖ οἱ ἑπτά ἐπιτοαυτό, καί ἐθανατώθησαν ἐν ἡμέραις θερισμοῦ, ἐν ἀρχῇ θερισμοῦ κριθῶν. Ποῦ κατά τήν ἱστορίαν εὑρίσκομεν, ὡς ἠφάνισαν τόν Σαούλ οἱ Γαβαωνῖται, τοῦ μή ἑστάναι αὐτόν ἐν παντί ὁρίῳ Ἰσραήλ· τοῦ υἱοῦ Ἰωνάθαν υἱοῦ Σαούλ Μαριβαάλ παρά τῷ βασιλεῖ Δαβίδ διασωθέντος, καί ἄλλων πολλῶν τῆς συγγενείας Σαούλ ὡς ἐν τῇ βίβλῳ φέρεται τῶν Παραλειπομένων; (753) Πῶς δέ τούς ἐκ τοῦ σπέρματος αὐτοῦ λαβόντες ἑπτά ἄνδρας, Αὐτόν, εἶπον ἀφανίσομεν, τοῦ μή ἑστάναι αὐτόν ἐν παντί ὁρίῳ Ἰσραήλ, πρό τούτου πολλούς ἀποθανόντα χρόνους; Ἀλλ᾿, ὡς ἔοικε, παρεμίγη τῷ ῥητῷ τῆς ἱστορίας τό παράλογον, ἵνα τό τῆς διανοίας ἀληθές τῶν γεγραμμένων ζητήσωμεν. Οὐκοῦν τόν σωματικόν νοῦν τῆς Γραφῆς, τουτέστι τόν Σαούλ, ἀφανίζει παντελῶς ἐκ παντός ὁρίου Ἰσραήλ, ὁ πράξει διά τῆς φυσικῆς θεωρίας, ὡς διά τινων Γαβανιτῶν, ἀποκτένων τήν γεννωμένην ἐκ τοῦ γραπτοῦ νόμου πρός τήν ἄστατον ὕλην, καί ῥέουσαν τῇ ψυχῇ, φιλήδονον σχέσιν καί φιλοσώματον· κατασφάττων ὡς τέκνα Σαούλ καί ἔκγονα, τήν χαμαίζηλον τοῦ νόμου διάνοιαν, διά μέσης τῆς φυσικῆς θεωρίας, ὡς ἐν ὄρει τῷ ὕψει τῆς γνώσεως, καί φανεράν ποιούμενος ἐνώπιον Κυρίου, δι᾿ ἐξομολογήσεως δηλαδή, τήν πρός σῶμα τοῦ νόμου προτέραν ἐκδοχήν. Τοῦτο γάρ ἐξηλιάσαι νοεῖσθαι δύναται τοῖς φιλομαθέσιν ἔναντι Κυρίου· εἰς φῶς ἀγαγόντες, διά τῆς γνώσεως δηλαδή, τήν κατά τό γράμμα πεπλανημένην τοῦ νόμου πρόληψιν. Πᾶς γάρ ἀποκτείνας τήν σωματικήν τοῦ νόμου διάνοιαν, τό γράμμα τοῦ νόμου σαφῶς ἐπέκτεινε καί ἠφάνισε, τοῦ μή ἑστάναι ἐν παντί ὁρίῳ Ἰσραήλ· τουτέστιν, ἐν παντί λόγῳ πνευματικῆς θεωρίας. Εἰ γάρ Ἰσραήλ νοῦς ὁρῶν Θεόν ἑρμηνεύεται, δῆλον ὡς τό σωματικόν τοῦ νόμου καθάπαξ ἐν οὐδενί τρόπῳ πνευματικῆς θεωρίας ὑφέστηκε, τοῖς

τό πνεῦμα προτιμῶσι τοῦ γράμματος· εἴπερ Πνεῦμα, κατά τό γεγραμμένον, ἐστίν ὁ Θεός, καί τούς προσκυνοῦντας αὐτόν, ἐν πνεύματι καί ἀληθείᾳ δεῖ προσκυνεῖν, ἀλλ᾽ οὐ γράμματι. Τό γράμμα γάρ ἀποκτένει· τό δέ πνεῦμα ζωοποιεῖ. Διό χρή τό ἀποκτένειν πεφυκός, ἀποκτένεσθαι πνεύματι ζωοποιῷ. Συνυπάρχειν γάρ κατ᾽ ἐνέργειαν ἀλλήλοις ἅμα κατά τό αὐτό τό σωματικόν τοῦ νόμου καί τό θεῖον, ἤγουν τό γράμμα καί τό πνεῦμα, παντελῶς ἀμήχανον· ὅτι μηδέ συμφωνεῖν πέφυκε τῷ παρεχομένῳ κατά φύσιν ζωήν, τό ταύτην ἀφαιρεῖσθαι δυνάμενον.

(756) Οὐκοῦν κατά μέν τήν ἱστορίαν τοῦτον λαμβάνοντες τόν τόπον, οὐχ εὑρίσκομεν τήν Γραφήν ἀληθεύουσαν. Ποῦ γάρ ἠφάνισαν οἱ Γαβαωνῖται τόν Σαούλ παντός ὁρίου Ἰσραήλ, πολλῆς μετά τοῦτο συγγενείας εὑρισκομένης ἐν τῷ λαῷ; Κατά δέ τήν θεωρίαν νοοῦντες, σαφῶς εὑρίσκομεν, ὅτι διά μέσης τῆς φυσικῆς θεωρίας, ἐν τῷ ὕψει τῆς γνώσεως, ὁ γραπτός παντελῶς ἀπογίνεται νόμος, ἤγουν ὁ σωματικός ἐν τοῖς συμβόλοις κατά τήν λατρείαν θεσμός. Ποῦ γάρ ἔτι στήσεται περιτομή σαρκός νοουμένου τοῦ νόμου πνευματικῶς; ποῦ τά Σάββατα, καί τῶν μηνῶν αἱ ἀρχαί; ποῦ τῶν ἑορτῶν αἱ πανηγύρεις; ποῦ τῶν θυσιῶν, καί τῆς ἀργίας τῆς γῆς, καί τῆς λοιπῆς τοῦ νόμου κατά τήν σωματικήν λατρείαν [fort. add. καταστάσεως] ἡ παράδοσις; Οἴδαμεν γάρ φυσικῶς ἐπιβάλλοντες τοῖς πράγμασιν, ὡς οὐκ ἔστι τελειότης ἡ τῆς ἐκ Θεοῦ κατά φύσιν ἀρτιότητος περιαίρεσις. Οὐ γάρ ποιεῖ τελειότητα φύσις διά τέχνης κολοβουμένη, καί διά περινοίας ἀποτιθεμένη τό προσόν αὐτῇ θεόθεν κατά λόγον δημιουργίας· ἵνα μή τήν τέχνην Θεοῦ πρός βεβαίωσιν δικαιοσύνης ἰσχυροτέραν εἰσαγάγωμεν, καί τήν περινενοημένην τῆς φύσεως ἔλλειψιν ἀναπληρωτικήν ποιώμεθα, τῆς ἐν δικαιοσύνῃ κατά τήν δημιουργίαν ἐλλείψεως· ἀλλ᾽ ἐκ τῆς τυπικῆς τοῦ περιτεμνομένου μυρίου θέσεως, διδασκόμεθα ποιεῖσθαι γνωστικῶς τήν περιτομήν τῆς κατά ψυχήν ἐμπαθοῦς διαθέσεως· καθ᾽ ἥν μᾶλλον τῇ φύσει συντρέχειν ἡ γνώμη ῥυθμίζεται, τόν ἐμπαθῆ τῆς ἐπικτήτου γενέσεως νόμον διορθουμένη. Περιτομή γάρ ἐστι μυστική, τῆς ἐμπαθοῦς κατά νοῦν περί τήν ἐπείσακτον γένεσιν σχέσεως παντελής περιαίρεσις. Τό δέ Σάββατον τελεία παθῶν ἐστιν ἀπραξία, καί τῆς περί τά πεποιημένα καθολική τοῦ νοῦ παῦλα κινήσεως, καί πρός τό Θεῖον τελεία διάβασις· ἐν ᾧ τόν δι᾽ ἀρετῆς καί γνώσεως κατά τό θεμιτόν ἀφικόμενον, οὐ δεῖ καθάπερ ξύλα τήν οἱανοῦν παντελῶς ὕλην ἐξαπτική ἐνθυμεῖσθαι παθῶν· οὔτε

μή φύσεως τό παράπαν ἀναλέγεσθαι λόγους, ἵνα μή πάθεσιν ἡδόμενον, ἤ φύσεως ὅροις μετρούμενον, κατά τούς Ἕλληνας τόν Θεόν δογματίζωμεν· ὅνπερ ἡ τελεία μόνη κέκραγε σιγή, καί ἡ παντελής καθ᾽ ὑπεροχήν ἀγνωσία παρίστησι. Τάς δέ νεομηνίας εἶναί φαμεν, τούς ἐν τῷ δρόμῳ τῶν κατ᾽ ἀρετήν καί γνῶσιν ἡμερῶν διαφόρους φωτισμούς, οἷς προτροπάδην ἅπαντας ἐνθέοντες τούς αἰῶνας, τόν δεκτόν ἐνιαυτόν τοῦ Κυρίου πληροῦμεν, τῷ τῆς χρηστότητος στεφάνῳ κοσμούμενον. Στέφανος δέ χρηστότητός ἐστι πίστις καθαρά λίθων τιμίων δίκην, ταῖς τῶν δογμάτων ὑψηγορίαις καί λόγοις διηνθισμένη πνευματικοῖς καί νοήμασι, τόν θεοφιλῆ καθάπερ κεφαλήν διασφίγγουσα νοῦν. Ἤ μᾶλλον στέφανος πάλιν χρηστότητός ἐστιν αὐτός ὁ τοῦ Θεοῦ λόγος, ὁ τῇ ποικιλίᾳ τῶν κατά πρόνοιαν καί κρίσιν τρόπων, ἤγουν ἐγκρατείᾳ τῶν ἑκουσίων καί ὑπομονῇ τῶν ἀκουσίων παθῶν, ὡς κεφαλήν τόν νοῦν περιγράφων, καί τῇ μετοχῇ τῆς κατά τήν θέωσιν χάριτος, αὐτός ἑαυτοῦ τόν νοῦν ποιῶν ὡραιότερον.

(757) Τῶν ἑορτῶν δέ, τήν μέν πρώτην, πρακτικῆς εἶναι φιλοσοφίας σύμβολον, πρός ἀρετήν ὡς ἀπ᾽ Αἰγύπτου τῆς ἁμαρτίας τούς ὑπ᾽ αὐτῆς κρατουμένους διαβιβάζουσαν· τήν δέ δευτέραν, τῆς ἐν πνεύματι φυσικῆς τύπον ὑπάρχειν θεωρίας, τήν περί τῶν ὄντων εὐσεβῆ δόξαν, ὡς ἀπαρχήν θέρους τῷ Θεῷ προσκομίζουσαν· τήν δέ τρίτην, θεολογίας εἶναι μυστήριον, τήν πάντων τῶν ἐν τοῖς γεγονόσι πνευματικῶν λόγων γνωστικήν ἕξιν, καί τήν κατ᾽ οἰκονομίαν τοῦ σαρκωθέντος Λόγου παντελῆ διά τῆς χάριτος ἀναμαρτησίαν, καί τήν ἐπ᾽ αὐταῖς ἐν τῷ ἀγαθῷ τελείαν καί ἀθάνατον ἀτρεψίαν περιέχουσαν, ὡς σαλπίγγων καί ἱλασμοῦ καί σκηνοπηγίας ποιητικήν.

Ταύτην ἔχω τέως κατά μίαν ἐπιβολήν ἐκ τῆς τῶν ἡμερῶν τιμῆς τήν ὑπόνοιαν. Οὐ γάρ δή τιμᾶσθαι θέλων ὁ Θεός ἡμέρας ὑπό τῶν ἀνθρώπων, προσέταξε τιμηθῆναι τό τε Σάββατον, καί τάς νεομηνίας, καί τάς ἑορτάς. Οὕτω γάρ ἄν λατρεύειν τῇ κτίσει παρά τόν κτίσαντα κατά νόμον ἐντολῆς ἐξεδίδαξεν, οἰομένους σεπτάς εἶναι φύσει τάς ἡμέρας, καί διά τοῦτο προσκυνητάς· ἀλλ᾽ ἑαυτόν τιμᾶσθαι συμβολικῶς διά τῶν ἡμερῶν παρεδήλωσεν. Αὐτός γάρ ἐστι Σάββατον μέν, ὡς τῶν ἐν σαρκί τῆς ψυχῆς μόχθων ἀνάπαυσις, καί τῶν κατά δικαιοσύνην πόνων κατάπαυσις· Πάσχα δέ, ὡς ἐλευθερωτής τῶν τῇ πικρᾷ δουλείᾳ κεκρατημένων τῆς ἁμαρτίας. Πεντηκοστή δέ, ὡς ἀρχή καί τέλος

τῶν ὄντων, καί λόγος, ᾧ τά πάντα φύσει συνέστηκεν. Εἰ γάρ μετά τήν εἰς ἑαυτήν ἑβδοματικήν τῆς ἑβδομάδος περίοδόν ἐστιν ἡ Πεντηκοστή, πενταδική δέ σαφῶς ὑπάρχει δεκάς ἡ Πεντηκοστή· προδήλως ἄρα τῶν ὄντων ἡ φύσις κατά τόν ἑαυτῆς λόγον ὑπάρχουσα πενταδική διά τάς αἰσθήσεις, μετά τήν φυσικήν τοῦ χρόνου καί τῶν αἰώνων διάβασιν, ἐν τῷ Θεῷ ἔσται, τῷ κατά φύσιν ἑνί, μή δεχομένη πέρας· ἐν ᾧ παντελῶς οὐκ ἔστι διάστασις. Φασί γάρ τινες εἶναι μονάδα [Fr. δεκάδα] τόν λόγον, ὡς πρόνοιαν κατά πρόοδον τῇ δεκάδι τῶν ἐντολῶν πλατυνόμενον. Ὁπηνίκα δέ συναφθῇ τῷ λόγῳ κατά χάριν ἡ φύσις, οὐκ ἔσται τά ὧν οὐκ ἄνευ, τῆς τῶν φύσει κινουμένων ἀλλοιωτικῆς ἀπογενομένης κινήσεως. Δεῖ γάρ τήν πεπερασμένην στάσιν, ἐν ᾗ γίνεσθαι πέφυκεν ἐξ ἀνάγκης κατ᾽ ἀλλοίωσιν τῶν κινουμένων ἡ κίνησις, δέξασθαι τέλος τῇ παρουσίᾳ τῆς ἀπεράντου στάσεως, ἐν ᾗ παύεσθαι πέφυκε τῶν κινουμένων ἡ κίνησις. Ἐν ᾧ γάρ πέρας κατά φύσιν οὐκ ἔστι, καί ἀλλοιωτική πάντως ἡ τῶν ἐν αὐτῷ καθέστηκεν κίνησις· ἐν ᾧ δέ πέρας κατά φύσιν οὐκ ἔστιν, οὐδεμία παντελῶς ἀλλοιωτική τῶν ἐν αὐτῷ γνωσθήσεται κίνησις. Οὐκοῦν ὁ μέν κόσμος τόπος ἐστί πεπερασμένος, καί στάσις περιγεγραμμένη· ὁ δέ χρόνος, περιγραφομένη καθέστηκε κίνησις· ὅθεν καί ἀλλοιωτική τῶν ἐν αὐτῷ καθέστηκεν ἡ κατά τήν ζωήν κίνησις. Ὁπινήκα δέ τόν τόπον διελθοῦσα, καί τόν χρόνον κατ᾽ ἐνέργειάν τε καί ἔννοιαν, ἡ φύσις (ἤγουν τά ὧν οὐκ ἄνευ, τουτέστι τήν (760) πεπερασμένην στάσιν καί κίνησιν), ἀμέσως συναφθῇ τῇ Προνοίᾳ, λόγον εὑρίσκει τήν Πρόνοιαν κατά φύσιν ἁπλοῦν καί στάσιμον, καί μηδεμίαν ἔχοντα πάντη περιγραφήν, καί διά τοῦτο παντελῶς οὔτε κίνησιν. Διόπερ ἐν μέν τῷ κόσμῳ ὑπάρχουσα χρονικῶς ἡ φύσις, ἀλλοιωτικήν ἔχει τήν κίνησιν, διά τήν τοῦ κόσμου πεπερασμένην στάσιν, καί τήν καθ᾽ ἑτεροίωσιν τοῦ χρόνου φθοράν· ἐν δέ τῷ Θεῷ γινομένη, διά τήν φυσικήν τοῦ ἐν ᾧ γέγονε μονάδα, στάσιν ἀεικίνητον ἕξει, καί στάσιμον ταυτοκινησίαν, περί τό ταυτόν καί ἕν καί μόνον ἀϊδίως γινομένην· ἥν οἶδεν ὁ λόγος ἄμεσον εἶναι περί τό πρῶτον αἴτιον τῶν ἐξ αὐτοῦ πεποιημένων μόνιμον ἵδρυσιν.

Πεντηκοστῆς οὖν ἐστι τό μυστήριον, ἡ πρός τήν Πρόνοιαν ἄμεσος τῶν προνοουμένων ἕνωσις, ἤγουν ἡ πρός τόν λόγον

κατά τήν τῆς Προνοίας ἐπίπνοιαν φύσεως ἕνωσις, καθ᾽ ἥν οὐδεμία τό παράπαν ἐστίν χρόνου καί γενέσεως ἔμφασις. Σάλπιγξ δέ πάλιν ἡμῶν ἐστι ὁ λόγος, ὡς τάς θείας καί ἀῤῥήτους ἡμῖν ἐνηχούμενος γνώσεις· ἱλασμός δέ, ὡς ἐν ἑαυτῶ τά ἡμέτερα, καθ᾽ ἡμᾶς γενόμενος, διαλύων ἐγκλήματα, καί τῇ δωρεᾷ τῆς χάριτος ἐν πνεύματι, τήν ἁμαρτήσασαν φύσιν θεοποιῶν· σκηνοπηγία δέ, ὡς τῆς ἡμῶν κατά τήν θεομίμητον ἕξιν περί τό καλόν ἀτρεψίας πῆξις, καί τῆς πρός ἀθανασίαν μεταποιήσεως συνεκτικός ὑπάρχων δεσμός.

Σφαγαῖς δέ ζώων ἀλόγων, καί ῥαντισμοῖς αἱμάτων ἡδόμενον τόν Θεόν, καί οἷον τῆς θεραπείας μισθόν, τήν τῶν ἁμαρτημάτων παρεχόμενον τοῖς προσφέρουσιν ἄφεσιν, τῇ Γραφῇ φυσικῶς ἐπιβάλλοντες, οὐ πιστεύομεν, ἵνα μή Θεόν ἐμπαθῆ λάθωμεν σέβοντες, ὡς ἐμπαθῶς ἐκείνων διά πολλῆς ἐφιέμενον τῆς σπουδῆς, περί ἅ καί ἀνθρώπους περιπαθῶς ἔχοντας ἄν θεωρήσωμεν, ὡς ἀκολάστους καί ἀκρατεῖς διαβάλλομεν. Θυσίας γάρ πνευματικάς εἶναι γινώσκομεν, οὐ μόνον τήν τῶν παθῶν νέκρωσιν, σφαττομένων τῇ μαχαίρᾳ τοῦ πνεύματος, ὅπερ ἐστί ῥῆμα Θεοῦ, καί πάσης τῆς ἐν σαρκί ζωῆς ὡς αἵματος τήν κατά πρόθεσιν κίνησιν [κένωσιν]· ἀλλά καί τῶν κατά φιλοσοφίαν ἠθῶν, καί πασῶν τῶν κατά φύσιν δυνάμεων, προσαγωγήν, ἀφιερουμένων Θεῷ, καί τῷ πυρί τῆς ἐν πνεύματι χάριτος πρός τήν θείαν λῆξιν ὁλοκαυτουμένων. Οὕτως ἕκαστον τῶν ἐμφερομένων τῇ Γραφῇ συμβόλων φυσικῶς ἑποτεύοντες, ὡς ἐν ὄρει τῶ ὕψει τῆς μυστικῆς θεωρίας, καθάπερ ἄνδρας ἑπτά τῶν υἱῶν Σαούλ, τήν χρονικήν ἀποκτένομεν καί πρόσκαιρον τοῦ νόμου παράδοσιν· καί ἀφανίζομεν τόν Σαούλ, τουτέστι τόν ἐν μόνῳ τῷ ῥητῷ τῆς Γραφῆς χοϊκόν νοῦν, τοῦ μή ἑστάναι αὐτόν ἐν παντί ὁρίῳ Ἰσραήλ· τουτέστι, τρόπῳ θεωρίας πνευματικῆς. Οὗτος γάρ ζῶν ἐπ᾽ ἀληθείας, συντελεῖ, καί διώκει, καί ἀπόλλυσι, σαρκί μόνῃ τόν νόμον περιγράφων, (761) τούς κατά φύσιν λόγους καί λογισμούς· τιμῶν ὡς θεῖα τά πάθη τῆς ἀτιμίας, ἅπερ οἱ κατά φύσιν λογισμοί, λαμβάνοντες ἄδειαν ὑπό τοῦ νόμου τοῦ πνεύματος, ἀποκτένουσιν ἐπιτοαυτό καί θανατοῦσιν ἐν ἀρχῇ θερισμοῦ κριθῶν. Ἀρχή δέ θερισμοῦ κριθῶν ἐστιν, ἡ κατά τήν πρακτικήν φιλοσοφίαν μετά τινος συμμέτρου λόγου τῶν ἀρετῶν συλλογή· καθ᾽ ἥν τό γεῶδες τῶν Γραφῶν ἀποκτένεσθαι πέφυκε,

και πᾶν χοϊκόν παντελῶς ἀφανίζεσθαι κίνημα. Ἅμα γάρ τις τήν τῶν ἀρετῶν λογικῶς μετέλθοι φιλοσοφίαν, ἅμα καί τήν τῶν Γραφῶν πρός τό πνεῦμα φυσικῶς μετήνεγκεν ἐκδοχήν, ἐν καινότητι πνεύματος πρακτικῶς διά τῶν ὑψηλῶν θεωρημάτων τῷ Θεῷ λατρεύων, καί οὐ παλαιότητι γράμματος, διά τῆς κατ᾽ αἴσθησιν πρός σῶμα ταπεινοτέρας τοῦ νόμου παραδοχῆς, τροφεύς παθῶν κατά τούς Ἰουδαίους γινόμενος, καί ἁμαρτίας θεραπευτής. Πράξει γάρ χρή, διά τῶν κατά φύσιν λογισμῶν, τήν ἐμπαθῆ καί σωματικήν τοῦ νόμου διάνοιαν διαχειρίζεσθαι, καθώς ὁ τῆς Γραφῆς ὑφηγεῖται λόγος, φάσκων· Καί ἔλαβεν ὁ βασιλεύς τούς δύο υἱούς Ῥεσφᾶς θυγατρός Ἀΐα παλλακῆς τοῦ Σαούλ, τόν Ἐρμονθί καί τόν Μεμφιβοσθέ· καί τούς πέντε υἱούς τῆς Μερώβ τῆς θυγατρός Σαούλ, οὕς ἔτεκε τῷ Ἐσδριήλ· καί ἔδωκεν αὐτούς ἐν χειρί τῶν Γαβαωνιτῶν. Χείρ ἐστι τῶν Γαβαωνιτῶν, ἡ κατ᾽ ἀρετήν πρᾶξις τῶν φυσικῶν λογισμῶν, δι᾽ ἧς οἱ υἱοί Ῥεσφᾶς Ἐρμονθί καί Μεμφιβοσθέ, τουτέστιν, ἡ ἐκ τῆς ἐν μόνῃ τῇ προφορᾷ τοῦ λόγου σωματικῆς τοῦ νόμου διδαχῆς γεννωμένη τῶν παθῶν ἐνέργεια, καί ἡ τῶν λογισμῶν ἀκόλαστος κίνησις, ἀποκτένονται. Πρός δέ καί οἱ πέντε υἱοί τῆς Μερώβ, τουτέστιν, οἱ ἐκ τῆς τρυφῆς γεννώμενοι κατά τήν παρά φύσιν τῆς ἐνεργείας χρῆσιν ἀκόλαστοι πέντε τρόποι τῶν πέντε αἰσθήσεων· οὕς ἀποκτένειν ἐπιτοαυτό πέφυκεν ὡς ἐν ὄρει τῷ ὕψει τῆς πνευματικῆς θεωρίας, ἐν ἀρχῇ θερισμοῦ κριθῶν, ὅπερ ἐστίν ἐν προοιμίοις τῆς κατ᾽ ἀρετήν πράξεως, ἤ τῆς κατά φύσιν εὐσεβοῦς θεωρίας, πᾶς νοῦς κατά Θεόν ὑψηλός καί μετέωρος· κατά τό αὐτό, τήν τε τῶν παθῶν κατασφάττων ἐνέργειαν, καί τήν τῶν λογισμῶν ἄσχημον κίνησιν. Πρός δέ καί τούς κατά παράχρησιν τῆς τῶν αἰσθήσεων ἐνεργείας ἀκολάστους τρόπους.

Καί ἔπεσον, φησίν, ἐπί τό αὐτό οἱ ἑπτά, καί ἐθανατώθησαν ἐν ἀρχῇ θερισμοῦ κριθῶν. Καί ἔλαβε Ῥεσφά θυγάτηρ Ἀΐα τόν σάκκον, καί διέστρωσεν αὐτόν ἑαυτῇ ἐπί τήν πέτραν, ἕως ἔσταξεν ἐπ᾽ αὐτούς ὕδατα Θεοῦ ἐξ οὐρανοῦ. Ῥεσφά, καθώς ἔφην, ἐστίν ἑρμηνευομένη, δρόμος στόματος, ὅπερ ἐστίν ἡ κατά μόνην τοῦ λόγου προφοράν σωματική τοῦ νόμου διδαχή, ἡ μετά τόν θάνατον τῶν ἐξ αὐτῆς γεννωμένων παθῶν, καί τήν φανέρωσιν τήν ἐν ὄρει τῷ ὕψει γενομένην τῆς φυσικῆς θεωρίας ἐν τῇ τοῦ καθ᾽ ἕκαστον καρδίᾳ τῶν αὐτῇ προκατειλημμένων,

καθάπερ σάκκον τήν μετάνοιαν στρώννυσιν ἐπί τήν πέτραν (λέγω δέ τόν λόγον τῆς κατά Κύριον πίστεως), τόν ἐν πνεύματι διά τῆς (764) μετανοίας, κατά Χριστόν ἐπιμελουμένη θεσμῶν ἔχουσα κατ᾽ ὀφθαλμούς ἡμέρας καί νυκτός διά τῆς μνήμης, ὡς τέκνα, τήν ἐν σαρκί τοῦ νόμου προτέραν ἀναγωγήν, ἕως στάξουσιν ὕδατα Θεοῦ ἐξ οὐρανοῦ· τουτέστιν, ἕως καταπεμφθῶσιν αἱ θεῖαι τῶν Γραφῶν γνώσεις ἐκ τοῦ ὕψους τῆς πνευματικῆς θεωρίας, αἱ σβεστικαί μέν τῶν παθῶν, ἀνανεωτικαί δέ τῶν ἀρετῶν. Πέφυκε γάρ ἡ τοῦ νόμου μάθησις, πρός Χριστόν τήν ἀληθῆ καί στεῤῥάν πέτραν διά τῆς μετανοίας προσχωροῦσα, τόν θεῖον τῆς πνευματικῆς τῶν Γραφῶν γνώσεως ὑετόν ὑποδέχεσθαι, κατά τό πρόσταγμα τοῦ βασιλέως Δαβίδ· τουτέστι, τοῦ ἰσχυροῦ τήν ὅρασιν νοῦ. Φησί γάρ· Καί ἐποίησε [ἄλλ. ἐποίησαν] πάντα ὅσα ἐνετείλατο ὁ βασιλεύς. Καί ἐπήκουσεν ὁ Θεός τῇ γῇ μετά ταῦτα. Οὐκοῦν ἡ τῶν θείων Γραφῶν μάθησις, κατά τήν ἐντολήν Δαβίδ τοῦ βασιλέως (τουτέστι τοῦ πνευματικοῦ νόμου, ἤ τοῦ ἰσχυροῦ τήν ὅρασιν νοῦ), διά μέσης τῆς μετανοίας, ἧς ὁ σάκκος ὑπάρχει σύμβολον, κατά τήν πρᾶξιν τῶν ἀρετῶν, ἐπί τήν πέτραν, ἤγουν Χριστόν, μεταφερομένη, τόν θεῖον ἐκκαλεῖσθαι τῆς γνώσεως πέφυκεν ὑετόν· ἐπακοῦσαί τε τόν Θεόν τῇ γῇ τῆς καρδίας, εἴωθε δυσωπεῖν, καί δοῦναι θείους χαρισμάτων ὄμβρους, καί τῶν ἐν δικαιοσύνῃ καρπῶν χορηγῆσαι τήν ἀφθονίαν, καί λῦσαι τήν καθάπερ λιμόν τήν προλαβοῦσαν τῶν θείων ἀγνωσίαν, καί ποιῆσαι χώραν πλήρη τῶν πνευματικῶν ἀγαθῶν· τήν ψυχήν σίτῳ βρίθουσαν, καί οἴνῳ, καί ἐλαίῳ· τῷ μέν, ὡς λόγῳ πρακτικῆς γνώσεως στηριζομένην· τῷ δέ, ὡς θείῳ πόθῳ, καί ἀνανεωτικῷ τῆς κατ᾽ ἔφεσιν πρός Θεόν ἑνωτικῆς ζέσεως, εὐφραινομένην· τῷ δέ, ὡς λείῳ καί ὁμαλῷ, καί διαυγεῖ καί φωτιστικῷ, καί παντός γεώδους ἐλευθέρῳ κινήματος, τῆς ἀπαθείας τρόπῳ τε καί λόγῳ, τό πρόσωπον ἱλαρυνομένην τῶν ἀρετῶν.

Ἀλλά καί ἡμεῖς, κατά τόν μέγαν Δαβίδ, ἀφανίσωμεν τόν Σαούλ ἐκ παντός ὁρίου Ἰσραήλ· τουτέστι, τόν γεώδη καί σωματικόν τοῦ νόμου θεσμόν· ἤτουν τόν Ἰουδαϊκόν τῆς λατρείας τρόπον, καί τόν ἐν μόνῳ τῷ ῥητῷ πρόχειρον τῆς ὅλης γραφῆς καί σωματικώτερον νοῦν, ἐκ παντός τρόπου θεωρητικῆς μυσταγωγίας· καί μετέλθωμεν πρός τήν πνευματικήν τῶν

νοουμένων ἐκθέωσιν· καί περιποιησώμεθα τούς Γαβαωνίτας, τουτέστι, τούς κατά φύσιν τῶν ὄντων λόγους· οὕς ἀπαθεῖς διετήρησεν ὁ ἀληθινός κληροδότης τῶν θείων ἐπαγγελιῶν Ἰησοῦς· δι᾽ οὕς ἀναιρουμένους ὑπό Σαούλ, τόν θεῖον ἀνέσχε τῆς μυστικῆς γνώσεως ὑετόν ὁ Θεός· καί ἀποκτείνωμεν δι᾽ αὐτῶν τῶν Γαβαωνιτῶν, τῆς φυσικῆς δηλαδή θεωρίας, ὥσπερ ἄνδρας ἑπτά τῶν υἱῶν Σαούλ, τήν ἐμπαθῆ τοῦ νόμου, πρόσυλόν τε καί χρονικήν ἐκδοχήν, ἥν τίκτειν πέφυκεν ἡ Ῥεσφά, στόματος ὑπάρχουσα δρόμος (ὅπερ ἐστίν ἡ σωματική τοῦ νόμου μάθησις)· καί ἡ Μερώβ, πλησμονή φάρυγγος ἑρμηνευομένη, τουτέστιν, ἡ τρυφή τῆς γαστρός. Ἡ μέν τόν Μεμφιβοσθέ τίκτουσα καί τόν Ἐρμονθί (τόν μέν αἰσχύνη στόματος ἑρμηνευόμενον· τόν δέ, ἀνάθεμα αὐτῶν), ἤγουν τήν ἕξιν τῶν παθῶν καί τήν ἐνέργειαν· ἡ δέ, τούς πέντε υἱούς τῷ Ἐσδριήλ, τῷ θεωρητικῷ (765) δηλαδή τῆς ψυχῆς μέρει, τούς κατά παράχρησιν ἐμπαθεῖς πέντε τρόπους τῶν ἐν ἡμῖν αἰσθήσεων· οὕς διά τῆς φυσικῆς ἀναιροῦντες θεωρίας, ὠργισμένον τόν Θεόν ἱλεούμεθα, πρός τό πνεῦμα μετενεχθέντες ἀπό τοῦ γράμματος· καί τούς θείους ἐκκαλούμεθα τῆς γνώσεως ὄμβρους· καί τῶν ἐξ αὐτῆς δαψιλῶς τῆς δικαιοσύνης καρπῶν ἀπολαύομεν. Τό γάρ γράμμα τοῦ νόμου, καθάπερ τινά Σαούλ, ἤ τήν ἐκ τοῦ γράμματος γεννωμένην πρόσυλον ἐκδοχήν τοῖς χοϊκοῖς τήν διάνοιαν, ὡς τέκνα Σαούλ καί ἔκγονα, διά μέσης τῆς φυσικῆς θεωρίας πρός τό ὕψος τῆς πνευματικῆς μυσταγωγίας ἀναγαγόντες, πᾶν σωματικόν τοῦ νόμου καί πρόσκαιρον νόημα, καί κυριώτερον εἰπεῖν, χοϊκόν ἀποκτείνομεν, εἴπερ καί ἡμεῖς μετά τοῦ Θεοῦ τόν Σαούλ μεμισήκαμεν, καί ἐξουδενώκαμεν αὐτόν, τοῦ μή βασιλεύειν ἐπί Ἰσραήλ· ἤγουν τόν κατά σάρκα προφανῆ τῆς Γραφῆς τρόπον, τουτέστι τόν Ἰουδαϊσμόν, ἀπωσάμεθα, τοῦ μή βασιλεύειν πρός σαρκός δουλείαν τῆς ἐν ἡμῖν νοερᾶς δυνάμεως.

Δεῖ γάρ τόν Σαούλ (ἤγουν τόν σωματικόν τοῦ νόμου θεσμόν) μισηθῆναι καί ἀπωσθῆναι τῆς βασιλείας, ὡς τόν Ἀγάγ βασιλέα Ἀμαλήκ, καί τά πίονα τῶν ποιμνίων καί βουκολίων, καί τήν ἄμπελον καί τήν ἐλαίαν (τά τοῦ θυμοῦ λέγω καί τῆς ἐπιθυμίας ὑπεκκαύματα, καί τά περιποιητικά τῆς τρυφῆς αἴτια) περιποιούμενον, καί αὐτόν ζῶντα τόν Ἀγάγ πρός τήν γῆν μεταφέροντα τῆς ἐπαγγελίας (τουτέστι τόν μόσχον, ἤγουν τό

χοϊκόν φρόνημα τῆς σαρκός), εἰς τόν τῆς θείας ἐπιγνώσεως τόπον· λέγω δή τήν καρδίαν· μόσχος γάρ ὁ Ἀγάγ ἑρμηνεύεται· μόσχος ἐκεῖνος τυχόν, ὅν ὁ μωρός καί ἀσύνετος Ἰσραήλ κατά τήν ἔρημον χωνεύσας ἐθεοποίησε, καί τῆς θείας θεραπείας τήν ἡδονήν τῆς γαστρός προετίμησεν· ὅντινα μόσχον Μωϋσῆς ἀφανίζει, καί Σαμουήλ· ὁ μέν λεαίνων καί διασπείρων ὑπό τό ὕδωρ, ὁ δέ μαχαίρᾳ πνευματικῇ κατασφάττων· τουτέστιν, ἡ ζῶσα καί ἐνεργής τοῦ ἁγίου Πνεύματος χάρις (τοῦτο γάρ Μωϋσῆς), καί ἡ διά τῶν ἐντολῶν ὑπακοή τοῦ Θεοῦ· τοῦτο γάρ Σαμουήλ. Μωϋσῆς γάρ ὕδωρ ἑρμηνεύεται σπαίρων· καί Σαμουήλ ὑπακοή Θεοῦ, ὅπερ ἐστί πίστις ἀληθής, καί βίος ἔνθεος.

(768) Οὐκοῦν τό κράτος τῆς ἁμαρτίας, ἤγουν τό φρόνημα τῆς σαρκός, ἡ χάρις ἀφανίζειν πέφυκε τοῦ ἁγίου βαπτίσματος, καί ἡ κατ᾽ ἐνέργειαν ὑπακοή τῶν θείων ἐντολῶν, ἀποκτένειν τῇ μαχαίρᾳ τοῦ πνεύματος (ἤγουν τῷ ῥήματι τῆς θείας ἐν πνεύματι γνώσεως)· βοῶσα μυστικῶς πρός τό πάθος τῆς ἁμαρτίας, ὡς ὁ μέγας πρός τόν Ἀγάγ Σαμουήλ· Καθώς ἠτέκνωσε γυναῖκας ἡ μάχαιρά σου, ἀτεκνωθήσεται σήμερον ἐκ γυναικῶν ἡ μήτηρ σου. Πολλάς γάρ τό πάθος τῆς γαστριμαργίας, ὡς ἐν μαχαίρᾳ, τῷ λείῳ τῆς ἡδονῆς λογισμῷ ἠτέκνωσεν ἀρετάς. Τῆς μέν γάρ σωφροσύνης διά τῆς ἀκρασίας ἀποκτένει τά σπέρματα· τῆς δικαιοσύνης δέ διά τῆς πλεονεξίας διαφθείρει τήν ἰσονομίαν· τῆς φιλανθρωπίας δέ διά τῆς φιλαυτίας τήν ἐκ φύσεως διατέμνει συνέχειαν· καί συντόμως εἰπεῖν, πάντων τῶν κατ᾽ ἀρετήν γεννημάτων ἀναιρετικόν ἐστι τῆς γαστριμαργίας τό πάθος. Τοῦτο δέ μόνη, καθώς ἔφην, ἀναιρεῖ τό πάθος, ἥ τε τοῦ βαπτίσματος χάρις, καί ἡ καθ᾽ ὑπακοήν Θεοῦ τῶν ἐντολῶν ἀγωγή. Τόν οὖν τούτου τοῦ πάθους περιποιητικόν ἐν γράμματι νόμον μεταμελεῖται χρίσας εἰς βασιλέα τοῦ Ἰσραήλ ὁ Θεός, καί μεταφέρει τό κράτος τῆς βασιλείας, καί δίδωσι τῷ Δαβίδ (τῷ εὐαγγελίῳ δηλαδή καί πνευματικῷ νόμῳ), τουτέστι, τῷ υἱῷ Ἰεσσαί. Ἑρμηνεύεται δέ Ἰεσσαί, Θεοῦ ποίησις. Οὐκοῦν τό ἅγιον Εὐαγγέλιον, γέννημα τυγχάνει τῆς ποιήσεως, ἤγουν τῆς τοῦ Θεοῦ διά σαρκός αὐτουργίας, τῆς ἐχούσης εἰς τούς ἀπείρους αἰῶνας τήν βασιλείαν· καθ᾽ ἥν ἔχομεν ἀγαλλίασιν ἀκατάλυτον, καί τήν εὐφροσύνην ὡς ἡμέραν οὖσαν ἀνέσπερον καί ἀτελεύτητον. Φησί γάρ· Αὕτη ἡ ἡμέρα ἥν ἐποίησεν ὁ Θεός·

ἀγαλλιασώμεθα καί εὐφρανθῶμεν ἐν αὐτῇ· ἡμέρα λέγων, τήν εὐαγγελικήν χάριν, ἤ τό μυστήριον αὐτοῦ τοῦ ταύτην ποιησαμένου τήν χάριν, ἐν ᾧ βούλεται πάντας ἡμᾶς, κατά τόν θεῖον Ἀπόστολον, ὡς ἐν ἡμέρᾳ γνώσεως καί ἀληθείας εὐσχημόνως περιπατεῖν. Ἡμέρα γάρ ἀϊδίου φωτός ἐστιν ὁ Χριστός, ἐν ᾧ δεῖ πάντας τούς αὐτῷ πεπιστευκότας, διά τῆς τῶν ἀρετῶν εὐσχημοσύνης καλῶς πολιτεύεσθαι. (769) Οὗτος γάρ ἐστιν ὁ πεποιημένος ἄνευ σπορᾶς ὑπό Θεοῦ μόνος τό κατά σάρκα, καί τῶν κατά φύσιν θεσμῶν καινοτομήσας τούς νόμους, καί κατά πρόσωπον πάντων τῶν λαῶν ἡτοιμασμένος, καί φῶς εἰς ἀποκάλυψιν ἐθνῶν καί δόξαν λαοῦ Ἰσραήλ. Φῶς γάρ ἐστιν ἀληθῶς ἐθνῶν ὁ Κύριος ἡμῶν, ἀποκαλύπτων αὐτοῖς, διά τῆς ἀληθοῦς ἐπιγνώσεως, τούς τῷ ζόφῳ τῆς ἀγνοίας ἐπιμεμυκότας ὀφθαλμούς τῆς διανοίας· καί θείας ἀγωγῆς πάλιν ἑαυτόν ἑτοιμάσας τοῖς πιστοῖς λαοῖς ἀγαθόν ἀρετῆς ἐξεμπλάριον· προσώπου τοῦ κατ᾿ ἀρετήν ὑπογραμμός αὐτοῖς γενόμενος καί ὑποτύπωσις· πρός ὅν ἀφορῶντες, ὡς ἀρχηγόν τῆς σωτηρίας ἡμῶν, τάς ἀρετάς κατά μίμησιν, ὡς ἡμῖν ἐστι δυνατόν, κατορθοῦμεν διά τῆς πράξεως. Ἀλλά καί δόξα λαοῦ Ἰσραήλ αὐτός ἐστιν ὁ θεός καί Λόγος, ὡς τῷ θείῳ τῆς γνώσεως φωτί διά τῆς μυστικῆς θεωρίας καταφαιδρύνων τόν νοῦν. Ἤ τυχόν λαούς φησιν ὁ λόγος, τούς κατά φύσιν λόγους· πρόσωπον δέ τούτων, τήν ἄπταιστον δόξαν, ἧς ἑτοιμασία, φῶς πρός ἐπίγνωσιν αὐτός καθέστηκεν ὁ λόγος, ὡς κτίστης τῆς φύσεως· ἔθνη δέ, τά παρά φύσιν πάθη, ἅπερ ἀποκαλύπτει λανθάνοντα, φῶς δωρούμενος γνώσεως, καί παντελῶς ἐξωθεῖται τῆς φύσεως. Δόξα δέ γίνεται τοῦ Ἰσραήλ ὁ Λόγος, ὡς τῶν παρά φύσιν παθῶν ἀποκαθαίρων τόν νοῦν, καί τοῖς κατά φύσιν λόγοις κατακοσμῶν· πρός δέ, καί τῷ διαδήματι τῆς κατά τήν θέωσιν ἀτρεψίας ἐπισφίγγων. Δόξα γάρ ἀληθῶς ὑπάρχει τοῦ Ἰσραήλ, ἥ τε τῶν παρά φύσιν ἀπαλλαγή παθῶν, καί τῶν κατά φύσιν λόγων κατόρθωσις, καί τῶν ὑπέρ φύσιν ἐπίκτησις ἀγαθῶν. Ὁ τοῦτον τόν νοητόν Δαβίδ προσδεχόμενος, κἄν φθονῆται ὑπό τοῦ Σαούλ, ἀλλ᾿ οὐχ ἁλίσκεται· ἀλλά καί τοὐναντίον, διά πολλήν φιλανθρωπίαν ὡς ἀπαθής, καί μισούμενος θεραπεύει τῇ κιθάρᾳ τοῦ πνεύματος, τόν ἐχθρόν πονηρῷ καταπνιγόμενον πνεύματι· καί ποιεῖ σώφρονα, λύων αὐτόν, καθάπερ δαίμονος πονηροῦ, τῆς κακῆς

τοῦ χοϊκοῦ φρονήματος ἐπιληψίας. Πᾶς γάρ διά φθόνον μισῶν, καί κακῶς διαθρυλλῶν ταῖς διαβολαῖς τόν ἐν τοῖς ἀγῶσι τῶν ἀρετῶν, καί τῇ περιουσίᾳ τοῦ λόγου τῆς πνευματικῆς γνώσεως δυνατώτερον, Σαούλ ἐστι πονηρῷ καταπνιγόμενος πνεύματι, μή φέρων τό κλέος τῆς κατ᾽ ἀρετήν καί γνῶσιν εὐδαιμονίας τοῦ κρείττονος· καί διά τοῦτο πλέον μαινόμενος, ὅτι μή δύναται τόν εὐεργέτην διαχειρίσασθαι. Πολλάκις δέ καί αὐτόν ἀποπέμπεται πικρῶς τόν φίλτατον Ἰωνάθαν· τόν ἔμφυτον λέγω κατά συνείδησιν λογισμόν, τόν ἄδικον μῖσος ἐλέγχοντα, καί τοῦ μισουμένου φιλαλήθως ἀφηγούμενον τά κατορθώματα, κατά τόν πάλαι καί μάταιον ὄντως Σαούλ· πρός ὅν φησι Σαμουήλ, ὡς παραβάτην τῶν θείων ἐντολῶν· Μεματαίωταί σοι, ὅτι παρέβης τήν ἐντολήν μου, ἥν ἐνετείλατό σοι ὁ Θεός. Σαούλ, ὡς προέφην, ἐστίν, ἤ ὁ γραπτός νόμος, ἤ ὁ κατά τόν γραπτόν νόμον πολιτευόμενος λαός τῶν Ἰουδαίων. Ἀμφοτέρων γάρ οὕτω χοϊκῶς ἀλλήλοις συνπεπλεγμένων (772) ἀφίσταται τό πνεῦμα Κυρίου, ὅ ἐστιν ἡ πνευματική θεωρία καί ἡ γνῶσις, καί ἐπέρχεται πνεῦμα πονηρόν (τουτέστι, τό ὑλικόν φρόνημα), ταῖς ἀλλεπαλλήλοις τῶν ὑπό γένεσιν καί φθοράν ταραχαῖς καί δινήσεσιν, ὡς ἐπιλήπτους τῇ ἀστασίᾳ τῶν λογισμῶν καταπνίγον. Ὅ τε γάρ νόμος χοϊκῶς πρός μόνον τό γράμμα νοούμενος, ἐπίληπτός ἐστι μυρίαις δονούμενος ἐναντιώσεσι, καί μηδεμίαν ἔχων πρός ἑαυτόν συμφωνίαν· ὅ τε Ἰουδαΐζων νοῦς, τῇ ἀστάτῳ περιφορᾷ τῶν ὑλικῶν ἐπιμαινόμενος, ἀστάτως ἐξ ἀνάγκης καί αὐτός τήν οἰκείαν συμμεταβαλλομένην ἔχει διάθεσιν. Ὁπηνίκα δέ Δαβίδ, ὁ κατ᾽ ἀλήθειαν φύσει μουσικός, ὁ Κύριος ἡμῶν Ἰησοῦς, ἐπᾴσει τῷ πνεύματι τῆς μυστικῆς θεωρίας, τόν τε νόμον, καί τόν Ἰουδαῖον· τόν μέν ἀντί χοϊκοῦ ποιεῖ πνευματικόν· τόν δέ μετάγει πρός πίστιν ἐξ ἀπιστίας. Ἔστιν οὖν κατά τόν Σαούλ, ὅ τε νόμος, καί ὁ τῶν Ἰουδαίων λαός, καί ἐπίληπτος καί σώφρων. Ἐπίληπτος γάρ ὁ νόμος ἐστίν, ὡς ἔφην, χοϊκῶς λαμβανόμενος· καί ἐπίληπτος ὁ Ἰουδαῖός ἐστι, χοϊκῶς τῷ Θεῷ λατρεύειν βουλόμενος· καί πάλιν σώφρων ὁ νόμος ἐστί, πνευματικῶς νοούμενος· καί ὁ Ἰουδαῖος ὡσαύτως σώφρων ἐστίν, ἐκ τῆς σωματικῆς λατρείας ἐπί τήν πνευματικήν τοῦ Θεοῦ θεραπείαν μεταφερόμενος.

Σημειωτέον δέ, ὅτι τούς ὑπό Ἰησοῦ διασωζομένους, ἀποκτένει Σαούλ. Οὕς γάρ περιποιεῖται τό πνεῦμα τῆς Γραφῆς, ἀποκτένειν

τό γράμμα πέφυκε. Διό τοῦτον, λέγω δή τόν γραπτόν νόμον, μεταμελεῖται χρίσας βασιλεύειν τοῦ Ἰσραήλ ὁ Θεός, ὑπό Ἰουδαίων σαρκικῶς λαμβανόμενον, καί δίδωσι τῷ πνεύματι τό κράτος τῆς βασιλείας, τῷ πλησίον τοῦ γράμματος, καί ἀγαθῷ ὑπέρ τό γράμμα. Καί δώσω, φησί, τήν βασιλείαν τῷ πλησίον σου τῷ ἀγαθῷ ὑπέρ σέ. Καί γάρ ὁ Δαβίδ ἦν πλησίον τοῦ Σαούλ, οὕτω τῷ γράμματι τοῦ νόμου τό πνεῦμα σοφῶς παραπέπηγεν· ὅπερ μετά τόν θάνατον τοῦ γράμματος, πέφυκε διαφαίνεσθαι.

Παρακαλέσωμεν οὖν καί ἡμεῖς τόν νοητόν Δαβίδ, ἐπηχῆσαι τῇ κιθάρᾳ τῆς πνευματικῆς θεωρίας καί γνώσεως ἐπιληπτευόμενον τοῖς ὑλικοῖς τόν ἡμέτερον νοῦν, καί ἀπελάσαι τό πονηρόν πνεῦμα τῆς πρός αἴσθησιν ὑλικῆς περιπετείας, ἵνα δυνηθῶμεν νοῆσαι τόν νόμον πνευματικῶς, καί τόν ἐν αὐτῷ κεκρυμμένον μυστικόν λόγον εὑρεῖν, καί κτῆμα ποιήσασθαι διαρκές πρός ἐφόδιον ἀϊδίου ζωῆς· ὅπως μή τόν δεδανεισμένον ἐν γράμματι συμβολικόν ἔχωμεν νόμον, ἀποροῦντες τῆς κατά χάριν ἐν πνεύματι γνώσεως· καί μόνην στέργωμεν, ὡς μή βλέποντες, τήν περί τῶν θείων ἐρώτησιν, ἐστερημένοι τῆς τῶν μυστικῶν λογίων κατ᾽ ἀλήθειαν παμφαοῦς αὐτοψίας. Ἄμφω γάρ λέγεται Σαούλ, πρός τήν Ἑλλάδα φωνήν μεταφερόμενος. Ἑρμηνεύεται γάρ πρός τοῖς εἰρημένοις, καί δεδανεισμένος, καί ἐρώτησις· (773) ἅπερ δέ καί ὁ γραπτός ὑπάρχων καθέστηκε νόμος· τό μέν, ὡς μή οἰκειότατον κτῆμα τῆς φύσεως, καί τῇ κατ᾽ αὐτήν ὑπάρξει παντελῶς συμπαρατεινόμενος· τό δέ, ὡς περί γνῶσιν ἀληθῆ κινῶν ἡμᾶς καί πρωτότυπον σοφίαν, τούς μή νομίζοντας τήν ἐρώτησιν κατάληψιν εἶναι τῆς ζητουμένης τῶν θείων ἀρχετυπίας· ἀλλά μόνον διά τῶν ἐν νόμῳ σωματικῶν συμβόλων, ὡς δι᾽ ἐρωτήσεώς τινος πρός τήν τῶν θείων ἀγαθῶν ἐπειγομένους κατάληψιν· ἵνα παυσώμεθα τῆς κατά τήν ἐρώτησιν φροντίδος (ἐν ᾗ τυχόν ἐστι πολλάκις καί πλάνησις), ἐν τῇ τῶν ζητουμένων ἀληθείᾳ γενόμενοι, καί τῆς αὐτῶν μεταποιηθῶμεν μακαριότητος, φαινομένης ἐν ἡμῖν ἀναλλοιώτως κατά τήν μέθεξιν, καί τό κατ᾽ αὐτήν εἶδος τῆς ἡμῶν γνώρισμα ποιουμένης ὑπάρξεως· ἐν Χριστῷ Ἰησοῦ τῷ Θεῷ καί Σωτῆρι ἡμῶν, ᾧ ἡ δόξα εἰς τούς αἰῶνας. Ἀμήν.

ΣΧΟΛΙΑ.

α'. Νοῦς εἰς ἄκρον διά τῶν ἀρετῶν καθαιρόμενος, τούς τῶν ἀρετῶν πέφυκεν εἰκότως ἐκδιδάσκεσθαι λόγους· τήν ἐξ αὐτῶν θειωδῶς χαρακτηρισθεῖσαν γνῶσιν, οἰκεῖον ποιούμενος πρόσωπον. Καθ᾿ ἑαυτόν γάρ ἀνείδεός τε καί ἀχαρακτήριστος πᾶς καθέστηκε νοῦς, μορφήν ἔχων ἐπίκτητον, ἤ τήν ἐκ τῶν ἀρετῶν ὑποστᾶσαν ἐν πνεύματι γνῶσιν, ἤ τήν ἐκ τῶν παθῶν ἐπισυμβαίνουσαν ἄγνοιαν.

β'. Ὁ τήν νοῦ μορφήν τήν ἐξ ἀρετῶν ἐν πνεύματι θείαν δεξάμενος γνῶσιν, τά θεῖα λέγεται παθεῖν, ὅτι μή φύσει κατά τήν ὕπαρξιν, ἀλλά χάριτι κατά τήν μέθεξιν ταύτην προσέλαβεν. Ὁ δέ τήν ἐκ χάριτος μή δεξάμενος γνῶσιν, κἄν λέγῃ τι γνωστικόν, οὐκ οἶδε κατά τήν πεῖραν τοῦ λεγομένου τήν δύναμιν. Ψιλή γάρ μάθησις, τήν καθ᾿ ἕξιν γνῶσιν οὐ δίδωσιν.

γ'. Καλῶς κατά τόνδε τῆς Γραφῆς εἶπε τόν τόπον λαμβάνεσθαι τόν Σαούλ· διά τό κατά πολλούς ἐν ἄλλοις τόποις λαμβάνεσθαι τρόπους, πρός τήν ἐκ τῆς ἱστορίας ἀναδεικνυμένην θεωρίαν προσφυῶς ἁρμοζόμενον.

δ'. Ὥσπερ, φησίν, ὁ παλλακῇ συναπτόμενος, νόμιμον οὐ κέκτηται τόν γάμον· οὕτως ὁ σωματικῶς τήν νομικήν ἐξασκούμενος μάθησιν, νόμιμον τήν πρός αὐτήν οὐκ ἔχει συμβίωσιν· νόθα γεννῶν ἐξ αὐτῆς δόγματα, καί τῇ τῆς σαρκός ζωῇ συμφθειρόμενα.

ε'. Ὁ πρός σῶμα, φησίν, τήν Γραφικήν ἐκδεχόμενος μάθησιν, τήν κατ᾿ ἐνέργειαν ἐξ αὐτῆς ἁμαρτίαν διδάσκεται, καί τήν κατά νοῦν τῆς ἁμαρτίας μελέτην· τρυφήν, καί συνουσίας ἀκρατεῖς, καί φόνους, (776) καί πᾶσαν τοῦ Θεοῦ βδελύττεσθαι τήν κτίσιν ἐκ τοῦ γράμματος τοῦ νόμου μανθάνεται.

στ'. Θεωρία κατ᾿ ἄλλην ἐπιβολήν. Ἀνάθεμα λέγεται καί ὁ κόσμος οὗτος, ὁ καταδίκης χωρίον· ὅν γεννᾷν τῇ προσπαθείᾳ πέφυκεν, ὁ μή πρός τό πνεῦμα τοῦ νόμου κατά νοῦν διαβαίνων.

ζ'. Ὅτι πρός ὅ σχετικῶς, φησί, διακείμεθα, πρός ἐκεῖνο καί τήν κατά νοῦν μελέτην κεκτήμεθα.

η'. Κατ᾿ ἄλλην θεωρίαν, ὅτι ἀνάθεμά ἐστι, καί ἡ τῶν παθῶν ἀνείδωλος κίνησις· αἰσχύνη δέ στόματος, ἡ τό πάθος εἰδοποιοῦσα πρός αἴσθησιν τοῦ νοῦ κίνησις, καί ταῖς ἐπινοίαις ὕλην ἁρμόδιον τῷ πάθει πορίζουσα.

θ'. Κατά συναίρεσιν τάς τρεῖς θεωρίας τοῦ κειμένου ἐξέδωκεν.

ι'. Ὁ πεισθείς θείαν εἶναι διαταγήν τό σωματικῶς κατά νόμον τρυφᾷν, τήν γαστριμαργίαν ὡς Θεοῦ δῶρον λαμβάνει μετά χαρᾶς πρός συμβίωσιν· ἐξ ἧς γεννᾷ τούς μολύνοντας τῇ παραχρήσει τήν ἐνέργειαν τῶν αἰσθήσεων τρόπους.

ια'. Ἐπίτομος τῶν προθεωρηθέντων ἐπανάληψις, δι᾽ ἧς δείκνυσιν ὅτι ὁ σωματικῶς ἐκλαμβάνων τόν νόμον, τήν αὐτοῦ παλλακεύεται μάθησιν· καί γεννᾷ τήν τε τῶν παθῶν ἕξιν καί τήν ἐνέργειαν· καί ὡς θείαν εἰσοικίζεται τήν γαστριμαργίαν, πρός γένεσιν τῶν ῥυπαινόντων τῇ παραχρήσει τάς αἰσθήσεις τρόπων· εἰς ἀναίρεσιν τῶν ἐν τοῖς οὖσι φυσικῶν λόγων τε καί σπερμάτων.

ιβ'. Ὁ τοῖς συμβόλοις τοῦ νόμου, φησίν, ἐναπομένων, οὐ δύναται κατά λόγον τήν τῶν ὄντων φύσιν ὁρᾷν, καί τούς τεθέντας οὐσιωδῶς ὑπό δημιουργοῦ τοῖς οὖσι λόγους περιποιεῖσθαι, διά τό τῶν συμβόλων πρός τήν τῶν ὄντων φύσιν διάφορον.

ιγ'. Ξυλοφοροῦσι μέν οἱ λόγοι τῆς φύσεως, ὕλη πρός τήν γνῶσιν τῶν θείων γινόμενοι· ὑδροφοροῦσι δέ ῥύψιν ποιοῦντες παθῶν, καί διάδοσιν τῆς ἐν πνεύματι ζωτικῆς ἐνεργείας.

ιδ'. Ἄλλη θεωρία τῶν αὐτῶν, εἰσηγουμένη διά τῶν Γαβαωνιτῶν τήν κλῆσιν τῶν ἐθνῶν.

ιε'. Ὕλην εἶπε καί εἶδος κατά θεωρίαν τόν Ἐρμονθί καί τόν Μεμφιβοσθέ, καί πενταπλῆν παράχρησιν τῶν αἰσθήσεων, τούς πέντε τῆς Μερώβ υἱούς· οὕς ἀλλήλοις συνάψας, ἤγουν ὕλῃ καί εἴδει προσπλέξας τήν αἴσθησιν διά τήν πρός σάρκα τοῦ νόμου σύστασιν, ὁ μόνον τόν νοῦν περιγράφων τῷ γράμματι, τό μέν σαρκικόν πάθος ἀποτελεῖ· τούς δέ φυσικούς διαφθείρει λόγους.

ιστ'. Ὅτι πάθος καί φύσις κατά τόν τοῦ εἶναι λόγον, οὐδαμῶς ἀλλήλοις συνυπάρχουσι.

ιζ'. Ὁ μή πιστεύων, φησί, τήν Γραφήν εἶναι πνευματικήν, τήν οἰκείαν κατά τήνγνῶσιν πενίαν οὐκ αἰσθάνεται.

ιη'. Ὅταν, φησίν, ὁ Δαβίδ εἰς τόν νόμον λαμβάνεται, κατ᾽ Ἰουδαίους, τό γράμμα δηλῶν, ἑρμηνεύεται ἐξουδένωσις, διά τήν πρός σάρκα τῶν θείων νομίμων παράδοσιν· κατά δέ Χριστιανούς

τό πνεῦμα (777) σημαίνων, ἑρμηνεύεται ἰσχυρός ὁράσει, διά τήν κατά νοῦν θεωρίαν τῆς γνώσεως.

ιθ'. Ψυχήν τῆς Γραφῆς εἶπε, τό πνεῦμα· σῶμα δέ, τό γράμμα.

κ'. Τούς τρεῖς ἐνιαυτούς λέγει, τούς τρεῖς νόμους, τόν τε γραπτόν, καί τόν φυσικόν, καί τόν χάριτος, ἐχομένους ἀλλήλων. Ὁ τοίνυν τόν γραπτόν νόμον λαμβάνων σωματικῶς, ἀρεταῖς τήν ψυχήν οὐ διατρέφει· καί ὁ τοῖς λόγοις τῶν ὄντων οὐκ ἐπιβάλλων, τῇ ποικίλῃ τοῦ Θεοῦ σοφίᾳ τόν νοῦν οὐχ ἑστιᾷ φιλοτίμως· καί ὁ τό μέγα τῆς καινῆς χάριτος μή γινώσκων μυστήριον, τῇ ἐλπίδι τῆς μελλούσης θεώσεως οὐκ ἀγάλλεται. Οὐκοῦν ἡ ἔλλειψις τῆς κατά τόν γραπτόν νόμον πνευματικῆς θεωρίας ἔχει παρεπομένην αὐτῇ τήν ἔνδειαν τῆς κατά τόν φυσικόν νόμον νοουμένης ποικίλης σοφίας τοῦ Θεοῦ, ἐφεπομένην ἔχουσαν τῆς κατα τό καινόν μυστήριον χάριτι δοθησομένης θεώσεως πάντως τήν ἄγνοιαν.

κα'. Ὁ πνευματικῶς μή νοῶν τόν νόμον, κἄν ἀποθανόντα ἔχῃ τόν νόμον διά τό μή λατρεύειν σωματικῶς, ἀλλά τά χαμαίζηλα ἔχει τοῦ νόμου νοήματα· τά τέκνα τοῦ Σαούλ περιέπει καί τά ἔκγονα· διό τῷ λιμῷ τῆς γνώσεως βασανίζεται.

κβ'. Ὥσπερ τό πρόσωπον χαρακτηριστικόν ἐστι τοῦ καθ᾽ ἕκαστον· οὕτω καί ἡ πνευματική γνῶσις ἐμφατικῶς χαρακτηρίζει τό θεῖον· ἥν ὁ ζητῶν, λέγεται ζητεῖν τό πρόσωπον Κυρίου.

κγ'. Ὡς ἰσχυρός ὁράσει, καί νοῦς διορατικός ὁ Δαβίδ ἑρμηνεύεται.

κδ'. Ὁ κατασαρκούμενος κατά τό γράμμα τοῦ νόμου ταῖς ἐναίμοις θυσίαις, ποθουμένην ἄγνοιαν ἔχει, πρός μόνην σαρκός ἡδονήν τήν ἐντολήν ἐκδεχόμενος.

κε'. Ὁ μέν σωματικῶς, φησί, κατά νόμον λατρεύων, καθάπερ ὕλην γεννᾷ τήν κατ᾽ ἐνέργειαν ἁμαρτίαν· καί ὡς εἶδος, τήν ἐπ᾽ αὐτῇ κατά νοῦν συγκατάθεσιν ταῖς προσφόροις ἡδοναῖς τῶν αἰσθήσεων ὑλικῶς διαπλάττεται. Ὁ δέ πνευματικῶς τήν Γραφήν ἐκδεχόμενος, ὡς μέν ὕλην, τήν ἐνέργειαν· ὡς εἶδος δέ, τῆς ἁμαρτίας τήν συγκατάθεσιν μετά τῶν κατά παράχρησιν πρός ἡδονήν τῆς αἰσθήσεως τρόπων, ὡς υἱούς καί υἱωνούς τοῦ νομικοῦ γράμματος θανατοῖ διά τῶν φυσικῶν λογισμῶν ἐν τῷ ὕψει τῆς θεωρίας.

κστ'. Ὅτι χωρίς φυσικῆς θεωρίας, οὐδείς τήν πρός τά θεῖα τῶν νομικῶν συμβόλων ἀπέμφασιν διαγινώσκει.

κζ'. Τό ἐξηλιάσαι νενόηκεν, ἀντί τοῦ φανερῶσαι κατά τό ὕψος τῆς θεωρίας τό γράμμα τοῦ νόμου νεκρόν, διά τῆς ἐν πνεύματι γνώσεως.

κη'. Ὅριον Ἰσραήλ νενόηκε, πάντα λόγον τε καί τρόπον πνευματικῆς θεωρίας· ἐν ᾧ στῆναι οὐ δύναται παντελῶς ἡ σωματική τοῦ νόμου παράδοσις.

κθ'. Τό μέν πνεῦμα, φησί, ζωῆς ὑπάρχει παρεκτικόν· τό δέ γράμμα, ζωῆς ἐστιν ἀφαιρετικόν. Οὐκοῦν οὐ δύναται καί τό γράμμα πράττειν κατά τό (780) αὐτό, καί τό πνεῦμα· ὥσπερ οὐδέ τό ζωοποιόν τῷ φθοροποιῷ συνυπάρχει.

λ'. Φυσικόν ἡ ἀκροβυστία, φησί· πᾶν δέ φυσικόν, θείας ἔργον δημιουργίας ἐστίν. Ἔστι δέ θείας ἔργον δημιουργίας καί λίαν καλόν, κατά τήν φάσκουσαν φωνήν· Εἶδεν ὁ Θεός πάντα ὅσα ἐποίησε, καί ἰδού καλά λίαν. Ὁ δέ νόμος, ὡς ἀκάθαρτον περιαιρεῖσθαι κελεύων τήν ἀκροβυστίαν διά περιτομῆς, τόν Θεόν εἰσάγει διά τέχνης τό οἰκεῖον διορθούμενον ἔργον· ὅπερ καί ἐννοεῖν ἀσεβέστατον. Οὐκοῦν ὁ τοῖς συμβόλοις τοῦ νόμου φυσικῶς ἐπιβάλλων, οἶδεν ὡς οὐ τήν φύσιν ὁ Θεός διορθοῦται διά τῆς τέχνης, ἀλλά τό ἐπιπειθές λόγῳ τῆς ψυχῆς παθητικόν περιτέμνεσθαι κελεύει, τό διά τοῦ σωματικοῦ μορίου τυπικῶς δηλούμενον· ὅπερ γνῶσις διά τῆς κατά τήν πρᾶξιν ἀνδρείας γνώμης ἀποτίθεσθαι πέφυκεν. Ὁ γάρ περιτέμνων ἱερεύς, σημαίνει τήν γνῶσιν, τήν ἔχουσαν καθάπερ σίδηρον κατά τοῦ πάθους τήν τοῦ λόγου κατά τήν πρᾶξιν ἀνδρείαν. Ἀφανίζεται γοῦν ἡ σωματική τοῦ νόμου παράδοσις, πλεονεκτοῦντος τό γράμμα τοῦ πνεύματος.

λα'. Ὅρος τῆς κατά περιτομήν μυστικῆς θεωρίας.

λβ'. Ὅρος τῆς κατά Σάββατον μυστικῆς νομοθεσίας, ἐν ᾧ, τί τό Σάββατόν ἐστι, παρίστησι μυστικῶς, καί τίς ὁ κατ᾽ αὐτό πνευματικός λόγος ἐστίν, ὅτι παθῶν καί τῆς περί τήν φύσιν τῶν ὄντων τοῦ νοῦ κινήσεώς ἐστιν ἀνάπαυσις.

λγ'. Θεόν δῆλον ὅτι.

λδ'. Τί σημαίνουσιν αἱ νεομηνίαι.

λε'. Ὅρος τοῦ στεφάνου τῆς χρηστότητος.

λστ'. Ἄλλος ὅρος τοῦ αὐτοῦ μυστικώτερος.

λζ'. Ἐνταῦθα τήν ἐγκράτειαν ἔργον εἶναι λέγει τῆς Προνοίας, ὡς τῶν γνωμικῶν καθαρτικήν παθῶν· τήν ὑπομονήν δέ τῆς κρίσεως εἶναι κατόρθωμά φησιν, ὡς τοῖς ἀκουσίοις ἀντιτασσομένην πειρασμοῖς.

λη'. Πρώτην ἑορτήν, τό Πάσχα λέγει.

λθ'. Δευτέραν ἑορτήν λέγει τήν Πεντηκοστήν.

μ'. Τρίτην λέγει, τήν ἐν ἑβδόμῳ μηνί, τήν τοῦ Ἱλασμοῦ.

μα'. Σκόπει, πῶς ὁ νόμος ἀπόλλυσι τούς νοοῦντας αὐτόν σωματικῶς, τῇ κτίσει λατρεύειν παρά τόν κτίσαντα πείθων· καί ἡγεῖσθαι φύσει σεπτά τά δι᾽ αὐτούς γεγονότα, τόν δι᾽ ὅν αὐτοί γεγόνασιν ἀγνοήσαντας.

μβ'. Πῶς ἐστι Σάββατον ὁ Θεός.

μγ'. Πῶς ὁ Θεός καί Πάσχα ἐστί μυστικόν.

μδ'. Μυστήριον τῆς κατά τήν Πεντηκοστήν ἑορτῆς, ἐν ᾧ μυστικῶς τήν τῶν δηλουμένων πνευματικήν ἐμυσταγώγησε δύναμιν, τόν Θεόν Πεντηκοστήν προσαγορεύσας. Ὡς γάρ ἡ μονάς στάσιμος μένουσα μετά (781) τήν εἰς ἑαυτήν ἑβδοματικήν τῆς ἑβδομάδος συνέλιξιν, ἀποτελοῦσα τήν Πεντηκοστήν· καί πάλιν ταῖς εἰς αὐτήν προσόδοις γινομένη δεκάς διά πεντάδος ἰσοπλασιασθείσης αὐτῇ ποιοῦσα τήν Πεντηκοστήν, ἀρχή καί τέλος ἐστί τῶν ἑαυτῆς· τό μέν, ὡς πρό παντός ποσοῦ· τό δέ, ὡς ὑπέρ ποσόν· οὕτω καί ὁ Θεός, ᾧ τήν μονάδα κατ᾽ εἰκασίαν τυπικήν ἀναλογεῖν ἔφησεν, ἀρχή καί τέλος ἐστί τῶν ὄντων, καί λόγος, ᾧ τά πάντα συνέστηκεν· ἀρχή μέν, ὅτι πρό πάσης οὐσίας ἐστί καί κινήσεως· τέλος δέ ὅτι ὑπέρ πᾶσαν οὐσίαν καί κίνησιν· λόγος δέ, ὅτι πάντων κατ᾽ αἰτίαν προνοητικός ἐστιν, ὡς πρός ὑποκείμενον εἶδος συνοχή, καθ᾽ ἥν τῶν ὄντων ἕκαστον ἔχει τήν ἐν τῷ ἑαυτοῦ λόγῳ διαμονήν. Ὅταν οὖν λάβωσι πέρας οἱ χρόνοι καί οἱ αἰῶνες, οἷς ἀναλογεῖν τήν ἑβδομάδα φησίν, αὐτός ἔσται τότε μονώτατος ὁ Θεός, δίχα τῆς τῶν οὐκ ἄνευ, τουτέστι, τόπων καί χρόνων μεσιτείας, συγκρατῶν δι᾽ ἑαυτοῦ καθ᾽ ἕνωσιν ἀληθῆ τῶν ὄντων ἐν τοῖς σωζομένοις ὕπαρξιν· ἤγουν τήν φύσιν τήν γενητήν, ἥν τῇ πεντάδι παρείκασεν, οὐ μόνον διά τάς αἰσθήσεις, αἷς ὑποπίπτειν πέφυκεν, ἀλλά διά τήν καθολικήν ἐπιστήμην, ἥτις ἐν τῇ περιλήψει τῆς τῶν νοερῶν τε καί λογικῶν, αἰσθητικῶν τε καί ζώντων, καί ὄντων ἀπταίστου καθέστηκε γνώσεως. Οὐκοῦν παύσεται ποτε, τῆς τε κατά τόπον στάσεως, καί τῆς

κατά χρόνον κινήσεως, ὡς ὑπέρ τά δι᾽ αὐτήν γεγονότα (τουτέστι, τόπον καί χρόνον) διά τῆς πρός τόν Θεόν, δι᾽ ὅν καί γέγονεν, ἀληθοῦς συναφείας ἐν τοῖς σωζομένοις γενομένη τῶν ὄντων ἡ φύσις. Αὐτόν γάρ τόν Θεόν, κατά τόν τῆς Προνοίας λόγον, τῇ δεκάδι τῶν ἐντολῶν ἴδιον ποιησαμένη ποιόν (τουτέστι, τῆς ἐκ χάριτος κατά τήν θέωσιν ἰδιότητος γνώρισμα), τῆς τε κατά τήν στάσιν ἐν τόπῳ περιγραφῆς, καί τῆς ἐν χρόνῳ κατά τήν κίνησιν ἐλευθερωθήσεται στάσιν ἀεικίνητον λαβοῦσα, τήν ἀπέραντον τῶν θείων ἀπόλαυσιν, καί κίνησιν στάσιμον, τήν ἐπ᾽ αὐτοῖς ἀκόρεστον ὄρεξιν.

με'. Τῷ ἑβδόμῳ μηνί τρεῖς εἰσιν ἑορταί· σαλπίγγων καί ἱλασμοῦ καί σκηνοπηγίας· ὧν ἡ μέν σάλπιγξ, νόμου καί προφητῶν, καί τῆς ἐξ αὐτῶν κηρυττομένης γνώσεως τύπος ἐστίν, ὁ δέ ἱλασμός, τῆς τοῦ Θεοῦ πρός τόν ἄνθρωπον διά σαρκώσεως σύμβολον ὑπάρχει καταλλαγῆς. Ὁ γάρ ὑποδύς ἑκουσίως τήν τοῦ κατακριθέντος κατάκρισιν, διελύσατο τήν ποτε πρός αὐτόν κυρωθεῖσαν ἔχθραν. Ἡ δέ σκηνοπηγία, προτύπωσίς ἐστιν ἀναστάσεως, καί τῆς πάντων πρός ἀτρεψίαν μεταποιήσεως.

μστ'. Ὁ ψιλαῖς ταῖς ἐναίμοις χαίρων θυσίαις, φησί, περί τά πάθη σπουδάζειν ὡς ἐμπαθής παρασκευάζει τούς θύοντας· φιλεῖ γάρ χαίρειν τό γνησίως σέβον, οἷς χαίρει τό προσκυνούμενον.

μζ'. Ὅτι θυσίας οἶδεν ὁ λόγος, φησί, τήν τῶν παθῶν σφαγήν, καί τήν τῶν φυσικῶν δυνάμεων προσαγωγήν· ὧν τοῦ μέν λόγου τύπος ἐστίν ὁ κριός· (784) τοῦ δέ θυμοῦ φέρει σύμβολον, ὁ ταῦρος· τῆς δέ ἐπιθυμίας, ἡ αἴξ ὑπάρχει δήλωσις.

μη'. Ὁ χοϊκός δῆλον ὅτι νοῦς τῆς Γραφῆς, κρατῶν τῆς ψυχῆς, τούς φυσικούς ἀποβάλλεται λόγους, τῇ παραχρήσει τῶν κατά φύσιν δυνάμεων αὐτούς ἐξαφανίζων.

μθ'. Ἅμα τις, φησί, παύσηται κατ᾽ αἴσθησιν πρός σῶμα τήν Γραφήν ἐκδεχόμενος, ἅμα καί πρός πνεῦμα κατά νοῦν διά μέσης ἀνατρέχει τῆς φύσεως, ἐκεῖνα πράττων πνευματικῶς, ἅπερ ὁ Ἰουδαῖος ἐπιτελῶν ἔχει τόν Θεόν ὀργιζόμενον.

ν'. Τίς ἐστιν χείρ τῶν Γαβαωνιτῶν, ᾗ παραδίδωσι Δαβίδ τούς ἐκ σπέρματος Σαούλ.

να'. Τόν ἐξηλιασμόν εἶναι λέγει, τήν φανέρωσιν, ἥν τά πάθη πάσχουσιν, ὑπό τῶν ὑψηλῶν τῆς φύσεως λογισμῶν κατά τήν ὑψηλήν θεωρίαν θριαμβευόμενα.

νβ'. Ἡ πρός σῶμα τοῦ νόμου διδαχή, φησί, κατ᾽ ὀφθαλμούς ἔχουσα διά μετανοίας νεκρά τά σωματικά τοῦ νόμου νοήματα, τῷ κατά Χριστόν λόγῳ παρακαθημένη, δίκην ὑετῶν τούς οὐρανίου δέχεται τῆς γνώσεως φωτισμούς.

νγ'. Σίτῳ δῆλον ὅτι.

νδ'. Οἴνῳ δῆλον ὅτι.

νε'. Ἐλαίῳ δῆλον ὅτι.

νστ'. Τόν σῖτον ἔφη ψυχῆς εἶναι στήριγμα, ὡς γνῶσιν ὄντα πνευματικήν· τόν οἶνον δέ, καρδίας εὐφραντικόν, ὡς τῆς πρός Θεόν ἐρωτικῆς ἑνώσεως ποιητικόν· τό δέ ἔλαιον, προσώπου πληρωτικόν ἱλαρότητος εἴρηκεν, ὡς τῆς λαμπρυνούσης τόν νοῦν κατά τήν ἀπάθειαν πνευματικῆς χάριτος χαρακτηριστικόν.

νζ'. Ὁ Ἀμαλήκ ἐστιν ἡ γαστριμαργία· ταύτης ἐστί βασιλεύς, τό φρόνημα τό χοϊκόν· τούτου βουκόλια ἐστι καί ποίμνια, αἱ θρεπτικαί τῶν παθῶν ὕλαι· ἄμπελος δέ, ἡ προπετής τοῦ λογισμοῦ κίνησις· ἐλαία δέ, ἡ καθ᾽ ἡδονήν ἐκπυρωτική τῆς ἐπιθυμίας λειότης, ἅπερ μεταφέρει ὡς εἰς γῆν ἁγίαν, τήν ἕξιν τῆς θεοσεβείας, ὁ τῷ σωματικῷ τοῦ νόμου παρακαθήμενος· ὑπέρ ὧν καθάπερ μισθόν δέχεται τήν θείαν ἀποστροφήν.

νη'. Μωρός ὡς ἄθεος ἐκλήθη ὁ τῶν Ἰουδαίων λαός· ἀσύνετος δέ, ὡς κακοπράττων, ὅπερ ἐστίν ἀσεβής καί ἁμαρτωλός.

νθ'. Τό τῆς γαστριμαργίας πάθος, φησί, τά θεῖα τῶν ἀρετῶν ἀποκτένειν γεννήματα πέφυκε· αὐτό δέ, ἥ τε χάρις τῆς πίστεως, καί ἡ ὑπακοή τῶν θείων ἐντολῶν, διά τοῦ κατά τήν γνῶσιν ἀποκτένει λόγου.

ξ'. Πῶς ἐστι φῶς.

ξα'. Πῶς ἐστιν ἑτοιμασία κατά πρόσωπον πάντων τῶν λαῶν ὁ Κύριος.

ξβ'. Πῶς ἐστι καί δόξα τοῦ Ἰσραήλ ὁ Κύριος.

ξγ'. Κατ᾽ ἄλλην θεωρίαν, τίνες οἱ λαοί, καί τίς ἡ κατά πρόσωπον αὐτῶν ἑτοιμασία τοῦ λαοῦ.

ξδ'. Τίνα πάλιν τά ἔθνη τυγχάνουσιν, ἅπερ ἀποκαλύπτει παραγινόμενος ὁ Λόγος.

ξε'. (785) Πῶς δόξα λέγεται πάλιν τοῦ Ἰσραήλ ὁ Λόγος.

ξστ'. Ἅμα, φησίν, ἀποκτείνει τις τόν ἐν τῷ γράμματι τοῦ νόμου σωματικόν νοῦν, βασιλεύοντα δέχεται τόν ἐν τῷ πνεύματι λόγον.

ξζ'. Τόν Δαβίδ ἔλαβε καί εἰς τόν Κύριον, καί εἰς τό Εὐαγγέλιον, καί εἰς τόν πνευματικόν νόμον· καί εἰς τήν γνῶσιν, καί εἰς τήν θεωρίαν, καί εἰς τήν λεγομένην πρᾶξιν, καί εἰς τόν νέον λαόν· καί κατά πολλούς θεωρίας τρόπους, προσφόρως τοῖς τόποις πρός τήν ὑποκειμένην ἥρμοσε χρείαν.

ξη'. Ὁ τούς τύπους ἀλλά μή τά ἀρχέτυπα τῶν μυστηρίων ἔχων, καί τήν ἐρώτησιν, ἀλλά μή τήν γνῶσιν τῶν ἐν πνεύματι φωτισμῶν, εἰληφώς δάνειον, τό ὁμολογούμενον τοῖς προειρημένοις, τήν κατ᾽ αἴσθησιν ἐν τοῖς συμβόλοις τοῦ νόμου πεῖραν· κατά ψυχήν λιμώττων τοῦ πνεύματος, καί τήν ὥσπερ ὁδηγίαν ἐρώτησιν τῆς κατά ἀλήθειαν γνώσεως μυωπάζων.

ξη'. Μεταξυλογία ἐστί, τό ἐν ᾗ τυχόν ἐστι παλλάκις καί πλάνησις.

ο'. Μακαριότητος δῆλον ὅτι, τούς κατά μέθεξιν αὐτῆς ἀξιωθέντας χαρακτηριζούσης, καί ἐξ αὐτῆς γνωρίμους αὐτούς καθιστῶσα.

## ΠΕΥΣΕΙΣ, ΚΑΙ ΑΠΟΚΡΙΣΕΙΣ ΚΑΙ ΕΡΩΤΗΣΕΙΣ ΚΑΙ ΕΚΛΟΓΑΙ

διαφόρων κεφαλαίων ἀπορουμένων (786)

### *ΕΡΩΤΗΣΙΣ Α'.*

***Τίνες ἀρεταί ψυχῆς, καί τίνες σώματος;***

Ἀπόκρισις.

Ἀρεταί ψυχῆς εἰσιν αὗται· ἀγάπη, ταπείνωσις, πραΰτης, μακροθυμία, ἀνεξικακία, ἀμνησικακία, ἀοργησία, τό ἄθυμον, τό ἄφθονον, τό ἄκριτον, τό ἀκενόδοξον, ἐλεημοσύνη, σωφροσύνη, ἀφιλαργυρία, συμπάθεια, ἄτυφον, ἀνυπερήφανον, κατανυκτικόν. Ἀρεταί δέ σώματός εἰσιν αὗται· νηστεία, χαμευνία, ἀγρυπνία, ἐγκράτεια, ἀκτημοσύνη, τό ἀπερίσπαστον.

***(788) ΕΡΩΤΗΣΙΣ Β΄.***

***Τί ἐστι τό ἐν τῷ Ἀποστόλῳ εἰρημένον· " Ψαλῶ τῷ πνεύματι, ψαλῶ δέ καί τῷ νοΐ. "***

Ἀπόκρισις.

Ψάλλει τις τῷ πνεύματι, ὅταν μόνον τήν προφοράν τῶν ψαλλομένων διά γλώσσης φέρει. Ψάλλει δέ τῷ νοΐ, ὅταν τήν δύναμιν τῶν ψαλλομένων γινώσκων, τῇ θεωρίᾳ εὐφραίνεται.

***ΕΡΩΤΗΣΙΣ Γ΄.***

***Τί ἐστιν; " Ἐν ἀνομίαις συνελήφθην, καί ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου. "***

Ἀπόκρισις.

Ἐπειδή ὁ προηγούμενος σκοπός τοῦ Θεοῦ ἦν, τό μή διά γάμου γεννᾶσθαι ἡμᾶς ἐκ φθορᾶς· ἡ δέ παράβασις τῆς ἐντολῆς τόν γάμον εἰσήγαγε διά τό ἀνομῆσαι τόν Ἀδάμ· τουτέστιν ἀθετῆσαι τόν ἐκ Θεοῦ δοθέντα αὐτῷ νόμον. Πάντες οὖν οἱ ἐξ Ἀδάμ γεννώμενοι, ἐν ἀνομίαις συλλαμβάνονται, ὑποπίπτοντες τῇ τοῦ προπάτορος καταδίκῃ. Τό δέ, Καί ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου, σημαίνει, ὅτι ἡ Εὔα ἡ πάντων ἡμῶν μήτηρ πρώτη, ἐκίσσησε τήν ἁμαρτίαν ὥσπερ ὀργῶσα τήν ἡδονήν. Διά τοῦτο καί ἡμεῖς, τῇ τῆς μητρός ὑποπίπτοντες καταδίκῃ, κισσᾶσθαι λέγομεν ἐν ἁμαρτίαις.

***ΕΡΩΤΗΣΙΣ Δ΄.***

***Τί ἐστι τό παρά τῷ Ἀποστόλῳ λεγόμενον. "Ἀνάθεμα εἶναι ἀπό Χριστοῦ ὑπέρ τῶν συγγενῶν μου."***

Ἀπόκρισις.

Ηὐχόμην, φησί, παραδοθῆναι ἀπό τοῦ Χριστοῦ τῷ διαβόλῳ, (789) ὥστε μαστιγωθῆναι, καί τάς ὑπέρ τοῦ Ἰσραήλ κολάσεις ὑπομεῖναι· ἅσπερ κατά τό δίκαιον ἐχρεώστουν ὑπέρ τῆς εἰς Θεόν ἀπιστίας, μόνον ἵνα σωθῶσι· καθ᾽ ὅν τρόπον καί ὁ Κύριος παρέδωκεν ἑαυτόν, καί γέγονε ὑπέρ ἡμῶν κατάρα.

*ΕΡΩΤΗΣΙΣ Ε'.*

***Κατά πόσους τρόπους ἐξαμαρτάνει ὁ ἄνθρωπος.***

Ἀπόκρισις.

Οἶμαι κατά τέσσαρας τρόπους ἁμαρτάνειν τόν ἄνθρωπον· κατά συναρπαγήν, κατά ἀπάτην, κατά ἄγνοιαν, κατά διάθεσιν. Καί αἱ μέν πρῶται τρεῖς, εὐχερῶς εἰς ἐπίγνωσιν καί μετάνοιαν ἔρχονται· ὁ δέ ἐκ διαθέσεως ἁμαρτάνων, καί μήτε τῇ πείρᾳ μήτε τῷ χρόνῳ εἰς μετάνοιαν ἐρχόμενος, ἀνήκεστον ἔχει τήν κόλασιν.

*ΕΡΩΤΗΣΙΣ Στ'.*

***Τί δηλοῖ ἐν τῷ Εὐαγγελίῳ ὁ Κύριος λέγων; "Δύο στρουθία ἀσσαρίου πωλεῖται. "***

Απόκρισις.

Φασί τινές τό ἀσσάριον δεκάνουμον εἶναι. Δηλοῦται δέ διά τοῦ δέκα, τοῦ ἰῶτα γράμματος· ἀρχή δέ ἐστι τοῦτο τοῦ ὀνόματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἐξαγοράζεται οὖν διά τοῦ ὀνόματος τοῦ Κυρίου ὁ παλαιός καί ὁ νέος λαός· καί ὁ ἔσω καί ὁ ἔξω ἄνθρωπος.

*ΕΡΩΤΗΣΙΣ Ζ'.*

***Τί ἐστι τό ὑπό Ἐλισσαίου ἀναλαμβανόμενον· τῷ Ἡλιοῦ ῥηθέν· "Ποῦ ὁ Θεός Ἀφφοῦ;"***

Ἀπόκρισις.

Κατά τρεῖς ἐπιβολάς ἑρμηνεύεται, ἤ, Ποῦ ὁ Θεός τοῦ Πατρός μου· ἤ, Ποῦ ὁ Θεός τοῦ μεγάλου μου· ἤ, Ποῦ ὁ Θεός τοῦ κρυβέντος·

***(792) ΕΡΩΤΗΣΙΣΙ Η΄ .***

***Κατά πόσους τρόπους αἱ ἀλληγορίαι· καί τί ἐστι τροπολογία;***

Ἀπόκρισις.

Ἀλληγορία ἐστίν ἡ ἐπ᾽ ἀψύχων· οἷον, ὀρέων, βουνῶν, δένδρων, καί τῶν λοιπῶν· τροπολογία δέ ἐστιν, ἡ ἐπί τῶν ἡμετέρων μελῶν, οἷον κεφαλῆς, ὀφθαλμῶν, καί τῶν λοιπῶν. Τροπολογία γάρ, ἀντί τοῦ τρέπεσθαι λέγεται.

***ΕΡΩΤΗΣΙΣ Θ΄.***

***Τί ἐστι τό ἐν τῷ Ψαλμῷ εἰρημένον; "Καθήμενος κατά τοῦ ἀδελφοῦ σου κατελάλεις· καί κατά τοῦ υἱοῦ τῆς μητρός σου ἐτίθεις σκάνδαλον. "***

Ἀπόκρισις.

Ὁ τήν τοῦ ὁμοπίστου πρᾶξιν κακηγορῶν, καί ὥσπερ ἐγκαθήμενος τῇ τούτου λοιδορίᾳ, οὗτος εἰκότως λέγεται καί τοῦ ἀδελφοῦ καταλαλεῖν· ὁ δέ τόν τῇ σοφίᾳ κοσμούμενον, φθόνῳ φερόμενος, ἐνδιαβάλλων, καί πάντας σκανδαλίζων, οὗτός ἐστιν ὁ τιθείς τῷ υἱῷ τῆς μητρός σκάνδαλον.

***ΕΡΩΤΗΣΙΣ Ι΄.***

***Ἐπειδή ἐν τῷ ἁγίῳ Διαδόχῳ ἐν τῷ ἑκατοστῷ κεφαλαίῳ γέγραπται, Κριθήσεσθαί τινας διά πυρός καί καθαίρεσθαι ἐν τῷ μέλλοντι αἰῶνι, παρακαλῶ ἐκκαλυφθῆναι διά τῆς σαφηνείας τόν σκοπόν τοῦ Πατρός.***

Ἀπόκρισις.

Οἱ τό τέλειον τῆς ἀγάπης κεκτημένοι πρός τόν Θεόν, καί τό πτερόν τῆς ψυχῆς διά τῶν ἀρετῶν μετεωρίσαντες, κατά τόν Ἀπόστολον, ἐν νεφέλαις ἁρπάζονται, καί εἰς κρίσιν οὐκ ἔρχονται. Οἱ δέ γε μή πάντη τό τέλειον κτησάμενοι, ἀλλ᾽ ἁμαρτήματα καί κατορθώματα κεκτημένοι, οὗτοι ἐν τῷ δικαστηρίῳ τῆς κρίσεως ἔρχονται, κἀκεῖ διά τῆς τῶν ἀγαθῶν, καί φαύλων πράξεως ἀντεξετάσεως οἱονεί

πυρούμενοι, (793) εἴπερ ἡ τῶν ἀγαθῶν πλάστιγξ ἐπιβαρήση, καθαίρονται τῆς κολάσεως.

***ΕΡΩΤΗΣΙΣ ΙΑ΄.***

***Περί διαφόρων δικαιοσυνῶν.***

Ἀπόκρισις.

Τρεῖς δικαιοσύνας οἱ τά θεῖα σοφοί λέγουσιν εἶναι, ἀνθρωπίνην, ἀγγελικήν καί θείαν. Καί τήν μέν ἀνθρωπίνην φασί, τήν ἐν τοῖς αἰσθητοῖς τοῦ κόσμου τούτου ἰσονομίαν τε καί εὐγνωμοσύνην· τήν ἀγγελικήν δέ, τῆς θείας γνώσεως ἄφθονον μετάδοσιν· τήν δέ θείαν δικαιοσύνην ὁρίζονται, τό πάσχειν ὑπέρ τῶν ἁμαρτανόντων.

***ΕΡΩΤΗΣΙΣ ΙΒ΄.***

***Τίνος χάριν ἐπιτιμήσας ὁ Κύριος τῷ Πέτρῳ, εἴρηκεν αὐτῷ, Σατανᾶ;***

Ἀπόκρισις.

Οὐχ ὥς τινες νομίζουσι τόν Πέτρον ἀπεκάλει Σατανᾶν ὑβριστικῶς ὁ Κύριος· ἀλλ᾿ ἐπειδή αἱ τοῦ Κυρίου στερήσεις ἡμῖν ἕξεις ἐγένοντο· οἷον, ὁ αὐτοῦ θάνατος, ἡμῖν ζωή γέγονεν· ἡ αὐτοῦ ἀτιμία, ἡμῖν ἐγένετο δόξα. Τοῦτο δέ ἀγνοῶν ὁ ἀπόστολος Πέτρος, τοῦ Κυρίου λέγοντος, μέλλειν πάσχειν αὐτόν, ὑπελάμβανε τῇ φύσει τῶν πραγμάτων ἑπόμενος, ὡς ἀδύνατόν ἐστι τήν Ζωήν ἀποθνήσκειν, ἤ τήν τοσαύτην δόξαν ἀτιμασθῆναι. Ὁ οὖν Κύριος τήν ὑπόνοιαν ταύτην ἀναιρῶν, ὡς οὐ δεῖ φύσεως ἀκολουθίαν ἐν τοῖς ὑπέρ φύσιν ἐπιζητεῖν, διά τῶν ἐναντίων ταῦτα ποιῆσαι βεβούλευται· διά θανάτου, ζωήν· δι᾿ ἀτιμίας, δόξαν. Ὡς οὖν [ἴσ. πρός] ἀντικειμένην αὐτοῦ τήν ὑπόνοιαν ταύτην, λέγει, Ὕπαγε ὀπίσω μου· ἀντί τοῦ, ἕπου μοι τῇ βουλῇ, καί μή προλάμβανε, ζητῶν ἀκολουθίαν πραγμάτων. Τό δέ Σατανᾶς ὄνομα, (796) φασίν ἀντικείμενον ἑρμηνεύεσθαι· ὅπερ ὁ Κύριος οὐχ ὑβριστικῶς προήγαγεν, ἀλλ᾿ ὡσανεί ἔλεγεν, ἀντικείμενέ μου τῷ σκοπῷ.

***ΕΡΩΤΗΣΙΣ ΙΓ΄.***

***Ἐπειδή Γρηγόριος ὁ Νύσσης ἐν τοῖς ἑαυτοῦ συγγράμμασι, φαίνεται τοῖς μή τό βάθος ἐπισταμένοις τῆς ὑψηλῆς αὐτοῦ θεωρίας πανταχοῦ***

***[R.** πολλαχοῦ] ἀποκατάστασιν ὑπεμφαίνειν, παρακαλῶ ὅπερ ἐπίστασαι περί τούτου εἰπέ.*

Ἀπόκρισις.

Τρεῖς ἀποκαταστάσεις οἶδεν ἡ Ἐκκλησία. Μίαν μέν, τήν ἑκάστου κατά τόν τῆς ἀρετῆς λόγον· ἐν ᾗ ἀποκαθίσταται, τόν ἐπ᾽ αὐτῷ λόγον τῆς ἀρετῆς ἐκπληρώσας. Δευτέραν δέ, τήν τῆς ὅλης φύσεως ἐν τῇ ἀναστάσει. Τήν εἰς ἀφθαρσίαν καί ἀθανασίαν ἀποκατάστασιν. Τρίτην δέ, ᾗ καί μάλιστα κατακέχρηται ἐν τοῖς ἑαυτοῦ λόγοις ὁ Νύσσης Γρηγόριος, ἔστιν αὕτη, ἡ τῶν ψυχικῶν δυνάμεων τῇ ἁμαρτίᾳ ὑποπεσουσῶν, εἰς ὅπερ ἐκτίσθησαν πάλιν ἀποκατάστασις. Δεῖ γάρ, ὥσπερ τήν ὅλην φύσιν ἐν τῇ ἀναστάσει τῆς σαρκός ἀφθαρσίαν χρόνῳ ἐλπιζομένῳ ἀπολαβεῖν· οὕτως καί τάς παρατραπείσας τῆς ψυχῆς δυνάμεις, τῇ παρατάσει τῶν αἰώνων ἀπολαβεῖν τάς ἐντεθείσας αὐτῆς τῆς κακίας μνήμας· καί περάσασαν τούς πάντας αἰῶνας, καί μή εὑρίσκουσαν στάσιν, εἰς τόν Θεόν ἐλθεῖν τόν μή ἔχοντα πέρας. Καί οὕτως τῇ ἐπιγνώσει, οὐ τῇ μεθέξει τῶν ἀγαθῶν, ἀπολαβεῖν τάς δυνάμεις, καί εἰς τό ἀρχαῖον ἀποκαταστῆναι, καί δειχθῆναι τόν δημιουργόν ἀναίτιον τῆς ἁμαρτίας.

***ΕΡΩΤΗΣΙΣ ΙΔ΄.***

***Τί δήποτε πολλῶν οὐσῶν βαρυτέρων ὕβρεων, ὁ Κύριος ἐν Εὐαγγελίοις, τόν λέγοντα τόν ἀδελφόν αὐτοῦ Μωρόν, τῆς γεέννης ὑπεύθυνον ὁρίζεται· τόν δέ λέγοντα Ῥακά, τῷ συνεδρίῳ ὑποκεῖσθαι λέγει.***

Ἀπόκρισις.

Τό Μωρόν ὄνομα λέγουσιν, ἐπί τοῦ ἄφρονος (797) λαμβάνεσθαι καί ἀνοήτου· τό δέ Ῥακά Ἑβραίων φωνῇ, κατάπτυστον ἑρμηνεύεται. Ἐπεί οὖν ἐπί τοῦ ἀθέου καί ἀπίστου τό μωρός ὄνομα εἴρηται, κατά τό· Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ, Οὐκ ἔστι Θεός. Καί κατά τόν Μωϋσῆν Λέγοντα, Οὗτος λαός μωρός, καί οὐχί σοφός· ὅστις τόν ἀδελφόν αὐτοῦ τόν ὁμόπιστον, ἄθεον καί εἰδωλολάτρην, ἤ αἱρετικόν καί ἄπιστον ἀποκαλεῖ, οὗτος λέγει μωρόν, καί τῆς γεέννης δικαίως ὑπεύθυνος γίνεται. Ὅστις δέ λέγει Ῥακά, τουτέστιν ἐμπτυσμένε [Cort. ἔμπτυστε] καί ἀκάθαρτε, οὗτος τόν βίον διαβάλλει τοῦ ἀδελφοῦ αὐτοῦ, καί εἰκότως κουφοτέρῳ ἐπιτιμίῳ ὑπόκειται.

*ΕΡΩΤΗΣΙΣ ΙΕ΄.*

***Πῶς χρή νοεῖν τό ἐν τῷ συμβόλῳ λεγόμενον, " Σαρκωθέντα ἐκ Πνεύματος ἁγίου, καί Μαρίας τῆς Παρθένου."***

Ἀπόκρισις.

Φασί τινες τῶν ἁγίων, ὅτι ἐκ Πνεύματος ἁγίου δίκην γονῆς ἀνδρός τήν ψυχήν καταβληθῆναι· τήν δέ σάρκα διαπλασθῆναι ἐκ τῶν παρθενικῶν αἱμάτων.

*ΕΡΩΤΗΣΙΣ ΙΣτ΄.*

***Τίνας σημαίνει ὁ Ἀπόστολος, λέγων, "Τούς προηλπικότας ἐν τῷ Χριστῷ;" πρός Ἐφεσίους γράφων.***

Ἀπόκρισις.

Πᾶς τις τῶν ἁγίων, τῶν πρό τῆς ἐπιδημίας τοῦ Κυρίου, οἱανοῦν ἀρετήν ἐξασκῶν, κἄν εἰ μή τό ὅλον τῆς οἰκονομίας μυστήριον ἐγίνωσκεν· ἀλλ᾽ ἐκ (800) μέρους φυσικῶς κινούμενος, ἤλπιζε καί προσεδόκα, ὅτι ὁ τήν φύσιν ποιήσας, αὐτός καί παραφθαρεῖσαν ἀνασώσεται.

Ἡρώδης δερμάτινος, ἑρμηνεύεται· χρή οὖν τούς σαρκικούς λογισμούς βδελύττεσθαι.

*ΕΡΩΤΗΣΙΣ ΙΖ΄.*

***Τί ἐστι κατά τόν Ἀπόστολον· Ὅτι " Σάρξ καί αἷμα βασιλείαν Θεοῦ κληρονομῆσαι οὐ δύνανται. "***

Ἀπόκρισις.

Σάρξ ἐστιν ἡ ἐπιθυμία· αἷμαι δέ, ὁ θυμός. Καί εἰκότως οὖν, ὁ μή τούτων καθαρεύων, βασιλείαν Θεοῦ κληρονομῆσαι οὐ δύναται.

*ΕΡΩΤΗΣΙΣ ΙΗ'.*

***Τί ἐστι διάψαλμα;***

Ἀπόκρισις.

Οἶμαι ὅτι ἡ ἀπό νοήματος εἰς νόημα μεταβολή· ἤ καί τρόπου διδασκαλίας εἰς ἕτερον τρόπον.

*ΕΡΩΤΗΣΙΣ ΙΘ'.*

***Τί δηλοῖ ἡ κατά τόν Λάμεχ ἱστορία.***

Ἀπόκρισις.

Φασί τινες τῶν τά θεῖα πεπαιδευμέων, ὅτι ἐν τοῖς καιροῖς τοῦ Λάμεχ, ἀταξίας καί ἀναρχίας οὔσης, ὁ δυνατός τόν ἀσθενοῦντα κατεδυνάστευεν. Οὗτος οὖν ὁ Λάμεχ ὑπαντήσας ἀνδρί μετά τῆς γυναικός, ἀπέκτεινεν αὐτόν, καί ἔλαβε τήν γυναῖκα αὐτοῦ. Ἀπαντήσας δέ ἀδελφῷ μετά ἀδελφῆς, ἀπέκτεινε καί αὐτόν, καί ἔλαβε τήν ἀδελφήν αὐτοῦ· καί τόν μέν ἐκάλεσεν ἡ Γραφή ἄνδρα· τόν δέ νεανίσκον. Καί ταῦτα μέν κατά τήν ἱστορίαν· κατά δέ θεωρίαν λαμβάνεται ὁ Λάμεχ, ἐπί τῆς ἐνεργείας τῆς κακίας. Ἀπέκτεινε γάρ ἐν ἡμῖν τόν ἄνδρα, τόν φυσικόν νόμον· καί τόν νεανίσκον, τόν πνευματικόν φημι νόμον, (801) καί ἔλαβεν ἐξ αὐτοῦ [αὐτῶν] τήν διάνοιαν, ὅπως ταύτῃ μιγνύμενος ὁ τῆς κακίας σπορεύς, ἀποτεκεῖν ποιήσῃ τήν ἁμαρτίαν. Ἐκ τούτου οὖν τοῦ Λάμεχ ἑβδομηκοντάκις ἑπτά ἐκδικεῖται· ὑπέρ τῆς συγκαταθέσεως καί ἐνεργείας δίκας εἰσπράττεται. Ὅθεν καί ὁ Κύριος λέγοντος Πέτρου, Ποσάκις ἐάν ἁμάρτῃ εἰς ἐμέ ὁ ἀδελφός μου, ἀφήσω αὐτῷ· ἕως ἑπτάκις; Ἀπεκρίθη αὐτῷ, Οὐ μόνον ἕως ἑπτάκις, ἀλλ᾽ ἕως ἑβδομηκοντάκις ἑπτά. Τουτέστι, τῷ μετανοοῦντί σοι, μή μόνον τά μικρά τά ἐν συγκαταθέσει γινόμενα, ἀλλά καί τάς ἐνεργείας ἀφήσεις.

*ΕΡΩΤΗΣΙΣ Κ'.*

***Περί διαφόρων θελημάτων Θεοῦ.***

Ἀπόκρισις.

Τρία θελήματα ἐπί Θεοῦ χρή ὑπολαμβάνειν· κατ᾽ εὐδοκίαν, κατ᾽ οἰκονομίαν, κατά συγχώρησιν. Καί τό μέν κατ᾽ εὐδοκίαν δηλοῖ, τά

κατά τόν Ἀβραάμ, λέγοντος πρός αὐτόν,Ἔξελθε ἐκ τῆς γῆς σου. Τό δέ κατ᾽ οἰκονομίαν, δηλοῖ τά κατά τόν Ἰωσήφ οἰκονομηθέντα, πρός τήν τῶν μελλόντων ἔκβασιν, τό δέ κατά συγχώρησιν, δηλοῖ τά κατά τόν Ἰώβ γενόμενα.

*ΕΡΩΤΗΣΙΣ ΚΑ'.*

***Τί σημαίνει ὁ Ψαλμῳδός περί ἐχθρῶν λέγων; " Τῶν κύκλῳ ἐπιτιθεμένων;"***

Ἀπόκρισις.

Τό κύκλῳ ἐστί τό ἐμπρός, ὀπίσω, τό δεξιόν, τό ἀριστερόν. Ἐπιτίθενται οὖν ἡμῖν οἱ δαίμονες, ἔμπροσθεν μέν, ὅταν διά τῶν τῆς ὕλης ἐπιφανειῶν δελεάζωσιν· ὀπίσω δέ, ὅταν διά τῶν προλήψεων τῶν λογισμῶν τῆς κακίας τήν μνήμην [R. τόν λογισμόν τῆς κακίας κατά μνή.] ἀνακινῶσιν· ἀριστερά δέ, ὅταν διά τῶν σαρκικῶν καί ἀκολάστων παθῶν, τήν ψυχήν ἐκμοχλεύωσι· δεξιά δέ, ὅταν διά κενοδοξίας καί ὑπερηφανίας τῇ ψυχῇ ἐπιτίθενται.

*ΕΡΩΤΗΣΙΣ ΚΒ'.*

***Τί ἐστι τό; "Λάβετε ψαλμόν, καί δότε τύμπανον· ψαλτήριον τερπνόν μετά κιθάρας. "***

Ἀπόκρισις.

Λάβετε διδασκαλίαν ἔνθεον, καί δότε πρᾶξιν ἐνάρετον διά τῆς νεκρώσεως τοῦ σώματος. Τό δέ ψαλτήριον τερπνόν μετά κιθάρας· ψαλτήριον λέγει, τό πνεῦμα· κιθάραν δέ τήν ψυχήν· τύμπανον δέ, τό σῶμα.

*ΕΡΩΤΗΣΙΣ ΚΓ'.*

***Τί ἐστι; "Κάλαμον συντετριμμένον οὐ κατεάξει, καί λῖνον τετυφωμένον οὐ σβέσει."***

Ἀπόκρισις.

Ὁ κατά μίμησιν τοῦ Κυρίου συμπαθείας λόγῳ (804) χρώμενος, οὔτε τόν τῇ ἁμαρτίᾳ συντετριμμένον τῇ ἀπογνώσει εἰς τέλος κατεαγῆναι ποιεῖ· οὔτε τόν τό λογιστικόν ἔχοντα τετυφωμένον, διά κενοδοξίαν

τινῶν ἀρετῶν, σβεννύει, ἀλλ᾽ ἐᾷ ἔχειν τήν προθυμίαν, μέχρις ἄν εἰς τό τέλειον ἔλθοι τῆς γνώσεως· τοῦτο γάρ ἐστιν, ὡς οἶμαι, καί τό συναυξάνειν τῷ ἀγαθῷ σπόρῳ τά ζιζάνια· τουτέστι ταῖς ἀρεταῖς, τό τῆς ἀνθρωπαρεσκείας καί κενοδοξίας πάθος συναναβλαστάνειν. Ὅθεν ὁ τῶν ψυχῶν γεωργός μή ἐκτίλλεσθαι ταῦτα προστάσσει, μέχρις ἄν αἱ ἀρεταί λάβωσι πῆξιν, μή ποτε ἀνασπάσαι τά τοιαῦτα θέλων τις, συνεκτίλλῃ τήν τῆς ἀρετῆς προθυμίαν.

*ΕΡΩΤΗΣΙΣ ΚΔ΄.*

***Τί ἐστι τό· "Ἐάν τίς σε ῥαπίσῃ εἰς τήν δεξιάν, στρέψον αὐτῷ καί τήν ἄλλην;"***

Ἀπόκρισις.

Ἐάν σε, φησίν, οἱ δαίμονες διά τῶν λογισμῶν πειράσωσιν εἰς τήν δεξιάν σιαγόνα, ἐπαίροντες διά τῶν δεξιῶν ἔργων, στρέψον τήν ἄλλην· τουτέστι, τά τῆς ἀριστερᾶς πράξεως ἔργα, ὅσα ἡμῖν πέπρακται, ὑπ᾽ ὄψιν ἄγων.

*ΕΡΩΤΗΣΙΣ ΚΕ΄.*

***Πῶς ὀφείλομεν εὐσεβῶς νοῆσαι τό τοῦ Εὐαγγελίου; Ὅτι " Ὁ Πατήρ κρινεῖ οὐδένα· ἀλλά τήν κρίσιν πᾶσαν δέδωκε τῷ Υἱῷ." Καί πῶς ἐν ἄλλῳ τόπῳ λέγει; ὅτι "Ἐγώ κρινῶ οὐδένα· ἀλλ᾽ ὁ λόγος ὅν ἐλάλησα, ἐκεῖνος κρινεῖ αὐτόν."***

Ἀπόκρισις.

Καθό Θεός ἐστιν, οὐδέ ὁ Πατήρ, οὐδέ ὁ Υἱός κρινεῖ οὐδένα. Οὐδέ γάρ ἄνθρωπος ἀλόγων γίνεται κριτής, ἀλλ᾽ ἀνθρώπων. Ὁ δέ Πατήρ δέδωκε τῷ Υἱῷ τήν κρίσιν· οὐ καθό Θεός ἐστιν ὁ Υἱός, ἀλλά καθό ἄνθρωπος γέγονε. Κρινεῖ δέ πάντας, συγκρίνων τήν ἑαυτοῦ ὡς ἀνθρώπου πολιτείαν πρός ἡμᾶς. Πάλιν δέ ὁ λόγος αὐτοῦ κρινεῖ, τουτέστι διδασκαλία, ἥντινα διά τῶν ἔργων ἀνεδείξατο, κατά τό γεγραμμένον· (805) " Ὧν ἤρξατο ὁ Ἰησοῦς ποιεῖν τε καί διδάσκειν. "

*ΕΡΩΤΗΣΙΣ ΚΣτ'.*

***Τί ἐστιν ἡ τοῦ Πνεύματος βλασφημία· καί πῶς; "Πᾶν ἁμάρτημα ἀφεθήσεται τοῖς ἀνθρώποις· τοῖς δέ εἰς αὐτό βλασφημήσασιν, οὐκ ἀφεθήσεται, οὔτε ἐν τῷ αἰῶνι τούτῳ, οὔτε ἐν τῷ μ έλλοντι."***

Ἀπόκρισις.

Ἡ περί τῆς τοῦ Πνεύματος βλασφημίας ἀπορία, αὐτόθεν ἔχει τήν λύσιν. Τοῦ γάρ Κυρίου ἰάσεις ποιοῦντος ποικίλας, οἱ Ἰουδαῖοι τάς τοῦ Πνεύματος ἐνεργείας, τῷ ἄρχοντι τῶν δαιμόνων ταύτας ἀνετίθεσαν. Τό δέ, Οὔτε ἐνταῦθα, οὔτε ἐν τῷ μέλλοντι, ἄφεσιν γίνεσθαι τοῖς βλασφημοῦσιν, ἑξῆς ζητητέον. Φασί τινές τῶν τά τοιαῦτα διά τοῦ Πνεύματος ἠκριβωκότων, τέσσαρας εἶναι τρόπους, δι᾿ ὧν συγχώρησις γίνεται ἁμαρτημάτων· δύο ἐνταῦθα, καί δύο ἐν τῷ μέλλοντι. Ἐπειδή γάρ οὐκ ἐξικνεῖται ἡ μνήμη ὅλου τοῦ χρόνου μνημονεύειν τά σφάλματα, ἵνα ὑπέρ αὐτῶν ἐνταῦθα μετανοήσῃ ὁ ἄνθρωπος, ᾠκονόμησε φιλάνθρωπος ὤν ὁ Δεσπότης τῆς φύσεως, καί ἡμῶν μή μετανοούντων τρόπους μετανοίας· ἐν μέν τῷ μέλλοντι, ὡς εἴρηται, δύο. Ὅταν τις ἀδιαφόρως [R. non bene διαφόρως] ἐνταῦθα ἁμαρτήσας, καί πάλιν ἀδιαφόρως ἀγαθοεργήσας, εἴτε εἰς οἶκτον καί συμπάθειαν πρός τόν πλησίον κινηθείς, ἤ ὅσα ἄλλα φιλανθρωπίας ἐχόμενα, ταῦτα ἐν τῶ μέλλοντι αἰῶνι ἐν τῷ καιρῶ τῆς κρίσεως ζυγοστατούμενα, ἐφ᾿ ἅ τήν ῥοπήν ἕξει, συγχώρησις γίνεται· Οὗτος μέν ὁ εἷς τρόπος· Δεύτερος δέ, οὗτος· ὅταν τις ἐν ἁμαρτίαις ἐνεχόμενος· ἀκούων δέ τοῦ Κυρίου λέγοντος, Μή κρίνετε, ἵνα μή κριθῆτε, φοβούμενος οὐδένα κρίνῃ, ἐν τῇ ἐξετάσει τῶν βεβιωμένων, ὡς φύλαξ τῆς ἐντολῆς οὐ κρίνεται. Τῆς γάρ ἑαυτοῦ ἐντολῆς οὐκ ἐπιλήσμων ὁ ἀψευδέστατος. Οἱ δέ δύο ἕτεροι τρόποι, ἐνταῦθα τήν συγχώρησιν ἔχουσιν, ὅταν ἐν ἁμαρτίαις τις ὤν, οἰκονομεῖται ἐκ τῆς προνοίας ἐν συμφοραῖς, ἐν ἀνάγκαις, ἐν νόσοις. Ὡς οὐκ οἶδε γάρ διά τῶν τοιούτων καθαίρειν αὐτόν ὁ Θεός· καί εἰ μέν εὐχαριστεῖ πειραζόμενος, τόν ἐπί τῇ εὐχαριστίᾳ μισθόν λαμβάνει. Εἰ δέ ἀχαριστεῖ, δι᾿ ἅς μέν ἁμαρτίας παιδεύεται, ἐκ τούτων καθαίρεται· τήν δέ ὑπέρ τῆς ἀχαριστίας εἰσπράττεται ποινήν. Ἔπειτα, ἅτινα εἰς ἀνθρώπους τις ἁμαρτάνει, ὡς ἔδειξεν ὁ λόγος, (808) πολλάς ἔχει προφάσεις συγχωρήσεων. Ἁμαρτάνων γάρ τις εἰς ἄνθρωπον, ἄλλον δέ ἄνθρωπον εὖ ποιῶν· εἰς ἥν φύσιν ἥμαρτεν, αὕτη καί ἀπελογίσατο. Ἡ δέ εἰς τό Πνεῦμα βλασφημία· ἔστι δέ ἡ ἀπιστία, μή ἔχουσα ἑτέραν πρόφασιν συγχωρήσεως, ἤ μή τό γενέσθαι πιστόν· εἰκότως τῷ ἐν

ἀπιστίᾳ τόν βίον κατακλείσαντι, οὔτε ἐνταῦθα, οὔτε ἐν τῷ μέλλοντι ἀφεθήσεται τῆς ἀπιστίας καί ἀθεΐας ἡ ἁμαρτία.

*ΕΡΩΤΗΣΙΣ ΚΖ΄.*

***Τί δηλοῖ τό τῶν Παροιμιῶν αἴνιγμα, τό; "Ἐάν πεινᾷ ὁ ἐχθρός σου, ψώμιζε αὐτόν· ἐάν διψᾷ, πότιζε αὐτόν· τοῦτο γάρ ποιῶν, ἄνθρακας πυρός σωρεύσεις ἐπί τήν κεφαλήν αὐτοῦ."***

Ἀπόκρισις.

Ἐχθρόν ἔχομεν κατά τῆς ψυχῆς, τό ἡμέτερον σῶμα· ἀεί διά τῆς ἐπαναστάσεως τῶν παθῶν πολεμοῦν ἡμᾶς. Ἐάν οὖν ἐκ τῆς συνειδήσεως πιεζόμενον τό τῆς σαρκός φρόνημα πεινᾷ, τουτέστιν ὀρέγεται σωτηρίας· ἤ διψᾷ θείαν γνῶσιν, δέον τρέφειν αὐτόν δι᾿ ἐγκρατείας καί πόνων· καί ποτίζειν τῇ μελέτῃ τῶν θείων λογίων. Οὕτως γάρ σωρεύονται ἐπί τήν κεφαλήν αὐτοῦ, τουτέστιν ἐπί τόν νοῦν, ἄνθρακες πυρός· θεῖοι καί πνευματικοί λογισμοί.

*ΕΡΩΤΗΣΙΣ ΚΗ΄.*

***Τί σημαίνει τό ἐν τῷ ρα΄ ψαλμῷ εἰρημένον, " Ὡμοιώθην πελεκᾶνι ἐρημικῷ."***

Ἀπόκρισις.

Ὁ πελεκάς οὗτος ὄρνεόν ἐστιν· ὁ δέ ὄφις, πολύ (809) ἐχθραίνει τῶν νοητῶν [Rrg. τοῖς νεοττοῖς] αὐτοῦ. Αὐτός δέ τί μηχανᾶται; Εἰς ὕψος πήγνυσι τήν καλιάν αὐτοῦ, πανταχόθεν περιφράσσων αὐτήν διά τόν ὄφιν. Τί οὖν ποιεῖ ὁ κακομήχανος ὄψις; Περισκοπεῖ ὅθεν πνέει ὁ ἄνεμος, κἀκεῖθεν ἐμφυσᾷ τοῖς νεοττοῖς τόν ἰόν αὐτοῦ, καί τελευτῶσιν. Ἔρχεται οὖν ὁ πελεκάν, καί θεωρεῖ ὅτι ἀπέθανον αὐτοῦ τά παιδία· καί σκοπεῖ νεφέλην, καί πετάται εἰς ὕψος μετά τῶν πτερύγων· τύπτει τε αὐτοῦ τάς πλευράς, καί διά τῆς νεφέλης ἐπιστάζει τούτοις, καί ἐγείρονται. Λαμβάνεται οὖν ὁ πελεκάν εἰς τόν Κύριον· τά δέ παιδία αὐτοῦ, ὁ Ἀδάμ καί ἡ Εὔα, ἡ ἡμετέρα φύσις· ἡ δέ καλιά αὐτοῦ, ὁ παράδεισος· ὁ δέ ὄφις, ὁ ἀποστάτης διάβολος. Ἐνεφύσησεν οὖν ὁ ἀρχέκακος ὄφις διά τῆς παρακοῆς τοῖς πρωτοπλάστοις, καί γεγόνασιν νεκροί τῇ ἁμαρτίᾳ. Ὁ γοῦν Κύριος ἡμῶν καί Θεός διά τήν πρός ἡμᾶς

ἀγάπην ὑψοῦται ἐπί τοῦ τιμίου σταυροῦ· καί νυγείς τήν πλευράν, διά τῆς νεφέλης τοῦ ἁγίου Πνεύματος ζωήν ἡμῖν ἐδωρήσατο τήν αἰώνιον.

*ΕΡΩΤΗΣΙΣ ΚΘ΄.*

***Τί ἐστιν, " Ἐκεῖ στρουθία ἐννοσσεύσουσι;"***

Ἀπόκρισις.

Στρουθία ἤ τάς ψυχάς, ἤ τάς διαφόρους ἀρετάς λέγει.

*ΕΡΩΤΗΣΙΣ Λ΄ .*

***Τί σημαίνει τό, "Ἐρωδιοῦ ἡ κατοικία ἡγεῖται αὐτῶν;"***

Ἀπόκρισις.

Ἐρώδιον φασιν ὄρνεον εἶναι· τοσαύτῃ δέ σωφροσύνῃ συζῆν (812), ὥστε ἡνίκα πρός συνουσίαν συνέρχεσθαι μέλλει, τεσσαράκοντα ἡμέρας πενθεῖν· καί πάλιν μετά ταῦτα, ἄλλας τεσσαράκοντα. Τήν δέ καλιάν πήγνυσιν ἐν τοῖς δένδροις, ἔνθα μή ἐπισκιάζεται ὑπό τινος, ἀλλά καθαρόν τόν ἀέρα ἔχει. Σημαίνει δέ διά τούτων τήν σωφροσύνην. Αὕτη γάρ ἡγεῖται πασῶν τῶν ἀρετῶν· ἀποδιάκειται δέ καί τῶν αἰσθητῶν, ὑπό μηδενός σκιαζομένη τῶν προσκαίρων. Ὁ τεσσαρακοστός γάρ ἀριθμός, τήν ἑκάστου τῶν δ' στοιχείων ἐμπεριέχει τελείωσιν.

*ΕΡΩΤΗΣΙΣ ΛΑ΄.*

***Τί ἐστι τό, "Ἀποδιδούς ἁμαρτίας γονέων ἐπί τέκνα, ἕως τρίτης καί τετάρτης γενεᾶς, τοῖς μισοῦσί με;"***

Ἀπόκρισις.

Πρώτην γενεάν ὑπειλήφαμεν εἶναι, τήν σποράν τοῦ κακοῦ· τουτέστι, τήν πρσβολήν· δευτέραν δέ, τήν ἐπιθυμίαν· τρίτην δέ τήν ἕξιν τοῦ κακοῦ γενεᾶς, τουτέστι, τήν συγκατάθεσιν· τετάρτην δέ, τήν ἐνέργειαν, τουτέστι τήν πρᾶξιν. Ἀποδίδοται οὖν ἕως τρίτης καί τετάρτης γενεᾶς· τουτέστιν, ὑπέρ τῆς συγκαταθέσεως καί τῆς πράξεως. Ἡ γάρ προσβολή καί ἡ ἐπιθυμία, ἀνεύθυνός ἐστιν, ὡς μή εἰς πέρας τοῦ κακοῦ προελθόντος.

*ΕΡΩΤΗΣΙ ΛΒ'.*

***Πῶς ὀφείλει εὐσεβῶς νοηθῆναι ἡ ἐν τῇ Γραφῇ κειμένη τοῦ Θεοῦ μεταμέλεια.***

Ἀπόκρισις.

Φασίν οἱ τά θεῖα εὐσεβῶς φρονεῖν διεγνωκότες, ἀδύνατον εἶναι τόν Θεόν φύσει ὄντα δημιουργόν, μή καί προνοητήν εἶναι φύσει τῶν δεδημιουργημένων. Εἰ δέ τοῦτο, ἀνάγκη πᾶσά ἐστι φυσικῶς προνοουμένη τοῦ Θεοῦ τῆς ἀνθρωπότητος, πολλούς εἶναι παρ᾽ αὐτῷ τούς περί τήν προνοουμένην φύσιν τῆς σωτηρίας τρόπους. Ἐπειδή γάρ ἀγχίστροφον ζῶον ὁ ἄνθρωπος, εὐχερῶς τοῖς καιροῖς καί τοῖς τρόποις συμμεταβαλλόμενον, ἀνάγκη πάντως καί τήν θείαν Πρόνοιαν, καίτοι τήν αὐτήν οὖσαν, συμμεταβάλλεσθαι ταῖς ἡμῶν διαθέσεσι, διά τῶν προσφυῶς ἁρμοζόντων ταῖς ἐν τῇ φύσει ἀναφυομέναις κακίαις τρόπον ἐφευρίσκουσαν. Καί ὥσπερ ἐπί τῆς ἰατρικῆς, πολλαί αἱ ταύτῃ ὑποκείμεναι νόσοι· καί ἀνάγκη τόν ἐπιστήμονα ἰατρόν, τοῦ ὑποκειμένου σώματος εἰς πολλά καί διάφορα παθήματα πίπτοντος, καί αὐτόν εἰς κρείττονας τρόπους ἀπό τῶν ἡττόνων μεταβαίνειν· οὕτως καί ἐπί Θεοῦ, (813) ἡ ἀπό τοῦ τοιοῦδε τρόπου ἐπί ἕτερον τρόπον τῆς προνοίας μετάβασις, μεταμέλεια τοῦ Θεοῦ τῇ Γραφῇ σύνηθες ὀνομάζεσθαι.

*ΕΡΩΤΗΣΙΣ ΛΓ'.*

***Τί σημαίνει τό, "Ἐπί ταῖς τρισίν ἤ τέσσαρσιν ἀσεβείαις Τύρου οὐκ ἀποστραφήσομαι;"***

Ἀπόκρισις.

Ἀσεβείας οἶμαι τέσσαρας τόν προφητικόν αἰνίττεσθαι λόγον· ταύτης [R.ταύτας] τήν προσβολήν, τήν ἐπιθυμίαν, τήν ἕξιν τοῦ κακοῦ καί τήν ἐνέργειαν. Ἐπί μέν οὖν τῆς πρώτης καί τῆς δευτέρας, τουτέστι τῆς προσβολῆς καί τῆς ἐπιθυμίας, ἀνοχήν ποιεῖται ὁ Θεός, ὡς μή τοῦ κακοῦ προβάντος εἰς τελείωσιν. Ἐπί δέ τῆς τρίτης καί τῆς τετάρτης ἀσεβείας, τουτέστιν ἕξεως καί ἐνεργείας, ἤγουν συγκαταθέσεως καί πράξεως, τήν ἀπειλήν ὁ Λόγος εἰκότος ἐνδείκνυται.

*ΕΡΩΤΗΣΙΣ ΛΔ΄.*

***Διά τί οὐ δύναται λέγεσθαι Πατήρ Πνεύματος, ἤ Χριστός Πνεύματος καθάπερ ἐπί τοῦ Πατρός καί τοῦ Υἱοῦ λέγεται διαφόρως [ἀδιαφόρως] Πνεῦμα Θεοῦ, καί Πνεῦμα Χριστοῦ;***

Ἀπόκρισις.

Ὥσπερ ἐστί αἴτιος τοῦ Λόγου ὁ Νοῦς, οὕτως καί τοῦ Πνεύματος, διά μέσου δέ τοῦ Λόγου. Καί ὥσπερ οὐ δυνάμεθα εἰπεῖν τόν λόγον εἶναι τῆς φωνῆς, οὕτως οὐδέ τόν Υἱόν λέγειν τοῦ Πνεύματος.

*ΕΡΩΤΗΣΙΣ ΛΕ΄.*

***Τί δηλοῖ τό ὑπό τοῦ Κυρίου λεγόμενον, τό, "Ἐάν ὁ ὀφθαλμός ἤ ἡ χείρ ἤ ὁ ποῦς σκανδαλίζῃ σε, ἔκκοψον αὐτούς, καί βάλε ἀπό σοῦ;"***

Ἀπόκρισις.

Ἔστι μέν καί περί φίλων, ὡς ὀφθαλμῶν, καί οἰκείων, ὡς περί χειρῶν ἡμῶν ὄντων ἀναγκαίων· καί ἑταίρων [R. ἑτέρων], ποδῶν δίκην διακονούντων ἡμῖν, ὑπονοεῖν τήν παραβολήν, κατά τό πρόχειρον αἰνίττεσθαι· οὕσπερ ἐάν σκανδαλίζωσι καί τήν ψυχήν καταβλάπτωσιν, ἐκκόπτειν ὁ λόγος παρεκελεύσατο. Ἔστι δέ καί ἄλλως ἐκλαβεῖν τό παράγγελμα, κατά τόν τῆς ἀναγωγῆς τρόπον. Ἐάν ἔχῃς θεωρητικήν γνῶσιν ὥσπερ ὀφθαλμόν· πρός τύφον δέ αὕτη ἐπαίρει σε (816) καί ὑπερηφανίαν, ἔκκοψον αὐτήν. Ἐάν δέ καί πρᾶξιν ἀστείαν, καί αἰτία σοι γίνεται ἐπάρσεως, ἔκκοψον αὐτήν. Ὡσαύτως δέ καί ἐάν ἱκανότητα ἔχῃς διακονίας, ὅπερ ἐστίν ὁ ποῦς, καί ὡς ἐκ τούτου φυσᾷς, ἀπόστηθι ἀπ᾽ αὐτῆς. Συμφέρει γάρ σε παρά ταύτας δοκούσας εἶναι ἀρετάς γενέσθαι, καί μή διά τῆς ἐπάρσεως καί ὑπερηφανίας εἰς παντελῆ χωρῆσαι ἀπώλειαν.

*ΕΡΩΤΗΣΙΣ ΛΣτ΄.*

***Τί δηλοῖ τό, "Ἐπήρθη ὁ ἥλιος, καί ἡ σελήνη ἔστη ἐν τῇ τάξει αὐτῆς."***

Ἀπόκρισις.

Ὅταν ἐν ἡμῖν ὑψωθῇ ὁ ἥλιος τῆς δικαιοσύνης διά τῶν ἀγαθῶν ἔργων, καί τῆς ἀληθοῦς γνώσεως, τότε ἡ σελήνη ἵσταται ἐν τῇ τάξει

αὐτῆς· τουτέστιν ἡ ἡμετέρα φύσις ἡ ὑπό τροπήν οὖσα καί ἀλλοίωσιν, τάξιν λαμβάνει βάσιμον.

*ΕΡΩΤΗΣΙΣ ΛΖ΄.*

***Τί ἐστι τό ἐν τῇ καθολικῇ Πέτρου γεγραμμένον, "Ἵνα κριθῶσι κατά ἀνθρώπους σαρκί, ζῶσι δέ κατά Θεόν πνεύματι; "***

Ἀπόκρισις.

Ἐπειδή περί τῶν ἐν τῷ κατακλυσμῷ εἴρηται ταῦτα· οὗτοι δέ εἶχον παντελῆ ἀγνωσίαν Θεοῦ, καί πονηροῖς ἐπιτηδεύμασι συνέζων· ὅσα μέν εἰς ἀνθρώπους ἡμάρτανον, διά τῶν καθ᾽ ἑκάστην συμβαινόντων αὐτοῖς πολέμων τε καί ἐπαγωγῶν, καί ποικίλων συμβάσεων, ἀφῆκεν αὐτοῖς· τά δέ περί τῆς εἰς αὐτόν ἀγνοίας ἁμαρτήματα οὐκ ἀφῆκεν αὐτοῖς· (817) ἵνα διά τῆς εἰς αὐτόν πίστεως, ἡνίκα διά φιλανθρωπίαν ἐν τῇ τοῦ ᾅδου γένηται χώρᾳ, ὅσοι πιστεύσωσιν, ἀφεθῇ αὐτοῖς ἡ τῆς ἀσεβείας ἁμαρτία· καί ζήσωσι κατά Θεόν πνεύματι, κριθέντες δηλονότι σαρκί, καθώς εἴρηται, ὑπέρ τῶν εἰς ἀνθρώπους πλημμελειῶν.

*ΕΡΩΤΗΣΙΣ ΛΗ΄.*

***Τί σημαίνει Δαβίδ ψάλλων, καί τό πονηρόν πνεῦμα τοῦ Σαούλ ἀποκαταπαύων,***

Ἀπόκρισις.

Πᾶς ὁ κατά τόν μακάριον Δαβίδ ποιμαίνων τά πρόβατα, τουτέστιν, τό λογιστικόν τῆς ψυχῆς· καί κτένων θυμόν καί ἐπιθυμίαν καθάπερ ἐκεῖνος τόν λέοντα καί τήν ἄρκον· οὗτος τῷ λόγῳ τῆς διδασκαλίας χρώμενον μετά τινος ὑψηλῆς θεωρίας, ἡδύνει τόν ἀκούοντα, καί τά ἐν αὐτῷ πάθη τῆς κακίας κατευνάζει.

*ΕΡΩΤΗΣΙΣ ΛΘ΄.*

***Ἐπειδή ἡ Γραφή τρανῶς λέγει, ὅτι δέδωκε δεκάτας ὁ Ἀβραάμ τῷ Μελχισεδέκ· ἄλλως τε καί εἰ πάντα ἀπέδωκε, καθώς αὐτός λέγει, ὅτι ἕως σφαιρωτῆρος ὑποδήματος οὐκ ἔλαβε, πόθεν δέδωκε δεκάτας; Οὐδέ γάρ αὐτός ἴδιόν τι ἐπεφέρετο εἰς πόλεμεον ἔκπληκτος ἀπερχόμενος.***

Ἀπόκρισις.

Ἐπειδή ἡ θεία Γραφή ἱερέα τοῦ Θεοῦ τόν Μελχισεδέκ λέγει εἶναι, προσηκόντως ἄρα ὁ Ἀβραάμ ὡς λαϊκοῦ τάξιν ἐπέχων δεδωκέναι τῷ ἱερεῖ τάς δεκάτας πιστευθήσεται. Ὅτι δέ καί εἶχε πόθεν παρασχεῖν, ἐκεῖθεν δῆλον. Οἱ γάρ ἐπιστατρεύσαντες βασιλεῖς ἐπί Σόδομα, οὐ μόνον τά Σοδόμων εἶχον λαβόντες, ἀλλά καί ἄλλων χωρῶν εἶχον μεθ᾽ ἑαυτῶν λάφυρα, ἅπερ ἦσαν προαιχμαλωτεύσαντες. Ἅπερ πάντα κατακόψας αὐτούς ὁ Ἀβραάμ, καί λαβών, τά μέν τῶν Σοδομιτῶν ἀπέδωκε· τά δέ ἄλλα παρ᾽ ἑαυτῷ κατέσχεν, ἐξ ὧν καί τάς δεκάτας τῷ Μελχισεδέκ παρέσχετο.

*ΕΡΩΤΗΣΙΣ Μ΄.*

***Τίνος χάριν, οἱ μέν κατά νόμον ἱερεῖς γυναῖκας ἔχειν οὐκ ἐκωλύοντο· οἱ δέ κατά Χριστόν ἱερεῖς κωλύονται, ὅσον ἀπό τῆς συνηθείας;***

Ἀπόκρισις.

Ἐπειδή ἡ τοῦ Εὐαγγελίου ἱερωσύνη κατά τήν τάξιν Μελχισεδέκ γενέσθαι πιστεύεται, καί οὐ κατά τήν τάξιν Ἀαρών· Μελχισεδέκ δέ, γυναῖκα ἐσχηκέναι οὐκ ἀναγέγραπται. Ἀναγκαίως ἄρα καί οἱ κατά τήν αὐτοῦ τάξιν ἱερατεύοντες ἐπίσκοποι γυναῖκας οὐ προσίενται.

*ΕΡΩΤΗΣΙΣ ΜΑ΄. **(820)***

***Τίνος χάριν ἐν τῇ προθέσει τοῦ τιμίου σώματος καί αἵματος τοῦ Κυρίου, τούς ἄρτους καί τά ποτήρια ἀνίσους προτιθεῖν ἔθος τῆς Ἐκκλησίᾳ;***

Ἀπόκρισις.

Πάντα ὑπερφυῆ λόγον ἔχουσι τά ἐν τῇ Ἐκκλησίᾳ τελούμενα. Ἐπειδή δέ κατ᾽ ἐξαίρετον τά σύμβολα ταῦτα τῆς θείας οὐσίας εἰσί μυστήρια καί ἀπεικονίσματα· ἔστι δέ αὕτη ἀσύνθετος· πᾶσα δέ κτίσις σύνθετός ἐστι· μόνη δέ, ὡς εἴρηται, ἡ ἁγία Τριάς ἁπλῆ καί ἀσύνθετος· διά τοῦτο οὖν ἄνισα προτίθησιν ἡ Ἐκκλησία τούς ἄρτους καί τά ποτήρια, τό Θεῖον ἐν τούτοις χαρακτηρίζουσα.

***ΕΡΩΤΗΣΙΣ ΜΓ΄.***

***Τί σημαίνει τό Γαριζίν, καί τό Βάλ;***

Ἀπόκρισις.

Γαριζίν ἑρμηνεύεται περιτομή· Βάλ δέ, φύραμα. Ἐν τῷ φυράματι οὖν τῆς ἐθνικῆς μερίδος τῆς καθηραμένης, πήγνυσι θυσιαστήριον ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός.

***ΕΡΩΤΗΣΙΣ ΜΔ΄.***

***Τί Χαυῶνες, Κανά, Γαλιλαία, Δωήκ καί Ἀερμών.***

Ἀπόκρισις

Χαυῶνες θυρίδες ἑρμηνεύονται. Κανά (821) ἑρμηνεύεται κτῆσις· Γαλιλαία δέ ἀποκάλυψις (ἀποκύλισις). Δωήκ ὁ Σύρος, ὁ ὑπερήφανός ἐστι λογισμός. Ἀερμών ἑρμηνεύεται ἀποστροφή θηρίων. Φασί δέ τόν Ἰορδάνη ποταμόν ἐκεῖθεν γεννᾶσθαι. Σημαίνει δέ διά τούτων, τήν χάριν τοῦ ἁγίου βαπτίσματος.

***ΕΡΩΤΗΣΣ ΜΕ΄.***

***Τί ἐστι τό ἐν Ψαλμοῖς εἰρημένον, "Σχολάσατε, καί γνῶτε ὅτι ἐγώ εἰμί ὁ Θεός;"***

Ἀπόκρισις.

Ἕξ εἰσι σχολαί, ἅστινας κατορθοῦντες, Θεόν ἐπιγνῶναι δυνάμεθα. Πρώτη ἡ τῆς ἁμαρτίας ἐνεργείας· δευτέρα, ἡ τῆς ἐξαπτικῆς διαίτης· τρίτη, ἡ τοῦ τύπου τῆς ἐπιμιξίας τῶν ἀφυλάκτως βιούντων· τετάρτη, ἡ τοῦ ἀπροσφόρου ἐπιτηδεύματος τοῦ κατά Θεόν βίου· πέμπτη, ἡ τῆς ὑπάρξεως τῆς διαβεβλημένης καί εἰς πολλά περισπώσης τόν νοῦν·

ἕκτη, τό μή ἔχειν καθόλου ἴδιον θέλημα. Καί τοῦτό ἐστι καί ἀποταγή καί ὑποταγή ἡ ἀληθινή καί κατά Θεόν.

### *ΕΡΩΤΗΣΙΣ ΜΣτ΄.*

***Εἰς πρόσωπον τίνος λαμβάνεται ὁ Ἰεφθάε, καί ἡ τούτου θυγάτηρ;***

Ἀπόκρισις.

Ὁ μέν Ἰεφθάε εἰς πρόσωπον τοῦ Κυρίου· ἡ δέ τούτου θυγάτηρ, εἰς τήν αὐτοῦ πανάχραντον σάρκα. Ὥσπερ γάρ ὁ Ἰεφθάε ἐκ πόρνης ἦν γεγεννημένος, καί ἀπό τῶν ἰδίων ἐξεδιώχθη· καί ἐξελθών ἐπολέμησε, καί ἐνίκησε τούς ὑπεναντίους, ὑποσχόμενος τῷ Θεῷ τόν ὑπαντῶντα αὐτῷ ἐκ τῶν οἰκείων αὐτοῦ προσάγειν εἰς θυσίαν· οὕτως καί ὁ Κύριος ἐκ τῆς πορνευσάσης ἡμῶν φύσεως, τό κατά σάρκα ἀναμαρτήτως προελθών, καί τῆς οἰκείας σαρκός γενόμενος σπορεύς. Ἐκδιωχθείς τε ὑπό τῶν δοκούντων εἶναι Ἰουδαίων, καί τόν ὑπέρ ἡμῶν πόλεμον νικήσας, προσήγαγε τήν οἰκείαν σάρκα τῷ Θεῷ καί Πατρί. Ἰεφθάε γάρ ἑρμηνεύεται, ἄνοιξις Θεοῦ.

### *ΕΡΩΤΗΣΙΣ ΜΖ΄.* ***(824)***

***Πῶς νοήσομεν τό τοῦ Εὐαγγελίου, ὅτι "Μείζων Ἰωάννου ἐν γεννητοῖς οὐκ ἐγήγερται· ὁ δέ μικρότερος ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, μείζων αὐτοῦ ἐστιν;"***

Ἀπόκρισις. (824)

Ὅστις ὑπέρ τόν Ἰωάννην ταπεινώσει ἑαυτόν (τοῦτο γάρ ἐστι τό, μικρότερος), ἐκεῖνος μείζων ἐστί τοῦ Ἰωάννου.Ἤ καί ἄλλως, ἐπειδή ὁ Ἰωάννης τήν ἐνταῦθα ἐφικτήν διά θεωρίας γνῶσιν κατειληφέναι πιστεύεται, ἡ μικρά καί τελευταία κατά τήν μέλλουσαν φανήσεσθαι κατάστασιν γνῶσις, μείζων ὑπάρχει τῆς ἐνταῦθα. Ἤ καί ὁ ἐν ἀνθρώποις ἄκρος θεολόγος τοῦ ἐν ἀγγέλοις ἐσχάτου ἐστί μικρότερος. Ἤ καί ὁ κατά τήν ἀγγελικήν [εὐαγγελ.] πολιτείαν τήν ἐσχάτην ἔχων τάξιν, τοῦ κατά τόν νομικήν δικαιοσύνην ἄκρου, μείζων ἐστί.

*ΕΡΩΤΗΣΙΣ ΜΗ΄.*

***Τί ἐστι, τό τῶν Παροιμιῶν, "Χειρί χεῖρας ἐμβαλών, οὐκ ἀθωωθήσεται;"***

Ἀπόκρισις.

Πράξει ἐναρέτῳ ὁ πρᾶξιν μίσγων φαύλην, οὐκ ἀθωωθήσεται.

*ΕΡΩΤΗΣΙΣ ΜΘ΄.*

***Τί ἐστι τό, "Ἑπτάκις πεσεῖται ὁ δίκαιος, καί ἀναστήσεται;"***

Ἀπόκρισις.

Δίκαιον ἐνταῦθα, τόν μόνον ἀληθῶς δίκαιον τόν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν ὑπολαμβάνειν χρεών. Ἐπεί οὖν ὁ αὐτός ἐν ἡμῖν λέγεται καί πίπτειν καί ἀνίστασθαι, ὡς τά ἡμέτερα πάντα διά φιλανθρωπίαν καταδεξάμενος· ἔπεσε δέ ἡ φύσις ἡμῶν ἑπτάκις, κατά τε τήν τοῦ προπάτορος παράβασιν πρώτην γεγενημένην· δευτέραν δέ, τήν τολμηθεῖσαν τοῦ Κάϊν μιαιφονίαν, πρῶτον καινοτομήσαντος φόνον· τρίτην ἐπί τῆς κατά τόν Νῶε γενεᾶς, ἐφ᾽ ἧς οὐ κατέμεινε τό Πνεῦμα τοῦ Θεοῦ, διά τό εἶναι αὐτούς σάρκας· τέταρτον, ἐπί τῆς πυργοποιίας· πέμπτον, ἐπί τῆς τοῦ Ἀβράαμ γενεᾶς, ἐξ ἧς μόνος αὐτός τῷ Θεῷ εὐηρέστησε· ἕκτην, ἐπί τοῦ Μωϋσέως, εἰς τοσοῦτον τῆς ἐπ᾽ αὐτοῦ γενεᾶς ἀθεΐας ἐξοκειλάσης, ὡς αὐτόν εἰς ἐπικουρίαν τῆς τοσαύτης ἀσεβείας ἀπό Θεοῦ πεμφθῆναι· ἕβδομον, ἐπί τῆς τῶν προφητῶν γενεᾶς, ἥτις τάς προλαβούσας γενεάς εἰς κακίας μέτρον ὑπερηκόντισεν. Ἐπεί οὖν, ὡς εἴρηται, ἑπτάκις ἔπεσεν ἡ φύσις ἡμῶν, ταύτην ἀφάτῳ φιλανθρωπίᾳ νικηθείς ἀνέστησεν ὁ Κύριος αὐτήν τήν φύσιν ἑνώσας ἑαυτῶ καθ᾽ ὑπόστασιν.

*ΕΡΩΤΗΣΙΣ Ν΄.*

***Τί σημαίνει τό Εὐαγγέλιον, λέγον, "Νίψαι σου τό πρόσωπον, καί ἄλειψαί σου τήνκεφαλήν;"***

Ἀπόκρισις.

Τό πρόσωπον ἡμῶν ἐστιν ὁ βίος, χαρακτηρίζων καθάπερ ἡ ὄψις ὁποῖοί τινές ἐσμέν κατά τόν ἔσω ἄνθρωπον. Τοῦτο οὖν ὁ λόγος παρακελεύεται νίπτειν, (825) τουτέστι καθαίρειν τόν βίον, κηλῖδος

πάσης ἁμαρτιῶν· κεφαλή δέ ἐστιν ὁ ἡμέτερος νοῦς, ὅν ὁ λόγος ἀλείφειν κελεύει, τουτέστι τῇ θείᾳ καταφαιδρύνειν γνώσει.

*ΕΡΩΤΗΣΙΣ ΝΑ'.*

***Τί ἐστι τό, "Συνέφερεν αὐτῷ, ἵνα μύλος ὀνικός περιτεθῇ ἐν τῷ τραχήλῳ αὐτοῦ, καί ῥιφῇ ἐν τῇ θαλάσσῃ, ἤ ἵνα σκανδαλίσῃ ἕνα τῶν μικρῶν;"***

Ἀπόκρισις.

Μικρούς, οἶμαι, λέγει τούς κατά διάνοιαν ἀφελεῖς, καί διά σμικρότητα νοός, μή δυναμένους διακρίνειν τά τῆς Προνοίας κρίματα. Ὅστις ἄν σκανδαλίσῃ τούς τοιούτους, συνέφερεν αὐτῷ Ἑλληνικῆς εἶναι μοίρας, οἵ δίκην ὄνου ἐν μύλωνι μόνῃ τῇ κινήσει τοῦ κόσμου ἐνίσχηνται· καί ἵνα ῥιφῇ ἐν τῷ πελάγει τῆς θαλάσσης· τουτέστιν ἐν τῇ συγχύσει τοῦ βίου. Τοῦτο δέ καί ὁ Ἀπόστολος Πέτρος βεβαιοῖ λέγων· Κρεῖσσον μή ἐπιγνῶναι τήν ὁδόν τῆς δικαιοσύνης, ἤ ἐπιγνόντας, εἰς τά ὀπίσω ἀνακάμψαι.

*ΕΡΩΤΗΣΙΣ ΝΒ'.*

***Εἰς τί λαμβάνεται ὁ Κάϊν, καί ὁ Ἄβελ;***

Ἀπόκρισις.

Ὁ Κάϊν λαμβάνεται ἐπί τοῦ φρονήματος τῆς σαρκός· ὁ δέ Ἄβελ, ἐπί τοῦ πένθους, ἤγουν τῆς μετανοίας.

*ΕΡΩΤΗΣΙΣ ΝΓ'.*

***Τί ἐστι τό, "Μή μακαρίσῃς ἄνδρα πρό τελευτῆς αὐτοῦ;"***

Ἀπόκρισις.

Καί κατά τό πρόχειρον τῷ πολλῶν νῷ διά τό ἄδηλον, καί τῆς ἀνθρωπίνης προαιρέσεως εὐόλισθον, οὔ χρή μακαρίζειν τινά, ἄχρι διά πάσης ἀρετῆς διελθών, ἀναντιῤῥήτῳ τέλει τήν ζωήν κατακλείσει. Πρός δέ τόν ὑψηλότερον νοῦν, ὁ ἀρξάμενος διά τῆς μετανοίας καί ἀσκήσεως, τό ζῶν ἐν αὐτῷ γηΐνον φρόνημα ταπεινοῦν καί ἀσθενῆ ποιεῖν, οὔπω μακαριστός, μέχρις ἄν διά τοῦ συντόνου τῆς ἀσκήσεως

πόνου νεκρωθῇ καί συντέλειαν λάβῃ. Ὁ γάρ τοιοῦτος μακάριος, ὡς τῷ Χριστῷ συναποθανών διά τῆς κακῶν ἀπραξίας, καί συνανιστάμενος πάλιν διά τό ὕψος τῶν ἀρετῶν. Τοῦτο γάρ καί ὁ Ψαλμῳδός σημαίνει λέγων· Μακάριοι οἱ ἄμωμοι, οἱ καθαροί δῆλον ὅτι κακίας· οἱ πορευόμενοι ἐν νόμῳ Κυρίου· οἱ διά τῶν ἀγαθῶν πράξεων ὁδεύοντες.

***ΕΡΩΤΗΣΙΣ ΝΔ΄.***

***Τί δηλοῖ τό, "Ἐάν διώκωσιν ὑμᾶς ἐκ τῆς πόλεως ταύτης [vulg. ἐν τῇ πόλει ταύτῃ], φεύγετε εἰς τήν ἄλλην;"***

(828) Ἀπόκρισις.

Αἱ πόλεις ἐπί φρουρᾶς καί ἀσφαλείας καί φυλακῆς τιμίων εἰσί. Πόλις οὖν ἐστι κατά τόν τῆς ἀλληγορίας τρόπον, ἡ ἐκ διαφόρων τρόπων ἐπινοουμένη ἄσκησις οἷον, ἐγκράτεια οἴνου, βρωμάτων ἀποχή, ἐπιτεταμένη ἀγρυπνία, καί τά τοιαῦτα, ἅτινά εἰσι φρουρά καί ἀσφάλεια. Ἐάν οὖν διώκωσιν ἡμᾶς οἱ δαίμονες, ἀπό ἑνός τούτων, τύφον ἤ κενοδοξίαν διά τοῦ τοιούτου τῆς ἀσκήσεως εἴδους προσάγοντες, κρεῖττόν ἐστιν ὑποχωρεῖν τῆς τοιαύτης δοκούσης εἶναι ἀκριβεστέρας ἀγωγῆς, ἵνα μή εἰς ὑπερηφανίαν ἐμπέσωμεν, καί φυγεῖν εἰς ἄλλην ἀκενόδοξον ἀρετήν, μέχρις ἄν ὁ τῆς ἀπαθείας ἔλθῃ λόγος. Ἤ καί ἄλλως, πόλεις λέγει τάς ἀνθρωπίνας ψυχάς. Ἐπί γάρ ταύτας οἱ ἀπόστολοι παρά τοῦ Σωτῆρος πεμπόμενοι, ἀπό μέν τῶν ἀναξίων ἑαυτούς κρινόντων ἀπελαθέντες, εἰς ἑτέρων ψυχάς μετοικίζονται, δεκτικάς τῆς αὐτῶν διδασκαλίας γεγενημένας· καί τάς τοιαύτας πόλεις τοῦ Ἰσραήλ, οὐ μή τελέσωσιν ἀληθῶς ἐνδημοῦντες αὐταῖς· καί πῇ μέν εἰσοικιζόμενοι· πῇ δέ, ἀπ᾽ αὐτῶν διωκόμενοι, ἕως ἄν ἔλθῃ ὁ Υἱός τοῦ ἀνθρώπου κατά τήν ἔνδοξον αὐτοῦ παρουσίαν τά πάντα πληρῶν.

***ΕΡΩΤΗΣΙΣ ΝΕ΄.***

***Πῶς καί, "Ἡ ἐλεημοσύνη εἰς σταθμούς, κατά τόν ἅγιον Ἡσαΐαν;" Οὐδέ γάρ τι ἀγαθόν ἄκριτον, εἰ κἄν ἐν τοῖς τῷ ἀμπελῶνι ἔδοξεν.***

Ἀπόκρισις.

Ἐάν σταθμίζεται ἡ ἐλεημοσύνη τοῦ Θεοῦ, καί περιγράφεται, εἰκότως. Μᾶλλον οὖν τοῦτο χρή ὑπολαμβάνειν, ὅτι ὥσπερ ἔχομεν

δύναμιν ὀπτικήν καί ἀκουστικήν καί ἀναπνευστικήν, οὐχ ὅλον εἰσδεχομένας τόν ἀέρα, ἤ τό φῶς, ἤ τήν φωνήν, ἐπεί οὐκ ἄν ἄλλῳ ὑπελείφθη ἡ ἐκ τούτων μετοχή, ἀλλά κατά τήν ἀναλόγως προσοῦσαν δύναμιν ἑκάστῳ μετέχει· οὕτω καί ἡ τοῦ Θεοῦ ἐλεημοσύνη κατά τήν ἑκάστου τῶν ὑποκειμένων διαθέσεων ποιότητα, καί τήν ἄφεσιν καί τήν χάριν δίδωσιν. Οἷον, τελείως τις μετενόησε· τελείως καί ἀφίεται· ὡσαύτως καί ἐπί τοῦ ἀγαπῶντος.

### *ΕΡΩΤΗΣΙΣ ΝΣτ΄.*

***Τί ἐστι τό ἐν τῷ Ἔσδρα λεγόμενον, "Φοβέρισον αὐτούς ἐν νόμῳ Κυρίου;"***

Ἀπόκρισις.

Τό φοβέρισον εἴρηται, ἀντί τοῦ, Κατάπληξον αὐτούς· οὐκ ἐκ τῶν ἐπηγγελμένων ἀγαθῶν, ἀλλ᾽ ἐκ τῶν ἠπειλημένων φοβερῶν. Δουλικόν γάρ τοῦτο, καί Ἰουδαίοις ἁρμόδιον

### *ΕΡΩΤΗΣΙΣ ΝΖ΄. (829)*

***Τί ἐστιν, "Ὅπλον ἐν φόβοις νυκτερινοῖς, ἀνάπαυσις κόπων ἡμερινῶν;"***

Ἀπόκρισις.

Νύκτα ἐκάλεσε τάς τοῦ ἐχθροῦ κεκρυμμένας δολεράς προσβολάς· ἡμέρας δέ, τούς ὁμολογουμένους καί ἐν φανερῷ πειρασμούς. Ὁ οὖν τήν ἕξιν τῆς θείας γνώσεως εἰληφώς, καί μηδέν ἀγνοῶν τῶν τοῦ ἐχθροῦ νοημάτων, οὐ φοβεῖταί τι τῶν κεκρυμμένων τοῦ ἐχθροῦ προσβολῶν. Φόβος γάρ οὐδέν ἕτερόν ἐστιν ἤ προσδοκωμένων κακόν. Ἀλλά μήν καί ἀνάπαυσιν ἡγεῖται, τούς ὑπέρ τῶν ὡμολογημένων πειρασμῶν πόνους, διά τήν ἐγγινομένην ἐκ συμπλοκῆς πρός αὐτούς δοκιμασίαν, καί τήν ἐλπιζομένην ἐκ ταύτης μακαρίαν ἐκδοχήν τοῦ στεφάνου τῆς ἀφθαρσίας.

*ΕΡΩΤΗΣΙΣ ΝΗ΄.*

***Τί ἐστι τό ἐν τῷ ἑβδομηκοστῷ πέμπτῳ ψαλμῷ εἰρημένον, ὅτι "Ἐνθύμιον ἀνθρώπου ἐξομολογήσεταί σοι καί ἐγκατάλειμμα ἐνθυμίου ἑορτάσει σοι;"***

Ἀπόκρισις.

Ἡ μέν ἑορτή, εὐφραινομένων ἐστίν· ἡ δέ ἐξομολόγησις, ἐταζομένων. Καί τό μέν ἐστι λύπης· τό δέ χαρᾶς. Τοῦτο οὖν λέγει, ὅτι ἐν τῇ κρίσει ἀντισηκούμενον τό παροδικόν καί ἀτελές τοῦ ἀγαθοῦ ἐνθυμήματος, (832) τῷ μονίμῳ καί ἀπηρτισμένῳ ἐνθυμήματι τό πλέον ἔχει· τό μέν γάρ, ἐξετάζεται· τό δέ, ἑορτῆς καί χαρᾶς γίνεται πρόξενον.

*ΕΡΩΤΗΣΙΣ ΝΘ΄.*

***Τί ἐτυμολογεῖται γαστριμαργία;***

Ἀπόκρισις.

Οὐδείς οὔτε γραμματικῶν οὔτε ῥητόρων ἐμνημόνευσεν. Ἀριστοτέλης δέ ἐν τῷ Περί ζώων μέμνηται ζώου, μαργοῦ λεγομένου, ὅπερ γεννᾶται ἀπό σήψεως, μεταξύ τῆς γῆς καί τοῦ ὕδατος. Καί ἀφ᾽ οὗ γεννηθῇ, οὐ παύεται γηϊφαγοῦν, ἕως ἐκτρυπῆσαν τήν γῆν, εἰς τήν ἐπιφάνειαν ἔλθῃ· καί ἐλθόν, θνήσκει τρεῖς ἡμέρας· καί μετά τρεῖς ἡμέρας ἔρχεται νέφος βροχῆς, καί βρέχει ἐπάνω αὐτοῦ, καί ἀναζῇ μηκέτι ἀειφάγον ὄν. Καί ἐκ τούτου οἶμαι τούς ἀρχαίους φιλοσόφους ὁρμηθέντας τούς πολυφάγους γαστριμάργους ἀποκαλέσαι. Δύναται δέ τις εὐσεβῶς τοῖς οὖσιν ἐπιβάλλειν εἰδώς, καί κατά πνευματικήν θεωρίαν ἐκλαβεῖν τά εἰρημένα. Πᾶν γάρ πάθος ἀπό σήψεως γεννᾶσθαι πέφυκε· καί ἐπειδάν γεννηθῇ, οὐ παύεται ἐσθίον τήν ὑποστήσασαν αὐτό καρδίαν, ἕως ἄν διά τῆς γνωστικῆς ἕξεως εἰς φανέρωσιν ἔλθῃ. Καί ἐλθόν θνήσκει ταῖς τρισί δυνάμεσι τῆς ψυχῆς. Καί οὕτως ἡ χάρις τοῦ Πνεύματος, ὡς διά νέφους τῆς διδασκαλίας ἐπιφανεῖσα, σταλαγμούς δίδωσι γνώσεως, καί ζωοποιεῖ· οὐ κατά τήν προτέραν ἐμπαθῆ ζωήν· ἀλλά κατά τήν ἐνάρετον καί Θεῷ οἰκείαν.

*ΕΡΩΤΗΣΙΣ Ξ'.*

***Τίς ἡ παραβολή τῶν ἐν τῷ Εὐαγγελίῳ μισθωθέντων ἐργατῶν εἰς τόν ἐμπελῶνα; καί τίς ἡ ἀνισότης;***

Ἀπόκρισις.

Ἡ τοῦ Θεοῦ κρίσις, οὐ κατά χρόνον καί σῶμα γίνεται, διότι καί ἡ ψυχή ἄχρονος καί ἀσώματος οὖσα, διά τό μή κατά χρόνον τήν αὔξησιν καί τό πέρας δέχεσθαι, ἀχρόνως δέ τάς κινήσεις τῆς διαθέσεως ποιεῖσθαι. Καλόν δέ ἐν ὑποδείγματι διασαφῆσαι τά λεγόμενα. Πολλάκις ἔστι τις ἑβδομήκοντα χρόνους ἔχων ἐν τῷ μονήρει βίῳ· ἄλλος δέ, μίαν ἡμέραν. Ἐπειδή δέ ὁ τοῦ ἐπαγγέλματος σκοπός ἐστιν, ἵνα τῆς πρός τά ὑλικά προσπαθείας καί σχέσεως ἀνασπάσας τήν ψυχήν, ὅλην μετενέγκῃ πρός τόν Θεόν· (833) ὁ οὖν ἑβδομήκοντα ἔτη ἔχων, οὐδ᾽ ὅλως περί τῆς τοιαύτης ἀπαθείας μεριμνήσας ἐτελεύτησεν· ὁ δέ μίαν ἡμέραν ἔχων, πᾶσαν αὐτοῦ τήν πρός τά ὑλικά ἐμπαθῆ διάνοιαν ἀνασπάσας, ὅλην τε τῷ Θεῷ ἐγκολπώσας ἐτελειώθη. Ἐν τῇ γενομένῃ ἐν τῇ κρίσει διανομῇ, ὁ μέν ἀξίως τόν μισθόν λαμβάνειν, ὡς εἰς πέρας τόν σκοπόν τοῦ ἐπαγγέλματος ἀγαγών· ὁ δέ κατά χάριν, καί μόνον ὑπέρ οὗ τόν τῆς ἀσκήσεως ὑπέμεινε κόπον.

*ΕΡΩΤΗΣΙΣ ΞΑ'.*

***Τίνος χάριν μετά δέκα ἡμέρας τῆς ἀναλήψεως τοῦ Κυρίου, τό Πνεῦμα κατῆλθεν.***

Ἀπόκρισις.

Φασί τινες τῶν τά θεῖα πεπαιδευμένων, ὅτι ἐπειδή ἐννέα τάξεις κατά τόν Διονύσιον τόν Ἀρεοπαγίτην αἱ ἀγγελικαί δυνάμεις εἰσίν, ἀνιών κατά τό ἀνθρώπινον ὁ Κύριος (κατά γάρ τό θεῖον πάντα πληροῖ), ἑκάστῳ τάγματι μίαν ἡμέραν ἀπένειμεν, ἀπό τῆς ἐσχάτης ἕως τῆς τελευταίας. Ἐδέοντο γάρ καί αὗται τῆς τοῦ Κυρίου πρός αὐτάς ἐπιδημίας. Ἐν αὐτῷ γάρ, κατά τόν Ἀπόστολον, ἀνακεφαλαιώθη, οὐ μόνον τά ἐπί τῆς γῆς, ἀλλά καί τά ἐν οὐρανῷ· καί μετά τοῦτο ἐνεφανίσθη τῷ Θεῷ καί Πατρί· καί οὕτως τό Πνεῦμα κάτεισι. Ἔστι δέ θεωρῆσαι τό προκείμενον καί κατ᾽ ἄλλον θεωρίας τρόπον. Ἐπειδή γάρ ὁ τοῦ Θεοῦ Λόγος, ἐν ταῖς αὐτοῦ δέκα ἐντολαῖς ἐγκέκρυπται· σωματοῦται δέ ἐν ἡμῖν, συγκαταβαίνων ἡμῖν διά τῆς πράξεως· αὖθίς τε ἀνάγει ἡμᾶς διά τῆς γνώσεως, ὑψῶν ἡμᾶς μέχρις ἀνέλθωμεν εἰς

τήν πάντων ὑψηλοτέραν τῶν ἐντολῶν, τήν λέγουσαν, Κύριος ὁ Θεός σου, Κύριος εἷς ἐστιν· ὅτε γοῦν ἐκ πάντων ἀφεθείς, μᾶλλον δέ, πάντα ἀφείς ὁ ἡμέτερος νοῦς, εἰς αὐτόν τόν Θεόν καταλήξῃ, τότε τάς πυρίνας γλώσσας δέχεται, Θεός κατά χάριν γινόμενος.

*ΕΡΩΤΗΣΙΣ ΞΒ΄.*

***Τί δηλοῖ, "Σπάνιον εἰσάγαγε τόν πόδα πρός τόν σεαυτοῦ φίλον, μήποτε πλησθείς σου μισήσῃ σε;"***

Ἀπόκρισις.

Φίλον ἐνταῦθα τό σῶμα ἡμῶν λέγει, διά τήν πρός αὐτό φυσικήν ἕνωσίν τε καί στοργήν. Παραινεῖ οὖν ὁ Λόγος, τήν περί τό σῶμα πρόνοιαν μή πεφορτισμένην ποιεῖσθαι, ἀλλά μόνῳ τῷ τῆς ψυχῆς ἴχνει τήν αὐτοῦ πρόνοιαν ποιεῖσθαι· καί τοῦτο δέ σπανίως, μήποτε τήν ἀνάπαυσιν αὐτοῦ περί πολλοῦ ποιουμένου σου, τά τῶν ἐχθρῶν καί μισούντων ἐν σοί ἐνδείξηται.

*ΕΡΩΤΗΣΙΣ ΞΓ΄.*

***Τί σημαίνει ἡ κατά τόν νόμον περί ἀγνοίας τοῦ φόνου νευροκοπουμένη ἐν τῇ φάραγγι δάμαλις;***

Ἀπόκρισις.

Σημαίνει διά τούτων τό πνευματικόν βούλημα τῆς (836) τῆς Γραφῆς, ὅτι οὐ μόνον περί τῶν προδήλων ἁμαρτημάτων χρή δεδοικέναι, ὡς μέλλοντας ὑπέρ αὐτῶν διδόναι δίκην, ἀλλά καί ὑπέρ τῶν ἀγνώστως ἡμῖν πραττομένων, δεδοικότας ἀεί τήν δάμαλιν, τουτέστι, τήν σάρκα ἡμῶν νευροκοπεῖν ἐν τῇ φάραγγι τῆς ἐγκρατείας καί τῆς ἀσκήσεως. Διά τοῦτο δέ τήν δάμαλιν ζῶσαν κατελίμπανον, ἵνα καί ἡμεῖς μάθωμεν, μή τό σῶμα ἀποκτένειν, ἀλλά τάς ἐπανισταμένας ἡδονάς νευροκοπεῖν καί δαμάζειν.

*ΕΡΩΤΗΣΙΣ ΞΔ'.*

***Τί σημαίνει ὁ παραλυτικός διά τῆς στέγης ὑπό τεσσάρων χαλώμενος, καί εἰ δυνατόν κατά τήν ἱστορίαν ἀποστεγασθῆναι τόν οἶκον;***

Ἀπόκρισις. (837)

Κατά μέν τήν ἱστορίαν, πάντως ἀπεστεγάσθη ὁ οἶκος· ἐπειδή οἱ τῶν τόπων ἐκείνων αὐτόπται γενόμενοι, φασί τάς στέγας τῶν οἴκων, ἀπό λίθου κισήρου εἶναι ἐλαφροτάτους, ὥστε τόν ἀποστεγάσαι βουλόμενον, εὐκόλως καί συντόμως δύνασθαι τοῦτο ποιεῖν. Κατά δέ τόν τῆς ἀναγωγῆς τρόπον, παραλυτικός ἐστι, πᾶς νοῦς ἐν ἁμαρτίαις νοσῶν, καί μή δυνάμενος διά τῆς φυσικῆς θεωρίας (αὕτη γάρ ἡ θύρα) ἰδεῖν τόν λόγον· διά δέ τῆς πίστεως ἀποστεγάσας τό κάλυμμα τῆς παχύτητος τοῦ νομικοῦ γράμματος, διά τῶν τεσσάρων χαλᾶσαι ἐκ τοῦ ματαίου ὕψους, πρός τόν ἑαυτόν κενώσαντα Λόγον, καί τῇ πίστει καί τῇ πράξει λαμβάνει τήν βάσιν.

*ΕΡΩΤΗΣΙΣ ΞΕ'.*

***Τίνος χάριν καταγελωμένου Ἐλλισαίου τοῦ προφήτου ἐκ τῶν παίδων, ηὔξατο, καί ἐξῆλθον ἄρκοι, καί ἀνώρυξαν [ἀνέῤῥηξαν] μβ' παῖδας;***

Ἀπόκρισις.

Φασί τινες μή εἶναι Ἰσραηλίτας τούς παῖδας, ἀλλ᾽ ἐκ τῶν ἀλλοφύλων· καί οὐχί παῖδας τῇ ἡλικίᾳ, ἀλλά τῇ φρονήσει. Ἐπεί οὖν ἤκουον τόν προφήτην πολλά σημεῖα ποιοῦντα, καί οὐκ ἐπίστευον, ἀλλά κατεγέλων αὐτοῦ· παρῆσαν δέ τινες μή κοινωνοῦντες τῆς ματαίας αὐτῶν γνώμης· ἵνα οὖν μή οὗτοι βλάπτωνται, καί τό βλάσφημον εἰς Θεόν ἀνατρέχῃ, ἐπεξῆλθεν αὐτοῖς ὁ Θεός. Κατά δέ τήν θεωρίαν, πᾶς νοῦς κατά τόν Ἐλισσαῖον φαλακρός, τουτέστι καθαρός ὑλικῶν νοημάτων, ἐν τῇ ἀναβάσει τῆς γνώσεως, πολλά ὑπό τῶν λογισμῶν τῶν περί τά αἰσθητά, καί τήν ὕλην καί τό εἶδος, καταγελᾶται· τεσσαράκοντα δηλοῦντος τά αἰσθητά· ὕλη δέ καί τό εἶδος προστιθέμενα, ἀποτελεῖ τόν τεσσαράκοντα δύο ἀριθμόν. Σκώπτεται οὖν ἐκ τῶν τοιούτων λογισμῶν ὁ νοῦς, πρός τό εἰς ὄκνον αὐτόν ἐμβληθῆναι πρός τήν ἀρετήν. Τούτους οὖν δι᾽ εὐχῆς ἀναιρεῖ,

καί διά τῶν ἄρκων, τουτέστι δι᾽ ἡδονῆς καί ἐπιθυμίας· κατ᾽ ἀντιστροφήν γάρ ἐπί τό κρεῖττον μεταχειριζόμενα τά τοιαῦτα πάθη, ἀποκτένουσι τούς λογισμούς τούς ἐμπαίκτους.

*ΕΡΩΤΗΣΙΣ ΞΣτ΄.*

***Πῶς ὀφείλομεν νοεῖν τήν περί συντελείας τοῦ Υἱοῦ ἄγνοιαν;***

Ἀπόκρισις.

Διπλῆ τίς ἐστιν ἄγνοια· ἡ μέν διαβαλλομένη, ἡ δέ, ἀδιάβλητος· καί ἡ μέν ἐφ᾽ ἡμῖν ἐστιν, ἡ δέ, οὐκ ἐφ᾽ ἡμῖν. Καί ἡ μέν διαβαλλομένη καί ἐφ᾽ ἡμῖν, ἡ περί τήν ἀρετήν καί εὐσέβεια ἄγνοια· (840) ἡ δέ ἀδιάβλητος καί οὐκ ἐφ᾽ ἡμῖν ἐστιν, ὅσα θελόντων ἡμῶν γινώσκειν οὐ γινώσκομεν· οἷον τά πόῤῥω γινόμενα, τά μέλλοντα γίνεσθαι. Εἰ οὖν ἐν τοῖς ἁγίοις προφήταις διεγινώσκετο τά πόῤῥω καί οὐκ ἐφ᾽ ἡμῖν, χάριτι, πῶς οὐχί μᾶλλον πάντα ἠπίστατο ὁ Υἱός τοῦ Θεοῦ, καί δι᾽ αὐτοῦ τό ἀνθρώπινον, οὐ φύσει, ἀλλ᾽ ἑνώσει τῇ πρός τόν Λόγον; Ὥσπερ γάρ σίδηρος πεπυρακτωμένος, πάντα τά ἰδιώματα τοῦ πυρός ἔχει· φωτίζει γάρ καί καίει· οὐ μήν φύσει ἐστί πῦρ, ἀλλά σίδηρος· οὕτω καί τό ἀνθρώπινον τοῦ Κυρίου, καθό μέν ἡνώθη τῷ Λόγῳ, πάντα ἠπίστατο, καί τά θεοπρεπῆ ταῦτα ἐν ἑαυτῷ διεδείκνυτο· καθό δέ φύσις ἀνθρωπεῖα ἐν αὐτῷ οὐχ ἥνωτο, λέγεται ἀγνοεῖν.

*ΕΡΩΤΗΣΙΣ ΞΖ΄.*

***Τί σημαίνει τό μοναχικόν σχῆμα, καί πρό τούτου, τίς ἡ ἀπόκαρσις τῶν τριχῶν;***

Ἀπόκρισις.

Ὥσπερ πάντων τῶν ἐν τῷ σώματι μελῶν ἡ κεφαλή προτερεύει, οὕτως καί ἐν τῇ ψυχῇ ὁ νοῦς κεφαλῆς τύπον ἔχει. Τοῦτον οὖν ἀποκείρειν δεῖ, πάντων τῶν κοσμικῶν νοημάτων. Τό δέ κολόβιον, (841) ἐπειδή τό μέν ὅλον σῶμα σκέπει, μόνας δέ τάς χεῖρας γυμνοῖ, σημαίνει ὡς χρή τήν ἠθικήν φιλοσοφίαν ἐνδεδύσθαι, ἀφῃρημένην τάς πρακτικάς τῆς ἁμαρτίας ἐνεργείας· καί ὡς χρή ταύτην ἐπικεῖσθαι ἀεί ἐπί τε δυνάμει καί ἐνεργείᾳ. Ἡ γάρ δύναμις τῆς ἀντικειμένης τοῦ πονηροῦ δυναστείας ἐστί, κατά τόν Ἰώβ, ὑπό ὀμφαλοῦ γαστρός· καί αἱ ψυχαί κατά τόν μακάριον Δαβίδ, πληροῦνται τῶν δαιμονικῶν

ἐμπαιγμάτων. Ἐμπαίγματα δέ εἰσιν, αἱ διάφοροι τῆς πορνείας ἐνέργειαι. Ὁ δέ ἀνάλαβος, ἐπειδή καί ἐμπρός καί ὀπίσω τόν σταυρόν ἔχει, σημαίνει ὅτι χρή, κατά τόν Ἀπόστολον, μή μόνον σταυρωθῆναι ἡμᾶς τῷ κόσμῳ, ἀλλά καί τόν κόσμον ἡμῖν· ἵνα φευγόντων ἡμῶν τόν κόσμον, μηδέν ἐμπόδιον ἔχωμεν, μηδέ τῇ πρός αὐτόν σχέσει διά τῆς ἐπιφαινομένης ἀπάτης ἐγκρατηθῶμεν· μήτε δέ πάλιν τῶν ὄπισθεν διωκόμενοι ἐκ τοῦ κόσμου ἐκ τῶν ἀκουσίων πειρασμῶν, ὑπενδώσωμεν τοῦ τόνου τῆς εὐσεβείας· ἀλλ᾽ ἀναίσθητοι καί νεκροί διαμείνωμεν, πρός τε τά ἀκούσια καί τά ἑκούσια πάθη. Τό δέ κουκούλιον δηλοῖ, τήν φρουροῦσαν καί σκέπουσαν τόν νοῦν ἡμῶν χάριν τοῦ Θεοῦ. Ὁ γάρ ἀποκειράμενος τά τοῦ κόσμου νοήματα, τήν περικεφαλαίαν δέχεται τοῦ σωτηρίου. Τά δέ σανδάλια, τοῦτον ἔχει τόν λόγον. Ἐπειδή ἐκ νεκρῶν δερμάτων εἰσί, μικρῷ δέ μέρει τοῦ σώματος ὑπόκεινται, τόν αὐτόν τρόπον, ᾗπερ τό ὅλον σῶμα πρός τά ἴχνη τοῦ σανδαλίου ἔχει, οὕτω χρή τήν ψυχήν τῷ σώματι κεχρῆσθαι, καί τοῦτο νεκροῦν τῶν παρά φύσιν παθῶν. Τό δέ περιβόλαιον, ἐπειδή τετράγωνόν ἐστιν, ἐκ τεσσάρων δέ στοιχείων καί ὁ κόσμος, σημαίνει ὅτι χρή περιβεβλῆσθαι ἡμᾶς τήν φυσικήν θεωρίαν, ὥστε μή πρός αἴσθησιν καί πάθη τά ὁρώμενα βλέπειν, ἀλλά διά τοῦ ἐν αὐτοῖς λόγου, πρός τόν τούτων δημιουργόν ἀνάγεσθαι. Τό δέ τήν ἀριστεράν χεῖρα παραγυμνοῦσθαι, σημαίνει ὅτι χρή τάς ἀγαθάς πράξεις ἐν ἡμῖν προφαίνεσθαι, κατά τόν τοῦ Σωτῆρος λόγον, ὅπως ἴδωσιν οἱ ἄνθρωποι τά καλά ἡμῶν ἔργα, καί δοξάσωσι τόν Πατέρα ἡμῶν τόν ἐν τοῖς οὐρανοῖς. Τό δέ μαῦρα τά ἐνδύματα εἶναι, σημαίνει ὅτι χρή ἡμᾶς ἀφανεῖς εἶναι τῷ κόσμῳ, ὡς τό πολίτευμα ἔχοντας ἐν οὐρανῷ. Εἰ δέ τις τό παλλίον τετράγωνον ὄν, καί εἰς τάς γενικάς τέσσαρας ἀρετάς ἐκλάβοι, τοῦτο εἰκότως οὐχ ἁμαρτήσεται.

***ΕΡΩΤΗΣΙΣ ΞΗ΄.***

..................................................

Ἀπόκρισις.

Εἰρήνην ὁ ἱερεύς ἀπό τοῦ ὕψους τῆς καθέδρας τῇ Ἐκκλησίᾳ ἐπιφθέγγεται, τόν Κύριον τῆς καθέδρας μιμούμενος, ἀναλαμβανόμενον εἰρήνην τήν οἰκείαν, καί ἀφιέντα καί διδόντα. Τό δέ, Καί τῷ πνεύματί (844) σου τόν λαόν ἀποκρινόμενον, δηλοῖ,

Εἰρήνην μέν ἡμῖν παρέσχες, Κύριε, καί τήν ἐν ἀλλήλοις ὁμόνοιαν· εἰρήνην δέ δός ἡμῖν, τήν πρός σέ ἀδιαίρετον ἕνωσιν, ἵνα τῷ Πνεύματί σου εἰρηνεύοντες, ὅ ἡμῖν ἐν ἀρχῇ τῆς δημιουργίας ἐνέθηκας, ἀχώριστοι τῆς σῆς ἀγάπης τυγχάνωμεν.

*ΕΡΩΤΗΣΙΣ ΞΘ΄.*

***Εἰ ὅλως νεκροί ἐγείρονται, τί ὅλως, φησί, τά σώματα ἡμῶν οὐκ ἀνίστανται; Τί καί ἐν τῷ βαπτίζεσθαι, εἰς ἀφθαρσίαν αὐτά μεταποιεῖσθαι πιστεύομεν;***

Ἀπόκρισις.

. . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . .

*ΕΡΩΤΗΣΙΣ Ο΄.*

. . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . .

Ἀπόκρισις.

Εἰ τῆς Γραφῆς ζητεῖς μυστικήν διασάφησιν, οὕτως νοητέον· Αἰνεῖτε τόν Κύριον ἐν φωνῇ σάλπιγγος, ἐν τῇ μνήμῃ τῆς ἀναστάσεως [ἴσ. ἀναλήψεως] σάλπιγγι σειομένῃ, ὡς γέγραπται· Αἰνεῖτε αὐτόν ἐν ψαλτηρίῳ καί κιθάρᾳ· τῇ γλώσσῃ ἡμῶν καί τῷ στόματι, ὡς πλήκτρῳ τινί τῷ πνεύματι κρουομένων. Αἰνεῖτε αὐτόν ἐν τυμπάνῳ καί χορῷ· ἐν σαρκί καί ψυχῇ, ἀφ᾽ ἧς ὡς χορείας πρός Θεόν διαβαίνουσι δεήσεις. Αἰνεῖτε αὐτόν ἐν χορδαῖς καί ὀργάνῳ· ἐν καρδίᾳ, καί ἐν πᾶσι τοῖς ἔσωθεν σπλάχνοις καί νεύροις, ἅπερ ὄργανον κέκληκε. Αἰνεῖτε αὐτόν ἐν κυμβάλοις εὐήχοις· τοῖς χείλεσι, δι᾽ ὧν τά ἐναρμόνια τῆς ψαλμωδίας πλέκεται μέλη.

*ΕΡΩΤΗΣΙ ΟΑ΄.*

***Ἐπειδή κατά τινα τῶν ἀντιγράρων τοῦ Ἀποστόλου περιέχεται, ὅτι "Πάντες μέν κοιμηθησόμεθα, οὐ πάντες δέ ἀλλαγησόμεθα· " κατά τινα δέ, ὅτι "Πάντες μέν οὐ κοιμηθησόμεθα, πάντες δέ***

***ἀλλαγησόμεθα· " παρακαλῶ μαθεῖν, ποίαν χρή τῶν ἐκδόσεων ἐγκρῖναι· καί τί τά ἐκ τούτων δηλούμενα.***

Ἀπόκρισις.

Οἶμαι ὅτι καθ᾽ ἑκατέραν τῶν ἐκδόσεων, ἐπειδή καί τά ἀρχαῖα τῶν ἀντιγράφων τά δύο περιέχουσιν· εὐσεβῶς δή τις ἐκλαμβάνων, τοῦ ἀποστολικοῦ οὐκ ἀποπεσεῖται σκοποῦ. Κατά μέν τό, Πάντες κοιμηθησόμεθα, οὐ πάντες δέ ἀλλαγησόμεθα, οὕτω χρή νοεῖν, ὅτι πάντες μέν τήν διά θανάτου κοίμησιν ὑπομενοῦμεν· οὐ πάντες δέ τήν δόξαν καί τήν παῤῥησίαν ἀνταλλαξόμεθα· ὅπερ ὁ αὐτός Ἀπόστολος ἐν ἄλλῳ σαφέστερον τίθησι, φάσκων, Εἴπερ καί ἐνδυσάμενοι, καί οὐ γυμνοί εὑρεθησόμεθα. Κατά δέ τό, Οὐ πάντες μέν κοιμηθησόμεθα, πάντες δέ ἀλλαγησόμεθα, οὕτως χρή ἐκδέχεσθαι, ὅτι Πάντες μέν οὐ κοιμηθησόμεθα τήν χρονικήν κοίμησιν, ὥστε δεηθῆναι ταφῆς καί λύσεως τῆς εἰς φθοράν· ἀλλά σύντομον τόν θάνατον οἱ τότε εὑρισκόμενοι ὑπομενοῦσι, μή δεόμενοι χρονικῆς κοιμήσεως, διά τήν (845) παραυτίκα γινομένην ἀνάστασιν· πάντες δέ ἀλλαγήσονται, τουτέστι, τήν ἀφθαρσίαν ἐνδύσονται.

*ΕΡΩΤΗΣΙΣ ΟΒ'.*

***Τί δήποτε τοῦ λέγοντος τοῦ Λουκᾶ ἐν ταῖς Πράξεσι περί τοῦ Παύλου, ὅτι "Ἔσπευδεν, εἰ δυνατόν ἦν αὐτῷ ποιῆσαι τήν ἡμέραν τῆς Πεντηκοστῆς εἰς Ἱεροσόλυμα," φαίνεται γονυκλισίας ποιήσας, ὅ τοῖς κανόσιν ἀπηγόρευται.***

Ἀπόκρισις.

Οὐ περί αὐτῆς τῆς Πεντηκοστῆς, ἐν ᾗ τό Πνεῦμα κατῆλθε, λέγει· ἀλλ᾽ ἐπειδή αἱ πεντήκοντα ἡμέραι, ἡμέραι λέγονται τῆς Πεντηκοστῆς, ἔσπευσεν ὁ Παῦλος τήν ἀπό τῆς Πασχαλίας πρώτην ἡμέραν ποιῆσαι εἰς Ἱεροσόλυμα· ὡς δῆλόν ἐστιν, ὅτι ἐν ταῖς νηστείαις ἔκλινε γόνυ.

*ΕΡΩΤΗΣΙΣ ΟΓ'.*

***Τί ἐστιν, "Ὅστις ἐποικοδομεῖ ἐπί τόν θεμέλιον τοῦτον χρυσόν, ἤ ἄργυρον, ἤ λίθους τιμίους· ξύλα, χόρτον, καλάμην· τό πῦρ αὐτά δοκιμάσει. Εἴ τινος οὖν τό ἔργον μενεῖ ὅ ἐπῳκοδόμησε, μισθόν λήψεται·***

***εἴ τινος δέ τό ἔργον κατακαήσεται, ζημιωθήσεται· αὐτός δέ σωθήσεται, οὕτως δέ, ὡς διά πυρός;"***

Ἀπόκρισις.

Θεμέλιός ἐστιν ἡ τοῦ Χριστοῦ πίστις. Ἐποικοδομεῖ δέ τις ἐν αὐτῇ, χρυσόν μέν, τήν θεολογικήν μυσταγωγίαν· ὡς ἄργυρον δέ, τόν διαφανῆ βίον· λίθους δέ τιμίους, τούς εὐσεβεῖς λογισμούς· ξύλα δέ, τήν περί τά αἰσθητά προσπάθειαν· χόρτον δέ, ὁ τήν ἀλογίαν τρεφόμενος· καλάμην δέ, ὁ τήν φθοράν ἐργαζόμενος. Καί ἐπί μέν τῶν ἐχόντων τάς ἀγαθάς πράξεις, ἡ τῆς γνώσεως [διαγνώσεως] ἡμέρα δηλοῖ, ὅτι ἐν πυρί, τουτέστιν ἐν τῷ πνεύματι, γέγονεν ἡ τούτων ἀποκάλυψις. Ἐν δέ τοῖς ἁμαρτάνουσι, τά ἔργα κατακαίονται, τῆς διαγνώσεως διακαιούσης (848) τήν συνείδησιν, καί μειούσης τάς ἁμαρτίας, καί σωζούσης τόν ἄνθρωπον· ζημιούσης δέ τοῦ προλαβόντος χρόνου τήν ἀργίαν τῶν ἀρετῶν. Ἀλλά καί ἐν τῶ μέλλοντι αἰῶνι, τά ἔργα τῆς ἁμαρτίας εἰς ἀνυπαρξίαν χωρήσουσι, τῆς φύσεως τάς ἰδίας δυνάμεις σώας ἀπολαβούσης διά τοῦ πυρός καί τῆς κρίσεως.

***ΕΡΩΤΗΣΙΣ ΟΔ'.***

***Τί ἐστιν ὅπερ ὁ Δαβίδ ψάλλει, λέγων, "Δός τό κράτος σου τῷ παιδί σου, καί σῶσον τόν υἱόν τῆς παιδίσκης σου;"***

Ἀπόκρισις.

Ἐπειδή κατά φύσιν δοῦλοί ἐσμεν τοῦ Θεοῦ· τῆς δέ παιδίσκης αὐτοῦ τῆς σοφίας υἱοί, δοθῆναι ἡμῖν εὔχεται πρῶτον τό κράτος· τουτέστι, τήν κατά τῶν παθῶν δυναστείαν· καί τότε διά τούτου ἡ σωτηρία ἡμῖν παραγίνεται.

***ΕΡΩΤΗΣΙΣ ΟΕ'.***

***Ἐπειδή ἐν ταῖς Βασιλείαις γέγραπται, ὅτι ὁ Θεός ἐπέσεισε τόν Δαβίδ ἀριθμῆσαι τόν λαόν· ἐν δέ ταῖς Παραλειπομέναις τόν διάβολον λέγει· πῶς δειχθήσεται ἡ θεία Γραφή ἑαυτῇ συμφωνοῦσα;***

Ἀπόκιρισις.

Ἐπειδή ὁ Ἀπόστολος θεόν τοῦ αἰῶνος τούτου λέγει τόν διάβολον· κατά τοῦτο ἐκληπτέον τό τῶν Βασιλειῶν. Ἤ καί ἄλλως, ἐπειδή χωρίς τῆς τοῦ Θεοῦ προνοίας οὐδέν γίνεται, (849) ἀλλ᾽ εἴτε κατ᾽ εὐδοκίαν, εἴτε κατ᾽ οἰκονομίαν, εἴτε κατά συγχώρησιν τά πάντα γίνονται· τό ἐν

ταῖς βασιλείαις γεγραμμένον, ὅτι ὁ Θεός ἐπέσεισεν, ἀντί τοῦ, παρεχώρησε, νοεῖν ἐστι εὐσεβές· ἐν δέ ταῖς Παραλειπομέναις, τόν διάβολον τόν ἐνεργήσαντα, καί αἴτιον γενόμενον. Ἑβδομήκοντα δέ χιλιάδες πίπτουσιν, οἱ εὑρεθέντες μετά Ἀβεσσαλών· οἱ τό πάθος ἔχοντες τῆς οἰήσεως καί ὑπερηφανείας. Κατά δέ τήν θεωρίαν τοῦτο σημαίνει, ὅτι πᾶς Δαβίδ, ὁ μή κατά διάθεσιν, ἀλλά κατά συναρπαγήν, ἐπάρσεως ἀπογεννήσας λογισμόν, μεταγνούς, αἰτεῖται τόν Θεόν, καί θνήσκουσιν οἱ περί τά χρονικά καί πρόσκαιρα λογισμοί. Ὁ γάρ ἑβδομηκοστός ἀριθμός, τήν χρονικήν κίνησιν σημαίνει, διά τόν ἑβδοματικόν κύκλον. Διά τοῦτο τοίνυν παραιτήσασθαι ἄμεινον, τό ἀπό τῶν ἐχθρῶν δαιμόνων διώκεσθαι, καί μή λιμόν τοῦ ἀκοῦσαι λόγον Θεοῦ.

### *ΕΡΩΤΗΣΙΣ ΟΣτ΄.*

***Τί ἐστι τό ἐν τῷ Ἀποστόλῳ εἰρημένον, "Ὤφελον καί ἀποκόψονται;"***

Ἀπόκρισις.

Τοῦτο εἴρηται ἀντί τοῦ, Θρηνήσουσι καί κόψονται, εἰς μετάνοιαν ἐρχόμενοι ὧν ἥμαρτον ἀναστατοῦντες τούς πιστούς.

### *ΕΡΩΤΗΣΙΣ ΟΖ΄.*

***Τίνος χάριν Μωαβῖται καί Ἀμμανῖται ἀπαγορεύονται εἰσελθεῖν εἰς τόν ναόν τοῦ Κυρίου, ἕως τρίτης καί τετάρτης καί δεκάτης γενεᾶς· καί ἕως εἰς τόν αἰῶνα;***

Ἀπόκρισις.

Ἐπειδή Μωαβίτης ἑρμηνεύεται ἔντερον πατρός· Ἀμμανίτης δέ, πατήρ μητρός· σημαίνεται διά τούτων, (852) ὅστις ἀπ᾿ ἄλλου παραλάβῃ ὑπόδειγμα κακίας, οὗτος τό ἔντερον τοῦ πατρός ἐφανέρωσεν· ὅστις δέ ἐξ ἑαυτοῦ τέκῃ τήν ἁμαρτίαν, οὗτός ἐστιν πατήρ μητρός, τουτέστι τῆς ἰδίας ἁμαρτίας. Οἱ τοιοῦτοι οὖν, οὐκ εἰσελεύσονται εἰς οἶκον Κυρίου, ἕως τρίτης καί τετάρτης καί δεκάτης γενεᾶς· καί ἕως εἰς τόν αἰῶνα. Τουτέστιν, ὁ μή δι᾿ ἕξεως ἀγαθῆς καί πράξεως (αὕτη γάρ τρίτη καί τετάρτη γενεά τῶν ἀρετῶν), καί διά τοῦ ὀνόματος καί πίστεως τοῦ Κυρίου Ἰησοῦ, καί διά τάς δέκα τοῦ νόμου ἐντολάς, καί διά τῆς τοῦ μένοντος αἰῶνος ἐσομένης παλιγγενεσίας,

ἑαυτόν τῷ Θεῷ οἰκειῶν, οὐκ εἰσελεύσεται εἰς οἶκον Θεοῦ· τουτέστιν, ἐν τῇ οὐρανίῳ πόλει, ἐν ᾗ πάντων εὐφραινομένων ἡ κατοικία.

### *ΕΡΩΤΗΣΙΣ ΟΗ΄.*

***Τί δήποτε ὁ μέν ἐν μέρει λεπρός, ἀκάθαρτός ἐστι παρά τῷ νόμῳ· ὁ δέ ὁλόλεπρος ὤν, καθαρός ἐστιν;***

Ἀπόκρισις.

Ὁ κατά τι μέρος λεπρός, νεκρόν ἔχει τό μέρος ἐν ᾧ ἐστιν ἡ λέπρα. Ὑποφεύγοντος γάρ τοῦ ζωτικοῦ αἵματος, κοιλαίνεται ὁ τόπος· καί ἡνίκα τῇ ἀφῇ τοῦ ἱερέως ὑπέκυπτεν ἡ κοίλανσις τῆς λέπρας, ἐμίαινε τόν τοιοῦτον· οὕτω καί ὁ κατά τι μέρος τῆς ψυχῆς λεπρωθείς, κοιλανθείσης τῆς ψυχῆς, τουτέστι ταπεινωθείσης διά τῆς ὑποχωρήσεως τῆς ζωτικῆς δυνάμεως τῆς ἀρετῆς, ἀκάθαρτος γίνεται. Ὁ δέ ὁλόλεπρος, τήν μέν χροάν τοῦ λεπροῦ ἔχει· τό δέ ζωτικόν αἷμα δι᾽ ὅλου τοῦ σώματος ἔχει ἐν τῇ ἐπιφανείᾳ ἐνεσπαρμένον. Τοῦτο οὖν σημαίνει, ὅτι ὁ εἰς τό ἔσχατον πέρας τῆς κακίας ἐλθών, εἶτα μεταμεληθείς, ἐπαναλαμβάνει τήν ζωτικήν τῆς ἀρετῆς δύναμιν· μόνην δέ τήν συνείδησιν ἔχει κεχρωσμένην ταῖς προτέραις προλήψεσιν. Οὐ δύναται γάρ ἅπερ ἔπραξε, μή λογίζεσθαι ὡς μή πράξας. Διά τοῦτο οὖν ὁ νόμος τόν τοιοῦτον καθαρόν ἀποφαίνει.

### *ΕΡΩΤΗΣΙΣ ΟΘ΄.*

***Τί δηλοῦσιν αἱ κατά τόν νόμον προαγόμεναι ε΄ θυσίαι, τό πρόβατον, ὁ βοῦς, ἡ αἴξ, ἡ τρυγών, ἡ περιστερά;***

Ἀπόκρισις.

Κατά μέν μίαν ἐπιβολήν, λαμβάνεται ὁ κριός μέν ὡς ἡγεμονικόν, ἐπί τοῦ λογιστικοῦ· ὁ δέ ταῦρος, ἐπί τοῦ θυμικοῦ· ἡ δέ αἴξ, ἐπί τοῦ ἐπιθυμητικοῦ· ἡ δέ τρυγών, ἐπί τῆς σωφροσύνης· ἡ περιστερά δέ, ἐπί τοῦ ἁγιασμοῦ. Εἰ δέ δεῖ καί τά ἑκάστου ζώου προσόντα φυσικῶς ζητῆσαι, καί ἑκάστου αὐτῶν τήν πρόσφορον ἐφαρμόσαι θεωρίαν, φασίν, οἱ τά τοιαῦτα ἐπεσκεμμένοι, ὅτι τρία προσάγει τῶ κεκτημένῳ τό πρόβατον, (853) τόν μαλόν, τό γάλα, τόν ἀμνόν. Ἡ δέ κόρη τοῦ ὀφθαλμοῦ αὐτοῦ συμπεριπολεῖ τῷ ἡλίῳ, καί ἑκάστης ἡμέρας ἀφοδεύει σπυράθους τξε΄ Τό δέ λογικόν πρόβατον ὁ ἄνθρωπος, εἴπερ ἑαυτόν

προσφέρειν θυσίαν τῷ κτησαμένῳ Θεῷ ἐσπούδακε, χρεωστεῖ διδόναι ὥσπερ μαλόν, τήν ἠθικήν πρᾶξιν· ὡς δέ γάλα, τήν φυσικήν θεωρίαν (θρεπτική γάρ αὕτη τοῦ νοῦ)· ὡς δέ ἀμνόν, τόν μαθητευόμενον ἀπογεννῶν διά τῆς διδασκαλίας, καί πάντα ὅμοιον ἑαυτῷ καί τέλειον σπουδάζων προσάγειν τῷ Θεῷ. Ἀλλά καί τήν κόρην τοῦ ὀφθαλμοῦ, ὁ τοιοῦτος ἔχει τῷ ἡλίῳ συμπεριπολοῦσαν· τουτέστι τόν νοῦν τῷ Ἡλίῳ τῆς δικαιοσύνης, διά τῆς προνοητικῆς τῶν ὄντων διοικήσεως φέροντι τά ἡμέτερα, συμπεριπολεῖ· τουτέστιν, ἐπακολουθεῖ· ἔν τε γάρ θλίψεσιν, ἔν τε εὐημερίαις εὐχαριστῶν· ἐπί τε τῇ καλῶς ἀγούσῃ τά πάντα προνοίᾳ. Ἀποβάλλει δέ ὁ τοιοῦτος ἑκάστης ἡμέρας σπυράθους τξε' · τουτέστι, τά ὑπό χρόνον γένεσιν φθαρτά καί περισσά ἑκάστοτε ἀποῤῥίπτει.

Περί δέ τοῦ βοός φασιν, ὅτι τήν καρδίαν τρίγωνον κέκτηται· τόν δέ νεφρόν πεντάβολον· ἔχει δέ καί τρεῖς στομάχους· καί τήν μέν ἡμέραν, φωτοειδεῖς ἔχει τούς ὀφθαλμούς· τῇ δέ νυκτί, πυροειδεῖς· καί τρίτον τῆς ἡμέρας καί τρίτον τῆς νυκτός κατ᾽ ἀνατολάς ὁρῶν πνέειν φυσῶν. Ὁ δεξιός αὐτοῦ ῥίς, εὐωδιάζει μόσχον· τό δέ αἷμα αὐτοῦ, ἀναιρετικόν ἐστι πάντων τῶν ἡμέρων ζώων, χωρίς τοῦ κυνός. Δεῖ οὖν καί ἡμᾶς ὥσπερ βοῦν φέροντας, τόν ζυγόν τοῦ Χριστοῦ μεταχειριζομένους, τάς λιθίνας ἀνατέμνειν καρδίας· καί τάς μέν ἀκάνθας τῶν παθῶν ἐκριζοῦν· πλατύνειν δέ τήν γῆν τῆς καρδίας πρός ὑποδοχήν τοῦ θείου λόγου. Ἔχειν δέ καί τήν καρδίαν τρίγωνον, τουτέστι τόν περί Τριάδος λόγον ὑγιῆ ἔχειν ἐν τῇ καρδίᾳ· ἵνα ὥσπερ ἡ καρδία διαδίδωσι φυσικῶς τήν ζωήν τῷ σώματι, οὕτως καί ἡ εἰς Θεόν εὐσέβεια, τά μέλη τῆς ψυχῆς συνίστησι. Τόν δέ νεφρόν ἔχειν πεντάβολον, τουτέστι τό ἐπιθυμητικόν μή πρός τά πάθη τετράφθαι, ἀλλά διά τῶν ε' αἰσθήσεων τήν κτίσιν κατοπτεύειν εἰς μόνην ἐπιθυμίαν καί ἀγάπην τοῦ Κτίσαντος. Τρεῖς δέ στομάχους κεκτῆσθαι· ὁ στόμαχος πρῶτον τά σιτία δεχόμενος, καί διά τῆς πεπτικῆς δυνάμεως τό εἰλικρινές αὐτῶν ἑκάστῳ τῶν μελῶν παραπέμψας, τό λοιπόν τῇ κοιλίᾳ δίδωσιν. Οὕτως οὖν ἡμᾶς προσήκει διά πρακτικῆς καί φυσικῆς καί θεολογικῆς θεωρίας ἀγομένους, καί τά πρόσφορα πᾶσι τοῖς μέλεσι τῆς ψυχῆς ἀπονέμοντας, καί τοῦ ἧττονος προνοεῖσθαι μέρους· τουτέστι, τοῦ σώματος· τοῦτο γάρ ἡ κοιλία. Τρίτον δέ τῆς ἡμέρας καί νυκτός ἀφορῶντας πρός ἀνατολάς πνέειν, τουτέστι τήν τρισσήν τοῦ Θεοῦ πρόνοιαν, συντηρητικήν καί ἐπιστρεπτικήν καί παιδευτικήν ἀφορῶντας, ἔν τε νυκτί τῶν πειρασμῶν, ἔν τε ἡμέρᾳ εὐημερίας,

εὐχαριστεῖν· ἔχειν δέ τούς ὀφθαλμούς, ἐν μέν νυκτί πυροειδεῖς, ἐν δέ ἡμέρᾳ φωτοειδεῖς, τουτέστι, θεωρητικήν δύναμιν, ἐν μέν τῇ ἡμέρᾳ τῶν ἀρετῶν, τάς ἐκ τοῦ Ἡλίου τῆς δικαιοσύνης ἀκτῖνας τῆς γνώσεως ὑποδεχομένην· ἐν δέ τῇ νυκτί τῶν ὑπέρ ἀρετῆς ἐπαγομένων ἀλλεπαλλήλων πειρασμῶν, (856) τούς λόγους καταλαμβάνουσαν τῶν ἐγκαταλείψεων· ἔχειν δέ καί τόν δεξιόν ῥίνα εὐώδη. Δεξιόν μέρος τοῦ ἀνθρώπου ἐστίν ἡ ψυχή· ἐπειδή διπλοῖ ἐσμέν ἐκ ψυχῆς καί σώματος. Ὁ οὖν διά τάς τῆς ψυχῆς ἀρετάς, τήν χάριν τοῦ ἁγίου Πνεύματος ἐπισπασάμενος, γίνεται τοῖς ἄλλοις εὐώδης. Τό δέ αἷμα τοῦ τοιούτου, ἀναιρετικόν ἐστι τῶν ἡμέρων ζώων· τουτέστιν, ὁ κατά παρατροπήν θυμός, ἀναιρετικός ἐστι τοῖς μιμουμένοις αὐτόν ἀνθρώποις· τροφή δέ τοῖς ὑλακτοῦσι καθ᾽ ἡμῶν δαίμοσιν.

Ἡ δέ αἴξ φύσιν ἔχει τοιαύτην, τά ὄρη εὐκόλως ἀναβαίνουσα, κρηνοβατεῖ, καί ἐπιτέρπεται τῶν μουσικῶν μελῶν· καί τό δεξιόν αὐτῆς κέρας ἐάν θυμιαθῇ ἐν οἱῳνδήποτε τόπῳ, σεισμοῦ φαντασίαν παρέχει. Ἀφοδεύει δέ ἑκάστης ἡμέρας σπυράθους διακοσίους. Δεῖ οὖν καί τήν ἡμετέραν ψυχήν τούς κρημνούς τῶν πειρασμῶν εὐθαρσῶς διαπηδᾷν· καί τά προφητικά ὄρη ἀναβαίνουσαν, τό ὕψος τῆς γνώσεως θηρᾶσθαι, καί ἐπί ταύτῃ ἥδεσθαι· καί οὐ μόνον ἥδεσθαι, ἀλλά καί διά τοῦ δόνακος, τουτέστι τοῦ ἐμπράκτου λόγου, διδάσκοντα ἡδονήν ἐντιθέναι τοῖς ἀκούουσι. Τό δέ δεξιόν κέρας, σημαίνει ὅτι ὁ τό θεωρητικόν τῆς ψυχῆς διά τῆς προσευχῆς τῷ Θεῷ προσαγαγών, εὐώδης γινόμενος τοῖς ἀκούουσι, τήν ἐν αὐτοῖς ἕξιν τῶν σαρκικῶν παθῶν διασαλεύει. Ὁ τοιοῦτος ἑκάστοτε τήν περί τά αἰσθητά ἀποβάλλει πλάνην. Αἱ γάρ αἰσθήσεις τῶν αἰσθητῶν συμπλεκόμεναι. . . . . .Λείπει.

## ΕΡΜΗΝΕΙΑ ΕΙΣ ΤΟΝ ΝΘ' ΨΑΛΜΟΝ

Εἰς τό τέλος, τοῖς ἀλλοιωθησομένης· εἰς στηλογραφίαν τῷ Δαβίδ· εἰς διδαχήν, ὁπότε (857) ἐνεπύρισε τήν Μεσοποταμίαν, καί τήν Συρίαν Σωβᾶ [erar Σωβᾶ]· καί ἐπέστρεψεν Ἰωάβ, καί ἐπάταξε τήν φάραγγα τῶν Ἁλῶν δώδεκα χιλιάδας.

Εἰς τό τέλος, τοῖς ἀλλοιωθησομένοις ὁ παρών ἐπιγράφεται [ἐπιγέγραπται] ψαλμός· διά τε τήν ἐπί τέλει τῶν χρόνων διά τῆς ἐπιδημίας τοῦ Χριστοῦ γενομένην τοῖς ἀνθρώποις ἐξ ἀπιστίας εἰς πίστιν, καί ἀπό κακίας εἰς ἀρετήν, καί ἀγνοίας εἰς γνῶσιν Θεοῦ γνωμικήν τε καί προαιρετικήν μεταβολήν καί ἀλλοίωσιν· Διά τε τήν εἰς ὕστερον ἐπί τέλει τῶν αἰώνων γενησομένην δι᾽ αὐτοῦ τοῦ Σωτῆρος ἡμῶν Θεοῦ καθολικήν τοῦ παντός γένους τῶν ἀνθρώπων ἐν χάριτι φυσικήν ἐκ θανάτου καί φθορᾶς εἰς ζωήν ἀθάνατον καί ἀφθαρσίαν, διά τῆς προσδοκωμένης ἀναστάσεως, ἀλλοίωσίν τε καί ἀνανέωσιν. Εἰς στηλογραφίαν δέ τῷ Δαβίδ· τουτέστιν, αὐτῷ τῷ Χριστῷ· διά τε τήν γενομένην ἤδη κατά τήν θείαν αὐτοῦ σάρκωσιν στήλης δίκην, ἐν αὐτῷ μέν ὡς ἀρχηγῷ καί Σωτῆρι, καί μετ᾽ αὐτόν ἐν τοῖς κατ᾽ αὐτόν εὐσεβῶς βιοῦσι, τῆς κακίας ἀναίρεσιν· διά τε τόν ἔτι δι᾽ αὐτοῦ γενησόμενον παντελῆ τοῦ τε θανάτου καί τῆς φθορᾶς ἀφανισμόν. Εἰς διδαχήν δέ ὁπόταν ἐνεπύρισε τήν Μεσοποταμίαν, καί τήν Συρίαν Σωβᾶ [Fr. Σωβάλ] . Εἰς διδαχήν ἡμῖν, τοῖς ἀλλοιουμένοις καί ἀλλοιωθησομένοις, δηλονότι τήν ἐπαινετήν καί θείαν ἀλλοίωσιν, ὁ ψαλμός ἐπιγέγραπται παρά τοῦ Δαβίδ τοῦ νοητοῦ· λέγω δέ Χριστοῦ τοῦ Θεοῦ. Μόνος γάρ αὐτός ἀληθινός βασιλεύς ὑπάρχων τοῦ Ἰσραήλ καί ὁρῶντος Θεόν, ὡς πάσης ἀναιρέτης κακίας καί ἀγνωσίας, καί νικητής παντός χρόνου καί φύσεως, δι᾽ ὧν ἐν ἡμῖν κακία συνίστασθαι πέφυκεν· ἐνεπύρισε τήν Μεσοποταμίαν, διά σαρκός ἡμῖν ὁμιλήσας· τουτέστι, τήν ἐπικλυζομένην τοῖς παρά φύσιν πάθεσι τῆς σαρκός ἕξιν τῆς κακίας. Καί τήν Συρίαν Σωβᾶ [etiam Fr. Σωβᾶ· et deinceps], τουτέστι τήν δεδουλωμένην τῷ χρόνῳ, ἤγουν ἠπατημένην τῷ αἰῶνι τούτῳ διάθεσιν. Ἑπτά γάρ ἡ Σωβᾶ ἑρμηνεύεται· σαφῶς δέ τοῦτο δηλοῖ τήν χρονικήν ἰδιότητα. Ἑβδοματικός γάρ ὁ χρόνος. Φησίν γάρ καί χρόνον εἴωθεν ὁ διάβολος συνεπικινεῖν ἑαυτῷ κατά τῆς ἀρετῆς καί τῆς γνώσεως, τούς ἀφανεῖς συμπλέκων πολέμους, ὡς τάς δύο Συρίας κατά τοῦ Δαβίδ ὁ Ἀδρααζάρ. Ἀδρααζάρ γάρ εἰς τήν Ἑλλάδα φωνήν μεταφραζόμενος,

λύων ἰσχύν (860) ἤ κατασκάπτων δύναμιν ἑρμηνεύεται· ὅστις ἐστίν ὁ διάβολος, ὁ δι᾽ ἀπάτην τήν πνευματικήν ἰσχύν τῆς ἡμετέρας φύσεως κατ᾽ ἀρχάς τῇ παραβάσει τῆς θείας ἐντολῆς διαλύσας, καί τῷ χρόνῳ καί τῇ φύσει δουλώσας τόν ἄνθρωπον. Ἄνευ γάρ τῶν ὑπό φύσιν καί χρόνον, μάχεσθαι τοῖς ἀνθρώποις παντελῶς οὐ δύναται.

Καί ἐπέστρεψεν Ἰωάβ καί ἐπάταξε τήν φάραγγα τῶν Ἁλῶν δώδεκα χιλιάδας. Πᾶς γάρ ὁ τῷ νοητῷ βασιλεῖ Δαβίδ στρατηγῶν, τουτέστι τῷ Κυρίῳ ἡμῶν Ἰησοῦ, κατά τῶν ἐναντίων δυνάμεων, πατάσσει δώδεκα χιλιάδας ἐν τῇ φάραγγι τῶν Ἁλῶν. Φάραγξ δέ ἐστιν Ἁλῶν ἡ σάρξ, ὡς χωρίον παθῶν ἀτιμίας διά τῆς παρακοῆς γενομένη· ἐν ᾗ καθάπερ φάραγγι διά λόγου καί θεωρίας, πᾶς εὐσεβής καί φιλόθεος πατάσσει φύσιν καί χρόνον· ἤγουν τήν ἐπ᾽ αὐτοῖς τῆς ψυχῆς παράλογον πρόληψιν, μηδαμῶς ἐμμένων διά τό ὕψος τῆς ἀρετῆς καί τῆς γνώσεως, τοῖς ὑπό φύσιν καί χρόνον νόμοις. Ὁ γάρ δώδεκα ἀριθμός τήν φύσιν δηλοῖ καί τόν χρόνον· εἴπερ πενταδική μέν ἡ φύσις διά τάς αἰσθήσεις· ἑβδοματικός δέ χρόνος, ὡς πᾶσι καθέστηκεν εὔδηλον. Πέντε δέ τοῖς ἑπτά συνθείς, τόν δώδεκα πληρώσαις ἄν σαφῶς ἀριθμόν.

Τυχόν δέ καί τήν κακῶς δι᾽ ἀπάτης παρά φύσιν συμπλακεῖσαν τῇ τετράδι τῶν αἰσθητῶν τριάδα τῶν δυνάμεων τῆς ψυχῆς κατά τήν σχέσιν, δι᾽ ἧς πᾶσα γίνεσθαι πέφυκεν ἁμαρτία, ὁ τῶν ἀνῃρημένων ἀριθμός ὑποσημαίνει· ὅν καταφονεύσει καλῶς, ὁ τῷ νοητῷ Δαβίδ ἐν τοῖς ὑπέρ ἀληθείας ἀγῶσιν ὑπουργῶν, καί γνωστικῶς τάς ἀοράτους μάχας συνάπτων, καί κατά τῶν πονηρῶν δυνάμεων πνευματικῶς παραταττόμενος. Πᾶσα γάρ ψυχῆς δύναμις παρά φύσιν κινουμένη, τοῖς αἰσθητοῖς συμπλέκεσθαι πέφυκεν. Ἐπειδάν οὖν ὅ τε λόγος καί ὁ θυμός καί ἡ ἐπιθυμία, τρεῖς τόν ἀριθμόν οὖσαι γενικαί τῆς ψυχῆς δυνάμεις, τοῖς αἰσθητοῖς ἡττηθῶσι, τέσσαρσιν οὖσι, τόν δώδεκα ἀριθμόν ἀποτελεῖ. Τέσσαρα γάρ ἐπί τρία, καί τρία ἐπί τέσσαρα τοῖς πέντε συντιθέμενα, τοῦτον πληροῖ τόν ἀριθμόν· ὅν ἀναιρεῖ, ὁ τῷ Κυρίῳ πιστῶς προσχωρῶν, καί καλῶς ἀριστεύων κατά παντός ἀφανοῦς καί πολεμίου πνεύματος.

Ἐπιγέγραπται γοῦν ὁ παρών ψαλμός, Τοῖς μέν ἀλλοιωθησομένοις, ἡμῖν εἰς διδαχήν, τῶν εἰς ἡμᾶς παρά τοῦ νοητοῦ Δαβίδ γενομένων ἀγαθῶν· Εἰς στηλογραφίαν δέ τῶ Δαβίδ, τουτέστιν εἰς ἀνάῤῥησιν τῶν ὑπέρ ἡμῶν αὐτοῦ θείων καί σωτηρίων κατορθωμάτων. Ἀνάῤῥησιν γάρ κατορθωμάτων ἡ στηλογραφία δηλοῖ, κατά τούς ἐπιστήμονας τῶν τοιούτων ὀνομάτων ἐξηγητάς.

Ὁ Θεός, ἀπώσω ἡμᾶς, καί καθεῖλες ἡμᾶς· ὠργίσθης, καί ᾠκτείρησας ἡμᾶς.

(861) Ἀπώσατο ἡμᾶς ὁ Θεός, ὅταν μή φυλάξαντες κατ᾽ ἀρχάς τήν ἐντολήν, ἀνάξιοι ἐφάνημεν τῆς κατά πρόσωπον αὐτοῦ ὁμιλίας. Καθεῖλεν ἡμᾶς, ὅτ᾽ ἄν τοῦ ὕψους τῆς ἐν τῷ παραδείσῳ δόξης, διά τήν ἡμῶν κακίαν ἀπεξένωσεν· ὠργίσθη, ὅτ᾽ ἄν ἐπί τιμωρίᾳ καί κολάσει τῆς κακίας, τῷ τοῦ θανάτου ἐπιτιμίῳ ἡμᾶς καθυπέβαλεν· ὠκτείρησεν ἡμᾶς, ὅτ᾽ ἄν διά τοῦ μονογενοῦς αὐτοῦ Υἱοῦ Θεοῦ Λόγου σαρκωθέντος, καί τήν ὑπέρ πάντων ἡμῶν ὀφειλήν καταδεξαμένου, ἐλυτρώσατο ἡμᾶς τοῦ θανάτου, καί εἰς τήν ἑαυτοῦ δόξαν πάλιν ἐπανήγαγεν.

Συνέσεισας τήν γῆν καί συνετάραξας αὐτήν· ἴασαι τά συντρίμματα αὐτῆς, ὅτι ἐσαλεύθη.

Συνέσεισεν ἡμῶν τήν γῆν καί συνετάραξε, τουτέστι τήν καρδίαν, δούς ἡμῖν τήν μάχαιραν τοῦ πνεύματος, τήν τό χεῖρον τοῦ κρείττονος γνωστικῶς διακρίνουσαν, καί τόν νόμον τοῦ πνεύματος κατά τοῦ νόμου τῆς σαρκός ἐγείρουσαν· καί τόν κατά τῶν παθῶν ἐπαινετόν πόλεμον ἐν ἡμῖν δημιουργοῦσαν· καί τήν ἐν ἡμῖν τῶν παθῶν συνέχειαν συσσείουσαν, καί συνταράσσουσαν, ἐπί ταῖς κατά πρόληψιν ἀτόποις μνήμαις τήν συνείδησιν. Ἰᾶται δέ τά συντρίμματα τῆς ἡμῶν καρδίας, ἅπερ σαλευθεῖσά τε καί ὀλισθήσασα διά τῆς παρακοῆς καταρχάς ἐκ τῆς ἐν τῷ παραδείσῳ παραβάσεως, ὑπέμεινε, διά τῆς ἐν χάριτι πνευματικῆς ἀναγεννήσεως.

Ἔδειξας τῷ λαῷ σου σκληρά· ἐπότισας ἡμᾶς οἶνον κατανύξεως. Ἔδωκας τοῖς φοβουμένοις σε σημείωσιν, τοῦ φυγεῖν ἀπό προσώπου τόξου· ὅπως ἀν ῥυσθῶσιν οἱ ἀγαπητοί σου.

Δεικνύει σκληρά τοῖς φοβουμένοις αὐτόν διά τῶν ἐντολῶν ὁ Θεός, κατά τήν πρακτικήν φιλοσοφίαν· τούς τρόπους τῆς τοῦ σώματος νεκρώσεως ὑποτιθέμενος· ἤ τοὐναντίον, διά τῆς ποικίλης προνοίας καί κρίσεως, φιλανθρώπως πρός τό συμφέρον παιδεύων ἡμᾶς, τούς μή κατά θέλησιν ἀνεχομένους τόν θεῖον ζυγόν ὑπελθεῖν τοῦ νόμου τῶν

ἐντολῶν. Ποτίζει δέ οἶνον κατανύξεως, ἤγουν τήν ἑπομένην τῇ διά τῆς πρακτικῆς καθάρσει κατά τήν πνευματικήν θεωρίαν χαριζόμενος γνῶσιν· πᾶσα γάρ γνῶσις πνευματική κατανύσσει τήν καρδίαν, εἰς συνείσθησιν ἄγουσα τοῦ μεγέθους τῶν ἐφ᾽ ἡμῖν θείων εὐεργεσιῶν.

Δίδωσι δέ τοῖς φοβουμένοις αὐτόν σημείωσιν, τοῦ φυγεῖν ἀπό προσώπου τόξου· τήν νέκρωσιν τοῦ Ἰησοῦ ἐν τῷ σώματι περιφέρειν διδάσκων τούς φοβουμένους αὐτόν· καθ᾽ ἥν ἡ παντελής τῆς ἁμαρτίας ἀπραξία συνέστηκε. Σημείωσις γάρ ἀληθής, ἡ διά σταυροῦ νεκροῦσα τό φρόνημα τῆς σαρκός καθέστηκε δύναμις. Πρός τό φυγεῖν ἀπό προσώπου τόξου· τουτέστιν, ἀπό τῆς ἐμφαινομένης τοῖς οὖσιν ἀπατηλῆς ἐπιφανείας. Πρόσωπον γάρ τόξου, φημί δέ ἑκάστου δαιμονιώδους πάθους, ἡ τήν αἴσθησιν ἐρεθίζουσα τῶν σωμάτων ἐστίν ἐπιφάνεια, καθάπερ ἀκίς βέλους τήν αἴσθησιν τιτρώσκουσα, καί πρός τά πάθη τήν ψυχήν ἀπρεπῶς διερεθίζουσα. Διόπερ ἀπό προσώπου (861) τόξου φησίν ὁ Λόγος φεύξεσθαι τούς φοβουμένους τόν Κύριον, ἀλλ᾽ οὐκ ἀπό τόξου. Τό γάρ τόξον τῆς ἁμαρτίας, ἄνευ προσώπου τυχόν, οὐδέ τι δράσειε κατά τῶν φοβουμένων τόν Κύριον.

Ἐφ᾽ ᾧ ῥυσθῆναι τούς ἀγαπητούς τοῦ Θεοῦ.

Ἀγαπητοί δέ Θεοῦ εἰσιν, οἱ κατά θεωρίαν συνεκτικοί τῆς θείας γνώσεως λογισμοί· οὕς ῥύονται, οἱ κατά τήν πρακτικήν συνιστάμενοι τρόποι τῶν ἀρετῶν, ἀπό πάσης πλάνης καί πασῶν τῶν διοχλουσῶν τῇ ψυχῇ κατά πρόληψιν τῆς ἁμαρτίας [Fr. ἁμαρτιῶν] μνημῶν.

Σῶσον τῇ δεξιᾷ σου, καί ἐπάκουσόν μου. Ὁ Θεός ἐλάλησεν ἐν τῷ Ἁγίῳ αὐτοῦ· Ἀγαλλιάσομαι καί διαμεριῶ Σίκημα, καί τήν κοιλάδα τῶν Σκηνῶν διαμετρήσω.

Σώζει ὁ Θεός τῇ δεξιᾷ αὐτοῦ, διδούς τόν μονογενῆ αὐτοῦ Υἱόν· δεξιά γάρ τοῦ Πατρός ὁ Υἱός· λύτρον ὑπέρ τῆς κόσμου σωτηρίας. Ἐπακούει δέ, διδούς τῷ δικαίῳ, πρός τῇ ἀφέσει τῶν ἁμαρτημάτων, καί πνευματικά χαρίσματα. Ἀκούει μέν γάρ τοῦ ἱκευτόντος αὐτόν ὁ Θεός, πρῶτον διά τῆς μετανοίας ἄφεσιν διδούς ἁμαρτημάτων, ἐπακούει δέ, πρός τῇ ἀφέσει τῶν ἁμαρτημάτων, καί τά διά χάριτος πνευματικῆς διδούς ἐνεργήματα. Λαλεῖ δέ ἐν τῷ Ἁγίῳ αὐτοῦ· τουτέστιν, ἐν τῷ σαρκωθέντι αὐτοῦ λόγῳ, τόν θεῖον αὐτοῦ σκοπόν τόν

ἀποκεκρυμμένον ἀπό τῶν αἰώνων καί ἀπό τῶν γενεῶν, κατά τήν ἔνσαρκον αὐτοῦ τοῦ Χριστοῦ οἰκονομίαν. Διά τῆς καθ᾽ ἡμᾶς ἀνθρωποπρεποῦς αὐτοῦ ἀναστροφῆς, οἱονεί διαῤῥήδην βοῶν, καί τῷ βίῳ διδούς εἰς ὑποτύπωσιν αἰωνίου ζωῆς, εἰκόνα πάσης γεγωνοτέραν φωνῆς, τήν τῶν ἀγαθῶν ἔργων ἐπίδειξιν. Λαλεῖ δέ καί ἐν ἑκάστῳ ἁγίῳ φυλάττοντι αὐτοῦ τάς ἐντολάς· οἷον ζῶντας δεικνύς διά τῶν ἐργων τούς λόγους, καί πάσης φωνῆς γεγωνοτέρους.

Ἀγαλλιᾶται δέ ὁ δίκαιος, ἡνίκα τελειωθείς τῇ χάριτι τοῦ Μονογενοῦς, ἱκανός γένηται διαμερίσαι τήν Σίκημα· τουτέστιν, ἄλλοις ἀναλόγως ἐκ πείρας ἐπιστήμονος ὑποθέσθαι, τούς κατά τήν πρακτικήν ἀνδρικούς τῶν ἀρετῶν τρόπους. Ὠμίασις γάρ ἡ Σίκημα ἑρμηνεύεται· ὅπερ ἐστίν ἡ πάντων μέν ἐφεκτική τῶν παθῶν, πασῶν δέ ἐνεργητική τῶν ἀρετῶν ἕξις. Πράξεως γάρ σύμβολον τόν ὦμον εἶναι φασι.

Καί τήν κοιλάδα τῶν Σκηνῶν διαμετρεῖ· τούς προσφόρους ἑκάστῳ τῶν ὄντων κατά τήν φυσικήν θεωρίαν λόγους ἀπονέμων. Ἡ γάρ κοιλάς τῶν Σκηνῶν, ὁ παρών ἐστι κόσμος, ἐν ᾧ πάντων κατά τήν ἑκάστου διάφορον γνώμην τε καί διάθεσιν, (865) ἀπαγής ὑπάρχει καί πρόσκαιρος σκηνῶν δίκην ἡ παροῦσα ζωή.

Ἤ πάλιν Σκηναί τυγχάνουσιν τῆς παρούσης κοιλάδος, οἱ τῶν ἀρετῶν τρόποι, οὕς διαιρεῖ γνωστικῶς τοῖς διδασκομένοις, πρός τήν ἑκάστου ἕξιν κατάλληλον διδούς ἀγωγήν καί προσφυλακήν [προφυλακήν] τῶν τιμίων, ὁ διανέμειν εἰδώς ἑκάστῳ διά τῆς καλῆς διδασκαλίας τήν ἁρμόζουσαν πρός σωτηρίαν ὁδόν.

Ἤ Σκηναί κοιλάδος ὑπάρχουσιν, αἱ διά Χριστοῦ τοῦ Σωτῆρος ἡμῶν Θεοῦ παγεῖσαι κατά τήν πᾶσαν τήν οἰκουμένην τῶν πιστευσάντων ἐθνῶν Ἐκκλησίαι· ὅ καί μᾶλλον ὡς οἶμαι, τῶν ἄλλων ἐστίν ἐπιφανέστερον.

Ἤ πάλιν, κοιλάδα Σκηνῶν διαμετρεῖ, ὁ τόν κόσμον τῶν σωμάτων καθάπερ κοιλάδα Σκηνῶν γνώσει περιλαμβάνων. Σκῆνος γάρ πολλαχοῦ τῆς Γραφῆς, τό σῶμα προσηγορεύθη.

Ἐμός ἐστι Γαλαάδ, καί ἐμός ἐστι Μανασσῆς, καί Ἐφραΐμ κραταίωσις τῆς κεφαλῆς μου.

Γαλαάδ κατά μίαν ἐπί τῷ ὀνόματι τούτῳ ἑρμηνειῶν, ἐστίν ἀποκάλυψις. Μανασσῆς δέ, ἑρμηνεύεται λήθη. Ἀποκάλυψις δέ καί

λήθη εἰκότως προσγίνονται δικαίῳ· λαμβάνοντι μέν διά θεωρίας τῶν ἀποῤῥήτων τήν μύησιν· τῶν δέ κατ᾽ ἀρετήν πόντων τήν λήθην, διά τήν διαδεχομένην τούς πόνους τῶν ἀρετῶν εὐφροσύνην τῆς πνευματικῆς θεωρίας. Ἐφραΐμ δέ ἑρμηνεύεται πλατυσμός· ὅπερ ἐστίν ἡ κατά πίστιν ἐπί τοῖς μέλλουσιν ἀγαθοῖς ἄπτωτος ἐλπίς· ἥτις ἐστίν ἀντίληψις τῆς κεφαλῆς τοῦ δικαίου· τουτέστι, τῆς πίστεως. Παντός γάρ δικαίου κεφαλή ἡ πίστις ἐστί, καί παντός ἔργου ἀγαθοῦ. Κραταίωσις δέ ταύτης καθέστηκεν ἀσφαλής, ἡ τῶν μελλόντων ἀγαθῶν ἀδιάπτωτος ἐλπίς· καθ᾽ ἥν ὡς παρόντα τά μέλλοντα θεωροῦντες, ἐμπλατυνόμεθα ταῖς θλίψεσιν, ἀκατάπτωτοι ἐν τοῖς πειρασμοῖς διαμένοντες.

Ἰούδας βασιλεύς μου, Μωάβ λέβης τῆς ἐλπίδος μου.

Ἰούδας ἐξομολόγησις ἑρμηνεύεται. Ἄρχει γάρ ἡ δι᾽ εὐχῶν ἐξομολόγησις ἐν τοῖς ἁγίοις παντός ἀγαθοῦ. Δύναται δέ νοηθῆναι καί εἰς τόν Κύριον ὁ Ἰούδας· ὅς ἐστιν ἀληθινός βασιλεύς τοῦ πνευματικοῦ Ἰσραήλ καί ὁρῶντος θεόν· ὁ ὑπέρ ἡμῶν ἡνίκα γέγονεν ἄνθρωπος, ἐξομολογούμενος πρός τόν Πατέρα, καί λέγων, Ἐξομολογοῦμαί σοι Πάτερ ἅγιε.

Μωάβ δέ, ἔντερον πατρός ἑρμηνεύεται, νοεῖται δέ τό ἡμέτερον σῶμα, δι᾽ οὗ κατά τήν πρακτικήν φιλοσοφίαν λουτροῦ δίκην, ὅπερ δηλοῖ σαφῶς ὁ λέβης, ἡ κάθαρσις πέφυκε γίνεσθαι τῶν ἁμαρτημάτων. Κάθαρσις γάρ ἐστιν ὁ λέβης, τῆς ἐλπίδος· (868) τουτέστιν, ἡ διά βίου κατά τήν κάθαρσιν πρός κληρονομίαν τῶν κατ᾽ ἐλπίδα ἀποκειμένων ἡμῖν ἀγαθῶν ἑτοιμότης.

Δύναται δέ πάλιν νοηθῆναι ὁ Μωάβ καί εἰς τήν σάρκωσιν τοῦ Κυρίου. Υἱός γάρ ἀνθρώπου δι᾽ ἡμᾶς γέγονέ τε καί ἐχρημάτισεν ὁ ἀληθινός λέβης τῆς ἐλπίδος ἡμῶν, τουτέστιν ὁ ῥυπτικός καί καθαρτικός τῶν ἐκ τῆς ἁμαρτίας ἡμετέρων κηλίδων τε καί μολυσμῶν.

Ἐπί τήν Ἰδουμαίαν ἐκτενῶ τό ὑπόδημά μου.

Ἰδουμαία, αἱματώδης πηλός ἑρμηνεύεται· δύναται δέ ληφθῆναι καί εἰς τήν σάρκα τοῦ Κυρίου· δι᾽ ἧς ἐπέβη ὡς δι᾽ ὑποδήματος τοῖς ἀνθρώποις· ἄλλως χωρῆσαι τόν Ποιητήν μή δυναμένης τῆς κτίσεως· ἄπειρόν τε καί ἀχώρητον κατά φύσιν τυγχάνοντα.

Δύναται δέ πάλιν νοηθῆναι καί εἰς τήν ἑκάστου ἡμῶν σάρκα· ἐφ᾽ ἧς ἐκτείνομεν τό ὑπόδημα· τουτέστι τήν φρουροῦσαν τήν ψυχήν ἀπό τῶν πονηρῶν τοῦ διαβόλου τριβόλων τε καί ἀκανθῶν ἄσκησίν τε καί ἐγκράτειαν· τοῦτο γάρ χρή νοεῖσθαι τό ὑπόδημα. Ἄνευ γάρ ἀσκήσεως καί ἀκριβοῦς ἐγκρατείας, τά τῆς σαρκός πάθη καταπαλαῖσαι τόν ἀσκητήν τῆς εὐσεβείας, ἀμήχανον.

Δύναται δέ πάλιν νοηθῆναι ὑπόδημα ψυχῆς, καί ἡ διά λόγου καί θεωρίας νεκρωθεῖσα αἴσθησις· δι᾽ ἧς ἐπιβαίνουσα ἡ ψυχή τοῖς αἰσθητοῖς, τόν αἰῶνα τοῦτον ἀβλαβῶς διαπορεύεται, τούς αὐτῶν λόγους διά μέσης τῆς αἰσθήσεως ὡς ὑποδήματος, φαντασιουμένης τάς τῶν ὁρατῶν κατ᾽ εἶδος καί σχῆμα διαφοράς ἀναλεγομένη πρός τήν τοῦ ἑνός μόνου τε καί ἀρχικοῦ λόγου σύνεσιν καί ἐπίγνωσιν.

Ἐμοί ἀλλόφυλοι ὑπετάγησαν.

Ἡνίκα γάρ διά σαρκός τοῖς καθ᾽ ἡμᾶς ἐπεχωρίασε τόποις ὁ Κύριος, ὑπετάγη τῷ κράτει τῆς ἰσχύος αὐτοῦ· οὐ μόνον καταργηθέντα τά πνεύματα τῆς πονηρίας, ἀλλά καί πάντα τά ἔθνη δεξάμενα διά τῆς κλήσεως τοῦ Εὐαγγελίου τό κήρυγμα, ὑπέκυψεν· ὑποτάσσονται δέ καί παντί δικαίῳ οἱ ἀλλόφυλοι, ἡνίκα ἐπιβαλών ὥσπερ ὑπόδημα τῇ γῇ τῆς σαρκός αὐτοῦ τήν νεκροῦσαν τόν νόμον τῆς ἁμαρτίας ἐγκράτειαν, δαμάσει οὐ μόνον τά ἐμφωλεύοντα αὐτῇ ἀκάθαρτα πάθη, ἀλλά καί τούς ἐνεργοῦντας ταῦτα πονηρούς καταργήσει δαίμονας.

Τίς ἀπάξει με εἰς πόλιν περιοχῆς.

Πόλις ἐστί περιοχῆς, ἡ ἐκ πολλῶν συνηθροισμένη θείων καί μυστικῶν θεωρημάτων σοφία περιεχομένη, ἤγουν περιπεφραγμένη, καθώς ἕτερος ἔφη τῶν ἐκδοτῶν, τοῖς τῶν ἀρετῶν ὀχυρώμασιν.

Ἤ πάλιν πόλις ἐστί περιοχῆς, ἡ κατάστασις, καθ᾽ ἥν ἀνάλωτος καί ἀπροσπέλαστος γίνεται τοῖς πολεμίοις, (869) διά τήν φρουροῦσαν αὐτόν τῶν ἁγίων Δυνάμεων περιβολήν, ὅ γε ἀληθῶς θεοσεβής καί φιλόθεος.

Ἤ πάλιν πόλις ἐστί περιοχῆς, ἡ λόγῳ καί βίῳ τετειχισμένη ψυχή, καί πάσαις ταῖς τῶν ἀρετῶν πλήθουσα χάρισιν.

Ἤ πάλιν πόλις ἐστί περιοχῆς, ἡ τῆς ἀληθοῦς καί ἀπταίστου γνώσεως ἕξις, ἡ ἐκ πάντων ἠθικῶν τε καί φυσικῶν καί θεολογικῶν

θεωρημάτων περιεχομένη· εἰς ἥν ἀπάγεται πᾶς εὐσεβής, ὑπ᾽ ἄλλου μέν οὐδενός, ὑπό μόνου δέ τοῦ Θεοῦ τοῦ πάντας πρός ἑαυτόν ἕλκοντος δι᾽ ἄφατον ἀγαθότητος μέγεθος.

Ἤ τίς ὁδηγήσει με ἕως τῆς Ἰδουμαίας.

Ἰδουμαία, καθώς ἔδειξε προλαβών ὁ λόγος, ἐστίν ἡ πάντων τῶν ὑπό αἴσθησιν κτισμάτων σύστασις· περί ἥν ἡ ἐν πνεύματι φυσική θεωρία συνίστασθαι πέφυκε· καθ᾽ ἥν ἐκ καλλονῆς καί μεγέθους κτισμάτων ἀναλόγως ὁ γενεσιουργός τῷ εὐσεβῶς ἀναλεγομένῳ τήν τῶν ὄντων γνῶσιν θεωρεῖται.

Ἤ τυχόν, ἡ κατ᾽ ἀρετήν πρακτική διά σαρκός φιλοσοφία· καθ᾽ ἥν τοῦ ἁγίου Πνεύματος γίνεται ναός τό ἡμέτερον σῶμα, τοῖς τῶν ἐντολῶν συνοικοδομούμενον κάλλεσιν εἰς ἥν ὁ αὐτός πάλιν ὁδηγεῖ Κύριος, χαριζόμενος τοῖς ἀγαπῶσιν αὐτόν καί τῶν ὁρωμένων τήν ἐπιστήμην, καί διδάσκων τῶν μελῶν τῆς γηΐνης ταύτης καί ἐπικήρου σαρκός τήν νέκρωσιν.

Ἤ, ἵνα συνελών εἴπω, πόλις ἐστί περιοχῆς ἡ τῶν νοητῶν γνωστική θεωρία. Ἰδουμαία δέ, ἡ τῶν αἰσθητῶν ἐπιστήμη· εἰς ἅ ἀπάγει τε καί ὁδηγεῖ ἡ μόνη τοῦ Θεοῦ καί πατρός σοφία, ὁ μονογενής Υἱός. Διό ἐπάγων ὁ Προφήτης, φησίν·

Οὐχί σύ ὁ Θεός ὁ ἀπωσάμενος ἡμᾶς;

Τουτέστιν, ὅτι Σύ ὁ Θεός ὁ κατ᾽ ἀρχάς διά τήν ἁμαρτίαν ἀπωσάμενος ἡμᾶς· αὐτός διά σπλάχνα ἐλέους σου οἰκτειρήσας, ἀπάγεις εἰς πόλιν περιοχῆς, καί ὁδηγεῖς ἕως τῆς Ἰδουμαίας, κατά τήν προαποδεδομένην ἐξήγησιν.

Καί οὐκ ἐξελεύσῃ, ὁ Θεός, ἐν ταῖς δυνάμεσιν ἡμῶν.

Οὐ γάρ ἐξελεύσεται ὁ Θεός ἐν τῷ ἐφ᾽ ἑαυτῷ θαῤῥοῦντι, καί ἐπί τῷ τόξῳ ἐλπίζοντι, κατά τήν ῥομφαίαν ἐπιγραφομένῳ ἑαυτοῦ σωτήριον. Ἀλλ᾽ ἐν τοῖς ἐν αὐτῷ τῷ Θεῷ κερατιοῦσι τούς ἐχθρούς, καί ἐν τῷ ὀνόματι αὐτοῦ ἐξουδενοῦσι τούς ἐπανισταμένους αὐτοῖς, εἰκότως ὁ Θεός ἐξελεύσεται πρός τόν κατά τῶν ἀοράτων ἐχθρῶν πόλεμον.

Δός ἡμῖν βοήθειαν ἐκ θλίψεως, καί ματαία σωτηρία ἀνθρώπου.

Εὐκτικῶς δέεται τοῦ Θεοῦ καί Σωτῆρος ἐκ προσώπου τῆς κοινῆς φύσεως ὁ Προφήτης, δοθῆναι ἡμῖν βοήθειαν ἐκ τῆς θλίψεως· δηλαδή τῆς κατασκεδασθείσης τῆς φύσεως διά τήν ἁμαρτίαν, καί μέχρι (872) τῶν τοῦ ᾅδου πυλῶν αὐτήν καταπιεσάσης. Θλίψις γάρ, κατ᾽ ἐμέ φάναι, ἡ τοῦ θανάτου καί τῆς φθορᾶς ἐστι τυραννίς καί ἐπικράτεια· βοήθεια δέ, ἡ διά τῆς χάριτος βεβαία τῆς ἀναστάσεως ἐλπίς· πρός ἥν ἀφορῶντες οἱ εὐσεβεῖς, τήν τοῦ θανάτου κατήφειαν ἀλύπως διαφέρουσιν.

Ἤ πάλιν θλίψις ἐστίν, ὁ ὑπέρ ἀρετῆς πόνος· βοήθεια δέ, ἡ τοῦτον διαδεχομένη κατά Θεοῦ χάριν ἀπάθεια· πρός ἥν πᾶσα συγκρινομένη ἀνθρώπων σωτηρία, ματαιότης ἐστί καί παντελής ἀνυπαρξία. Τοῦτο γάρ δίκαιον νοεῖσθαι τήν ματαιότητα.

Ἐν τῷ Θεῷ ποιήσομεν δύναμιν, καί αὐτός ἐξουδενώσει τούς θλίβοντας ἡμᾶς.

Ἐν τῷ Θεῷ ποιοῦσι δύναμιν, οἱ μη ἐπιγράφοντες ἑαυτοῖς τῶν ἀρετῶν τά κατορθώματα, μηδέ τῇ ἑαυτῇ σοφίᾳ τήν τῶν θείων μυστηρίων κατάληψιν· ἐν οἷς αὐτός ὁ Θεός μονώτατος, καί ὅλος χωρῶν, ἐξουδενῶν πάντας τούς ἀντικειμένους τῇ τε ἀρετῇ καί τῇ γνώσει πονηρούς δαίμονας, καί διά κακίας καί ἀγνωσίας ἐκθλίβειν ἐπιχειροῦντας τούς φοβουμένους αὐτόν. Αὐτός γάρ πάντων ὑπάρχει Σωτήρ, ὅτι καί πάντων Δημιουργός. Αὐτῷ ἡ δόξα εἰς τούς αἰῶνας. Ἀμήν.

## **ΕΙΣ ΤΗΝ ΠΡΟΣΕΥΧΗΝ ΤΟΥ ΠΑΤΕΡ ΗΜΩΝ, ΠΡΟΣ ΕΝΑ ΦΙΛΟΧΡΙΣΤΟΝ.** (872)

### ΕΡΜΗΝΕΙΑ ΣΥΝΤΟΜΟΣ

Αὐτόν ἐδεξάμην τόν θεοφύλακτόν μου δεσπότην διά τῶν αὐτοῦ πανευφήμων γραμμάτων παραγινόμενον· (873) τόν ἀεί μέν παρόντα, καί ἀπεῖναι τῷ πνεύματι παντελῶς οὐ δυνάμενον· ὅμως δέ δι᾽ ἀρετῆς περιουσίαν θεομιμήτως συγγίνεσθαι τοῖς αὐτοῦ δούλοις, καί δ᾽ ἧς ὁ Θεός δέδωκε τῇ φύσει προφάσεως, οὐκ ἀπαναινόμενον. Διό θαυμάσας

αὐτοῦ τό μέγεθος τῆς συγκαταβάσεως, πόθῳ σύγκρατον τόν πρός αὐτόν φόβον ἐποιησάμην· καί μίαν ἐξ ἀμφοτέρων, φόβου τε καί πόθου, ἀγάπην ἐνεστησάμην, δι᾽ αἰδοῦς καί εὐνοίας συνισταμένην· ἵνα μήτε μῖσος ὁ φόβος γίνηται τοῦ πόθου γυμνούμενος, μήτε καταφρόνησις ὁ πόθος, τόν σώφρονα φόβον συνημμένον οὐκ ἔχων· ἀλλά νόμος ἡ ἀγάπη τυγχάνουσα δειχθῇ στοργῆς ἐνδιάθετος, ἅπαν τό κατά φύσιν συγγενές οἰκειούμενος· δι᾽ εὐνοίας μέν, τό μῖσος χειρούμενος· δι᾽ αἰδοῦς δέ, πόῤῥω ποιούμενος τήν καταφρόνησιν· ὅν δή μάλιστα πάντων, φημί δέ τόν φόβον, τῆς θείας ἀγάπης συστατικόν ἐπιγνούς Δαβίδ ὁ μακάριος, φησίν· Ὁ φόβος Κυρίου ἁγνός, διαμένων εἰς αἰῶνα αἰῶνος· ἕτερον δηλαδή τοῦτο εἰδώς, παρά τόν ἐπ᾽ ἐγκλήμασι δέει τιμωρίας συνιστάμενον φόβον· εἴπερ ὁ μέν ἔξω γίνεται, τῇ παρουσίᾳ τῆς ἀγάπης παντελῶς ἀφανιζόμενος, ὥς που τοῖς ἑαυτοῦ λόγοις ὁ μέγας εὐαγγελιστής Ἰωάννης δείκνυται, φάσκων· Ἡ ἀγάπη ἔξω βάλλει τόν φόβον· ὁ δέ, τόν τῆς ἀληθοῦς στοργῆς φυσικῶς χαρακτηρίζει νόμον· αἰδοῖ συντηρῶν εἰς αἰῶνα τοῖς ἁγίοις, πρός τε Θεόν καί ἀλλήλους, τόν τῆς ἀγάπης θεσμόν τε καί τρόπον παντελῶς ἀδιάφθορον.

Πόθῳ γοῦν, ὡς ἔφην, κἀγώ κεράσας τόν φόβον, πρός τόν ἐμόν Δεσπότην, τοῦτον τῆς ἀγάπης συνεστησάμην τόν νόμον μέχρι τῆς σήμερον· αἰδοῖ μέν τοῦ γράφειν εἰργόμενος, ἵνα μή λάβῃ χώραν ἡ καταφρόνησις· εὐνοίᾳ δέ πρός τό γράφειν ὠθούμενος, ἵνα μή νομισθῇ μῖσος ἡ τελεία τοῦ γράφειν παραίτησις. Γράφω δέ, τοῦτο πράττειν κελευόμενος, οὐχ ὅσα λογίζομαι· Λογισμοί γάρ ἀνθρώπων δειλοί, κατά τήν Γραφήν· ἀλλ᾽ ὅσα βούλεται Θεός, καί χάριτι πρός τήν τοῦ συμφέροντος γένεσιν ἐπιδίδωσιν. Ἡ γάρ βουλή τοῦ Κυρίου, φησίν ὁ Δαβίδ, εἰς τόν αἰῶνα μένει· λογισμοί τῆς καρδίας αὐτοῦ εἰς γενεάν καί γενεάν· βουλήν μέν τυχόν φήσας τοῦ Θεοῦ καί Πατρός, τήν ἐπί θεώσει τῆς ἡμετέρας φύσεως ἀπόῤῥητον κένωσιν τοῦ μονογενοῦς Υἱοῦ, καθ᾽ ἥν ἔχειν πάντων τῶν αἰώνων τό πέρας περιγραφόμεον· λογισμούς δέ τῆς καρδίας αὐτοῦ, τούς τῆς προνοίας καί τῆς κρίσεως λόγους· καθ᾽ οὕς τήν τε παροῦσαν ἡμῶν ζωήν καί τήν μέλλουσαν, ὥσπερ τινάς γενεάς διαφόρους σοφῶς διεξάγει, καταλλήλως ἑκάστην τόν πρέποντα τρόπον τῆς ἐνεργείας προσνέμων.

Εἰ δέ θείας ὑπάρχει βουλῆς ἔργον ἡ τῆς ἡμετέρας φύσεως θέωσις· καί τῶν θείων λογισμῶν ἐστι σκοπός, ἡ πρός τό πέρας διεξαγωγή τῶν ζητουμένων (876) τῆς ἡμετέρας ζωῆς· ἄρα συμφέρει τῆς τοῦ Κυρίου

προσευχῆς γνῶναί τε καί πρᾶξαι, καί οὕτω δεόντως γράψαι, τήν δύναμιν. Ἐπεί δέ μάλιστα ταύτης καί ὁ ἐμός Δεσπότης πρός ἐμέ τόν αὐτοῦ δοῦλον γράφων θεόθεν κινηθείς ἐπεμνήσθη τῆς προσευχῆς, ἥν καί τῶν ἐμῶν ἀναγκαίως ὑπόθεσιν λόγων ποιούμενος, αἰτοῦμαι τόν ταύτης διδάσκαλον τῆς προσευχῆς Κύριον, διανοῖξαί μου τόν νοῦν πρός κατανόησιν τῶν ἐν αὐτῇ μυστηρίων, καί δοῦναι σύμμετρον λόγον πρός τήν τῶν νοουμένων σαφήνειαν. Ὅλον γάρ ἔχει κατά περιγραφήν τόν ἐν τοῖς εἰρημένοις σκοπόν μυστικῶς κεκρυμμένον· ἤ, τόγε κυριώτερον εἰπεῖν, τοῖς ἐῤῥωμένοις τόν νοῦν ἐμφανῶς κηρυττόμενον. Πάντων γάρ ὧν διά σαρκός γέγονεν αὐτουργός κενωθείς ὁ τοῦ Θεοῦ Λόγος, αἴτησιν ἔχει τῆς προσευχῆς ὁ λόγος, διδάσκων ἐκείνων μεταποιεῖσθαι τῶν ἀγαθῶν, ὧν μόνος ὁ Θεός καί Πατήρ δι᾽ Υἱοῦ φυσικῶς μεσιτεύοντος ἐν ἁγίῳ Πνεύματι κατ᾽ ἀλήθειάν ἐστι χορηγός· εἴπερ μεσίτης Θεοῦ καί ἀνθρώπων, κατά τόν θεῖον Ἀπόστολον, ὁ Κύριός ἐστιν Ἰησοῦς· τοῖς μέν ἀνθρώποις, διά σαρκός ἐμφανῆ ποιῶν ἀγνοούμενον τόν Πατέρα· τῷ δέ Πατρί διά Πνεύματος ἐν ἑαυτῷ τούς ἀνθρώπους καταλλαγέντας προσάγων· ὑπέρ ὧν, καί διά οὕς ἀτρέπτως γενόμενος ἄνθρωπος, πολλῶν ὅσον οὐδέπω μέτρῳ περιλαβεῖν, τό τε πλῆθος καί μέγεθος δεδύνηται λόγος, καινῶν μυστηρίων αὐτουργός γίνεται καί διδάσκαλος· ὧν ἑπτά τόν ἀριθμόν γενικώτερα τῶν λοιπῶν, κατ᾽ ἐξαίρετον φιλοτιμίαν πέφανται τοῖς ἀνθρώποις δεδωρημένος· ὧν μυστικῶς περιέχει τήν δύναμιν, ὡς ἔφην, τῆς προσευχῆς ὁ σκοπός· θεολογίαν, υἱοθεσίαν ἐν χάριτι, ἰσοτιμίαν τήν πρός ἀγγέλους, ἀϊδίου ζωῆς μετοχήν, φύσεως ἀπαθῶς πρός ἑαυτήν νευούσης ἀποκατάστασιν, τοῦ νόμου τῆς ἁμαρτίας κατάλυσιν, καί τῆς τοῦ κρατήσαντος ἡμῶν δι᾽ ἀπάτης πονηροῦ τυραννίδος καθαίρεσιν. Σκοπῶμεν οὖν τήν τῶν λεχθέντων ἀλήθειαν.

Θεολογίαν μέν γάρ διδάσκει σαρκούμενος ὁ τοῦ Θεοῦ Λόγος, ὡς ἐν ἑαυτῷ δεικνύς τόν Πατέρα καί τό Πνεῦμα τό ἅγιον. Ὅλος γάρ ἦν ὁ Πατήρ, καί ὅλον τό Πνεῦμα τό ἅγιον, οὐσιωδῶς ἐν ὅλῳ τελείως τῷ Υἱῷ καί σαρκουμένῳ, οὐ σαρκούμενοι· ἀλλ᾽ ὁ μέν εὐδοκῶν, τό δέ συνεργοῦν, αὐτουργοῦντι τῷ Υἱῷ τήν σάρκωσιν· εἴπερ ἔννους ὁ Λόγος διέμεινε καί ζῶν, καί μηδενί τό παράπαν ἄλλῳ κατ᾽ οὐσίαν χωρούμενος, ἤ μόνῳ τῷ Πατρί καί τῷ Πνεύματι, καί πρός τήν σάρκα διά φιλανθρωπίαν, τήν καθ᾽ ὑπόστασιν ποιησάμενος ἕνωσιν.

(877) Υἱοθεσίαν δέ δίδωσι, τήν ὑπέρ φύσιν ἄνωθεν διά Πνεύματος ἐν χάριτι δωρούμενος γέννησιν· ἧς ἐν Θεῷ [al. σύν Θεῷ] φυλακή τε καί

τήρησίς ἐστιν, ἡ τῶν γεννωμένων προαίρεσις· διαθέσει γνησίᾳ τήν δοθεῖσαν στέργουσα χάριν, καί τῇ πράξει τῶν ἐντολῶν ἐπιμελῶς τό κατά χάριν δοθέν ὡραΐζουσα κάλλος· καί τοσοῦτον τῇ κενώσει τῶν παθῶν μεταποιουμένη θεότητος, ὅσον ὁ τοῦ Θεοῦ Λόγος τῆς οἰκείας ἀκραίφνους δόξης, οἰκονομικῶς ἑαυτόν κατά θέλησιν κενώσας, γενόμενος ἀληθῶς κεχρημάτικεν ἄνθρωπος.

Ἰσοτίμους δέ τοῖς ἀγγέλοις τούς ἀνθρώπους πεποίηκεν, οὐ καθότι μόνον Εἰρηνοποιήσας διά τοῦ αἵματος τοῦ σταυροῦ αὐτοῦ τά ἐν τοῖς οὐρανοῖς καί τά ἐπί τῆς γῆς, καί καταργήσας τάς πληρούσας τόν μέσον οὐρανοῦ καί γῆς τόπον ἀντικειμένας δυνάμεις, μίαν πρός τήν τῶν θείων δώρων διανομήν τῶν ἐπιγείων καί οὐρανίων δυνάμεων ἀπέδειξεν οὖσαν πανήγυριν· τῆς ἀνθρωπίνης φύσεως ἐν ἀγαλλιάσει κατά τό ἕν καί τό αὐτό θέλημα ταῖς ἄνω δυνάμεσι τήν δόξαν τοῦ Θεοῦ συνεπηχούσης· ἀλλ᾽ ὅτι καί μετά τήν πλήρωσιν τῆς ὑπέρ ἡμῶν οἰκονομίας, μετά τοῦ προσληφθέντος ἀναληφθείς σώματος, οὐρανόν καί γῆν ἥνωσε δι᾽ ἑαυτοῦ· καί τοῖς νοητοῖς συνῆψε τά αἰσθητά, καί μίαν ἔδειξε τήν κτιστήν φύσιν ταῖς τῶν ἑαυτῆς ἀκρότησι μερῶν, κατ᾽ ἀρετήν τε καί τῆς πρώτης αἰτίας ἐπίγνωσιν, πρός ἑαυτήν συνδεομένην· δεικνύς, οἶμαι, δι᾽ ὧν ἐπετέλει μυστικῶς, ὡς ὁ μέν λόγος ἐστί τῶν διεστώτων ἕνωσις· ἡ δέ ἀλογία, τῶν ἡνωμένων διαίρεσις· καί μάθωμεν λόγου μεταποιεῖσθαι διά τῆς πράξεως, ἵνα μή μόνον ἀγγέλοις κατ᾽ ἀρετήν, ἀλλά καί Θεῷ γνωστικῶς κατά τήν τῶν ὄντων ἑνωθῶμεν ἀφαίρεσιν.

Ζωῆς δέ θείας μεταποιεῖται μετάδοσιν, ἐδώδιμον ἑαυτόν ἐργαζόμενος, ὡς οἶδεν αὐτός, καί οἱ παρ᾽ αὐτοῦ τοιαύτην αἴσθησιν νοεράν εἰληφότες, ὥστε τῇ γεύσει ταύτης τῆς βρώσεως, εἰδέναι, κατ᾽ ἐπίγνωσιν ἀληθῶς, ὅτι χρηστός ὁ Κύριος, ποιότητι θείᾳ πρός θέωσιν μετακιρνῶν τούς ἐσθίοντας· οἷα δή σαφῶς ζωῆς καί δυνάμεως ἄρτος καί ὤν καί καλούμενος.

Τήν φύσιν δέ πρός ἑαυτήν ἀποκαθίστησιν, οὐ καθότι μόνον γενόμενος ἄνθρωπος, ἀπαθῆ τήν γνώμην πρός τήν φύσιν ἐτήρησε καί ἀστασίαστον· μηδέ πρός αὐτούς τούς σταυρώσαντας τῆς κατά φύσιν οἰκείας σαλευομένην τό σύνολον βάσεως· τοὐναντίον δέ μᾶλλον αἱρουμένην ἀντί ζωῆς τόν ὑπέρ αὐτῶν θάνατον· καθ᾽ ὅ καί τό τοῦ πάθους ἑκούσιον δείκνυται, (880) τῇ τοῦ πάσχοντος φιλανθρώπῳ διαθέσει κυρούμενον· ἀλλ᾽ ὅτι καί τήν ἔχθραν κατήργησε, προσηλώσας τῷ σταυρῷ τό τῆς ἁμαρτίας χειρόγραφον, δι᾽ ὅ πρός

ἑαυτήν ἀσπόνδως εἶχεν ἡ φύσις τόν πόλεμον· καί τούς μακράν καί τούς ἐγγύς καλέσας, τούς ὑπό νόμον δηλαδή καί τούς ἔξω νόμου· καί τό μεσότοιχον τοῦ φραγμοῦ λύσας, τόν νόμον δηλονότι τῶν ἐντολῶν σαφηνίσας ἐν δόγμασι· τούς δύο ἔκτισεν εἰς ἕνα καινόν ἄνθρωπον, ποιῶν εἰρήνην καί ἀποκαταλλάσσων ἡμᾶς δι᾽ ἑαυτοῦ τῷ Πατρί, καί ἀλλήλοις, οὐκ ἔχοντας ἔτι τήν γνώμην ἀνθισταμένην τῷ λόγῳ τῆς φύσεως· ἀλλ᾽ ὥσπερ τήν φύσιν, οὕτω καί τήν γνώμην ὄντας ἀναλλοιώτους.

Καθαράν δέ τοῦ νόμου τῆς ἁμαρτίας τήν φύσιν καθίστησιν, ἡδονήν προκαθηγεῖσθαι τῆς δι᾽ ἡμᾶς αὐτοῦ μή συγχωρήσας σαρκώσεως· ἄσπορος γάρ γέγονε παραδόξως ἡ σύλληψις, καί ἄφθορος ὑπέρ φύσιν ἡ γέννησις· ἐπισφίγγοντος δηλαδή τοῦ τεχθέντος Θεοῦ τῇ μητρί, πλέον τῆς φύσεως, τά δεσμά τῆς παρθενίας διά γεννήσεως· καί τήν φύσιν ἅπασαν, τῆς τοῦ κρατήσαντος νόμου δυναστείας, ἐν τοῖς βουλομένοις ἐλευθεροῦντος τῇ κατ᾽ αἴσθησιν νεκρώσει τῶν ἐπί γῆς μελῶν, τόν αὐτοῦ μιμουμένοις αὐθαίρετον θάνατον. Βουλομένων γάρ, οὐ τυραννουμένων τό τῆς σωτηρίας μυστήριον.

Τῆς δέ τοῦ κρατήσαντος ἡμῶν δι᾽ ἀπάτης πονηροῦ τυραννίδος ποιεῖται καθαίρεσιν, τήν σάρκα τήν νικηθεῖσαν ἐν τῷ Ἀδάμ, ὅπλον κατ᾽ αὐτοῦ προβαλλόμενος, καί νικῶν· ἵνα δείξῃ τήν πρότερον ἁλοῦσαν πρός θάνατον, ἑλοῦσαν τόν ἑλόντα, καί θανάτῳ φυσικῷ τήν ἐκείνου ζωήν διαφθείρουσαν· καί γινομένην, αὐτῷ μέν δηλητήριον, πρός τό πάντας οὕς κατέπιεν ἰσχύσας, ὡς ἔχων τοῦ θανάτου τό κράτος, ἐμέσαι· ζωήν δέ τῷ γένει τῶν ἀνθρώπων, πᾶσαν ὥσπερ φύραμα τήν φύσιν πρός ἀνάστασιν ὠθοῦσαν ζωῆς, ὑπέρ ἧς μάλιστα Θεός ὤν ὁ Λόγος, (881) ἄνθρωπος γίνεται (τό ξένον ὄντως πρᾶγμα καί ἄκουσμα) καί τόν σαρκός θέλων καταδέχεται θάνατον. Τούτων ἁπάντων, ὡς ἔφην, αἴτησιν ἔχων ὁ τῆς προσευχῆς εὑρεθήσεται λόγος.

Πατέρα γάρ, καί Πατρός ὄνομα λέγει, καί βασιλείαν· καί τούτου τοῦ Πατρός αὖθις Υἱόν ἐν χάριτι, τόν προσευχόμενον ὄντα παρίστησιν. Ἑνός τε θελήματος τούς ἐν οὐρανῷ καί γῇ γενέσθαι ζητεῖ. Ἄρτον αἰτεῖσθαι προστάττειν τόν ἐπιούσιον. Καταλλαγήν τοῖς ἀνθρώποις νομοθετεῖ [alter codex ἐπιζητεῖ], καί τῷ συγχωρεῖν καί συγχωρεῖσθαι τήν φύσιν πρός ἑαυτήν συνδεῖ, τῇ διαφορᾷ τῆς γνώμης μή τεμνομένην. Εἴς τε πειρασμόν εἰσελθεῖν, ὡς νόμον ἁμαρτίας, ἀπεύχεσθαι διδάσκει· καί ῥυσθεῖναι τοῦ πονηροῦ παραινεῖ. Ἔδει γάρ τόν αὐτουργόν καί δοτῆρα τῶν ἀγαθῶν εἶναι καί διδάσκαλον, οἷα δή

μαθηταῖς, τοῖς πιστεύουσιν εἰς αὐτόν, καί μιμουμένοις αὐτοῦ τήν διά σαρκός ἀγωγήν, ὑποθήκας ζωῆς ταύτης παρεχόμενον τῆς προσευχῆς τά ῥητά [Cat. Fr. Venet., ῥήματα]· δι᾽ ὧν τούς ἐν αὐτῷ κατ᾽ εἶδος ὑφεστῶτας τῆς σοφίας καί τῆς γνώσεως ἀποκρύφους ἐμήνυε θησαυρούς, πρός τήν αὐτῶν ἀπόλαυσιν δηλονότι τῶν αἰτούντων ἐλαύνων τήν ἔφεσιν.

Διά τοῦτο προσευχήν, οἶμαι, ταύτην κέκληκε τήν διδασκαλίαν ὁ Λόγος, ὡς αἴτησιν ἔχουσαν τῶν ἀνθρώποις κατά χάριν ἐκ Θεοῦ διδομένων δώρων. Οὕτω γάρ οἱ θεόπνευστοι Πατέρες ἡμῶν ὁριστικῶς περί τῆς προσευχῆς διεξῆλθον, φήσαντες, εἶναι τήν προσευχήν αἴτησιν, ὧν Θεός πρεπόντως ἑαυτῷ δωρεῖσθαι πέφυκεν ἀνθρώποις· ὥσπερ καί τήν εὐχήν, ὑπόσχεσιν, ἤγουν ἐπαγγελίαν, ὧν γνησίως λατρεύοντες Θεῷ προσκομίζουσιν ἄνθρωποι, τήν Γραφήν μαρτυροῦσαν τῷ οἰκείῳ λόγῳ πολλαχῶς παραστήσαντες, ὡς τό, Εὔξασθε, καί ἀπόδοτε Κυρίῳ τῷ Θεῷ ἡμῶν· καί, Ὅσα ηὐξάμην, ἀποδώσω σοι Σωτῆρί μου τῷ Κυρίῳ· περί τῆς εὐχῆς εἰρημένα· καί αὖθις περί προσευχῆς, ὡς τό, Καί προσηύξατο Ἄννα πρός Κύριον, λέγουσα· Κύριε Ἀδωναΐ, Ἐλωΐ σαβαώθ, ἐάν εἰσακούων εἰσακούσης τῆς δούλης σου, καί δῷς μοι καρπόν κοιλίας· καί, Προσηύξατο Ἐζεκίας βασιλεύς Ἰούδα, καί Ἠσαΐας υἱός Ἀμῶς ὁ προφήτης πρός Κύριον· καί τό, Ὅτ᾽ ἄν ὑμεῖς προσεύχησθε, λέγετε Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, παρά τοῦ Κυρίου τοῖς μαθηταῖς εἰρημένον· ὡς εἶναι δύνασθαι τήν μέν εὐχήν, ἐντολῶν τήρησιν κατά γνώμην τοῦ ηὐγμένου κεκυρωμένην· τήν δέ προσευχήν, τῆς πρός τά τηρηθέντα καλά τοῦ τετηρηκότος μεταποιήσεως αἴτησιν· ἤ μᾶλλον, τήν μέν εὐχήν ἀρετῆς ἆθλον, ὅ δή μάλιστα προσφιλῶς δέχεται Θεός προσκομιζόμενον· τήν δέ προσευχήν, ἀρετῆς ἔπαθλον· ὅ δή μάλα χαίρων Θεός ἀντιδίδωσιν.

(884) Οὐκοῦν, ἐπειδή δέδεικται τῶν ὑπό τοῦ Λόγου σαρκωθέντος ἀγαθῶν αἴτησιν εἶναι τήν προσευχήν, αὐτόν προστησάμενοι τοῦ Λόγου τῆς προσευχῆς τόν διδάσκαλον, θαῤῥοῦντες ἐπέλθωμεν, ἐπιμελῶς ἑκάστου ῥητοῦ γυμνάσαντες [Venet. et. Fr. γυμνάζοντες], ὡς οἷον τε θεωρίᾳ τήν ἔννοιαν· ὡς αὐτός τε χορηγεῖν συμφερόντως εἴωθεν ὁ Λόγος, καί χωρεῖν δίδωσι τῆς τοῦ λέγοντος διανοίας τήν δύναμιν.

Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς· ἁγιασθήτω τό ὄνομά σου· ἐλθέτω ἡ βασιλεία σου.

Εὐθύς καθηκόντως θεολογίας ἐν τούτοις ἀπάρξασθαι διδάσκει τοῖς προσευχομένοις ὁ Κύριος, καί τήν πως ὕπαρξιν τῆς τῶν ὄντων ποιητικῆς αἰτίας μυσταγωγεῖ, κατ᾽ οὐσίαν τῶν ὄντων αἴτιος ὤν. Πατρός γάρ, καί ὀνόματος Πατρός, καί βασιλείας Πατρός δήλωσιν ἔχει τῆς προσευχῆς τά ῥητά· ἵν᾽ ἀπ᾽ αὐτῆς διδαχθῶμεν τῆς ἀρχῆς τήν μοναδικήν Τριάδα σέβειν, ἐπικαλεῖσθαί τε καί προσκυνεῖν. Ὄνομα γάρ τοῦ Θεοῦ καί Πατρός οὐσιωδῶς ὑφεστώς ἐστιν ὁ μονογενής Υἱός· καί βασιλεία τοῦ Θεοῦ καί Πατρός, οὐσιωδῶς ἐστιν ὑφεστῶσα, τό Πνεῦμα τό ἅγιον.Ὅ γάρ ἐνταῦθα Ματθαῖός φησι βασιλείαν, ἀλλαχοῦ τῶν εὐαγγελιστῶν ἕτερος Πνεῦμα κέκληκεν ἅγιον, φάσκων, Ἐλθέτω σου τό Πνεῦμα τό ἅγιον, καί καθαρισάτω ἡμᾶς. Οὐ γάρ ἐπίκτητον ὁ Πατήρ ἔχει τό ὄνομα, οὔτε μήν ὡς ἀξίαν ἐπιθεωρουμένην αὐτῷ νοοῦμεν τήν βασιλείαν. Οὐκ ἦρκται γάρ τοῦ εἶναι, ἵνα καί τοῦ πατήρ ἤ βασιλεύς εἶναι ἄρξηται· ἀλλ᾽ ἀεί ὤν, ἀεί καί πατήρ ἐστι καί βασιλεύς· μήτε τοῦ εἶναι, μήτε τοῦ πατήρ ἤ βασιλεύς εἶναι τό παράπαν ἠργμένος. Εἰ δέ ἀεί ὤν, ἀεί καί πατήρ ἐστι καί βασιλεύς, ἀεί ἄρα καί ὁ Υἱός καί τό Πνεῦμα τό ἅγιον οὐσιωδῶς τῷ Πατρί συνυφεστήκασιν, ἐξ αὐτοῦ τε ὄντα, καί ἐν αὐτῷ φυσικῶς, ὑπέρ αἰτίαν καί λόγον, ἀλλ᾽ οὐ μετ᾽ αὐτόν, γενόμενα δι᾽ αἰτίαν ὕστερον. Ἡ γάρ σχέσις συνενδείξεων κέκτηται δύναμιν, τά ὧν ἔστι τε καί λέγεται σχέσις, μετ᾽ ἄλληλα θεωρεῖσθαι μή συγχωροῦσα.

Ταύτης οὖν ἀπαρξάμενοι τῆς προσευχῆς, γεραίρειν ἐναγόμεθα [in cat. ἐπειγόμεθα] τήν ὁμοούσιόν τε καί ὑπερούσιον Τριάδα, ὡς ποιητικήν αἰτίαν τῆς ἡμετέρας γενέσεως. Πρός δέ, καί τήν εἰς ἡμᾶς ἐξαγγέλειν διδασκόμεθα χάριν τῆς υἱοθεσίας, τόν φύσει δημιουργόν χάριτι Πατέρα καλεῖν ἀξιούμενοι· ἵνα τοῦ κατά χάριν Γεννήτορος αἰδεσθέντες τήν προσηγορίαν, ἐν τῷ βίῳ τούς χαρακτῆρας ἐπισημαίνειν σπουδάζωμεν τοῦ γεννήσαντος, ἁγιάζοντος αὐτοῦ ἐπί γῆς τό ὄνομα, ( 885) καί πατρώζοντες, καί τέκνα διά τῶν πραγμάτων δεικνύμενοι, καί τόν ταύτης αὐτουργόν τῆς υἱοθεσίας φυσικόν τοῦ Πατρός Υἱόν, δι᾽ ὧν νοοῦμεν ἤ πράττομεν, μεγαλύνοντες.

Ἁγιάζομεν δέ τοῦ ἐν οὐρανοῖς κατά χάριν Πατρός τό ὄνομα, τήν πρόσυλον δηλαδή νεκροῦντες ἐπιθυμίαν, καί φθοροποιῶν ἐκκαθαιρόμενοι παθῶν· εἴπερ ἁγιασμός ἐστιν, ἡ κατ᾽ αἴσθησιν τῆς ἐπιθυμίας παντελής ἀκινησία [cat. ἐξορία] καί νέκρωσις· ἐν ᾗ γενόμενοι, τάς ἀπρεπεῖς τοῦ θυμοῦ κατευνάζομεν ὑλακάς, οὐκ

ἔχοντος ἔτι διεγείρουσαν αὐτόν, καί τῶν οἰκείων ἡδονῶν ὑπεραγωνίζεσθαι πείθουσαν τήν ἐπιθυμίαν, ἤδη τῇ κατά τόν λόγον ἁγιότητι νεκρωθεῖσαν. Κατά φύσιν γάρ τῆς ἐπιθυμίας ὑπάρχων ἔκδικος ὁ θυμός, τοῦ μαίνεσθαι παύεσθαι πέφυκεν, ὁπηνίκα ταύτην ἴδῃ νεκρωμένην.

Εἰκότως οὖν, τῇ τοῦ θυμοῦ καί τῆς ἐπιθυμίας ἀποβολῇ, τό τῆς βασιλείας τοῦ Θεοῦ καί Πατρός κατά τήν προσευχήν ἐπιγίνεται κράτος, τοῖς μετά τήν τούτων ἀπόθεσιν λέγειν ἀξιουμένοις, Ἐλθέτω ἡ βασιλεία σου· τουτέστι, τό Πνεῦμα τό ἅγιον· ἤδη τῷ τῆς πραότητος λόγῳ τε καί τρόπῳ ναοποιηθεῖσι τῷ Θεῷ διά τοῦ Πνεύματος. Ἐπί τίνα γάρ, φησί, καταπαύσω, ἀλλ᾽ ἤ ἐπί τόν πρᾶον καί ταπεινόν, καί τρέμοντά μου τούς λόγους; ὡς ἐντεῦθεν εἶναι δῆλον, ὅτι τῶν ταπεινῶν καί πραέων ἐστίν ἡ βασιλεία τοῦ Θεοῦ καί Πατρός. Μακάριοι γάρ, φησίν, οἱ πραεῖς, ὅτι αὐτοί κληρονομήσουσι τήν γῆν. Γῆν ταύτην κατά φύσιν μέσην τοῦ παντός ἀπολαβοῦσαν θέσιν ὁ Θεός οὐκ ἐπηγγείλατο τοῖς ἀγαπῶσιν αὐτόν κληρονομίαν· εἴπερ ἀληθεύει φάσκων, Ὅταν γάρ ἐκ νεκρῶν ἀναστῶσιν, οὔτε γαμοῦσιν, οὔτε γαμίζονται· ἀλλ᾽ εἰσίν ὡς ἄγγελοί ἐν τοῖς οὐρανοῖς. Καί, Δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τήν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπό καταβολῆς κόσμου. Καί ἀλλαχοῦ πάλιν ἑτέρῳ μετ᾽ εὐνοίας δουλεύσαντι, Εἴσελθε εἰς τήν χαράν τοῦ Κυρίου σου. Καί μετ᾽ αὐτόν ὁ θεῖος Ἀπόστολος, Σαλπίσει γάρ, καί οἱ νεκροί ἐν Χριστῷ, πρῶτοι ἐγερθήσονται ἄφθαρτοι. Ἔπειτα ἡμεῖς οἱ ζῶντες, οἱ παραλειπόμενοι, ἅμα σύν αὐτοῖς ἁρπαγησόμεθα ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ Κυρίου εἰς ἀέρα, καί οὕτω πάντοτε σύν Κυρίῳ ἐσόμεθα.

Τούτων οὖν οὕτως ἐπηγγελμένων τοῖς ἀγαπῶσι τόν Κύριον, τίς μόνῳ τῷ ῥητῷ τῆς Γραφῆς προσηλώσας τόν νοῦν, τόν οὐρανόν, καί τήν ἡτοιμασμένην ἀπό καταβολῆς κόσμου βασιλείαν, καί τήν τοῦ Κυρίου μυστικῶς ἀποκεκρυμμένην χαράν, καί τήν διηνεκῆ καί παντελῶς ἀδιάστατον σύν Κυρίῳ τῶν ἀξίων μόνην τε καί ἵδρυσιν, ταυτόν ποτ᾽ ἄν τῇ γῇ φήσειε, λόγῳ κινούμενος, καί λόγου θεραπευτής εἶναι ποθῶν; Ἀλλά νῦν γῆν φάσκειν οἶμαι, τήν παγίαν καί παντελῶς ἀμετάθετον ἀπό τοῦ καλοῦ τῆς τῶν (888) πραέων ἀτρεψίας ἕξιν καί δύναμιν, ὡς ἀεί σύν Κυρίῳ ὑπάρχουσαν, καί χαράν ἀνέκλειπτον ἔχουσαν, καί βασιλείας ἀνέκαθεν ἡτοιμασμένης ἐπειλημμένην, καί τῆς ἐν οὐρανῷ στάσεώς τε καί τάξεως ἠξιωμένην· οἷα δή γῆν τινα μέσην [alter codex, γῆν, μέσην] τοῦ παντός θέσιν ἀπολαβοῦσαν τῆς

ἀρετῆς τόν λόγον· καθ᾽ ὅν μέσος εὐφημίας καί δυσφημίας ὑπάρχων ὁ πρᾶος, ἀπαθής διαμένει, μήτε ταῖς εὐφημίαις [ἐπαιρόμενος ἤ κενοδοξῶν] φυσώμενος, μήτε ταῖς δυσφημίαις στυγνούμενος [λυπούμενος]. Ὧν γάρ ὁ λόγος ὑπάρχει κατά φύσιν ἐλεύθερος, ἀποστήσας τήν ἔφεσιν, τούτων διοχλούντων ταῖς προσβολαῖς οὐκ αἰσθάνεται, καταπαύσας ἑαυτόν τῆς περί ταῦτας ζάλης, καί πρός τήν θείαν καί ἄπρακτον ἐλευθερίαν ὅλην τῆς ψυχῆς μεθορμήσας τήν δύναμιν· ἧς τοῖς ἑαυτοῦ μαθηταῖς ὁ Κύριος μεταδοῦναι ποθῶν, Ἄρατε, φησίν, τόν ζυγόν μου ἐφ᾽ ὑμᾶς, καί μάθετε ἀπ᾽ ἐμοῦ, ὅτι πρᾶός εἰμι, καί ταπεινός τῇ καρδίᾳ· καί εὑρήσεται ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν· ἀνάπαυσιν λέγων, τό τῆς θείας βασιλείας κράτος, ὡς πάσης ἀπηλλαγμένην δουλείας τοῖς ἀξίοις ἐμποιοῦν δεσποτείαν.

Εἰ δέ τοῖς ταπεινοῖς καί πράοις τό ἀκαθαίρετον τῆς ἀκηράτου βασιλείας δίδοται κράτος, τίς οὕτως ἀνέραστος καί πάντη τῶν θείων ἀνόρεκτος ἀγαθῶν, ὡς μή κατ᾽ ἄκρον ἐφίεσθαι ταπεινώσεως καί πραότητος, ἵνα γένηται τῆς θείας χαρακτήρ βασιλείας, ὡς ἐφικτόν ἐστιν ἀνθρώπῳ, φέρων ἐν ἑαυτῷ τοῦ φύσει κατ᾽ οὐσίαν ὡς ἀληθῶς μεγάλου βασιλέως Χριστοῦ, κατά τήν χάριν ἀπαράλλακτον τήν ἐν πνεύματι μόρφωσιν; ἐν ᾗ, φησίν ὁ θεῖος Ἀπόστολος, οὐκ ἔστιν ἄῤῥεν καί θῆλυ· τουτέστι, θυμός καί ἐπιθυμία· ὁ μέν τυραννικῶς ἐκφέρων τόν λογισμόν, καί τοῦ νόμου τῆς φύσεως ἔξω ποιούμενος τήν διάνοιαν· ἡ δέ, τῆς μιᾶς καί μόνης ἐφετῆς τε καί ἀπαθοῦς αἰτίας καί φύσεως ποιουμένη τά μετ᾽ αὐτήν ἐρασμιώτερα, καί διά τοῦτο τήν σάρκα προτιμοτέραν τιθεμένη τοῦ πνεύματος· καί τῆς νοουμένων δόξης τε καί λαμπρότητος ἐπιτερπεστέραν ἐργαζομένη τήν τῶν φαινομένων ἀπόλαυσιν· τῷ κατ᾽ αἴσθησιν λείῳ τῆς ἡδονῆς, ἀπείργουσα τόν νοῦν τῆς θείας καί συγγενοῦς τῶν νοητῶν ἀντιλήψεως· ἀλλ᾽ ἤ λόγος μονώτατος, καί αὐτῆς εἰς ἄκρον τῆς ἀπαθοῦς μέν, φυσικῆς δέ ὅμως τοῦ σώματος δι᾽ ἀρετῆς περιουσίαν γυμνούμενος στοργῆς καί διαθέσεως, νικῶντος τελείως τήν φύσιν τοῦ πνεύματος, καί τῆς ἠθικῆς πείθοντος σχολάσαι φιλοσοφίας, ἡνίκα συγγίνεσθαι δέοι τῷ ὑπερουσίῳ λόγῳ δι᾽ ἁπλῆς καί ἀμεροῦς θεωρίας, τόν νοῦν· κἄν συντελεῖν αὐτῷ πέφυκεν, εἰς ῥαδίαν τῶν χρονικῶς ῥεόντων τομήν καί διάβολον· ὧν διαβαθέντων, οὐκ εὔλογον ἐπιβαρεῖσθαι καθάπερ μηλωτῇ τῷ κατ᾽ ἦθος τρόπῳ, τόν ἀποφαθέντα τοῖς αἰσθητοῖς ἀκατάσχετον.

Καί δηλοῖ τοῦτο σαφῶς Ἠλίας ὁ μέγας, δι᾽ ὧν ἔπραττε τυπικῶς τοῦτο παραδεικνύς τό μυστήριον· (889) τήν μέν μηλωτήν, φημί δέ τῆς σαρκός τήν νέκρωσιν, ἐν ᾗ τό μεγαλοπρεπές πέπηγε τῆς ἠθικῆς κοσμιότητος, κατά τήν ἁρπαγήν Ἑλισσαίῳ διδούς εἰς συμμαχίαν τοῦ πνεύματος κατά πάσης ἀντικειμένης δυνάμεως, καί πληγήν τῆς ἀστάτου καί ῥεούσης φύσεως· ἧς τύπος ὑπῆρχεν ὁ Ἰορδάνης, πρός τό μή σχεθῆναι τόν μαθητήν τῆς πρός τήν ἁγίαν γῆν διαβάσεως, τῷ θολερῷ τε καί ὀλισθηρῷ περικλυσθέντα τῆς τῶν ὑλικῶν προσπαθείας· αὐτός δέ χωρῶν πρός τόν Θεόν ἄνετος, οὐδενί τῶν ὄντων παντελῶς κατά τήν σχέσιν κρατούμενος, ἁπλοῦς τε τήν ἔφεσιν καί τήν γνώμην ἀσύνθετος, πρός τόν ἁπλοῦν τῇ φύσει, διά τῶν ἀλληλούχων γενικῶν ἀρετῶν, γνωστικῶς ἀλλήλαις συνῃρημένων, ὡς ἵππων πυρίνων τήν ἐνδημίαν ποιούμενος. Ἔγνω γάρ ὅτι δεῖ τῷ Χριστοῦ μαθητῇ [Fr. alterge Reg. τόν Χριστοῦ μαθητήν] ἀπογενέσθαι τάς ἀνίσους διαθέσεις, ὧν ἡ διαφορότης ἐλέγχει τήν ἀλλοτρίωσιν· εἴπερ διάχυσιν μέν τοῦ περί καρδίαν αἵματος τό κατ᾽ ἐπιθυμίαν πάθος· αἵματος δέ ζέσιν, κινούμενον σαφῶς τό θυμικόν ἀπεργάζεται· καί φθάσας οἷα δή ζῶν ἐν Χριστῷ καί κινούμενος καί ὤν, ἑαυτοῦ τήν τῶν ἀνίσων ἀλλόκοτον [alter codex, καί ἀλλοκότων] ἀπέθετο γένεσιν· μή φέρων ἐν ἑαυτῷ καθάπερ ἄῤῥεν καί θῆλυ, τάς ἐναντίας, ὡς ἔφην, τούτων τῶν παθῶν διαθέσεις· ἵνα μή δουλωθῇ τούτοις ὁ λόγος, ταῖς αὐτῶν ἀστάτοις μεταβολαῖς ἀλλοιούμενος, ᾧ φυσικῶς τό τῆς θείας εἰκόνος ἐγκέκραται σέβας, πεῖθον τήν ψυχήν ματαπλασθῆναι κατά τήν γνώμην πρός τήν θείαν ὁμοίωσιν, καί γενέσθαι τῆς συνυφισταμένης οὐσιωδῶς τῷ Θεῷ καί Πατρί τῶν ὅλων μεγάλης βασιλείας, ὡς Πνεύματος ἁγίου παμφαές οἰκητήριον, ὅλην δεχόμενον, εἰ θέμις εἰπεῖν, τῆς θείας φύσεως κατά τό δυνατόν, τήν ἐξουσίαν τῆς γνώσεως· καθ᾽ ἥν ἡ μέν τῶν χειρόνων ἀπογίνεσθαι, τῶν δέ κρειττόντων ὑφίστασθαι πέφυκε γένεσις, ἴσα Θεῷ τῆς ψυχῆς κατά τήν χάριν τῆς κλήσεως ἄσυλον φυλαττούσης ἐν ἑαυτῇ τῶν δωρηθέντων καλῶν τήν ὑπόστασιν· καθ᾽ ἥν ἀεί θέλων Χριστός γεννᾶται μυστικῶς, διά τῶν σωζομένων σαρκούμενος· καί μητέρα παρθένων ἀπεργαζόμενος τήν γεννῶσαν ψυχήν, οὐκ ἔχουσαν, ἵνα συνελών εἴπω, κατά τήν σχέσιν, ὥσπερ ἄῤῥεν καί θῆλυ, τά γνωρίσματα τῆς ὑπό φθοράν καί γένεσιν φύσεως.

Ξενιζέσθω δέ μηδείς, τήν φθοράν τῆς γενέσεως ἀκούων προτατομένην. Ἀπαθῶς γάρ σύν ὀρθῷ λόγῳ τήν τῶν γινομένων καί ἀπογινομένων φύσιν διασκοπήσας, εὑρήσει σαφῶς ἐκ φθορᾶς καί εἰς

φθοράν τήν γένεσιν ἀρχομένην καί λήγουσαν· ἧς τά σημαντικά πάθη, καθάπερ ἔφην, οὐκ ἔχει Χριστός· ἤγουν ὁ τοῦ Χριστοῦ τε καί κατά Χριστόν βίος τε καί λόγος· εἴπερ ὁ λέγων ἐστίν ἀληθής, Ἐν γάρ Χριστῷ Ἰησοῦ, οὐκ ἔστιν ἄῤῥεν καί θῆλυ· τά σημεῖα δηλαδή, καί τά πάθη δηλῶν τῆς ὑπό φθοράν καί γένεσιν φύσεως· ἀλλ᾽ ἤ μόνον θεοειδής λόγος γνώσει θείᾳ, πεποιωμένος, καί γνώμης μοναδική κίνησις, μόνην αἱρουμένη τήν ἀρετήν.

(892) Οὔτε Ἕλλην καί Ἰουδαῖος, δι᾽ ὧν τῆς περί Θεοῦ δόξης ὁ διάφορος σημαίνεται λόγος· ἤ, τό γε μᾶλλον ἀληθέστερον εἰπεῖν, ἀντικείμενος. Ὁ μέν [Marg. Ἑλληνικός λόγος] ἀφρόνως εἰσηγούμενος πολυαρχίαν, καί τήν μίαν ἀρχήν ἀντικειμέναις ἐνεργείαις τε καί δυνάμεσι καταμερίζων· καί πλαττόμενος σέβας πολύθεον, τῷ τε πλήθει τῶν προσκυνουμένων στασιαζόμενον, καί τῷ διαφόρῳ τῆς προσκυνήσεως τρόπῳ γελώμενον. Ὁ δέ [Marg. Ἰουδαϊκός λόγος] μίαν μέν, στενήν δέ καί ἀτελῆ, καί σχεδόν ἀνυπόστατον, ὡς λόγου καί ζωῆς ἔρημον, πρός ἴσον κακόν τῷ προτέρῳ λόγῳ διά τῶν ἐναντίων ἐκπίπτων, τήν ἀθεΐαν· ἑνί περιγράφων προσώπῳ τήν μίαν ἀρχήν, καί ταύτην δίχα Λόγου καί Πνεύματος ὑφισταμένην· ἤ Λόγῳ καί Πνεύματι πεποιωμένην· μή συνορῶν, ὅτι τίς Θεός, τούτων ἠμοιρημένος· ἤ πῶς Θεός μεθέξει παραπλησίως τοῖς ὑπό γένεσιν λογικοῖς ὡς συμβεβηκότων τούτων μεμοιραμένος· ὧν ἐν Χριστῷ τό παράπαν, ὡς ἔφην, οὐδείς· ἀλλά μόνος ἀληθοῦς εὐσεβείας λόγος, καί πάγιος μυστικῆς θεολογίας θεσμός, τήν τε τοῦ προτέρου λόγου διαστολήν τῆς θεότητος ἀποπεμπόμενος καί τήν τοῦ δευτέρου μή παραδεχόμενος συστολήν· ἵνα μή τῷ φυσικῷ πλήθει στασιαστικόν· Ἑλληνικόν γάρ ἤ τῷ καθ᾽ ὑπόστασιν ἑνικῷ παθητόν· Ἰουδαϊκόν γάρ, ὡς Λόγου καί Πνεύματος ἐστερημένον, ἤ Λόγῳ καί Πνεύματι πεποιωμένον· ἀλλ᾽ οὐκ ὄν νοῦς καί Λόγος καί Πνεῦμα τό θεῖον πρεσβεύεται· καί διδάσκων ἡμᾶς, τούς κλήσει χάριτος κατά πίστιν εἰσπεποιημένους εἰς ἐπίγνωσιν ἀληθείας, μίαν εἰδέναι θεότητος φύσιν καί δύναμιν· ἤγουν, ἕνα Θεόν ἐν Πατρί καί Υἱῷ καί ἁγίῳ Πνεύματι θεωρούμενον· οἷα δή μόνον ἀναίτιον νοῦν οὐσιωδῶς ὑφεστῶτα, μόνου κατ᾽ οὐσίαν ὑφεστῶτος ἀνάρχου Λόγου γεννήτορα, καί μόνης ἀϊδίου ζωῆς οὐσιωδῶς ὑφεστώσης, ὡς Πνεύματος ἁγίου πηγήν· ἐν μονάδι Τριάδα, καί ἐν Τριάδι μονάδα· οὐκ ἄλλην ἐν ἄλλῃ· οὐ γάρ ὡς ἐν οὐσίᾳ τῇ μονάδι συμβεβηκός ἐστιν ἡ Τριάς· ἤ τό ἔμπαλιν, ἐν Τριάδι μονάς· ἄποιος γάρ. Οὐδ᾽ ὡς ἄλλην καί ἄλλην· οὐ γάρ ἑτερότητι φύσεως τῆς

Τριάδος ἡ μονάς διενήνοχεν ἁπλῆ τε καί μία φύσις τυγχάνουσα. Οὐδ'ὡς ἄλλην παρ᾽ ἄλλην, οὐ γάρ ὑφέσει δυνάμεως διακέκριται τῆς μονάδος ἡ Τριάς, ἤ τῆς Τριάδος ἡ μονάς· ἤ ὡς κοινόν τι καί γενικόν ἐπινοίᾳ μόνῃ θεωρητόν τῶν ὑπ᾽ αὐτό μερικῶν, παρήλλακται τῆς Τριάδος ἡ μονάς, οὐσία κυρίως ἀνθύπαρκτος οὖσα, καί δύναμις ὄντως αὐτοσθενής. Οὐδ᾽ ὡς δι᾽ ἄλλης ἄλλην· οὐ γάρ μεσιτεύεται σχέσει τό ταυτόν πάντη καί ἄσχετον, ὡς πρός αἴτιον αἰτιατόν. Οὐδ᾽ ὡς ἐξ ἄλλης ἄλλην· οὐ γάρ κατά παραγωγήν ἐκ μονάδος Τριάς, ἀγένητος ὑπάρχουσα καί αὐτέκφαντος· ἀλλά τήν αὐτήν ὡς ἀληθῶς μονάδα καί Τριάδα, καί λεγομένην καί νοουμένην· τό μέν, τῷ κατ᾽ οὐσίαν λόγῳ· (893) τό δέ, τῷ καθ᾽ ὕπαρξιν τρόπῳ· ὅλην μονάδα τήν αὐτήν, μή μεμερισμένην ταῖς ὑποστάσεσι· καί ὅλην Τριάδα τήν αὐτήν, τῇ μονάδι μή συγκεχυμένην· ἵνα μή τῷ μερισμῷ τό πολύθεον, ἤ τῇ συγχύσει τό ἄθεον εἰσκομίζηται· ἅπερ φεύγων ὁ κατά Χριστόν λαμπρύνεται λόγος. Λέγω δέ Χριστοῦ λόγον, τό καινόν κήρυγμα τῆς ἀληθείας ἐν ᾧ οὐκ ἔστιν ἄῤῥεν καί θῆλυ· φημί δέ τά σημεῖα, καί τά πάθη τῆς ὑπό φθοράν καί γένεσιν φύσεως· οὐχ Ἕλλην καί Ἰουδαῖος, οἱ περί θεότητος ἀντικείμενοι λόγοι· οὐ περιτομή καί ἀκροβυστία, αἱ τούτοις δηλαδή κατάλληλοι λατρεῖα· ἡ μέν, διά τά σύμβολα τοῦ νόμου, τήν φαινομένην κτίσιν κακίζουσα, καί τόν κτίστην ὡς κακῶν ποιητήν διαβάλλουσα· ἡ δέ, διά τά πάθη ταύτην θεοποιοῦσα, καί τῷ κτίστῃ ἐπανιστῶσα τό ποίημα· καί πρός ἴσον κακόν ἄμφω τήν θείαν ὕβριν ἀλλήλαις συλλήγουσαι [Venet. συλλέγουσαι. Fr. συνάγουσαι]. Οὐ βάρβαρος καί Σκύθης· τουτέστιν, ἡ πρός ἑαυτήν στασιαστική τῆς μιᾶς φύσεως καί γνώμην διάστασις· καθ᾽ ἥν ὁ τῆς ἀλληλοκτονίας παρά φύσιν τοῖς ἀνθρώποις εἰσεφθάρη νόμος. Οὔτε δοῦλος καί ἐλεύθερος· ἡ τῆς αὐτῆς δηλονότι παρά γνώμην διαίρεσις φύσεως· ἄτιμον ποιουμένη τόν κατά φύσιν ὁμότιμον· νόμον ἐπίκουρον ἔχουσα, τήν τυραννοῦσαν τό τῆς εἰκόνος ἀξίωμα, τῶν δεσποζόντων διάθεσιν· Ἀλλά πάντα καί ἐν πᾶσι Χριστός, διά τῶν ὑπέρ φύσιν καί νόμον, τήν τῆς ἀνάρχου βασιλείας δημιουργῶν ἐν πνεύματι μόρφωσιν· ἥν, ὡς ἀποδέδεικται, πέφυκε χαρακτηρίζειν, καρδίας ταπείνωσις καί πραότης· ὧν ἡ σύνοδος τέλειον τόν κατά Χριστόν κτιζόμενον ἀποδείκνυσιν ἄνθρωπον. Πᾶς γάρ ταπεινόφρων, πάντως καί πρᾶος, καί πᾶς πρᾶος, πάντως καί ταπεινόφρων· ταπεινόφρων μέν, ὡς γνούς ἑαυτόν ἔχοντα τό εἶναι δεδανεισμένον· πρᾶος δέ, ὡς διαγνούς τῶν δοθεισῶν αὐτῷ κατά φύσιν δυνάμεων τήν χρῆσιν· καί τῷ μέν λόγῳ πρός ἀρετῆς γένεσιν τούτων

διδούς τήν ὑπηρεσίαν· τῆς αἰσθήσεως δέ τελείως τήν τούτων συστέλλων ἐνέργειαν. Καί διά τοῦτο κατά μέν τόν νοῦν, πρός Θεόν ἀεικίνητος ὤν· κατά δέ τήν αἴσθησιν, οὐδέ πάντων ὁμοῦ τῶν πρός σῶμα λυπηρῶν πεῖραν λαμβάνων παντελῶς κινούμενος, ἤ λύπης ἴχνος ἐντυπῶν τῇ ψυχῇ, πρός παραλλαγήν τῆς ἐν αὐτῇ χαροποιοῦ διαθέσεως· οὐ γάρ ἡγεῖται στέρησιν ἡδονῆς ὑπάρχειν, τό κατ᾽ αἴσθησιν ἀλγεινόν. Ἡδονήν γάρ μίαν ἐπίσταται, τήν τῆς ψυχῆς πρός τόν λόγον συμβίωσιν, ἧς ἡ στέρησις κόλασίς ἐστιν ἀτελεύτητος, πάντας φυσικῶς περιγράφουσα τούς αἰῶνας. Καί διά τοῦτο, τό τε σῶμα, καί πάντα τά τοῦ σώματος ἀφείς, πρός τήν θείαν φέρεται σύντονος συμβίωσιν· μίαν ζημίαν ἡγούμενος, κἄν πάντων δεσπόζῃ τῶν ἐπί γῆς, τήν τῆς προσδοκωμένης κατά χάριν θεώσεως ἀποτυχίαν.

(896) Ἁγνίσωμεν οὖν ἑαυτούς παντός μολυσμοῦ σαρκός καί πνεύματος, ἵνα τό θεῖον ἁγιάσωμεν ὄνομα, ἀκκιζομένην τοῖς πάθεσιν ἀπρεπῶς τήν ἐπιθυμίαν κατασβέσαντες· καί λόγῳ, ταῖς ἡδοναῖς ἀτάκτως ἐπιμαινόμενον τόν θυμόν, καταδήσωμεν· ἵνα διά τῆς πραότητος παραγινομένην ὑποδεξώμεθα τήν τοῦ Θεοῦ καί Πατρός βασιλείαν. Καί τόν ἐφεξῆς λόγον τῆς προσευχῆς τοῖς προτέροις ἁρμόσωμεν, λέγοντες.

Γενηθήτω τό θέλημά σου, ὡς ἐν οὐρανῷ, καί ἐπί τῆς γῆς.

Ὁ κατά μόνην τήν λογικήν δύναμιν, ἐπιθυμίας τε καί θυμοῦ κεχωρισμένην μυστικῶς προσάγων τῷ Θεῷ τήν λατρείαν, οὗτος ἐπί γῆς, ὡς ἐν οὐρανῷ τῶν ἀγγέλων αἱ τάξεις, τό θεῖον πεπλήρωκε θέλημα· διά πάντων τοῖς ἀγγέλοις ὁμολάτρης γενόμενος καί ὁμοδίαιτος, καθά πού φησιν ὁ μέγας Ἀπόστολος, Ἡμῶν δέ τό πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει· παρ᾽ οἷς οὐκ ἔστιν ἐπιθυμία, δι᾽ ἡδονῆς τούς νοερούς παραλύουσα τόνους· οὔτε θυμός λυσσῶν, καί τό συγγενές ἀσέμνως καθυλακτῶν· ἀλλά λόγος μονώτατος, πρός τόν πρῶτον λόγον φυσικῶς ἄγων τούς λογικούς· ᾧ μόνῳ χαίρει Θεός, καί παρ᾽ ἡμῶν αἰτεῖ τῶν αὐτοῦ δούλων. Καί τοῦτο δηλοῖ πρός τόν μέγαν φάσκων Δαβίδ· Τί γάρ μοι ὑπάρχει ἐν τῷ οὐρανῷ, καί παρά σοῦ τί ἠθέλησα ἐπί τῆς γῆς; Ὑπάρχει δέ τῷ Θεῷ ἐν οὐρανοῖς προσαγόμενον παρά τῶν ἁγίων ἀγγέλων, πλήν τῆς λογικῆς λατρείας οὐδέν· ἥν καί παρ᾽ ἡμῶν ἐπιζητῶν, προσευχομένους λέγειν ἐδίδαξε· Γενηθήτω τό θέλημά σου, ὡς ἐν οὐρανῷ, καί ἐπί τῆς γῆς.

Οὐκοῦν κινείσθω καί ἡμῶν πρός τήν τοῦ Θεοῦ ζήτησιν ὁ λόγος, πρός τε τόν αὐτοῦ πόθον ἡ κατ᾽ ἐπιθυμίαν δύναμις, καί πρός τήν αὐτοῦ φυλακήν ἀγωνιζέσθω τό θυμικόν· μᾶλλον δέ κυριώτερον εἰπεῖν, ὁ μέν νοῦς τετάσθω πᾶς πρός Θεόν· οἱονεί τόνῳ τινί τῷ θυμικῷ τρόπῳ νευρούμενος, καί πόθῳ τῇ κατ᾽ ἄκρον ἐφέσει τῆς ἐπιθυμίας πυρούμενος. Οὕτω γάρ τούς κατ᾽ οὐρανόν ἀγγέλους μιμούμενοι, τῷ Θεῷ διά πάντων λατρεύοντες εὑρεθησόμεθα· τήν αὐτήν τοῖς ἀγγέλοις ἐπί τῆς γῆς πολιτείαν ἐπιδεικνύμενοι· πρός οὐδέν τῶν μετά Θεόν ἴσως ἐκείνοις ἔχοντες τόν νοῦν τό παράπαν κινούμενον. Δεξόμεθα γάρ κατ᾽ εὐχάς οὕτω πολιτευόμενοι, καθάπερ ἄρτον ἐπιούσιόν τε καί ζωτικόν εἰς ἀποτροφήν τῶν ἡμετέρων ψυχῶν, (897) καί συντήρησιν τῆς τῶν χαρισθέντων ἡμῖν ἀγαθῶν εὐεξίας, τόν εἰπόντα Λόγον· Ἐγώ εἰμι ὁ ἄρτος, ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς, καί ζωήν διδούς τῷ κόσμῳ· ἀναλόγως ἡμῖν τοῖς τρεφομένοις δι᾽ ἀρετῆς καί σοφίας, πάντα γινόμενον· καί δι᾽ ἑκάστου τῶν σωζομένων ποικίλως, ὡς οἶδεν αὐτός, σωματούμενον· ἔτι κατά τόν αἰῶνα τοῦτον ὑπάρχοντες, κατά τήν τοῦ ῥητοῦ τῆς προσευχῆς δύναμιν τοῦ λέγοντος

Τόν ἄρτον ἡμῶν τόν ἐπιούσιον δός ἡμῖν σήμερον.

Τοῦτον γάρ οἶμαι δηλοῦσθαι τόν αἰῶνα διά τοῦ σήμερον· ὡς εἴ τις ἐπί τό σαφέστερον ἐκλαβών, εἴποι, τόν τόπον τῆς προσευχῆς, Τόν ἄρτον ἡμῶν, ὅν καταρχάς ἐπ᾽ ἀθανασίᾳ τῆς φύσεως ἡτοίμασας, δός ἡμῖν σήμερον, κατά τήν παροῦσαν ζωήν οὖσιν τῆς θνητότητος· ἵνα νικήσῃ τόν θάνατον τῆς ἁμαρτίας, ἡ τροφή τοῦ ἄρτου τῆς ζωῆς καί τῆς ἐπιγνώσεως· ἧς μέτοχον γενέσθαι τόν πρῶτον ἄνθρωπον, ἡ παράβασις τῆς θείας ἐντολῆς οὐ συνεχώρησεν. Ὡς εἴγε ταύτης ἐνεφορήθη τῆς θείας τροφῆς, οὐκ ἄν τῷ θανάτῳ τῆς ἁμαρτίας ἡλίσκετο.

Πλήν ὁ τόν ἄρτον τοῦτον λαβεῖν εὐχόμενος τόν ἐπιούσιον, οὐ πάντως ὅλον δέχεται καθώς αὐτός ὁ ἄρτος ἐστίν· ἀλλά καθώς αὐτός ὁ δεχόμενος δύναται. Πᾶσι μέν γάρ ἑαυτόν δίδωσι τοῖς αἰτοῦσιν ὁ τῆς ζωῆς ἄρτος, ὡς φιλάνθρωπος, οὐ κατά τό αὐτό δέ πᾶσιν· ἀλλά τοῖς μέν μεγάλα ἔργα πεποιηκόσι, πλειόνως· τοῖς δέ τούτων ἥττοσι, ἡττόνως· ἑκάστῳ μέν οὖν καθώς ἡ κατά νοῦν ἀξία δέξασθαι δύναται.

Πρός ταύτην δέ με τοῦ παρόντος ῥητοῦ τήν ἔννοιαν ἤγαγεν ὁ Σωτήρ, προστάσσων διαῤῥήδην τοῖς μαθηταῖς τροφῆς αἰθητῆς

παντελῶς μή ποιεῖσθαι λόγον, εἰπών, Μή μεριμνᾶτε τῇ ψυχῇ ὑμῶν τί φάγητε, ἤ τί πίητε· μήτε τῷ σώματι ὑμῶν τί περιβάλησθε· ταῦτα γάρ πάντα τά ἔθνη τοῦ κόσμου ἐπιζητοῦσιν· ἀλλά ζητεῖτε πρῶτον τήν βασιλείαν τοῦ Θεοῦ, καί τήν δικαιοσύνην αὐτοῦ, καί ταῦτα πάντα προστεθήσεται ὑμῖν. Πῶς οὖν διδάσκει προσεύχεσθαι, περί ὧν μή ζητεῖν προλαβών ἐνετείλατο; δῆλον γάρ ὅτι διά προσευχῆς αἰτεῖν οὐ προσέταττεν, ἅπερ δι᾽ ἐντολῆς ζητεῖν οὐ παρῄνεσε. Διά προσευχῆς γάρ μόνον ἐστίν αἰτητόν, τό κατ᾽ ἐντολήν ζητητόν. Ὅπερ οὖν ζητεῖν δι᾽ ἐντολῆς οὐκ ἐπετράπημεν, διά προσευχῆς αἰτεῖν, τυχόν θεμιτόν οὐ καθέστηκεν. Εἰ δέ μόνην ζητεῖν τήν βασιλείαν τοῦ Θεοῦ, καί τήν δικαιοσύνην ὁ Σωτήρ ἐνετείλατο· ταύτην εἰκότως καί διά προσευχῆς αἰτεῖν, τούς τῶν θείων ἐφιεμένους δώρων ἐνήγαγεν· (900) ἵνα τῶν φύσει ζητητῶν διά προσευχῆς τήν χάριν ἐπικυρώσας, τήν τῶν αἰτούντων γνώμην, τῷ τοῦ παρεχομένου τήν χάριν συνάψῃ θελήματι, δι᾽ ἑνώσεως σχετικῆς ταυτό ποιουμένην.

Εἰ δέ καί τόν ἐφήμερον ἄρτον, ᾧ συγκρατεῖσθαι πέφυκεν ἡμῶν ἡ παροῦσα ζωή, διά προσευχῆς αἰτεῖν κελευόμεθα, μή παρέλθωμεν τούς ὅρους τῆς προσευχῆς, πολλάς ἐτῶν περιόδους πλεονεκτικῶς περισκοποῦντες, καί λάθωμεν ὄντες θνητοί, καί σκιᾶς δίκην τήν ζωήν παροδεύουσαν ἔχοντες· ἀλλά τόν πρός ἡμέραν ἀπεριμερίμνως διά τῆς προσευχῆς αἰτήσωμεν ἄρτον· καί δείξωμεν ὅτι φιλοσόφως κατά Χριστόν μελέτην θανάτου τόν βίον ποιούμεθα, τῇ γνώμῃ φθάνοντες τήν φύσιν, καί πρίν ἐπιστῆναι τόν θάνατον, τῆς τῶν σωματικῶν μερίμνης τήν ψυχήν ἀποτέμνοντες· ἵνα μή προσηλωθῇ τοῖς φθειρομένοις, ἀμείψασα πρός τήν ὕλην τήν χρῆσιν τῆς κατά φύσιν ἐφέσεως, καί μάθῃ πλεονεξίαν τῆς τῶν θείων ἀγαθῶν περιουσίας στερητικήν.

Φύγωμεν οὖν, ὅση δύναμις, τήν φιλίαν τῆς ὕλης, καί τήν αὐτῆς σχέσιν καθάπερ κονιορτόν τῶν νοερῶν ὀμμάτων ἀπονιψώμεθα· καί μόνοις ἀρκεσθῶμεν τοῖς συνιστῶσιν, ἀλλά καί τοῖς ἡδονοῦσιν ἡμῶν τήν παροῦσαν ζωήν· καί ὑπέρ αὐτῶν τόν Θεόν, ὡς ἐδιδάχθημεν, ἀξιώσωμεν, ἵνα δυνηθῶμεν ἀδούλωτον φυλάξαι τήν ψυχήν, μηδενί τῶν ὁρωμένων διά τό σῶμα παντελῶς κρατουμένην· καί τοῦ ζῆν ἕνεκεν δειχθῶμεν ἐσθίοντες, ἀλλά μή τοῦ ἐσθίειν χάριν ζῶντες ἐλεγχθῶμεν. Τό μέν γάρ λογικῆς, τό δέ τῆς ἀλόγου σαφῶς ἴδιον καθέστηκε φύσεως. Καί φύλακες ὦμεν τῆς προσευχῆς ἀκριβεῖς, δι᾽ αὐτῶν δεικνύμενοι τῶν πραγμάτων, ὅτι μιᾶς καί μόνης ἀπρίξ

ἀντεχόμεθα τῆς ἐν πνεύματι ζωῆς, καί πρός τήν αὐτήν κτῆσιν τῆς παρούσης [Marg. ζωῆς δηλονότι] τήν χρῆσιν ποιούμεθα· δι᾽ ἥν τοσοῦτον τήν ταύτης στέργομεν χρῆσιν, ὅσον ἄρτῳ ταύτην μόνῳ στηρίζειν μή παραιτεῖσθαι, καί τήν αὐτῆς φυσικήν εὐεξίαν φυλάττειν ὅσον τό ἐφ᾽ ἡμῖν ἀδιάφθορον· οὐχ ἵνα ζῶμεν, ἀλλ᾽ ἵνα Θεῷ ζῶμεν· ψυχῆς ἄγγελον τό σῶμα καθιστῶντες λελογισμένον ταῖς ἀρεταῖς, καί ταύτην Θεοῦ κήρυκα ποιοῦντες τῇ περί τό καλόν παγιότητι πεποιωμένην· καί τοῦτον μιᾷ φυσικῶς ἡμέρᾳ πειρικλείοντες τόν ἄρτον· ὑπέρ αὐτοῦ μή τολμῶντες εἰς δευτέραν ἡμέραν διά τό δοτῆρα τῆς προσευχῆς ἐπεκτεῖναι τήν δέησιν. Οὕτω γάρ ἄν πραγματικῶς κατά τήν δύναμιν τῆς προσευχῆς ἑαυτούς διαθέντες, δυνηθείημεν καί τοῖς λειπομένοις καθαρῶς προσβῆναι ῥητοῖς, φάσκοντες·

Καί ἄφες ἡμῖν τά ὀφειλήματα ἡμῶν, ὡς καί ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν.

Ὁ κατά τήν πρώτην τῆς τοῦ προλαβόντος ῥητοῦ (901) θεωρίας ἐπιβολήν, κατά τόν αἰῶνα τοῦτον, οὗ σύμβολον εἶναι τό σήμερον ἔφαμεν, τόν ἄφθαρτον ἄρτον τῆς σοφίας, οὗ καταρχάς διετείχισεν ἡμᾶς ἡ παράβασις, διά προσευχῆς ἐπιζητῶν, ἅτε δή μίαν ἡδονήν ἐπιστάμενος τήν τῶν θείων ἐπιτυχίαν, ἧς δοτήρ μέν κατά φύσιν ἐστίν ὁ Θεός· φύλαξ δέ κατά θέλησιν ἡ τοῦ λαβόντος προαίρεσις· καί μίαν ὀδύνην εἰδώς, τήν τούτων ἀποτυχίαν, ἧς ὑποβολεύς μέν ἐστιν ὁ διάβολος· αὐτουργός δέ, πᾶς ὁ τῶν θείων δι᾽ ἀτονίαν γνώμης ἀποκαμνόμενος [Ven. et Fr. ἀποκναιόμενος] · μή φυλάττων τό τίμιον γνώμης διαθέσεσι στεργόμενον· πρός οὐδέν ἔχων τῶν ὁρωμένων ῥέπουσαν τό σύνολον τήν προαίρεσιν, καί διά τοῦτο τοῖς σωματικῶς αὐτῷ συμβαίνουσι λυπηροῖς οὐχ ὑπαγόμενος· οὗτος ὡς ἀληθῶς, ἀπαθῶς ἀφίησι τοῖς εἰς αὐτόν ἁμαρτάνωσιν· ὅτι μηδέ τό κατ᾽ ἔφεσιν αὐτῷ σπουδαζόμενον δύναταί τις τό παράπαν χειροῦσθαι καλόν, ἀνάλωτον κατά φύσιν ὑπάρχειν πεπιστευμένον. Καί τῷ Θεῷ καθίστησιν ἑαυτόν ἀρετῆς ἐξεμπλάριον, εἰ τοῦτο θέμις εἰπεῖν, πρός μίμησιν ἑαυτοῦ τόν ἀμίμητον ἐλθεῖν ἐγκελευόμενος, λέγων· Ἄφες ἡμῖν τά ὀφειλήματα ἡμῶν, ὡς καί ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καί οἷος αὐτός γέγονε τοῖς πέλας, οἷ γενέσθαι παρακαλῶν τόν Θεόν. Εἰ γάρ ὡς αὐτός ἀφῆκε τά ὀφειλήματα τοῖς εἰς αὐτόν ἡμαρτηκόσι, βούλεται καί αὐτῷ ἀφεθῆναι παρά Θεοῦ, δηλονότι ὥσπερ ὁ Θεός ἀπαθῶς ἀφίησιν οἷς ἀφίησιν, οὕτως καί αὐτός ἀπαθής ἐπί τοῖς

συμβαίνουσι διαμένων, ἀφίησι τοῖς πλημμελήσασι· μή συγχωρῶν μνήμῃ [Fr. μνήμην] τινί τῶν φθασάντων λυπηρῶν τυποῦσθαι τόν νοῦν, ἵνα μή τέμνων τῇ γνώμῃ τήν φύσιν ἐλέγχηται, πρός τινα τῶν ἀνθρώπων διεστηκώς, ἄνθρωπος ὤν. Οὕτω γάρ ἄν ἑνωθείσης τῆς γνώμης τῷ λόγῳ τῆς φύσεως, ἡ τοῦ Θεοῦ πρός τήν φύσιν καταλλαγή γίνεσθαι πέφυκεν, ὅτι μήτε δυνατόν ἑτέρως κατά τήν γνώμην πρός ἑαυτήν στασιάζουσαν τήν φύσιν, τήν θείαν καί ἀνεκλάλητον ὑποδέξασθαι συγκατάβασιν. Καί τυχόν διά τοῦτο πρότερον ἡμᾶς βούλεται τάς πρός ἀλλήλους ποιεῖσθαι καταλλαγάς ὁ Θεός, οὐχ ἵνα παρ᾿ ἡμῶν μάθῃ καταλλάτεσθαι τοῖς ἁμαρτάνουσι, καί τῶν πολλῶν συγχωρεῖν καί φοβερῶν ἐγκλημάτων τήν ἔκτισιν, ἀλλ᾿ ἵνα ἡμᾶς καθάρῃ παθῶν, καί δείξῃ συμβαίνουσαν τῇ σχέσει τῆς χάριτος τήν τῶν συγχωρουμένων διάθεσιν. Σαφῶς δέ καθέστηκε δῆλον ὅτι τῆς γνώμης ἑνωθείσης τῷ λόγῳ τῆς φύσεως, ἀστασίαστος ἔσται πρός τόν Θεόν ἡ τῶν τοῦτο κατωρθωκότων προαίρεσις· εἴπερ οὐδέν πέφυκεν ἐνθεωρεῖσθαι παράλογον τῷ λόγῳ τῆς φύσεως, ὅς καί νόμος ἐστί φυσικός τε καί θεῖος, ὅταν καθ᾿ ἑαυτόν ἐνεργουμένην λάβῃ τῆς γνώμης τήν κίνησιν. Εἰ δέ παράλογον οὐδέν ἐστιν ἐν τῷ λόγῳ τῆς φύσεως, συμβαίνουσαν ἕξει διά πάντων τῷ Θεῷ τήν ἐνέργειαν· ἥτις ἐστι [Fr. ἥτις ἔσται] διάθεσις ἔμπρακτος, τῇ χάριτι τοῦ φύσει καλοῦ πρός ἀρετῆς γένεσιν πεποιωμένη.

(904) Οὕτω μέν οὖν, ὁ τόν γνωστικόν ἄρτον αἰτῶν διάκειται προσευχόμενος, μεθ᾿ ὅν κακεῖνος ὁ μόνον τόν ἐφήμερον ἄρτον ἐπιζητῶν διά τήν βίαν τῆς φύσεως, κατά τόν αὐτόν διατεθήσεται τρόπον· ἀφείς τοῖς ὀφειλέταις τά ὀφειλήματα, οἷα δή γνούς, ὅτι κατά φύσιν ὑπάρχει θνητός, καί λοιπόν καθ᾿ ἑκάστην ἡμέραν διά τήν ἀδηλίαν τό φύσει πεφυκός ἐκδεχόμενος, προλαμβάνει τήν φύσιν κατά τήν γνώμην· αὐθαίρετος νεκρός πρός τόν κόσμον γινόμενος, κατά τό φάσκον λόγιον, ὅτι Ἕνεκεν σοῦ θανατούμεθα ὅλην τήν ἡμέραν· ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς· καί διά τοῦτο σπενδόμενος ἅπασιν, ἵνα μηδέν ἑαυτῷ συνεπικομίζηται γνώρισμα τῆς μοχθηρίας τοῦ νῦν αἰῶνος, πρός τήν ἀγήρω ζωήν μεθιστάμενος· καί λάβῃ παρά τοῦ κριτοῦ καί Σωτῆρος τῶν ὅλων, ὧν ἐνταῦθα προκέχρηκε τήν ἴσην ἀντίδοσιν. Ἀναγκαία γάρ ἀμφοτέροις πρός τήν σφῶν αὐτῶν λυσιτέλειαν καθέστηκεν ἡ καθαρά πρός τούς λελυπηκότας διάθεσις· πάντων μέν ἕνεκεν, οὐχ ἥκιστα δέ διά τῶν λειπομένων ῥητῶν δύναμιν, τοῦτον ἔχουσαν τόν τρόπον.

Καί μή εἰσενέγκῃς εἰς πειρασμόν, ἀλλά ῥῦσαι ἡμᾶς ἀπό τοῦ πονηροῦ.

Δηλοῖ γάρ ἐν τούτοις ὁ λόγος, ὡς μή συγχωρήσας τελείως τοῖς πταίουσι, καί καθαράν λύπης παραστήσας τῷ Θεῷ τήν καρδίαν, λελαμπρυσμένην τῷ φωτί τῆς πρός τόν πέλας καταλλαγῆς, τῆς τῶν ηὐγμένων καλῶν ἀποτεύξεται χάριτος· καί τῷ πειρασμῷ, καί τῷ πονηρῷ κατά δικαίαν ἐκδοθήσεται κρίσιν· ἵνα μάθῃ καθαίρεσθαι πλημμελῶν, τάς κατ᾽ ἄλλων ἑαυτοῦ μομφάς ἀφαιρούμενος. Πειρασμόν δέ λέγει νῦν τόν τῆς ἁμαρτίας νόμον· ὅν οὐκ ἔχων ὁ πρῶτος ἄνθρωπος ἦλθεν εἰς γένεσιν· πονηρόν δέ, τόν τοῦτον ἐμφύραντα τῇ φύσει τῶν ἀνθρώπων διάβολον, καί πείσαντα δι᾽ ἀπάτης τόν ἄνθρωπον, ἀπό τοῦ συγκεχωρημένου πρός τό κεκωλυμένον τῆς ψυχῆς μετενέγκαι τήν ἔφεσιν, καί πρός τήν τῆς θείας ἐντολῆς τραπῆναι παράβασιν· ἧς ἔργον γέγονεν ἡ τῆς δοθείσης κατά χάριν ἀφθαρσίας ἀπόθεσις.

Ἤ πάλιν, πειρασμόν μέν φησι τήν τῆς ψυχῆς ἑκούσιον πρός τά πάθη τῆς σαρκός συνδιάθεσιν· πονηρόν δέ, τόν κατ᾽ ἐνέργειαν συμπληρωτικόν τῆς ἐμπαθοῦς διαθέσεως τρόπον· ὧν οὐδενός ὁ δίκαιος ἐξειρεῖται κριτής, τόν μή τοῖς ὀφειλέταις ἀφιέντα τά ὀφειλήματα· κἄν τοῦτο ψιλῶς δά τῆς προσευχῆς ἐξαιτῆται· ἀλλά καί τῷ νόμῳ τῆς ἁμαρτίας συγχωρεῖ μολύνεσθαι τόν τοιοῦτον, καί ὑπό τοῦ πονηροῦ κυριεύεσθαι τόν σκληρόν καί ἀπότομον τήν γνώμην ἐγκαταλιμπάνει· οἷα δή τά πάθη τῆς ἀτιμίας ὧν σπορεύς ἐστιν ὁ διάβολος, προτετιμηκότα τῆς φύσεως, ἧς ἐστι δημιουργός ὁ Θεός. Καί μήν καί πρός τά πάθη τῆς σαρκός ἑκουσίως συνδιατιθέμενον οὐ κωλύει, καί τοῦ κατ᾽ ἐνέργειαν συμπληρωτικοῦ τρόπου (905) τῆς κατ᾽ αὐτά διαθέσεως οὐ λυτροῦται· ὅτι παθῶν ἀνυποστάτων ἥττονα τήν φύσιν ἡγησάμενος, τῇ περί ταῦτα σπουδῇ, τόν ταύτης λόγον ἠγνόησε· καθ᾽ ὅν ἔδει κινηθέντα γνῶναι τίς μέν φύσεως νόμος, τίς δέ παθῶν ἡ καθ᾽ αἵρεσιν γνωμικῶς, ἀλλ᾽ οὐ φυσικῶς ἐπισυμβαίνουσα κατέστη τυραννίς· καί τόν μέν περιποιήσασθαι ταῖς φυσικαῖς συντηρούμενον ἐνεργείαις, τήν δέ τῆς γνώμης ἀπελάσαι μακράν, καί τῷ λόγῳ διατηρῆσαι τήν φύσιν, ἐφ᾽ ἑαυτῆς ἑστῶσαν καθαράν καί ἀμώμητον [ἄμωμον], χωρίς μίσους καί διαστάσεως· καί τῇ φύσει πάλιν καταστῆσαι τήν γνώμην συνέμπορον, μηδέν παντελῶς ἐπιφερομένην,

ὧν ὁ τῆς φύσεως οὐκ ἐπιδίδωσι λόγος· καί διά τοῦτο μῖσος ἅπαν, καί πᾶσαν τοῦ κατά φύσιν συγγενοῦς ἀποστῆσαι διάστασιν, ἵνα ταύτην λέγων τήν προσευχήν εἰσακούηται, καί διπλῆν ἀνθ᾽ ἁπλῆς παρά τοῦ Θεοῦ δέχηται χάριν, τήν τε τῶν φθασάντων πλημμελημάτων συγχώρησιν, καί τήν ἐπί τοῖς μέλλουσι σκέπην καί λύτρωσιν· εἰς τε πειρασμόν ἐλθεῖν μή συγχωρούμενος, καί τῷ πονηρῷ δουλωθῆναι μή ἀφιέμενος, ὑπέρ ἑνός, τοῦ τοῖς πέλας ἑτοίμως ἀφιέναι τά ὀφειλήματα.

Τοιγαροῦν καί ἡμεῖς, ἵνα μικρόν ἀναποδίζων ἐπιτόμως ἐπέλθω τῶν εἰρημένων τήν δύναμιν, εἴπερ τοῦ πονηροῦ ῥυσθῆναι, καί εἰς πειρασμόν εἰσελθεῖν οὐ βουλόμεθα, πιστεύσωμεν τῶ Θεῷ, καί ἀφῶμεν τά ὀφειλήματα τοῖς ὀφειλέταις ἡμῶν· Ἐάν γάρ φησί, μή ἀφῆτε τοῖς ἀνθρώποις τά ἁμαρτήματα αὐτῶν, οὔτε ὁ Πατήρ ὑμῶν ὁ οὐράνιος ἀφήσει ὑμῖν· ἵνα μή μόνον ἄφεσιν λάβωμεν ὧν πεπλημμελήκαμεν, ἀλλά καί τόν νόμον νικήσωμεν τῆς ἁμαρτίας, εἰς τήν αὐτοῦ πεῖραν εἰσελθεῖν οὐκ ἐγκαταλειπόμενοι· καί τόν τούτου γεννήτορα πονηρόν πατήσωμεν ὄφιν, ἀφ᾽ οὗ ῥυσθῆναι παρακαλοῦμεν· στρατηγοῦντος ἡμῖν τοῦ τόν κόσμον νικήσαντος Χριστοῦ, καί τοῖς νόμοις τῶν ἐντολῶν καθοπλίζοντος, καί νομίμως τῇ τῶν παθῶν ἀποθέσει, πρός ἑαυτήν δι' ἀγάπης τήν φύσιν συνδέοντος· καί πρός ἑαυτόν ἄρτον ὄντα ζωῆς, σοφίας τε καί γνώσεως καί δικαιοσύνης, κινοῦντος ἡμῶν ἀκορέστως τήν ὄρεξιν· καί τῇ πληρώσει τοῦ Πατρικοῦ θελήματος τοῖς ἀγγέλοις ὁμολάτρας ἡμᾶς καθιστῶντος, τῇ κατά τόν βίον ἀγωγῇ τήν ἐπουράνιον εὐμιμήτως ἐμφαίνοντας εὐαρέστησιν· κἀκεῖθεν πάλιν ἐπί τήν ἀκροτάτην τῶν θείων ἀνάβασιν πρός τόν Πατέρα τῶν φώτων ἐνάγοντος, καί θείας ἀπεργαζομένου φύσεως κοινωνούς, τῇ κατά χάριν μεθέξει τοῦ Πνεύματος, καθ᾽ ἥν τέκνα Θεοῦ χρηματίσωμεν, αὐτόν τόν [marg. Fr. Ἄκουε, Νεῖλε] ταύτης αὐτουργόν τῆς χάριτος, καί κατά φύσιν τοῦ Πατρός Υἱόν, ὅλον ὅλοι δίχα περιγραφῆς ἀχράντως περικομίζοντες· ἐξ οὗ, καί δι᾽ οὗ, καί ἐν ᾧ τό εἶναί τε καί κινεῖσθαι, καί ζῆν ἔχομέν τε καί ἕξομεν.

Πρός τοῦτο δέ τῆς θεώσεως τό μυστήριον βλέπων ἡμῖν ἔστω τῆς προσευχῆς ὁ σκοπός, ἵνα γνῶμεν, (908) ἀνθ᾽ οἵων, οἵους ἡμᾶς ἡ διά σαρκός κένωσις τοῦ Μονογενοῦς ἀπειργάσατο· καί πόθεν, ποῦ, τούς τό κατώτατον τοῦ παντός εἰληφότας χωρίον, εἰς ὅπερ ἡμᾶς τό τῆς ἁμαρτίας βάρος κατέωσε, δυνάμει φιλανθρώπου χειρός ἀνεβίβασε· καί πλέον ἀγαπήσωμεν τόν ταύτην οὕτω σοφῶς ἡμῖν τήν σωτηρίαν ἑτοιμασάμενον· καί δι᾽ ὧν πράττομεν, δείξωμεν τήν προσευχήν

πληρουμένην, καί τόν ἀληθῶς κατά χάριν Πατέρα Θεόν φανῶμεν κηρύττοντες· ἀλλά μή διά τῶν παθῶν τῆς ἀτιμίας, τό ἀεί τυραννικῶς δεσπόζειν ἐπιχειροῦντα τῆς φύσεως πονηρόν, ἔχοντες τοῦ βίου πατέρα σαφῶς ἀποδειχθῶμεν, καί λάθωμεν ζωῆς ἀντικαταλλάτοντες θάνατον· ἐπειδήπερ τῶν προσόντων ἑκάτερος [marg. ὁ Θεός δηλονότι, καί ὁ διάβολος] τοῖς προσχωροῦσι ποιεῖσθαι μετάδοσιν πέφυκεν· ὁ μέν, ἀΐδιον ζωήν τοῖς ἀγαπῶσιν αὐτόν χορηγῶν· ὁ δέ, θάνατον τῇ τῶν ἑκουσίων ὑποβολῇ πειρασμῶν τοῖς ἐγγίζουσιν ἐμποιῶν.

Διττός γάρ κατά τήν Γραφήν τῶν πειρασμῶν ὁ τρόπος· ὁ μέν, ἡδονικός, ὁ δέ, ὀδυνηρός· καί ὁ μέν προαιρετικός, ὁ δέ ἀπροαίρετος. Καί ὁ μέν τῆς ἁμαρτίας γεννήτωρ, εἰς ὅν εἰσελθεῖν, κατά τήν τοῦ Κυρίου διδαχήν, ἀπεύχεσθαι προσετάγημεν, φάσκοντος· Καί μή εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν. Καί, Γρηγορεῖτε, καί προσεύχεσθε, ἵνα μή εἰσέλθητε εἰς πειρασμόν· ὁ δέ, τῆς ἁμαρτίας τιμωρός, ἀκουσίοις πόνων ἐπιφοραῖς τήν φιλαμαρτήμονα κολάζων διάθεσιν· ὅν εἴ τις ὑπομείνῃ, καί μάλιστα κακίας ἥλοις οὐκ ἐμπεπαρμένος, ἀκούσεται τοῦ μεγάλου διαῤῥήδην βοῶντος Ἰακώβου· Πᾶσαν χαράν ἡγήσασθε, ἀδελφοί μου, ὅταν πειρασμοῖς περιπέσητε ποικίλοις, ὅτι τό δοκίμιον ὑμῶν τῆς πίστεως ὑπομονήν κατεργάζεται· ἡ δέ ὑπομονή, δοκιμήν· ἡ δέ δοκιμή, ἔργον τέλειον ἐχέτω. Ἀμφοτέρους δέ τούς πειρασμούς, τόν ἑκούσιόν τε καί τόν ἀκούσιον, περιέπει κακούργως ὁ πονηρός· τό μέν, σπείρων καί διερεθίζων τήν ψυχήν ἡδοναῖς σώματος, ἀποστῆσαι τῆς θείας ἀγάπης τήν ἔφεσιν μηχανώμενος· τόν δέ σοφιστικῶς ἐξαιτεῖται, δι᾽ ὀδύνης φθεῖραι τήν φύσιν βουλόμενος, ἵνα βιάσηται τήν ψυχήν, ἀτονίᾳ πόνων καταβληθεῖσαν, πρός τήν τοῦ κτίσαντος διαβολήν κινῆσαι τούς λογισμούς.

Ἀλλ᾽ ἐπεγνωκότες ἡμεῖς τοῦ πονηροῦ τά νοήματα, τόν μέν ἑκούσιον ἀπευξώμεθα πειρασμόν, ἵνα μή τῆς θείας ἀγάπης τήν ἔφεσιν ἀποστήσωμεν· τόν δέ ἀκούσιον ἐπερχόμενον συγχωρήσει Θεοῦ γενναίως ὑπομείνωμεν, ἵνα φανῶμεν προτετιμηκότες τῆς φύσεως, τόν κτίστην τῆς φύσεως. Γένοιτο δέ πάντας ἡμᾶς ἐπικαλουμένους τό ὄνομα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τῶν τε νῦν ἡδέων τοῦ πονηροῦ λυτρωθῆναι, τῇ μεθέξει τῆς κατ᾽ εἶδος τῶν μελλόντων (909) ἀγαθῶν ὑποστάσεως, ἐποφθείσης ἡμῖν ἐν αὐτῷ Χριστῷ τῷ Κυρίῳ ἡμῶν, τῷ μόνῳ σύν Πατρί καί ἁγίῳ πνεύματι δοξαζομένῳ παρά πάσης τῆς κτίσεως. Ἀμήν.

ΣΧΟΛΙΑ.

α'. Fr. Ταυτόν ἐπί Θεοῦ βουλή καί βούλησις.

β'. Ἐπαίνου, φησί, καί ψόγου κατά φύσιν ὑπάρχων ὁ λόγος ἐλεύθερος, ἀπαθῆ ποιεῖ τόν μόνον λόγῳ ζῆν προαιρούμενον· χωρίζειν πείθων τῶν φθοροποιῶν τῆς ψυχῆς τήν ἐπιθυμίαν· ἧς ἀπογενομένης τῶν ὑλικῶν, οὔτε τῶν ἐπαινούντων, οὔτε τῶν ψεγόντων ὡς πάσχων, ὁ καθ᾽ ἕξιν πρᾶος αἰσθάνεται.

γ'. Ven. et. Fr. Ἀνίσους διαθέσεις λέγει, τάς πρός ἑαυτάς τήν ψυχήν μορφούσας, τοῦ τε θυμοῦ καί τῆς ἐπιθυμίας κινήσεις· ὧν ἐλεύθερον εἶναι δεῖ τόν Χριστοῦ μαθητήν· μήτε χύσει τοῦ περί καρδίαν αἵματος πρός ἡδονάς ὀλισθαίνοντα, μήτε ζέσει τοῦ περί καρδίαν αἵματος πρός ὀργάς ἐκμαινόμενον.

δ'. Fr. Λόγων δηλονότι Ἑλληνικοῦ καί Ἰουδαϊκοῦ· ὧν ἐν Χριστῷ παντελῶς οὐδείς. Ἐπίσης γάρ τῆς πολυαρχίας, καί τῆς ἑνί προσώπῳ περιγραφομένης μοναρχίας, ὁ τοῦ Χριστοῦ καθαρεύει λόγος.

ε'. Fr. Οὐ γάρ κατά γέννησιν, ἤ πρόοδον, ἤτοι ἔκφανσιν.

στ'. Fr. Πῶς τις δύναται ἀφιέναι τοῖς ὀφειλέταις τά ὀφειλήματα;

ζ'. Fr. Ταῖς τῶν ψυχῶν ἡμῶν διαθέσεσιν ἡ θεία δεόντως ἐφαρμόζεται δικαιοσύνη, τοιαύτη ἡμῖν γινομένη, οἵους ἀλλήλοις ἑαυτούς πεποιήμεθα· καί τοιοῦτον ἡμῖν αὐτοῖς τόν Θεόν καθιστῶσα, οἵους φθάσαντες τούς ὁμοιοπαθέσιν ἑαυτούς διεθήκαμεν.

η'. Ὁ τῆς φύσεως λόγος, φησί, καί νόμος γίνεται φύσεως, λαμβάνων συμφωνοῦσαν τήν γνώμην εἰς ἐνέργειαν τῶν κατά φύσιν δυνάμεων.

## ΛΟΓΟΣ ΑΣΚΗΤΙΚΟΣ

### Κατά πεῦσιν καί ἀπόκρισιν (912)

ΑΔΕΛΦΟΣ, Ο ΓΕΡΩΝ. (912)

α'. Ἀδελφός ἠρώτησεν γέροντα, λέγων· Παρακαλῶ σε, Πάτερ, εἰπεῖν μοι, τίς ὁ σκοπός οὖν τῆς τοῦ Κυρίου ἐνανθρωπήσεως; Καί ὁ γέρων ἀποκριθείς εἶπε· Θαυμάζω σε, Ἀδελφέ, ὅτι καθ᾽ ἡμέραν τοῦ συμβόλου ἀκούων τῆς πίστεως, περί τούτου με ἐρωτᾷς. Πλήν λέγω σοι, ὅτι ὁ σκοπός τῆς τοῦ Κυρίου ἐνανθρωπήσεως, ἡ ἡμετέρα ἦν σωτηρία. Καί ὁ Ἀδελφός εἶπε· Πῶς λέγεις, Πάτερ; Καί ἀπεκρίθη ὁ γέρων· Ἐπειδή γάρ ὁ ἄνθρωπος ἀπ᾽ ἀρχῆς γεγονώς ὑπό τοῦ Θεοῦ, καί

ἐν τῷ παραδείσῳ τεθείς, τήν ἐντολήν παραβάς, τῇ φθορᾷ καί τῷ θανάτῳ ὑπέπεσεν· εἶτα τῇ ποικίλῃ τοῦ Θεοῦ προνοίᾳ κατά πᾶσαν γενεάν καί γενεάν κυβερνώμενος, ἐπέμενεν ἐπί τό χεῖρον προκόπτων, ὑπό τῶν ποικίλων τῆς σαρκός παθημάτων ἀγόμενος τῷ ἀπελπισμῷ τῆς ζωῆς· τούτου χάριν ὁ μονογενής τοῦ Θεοῦ Υἱός, ὁ προαιώνιος Λόγος ὁ ἐκ τοῦ Θεοῦ καί Πατρός, ἡ πηγή τῆς ζωῆς καί τῆς ἀθανασίας, ἐπέφανεν ἡμῖν τοῖς ἐν σκότει καί σκιᾷ θανάτου καθημένοις· σαρκωθείς ἐκ Πνεύματος ἁγίου, καί τῆς ἁγίας Παρθένου· καί πολιτείαν ἡμῖν θεοειδοῦς ζωῆς ἐπέδειξε· καί ἐντολάς ἁγίας δεδωκώς, καί βασιλείαν οὐρανῶν ἐπαγγειλάμενος τοῖς κατ᾽ αὐτάς πολιτευομένοις, καί κόλασιν αἰώνιον τοῖς παραβαίνουσιν ἀπειλήσας· καί παθῶν τό σωτήριον πάθος, καί ἐκ νεκρῶν ἀναστάς, τήν ἐλπίδα τῆς ἀναστάσεως καί τῆς αἰωνίου ζωῆς ἐδωρήσατο ἡμῖν [Fr. altergue M. ἡμῖν ἐχαρίσατο] τό κατάκριμα δι᾽ ὑπακοῆς λύσας τῆς προγονικῆς ἁμαρτίας· καί τό κράτος τοῦ θανάτου θανάτῳ καταργήσας· ἵνα, ὥσπερ ἐν τῷ Ἀδάμ πάντες ἀποθνήσκουσιν, οὕτως ἐν αὐτῷ πάντες ζωοποιηθήσονται· καί εἰς οὐρανούς ἀνελθών, καί ἐν δεξιᾷ τοῦ Πατρός καθεσθείς, τό Πνεῦμα τό ἅγιον κατέπεμψεν εἰς ἀῤῥαβῶνα τῆς ζωῆς· καί εἰς φωτισμόν καί ἁγιασμόν τῶν ἡμετέρων ψυχῶν· καί εἰς βοήθειαν τῶν ἀγωνιζομένων (913) ὑπέρ τῆς ἑαυτῶν σωτηρίας φυλάξαι τάς ἐντολάς αὐτοῦ. Οὗτος ἦν ὁ σκοπός τῆς τοῦ Κυρίου ἐνανθρωπήσεως, ὡς ἐν συντόμῳ εἰπεῖν.

β'. Καί ὁ Ἀδελφός εἶπε· Ποίας οὖν ἐντολάς ὀφείλω ποιῆσαι, Πάτερ, ἵνα δι᾽ αὐτῶν σωθῶ, ἤθελον συντόμως ἀκοῦσαι. Καί ἀπεκρίθη ὁ γέρων· Αὐτός ὁ Κύριος εἶπε μετά τήν ἀνάστασιν τοῖς ἀποστόλοις· πορευθέντες, μαθητεύσατε πάντα τά ἔθνη· βαπτίζοντες αὐτούς εἰς τό ὄνομα τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ ἁγίου Πνεύματος· διδάσκοντες αὐτούς τηρεῖν πάντα ὅσα ἐνετειλάμην ὑμῖν. Ὥστε οὖν ὅσα ἐνετείλατο δεῖ τηρεῖν, πάντα ἄνθρωπον βαπτισθέντα εἰς τό ὄνομα τῆς ζωοποιοῦ καί θεαρχικῆς Τριάδος. Τούτου γάρ χάριν τῇ ὀρθῇ πίστει ὁ Κύριος τήν πασῶν τῶν ἐντολῶν συνέζευξεν τήρησιν· ὡς εἰδώς, ὅτι ἀμήχανον τήν μίαν διαζευχθεῖσαν τῆς μιᾶς σώζειν τόν ἄνθρωπον. Διά τοῦτο καί ὁ Δαβίδ τήν ὀρθήν πίστιν ἔχων, πρός τόν Θεόν ἔλεγε· Πρός πάσας τάς ἐντολάς σου κατωρθούμην· πᾶσαν ὁδόν ἄδικον ἐμίσησα. Κατά γάρ πάσης ὁδοῦ ἀδίκου, πᾶσαι ἡμῖν αἱ ἐντολαί ὑπό τοῦ Κυρίου δεδώρηνται· καί ἐάν παραλειφθῇ μία, τήν ἀντικειμένην αὐτῇ ὁδόν τῆς κακίας ἀντεισάγει πάντως.

γ'. Καί εἶπεν ὁ Ἀδελφός· Καί τίς δύναται, Πάτερ, [πάσας τάς ἐντολάς, τοσαύτας γε οὖσας, ποιεῖν; Ἔφη ὁ γέρων· Ὁ τόν Κύριον ἐκμιμούμενος, καί κατ᾽ ἴχνος αὐτῷ ἐπακολουθῶν. Καί εἶπεν ὁ Ἀδελφός· Καί τίς δύναται] τόν Κύριον μιμήσασθαι; ὁ γάρ Κύριος ἦν Θεός, εἰ καί ἄνθρωπος γέγονεν· ἐγώ δέ ἄνθρωπός εἰμι ἁμαρτωλός, καί μυρίοις πάθεσι δεδουλωμένος· πῶς οὖν δύναμαι τόν Κύριον μιμήσασθαι; Καί ἀπεκρίθη ὁ γέρων· Τῶν τῇ ὕλῃ τοῦ κόσμου δεδουλωμένων, οὐδείς δύναται τόν Κύριον μιμήσασθαι· οἱ δέ δυνάμενοι λέγειν· Ἰδού ἡμεῖς ἀφήκαμεν πάντα, καί ἠκολουθήσαμέν σοι· ἐκεῖνοι λαμβάνουσι δύναμιν τοῦ τε μιμήσασθαι αὐτόν, καί τοῦ πρός πάσας τάς ἐντολάς αὐτοῦ κατορθῶσαι. Καί φησιν Ἀδελφός· Ποίαν δύναμιν; ἀπεκρίθη ὁ γέρων· Αὐτοῦ ἄκουσον λέγοντος· Ἰδού δέδωκα ὑμῖν ἐξουσίαν πατεῖν ἐπάνω ὄφεων καί σκορπίων, καί ἐπί πᾶσαν δύναμιν τοῦ ἐχθροῦ· καί οὐδέν ὑμᾶς οὐ μή ἀδικήσει.

δ'. Ταύτην τήν δύναμιν καί τήν ἐξουσίαν λαβών ὁ Παῦλος, ἔλεγε· Μιμηταί μου γίνεσθε, καθώς κἀγώ Χριστοῦ. Καί πάλιν· Οὐκ ἔστι νῦν κατάκριμα τοῖς ἐν Χριστῷ Ἰησοῦ, μή κατά σάρκα περιπατοῦσιν, ἀλλά καί πνεῦμα. Καί πάλιν· Οἱ δέ τοῦ Χριστοῦ, τήν σάρκα ἐσταύρωσαν σύν τοῖς παθήμασι καί ταῖς ἐιθυμίαις. Καί πάλιν· Ἐμοί κόσμος ἐσταύρωται, κἀγώ τῷ κόσμῳ.

ε'. Περί ταύτης τῆς ἐξουσίας καί βοηθείας προφητεύων ὁ Δαβίδ, ἔλεγε· Ὁ κατοικῶν ἐν βοηθείᾳ τοῦ Ὑψίστου, ἐν σκέπῃ τοῦ Θεοῦ τοῦ οὐρανοῦ αὐλισθήσεται.Ἐρεῖ τῷ Κυρίῳ· Ἀντιλήπτωρ μου εἶ, καί καταφυγή μου, Θεός μου, καί ἐλπιῶ ἐπ᾽ αὐτόν. (916) Καί μετ᾽ ὀλίγα· Ἐπί ἀσπίδα καί βασιλίσκον ἐπιβήσῃ, καί καταπατήσεις λέοντα καί δράκοντα· ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περί σοῦ, τοῦ διαφυλάξαι σε ἐν πάσαις ταῖς ὁδοῖς σου. Οἱ δέ τῇ σαρκί προσκείμενοι, καί τήν ὕλην ἀγαπῶντες τοῦ κόσμου, ἄκουε ποῖα παρ᾽ [Alt. ἄκουσον τί παρ᾽. Fr. ἄκουε οἷα] αὐτοῦ ἀκούουσιν· Ὁ φιλῶν πατέρα ἤ μητέρα ὑπέρ ἐμέ, οὐκ ἔστι μου ἄξιος. Καί μετ᾽ ὀλίγα· Καί ὅς οὐ λαμβάνει τόν σταυρόν αὐτοῦ καί ἀκολουθεῖ ὀπίσω μου, οὐκ ἔστι μου ἄξιος. Καί, Ὅστις οὐκ ἀποτάσσεται πᾶσι τοῖς ὑπάρχουσιν αὐτῷ, οὐ δύναταί μου εἶναι μαθητής.Ὁ οὖν θέλων γενέσθαι αὐτοῦ μαθητής, καί ἄξιος αὐτοῦ εὑρεθῆναι· καί δύναμιν παρ᾽ αὐτοῦ λαβεῖν κατά τῶν πνευμάτων τῆς πονηρίας, χωρίζει ἑαυτόν πάσης σαρκικῆς σχέσεως· καί γυμνοῖ ἑαυτόν πάσης ὑλικῆς προσπαθείας· καί οὕτως πρός τούς ἀοράτους ἐχθρούς ὑπέρ τῶν ἐντολῶν αὐτοῦ ἀγωνίζεται· ὡς αὐτός ὁ Κύριος ἑαυτόν τύπον

ἡμῖν παρέσχεν, ἔν τε τῇ ἐρήμῳ ὑπό τοῦ ἀρχηγοῦ αὐτῶν πειραζόμενος· καί ἐν τῇ οἰκουμένῃ ἐλθών, ὑπό τῶν ὑπ᾽ αὐτοῦ ἐνεργουμένων.

στ'. Καί ὁ Ἀδελφός εἶπεν· Ἀλλά πολλαί εἰσι, Πάτερ, αἱ τοῦ Κυρίου ἐντολαί· καί τίς δύναται πάσας ἔχειν κατά νοῦν, ἵνα ὑπέρ πασῶν ἀγωνίσηται; ἐγώ δέ μάλιστα, ὀλιγόνους ὑπάρχων; σύντομον λόγον ἤθελον ἀκοῦσαι, ἵνα αὐτόν κρατῶν, δι᾽ αὐτοῦ ἐσωζόμην. Καί ἀπεκρίθη ὁ γέρων· Εἰ καί πολλαί εἰσιν, Ἀδελφέ, ἀλλ᾽ ἑνί λόγῳ ἀνακεφαλαιοῦνται, ἐν τῷ, Ἀγαπήσεις Κύριον τόν Θεόν σου ἐξ ὅλης τῆς ἰσχύος σου καί ἐξ ὅλης τῆς διανοίας σου· καί τόν πλησίον σου ὡς ἑαυτόν. Καί ὁ ἀγωνιζόμενος τοῦτον κρατεῖν τόν λόγον, πάσας ὁμοῦ τάς ἐντολάς κατορθοῖ. Οὐ δύναται δέ τις μή χωρίσας ἑαυτόν, ὡς προείρηται, τῆς τῶν ὑλικῶν προσπαθείας, οὔτε τόν Θεόν, οὔτε τόν πλησίον ἀγαπῆσαι γνησίως· ἐπειδή ὁμοῦ τῇ ὕλῃ προσκεῖσθαι, καί τόν Θεόν ἀγαπῆσαι, ἀμήχανον. Καί τοῦτό ἐστιν ὅ λέγει ὁ Κύριος· οὐδείς δύναται Θεῷ δουλεύειν καί μαμωνᾷ. Ὅσον γάρ ὁ νοῦς ἡμῶν τῶν τοῦ κόσμου ἀντέχεται πραγμάτων, δεδούλωται αὐτοῖς, καί καταφρονεῖ τήν ἐντολήν τοῦ Θεοῦ παραβαίνων.

ζ'. Καί ὁ Ἀδελφός εἶπε· Ποίων πραγμάτων λέγεις, Πάτερ; Καί ὁ γέρων ἀπεκρίθη· Βρωμάτων, χρημάτων, κτημάτων, δόξης, συγγενῶν, καί τῶν ἑξῆς. Καί ὁ Ἀδελφός εἶπεν· Εἰπέ, Πάτερ, οὐχί ὁ Θεός αὐτά ἔκτισε, καί τοῖς ἀνθρώποις εἰς χρῆσιν δέδωκε; καί πῶς κελεύει αὐτῶν μή ἀντέχεσθαι [alt. ἅπτεσθαι]; Καί ἀπεκρίθη ὁ γέρων· Δῆλον ὅτι ὁ Θεός αὐτά ἔκτισε, καί δέδωκεν εἰς χρῆσιν τοῖς ἀνθρώποις. Καί, καλά πάντα τά ὑπό τοῦ Θεοῦ γεγονότα, ἵνα καλῶς αὐτοῖς χρησάμενοι, τῷ Θεῷ εὐαρεστήσωμεν· ἀλλ᾽ ἡμεῖς ἀσθενεῖς ὄντες, καί ὑλικοί τῇ διανοίᾳ [ἄλλ. τήν διάνοιαν], προετιμήσαμεν τά ὑλικά τῆς ἐντολῆς τῆς ἀγάπης· (917) καί αὐτῶν ἀντεχόμενοι, τοῖς ἀνθρώποις μαχόμεθα· δέον πάντων τῶν ὁρωμένων, καί αὐτοῦ τοῦ σώματος, τήν παντός ἀνθρώπου προτιμῆσαι ἀγάπην· ἥτις ἐστίν γνώρισμα τῆς εἰς Θεόν ἀγάπης, καθώς αὐτός ὁ Κύριος ἐν Εὐαγγελίοις δείκνυσιν· Ὁ ἀγαπῶν ἐμέ, φησί, τάς ἐντολάς μου τηρήσει. Καί τίς ἐστιν ἡ ἐντολή ἥν τηρήσαντες, αὐτόν ἀγαπήσωμεν, αὐτοῦ ἄκουσον, λέγοντος· Αὕτη δέ ἐστιν ἡ ἐντολή ἡ ἐμή, ἵνα ἀγαπᾶτε ἀλλήλους· Ὁρᾷς ὅτι ἡ ἀλλήλων ἀγάπη, τήν εἰς Θεόν ἀγάπην συνίστησιν, ἥτις ἐστί πλήρωμα πάσης Θεοῦ ἐντολῆς; Διά τοῦτο οὖν κελεύει αὐτῶν μή ἀντέχεσθαι· ἀλλά καί ἀποτάξασθαι πᾶσι τοῖς ὑπάρχουσιν αὐτῷ, πάντα τόν αὐτῷ μαθητεύειν ἐπιθυμητικῶς ἔχοντα.

η'. Καί ὁ Ἀδελφός εἶπεν· Ἐπειδή εἶπες, Πάτερ, ὅτι δέον πάντων τῶν ὁρωμένων, καί αὐτοῦ τοῦ σώματος, τήν παντός ἀνθρώπου προτιμῆσαι ἀγάπην, πῶς δύναμαι τόν μισοῦντά με καί ἀποστρεφόμενον ἀγαπῆσαι; Εἰ δέ καί φθονεῖ μοι, καί λοιδορίαις κατατοξεύει, καί δόλους κατασκευάζει, καί ἐπιβουλεύειν ἐπιχειρεῖ, πῶς δύναμαι αὐτόν ἀγαπῆσαι; Φύσει μοι, Πάτερ, φαίνεται τοῦτο ἀδύνατον, τοῦ πάθους τῆς λύπης φυσικῶς τόν λυπήσαντα ἀποστρέφεσθαι ἀναγκάζοντος. Καί ἀπεκρίθη ὁ γέρων· Ἐπί μέν τῶν ἑρπετῶν καί τῶν θηρίων τῶν ὑπό φύσεως ἀγομένων, τῷ ὄντι ἀδύνατον μή πάντως ἀμύνασθαι ὅσον δύναται τό καταπονοῦν· ἐπί δέ τῶν κατ᾽ εἰκόνα Θεοῦ κτισθέντων, καί λόγῳ ἀγομένων· καί γνώσεως Θεοῦ καταξιωθέντων, καί νόμον παρ᾽ αὐτοῦ δεξαμένων, δυνατόν τούς λυποῦντας μή ἀποστρέφεσθαι, καί τούς μισοῦντας ἀγαπᾶν. Διό καί ὁ Κύριος, Ἀγαπᾶτε, λέγων, τούς ἐχθρούς ὑμῶν· καλῶς ποιεῖτε, τοῖς μισοῦσιν ὑμᾶς, καί τά ἑξῆς, οὐχ ὡς ἀδύνατα ἐντέλλεται, ἀλλ᾽ ὡς δυνατά δηλονότι· ἐπεί οὐκ ἄν ἐκόλασε τόν παραβαίνοντα. Δηλοῖ δέ αὐτός ὁ Κύριος, αὐτοῖς τοῖς ἔργοις ἡμῖν δείξας· καί οἱ μαθηταί αὐτοῦ πάντες ὑπέρ τῆς εἰς τόν πλησίον ἀγάπης μέχρι θανάτου ἀγωνισάμενοι, καί ὑπέρ τῶν ἀποκτεινάντων θερμῶς προσευξάμενοι. Ἀλλ᾽ ἐπειδή ἡμεῖς ἐσμέν φιλόϋλοι καί φιλήδονοι, καί ταῦτα τῆς ἐντολῆς μᾶλλον προτιμῶντες, διά τοῦτο τούς μισοῦντας ἀγαπῆσαι οὐ δυνάμεθα· ἀλλά καί τούς ἀγαπῶντας διά ταῦτα πολλάκις ἀποστρεφόμεθα, θηρίων καί ἑρπετῶν χεῖρον διακείμενοι· καί διά τοῦτο τοῖς ἴχνεσι τοῦ Θεοῦ ἀκολουθῆσαι μή δυνάμενοι, οὐδέ τόν σκοπόν αὐτοῦ γνῶναι δυνάμεθα, ἵνα λάβωμεν δύναμιν.

θ'. Καί ὁ Ἀδελφός εἶπεν· Ἰδού, Πάτερ, κατέλιπον πάντα, συγγένεια, ὕπαρξιν, τρυφήν, καί τήν δόξαν τοῦ κόσμου, καί οὐδέν κέκτημαι ἐν τῷ βίῳ πλήν τού σώματος· καί τόν ἀδελφόν μισοῦντά με καί ἀποστρεφόμενον ἀγαπῆσαι οὐ δύναμαι· εἰ καί βιάζομαι κακόν ἀντί κακοῦ κατ᾽ ἐνέργειαν μή ἀνταποδοῦναι. Εἶπε οὖν τί ὀφείλω ποιῆσαι, ἵνα δυνηθῶ αὐτόν ἐκ καρδίας ἀγαπῆσαι, ἤ καί τόν καθοιονδήποτε τρόπον θλίβοντα καί ἐπιβουλεύοντα.

(920) Καί ἀπεκρίθη ὁ γέρων· Ἀδύνατόν τινα ἀγαπῆσαι τόν θλίβοντα, κἄν τῇ ὕλῃ τοῦ κόσμου ἔδοξεν ἀποτάξασθαι, ἐάν μή τόν σκοπόν τοῦ Κυρίου ἐν ἀληθείᾳ γινώσκῃ· ἐάν δέ τοῦ Κυρίου αὐτῷ χαριζομένου δυνηθῇ γνῶναι, καί σπεύδῃ κατ᾽ αὐτόν περιπατεῖν, δύναται ἐκ καρδίας ἀγαπῆσαι τόν μισοῦντα καί θλίβοντα, ὥσπερ καί οἱ ἀπόστολοι ἐγνωκότες ἠγάπων.

ι'. Καί εἶπεν ὁ Ἀδελφός· Καί τίς ὁ σκοπός τοῦ Κυρίου ἦν, παρακαλῶ γνῶναι, Πάτερ. Καί εἶπεν ὁ γέρων· Ἐάν τόν σκοπόν τοῦ Κυρίου γνῶναι θέλῃς, συνετῶς ἄκουσον. Ὁ οὖν Κύριος ἡμῶν Ἰησοῦ Χριστός, φύσει Θεός ὤν, καί ἄνθρωπος διά φιλανθρωπίαν γενέσθαι καταξιώσας, ἐκ γυναικός τεχθείς [Fr. altergue M. γεννηθείς], ὑπό νόμον ἐγένετο, κατά τόν θεῖον Ἀπόστολον· ἵνα ὡς ἄνθρωπος τήν ἐντολήν φυλάξας, τήν ἀρχαίαν τοῦ Ἀδάμ ἀνατρέψῃ κατάραν. Εἰδώς οὖν ὁ Κύριος, ὅτι ὅλος ὁ νόμος καί οἱ προφῆται ἐν ταῖς δυσί τοῦ νόμου κρέμανται ἐντολαῖς, ἐν τῷ, Ἀγαπήσεις Κύριον τόν Θεόν σου ἐξ ὅλης τῆς καρδίας σου, καί τόν πλησίον ὡς ἑαυτόν· ταῦτα ἀπ᾽ ἀρχῆς καί μέχρι τέλους φυλάξαι ἀνθρωποπρεπῶς ἔσπευσεν. Ὁ δέ ἀπ᾽ ἀρχῆς ἀπατήσας τόν ἄνθρωπον, καί διά τοῦτο κράτος ἐσχηκώς τοῦ θανάτου, διάβολος, ἰδών αὐτόν ἐπί τοῦ βαπτίσματος ὑπό τοῦ Πατρός μαρτυρούμενον, καί τό συγγενές ἅγιον Πνεῦμα ὡς ἄνθρωπον ἀπ᾽ οὐρανῶν δεχόμενον, καί εἰς τήν ἔρημον πρός τό πειρασθῆναι ὑπ᾽ αὐτοῦ συνεκρότει, εἴ πως δυνηθῇ καί αὐτόν ποιῆσαι τήν τοῦ κόσμου προτιμῆσαι ὕλην τῆς εἰς Θεόν ἀγάπης. Εἰδώς οὖν ὁ διάβολος ὅτι τά τρία ταῦτά εἰσιν, ἐν οἷς πάντα δονεῖται τά ἀνθρώπινα [al. πᾶν τό ἀνθρώπινον], βρώματα, λέγω καί χρήματα, καί δόξα, δι᾽ ὧν καί εἰς τό βάραθρον τῆς ἀπωλείας ἀεί κατήγαγε [al. κατάγει. Fr.κατῆγε] τόν ἄνθρωπον· εἰς ταῦτα τά τρία αὐτόν ἐν τῇ ἐρήμῳ ἐπείρασεν, ὧν ὁ Κύριος ἡμῶν κρείττων φανείς, εἰς τοὐπίσω χωρεῖν τῷ διαβόλῳ [al.τόν διάβολον] προσέταττε.

ια'. Τοῦτο οὖν τό γνώρισμα τῆς εἰς Θεόν ἀγάπης, ἧς τήν ἐντολήν δι᾽ ὧν ἐπήγγελτο πεῖσαι αὐτόν παραβῆναι μή δυνηθείς, τῆς εἰς τόν πλησίον λοιπόν ἀγάπης τήν ἐντολήν, εἰς τήν οἰκουμένην ἐλθόντα, διά τῶν παρανόμων Ἰουδαίων ἐνεργῶν, παραβαίνειν αὐτόν δι᾽ ὧν ἐμηχανᾶτο ἠγωνίζετο. Τούτου χάριν διδάσκοντα αὐτόν τάς ὁδούς τῆς ζωῆς, καί ἔργῳ ὑποδεικνύοντα τήν οὐράνιον πολιτείαν, καί ἀνάστασιν νεκρῶν καταγγέλλοντα, καί ζωήν αἰώνιον καί βασιλείαν οὐρανῶν τοῖς πιστεύουσιν ἐπαγγελλόμενον· τοῖς δέ ἀπίστοις κόλασιν αἰώνιον ἀπειλοῦντα, καί πρός βεβαίωσιν τῶν λεγομένων τάς παραδόξους θεοσημίας ἐπιδεικνύμενον, καί εἰς πίστιν τούς ὄχλους προσκαλούμενον, συνεκίνει τούς παρανόμους Φαρισαίους καί Γραμματεῖς, εἰς τάς κατ᾽ αὐτοῦ ποικίλας ἐπιβουλάς· ἵνα τούς πειρασμούς ὑπενεγκεῖν, ὡς ᾤετο, μή δυνάμενος, εἰς μῖσος τῶν ἐπιβουλευόντων παρατραπῇ· καί οὕτως τοῦ σκοποῦ ὁ ἀλάστωρ

ἐπιτύχῃ, παραβάτην τῆς ἐντολῆς τῆς εἰς τόν πλησίον ἀγάπης ἀποφήνας.

(921) ιβ'. Ὁ δέ Κύριος, ἅτε Θεός, εἰδώς αὐτοῦ τά ἐνθύμια, οὐ τούς ὑπ᾽ αὐτοῦ ἐνεργουμένους ἐμίσησε Φαρισαίους (πῶς γάρ φύσει ἀγαθός ὤν;), ἀλλά διά τῆς εἰς αὐτούς ἀγάπης, τόν ἐνεργοῦντα ἠμύνετο· καί τούς μέν ἐνεργουμένους, ἅτε δυναμένους μή ἐνεργεῖσθαι· ἑκουσίως δέ τοῦ ἐνεργοῦντος διά ῥαθυμίαν ἀνεχομένους, ἐνουθέτει, ἤλεγχεν, ὠνείδιζεν, ἐταλάνιζεν, εὐεργετῶν οὐκ ἐπαύετο, βλασφημούμενος ἐμακροθύμει, πάσχων ὑπέμενε, πάντα τά τῆς ἀγάπης ἔργα εἰς αὐτούς ἐνεδείκνυτο· τόν δέ ἐνεργοῦντα, τῇ εἰς τούς ἐνεργουμένους φιλανθρωπίᾳ ἠμύνετο· ὤ παραδόξου πολέμου! ἀντί τοῦ μίσους, τήν ἀγάπην ἐπιδεικνύμενος, καί ἀγαθότητι βάλλων τόν τῆς κακίας πατέρα. Τούτου χάριν τά τοσαῦτα κακά παρ᾽ αὐτῶν ὑπομείνας, μᾶλλον δέ ἀληθέστερον εἰπεῖν, δι᾽ αὐτούς, μέχρι θανάτου ὑπέρ τῆς ἐντολῆς τῆς ἀγάπης ἀνθρωποπρεπῶς ἠγωνίσατο· καί τήν τελείαν νίκην κατά τοῦ διαβόλου ἀράμενος, τόν στέφανον τῆς ἀναστάσεως ὑπέρ ἡμῶν ἀνεδήσατο· καί οὕτως ὁ νέος Ἀδάμ, τόν παλαιόν ἀνενεώσατο· Καί τοῦτό ἐστιν ὅ λέγει ὁ θεῖος Ἀπόστολος· Τοῦτο φρονείσθω ἐν ὑμῖν, ὅ καί ἐν Χριστῷ Ἰησοῦ κ. τ. ἑξ.

ιγ'. Οὗτος οὖν ἦν ὁ σκοπός τοῦ Κυρίου, ἵνα τῷ μέν Πατρί ὑπακούσῃ μέχρι θανάτου ὡς ἄνθρωπος ὑπέρ ἡμῶν, φυλάττων τήν ἐντολήν τῆς ἀγάπης· τόν δέ διάβολον ἀμύνηται τῷ πάσχειν ὑπ᾽ αὐτοῦ, διά τῶν ὑπ᾽ αὐτοῦ ἐνεργουμένων Γραμματέων καί Φαρισαίων· καί οὕτως ἐνίκησε τῷ νικᾶσθαι ἑκουσίως, τόν νικᾷν ἐλπίσαντα, καί τόν κόσμον ἐῤῥύσατο τῆς αὐτοῦ δυναστείας. Τοῦτον τόν τρόπον ὁ Χριστός ἐξ ἀσθενείας ἐσταυρώθη· δι᾽ ἧς ἀσθενείας τόν θάνατον ἐνέκρωσε, καί τόν τό κράτος ἔχοντα τοῦ θανάτου κατήργησε. Τοῦτον τόν τρόπον καί ὁ Παῦλος ἐν ἑαυτῷ ἠσθένει, καί ἐκαυχᾶτο ἐν ταῖς ἀσθενείαις, ἵνα ἐπισκηνώσῃ ἐν αὐτῷ ἡ δύναμις τοῦ Χριστοῦ.

ιδ'. Ταύτης τῆς νίκης τόν τρόπον μαθών, ἔλεγεν Ἐφεσίοις γράφων· Οὐκ ἔστιν ὑμῖν ἡ πάλη πρός αἷμα καί σάρκα· ἀλλά πρός τάς ἀρχάς, πρός τάς ἐξουσίας, καί τά ἑξῆς. Τόν τε θώρακα τῆς δικαιοσύνης ἀναλαβεῖν φησι, καί τήν περικεφαλαίαν ἐλπίδος, καί τόν θυρεόν τῆς πίστεως, καί τήν μάχαιραν τοῦ πνεύματος, ἵνα δυνηθῶσι πάντα τά βέλη τοῦ πονηροῦ τά πεπυρωμένα σβέσαι, οἱ πρός τούς ἀοράτους ἐχθρούς τόν πόλεμον ἔχοντες· ἔργῳ [Fr. al. M. Nob. ἔργοις] δέ τόν τρόπον τῆς πάλης ἐπιδεικνύμενος, ἔλεγεν· Ἐγώ οὖν οὕτως τρέχω, ὡς

οὐκ ἀδήλως· οὕτως πυκτεύω, ὡς οὐκ ἀέρα δαίρων· ἀλλ᾽ ὑποπιάζω μου τό σῶμα καί δουλαγωγῶ, μήπως ἄλλοις κηρύξας, αὐτός ἀδόκιμος γένωμαι. Καί πάλιν· Ἄχρι τῆς ἄρτι ὥρας καί πεινῶμεν καί διψῶμεν καί γυμνητεύομεν, καί κολαφιζόμεθα. Καί πάλιν· Ἐν κόπῳ καί μόχθῳ· ἐν ἀγρυπνίαις πολλάκις, ἐν ψύχει καί γυμνότητι, χωρίς τῶν παρεκτός.

(924) ιε'. Καί ταύτην μέν τήν πάλην, πρός τούς ἡδονάς ἐν τῇ σαρκί ἐνεργοῦντας ἐπάλαιε δαίμονας διά τῆς ἀσθενείας τοῦ ἰδίου σώματος αὐτούς ἐπελαύνων· πρός δέ τούς εἰς μῖσος πολεμοῦντας, καί διά τοῦτο τούς τῶν ἀνθρώπων ἀμελεστέρους κατά τῶν εὐσεβῶν κινοῦντας, ἵνα δι᾽ αὐτῶν πειραζόμενοι, αὐτούς μισήσωσι, καί τήν ἐντολήν τῆς ἀγάπης παραβῶσι· πάλιν τόν τρόπον τῆς νίκης ἔργοις ἡμῖν ὑποδεικνύων, ἔλεγεν· Λοιδορούμενοι, εὐλογοῦμεν· διωκόμενοι, ἀνεχόμεθα· βλασφημούμενοι, παρακαλοῦμεν· ὡσπερεί καθάρματα τοῦ κόσμου ἐγενήθημεν, πάτων περίψημα ἕως ἄρτι. Οἱ μέν γάρ δαίμονες, διά τοῦτο λοιδορεῖν καί βλασφημεῖν καί διώκειν ὑπέβαλον, ἵνα εἰς μῖσος τοῦ λοιδοροῦντος καί βλασφημοῦντος καί διώκοντος αὐτόν κινήσωσι· τόν σκοπόν εἰς τήν παράβασιν τῆς ἐντολῆς τῆς ἀγάπης ἔχοντες. Ὁ δέ Ἀπόστολος μή ἀγνοῶν τά νοήματα αὐτῶν, τούς λοιδοροῦντας ηὐλόγει, καί τῶν διωκόντων ἠνείχετο, καί τούς βλασφημοῦντας περεκάλει, τῶν μέν ταῦτα ἐνεργούντων ἀποστῆναι δαιμόνων, τῷ δέ ἀγαθῷ οἰκοιωθῆναι Θεῷ· τούς δέ ταῦτα ἐνεργούντας δαίμονας, τούτῳ τῷ τρόπῳ τῆς πάλης ἠμύνετο, ἐν τῷ ἀγαθῷ ἀεί νικῶν τό κακόν, κατά τήν μίμησιν τοῦ Σωτῆρος, καί οὕτως ὅλον τόν κόσμον τῶν δαιμόνων ἀποστήσαντες τῷ Θεῷ ᾠκείωσαν, αὐτός τε καί οἱ λοιποί ἀπόστολοι, διά ἥττης νικήσαντες τούς νικᾷν ἐλπίσαντας [al. καί κρατήσαντες, τούς κρατεῖν ἐλπ. Fr. νικήσαντες, τούς κρατεῖν ἐθέλοντας]. Ἐάν οὖν καί σύ, Ἀδελφέ, τοῦτον κρατήσῃς τόν σκοπόν, δύνασαι καί σύ τούς μισοῦντας ἀγαπᾷν· εἰ δέ γε, ἄλλως ἀμήχανον.

ιστ'. Καί ὁ ἀδελφός εἶπεν· Ἐπ᾽ ἀληθείας, Πάτερ, οὕτως ἐστί καί οὐκ ἄλλως· καί διά τοῦτο ὁ Κύριος βλασφημούμενος καί κολαφιζόμενος, καί τά ἄλλα πάσχων, ἅπερ ἔπαθεν ὑπό τῶν Ἰουδαίων, ἠνείχετο, ἐκείνοις μέν συμπάσχων ὡς ἀγνοοῦσι καί πεπλανημένοις διό καί ἔλεγεν ἐπί τοῦ σταυροῦ· Πάτερ, ἄφες αὐτοῖς, ὅτι οὐκ [al. οὐ γάρ] οἴδασι τί ποιοῦσι· τοῦ δέ διαβόλου καί τῶν ἀρχόντων αὐτοῦ θριαμβεύων τήν πανουργίαν καί τήν ἀπάτην ἐπί τοῦ σταυροῦ· ὑπέρ τῆς ἐντολῆς τῆς ἀγάπης, καθώς εἶπας, μέχρι θανάτου πρός αὐτούς ἀγωνισάμενος, καί τήν κατ᾽ αὐτῶν νίκην ἡμῖν χαρισάμενος· καί τοῦ θανάτου καταλύσας

τό κράτος, τήν ἀνάστασιν αὐτοῦ εἰς ζωήν παντί τῷ κόσμῳ ἐδωρήσατο. Ἀλλ᾽ εὔχου ὑπέρ ἐμοῦ, Πάτερ, ἵνα τελείως ἐξισχύσω γνῶναι τόν σκοπόν τοῦ Κυρίου, καί τῶν ἀποστόλων αὐτοῦ· καί δυνηθῶ νήφειν ἐν τοῖς καιροῖς τῶν πειρασμῶν, καί μή ἀγνοεῖν τά νοήματα τοῦ διαβόλου καί τῶν δαιμόνων αὐτοῦ.

ιζ'. Καί ὁ γέρων ἀποκριθείς, εἶπεν· Ἐάν τῶν προειρημένων ἔχεις ἀεί τήν μελέτην, δύνασαι μή ἀγνοεῖν. Ἀλλά καί ἐάν συνιῇς, ὅτι ὥσπερ σύ πειράζῃ, οὕτως καί ὁ ἀδελφός σου πειράζεται· καί τῷ μέν πειραζομένῳ συγγινώσκεις, τῷ δέ πειράζοντι θέλοντί σε εἰς μῖσος ἀγαγεῖν τοῦ πειραζομένου ἀντιστῇς, μή ὑπακούων αὐτοῦ τῷ μηχανήματι. καί τοῦτό ἐστιν ὅ λέγει (925) ὁ ἀδελφόθεος Ἰάκωβος ἐν ταῖς Καθολικαῖς· Ὑποτάγητε τῷ Θεῷ· ἀντίστητε δέ τῷ διαβόλῳ, καί φεύξεται ἀφ᾽ ὑμῶν. Ἐάν οὖν, ὡς εἴρηται, ἔχεις νηφόντως τήν τῶν προειρημένων ἀδιαλείπτως μελέτην, δύνασαι γνῶναι τόν σκοπόν τοῦ Κυρίου, καί τῶν ἀποστόλων αὐτοῦ· καί τούς μέν ἀνθρώπους ἀγαπᾷν, καί συμπάσχειν αὐτοῖς πταίουσι· τοῖς δέ πονηροῖς δαίμοσιν ἀδιαλείπτως διά τῆς ἀγάπης πολεμεῖν. Εἰ δέ ἐσμέν χαῦνοι καί ἀμελεῖς καί ῥᾴθυμοι, καί ταῖς σαρκικαῖς ἡδοναῖς τόν λογισμόν ἐμφύρομεν, οὐχί τούς δαίμονας, ἀλλ᾽ ἑαυτούς καί τούς ἀδελφούς πολεμοῦμεν· τούς δέ δαίμονας μᾶλλον δι᾽ αὐτῶν θεραπεύομεν, ὑπέρ αὐτῶν τοῖς ἀνθρώποις μαχόμενοι.

ιη'. Καί ὁ ἀδελφός εἶπεν· Οὕτως ἔχει, Πάτερ· καί γάρ ἐκ τῆς ἀμελείας μου ἀεί λαμβάνουσιν ἀφορμάς κατ᾽ ἐμοῦ οἱ δαίμονες· ἀλλά παρακαλῶ σε, Πάτερ, εἰπεῖν μοι, πῶς ὀφείλω κτήσασθαι νῆψιν. Καί ἀπεκρίθη ὁ γέρων· Ἡ παντελής τῶν γηΐνων ἀμεριμνία, καί ἡ συνεχής [Fr. altergue M. συχνή] μελέτη τῆς θείας Γραφῆς φέρει τήν ψυχήν εἰς φόβον Θεοῦ· καί ὁ τοῦ Θεοῦ φόβος φέρει τήν νῆψιν· καί τότε ἡ ψυχή ἄρχεται βλέπειν τούς διά τῶν λογισμῶν πολεμοῦντας αὐτήν δαίμονας, καί ἀμύνασθαι· περί ὧν ὁ Δαβίδ ἔλεγεν· Καί ἐπεῖδεν ὁ ὀφθαλμός μου ἐν τοῖς ἐχθροῖς μου. Πρός ταύτην τήν πάλην καί ὁ κορυφαῖος τῶν ἀποστόλων Πέτρος διεγείρων τούς μαθητάς, ἔλεγε· Νήψατε, γρηγορήσατε, ὅτι ὁ ἀντίδικος ὑμῶν διάβολος, ὡς λέων ὠρυόμενος περιπατεῖ, ζητῶν τίνα καταπίῃ· ᾧ ἀντίστητε στερεοί τῇ πίστει· καί ὁ Κύριος δέ· Γρηγορεῖτε καί προσεύχεσθε, ἵνα μή εἰσέλθητε εἰς πειρασμόν. Ὁ δέ Ἐκκλησιαστής φησιν· Ἐάν πνεῦμα τοῦ ἐξουσιάζοντος ἀναβῇ ἐπί σέ, τόπον σου μή ἀφῇς [al. εὕροι]. Τόπος δέ τοῦ νοῦ ἐστιν ἡ ἀρετή, καί ἡ γνῶσις, καί ὁ φόβος τοῦ Θεοῦ. Ὁ δέ

θαυμαστός Ἀπόστολος σφόδρα νηφόντως καί γενναίως ἀγωνιζόμενος ἔλεγεν· Ἐν σαρκί γάρ περιπατοῦντες, οὐ κατά σάρκα στρατευόμεθα. Τά γάρ ὅπλα τῆς στρατείας ἡμῶν οὐ σαρκικά, ἀλλά δυνατά τῷ Θεῷ πρός καθαίρεσιν ὀχυρωμάτων· λογισμούς καθαιροῦντες, καί πᾶν ὕψωμα ἐπαιρόμενον κατά τῆς γνώσεως τοῦ Θεοῦ· καί αἰχμαλωτίζοντες πᾶν νόημα εἰς τήν ὑπακοήν τοῦ Χριστοῦ· καί ἐν ἑτοίμῳ ἔχοντες ἐκδικῆσαι πᾶσαν παρακοήν. Ἐάν οὖν καί σύ μιμήσῃ τούς ἁγίους, καί ἐμπόνως σχολάσῃς τῷ Θεῷ, ἔσῃ νηφόμενος.

ιθ'. Καί ὁ Ἀδελφός εἶπε· Καί τί ὤφειλέ τις ποιεῖν, Πάτερ, ἵνα ἀδιαλείπτως δυνηθῇ σχολάζειν τῷ Θεῷ; καί ἀπεκρίθη ὁ γέρων· Ἀδύνατον τό νοῦν τελείως σχολάσαι τῷ Θεῷ, ἐάν μή τάς τρεῖς ταύτας κτήσηται ἀρετάς· τήν ἀγάπην λέγω, καί τήν ἐγκράτειαν καί τήν προσευχήν. Ἡ μέν γάρ ἀγάπη, ἡμεροῖ τόν θυμόν· ἡ δέ ἐγκράτεια, μαραίνει τήν ἐπιθυμίαν· ἡ δέ προσευχή, χωρίζει τόν νοῦν πάντων τῶν νοημάτων, (928) καί αὐτῷ αὐτόν παρίστησι γυμνόν τῷ Θεῷ. Αὗται οὖν αἱ τρεῖς ἀρεταί, συμπεριληπτικαί εἰσι πασῶν τῶν ἀρετῶν· καί ἄνευ τούτων ὁ νοῦς οὐ δύναται σχολάζειν τῷ Θεῷ.

κ'. Καί ὁ ἀδελφός εἶπε· Παρακαλῶ σε, Πάτερ, μαθεῖν, πῶς ἡ ἀγάπη ἡμεροῖ τόν θυμόν. Καί ἀπεκρίθη ὁ γέρων· Ἐπειδή ἔχει τό ἐλεεῖν, καί τό εὐεργετεῖν τόν πλησίον· καί τό μακροθυμεῖν ἐπ᾽ αὐτόν, καί τό ὑπομένειν τά ὑπ᾽ αὐτοῦ ἐπαγόμενα, ὡς πολλάκις εἰρήκαμεν. Ταῦτα οὖν ἔχουσα ἡ ἀγάπη, ἡμεροῖ τόν θυμόν τοῦ κεκτημένου αὐτήν. Καί ὁ Ἀδελφός εἶπε· Οὐ μικρά τά ἔργα αὐτῆς· ἀλλά μακάριος ὁ δυνάμενος κτήσασθαι αὐτήν. Ἐγώ δέ ὄντως μακράν εἰμι ἀπ᾽ αὐτῆς. Πλήν Παρακαλῶ σε, Πάτερ, εἰπεῖν μοι, τί ἐστι τό μακροθυμεῖν.

κα'. Καί ἀπεκρίθη ὁ γέρων· Τό ἐγκαρτερεῖν τοῖς δεινοῖς, καί τό ὑπομένειν πονηρά· καί τό ἀναμένειν τό τέλος τοῦ πειρασμοῦ, καί τό μή ἐξάγειν θυμόν ὡς ἔτυχε, μηδέ λόγον λαλεῖν ἐν ἀφροσύνῃ, μηδέ ὑπονοεῖν τι ἤ ἐννοεῖν τῶν μή πρεπόντων θεοσεβεῖ, καθώς εἶπεν ἡ Γραφή· Ἕως καιροῦ ἀνθέξεται μακρόθυμος, καί ὕστερον ἀναδώσει αὐτῷ εὐφροσύνη· ἕως καιροῦ κρύψει τούς λόγους αὐτοῦ· καί χείλη πολλῶν [Sixt. πιστῶν, fidelium] ἐκδιηγήσεται σύνεσιν αὐτοῦ.

κβ'. Ταῦτα οὖν ἐστι τά γνωρίσματα τῆς μακροθυμίας· οὐ μόνον δέ, ἀλλά καί λογίσασθαι ἑαυτόν εἶναι αἴτιον τοῦ πειρασμοῦ, τῆς μακροθυμίας ἐστίν ἴδιον. Ἴσως δέ καί οὕτως ἔχει· ἐπειδή τά πολλά τῶν συμβαινόντων ἡμῖν, πρός παίδευσιν ἡμῶν ἐπισυμβαίνει, ἤ πρός παρελθόντων ἁμαρτιῶν ἀναίρεσιν, ἤ πρός ἐνεστώσης ἀμελείας

διόρθωσιν, ἤ πρός μελλόντων ἁμαρτημάτων [al. πλημμελημάτων] ἀνακοπήν. Ὁ οὖν λογιζόμενος, ὅτι δι᾽ ἕν τούτων συνέβη ὁ πειρασμός, οὐκ ἀγανακτεῖ τυπτόμενος, μάλιστα καί συνειδώς ἑαυτῷ ἁμαρτίας· οὐδέ αἰτιᾶται τόν, δι᾽ οὗ ὁ πειρασμός· κἄν γάρ δι᾽ αὐτοῦ, κἄν δι᾽ ἄλλου, πάντως πιεῖν εἶχε τῶν θείων κριμάτων τό ποτήριον· ἀλλ᾽ εἰς τόν Θεόν ἀποβλέπει, καί εὐχαριστεῖ τῷ συγχωρήσαντι, καί ἑαυτόν αἰτιᾶται, καί δέχεται τήν παιδείαν προθύμως, ὥσπερ ὁ Δαβίδ ἐπί τοῦ Σεμεΐ, καί ὥσπερ ὁ Ἰώβ ἐπί τῆς γυναικός· ὁ δέ ἄφρων, αἰτεῖ μέν πολλάκις τόν Θεόν ἐλεηθῆναι· ἐρχόμενον δέ τό ἔλεος, οὐ παραδέχεται, ἐπειδή οὐχ ὡς ἐκεῖνος ἤθελεν, ἦλθεν· ἀλλ᾽ ὡς ἰατρός τῶν ψυχῶν συμφέρειν ἡγήσατο. Καί διά τοῦτο ὀλιγωρεῖ καί θορυβεῖται· καί ποτέ μέν, (929) τοῖς ἀνθρώποις θυμομαχεῖ· ποτέ δέ, εἰς τόν Θεόν βλασφημεῖ· καί μέν τοι καί τήν ἀγνωμοσύνην δεικνύει, καί παρά ῥάβδον οὐ λαμβάνει.

κγ'. Καί ὁ Ἀδελφός εἶπε· Καλῶς εἶπας, Πάτερ· ἀλλά παρακαλῶ εἰπεῖν μοι καί τοῦτο, πῶς ἡ ἐγκράτεια μαραίνει τήν ἐπιθυμίαν. Καί ἀπεκρίθη ὁ γέρων· Ἐπειδή ἀπέχεσθαι ποιεῖ πάντων, τήν μή χρείαν ἐκπληρούντων, ἀλλ᾽ ἡδονήν ἐμποιούντων· καί οὐδενός μετέχειν ποιεῖ, πλήν πρός τό ζῆν ἀναγκαίων· οὐδέ τά ἡδέα διώκειν, ἀλλά τά ὠφέλιμα· καί συμμετρεῖν δέ τῇ χρείᾳ τά βρώματα καί τά πόματα· καί οὐκ ἐᾶν τῷ [ Fr. μή ἐᾷν ἐν τῷ] σώματι περιττήν ὑγρότητα· καί μόνη συντηρεῖν τήν ζωήν τοῦ σώματος, καί ἀνενόχλητον αὐτό φυλάττειν εἰς ὁρμήν συνουσίας. Οὕτως οὖν ἡ ἐγκράτεια τήν ἐπιθυμίαν μαραίνει· ἡ δέ ἡδονή, καί πλησμονή τῶν βρωμάτων καί πομάτων, ἐκθερμαίνει τήν γαστέρα, καί ἀναφλέγει τήν ὄρεξιν πρός αἰσχράν ἐπιθυμίαν, καί ὅλον συνωθεῖ τό ζῶον πρός τήν ἄνομον [ἄλογον fort. leg. Nobil. quod amentem reddil] μίξιν. Τότε ὀφθαλμοί ἀναιδεῖς, καί χείρ ἀχαλίνωτος, γλῶσσα λαλοῦσα θέλγηστρα ἀκοῆς, καί οὖς ἀκοήν ματαίαν παραδεχόμενον· νοῦς, τοῦ Θεοῦ καταφρονῶν· καί ψυχή, κατά διάνοιαν μοιχείαν ἐργαζομένη, καί τό σῶμα πρός τήν ἄθεσμον πρᾶξιν ἐκκαλουμένη.

κδ'. Καί ὁ Ἀδελφός ἔφη· Ἐπ᾽ ἀληθείας, Πάτερ, οὕτως ἔχει· ἀλλά παρακαλῶ μαθεῖν καί περί τῆς προσευχῆς, πῶς χωρίζει τόν νοῦν πάντων τῶν νοημάτων. Καί ἀπεκρίθη ὁ γέρων· Τά νοήματα, τῶν πραγμάτων εἰσί νοήματα· τῶν δέ πραγμάτων, τά μέν εἰσίν αἰσθητά· τά δέ νοητά. Ἐν αὐτοῖς οὖν ὁ νοῦς διατρίβων, τά νοήματα αὐτῶν περιφέρει· ἡ δέ χάρις τῆς προσευχῆς, τῷ Θεῷ συνάπτει τόν νοῦν· τῷ δέ Θεῷ συνάπτουσα, χωρίζει πάντων τῶν νοημάτων. Τότε ὁ νοῦς γυμνός

αὐτῷ [ al. τῷ Θεῷ] προσομιλῶν, θεοειδής γίνεται. Τοιοῦτος δέ γινόμενος, τά πρέποντα παρ᾽ αὐτοῦ αἰτεῖ, καί τῆς δεήσεως αὐτοῦ οὐ διαμαρτάνει ποτέ. Διά τοῦτο οὖν ὁ Ἀπόστολος ἀδιαλείπτως κελεύει προσευχέσθαι, ἵνα τόν νοῦν τῷ Θεῷ συνεχῶς συνάπτοντες, κατά μικρόν ἀποῤῥήξωμεν τῆς τῶν ὑλικῶν προσπαθείας.

κε'. Καί ὁ Ἀδελφός εἶπε· Καί πῶς ὁ νοῦς δύναται ἀδιαλείπτως προσεύχεσθαι· καί γάρ ψάλλοντες καί ἀναγινώσκοντες καί συντυγχάνοντες καί διακονοῦντες, εἰς πολλά αὐτόν περισπῶμεν νοήματά τε καί θεωρήματα. Καί ἀπικρίθη ὁ γέρων· Οὐδέν τῶν ἀδυνάτων ἡ θεία Γραφή προστάσσει· ἐπεί καί αὐτός ὁ Ἀπόστολος (931) καί ἔψαλλεν καί ἀνεγίνωσκε καί διηκόνει, καί ἀδιαλείπτως προσηύχετο. Ἀδιάλειπτος γάρ ἐστι προσευχή, τό τόν νοῦν ἔχειν ἐν εὐλαβείᾳ πολλῇ καί πόθῳ προσκείμενον τῷ Θεῷ, καί τῆς ἐλπίδος αὐτοῦ ἀεί ἀποκρέμασθαι· καί εἰς αὐτόν θαῤῥεῖν ἐν πᾶσι, τοῖς τε ἔργοις καί τοῖς συμβαίνουσιν. Οὕτως διακείμενος ὁ Ἀπόστολος, ἔλεγε· Τίς ἡμᾶς χωρίσει ἀπό τῆς ἀγάπης τοῦ Χριστοῦ· θλίψις; ἤ στενοχωρία; καί τά ἑξῆς. Καί μετ᾽ ὀλίγα· Πέπεισμαι γάρ, ὅτι οὔτε θάνατος, οὔτε ζωή, οὔτε ἄγγελοι. Καί πάλιν· Ἐν παντί θλιβόμενοι, καί οὐ στενοχωρούμενοι· ἀπορούμενοι, καί οὐκ ἐξαπορούμενοι· διωκόμενοι, ἀλλ᾽ οὐ καταλιμπανόμενοι· καταβαλλόμενοι, ἀλλ᾽ οὐκ ἀπολλύμενοι. Πάντοτε τήν νέκρωσιν τοῦ Κυρίου Ἰησοῦ ἐν τῷ σώματι περιφέροντες, ἵνα καί ἡ ζωή τοῦ Ἰησοῦ φανερωθῇ ἐν τῇ θνητῇ σαρκί ἡμῶν.

κστ'. Οὕτως οὖν ὁ Ἀπόστολος διακείμενος, ἀδιαλείπτως [al. διηνεκῶς καί ἀδιαλ.] προσηύχετο· ἐν πᾶσι γάρ τοῖς ἔργοις, ὡς εἴρηται, καί τοῖς συμβαίνουσιν αὐτῷ τῆς ἐλπίδος τοῦ Θεοῦ ἀπεκρέματο. Διά τοῦτο ταῖς θλίψεσιν ἀεί ἔχαιρον πάντες οἱ ἅγιοι, ἵνα εἰς ἕξιν ἔλθωσι τῆς θείας ἀγάπης. Καί διά τοῦτο ἔλεγεν ὁ Ἀπόστολος· Ἥδιστα οὖν καυχήσομαι ἐν ταῖς ἀσθενείαις μου, ἵνα ἐπισκηνώσῃ ἐπ᾽ ἐμέ ἡ δύναμις τοῦ Χριστοῦ. Καί μετ᾽ ὀλίγα· Ὅταν ἀσθενῶ, τότε δυνατός εἰμι. Ἀλλ᾽ οὐαί ἡμῖν τοῖς ἀθλίοις, ὅτι κατελίπομεν τήν ὁδόν τῶν ἁγίων Πατέρων, καί διά τοῦτο ἔρημοί ἐσμεν παντός ἔργου πνευματικοῦ.

κζ'. Καί ὁ ἀδελφός εἶπε· Διά τί, Πάτερ, οὐκ ἔχω κατάνυξιν; Καί ἀπεκρίθη ὁ γέρων· Ἐπειδή οὐκ ἔστι φόβος Θεοῦ ἀπέναντι τῶν ὀφθαλμῶν ἡμῶν. Ἐπειδή πάντων τῶν κακῶν γεγόναμεν καταγώγιον, καί διά τοῦτο, ὡς ψιλοῦ νοήματος κατεφρονήσαμεν τῆς φοβερᾶς τοῦ Θεοῦ κολάσεως. Ἐπεί τίς οὐ κατανύγεται, ἀκούων, τοῦ μέν Μωϋσέως ἐκ προσώπου Θεοῦ περί τῶν ἁμαρτωλῶν λέγοντος, ὅτι Πῦρ

ἐκκέκαυται ἐκ τοῦ θυμοῦ μου· καυθήσεται ἕως ᾅδου κατωτάτου. καταφάγεται γῆν, καί τά γενήματα αὐτῆς· φλέξει θεμέλια ὀρέων. Συνάξω εἰς αὐτούς κακά, καί τά βέλη μου συντελέσω εἰς αὐτούς; Καί πάλιν· Παροξυνῶ ὡς ἀστραπήν τήν μάχαιράν μου, καί ἀνθέξεται κρίματος ἡ χείρ μου· καί ἀνταποδώσω δίκην τοῖς ἐχθροῖς, καί τοῖς μισοῦσί με ἀνταποδώσω. Τοῦ δέ Ἠσαΐου βοῶντος, Τίς ἀναγγελεῖ ὑμῖν ὅτι πῦρ καίεται; τίς ἀναγγελεῖ ὑμῖν τόν τόπον τόν αἰώνιον; Πορεύεσθε τῷ φωτί τοῦ πυρός ὑμῶν, καί τῇ φλογί, ᾗ ἐξεκαύσατε. Καί πάλιν· Ἐξελεύσονται, καί ὄψονται τά κῶλα τῶν ἀνθρώπων, τῶν παραβεβηκότων ἐν ἐμοί. Ὁ γάρ σκώληξ αὐτῶν οὐ τελευτήσει, καί τό πῦρ αὐτῶν οὐ σβεσθήσεται· καί ἔσονται εἰς ὅρασιν πάσῃ σαρκί. Τοῦ δέ Ἱερεμίου λέγοντος· Δότε τῷ Κυρίῳ [Fr.Κυρίῳ ὑμῶν] Θεῷ ὑμῶν δόξαν πρό τοῦ σκοτάσαι, καί πρό τοῦ προσκόψαι τούς πόδας ὑμῶν ἐπ᾽ ὄρη σκοτεινά. Καί πάλιν· Ἀκούσατε λαός μωρός καί ἀκάρδιος· ὀφθαλμοί αὐτοῖς, καί οὐ βλέπουσιν· ὦτα αὐτοῖς καί οὐκ ἀκούουσιν.(933) Ἐμέ οὐ φοβηθήσεσθε, λέγει Κύριος; ἤ ἀπό τοῦ προσώπου μου οὐκ εὐλαβηθήσεσθε; τόν ποιήσαντα ὅριον ψάμμον τῇ θαλάσσῃ, πρόσταγμα αἰώνιον, καί οὐχ ὑπερβήσεται; Καί πάλιν· Παιδεύσει σε ἡ ἀποστασία σου, καί ἡ κακία σου ἐλέγξει σε. Καί γνῶθι, καί ἴδε, ὅτι πικρόν σοι ἐστι τό καταλιπεῖν σε ἐμέ, λέγει Κύριος. Ἐγώ ἐφύτευσα ἄμπελον καρποφόρον πᾶσαν ἀληθινήν· πῶς ἐστράφης εἰς πικρίαν ἡ ἄμπελος ἡ ἀλλοτρία; Καί πάλιν· Οὐκ ἐκάθισα μετά συνεδρίου παιζόντων [Sixt. συνεδρίῳ αὐτῶν παίζ.]· ἀλλ᾽ ηὐλαβούμην ἀπό προσώπου χειρός σου. Καταμόνας ἐκαθήμην, ὅτι πικρίας ἐνεπλήσθην. Τίς δέ οὐ φρίσσει τοῦ Ἰεζεκιήλ ἀκούων, λέγοντος· Ἐκχεῶ τήν ὀργήν μου ἐπί σέ, καί συντελέσω τόν θυμόν μου ἐπί σοί· καί κρινῶ σε ἐν ταῖς ὁδοῖς σου, καί δώσω ἐπί σέ πάντα τά βδελύγματά σου· καί οὐ φείσεται ὁ ὀφθαλμός μου, οὐδ᾽ οὐ μή ἐλεήσω· καί τότε ἐπιγνώσῃ ὅτι ἐγώ Κύριος. Τίς δέ τοῦ Δανιήλ ἀκούων οὐ κατανύγεται· διαγράφοντος διαῤῥήδην τήν ἡμέραν τῆς φοβερᾶς κρίσεως, ἐν οἷς φησιν· Ἐγώ Δανιήλ ἐθεώρουν, ἕως οὗ θρόνοι ἐτέθησαν. Καί Παλαιός ἡμερῶν ἐκάθησεν. Τό ἔνδυμα αὐτοῦ λευκόν ὡσεί χιών· καί ἡ θρίξ τῆς κεφαλῆς αὐτοῦ ὡς ἔριον καθαρόν. Καί ὁ θρόνος αὐτοῦ φλόξ πυρός· οἱ τροχοί αὐτοῦ πῦρ φλέγον. Ποταμός πυρός εἷλκεν, ἐκπορευόμενος ἔμπροσθεν αὐτοῦ. Χίλιαι χιλιάδες ἐλειτούργουν αὐτῷ, καί μύριαι μυριάδες παρειστήκεισαν ἔμπροσθεν αὐτοῦ. Κριτήριον ἐκάθισε, καί βίβλοι ἠνεῴχθησαν· τά πεπραγμένα ἑκάστου δῆλον ὅτι. Καί πάλιν·

Ἐθεώρουν ἐν ὁράματι τῆς νυκτός, καί ἰδού μετά τῶν νεφελῶν τοῦ οὐρανοῦ, ὡς Υἱός ἀνθρώπου ἐρχόμενος ἦν· καί ἕως τοῦ Παλαιοῦ ἡμερῶν ἔφθασεν· καί ἐνώπιον αὐτοῦ προσηνέχθη αὐτῷ· καί αὐτῷ ἐδόθη ἡ ἀρχή καί ἡ τιμή καί ἡ βασιλεία. Καί πάντες οἱ λαοί, φυλαί, γλῶσσαι αὐτῷ δουλεύσουσι· καί ἡ ἐξουσία αὐτοῦ, ἐξουσία αἰώνιος· καί ἡ βασιλεία αὐτοῦ, βασιλεία αἰώνιος. Ἔφριξε τό πνεῦμα μου, ἐγώ Δανιήλ, ἐν τῇ ἕξει μου, καί αἱ ὁράσεις τῆς κεφαλῆς μου συνετάρασσόν με.

κη'. Τίς δέ τοῦ Δαβίδ ἀκούων οὐ φοβεῖται, λέγοντος· Ἅπαξ ἐλάλησεν ὁ Θεός, δύο ταῦτα ἤκουσα, ὅτι τό κράτος τοῦ Θεοῦ, καί σοῦ, Κύριε, τό ἔλεος· ὅτι σύ ἀποδώσεις ἑκάστῳ κατά τά ἔργα αὐτοῦ. Καί πάλιν τοῦ Ἐκκλησιαστοῦ λέγοντος· Τέλος λόγου, τό πᾶν ἄκουε· τόν Θεόν φοβοῦ, καί τάς ἐντολάς αὐτοῦ φύλασσε, ὅτι τοῦτο πᾶς ἄνθρωπος· ὅτι σύμπαν τό ποίημα ἄξει ὁ Θεός ἐν κρίσει ἐν παντί παρεωραμένῳ, ἐάν ἀγαθόν, καί ἐάν πονηρόν.

κθ'. Τίς δέ τά ὅμοια ἀκούων τοῦ Ἀποστόλου λέγοντος, οὐ τρέμει· Δεῖ γάρ πάντας ἡμᾶς παραστῆναι τῷ βήματι τοῦ Χριστοῦ, ἵνα κομίσηται ἕκαστος ἡμῶν τά διά τοῦ σώματος, εἴτε ἀγαθόν, εἴτε κακόν. Τίς οὖν θρηνήσει τήν ἀπιστίαν ἡμῶν, καί τήν τύφλωσιν τῆς ψυχῆς ἡμῶν· ὅτι τούτων πάντων ἀκούοντες, οὐ μετανοοῦμεν, καί πικρῶς κλαίομεν ἐπι τῇ τοσαύτῃ ἡμῶν ἀμελείᾳ καί ῥαθυμίᾳ; ἥν προθεωρῶν (936) Ἱερεμίας, ἔλεγεν· Ἐπικατάρατος ὁ ποιῶν τά ἔργα Κυρίου ἀμελῶς. Εἰ γάρ εἴχομεν φροντίδα περί τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, ἐτρέμομεν ἄν τόν λόγον τοῦ Κυρίου, καί ἐσπεύδομεν κατορθῶσαι τάς ἐντολάς αὐτοῦ, δι᾿ ὧν καί ἐσωζόμεθα. Ἀλλ᾿ ἡμεῖς ἀκούοντες τοῦ Κυρίου, λέγοντος· Εἰσέλθετε διά τῆς στενῆς πύλης, τῆς εἰσαγούσης εἰς τήν ζωήν· προετιμήσαμεν τήν πλατεῖαν καί εὐρύχωρον, τήν ἀπάγουσαν εἰς τήν ἀπώλειαν. Διά τοῦτο ἀκούομεν, Ὅταν ἐκ τῶν οὐρανῶν παραγίνηται κρῖναι ζῶντας καί νεκρούς· Ὑπάγετε ἐπ᾿ ἐμοῦ, οἱ κατηραμένοι, εἰς τό πῦρ τό αἰώνιον, τό ἡτοιμασμένον τῷ διαβόλῳ καί τοῖς ἀγγέλοις αὐτοῦ.

λ'. Καί ταῦτα ἀκούομεν, οὐχ ὡς κακῶς πράξαντες, ἀλλ᾿ ὡς τῶν καλῶν ἀμελήσαντες, καί τόν πλησίον μή ἀγαπήσαντες. Εἰ δέ καί κακά ἐπράξαμεν, πῶς ὑποίσομεν τήν ἡμέραν ἐκείνην, οὕτως ἀμελῶς διακείμενοι; Πλήν τό, Οὐ μοιχεύσεις, οὐ κλέψεις, οὐ φονεύσεις, καί τά ἑξῆς, τοῖς ἀρχαίοις ἐῤῥέθη διά Μωϋσέως· ὁ δέ Κύριος, εἰδώς ὅτι οὐκ ἀρκεῖ τῷ Χριστιανῷ ἡ τούτων μόνον τήρησις πρός τελείωσιν, ἔλεγεν·

Ἀμήν λέγω ὑμῖν, ὅτι Ἐάν μή περισσεύσῃ ὑμῶν ἡ δικαιοσύνη πλέον τῶν Γραμματέων καί Φαρισαίων, οὐ μή εἰσέλθητε εἰς τήν βασιλείαν τῶν οὐρανῶν. Διά τοῦτο ἄνω καί κάτω τόν τῆς ψυχῆς ἁγιασμόν, δι᾿ ἧν καί τό σῶμα ἁγιάζεται, καί τήν πρός πάντας ἀνθρώπους εἰλικρινῆ ἀγάπην ἐνομοθέτησε, δι᾿ ὧν καί τήν εἰς αὐτόν ἀγάπην κτήσασθαι δυνάμεθα· καί ἑαυτόν τύπον μέχρι θανάτου, καί τούς αὐτοῦ μαθητάς ἡμῖν παρέσχεν, ὡς πολλάκις εἴρηται.

λα'. Ποίαν οὖν ἀπολογίαν ἕξομεν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, τοιοῦτον ὑπόδειγμα ἔχοντες, καί οὕτως ἀμελοῦντες; Ἡμᾶς θρηνῶν Ἱερεμίας τούς τοσαύτης χάριτος ἐξιωθέντας, καί οὕτως ἀμελῶς διακειμένους, μᾶλλον δέ, πάσης κακίας πεπληρωμένους, ἔλεγε· Τίς δώσει τῇ κεφαλῇ μου ὕδωρ, καί τοῖς ὀφθαλμοῖς μου πηγήν δακρύων, καί κλαύσομαι τόν λαόν τοῦτον ἡμέρας καί νυκτός; Περί ἡμᾶς [Fr. περί ἡμῶν] ἐγώ ἀκούω καί τοῦ Μωϋσέως λέγοντος· Καί ἔφαγεν Ἰακώβ, καί ἐνεπλήσθη· καί ἀπελάκτισεν ὁ ἠγαπημένος· ἐλιπάνθη, ἐπαχύνθη, ἐπλατύνθη, καί ἐγκατέλιπε Θεόν τόν ποιήσαντα αὐτόν, καί ἀπέστη ἀπό Θεοῦ σωτῆρος αὐτοῦ. Καί τοῦ Μιχαίου θρηνοῦντος καί λέγοντος· Οἴμοι ψυχή! ὅτι ἀπόλωλεν εὐλαβής ἀπό τῆς γῆς, καί ὁ κατορθῶν ἐν ἀνθρώποις οὐχ ὑπάρχει. Ἕκαστος τόν πλησίον αὐτοῦ θλίβουσιν ἐκθλιβῇ· ἐπί τό κακόν τάς χεῖρας αὐτῶν ἑτοιμάζουσι. Καί τοῦ Ψαλμῳδοῦ ὁμοίως περί ἡμῶν λέγοντος· Σῶσόν με, Κύριε, ὅτι ἐλέλοιπεν ὅσιος· ὅτι ὠλιγώθησαν αἱ ἀλήθειαι ἀπό τῶν υἱῶν τῶν ἀνθρώπων, καί τά λοιπά.

λβ'. Προφητικῶς καί ὁ Ἀπόστολος θρηνῶν ἡμᾶς, ἔλεγεν· Οὐκ ἔστι ποιῶν χρηστότητα, οὐκ ἔστιν ἕως ἑνός. Τάφος ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν· ταῖς γλώσσαις αὐτῶν ἐδολιοῦσαν. Ἰός ἀσπίδων ὑπό τά χείλη αὐτῶν· (937) ὧν τό στόμα ἀρᾶς καί πικρίας γέμει. Σύντριμμα καί ταλαιπωρία ἐν ταῖς ὁδοῖς αὐτῶν, καί ὁδόν εἰρήνης οὐκ ἔγνωσαν· οὐκ ἔστι φόβος Θεοῦ ἀπέναντι τῶν ὀφθαλμῶν αὐτῶν. Διά τοῦτο πάλιν προβλέπων τά μέλλοντα, περί τῆς νῦν ἡμῶν πονηρᾶς διαγωγῆς πρός τόν Τιμόθεον γράφει· Τοῦτο δέ γίνωσκε, ὅτι ἐν ἐσχάταις ἡμέραις ἐνστήσονται καιροί χαλεποί· ἔσονται γάρ οἱ ἄνθρωποι φίλαυτοι, φιλάργυροι, ἀλαζόνες, ὑπερήφανοι, βλάσφημοι, γονεῦσειν ἀπειθεῖς, ἀχάριστοι, ἀνόσιοι, ἄστοργοι, ἄσπονδοι, διάβολοι, ἀκρατεῖς, ἀνήμεροι, ἀφιλάγαθοι, προδόται, προπετεῖς, καί τά ἑξῆς. Διά τοῦτο οὐαί ἡμῖν, ὅτι εἰς τά ἔσχατα τῶν κακῶν κατηντήσαμεν. Τίς γάρ ἐξ ἡμῶν, εἰπέ μοι, τῶν προειρημένων κακῶν ἐστιν ἀμέτοχος. Οὐχί ἐπί ἡμῶν ἐπληρώθη ἡ προφητεία; Οὐ πάντες ἐσμέν γαστρίμαργοι; Οὐ πάντες φιλήδονοι; Οὐ

πάντες ὑλομανεῖς καί φιλόϋλοι; Οὐ πάντες θυμώδεις; Οὐ πάντες μηνιασταί; Οὐ πάντες μνησίκακοι; Οὐ πάντες προδόται πάσης ἀρετῆς; Οὐ πάντες λοιδοροί; Οὐ πάντες φιλόσκοπται [Fr. φιλοσκῶπται] ; Οὐ πάντες προπετεῖς; Οὐ πάντες κενόδοξοι; Οὐ πάντες ὑποκριταί; Οὐ πάντες δόλιοι; Οὐ πάντες φθονεροί; Οὐ πάντες ἀνυπότακτοι; Οὐ πάντες ἀκηδιασταί; Οὐ πάντες περίακτοι; [Fr. περιάκται] Οὐ πάντες ῥάθυμοι; Οὐ πάντες ἀμελεῖς τῶν τοῦ Σωτῆρος ἐντολῶν; Οὐ πάντες πάσης κακίας ἀνάμεστοι; Οὐχί γεγόναμεν ἀντί ναοῦ Θεοῦ, ναός εἰδώλων; Οὐχί ἀντί Πνεύματος ἁγίου, πνευμάτων πονηρῶν ἐσμεν καταγώγια; Οὐχί πεπλασμένως τόν Θεόν Πατέρα ἐπικαλούμεθα; Οὐχί ἀντί υἱῶν Θεοῦ υἱοί γεέννης γεγόναμεν; Οὐχί χείρονες τῶν Ἰουδαίων, οἱ νῦν τό μέγα Χριστοῦ ὄνομα περιφερόμενοι, γεγόναμεν; καί μηδείς ἀγανακτείτω τήν ἀλήθειαν ἀκούων, ἐπεί κἀκεῖνοι παράνομοι ὄντες ἔλεγον, Ἡμεῖς ἕνα Πατέρα ἔχομεν, τόν Θεόν· ἀλλ᾽ ἤκουον παρά τοῦ Σωτῆρος, ὅτι Ὑμεῖς ἐκ τοῦ Πατρός τοῦ διαβόλου ἐστέ, καί τάς ἐπιθυμίας τοῦ πατρός ὑμῶν θέλετε ποιεῖν.

λγ'. Πῶς οὖν καί ἡμεῖς παραβάται ὄντες τῶν ἐντολῶν αὐτοῦ, τά ὅμοια παρ᾽ αὐτοῦ οὐκ ἀκούομεν; Ἐπεί καί ὁ Ἀπόστολος τούς Πνεύματι ἀγομένους εἶπεν εἶναι υἱούς θεοῦ· Ὅσοι γάρ, φησί, Πνεύματι Θεοῦ ἄγονται, οὗτοί εἰσιν υἱοί Θεοῦ. Πῶς οὖν καί ἡμεῖς ἐκ τοῦ θανάτου ἀγόμενοι, υἱοί Θεοῦ ἀκούειν δυνάμεθα; Τό γάρ φρόνημα τῆς σαρκός, θάνατος. Οἱ δέ Πνεύματι ἀγόμενοι, ἐκ τῶν καρπῶν τοῦ Πνεύματος δῆλοί εἰσιν. Εἴδωμεν οὖν τούς καρπούς τοῦ Πνεύματος· Ὁ γάρ καρπός τοῦ Πνεύματος, φησίν, ἐστίν ἀγάπη, χαρά, εἰρήνη, μακροθυμία, χρηστότης, ἀγαθοσύνη, πίστις, πραότης, ἐγκράτεια. Ἆρα ἔχομεν ταῦτα ἐν ἑαυτοῖς; Ἀλλ᾽ εἴθε μή πάντα τά ἐναντία. Πῶς οὖν υἱοί Θεοῦ ἀκούειν δυνάμεθα, καί οὐχί μᾶλλον ἐκ τοῦ ἐναντίου; Τό γέ ἔκ τινος (940) γεγεννημένον, ὅμοιον τοῦ γεγεννηκότος ἐστί. Δηλοῖ δέ καί Κύριος, λέγων· Τό γεγεννημένον ἐκ τοῦ Πνεύματος, πνεῦμα ἐστιν. Ἡμεῖς δέ γεγόναμεν σάρκες ἐπιθυμοῦντες κατά τοῦ Πνεύματος, καί διά τοῦτο δικαίως ἀκούομεν παρ᾽ αὐτοῦ· Οὐ μή ἐγκαταμείνῃ τό Πνεῦμά μου ἐν τοῖς ἀνθρώποις τούτοις, διά τό εἶναι αὐτούς σάρκας. Πῶς οὖν δυνάμεθα ἀκούειν Χριστιανοί, τί ποτε τοῦ Χριστοῦ ἐν ἑαυτοῖς μή ἔχοντες;

λδ'. Ἀλλ᾽ ἐρεῖ τις ἴσως, ὅτι Ἔχω τήν πίστιν, καί ἀρκεῖ μοι ἡ πίστις ἡ εἰς αὐτόν πρός σωτηρίαν. Ἀλλ᾽ ἀντιφθέγγεται αὐτῷ ὁ Ἰάκωβος, λέγων, ὅτι Καί τά δαιμόνια πιστεύουσι, καί φρίσσουσι. Καί πάλιν· Ἡ

πίστις χωρίς τῶν ἔργων, νεκρά ἐστι καθ᾽ ἑαυτήν· ὡς καί τά ἔργα δίχα πίστεως. Πῶς δέ καί πιστεύομεν εἰς αὐτόν, ἤ περί τῶν μελλόντων αὐτῷ πιστεύομεν, οἱ περί τῶν προσκαίρων καί παρόντων αὐτῷ μή πιστεύοντες· καί διά τοῦτο τοῖς ὑλικοῖς συμφυρόμενοι, καί τῇ σαρκί ζῶντες· καί κατά τοῦ Πνεύματος στρατευόμενοι; Οἱ δέ τῷ Χριστῷ ἐν ἀληθείᾳ πιστεύσαντες, καί ὅλον αὐτόν ἐν ἑαυτοῖς διά τῶν ἐντολῶν εἰσοικίσαντες, οὕτως ἔλεγον· Ζῶ δέ, οὐκέτι ἐγώ, ζῇ δέ ἐν ἐμοί ὁ Χριστός. Ὅ δέ νῦν ζῶ ἐν σαρκί, τῇ πίστει ζῶ τοῦ Υἱοῦ τοῦ Θεοῦ, τοῦ ἀγαπήσαντός με, καί δόντος ἑαυτόν ὑπέρ ἐμοῦ. Διά τοῦτο πάσχοντες ὑπέρ αὐτοῦ δά τήν πάντων σωτηρίαν, ὡς ἀκριβεῖς αὐτοῦ μιμηταί, καί τῶν ἐντολῶν αὐτοῦ γνήσιοι φύλακες, ἔλεγον· Λοιδορούμενοι εὐλογοῦμεν, διωκόμενοι ἀνεχόμεθα, βλασφημούμενοι παρακαλοῦμεν· ἐπειδή ἤκουον αὐτοῦ λέγοντος· Ἀγαπᾶτε τούς ἐχθρούς ὑμῶν· καλῶς ποιεῖτε τοῖς μισοῦσιν ὑμᾶς· εὐλογεῖτε τούς καταρωμένους ὑμᾶς· προσεύχεσθε ὑπέρ τῶν ἐπηρεαζόντων ὑμᾶς, καί τά ἑξῆς· καί ἐκ τῶν λόγων καί τῶν ἔργων ὁ ἐνεργῶν ἐν αὐτοῖς Χριστός ἐφανεροῦτο· ἡμεῖς δέ, ἐπειδή πάσαις ταῖς ἐντολαῖς αὐτοῦ ἀντιπράττομεν, διά τοῦτο πάσης ἀκαθαρσίας ἐνεπλήσθημεν. Καί διά τοῦτο γεγόναμεν, ἀντί ναοῦ Θεοῦ, οἶκος ἐμπορίου· καί ἀντί οἴκου προσευχῆς, σπήλαιον λῃστῶν· ἀντί ἔθνους ἁγίου, ἔθνος ἁμαρτωλόν· καί ἀντί λαοῦ Θεοῦ, λαός πλήρης ἁμαρτιῶν· ἀντί σπέρματος ἁγίου, σπέρμα πονηρόν· καί ἀντί υἱῶν Θεοῦ, υἱοί ἄνομοι, ἐπειδή ἐγκαταλίπομεν τάς ἐντολάς τοῦ Κυρίου, καί δουλεύομεν τοῖς πονηροῖς πνεύμασι διά τῶν ἀκαθάρτων παθῶν, καί παρωργίσαμεν τόν ἅγιον τοῦ Ἰσραήλ.

λε'. Διά τοῦτο θρηνῶν ἡμᾶς ὁ μέγας Ἡσαΐας, κράζει, βοηθῆσαι ἅμα βουλόμενος τῇ πτώσει ἡμῶν, λέγων· Τί ἔτι πληγῆτε προστιθέντες ἀνομίαν; Πᾶσα κεφαλή εἰς πόνον, καί πᾶσα καρδία εἰς λύπην· ἀπό ποδῶν ἕως κεφαλῆς οὐκ ἔστιν ἐν αὐτῷ ὁλοκληρία· οὔτε τραῦμα, οὔτε μώλωψ, οὔτε πληγή φλεγμαίνουσα· οὐκ ἔστι μάλαγμα ἐπιθεῖναι, οὔτε ἔλαιον, οὔτε καταδέσμους. Εἶτα τί τό ἐπί τούτοις; Ἐγκαταλειφθήσεται ἡ θυγάτηρ Σιών ὡς σκηνή ἐν ἀμπελῶνι, (941) καί ὡς ὀπωροφυλάκιον ἐν σικυηλάτῳ, ὡς πόλις πολιορκουμένη. Ταύτην ἡμῶν τῆς ψυχῆς τήν ἐρήμωσιν καί ὁ Ἀπόστολος δηλῶν, ἔλεγε· Καί καθώς οὐκ ἐδοκίμασαν τόν Θεόν ἔχειν ἐν ἐπιγνώσει, παρέδωκεν αὐτούς ὁ Θεός εἰς ἀδόκιμον νοῦν, ποιεῖν τά μή καθήκοντα· πεπληρωμένους πάσῃ ἀδικίᾳ, κακίᾳ, πονηρίᾳ, πλεονεξίᾳ· μεστούς φθόνου, φόνου, ἔριδος, δόλου,

κακοηθείας, ψιθυριστάς, καταλάλους, θεοστυγεῖς, ὑβριστάς, ὑπερηφάνους, ἀλαζόνας, ἐφευρέτας κακῶν, γονεῦσιν ἀπειθεῖς, ἀσυνέτους, ἀσυνθέτους, ἀστόργους, ἀσπόνδους, ἀνελεήμονας· οἵτινες τό δικαίωμα τοῦ Θεοῦ ἐπιγνόντες, ὅτι οἱ τά τοιαῦτα πράσσοντες ἄξιοι θανάτου εἰσίν, οὐ μόνον αὐτά ποιοῦσιν, ἀλλά καί συνευδοκοῦσι τοῖς πράσσουσι. Διά τοῦτο παρέδωκεν αὐτούς ὁ Θεός εἰς πάθη ἀτιμίας, τοῦ ἀτιμάζεσθαι τά σώματα αὐτῶν ἐν ἑαυτοῖς. Καί τί τό ἐπί τούτοις; Ἀποκαλύπτεται, φησίν, ὀργή Θεοῦ ἀπ᾽ οὐρανοῦ ἐπί πᾶσαν ἀσέβειαν καί ἀδικίαν ἀνθρώπων, καί τά ἑξῆς.

λστ'. Ταύτην τῆς ψυχῆς ἐρήμωσιν καί ὁ Κύριος μηνύων, ἔλεγεν· Ἱερουσαλήμ, Ἱερουσαλήμ ἡ ἀποκτείνουσα τούς προφήτας, καί λιθοβολοῦσα τούς ἀπεσταλμένους πρός αὐτήν· ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τά τέκνα σου, ὡς ὄρνις τά νοσσία αὐτῆς ὑπό τάς πτέρυγας, καί οὐκ ἠθελήσατε; Ἰδού ἀφίεται ὁ οἶκος ὑμῶν ἔρημος. Ὁ δέ Ἡσαΐας πάλιν· Ὁρῶν ἡμᾶς τούς δῆθεν μοναχούς τάς σωματικάς λειτουργίας ἐπιτελοῦντας μόνον, καταφρονοῦντας δέ τῶν πνευματικῶν, καί διά τοῦτο τετυφωμένους, ἔλεγεν, Ἀκούσατε λόγον Κυρίου, ἄρχοντες Σοδόμων· προσέχετε νόμον Θεοῦ, λαός Γομόῤῥας. Τί μοι πλῆθος τῶν θυσιῶν ὑμῶν; Πλήρης εἰμί τῶν ὁλοκαυτωμάτων κριῶν· καί στέαρ ἀρνῶν, καί αἷμα ταύρων καί τράγων οὐ βούλομαι. Τίς γάρ ἐξεζήτησε ταῦτα ἐκ τῶν χειρῶν ὑμῶν; Πατεῖν τήν αὐλήν μου οὐ προσθήσεσθε. Ἐάν φέρητε σεμίδαλιν, μάταιον· θυμίαμα [Sixt. μάταιον θυμίαμα, non satis apte], βδέλυγμά μοί ἐστι. Τάς νουμηνίας ὑμῶν καί τά σάββατα, καί ἡμέραν μεγάλην οὐκ ἀνέχομαι. Νηστείαν καί ἀργίαν καί τάς ἑορτάς ὑμῶν, μισεῖ ἡ ψυχή μου. Ἐγενήθητέ μοι εἰς πλησμονήν· οὐκέτι οὐ μή ἀνοίσω. Ὅταν τάς χεῖρας ἐκτείνητε πρός με, ἀποστρέψω τούς ὀφθαλμούς μου ἀφ᾽ ὑμῶν· καί ἐάν πληθύνητε τήν δέησιν, οὐκ εἰσακούσομαι ὑμῶν. Διατί, Αἱ γάρ χεῖρες ὑμῶν, φησίν, αἵματος πλήρεις· ἐπειδή ὁ μισῶν τόν ἀδελφόν αὐτοῦ, ἀνθρωποκτόνος ἐστί. Διά τοῦτο πᾶσα ἄσκησις ἀγάπην μή ἔχουσα ἀλλοτρία τοῦ Θεοῦ καθίσταται.

ζ'. Διά τοῦτο καί τήν ὑπόκρισιν ἡμῶν ἐλέγχων πόῤῥωθεν ἔλεγεν· Ὁ λαός οὗτος, τοῖς χείλεσί με τιμᾷ· ἡ δέ καρδία πόῤῥω ἀπέχει ἀπ᾽ ἐμοῦ, μάτην δέ σέβονταί με, καί τά ἑξῆς. Καί ἅπερ δέ ὁ Κύριος ἡμῶν ἔλεγε ταλανίζων τούς Φαρισαίους, περί ἡμῶν ἐγώ ἀκούω, τῶν νῦν, ὑποκριτῶν, τῶν τοσαύτην χάριτος ἀξιωθέντων, καί χείρω ἐκείνων διακειμένων.

(944) Ἠ οὐχί καί ἡμεῖς δεσμοῦμεν φορτία βαρέα καί δυσβάστακτα, καί ἐπιτίθεμεν ἐπί τούς ὤμους τῶν ἀνθρώπων, τῷ δέ δακτύλῳ ἡμῶν οὐ θέλομεν κινῆσαι αὐτά; Ἠ οὐχί καί ἡμεῖς, πάντα τά ἔργα ἡμῶν ποιοῦμεν πρός τό θεαθῆναι τοῖς ἀνθρώποις; Ἠ οὐχί καί ἡμεῖς φιλοῦμεν τήν πρωτοκλισίαν ἐν τοῖς δείπνοις καί τάς πρωτοκαθεδρίας ἐν ταῖς συναγωγαῖς, καί καλεῖσθαι ὑπό τῶν ἀνθρώπων Ῥαββί, Ῥαββί· καί τούς ταῦτα ἡμῶν σφόδρα ἀπονέμοντας, ἕως θανάτου πολεμοῦμεν; Ἠ καί ἡμεῖς ἤραμεν τήν κλεῖδα τῆς γνώσεως, καί κλείομεν τήν βασιλείαν τῶν οὐρανῶν ἔμπροσθεν τῶν ἀνθρώπων, μηδέ αὐτοί εἰσερχόμενοι, μηδέ αὐτούς ποιοῦντες εἰσελθεῖν; Ἠ οὐχί καί ἡμεῖς περιάγομεν τήν θάλασσαν καί τήν ξηράν ποιῆσαι ἕνα προσήλυτον, καί ὅταν γένηται, ποιοῦμεν αὐτόν υἱόν γεέννης διπλότερον ἡμῶν; Ἠ οὐχί καί ἡμεῖς ἐσμεν ὁδηγοί τυφλοί, τόν κώνωπα διυλίζοντες, καί τήν κάμηλον καταπίνοντες; Ἠ οὐχί καί ἡμεῖς καθαρίζομεν τό ἔξωθεν τοῦ ποτηρίου καί τῆς παροψίδος· τό δέ ἔσωθεν ἡμῶν γέμει ἁρπαγῆς καί πλεονεξίας [Fr. καί ἀκαθαρσίας]· μᾶλλον δέ ἀκρασίας; Ἠ οὐχί καί ἡμεῖς ἀποδεκατοῦμεν τό πήγανον καί τό ἡδύοσμον, καί πᾶν λάχανον· καί παρερχόμεθα τήν κρίσιν καί τήν ἀγάπην τοῦ Θεοῦ; Ἠ οὐχί καί ἡμεῖς ἐσμέν ὡς τά μνημεῖα τά ἄδηλα, ἔξωθεν μέν φαινόμενοι τοῖς ἀνθρώποις δίκαιοι, ἔσωθεν δέ ὄντες μεστοί ὑποκρίσεως καί ἀνομίας καί πάσης ἀκαθαρσίας; Ἠ οὐχί καί ἡμεῖς οἰκοδομοῦμεν τούς τάφους τῶν μαρτύρων, καί κοσμοῦμεν τά μνημεῖα τῶν Ἀποστόλων, καί ἐσμέν ὅμοιοι τῶν ἀποκτεινάντων αὐτούς; Τίς οὖν οὐ κλαύσει ἡμᾶς οὕτως διακειμένους; Τίς οὖν θρηνήσει τήν τηλικαύτην ἡμῶν αἰχμαλωσίαν; Διά τοῦτο υἱοί Θεοῦ οἱ τίμιοι, ἐλογίσθημεν ὡς ἀγγεῖα ὀστράκινα. Διά τοῦτο ἠμαυρώθη τό χρυσίον· ἠλλοιώθη τό ἀργύριον τό ἀγαθόν. Διά τοῦτο οἱ Ναζωραῖοι Σιών, οἱ ὑπέρ χιόνα λάμψαντες, γεγόναμεν ὡς Αἰθίοπες· οἱ ὑπέρ γάλα λευκανθέντες, ὑπέρ μέλαν ἐζοφώθησαν. Διά τοῦτο ἐσκότασεν ὑπέρ ἀσβόλην τό εἶδος ἡμῶν. Οἱ τιθηνούμενοι ἐπί κόκκων, περιεβαλόμεθα κοπρίας· καί ἐμεγαλύνθη ἡ ἀνομία ἡμῶν, ὑπέρ ἀνομιῶν Σοδόμων. Διά τοῦτο οἱ υἱοί τῆς ἡμέρας καί τοῦ φωτός, υἱοί γεγόναμεν νυκτός καί σκότους. Διά τοῦτο υἱοί τῆς βασιλείας, υἱοί γεέννης γεγόναμεν. Διά τοῦτο οἱ υἱοί τοῦ Ὑψίστου, ὡς ἄνθρωποι ἀποθνήσκομεν, καί ὡς εἷς τῶν ἀρχόντων πίπτομεν. Διά τοῦτο παρεδόθημεν εἰς χεῖρας ἐχθρῶν ἀνόμων, τῶν ἀγρίων λέγω δαιμόνων, καί βασιλεῖ ἀδίκῳ καί πονηρωτάτῳ παρά πᾶσαν τήν γῆν, δηλαδή τῷ τούτων ἄρχοντι, ὅτι

ἡμάρτομεν καί ἠνομήσαμεν, παραβάντες τάς ἐντολάς Κυρίου τοῦ Θεοῦ ἡμῶν, καί καταπατήσαντες τόν Υἱόν τοῦ Θεοῦ καί τό αἷμα τῆς διαθήκης κοινόν ἡγησάμενοι. Ἀλλά μή παραδόῃς [Fr. παραδῷς] ἡμᾶς εἰς τέλος διά τό ὄνομά σου, Κύριε, καί μή διασκεδάσῃς τήν διαθήκην σου· καί μή ἀποστήσῃς τό ἔλεός σου ἀφ᾽ ἡμῶν, διά τούς οἰκτιρμούς σου, Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς· (945) καί διά τό ἔλεος τοῦ ἁγίου σου Πνεύματος. Μή μνησθῇς ἡμῶν ἀνομιῶν ἀρχαίων· ἀλλά ταχύ προκαταλαβέτωσαν ἡμᾶς οἱ οἰκτιρμοί σου, ὅτι ἐπτωχεύσαμεν σφόδρα. Βοήθησον ἡμῖν ὁ Θεός ὁ Σωτήρ ἡμῶν. Ἕνεκεν τῆς δόξης τοῦ ὀνόματός σου, Κύριε, ῥῦσαι ἡμᾶς, καί ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν ἕνεκεν τοῦ ὀνόματός σου Κύριε, μνησθείς τῆς ἀπαρχῆς ἡμῶν ἥν ἐξ ἡμῶν διά φιλανθρωπίαν λαβών ὁ μονογενής σου Υἱός, ὑπέρ ἡμῶν ἔχει ἐν οὐρανοῖς, ἵνα ἡμῖν βεβαίαν τήν ἐλπίδα τῆς σωτηρίας χαρίσηται· καί μή διά τήν ἀπόγνωσιν χείρους γενώμεθα, διά τό τίμιον αὐτοῦ αἷμα, ὅ ὑπέρ τῆς τοῦ κόσμου ζωῆς ἐξέχεεν· διά τούς ἁγίους αὐτοῦ Ἀποστόλους καί Μάρτυρας, οἵ ὑπέρ τοῦ ὀνόματος αὐτοῦ τό ἴδιον αἷμα ἐξέχεον· διά τούς ἁγίους Προφήτας καί Πατέρας καί Πατριάρχας, οἵτινες ἠγωνίσαντο εὐαρεστῆσαι τῷ ἁγίῳ σου ὀνόματι. Μή παρίδῃς τήν δέησιν ἡμῶν, Κύριε, μηδέ ἐγκαταλ[ε]ίπῃς ἡμᾶς εἰς τέλος. Οὐ γάρ ἐπί ταῖς δικαιοσύναις ἡμῶν πεποιθότες ἐσμέν, ἀλλ᾽ ἐπί ἐλέει τῷ σῷ, δι᾽ οὗ τό γένος ἡμῶν περιποιῇ. Ἱκετεύομεν καί παρακαλοῦμεν τήν σήν ἀγαθότητα, ἵνα μή γένηται εἰς κρῖμα ἡμῖν τό οἰκονομηθέν ἡμῖν ὑπό τοῦ Μονογενοῦς σου Υἱοῦ πρός σωτηρίαν μυστήριον· καί μή ἀποῤῥίψῃς ἡμᾶς ἀπό τοῦ προσώπου σου. Μή βδελύξῃ ἡμῶν τήν ἀναξιότητα· ἀλλ᾽ ἐλέησον ἡμᾶς κατά τό μέγα σου ἔλεος, καί κατά τό πλῆθος τῶν οἰκτιρμῶν σου, παράγαγε τά ἁμαρτήματα [Fr. alterge M. ἀνομήματα] ἡμῶν, ἵνα ἀκατακρίτως προσελθόντες κατενώπιον τῆς ἁγίας σου δόξης, ἀξιωθῶμεν τῆς σκέπης τοῦ μονογενοῦς σου Υἱοῦ, καί μή ὡς δοῦλοι πονηροί ταῖς ἁμαρτίαις, ἀποδόκιμοι [Fr. δοῦλοι ἁμαρτίας, ἀποδόκιμοι] γενώμεθα. Ναί Δέσποτα παντοδύναμε Κύριε, εἰσάκουσον τῆς δεήσεως ἡμῶν, ὅτι ἐκτός σοῦ ἄλλον οὐκ οἴδαμεν. Τό ὄνομά σου ὀνομάζομεν· σύ γάρ εἶ ὁ ἐνεργῶν τά πάντα ἐν πᾶσι, καί τήν παρά σοῦ πάντες ἐπιζητοῦμεν βοήθειαν.Ἐπίβλεψον οὖν ἐκ τοῦ οὐρανοῦ, Κύριε, καί ἴδε ἐκ τοῦ οἴκου τῆς ἁγίας δόξης σου. Ποῦ ἐστιν ὁ ζῆλός σου καί ἡ ἰσχύς σου; Ποῦ ἐστι τό πλῆθος τοῦ ἐλέους οου καί τῶν οἰκτιρμῶν σου, ὅτι ἤνεσχες τῆς πτώσεως ἡμῶν; Σύ γάρ ἡμῶν εἶ Πατήρ, ὅτι Ἀβραάμ οὐκ ἔγνω ἡμᾶς, καί Ἰσραήλ οὐκ ἐπέγνω ἡμᾶς· ἀλλά σύ,

Κύριε, Πατήρ ἡμῶν ῥῦσαι ἡμᾶς, ὅτι ἀπ᾽ ἀρχῆς τό ὄνομά σου τό ἅγιον ἐφ᾽ ἡμᾶς ἐστι, καί τοῦ μονογενοῦς σου Υἱοῦ, καί τοῦ ἁγίου σου Πνεύματος. Τί ἐπλάνησας ἡμᾶς, Κύριε, ἀπό τῆς ὁδοῦ σου· μή παιδεύσῃς ἡμᾶς τῇ ῥάβδῳ τῶν κριμάτων σου. Τί ἐσκλήρυνας ἡμῶν τάς καρδίας, τοῦ μή φοβεῖσθαί σε; ἐγκατέλειψας ἡμᾶς τῇ αὐτονομίᾳ τῆς πλάνης; Ἐπίστρεψον, Κύριε, τούς δούλους σου, διά τήν ἁγίαν σου Ἐκκλησίαν· διά πάντας τοῦ ἀπ᾽ αἰῶνος ἁγίους σου, ἵνα μικρόν κληρονομήσωμεν τοῦ ὄρους τοῦ ἁγίου σου. Οἱ ὑπεναντίοι ἡμῶν κατεπάτησαν τό ἁγίασμά σου· ἐγενόμεθα ὡς τό ἀπ᾽ ἀρχῆς ὅτε οὐκ ἦρξας ἡμῶν, οὐδέ ἐπεκλήθη τό ὄνομά σου ἐφ᾽ ἡμᾶς.

λη'. Ἐάν ἀνοίξῃς τόν οὐρανόν, τρόμος λήψεται ἀπό σοῦ ὄρη, καί τακήσονται ὡς κηρός ἀπό προσώπου τοῦ πυρός· καί κατακαύσει πῦρ τούς ὑπεναντίους· (948) καί φοβερόν ἔσται τό ὄνομά σου τοῖς ὑπεναντίοις. Ὅταν ποιεῖς τά ἔνδοξα, τρόμος λήψεται ἀπό σοῦ ὄρη. Ἀπό τοῦ αἰῶνος οὐκ ἠκούσαμεν, οὐδέ οἱ ὀφθαλμοί ἡμῶν ἴδον Θεόν, πλήν σοῦ. Καί τά ἔργα σου, ἅ ποιήσεις τοῖς ὑπομένουσιν ἔλεον· συναντήσεται γάρ τοῖς ποιοῦσι τό δίκαιον, καί τῶν ὁδῶν σου μνησθήσονται. Ἰδού σύ ὠργίσθης, καί ἡμεῖς ἡμάρτομεν. Μᾶλλον δέ ἡμεῖς ἡμάρτομεν καί σύ ὠργίσθης· Διά τοῦτο ἐπλανήθημεν, καί ἐγενήθημεν ὡς ἀκάθαρτοι πάντες ἡμεῖς· ὡς ῥάκος ἀποκαθημένης πᾶσα ἡ δικαιοσύνη ἡμῶν· καί ἐῤῥύημεν ὡς φύλλα διά τάς ἀνομίας ἡμῶν, οὕτως [ἄλ. ὄντως] ἄνεμος οἴσει ἡμᾶς, καί οὐκ ἔστιν ὁ ἐπικαλούμενος τό ὄνομά σου, καί ὁ μνησθείς ἀντιλαβέσθαι σου, Καί ἀπέστρεψας τό πρόσωπόν σου ἀφ᾽ ἡμῶν, καί παρέδωκας ἡμᾶς, διά τάς ἁμαρτίας ἡμῶν. Καί νῦν, Κύριε, Πατήρ ἡμῶν εἶ σύ· ἡμεῖς δέ πηλός, ἔργον τῶν χειρῶν σου πάντες. Μή ὀργισθῇς ἡμᾶς σφόδρα, καί μή ἐν καιρῷ μνησθῇς ἁμαρτιῶν ἡμῶν. Καί νῦν ἐπίβλεψον ὅτι λαός σου πάντες ἡμεῖς· πόλις τοῦ ἁγίου σου ἐγενήθη ἔρημος Σιών· ὡς ἔρημος ἐγενήθη Ἱερουσαλήμ. Εἰς κατάραν ὁ οἶκος τοῦ ἁγίου ἡμῶν, καί ἡ δόξα ἥν ηὐλόγησαν οἱ πατέρες ἡμῶν, ἐγενήθη πυρίκαυστος, καί πάντα τά ἔνδοξα συνέπεσε. Καί ἐπί πᾶσι τούτοις ἠνέσχου, Κύριε, καί ἐσιώπησας, καί ἐταπείνωσας ἡμᾶς ἕως σφόδρα.

λθ'. Συνέβη μέν ταῦτα τυπικῶς τῷ παλαιῷ σου λαῷ, νῦν δέ εἰς ἡμᾶς ἀληθινῶς [al. ὡς ἀληθῶς, Sic et Fr.] πεπλήρωται· καί ἐγενήθημεν ὄνειδος τοῖς γείτοσιν ἡμῶν δαίμοσι, μυκτιρισμός καί χλευασμός τοῖς κύκλῳ ἡμῶν, Ἀλλ᾽ ἐπίβλεψον ἐξ οὐρανοῦ, καί ἴδε, καί σῶσον ἡμᾶς διά τό ὄνομά σου τό ἅγιον· καί γνώρισον ἡμῖν τάς μεθοδείας τῶν

ὑπεναντίων ἡμῶν· καί ῥῦσαι ἡμᾶς ἐκ τῶν μηχανημάτων αὐτῶν, καί μή ἀποστήσῃς ἀφ᾽ ἡμῶν τήν σήν βοήθειαν, ὅτι ἡμεῖς οὐχ ἱκανοί ἐσμεν πρός τό νικᾷν τά ἀντιπίπτοντα· σύ δέ δυνατός εἶ εἰς τό σώζειν ἐκ πάντων τῶν ἐναντίων. Σῶσον ἡμᾶς, Κύριε, ἐκ τῶν δυσχερῶν τοῦ κόσμου τούτου, κατά τήν χρηστότητά σου, ἵνα ἐν καθαρᾷ συνειδήσει τό πέλαγος τοῦ βίου διαπεράσαντες, ἄμεμπτοι καί ἀκέραιοι τῷ φοβερῷ βήματί σου παραστάντες, ἀξιωθῶμεν τῆς αἰωνίου ζωῆς.

μ'. Ταῦτα πάντα ἀκούσας ὁ Ἀδελφός, καί σφόδρα κατανυγείς, μετά δακρύων εἶπε τῷ γέροντι, ὡς Ἐξ ὧν θεωρῶ, Πάτερ, οὐχ ὑπολέλειπταί σοι ἐλπίς σωτηρίας. Αἱ γάρ ἀνομίαι μου ὑπερῆραν τήν κεφαλήν μου· ἀλλά παρακαλῶ εἰπεῖν μοι τί ὤφειλον ποιῆσαι. Καί ὁ Γέρων ἀποκριθείς εἶπε· Τό σωθῆναι, παρά μέν ἀνθρώποις ἀδύνατον· παρά δέ τῷ Θεῷ, πάντα δυνατά, ὡς αὐτός ἔφη ὁ Κύριος· Προφθάσωμεν οὖν τό πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει, προσκυνήσωμεν καί προσπέσωμεν, καί κλαύσωμεν ἐναντίον Κυρίου τοῦ ποιήσαντος ἡμᾶς, ὅτι αὐτός ἐστιν ὁ Θεός ἡμῶν· καί ἀκούωμεν αὐτοῦ λέγοντος διά τῆς Ἡσαΐου φωνῆς, ὅτι Ὅταν ἀποστραφῇς καί στενάξῃς, (949) τότε σωθήσῃ. Καί πάλιν· Μή οὐκ ἰσχύει ἡ χείρ Κυρίου τοῦ σῶσαι; ἤ ἐβάρυνε τό οὖς αὐτοῦ τοῦ μή εἰσακούσασθαι; Ἀλλά τά ἁμαρτήματα ἡμῶν διιστῶσιν ἀναμέσον ἡμῶν καί τοῦ Θεοῦ· καί διά τάς ἁμαρτίας ἡμῶν, ἀπέστρεψε τό πρόσωπον αὐτοῦ, τοῦ μή ἐλεῆσαι. Διό λέγει· Λούσασθε, καθαροί γίνεσθε· ἀφέλετε τάς πονηρίας ἀπό τῶν ψυχῶν ὑμῶν ἀπέναντι τῶν ὀφθαλμῶν μου· παύσασθε τῶν πονηριῶν ὑμῶν· μάθετε καλόν ποιεῖν, ἐκζητήσατε κρίσιν, ῥύσατε ἀδικούμενον, κρίνατε ὀρφανῷ καί δικαιώσατε χήραν, καί δεῦτε, καί διαλεχθῶμεν, λέγει Κύριος · καί ἐάν ὦσι αἱ ἁμαρτίαι ὑμῶν ὡς φοινικοῦν, ὡς χιόνα λευκανῶ· ἐάν δέ ὦσιν ὡς κόκκινον, ὡσεί ἔριον λευκανῶ. Καί, Ἐάν θέλητε καί εἰσακούσητέ μου, τά ἀγαθά τῆς γῆς φάγεσθε. Τό γάρ στόμα Κυρίου ἐλάλησε ταῦτα. Καί πάλιν διά Ἰωήλ· Ἐπιστράφητε πρός με ἐξ ὅλης τῆς καρδίας ὑμῶν· ἐν νηστείᾳ καί ἐν κλαυθμῷ καί κοπετῷ· διαῤῥήξατε τάς καρδίας ὑμῶν, καί οὐ τά ἱμάτια ὑμῶν. Ἐλεήμων γάρ καί οἰκτίρμων ἐστί Κύριος, καί μετανοῶν ἐπί ταῖς κακίαις. Πρός Ἰεζεκιήλ δέ, Υἱέ ἀνθρώπου, εἶπον τῷ οἴκῳ Ἰσραήλ, Οὕτως ἐλαλήσατε, λέγοντες, Αἱ πλάναι ἡμῶν, καί αἱ ἀνομίαι ἡμῶν ἐφ᾽ ἡμῶν ἐστι· καί ἐν αὐταῖς τηκόμεθα· καί πῶς ζησόμεθα; Εἶπον αὐτοῖς, Ζῶ ἐγώ, λέγει Κύριος, Οὐ βούλομαι τόν θάνατον τοῦ ἀσεβοῦς, ὥστε ἐπιστρέψαι αὐτόν ἀπό τῆς ὁδοῦ αὐτοῦ, καί ζῆν αὐτόν· ἀποστροφῇ ἀποστρέψατε

ἀπό τῆς ὁδοῦ ὑμῶν· καί ἵνα τί ἀποθνήσκετε, οἶκος Ἰσραήλ. Ἡ δέ τρίτην τῶν Βασιλειῶν, τήν ὑπερβολή τῆς τοῦ Θεοῦ χρηστότητος φανεροῦσα, οὕτω λέγει, Ἐν τῷ ἀκοῦσαι Ἀχαάβ ὄντα αὐτόν ἐν τῷ ἀμπελῶνι τοῦ Ναβουθαί, ὅν ἐκληρονόμησεν ἐν τῷ ἀποκτεῖναι αὐτόν διά τῆς Ἰεζάβελ, τούς λόγους Ἠλιοῦ, λέγοντος· Τάδε λέγει Κύριος· Ἐφόνευσας, καί ἐκληρονόμησας· καί ἐν τῷ τόπῳ, ἐν ᾧ ἔλειξαν οἱ κύνες τό αἷμα Ναβουθαί, ἐκεί λείξουσιν οἱ κύνες τό αἷμα σου· καί τήν Ἰεζάβελ κύνες καταφάγονται ἐν τῷ περιτειχίσματι τοῦ Ἰσραήλ. Καί ἐν τῷ ἀκοῦσαι Ἀχαάβ τούς λόγους τούτους, διέῤῥηξε τά ἱμάτια αὐτοῦ, καί ἔθετο σάκκον ἐπί τήν σάρκα αὐτοῦ, καί ἐνήστευσε, καί ἐκοιμήθη ἐν τῷ σάκκῳ. Καί ἐγένετο λόγος Κυρίου πρός Ἠλιοῦ, λέγων· Ἰδέ ὅτι [al. πῶς] ἐνετράπη [Six.Ἑώρακας ὡς κατενύγη. Fr. εἶδες ὅτι] Ἀχαάβ ἀπό προσώπου μου. Οὐκ ἐπάξω κακίαν ἐν ταῖς ἡμέραις αὐτοῦ. Ὁ δέ Δαβίδ φησί· τήν ἀνομίαν μου ἐγνώρισα, καί τήν ἁμαρτίαν μου οὐκ ἐκάλυψα. Εἶπα, Ἐξαγόρευσα καί κατ᾽ ἐμοῦ τήν ἀνομίαν μου τῷ Κυρίῳ, καί σύ ἀφῆκας τήν ἀσέβειαν τῆς καρδίας μου. Ὑπέρ ταύτης προσεύξεται πρός σέ πᾶς ὅσιος ἐν καιρῷ εὐθέτῳ· καί ἐν κατακλυσμῷ ὑδάτων πολλῶν πρός αὐτόν οὐκ ἐγγιοῦσιν. Ἐν δέ τῷ Εὐαγγελίῳ ὁ Κύριος, Μετανοεῖτε, φησίν, ἤγγισε γάρ ἡ βασιλεία τῶν οὐρανῶν. Τοῦ δέ Πέτρου πυθομένου, Ποσάκις τῆς ἡμέρας, ἐάν ἁμάρτῃ εἰς ἐμέ ὁ ἀδελφός μου, ἀφήσω αὐτῷ· ἕως ἑπτάκις; ἀποκρίνεται αὐτῷ ὁ φύσει ἀγαθός καί ἀνείκαστος ἐν χρηστότητι· Οὐ λέγω σοι ἑπτάκις, ἀλλ᾽ ὡς ἑβδομηκοντάκις ἑπτά. Τί ταύτης τῆς ἀγαθότητος ἰσόῤῥοπον; τί ταύτης τῆς φιλανθρωπίας ἐφάμιλλον;

(952) μα'. Ἐγνωκότες οὖν τόν τοῦ Κυρίου φόβον, τήν τε χρηστότητα αὐτοῦ καί τήν φιλανθρωπίαν ἔκ τε τῆς Παλαιᾶς καί τῆς Καινῆς διαθήκης, ἐπιστρέψωμεν ἐξ ὅλης τῆς καρδίας ἡμῶν· καί ἵνα τί ἀπολλύμεθα, ἀδελφοί; Καθαρίσωμεν χεῖρας, οἱ ἁμαρτωλοί· ἁγνίσωμεν τάς καρδίας ἡμῶν οἱ δίψυχοι· ταλαιπωρήσωμεν καί πενθήσωμεν, καί κλαύσωμεν διά τάς ἁμαρτίας ἡμῶν. Παυσώμεθα τῶν πονηριῶν ἡμῶν· πιστεύσωμεν ταῖς εὐσπλαχνίαις τοῦ Κυρίου· φοβηθῶμεν τάς ἀπειλάς αὐτοῦ, φυλάξωμεν τάς ἐντολάς αὐτοῦ· ἀγαπήσωμεν ἀλλήλους ἐξ ὅλης καρδίας. Εἴπωμεν, ἀδελφοί, καί τοῖς μισοῦσιν ἡμᾶς καί βδελυσσομένοις, ἵνα τό ὄνομα Κυρίου δοξασθῇ, καί ὀφθῇ ἐν τῇ εὐφροσύνῃ αὐτοῦ. Δῶμεν συγγνώμην ἀλλήλοις, δι᾽ ἀλλήλων πειραζόμενοι, ὡς πάντες ὑπό κοινοῦ ἐχθροῦ πολεμούμενοι. Ἀντιστῶμεν τοῖς λογισμοῖς ἡμῶν, τόν Θεόν εἰς

συμμαχίαν ἐπικαλούμενοι· καί φυγαδεύωμεν ἐξ ἡμῶν τά πονηρά καί ἀκάθαρτα πνεύματα. Ὑποτάξωμεν τήν σάρκα τῷ πνεύματι, ὑπωπιάζοντες καί δουλαγωγοῦντες δι᾽ ἁπάσης κακοπαθείας· Καθαρίσωμεν ἑαυτούς ἀπό παντός μολυσμοῦ σαρκός καί πνεύματος. Διεγείρωμεν ἀλλήλους εἰς παροξυσμόν ἀγάπης καί καλῶν ἔργων. Μή φθονήσωμεν ἀλλήλοις, μηδέ φθονούμενοι ἀγριωθῶμεν· συμπαθήσωμεν δέ μᾶλλον ἀλλήλοις, καί διά ταπεινοφροσύνης ἀλλήλους ἰασώμεθα. Μή καταλαλῶμεν ἀλλήλων, μηδέ σκώψωμεν ἀλλήλους· ὅτι ἐσμέν ἀλλήλων μέλη. Ἀποβάλλωμεν ἀφ᾽ ἡμῶν τήν ἀμέλειαν καί τήν ῥαθυμίαν· καί στῶμεν ἀνδρείως κατά τῶν πνευμάτων τῆς πονηρίας ἀγωνιζόμενοι· καί ἔχομεν παράκλητον Ἰησοῦν Χριστόν δίκαιον πρός τόν Πατέρα· καί αὐτός ἱλασμός ἐστι περί τῶν ἁμαρτιῶν ἡμῶν· καί δεηθῶμεν αὐτοῦ ἐν καθαρᾷ καρδίᾳ, ἐξ ὅλης τῆς ψυχῆς ἡμῶν, καί ἀφίησιν ἡμῖν τάς ἁμαρτίας ἡμῶν· Ὅτι ἐγγύς Κύριος πᾶσι τοῖς ἐπικαλουμένοις αὐτόν ἐν ἀληθείᾳ. Διό λέγει· Θῦσον τῷ Θεῷ θυσίαν αἰνέσεως, καί ἀπόδος τῷ Ὑψίστῳ τάς εὐχάς σου. Καί ἐξελοῦμαί σε, καί δοξάσεις με. Καί ὁ Ἡσαΐας δέ πάλιν· Λύε πάντα σύνδεσμον ἀδικίας, διάλυε στραγγαλιάς βιαίων συναλλαγμάτων, ἀπόστελλε τεθραυσμένους ἐν ἀφέσει, καί πᾶσαν συγγραφήν ἄδικον διάσπα. Διάθρυπτε πεινῶντι τόν ἄρτον σου, καί πτωχούς ἀστέγους εἰσάγαγε εἰς τόν οἶκόν σου. Ἐάν ἴδῃς γυμνόν, περίβαλε· καί ἀπό τῶν οἰκείων τοῦ σπέρματός σου οὐ παρόψει [Fr.οὐχ ὑπερόψει]. Τότε ῥαγήσεται πρώϊμον τό φῶς σου, καί τά ἰάματά σου ταχύ ἀνατελεῖ. Καί προπορεύσεται ἔμπροσθέν σου ἡ δικαιοσύνη σου· καί δόξα Κυρίου περιστελεῖ σε. Καί τί τό ἐπί τούτοις; Τότε βοήσῃ, καί ὁ Θεός εἰσακούσεταί σου· ἔτι λαλοῦντός σου, ἐρεῖ, Ἰδού πάρειμι. Τότε ἀνατελεῖ ἐν τῷ σκότει τό φῶς σου, καί τό σκότος σου ὡς μεσημβρία. Καί ἔσται Θεός μετά σοῦ διαπαντός· καί ἐμπλησθήσῃ καθά ἐπιθυμεῖ ἡ ψυχή σου. Ὁρᾷς ὅτι ἐν τῷ λύειν πάντα σύνδεσμον ἀδικίας ἐκ τῆς καρδίας ἡμῶν, (953) καί διαλύειν πᾶσαν στραγγαλιάν βιαίων συναλλαγμάτων μνησικακίας· καί σπεύδειν εὐεργετεῖν τόν πλησίον ἐξ ὅλης ψυχῆς, τῷ φωτί τῆς γνώσεως περιλαμπόμεθα, καί τῶν παθῶν τῆς ἀτιμίας ἐλευθερούμεθα, καί πάσης ἀρετῆς πληρούμεθα, καί ὑπό τῆς δόξης τοῦ Θεοῦ καταλαμπόμεθα, καί πάσης ἀγνοίας ἐλευθερούμεθα· καί

προσευχόμενοι τά Χριστοῦ, εἰσακουόμεθα, καί τόν Θεόν μεθ᾽ ἡμῶν ἕξομεν διά παντός, καί τῆς κατά Θεόν ἐπιθυμίας πληρούμεθα.

μβ'. Ἀγαπήσωμεν ἀλλήλους, καί ἀγαπώμεθα ὑπό τοῦ Θεοῦ. Μακροθυμήσωμεν ἐπ᾽ ἀλλήλοις, καί μακροθυμεῖ ἐπί ταῖς ἁμαρτίαις ἡμῶν. Μή ἀποδῶμεν κακόν ἀντί κακοῦ, καί οὐκ ἀπολαμβάνομεν κατά τάς ἁμαρτίας ἡμῶν. Τήν γάρ συγχώρησιν τῶν παραπτωμάτων ἡμῶν, ἐν τῇ συγχωρήσει τῶν ἀδελφῶν εὑρίσκομεν. Καί τό ἔλεος τοῦ Θεοῦ, ἐν τῇ ἐλεημοσύνῃ τοῦ πλησίον ἐγκέκρυπται. Διά τοῦτο ὁ Κύριος ἔλεγεν· Ἄφετε, καί ἀφεθήσεται ὑμῖν. Καί, Ἐάν ἀφῆτε τοῖς ἀνθρώποις τά παραπτώματα αὐτῶν, καί ὁ Πατήρ ὑμῶν ὁ οὐράνιος ἀφήσει ὑμῶν τά παραπτώματα ὑμῶν. Καί πάλιν· Μακάριοι οἱ ἐλεημόνες, ὅτι αὐτοί ἐλεηθήσονται. Καί, Ὧι μέτρῳ μετρεῖτε, ἀντιμετρηθήσται ὑμῖν. Ἰδού ἐχαρίσατο ἡμῖν ὁ Κύριος τρόπον σωτηρίας, καί ἔδωκεν ἡμῖν ἐξουσίαν αἰώνιον τοῦ γενέσθαι τέκνα Θεοῦ· καί ἐν τῷ θελήματι ἡμῶν ἐστι λοιπόν ἡ σωτηρία ἡμῶν.

μγ'. Δῶμεν οὖν ἑαυτούς τῷ Κυρίῳ ἐξ ὁλοκλήρου, ἵνα ὁλόκληρον αὐτόν ἀντιλάβωμεν. Γενώμεθα θεοί δι᾽ αὐτόν· καί γάρ τοῦτο ἄνθρωπος γέγονε, φύσει ὤν Θεός καί Δεσπότης. Ὑπακούσωμεν αὐτῷ, καί αὐτός ἀκαμάτως ἀμύνεται τούς ἐχθρούς ἡμῶν· Εἰ ὁ λαός μου ἤκουσέ μου, φησίν, Ἰσραήλ ταῖς ὁδοῖς μου εἰ ἐπορεύθη· ἐν τῷ μηδενί ἄν τούς ἐχθρούς αὐτῶν ἐπαπείνωσα, καί ἐπί τούς θλίβοντας αὐτούς ἐπέβαλον ἄν τήν χεῖρά μου. Πᾶσαν τήν ἐλπίδα ἡμῶν ἐπ᾽ αὐτόν μόνον θήσωμεν. Καί πᾶσαν τήν μέριμναν ἡμῶν ἐπ᾽ αὐτόν μόνον ῥίψωμεν, καί ἐκ πάσης θλίψεως, αὐτός ἡμᾶς ῥύσεται· καί πάντα τόν βίον, αὐτός ἡμᾶς διαθρέψει. Πάντα μέν ἄνθρωπον ἐκ ψυχῆς ἀγαπήσωμεν· ἐπί μηδενί δέ ἀνθρώπων τήν ἐλπίδα θήσωμεν· ὅτι ἐφ᾽ ὅσον ὁ Κύριος συντηρεῖ ἡμᾶς, καί οἱ φίλοι πάντες ἡμᾶς περιέπουσι, καί οἱ ἐχθροί πάντες πρός ἡμᾶς ἀδυνατοῦσιν. Ἐπάν δέ ὁ Κύριος ἡμᾶς ἐγκαταλείπῃ, τότε καί οἱ φίλοι πάντες ἐγκαταλείπουσι, καί οἱ ἐχθροί πάντες καθ᾽ ἡμῶν ἰσχύουσιν. Ἀλλά καί ὁ εἰς σεαυτόν θαῤῥῶν, πεσεῖται πτῶμα ἐξαίσιον· ὁ δέ φοβούμενος τόν Κύριον, ὑψωθήσεται. Διά τοῦτο Δαβίδ ἔλεγεν· Οὐ γάρ ἐπί τῷ τόξῳ μου ἐλπιῶ, καί ἡ ῥομφαία μου οὐ σώσει με. Ἔσωσας γάρ ἡμᾶς ἐκ τῶν θλιβόντων ἡμᾶς, καί τούς μισοῦντας ἡμᾶς, κατήσχυνας.

μδ'. Μή ἀνασχώμεθα τῶν λογισμῶν τῶν σμικρυνόντων ἡμῶν τάς ἁμαρτίας, καί τήν ἄφεσιν αὐτῶν γεγονέναι μαντευομένων. Περί αὐτῶν γάρ ὁ Κύριος ἀσφαλιζόμενος ἡμᾶς, ἔλεγε· Προσέχετε ἑαυτοῖς ἀπό τῶν ψευδοπροφητῶν, οἵτινες ἐλεύσονται πρός ὑμᾶς ἐν ἐνδύμασι προβάτων· (956) ἔσωθεν δέ, εἰσί λύκοι ἅρπαγες. Ἐφ᾽ ὅσον γάρ ὁ νοῦς ἡμῶν ὑπό τῆς ἁμαρτίας ὀχλεῖται, οὔπω τῆς συγχωρήσεως αὐτῆς ἐτύχομεν· οὐδέπω γάρ καρπούς ἀξίους τῆς μετανοίας πεποιήκαμεν. Καρπός μετανοίας ἐστίν, ἀπάθεια ψυχῆς· ἀπάθεια δέ, ἐξάλειψις ἁμαρτίας. Οὔπω δέ ἔχομεν τελείαν ἀπάθειαν, ποτέ μέν ὀχλούμενοι ὑπό τῶν παθῶν, ποτέ δέ μή ὀχλούμενοι. Οὐκ ἄρα τῆς τῶν ἁμαρτιῶν ἀφέσεως τελείως ἐτύχομεν. Τῆς μέν γάρ προγονικῆς ἁμαρτίας, διά τοῦ ἁγίου βαπτίσματος ἐλευθερώθημεν· τῆς δέ μετά τό βάπτισμα τολμηθείσης, διά τῆς μετανοίας ἐλευθερούμεθα.

με'. Μετανοήσωμεν οὖν γνησίως, ἵνα τῶν παθῶν ἐλευθερούμενοι, τῆς τῶν ἁμαρτιῶν ἀφέσεως τύχωμεν. Περιφρονήσωμεν τῶν προσκαίρων, ἵνα μή δι᾽ αὐτά τοῖς ἀνθρώποις μαχόμενοι, τήν ἐντολήν τῆς ἀγάπης παραβῶμεν, καί τῆς τοῦ Θεοῦ ἀγάπης ἐκπέσωμεν. Πνεύματι περιπατῶμεν, καί ἐπιθυμίαν σαρκός οὐ μή τελέσομεν. Γρηγορήσωμεν, νήψωμεν· ἀποβάλωμεν λοιπόν τόν ὕπνον τῆς ῥᾳθυμίας. Ζηλώσωμεν τούς ἁγίους ἀθλητάς τοῦ Σωτῆρος· μιμησώμεθα αὐτῶν τούς ἀγῶνας, τῶν ὄπισθεν ἐπιλανθανόμενοι, τοῖς δέ ἔμπροσθεν ἐπεκτεινόμενοι. Μιμησώμεθα τόν ἀκατάπαυστον αὐτῶν δρόμον, τήν ζέουσαν προθυμίαν, τῆς ἐγκρατείας τήν καρτερίαν, τῆς σωφροσύνης τόν ἁγιασμόν, τῆς ὑπομονῆς τήν γενναιότητα τῆς μακροθυμίας τήν ἀνοχήν, τῆς συμπαθείας τόν οἶκτον, τῆς πραΰτητος τό ἀτάραχον, τοῦ ζήλου τήν θερμότητα, τῆς ἀγάπης τό ἀνυπόκριτον, τῆς ταπεινοφροσύνης τό ὕψος, τῆς ἀκτημοσύνης τό ἀπέριττον, τήν ἀνδρείαν, τήν χρηστότητα, τήν ἐπιείκειαν. Μή ὑπτιωθῶμεν ταῖς ἡδοναῖς· μή χαυνωθῶμεν τοῖς λογισμοῖς· μή ῥυπώσωμεν τήν συνείδησιν· Τήν εἰρήνην διώκωμεν μετά πάντων, καί τόν ἁγιασμόν· οὗ χωρίς οὐδείς ὄψεται τόν Κύριον, Καί ἐπί τούτοις, φύγωμεν τόν κόσμον, ἀδελφοί, καί τόν κοσμοκράτορα. Καταλείψωμεν τήν σάρκα, καί τά σαρκικά. Εἰς οὐρανούς ἀναδράμωμεν· ἐκεῖ ἕξωμεν ἡμῶν τό πολίτευμα. Τόν θεῖον Ἀπόστολον μιμησώμεθα· τόν Ἀρχηγόν τῆς ζωῆς καταλάβωμεν· τῆς πηγῆς τῆς ζωῆς ἀπολαύσωμεν. Σύν ἀγγέλοις

χορεύσωμεν· σύν ἀρχαγγέλοις ὑμνήσωμεν τόν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν· ᾧ ἡ δόξα καί τό κράτος ἅμα τῷ Πατρί σύν τῷ ἁγίῳ Πνεύματι, νῦν καί ἀεί, καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

***ΕΚ ΤΩΝ ΦΩΤΙΟΥ (956)***

***Ἀσκητικός λόγος· καί ἑτέρα πραγματεία ἐν υ' κεφαλαίοις.***

Ἀνεγνώσθη τοῦ αὐτοῦ ἁγίου Μαξίμου λόγος Ἀσκητικός, εἰς πεῦσιν ἐσχηματισμένος καί ἀπόκρισιν. καί χρήσιμος μέν ἅπασιν ὁ λόγος, μάλιστα δι᾿ οἷς ἄσκησις ἡ πολιτεία. Ἠθῶν γάρ , δι᾿ ὧν ἄν τις οὐρανοπολίτης γένοιτο, ἐστί διδάσκαλος καί γεωργός. (957) Μάλιστα δέ Ἀγάπης, κατά τήν γνῶσιν καί τήν ἐργασίαν πολλάς ἐνδίδωσιν ἐπελθεῖν ἀφορμάς.
Συνετέτακτο δέ καί ἑτέρα πραγματεία εἰς υ' κεφάλαια πληθυνομένη, ἥ καί προσεπεφώνητο Ἐλπιδίῳ τινί ὁσιότητι καθωσιωμένῳ. Καί αὐτός μέν ὁ συγγραφεύς Περί Ἀγάπης τόν πόνον ἐπιγράφει, ἴσως, ὅτι ταύτην τε ἀρχήν τῷ γράμματι ὑποβάλλεται, καί ἀλλαχοῦ πολλάκις περί αὐτῆς καταβάλλεται λόγον. Οὐ μήν ἀλλά γάρ καί πολλῶν προβλημάτων τε καί θεωρημάτων, οἷς θεολογία κρατύνεται, καί ἅ τόν ὅσιον βίον καί καθαρόν ποιεῖ, ἱκανήν ἔστιν ἐν αὐτοῖς τοῖς φιλοπόνως αὐτά μετιοῦσι καρπώσασθαι τήν ὠφέλειαν.
Καί τό εἶδος αὐτῷ τοῦ λόγου, εἰς τό λευκόν τε καί εὔτορνον, ἤπερ οἱ ἄλλοι, διατυποῦται· καί οὐδέν παρέχει, ὅ ἄν τις διερευνήσῃ μωμήσασθαι· πλήν ἔσθ᾿ ὅπη τήν Ἀττικήν τῆς ἄλλης φωνῆς προκρίνει.

**ΠΕΡΙ ΑΓΑΠΗΣ (960) ΠΡΟΛΟΓΟΣ ΠΡΟΣ ΕΛΠΙΔΙΟΝ**

Ἰδού πρός τῷ περί Ἀσκητικοῦ βίου λόγῳ, καί τόν περί Ἀγάπης Λόγον πέπομφα τῇ σῇ τιμιότητι, πάτερ Ἐλπίδιε, ἐν ἰσαρίθμοις κεφαλαίοις τῶν τεσσάρων Εὐαγγελίων ἑκατοντάσιν· οὐδέν μέν ἴσως ἄξιον τῆς σῆς προσδοκίας· τῆς δέ γε ἡμετέρας δυνάμεως οὐκ ἔλαττον. Πλήν γινωσκέτω ἡ σή ἁγιωσύνη, ὅτι οὐδέ ταῦτα εἰσί τῆς ἐμῆς γεώργια διανοίας· ἀλλά τούς τῶν ἁγίων Πατέρων διελθών λόγους, κακεῖθεν τόν εἰς τήν ὑπόθεσιν συντείνοντα νοῦν ἀναλεξάμενος· καί ἐν ὀλίγοις πολλά κεφαλαιωδέστερον συναγαγών, ἵνα εὐσύνοπτα γένωνται διά τό εὐμνημόνευτον· ἀπέστειλα τῇ σῇ ὁσιότητι, παρακαλῶν εὐγνωμόνως ἀναγινώσκειν, καί μόνην θηρεύειν τήν ἐν αὐτοῖς ὠφέλειαν· τό δέ ἀκαλλές τῆς λέξεως [Fr.τῶν λέξεων] παραβλέπειν, καί εὔχεσθαι ὑπέρ τῆς ἡμῶν μετριότητος, τῆς πάσης πνευματικῆς ὠφελείας ἐρήμου. Παρακαλῶ δέ καί τοῦτο, μή εἰς ὄχλησιν ἡγεῖσθαι τά γεγραμμένα. Ἐπιταγήν γάρ πεπλήρωκα. Λέγω δέ τοῦτο, ἐπειδή οἱ λόγοις ἐνοχλοῦντες, πολλοί ἐσμεν σήμερον· οἱ δέ ἔργοις παιδεύοντες, ἤ καί παιδευόμενοι, πάνυ εἰσίν ὀλίγοι. Ἀλλά μᾶλλον ἐμπόνως προσέχειν ἑκάστῳ τῶν κεφαλαίων. Οὐ πάντα γάρ πᾶσιν, ὡς οἶμαι, εἰσίν εὔληπτα· ἀλλά καί πολλῆς τά πολλά τοῖς πολλοῖς δεόμενα τῆς συνεξετάσεως, εἰ καί δοκεῖ ἁπλούστερον εἰρῆσθαι. Ἴσως καί ἄν τι φανείῃ χρήσιμον τῇ ψυχῇ ἐξ αὐτῶν ἀνακαλυπτόμενον. Ἀναφανήσεται δέ πάντως Θεοῦ χάριτι, τῷ ἀπεριέργοις ἐννοίαις καί μετά φόβου Θεοῦ καί ἀγάπης ἀναγινώσκοντι. Τῷ δέ μή ὠφελείας χάριν πνευματικῆς ἐντυγχάνοντι, ἤ τούτῳ τῷ πονήματι, ἤ καί ἄλλῳ οἱῳδήποτε. (961) Ἀλλά τοῦ λέξεις θηρύειν πρός τό κακίζειν τόν συγγραψάμενον, ἵνα σεαυτόν ἐκείνου σοφώτερον δῆθεν, ὡς οἰησίας, παραστήσῃ, οὐδέν ὠφέλιμον οὐδαμόθεν οὐδέποτε ἀναφανήσεται.

***Πρώτη ἑκατοντάς τῶν περί ἀγάπης κεφαλίων.***

α'. Ἀγάπη μέν ἐστιν, διάθεσις ψυχῆς ἀγαθή, καθ᾽ ἥν οὐδέν τῶν ὄντων, τῆς τοῦ Θεοῦ γνώσεως προτιμᾷ. Ἀδύνατον δέ εἰς ἕξιν ἐλθεῖν ταύτης τῆς ἀγάπης, τόν πρός τι τῶν ἐπιγείων ἔχοντα προσπάθειαν.

β'. Ἀγάπην μέν τίκτει ἀπάθεια· ἀπάθειαν δέ, ἡ εἰς Θεόν ἐλπίς· τήν δέ ἐλπίδα, ὑπομονή καί μακροθυμία· ταῦτας δέ, ἡ περιεκτική ἐγκράτεια· ἐγκράτειαν δέ, ὁ τοῦ Θεοῦ φόβος· τόν δέ φόβον, ἡ εἰς τόν Κύριον πίστις.

γ'. Ὁ πιστεύων τῷ Κυρίῳ, φοβεῖται τήν κόλασιν· ὁ δέ φοβούμενος τήν κόλασιν, ἐγκρατεύεται ἀπό τῶν παθῶν· ὁ δέ ἐγκρατευόμενος ἀπό τῶν παθῶν, ὑπομένει τά θλιβερά· ὁ δέ ὑπομένων τά θλιβερά, ἕξει εἰς Θεόν ἐλπίδα· ἡ δέ εἰς Θεόν ἐλπίς, χωρίζει πάσης γηΐνης προσπαθείας τόν νοῦν· ταύτης δέ ὁ νοῦς χωρισθείς, ἕξει τήν εἰς Θεόν ἀγάπην.

δ'. Ὁ ἀγαπῶν τόν Θεόν, πάντων τῶν ὑπ᾽ αὐτοῦ γεγονότων προτιμᾷ τήν γνῶσιν αὐτοῦ, καί ἀδιαλείπτως διά τοῦ πόθου, ταύτῃ προσκαρτερεῖ.

ε'. Εἰ πάντα τά ὄντα διά τοῦ Θεοῦ καί διά τόν Θεόν γέγονε· κρείττων δέ ὁ Θεός τῶν δι᾽ αὐτοῦ γεγονότων· ὁ καταλιμπάνων τόν Θεόν τόν ἀσυγκρίτως κρείττονα, καί τοῖς χείροσιν ἐνασχολούμενος, δείκνυσιν ἑαυτόν προτιμῶντα τοῦ Θεοῦ, τά δι᾽ αὐτοῦ γεγονότα.

στ'. Ὁ τῇ εἰς Θεόν ἀγάπῃ τόν νοῦν ἔχων προσηλωμένον, πάντων τῶν ὁρωμένων, καί αὐτοῦ τοῦ σώματος, ὡς ἀλλοτρίου καταφρονεῖ.

ζ'. Εἰ κρείττων τοῦ σώματος ἡ ψυχή· καί κρείττων τοῦ κόσμου ἀσυγκρίτως ὁ κτίσας αὐτόν Θεός· ὁ προτιμῶν τῆς ψυχῆς τό σῶμα, καί τοῦ Θεοῦ τόν ὑπό αὐτοῦ κτισθέντα κόσμον, οὐδέν τῶν εἰλωλολατρούντων διενήνοχεν.

η'. Ὁ τόν νοῦν τῆς εἰς Θεόν ἀγάπης καί προσεδρείας ἀποχωρίσας, καί τινι τῶν αἰσθητῶν προσεδεμένον ἔχων, οὗτός ἐστι ὁ προτιμῶν τῆς ψυχῆς τό σῶμα, καί τοῦ κτίσαντος Θεοῦ, τά ὑπ᾽ αὐτοῦ γεγονότα.

θ'. (964) Εἰ ἡ ζωή τοῦ νοῦ ὁ φωτισμός ἐστι τῆς γνώσεως· τοῦτον δέ ἡ εἰς Θεόν ἀγάπη τίκτει· καλῶς, Οὐδέν τῆς θείας ἀγάπης, εἴρηται, μεῖζον.

ι'. Ὅταν τῷ ἔρωτι τῆς ἀγάπης πρός Θεόν ὁ νοῦς ἐκδημῇ, τότε οὔτε τινός τῶν ὄντων παντάπασι ἐπαισθάνεται. Ὑπό γάρ τοῦ θείου καί ἀπείρου φωτός καταλαμπόμενος, ἀναισθητεῖ πρός πάντα τά ὑπ᾽ αὐτοῦ γεγονότα· καθάπερ καί ὁ αἰσθητός ὀφθαλμός πρός τούς ἀστέρας, τοῦ ἡλίου ἀνατέλλοντος.

ια'. Πᾶσαι μέν αἱ ἀρεταί συνεργοῦσι τῷ νῷ πρός τόν θεῖον ἔρωτα, πλέον δέ πάντων ἡ καθαρά προσευχή. Διά ταύτης γάρ πρός τόν Θεόν πτερούμενος, ἔξω γίνεται πάντων τῶν ὄντων.

ιβ'. Ὅταν διά τῆς ἀγάπης ὑπό τῆς θείας γνώσεως ὁ νοῦς ἁρπαγῇ, καί ἔξω γενόμενος τῶν ὄντων τῆς θείας ἐπαισθάνηται ἀπειρίας, τότε κατά τόν θεῖον Ἡσαΐαν ὑπό ἐκπλήξεως εἰς συναίσθησιν ἐλθών τῆς ἑαυτοῦ ταπεινώσεως, μετά διαθέσεως λέγει τά τοῦ προφήτου ῥήματα· Ὦ τάλας ἐγώ, ὅτι κατανένυγμαι· ὅτι ἄνθρωπος ὤν, καί ἀκάθαρτα

χείλη ἔχων, ἐν μέσῳ λαοῦ ἀκάθαρτα χείλη ἔχοντος ἐγώ κατοικῶ, καί τόν βασιλέα Κύριον Σαβαώθ εἶδον τοῖς ὀφθαλμοῖς μου.

ιγ'. Ὁ ἀγαπῶν τόν Θεόν, οὐ δύναται μή καί πάντα ἄνθρωπον ὡς ἑαυτόν ἀγαπῆσαι, εἰ καί πρός τά πάθη δυσχεραίνει τῶν μήπω κεκαθαρμένων. Διό καί τήν ἐπιστροφήν [edit. περιστρ.] αὐτῶν βλέπων καί τήν διόρθωσιν, ἀμετρήτῳ καί ἀνεκλαλήτῳ χαίρει χαρᾷ.

ιδ'. Ἀκάθαρτος ἐστι ψυχή ἐμπαθής· λογισμῶν ἐπιθυμίας καί μίσους πεπληρωμένη.

ιε'. Ὁ ἴχνος μίσους βλέπων ἐν τῇ ἑαυτοῦ καρδίᾳ διά οἱονδήποτε πταῖσμα πρός τόν οἱονδήποτε ἄνθρωπον, ἀλλότριος τυγχάνει πάμπαν τῆς εἰς Θεόν ἀγάπης· διότι ἡ εἰς Θεόν ἀγάπη, τῆς εἰς ἄνθρωπον μίσους παντελῶς οὐκ ἀνέχεται.

ιστ'. Ὁ ἀγαπῶν με, φησίν ὁ Κύριος, τάς ἐντολάς μου τηρήσει· αὕτη δέ ἐστιν ἡ ἐντολή ἡ ἐμή, ἵνα ἀγαπᾶτε ἀλλήλους. Ὁ οὖν μή ἀγαπῶν τόν πλησίον, τήν ἐντολήν οὐ τηρεῖ. Ὁ δέ τήν ἐντολήν μή τηρῶν, οὐδέ τόν Κύριον ἀγαπῆσαι δύναται.

ιζ'. Μακάριος ἄνθρωπος, ὁ πάντα ἄνθρωπον ἐξ ἴσου ἀγαπῆσαι δυνηθείς. [edit. δύναται].

ιη'. Μακάριος ἄνθρωπος, ὁ μηδενί πράγματι φθαρτῷ ἤ προσκαίρῳ προσκείμενος.

ιθ'. Μακάριος ὁ νοῦς, ὁ πάντα τά ὄντα περάσας, καί τῆς θείας ὡραιότητος ἀδιαλείπτως κατατρυφῶν.

κ'. Ὁ πρόνοιαν τῆς σαρκός εἰς ἐπιθυμίας [Duo Regit ἐπιθυμίαν] ποιούμενος, καί μνησικακίαν διά πρόσκαιρα πρός τόν πλησίον ἔχων· (965) ὁ τοιοῦτος λατρεύει τῇ κτίσει παρά τόν κτίσαντα.

κα'. Ὁ ἀνήδονον καί ἄνοσον τό σῶμα διατηρῶν, σύνδουλον αὐτό ἔχει πρός τήν τῶν κρειττόνων ὑπηρεσίαν.

κβ'. Ὁ φεύγων πάσας τάς κοσμικάς ἐπιθυμίας, πάσης λύπης [edit. unusgue ὕλης, Reg. et Fr.] κοσμικῆς ἑαυτόν ἀνώτερον καθίστησι.

κγ'. Ὁ τόν Θεόν ἀγαπῶν, καί τόν πλησίον πάντως ἀγαπᾷ. Ὁ δέ τοιοῦτος, χρήματα τηρεῖν οὐ δύναται, ἀλλ᾽ οἰκονομεῖ θεοπρεπῶς, ἑκάστῳ τῶν δεομένων παρέχων.

κδ'. Ὁ κατά μίμησιν Θεοῦ τήν ἐλεημοσύνην ποιούμενος, οὐκ οἶδε διαφοράν πονηροῦ καί ἀγαθοῦ, δικαίου καί ἀδίκου ἐν τοῖς τοῦ σώματος ἀναγκαίοις· ἀλλά πᾶσιν ἐξ ἴσου κατά τήν χρείαν διανέμει· εἰ καί προτιμᾷ δι᾽ ἀγαθήν προαίρεσιν τοῦ φαύλου τόν ἐνάρετον.

κε'. Ὥσπερ ὁ Θεός φύσει ὤν ἀγαθός καί ἀπαθής, πάντας μέν, ἐξ ἴσου ἀγαπᾷ, ὡς ἔργα αὐτοῦ· ἀλλά τόν μέν ἐνάρετον δοξάζει, ὡς καί τῇ γνώμῃ [edit et.Fr. τήν γνώσιν· alter Reg. τήν γνώμην], οἰκειούμενον· τόν δέ φαῦλον, δι᾿ ἀγαθότητα ἐλεεῖ, καί ἐν τῷ αἰῶνι τούτῳ παιδεύων ἐπιστρέφει· οὕτω καί ὁ τῇ γνώμῃ ἀγαθός καί ἀπαθής, πάντας ἀνθρώπους ἐξ ἴσου ἀγαπᾷ· τόν μέν ἐνάρετον, διά τε τήν φύσιν καί τήν ἀγαθήν προαίρεσιν· τόν δέ φαῦλον, διά τε τήν φύσιν, καί τήν συμπάθειαν ἐλεῶν ὡς ἄφρονα καί ἐν σκότει διαπορευόμενον.

κστ'. Οὐ μόνον διά μεταδόσεως χρημάτων ἡ διάθεσις τῆς ἀγάπης γνωρίζεται, ἀλλά πολλῷ μᾶλλον διά μεταδόσεως λόγου Θεοῦ καί σωματικῆς διακονίας.

κζ'. Ὁ τοῖς τοῦ κόσμου πράγμασι [edit. et unus Reg. τῶν πραγμάτων] γνησίως ἀποταξάμενος, καί τῷ πλησίον διά τῆς ἀγάπης ἀνυποκρίτως δουλεύων, παντός πάθους ταχέως ἐλευθεροῦται, καί τῆς θείας ἀγάπης καί γνώσεως μέτοχος καθίσταται.

κη'. Ὁ τήν θείαν ἀγάπης ἐν ἑαυτῷ κτησάμενος, οὐ κοπιᾷ κατοκολουθῶν ὀπίσω κυρίου τοῦ Θεοῦ αὐτοῦ, κατά τόν θεῖον Ἱερεμίαν· ἀλλά πάντα πόνον ὀνειδισμόν τε καί φέρει ὕβριν γενναίως, μηδενί τό σύνολον κακόν λογιζόμενος.

κθ'. Ὅταν ὑβρισθῇς παρά τινος, ἤ ἔν τινι ἐξουδενωθῇς, τότε πρόσεχε ἀπό τῶν λογισμῶν τῆς ὀργῆς, μή σε τῆς ἀγάπης διά τῆς λύπης χωρίσαντες, ἐν τῇ χώρᾳ τοῦ μίσους καταστήσωσιν.

λ'. Ὅταν ἐφ᾿ ὕβρει ἤ ἀτιμίᾳ πονήσῃς, γίνωσκε σευτόν μεγάλως ὠφεληθέντα, τῆς κενοδοξίας διά τῆς ἀτιμίας οἰκονομικῶς ἀπό σοῦ ἐκβληθείσης.

(968) λα'. Ὥσπερ μνήμη πυρός οὐ θερμαίνει τό σῶμα, οὕτω πίστις ἄνευ ἀγάπης, οὐκ ἐνεργεῖ εἰς τήν ψυχήν τόν τῆς γνώσεως φωτισμόν.

λβ'. Ὥσπερ τό φῶς τοῦ ἡλίου τόν ὑγιῆ ὀφθαλμόν εἰς ἑαυτό ἐφέλκεται· οὕτω καί ἡ γνῶσις τοῦ Θεοῦ τόν καθαρόν νοῦν φυσικῶς διά τῆς ἀγάπης πρός ἑαυτήν ἐπισπᾶται.

λγ'. Νοῦς ἐστι καθαρός, ὁ ἀγνοίας χωρισθείς, καί ὑπό τοῦ θείου φωτός καταλαμπόμενος.

λδ'. Ψυχή ἐστι καθαρά, ἡ παθῶν ἐλευθερωθεῖσα, καί ὑπό τῆς θείας ἀγάπης ἀδιαλείπτως εὐφραινομένη.

λε'. Πάθος [Duo Regit tantum πάθος] ἐστί ψεκτόν, κίνησις ψυχῆς παρά φύσιν.

λστ'. Ἀπάθειά ἐστιν εἰρηνική κατάστασις ψυχῆς, καθ᾽ ἥν δυσκίνητος γίνεται ψυχή πρός κακίαν.

λζ'. Ὁ τούς καρπούς τῆς ἀγάπης διά σπουδῆς κτησάμενος, οὐ μετατίθεται ταύτης, κἂν μυρία πάσχῃ κακά. Καί πειθέτω σε Στέφανος ὁ τοῦ Χριστοῦ μαθητής, καί οἱ κατ᾽ αὐτόν· καί αὐτός ὁ Σωτήρ ὑπέρ τῶν φονευτῶν [al. φονευόντων] εὐχόμενος τῷ Πατρί, καί συγγνώμην παρ᾽ αὐτοῦ ὡς ἀγνοοῦσιν αἰτούμενος.

λη'. Εἰ τῆς ἀγάπης ἐστί τό μακροθυμεῖν καί χρηστεύεσθαι, ὁ θυμομαχῶν καί πονηρευόμενος, ἀλλότριος δηλονότι τῆς ἀγάπης καθίσταται· ὁ δέ ἀγάπης ἀλλότριος, τοῦ Θεοῦ ἐστιν ἀλλότριος, εἴπερ ὁ Θεός ἀγάπης ἐστί.

λθ'. Μή εἴπητε, φησίν ὁ θεῖος Ἱερεμίας, ὅτι ναός Κυρίου ἐστέ. Καί σύ μή εἴπῃς, ὅτι Ἡ ψιλή πίστις εἰς τόν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν δύναταί με σῶσαι. Ἀμήχανον γάρ τοῦτο, ἐάν μή καί τήν ἀγάπην εἰς αὐτόν διά τῶν ἔργων κτήσῃ. Τό δέ ψιλῶς πιστεύειν· Καί τά δαιμόνια πιστεύουσι καί φρίσσουσι.

μ'. Ἔργον ἀγάπης ἐστίν ἡ εἰς τόν πλησίον ἐκ διαθέσεως εὐεργεσία καί μακροθυμία καί ὑπομονή· καί τό μετά ὀρθοῦ λόγου χρήσασθαι τοῖς πράγμασι.

μα'. Ὁ ἀγαπῶν τόν Θεόν οὐ λυπεῖ, οὐδέ λυπεῖται πρός τινα διά πρόσκαιρα· μίαν δέ λύπης καί λυπεῖ καί λυπεῖται σωτήριον, ἥν ὁ μακάριος Παῦλος καί ἐλυπήθη καί ἐλύπησε τούς Κορινθίους.

μβ'. Ὁ ἀγαπῶν τόν Θεόν, ἀγγελικόν βίον ἐπί γῆς ζῇ, νηστεύων καί ἀγρυπνῶν, ψάλλων καί προσευχόμενος, καί περί παντός ἀνθρώπους ἀεί καλά λογιζόμενος.

μγ'. Εἰ οὗτινός τις ἐπιθυμεῖ, τούτου καί τυχεῖν ἀγωνίζεται· πάντων δέ τῶν ἀγαθῶν καί ἐπιθυμητῶν ἀγαθώτερον τό Θεῖον καί ἐπιθυμητότερον ἀσυγκρίτως· πόσης ἄρα σπουδήν ὀφείλομεν ἐνδείξασθαι, ἵνα τούτου τοῦ φύσει ἀγαθοῦ καί ἐπιθυμητοῦ τύχωμεν.

μδ'. Μή μολύνῃς τήν σάρκα σου ἐν αἰσχροῖς πράξεσι, καί μή μιάνῃς τήν ψυχήν πονηροῖς λογισμοῖς (969) καί ἡ εἰρήνη τοῦ Θεοῦ ἐπελεύσεται ἐπί σέ, τήν ἀγάπην φέρουσα.

με'. Αἴκιζε τήν σάρκα σου ἀσιτίᾳ καί ἀγρυπνίᾳ, καί σχόλασον ἀόκνως ψαλμωδίᾳ καί προσευχῇ· καί ὁ ἁγιασμός τῆς σωφροσύνης ἐπί σέ ἐπελεύσεται, τήν ἀγάπην φέρων.

μστ'. Ὁ τῆς θείας καταξιωθείς γνώσεως, καί τόν ταύτης φωτισμόν διά τῆς ἀγάπης κτησάμενος, οὐ ῥιπισθήσεταί ποτε ὑπό τοῦ τῆς

κενοδοξίας πνεύματος [unus Reg. δαίμονος] · ὁ δέ ταύτης μήπω καταξιωθείς, εὐχερῶς ὑπ᾽ αὐτῆς περιφέρεται [edit. et unus Reg. φέρεται]. Ἐάν οὖν ὁ τοιοῦτος ἐν πᾶσι τοῖς ὑπ᾽ αὐτοῦ πραττομένοις πρός τόν Θεόν ἀποβλέψῃ, ὡς δι᾽ αὐτόν πάντα ποιῶν, ῥᾳδίως σύν Θεῷ ἐκφεύξεται αὐτήν.

μζ'. Ὁ μήπω τυχών τῆς θείας γνώσεως τῆς διά ἀγάπης ἐνεργουμένης, μέγα φρονεῖ ἐπί τοῖς ὑπ᾽ αὐτοῦ κατά Θεόν πραττομένοις. Ὁ δέ ταύτης τυχεῖν καταξιωθείς, μετά διαθέσεως λέγει τά τοῦ πατριάρχου Ἀβράαμ ῥήματα, ἅπερ ἡνίκα τῆς θείας καταξιώθη ἐπιφανείας, εἶπεν· Ἐγώ εἰμί γῆ καί σποδός.

μη'. Ὁ φοβούμενος τόν Κύριον, συνόμιλον ἀεί ἔχει τήν ταπεινοφροσύνην· καί διά τῶν ταύτης ἐνθυμημάτων, εἰς τήν θείαν ἀγάπην καί εὐχαριστίαν ἔρχεται. Μνημονεύει γάρ τῆς κατά τόν κόσμον προτέρας διαγωγῆς, καί τῶν ποικίλων παραπτωμάτων, καί τῶν ἐκ νεότητος συμβάντων αὐτῷ πειρασμῶν· καί πῶς πάντων ἐκείνων ἐῤῥύσατο αὐτόν ὁ Κύριος, καί μετέστησεν ἀπό τῆς ἐμπαθοῦς ζωῆς, εἰς τόν κατά Θεόν βίον· καί σύν τῷ φόβῳ, προσλαμβάνεται καί τήν ἀγάπην, εὐχαριστῶν ἀεί μετά ταπενοφροσύνης πολλῆς τῷ εὐεργέτῃ, καί κυβερνήτῃ τῆς ζωῆς ἡμῶν.

μθ'. Μή ῥυπώσῃς τόν νοῦν σου, λογισμῶν ἀνεχόμενος ἐπιθυμίας καί θυμοῦ, ἵνα μή τῆς καθαρᾶς προσευχῆς ἐκπεσών, τῷ τῆς ἀκηδίας πνεύματι περιπέσῃς.

ν'. Τό τηνικαῦτα ὁ νοῦς τῆς πρός Θεόν παῤῥησίας ἐκπίπτει, ὁπηνίκα πονηροῖς ἤ ῥυπαροῖς λογισμοῖς συνόμιλλος γένηται.

να'. Ὁ μέν ἄφρων ὑπό τῶν παθῶν ἀγόμενος, ὅτε μέν ὑπό τοῦ θυμοῦ κινούμενον ἐκταράσσεται, φεύγειν ἀλογίστως τούς ἀδελφούς ἐπείγεται· ὅτε δέ πάλιν ὑπό τῆς ἐπιθυμίας ἐκθερμαίνεται, μεταμελόμενος αὖθις προστρέχων ἀπαντᾷ. Ὁ δέ φρόνιμος, ἐπ᾽ ἀμφοτέρων τοὐναντίον ποιεῖ. Ἐπί μέν γάρ τοῦ θυμοῦ, τάς αἰτίας τῆς ταραχῆς ἐκκόψας, τῆς πρός τούς ἀδελφούς λύπης ἑαυτόν ἀπαλλάττει· ἐπί δέ τῆς ἐπιθυμίας, τῆς ἀλόγου ὁρμῆς καί συτυχίας ἐγκρατεύεται.

νβ'. Ἐν τῷ καιρῷ τῶν πειρασμῶν, μή καταλίπῃς τό μοναστήριόν σου· ἀλλά φέρε γενναίως τά κύματα τῶν λογισμῶν, καί μάλιστα τῶν τῆς λύπης καί ἀκηδίας. Οὕτω γάρ οἰκονομικῶς διά τῶν θλίψεων (972) δοκιμασθείς, ἕξεις βεβαίαν τήν εἰς Θεόν ἐλπίδα. Ἐάν δέ καταλιμπάνῃς, ἀδόκιμος καί ἄνανδρος καί ἄστατος εὑρεθήσῃ.

νγ'. Ἐάν θέλῃς τῆς κατά Θεόν ἀγάπης μή ἐκπεσεῖν, μήτε τόν ἀδελφόν ἀφῇς κοιμηθῆναι λυπούμενον κατά σοῦ, μήτε σύ κοιμηθῇς λυπούμενος κατ᾽ αὐτοῦ· ἀλλ᾽ Ὕπαγε, διαλλάγηθι τῷ ἀδελφῷ σου, καί ἐλθών, πρόσφερε Χριστῷ καθαρῷ τῷ συνειδότι, δι᾽ ἐκτενοῦς προσευχῆς [edit τῆς εὐχῆς] δῶρον τῆς ἀγάπης.

νδ'. Εἰ ὁ πάντα τά χαρίσματα τοῦ Πνεύματος ἔχων, ἀγάπην δέ μή ἔχων, οὐδέν ὠφελεῖται, κατά τόν Θεῖον Ἀπόστολον· πόσην ὀφείλομεν ἐνδείξασθαι σπουδήν, ἵνα ταύτην κτησώμεθα;

νε'. Εἰ Ἡ ἀγάπη τῷ πλησίον κακόν οὐκ ἐργάζεται, ὁ φθονῶν τῷ ἀδελφῷ, καί λυπούμενος ἐπί τῇ εὐδοκιμήσει αὐτοῦ, καί σκώμμασι χραίνων τήν ὑπόληψιν αὐτοῦ, ἤ ἔν τινι, κακοηθείᾳ ἐπιβουλεύων αὐτῷ, πῶς οὐκ ἀλλότριον ἑαυτόν τῆς ἀγάπης καθίστησι, καί ἔνοχον τῆς αἰωνίου κρίσεως;

νστ'. Εἰ Πλήρωμα νόμου ἡ ἀγάπη, ὁ μνησικακῶν τῶ ἀδελφῷ, καί δόλους κατ᾽ αὐτοῦ συσκευάζων [edit. σκευάζ.] καί κατευχόμενος αὐτοῦ καί ἐπιχαίρων τῷ πτώματι αὐτοῦ, πῶς ὁ παράνομός ἐστι, καί τῆς αἰωνίου κολάσεως ἄξιος;

νζ'. Εἰ ὁ καταλαλῶν ἀδελφοῦ καί κρίνων ἀδελφόν, καταλαλεῖ καί κρίνει νόμον· ὁ δέ νόμος τοῦ Χριστοῦ ἐστιν ἡ ἀγάπη, πῶς τῆς ἀγάπης τοῦ Χριστοῦ ὁ κατάλαλος οὐκ ἐκπίπτει, καί αἴτιος ἑαυτῷ γίνεται κολάσεως αἰωνίου;

νη'. Μή δῴης [ed. δῷς] τήν ἀκοήν σου τῇ γλώσσῃ τοῦ καταλάλου, μηδέ τήν γλῶσσάν σου τῇ ἀκοῇ τοῦ φιλοψόγου, ἡδέως λαλῶν ἤ ἀκούων κατά τοῦ πέλας, ἵνα μή ἐκπέσῃς τῆς θείας ἀγάπης, καί ἀλλότριος εὑρεθῇς τῆς αἰωνίου ζωῆς.

νθ'. Μή καταδέχου κατά τοῦ Πατρός σου λοιδορίαν, μηδέ προθυμοποιήσῃς τόν ἀτιμάζοντα αὐτόν· ἵνα μή ὀργισθῇ Κύριος ἐπί τοῖς ἔργοις σου, καί ἐξολοθρεύσῃ σε ἐκ γῆς ζώντων.

ξ'. Ἐπιστόμιζε τόν καταλαλοῦντα ἐν ἀκοαῖς σου, ἵνα μή διπλῆν ἁμαρτίαν σύν αὐτῷ ἁμαρτάνῃς· καί σαυτόν ὀλεθρίῳ πάθει ἐθίζων, κακεῖνον κατά τοῦ πλησίον φλυαρεῖν οὐκ ἀνακόπτων.

ξα'. (973) Ἐγώ δέ λέγω ὑμῖν, φησίν ὁ Κύριος· Ἀγαπᾶτε τούς ἐχθρούς ὑμῶν· καλῶς ποιεῖτε τοῖς μισοῦσιν ὑμᾶς· προσεύχεσθε ὑπέρ τῶν ἐπιρεαζόντων ὑμᾶς. Διά τί ταῦτα προσέταξεν; Ἵνα σε μίσους καί λύπης καί ὀργῆς καί μνησικακίας ἐλευθερώσῃ, καί τοῦ μεγίστου κτήματος τῆς τελείας ἀγάπης καταξιώσῃ· ἥν ἀμήχανον ἔχειν, τόν μή πάντας ἀνθρώπους ἐξ ἴσου ἀγαπῶντα κατά μίμησιν Θεοῦ, τοῦ πάντας

ἀνθρώπους ἐξ ἴσου ἀγαπῶντος, καί θέλοντος σωθῆναι καί εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν.

ξβ'. Ἐγώ δέ λέγω ὑμῖν· Μή ἀντιστῆναι τῷ πονηρῷ· ἀλλ᾽ ὅστις σε ῥαπίσει ἐπί τήν δεξιάν σιαγόνα, στρέψον αὐτῷ καί τήν ἄλλην· καί τῷ θέλοντί σοι κριθῆναι καί τόν χιτῶνά σου λαβεῖν, ἄφες αὐτῷ καί τό ἱμάτιον· καί τῷ ἀγγαρεύοντί σε μίλιον ἕν, ὕπαγε μετ᾽ αὐτοῦ δύο. Διά τί; Ἵνα καί σέ ἀόργητον καί ἀτάραχον διαφυλάξῃ καί ἄλυπον, κἀκεῖνον διά τῆς σῆς ἀνεξικακίας παιδεύσῃ, και ἀμφοτέρους ὡς ἀγαθός ὑπό τόν ζυγόν τῆς ἀγάπης ἀγάγῃ.

ξγ'. Πρός ἅπερ πράγματά ποτε πεπόνθαμεν, τούτων καί τάς φαντασίας ἐμπαθεῖς περιφέρομεν. Ὁ οὖν τάς ἐμπαθεῖς νικῶν φαντασίας, καί τῶν πραγμάτων ὧν αἱ φαντασίαι πάντως καταφρονεῖ· ἐπειδή τοῦ πρός τά πράγματα πολέμου ὁ πρός τάς μνήμας τοσοῦτόν ἐστι χαλεπώτερος, ὅσον τοῦ κατ᾽ ἐνέργειαν ἁμαρτάνειν, τό κατά διάνοιαν ἐστιν εὐκοπώτερον.

ξδ'. Τῶν παθῶν τά μέν ἐστι σωματικά, τά δέ ψυχικά. Καί τά μέν σωματικά, ἐκ τοῦ σώματος ἔχει τάς ἀφορμάς· τά δέ ψυχικά, ἐκ τῶν ἔξωθεν πραγμάτων. Ἀμφότερα δέ περικόπτει ἀγάπη καί ἐγκράτεια· ἡ μέν, τά ψυχικά, ἡ δέ τά σωματικά.

ξε'. Τά μέν τῶν παθῶν, τοῦ θυμικοῦ· τά δέ τοῦ ἐπιθυμητικοῦ μέρους τῆς ψυχῆς, τυγχάνει. Ἀμφότερα δέ, διά τῶν αἰσθήσεων κινεῖται. Τότε δέ κινεῖται, ὅτε ἀγάπης ἡ ψυχή καί ἐγκρατείας, ἐκτός εὑρίσκεται.

ξστ'. Δυσκαταγώνιστα μᾶλλον τά τοῦ θυμικοῦ μέρους τῆς ψυχῆς πάθη, παρά τά τοῦ ἐπιθυμητικοῦ τυγχάνει. Διό καί μεῖζον τό φάρμακον κατ᾽ αὐτοῦ, ἡ ἐντολή τῆς ἀγάπης ὑπό τοῦ Κυρίου ἐδόθη.

ξζ'. Πάντα τά ἄλλα πάθη, ἤ τοῦ θυμικοῦ μέρους τῆς ψυχῆς, ἤ τοῦ ἐπιθυμητικοῦ μόνον ἐφάπτεται.ἤ καί τοῦ λογιστικοῦ, ὡς ἡ λήθη καί ἡ ἄγνοια· ἡ δέ ἀκηδία, πασῶν τῶν τῆς ψυχῆς δυνάμεων ἐπιδραττομένη, πάντα σχεδόν ὁμοθυμαδόν κινεῖ τά πάθη. Διό καί πάντων τῶν ἄλλων παθῶν ἐστι βαρύτατον. Καλῶς οὖν ὁ Κύριος τό κατ᾽ αὐτῆς φάρμακον δεδωκώς, Ἐν τῇ ὑπομονῇ ὑμῶν, λέγει, κτήσασθε τά ψυχάς ὑμῶν.

ξη'.(976) Μή πλήξῃς ποτέ τινα τῶν ἀδελφῶν, παραλόγως μάλιστα· μή ποτε μή φέρων τήν θλίψιν, ὑποχωρήσῃ· καί οὐ μή ἐκφεύξῃ ποτέ τόν ἔλεγχον τοῦ συνειδότος, ἀεί σοι λύπην ἐν τῷ καιρῷ τῆς προσευχῆς προξενοῦντα, καί τῆς θείας παῤῥησίας τόν νοῦν ἀπελαύνοντα.

ξθ'. Μή ἀνάσχῃ τῶν σκάνδαλά σοι φερουσῶν ὑπονοιῶν, ἤ καί ἀνθρώπων, κατά τινων. Οἱ γάρ παραδεχόμενοι σκάνδαλα ἐν οἵῳ δήποτε τρόπῳ τῶν κατά προαίρεσιν ἤ παρά προαίρεσιν συμβαινόντων, οὐκ ἴσασι τήν ὁδόν τῆς εἰρήνης, τήν φέρουσαν διά τῆς ἀγάπης εἰς τήν γνῶσιν τοῦ Θεοῦ τούς ταύτης ἐραστάς.

ο'. Οὔπω ἔχει τελείαν τήν ἀγάπην, ὁ ἔτι τοῖς γνώμαις τῶν ἀνθρώπων συνδιατιθέμενος. Οἷον, τόν μέν ἀγαπῶν, τόν δέ μισῶν, διά τόδε ἤ τόδε· ἤ καί τόν αὐτόν ποτέ μέν ἀγαπῶν, ποτέ δέ μισῶν, διά τάς αὐτάς αἰτίας.

οα'. Ἡ τελεία ἀγάπη οὐ συνδιασχίζει τήν μίαν τῶν ἀνθρώπων φύσιν, ταῖς διαφόροις αὐτῶν γνώμαις· ἀλλ᾽ εἰς αὐτήν ἀεί ἀποβλεπομένη, πάντας ἀνθρώπους ἐξ ἴσου ἀγαπᾷ· τούς μέν σπουδαίους, ὡς φίλους· τούς δέ φαύλους, ὡς ἐχθρούς ἀγαπᾷ, εὐεργετοῦσα καί μακροθυμοῦσα, καί ὑπομένουσα τά παρ᾽ αὐτῶν ἐπαγόμενα· τό κακόν τό συνόλως μή λογιζομένη, ἀλλά καί πάσχουσα ὑπέρ αὐτῶν, εἰ καιρός καλέσειεν, ἵνα καί αὐτούς ποιήσῃ φίλους εἰ οἷόν τε· εἰ δέ μή, τῆς γε ἰδίας διαθέσεως οὐκ ἐκπίπτει, τούς τῆς ἀγάπης καρπούς ἀεί ἐξ ἴσου πρός πάντας ἀνθρώπους ἐνδεικνυμένη. Διό καί ὁ Κύριος ἡμῶν καί Θεός Ἰησοῦς, Χριστός, τήν αὐτοῦ ἀγάπην εἰς ἡμᾶς ἐνδειξάμενος, ὑπέρ ὅλης τῆς ἀνθρωπότητος ἔπαθεν, καί πᾶσιν ἐξ ἴσου τήν ἐλπίδα τῆς ἀναστάσεως ἐχαρίσατο· εἰ καί ἕκαστος ἑαυτόν, εἴτε δόξης, εἴτε κολάσεως καθίστησιν ἄξιον.

οβ'. Ὁ μή καταφρονῶν δόξης καί ἀτιμίας, πλούτου καί πενίας, ἡδονῆς τε καί λύπης, τελείαν ἀγάπην οὔπω ἐκτήσατο. Ἡ γάρ τελεία ἀγάπη οὐ μόνον τούτων καταφρονεῖ, ἀλλά καί αὐτῆς τῆς προσκαίρου ζωῆς τε καί τοῦ θανάτου.

ογ'. Ἄκουε τῶν καταξιωθέντων τῆς τελείας ἀγάπης, ποῖα λέγουσι· Τίς ἡμᾶς χωρίσει ἀπό τῆς ἀγάπης τοῦ Χριστοῦ; θλίψις; ἤ στενοχωρία; ἤ διωγμός; ἤ λιμός; ἤ γυμνότης; ἤ κίνδυνος; ἤ μάχαιρα; καθώς γέγραπται· Ὅτι ἕνεκα σοῦ θανατούμεθα ὅλην τήν ἡμέραν· ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς. Ἀλλ᾽ ἐν τούτοις πᾶσιν ὑπερνικῶμεν, διά τοῦ ἀγαπήσαντος ἡμᾶς. Πέπεισμαι γάρ, ὅτι οὔτε θάνατος, οὔτε ζωή, οὔτε ἄγγελοι, οὔτε ἀρχαί, οὔτε δυνάμεις, οὔτε ἐνεστῶτα, οὔτε μέλλοντα, οὔτε ὕψωμα, οὔτε βάθος, οὔτε τις κτίσις (977) ἑτέρα δυνήσεται ἡμᾶς χωρίσαι ἀπό τῆς ἀγάπης τοῦ Θεοῦ, τῆς ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

οδ'. Περί δέ τῆς εἰς τόν πλησίον ἀγάπης, ἄκουε πάλιν οἷα λέγουσιν· Ἀλήθειαν λέγω ἐν Χριστῷ, οὐ ψεύδομαι, συμμαρτυρούσης μοι καί τῆς συνειδήσεώς μου ἐν Πνεύματι ἁγίῳ· ὅτι λύπη μοί ἐστι πολλή, καί ἀδιάλειπτος ὀδύνη τῇ καρδίᾳ μου. Ηὐχόμην γάρ ἀνάθεμα εἶναι αὐτός ἐγώ ἀπό τοῦ Χριστοῦ ὑπέρ τῶν ἀδελφῶν μου, τῶν συγγενῶν μου κατά σάρκα, οἵτινές εἰσιν Ἰσραηλῖται, καί τά ἑξῆς. Ὡσαύτως καί ὁ Μωϋσῆς, καί οἱ λοιποί ἅγιοι [unus Reg. καί πάντες οἱ ἅγιοι].

οε'. Ὁ μή καταφρονῶν δόξης καί ἡδονῆς, καί τῆς τούτων αὐξητικῆς, καί δι᾽ αὐτάς συνισταμένης, φιλαργυρίας, τάς τοῦ θυμοῦ προφάσεις ἐκκόπτειν οὐ δύναται. Ὁ δέ ταύτας μή ἐκόπτων, τῆς τελείας ἀγάπης τυχεῖν οὐ δύναται.

οστ'. Ταπείνωσις καί κακοπάθεια, πάσης ἁμαρτίας ἐλευθεροῦσι τόν ἄνθρωπον· ἡ μέν, τά τῆς ψυχῆς· ἡ δέ, τά τοῦ σώματος περικόπτουσα πάθη. Τοῦτο γάρ ποιῶν καί ὁ μακάριος φαίνεται Δαβίδ, ἐν οἷς εὔχεται πρός τόν Θεόν, λέγων· Ἰδέ τήν ταπείνωσίν μου καί τόν κόπον μου, καί ἄφες πάσας τάς ἁμαρτίας μου.

οζ'. Διά μέν τῶν ἐντολῶν ὁ Κύριος, ἀπαθεῖς τούς ἐργαζομένους αὐτάς ἀποτελεῖ· διά δέ τῶν θείων δογμάτων, τόν φωτισμόν τῆς γνώσεως αὐτοῖς χαρίζεται.

οη'. Πάντα τά δόγματα, ἤ περί Θεοῦ εἰσιν, ἤ περί ὁρατῶν καί ἀοράτων, ἤ περί τῆς ἐν αὐτοῖς προνοίας καί κρίσεως.

οθ'. Ἡ μέν ἐλεημοσύνη, τό θυμικόν μέρος τῆς ψυχῆς θεραπεύει· ἡ δέ νηστεία, τήν μέν ἐπιθυμίαν μαραίνει· ἡ δέ προσευχή, τόν νοῦν καθαίρει, καί πρός τήν τῶν ὄντων θεωρίαν παρασκευάζει. Πρός γάρ τάς δυνάμεις τῆς ψυχῆς, καί τάς ἐντολάς ὁ Κύριος ἡμῖν ἐχαρίσατο.

π'. Μάθετε ἀπ᾽ ἐμοῦ, φησίν, ὅτι πρᾶός εἰμι καί ταπεινός τῇ καρδίᾳ, καί τά ἑξῆς. Ἡ μέν πραότης, ἀτάραχον τόν θυμόν διαφυλάττει· ἡ δέ ταπείνωσις, τύφου καί κενοδοξίας τόν νοῦν ἐλευθεροῖ.

πα'. Διττός ἐστιν ὁ τοῦ Θεοῦ φόβος· ὁ μέν ἐκ τῶν ἀπειλῶν τῆς κολάσεως ἡμῖν ἐντικτόμενος, δι᾽ ὅν ἡ ἐγκράτεια καί ἡ ὑπομονή, καί ἡ εἰς Θεόν ἐλπίς, καί ἡ ἀπάθεια, ἐξ ἧς ἡ ἀγάπη, κατά τάξιν ἡμῖν ἐγγίνονται· ὁ δέ, αὐτῇ τῇ ἀγάπῃ συνέζευκται, εὐλάβειαν τῇ ψυχῇ ἀεί ἐμποιῶν, ἵνα μή διά τήν τῆς ἀγάπης παῤῥησίαν, εἰς καταφρόνησιν Θεοῦ ἔλθῃ.

πβ'. Τόν μέν πρῶτον φόβον ἔξω βάλλει ἡ τελεία ἀγάπη τῆς ψυχῆς τῆς κεκτημένης αὐτήν, μηκέτι τήν κόλασιν φοβουμένης· τόν δέ δεύτερον, ἑαυτῇ ἔχει ἀεί, ὡς εἴρηται συνεζευγμένον. Καί τῷ μέν

πρώτῳ φόβῳ, ἁρμόζει τό, Τῷ φόβῳ Κυρίου ἐκκλίνει πᾶς ἀπό κακοῦ. Καί, Ἀρχή σοφίας φόβος Κυρίου. (980) Τῷ δέ δευτέρῳ, τό, Ὁ φόβος Κυρίου ἁγνός διαμένων εἰς αἰῶνα αἰῶνος. Καί τό, Οὐκ ἔστιν ὑστέρημα τοῖς φοβουμένοις αὐτόν.

πγ'. Νεκρώσατε τά μέλη ὑμῶν τά ἐπί τῆς γῆς· πορνείαν, ἀκαθαρσίαν, πάθος, ἐπιθυμίαν κακήν, καί τήν πλεονεξίαν, καί τά ἑξῆς. Γῆν μέν ὠνόμασε, τό φρόνημα τῆς σαρκός· πορνείαν δέ εἶπε, τήν κατ᾿ ἐνέργειαν ἁμαρτίαν· ἀκαθαρσίαν δέ, τήν συγκατάθεσιν ἐκάλεσε· πάθος δέ, τόν ἐμπαθῆ λογισμόν ὠνόμασεν· ἐπιθυμίαν δέ κακήν, τήν ψιλήν τοῦ λογισμοῦ τῆς ἐπιθυμίας παραδοχήν· πλεονεξίαν δέ, τήν γεννητικήν τε καί αὐξητικήν τοῦ πάθους ὠνόμασεν ὕλην. Ταῦτα οὖν πάντα ὡς μέλη ὄντα τοῦ φρονήματος τῆς σαρκός, ἐκέλευσεν ὁ θεῖος Ἀπόστολος νεκρῶσαι.

πδ'. Πρῶτον μέν ἡ μνήμη, ψιλόν τόν λογισμόν ἐπί τόν νοῦν ἀναφέρει· καί τούτου ἐγχρονίζοντος, κινεῖται τό πάθος· τούτου δέ μή ἀναιρουμένου, κάμπτει τόν νοῦν εἰς συγκατάθεσιν· ταύτης δέ γενομένης, ἔρχεται λοιπόν εἰς τήν κατ᾿ ἐνέργειαν ἁμαρτίαν. Ὁ οὖν πάνσοφος Ἀπόστολος πρός τούς ἀπό ἐθνῶν γράφων, τό ἀποτέλεσμα πρῶτον κελεύει ἀναιρεῖν τῆς ἁμαρτίας· εἶτα κατά τάξιν ἀναποδίζοντας, εἰς τήν αἰτίαν καταλήγειν. Ἡ δέ αἰτία ἐστίν, ἡ γεννητική, ὡς προείρηται, καί αὐξητική τοῦ πάθους πλεονεξία. Οἶμαι δέ ἐνταῦθα τήν γαστριμαργίαν σημαίνειν, ὡς μητέρα καί τροφόν τῆς πορνείας ὑπάρχουσαν. Ἡ γάρ πλεονεξία, οὐ μόνον ἐπί χρημάτων, ἀλλά καί ἐπί βρωμάτων κακή. Ὥσπερ καί ἡ ἐγκράτεια, οὐ μόνον ἐπί βρωμάτων, ἀλλά καί ἐπί χρημάτων καλή.

πε'. Ὥσπερ στρουθίον τόν πόδα δεδεμένον ἀρχόμενον πέτεσθαι, ἐπί τήν γῆν κατασπᾶται σχοινίῳ ἑλκόμενον· οὕτω καί ὁ νοῦς μήπω ἀπάθειαν κτησάμενος, καί ἐπί τήν τῶν οὐρανίων γνῶσιν πετόμενος, ὑπό τῶν παθῶν καθελκόμενος, ἐπί τήν γῆν κατασπᾶται.

πστ'. Ὅτε νοῦς τελείως τῶν παθῶν ἐλευθερωθῇ, τότε καί ἐπί τήν θεωρίαν τῶν ὄντων ἀμεταστρεπτί ὁδεύει, ἐπί τήν γνῶσιν τῆς ἁγίας Τριάδος τήν πορείαν ποιούμενος.

πζ'. Καθαρός ὑπάρχων ὁ νοῦς, τά νοήματα τῶν πραγμάτων ἀναλαμβάνων, εἰς τήν πνευματικήν θεωρίαν αὐτῶν κινεῖται· ἀκάθαρτος δέ ἐκ ῥαθυμίας γεγονώς, τά μέν τῶν λοιπῶν πραγμάτων νοήματα ψιλά φαντάζεται· τά δέ ἀνθρώπινα δεχόμενος, εἰς αἰσχρούς ἤ πονηρούς λογισμούς μετατρέπεται.

πη'.(981) Ὅταν ἀεί ἐν τῷ καιρῷ προσευχῆς μηδέν τῶν τοῦ κόσμου νοημάτων διενοχλήσῃ τῷ νῷ, τότε γίνωσκε σαυτόν μή ἔξω εἶναι τῶν ὅρων τῆς ἀπαθείας.

πθ'. Ὅταν ἡ ψυχή ἄρχηται τῆς ἰδίας ὑγείας ἐπαισθάνεσθαι, τότε καί τάς ἐν τοῖς ὕπνοις φαντασίας, ψιλάς καί ἀταράχους ἄρχεται βλέπειν.

τέσ. ἀνοικτό'. Ὥσπερ τόν αἰσθητόν ὀφθαλμόν ἡ καλλονή τῶν ὁρατῶν· οὕτω καί τόν καθαρόν νοῦν, ἡ γνῶσις τῶν ἀοράτων πρός ἑαυτήν ἐπισπᾶται. Ἀόρατα δέ λέγω, τά ἀσώματα.

τεσ. ἀνοικτό α'. Μέγα μέν τό πρός τά πράγματα μή πάσχειν· μεῖζον δέ πολλῷ, τό πρός τάς φαντασίας αὐτῶν ἀπαθῆ διαμεῖναι. Διότι ὁ διά τῶν λογισμῶν πρός ἡμᾶς τῶν δαιμόνων πόλεμος, τοῦ διά τῶν πραγμάτων πολέμου ἐστί χαλεπώτερος.

τεσ. ἀνοικτό β'. Ὁ τάς ἀρετάς κατορθώσας, καί τῇ γνώσει πλουτήσας, ὡς φυσικῶς λοιπόν τά πράγματα διορῶν, πάντα κατά τόν ὀρθόν λόγον καί πράττει καί διαλέγεται, τό σύνολον μή παρατρεπόμενος. Ἐκ γάρ τοῦ εὐλόγως ἤ παραλόγως τοῖς πράγμασι χρήσασθαι, ἤ ἐνάρετοι ἤ φαῦλοι γινόμεθα.

τέσ. ἀνοικ. γ'. Σημεῖον ἄκρας ἀπαθείας, τό ψιλά τά νοήματα τῶν πραγμάτων ἀεί ἀναβαίνειν ἐπί τήν καρδίαν, καί ἐγρηγορότος τοῦ σώματος, καί κατά τούς ὕπνους.

τέσ. ἀνοικ. δ'. Διά μέν τῆς ἐργασίας τῶν ἐντολῶν, τά πάθη ὁ νοῦς ἀποδύεται· διά δέ τῆς τῶν ὁρατῶν πνευματικῆς θεωρίας, τά ἐμπαθῆ τῶν πραγμάτων νοήματα. Διά δέ τῆς τῶν ἀοράτων γνώσεως, τήν τῶν ὁρατῶν θεωρίαν· ταύτην δέ, διά τῆς γνώσεως τῆς ἁγίας Τριάδος.

τέσ. ἀνοικ. ε'. Ὥσπερ ὁ ἥλιος ἀνατέλλων καί τόν κόσμον φωτίζων, δείκνησί τε ἑαυτόν καί τά ὑπ᾽ αὐτοῦ φωτιζόμενα πράγματα· οὕτω καί ὁ τῆς δικαιοσύνης Ἥλιος τῷ καθαρῷ νῷ ἀνατέλλων, καί ἑαυτόν δείκνυσι, καί πάντων τῶν ὑπ᾽ αὐτοῦ γεγονότων καί γενησομένων τούς Λόγους.

τέσ. ἀνοικ. στ'. Οὐκ ἐκ τῆς οὐσίας αὐτοῦ τόν Θεόν γινώσκομεν, ἀλλ᾽ ἐκ τῆς μεγαλουργίας αὐτοῦ καί προνοίας τῶν ὄντων. Διά τούτων γάρ ὡς δι᾽ ἐσόπτρων, τήν ἄπειρον ἀγαθότητα καί σοφίαν καί δύναμιν κατανοοῦμεν.

τέσ. ἀνοικ. ζ'. Ὁ καθαρός νοῦς, ἤ ἐν τοῖς ψιλοῖς νοήμασι τῶν ἀνθρωπίνων πραγμάτων εὑρίσκεται, ἤ ἐν τῇ τῶν ὁρατῶν φυσικῇ θεωρίᾳ, ἤ ἐν τῇ τῶν ἀοράτων· ἤ ἐν τῷ φωτί τῆς ἁγίας Τριάδος.

τέσ. ἀνοικ. η'. Ἐν τῇ τῶν ὁρατῶν θεωρίᾳ γενόμενος ὁ νοῦς, ἤ τούς φυσικούς αὐτῶν λόγους ἐρευνᾷ, ἤ τούς δι᾽ αὐτῶν σημαινομένους, ἤ αὐτήν τήν αἰτίαν ζητεῖ.

τέσ. ἀνοικ. θ'. Ἐν δέ τῇ τῶν ἀοράτων διατρίβων, τούς τε φυσικούς αὐτῶν λόγους ζητεῖ, καί τήν αἰτίαν τῆς γενέσεως αὐτῶν, καί τά τούτοις ἀκόλουθα. Καί τίς ἡ περί αὐτούς πρόνοια καί κρίσις.

ρ'. Ἐν δέ Θεῷ γενόμενος, τούς περί τῆς οὐσίας (984) αὐτοῦ πρῶτον λόγους, ζητεῖ μέν ὑπό τοῦ πόθου φλεγόμενος, οὐκ ἐκ τῶν κατ᾽ αὐτόν δέ τήν παραμυθίαν εὑρίσκει· ἀμήχανον γάρ τοῦτο, καί ἀνένδεκτον πάσῃ γενητῇ φύσει ἐξ ἴσου· ἐκ δέ τῶν περί αὐτόν παραμυθεῖται· λέγω δή, τῶν περί ἀϊδιότητος, ἀπειρίας τε καί ἀοριστίας· ἀγαθότητός τε καί σοφίας καί δυνάμεως, δημιουργικῆς τε καί προνοητικῆς καί κριτικῆς τῶν ὄντων. Καί τοῦτο πάντη καταληπτόν αὐτοῦ μόνον, ἡ ἀπειρία, καί αὐτό τό μηδέν γινώσκειν, ὑπέρ νοῦν γινώσκειν, ὥς που [edit. ὥσπερ] οἱ θεολόγοι ἄνδρες εἰρήκασι, Γρηγόριός τε καί Διονύσιος.

***Περί ἀγάπης ἑκατοντάς δευτέρα.***

α'. Ὁ γνησίως τόν Θεόν ἀγαπῶν, οὗτος καί ἀπερισπάστως πάντως προσεύχεται· καί ὁ ἀπερισπάστως πάντως προσευχόμενος, οὗτος καί γνησίως τόν Θεόν ἀγαπᾷ. Οὐκ εὔχεται δέ ἀπερισπάστως, ὅ τινι ἐπιγείων ἔχων τόν νοῦν προσηλωμένον· οὐκ ἄρα ἀγαπᾷ τόν Θεόν, ὅ τινι τῶν ἐπιγείων ἔχων τόν νοῦν δεδεμένον.

β'. Ὁ νοῦς πράγματι χρονίζων αἰσθητῷ, πάθος ἔχει πάντως πρός αὐτό· οἷον ἐπιθυμίας, ἤ λύπης, ἤ ὀργῆς, ἤ μνησικακίας· καί εἰ μή τοῦ πράγματος ἐκείνου καταφρονεῖ, τοῦ πάθους ἐκείνου ἐλευθεροῦσθαι οὐ δύναται.

γ'. Τά μέν πάθη τοῦ νοῦ κρατοῦντα συνδεσμοῦσιν αὐτόν τοῖς πράγμασι τοῖς ὑλικοῖς· καί τοῦ Θεοῦ χωρίσαντα, αὐτοῖς ἐνασχολεῖσθαι ποιοῦσιν. ἡ δέ τοῦ Θεοῦ ἀγάπη κρατήσασα, λύει αὐτόν τῶν δεσμῶν· παραφρονεῖν πείθουσα οὐ μόνόν τῶν αἰσθητῶν πραμγάτων, ἀλλά καί αὐτῆς ἡμῶν τῆς προσκαίρου ζωῆς.

δ'. Ἔργον τῶν ἐντολῶν,ψιλά ποιεῖν τά τῶν πραγμάτων νοήματα· ἀναγνώσεως δέ καί θεωρίας, ἄϋλον καί ἀνείδεον τόν νοῦν ἀπεργάζεσθαι· (985) ἐκ δέ τούτου συμβαίνει, τό ἀπερισπάστως προσεύχεσθαι.

ε'. Οὐκ ἀρκεῖ πρακτική μέθοδος πρός τό τελείως τόν νοῦν παθῶν ἐλευθερωθῆναι, ὥστε δυνηθῆναι αὐτόν ἀπερισπάστως προσεύχεσθαι, εἰ μή καί διάφοροι αὐτόν διαδέξονται πνευματικαί θεωρίαι. Ἡ μέν γάρ, ἀκρασίας καί μίσους μόνον τόν νοῦν ἐλευθεροῖ· αἱ δέ, καί λήθης καί ἀγνοίας αὐτόν ἀπαλλάττουσι· καί οὕτω δυνήσεται ὡς δεῖ προσεύξασθαι.

στ'. Τῆς καθαρᾶς προσευχῆς δύο εἰσίν ἀκρόταται καταστάσεις· ἡ μέν, τοῖς πρακτικοῖς· ἡ δέ, τοῖς θεωρητικοῖς ἐπισυμβαίνουσα. Καί ἡ μέν, ἐκ φόβου Θεοῦ καί ἐλπίδος ἀγαθῆς τῇ ψυχῇ ἐγγίνεται· ἡ δέ, ἀπό θείου ἔρωτος καί ἀκροτάτης καθάρσεως. Γνωρίσματα δέ τοῦ μέν πρώτου μέτρου, τό ἐν τῷ συναγαγεῖν τόν νοῦν ἐκ πάντων τῶν τοῦ κόσμου νοημάτων, καί ὡς αὐτῷ αὐτοῦ περισταμένου τοῦ Θεοῦ, ὥσπερ καί παρέστη, ποιεῖσθαι τάς προσευχάς ἀπερισπάστως καί ἀνενοχλήτως· τοῦ δέ δευτέρου, τό ἐν αὐτῇ τῇ ὁρμῇ τῆς προσευχῆς ἁρπαγῆναι τόν νοῦν ὑπό τοῦ θείου καί ἀπείρου φωτός, καί μήτε ἑαυτοῦ μήτε τινός ἄλλου τῶν ὄντων τό σύνολον ἐπαισθάνεσθαι, εἰ μή μόνου τοῦ διά τῆς ἀγάπης ἐν αὐτῷ τήν τοιαύτην ἔλλαμψιν ἐνεργοῦντος. Τότε δέ καί περί τούς περί Θεοῦ λόγους κινούμενος, καθαράς καί τρανάς τάς περί αὐτοῦ λαμβάνει ἐμφάσεις.

ζ'. Ὅ τις ἀγαπᾷ, τούτου καί ἀντέχεται πάντως· καί πάντων τῶν πρός τοῦτο ἐμποδιζόντων αὐτῷ, καταφρονεῖ, ἵνα μή αὐτοῦ στερηθῇ, καί τόν Θεόν ἀγαπῶν, ἐπιμελεῖται καθαρᾶς προσευχῆς· καί πᾶν πάθος πρός τοῦτο ἐμποδίζον αὐτῷ, ἀποβάλλει ἐξ ἑαυτοῦ.

η'. Ὁ τήν μητέρα τῶν παθῶν ἀποβαλών φιλαυτίαν, καί τά λοιπά εὐχερῶς σύν Θεῷ ἀποτίθεται· οἷον ὀργήν, λύπην, μνησικακίαν, καί τά ἑξῆς· ὁ δέ ὑπό τοῦ πρώτου κρατούμενος, ὑπό τοῦ δευτέρου, κἄν μή θέλῃ, τιτρώσκεται. Φιλαυτία δέ ἐστι, τό πρός τό σῶμα πάθος.

θ'. Διά τάς πέντε ταύτας αἰτίας οἱ ἄνθρωποι ἀγαπῶσιν ἀλλήλους, εἴτε ἐπαινετῶς, εἴτε ψεκτῶς. Οἷον, ἤ διά τόν Θεόν, ὡς ὁ ἐνάρετος πάντας, καί ὡς ὁ τόν ἐνάρετον κἄν μήπω ἐνάρετος· ἤ διά φύσιν, ὡς οἱ γονεῖς τά τέκνα, καί ἔμπαλιν· ἤ διά κενοδοξίαν, ὡς ὁ δοξαζόμενος τόν δοξάζοντα· ἤ διά φιλαργυρίαν, ὡς ὁ πλούσιον διά λῆψιν· ἤ διά φιληδονίαν, ὡς ὁ τήν γαστέρα θεραπευόμενος καί τά ὑπό γαστέρα. Καί ἡ μέν πρώτη, ἐπαινετή· ἡ δέ δευτέρα, μέση· αἱ δέ λοιπαί, ἐμπαθεῖς.

ι'. Ἐάν τινάς μέν μισῇς, τινάς δέ οὐδέ ἀγαπᾷς οὐδέ μισῇς· ἑτέρους δέ ἀγαπᾷς, ἀλλά συμμέτρως· ἄλλους δέ σφόδρα ἀγαπᾷς· ἐκ ταύτης

τῆς ἀνισότητος, (988) γνῶθι ὅτι μακράν εἶ τῆς τελείας ἀγάπης, ἥτις ὑποτίθεται πάντα ἄνθρωπον ἐξ ἴσου ἀγαπῆσαι [Fr. ἀγαπᾷν].

ια'. Ἔκκλινον ἀπό κακοῦ, καί ποίησον ἀγαθόν. Τουτέστι, Πολέμησον τούς ἐχθρούς, ἵνα μειώσῃς τά πάθη· ἔπειτα δέ νῆφε, ἵνα μή αὐξήσωσι. Καί πάλιν· Πολέμησον, ἵνα κτήσῃ τάς ἀρετάς· καί μετέπειτα νῆφε, ἵνα αὐτάς διαφυλάξῃς. Καί τοῦτο ἄν εἴη, τό ἐργάζεσθαι, καί φυλάσσειν.

ιβ'. Οἱ κατά συγχώρησιν Θεοῦ πειράζοντες ἡμᾶς, ἤ τό ἐπιθυμητικόν τῆς ψυχῆς ἐκθερμαίνουσιν, ἤ τό θυμικόν ἐκταράσσουσιν, ἤ τό λογικόν ἐπισκοτίζουσιν, ἤ τό σῶμα ὀδύναις περιβάλλουσιν, ἤ τά σωματικά διαρπάζουσιν.

ιγ'. Ἤ δι᾽ ἑαυτῶν ἡμᾶς οἱ δαίμονες ἐκπειράζουσιν, ἤ τούς μή φοβουμένους τόν Κύριον καθ᾽ ἡμῶν ἐφοπλίζουσιν. Καί δι᾽ ἑαυτῶν μέν, ὅταν ἐκ τῶν ἀνθρώπων ἰδιάσωμεν, ὥσπερ τόν Κύριον ἐν τῇ ἐρήμῳ· διά τῶν ἀνθρώπων δέ, ὅταν μετά τῶν ἀνθρώπων συνδιατρίψωμεν, ὥσπερ καί τόν Κύριον διά τῶν Φαρισαίων. Ἀλλ᾽ ἡμεῖς εἰς τόν τύπον ἡμῶν ἀποβλεπόμενοι, ἀμφοτέρωθεν αὐτούς ἀποκρουσώμεθα.

ιδ'. Ὅταν ἄρχηται ὁ νοῦς εἰς τήν ἀγάπην τοῦ Θεοῦ προκόπτειν, τότε καί ὁ δαίμων τῆς βλασφημίας ἄρχεται ἐκπειράζειν αὐτόν· καί τοιούτους αὐτῷ λογισμούς ὑποβάλλει, οἵους ἀνθρώπων μέν οὐδείς, μόνος δέ ὁ τούτων πατήρ διάβολος ἐφευρίσκει. Τοῦτο δέ ποιεῖ, φθονῶν τῷ θεοφιλεῖ· ἵνα εἰς ἀπόγνωσιν ἐλθών ὡς τοιαῦτα διανοηθείς, μηκέτι τολμήσῃ διά τῆς συνήθους προσευχῆς πρός αὐτόν ἀναπτῆναι. Οὐδέν δέ ἐντεῦθεν ὠφελεῖται ὁ ἀλάστωρ πρός τόν ἴδιον σκοπόν· ἀλλά καί μᾶλλον βεβαιοτέρους ἡμᾶς ἀπεργάζεται. Πολεμούμενοι γάρ καί ἀντιπολεμοῦντες, δοκιμώτεροι καί γνησιώτεροι εἰς τήν ἀγάπην τοῦ Θεοῦ εὑρισκόμεθα. Ἡ δέ ῥομφαία αὐτοῦ, εἰσέλθοι εἰς τήν καρδίαν αὐτοῦ, καί τά τόξα αὐτοῦ συντριβείη.

ιε'. Ὁ νοῦς ἐπιβάλλων τοῖς ὁρατοῖς, κατά φύσιν νοεῖ τά πράγματα διά μέσης τῆς αἰσθήσεως· καί οὔτε ὁ νοῦς κακόν, οὔτε τό κατά φύσιν νοεῖν· οὔτε δέ τά πράγματα, οὔτε ἡ αἴσθησις· Θεοῦ γάρ εἰσι ταῦτα τά ἔργα. Τί οὖν ἐστι τό κακόν; Δῆλον ὅτι τό πάθος τοῦ κατά φύσιν νοήματος, ὅπερ δύναται μή εἶναι ἐν τῇ τῶν νοημάτων χρήσει, ἐάν ὁ νοῦς γρηγορῇ.

ιστ'. Πάθος ἐστί κίνησις ψυχῆς παρά φύσιν, (989) ἤ ἐπί φιλίαν ἄλογον, ἤ ἐπί μῖσος ἄκριτον, ἤ τινος, ἤ διά τι τῶν αἰσθητῶν. Οἷον ἐπί

μέν φιλίαν ἄλογον, ἤ βρωμάτων, ἤ γυναικός, ἤ χρημάτων, ἤ δόξης παρερχομένης, ἤ τινος ἄλλου τῶν αἰσθητῶν, ἤ διά ταῦτα.Ἐπί μῖσος δέ ἄκριτον· οἷον ἤ τινος τῶν προειρημένων, ὡς εἴρηται, ἤ πρός τινα διά ταῦτα.

ιζ'. Ἡ πάλιν κακία ἐστίν, ἡ ἐσφαλμένη κρίσις τῶν νοημάτων, ᾗ ἐπακολουθεῖ ἡ παράχρησις τῶν πραγμάτων. Οἷον ὡς ἐπί τῆς γυναικός, ἡ ὀρθή κρίσις τῆς συνουσίας, ὁ σκοπός ἐστι τῆς παιδοποιίας.Ὁ οὖν εἰς τήν ἡδονήν ἀποβλεψάμενος, ἐσφάλη περί τήν κρίσιν, τό μή καλόν ὡς καλόν ἡγησάμενος. Ὁ γοῦν τοιοῦτος, παραχρῆται γυναικί συνουσιαζόμενος. Καί ἐπί τῶν ἄλλων πραγμάτων καί νοημάτων.

ιη'. Ὅτε τόν νοῦν σου οἱ [Fr. Ὅταν τοίνυν τόν νοῦν οἱ] δαίμονες τῆς σωφροσύνης ἐκβαλόντες, τοῖς τῆς προνείας λογισμοῖς περικυκλώσωσι, τότε μετά δακρύων λέγε πρός τόν Δεσπότην· Ἐκβαλόντες με νῦν περιεκύκλωσάν με, τό ἀγαλλίαμά μου λύτρωσαί με, ἀπό τῶν κυκλωσάντων με· καί σώζῃ.

ιθ'. Βαρύς ὁ τῆς πορνείας δαίμων, καί σφοδρῶς ἐπιτίθεται τοῖς κατά τοῦ πάθους ἀγωνιζομένοις· καί μάλιστα ἐν τῇ ἀμελείᾳ τῆς διαίτης, καί ἐν ταῖς συντυχίαις τῶν γυναικῶν. Λεληθότως γάρ τῇ λειότητι τῆς ἡδονῆς ὑποκλέπτων τόν νοῦν, μετέπεια ἐπεμβαίνει διά τῆς μνήμης ἡσυχάζοντι, τό τε σῶμα ἐμπυρίζων, καί ποικίλας μορφάς τῷ νῷ παριστῶν. Διό καί πρός τήν συγκατάθεσιν τῆς ἁμαρτίας αὐτόν ἐκκαλεῖται· ἅς ἐάν θέλῃς μή ἐγχρονίζειν ἐν σοί, νηστείαν ἀναλαβοῦ καί κόπον καί ἀγρυπνίαν, καί τήν καλήν ἡσυχίαν μετά ἐκτενοῦς προσευχῆς.

κ'. Οἱ τήν ψυχήν ἡμῶν ἀεί ζητοῦντες, διά τῶν ἐμπαθῶν λογισμῶν ζητοῦσιν, ἵνα αὐτήν εἰς τήν κατά διάνοιαν, ἤ τήν κατ᾿ ἐνέργειαν ἁμαρτίαν ἐμβάλωσιν. Ὅταν οὖν εὕρωσι τόν νοῦν μή παραδεχόμενον, τότε αἰσχυνθήσονται καί ἐντραπήσονται· ὅταν δέ τῇ πνευματικῇ θεωρίᾳ ἐνασχολούμενον, τότε ἀποστραφήσονται καί καταισχυνθήσονται σφόδρα διά τάχους.

κα'. Διακόνου λόγον ἐπέχει, ὁ πρός τούς ἱερούς ἀγῶνας ἀλείφων τόν νοῦν, καί τούς ἐμπαθεῖς λογισμούς ἀπελεύνων ἀπ᾿ αὐτοῦ· πρεσβυτέρου δέ, ὁ εἰς τήν γνῶσιν τῶν ὄντων φωτίζων, καί τήν ψευδώνυμον γνῶσιν ἐξαφανίζων· (992) ἐπισκόπου δέ, ὁ τῷ ἁγίῳ μύρῳ τελειῶν τῆς γνώσεως τῆς προσκυνητῆς καί ἁγίας Τριάδος.

κβ'. Ἀσθενοῦσι μέν οἱ δαίμονες, ὅταν διά τῶν ἐντολῶν μειῶνται τά πάθη τά ἐν ἡμῖν· ἀπόλλυνται δέ, ὅταν εἰς τέλος διά τῆς ἀπαθείας τῆς ψυχῆς ἐξαφανίζωνται, μηκέτι εὑρίσκοντες τά δι᾽ ὧν ἐν αὐτῇ εὑρίσκοντο καί ἐπολέμουν αὐτήν· καί τοῦτο ἄν εἴη τό, Ἀσθενήσουσι, καί ἀπολοῦνται ἀπό προσώπου σου.

κγ'. Οἱ μέν τῶν ἀνθρώπων διά φόβον ἀνθρώπινον τῶν παθῶν ἀπέχονται· οἱ δέ, διά κενοδοξίαν· ἄλλοι δέ, δι᾽ ἐγκράτειαν· ἕτεροι δέ, διά θείων κριμάτων τῶν παθῶν ἐλευθεροῦνται.

κδ'. Πάντες οἱ λόγοι τοῦ Κυρίου, τά τέσσαρα ταῦτα περιέχουσι· τάς ἐντολάς, τά δόγματα, τάς ἀπειλάς, τάς ἐπαγγελίας· καί πᾶσαν σκληραγωγίαν διά ταῦτα ὑπομένομεν· οἷον, νηστείας, ἀγρυπνίας, χαμευνίας, κόπους καί μόχθους ἐν διακονίαις, ὕβρεις, ἀτιμίας, στρεβλώσεις, θανάτους, καί τά ὅμοια. Διά γάρ τούς λόγους τῶν χειλῶν σου, φησίν, ἐγώ ἐφύλαξα ὁδούς σκληράς.

κε'. Μισθός τῆς ἐγκρατείας, ἡ ἀπάθεια· τῆς δέ πίστεως, ἡ γνῶσις· καί ἡ μέν ἀπάθεια, τίκτει τήν διάκρισιν· ἡ δέ γνῶσις, τήν εἰς θεόν ἀγάπην [Fr. τήν θείαν ἀγάπην].

κστ'. Πρακτικήν μέν ὁ νοῦς κατορθῶν, εἰς φρόνησιν προκόπτει· θεωρητικήν δέ, εἰς γνῶσιν. Τῆς μέν γάρ ἐστιν, εἰς διάκρισιν ἀρετῆς καί κακίας φέρειν τόν ἀγωνιζόμενον· τῆς δέ, εἰς τούς περί ἀσωμάτων καί σωμάτων λόγους ἄγειν τόν μέτοχον. Τῆς δέ θεολογικῆς χάριτος, τοτηνικαῦτα καταξιοῦται, ὁπηνίκα τά προειρημένα πάντα διά τῶν τῆς ἀγάπης πτερῶν διαπεράσας, καί ἐν Θεῷ γενόμενος, τόν περί αὐτοῦ λόγον διά τοῦ πνεύματος, ὡς ἀνθρωπίνῳ νῷ δυνατόν, διασκοπήσει.

κζ'. Θεολογεῖν μέλλων, μή τούς κατ᾽ αὐτόν ζητήσῃς λόγους (οὐ μή γάρ εὕρῃ ἀνθρώπινος νοῦς· ἀλλ᾽ οὐδέ ἄλλου τινός τῶν μετά Θεόν), ἀλά τούς περί αὐτόν, ὡς οἷόν τε, διασκόπει. Οἷον τούς περί ἀϊδιότητος, ἀπειρίας τε καί ἀοριστίας, ἀγαθότητός τε καί σοφίας καί δυνάμεως, δημιουργικῆς τε καί προνοητικῆς, καί κριτικῆς τῶν ὄντων. Οὗτος γάρ ἐν ἀνθρώποις μέγας θεολόγος, ὁ τούτων τούς λόγους κἄν ποσῶς ἐξευρίσκων.

κη'. Δυνατός ἀνήρ, ὁ τῇ πράξει τήν γνῶσιν συζεύξας. Τῇ μέν γάρ, τήν ἐπιθυμίαν μαραίνει καί τόν θυμόν ἡμεροῖ· τῇ δέ, τόν νοῦν πτεροῖ, καί πρός Θεόν ἐκδημεῖ.

κθ'. Ὅταν λέγῃ Κύριος· Ἐγώ, καί ὁ Πατήρ, ἕν ἐσμεν, τό ταυτόν τῆς οὐσίας σημαίνει. Ὅταν δέ πάλιν λέγῃ· Ἐγώ ἐν τῷ Πατρί, καί ὁ Πατήρ ἐν ἐμοί, τό ἀχώριστον δηλοῖ τῶν ὑποστάσεων. (993) Οἱ οὖν Τριθεῖται

χωρίζοντες τοῦ Πατρός τόν Υἱόν, εἰς ἀμφίκρημνον ἐμπίπτουσιν. Ἤ γάρ συναΐδιον λέγοντες τῷ Πατρί τόν Υἱόν, χωρίζοντες δέ αὐτόν ἐξ αὐτοῦ, ἀναγκάζονται λέγειν μή ἐξ αὐτοῦ γεγεννῆσθαι, καί ἐμπεσεῖν εἰς τό τρεῖς λέγειν Θεούς, καί τρεῖς ἀρχάς· ἤ ἐξ αὐτοῦ γεγεννῆσθαι λέγοντες, χωρίζοντες δέ, ἀναγκάζονται λέγειν μή συναΐδιον εἶναι τῷ Πατρί, καί ποιῆσαι ὑπό χρόνον τόν τῶν χρόνων δεσπότην. Χρή γάρ καί τόν ἕνα Θεόν τηρεῖν, καί τάς τρεῖς ὑποστάσεις ὁμολογεῖν, κατά τόν μέγαν Γρηγόριον· καί ἑκάστην μετά τῆς ἰδιότητος. Καί γάρ " διαιρεῖται" μέν, ἀλλ᾽ "ἀδιαιρέτως, κατά τόν αὐτόν καί συνάπτεται μέν, διῃρημένως δέ." Καί διά τοῦτο, παράδοξος καί ἡ διαίρεσις καί ἡ ἕνωσις. Ἐπεί τί ἔχει τό παράδοξον, εἰ ὡς ἄνθρωπος ἀνθρώπῳ ἥνωταί τε καί κεχώρισται, οὕτω καί ὁ Υἱός τῷ Πατρί, καί οὐδέν πλέον;

λ'. Ὁ τέλειος ἐν ἀγάπῃ, καί εἰς ἄκρον ἀπαθείας ἐλθών, οὐκ ἐπίσταται διαφοράν ἰδίου καί ἀλλοτρίου, ἤ ἰδίας καί ἀλλοτρίας, ἤ πιστοῦ καί ἀπίστου, ἤ δούλου καί ἐλευθέρου, ἤ ὅλως ἄρσενος καί θηλείας· ἀλλ᾽ ἀνώτερος τῆς τῶν παθῶν τυραννίδος γενόμενος, καί εἰς τήν μίαν φύσιν τῶν ἀνθρώπων ἀποβλεπόμενος, πάντας ἐξ ἴσου θεωρεῖ, καί πρός πάντας ἴσως διάκειται. Οὐκ ἔστι γάρ ἐν αὐτῷ Ἕλλην καί Ἰουδαῖος, οὐδέ ἄρσεν καί θῆλυ, οὐδέ δοῦλος καί ἐλεύθερος· ἀλλά πάντα καί ἐν πᾶσι Χριστός.

λα'. Ἐκ τῶν ὑποκειμένων ἐν τῇ ψυχῇ παθῶν, λαμβάνουσιν οἱ δαίμονες τάς ἀφορμάς τοῦ κινεῖν ἐν ἡμῖν τούς ἐμπαθεῖς λογισμούς. Εἶτα διά τούτων πολεμοῦντες τόν νοῦν, ἐκβιάζονται αὐτόν εἰς συγκατάθεσιν ἐλθεῖν τῆς ἁμαρτίας. Ἡττηθέντος δέ αὐτοῦ, ἄγουσιν εἰς τήν κατά διάνοιαν ἁμαρτίαν. Καί ταύτης ἀποτελεσθείσης, φέρουσιν αὐτόν λοιπόν αἰχμάλωτον εἰς τήν πρᾶξιν. Μετά δέ ταύτην λοιπόν, οἱ τήν ψυχήν διά τῶν λογισμῶν ἐρημώσαντες, σύν αὐτοῖς ὑποχωροῦσι. Μένει δέ μόνον ἐν τῷ νῷ τό εἴδωλον τῆς ἁμαρτίας, περί οὗ φησίν ὁ Κύριος· ὅταν ἴδητε τό βδέλυγμα τῆς ἐρημώσεως ἑστώς ἐν τόπῳ ἁγίῳ, ὁ ἀναγινώσκων νοείτω· ὅτι τόπος ἅγιος καί ναός Θεοῦ, ὁ νοῦς ὑπάρχει τοῦ ἀνθρώπου, ἐν ᾧ οἱ δαίμονες διά τῶν ἐμπαθῶν λογισμῶν τήν ψυχήν ἐρημώσαντες, τό εἴδωλον τῆς ἁμαρτίας ἔστησαν. Ὅτι δέ καί ἱστορικῶς ἤδη ταῦτα γέγονεν, οὐδείς τῶν τά Ἰωσήππεια ἀνεγνωκότων, ὡς οἶμαι, ἀμφιβάλλει. Πλήν τινές φασι καί ἐπί τοῦ Ἀντιχρίστου ταῦτα γενήσεσθαι.

λβ'. Τρία εἰσί τά κινοῦντα ἡμᾶς ἐπί τά καλά· τά φυσικά σπέρματα· αἱ ἅγιαι Δυνάμεις, καί ἡ ἀγαθή προαίρεσις. Καί τά μέν φυσικά

σπέρματα, ὡς ὅταν (996) ὅ θέλομεν ἵνα ποιῶσιν ἡμῖν οἱ ἄνθρωποι, καί ἡμεῖς ὁμοίως ποιῶμεν αὐτοῖς· ἤ ὡς ὅταν ἴδωμέν τινα ἐν στενώσει ἤ ἐν ἀνάγκῃ, καί φυσικῶς ἐλεῶμεν. Αἱ δέ ἅγιαι Δυνάμεις, οἷον ὅταν κινούμενοι ἐπί καλῷ πράγματι, εὕρωμεν συνεργίαν ἀγαθήν, καί κατευοδώμεθα. Ἡ δέ ἀγαθή προαίρεσις, ὡς ὅταν διακρίνοντες ἀπό τοῦ κακοῦ τό καλόν, αἱρώμεθα τό ἀγαθόν.

λγ'. Τρία δέ πάλιν εἰσί τά κινοῦντα ἡμᾶς ἐπί τά κακά· τά πάθη, οἱ δαίμονες, καί ἡ κακή προαίρεσις. Καί τά μέν πάθη, ὡς ὅταν ἐπιθυμῶμεν πράγματος παρά λόγον· οἷον ἤ βρώματος, παρά τόν καιρόν, ἤ παρά τήν χρείαν, ἤ γυναικός παρά τόν σκοπόν τῆς παιδοποιΐας, καί τῆς μή νομίμου. Καί πάλιν, ὅταν ὀργιζώμεθα, ἤ λυπώμεθα παρά τό εἰκός· οἷον, κατά τοῦ ἀτιμάσαντος, ἤ ζημιώσαντος. Οἱ δέ δαίμονες, οἷον ὅταν ἐν τῇ ἐμελείᾳ ἡμῶν, καιροσκοποῦντες ἐπιτίθωνται ἡμῖν ἄφνω μετά πολλῆς σφοδρότητος κινοῦντες τά προειρημένα πάθη, καί τά ὅμοια. Ἡ δέ κακή προαίρεσις, οἷον, ὅτε ἐν γνώσει τοῦ καλοῦ, κακῶν ἀνθαιρώμεθα.

λδ'. Μισθοί τῶν πόνων τῆς ἀρετῆς, εἰσίν ἡ ἀπάθεια καί ἡ γνῶσις. Αὗται γάρ πρόξενοι γίνονται βασιλείας οὐρανῶν· ὡς καί τά πάθη καί ἡ ἀγνωσία, κολάσεως αἰωνίου. Ὁ οὖν τούτους [in uno Reg. etn. ταύτας] διά δόξαν ἀνθρώπων ζητῶν, καί μή δι᾽ αὐτό τό καλόν, ἀκούει παρά τῆς Γραφῆς· Αἰτεῖτε, καί οὐ λαμβάνετε, διότι κακῶς αἰτεῖσθε.

λε'. Εἰσί πολλά τινα φύσει καλά ὑπό τῶν ἀνθρώπων γινόμενα, ἀλλ᾽ οὐ καλά πάλιν διά τινα αἰτίαν· οἷον, νηστεία καί ἀγρυπνία, προσευχή καί ψαλμῳδία, ἐλεημοσύνη καί ξενοδοχία, φύσει καλά ἔργα εἰσίν· ἀλλ᾽ ὅταν διά κενοδοξίαν γίνωνται, οὐκ ἔτι καλά.

λστ'. Πάντων τῶν πραττομένων ὑφ᾽ ἡμῶν τόν σκοπόν ζητεῖ ὁ Θεός· εἴτε δι᾽ αὐτόν πράττομεν, εἴτε δι᾽ ἄλλην αἰτίαν.

λζ'. Ὅταν ἀκούσῃς τῆς Γραφῆς λεγούσης· Ὅτι σύ ἀποδώσεις ἑκάστῳ κατά τά ἔργα αὐτοῦ· οὐ παρά τόν ὀρθόν σκοπόν πραττόμενα, εἰ καί δοκεῖ καλά εἶναι, ὁ Θεός ἀποδίδωσιν· ἀλλά τά κατά τόν ὀρθόν δηλονότι. Οὐ γάρ εἰς τά γινόμενα, ἀλλ᾽ εἰς τόν σκοπόν τῶν γινομένων, ἡ τοῦ Θεοῦ κρίσις ἐφορᾷ.

λη'. Ὁ τῆς ὑπερηφανίας δαίμων, διπλῆν ἔχει τήν πονηρίαν· ἤ γάρ ἑαυτῷ ἀναπείθει τόν μοναχόν ἐπιγράφειν τά κατορθώματα, καί οὐχί τῷ Θεῷ, τῷ καί χορηγῷ τῶν καλῶν, καί βοηθῷ πρός κατόρθωσιν· ἤ τούτῳ μή πειθόμενον, τούς ἔτι ἀτελεστέρους τῶν ἀδελφῶν ὑποβάλλει ἐξουθενεῖν. Ἀγνοεῖ δέ καί οὕτως ὁ ἐνεργούμενος, (997) ὅτι τήν τοῦ

Θεοῦ βοήθειαν ἀναπείθει αὐτόν ἀπαρνεῖσθαι. Εἰ γάρ ἐκείνους ὡς μή δυνηθέντας κατορθῶσαι ἐξουθενεῖ, ἑαυτόν δηλονότι ὡς ἐξ ἰδίας δυνάμεως κατορθώσαντα εἰσάγει. Ὅπερ ἐστί ἀμήχανον, τοῦ Κυρίου εἰπόντος· Χωρίς ἐμοῦ οὐ δύνασθαι ποιεῖν οὐδέν. Ἐπειδή ἡ ἡμετέρα ἀσθένεια κινουμένη ἐπί τά καλά, ἄνευ τοῦ τοῦ χορηγοῦ τῶν καλῶν εἰς τέλος ἄγειν οὐ δύναται.

λθ'. Ὁ ἐγνωκώς τῆς ἀνθρωπίνης φύσεως τήν ἀσθένειαν, οὗτος εἴληφε πεῖραν τῆς θείας δυνάμεως· καί ὁ τοιοῦτος δι᾽ αὐτῆς τά μέν κατορθώσας· τά δέ σπεύδων κατορθῶσαι, οὐκ ἐξουθενεῖ ποτε οὐδένα ἀνθρώπων. Οἶδε γάρ, ὅτι ὥσπερ αὐτῷ ἐβοήθησε, καί πολλῶν παθῶν καί χαλεπῶν ἠλευθέρωσεν, οὕτω δυνατός ἐστι καί πᾶσι βοηθῆσαι ὅτε θέλει· καί μάλιστα τοῖς δι᾽ αὐτόν ἀγωνιζομένοις· εἰ καί κρίμασίν τισιν, ὑφ᾽ ἕν πάντας τῶν παθῶν οὐκ ἀπαλλάττει· ἀλλ᾽ ἰδίοις καιροῖς, ὡς ἀγαθός καί φιλάνθρωπος ἰατρός, ἕκαστον τῶν σπευδόντων ἰᾶται.

μ'. Ἐπί τῇ τῶν παθῶν ἀνενεργησίᾳ, ἡ ὑπερηφανία ἐπισυμβαίνει, ἤ τῶν αἰτιῶν ἀποκρυπτομένων, ἤ τῶν δαιμόνων δολερῶς [edot. δολουργῶς] ὑποχωρούντων.

μα'. Πᾶσα σχεδόν ἁμαρτία, διά ἡδονήν γίνεται· καί ἡ ταύτης ἀναίρεσις, διά κακοπαθείας καί λύπης, ἤ ἑκουσίου ἤ ἀκουσίου, διά μετανοίας, ἤ οἰκονομικῆς ἐπιφορᾶς [edit. περιφορ. ] διά τῆς προνοίας ἐπαγομένης· Εἰ γάρ ἑαυτούς ἐκρίνομεν, φησίν, οὐκ ἄν ἐκρινόμεθα· κρινόμενοι δέ, ὑπό Κυρίου (1000) παιδευόμεθα, ἵνα μή σύν τῷ κόσμῳ κατακριθῶμεν.

μβ'. Ὅταν σοι ἔλθῃ ἐξ ἀπροσδοκήτου πειρασμός, μή τόν δι᾽ οὗ αἰτιῶ· ἀλλά τό διά τί ζήτει, καί εὑρίσκεις διόρθωσιν. Ἐπεί, εἴτε δι᾽ ἐκείνου, εἴτε δι᾽ ἄλλου, πιεῖν εἶχες τῶν τοῦ Θεοῦ κριμάτων τό ἀψίνθιον.

μγ'. Ὅσον εἶ κακότροπος, τό κακοπαθεῖν μή ἀπαναίνου, ἵνα δι᾽ αὐτῆς ταπεινωθείς, τήν ὑπερηφανίαν ἐμέσῃ.

μδ'. Οἱ μέν τῶν πειρασμῶν, ἡδονάς· οἱ δέ, λύπας· οἱ δέ, ὀδύνας σωματικάς τοῖς ἀνθρώποις προσάγουσι. Κατά γάρ τήν ἐγκειμένην τῇ ψυχῇ αἰτίαν τῶν παθῶν, καί τό φάρμακον ὁ ἰατρός τῶν ψυχῶν διά τῶν αὐτοῦ κριμάτων ἐπιτίθησιν.

με'. Αἱ ἐπιφοραί τῶν πειρασμῶν, τοῖς μέν πρός ἤδη γεγονότων ἁμαρτημάτων ἀναίρεσιν· τοῖς δέ, πρός νῦν ἐνεργουμένων· ἄλλοις, πρός μελλόντων ἐνεργεῖσθαι ἀνακοπήν, ἐπάγονται. Δίχα τῶν πρός δοκιμήν ἐπισυμβαινόντων, ὡς ἐπί τοῦ Ἰώβ.

μστ'. Ὁ μέν ἐχέφρων, τῶν θείων κριμάτων τήν ἰατρείαν ἀναλογιζόμενος, εὐχαρίστως φέρει τάς διά τούτων ἐπισυμβαινούσας αὐτῷ συμφορᾶς· μηδένα τούτων αἴτιον, ἤ τάς ἑαυτοῦ ἁμαρτίας λογιζόμενος. Ὁ δέ ἄφρων, τήν τοῦ Θεοῦ ἀγνοῶν σοφωτάτην πρόνοιαν, ἁμαρτάνων καί παιδευόμενος, ἤ τόν Θεόν, ἤ τούς ἀνθρώπους τῶν ἑαυτοῦ κακῶν αἰτίους λογίζεται.

μζ'. Εἰσί τινα ἱστῶντα τά πάθη τῆς κινήσεως, καί μή ἐῶντα προβῆναι εἰς αὔξησιν· καί εἰσίν ἕτερα ἐλαττοῦντα, καί εἰς μείωσιν ἄγοντα. Οἷον, νηστεία καί κόπος καί ἀγρυπνία, οὐκ ἐῶσιν αὔξειν τήν ἐπιθυμίαν· ἀναχώρησις δέ καί θεωρία καί προσευχή, καί ἔρως εἰς Θεόν, ἐλαττοῦσιν αὐτήν, καί εἰς ἀφανισμόν ἄγουσι. Καί ἐπί τοῦ θυμοῦ δέ ὁμοίως. Οἷον, μακροθυμία καί ἀμνησικακία καί πραότης, ἱστῶσιν αὐτόν, καί οὐκ ἐῶσιν αὔξειν· ἀγάπη δέ καί ἐλεημοσύνη καί χρηστότης καί φιλανθρωπία, εἰς μείωσιν ἄγουσιν.

μη'. Οὗτινος ὁ νοῦς διαπαντός ἐστι πρός Θεόν, τούτου καί ἡ ἐπιθυμία εἰς τόν θεῖον ὑπερηύξησεν ἔρωτα· καί ὁ θυμός ὁλοστός εἰς τήν θείαν μετετράπη ἀγάπην. Τῇ γάρ χρονίᾳ τῆς θείας ἐλλάμψεως μετουσίᾳ, ὅλος φωτοειδής γεγονώς, καί τό παθητικόν αὐτοῦ μέρος πρός ἑαυτόν συσφίγξας, εἰς ἔρωτα θεῖον, ὡς εἴρηται, ἀκατάληκτον, καί ἀγάπης ἀκατάπαυστον, ἔστρεψεν, ὅλως ἐκ τῶν ἐπιγείων ἐπί τό θεῖον μεταγαγών.

μθ'. Οὐ πάντως ὁ μή φθονῶν, μηδέ ὀργιζόμενος μηδέ μνησικακῶν τῷ λυπήσαντι, ἤδη καί ἀγάπην ἔχει πρός αὐτόν. Δύναται γάρ καί μήπω ἀγαπῶν, (1001) κακόν ἀντί κακοῦ μή ἀποδοῦναι, διά τήν ἐντολήν· οὐ πάντως δέ ἔτι καί καλόν ἀνταποδῦναι κακοῦ, ἀβιάστως. Τό γάρ ἐκ διαθέσεως καλῶς ποιεῖν τοῖς μισοῦσι, μόνης ἐστί τῆς πνευματικῆς τελείας ἀγάπης.

ν'. Οὐχ ὁ μή ἀγαπῶν τινα, ἤδη πάντως καί μισεῖ αὐτόν· οὐδέ πάλιν, ὁ μή μισῶν, ἤδη πάντως καί ἀγαπᾷ. Ἀλλά δύναται ὡς μέσος εἶναι πρός αὐτόν· τουτέστι, μήτε ἀγαπᾷν, μήτε μισεῖν. Τήν γάρ ἀγαπητικήν διάθεσιν, μόνοι οἱ ἐν τῶ ἐνάτῳ κεφαλαίῳ ταύτης τῆς ἑκατοντάδος εἰρημένοι πέντε τρόποι, ἐμποιεῖν πεφύκασιν, ὅ τε ἐπαινετός καί ὁ μέσος, καί οἱ ψεκτοί.

να'. Ὅταν ἴδῃς τόν νοῦν σου τοῖς ὑλικοῖς ἡδέως ἐνασχολούμενον, καί τοῖς τούτων νοήμασιν ἐμφιλοχωροῦντα, γίνωσκε σεαυτόν ταῦτα μᾶλλον ἤ τόν Θεόν ἀγαπῶντα. Ὅπου γάρα ἐστιν ὁ θησαυρός σου, φησίν ὁ Κύριος, ἐκεῖ καί ἡ καρδία ἔσται.

νβ'. Νοῦς Θεῷ συναπτόμενος, καί αὐτῷ ἐγχρονίζων διά προσευχῆς καί ἀγάπης, σοφός γίνεται καί ἀγαθός καί δυνατός καί φιλάνθρωπος καί ἐλεήμων καί μακρόθυμος· καί ἁπλῶς εἰπεῖν, πάντα σχεδόν τά θεῖα ἰδιώματα ἐν ἑαυτῷ περιφέρει. Τούτου δέ ἀναχωρῶν [Ft. ἀποχωρῶν], καί τῶν ὑλικῶν προσχωρῶν, ἤ κτηνώδης γίνεται φιλήδονος γεγονώς· ἤ θηριώδης, διά ταῦτα τοῖς ἀνθρώποις μαχόμενος.

νγ'. Κόσμον λέγει ἡ Γραφή τά ὑλικά πράγματα· καί κοσμικοί εἰσι, οἱ τούτοις τόν νοῦν ἐνασχολοῦντες, πρός οὕς καί λέγει ἐντρεπτικώτερον· Μή ἀγαπᾶτε τόν κόσμον, μηδέ τά ἐν τῷ κόσμῳ. Ἡ ἐπιθυμία τῆς σαρκός, καί ἐπιθυμία τῶν ὀφθαλμῶν, καί ἡ ἀλαζονεία τοῦ βίου, οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ· ἀλλ᾿ ἐκ τοῦ κόσμου ἐστί, καί τά ἑξῆς.

νδ'. Μοναχός ἐστιν, ὁ τῶν ὑλικῶν πραγμάτων τόν νοῦν ἀποχωρίσας· καί δι᾿ ἐγκρατείας καί ἀγάπης καί ψαλμῳδίας καί προσευχῆς προσκαρτερῶν τῷ Θεῷ.

νε'. Κτηνοτρόφος μέν ἐστιν νοητός, ὁ πρακτικός· κτηνῶν γάρ λόγος ἐπέχουσι τά ἠθικά κατορθώματα· διό καί ἔλεγεν ὁἸακώβ· Ἄνδρες κτηνοτρόφοι εἰσίν οἱ παῖδές σου. Ποιμήν δέ προβάτων, ὁ γνωστικός. Προβάτων γάρ ἐπέχουσιν οἱ λογισμοί, ἐπί τά ὄρη τῶν θεωρημάτων ὑπό τοῦ νοῦ ποιμαινόμενοι. Διά τοῦτο καί Βδέλυγμα τοῖς Αἰγυπτίοις πᾶς ποιμήν προβάτων, ἤγουν ταῖς ἐναντίαις δυνάμεσι.

νστ'. Ὁ μέν φαῦλος νοῦς, κινουμένου τοῦ σώματος διά τῶν αἰσθήσεων ἐπί τάς ἰδίας ἐπιθυμίας καί ἡδονάς, ἐξακολουθεῖ, καί συγκατατίθεται ταῖς τούτου φαντασίαις καί ὁρμαῖς· ὁ δέ ἐνάρετος, ἐγκρατεύεται, καί κατέχει ἑαυτόν ἀπό τῶν ἐμπαθῶν φαντασιῶν καί ὁρμῶν, καί μᾶλλον φιλοσοφεῖ βελτίους ποιῆσαι τάς τοιαύτας αὐτοῦ κινήσεις.

(1004) νζ'. Τῶν ἀρετῶν, αἱ μέν εἰσι σωματικαί· αἱ δέ, ψυχικαί. Καί σωματικαί μέν εἰσιν, οἷον νηστεία, ἀγρυπνία, χαμευνία, διακονία, ἐργόχειρον πρός τό μή ἐπιβαρῆσαί τινα, ἤ πρός μετάδοσιν, καί τά ἑξῆς. Ψυχικαί δέ εἰσιν, οἷον ἀγάπη, μακροθυμία, πραότης, ἐγκράτεια, προσευχή, καί τά ἑξῆς. Ἐάν οὖν ἔκ τινος ἀνάγκης, ἤ περιστάσεως σωματικῆς, οἷον ἀῤῥωστίας, ἤ τινος τῶν τοιούτων, συμβῇ ἡμῖν μή ἐκτελέσαι δυνηθῆναι τάς προειρημένας σωματικάς ἀρετάς, συγγνώμην ἔχομεν παρά Κυρίου, τοῦ καί τάς αἰτίας εἰδότος· τάς δέ ψυχικάς μή ἐκτελοῦντες οὐδεμίαν ἕξομεν ἀπολογίαν. Οὐ γάρ εἰσιν ὑπό ἀνάγκην.

νη'. Ἡ εἰς Θεόν ἀγάπη, πάσης ἡδονῆς παρερχομένης, καί παντός πόνου καί λύπης πείθει καταφρονεῖν τόν μέτοχον αὐτῆς. Καί πειθέτωσάν σε οἱ ἅγιοι πάντες, τοσαῦτα πεπονθότες διά Χριστόν.

νθ'. Πρόσεχε σεαυτῷ ἀπό τῆς μητρός τῶν κακῶν, φιλαυτίας, ἥτις ἐστίν ἡ τοῦ σώματος ἄλογος φιλία. Ἐκ ταύτης γάρ εὐλογοφανῶς τίκτονται οἱ πρῶτοι καί ἐμπαθεῖς καί γενικώτατοι τρεῖς ἐμμανεῖς λογισμοί· ὁ τῆς γαστριμαργίας λέγω, καί φιλαργυρίας, καί κενοδοξίας· τάς ἀφορμάς ἐκ τῆς ἀναγκαίας τοῦ σώματος δῆθεν λαμβάνοντες χρείας· ἐξ ὧν γεννᾶται ἅπας ὁ τῶν κακῶν κατάλογος. Δεῖ οὖν, ὡς εἴρηται, προσέχειν ἀναγκαίως, καί ταύτῃ πολεμεῖν μετά πολλῆς νήψεως. Ταύτης γάρ ἀναιρουμένης, συναναιροῦνται πάντες οἱ ἐξ αὐτῆς.

ξ'. Τό τῆς φιλαυτίας πάθος, τῷ μέν μοναχῷ ἐλεεῖν ὑποτίθεται τό σῶμα, καί συνελθεῖν παρά τό προσῆκον εἰς τά βρώματα· οἰκονομίας δῆθεν χάριν καί κυβερνήσεως, ἵνα κατά μικρόν παρασυρόμενος, εἰς τόν βόθρον τῆς φιληδονίας ἐμπέσῃ. Τῷ δέ κοσμικῷ ἐντεῦθεν ἤδη πρόνοιαν αὐτῶ ποιεῖσθαι εἰς ἐπιθυμίαν ὑποβάλλει.

ξα'. Τήν τῆς προσευχῆς ἀκροτάτην κατάστασιν, ταύτην εἶναι λέγουσι, τό ἔξω σαρκός καί κόσμου γενέσθαι τόν νοῦν, καί ἄϋλον πάντη καί ἀνείδεον ἐν τῶ προσεύχεσθαι. Ὁ οὖν ταύτην ἀλώβητον διατηρῶν τήν κατάστασιν, οὗτος ὄντως ἀδιαλείπτως προσεύχεται.

ξβ'. Ὥσπερ τό σῶμα ἀποθνῆσκον, πάντων χωρίζεται τῶν τοῦ βίου πραγμάτων· οὕτω καί ὁ νοῦς ἐν τῷ ἄκρως προσεύχεσθαι ἀποθνήσκων, πάντων χωρίζεται τῶν τοῦ κόσμου νοημάτων. Ἐάν γάρ μή τόν τοιοῦτον θάνῃ θάνατον, μετά θεοῦ εὑρεθῆναι καί ζῆσαι οὐ δύναται.

(1005) ξγ'. Μηδείς σε ἀπατήσῃ, μοναχέ, ὅτι ἔνι σε σωθῆναι ἡδονῇ καί κενοδοξίᾳ δουλεύοντα.

ξδ'. Ὥσπερ τό σῶμα διά τῶν πραγμάτων ἁμαρτάνει, καί ἔχει πρός παιδαγωγίαν τάς σωματικάς ἀρετάς, ἵνα σωφρονῇ· οὕτω καί ὁ νοῦς διά τῶν ἐμπαθῶν νοημάτων, καί ἔχει ὡσαύτως πρός παιδαγωγίαν τάς ψυχικάς ἀρετάς, ἵνα καθαρῶς καί ἀπαθῶς ὁρῶν τά πράγματα, σωφρονῇ.

ξε'. Ὥσπερ τάς ἡμέρας διαδέχονται αἱ νύκτες, καί τά θέρη οἱ χειμῶνες· οὕτω κενοδοξίαν καί ἡδονήν, λύπαι καί ὀδύναι, εἴτε ἐν τῷ παρόντι εἴτε ἐν τῷ μέλλοντι.

ξστ'. Οὐκ ἔστιν ἁμαρτήσαντα ἐκφυγεῖν τήν μέλλουσαιν κρίσιν, ἄνευ ἑκουσίων ἐνταῦθα πόνων, ἤ ἀκουσίων ἐπιφορῶν.

ξζ'. Διά πέντε αἰτίας φασι παραχωρεῖσθαι ἡμᾶς ὑπό Θεοῦ πολεμεῖσθαι ὑπό δαιμόνων. Καί πρώτην μέν εἶναί φασιν, ἵνα πολεμούμενοι καί ἀντιπολεμοῦντες, εἰς διάκρισιν τῆς ἀρετῆς καί τῆς κακίας ἔλθωμεν. Δευτέραν δέ, ἵνα πολέμῳ καί πόνῳ τήν ἀρετήν κτώμενοι, βεβαίαν αὐτήν καί ἀμετάπτωτον ἔξωμεν. Τρίτην δέ, ἵνα προκόπτοντες εἰς τήν ἀρετήν, μή ὑψηλοφρονῶμεν, ἀλλά μάθωμεν ταπεινοφρονεῖν. Τετάρτην δέ, ἵνα πειραθέντες τῆς κακίας, τέλειον μῖσος αὐτήν μισήσωμεν. Πέμπτην δέ ἐπί πάσαις, ἵνα ἀπαθεῖς γενόμενοι, μή ἐπιλαθώμεθα τῆς οἰκείας ἀσθενείας, μήτε τῆς τοῦ βοηθήσαντος δυνάμεως.

ξη'. Ὥσπερ τοῦ πεινῶντος ὁ νοῦς ἄρτον φαντάζεται, καί τοῦ διψῶντος ὕδωρ, οὕτω καί τοῦ γαστριμάργου ποικιλίας ἐδεσμάτων· καί τοῦ φιληδόνου, μορφάς γυναικῶν· καί ὁ τοῦ κενοδόξου, τάς ἐξ ανθρώπων τιμάς· καί τοῦ φιλαργύρου, τά κέρδη· καί τοῦ μνησικάκου, τήν ἄμυναν τοῦ λυπήσαντος· καί τοῦ φθονεροῦ, τήν κάκωσιν τοῦ φθονουμένου, καί ἐπί τῶν ἄλλων παθῶν ὁμοίως. Ἐκ γάρ τῶν παθῶν ὀχλούμενος νοῦς, λαμβάνει τά ἐμπαθῆ νοήματα, καί ἐγρηγορότος τοῦ σώματος, καί κατά τούς ὕπνους.

ξθ'. Ὅταν ἐπιθυμία αὔξῃ, τάς ποιητικάς τῶν ἡδονῶν ὕλας ἐν τοῖς ὕπνοις ὁ νοῦς φαντάζεται· ὅταν δέ ὁ θυμός, τά φόβων ποιητικά βλέπει πράγματα. Αὔξουσι μέντοι τά πάθη, οἱ ἀκάθαρτοι δαίμονες, συνεργόν τήν ἡμετέραν ἀμέλειαν λαμβάνοντες, καί ταῦτα ἐρεθίζοντες. Ἐλαττοῦσι δέ οἱ ἅγιοι ἄγγελοι, πρός τήν τῶν ἀρετῶν ἡμᾶς κινοῦντες ἐργασίαν.

ο'. Τό μέν ἐπιθυμητικόν τῆς ψυχῆς πυκνότερον ἐρεθιζόμενον, ἕξιν φιληδονίας δυσκίνητον τῇ ψυχῇ ἐντίθησιν· ὁ δέ θυμός συνεχῶς ταρασσόμενος, δειλόν καί ἄνανδρον τόν νοῦν ἀπεργάζεται. Ἰῶνται δέ, τό μέν, ἄσκησις ἐπιτεταμένη νηστείας καί ἀγρυπνίας καί προσευχῆς· τόν δέ, χρηστότης καί φιλανθρωπία καί ἀγάπη καί ἔλεος.

(1008) οα'. Ἠ διά τῶν πραγμάτων οἱ δαίμονες πολεμοῦσιν, ἤ διά τῶν ἐν τοῖς πράγμασιν ἐμπαθῶν νοημάτων. Καί διά μέν τῶν πραγμάτων, τούς ἐν τοῖς πράγμασιν ὄντας, διά δέ τῶν νοημάτων, τούς τῶν πραγμάτων κεχωρισμένους.

οβ'. Ὅσον ἐστίν εὐκοπώτερον τό κατά διάνοιαν ἁμαρτάνειν τοῦ κατ᾽ ἐνέργειαν, τοσοῦτόν ἐστι βαρύτερος ὁ διά τῶν νοημάτων πόλεμος, τοῦ διά τῶν πραγμάτων.

ογ'. Τά μέν πράγματα ἔξωθέν εἰσι τοῦ νοῦ· τά δέ τούτων νοήματα ἔσω συνίστανται. Ἐν αὐτῷ οὖν ἐστι, τό εὖ τούτοις χρήσασθαι, ἤ κακῶς. Τῇ γάρ ἐσφαλμένῃ τῶν νοημάτων χρήσει ἡ παράχρησις τῶν πραγμάτων ἀκολουθεῖ.

οδ'. Διά τῶν τριῶν τούτων λαμβάνει ὁ νοῦς τά ἐμπαθῆ νοήματα· διά τῆς αἰσθήσεως, διά τῆς κράσεως, διά τῆς μνήμης. Καί διά μέν τῆς αἰσθήσεως, ὅταν προσβάλλοντα αὐτῇ τά πράγματα πρός ἅπερ τά πάθη κεκτήμεθα, κινῇ αὐτόν πρός ἐμπαθεῖς λογισμούς. Διά δέ τῆς κράσεως, ὅταν ἐξ ἀκολάστου διαίτης, ἤ ἐνεργείας δαιμόνων, ἤ νοσήματός τινος ἀλλοιουμένη ἡ τοῦ σώματος κρᾶσις, κινῇ αὐτόν πάλιν πρός ἐμπαθεῖς λογισμούς, ἤ κατά τῆς Προνοίας. Διά δέ τῆς μνήμης, ὅταν τῶν πραγμάτων πρός ἅπερ πεπόνθαμεν τά νοήματα ἡ μνήμη ἀναφέρῃ, καί κινῇ αὐτόν ὁμοίως πρός ἐμπαθεῖς λογισμούς.

οε'. Τῶν εἰς χρῆσιν παρά Θεοῦ δοθέντων ἡμῖν πραγμάτων, τά μέν, ἐν τῇ ψυχῇ, τά δέ, ἐν τῷ σώματι, τά δέ, περί τό σῶμα εὑρίσκεται, οἷον, ἐν μέν τῇ ψυχῇ, αἱ δυνάμεις αὐτῆς· ἐν δέ τῷ σώματι, τά αἰσθητήρια καί τά λοιπά μέλη· περί δέ τό σῶμα, βρώματα, κτήματα, καί τά ἑξῆς. Τό οὖν εὖ τούτοις χρήσασθαι ἤ κακῶς, ἤ τοῖς περί ταῦτα συμβεβηκόσιν, ἤ ἐναρέτους ἤ φαύλους ἡμᾶς ἀποφαίνει.

οστ'. Τῶν ἐν τοῖς πράγμασι συμβεβηκότων, τά μέν εἰσι τῶν ἐν τῇ ψυχῇ, τά δέ, τῶν ἐν τῶ σώματι, τά δέ, τῶν περί τό σῶμα πραγμάτων. Καί τῶν μέν ἐν τῆ ψυχῇ, οἷον, γνῶσις καί ἄγνοια, λήθη καί μνήμη, ἀγάπη και μῖσος, φόβος καί θάρσος, λύπη καί χαρά, καί τά ἑξῆς· τῶν δέ ἐν τῷ σώματι, οἷον, ἡδονή καί πόνος, αἴσθησις καί πήρωσις, ὑγεία καί νόσος, ζωή καί θάνατος, καί τά τοιαῦτα. Τῶν δέ περί τό σῶμα, οἷον, εὐτεκνία καί ἀτεκνία, πλοῦτος καί πενία, δόξα καί ἀδοξία, καί τά ἑξῆς. Τούτων δέ, τά μέν καλά, τά δέ κακά τοῖς ἀνθρώποις νομίζεται, οὐδέν αὐτῶν κακόν ὄν τῷ ἰδίῳ λόγῳ· (1009) παρά δέ τήν χρῆσιν, εἴτε κακά κυρίως, εἴτε ἀγαθά εὑρίσκεται.

οζ'. Καλή ἡ γνῶσις τῇ φύσει· ὁμοίως δέ καί ὑγεία· ἀλλά τἀναντία τούς πολλούς ἤπερ ταῦτα ὤνησεν. Τοῖς γάρ φαύλοις οὐκ εἰς καλόν ἡ γνῶσις συμβαίνει, εἰ καί τῇ φύσει, ὡς εἴρηται, ἐστί καλή· ὁμοίως δέ οὐδέ ὑγεία, οὐδέ πλοῦτος, οὐδέ χαρά. Οὐ γάρ συμφερόντως τούτοις κέχρηνται. Ἆρα οὖν τἀναντία τούτοις συμφέρει. Οὐκοῦν οὐδέ ἐκεῖνα κακά τῷ ἰδίῳ λόγῳ τυγχάνει, εἰ καί δοκεῖ κακά εἶναι.

οη'. Μή παραχρῶ τοῖς νοήμασιν, ἵνα μή ἐξ ἀνάγκης καί τοῖς πράγμασι παραχρήσῃ. Ἐάν γάρ μή τις πρῶτον κατά διάνοιαν ἁμαρτάνῃ, οὐκ ἄν ἁμάρτῃ ποτέ κατ᾽ ἐνέργειαν.

οθ'. Εἰκών τοῦ χοϊκοῦ αἱ γενικαί κακίαι ὑπάρχουσιν· οἷον, ἀφροσύνη, δειλία, ἀκολασία, ἀδικία. Εἰκών δέ τοῦ ἐπουρανίου, αἱ γενικαί ἀρεταί, οἷον, φρόνησις, ἀνδρεία, σωφροσύνη, δικαιοσύνη. Ἀλλά καθώς ἐφορέσαμεν τήν εἰκόνα τοῦ χοϊκοῦ, φορέσωμεν καί τήν εἰκόνα τοῦ ἐπουρανίου.

π'. Εἰ θέλεις εὑρεῖν τήν ὁδόν τήν ἀπάγουσαν εἰς τήν ζωήν, ἐν τῇ ὁδῷ αὐτήν ζήτει, κἀκεῖ αὐτήν εὑρίσκεις, τῇ εἰπούσῃ· Ἐγώ εἰμι ἡ ὁδός, καί ἡ ζωή καί ἡ ἀλήθεια. Πλήν σφόδρα ἐμπόνως ζήτει, διότι ὀλίγοι εἰσίν οἱ εὑρίσκοντες αὐτήν· καί μήπως τῶν ὀλίγων ἀπολειφθείς, μετά τῶν πολλῶν εὑρεθήσῃ.

πα'.Διά τά πέντε ταῦτα ἡ ψυχή ἀπό ἁμαρτιῶν ἀνακόπτεται· ἤ διά τόν φόβον τῶν ἀνθρώπων, ἤ διά τόν φόβον τῆς κρίσεως, ἤ διά τήν μέλλουσαν μισθαποδοσίαν, ἤ διά τήν ἀγάπην τοῦ Θεοῦ, ἤ τελευταῖον δία συνείδησιν τύπτουσαν.

πβ'. Τινές φασιν, ὅτι οὐκ ἄν ἦν τό κακόν ἐν τοῖς οὖσιν, εἰ μήτι δ᾽ ἄν ἑτέρα τις ἦν δύναμις, ἡ ἀνθέλκουσα ἡμᾶς ἐπ᾽ αὐτό. Αὕτη δέ ἐστιν οὐδέν ἕτερον, ἤ ἡ τῶν κατά φύσιν τοῦ νοῦ ἐνεργειῶν ἀμέλεια. Διόπερ οἱ τούτων τήν ἐπιμέλειαν ποιούμενοι, τά μέν καλά, ἀεί ποιοῦσι· τά δέ κακά [Fr.Ὅρα τί ἐστι κακία], οὐδέποτε. Εἰ οὖν θέλεις καί σύν ἄπωσαι τήν ἀμέλειαν, καί συναπελαύνεις τήν κακίαν· ἥτις ἐστι ἡ ἐσφαλμένη χρῆσις τῶν νοημάτων, ᾗ ἐπακολουθεῖ ἡ παράχρησις τῶν πραγμάτων.

πγ'. Κατά φύσιν ἐστί τοῦ ἐν ἡμῖν λογικοῦ μέρους, τό τε ὑποταγῆναι τῷ θείῳ λόγῳ, καί τό ἄρχειν τοῦ ἐν ἡμῖν ἀλόγου μέρους. Αὕτη οὖν ἡ τάξις ἐν πᾶσι φυλαχθήτω, καί οὔτε τό κακόν ἔσται ἐν τοῖς οὖσιν, οὔτε τό ἐπ᾽ αὐτό ἀνθέλκον εὑρεθήσεται.

πδ'. Οἱ μέν τῶν λογισμῶν, ἁπλοῖ εἰσιν, οἱ δέ σύνθετοι. Καί ἁπλοῖ μέν εἰσιν, οἱ ἀπαθεῖς· σύνθετοι δέ, οἱ ἐμπαθεῖς, ὡς ἐκ πάθους καί νοήματος συγκείμενοι. Τούτων οὕτως ἐχόντων, πολλούς τῶν ἁπλῶν ἔστιν ἰδεῖν ἑπομένους τοῖς συνθέτοις, ὅταν ἄρξωνται κινεῖσθαι πρός τό κατά διάνοιαν ἁμαρτάνειν. Οἷον, ὡς ἐπί χρυσίου· ἀνέβη ἐπί τήν μνήμην τινός λογισμός περί χρυσίου ἐμπαθής· καί ὥρμησε τῇ διανοίᾳ ἐπί τό κλέπτειν, (1012) καί ἀπετέλεσε κατά νοῦν τήν ἁμαρτίαν. Συνείποντο δέ τῇ μνήμῃ τοῦ χρυσίου, καί ἡ μνήμη τοῦ βαλλαντίου καί τοῦ σκευαρίου καί τοῦ κουβουκλείου, καί τῶν ἑξῆς. Καί ἡ μέν μνήμη

τοῦ χρυσίου, ἦν σύνθετος· εἶχε γάρ τό πάθος· ἡ δέ τοῦ βαλλαντίου καί τοῦ σκευαρίου καί τῶν ἑξῆς, ἁπλῆ. Οὐ γάρ εἶχε πρός αὐτά πάθος ὁ νοῦς. Καί ἐπί παντός δέ λογισμοῦ ὁμοίως ἔχει, ἐπί τε κενοδοξίας, καί ἐπί γυναικός, καί τῶν λοιπῶν. Οὐ γάρ πάντες οἱ συνεπόμενοι τῷ ἐμπαθεῖ λογισμῷ λογισμοί, καί ἐμπαθεῖς εἰσιν, ὡς ἀπέδειξεν ὁ λόγος.Ἐκ τούτων οὖν δυνάμεθα γνῶναι, ποῖα τά ἐμπαθῆ νοήματα, καί ποῖα τά ἁπλᾶ.

πε'. Τινές μέν φασιν, ὅτι τῶν μορίων τοῦ σώματος καθαπτόμενοι οἱ δαίμονες κατά τούς ὕπνους, κινοῦσι τό πάθος τῆς πορνείας· εἶτα τό πάθος κινούμενον, ἀναφέρει τήν μορφήν τῆς γυναικός διά τῆς μνήμης ἐπί τόν νοῦν. Τινές δέ, ὅτι τῷ μέν νῷ ἐν σχήματι γυναικός παραφαίνονται· τῶν τε μορίων τοῦ σώματος καθαπτόμενοι, τήν ὄρεξιν κινοῦσι, καί οὕτω γίνονται αἱ φαντασίαι. Ἕτεροι δέ πάλιν, ὅτι τό πάθος τό ἐπικρατοῦν ἐν τῷ πλησιάζοντι δαίμονι, κινεῖ τό πάθος· καί οὕτως ἀνάπτεται πρός λογισμούς ἡ ψυχή, ἀναφέρουσα τάς μορφάς διά τῆς μνήμης. Καί ἐπί τῶν ἄλλων δέ ἐμπαθῶν φαντασιῶν ὁμοίως, οἱ μέν οὕτως, οἱ δέ οὕτως συμβαίνειν φασί. Πλήν ἐν οὐδενί τῶν εἰρημένων τρόπων ἰσχύουσι πάθος τό οἱονδήποτε κινῆσαι οἱ δαίμονες, παρούσης τῇ ψυχῇ ἀγάπης καί ἐγκρατείας, οὔτε ἐγρηγορότος τοῦ σώματος, οὔτε κατά τούς ὕπνους.

πστ'. Τά μέν τῶν τοῦ νόμου ἐντολῶν καί σωματικῶς καί πνευματικῶς ἀνάγκη φυλάττειν· τά δέ, πνευματικῶς μόνον. Οἷον τό, Οὐ μοιχεύσεις, Οὐ φονεύσεις, Οὐ κλέψεις, καί τά ὅμοια, καί σωματικῶς καί πνευματικῶς χρή φυλάττειν. Καί πνευματικῶς δέ τρισσῶς. Τό δέ περιτέμνεσθαι καί φυλάττειν τό Σάββατον, καί σφάξαι τόν ἀμνόν καί ἔδεσθαι ἄζυμα ἐπί πικρίδων, καί τά ὅμοια, πνευματικῶς μόνον.

(1013) πζ'. Τρεῖς εἰσιν ἠθικαί καταστάσεις γενικώτεραι ἐν τοῖς μοναχοῖς. Καί πρώτη μέν, τό μηδέν ἁμαρτάνειν κατ᾿ ἐνέργειαν· δευτέρα δέ, τό μή ἐγχρονίζειν ἐν τῇ ψυχῇ τούς ἐμπαθεῖς λογισμούς· τρίτη δέ, τό τάς μορφάς τῶν γυναικῶν, καί τῶν λυπησάντων ἀπαθῶς θεωρεῖν κατά διάνοιαν.

πη'. Ἀκτήμων ἐστίν ὁ ἀπαταξάμενος πᾶσι τοῖς ὑπάρχουσιν αὐτῷ, καί μηδέν τό σύνολον ἐπί γῆς κεκτημένος πλήν τοῦ σώματος· καί τήν πρός αὐτό δέ σχέσιν διαῤῥήξας, τῷ Θεῷ καί τοῖς εὐσεβέσι τήν ἑαυτοῦ κατεπίστευσεν οἰκονομίαν.

πθ'. Τῶν κτωμένων οἱ μέν ἀπαθῶς κτῶνται· διό καί στερούμενοι αὐτῶν, οὐ λυποῦνται· ὡς οἱ τήν ἁρπαγήν τῶν ὑπαρχόντων αὐτοῖς μετά χαρᾶς προσδεξάμενοι. Οἱ δέ ἐμπαθῶς κτῶνται· διότι μέλλοντες στερεῖσθαι, περίλυποι γίνονται· ὡς ὁ ἐν τῷ Εὐαγγελίῳ πλούσιος, ἀπῆλθε λυπούμενος. Εἰ δέ καί στεροῦνται, μέχρι θανάτου λυποῦνται. Τοῦ οὖν ἀπαθοῦς καί τοῦ ἐμπαθοῦς τήν διάθεσιν ἡ στέρησις ἐλέγχει.

τεσ. ἀνοικ.'. Τούς μέν ἄκρως προσευχομένους πολεμοῦσιν οἱ δαίμονες, ἵνα τά νοήματα τῶν αἰσθητῶν πραγμάτων ψιλά μή ἀναλαμβάνωσι· τούς δέ γνωστικούς, ἵνα ἐγχρονίζωσιν ἐν αὐτοῖς οἱ ἐμπαθεῖς λογισμοί· τούς δέ περί τήν πρᾶξιν ἀγωνιζομένους, ἵνα πείσωσιν αὐτούς κατ᾽ ἐνέργειαν ἁμαρτάνειν· παντί δέ τρόπῳ πρός πάντας ἀγωνίζονται, ἵνα ἀπό τοῦ Θεοῦ οἱ δείλαιοι τούς ἀνθρώπους χωρίσωσι.

τεσ. ἀνοικ. α'. Οἱ κατά τόν βίον τοῦτον ὑπό τῆς θείας προνοίας εἰς εὐσέβειαν ἐγγυμναζόμενοι, διά τῶν τριῶν τούτων πειρασμῶν δοκιμάζονται· οἷον, ἤ διά τῆς τῶν ἡδέων δόσεως, ὡς ἐπί ὑγείας καί κάλλους καί εὐτεκνίας (1016) καί χρημάτων καί δόξης, καί τῶν ὁμοίων· ἤ διά τῆς τῶν λυπηρῶν ἐπιφορᾶς· οἷον, στερήσεως τέκνων, καί χρημάτων καί δόξης· ἤ διά τῶν ὀδύνας ἐμποιούντων τῷ σώματι· οἷον, νοσημάτων καί βασάνων, καί τῶν ἑξῆς. Καί πρός μέν τούς πρώτους λέγει ὁ Κύριος· Εἴ τις οὐκ ἀποτάσσεται πᾶσι τῖς ὑπάρχουσιν αὐτῷ, οὐ δύναταί μου εἶναι μαθητής. Πρός δέ τούς δευτέρους καί τρίτους· Ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τάς ψυχάς ὑμῶν.

τεσ. ἀνοικ. β'. Τά τέσσαρα ταῦτά φασιν ἀλλοιῶσαι τήν κρᾶσιν τοῦ σώματος, καί διδόναι τῷ νῷ λογισμούς, εἴτε ἐμπαθεῖς δι᾽ αὐτῆς, εἴτε ἀπαθεῖς· οἷον, τούς ἀγγέλους, τούς δαίμονας, τούς ἀέρας, τήν δίαιταν. Καί τούς μέν ἀγγέλους λόγῳ φασίν ἀλλοιῶσαι· τούς δέ δαίμονας, δι᾽ ἐπαφῆς· τούς δέ ἀέρας, ταῖς μεταβολαῖς· τήν δέ δίαιταν, ταῖς τῶν βρωμάτων καί πομάτων ποιότησι, καί πλεονασμῷ καί ἐλαττώσει· πάρεξ τῶν διά μνήμης καί ἀκοῆς καί ὁράσεως συμβαινουσῶν αὐτῇ ἀλλοιώσεων, πρωτοπαθούσης τῆς ψυχῆς ἐκ τῶν συμπιπτόντων αὐτῇ λυπηρῶν ἤ χαροποιῶν. Καί ἐκ τούτων μέν πάσχουσα ἡ ψυχή, ἀλλοιοῖ τήν κρᾶσιν τοῦ σώματος· ἐκ δέ τῶν προειρημένων ἡ κρᾶσις ἀλλοιουμένη, παρέχει τῷ νῷ λογισμούς.

τεσ. ἀνοικ. γ'. Θάνατος μέν ἐστι κυρίως ὁ τοῦ Θεοῦ χωρισμός· κέντρον δέ θανάτου, ἡ ἁμαρτία· ὅ δεξάμενος ὁ Ἀδάμ, ὁμοῦ τοῦ τῆς ζωῆς ξύλου, καί τοῦ παραδείσου καί τοῦ Θεοῦ ἐξόριστος γέγονε· ᾧ

ἐπηκολούθησεν ἐξ ἀνάγκης καί ὁ τοῦ σώματος θάνατος. Ζωή δέ κυρίως ἐστίν ὁ εἰπών· Ἐγώ εἰμι ἡ ζωή, Οὗτος ἐν τῷ θανάτῳ γενόμενος, τόν νεκρωθέντα πάλιν εἰς τήν ζωήν ἐπανήγαγεν.

τεσ. ἀνοικ. δ'. Ὁ λόγος συγγραφόμενος, ἤ πρός τήν ἑαυτοῦ ὑπόμνησιν συγγράφεται, ἤ πρός ὠφέλειαν, ἤ καί ἄμφω, ἤ πρός βλάβην τινῶν, ἤ πρός ἐπίδειξιν, ἤ ἐξ ἀνάγκης.

τεσ. ἀνοικ. ε'. Τόπος ἐστί χλόης ἡ πρακτική ἀρετή· ὕδωρ ἀναπαύσεως, ἡ γνῶσις τῶν γεγονότων.

τεσσ. ἀνοικ. στ'. Σκιά θανάτου ἐστίν ἡ ἀνθρωπίνη ζωή. Εἴ τις οὖν ἐστι μετά τοῦ Θεοῦ, καί ὁ Θεός μετ᾽ αὐτοῦ ἐστιν, οὗτος δύναται εἰπεῖν ἐναργῶς τό, Ἐάν γάρ πορευθῶ ἐν μέσῳ σκιᾶς θάνατου, οὐ φοβηθήσομαι κακά, ὅτι σύ μετ' ἐμοῦ εἶ.

τεσσ. ἀνοικ. ζ'. Νοῦς μέν καθαρός ὀρθά βλέπει τά πράγματα· λόγος δέ γεγυμνασμένος, ὑπ᾽ ὄψιν ἄγει τά ὁραθέντα· ἀκοή δέ λαμπρά ὑποδέχεται αὐτά. Ὁ δέ τῶν τριῶν ἐστερημένος, τόν εἰρηκότα κακίζει.

τεσσ. ἀνοικ. η'. Μετά τοῦ Θεοῦ ἐστιν ὁ τήν ἁγίαν γινώσκων Τριάδα, καί τήν δημιουργίαν αὐτῆς, καί τήν πρόνοιαν· καί τό παθητόν μέρος τῆς ψυχῆς ἀπαθές κεκτημένος.

τεσσ. ἀνοικ. θ'. (1017) Τήν ῥάβδον σημαίνειν φασί τήν κρίσιν τήν τοῦ Θεοῦ· τήν δέ βακτηρίαν, τήν πρόνοιαν. Τοῦ οὖν τῆς τούτων γνώσεως μετειληφότος ἐστί τό λέγειν· Ἡ ῥάβδος σου καί ἡ βακτηρία σου, αὗταί με παρεκάλεσαν.

ρ'. Ὅτε ὁ νοῦς παθῶν γυμνωθῇ, καί τῇ τῶν ὄντων καταλάμπηται θεωρίᾳ, τότε δύναται καί ἐν Θεῷ γενέσθαι, καί ὡς δεῖ προσεύχεσθαι.

***Περί ἀγάπης τρίτη ἑκατοντάς.***

α'. Ἡ μέν εὔλογος τῶν νοημάτων καί τῶν πραγμάτων χρῆσις, σωφροσύνης καί ἀγάπης καί γνώσεώς ἐστι ποιητική· ἡ δέ ἄλογος, ἀκολασίας καί μίσους καί ἀγνοίας.

β'. Ἡτοίμασας ἐνώπιόν μου τράπεζαν, καί τά ἑξῆς. Ἡ τράπεζα ἐνταῦθα σημαίνει τήν πρακτικήν ἀρετήν. Αὕτη γάρ ἐξ ἐναντίας τῶν θλιβομένων ἡμᾶς παρά Χριστοῦ ἡτοιμάσθη. Τό δέ ἔλαιον τό λιπαῖνον τόν νοῦ, τήν θεωρίαν τῶν γεγονότων. Τό δέ ποτήριον τοῦ Θεοῦ, τήν γνῶσιν τήν τοῦ Θεοῦ. Τό δέ ἔλεος αὐτοῦ, τόν Λόγον αὐτοῦ καί Θεόν. Οὗτος γάρ διά τῆς ἐνανθρωπήσεως αὐτοῦ καταδιώκει πάσας τάς ἡμέρας, ἕως οὗ πάντας καταλάβῃ τούς σωθησομένους, ὥσπερ τόν

Παῦλον. Ὁ δέ οἶκος, τήν βασιλείαν, ἐν ᾗ ἀποκαθίστανται πάντες οἱ ἅγιοι. Ἡ δέ μακρότης τῶν ἡμερῶν, τήν αἰώνιον ζωήν.

γ'. Κατά παράχρησιν αἱ κακίαι τῶν τῆς ψυχῆς δυνάμεων ἡμῖν ἐπισυμβαίνουσιν· οἷον, τῆς τε ἐπιθυμητικῆς, καί τῆς θυμοειδοῦς, καί τῆς λογιστικῆς. Καί τῆς μέν λογιστικῆς δυνάμεως παράχρησίς ἐστιν, ἀγνωσία καί ἀφροσύνη· τῆς δέ θυμοειδοῦς καί ἐπιθυμητικῆς, μῖσος καί ἀκολασία. Χρῆσις δέ τούτων, γνῶσις καί φρόνησις, ἀγάπη τε καί σωφροσύνη. Εἰ δέ τοῦτο, οὐδέν τῶν ὑπό Θεοῦ κτισθέντων καί γεγονότων ἐστί κακόν.

δ'. Οὐ τά βρώματα κακά, ἀλλ᾽ ἡ γαστριμαργία· οὐδέ ἡ παιδοποιΐα, ἀλλ᾽ ἡ πορνεία· οὐδέ τά χρήματα, ἀλλ᾽ ἡ φιλαργυρία· οὐδέ ἡ δόξα, ἀλλ᾽ ἡ κενοδοξία. Εἰ δέ τοῦτο, οὐδέν ἐν τοῖς οὖσι κακόν, εἰ μή ἡ παράχρησις, ἥτις συμβαίνει ἐκ τῆς τοῦ νοῦ ἀμελείας περί τήν φυσικήν γεωργίαν.

ε'. Τό ἐν δαίμοσι κακόν ταῦτα εἶναί φησιν ὁ μακάριος Διονύσιος, θυμόν ἄλογον, ἄνουν ἐπιθυμίαν, φαντασίαν προπετῆ. Ἀλογία δέ καί ἄνοια καί προπέτεια ἐπί τῶν λογικῶν στερήσεις εἰσί λόγου καί νοῦ καί περισκέψεως. Αἱ δέ στερήσεις, τῶν ἕξεών εἰσι δεύτεραι. Ἆρα οὖν ἦν ὅτε ὑπῆρχεν ἐν αὐτοῖς λόγος καί νοῦς καί περίσκεψις εὐλαβής. (1020) Εἰ δέ τοῦτο οὐδέ οἱ δαίμονες φύσει κακοί· ἀλλ᾽ ἐκ παραχρήσεως τῶν φυσικῶν δυνάμεων κακοί γεγόνασι.

στ'. Τά μέν τῶν παθῶν, ἀκολασίας· τά δέ, μίσους· τά δέ, καί ἀκολασίας καί μίσους εἰσί ποιητικά.

ζ'. Πολυφαγία καί ἡδυφαγία, ἀκολασίας εἰσίν αἴτια [Fr. αἴτιαι]· φιλαργυρία δέ καί κενοδοξία, μίσους πρός τόν πλησίον. Ἡ δέ τούτων μήτηρ φιλαυτία τῶν ἀμφοτέρων ἐστίν αἰτία.

η'. Φιλαυτία ἐστίν ἡ πρός τό σῶμα ἐμπαθής καί ἄλογος φιλία· ᾗ ἀντίκειται ἀγάπη καί ἐγκράτεια. Ὁ ἔχων τήν φιλαυτίαν, δῆλον ὅτι ἔχει πάντα τά πάθη.

θ'. Οὐδείς, φησίν Ἀπόστολος, τήν ἑαυτοῦ σάρκα ἐμίσησεν· ἀλλ᾽ ὑποπιάζει δηλονότι καί δουλαγωγεῖ, μηδέν πλέον αὐτῇ παρέχων, πλήν διά τροφῆς καί σκεπασμάτων· καί τούτων μόνων, τῶν πρός τό ζῆν ἀναγκαίων. Οὕτως οὖν ἀπαθῶς τις ἀγαπᾷ αὐτήν· καί ὡς ὑπηρέτιν τῶν θείων ἐκτρέφει αὐτήν, καί θάλπει τοῖς τήν ἔνδειαν αὐτῆς ἀποπληροῦσι μόνοις.

ι'. Ὅν τις ἀγαπᾷ, τοῦτον πάντως καί σπεύδει θεραπεύειν. Εἰ οὖν τόν Θεόν τις ἀγαπᾷ, πάντως καί τά ἀρεστά αὐτῷ σπεύδει ποιεῖν· εἰ δέ τήν σάρκα, τά ταύτην τέρποντα ἐκτελεῖν.

ια'. Τῷ μέν Θεῷ ἀρέσκει ἀγάπη καί σωφροσύνη, καί θεωρία καί προσευχή· τῇ δέ σαρκί, γαστριμαργία καί ἀκολασία, καί τά τούτων αὐξητικά. Διά τοῦτο, Οἱ ἐν σαρκί ὄντες, Θεῷ ἀρέσαι οὐ δύνανται. Οἱ δέ τοῦ Χριστοῦ, τήν σάρκα ἐσταύρωσαν σύν τοῖς παθήμασι καί ταῖς ἐπιθυμίαις.

ιβ'. Ὁ νοῦς ἐάν μέν νεύσῃ πρός Θεόν, ἔχει δοῦλον τό σῶμα, καί πλέον οὐδέν αὐτῷ παρέχει τῶν πρός τό ζῆν ἀναγκαίων· ἐάν δέ νεύσῃ πρός τήν σάρκα, δουλοῦται τοῖς πάθεσι, πρόνοιαν αὐτῆς ἀεί εἰς ἐπιθυμίας ποιούμενος.

ιγ'. Εἰ θέλεις τῶν λογισμῶν περιγίνεσθαι, ἐπιμελοῦ τῶν παθῶν, καί εὐχερῶς αὐτούς ἐκ τοῦ νοῦ ἀπό τούτων ἐξελαύνεις [Fr.ἐκ τοῦ νοῦ ἀπελαύνεις]. Οἷον, ἐπί μέν τῆς πορνείας, νήστευε, ἀγρύπνει, κοπίασον, ἰδίασον. Ἐπί δέ τῆς ὀργῆς καί τῆς λύπης, καταφρόνει δόξης καί ἀτιμίας καί τῶν ὑλικῶν πραγμάτων. Ἐπί δέ τῆς μνησικακίας, προσεύχου ὑπέρ τοῦ λυπήσαντος, καί ἀπαλλάττῃ.

ιδ'. Μή τῶν ἀνθρώπων τοῖς ἀσθενεστέροις ἑαυτόν παραμέτρει, ἀλλά τῇ ἐντολῇ τῆς ἀγάπης μᾶλλον παράτεινον. Τοῖς μέν γάρ παραμετρῶν, εἰς τόν βόθρον τῆς οἰήσεως ἐμπίπτεις· τῇ δέ παρατείνων, εἰς τό ὕψος τῆς ταπεινοφροσύνης προκόπτεις.

ιε'. Εἰ ὅλως τῆς πρός τόν πλησίον ἀγάπης τήν ἐντολήν (1021) φυλάττεις, ὑπέρ τίνος τῆς πρός αὐτόν λύπης τήν πικρίαν ἐντίκτεις, ἤ δῆλον ὅτι ταύτης τά πρόσκαιρα προτιμῶν καί αὐτῶν ἀντιποιούμενος, τόν ἀδελφόν πολεμεῖς;

ιστ'. Οὐ διά τήν χρείαν τοσοῦτον τό χρυσίον ζηλωτόν τοῖς ἀνθρώποις γέγονεν, ὅσον τό δι᾽ αὐτοῦ τούς πολλούς τάς ἡδονάς θεραπεύειν.

ιζ'. Τρία εἰσί τά αἴτια τῆς τῶν χρημάτων ἀγάπης, φιληδονία, κενοδοξία καί ἀπιστία. Χαλεπωτέρα δέ τῶν δύο ἡ ἀπιστία καθέστηκεν.

ιη'. Ὁ μέν φιλήδονος ἀγαπᾷ ἀργύριον, ἵνα δι᾽ αὐτῦ τρυφήσῃ· ὁ δέ κενόδοξος, ἵνα δι᾽ αὐτοῦ δοξασθῇ· ὁ δέ ἄπιστος, ἵνα κρύψῃ καί φυλάξῃ, λιμόν φοβούμενος, ἤ γῆρας ἤ νόσον ἤ ξενιτείαν· καί ἐπ᾽ αὐτῷ μᾶλλον ἐλπίζει, ἤ ἐπί τῷ Θεῷ τῷ πάσης κτίσεως δημιουργῷ, καί προνοητῇ, ἕως τῶν ἐσχάτων καί μικροτάτων ζώων.

ιθ'. Τέσσαρές εἰσιν οἱ περιποιούμενοι χρήματα· οἱ προειρημένοι τρεῖς, καί ὁ οἰκονομικός. Μόνος δέ οὗτος δηλονότι ὀρθῶς περιποιεῖται, ἵνα ἑκάστῳ τήν χρείαν παρέχων μή διαλείπῃ ποτέ.

κ'. Πάντες οἱ ἐμπαθεῖς λογισμοί ἤ τό ἐπιθυμητικόν τῆς ψυχῆς ἐρεθίζουσιν, ἤ τό θυμικόν ἐκταράσσουσιν, ἤ τό λογιστικόν ἐπισκοτίζουσι· καί ἐκ τούτου συμβαίνει τόν νοῦν ὀφθαλμιάσαι πρός τήν πνευματικήν θεωρίαν, καί τήν τῆς προσευχῆς ἐκδημίαν. Καί τούτου χάριν ὀφείλει ὁ μοναχός, καί μάλιστα ὁ ἡσυχάζων, ἀκριβῶς τοῖς λογισμοῖς προσέχειν, καί τάς τούτων αἰτίας καί γνῶναι καί ἐκκόπτειν. Γινώσκειν δέ οὕτως· οἷον, ἐρεθίζουσι τό ἐπιθυμητικόν τῆς ψυχῆς αἱ ἐμπαθεῖς μνῆμαι τῶν γυναικῶν· τούτων δέ αἰτία, ἡ τῶν βρωμάτων καί πομάτων ἀκρασία, καί ἡ αὐτῶν τῶν γυναικῶν πυκνή καί ἄλογος συντυχία. Περικόπτει δέ ταύτας πεῖνα καί δίψα καί ἀγρυπνία καί ἀναχώρησις. Τόν δέ θυμόν πάλιν ἐκταράσσουσιν αἱ ἐμπαθεῖς μνῆμαι τῶν λυπησάντων· αἰτία δέ τούτων, φιληδονία καί κενοδοξία καί φιλοϋλία. Διά γάρ ταῦτα ὁ ἐμπαθής λυπεῖται, ἤ ὡς στερηθείς, ἤ ὡς μή ἐπιτυχών. Περικόπτει δέ ταύτας ἡ τούτων αὐτῶν καταφρόνησις καί ἐξουδένωσις, διά τήν εἰς Θεόν ἀγάπην.

κα'. Γινώσκει ὁ Θεός ἑαυτόν, γινώσκει καί τά ὑπ᾿ αὐτοῦ γεγονότα. Γινώσκουσι δέ καί αἱ ἅγιαι Δυνάμεις τόν Θεόν· γινώσκουσι δέ καί τά ὑπό Θεοῦ γεγονότα. Ἀλλ' οὐχ ὡς ὁ Θεός γινώσκει ἑαυτόν καί τά ὑπ᾿ αὐτοῦ γεγονότα, οὕτω καί αἱ ἅγιαι Δυνάμεις τόν Θεόν καί τά ὑπ᾿ αὐτοῦ γεγονότα.

(1024) κβ'. Ὁ μέν Θεός ἑαυτόν γινώσκει, ἐκ τῆς μακαρίας οὐσίας αὐτοῦ· τά δέ ὑπ᾿ αὐτοῦ γεγονότα, ἐκ τῆς σοφίας αὐτοῦ· δι᾿ ἧς καί ἐν ᾗ τά πάντα ἐποίησεν. Αἱ δέ ἅγιαι Δυνάμεις τόν μέν Θεόν μετοχῇ γινώσκουσιν, ὑπέρ μετοχήν ὄντα· τά δέ ὑπ᾿ αὐτοῦ γεγονότα, ἀναλήψει τῶν ἐν αὐτοῖς θεωρημάτων.

κγ'. Ἔξω μέν τοῦ νοῦ εἰσι τά γεγονότα· ἔνδον δέ τήν αὐτῶν θεωρίαν ἀναλαμβάνει. Οὐχ οὕτως δέ ἐπί Θεοῦ τοῦ ἀϊδίου καί ἀπείρου καί ἀορίστου, καί τό εἶναι καί εὖ εἶναι καί ἀεί εἶναι τοῖς οὖσι χαρισαμένου.

κδ'. Θεοῦ μετέχει τοῦ ἁγίου ἡ λογιστική καί νοερά οὐσία, αὐτῷ τε τῷ εἶναι, καί τῇ πρός τό εὖ εἶναι ἐπιτηδειότητι· ἀγαθότητός τέ φημι, καί σοφίας· καί τῇ πρός τό ἀεί εἶναι χάριτι. Ταύτῃ οὖν τόν Θεόν γινώσκει. Τά δέ ὑπ᾿ αὐτοῦ γεγονότα, τῇ ἀναλήψει, ὡς εἴρηται, τῆς ἐν

τοῖς γεγονόσι θεωρουμένης τεχνικῆς σοφίας· ἥτις ἐστί ψιλή καί ἀνυπόστατος ἐν τῷ νῷ συνισταμένη.

κε'. Τέσσαρα τῶν θείων ἰδιωμάτων, συνεκτικά καί φρουρητικά καί διασωστικά τῶν ὄντων, δι᾽ ἄκραν ἀγαθότητα ἐκοινοποίησεν ὁ Θεός, παραγαγών εἰς τό εἶναι τήν λογικήν καί νοεράν οὐσίαν· τό ὄν, τό ἀεί ὄν, τήν ἀγαθότητα καί σοφίαν. Τούτων τά μέν δύο τῇ οὐσίᾳ παρέσχε· τά δέ δύο, τῇ γνωμικῇ ἐπιτηδειότητι· τήν ἀγαθότητα καί τήν σοφίαν· ἵνα ἅπερ ἐστίν αὐτός κατ᾽ οὐσίαν, γίνηται ἡ κτίσις κατά μετουσίαν. Διά ταύτην [Calecas ταῦτα], καί κατ᾽ εἰκόνα καί ὁμοίωσιν Θεοῦ λέγεται γεγενῆσθαι. Καί κατ᾽ εἰκόνα μέν, ὡς ὄν, ὄντος· καί ὡς ἀεί ὄν, ἀεί ὄντος· εἰ καί μή ἀνάρχως, ἀλλ᾽ ἀτελευτήτως· καθ᾽ ὁμοίωσιν δέ, ὡς ἀγαθός, ἀγαθοῦ· καί ὡς σοφός, σοφοῦ· τοῦ κατά φύσιν, ὁ κατά χάριν. Καί κατ᾽ εἰκόνα μέν, πᾶσα φύσις λογική ἐστι τοῦ Θεοῦ· καθ᾽ ὁμοίωσιν δέ, μόνοι οἱ ἀγαθοί καί σοφοί.

Πᾶσα ἡ λογική καί νοερά οὐσία διῄρηται εἰς δύο· τουτέστιν, εἰς τήν ἀγγελικήν καί τήν ἀνθρωπίνην φύσιν. Καί πᾶσα ἡ ἀγγελική φύσις διῄρηται πάλιν εἰς δύο καθολικάς γνώμας τε καί ἀγέλας, ἁγίας τε καί ἐναγεῖς· τουτέστιν, εἰς ἁγίας Δυνάμεις καί ἀκαθάρτους δαίμονας. Καί πᾶσα ἡ ἀνθρωπίνη διῄρηται εἰς γνώμας μόνον καθολικάς δύο, εὐσεβεῖς λέγω καί ἀσεβεῖς.

(1025) κζ'. Ὁ μέν Θεός ὡς αὐτοΰπαρξις ὤν καί αὐτοαγαθότης καί αὐτοσοφία· μᾶλλον δέ ἀληθέστερον εἰπεῖν, καί ὑπέρ ταῦτα πάντα, οὐδέν ἔχει τό σύνολον ἐναντίον. Τά δέ κτίσματα, ὡς πάντα μέν μεθέξει καί χάριτι τήν ὕπαρξιν ἔχοντα· τά δέ λογικά καί νοερά, καί τήν ἀγαθότητος καί σοφίας ἐπιτηδειότητα, ἔχει ἐναντίον· τῇ μέν ὑπάρξει, τό μή ὑπάρχειν· τῇ δέ τῆς ἀγαθότητος καί σοφίας ἐπιτηδειότητι, κακίαν καί ἀγνωσίαν. Καί τό μέν ὑπάρχειν ἀεί ἤ μή ὑπάρχειν ταῦτα [Fr. τά λογικά καί νοερά], ἐν τῇ ἐξουσίᾳ τοῦ πεποιηκότος ἐστί· τό δέ μετέχειν τῆς ἀγαθότητος αὐτοῦ καί τῆς σοφίας ἤ μή μετέχειν, ἐν τῇ βουλήσει τῶν λογικῶν ὑπάρχει.

κη'. Οἱ μέν Ἕλληνες ἐξ ἀϊδίου λέγοντες συνυπάρχειν τῷ Θεῷ τήν τῶν ὄντων οὐσίαν, τάς δέ περί αὐτήν ποιότητας μόνον ἐξ αὐτοῦ ἐσχηκέναι· τῇ μέν οὐσίᾳ, οὐδέν λέγουσιν ἐναντίον· ἐν δέ ταῖς ποιότησι μόναις, τήν ἐναντίωσιν εἶναι. Ἡμεῖς δέ μόνην λέγομεν τήν θείαν οὐσίαν μέ ἔχειν τι ἐναντίον, ὡς ἀΐδιόν τε οὖσαν καί ἄπειρον, καί ἀϊδιότητος ἀλλήλαις χαριστικήν· τῇ δέ τῶν ὄντων οὐσίᾳ, εἶναι μέν τό μή ὄν ἐναντίον· καί ἐν τῇ ἐξουσίᾳ τοῦ κυρίως ὄντος ὑπάρχειν, τό ἀεί

εἶναι αὐτήν ἤ μή εἶναι, ἀμεταμέλητα δέ εἶναι τά χαρίσματα αὐτοῦ. Καί διά τοῦτο, καί ἔστιν ἀεί, καί ἔσται τῇ παντοκρατορικῇ δυνάμει διακρατουμένη, εἰ καί ἔχει τό μή ὄν ἐναντίον, ὡς εἴρηται, ὡς ἐκ μή ὄντος εἰς τό εἶναι παραχθεῖσα, καί ἐν τῇ βουλήσει αὐτοῦ ἔχουσα τό εἶναι αὐτήν ἤ μή εἶναι.

κθ'. Ὥσπερ τό κακόν στέρησίς ἐστιν ἀγαθοῦ, καί ἡ ἀγνωσία στέρησίς ἐστι

γνώσεως· οὕτω καί τό μή ὄν στέρησίς ἐστι τοῦ ὄντος· οὐ τοῦ κυρίως δέ ὄντος· οὐκ ἔχει γάρ ἐναντίον· ἀλλά τοῦ κατά μέθεξιν τοῦ κυρίως ὄντος. Καί αἱ μέν τῶν προτέρων στερήσεις τῇ γνώμῃ τῶν γεγονότων ἕπονται· ἡ δέ τοῦ δευτέρου ἐν τῇ βουλήσει τοῦ πεποιηκότος ὑπάρχεται· τοῦ ἀεί δι᾽ ἀγαθότητα βουλομένου εἶναι τά ὄντα, καί ἀεί ὑπ᾽ αὐτοῦ εὐεργετεῖσθαι.

λ'. Πάντα τά γεγονότα, τά μέν εἰσι λογικά καί νοερά, καί τῶν ἐναντίων δεκτικά· οἷον, ἀρετῆς καί κακίας, καί γνώσεως καί ἀγνωσίας· τά δέ σώματα διάφορα, ἐκ τῶν ἐναντίων συνεστῶτα· τουτέστι, γῆς, (1028) ἀέρος, πυρός, ὕδατος· καί τά μέν εἰσι ἀσώματα πάντη καί ἄϋλα, εἰ καί τινα τούτων συνέζευκται σώμασι· τά δέ ἐξ ὕλης καί εἴδους μόνον ἔχει τήν σύστασιν.

λα'. Πάντα τά σώματα, κατά φύσιν ἐστίν ἀκίνητα· κινεῖται δέ ὑπό τῆς ψυχῆς· τά μέν, λογικῆς· τά δέ, ἀλόγου· τά δέ ἀναισθήτου.

λβ'. Τῶν ψυχικῶν δυνάμεων ἡ μέν ἐστι θρεπτική καί αὐξητική· ἡ δέ φανταστική καί ὁρμητική· ἡ δέ λογιστική καί νοητική. Καί τῆς μέν πρώτης μόνης μετέχουσι τά φυτά· τῆς δέ δευτέρας πρός ταύτῃ τά ἄλογα ζῶα· τῆς δέ τρίτης πρός ταῖς δυσίν, οἱ ἄνθρωποι. Καί αἱ μέν δύο δυνάμεις, φθαρταί· ἡ δέ τρίτη, ἄφθαρτος καί ἀθάνατος ἀποδείκνυται.

λγ'. Ἀλλήλαις μεταδιδοῦσαι φωτισμοῦ αἱ ἅγιαι Δυνάμεις· καί τῇ ἀνθρωπίνῃ φύσει, ἤ τῆς αὐτῶν ἀρετῆς μεταδιδόασιν, ἤ τῆς ἐν αὐταῖς γνώσεως. Καί ἀρετῆς μέν, οἷον θεομιμήτου ἀγαθότητος, καθ᾽ ἥν καί ἑαυτάς, καί ἀλλήλας, καί τάς ὑποβεβηκυίας εὐεργετοῦσι, θεοειδεῖς ἀργαζόμεναι· γνώσεως δέ, ἤ περί Θεοῦ τι ὑψηλότερον· Σύ γάρ, φησίν, Ὕψιστος εἰς τόν αἰῶνα, Κύριε· ἤ περί σωμάτων, βαθύτερον· ἤ περί ἀσωμάτων, ἀκριβέσερον· ἤ περί προνοίας, τρανότερον· ἤ περί κρίσεως, σαφέστερον.

λδ'. Νοός ἐστι ἀκαθαρσία, πρῶτον μέν, τό γνῶσιν ἔχειν ψευδῆ· δεύτερον δέ, τό ἀγνοεῖν τι τῶν καθόλου· ὡς πρός ἀνθρώπινον νοῦν λέγω· ἀγγέλου γάρ ἐστι το μηδέν τῶν ἐπί μέρους ἀγνοεῖν· τρίτον δέ, τό

ἐμπαθεῖς ἔχειν λογισμούς· τέταρτον δέ, τό συγκατατίθεσθαι τῇ ἁμαρτίᾳ.

λε'. Ψυχῆς ἐστιν ἀκαθαρσία, τό μή ἐνεργεῖν κατά φύσιν. Ἐκ τούτου γάρ τίκτονται τῷ νῷ οἱ ἐμπαθεῖς λογισμοί. Τότε γάρ κατά φύσιν ἐνεργεῖ, ὅταν αἱ παθητικαί αὐτῆς δυνάμεις· ὁ θυμός λέγω καί ἡ ἐπιθυμία, ἐν τῇ τῶν πραγμάτων καί τῶν ἐν αὐτοῖς νοημάτων προβολῇ, ἀπαθεῖς διαμείνωσι.

λστ'. Σώματός ἐστιν ἀκαθαρσία, ἡ κατ᾽ ἐνέργειαν ἁμαρτία.

λζ'. Ἀγαπᾷ ἡσυχίαν ὁ πάσχων πρός τά τοῦ κόσμου· καί ἀγαπᾷ πάντας ἀνθρώπους, ὁ μηδέν ἀγαπῶν ἀνθρώπινον· καί γνῶσιν ἔχει Θεοῦ καί τῶν θείων, ὁ μή σκανδαλιζόμενος εἴς τινας, εἴτε διά παραπτώματα, εἴτε διά λογισμούς ἐξ ὑπονοίας.

λη'. Μέγα μέν τό μή πάσχειν πρός τά πράγματα· μεῖζον δέ τούτου πολλῷ, τό πρός τά τούτων νοήματα ἀπαθῆ διαμεῖναι.

λθ'. Ἀγάπη καί ἐγκράτεια ἀπαθῆ τόν νοῦν διατηροῦσι πρός τε τά πράγματα, καί πρός τά τούτων νοήματα.

μ'. Οὐ πρός τά πράγματα ὁ νοῦς πολεμεῖ τοῦ θεοφιλοῦς, (1029) οὐδέ πρός τά τούτων νοήματα· ἀλλά πρός τά πάθη τά τοῖς νοήμασι συνεζευμένα. Οἷον, οὐ πρός τήν γυναῖκα πολεμεῖ, οὐδέ πρός τόν λυπήσαντα, οὐδέ πρός τάς τούτων φαντασίας· ἀλλά πρός τά πάθη τά ταῖς φαντασίαις συνεζευγμένα.

μα'. Ἅπας ὁ πόλεμος τοῦ μοναχοῦ πρός τούς δαίμονας, ἵνα τά πάθη τῶν νοημάτων χωρίσῃ. Ἄλλως γάρ ἀπαθῶς τά πράγματα βλέπειν οὐ δύναται.

μβ'. Ἄλλο ἐστί πρᾶγμα, καί ἄλλο νόημα, καί ἄλλο πάθος. Καί πρᾶγμα μέν ἐστιν, οἷον, ἀνήρ, γυνή, χρυσός, καί τά ἑξῆς. Νόημα δέ, οἷον, μνήμη ψιλή τινος τῶν προειρημένων. Πάθος δέ, οἷον, φιλία ἄλογος, ἤ μῖσος ἄκριτόν τινος τῶν προειρημένων. Πρός οὖν τό πάθος ἐστί τοῦ μοναχοῦ ἡ μάχη.

μγ'. Νόημά ἐστι ἐμπαθές, λογισμός σύνθετος ἀπό πάθους καί νοήματος. Χωρίσωμεν τό πάθος ἀπό τοῦ νοήματος, καί ἀπομένει ὁ λογισμός ψιλός. Χωρίζομεν δέ δι᾽ ἀγάπης πνευματικῆς καί ἐγκρατείας, ἐάν θέλωμεν.

μδ'. Αἱ μέν ἀρεταί, τῶν παθῶν τόν νοῦν χωρίζουσι· αἱ δέ πνευματικαί θεωρίαι, τῶν ψιλῶν νοημάτων· ἡ δέ καθαρά προσευχή αὐτῷ αὐτόν παρίστησιν τῷ Θεῷ.

με'. Αἱ μέν ἀρεταί, διά τήν γνῶσιν τῶν γεγονότων· ἡ δέ γνῶσις, διά τόν γινώσκοντα· ὁ δέ γινώσκων, διά τόν ἀγνώστως γινωσκόμενον, καί ὑπέρ γνῶσιν γινώσκοντα.

μστ'. Οὐχ ὡς προσδεόμενός τινος ὁ ὑπερπλήρης Θεός, παρήγαγεν εἰς τό εἶναι τά γεγονότα· ἀλλ᾽ ἵνα αὐτά μέν αὐτοῦ ἀναλόγως μετέχοντα ἀπολαύῃ, [Fr. ἀπολαύσῃ] αὐτός δέ εὐφρανθῇ ἐπί τοῖς ἔργοις αὐτοῦ ὁρῶν αὐτά εὐφραινόμενα, καί τόν ἀκόρεστον ἀκορέστως ἀεί κορεννύμενα.

μζ'. Πολλούς ἔχει ὁ κόσμος πτωχούς τῷ πνεύματι, ἀλλά παρά τό προσῆκον. Καί πολλούς πενθοῦντας, ἀλλά διά ζημίας χρημάτων, ἤ ἀποβολάς τέκνων. Καί πολλούς πραεῖς, ἀλλά πρός τά ἀκάθαρτα πάθη. Καί πολλούς πεινῶντας καί διψῶντας, ἀλλά τό ἁρπάζειν τά ἀλλότρια, καί κερδαίνειν ἐξ ἀδικίας. Καί πολλούς ἐλεήμονας, ἀλλά πρός τό σῶμα καί τά τοῦ σώματος. Καί καθαρούς τῇ καρδίᾳ, ἀλλά διά κενοδοξίαν. Καί εἰρηνοποιούς, ἀλλά τήν ψυχήν τῇ σαρκί ὑποτάσσοντας. Καί πολλούς ὀνειδιζομένους, ἀλλ᾽ ἐπ᾽ αἰσχροῖς ἁμαρτήμασι· ἀλλ᾽ ἐκεῖνοι μόνοι μακάριοι, (1032) οἱ διά Χριστόν καί κατά Χριστόν ταῦτα καί ποιοῦντες καί πάσχοντες. Διατί; Ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν· καί, Αὐτοί τόν Θεόν ὄψονται, καί τά ἑξῆς. Ὥστε, οὐχ ὅτι ποιοῦσι ταῦτα καί πάσχουσι, εἰσί μακάριοι· ἀλλ᾽ ὅτι διά Χριστόν καί κατά Χριστόν ταῦτα καί ποιοῦσι καί πάσχουσι.

μη'. Ἐν πᾶσι τοῦ ὑφ᾽ ἡμῶν πραττομένοις, ὁ σκοπός ζητεῖται παρά Θεῷ, ὡς πολλάκις εἴρηται· εἴτε δι᾽ αὐτόν, εἴτε δι᾽ ἄλλο τι πράττομεν. Ὅταν οὖν τι θέλωμεν πρᾶξαι ἀγαθόν, μή τήν ἀνθρωπαρέσκειαν, ἀλλά τόν Θεόν σχῶμεν σκοπόν· ἵνα εἰς αὐτόν ἀεί ἀποβλεπόμενοι, δι᾽ αὐτόν πάντα πράξωμεν· ἵνα μή καί τόν τόπον ὑπομένωμεν, καί τόν μισθόν ἀπολέσωμεν.

μθ'. Καί τά ψιλά τῶν ἀνθρωπίνων πραγμάτων νοήματα, καί τά πάντων τῶν γεγονότων θεωρήματα, ἀπόβαλε τοῦ νοός ἐν τῷ καιρῷ τῆς προσευχῆς· ἵνα μή τά ἥττονα φανταζόμενος, τοῦ πάντων τῶν ὄντων ἀσυγκρίτως κρείττονος ἐκπέσῃς.

ν'. Ἐάν τόν Θεόν γνησίως ἀγαπήσωμεν, δι᾽ αὐτῆς τῆς ἀγάπης τά πάθη ἀποβάλλομεν. Ἡ δέ εἰς αὐτόν ἀγάπη ἐστί, τό προτιμᾷν αὐτόν τοῦ κόσμου, καί τήν ψυχήν τῆς σαρκός· ἐν τῷ τῶν κοσμικῶν μέν καταφρονεῖν πραγμάτων, αὐτῷ δέ σχολάζειν διά παντός, διά τε ἐγκρατείας καί ἀγάπης καί προσευχῆς καί ψαλμῳδίας, καί τῶν ἑξῆς.

να'. Ἐάν σχολάζοντες τῷ Θεῷ χρόνῳ πολλῷ, τοῦ παθητικοῦ μέρους τῆς ψυχῆς ἐπιμελώμεθα, οὐκ ἔτι πρός τάς τῶν λογισμῶν προσβολάς ἐξοκείλομεν· ἀλλά καί ἀκριβέστερον τάς τούτων αἰτίας κατανοοῦντες και ἐκκόπτοντες, διορατικώτεροι γινόμεθα· ὥστε πληρωθῆναι εἰς ἡμᾶς τό, Καί ἐπεῖδεν ὁ ὀφθαλμός μου ἐν τοῖς ἐχθροῖς μου· και ἐν τοῖς ἐπανισταμένοις ἐπ᾽ ἐμέ πονηρευομένοις, ἀκούσεται τό οὖς μου.

νβ'. Ὅταν βλέπης τόν νοῦν σου εὐσεβῶς καί δικαίως ἀναστρεφόμενον ἐν τοῖς τοῦ κόσμου νοήμασι, γίνωσκε καί τό σῶμα σου καθαρόν καί ἀναμάρτητον διαμένειν· ὅταν δέ τόν νοῦν βλέπῃς κατά διάνοιαν ἁμαρτίαις σχολάζοντα, καί μή ἀνακόπτῃς, γίνωσκε καί τό σῶμά σου μή πολυχρονίζειν τοῦ τοῖς αὐτοῖς περιπεσεῖν.

νγ'. Ὥσπερ τό σῶμα ἔχει κόσμον τά πράγματα, οὕτω καί ὁ νοῦς ἔχει κόσμον τά νοήματα· καί ὥσπερ τό σῶμα πορνεύεται μετά τοῦ σώματος τῆς γυναικός, οὕτω καί ὁ νοῦς πορνεύει μετά τοῦ νοήματος τῆς γυναικός, διά τῆς φαντασίας τοῦ ἰδίου σώματος. Τήν γάρ μορφήν τοῦ ἰδίου σώματος βλέπει μιγνυμένην μετά τῆς μορφῆς τῆς γυναικός κατά διάνοιαν. Ὡσαύτως καί τήν μορφήν τοῦ λυπήσαντος ἀμύνεται κατά διάνοιαν, διά τῆς μορφῆς τοῦ ἰδίου σώματος. Καί ἐπί τῶν ἄλλων ἁμαρτημάτων ὁμοίως. Ἅπερ γάρ πράττει τό σῶμα κατ᾽ ἐνέργειαν εἰς τόν κόσμον τῶν πραγμάτων, ταῦτα πράττει καί ὁ νοῦς εἰς τόν κόσμον τῶν νοημάτων.

(1033) νδ'. Οὐκ ἔστι φρίξαι καί ἐκπλαγῆναι καί ἐκστῆναι τῇ διανοίᾳ, ὅτι ὁ μέν Θεός καί Πατήρ κρίνει οὐδένα, πᾶσαν δέ τήν κρίσιν δέδωκε τῷ Υἱῷ· ὁ δέ Υἱός κράζει· Μή κρίνετε, ἵνα μή κριθῆτε· Μή καταδικάζετε, ἵνα μή καταδικασθῆτε. Ὁ δέ Ἀπόστολος ὁμοίως· Μή πρό καιροῦ τι κρίνετε, ἕως ἄν ἔλθῃ ὁ Κύριος· καί, Ἐν ᾧ κρίματι κρίνεις τόν ἕτερον, σεαυτόν κατακρίνεις· οἱ δέ ἄνθρωποι ἀφέντες τό κλαίειν τάς ἑαυτῶν ἁμαρτίας, ἦραν τήν κρίσιν ἀπό τοῦ Υἱοῦ, καί αὐτοί ὡς ἀναμάρτητοι, κρίνουσι καί καταδικάζουσι ἀλλήλους; Καί ὁ μέν οὐρανός ἐξέστη ἐπί τούτῳ· ἡ δέ γῆ, ἔφριξεν· αὐτοί δέ οὐκ αἰσχύνονται ἀναισθητοῦντες.

νε'. Ὁ τάς τῶν ἄλλων ἁμαρτίας περιεργαζόμενος, ἤ καί ἐξ ὑπονοίας τόν ἀδελφόν κρίνων, οὔπω ἔβαλεν ἀρχήν μετανοίας, οὐδέ ἐρευνᾷν τοῦ γνῶναι [Fr. καί γνῶναι] τάς ἑαυτοῦ ἁμαρτίας, ἐν ἀληθείᾳ βαρυτέρας οὔσας μολίβδου πολυταλάντου· οὐδέ ἔγνω πόθεν γίνεται ἄνθρωπος βαρυκάρδιος ἀγαπῶν ματαιότητα καί ζητῶν ψεῦδος. Διά

τοῦτο ὡς ἄφρων καί ἐν σκότει διαπορευόμενος, ἀφείς τάς ἑαυτοῦ ἁμαρτίας, τάς τῶν ἄλλων φαντάζεται, ἤ οὔσας, ἤ νομιζομένας ἐξ ὑπονοίας.

νστ'. Ἡ φιλαυτία, ὡς πολλάκις εἴρηται, πάντων τῶν ἐμπαθῶν λογισμῶν αἰτία καθίσταται. Ἐκ γάρ ταύτης γεννῶνται οἱ τρεῖς γενικώτατοι τῆς ἐπιθυμίας λογισμοί· ὁ τῆς γαστριμαργίας, καί τῆς φιλαργυρίας καί τῆς κενοδοξίας. Ἐκ δέ τῆς γαστριμαργίας γεννᾶται ὁ τῆς πορνείας· ἐκ δέ τῆς φιλαργυρίας, ὁ τῆς πλενονεξίας· ἐκ δέ τῆς κενοδοξίας, ὁ τῆς ὑπερηφανείας. Οἱ δέ λοιποί πάντες, ἑκάστῳ τῶν τριῶν ἀκολουθοῦσιν· ὅ τε τῆς ὀργῆς, καί ὁ τῆς λύπης καί ὁ τῆς μνησικακίας καί ὁ τῆς ἀκηδίας καί φθόνου καί καταλαλιᾶς, καί οἱ λοιποί. Ταῦτα οὖν τά πάθη, συνδεσμοῦσι τόν νοῦν τοῖς ὑλικοῖς πράγμασι, καί κατέχουσιν αὐτόν εἰς τήν γῆν, λίθου δίκην βαρυτάτου αὐτῷ ἐπικείμενα· φύσει ὄντα αὐτόν πυρός κουφότερον καί ὀξύτερον.

νζ'. Ἀρχή μέν πάντων τῶν παθῶν, ἡ φιλαυτία· τέλος δέ, ἡ ὑπερηφανία. Φιλαυτία δέ ἐστιν, ἡ πρός τό σῶμα ἄλογος φιλία. Ὁ ταύτην ἐκκόψας, συνέκοψε πάντα τά πάθη τά ἐξ αὐτῆς.

νη'. Ὥσπερ οἱ γονεῖς τῶν σωμάτων, προσπάσχουσι τοῖς ἐξ αὐτῶν γεννωμένοις· οὕτω καί ὁ νοῦς, φυσικῶς τοῖς ἑαυτοῦ πρόσκειται λόγοις. Καί ὥσπερ ((1036) τοῖς ἐκείνων ἐμπαθεστέροις, κἄν πάντως κατά πάντα ὦσιν οἱ παῖδες καταγελαστότατοι, πάντων φαίνονται ἐπιεικέστατοι καί εὐμορφότατοι· οὕτω καί τῷ ἄφρονι νῷ, οἱ αὐτοῦ λόγοι, κἄν πάντων ὦσι μοχθηρότεροι, πάντων φαίνονται φρονιμώτεροι. Τῷ δέ σοφῷ, οὐχ οὕτως οἱ ἑαυτοῦ λόγοι· ἀλλ᾿ ὅταν δόξῃ πληροφορεῖσθαι ὅτι ἀληθεῖς εἰσι καί καλοί, τότε μάλιστα οὐ πιστεύει τῇ ἑαυτοῦ κρίσει· ἀλλ᾿ ἄλλους σοφούς τῶν ἑαυτοῦ λόγων καί λογισμῶν κριτάς καθίστησι, μή εἰς κενόν τρέχῃ ἤ ἔδραμε· καί δι᾿ αὐτῶν, τήν βεβαίωσιν λαμβάνει.

νθ'. Ὅταν τινά νικήσῃς τῶν ἀτιμοτέρων παθῶν, οἷον, ἤ γαστριμαργίαν, ἤ πορνείαν, ἤ ὀργήν, ἤ πλεονεξίαν, εὐθύς ἐφίπταται ἐπί σέ ὁ τῆς κενοδοξίας λογισμός· ἐάν δέ τοῦτον νικήσῃς, ὁ τῆς ὑπερηφανίας διαδέχεται.

ξ'. Πάντα τά ἄτιμα πάθη κρατοῦντα τῆς ψυχῆς, τόν τῆς κενοδοξίας ἐξ αὐτῆς ἀπελαύνουσι λογισμόν· καί πάντων τῶν προειρημένων ἡττωμένων, ἐπ᾿ αὐτόν ἀναλύουσιν.

ξα'. Ἡ κενοδοξία, ποτέ μέν ἀναιρουμένη, ποτέ δέ μένουσα, τίκτει τήν ὑπερηφανίαν· καί ἀναιρουμένη μέν, οἴησιν ἐμποιεῖ· μένουσα δέ, ἀλαζονείαν.

ξβ'. Κενοδοξίαν ἀναιρεῖ, ἡ κρυπτή ἐργασία· ὑπερηφανίαν δέ, τό τῷ Θεῷ ἐπιγράφειν τά κατορθώματα.

ξγ'. Ὁ γνώσεως Θεοῦ καταξιωθείς, καί τῆς ἐκ ταύτης ἡδονῆς ἀπολαύσας γνωσίως, οὗτος καταφρονεῖ τῶν ἐκ τοῦ ἐπιθυμητικοῦ τικτομένων πασῶν ἡδονῶν.

ξδ'. Ὁ ἐπιθυμῶν τῶν ἐπιγείων, ἤ βρωμάτων ἐπιθυμεῖ, ἤ τῶν τά ὑπογάστρια θεραπευόντων, ἤ δόξης ἀνθρωπίνης, ἤ χρημάτων, ἤ τινος ἄλλου τῶν τούτοις ἑπομένων· καί εἰ μή τι τούτων κρεῖττον εὕροι ὁ νοῦς, ἐφ'ᾧ τήν ἐπιθυμίαν μετενέγκῃ οὐκ ἄν τούτων ἀσυγκρίτως, ἡ τοῦ Θεοῦ γνῶσις καί τῶν θείων ἐστί.

ξε'. Οἱ τῶν ἡδονῶν καταφρονοῦντες, ἤ φόβῳ καταφρονοῦσιν, ἤ ἐλπίδι, ἤ γνώσει, ἤ καί τῇ εἰς Θεόν ἀγάπῃ.

ξστ'. Ἡ ἄνευ πάθους τῶν θείων γνῶσις, οὐ πείθει τόν νοῦν εἰς τέλος καταφρονεῖν τῶν προσύλων· ἀλλ᾽ ἔοικε λογισμῷ ψιλῷ πράγματος αἰσθητοῦ. (1037) Διό πολλούς ἐστιν εὑρεῖν τῶν ἀνθρώπων γνῶσιν ἔχοντας πολλήν, καί ἐν τοῖς σαρκός πάθεσι δίκην χοίρων ἐν βορβόρῳ κυλινδουμένους. Πρός ὀλίγον γάρ ἐξ ἐπιμελείας καθαρθέντες, καί τῆς γνώσεως ἐπιτυχόντες, ὕστερον ἀμελήσαντες, ὡμοιώθησαν τῷ Σαούλ· ὅς βασιλείας καταξιωθείς, καί ἀναξίως πολιτευσάμενος, μετ᾽ ὀργῆς φοβερᾶς ἐξ αὐτῆς ἀπεβλήθη.

ξζ'. Ὥσπερ ὁ ψιλός τῶν ἀνθρωπίνων πραγμάτων λογισμός, οὐκ ἀναγκάζει τόν νοῦν καταφρονεῖν τῶν θείων· οὕτως οὐδέ ψιλή γνῶσις τῶν θείων, πείθει εἰς τέλος καταφρονεῖν τῶν ἀνθρωπίνων· διότι ἐν σκιαῖς νῦν ὑπάρχει καί εἰκασμοῖς ἡ ἀλήθεια. Καί διά τοῦτο δεῖται τοῦ μακαρίου πάθους τῆς ἁγίας ἀγάπης, τῆς συνδεσμούσης τόν νοῦν τοῖς πνευματικοῖς θεωρήμασι, καί πειθούσης προτιμᾷν τῶν ὑλικῶν, τά ἄϋλα· καί τῶν αἰσθητῶν τά νοητά καί θεῖα.

ξη'. Οὐ πάντως ὁ τά πάθη ἐκκόψας, καί ψιλούς τούς λογισμούς ἐργασάμενος, ἤδη αὐτά καί ἐπί τά θεῖα ἔτρεψεν· ἀλλά δύναται, μήτε πρός τά ἀνθρώπινα πάσχειν, μήτε πρός τά θεῖα· ὅπερ ἐπισυμβαίνει ἐπί τῶν πρακτικῶν μόνον, καί μήπω γνώσεως καταξιωθέντων· οἵ φόβῳ κολάσεως, ἤ ἐλπίδι βασιλείας τῶν παθῶν ἀπέχονται.

ξθ'. Διά πίστεως περιπατοῦμεν, οὐ διά εἴδους· καί ἐν ἐσόπτροις τήν γνῶσιν ἔχομεν καί αἰνίγμασι. Καί διά τοῦτο, πολλῆς δεόμεθα τῆς ἐν

αὐτοῖς ἀσχολίας, ἵνα τῇ χρονίᾳ τούτων μελέτῃ καί ἀδολεσχίᾳ, ἕξιν δυσαπόσπαστον τῶν θεωρημάτων ποιήσωμεν.

ο'. Ἐάν πρός ὀλίγον τῶν παθῶν τάς αἰτίας ἐκκόψαντες τοῖς πνευματικοῖς ἐνασχοληθῶμεν θεωρήμασι, μή ἐν αὐτοῖς δέ ἀεί διατρίψωμεν, αὐτό τοῦτο ἔχοντες ἔργον, εὐχερῶς πάλιν ἐπί τά τῆς σαρκός πάθη περιτρεπόμεθα· μηδέν ἄλλο ἐκεῖθεν καρπωσάμενοι, ἤ ψιλήν γνῶσιν μετά οἰήσεως· ἧς τό τέλος,ἥ τε αὐτῆς κατά μικρόν τῆς γνώσεως σκότωσις, καί ἡ παντελής τοῦ νοῦ ἐπί τά ὑλικά ἐκτροπή.

οα'. Πάθος ἀγάπης ψεκτόν, τοῖς ὑλικοῖς πράγμασι τόν νοῦν ἐνασχολεῖ· πάθος ἀγάπης ἐπαινετόν, καί τοῖς θείοις αὐτόν συνδεσμεῖ. Εἴωθε γάρ ὁ νοῦς ἐν οἷς χρονίζει πράγμασι, ἐν αὐτοῖς καί πλατύνεσθαι· ἐν οἷς δέ πλατύνεται, ἐν αὐτοῖς καί τήν ἐπιθυμίαν καί τήν ἀγάπην τρέψαι, εἴτε ἐν τοῖς θείοις καί οἰκείοις καί νοητοῖς, εἴτε ἐν τοῖς τῆς σαρκός πράγμασί τε καί πάθεσι.

(1040) οβ'. Ὁ Θεός ἔκτισε τόν ἀόρατον κόσμον καί τόν ὁρώμενον· καί τήν ψυχήν καί τό σῶμα δηλονότι αὐτός ἐποίησε. Καί εἰ ὁ ὁρώμενος κόσμος τοιοῦτός ἐστι [ Fr. οὕτως ἐστί] καλός, ποῖος ἄρα ἐστίν ὁ ἀόρατος; Εἰ δέ κρείττων τούτου ἐκεῖνος, πόσον ὑπ τούς δύο, ὁ κτίσας τούτους Θεός; Εἰ οὖν κρείττων πάντων τῶν γεγονότων ὁ πάντων δημιουργός τῶν καλῶν, τίνι τῷ λόγῳ ἀφείς ὁ νοῦς τό πάντων κρεῖττον, τοῖς πάντων χείροσιν ἐνασχολεῖται; λέγω δή τοῖς τῆς σαρκός πάθεσιν. Ἤ δῆλον, ὅτι ταύτῃ μέν ἐκ γενετῆς συναναστραφείς καί συνεθίσας· τοῦ δέ πάντων κρείττονος, καί ὑπέρ τά πάντα, οὔπω τελείαν εἴληφε πεῖραν; Ἐάν οὖν χρονίᾳ ἀσκήσει τῆς τῶν ἡδονῶν ἐγκρατείας, καί τῆς τῶν θείων μελέτης κατά μικρόν αὐτόν τῆς τοιαύτης σχέσεως ἀποῤῥήξωμεν, πλατύνεταί τε ἐν τοῖς θείοις κατ᾽ ὀλίγον προκόπτων, καί τό οἰκεῖον γνωρίζει ἀξίωμα· καί τέλος, ὅλον τόν πόθον ἐπί τό Θεῖον μεταφέρει.

ογ'. Ὁ ἀπαθῶς λέγων ἁμάρτημα ἀδελφοῦ, κατά δύο αἰτίας λέγει· ἤ ἵνα αὐτόν διορθώσηται, ἤ ἵνα ἄλλον ὠφελήσῃ. Εἰ δέ ἐκτός τούτων λέγει, εἴτε αὐτῷ εἴτε ἄλλῳ, ὀνειδίζων ἤ διασύρων αὐτόν λέγει, καί οὐ μή ἐκφύγῃ τήν θείαν ἐγκατάλειψιν· ἀλλ᾽ ἤ τῷ αὐτῷ, ἤ ἄλλῳ πταίσματι πάντως περιπεσεῖται, καί ὑπό ἑτέρων ἐλεγχθείς καί ὀνειδισθείς καταισχυνθήσεται.

οδ'. Οὐχ εἷς λόγος τῶν τήν αὐτήν ἁμαρτίαν κατ᾽ ἐνέργειαν ἁμαρτανόντων ἐστίν, ἀλλά διάφοροι. Οἷον, ἄλλο ἐστί τό ἀπό ἕξεως ἁμαρτάνειν, καί ἄλλο τό κατά συναρπαγήν· ὅς, οὔτε πρό τῆς ἁμαρτίας

εἶχε τήν ἐνθύμησιν, οὔτε μετά τήν ἁμαρτίαν· ἀλλά καί σφόδρα ἐπί τῷ γεγονότι ὀδυνᾶται. Ὁ δέ ἀπό ἕξεως, ἐκ τοῦ ἐναντίου· καί πρῶτον γάρ κατά διάνοιαν οὐκ ἐπαύετο ἁμαρτάνων, καί μετά τό πρᾶξαι, τῆς αὐτῆς ἐστι διαθέσεως.

οε'. Ὁ διά κενοδοξίαν τάς ἀρετάς μετερχόμενος, δῆλον ὅτι καί τήν γνῶσιν διά κενοδοξίαν μετέρχεται. Ὁ δέ τοιοῦτος, οὐδέ πρός οἰκοδομήν δηλονότι πράττει τι, ἤ διαλέγεται· ἀλλ᾽ ἐν πᾶσι τήν παρά τῶν βλεπόντων ἤ ἀκουόντων δόξαν θηρώμενος. Ἐλέγχεται δέ τό πάθος, ὅταν τινές τῶν προειρημένων τοῖς ἔργοις ἤ τοῖς λόγοις αὐτοῦ ψόγον ἐπιφέρωσι, καί ἐπί τούτῳ σφόδρα λυπῆται· οὐ διά τό μή ἐκείνους οἰκοδομεῖσθαι (οὐδέ γάρ τοῦτο εἶχε σκοπόν), ἀλλά διά τό αὐτόν ἐξουδενωθῆναι.

οστ'. Τό τῆς φιλαργυρίας πάθος ἐντεῦθεν ἐλέγχεται· ἐν τῷ χαίροντα λαμβάνειν· καί λυπούμενον μεταδιδόναι. Οὐ δύναται δέ ὁ τοιοῦτος οἰκονομικός εἶναι.

(1041) οζ'. Διά ταῦτά τις πάσχων ὑπομένει· ἤ διά τήν ἀγάπην τοῦ Θεοῦ, ἤ διά τήν ἐλπίδα τῆς μισθαποδοσίας, ἤ διά τόν φόβον τῆς κολάσεως, ἤ διά τόν φόβον τῶν ἀνθρώπων, ἤ διά τήν φύσιν, ἤ διά τήν ἡδονήν, ἤ διά κέρδος, ἤ διά κενοδοξίαν, ἤ διά ἀνάγκην.

οη'. Ἄλλο ἐστί λογισμῶν ἀπαλλαγῆναι, καί ἄλλο παθῶν ἐλευθερωθῆναι. Καί πολλάκις τις λογισμῶν ἀπαλλάττεται μή παρόντων τῶν πραγμάτων ἐκείνων, πρός ἅπερ τά πάθη κέκτηται· κρύπτεται δέ τά πάθη ἐν τῇ ψυχῇ, καί ἀναφαινόντων τῶν πραγμάτων ἐλέγχονται. Χρή οὖν τηρεῖν τόν νοῦν ἐπί τῶν πραγμάτων, καί γνῶναι πρός ποῖον ἔχει τό πάθος.

οθ'. Φίλος ἐκεῖνός ἐστι γνήσιος, ὁ τάς ἐκ περιστάσεως θλίψεις καί ἀνάγκαις καί συμφοράς ἐν καιρῷ πειρασμοῦ συνυποφέρων τῷ πλησίον ὡς ἰδίας, ἀθορύβως καί ἀταράχως.

π'. Μή ἀτιμάσῃς τήν συνείδησιν, ἄριστά σοι ἀεί συμβουλεύουσαν. Γνώμην γάρ θείαν καί ἀγγελικήν σοι ὑποτίθεται· καί τῶν κρυπτῶν τῆς καρδίας μολυσμάτων ἐλευθεροῖ, καί παῤῥησίαν πρός τόν Θεόν ἐν τῇ ἐξόδῳ σοι χαρίζεται.

πα'. Εἰ θέλεις γενέσθαι ἐπιγνώμων καί μέτριος, καί τῷ πάθει τῆς οἰήσεως μή δουλεύειν, ἀεί ζήτει ἐν τοῖς οὖσι, τί ἐστι κρυπτόμενον τήν σύν γνῶσιν [Fr. τῇ σῇ γνώσει]. Καί εὑρίσκων πάμπολλα καί διάφορα πράγματα λανθάνοντά σε, θαυμάσεις τε ἐπί τῇ σῇ ἀγνωσίᾳ, καί συστελεῖς τό φρόνημα· καί σεαυτόν ἐπιγνούς, συνήσεις πολλά καί

μεγάλα καί θαυμαστά πράγματα. Ἐπεί τό νομίζειν εἰδέναι, οὐκ ἐᾷ προκόπτειν εἰς τό εἰδέναι.

πβ'. Οὗτος ἀκριβῶς θέλει σωθῆναι, ὁ τοῖς ἰατρικοῖς φαρμάκοις μή ἀνθιστάμενος. Αὗται δέ εἰσιν ὀδύναι καί λύπαι διά ποικίλων ἐπιφορῶν ἐπαγόμεναι. Ὁ δέ ἀνθιστάμενος, οὐκ οἶδε τί ἐνταῦθα πραγματεύεται, οὐδέ τί ἐντεῦθεν ὠνησόμενος ἀπελεύσεται.

πγ'. Κενοδοξία καί φυλαργυρία ἀλλήλων εἰσί γεννητικαί. Οἱ μέν γάρ κενοδοξοῦντες, πλουτοῦσιν· οἱ δέ πλουτοῦντες, κενοδοξοῦσιν· ἀλλ᾽ ὡς κοσμικοί· ἐπεί ὁ μοναχός ἀκτήμων ὤν, μᾶλλον κενοδοξεῖ. Ἀργύριον δέ ἔχων, κρύπτει αὐτό, αἰσχυνόμενος ὡς ἀνοίκειον πρᾶγμα τοῦ σχήματος ἔχων.

πδ'. Τῆς τοῦ μοναχοῦ κενοδοξίας ἴδιον, τό ἐπ᾽ ἀρετῇ κενοδοξεῖν, καί τοῖς ταύτῃ ἀκολουθοῦσι· τῆς δέ ὑπερηφανίας αὐτοῦ ἴδιον, τό ἐπί κατορθώμασιν (1044) ἐπαίρεσθαι, καί ἐξουθενεῖν τούς ἄλλους· καί τό ἑαυτῷ ταῦτα, καί μή τῷ Θεῷ ἐπιγράφειν. Τῆς δέ τοῦ κοσμικοῦ κενοδοξίας καί ὑπερηφανίας ἴδιον, τό ἐπί κάλλει καί πλούτῳ καί δυναστείᾳ καί φρονήσει κενοδοξεῖν καί ἐπαίρεσθαι.

πε'. Τά τῶν κοσμικῶν κατορθώματα, πτώματά εἰσι τῶν μοναχῶν· καί τῶν μοναχῶν κατορθώματα, πτώματά εἰσι τῶν κοσμικῶν. Οἷον, τά τῶν κοσμικῶν κατορθώματα, πλοῦτός ἐστι καί δόξα καί δυναστεία καί τρυφή καί εὐσαρκία καί εὐτεκνία, καί τά τούτων ἀκόλουθα· εἰς ἅπερ ἐλθών ὁ μοναχός, ἀπόλλυται. Τά δέ τοῦ μοναχοῦ κατορθώματα, ἀκτημοσύνη, ἀδοξία, ἀδυναμία, ἐγκράτεια, κακοπάθεια, καί τά τούτων ἀκόλουθα· εἰς ἅπερ ἐλθών ὁ φιλόκοσμος παρά πρόθεσιν, πτῶμα ἡγεῖται μέγα· καί κινδυνεύει πολλάκις καί ἀγχόνῃ χρήσασθαι· τινές δέ καί ἐχρήσαντο.

πστ'. Τά βρώματα διά δύο αἰτίας ἐκτίσθη· τροφῆς ἕνεκα, καί θεραπείας. Οἱ οὖν πάρεξ τούτων μεταλαμβάνοντες, ὡς παραχρώμενοι τοῖς εἰς χρῆσιν παρά Θεοῦ δοθεῖσιν, ὡς τρυφῆται κατακρίνονται. Καί ἐπί πάντων δέ τῶν πραγμάτων, ἡ παράχρησίς ἐστιν ἡ ἁμαρτία.

πη'. Ἄλλο ἐστί μάχεσθαι τῷ ψιλῷ λογισμῷ, ἵνα μή κινήσῃ τό πάθος· καί ἄλλο ἐστί, τό, ἐμπαθεῖ μάχεσθαι, ἵνα μή γένηται συγκατάθεσις. Οἱ ἀμφότεροι δέ τρόποι, οὐκ ἐῶσι χρονίσαι τούς λογισμούς.

πθ'. Ἡ λύπη τῇ μνησικακίᾳ συνέζευκται. Ὅταν οὖν ὁ νοῦς τό πρόσωπον τοῦ ἀδελφοῦ μετά λύπης ἐσοπτρίζηται, δῆλον ὅτι

μνησικακίαν ἔχει πρός αὐτόν· Ὁδοί δέ μνησικάκων εἰς θάνατον, διότι, πᾶς μνησίκακος, παράνομος.

τεσ. ἀνοικ.'. Ἐάν μέν σύ μνησικακῇς τινι, προσεύχου ὑπέρ αὐτοῦ, καί ἱστᾷς τό πάθος τῆς κινήσεως, χωρίζων τήν λύπην διά τῆς προσευχῆς, ἐκ τῆς μνήμης τοῦ κακοῦ, οὗπέρ σοι ἐποίησεν· ἀγαπητικός δέ γενόμενος καί φιλάνθρωπος, παντελῶς ἐκ τῆς ψυχῆς τό πάθος ἐξαφανίζεις.Ἐάν δέ ἄλλος σοι μνησικακῇ, χαριστικός γενοῦ πρός αὐτόν καί ταπεινός, καί καλῶς συναυλίζειν, καί ἀπαλλάττεις αὐτόν τοῦ πάθους.

τέσ. ἀνοικ. α'. Τοῦ φθονοῦντος τήν λύπην, κόπῳ στήσεις· συμφοράν γάρ ἡγεῖται, τό ἐν σοί φθονούμενον· (1045) καί οὐ δυνατόν ἄλλως στῆσαι, εἰ μή τι κρύψεις αὐτόν. Εἰ δέ πολλούς μέν ὠφελεῖ, ἐκεῖνον δέ λυπεῖ, ποίου μέρους περιφρονήσεις; Ἀναγκαῖον οὖν τῆς τῶν πολλῶν γενέσθαι ὠφελείας, κἀκείνου δέ κατά δύναμιν μή ἀμελεῖν· μηδέ τῇ τοῦ πάθους πονηρίᾳ συναπαχθῆναι· ὡς οὐχί τῷ πάθει, ἀλλά τῷ πάσχοντι ἀμυνόμενον· ἀλλά τῇ ταπεινοφροσύνῃ ἡγεῖσθαι αὐτόν ὑπερέχοντα σεαυτοῦ, καί ἐν παντί καιρῷ καί τόπῳ καί πράγματι, προτιμᾷν αὐτόν. Τόν δέ σόν φθόνον δύνασαι στῆσαι, ἐάν ἐν οἷς χαίρει ὁ ὑπό σοῦ φθονούμενος, συγχαίρῃς· καί ἐν οἷς λυπεῖται, καί αὐτός σύ συλλυπῇ πληρῶν τό τοῦ Ἀποστόλου, τό, Χαίρειν μετά χαιρόντων, καί κλαίειν μετά κλαιόντων.

τέσ. ἀνοικ. β'. Ὁ νοῦς ἡμῶν μέσος [Reg.1, μέσον] ἐστι δύο τινῶν, ἑκάστου τά ἴδια ἐνεργοῦντος· τοῦ μέν, τήν ἀρετήν· τοῦ δέ, τήν κακίαν· τουτέστι ἀγγέλου καί δαίμονος. Ἐξουσίαν δέ ἔχει ὁ νοῦς, καί δύναμιν ᾧ θέλει εἴτε ἕπεσθαι, εἴτε ἀντιστῆναι.

τέσ. ἀνοικ. γ'. Αἱ μέν ἅγιαι Δυνάμεις προτρέπονται ἡμᾶς ἐπί τά καλά· τά δέ φυσικά σπέρματα καί ἡ ἀγαθή προαίρεσις, βοηθοῦσιν ἡμῖν· τάς δέ τῶν δαιμόνων προσβολάς, τά πάθη καί ἡ πονηρά προαίρεσις συνιστῶσι.

τέσ. ἀνοικτ. δ'. Τόν καθαρόν νοῦν, ποτέ μέν, αὐτός ὁ Θεός αὐτῷ ἐπιβαίνων διδάσκει· ποτέ δέ, αἱ ἅγιαι Δυνάμεις τά καλά ὑποτίθενται· ποτέ δέ, ἡ φύσις τῶν πραγμάτων θεωρουμένη.

τέσ. ἀνοικ. ε'. Χρή τόν καταξιωθέντα γνώσεως νοῦν, τά τε νοήματα τηρεῖν ἀπαθῆ τῶν πραγμάτων· καί τά θεωρήματα, ἀσφαλῆ· καί τήν τῆς προσευχῆς κατάστασιν ἀθόλωτον. Οὐ δύναται δέ ταῦτα τηρεῖν ἐκ τῶν τῆς σαρκός ἀναδόσεως, διά τῆς τῶν δαιμόνων ἐπιβουλῆς καπνιζόμενος.

τεσ. ἀνοικ. στ'. Οὐ δι᾽ ὅσα λυπούμεθα, διά ταῦτα καί ὀργιζόμεθα. Πλεονάζει γάρ τά τήν λύπην ἐμποιοῦντα, παρά τήν ὀργήν. Οἷον, ἐκλάσθη τάδε· ἀπώλετο τάδε· ἀπέθανεν ὁ δεῖνα. Διά γάρ τά τοιαῦτα, λυπούμεθα μόνον· διά δέ τά λοιπά, καί λυπούμεθα καί ὀργιζόμεθα, ἀφιλοσόφως διακείμενοι.

τέσ. ἀνοικ. ζ'. Δεχόμενος ὁ νοῦς τά τῶν πραγμάτων νοήματα, πρός ἕκαστον νόημα μετασχηματίζεσθαι πέφυκε. Θεωρῶν δέ ταῦτα πνευματικῶς, πρός ἕκαστον θεώρημα ποικίλως μεταμορφοῦσθαι. Ἐν δέ Θεῷ γενόμενος, ἄμορφος πάντη καί ἀσχημάτιστος γίνεται. Τόν γάρ μονοειδῆ θεωρῶν, μονοειδής γίνεται καί ὅλος φωτοειδής.

(1048) τέσ. ἀνοικ. η'. Ψυχή ἐστι τελεία, ἧς ἡ παθητική δύναμις νένευκεν ὁλοτελῶς πρός Θεόν.

τέσ. ἀνοικ. θ'. Νοῦς ἐστι τέλειος, ὁ διά πίστεως ἀληθοῦς, τόν ὑπεράγνωστον ὑπεραγνώστως ὑπερεγνωκώς· καί τῶν αὐτοῦ δημιουργημάτων, τά καθόλου θεασάμενος· καί τῆς ἐν αὐτοῖς Προνοίας καί κρίσεως, τήν περιληπτικήν γνῶσιν παρά Θεοῦ εἰληφώς· ὡς ἐν ἀνθρώποις δέ φημι.

ρ'. Τριχῶς τέμνεται ὁ χρόνος· καί ἡ μέν πίστις, τοῖς τρισί συμπαρατείνεται τμήμασι· ἡ δέ ἐλπίς, τῷ ἑνί· ἡ δέ ἀγάπη, τοῖς δυσί. Καί ἡ μέν πίστις καί ἐλπίς μέχρι τινός· ἡ δέ ἀγάπη, εἰς ἀπείρους αἰῶνας τῷ ὑπεραπείρῳ ὑπερηνωμένη, καί ἀεί ὑπεραύξουσα διαμένει. Καί διά τοῦτο, Μείζων πάντων ἡ ἀγάπη.

### *Περί ἀγάπης τετάρτη κεφαλαίων ἑκατοντάς.*

α'. Πρῶτον μέν θαυμάζει ὁ νοῦς τήν θείαν ἐννοούμενος κατά πάντα ἀπειρίαν, καί τό ἀνέκβατον ἐκεῖνο καί πολυπόθητον πέλαγος. Δεύτερον δέ ἐκπλήττεται, πῶς ἐκ τοῦ μηδενός τήν τῶν ὄντων εἰς τό εἶναι παρήγαγεν ὕπαρξιν. Ἀλλ᾽ ὥσπερ τῆς μεγαλοσύνης αὐτοῦ οὐκ ἔστι πέρας, οὕτως οὐδέ τῆς φρονήσεως αὐτοῦ ἔστιν εὕρεσις.

β'. Πῶς γάρ οὐ θαυμάζει τό ἄπλετον ἐκεῖνο θεωρῶν, καί ὑπέρ ἔκπληξιν ἀγαθότητος πέλαγος; Ἤ πῶς οὐκ ἐξίσταται, ἐννοούμενος, πῶς καί πόθεν ἥ τε λογική καί νοερά γέγονεν οὐσία, καί τά τέσσαρα στοιχεῖα, ἐξ ὧν τά σώματα, μηδεμιᾶς ὕλης τῆς τούτων προϋπαρξάσης γενέσεως; Ποία τε ἡ δύναμις ἐκείνη, ἡ εἰς ἐνέργειαν κινηθεῖσα, ταῦτα εἰς τό εἶναι παρήγαγεν; Ἀλλά τοῦτο Ἑλλήνων παῖδες οὐ

παραδέχονται, ἀγνοοῦντες τήν παντοδύναμον ἀγαθότητα, καί τήν δραστήριον αὐτῆς καί ὑπέρ νοῦν σοφίαν καί γνῶσιν.

γ'. Ἐξ ἀϊδίου δημιουργός ὑπάρχων ὁ Θεός, ὅτε βούλεται δημιουργεῖν Λόγῳ ὁμοουσίῳ καί Πνεύματι δι᾽ ἄπειρον ἀγαθότητα. Καί μή εἴπῃς, Τίνι τῷ λόγῳ νῦν ἐδημιούργησεν ἀεί ἀγαθός ὑπάρχων; Ἐπεί, κἀγώ σοι λέγω, ὅτι ἡ τῆς ἀπείρου οὐσίας ἀνεξιχνίαστος σοφία, τῇ ἀνθρωπίνῃ οὐχ ὑποπίπτει γνώσει.

δ'. Τήν ἐξ ἀϊδίου ἐν αὐτῷ ὁ Δημιουργός τῶν ὄντων προϋπάρχουσαν γνῶσιν, ὅτε ἐβουλήθη, οὐσίωσε καί προεβάλετο. Ἄτοπον γάρ ἐστιν ἐπί Θεοῦ τοῦ παντοδυνάμου διστάσαι, εἰ δύναταί τι οὐσιῶσαι, ὅτε βούλεται.

ε'. Δι' ἥν μέν αἰτίαν ὁ Θεός ἐδημιούργησε, ζήτει· ἐστί γάρ γνῶσις. Τό δέ πῶς, καί διά τί προσφάτως, μή ζήτει· οὐκ ἔστι γάρ τῷ σῷ ὑποπίπτουσα νῷ. Διότι τῶν θείων, τά μέν ληπτά, τά δέ, ἄληπτα τοῖς ἀνθρώποις. Θεωρία γάρ ἀχαλίνωτος, τάχα ἄν καί κατά κρημνῶν ὤσειεν, ὡς ἔφη τις τῶν ἁγίων.

(1049) στ'. Τινές φασι συνυπάρχειν ἐξ ἀϊδίου τῷ Θεῷ τά δημιουργήματα, ὅπερ ἀμήχανον. Πῶς γάρ τῷ πάντῃ ἀπείρῳ, τά κατά πάντα πεπερασμένα, συνυπάρχειν δύναται ἐξ ἀϊδίου; ἤ πῶς κυρίως δημιουργήματα, εἰ συναΐδια τῷ Δημιουργῷ; Ἀλλ᾽ οὗτος ὁ λόγος τῶν Ἑλλήνων ἐστίν· οἵτινες οὐσιῶν μέν οὐδαμῶς, ποιοτήτων, ἀλλ᾽ οὐσιῶν πεποιωμένων, δημιουργόν τόν Θεόν εἰσάγουσιν. Ἡμεῖς δέ τόν παντοδύναμον ἐγνωκότες Θεόν, οὐ ποιοτήτων, ἀλλ᾽ οὐσιῶν πεποιωμένων, δημιουργόν αὐτόν εἶναί φαμεν. Εἰ δέ τοῦτο, οὐκ ἐξ ἀϊδίου συνύπαρκτα τῷ Θεῷ τά δημιουργήματα.

ζ'. Κατά τι μέν γνωστόν τό Θεῖον καί τά θεῖα· κατά τι δέ, ἄγνωστον. Καί γνωστόν μέν, τοῖς περί αὐτό θεωρήμασιν· ἄγνωστον δέ, τοῖς κατ᾽ αὐτό.

η'. Μή ἕξεις καί ἐπιτηδειότητας ζητήσῃς ἐπί τῆς ἁπλῆς καί ἀπείρου οὐσίας τῆς ἁγίας Τριάδος, ἵνα μή σύνθετον αὐτήν ποιήσῃς, ὥσπερ τά κτίσματα· ὅπερ ἄτοπον καί ἀθέμιτον ἐπί Θεοῦ ἐννοῆσαι.

θ'. Μόνη ἁπλῆ καί μονοειδής καί ἄποιος καί εἰρηναῖος καί ἀστασίαστος, ἡ ἄπειρος οὐσία καί παντοδύναμος καί δημιουργική τῶν ὅλων. Πᾶσα δέ ἡ κτίσις, σύνθετος ὑπάρχει ἐξ οὐσίας καί συμβεβηκότος· καί ἐπιδεής ἀεί τῆς θείας προνοίας, ὡς τροπῆς οὐκ ἐλευθέρα.

ι'. Πᾶσα ἡ νοερά οὐσία, καί αἰσθητική, ἔλαβεν δυνάμεις παρά Θεοῦ εἰς τό εἶναι παραχθεῖσα ἀντιληπτικάς τῶν ὄντων· ἡ μέν νοερά τάς νοήσεις· ἡ δέ αἰσθητική, τάς αἰσθήσεις.

ια'. Ὁ μέν Θεός, μετέχεται μόνον· ἡ δέ κτίσις, καί μετέχει καί μεταδίδωσι. Καί μετέχει μέν τοῦ εἶναι, καί τοῦ εὖ εἶναι· μεταδίδωσι δέ, τοῦ εὖ εἶναι μόνον· ἀλλ᾽ ἑτέρως μέν ἡ σωματική, ἑτέρως δέ ἡ ἀσώματος οὐσία.

ιβ'. Ἡ μέν ἀσώματος οὐσία, καί λέγουσα καί πράττουσα καί θεωρουμένη, τοῦ εὖ εἶναι μεταδίδωσιν· ἡ δέ σωματική, θεωρουμένη μόνον.

(1052) ιγ'. Τό μέν ἀεί εἶναι, ἤ μή εἶναι τήν λογικήν καί νοεράν οὐσίαν, ἐν τῇ βουλήσει ἐστί τοῦ τά πάντα καλά δημιουργήσαντος· τό δέ ἀγαθά ταῦτα εἶναι κατά προαίρεσιν ἤ φαῦλα, ἐν τῷ θελήματι τῶν γεγονότων ὑπάρχει.

ιδ'. Οὐ περί τήν οὐσίαν τῶν γεγονότων, τό κακόν θεωρεῖται· ἀλλά περί τήν ἐσφαλμένην καί ἀλόγιστον κίνησιν.

ιε'. Εὐλόγως κινεῖται ἡ ψυχή, ὅταν τό μέν ἐπιθυμητικόν αὐτῆς τῇ ἐγκρατείᾳ πεποίωται· τό δέ θυμικόν, τῆς ἀγάπης ἀντέχεται, τό μῖσος ἀποστρεφόμενον· τό δέ λογιστικόν, πρός τόν Θεόν διάγει, διά προσευχῆς καί θεωρίας πνευματικῆς.

ιστ'. Οὔπω ἔχει τελείαν ἀγάπην, οὐδέ τῆς θείας Προνοίας κατά βάθος τήν γνῶσιν, ὁ ἐν καιρῷ πειρασμοῦ μή μακροθυμῶν ἐπί τοῖς συμβαίνουσι λυπηροῖς· ἀλλ᾽ ἀποκόπτων ἑαυτόν τῆς τῶν πνευματικῶν ἀδελφῶν ἀγάπης.

ιζ'. Σκοπός τῆς θείας Προνοίας, τό, τούς ὑπό τῆς κακίας ποικίλως διεσχισμένους, διά τῆς ὀρθῆς πίστεως καί πνευματικῆς ἀγάπης ἑνοποιεῖν. Εἴπερ διά τοῦτο πέπονθεν ὁ Σωτήρ, Ἵνα τά τέκνα τοῦ Θεοῦ τά διεσκορπισμένα, συναγάγῃ εἰς ἕν. Ὁ οὖν μή στέγων τά ὀχληρά, μηδέ φέρων τά λυπηρά, μηδέ ὑπομένων τά ἐπίπονα, ἐκτός τῆς θείας ἀγάπης καί τοῦ σκοποῦ τῆς Προνοίας περιπατεῖ;

ιη'. Εἰ ἡ ἀγάπη μακροθυμεῖ καί χρηστεύεται, ὁ ὀλιγοψυχῶν ἐπί τοῖς συμβαίνουσι λυπηροῖς, καί διά τοῦτο πονηρευόμενος ἐπί τοῖς λυπήσασι, καί τῆς πρός αὐτούς ἀγάπης ἑαυτόν ἀποκόπτων, πῶς τοῦ σκοποῦ τῆς θείας Προνοίας οὐκ ἐκπίπτει.

ιθ'. Πρόσεχε σεαυτῷ, μήποτε ἡ χωρίζουσά σε ἐκ τοῦ ἀδελφοῦ κακία, οὐκ ἐν τῷ ἀδελφῷ· ἀλλ᾽ ἐν σοί εὑρίσκηται· καί σπεῦσον αὐτῷ διαλλαγῆναι, ἵνα μή τῆς ἐντολῆς τῆς ἀγάπης ἐκπέσῃς.

κ'. Μή καταφρονήσῃς τῆς ἐντολῆς τῆς ἀγάπης, ὅτι δι᾽ αὐτῆς υἱός Θεοῦ ἔσῃ· ἥν παραβαίνων, υἱός γεέννης εὑρεθήσῃ.

κα'. Τά χωρίζοντα τῆς τῶν φίλων ἀγάπης, εἰσί ταῦτα τό φθονεῖν, ἤ φθονεῖσθαι· τό ζημιοῦν, ἤ ζημιοῦσθαι· τό ἀτιμάζειν, ἤ ἀτιμάζεσθαι, καί οἱ ἐξ ὑπονοίας λογισμοί. Μήποτε οὖν ἔδρασάς τι τοιοῦτον ἤ πέπονθας, καί διά τοῦτο τῆς τοῦ φίλου ἀγάπης χωρίζῃ [unus Reg. ἀποχωρίζῃ].

κβ'. Συνέβη σοι πειρασμός ἐκ τοῦ ἀδελφοῦ, καί ἡ λύπη εἰς μῖσός σε ἤγαγε. Μή νικῶ ὑπό τοῦ μίσους, ἀλλά νίκα ἐν τῇ ἀγάπῃ τό μῖσος. Νικήσεις δέ τρόπῳ τοιούτῳ· προσευχόμενος ὑπέρ αὐτοῦ γνησίως πρός τόν Θεόν· τήν τε ἀπολογίαν αὐτοῦ δεχόμενος· ἤ καί αὐτός διά ταύτης αὐτόν θεραπεύων, καί σεαυτόν αἴτιον τοῦ πειρασμοῦ λογιζόμενος, καί μακροθυμῶν μέχρις οὗ παρέλθῃ τό νέφος.

(1053) κγ'. Μακρόθυμός ἐστιν, ὁ τό τέλος ἐκδεχόμενος τοῦ πειρασμοῦ, καί τό καύχημα τῆς καρτερίας λαμβάνων.

κδ'. Ἀνήρ μακρόθυμος, πολύς ἐν φρονήσει· ὅτι πάντα τά συμβαίνοντα ἐπί τό τέλος ἀναφέρει· κἀκεῖνο περιμένων, ἀνέχεται τῶν λυπηρῶν. Τό δέ τέλος ἐστί, ζωή αἰώνιος, κατά τόν θεῖον Ἀπόστολον. Αὕτη δέ ἐστιν ἡ αἰώνιος ζωή, ἵνα γινώσκωσί σε τόν μόνον ἀληθινόν Θεόν, καί ὅν ἀπέστειλας Ἰησοῦν Χριστόν.

κε'. Μή εὔκολος ἔσο ἐπί ἀποβολῇ πνευματικῆς ἀγάπης, διότι ἄλλη σωτηρίας ὁδός οὐχ ὑπολέλειπται τοῖς ἀνθρώποις.

κστ'. Μή τόν χθές πνευματικόν ἀδελφόν καί ἐνάρετον, διά τό ἐν σοί σήμερον ἐξ ἐπηρείας τοῦ πονηροῦ ἐγγινόμενον μῖσος, κρῖνε φαῦλον καί πονηρόν· ἀλλά διά τῆς μακροθυμούσης ἀγάπης τά χθεσινά καλά λογιζόμενος, τό σήμερον μῖσος τῆς ψυχῆς ἀπόβαλε.

κζ'. Μή ὅν ἐπῄνεις χθές ὡς καλόν, καί ἐνεκωμίαζες ὡς ἐνάρετον, σήμερον ὡς φαῦλον καί πονηρόν κακολογήσῃς διά τήν σήν ἐξ ἀγάπης εἰς μῖσος μεταβολήν τόν τοῦ ἀδελφοῦ σου ψόγον, ἀπολογίαν τοῦ ἐν σοί πονηροῦ μίσους ποιούμενος· ἀλλά τοῖς αὐτοῖς ἐγκωμίοις ἐπίμεινον, κἄν ἔτι ὑπό τῆς λύπης κεκράτησαι, καί εἰς τήν σωτηρίαν ἀγάπης εὐχερῶς ἐπανέρχῃ.

κη'. Μή τόν συνήθη τοῦ ἀδελφοῦ ἔπαινον, διά τήν ἔτι ἐν σοί πρός αὐτόν ὑπάρχουσαν κεκρυμμένην λύπην, ἐν τῇ τῶν λοιπῶν ἀδελφῶν συντυχίᾳ νοθεύσῃς· συμπαραμίσγων τοῖς λόγοις λεληθότως τόν ψόγον· ἀλλά καθαρῷ τῷ ἐπαίνῳ ἐν τῇ συντυχίᾳ χρῆσαι, καί γνησίως

ὑπέρ αὐτοῦ, ὡς σαυτοῦ, προσεύχου· καί τοῦ ὀλεθρίου μίσους τάχιστα ἀπαλλάττῃ.

κθ'. Μή εἴπῃς· Οὐ μισῶ τόν ἀδελφόν, τήν μνήμην αὐτοῦ ἀποστρεφόμενος. Ἀλλά ἄκουσον Μωϋσέως λέγοντος· Μή μισήσῃς τόν ἀδελφόν σου τῇ διανοίᾳ σου· ἐλεγμῷ ἐλέγξεις τόν ἀδελφόν σου καί οὐ λήψῃ δι᾽ αὐτόν ἁμαρτίαν.

λ'. Ἐάν ἀδελφός τυχόν πειραζόμενος ἐπιμείνῃ κακολογῶν σε, ἀλλά σύ γε μή ἐξενεχθῇς τῆς ἀγαπητικῆς καταστάσεως, τοῦ αὐτοῦ πονηροῦ δαίμονος ἀνεχόμενος, ἐνοχλοῦντος κατά διάνοιαν. Οὐκ ἐξενεχθήσῃ δέ ταύτης, ἐάν λοιδορούμενος εὐλογήσῃς· ἐάν ἐπιβουλευόμεος, εὐνοήσῃς. Αὕτη ἐστίν ἡ ὁδός τῆς κατά Χριστόν φιλοσοφίας· καί ὁ μή ταύτην ὁδεύων οὐ συναυλίζεται αὐτῷ.

λα'. Μή ὡς εὐνοοῦντας λογίζου, τούς λόγους σοι φέροντας λύπην ἐν σοί καί μῖσος τόν πρός ἀδελφόν ἐργαζομένους, κἄν ἀληθεύειν δοκῶσιν· ἀλλ᾽ ὡς θανατοῦντας ὄφεις τούς τοιούτους ἀποστρέφου· ἵνα κἀκείνους τοῦ κακολογεῖν ἀνακόψῃς, καί τήν σεαυτοῦ ψυχήν πονηρίας ἀπαλλάξῃς.

λβ'. Μή λόγοις δι᾽ αἰνιγμάτων τόν ἀδελφόν κεντήσῃς, (1056) ἵνα μή τά ὅμοια παρ᾽ αὐτοῦ ἀντιδεχόμενος, τήν τῆς ἀγάπης διάθεσιν ἐξ ἀμφοτέρων ἀπελάσῃς. Ἀλλά μετά παῤῥησίας ἀγαπητικῆς, ὕπαγε, ἔλεγξον αὐτόν, ἵνα τάς αἰτίας τῆς λύπης λύσας, ταραχῆς καί λύπης ἀμφοτέρους ἀπαλλάξῃς.

λγ'. Ἐρεύνησον τήν συνείδησιν μετά πάσης ἀκριβείας, μήποτε τῇ σῇ αἰτίᾳ ὁ ἀδελφός οὐ διηλλάγη· καί μή παραλογίζου ταύτην, τά κρυπτά σου γινώσκουσαν, καί κατηγοροῦσάν σου ἐν τῷ καιρῷ τῆς ἐξόδου, καί ἐν καιρῷ δέ προσευχῆς, πρόσκομμά σοι γινομένην.

λδ'. Μή μνημόνευε ἐν τῷ καιρῷ τῆς εἰρήνης, τῶν ἐν τῷ καιρῷ τῆς λύπης ὑπό τοῦ ἀδελφοῦ λεχθέντων· κἄν τε κατά πρόσωπον τά λυπηρά ἐῤῥέθη, κἄν τε πρός ἄλλον περί σοῦ, καί μετά ταῦτα ἤκουσας· ἵνα μή τῶν λογισμῶν τῆς μνησικακίας ἀνεχόμενος, εἰς τό ὀλέθριον μῖσος τοῦ ἀδελφοῦ ὑποστρέψῃς.

λε'. Οὐ δύναται ψυχή λογική πρός ἄνθρωπον μῖσος τρέφουσα, πρός τόν Θεόν εἰρηνεῦσαι, τόν τῶν ἐντολῶν δοτῆρα· Ἐάν γάρ, φησί, μή ἀφῆτε τοῖς ἀνθρώποις τά παραπτώματα αὐτῶν, οὐδέ ὁ Πατήρ ἡμῶν ὁ οὐράνιος ἀφήσει ὑμῖν τά παραπτώματα ὑμῶν. Εἰ δέ ἐκεῖνος εἰρηνεύειν οὐ θέλει, ἀλλά σύ γε σεαυτόν ἀπό μίσους φύλαξον, προσευχόμενος ὑπέρ αὐτοῦ γνησίως, καί μή κακολογῶν αὐτόν πρός τινα.

λστ'. Ἡ τῶν ἁγίων ἀγγέλων ἄφραστος εἰρήνη, ταῖς δυσί ταύταις κεκράτηται διαθέσεσι· τῇ τε πρός τόν Θεόν, καί τῇ πρός ἀλλήλους ἀγάπη. Ὁμοίως δέ, καί πάντων τῶν ἀπ᾽ αἰῶνος ἁγίων. Παγκάλως οὖν εἴρηται ὑπό τοῦ Σωτῆρος ἡμῶν, ὅτι Ἐν ταύταις ταῖς δυσίν ἐντολαῖς ὁ νόμος ὅλος καί οἱ προφῆται κρέμανται.

λζ'. Μή ἔσο αὐτάρεσκος, καί οὐκ ἔσῃ μισάδελφος· καί μή ἔσο φίλαυτος, καί ἔσῃ φιλόθεος.

λη'. Πνευματικοῖς συζῆσαι προῃρημένος, τοῖς σοῖς θελήμασιν ἀπό θυρῶν ἀπόταξαι· οὐ μή γάρ ἑτέρῳ τρόπῳ εἰρηνεῦσαι δυνήσῃ, οὔτε πρός τόν Θεόν, οὔτε πρός τούς συζῶντας.

λθ'. Ὁ τελείαν ἀγάπην κτήσασθαι δυνηθείς, καί ὅλον τόν βίον αὐτοῦ, πρός ταύτην ῥυθμίσας, οὗτος λέγει Κύριον Ἰησοῦν ἐν Πνεύματι ἁγίῳ. Καί ἐκ τοῦ ἐναντίου, τά ἐναντία δηλονότι.

μ'. Ἡ μέν εἰς Θεόν ἀγάπη, εἰς τήν θείαν ὁμιλίαν ἀεί φιλεῖ πτερῶσαι τόν νοῦν· ἡ δέ εἰς τόν πλησίον, ἀεί καλά λογίζεσθαι περί αὐτοῦ παρασκευάζει.

(1057) μα'. Τοῦ ἔτι δόξαν ἀγαπῶντος κενήν, ἤ τινι τῶν ὑλικῶν πραγμάτων προσκειμένου, ἐστί τό πρός ἀνθρώπους λυπεῖσθαι διά πρόσκαιρα, ἤ μνησικακεῖν αὐτοῖς, ἤ μῖσος ἔχειν πρός αὐτούς, ἤ λογισμοῖς δουλεύειν αἰσχροῖς· τῆς δέ φιλοθέου ψυχῆς, ταῦτα πάντα ἀλλότρια.

μβ'. Ὅταν μηδέν εἴπῃς, μηδέ πράξῃς αἰσχρόν κατά διάνοιαν, καί ὅταν τῷ ζημιώσαντι ἤ κακολογήσαντι μή μνησικακήσῃς· καί ὅταν ἐν τῷ καιρῷ τῆς προσευχῆς ἄϋλον καί ἀνείδεον ἀεί ἔχῃς τόν νοῦν, τότε γνῶθι, ὅτι ἔφθασας εἰς τό μέτρον τῆς ἀπαθείας καί τῆς τελείας ἀγάπης.

μγ'. Οὐ μικρός ἀγών κενοδοξίας ἀπαλλαγῆναι· ἀπαλλάττεται δέ τις, διά κρυπτῆς τῶν ἀρετῶν ἐργασίας, καί συχνοτέρας προσευχῆς. Σημεῖον δέ τῆς ἀπαλλαγῆς, τό μηκέτι μνησικακεῖν τῷ κακολογήσαντι, ἤ κακολογοῦντι.

μδ'. Εἰ θέλεις εἶναι δίκαιος, ἀπόνεμε ἑκάστῳ τῶν ἐν σοί μερῶν τά κατ᾽ ἀξίαν· ψυχῇ λέγω καί σώματι. Καί τῷ μέν λογιστικῷ τῆς ψυχῆς, ἀναγνώσματα καί θεωρήματα πνευματικά, καί προσευχήν· τῷ δέ θυμικῷ ἀγάπην πνευματικήν, τήν τῷ μίσει ἀντικειμένην· τῷ δέ ἐπιθυμητικῷ, σωφροσύνην καί ἐγκράτειαν· τῷ δέ σαρκίῳ, διατροφήν καί σκεπάσματα, τά μόνα ἀναγκαιότερα.

με'. Κατά φύσιν ὁ νοῦς ἐνεργεῖ, ὅταν τά πάθη ἔχῃ ὑποτεταγμένα, καί τούς λόγους τῶν ὄντων θεωρῇ, καί πρός τόν Θεόν διάγῃ.

μστ'. Ὥσπερ ὑγεία καί νόσος πρός τό σῶμα θεωρεῖται τοῦ ζώου, καί φῶς καί σκότος πρός τόν ὀφθαλμόν· οὕτως ἀρετή καί κακία πρός τήν ψυχήν, καί γνῶσις καί ἀγνωσία πρός τόν νοῦν.

μζ'. Ἐν τοῖς τρισί τούτοις ὁ Χριστιανός φιλοσοφεῖ· ἐν ταῖς ἐντολαῖς, ἐν τοῖς δόγμασι, καί ἐν τῇ πίστει. Καί αἱ μέν ἐντολαί, τῶν παθῶν τόν νοῦν χωρίζουσι· τά δέ δόγματα, εἰς τήν γνῶσιν τῶν ὄντων αὐτόν εἰσάγουσι· ἡ δέ πίστις, εἰς τήν θεωρίαν τῆς ἁγίας Τριάδος.

μη'. Οἱ μέν τῶν ἀγωνιζομένων, ἀποκρούονται μόνον τούς ἐμπαθεῖς λογισμούς· οἱ δέ καί αὐτά τά πάθη περικόπτουσι. Καί ἀποκρούεται μέν τις τούς ἐμπαθεῖς λογισμούς· οἷον, ἤ ψαλμῳδίᾳ, ἤ προσευχῇ, ἤ μετεωρισμῷ, ἤ ἄλλῳ τινί τοπικῷ περισπασμῷ. Ἐκκόπτει δέ τά πάθη, τῶν πραγμάτων ἐκείνων πειρφρονῶν, πρός ἅπερ αὐτά κέκτηται.

μθ'. Πρός ἅπερ τά πάθη κεκτήμεθα πράγματα, εἰσί ταῦτα, οἷον, γυνή, χρήματα, δῶρα, καί τά ἑξῆς. (1060) Καί τῆς μέν γυναικός, τότε δύναταί τις περιφρονεῖν, ὅτε καί μετά τήν ἀναχώρησιν, καί τό σῶμα δεῖ δι᾽ ἐγκρατείας μαραίνει· τῶν δέ χρημάτων, ὅτε πείθει τόν λογισμόν ἐν παντί τῇ αὐταρκείᾳ στοιχῆσαι· τῆς δέ δόξης, ὅτε τήν κρυπτήν ἀγαπήσει τῶν ἀρετῶν ἐργασίαν, καί Θεῷ φαινομένην μόνῳ· καί ἐπί τῶν ἄλλων ὡσαύτως· ὁ δέ τούτων περιφρονῶν, οὐδέ εἰς μῖσός τινος ἔρχεταί ποτε.

ν'. Ὁ μέν τοῖς πράγμασιν ἀποταξάμενος, οἷον τῇ γυναικί καί τοῖς χρήμασι, καί τοῖς ἑξῆς, τόν ἔξω ἄνθρωπον ἐποίησε μοναχόν· οὔπω δέ καί τόν ἔσω. Ὁ δέ τοῖς τούτων ἐμπαθέσι νοήμασι, τόν ἔσω ἄνθρωπον, ὅ ἐστιν ὁ νοῦς. Καί τόν μέν ἔξω ἄνθρωπον, εὐκόλως τις ποιεῖ μοναχόν, μόνον ἐάν θελήσῃ· οὐκ ὀλίγος δέ ἀγών, τόν ἔσω ἄνθρωπον ποιῆσαι μοναχόν.

να'. Τίς ἄρα ἐστίν ἐν τῇ γενεᾷ ταύτῃ, ὁ παντάπασιν ἀπαλλαγείς ἐμπαθῶν νοημάτων, καί τῆς καθαρᾶς καί ἀΰλου καταξιωθείς προσευχῆς· ὅπερ ἐστί σημεῖον τοῦ ἔνδον μοναχοῦ;

νβ'. Πολλά πάθη ἐν ταῖς ψυχαῖς ἡμῶν κέκρυπται· τότε δέ ἐλέγχονται, ὅταν τά πράγματα ἀναφαίνωνται.

νγ'. Δύναταί τις μή ὀχλεῖσθαι ὑπό παθῶν ἐν τῇ τῶν πραγμάτων ἀπουσίᾳ, μερικῆς τυχών ἀπαθείας· ἐάν δέ ἀναφανῶσι τά πράγματα, εὐθύς τά πάθη τόν νοῦν περισπῶσι.

νδ'. Μή νόμιζε τελείαν ἔχειν ἀπάθειαν, τοῦ πράγματος μή παρόντος. Ὅταν δέ φανῇ, καί μένῃς ἀκίνητος, πρός τε τό πρᾶγμα, καί τήν μετά ταῦτα μνήμην αὐτοῦ, τότε γνῶθι σεαυτόν τῶν ὅρων αὐτῆς ἐπιβεβηκέναι. Πλήν μηδέ οὕτω καταφρονήσῃς, διότι ἀρετή μέν χρονίζουσα, νεκροῖ τά πάθη· ἀμελουμένη δέ, πάλιν ἐγείρει αὐτά.

νε'. Ὁ ἀγαπῶν τόν Χριστόν, πάντως καί μιμεῖται αὐτόν κατά δύναμιν. Οἷον, ὁ Χριστός τούς ἀνθρώπους εὐεργετῶν οὐκ ἐπαύσατο· καί ἀχαριστούμενος καί βλασφημούμενος, ἐμακροθύμει· καί τυπτόμενος ὑπ᾽ αὐτῶν καί φονευόμενος, ὑπέμενε, μηδενί τό σύνολον τό κακόν λογιζόμενος. Ταῦτα δέ τά τρία, τά ἔργα εἰσί τῆς εἰς τόν πλησίον ἀγάπης, ὧν χωρίς ὁ λέγων ἀγαπᾷν τόν Χριστόν, ἤ τῆς βασιλείας αὐτοῦ τυχεῖν, ἑαυτόν ἀπατᾷ· Οὐ γάρ ὁ λέγων μοι, φησί, Κύριε, Κύριε, οὗτος εἰσελεύσεται εἰς τήν βασιλείαν τῶν οὐρανῶν, ἀλλ᾽ ὁ ποιῶν τό θέλημα τοῦ Πατρός μου. Καί πάλιν· Ὁ ἀγαπῶν ἐμέ, καί τάς ἐντολάς μου τηρήσει, καί τά ἑξῆς.

νστ'. Ἅπαξ ὁ σκοπός τῶν ἐντολῶν τοῦ Σωτῆρος, ἵνα ἀκρασίας καί μίσους τόν νοῦν ἐλευθερώσῃ, καί εἰς τήν αὐτοῦ ἀγάπην καί τοῦ πλησίον, ἀγάγῃ· ἐξ ὧν τίκτεται τό φέγγος τῆς κατ᾽ ἐνέργειαν ἁγίας γνώσεως.

(1061) νζ'. Μερικῆς γνώσεως παρά τοῦ Θεοῦ καταξιωθείς, μή ἀμέλει ἀγάπης καί ἐγκρατείας. Αὗται γάρ τό παθητικόν μέρος τῆς ψυχῆς ἐκκαθαίρουσαι, τήν ἐπί τήν γνῶσιν ὁδόν ἀεί σοι εὐτρεπίζουσιν.

νη'. Ὁδός ἐπί τήν γνῶσίν ἐστιν, ἀπάθεια καί ταπείνωσις, ὧν χωρίς οὐδείς ὄψεται τόν Κύριον.

νθ'. Ἐπειδή ἡ γνῶσις φυσιοῖ, ἡ δέ ἀγάπη οἰκοδομεῖ· σύζευξον τῇ γνώσει τήν ἀγάπην, καί ἔσῃ ἄτυφος· καί πνευματικός οἰκοδόμος, καί σεαυτόν οἰκοδομῶν, καί πάντας τούς ἐγγίζοντάς σοι.

ξ'. Ἐντεῦθεν ἡ ἀγάπη οἰκοδομεῖ, ἐπειδή οὐδέ φθονεῖ, οὐδέ πρός φθονοῦντας πικραίνεται· οὐδέ τό φθονούμενον δημοσεύει ἐπιδεικτικῶς· οὐδέ λογίζεται ἑαυτόν ἤδη κατειληφέναι· καί ὧν δέ οὐκ οἶδεν, ὁμολογεῖ ἀνερυθριάστως τήν ἄγνοιαν. Οὕτως οὖν τόν νοῦν ἄτυφον ἀπεργάζεται, καί προκόπτειν εἰς τήν γνῶσιν ἀεί παρασκευάζει.

ξα'. Πέφυκέ πως παρέπεσθαι τῇ γνώσει ἡ οἴησις καί φθόνος ἐν προοιμίοις μάλιστα. Καί ἡ μέν οἴησις, ἔνθοθεν μόνον· ὁ δέ φθόνος, καί ἔνθοθεν καί ἔξωθεν. Καί ἔνδοθεν μέν, πρός τούς ἔχοντας γνῶσιν· ἔξωθεν δέ, ἀπό τῶν ἐχόντων. Ἡ οὖν ἀγάπη, τά τρία ἀνατρέπει· τήν

μέν οἴησιν, ἐπειδή οὐ φυσιοῦται. Τόν δέ ἔνδοθεν φθόνον, ἐπεί οὐ ζηλοῖ· τόν δέ ἔξωθεν, ἐπειδή μακροθυμεῖ καί χρηστεύεται. Ἀνάγκη οὖν τόν ἔχοντα γνῶσιν, προσλαβέσθαι καί τήν ἀγάπην, ἵνα ἄτρωτον τόν νοῦν ἐν παντί διαφυλάττῃ.

ξβ'. Ὁ τοῦ χαρίσματος τῆς γνώσεως καταξιωθείς, καί λύπην, ἤ μνησικακίαν πρός ἄνθρωπον ἔχων, ἤ μῖσος, ὅμοιός ἐστι τῷ ἀκάνθαις καί τριβόλοις τούς (1064) ὀφθαλμούς κατακεντοῦντι [Fr.τοῦ κατακεντοῦντος]. Διό ἀναγκαίως δέεται ἡ γνῶσις ἀγάπης.

ξγ'. Μή ὅλην τήν σχολήν σου περί τήν σάρκα ἔχε, ἀλλά ὅρισόν αὐτῇ τήν κατά δύναμιν ἄσκησιν· καί ὅλον τόν νοῦν σου, περί τά ἔνδον τρέψον· Ἡ γάρ σωματική γυμνασία, πρός ὀλίγον ἐστίν ὠφέλιμος· ἡ δέ εὐσέβεια, πρός πάντα ἐστίν ὠφέλιμος καί τά ἑξῆς.

ξδ'. Ὁ ἀδιαλείπτως περί τά ἔνδον τάς διατριβάς ποιούμενος, σωφρονεῖ, μακροθυμεῖ, χρηστεύεται, ταπεινοφρονεῖ. Οὐ μόνον δέ, ἀλλά καί θεωρεῖ, καί θεολογεῖ, καί προσεύχεται. Καί τοῦτό ἐστιν ὅ λέγει ὁ Ἀπόστολος· Πνεύματι περιπατεῖτε, καί τά ἑξῆς.

ξε'. Ὁ τήν πνευματικήν ὁδόν ὁδεύειν μή ἐπιστάμενος, τῶν ἐμπαθῶν νοημάτων οὐ ποιεῖται φροντίδα· ἀλλ᾽ ὅλην τήν σχολήν περί τήν σάρκα ἔχει, καί ἤ γαστριμαργεῖ καί ἀκολασταίνει, λυπεῖταί τε καί ὀργίζεται καί μνησικακεῖ, καί ἐντεῦθεν τόν νοῦν σκοτίζει· ἤ ἀμέτρως τῇ ἀσκήσει κέχρηται, θολεῖ τήν διάνοιαν.

ξστ'. Οὐδέν τῶν ἐκ Θεοῦ εἰς χρῆσιν ἡμῖν δοθέντων ἀναιρεῖ ἡ Γραφή· ἀλλά τήν ἀμετρίαν κολάζει, καί τήν ἀλογιστίαν διορθοῦται. Οἷον, οὐ κωλύει ἐσθίειν, οὐδέ παιδοποιεῖν, οὐδέ χρήματα ἔχειν καί ὀρθῶς διοικεῖν· ἀλλά κωλύει γαστριμαργεῖν, πορνεύειν, καί τά ἑξῆς. Ἀλλ᾽ οὐδέ τό νοεῖν ταῦτα κωλύει (διά τοῦτο γάρ γεγόνασιν), ἀλλά τό ἐμπαθῶς νοεῖν.

ξζ'. Τά μέν τῶν ὑφ᾽ ὑμῶν κατά Θεόν πραττομένων, κατ᾽ ἐντολήν πράττεται· τά δέ, κατ᾽ ἐντολήν, ἀλλ᾽ ὡς ἄν τις εἴποι, καθ᾽ ἑκούσιον προσφοράν. Οἷον κατ᾽ ἐντολήν μέν, τό ἀγαπᾶν τόν Θεόν καί τόν πλησίον· τό ἀγαπᾶν τούς ἐχθρούς· τό μή μοιχεύειν μηδέ φονεύειν [unus Reg. φθονεῖν], καί τά λοιπά· ἅτινα καί παραβάντες, κατακρινόμεθα. Οὐ κατ᾽ ἐντολήν δέ, τό παρθενεύειν, ἡ ἀγαμία, ἡ ἀκτημοσύνη, ἡ ἀναχώρησις, καί τά ἑξῆς. Ταῦτα δώρων λόγον ἐπέχουσιν· ἵνα ἐάν τινας τῶν ἐντολῶν κατορθῶσαι ἐξ ἀσθενείας μή δυνηθῶμεν, διά τῶν δώρων τόν ἀγαθόν ἡμῶν ἐξιλεωσώμεθα Δεσπότην.

ξη΄. Ὁ τήν ἀγαμίαν τιμῶν ἤ παρθενίαν, ἀναγκαίως ὀφείλει ἔχειν τήν ὀσφύν περιεζωσμένην, καί τόν λύχνον καιόμενον· τήν μέν ὀσφύν δι᾽ ἐγκρατείας· τόν δέ λύχνον, διά προσευχῆς καί θεωρίας καί ἀγάπης πνευματικῆς.

ξθ΄. Τινές τῶν ἀδελφῶν, ἐκτός ἑαυτούς εἶναι νομίζουσι, τῶν τοῦ ἁγίου Πνεύματος χαρισμάτων. Οὐ γάρ ἴσασι διά τήν ἀμέλειαν τῆς τῶν ἐντολῶν ἐργασίας, ὅτι ὁ τήν εἰς Χριστόν πίστιν ἀνόθευτον ἔχων, πάντα τά θεῖα χαρίσματα συλλήβδην ἔχει ἐν ἑαυτῷ. (1056)Ἐπειδή γάρ τῆς εἰς αὐτόν κατ᾽ ἐνέργειαν ἀγάπης διά τήν ἀργίαν μακράν ἐσμέν, τῆς δεικνούσης ἡμῖν τούς ἐν ἡμῖν θείους θησαυρούς, εἰκότως ἐκτός ἑαυτούς τῶν θείων νομίζομεν χαρισμάτων.

ο΄. Εἰ ὁ Χριστός ἐν ταῖς καρδίαις ἡμῶν κατοικεῖ διά τῆς πίστεως, κατά τόν θεῖον Ἀπόστολον· πάντες δέ οἱ θησαυροί τῆς σοφίας καί τῆς γνώσεως ἐν αὐτῷ εἰσιν ἀπόκρυφοι· πάντες ἄρα οἱ θησαυροί τῆς σοφίας καί τῆς γνώσεως ἐν ταῖς καρδίαις ἡμῶν εἰσιν ἀπόκρυφοι. Φανεροῦνται δέ τῇ καρδίᾳ, κατά τήν ἀναλογίαν τῆς ἑκάστου διά τῶν ἐντολῶν καθάρσεως.

οα΄. Οὗτός ἐστιν ὁ θησαυρός ὁ ἐν τῷ ἀγρῷ κεκρυμμένος τῆς καρδίας σου, ὅν οὔπω εὗρες διά τήν ἀργίαν. Εἰ γάρ εὗρες, ἄρα ἄν πέπρακες πάντα, καί ἐκτήσω τόν ἀγρόν τοῦτον. Νῦν δέ τόν ἀγρόν ἀφείς, τά περί τόν ἀγρόν περιέπεις· ἐν οἷς οὐδέν ἄλλο εὑρίσκεται, πλήν ἀκανθῶν καί τριβόλων.

οβ΄. Διά τοῦτο λέγει ὁ Σωτήρ· Μακάριοι οἱ καθαροί τῇ καρδίᾳ, ὅτι αὐτοί τόν Θεόν ὄψονται. Τότε δέ ὄψονται αὐτόν, καί τούς ἐν αὐτῷ θησαυρούς, ὅτε διά ἀγάπης καί ἐγκρατείας ἑαυτούς καθαίρουσι· καί τοσούτῳ πλέον, ὅσῳ τήν κάθαρσιν ἐπιτείνουσι.

ογ΄. Διά τοῦτο πάλιν λέγει· Πωλήσατε τά ὑπάρχοντα ὑμῶν, καί δότε ἐλεημοσύνην, καί ἰδού πάντα ὑμῖν καθαρά ἔσται· ὡς μηκέτι τοῖς περί τό σῶμα σχολαζόντων πράγμασιν, ἀλλά τόν νοῦν καθαίρειν σπευδόντων, ἀπό μίσους καί ἀκρασίας· ὅν καρδίαν ὀνομάζει ὁ Κύριος. Ταῦτα γάρ τόν νοῦν ῥυποῦντα, οὐκ ἐῶσι βλέπειν τόν ἐν αὐτῷ κατοικοῦντα Χριστόν, διά τῆς χάριτος τοῦ ἁγίου βαπτίσματος.

οδ΄. Ὁδούς ἡ Γραφή τάς ἀρετάς ὀνομάζει. Μείζων δέ πασῶν τῶν ἀρετῶν, ἡ ἀγάπη καθέστηκε. Διά τοῦτο ἔλεγεν ὁ Ἀπόστολος· Ἔτι καθ᾽ ὑπερβολήν ὁδόν ὑμῖν δείκνυμι· ὡς καταφρονεῖν πείθουσαν τῶν ὑλικῶν πραγμάτων, καί μηδέν τῶν προσκαίρων προτιμᾷν τῶν αἰωνίων.

οε'. Ἡ εἰς Θεόν ἀγάπη, ἀνθίσταται τῇ ἐπιθυμίᾳ· πείθει γάρ τόν νοῦν ἐγκρατεύεσθαι ἀπό τῶν ἡδονῶν. Ἡ δέ εἰς τόν πλησίον, ἀνθίσταταιτῷ θυμῷ· ποιεῖ γάρ καταφρονεῖν δόξης καί χρημάτων. Καί ταῦτά εἰσι τά δύο δηνάρια, ἅπερ ὁ Σωτήρ δέδωκε τῷ πανδοχεῖ, ἵνα σου ἐπιμέλειαν ποιήσηται. Ἀλλά μή φανῇς ἀγνώμων τοῖς λησταῖς συνδυάζων, μή ποτε πάλιν πληγῇς, καί οὐκ ἔτι ἡμιθανής, ἀλλά νεκρός εὑρεθήσῃ.

(1068) οστ'. Κάθαιρε τόν νοῦν σου ἀπό ὀργῆς, καί μνησικακίας, καί τῶν αἰσχρῶν λογισμῶν. Καί τότε δυνήσῃ γνῶναι τήν τοῦ Χριστοῦ ἐνοίκησιν.

οζ'. Τίς σε ἐφώτισεν εἰς τήν πίστιν τῆς ἁγίας καί ὁμοουσίου καί προσκυνητῆς Τριάδος; ἤ τίς σοι ἐγνώρισε τήν ἔνσαρκον οἰκονομίαν τοῦ ἑνός τῆς ἁγίας Τριάδος; Τίς δέ σε ἐδίδαξε τούς περί ἀσωμάτων λόγους, ἤ τούς περί γενέσεως καί συντελείας τοῦ ὁρωμένου κόσμου· ἤ περί τῆς ἐκ νεκρῶν ἀναστάσεως καί αἰωνίου ζωῆς, ἤ περί τῆς δόξης τῆς βασιλείας τῶν οὐρανῶν, καί τῆς φοβερᾶς κρίσεως; Οὐχί ἡ χάρις τοῦ Χριστοῦ ἡ ἐνοικοῦσα ἐν σοί; ἥτις ἐστίν ὁ ἀῤῥαβών τοῦ ἁγίου Πνεύματος; Τί μεῖζον ταύτης τῆς χάριτος; ἤ τί κρεῖττον ταύτης τῆς σοφίας καί τῆς γνώσεως; ἤ τί τῶν ἐπαγγελιῶν ὑψηλότερον; Εἰ δέ ἐσμεν ἀργοί καί ἀμελεῖς, καί μή καθαίρομεν ἑαυτούς τῶν κωλυόντων ἡμᾶς, καί τόν νοῦν ἡμῶν ἐκτυφλούντων παθῶν, ὥστε δύνασθαι καί τρανότερον ἡλίου τούς περί τούτων λόγους ὁρᾷν, ἑαυτούς αἰτιασώμεθα, καί μή τήν τῆς χάριτος ἐνοίκησιν ἀρνησώμεθα.

οη'. Ὁ ἐπαγγειλάμενός σοι Θεός τά αἰώνια ἀγαθά, καί τόν ἀῤῥαβῶνα τοῦ Πνεύματος ἐν τῇ καρδίᾳ δεδωκώς, ἐνετείλατό σοι ἐπιμελεῖσθαί σε τοῦ βίου, ἵνα ὁ ἔσω ἄνθρωπος τῶν παθῶν ἐλευθερωθείς, ἄρξηται ἀπεντεῦθεν τῆς τῶν ἀγαθῶν ἀπολαύσεως.

οθ'. Τῶν θείων καί ὑψηλῶν καταξιωθείς θεωρημάτων, σφόδρα ἐπιμελοῦ ἀγάπης καί ἐγκρατείας· ἵνα τό παθητικόν ἀτάραχον διαφυλάττων, ἀνέκλειπτον ἕξῃς τό τῆς ψυχῆς φέγγος.

π'. Τό θυμικόν τῆς ψυχῆς, ἀγάπῃ χαλίνωσον· καί τό ἐπιθυμητικόν αὐτῆς ἐγκρατείᾳ καταμάρανον· καί τό λογικόν αὐτῆς προσευχῇ πτέρωσον· καί τό φῶς τοῦ νοῦ οὐκ ἀμαυροῦταί ποτε.

πα'. Τά τήν ἀγάπην λύοντα, εἰσί ταῦτα· οἷον, ἀτιμία, ζημία, συκοφαντία, ἤ εἰς πίστιν,ἤ εἰς βίον· δαρμοί, πληγαί, καί τά ἑξῆς· καί ταῦτα ἤ αὐτῷ συμβαίνοντα, ἤ τινι τῶν αὐτοῦ συγγενῶν ἤ φίλων.Ὁ οὖν

διά τι τούτων λύων τήν ἀγάπην, οὔπω ἔγνω τίς ὁ σκοπός τῶν τοῦ Χριστοῦ ἐντολῶν.

πβ'. Σπούδασον ὅσον δύνασαι πάντα ἄνθρωπον ἀγαπῆσαι. Εἰ δέ τοῦτο οὔπω δύνασαι, κἄν μηδένα μισήσῃς, οὐ δύνασαι δέ οὐδέ τοῦτο ποιῆσαι, εἰ μή τῶν τοῦ κόσμου πραγμάτων καταφρονήσῃς.

πγ'. Ὁ δεῖνα ἐβλασφήμησε· μή μισήσῃς ἐκεῖνον, ἀλλά τήν βλασφημίαν, καί τόν βλασφημῆσαι παρασκευάσαντα δαίμονα. Εἰ δέ τόν βλασφημήσαντα μισεῖς, ἄνθρωπον ἐμίσησας, καί τήν ἐντολήν παρέβης· καί ὅπερ ἐκεῖνος τῷ λόγῳ ἐποίησε, ποιεῖς σύ τῷ ἔργῳ. Εἰ δέ τήν ἐντολήν φυλάττεις, τά τῆς ἀγάπης ἐπίδειξαι· καί εἴ τι δύνασαι, βοήθησον, ἵνα τοῦ κακοῦ αὐτόν ἀπαλλάξῃς.

πδ'. Οὐ θέλει σε ὁ Χριστός μῖσος ἔχειν πρός ἄνθρωπον, ἤ λύπην ἤ ὀργήν ἤ (1069) μνησικακίαν τοσύνολον καθ᾿ οἱονδήποτε τρόπον, ἤ δι᾿ οἱονδήποτε πρᾶγμα πρόσκαιρον. Καί τοῦτο πάντῃ βοῶσι τά τέσσαρα Εὐαγγέλια.

πε'. Πολλοί ἐσμεν οἱ λέγοντες, ὀλίγοι δέ οἱ ποιοῦντες. ἀλλ᾿ οὖν τόν λόγον τοῦ Θεοῦ οὐδείς ὤφειλε νοθεύειν διά τήν ἰδίαν ἀμέλειαν· ἀλλ᾿ ὁμολογεῖν μέν τήν ἑαυτοῦ ἀσθένειαν, μή ἀποκρύπτειν δέ τήν τοῦ Θεοῦ ἀλήθειαν· ἵνα μή ὑπόδικοι γενώμεθα, μετά τῆς τῶν ἐντολῶν παραβάσεως, καί τῆς τοῦ λόγου τοῦ Θεοῦ παρεξηγήσεως.

πστ'. Ἀγάπη καί ἐγκράτεια, παθῶν τήν ψυχήν ἐλευθεροῦσιν· ἀνάγνωσις καί θεωρία, ἀγνοίας τόν ἀπαλλάττουσιν· ἡ δέ τῆς προσευχῆς κατάστασις, αὐτῷ παρίστησιν αὐτόν τῷ Θεῷ.

πζ'. Ὅταν ἴδωσιν ἡμᾶς οἱ δαίμονες τῶν πραγμάτων τοῦ κόσμου καταφρονοῦντας, ἵνα μή δι᾿ αὐτά τούς ἀνθρώπους μισήσωμεν καί τῆς ἀγάπης ἐκπέσωμεν, τότε συκοφαντίας καθ᾿ ἡμῶν ἐγείρουσιν, ἵνα τήν λύπην μή φέροντες, τούς συκοφαντήσαντας μισήσωμεν.

πη'. Οὐκ ἔστι πόνος ψυχῆς βαρύτερος συκοφαντίας, κἄν τε εἰς πίστιν, κἄν τε εἰς βίον τις συκοφαντεῖται· καί οὐδείς ταύτης καταφρονεῖν δύναται, εἰ μή μόνος ὁ εἰς Θεόν ἀποβλεπόμενος ὡς ἡ Σωσάννα, τόν μόνον δυνάμενον καί ἐξ ἀναγκῶν ῥύσασθαι ὥσπερ κἀκείνην, καί τούς ἀνθρώπους πληροφορῆσαι, ὡς καί περί ἐκείνης· καί τήν ψυχήν τῇ ἐλπίδι παραμυθήσασθαι.

πθ'. Ὅσον εὔχῃ ἐκ τῆς ψυχῆς ὑπέρ τοῦ συκοφαντήσαντος, τοσοῦτον καί ὁ Θεός πληροφορεῖ τούς σκανδαλισθέντας.

τέσσ. ἀνοικ. '. Φύσει ἀγαθός μόνος ὁ Θεός· καί γνώμῃ ἀγαθός, μόνος ὁ θεομίμητος. Σκοπός γάρ αὐτῷ ἐστι, τῷ φύσει ἀγαθῷ τούς

πονηρούς συνάψαι, ἵνα γένωνται ἀγαθοί. Διά τοῦτο ὑπ᾽ αὐτῶν λοιδορούμενος εὐλογῇ· διωκόμενος ἀνέχεται· βλασφημούμενος παρακαλεῖ· φονευόμενος ὑπερεύχεται. Πάντα ποιεῖ, ἵνα τοῦ σκοποῦ τῆς ἀγάπης μή ἐκπέσῃ.

τέσσ. ἀνοικ. α'. Αἱ μέν ἐντολαί τοῦ Κυρίου, διδάσκουσιν ἡμᾶς τοῖς μέσοις εὐλόγως χρήσασθαι πράγμασι· ἡ δέ εὔλογος τῶν μέσων χρῆσις, τήν τῆς ψυχῆς καθαίρει κατάστασιν· ἡ δέ καθαρά κατάστασις, τίκτει τήν διάκρισιν· ἡ δέ διάκρισις, τίκτει τήν ἀπάθειαν, ἐξ ἧς τίκτεται ἡ τελεία ἀγάπη.

τέσσ. ἀνοικ. β'. Οὔπω ἔχει τήν ἀπάθειαν, ὁ διά σύμβασιν πειρασμοῦ, τό ἐλάττωμα τοῦ φίλου παραβλέπειν μή δυνάμενος, ἤ ὄν τυχόν, ἤ δέ εἶναι δοκοῦν. (1072) Τά γάρ ἐγκείμενα τῇ ψυχῇ πάθη ἐκταρασσόμενα, ἐκτυφλοῖ τήν διάνοιαν, καί οὐκ ἐᾷ διαβλέψαι εἰς τάς τῆς ἀληθείας αὐγάς, οὐδέ διακρῖναι τό κρεῖττον ἀπό τοῦ χείρονος. Οὐκ ἄρα οὖν οὐδέ τήν τελείαν ἀγάπην ὁ τοιοῦτος ἐκτήσατο, τήν ἔξω βάλλουσαν τόν φόβον τῆς κρίσεως.

τέσσ. ἀνοικ. γ'. Φίλου πιστοῦ οὐκ ἔστιν ἀντάλλαγμα. Ἐπειδή τάς τοῦ φίλου συμφοράς, ἰδίας λογίζεται· καί συνυποφέρει αὐτῷ μέχρι θανάτου κακοπαθῶν.

τέσσ. ἀνοικ. δ'. Πολλοί μέν οἱ φίλοι, ἀλλ᾽ ἐν καιρῷ εὐημερίας· ἐν δέ καιρῷ πειρασμῶν, μόλις ἄν εὑρήσεις ἕνα.

τέσσ. ἀνοικ. ε'. Πάντα μέν ἄνθρωπον, ἐκ ψυχῆς ἀγαπητέον· ἐπί τῷ Θεῷ μέ μόνῳ τήν ἐλπίδα θετέον, καί ἐξ ὅλης ἰσχύος αὐτόν θεραπευτέον. Ἐφόσον γάρ αὐτός ἡμᾶς συντηρεῖ, οἵ τε φίλοι πάντες ἡμᾶς περιέπουσι, καί οἱ ἐχθροί πάντες πρός ἡμᾶς ἀδυνατοῦσιν. Ἐπάν δέ αὐτός ἡμᾶς ἐγκαταλίπῃ, οἵ τε φίλοι πάντες ἡμᾶς ἀποστρέφονται, καί οἱ ἐχθροί πάντες καθ᾽ ἡμῶν ἰσχύουσι.

τέσσ. ἀνοικ. στ'. Τέσσαρές εἰσι γενικοί ἐγκαταλείψεως τρόποι· ἡ μέν, οἰκονομική, ὡς ἐπί τοῦ Κυρίου· ἵνα διά τῆς δοκούσης ἐγκαταλείψεως, οἱ ἐγκαταλελειμένοι σωθῶσιν. ἡ δέ, πρός δοκιμήν, ὡς ἐπί τοῦ Ἰώβ καί Ἰωσήφ· ἵνα ὁ μέν, ἀνδρείας· ὁ δέ, σωφροσύνης στῆλαι ἀναφανῶσιν. Ἡ δέ, πρός παίδευσιν πνευματικήν, ὡς ἐπί τοῦ Ἀποστόλου, ἵνα ταπεινοφρονῶν, τήν ὑπερβολήν φυλάξῃ τῆς χάριτος. Ἡ δέ κατά ἀποστροφήν, ὡς ἐπί τῶν Ἰουδαίων, ἵνα κολαζόμενοι πρός μετάνοιαν κατακαμφθῶσι. Σωτήριοι δέ πάντες οἱ τρόποι ὑπάρχουσι, καί τῆς θείας ἀγαθότητος καί φιλανθρωπίας ἀνάμεστοι.

τέσσ. ἀνοικ. ζ'. Μόνον οἱ ἀκριβεῖς τῶν ἐντολῶν φύλακες, καί γνήσιοι τῶν θείων κριμάτων μύσται, τούς κατά συγχώρησιν Θεοῦ πειραζομένους, οὐ καταλιμπάνουσι φίλοις. Οἱ δέ τῶν ἐντολῶν καταφρονηταί, καί τῶν θείων κριμάτων ἀμύητοι, ὅταν μέν ὁ φίλος εὐημερῇ, συναπολαύουσιν αὐτῷ· ἐπάν δέ πειραζόμενος κακοπαθῇ, καταλιμπάνουσιν αὐτόν. Ἔστι δέ ὅταν καί μετά τῶν ἐναντίων ἵστανται.

τέσσ. ἀνοικ. η'. Οἱ μέν τοῦ Χριστοῦ φίλοι, πάντας ἀγαπῶσι γνησίως. Οὐχ ὑπό πάντων δέ ἀγαπῶνται. Καί οἱ μέν τοῦ Χριστοῦ, μέχρι τέλους τήν συνέχειαν τῆς ἀγάπης διατηροῦσιν· οἱ δέ τοῦ κόσμου, μέχρι οὗ ἀλλήλοις διά τά κόσμου προσκρούσωσι.

τέσσ. ἀνοικ. θ'. Φίλος πιστός, σκέπη κραταιά. Ἐπειδή καί εὐημεροῦντι τῷ φίλῳ σύμβουλός ἐστιν ἀγαθός καί συνεργός σύμψυχος· καί κακοπαθοῦντι ἀντιλήπτωρ γνησιώτατος καί ὑπέρμαχος συμπαθέστατος.

(1073) ρ'. Πολλοί μέν πολλά περί ἀγάπης εἰρήκασιν· ἐν μόνοις δέ τοῖς Χριστοῦ μαθηταῖς ταύτην ζητήσας, εὑρήσεις· ἐπεί καί μόνοι αὐτοί εἶχον τήν ἀληθινήν Ἀγάπην τῆς ἀγάπης διδάσκαλον, περί ἧς ἔλεγον· Ἐάν ἔχω προφητείαν, καί εἰδῶ τά μυστήρια πάντα, καί πᾶσαν τήν γνῶσιν, ἀγάπην δέ μή ἔχω, οὐδέν ὠφελοῦμαι. Ὁ οὖν κτησάμενος τήν ἀγάπην, αὐτόν τόν Θεόν ἐκτήσατο· ἐπειδή ὁ Θεός ἀγάπης ἐστίν. Αὐτῷ ἡ δόξα εἰς τούς αἰῶνας. Ἀμήν.

Τέλος τῶν περί ἀγάπης κεφαλαίων τῆς τετάρτης ἑκατοντάδος.

## *ΑΝΕΠΙΓΡΑΦΟΥ ΣΧΟΛΙΑ. (1073)*

α'. Ἡμεῖς οὐδέ λόγοις οὐδέ ἔργοις παιδεύειν, ἤ κἄν παιδεύεσθαι δυνάμενοι, λόγοις παιδεύειν ἐπιχειροῦμεν· καί ἄλλων γίνεσθαι ἰατροί ἕλκεσιν αὐτοί βρύοντες. Ὅρα δέ τό, ὅτι Οὐ πάντα τοῖς βουλομένοις εἰσίν εὔληπτα, κἄν τοῦτο δοκῇ. Καί τίς οὐ θαυμάσεται τούς καί γυναῖκας χλιδώσας καί νήπια ταῦτα διδάσκειν ἐπαγγελλομένους μετά σοβαροῦ φρονήματος;

β'. Λέγων ὁ Ἀπόστολος. Εἰ δέ τις ἀγαπᾷ τόν Θεόν, οὗτος ἔγνωσται ὑπ᾽ αὐτοῦ· δῆτα ἀγαπῶντας ἡμᾶς τόν Κύριον γινώσκεσθαι βούλεται· Ἐκ δέ τοῦ γινώσκεσθαι, τό διδάσκεσθαι, καθά φησιν ὁ μέγας καί τήν ἀρετήν καί τήν θεολογίαν Γρηγόριος. Ταύτης οἶμαι τῆς ἐννοίας ἐστί,

καί τόδε τό κεφάλαιον· Ἀγάπην μέν, τίκτει ἀπάθεια· ἡ δέ ἀγάπη, τοῦ φωτισμοῦ τῆς γνώσεως ἐστι γεννητική.

γ'. Τίνων οὐχ ἅπτεται αὕτη ἔννοια, οἶμαι δέ μάλιστα, τῶν τοῦ μαμωνᾶ ὑπεραποθνησκόντων· ταῦτόν δέ εἰπεῖν τοῦ λεγομένου δημοσίου καί τοῦ κοσμοκράτορος.

δ'. Ὁ Θεός πάντας ἀνθρώπους θέλει σωθῆναι, καί ὑπέρ πάντων ἀπέθανεν, ἵνα οἱ πάντες σωθῶσιν. Ὁ οὖν ἀγαπῶν τόν Θεόν, τό θελητόν τοῦ Θεοῦ φυλάττει. Φυλάττων δέ, πῶς οὐκ ἀγαπήσει πάντας ὡς ἑαυτόν, καί θελήσει πάντας σωθῆναι, τοῦτο θέλοντος τοῦ Θεοῦ;

ε'. Γνῶσιν τοῦ Θεοῦ τήν πίστιν λέγει· ἀγάπην δέ, τήν τήρησιν τῶν ἐντολῶν· ἥν καί θέλημα καλεῖ καί δικαιώματα καί ἐντάλματα καί προστάγματα καί φῶς· κατά τό, Διότι φῶς τά προστάγματά σου. Τήν ἔμπρακτον δέ γνῶσιν παρίστησι τό κεφάλαιον.

στ'. Αἰτία τῶν ἀρετῶν ἐστιν ὁ Θεός. Τούτου δέ, κατ᾽ ἐνέργειαν γνῶσις, ἡ τοῦ κατ᾽ ἀλήθειαν ἐπεγνωκότος τόν Θεόν, πρός τό πνεῦμα κατά τήν ἕξιν ἀλλοίωσις.

ζ'. Ἀνάγνωθι τό οστ' τῆς ρ', καί εὑρήσεις ὅμοιον πάντη, παρά τό τῶν ὀνομάτων διάφορον.

η'. Εἰ φάρμακον τῆς ἀγάπης ἡ ἐντολή κατά τοῦ θυμοῦ ἐδόθη· πάντως ἡ ἐγκράτεια κατά τῆς ἐπιθυμίας δεδώρηται. Ἀνάγνωθι τό οθ'.

(1076) θ'. Οἱ δέ τῶν τριῶν δοῦλοι, πόσον μῖσος κατ᾽ ἀλλήλων τρέφομεν· τοῦ πάθους ὅλοι τῆς ἀπληστίας γενόμενοι. Ἀνάγνωθι τό ξδ'.

ι'. Εἰπών ἐν τῷ οζ', ὅτι διά μέν τῶν ἐντολῶν, ἀπαθεῖς ἐργάζεται· νῦν διά τοῦδε τοῦ κεφαλαίου δείκνυσι πῶς· ὅτι ἐν ἀγάπῃ καί νηστείᾳ, τῇ τε ἐγκρατείᾳ καί προσευχῇ.

ια'. Καί γνωστικός τις ἐγκατασπᾶται πάλιν.

ιβ'. Ἡμεῖς δέ συγκεχωσμένοι τοῖς πάθεσι, πῶς θεωρήσωμεν; ἤ πῶς ἅ θεωροῦμεν οὐκ ἐκβάλλει ἡμᾶς τῆς γνώσεως τῆς ἁγίας Τριάδος;

ιγ'. Τάς ἀναβάσεις τῆς θεωρίας βλέπεις;

ιδ'. Ὅτι ὥσπερ ἀπιστιδίας ἐν πίστει λόγος οὐδείς· οὕτως οὐδέ ἐν τοῖς λόγοις κατά φύσιν ὑπάρχει τό παράλογον. Ἔργον δέ τῶν ἐντολῶν, λόγος ἐστίν ἐνεργούμενος. Ἀνάγνωθι τό πδ' κεφάλαιον, καί ἀναπαύσῃ.

ιε'. Ἡ φυσική φησι θεωρία τῶν ἐντολῶν,ἤ τε ἡ πρός τόν πλησίον ἀνόθευτος ἀγάπη, φιλαυτίας καί τυραννίδος ἐλευθεροί τούς φυλάσσοντας. Ἡ δέ γνῶσις τῶν ὄντων, λήθης καί ἀγνοίας ἀπαλλάττει

τούς γνωστικούς. Διά τούτων δέ πάντων, τό τριμερές τῆς ψυχῆς ὑποτίθεται, κατά λόγον μέν καί φύσιν κινούμενον, πᾶσαν ἀρετήν κατορθοῦν· παρά λόγον δέ καί φύσιν, πᾶσαν κακίαν ἐργάσεσθαι. Μέμνησο, ὅτι τά ἀρχέγονα καί πάσης κακίας γεννητικά, τρία ταῦτά ἐστιν, ἄγνοια, φιλαυτία, καί τυραννίς· καί ὅτι ὑπεστήσατο ταύτας ὁ πονηρός ἐν ἡμῖν δυνάμεων προσχρησάμενος.

ιστ'. Τούτων τῶν ἐμπαθῶν λογισμῶν ψιλοῦσιν αἱ ἐντολαί, τά τῶν πραγμάτων νοήματα· καθά ἐν τῷ δ' κεφαλαίῳ τῆς αὐτῆς ρ' φησί.

ιζ'. Τά παρά τό θέλημα πραττόμενα τοῦ Θεοῦ, τό ἀγαθόν καί εὐάρεστον καί τέλειον, ὅπερ ἐστίν ἡ διά τόν Θεόν πρός τόν πλησίον ἀγαθή διάθεσις, παρά τόν ὀρθόν ἐστι σκοπόν γινόμενα. Ὅτι δέ παρά τό θέλημα τοῦ Θεοῦ τό πρός τόν πλησίον οὐ καλῶς διακεῖσθαι, δείκνυσιν ἐν Εὐαγγελίοις λέγων ὁ Κύριος· Ἐφ᾿ ὅσον ἐποιήσατε, καί ἐφ᾿ ὅσον οὐκ ἐποιήσατε, τῆς ἀγάπης τά εἴδη καί τοῦ μίσους ἀπαριθμούμενος. Ὅρα δέ ὅτι οἱ παρά τόν ὀρθόν ποιήσαντες σκοπόν, ἤγουν παρά τήν ἐντολήν τοῦ Θεοῦ, ἀποσεισάμενοι τό φιλάνθρωπον, οὐδεμίαν ἔχοντες ἀπολογίαν εἰπεῖν, οὐδέ τόν σκοπόν προβαλλόμενοι φαίνονται· εἰδότες, ὡς ὁ παρά τόν ὀρθόν σκοπόν τοῦ Θεοῦ τι πράττων, κἄν μυρίους λόγους προβάλλοι, τήν γέεναν οὐκ ἐκφεύξεται.

ιη'. Ἐπιθυμίαν ἵστησιν ἡ τοῦ Θεοῦ ἀγάπη· ἡ τοῦ πλησίον δέ, παύει θυμόν ἠγριωμένον.

ιθ'. Οἱ εἰκονικάς ὕλας τούς θείους χαρακτῆρας ὑπολαμβάνοντες, (1077) παραχρῶνται τοῖς τῶν χαρακτήρων νοήμασι. Τοῦ γάρ χαρακτῆρος τήν ὑπόστασιν δηλοῦντος· αὐτοί τήν οὐσίαν, ἤτοι τήν ὕλην, ἐν ᾗ ὁ χαρακτήρ προσκυνεῖται, χαρακτῆρα ὑπέλαβον. Ἔνθεντοι καί παραχρησάμενοι τῷ νοήματι, ἐξ ἀνάγκης καί τῷ πράγματι παρεχρήσαντο· ὡς ὕλην ψιλήν καί κωφήν τούς ἱερούς χαρακτῆρας ἀναιδῶς κατακαύσαντες.

κ'. Βλέπε τό διάφορον τῆς λύπης καί τῆς ὀδύνης· καί ὅτι παρακολουθήματά εἰσιν· ἡ μέν, τῆς ἡδονῆς· ἡ δέ, τῆς κενοδοξίας.

κα'. Πάσης ἡμᾶς ἀπολογίας ἀποπαύει τοῦ ἀποτιθέναι τά χρήματα, τά καθεξῆς τρία ταῦτα κεφάλαια.

κβ'. Τεχνικήν σοφίαν, οὐ τήν ἐκ μαθήσεως λέγει, ἀλλά τήν δι᾿ ἧς ὁ Θεός τά πάντα ἐποίησε.

κγ'. Τοῖς τέσσαρσιν ὁ νοῦς μου ἀκάθαρτος. Ἔχει δέ τι καί πλέον, ὅτι καί τῶν ἄλλων ἑαυτόν σοφώτερον ἥγηται.

κδ'. Οὐδέποτε ἡ ψυχή μου κατά φύσιν ἐνήργησεν· οἶδεν, ὁ μηδέν ἀγνοῶν· καί οὐδέποτε τῆς κατ᾽ ἐνέργειαν ἁμαρτίας ἠρέμησεν.

κε'. Ὥστε μή διά τόν Χριστόν τι ποιοῦντες· δι᾽ ἄλλο δέ τι, οὐ δυνάμεθα προβάλλεσθαι τόν σκοπόν· ἐπεί παρά τόν σκοπόν τοῦ Θεοῦ, καί κατά τό ἡμέτερον ἐργαζόμεθα.

κστ'. Εἰ διψᾷ τις ἁλίσκειν καί ἁρπάζειν ἀλλότρια, ὅ μή ἐστι θέλημα τοῦ Θεοῦ, πῶς προβαλεῖται τόν σκοπόν, οὗ σκοπός τό ἐλεεῖν ἡμᾶς καί δανείζειν ἐστίν;

κζ'. Ὅτι ὁ φιλαυτίᾳ δουλεύων, βαρυκάρδιός ἐστι, ματαιότητα καί ψεῦδος ἀγαπῶν καί ζητῶν· ὅπερ ἐστί τό σαρκικόν φρόνημα· ἤτοι τῆς σαρκός ἡ εὐπάθεια.

κη'. Τῶν προειρημένων, δῆλον φιληδονίας καί φιλοδοξίας καί φιλαργυρίας. Εἰ δέ τις τούτοις ἀπρίξ ἐνίσχεται ὡς ἐγώ, πῶς Θεοῦ καταξιωθήσεται γνώσεως, συνιδεῖν οὐκ ἔχω.

κθ'. Ἤ γάρ ὡς δοῦλοι ἤ καί μίσθιοι, ἤ ὡς υἱοί· τουτέστιν, ἤ ὡς πρακτικοί μόνον, ἤ καί ὡς γνώσεως καταξιωθέντες.

λ'. Ψιλός λογισμός, ὁ δίχα πάθους, ὁ ἁπλοῦς· ὁ γάρ ἐμπαθής, ἀπάγει Θεοῦ. Οὕτως οὐδέ ἡ ψιλή γνῶσις ἀπάγει τῶν ἀνθρωπίνων· ἀλλ᾽ ἡ παθοῦσα τήν ἀγάπην· ὅπερ ἐστίν ἡ πρός τό πνεῦμα κατά τήν ἕξιν ἀλλοίωσις.

λα'. Ὅτι οἱ υἱοί, γνώσει καί ἀγάπῃ τῶν παθῶν ἀπέχουσιν· οἱ δέ δοῦλοι καί μίσθιοι, ἤτοι οἱ πρακτικοί, ἤ φόβῳ, ἤ ἐλπίδι.

λβ'. Καί ταῦτα ἀπείργει τούς γράφειν ᾐρημένους· δεικνύντα σαφῶς τήν βλάβην ἐκ τοῦ τέλους.

λγ'. Οἶμαι πρός ἡμᾶς ἔβλεπε ταῦτα γράφων.

λδ'. Οὐκ ἐνόησαν τό ἐκ τῆς μεθόδου ταύτης κέρδος (1080) οἱ νομίζοντες εἰδέναι. Εἰ γάρ ἔγνωσαν, ἐκέρδησαν ἄν τό προκόπτειν εἰς τό εἰδέναι.

λε'. Ὅτι χρονίζοντος τοῦ ψιλοῦ λογισμοῦ, κινεῖται τό πάθος· ὥσπερ καί τοῦ ἐμπαθοῦς, γίνεται συγκατάθεσις.

λστ'. Οἶδας, Κύριε, ὅπως κρίνομαι σήμερον, καί δι᾽ ἥν αἰτίαν· μή ἐγκαταλίπῃς ἡμᾶς.

λζ'. Οὐ δύναται ταῦτα ποιῆσαι, ὁ τοῖς οἰκείοις πιστεύσας λογισμοῖς, καί δόξας ἤδη κατειληφέναι, τά καί μετά τό κατειλῆφθαι ἀκατάληπτα κατά φύσιν ὑπάρχοντα.

λη'. Λύπη καί μῖσος, τοῦ ἀλόγου μέρους τῆς ψυχῆς ἐλαττώματα.

λθ'. Βλέπε ὡς ἀπατώμεθα, τἀναντία ποιοῦντες, καί νομίζοντες κατά Χριστόν πολιτεύεσθαι· τό βαρύτερον, καί ἤδη παθεῖν τήν πνευματικήν ἀγάπην ὑπολαμβάνοντες.

μ'. Ἔχει τις πάθος πλεονεξίας· οὐ δεῖται δέ πλεονεκτεῖν; εἰ λάβοι δύναμιν πλεονεκτεῖν, εὐθύς ἐξελέγχεται· καί τοῦτο δῆλον.

μα'. Ὅρα ποῦ τό μακροθυμεῖν καί ποῦ τό ὑπομένειν χρηστέον. Κἄν γάρ ἄμφω ἐπί τῶν ἀκουσίων λέγηται πειρασμῶν· ἀλλ᾽ οἱ ἀκούσιοι εἰς λόγους διαιρούμενοι καί πληγάς, συνδιαιροῦσι καί ταῦτα τοῖς βλέπουσι.

μβ'. Ὅτι δι᾽ ἐγκρατείας καί ἀγάπης, ἡ κατ᾽ ἐνέργειαν ἀγαθή γνῶσις ἐγγίνεται.

μγ'. Καί τί ληροῦσιν ἐμπαθεῖς τινες ἄνθρωποι καί ὑψαύχενες γνῶσιν ἔχειν ἀλαζονευόμενοι θείαν; Ἐξ ἐμπαθείας γάρ καί ἐπάρσεως.

μδ'. Ὁ δέ δοκῶν ἤδη κατειληφέναι καί μηδέν ἀγνοεῖν, δῆλον ὡς ἀγάπην οὐκ ἔχει. Μή ἔχων δέ, πῶς προκόψει εἰς γνῶσιν;

με'. Ἀκάνθας ἔχοντες καί τριβόλους κακίας καί ἀγνωσίας· ἀρετήν ἐλπίζομεν ἔχειν καί γνῶσιν πνευματικήν.

μστ'. Τελειώτερον ὧδε τήν ἀγάπην ὑπεζωγράφησε· καί τά δύο δηνάρια, τήν εἰς τόν Θεόν καί τόν πλησίον ἀγάπην ὑπέφηνε.

μζ'. Ὅτι ἐν τῇ καθάρσει τῆς τριμεροῦς τῆς ψυχῆς δυνάμεως, ἡ γνῶσις τοῦ Χριστοῦ ἐπιγίνεται.

μη'. Ὅτι ἐξ ἀνάγκης οἱ τά τοῦ κόσμου περιέποντες πράγματα, τῆς ἁγίας ἀγάπης ἐκπίπτουσι· καί μῖσος δι᾽ αὐτά πρός τούς ὁμοφύλους ἀκατάλλακτον ἔχουσι.

μθ'. Ἐν ἀμφοτέροις ὁ ἅγιος μοναχός Κηδόνιος σεσυκόφανται· εἰς τόν τῆς Σωσάννης Θεόν ἀποβλέπων, ταῖς θείαις ἐλπίσι ῥωννύεται.

ν'. Ὅτι ὁ πάθει δουλεύων, πεπλήρωται τήν διάνοιαν, καί τυφλόν περιφέρων διάκρισιν, οὐ δύναται διακρῖναι τό κρεῖττον ἀπό τοῦ χείρονος.

***Ἐκ τῶν Φωτίου. (1081)***

Ἐν τῷ αὐτῷ τεύχει συνανεγνώσθη λόγος, κεφαλαίοις ἑκατόν διειλημμένος· καί, Ἕτερος ὁμοίως τοῖς ἴσοις ἀπηρτισμένος· Ἐν οἷς θεολογία τε διαλάμπει καί ἠθῶν διακόσμησις. Καί οὐκ ἄν ἐν οὐδενί τό ὁμοφυές αὐτοῖς πρός τά τετρακόσια κεφάλαια ἐνοθεύετο, εἰ μή τό ἀλληγορικόν ἐν πολλοῖς ὑποβαλλόμενον, καί ὁμόφυλά πως αὐτά

παραστῆσαν ἣν τῇ συντάξει, ἥτις Γραφικῶν ἀπορημάτων καί λύσεων ἔκθεσιν σπουδάζει, καί Θαλασσίῳ ἐστί τό πρεσβυτέρῳ καί ἡγουμένῳ προσπεφωνημένη. Καί τό πρός ταῦτα δέ συγγενές διά τῆς πρός ἐκείνην οἰκειώσεως, ὑποβολιμαῖον εἶναι λογισμούς ἀναῤῥιπίζει.

## ΚΕΦΑΛΑΙΑ Σ ' (1084)

## Περί θεολογίας καί τῆς ἐνσάρκου οἰκονομίας τοῦ Υἱοῦ Θεοῦ

### *ΕΚΑΤΟΝΤΑΣ Α '*

α'. Εἷς Θεός, ἄναρχος, ἀκατάληπτος, ὅλην ἔχων τοῦ εἶναι τήν δύναμιν διόλου· τήν, πότε καί πῶς εἶναι παντάπασιν ἀπωθούμενος ἔννοιαν· ὡς πᾶσιν ἄβατος, καί μηδενί τῶν ὄντων ἐκ φυσικῆς ἐμφάσεως διεγνωσμένος.

β'. Ὁ Θεός, οὐκ ἔστι δι᾽ ἑαυτόν, ὡς ἡμᾶς εἰδέναι δυνατόν· οὔτε ἀρχή, οὔτε μεσότης, οὔτε τέλος, οὔτε τι τό σύνολον ἕτερον τῶν τοῖς μετ᾽ αὐτόν φυσικῶς ἐνθεωρουμένων· ἀόριστος γάρ ἐστι καί ἀκίνητος καί ἄπειρος, ὡς πάσης οὐσίας καί δυνάμεως καί ἐνεργείας ὑπερέκεινα ἀπείρως ὤν.

γ'. Πᾶσα οὐσία τόν ἑαυτῆς ὅρον ἑαυτῇ συνεισάγουσα, ἀρχή πέφυκεν εἶναι,τῆς ἐπιθεωρουμένης αὐτῇ κατά δύναμιν κινήσεως. Πᾶσα δέ φυσική πρός ἐνέργειαν κίνησις, τῆς μέν οὐσίας μετεπινοουμένη· προεπινοουμένη δέ τῆς ἐνεργείας, μεσότης ἐστίν, ὡς ἀμφοῖν κατά τό μέσον φυσικῶς διειλημμένη· καί πᾶσα ἐνέργεια τῷ κατ᾽ αὐτήν λόγῳ φυσικῶς περιγραφομένη, τέλος ἐστί τῆς πρό αὐτῆς κατ᾽ ἐπίνοιαν οὐσιώδους κινήσεως.

δ'. Οὐκ ἔστιν ὁ Θεός οὐσία, κατά τήν ἁπλῶς ἤ πῶς λεγομένην οὐσίαν, ἵνα καί ἀρχή· οὔτε δύναμις κατά τήν ἁπλῶς ἤ πῶς λεγομένην δύναμιν, ἵνα καί μεσότης· οὔτε ἐνέργεια, κατά τήν ἁπλῶς ἤ πῶς λεγομένην ἐνέργειαν, ἵνα καί τέλος ἐστί τῆς κατά δύναμιν προεπινοουμένης οὐσιώδους κινήσεως· ἀλλ᾽ οὐσιοποιός καί ὑπερούσιος ὀντότης· καί δυναμοποιός καί ὑπερδύναμος ἵδρυσις· καί πάσης ἐνεργείας δραστική καί ἀτελεύτητος ἕξις· καί συντόμως εἰπεῖν, πάσης οὐσίας καί δυνάμεως καί ἐνεργείας, ἀρχῆς τε καί μεσότητος καί τέλους ποιητική.

(1085) ε'. Ἡ ἀρχή καί ἡ μεσότης καί τό τέλος, τῶν χρόνῳ διαιρετῶν εἰσι γνωρίσματα· εἴποι δ᾽ ἄν τις ἀληθεύων, καί τῶν ἐν αἰῶνι

συνορωμένων. Ὁ μέν γάρ χρόνος, μετρουμένην ἔχων τήν κίνησιν, ἀριθμῷ περιγράφεται· ὁ αἰών δέ συνεπινοουμένην ἔχων τῇ ὑπάρξει τήν πότε κατηγορίαν, πάσχει διάστασιν, ὡς ἀρχήν τοῦ εἶναι λαβών. Εἰ δέ χρόνος καί αἰών οὐκ ἄναρχα, πολλῷ μᾶλλον τά ἐν τούτοις περιεχόμενα.

στ'. Εἷς καί μόνος κατά φύσιν ἀεί κυρίως ἐστίν ὁ Θεός, ὅλον τό κυρίως εἶναι κατά πάντα τρόπον ἑαυτῷ περικλείων, ὡς καί αὐτοῦ τοῦ εἶναι κυρίως ὑπέρτερος. Εἰ δέ τοῦτο, οὐδαμῶς οὐδέν οὐδαμοῦ τῶν εἶναι λεγομένων τό σύνολον ἔχει τό, κυρίως εἶναι. Οὐκοῦν οὐδέν αὐτῷ τό παράπαν ἐξ ἀϊδίου συνθεωρεῖται κατ᾽ οὐσίαν διάφορον· οὐκ αἰών, οὐ χρόνος, οὐδέ τι τῶν τούτοις ἐνδιαιτωμένων. Οὐ γάρ συμβαίνουσιν ἀλλήλοις πώποτε, τό κυρίως εἶναι καί οὐ κυρίως.

ζ'. Ἀρχή πᾶσα καί μεσότης καί τέλος, εἰς ἅπαν τήν σχετικήν δι᾽ ὅλου κατηγορίαν οὐκ ἤρνηται· Θεός δέ καθόλου πάσης σχέσεως ὑπάρχων ἀπειράκις ἀπείρως ἀνώτερος, οὔτε ἀρχή οὔτε μεσότης οὔτε τέλος εἰκότως ἐστίν· οὐδέ τι τό σύνολον ἕτερον, τῶν, οἷς ἐνθεωρεῖσθαι κατά τήν σχέσιν ἡ τοῦ πρός τι δύναται κατηγορίαν.

η'. Πάντα τά ὄντα, νοούμενα λέγεται· τῶν ἐπ᾽ αὐτά γνώσεων ἐναποδείκτους ἔχοντα τάς ἀρχάς· ὁ δέ Θεός, οὐ νοούμενος ὀνομάζεται· ἀλλ᾽ ἐκ τῶν νοουμένων μόνον εἶναι πιστεύεται· διόπερ οὐδέν τῶν νοουμένων αὐτῷ καθ᾽ ὁτιοῦν παραβάλλεται.

θ'. Αἱ τῶν ὄντων γνώσεις, συνηρτημένους φυσικῶς ἔχουσι πρός ἀπόδειξιν τούς οἰκείους λόγους, οἷς περιγραφήν φυσικῶς ὑπομένουσιν· ὁ δέ Θεός, διά τῶν ἐν τοῖς οὖσι λόγων εἶναι μόνον πιστεύεται· πάσης ἀποδείξεως βασιμώτερον, τοῖς εὐσεβέσι τήν ὅτι κυρίως ἐστίν ὁμολογίαν καί πίστιν διδούς. Πίστις γάρ ἐστι, γνῶσις ἀληθής ἀναποδείκτους ἔχουσα τάς ἀρχάς, ὡς τῶν ὑπέρ νοῦν καί λόγον ὑπάρχουσα πραγμάτων ὑπόστασις.

ι'. Ἀρχή τῶν ὄντων καί μεσότης καί τέλος ἐστίν (1088) ὁ Θεός, ὡς ἐνεργῶν, ἀλλ᾽ οὐ πάσχω ὥσπερ καί τά ἄλλα πάντα, οἷς παρ᾽ ἡμῶν ὀνομάζεται. Ἀρχή γάρ ἐστιν ὡς δημιουργός· καί μεσότης, ὡς προνοητής· καί τέλος, ὡς περιγραφή. Ἐξ αὐτοῦ γάρ, φησί, καί δι᾽ αὐτοῦ, καί εἰς αὐτόν τά πάντα.

ια'. Οὐκ ἔστι ψυχή λογική κατ᾽ οὐσίαν ψυχῆς λογικῆς τιμιωτέρα. Πᾶσαν γάρ ψυχήν κατ᾽ εἰκόνα ἑαυτοῦ δημιουργῶν, ὡς ἀγαθός ὁ Θεός, αὐτοκίνητον εἰς τό εἶναι παράγει· ἑκάστη δέ κατά πρόθεσιν, ἤ τήν τιμήν ἐπιλέγεται, ἤ τήν ἀτιμίαν ἑκοῦσα διά τῶν ἔργων προσίεται.

ιβ'. Ὁ Θεός, ἥλιός ἐστι δικαιοσύνης, ὡς γέγραπται· πᾶσιν ἁπλῶς τάς ἀκτῖνας ἐπιλάμπων τῆς ἀγαθότητος· ἡ δέ ψυχή, ἤ κηρός ὡς φιλόθεος, ἤ πηλός ὡς φιλόϋλος κατά τήν γνώμην γίνεσθαι πέφυκεν· ὥσπερ οὖν ὁ πηλός κατά φύσιν ἡλίῳ ξηραίνεται· ὁ δέ κηρός, φυσικῶς ἁπαλύνεται· οὕτω καί πᾶσα ψυχή φιλόϋλος καί φιλόκοσμος ἀπό Θεοῦ νουθετουμένη, καί ὡς πηλός κατά τήν γνώμην ἀντιτυποῦσα, σκληρύνεται· καί ἑαυτήν ὠθεῖ κατά τόν Φαραώ πρός ἀπώλειαν· πᾶσα δέ φιλόθεος, ὡς κηρός ἁπαλύνεται, καί τούς τῶν θείων τύπους καί χαρακτῆρας εἰσδεχομένη, γίνεται Θεοῦ κατοικητήριον ἐν πνεύματι.

ιγ'. Ὁ τόν νοῦν ταῖς θείαις καταστράψας νοήσεσιν, καί τόν λόγον ἐθίσας θείοις ὕμνοις ἀπαύστως γεραίρειν τόν Κτίσαντα, καί ταῖς ἀκηράτοις φαντασίαις καθαγιάσας τήν αἴσθησιν· οὗτος τῷ φυσικῷ κατ᾽ εἰκόνα καλῷ, προσέθηκε τό καθ᾽ ὁμοίωσιν γνωμικόν ἀγαθόν.

ιδ'. Φυλάττει τις τῷ Θεῷ τήν ψυχήν ἀκηλίδωτον, εἰ τήν μέν διάνοιαν περί μόνου Θεοῦ, καί τῶν αὐτοῦ ἀρετῶν διανοεῖσθαι βιάσαιτο· τόν δέ λόγον, ὀρθόν ἑρμηνέα καί ἐξηγητήν τῶν αὐτῶν ἀρετῶν καταστήσειε· καί τήν αἴσθησιν εὐσεβῶς τόν ὁρατόν κόσμον καί τά ἐν αὐτῷ πάντα φαντάζεσθαι διδάξειε, τήν τῶν ἐν αὐτοῖς λόγων μεγαλειότητα τῇ ψυχῇ διαγγέλλουσαν.

ιε'. Ὁ τῆς πικρᾶς δουλείας τῶν τυραννούντων δαιμόνων ἐλευθερώσας ἡμᾶς Θεός, φιλάνθρωπον θεοσεβείας ἡμῖν ζυγόν ἐδωρήσατο, τήν ταπεινοφροσύνην· δι᾽ ἧς πᾶσα μέν διαβολική δαμάζεται δύναμις· (1089) πᾶν δέ τοῖς ἑλομένοις αὐτήν ἀγαθόν δημιουργεῖται, καί ἀραδιούργητον διαφυλάττεται.

ιστ'. Ὁ πιστεύων, φοβεῖται· ὁ δέ φοβούμενος ταπεινοῦται· ὁ δέ ταπεινούμενος, πραΰνεται, τήν τῶν παρά φύσιν τοῦ θυμοῦ καί τῆς ἐπιθυμίας κινημάτων ἀνενέργητον ἕξιν λαβών· ὁ δέ πραΰς, τηρεῖ τάς ἐντολάς· ὁ δέ τηρῶν τάς ἐντολάς, καθαίρεται· ὁ δέ καθαρθείς, ἐλλάμπεται· ὁ δέ ἐλλαμφθείς, ἐν τῷ ταμιείῳ τῶν μυστηρίων ἀξιοῦται τῷ νυμφίῳ Λόγῳ συγκοιτασθῆναι.

ιζ'. Ὥσπερ γεωργός, ὑπέρ τοῦ τι τῶν ἀγρίων μεταφυτεῦσαι δένδρων ἐπιτήδειον σκοπῶν χωρίον, ἀνελπίστῳ θησαυρῷ περιπίπτει· οὕτω καί πᾶς ἀσκητής ταπεινόφρων καί ἄπλαστος, καί λεῖος κατά ψυχήν τῆς ὑλικῆς δασύτητος, κατά τόν μακαριώτατον Ἰακώβ, ὑπό τοῦ Πατρός ἐρωτώμενος τῆς ἐπιστήμης τόν τρόπον· Τί τοῦτο ὅ ταχύ εὗρες, τέκνον; ἀποκρίνεται λέγων· Ὃ παρέδωκε Κύριος ὁ Θεός ἐναντίον μου. Ὅταν γάρ ἡμῖν ὁ Θεός παραδῷ τῆς ἰδίας σοφίας τά σοφά θεωρήματα

καμάτου χωρίς, οὐ προσδοκήσασι, θησαυρόν ἐξαίφνης πνευματικόν εὑρηκέναι νομίσωμεν. Γεωργός γάρ πνευματικός ἐστιν ὁ δόκιμος ἀσκητής, τήν πρός αἴσθησιν [unus Reg. τήν αἰσθητόν] τῶν ὁρατῶν θεωρίαν, ὡς ἄγριον δένδρον πρός τήν τῶν νοητῶν χώραν μεταφυτεύων· καί θησαυρόν εὑρίσκων, τήν κατά χάριν τῆς ἐν τοῖς οὖσι σοφίας φανέρωσιν.

ιη'. Ἄφνω προσπεσοῦσα γνῶσις θείων θεωρημάτων τῷ ἀσκητῇ μή προσδοκήσαντι διά τήν ταπείνωσιν, κατακλᾷ τόν λογισμόν τοῦ πρός ἐπίδειξιν μετά καμάτου καί πόνου ταύτην ζητοῦντος, καί μή εὑρίσκοντος· καί γεννᾷ τῷ ἄφρονι φθόνον εἰκῇ πρός τόν ἀδελφόν, καί φόνου μελέτην, καί ἑαυτῷ λύπην, διά τό μή ἔχειν τήν ἐκ τῶν ἐπαίνων φυσίωσιν.

ιθ'. Οἱ ζητοῦντες μετά πόνου γνῶσιν, καί ἀποτυγχάνοντες, ἤ διά ἀπιστίαν ἀποτυγχάνουσι, ἤ τυχόν διά τό ἀφυῶς μέλλειν αὐτούς ἀντιφιλονεικοῦντας ἐπαίρεσθαι κατά τῶν γινωσκόντων, ὡς ὁ λαός πάλαι κατά Μωϋσέως· πρός οὕς ὁ νόμος ἐρεῖ δεόντως, ὅτι παραβιασάμενοί τινες, ἀνέβησαν εἰς τό ὄρος, καί ἐξῆλθεν ὁ Ἀμοῤῥαῖος ὁ οἰκῶν ἐν τῷ ὄρει ἐκείνῳ, καί ἐτίτρωσκεν αὐτούς. Ἀνάγκη γάρ τούς ἐπιδείξεως ἕνεκεν ἐπιμορφιζομένους τήν ἀρετήν, μή μόνον σφάλλεσθαι δολοῦντας τήν εὐσέβειαν, ἀλλά καί ὑπό τοῦ συνειδότος τιτρώσκεσθαι.

(1092) κ'. Ὁ πρός ἐπίδειξιν ἐφιέμενος γνώσεως, καί ἀποτυγχάνων· μήτε φθονείτω τῷ πέλας, μήτε λυπείσθω· ἀλλ᾽ ἔν τινι τῶν ὁμόρων ποιείτω τήν παρασκευήν, ὡς προστέτακται· κατά τήν πρᾶξιν, ἐν τῷ σώματι πρότερον φιλοπονῶν τῇ ψυχῇ τήν ἑτοιμασίαν τῆς γνώσεως.

κα'. Οἱ ὀρθῶς μετ᾽ εὐσεβείας τοῖς οὖσι προσβάλλοντες, καί μηδένα φιλενδειξίας τρόπον ἐπινοοῦντες, εὑρήσουσι προϋπαντώσας αὐτοῖς τάς τῶν ὄντων παμφαεῖς θεωρίας, ἀκριβεστάτην αὐτοῖς ἐμποιούσας ἑαυτῶν τήν κατάληψιν· πρός οὕς ὁ νόμος φησίν· Εἰσελθόντες κληρονομήσατε πόλεις μεγάλας καί καλάς, καί οἰκίας πλήρεις πάντων ἀγαθῶν, ἅς οὐκ οἰκοδομήσατε· καί λάκκους λελατομημένους, οὕς οὐκ ἐλατομήσατε· καί ἀμπελῶνας καί ἐλαιῶνας, οὕς οὐκ ἐφυτεύσατε. Ὁ γάρ μή ἑαυτῷ ζῶν, ἀλλά τῷ Θεῷ, πάντων γίνεται πλήρης τῶν θείων χαρισμάτων· τῶν τέως διά τήν ἐπικειμένην τῶν παθῶν ὄχλησιν μή φαινομένων.

κβ'. Ὥσπερ διχῶς ἡ αἴσθησις λέγεται· ἡ μέν, καθ᾽ ἕξιν· ἥτις καί κοιμωμένων ἡμῶν ἐστι, μηδενός ἀντιλαμβανομένη τῶν ὑποκειμένων·

ἧς οὐδέν ὄφελος, μή πρός ἐνέργειαν τεινομένης· ἡ δέ, κατ᾽ ἐνέργειαν· δι᾽ ἧς ἀντιλαμβανόμεθα τῶν αἰσθητῶν· οὕτω καί ἡ γνῶσις διττή· ἡ μέν ἐπιστημονική, καθ᾽ ἕξιν μόνην τούς λόγους ἀναλεγομένη τῶν ὄντων· ἧς οὐδέν ὄφελος μή πρός τήν τῶν ἐντολῶν ἐνέργειαν ἐκτεινομένης· ἡ δέ, κατ᾽ ἐνέργειαν πρακτική, αὐτήν ἀληθῆ διά τῆς πείρας τῶν ὄντων κομίζουσα τήν κατάληψιν.

κγ'. Ὁ ὑποκριτής, ἕως μέν δοκεῖ λανθάνειν, ἠρεμεῖ· τήν ἐκ τοῦ δοκεῖν δίκαιος εἶναι δόξαν θηρώμενος. Ἐπειδάν δέ φωραθῇ, θανατηφόρους προΐσχεται λόγους, ταῖς κατ᾽ ἄλλων λοιδορίαις δοκῶν τήν οἰκείαν συγκαλύπτειν ἀσχημοσύνην· ὅν ἐχίδνης γεννήματι παρεικάσας ὁ λόγος, ὡς παλίμβολον, ἀξίους τῆς μετανοίας προσέταξεν αὐτῷ ποιεῖσθαι καρπούς· τουτέστι, πρός τούς φαινομένους τρόπους, μεταποιῆσαι τήν κρυπτομένην τῆς καρδίας διάθεσιν.

κδ'. Φασί τινες θηρίον εἶναι, πᾶν ὅ μή τῷ νόμῳ τῶν ἐν ἀέρι τε καί γῇ καί θαλάττῃ ζώων κέκριται καθαρόν, κἄν ἥμερον εἶναι τῷ ἤθει δοκῇ· οἷς ἕκαστον τῶν ἀνθρώπων ἐκ τοῦ οἰκείου πάθους ὁ λόγος προσαγορεύει.

κε'. Ὁ ἐπί βλάβῃ τῶν πέλας μορφιζόμενος φιλίαν, λύκος ἐστί κωδίῳ ἐπικρύπτων τήν ἑαυτοῦ κακουργίαν. Ὅς ἐπειδάν εὕρῃ ψιλόν ἦθος, ἤ ῥῆμα κατά Χριστόν ἁπλοϊκῶς (1093) ἤ γινόμενον ἤ λεγόμενον, ἥρπασε καί διέφθειρε· μυρίους καταχέων μώμους, ὧν τοῖς λόγοις ἤ τοῖς ἤθεσιν ἐπιτίθεται· ὥσπερ κατάσκοπος τῆς ἐν Χριστῷ ἀδελφῶν ἐλευθερίας.

κστ'. Ὁ ὑποκρινόμενος σιωπήν κακουργίας χάριν, τῷ πλησίον τεκταίνεται δόλον· οὗ ἀποτυγχάνων ἄπεισι, τῷ ἰδίῳ πάθει προσθέμενος ὀδύνην. Ὁ δέ σιωπῶν ὠφελείας χάριν, ηὔξησε φιλίαν, καί ἀπελεύσεται χαίρων, ὡς λαβών φωτισμόν σκότους λυτήριον.

κζ'. Ὁ ἐν συνεδρίῳ λόγων ἀκρόασιν προπετῶς ἀνακόπτων, οὐκ ἔλαβε φιλοδοξίαν νοσῶν· ὑφ᾽ ἧς ἁλισκόμενος, μυρίους προβάλλεται δρόμους καί περιδρόμους προτάσεων, τήν εἱρμόν τῶν λεγομένων διαστῆσαι βουλόμενος.

κη'. Ὁ σοφός, καί διδάσκων καί διδασκόμενος, μόνα βούλεται τά ὠφελοῦντα διδάσκεσθαι καί διδάσκειν· ὁ δέ δοκήσει σοφός, καί ἐρωτῶν καί ἐρωτώμενος, τά περιεργότερα μόνον προβάλλεται.

κθ'. Ὧν μετέσχε τις κατά Θεοῦ χάριν ἀγαθῶν, καί ἄλλοις ἀφθόνως μεταδοῦναι χρεώστης ἐστί. Δωρεάν γάρ, φησίν, ἐλάβετε, δωρεάν δότε.

Ὁ γάρ ὑπό γῆν κρύπτων τήν δωρεάν, ὡς σκληρόν διαβάλλει τόν κύριον, φειδοῖ τῆς σαρκός τήν ἀρετήν ἐξομνύμενος. Ὁ δέ πιπράσκων ἐχθροῖς τήν ἀλήθειαν, ὕστερον ἁλούς ὡς φιλόδοξος, μή φέρων τήν αἰσχύνην ἀπάγχεται.

λ'. Τούς ἔτι δειλιῶντας τόν πρός τά πάθη πόλεμον, καί φοβουμένους τήν τῶν ἀοράτων ἐχθρῶν ἐπιδρομήν, σιωπᾶν δεῖ· τουτέστι, τόν ὑπέρ ἀρετῆς ἀντιῤῥητικόν μή μεταχειρίζεσθαι τρόπον· ἀλλά παραχωρεῖν τῷ Θεῷ δι᾽ εὐχῆς, τήν ὑπέρ ἑαυτῶν μέριμναν· πρός οὕς ἐν Ἐξόδῳ λέγεται· Κύριος πολεμήσει περί ὑμῶν, καί ὑμεῖς σιγήσεσθε. Τούς δέ ἤδη μετά τήν ἀναίρεσιν τῶν διωκόντων, τούς τῶν ἀρετῶν ἐπιζητοῦντας τρόπους πρός εὐγνώμονα μάθησιν, δέον ἔχειν μόνον ἠνεῳγμένον τῆς διανοίας τό οὖς· πρός οὕς φησιν, Ἄκουε Ἰσραήλ. Τῷ δέ σφόδρα διά τήν κάθαρσιν, τῆς θείας ἐφιεμένῳ γνώσεως, ἁρμόδιος ἡ εὐλαβής παῤῥησία· πρός ὅν εἰρήσεται, Τί βοᾷς πρός με; Οὐκοῦν ὅτῳ μέν σιωπή διά φόβον προστέτακται, πρόσφορος μόνον ἡ πρός Θεόν καταφυγή· ὅτῳ δέ ἀκούειν παρακελεύεται, ἁρμόδιος ἡ πρός ὑπακοήν τῶν θείων ἐντολῶν ἑτοιμότης· τῷ δέ γνωστικῷ, τί δι᾽ ἱκεσίαν ἀπαύστως βοᾷν ἐπιτήδειον, ὑπέρ τε τῆς τῶν κακῶν ἀποτροπῆς, καί εὐχαριστίας τῆς τῶν ἀγαθῶν μετουσίας.

λα'. Οὐδέποτε ψυχή δύναται πρός γνῶσιν ἐκταθῆναι Θεοῦ, εἰ μή αὐτός ὁ Θεός συγκαταβάσει χρησάμενος ἅψηται αὐτῆς, καί ἀναγάγῃ πρός ἑαυτόν. (1096) Οὐ γάρ ἄν τοσοῦτον ἴσχυσεν ἀναδραμεῖν ἀνθρώπινος νοῦς, ὡς ἀντιλαβέσθαι τινός θείας ἐλλάμψεως, εἰ μή αὐτός ὁ Θεός ἀνέσπασεν αὐτόν, ὡς δυνατόν ἦν ἀνθρώπινον νοῦν ἀνασπασθῆναι, καί ταῖς θείαις αὐγαῖς κατεφώτισεν.

λβ'. Ὁ τούς μαθητάς τοῦ Κυρίου μιμούμενος, οὐ παραιτεῖται διά τούς Φαρισαίους ὁδόν ποιεῖν ἐν Σαββάτῳ διά τῶν σπορίμων, καί στάχυας τίλλειν, ἀλλά μετά τήν πρακτικήν ἐν τῇ ἀπαθείᾳ γενόμενος, τούς λόγους ἀναλέγεται τῶν γεγονότων, εὐσεβῶς τήν θείαν τῶν ὄντων ἐπιστήμην τρεφόμενος.

λγ'. Ὁ κατά τό Εὐαγγέλιον μόνον πιστός, τό ὄρος τῆς κακίας αὐτοῦ διά πράξεως μετατίθησιν· ἀπωθούμενος ἑαυτοῦ τῇ ἀστάτῳ περιφορᾷ τῶν ὑπό αἴσθησιν, τήν ἐπ᾽ αὐτοῖς προτέραν διάθεσιν. Ὁ δέ μαθητής εἶναι δυνάμενος, ἐκ τοῦ Λόγου δεχόμενος χερσί τῶν γνωστικῶν ἄρτων τά κλάσματα, διατρέφει χιλιάδας· πράξει δεικνύς πληθυνομένην τοῦ λόγου τήν δύναμιν. Ὁ δέ καί Ἀπόστολος ἰσχύσας εἶναι, πᾶσαν ἰατρεύει νόσον καί μαλακίαν, ἐκβάλλων δαιμόνια· τουτέστι, τήν τῶν

παθῶν φυγαδεύων ἐνέργειαν· νοσοῦντας ἰώμενος, πρός ἕξιν εὐσεβείας τούς στερηθέντας αὐτῆς δι᾽ ἐλπίδος ἐπανάγων, καί τούς δι᾽ ὄκνον μαλακισθέντας, ἐπιστύφων τῷ λόγῳ τῆς κρίσεως. Πατεῖν γάρ ἐπάνω ὄφεων καί σκορπίων κελευσθείς, ἀρχήν καί τέλος τῆς ἁμαρτίας ἐξαφανίζει.

λδ'. Ὁ Ἀπόστολος καί μαθητής, πάντως ἐστί καί πιστός· ὁ δέ μαθητής οὐ πάντως μέν καί ἀπόστολος, πάντως δέ πιστός. Ὁ δέ μόνον πιστός, οὔτε μαθητής οὔτε ἀπόστολός ἐστι· πλήν δύναται διά βίου καί θεωρίας, καί ὁ τρίτος εἰς τήν τοῦ δευτέρου, καί ὁ δεύτερος εἰς τήν τοῦ πρώτου μετενεχθῆναι τάξιν καί ἀξίαν.

λε'. Ὅσα μέν ἐν χρόνῳ καί χρόνον δημιουργεῖται, τελειωθέντα ἵσταται, λήγοντα τῆς κατά φύσιν αὐξήσεως. Ὅσα δέ κατ᾽ ἀρετήν ἐπιστήμη Θεοῦ κατεργάζεται, τελειωθέντα πάλιν κινεῖται πρός αὔξησιν. Τά γάρ τέλη αὐτῶν, ἑτέρων ἀρχαί καθεστήκασιν. Ὁ γάρ καταπαύσας ἐν ἑαυτῷ διά τῶν ἀρετῶν κατά τήν πρᾶξιν τήν τῶν φθειρομένων ὑπόστασιν, ἑτέρων ἀπήρξατο θειοτέρων διατυπώσεων· παύεται γάρ οὐδέποτε τῶν καλῶν ὁ Θεός, ὧν οὐδέ ἀρχήν ἔσχεν. Ὡς γάρ φωτός ἴδιον τό φωτίζειν, οὕτως ἴδιον Θεοῦ τό εὖ ποιεῖν. Διό τῷ μέν νόμῳ, τήν κατά χρόνον τῶν ἐν γενέσει καί φθορᾷ σύστασιν ἀφηγουμένῳ, (1097) τιμᾶται δι᾽ ἀργίας τό Σάββατον· τῷ Εὐαγγελίῳ δέ τήν τῶν νοητῶν εἰσηγουμένῳ κατάστασιν, δι᾽ εὐποιίας καλῶν ἔργων τοῦτο φαιδρύνεται· κἄν ἀγανακτῶσιν οἱ μήπω γνόντες ὅτι διά τόν ἄνθρωπον τό Σάββατον γέγονεν, ἀλλ᾽ οὐ διά τό Σάββατον ὁ ἄνθρωπος· καί ὅτι κύριός ἐστι καί τοῦ Σαββάτου ὁ Υἱός τοῦ ἀνθρώπου.

λστ'. Ἔστι τῷ νόμῳ καί τοῖς προφήταις, καί Σάββατον καί Σάββατα, καί Σάββατα Σαββάτων· ὥσπερ καί περιτομή, καί περιτομῆς περιτομή· καί θέρος, καί θέρους θέρος, κατά τό εἰρημένον, Ὅταν θερίσητε τόν θερισμόνύμῶν. Ἔστιν οὖν τό μέν πρῶτον, πρακτικῆς καί φυσικῆς καί θεολογικῆς φιλοσοφίας ἀποπεράτωσις. Τό δεύτερον δέ, γενέσεως καί τῶν κατά γένεσιν λόγων, ἀπόλυσις. Τό δέ τρίτον, τῶν κατ᾽ αἴσθησιν καί νοῦν πνευτικωτέρων λόγων, εἰσφορά καί ἀπόλαυσις. Καί τοῦτο τρισσῶς ἐφ᾽ ἑκάστῳ δηλονότι τῶν εἰρημένων γινόμενον, ἵνα γνῷ τούς λόγους ὁ γνωστικός, καθ᾽ οὕς ὁ μέν Μωϋσῆς ἔξω τῆς ἁγίας γῆς σαββατίζει τελευτῶν· ὁ δέ τοῦ Ναυῆ Ἰησοῦς, περιτέμνει περάσας τόν Ἰορδάνην· οἱ δέ τήν ἀγαθήν γῆν κληρονομοῦντες, τήν εἰσφοράν τοῦ καθ᾽ ὑπέρθεσιν διπλοῦ θέρους τῷ Θεῷ προσκομίζουσιν.

λζ'. Σάββατόν ἐστιν, ἀπάθεια ψυχῆς λογικῆς· κατά τήν πρακτικήν παντελῶς ἀποβαλομένης τῆς ἁμαρτίας τά στίγματα.

λη'. Σάββατά ἐστιν, ἐλευθερία ψυχῆς λογικῆς· καί αὐτήν τήν κατά φύσιν πρός αἴσθησιν, διά τῆς ἐν πνεύματι φυσικῆς θεωρίας, ἀποθεμένης ἐνέργειαν.

λθ'. Σάββατα Σαββάτων ἐστίν, ἠρεμία πνευματική ψυχῆς λογικῆς· καί ἀπ᾿ αὐτῶν πάντων τῶν ἐν τοῖς οὖσι θειτέρων λόγων τόν νοῦν συστειλάσης· καί μόνῳ τῷ θεῷ κατ᾿ ἐρωτικήν ἔκστασιν ὁλικῶς ἐνδησάσης, καί παντελῶς ἀκίνητον αὐτόν τοῦ Θεοῦ διά τῆς μυστικῆς ἀπόθεσιν διαθέσεως.

μ'. Περιτομή ἐστιν, ἡ περί γένεσιν τῆς κατά ψυχήν ἐμπαθοῦς ἀπόθεσις διαθέσεως.

μα'. Περιτομή περιτομῆς ἐστιν, ἡ καί αὐτῶν τῶν κατά ψυχήν περί τήν γένεσιν φυσικῶν κινημάτων, παντελής ἀποβολή καί περιαίρεσις.

μβ'. Θέρος ἐστί ψυχῆς λογικῆς, ἡ τῶν κατ᾿ ἀρετήν (1100) καί φύσιν τῶν ὄντων πνευματικωτέρων λόγων μετ᾿ ἐπιστήμης συλλογή καί ἐπίγνωσις.

μγ'. Θέρους θέρος ἐστίν, ἡ πᾶσιν ἄβατος μετά τήν τῶν νοητῶν μυστικήν θεωρίαν περί νοῦν ἀγνώστως συνισταμένη τοῦ Θεοῦ κατανόησις· ἥν προσφέρει δεόντως ὁ ἐκ τῶν ὁρατῶν καί ἀοράτων κτισμάτων ἀξίως γεραίρων τόν Κτίσαντα.

μδ'. Ἔστι καί ἄλλο πνευματικώτερον θέρος, αὐτοῦ λεγόμενον εἶναι τοῦ Θεοῦ· καί ἄλλη μυστικωτέρα περιτομή· καί ἄλλο κρυφιώτερον Σάββατον, ἐν ᾧ ἀπό τῶν ἰδίων ἔργων σαββατίζων ὁ Θεός ἀναπαύει, κατά τό, Ὁ μέν θερισμός, πολύς· οἱ δέ ἐργάται, ὀλίγοι. Καί, Περιτομή καρδίας ἐν πνεύματι. Καί, Εὐλόγησεν ὁ Θεός τήν ἡμέραν τήν ἑβδόμην, καί ἡγίασεν αὐτήν· ὅτι ἐν αὐτῇ κατέπαυσεν ἀπό πάντων τῶν ἔργων αὐτοῦ, ὧν ἤρξατο ὁ Θεός ποιῆσαι.

με'. Θεοῦ θέρος ἐστίν, ἡ εἰς αὐτόν κατά τήν τῶν αἰώνων ἀποπεράτωσιν γινομένη τῶν ἀξίων καθόλου μονή τε καί ἵδρυσις.

μστ'. Ἐν πνεύματι περιτομή καρδίας ἐστίν, ἡ γινομένη τῶν κατ᾿ αἴσθησιν καί νοῦν περί τά αἰσθητά καί τά νοητά φυσικῶν ἐνεργειῶν παντελής περιαίρεσις· διά τῆς ἀμέσως τό τε σῶμα καί τήν ψυχήν ὁλικῶς μεταμορφούσης πρός τό θειότερον, παρουσίας τοῦ Πνεύματος.

μζ'. Θεοῦ σαββατισμός ἐστιν, ἡ εἰς αὐτόν διόλου τῶν πεποιημένων κατάντησις· καθ᾿ ἥν καταπαύει τῆς ἐπ᾿ αὐτοῖς φυσικῆς ἐνεργείας, τήν αὐτοῦ θειοτάτην ἀῤῥήτως ἐνεργουμένην [Fr.ἐνεργουμένοις]

ἐνέργειαν. Παύεται γάρ ὁ Θεός τῆς ἐν ἑκάστῳ τῶν ὄντων τυχόν φυσικῆς ἐνεργείας, καθ᾽ ἥν ἕκαστον τῶν ὄντων φυσικῶς κινεῖσθαι πέφυκεν, ὁπόταν ἕκαστον τῆς θείας ἀναλόγως ἐπιλαβόμενον ἐνεργείας, τήν κατά φύσιν οἰκείαν περί αὐτόν ὁρίσῃ τόν Θεόν ἐνέργειαν.

μη'. Ζητητέον τοῖς σπουδαίοις, τίνα καθήκει νοεῖν εἶναι τά ἔργα ὧν ἤρξατο τῆς γενέσεως ὁ Θεός· καί τίνα πάλιν, ὧν οὐκ ἤρξατο. Εἰ γάρ πάντων κατέπαυσε τῶν ἔργων, ὧν ἤρξατο ποιῆσαι, δῆλον ἐκείνων οὐ κατέπαυσεν, ὧν οὐκ ἤρξατο ποιῆσαι. Μήποτε οὖν, ἔργα μέν Θεοῦ χρονικῶς ἠργμένα τοῦ εἶναί ἐστι, πάντα τά ὄντα μετέχοντα· οἷον αἱ διάφοροι τῶν ὄντων οὐσίαι. Τό γάρ μή ὄν, ἔχουσι αὐτῶν τοῦ εἶναι πρεσβύτερον. Ἦν γάρ ποτε, ὅτε τά ὄντα μετέχοντα οὐκ ἦν. Θεοῦ δέ ἔργα τυχόν οὐκ ἠργμένα τοῦ εἶναι χρονικῶς, τά ὄντα μεθεκτά, ὧν κατά χάριν μετέχουσι τά ὄντα μετέχοντα· οἷον, ἡ ἀγαθότης, καί πᾶν εἴ τι ἀγαθότητος ἐμπεριέχεται λόγῳ. Καί ἁπλῶς πᾶσα ζωή,καί ἀθανασία καί ἁπλότης καί ἀτρεψία καί ἀπειρία, καί ὅσα περί αὐτόν οὐσιωδῶς θεωρεῖται· ἅτινα καί ἔργα Θεοῦ εἰσι, καί οὐκ ἠργμένα χρονικῶς. Οὐ γάρ ποτε πρεσβύτερον ἀρετῆς,τό οὐκ ἦν· οὐδέ τινος ἄλλου τῶν εἰρημένων· κἄν τά μετέχοντα αὐτῶν καθ᾽ αὐτά, ἦρκται τοῦ εἶναι χρονικῶς. ( 1101) Ἄναρχος γάρ πᾶσα ἀρετή, μή ἔχουσα τόν χρόνον ἑαυτῆς πρεσβύτερον· οἷα τόν Θεόν ἔχουσα τοῦ εἶναι μονώτατον ἀϊδίως γεννήτορα.

μθ'. Πάντων τῶν ὄντων καί μετεχόντων καί μεθεκτῶν, ἀπειράκις ἀπείρως ὁ Θεός ὑπεξῄρηται. Πᾶν γάρ εἴ τι τόν τοῦ εἶναι λόγον ἔχει κατηγορούμενον, ἔργον Θεοῦ τυγχάνει· κἄν τό μέν κατά γένεσιν ἦρκται τοῦ εἶναι χρονικῶς· τό δέ, κατά χάριν τοῖς γεγονόσιν ἐμπέφυκεν, οἷα τις δύναμις ἔμφυτος, τόν ἐν πᾶσι ὄντα Θεόν διαπρυσίως κηρύττουσα.

ν'. Τά ἀθάντα πάντα, καί αὐτή ἡ ἀθανασία· καί τά ζῶντα πάντα, καί αὐτή ἡ ζωή· καί τά ἅγια πάντα, καί αὐτή ἡ ἁγιότης· καί τά ἐνάρετα πάντα, καί αὐτή ἡ ἀρετή· καί τά ἀγαθά πάντα, καί αὐτή ἡ ἀγαθότης· καί τά ὄντα πάντα, καί αὐτή ἡ ὀντότης, Θεοῦ προδήλως ἔργα τυγχάνουσιν· ἀλλά, τά μέν, τοῦ εἶναι χρονικῶς ἠργμένα· ἦν γάρ ποτε, ὅτε οὐκ ἦν· τά δέ, τοῦ εἶναι χρονικῶς οὐκ ἠργμένα. Οὐκ ἦν γάρ ποτε, ὅτε οὐκ ἦν ἀρετή καί ἀγαθότης καί ἁγιότης καί ἀθανασία. Καί τά μέν ἠργμένα χρονικῶς, τῇ μετοχῇ τῶν οὐκ ἠργμένων χρονικῶς εἰσι καί λέγονται τοῦθ᾽ ὅπερ καί εἰσί καί λέγονται. Πάσης γάρ ζωῆς καί

ἀθανασίας, ἁγιότητός τε καί ἀρετῆς, δημιουργός ἐστιν ὁ Θεός· ὑπέρ οὐσίαν γάρ πάντων τῶν τε νοουμένων καί λεγομένων ἐξῄρηται.

να'. Ἡ ἕκτη κατά τήν Γραφήν ἡμέρα, τήν τῶν ὑπό φύσιν ὄντων εἰσηγεῖται συμπλήρωσιν· ἡ δέ ἑβδόμη, τῆς χρονικῆς ἰδιότητος περιγράφει τήν κίνησιν· ἡ δέ ὀγδόη, τῆς ὑπέρ φύσιν καί χρόνον ὑποδηλοῖ καταστάσεως τόν τρόπον.

νβ'. Ὁ τήν ἕκτην μόνον κατά τόν νόμον ἄγων ἡμέραν, τήν κατ᾽ ἐνέργειαν ἐκθλίβουσαν τήν ψυχήν τῶν παθῶν φεύγων δυναστείαν, διά τῆς θαλάσσης ἀφόβως ἐπί τήν ἔρημον διαβαίνει· τήν τῶν παθῶν ἀργίαν μόνην σαββατίζων. Ὁ δέ τόν Ἰορδάνην διαβάς, καί αὐτήν ἀπολιπών τήν τῶν παθῶν μόνον ἀργοῦσαν κατάστασιν, ἦλθεν εἰς τήν τῶν ἀρετῶν κληρονομίαν.

νγ'. Ὁ τήν ἕκτην εὐαγγελικῶς ἄγων ἡμέραν, ἀποκτείνας πρότερον τά τῆς ἁμαρτίας πρῶτα κινήματα, τήν πάσης κακίας ἔρημον διά τῶν ἀρετῶν καταλαμβάνει τῆς ἀπαθείας κατάστασιν· σαββατίζων κατά νοῦν καί αὐτῆς ψιλῆς τῆς τῶν παθῶν φαντασίας. (1104) Ὁ δέ Ἰορδάνην διαπεράσας, εἰς τήν τῆς γνώσεως μετατίθεται χώραν· καθ᾽ ἥν ὁ νοῦς, ναός μυστικῶς ὑπό τῆς εἰρήνης οἰκοδομούμενος, Θεοῦ κατοικητήριον γίνεται ἐν πνεύματι.

νδ'. Ὁ τήν ἕκτην θεϊκῶς μετά τῶν προσφόρων ἔργων καί ἐννοιῶν ἑαυτῷ συμπληρώσας ἡμέραν, καί αὐτός μετά τοῦ Θεοῦ καλῶς τά ἑαυτοῦ συντελέσας ἔργα, διέβη τῇ κατανοήσει πᾶσαν τήν τῶν ὑπό φύσιν καί χρόνον ὑπόστασιν, καί εἰς τήν τῶν αἰώνων καί τῶν αἰωνίων μετετάξατο μυστικήν θεωρίαν· σαββατίζων ἀγνώστως κατά νοῦν, τήν ὁλικήν τῶν ὄντων ἀπόλειψίν τε καί ὑπέρβασιν. Ὁ δέ καί τῆς ὀγδόης ἀξιωθείς, ἐκ τῶν νεκρῶν ἀνέστη· τῶν μετά Θεόν λέγω πάντων, αἰσθητῶν τε καί νοητῶν, καί λόγων καί νοημάτων· καί ἔζησε τήν τοῦ Θεοῦ μακαρίαν ζωήν, τοῦ μόνον κατ᾽ ἀλήθειαν κυρίως ζωῆς καί λεγομένου καί ὄντος· οἷα καί αὐτός γενόμενος τῇ θεώσει θεός.

νε'. Ἕκτη ἡμέρα ἐστίν, ἡ τῶν πρακτικῶν περί ἀρετήν τῶν κατά φύσιν ἐνεργειῶν, παντελής ἀποπλήρωσις· ἑβδόμη δέ ἐστιν, ἡ τῶν θεωρητικῶν περί τήν ἄῤῥητον γνῶσιν πασῶν τῶν φυσικῶν ἐννοιῶν ἀποπεράτωσις καί ἀπόπαυσις· ὀγδόη δέ, ἡ πρός θέωσιν τῶν ἀξίων μετάταξίς τε καί μετάβασις. Καί μήποτε ταύτην τήν ἑβδόμην καί τήν ὀγδόην τυχόν μυστικώτερον ὑποφαίνων ὁ Κύριος, προσηγόρευσεν ἡμέραν συντελείας καί ὥραν, ὡς πάντων περιγράφουσαν τά μυστήρια καί τούς λόγους. Ἅς οὐδέν οὐδαμῶς τό παράπαν τῶν ἐπουρανίων καί

ἐπιγείων Δυνάμεων γνῶναι πρό πείρας τοῦ παθεῖν δυνήσεται, πλήν αὐτῆς τῆς ταῦτα ποιούσης μακαρίας θεότητος.

νστ'. Ἡ ἕκτη ἡμέρα, τόν τοῦ εἶναι τῶν ὄντων λόγον ὑποδηλοῖ· ἡ δέ ἑβδόμη, τόν τοῦ εὖ εἶναι τῶν ὄντων τρόπον ὑποσημαίνει· ἡ δέ ὀγδόη, τό τοῦ ἀεί εὖ εἶναι τῶν ὄντων ἄῤῥητον μυστήριον ὑπαγορεύει.

νζ'. Πρακτικῆς ἐνεργείας σύμβολον ὑπάρχουσαν τήν ἕκτην ἡμέραν γινώσκοντες, πᾶσαν ἐν αὐτῇ τῶν ἔργων τῆς ἀρετῆς τήν ὀφειλήν ἀποπληρώσωμεν· ὅπως καί ἐφ᾽ ἡμῶν ῥηθείη τό, Καί εἶδεν ὁ Θεός πάντα ὅσα ἐποίησε, καί ἰδού καλά λίαν.

νη'. Ἀποπληροῖ τήν ὀφειλήν τῆς ἐπαινουμένης τῷ Θεῷ καλῆς ἐργασίας, ὁ διά σώματος τῇ ψυχῇ φιλοπονῶν τήν εὔκοσμον ποικιλίαν τῶν ἀρετῶν.

νθ'. Ὁ τήν παρασκευήν τῶν ἔργων τῆς δικαιοσύνης πληρώσας, διέβη πρός τήν ἀνάπαυσιν τῆς γνωστικῆς θεωρίας· (1105) καθ' ἥν τούς λόγους τῶν ὄντων περιλαβών θεοπρεπῶς, τῆς κατά νοῦν περί αὐτήν κινήσεως ἀναπαύεται.

ξ'. Ὁ τῆς δι᾽ ἡμᾶς ἑβδοματική τοῦ Θεοῦ μετεσχηκώς ἀναπαύσεως, καί τῆς αὐτοῦ δι᾽ ἡμᾶς μεθέξει κατά τήν θέωσιν ὀγδοατικῆς ἐνεργείας, εἴτουν μυστικῆς ἀναστάσεως· ἀφείς καί αὐτός ἐν τῷ τάφῳ κείμενα τά ὀθόνια, καί τό ἐπί τῆς κεφαλῆς σουδάριον· ἅπερ θεωροῦντες εἴ τις Πέτρος καί Ἰωάννης, πιστεύουσιν ἐγηγέρθαι τόν Κύριον.

ξα'. Μνημεῖον ἐστιν ἴσως Δεσποτικόν, ἤ ὁ κόσμος οὗτος, ἤ ἡ ἑκάστου τῶν πιστῶν καρδία· τά δέ ὀθόνια, οἱ τῶν αἰσθητῶν μετά τῶν κατ᾽ ἀρετήν τρόπων ὑπάρχουσι λόγοι· τό δέ σουδάριον, ἡ τῶν νοητῶν ἐστι μετά τῆς ἐνδεχομένης θεολογίας ἁπλῆ καί ἀποίκιλος γνῶσις, δι᾽ ὧν ἐγνωρίζετο πρότερον ὁ Λόγος, ἀχώρητον ἡμῖν ἔχων παντάπασιν δίχα τούτων, τήν ὑπέρ ταῦτα κατάληψιν.

ξβ'. Οἱ θάπτοντες ἐντίμως τόν Κύριον, καί ἐνδόξως ἀναστάντα θεάσονται· πᾶσιν ὄντα τοῖς μή τοιούτοις ἀθέατον. Οὐκ ἔτι γάρ τοῖς ἐπιβουλεύουσίν ἐστιν ἁλωτός, οὐκ ἔχων τῶν ἐκτός τά προκαλύμματα, δι᾽ ὧν ἐδόκει θέλων ἁλίσκεσθαι παρά τῶν βουλομένων, καί πάσχειν ὑπέρ τῆς πάντων σωτηρίας ἠνείχετο.

ξγ'. Ὁ θάπτων ἐντίμως τόν Κύριον, πᾶσίν ἐστι τοῖς φιλοθέοις αἰδέσιμος· θριάμβου γάρ αὐτόν καί ὀνείδους καθηκόντως ἐῤῥύσατο, βλασφημίας ὑπόθεσιν οὐκ ἀφείς τοῖς ἀπίστοις, τήν ἐν τῷ ξύλῳ αὐτοῦ προσήλωσιν. Οἱ δέ σφραγῖδας ἐπιτιθέντες τῷ τάφῳ, καί στρατιώτας προκαθιστῶντες, μισητοί τῆς ἐγχειρήσεως· οἵ καί ἀναστάντα τόν

Λόγον, ὡς κλαπέντα διαβάλλουσιν· ἀργυρίῳ, ὥσπερ τόν νόθον μαθητήν εἰς προδοσίαν· λέγω δέ τόν ἐπιδεικτικόν τρόπον τῆς ἀρετῆς· οὕτω καί τούς στρατιώτας πρός συκοφαντίαν τοῦ ἀναστάντος Σωτῆρος ὠνούμενοι. Γινώσκει τῶν λεγομένων τήν ἔμφασιν, ὁ γνωστικός· οὐκ ἀγνοῶν πῶς τε καί ποσαχῶς σταυροῦται ὁ Κύριος, καί θάπτεται καί ἀνίσταται· ὡσεί νεκρούς μέν ποιῶν τούς ὑπό δαιμόνων τῇ καρδίᾳ παρακαθημένους ἐμπαθεῖς λογισμούς· τούς διαμεριζομένους ἐν τοῖς πειρασμοῖς ὥσπερ ἱμάτια, τούς τρόπους τῆς ἠθικῆς εὐπρεπείας· καί ὑπερβαίνων ὥσπερ σφραγίδας τούς ἐπικειμένους τῇ ψυχῇ τύπους, τῶν κατά πρόληψιν ἁμαρτημάτων.

ξδ'. Πᾶς φιλάργυρος, δι᾽ εὐλαβείας τήν ἀρετήν ὑποκρινόμενος, ἐπειδάν εὕρῃ τήν ποθουμένην ὕλην πορίσασθαι, τόν τρόπον ἐξώμνυται, καθ᾽ ὅν μαθητής εἶναι τοῦ Λόγου τό πρίν ἐνομίζετο.

ξε'. Ὅταν ἴδῃς τινάς ὑπερηφάνους μή φέροντας ἐπαινεῖσθαι τούς κρείττονας, ἀκήρυκτόν τε μηχανωμένους ποιεῖν τήν λαλουμένην ἀλήθειαν, μυρίοις αὐτήν ἀπείργοντας πειρασμοῖς, καί ἀθεμίτοις διαβολαῖς· νόει μοι πάλιν ὑπό τούτων σταυροῦσθαι τόν Κύριον (1108) καί θάπτεσθαι· καί στρατώταις καί σφραγῖσι φυλάττεσθαι. Οὕς ἑαυτοῖς περιτρέπων ὁ Λόγος, ἀνίσταται· πλέον τῷ πολεμεῖσθαι,διαφαινόμενος· ὡς πρός ἀπάθειαν διά τῶν παθημάτων στομούμενος. Πάντων γάρ ἐστιν ἰσχυρότερος, ὡς ἀλήθεια καί ὤν καί καλούμενος.

ξστ'. Τό τῆς ἐνσωματώσεως τοῦ Λόγου μυστήριον, πάντων ἔχει τῶν τε κατά τήν Γραφήν αἰνιγμάτων καί τύπων τήν δύναμιν, καί τῶν φαινομένων καί νοουμένων κτισμάτων τήν ἐπιστήμην. Καί ὁ μέν γνούς σταυροῦ καί ταφῆς τό μυστήριον, ἔγνω τῶν προειρημένων τούς λόγους· ὁ δέ τῆς ἀναστάσεως μυηθείς τήν ἀπόῤῥητον δύναμιν, ἔγνω τόν ἐφ᾽ ᾧ τά πάντα προηγουμένως ὁ Θεός ὑπεστήσατο σκοπόν.

ξζ'. Τά φαινόμενα πάντα δεῖται σταυροῦ· τῆς τῶν ἐπ᾽ αὐτοῖς κατ᾽ αἴσθησιν ἐνεργουμένων ἐπεχούσης τήν σχέσιν, ἕξεως· τά δέ νοούμενα πάντα, χρῄζει ταφῆς· τῆς τῶν ἐπ᾽ αὐτοῖς κατά νοῦν ἐνεργουμένων ὁλικῆς ἀκινησίας. Τῇ γάρ σχέσει συναναιρουμένης τῆς περί πάντα φυσικῆς ἐνεργείας τε καί κινήσεως, ὁ λόγος μόνος ἐφ᾽ ἑαυτόν ὑπάρχων, ὥσπερ ἐκ νεκρῶν ἐγηγερμένος ἀναφαίνεται, πάντα κατά περιγραφήν ἔχων τά ἐξ αὐτοῦ, μηδενός φυσικῇ σχέσει τήν πρός αὐτόν οἰκειότητα τό σύνολον ἔχοντος. Κατά χάριν γάρ, ἀλλ᾽ οὐ κατά φύσιν ἐστίν ἡ τῶν σωζομένων σωτηρία.

ξη'. Τῶν πρός τι, καί οἱ αἰῶνές εἰσι, καί οἱ χρόνοι, καί οἱ τόποι· ὧν ἄνευ οὐδέν τῶν συνεπινοουμένων τούτοις ἐστίν. Ὁ δέ Θεός, οὐ τῶν πρός τι ἐστίν· οὐ γάρ ἔχει τι καθόλου συνεπινοούμενον. Εἴπερ οὖν ἄρα κληρονομία τῶν ἀξίων αὐτός ἐστιν ὁ Θεός, ὑπέρ πάντας αἰῶνας καί χρόνους καί τόπους ὁ ταύτης ἀξιούμενος τῆς χάριτος ἔσται, τόπον ἔχων αὐτόν τόν Θεόν, κατά τό γεγραμμένον· Γενοῦ μοι εἰς Θεός ὑπερασπιστήν, καί εἰς τόπον ὀχυρόν, τοῦ σῶσαί με.

ξθ'. Τό τέλος οὐδέν τό παράπαν ἐμφερές ἔχει μεσότητα· ἐπεί οὐδέ τέλος. Μεσότης δέ ἐστι, πάντα τά μετά τήν ἀρχήν κατόπιν ὄντα τοῦ τέλους. Εἰ τοίνυν πάντες οἱ αἰῶνες καί οἱ χρόνοι καί οἱ τόποι μετά τῶν συνεπινοουμένων αὐτοῖς ἁπάντων, μετά τόν Θεόν εἰσιν, ἀρχήν ἄναρχον ὄντα· καί ὡς ἀπείρου τέλους αὐτοῦ πολύ κατόπιν ὑπάρχουσι, μεσότητος οὐδέν διαφέρουσι· τέλος δέ τῶν σωζομένων ἐστίν ὁ Θεός, οὐδέν ἔσται μεσότητος κατά τό ἀκρότατον τέλος γενομένοις τοῖς σωζομένοις συνθεωρούμενον.

(1109) ο'. Ὁ πᾶς κόσμος ἰδίοις περιοριζόμενος λόγοις, καί τόπος λέγεται καί αἰών, τῶν ἐν αὐτῷ διαιτωμένων· τρόπους θεωρημάτων ἔχων κατά φύσιν τούς ἐν αὐτῶ προσφυεῖς, μερικήν κατανόησιν αὐτοῖς ἐμποιῆσαι τῆς ἐπί πάντα σοφίας τοῦ Θεοῦ δυναμένους· οἷς ἕως χρῶνται πρός κατανόησιν, οὐ δύνανται δίχα μεσότητος εἶναι καί μερικῆς καταλήψεως. Ἐπειδή δέ τό ἐκ μέρους τοῦ τελείου φανέντος καταργεῖται, καί τά ἔσοπτρα πάντα καί τά αἰνίγματα παρέρχονται, τῆς πρόσωπον πρός πρόσωπον παραγινομένης ἀληθείας, ὑπέρ πάντας ἔσται κόσμους καί αἰῶνας καί τόπους, οἷς τέως ὡς νήπιος ἐπαιδαγωγεῖτο, τελειωθείς κατά Θεόν ὁ σωζόμενος.

οα'. Ὁ Πιλάτος, τοῦ κατά φύσιν τύπος ἐστί· τοῦ δέ γραπτοῦ νόμου, τό πλῆθος τῶν Ἰουδαίων. Ὁ τοίνυν κατά πίστιν ὑπέρ τούς δύο μή γενόμενος νόμους, οὐ δύναται δέξασθαι τήν ὑπέρ φύσιν καί λόγον ἀλήθειαν· ἀλλά σταυροῖ πάντως τόν Λόγον· ἤ ὡς Ἰουδαῖος, σκάνδαλον· ἤ ὡς Ἕλλην, μωρίαν ἡγούμενος τό Εὐαγγέλιον.

οβ'. Ὅταν ἴδῃς Ἡρώδην καί Πιλάτον ἀλλήλοις φικιάζοντας ἐπί τῇ ἀναιρέσει τοῦ Ἰησοῦ, τότε νόει τήν εἰς αὐτό συνδρομήν· τοῦ τε τῆς πορνείας καί τῆς κενοδοξίας δαίμονος, ἐπί τῷ θανατῶσαι τόν λόγον τῆς ἀρετῆς καί τῆς γνώσεως, ἀλλήλοις συμφωνούντων. Ὁ μέν γάρ κενόδοξος δαίμων, πνευματικήν γνῶσιν ὑποκρινόμενος, παραπέμπει τῷ δαίμονι τῆς κενοδοξίας. Διό, Λαμπράν περιθείς ἐσθῆτα, φησίν, ὁ Ἡρώδης, ἀνέπεμψε Πιλάτῳ τόν Ἰησοῦν.

ογ'. Καλόν μή συχωρεῖν σαρκί καί πάθεσι προσανέχειν τόν νοῦν. Οὐ γάρ συλλέγουσι, φησίν, ἐξ ἀκανθῶν σῦκα· τουτέστιν, ἐκ παθῶν, ἀρετήν· οὔτε ἐκ βάτου σταφυλήν· τουτέστιν, ἐκ τῆς σαρκός, τήν εὐφραίνουσαν γνῶσιν.

οδ'. Διά τῆς ὑπομονῆς τῶν πειρασμῶν δοκιμαζόμενος ὁ ἀσκητής, καί διά τῆς σωματικῆς παιδαγωγίας καθαιρόμενος, καί διά τῆς ἐπιμελείας τῶν ὑψηλῶν θεωρημάτων τελειούμενος, ἀξιοῦται τῆς θείας παρακλήσεως. Κύριος γάρ,φησίν ὁ Μωϋσῆς, ἐκ Σινᾶ ἥκει· τουτέστιν, ἐκ τῶν πειρασμῶν· καί ἐπεφάνη (1112) ἡμῖν ἐκ Σηείρ· τουτέστιν, ἐκ τῶν σωματικῶν πόνων· καί κατέπαυσεν [lego κατέσπευσεν ut est in Sixt.] ἐξ ὄρους Φαράν σύν μυριάσι Κάδης· τουτέστιν, ἐξ ὄρους τῆς πίστεως [alii Regii, πτοήσεως, Fr. πτήσεως], σύν μυριάσιν ἁγίων γνώσεων.

οε'. Ὁ Ἡρώδης, φρονήματος λόγον ἐπέχει σαρκός· ὁ δέ Πιλάτος, αἰσθήσεως· ὁ δέ Καῖσαρ τῶν αἰσθητῶν· οἱ δέ Ἰουδαῖοι, τῶν ψυχικῶν λογισμῶν.Ἐπειδάν οὖν ἐν ἀγνοίας ἡ ψυχή τοῖς αἰσθητοῖς προστεθῇ, προδίδωσι τῇ αἰσθήσει τόν Λόγον εἰς θάνατον, καθ᾽ ἑαυτῆς κυροῦσα δι᾽ ὁμολογίας, τήν τῶν φθαρτῶν βασιλείαν. Φασί γάρ οἱ Ἰουδαῖοι, Οὐκ ἔχομεν βασιλέα εἰ μή Καίσαρα.

οστ'. Ὁ Ἡρώδης, ἐνεργείας τόπον ἐπέχει παθῶν· ὁ δέ Πιλάτος, τῆς ἐπ᾽ αὐτοῖς ἠπατημένης ἕξεως· ὁ δέ Καῖσαρ, τοῦ σκοτεινοῦ κοσμοκράτορος· οἱ δέ Ἰουδαῖοι, ψυχῆς. Ὁπηνίκα γοῦν ὑποκλιθεῖσα ψυχή τοῖς πάθεσι, τήν ἀρετήν παραδῷ τῇ ἕξει τῆςκακίας ὑποχείριον, τήν μέν τοῦ Θεοῦ προδήλως ἀρνεῖται βασιλείαν· πρός δέ τήν τοῦ διαβόλου μετέρχεται φθοροποιόν τυραννίδα.

οζ'. Οὐκ ἀρκεῖ τῇ ψυχῇ πρός εὐφροσύνην πνευματικήν ἡ ὑποταγή τῶν παθῶν, εἰ μή τάς ἀρετάς κτήσηται τῇ πληρώσει τῶν ἐντολῶν. Μή χαίρετε γάρ, φησίν, ὅτι τά δαιμόνια ὑμῖν ὑποτάσσεται· τουτέστι, τά ἐνεργήματα τῶν παθῶν· ἀλλ᾽ ὅτι τά ὀνόματα ὑμῶν ἐγράφη ἐν οὐρανῷ· τῇ δι᾽ ἀρετῶν τῆς υἱοθεσίας χάριτι, πρός τόν τόπον τῆς ἀπαθείας μεταγραφέντα.

οη'. Ἀναγκαῖος τῷ γνωστικῷ πάντως ἐστίν, ὁ διά πράξεως πλοῦτος τῶν ἀρετῶν. Ὁ ἔχων γάρ, φησί, βαλάντιον· τουτέστι, γνῶσιν πνευματικήν· ἀράτω ὁμοίως καί πήραν· τουτέστι, τήν δαψιλῶς τήν ψυχήν διατρέφουσαν τῶν ἀρετῶν ἀφθονίαν. Ὁ δέ μή ἔχων, βαλάντιον δηλονότι καί πήραν· τουτέστι, γνῶσιν καί ἀρετήν, πωλησάτω τό ἱμάτιον αὐτοῦ, καί ἀγορασάτω μάχαιραν. Ἐκδότω, φησί, προθύμως

τήν ἑαυτοῦ σάρκα τοῖς πόνοις τῶν ἀρετῶν, καί μεταχειρισάσθω σοφῶς ὑπέρ τῆς εἰρήνης τοῦ Θεοῦ, τόν πρός τά πάθη καί τούς δαίμονας πόλεμον· ἤγουν τήν ἐν ῥήματι Θεοῦ διακρίνουσαν ἕξιν τό χεῖρον τοῦ κρείττονος.

οθ'. Τριακοντούτης ὤν ὁ Κύριος ἀναφαίνεται· τούς διορατικούς τῷ ἀριθμῷ τούτῳ, τά περί ἑαυτοῦ κρυφίως μυστήρια διδάσκων. Ὁ γάρ τριάκοντα ἀριθμός μυστικῶς κατανοούμενος, χρόνου τε καί φύσεως, καί τῶν ὑπέρ τήν ὁρατήν φύσιν νοητῶν, δημιουργόν καί προνοητήν εἰσάγει τόν Κύριον. Χρόνου μέν, διά τοῦ ἑπτά· ἑβδοματικός γάρ ὁ χρόνος· φύσεως δέ, διά τοῦ πέντε· πενταδική γάρ ἡ φύσις, διά τήν αἴσθησιν πενταχῶς διαιρουμένην· νοητῶν δέ, διά τοῦ ὀκτώ· (1113) ὑπέρ γάρ τήν μετρουμένην τοῦ χρόνου περίοδον, ἡ τῶν νοητῶν ἐστι γένεσις· προνοητήν δέ, διά τοῦ δέκα· διά τε τήν τῶν ἐντολῶν ἁγίαν δεκάδα, τήν πρός τό εὖ τούς ἀνθρώπους ἐνάγουσαν, καί διά τό τούτου τοῦ γράμματος μυστικῶς ἀπῆρχθαι τῆς προσηγορίας τόν Κύριον, ἡνίκα γέγονεν ἄνθρωπος. Συνάψαςοὖν τόν πέντε, καί τόν ἑπτά, καί τόν ὀκτώ, καί τόν δέκα, τόν τριάκοντα πλήροις ἀριθμόν. Ὁ τοίνυν ὡς ἀρχηγῷ τῷ Κυρίῳ καλῶς ἕπεσθαι γινώσκων, οὐκ ἀγνοήσει τόν λόγον, καθ᾿ ὅν καί αὐτός τριακοντούτης ἀναφανήσεται, κηρύττειν δυνάμενος τό Εὐαγγέλιον τῆς βασιλείας. Ὅτε γάρ ἀμέμπτως, ὥσπερ τινά φύσιν ὁρατήν, τόν κατά πρᾶξιν τῶν ἀρετῶν δημιουργήσει κόσμον, τήν ἐπ᾿ αὐτῆς τῆς ψυχῆς, ὥσπερ τινά χρόνον διά τῶν ἐναντίων συμβαίνουσαν μή ἀλλοιώσας περίοδον, καί διά θεωρίας τήν τῶν νοητῶν ἀπταίστως δρέψεται γνῶσιν, καί τήν αὐτήν καί ἄλλοις ἕξιν προνοητικῶς ἐνθεῖναι δεδύνηται· τότε καί αὐτός, ὡς δ᾿ ἄν ἔχῃ σωματικῆς ἡλικίας, τριακοντούτης ἐστί τῷ πνεύματι, συνεμφαίνων τῶν οἰκείων ἀγαθῶν τήν ἐν ἄλλοις ἐνέργειαν.

π'. Ὁ ταῖς ἡδοναῖς παρειμένος τοῦ σώματος, οὔτε πρός ἀρετήν ἐστιν ἐνεργός, οὔτε πρός γνῶσιν εὐκίνητος. Ὅθεν οὐδέ ἄνθρωπον ἔχει· τουτέστιν, ἔμφρονα λογισμόν· ἵνα ὅταν ταραχθῇ τό ὕδωρ, βάλῃ αὐτόν εἰς τήν κολυμβήθραν· τουτέστιν, εἰς τήν δεκτικήν τῆς γνώσεως ἀρετήν, τήν ἰατρεύουσαν πᾶσαν νόσον, εἰ μή που διά ῥαθυμίαν ὁ νοσῶν ἀναβαλλόμενος, ὑπ᾿ ἄλλου προληφθῇ τοῦ κωλύοντος αὐτῷ παραβενέσθαι τήν ἴασιν. Διό καί τριάκοντα καί ὀκτώ ἔτη τῇ νόσῳ συγκατακλίνεται. Ὁ γάρ μή πρός δόξαν Θεοῦ τήν ὁρατήν θεώμενος κτίσιν, καί πρός τήν νοητήν φύσιν εὐσεβῶς ἀναβιβάζων τήν ἔννοιαν, εἰκότως νοσῶν διαμένει τόν εἰρημένον τῶν ἐτῶν ἀριθμόν. Ὁ γάρ

τριάκοντα φυσικῶς λαμβανόμενος ἀριθμός, τήν αἰσθητήν σημαίνει φύσιν· ὥσπερ καί πρακτικῶς σκοπούμενος, τήν πρακτικήν ἀρετήν. Ὁ δέ ὀκτώ φυσικῶς κατανοούμενος, τήν νοητήν τῶν ἀσωμάτων παραδηλοῖ φύσιν· ὥσπερ καί γνωστικῶς θεωρούμενος, τήν πάνσοφον θεολογίαν· αἷς ὁ μή κινούμενος πρός Θεόν, πάρετος μένει, μέχρις ἄν ἐλθών ὁ Λόγος, διδάξῃ αὐτόν τόν σύντομον τῆς ἰάσεως τρόπον, φάσκων· Ἔγειραι· ἆρον τόν κράββατόν σου, καί περιπάτει· διαναστῆναι τόν νοῦν τῆς κατεχούσης φιληδονίας, καί ἆραι τό σῶμα τοῖς ὤμοις τῶν ἀρετῶν, καί ἀπελθεῖν εἰς τόν οἶκον· δηλαδή τόν οὐρανόν, ἐγκελευόμενος. (1116) Καλόν γάρ ὑπό τοῦ κρείττονος τοῖς ὤμοις τῆς πράξεως, τό χεῖρον αἴρεσθαι πρός ἀρετήν, ἤ τό κρεῖττον διά θρύψεως πρός φιληδονίαν ὑπό τοῦ χείρονος φέρεσθαι.

πα'. Ἕως τῆς ἡμῶν τε καί πάντων τῶν μετά Θεόν οὐσίας κατά διάνοιαν καθαρῶς οὐκ ἐκβεβήκαμεν, οὔπω τήν τῆς κατ᾽ ἀρετήν ἀτρεψίας ἕξιν ἐλάβομεν. Ὁπηνίκα δέ τοῦτο δι᾽ ἀγάπης ἡμῖν κατορθωθῇ τό ἀξίωμα, τότε γνωσόμεθα τῆς θείας ἐπαγγελίας τήν δύναμιν. Ἐκεῖ γάρ εἶναι χρή πιστεύειν καθ᾽ ἵδρυσιν ἀμετάθετον τούς ἀξίους, ἔνθα προλαβών ὁ νοῦς δι᾽ ἀγάπης τήν σφετέραν ἐνεῤῥίζωσε δύναμιν. Ὁ γάρ μή ἐκβάς ἑαυτοῦ, καί πάντων τῶν ὁπωσοῦν νοεῖσθαι δυναμένων, καί εἰς τήν ὑπέρ νόησιν σιγήν καταστάς, οὐ δύναται τροπῆς εἶναι πάμπαν ἐλεύθερος.

πβ'. Πᾶσα νόησις, πλήθους· ἤ τουλάχιστον, δυάδος πάντως ἔμφασιν ἔχει. Μέση γάρ ἐστι τινῶν ἀκροτήτων σχέσις, ἀλλήλοις συνάπτουσα, τό τε νοοῦν καί τό νοούμενον. Οὐδέτερον δέ διόλου τήν ἁπλότητα πέφυκε σώζειν. Τό τε γάρ νοοῦν, ὑποκείμενόν τί ἐστι, πάντως συνεπινοουμένην αὐτῷ τήν τοῦ νοεῖν ἔχον δύναμιν. Καί τό νοούμενον ὑποκείμενόν τι πάντως ἐστίν, ἤ ἐν ὑποκειμένῳ· συνεπινοουμένην αὐτῷ τήν τοῦ νοεῖσθαι δύναμιν ἔχον· ἤ προϋποκειμένην τήν, οὗ ἐστι δύναμις, οὐσίαν. Οὐ γάρ τι τῶν ὄντων τό σύνολον αὐτό καθ᾽ αὑτό ἁπλῆ τις οὐσία ἤ νόησίς ἐστιν, ἵνα καί μονάς ἀδιαίρετος. Τόν δέ Θεόν, εἴτε οὐσίαν εἴπωμεν, οὐκ ἔχει φυσικῶς συνεπινοουμένην αὐτῷ τήν τοῦ νοεῖσθαι δύναμιν, ἵνα μή σύνθετος· εἴτε νόησιν, οὐκ ἔχει φυσικῶς δεκτικήν τῆς νοήσεως ὑποκειμένην οὐσίαν· ἀλλ᾽ αὐτός κατ᾽ οὐσίαν νόησίς ἐστιν ὁ Θεός· καί ὅλος νόησις, καί μόνον· (1117) καί αὐτός κατά τήν νόησιν οὐσία, καί ὅλος οὐσία καί μόνον· καί ὑπέρ οὐσίαν ὅλος, καί ὑπέρ νόησιν ὅλος, διότι καί μονάς ἀδιαίρετος καί ἀμερής καί ἁπλῆ. Ὁ τοίνυν καθ᾽ ὁτιοῦν νόησιν ἔχων,

οὔπω τῆς δυάδος ἐξῆλθεν· ὁ δέ ταύτην πάμπαν ἀπολιπών, γέγονε ποσῶς ἐν τῇ μονάδι, τήν τοῦ νοεῖν ὑπεροχικῶς ἀποθέμενος δύναμιν.

πγ'. Ἐν μέν τοῖς πολλοῖς, ἑτερότης καί ἀνομοιότης ἐστί καί διαφορά· ἐν δέ τῷ Θεῷ, κυρίως ἑνί καί μόνῳ τυγχάνοντι, ταυτότης καί ἁπλότης μόνον ἐστί, καί ὁμοιότης. Οὐκ ἀσφαλές οὖν πρίν ἔξω γενέσθαι τῶν πολλῶν, ἐπιβάλλειν ταῖς περί Θεοῦ θεωρίαις· καί δηλοῖ τοῦτο Μωϋσῆς, ἔξω τῆς παρεμβολῆς πηγνύμενος τήν σκηνήν τῆς διανοίας, καί τότε προσομιλῶν τῷ Θεῷ. Τό γάρ μετά λόγου τοῦ κατά προφοράν πειρᾶσθαι φάναι τόν ἄῤῥητον, ἐπικίνδυνον· ὅτι δυάς, καί πλέον ἐστίν ὁ κατά προφοράν λόγος. Τό δέ ἄνευ φωνῆς μόνῃ τῇ ψυχῇ τό ὄν θεωρεῖν, ἰσχυρότατον· ὅτι κατά τήν ἀδιαίρετον ἵσταται μονάδα, καί οὐκ ἐν τοῖς πολλοῖς. Ὁ γάρ ἀρχιερεύς, ἅπαξ τοῦ ἐνιαυτοῦ εἰς τά Ἅγια τῶν ἁγίων εἴσω τοῦ καταπετάσματος εἰσιέναι μόλις προστεταγμένος, διδάσκει μόνον δεῖν ἐκεῖνον, τόν τήν αὐτήν καί τά ἅγια διαβάντα, καί εἰς τά Ἅγια τῶν ἁγίων εἴσω γενόμενον· τουτέστι, τήν ἅπασαν τῶν αἰσθητῶν τε καί νοητῶν παρελθόντα φύσιν, καί πάσης τῆς κατά γένεσιν ἰδιότητος γενόμενον καθαρόν, ἀνείμονι καί γυμνῇ τῇ διανοίᾳ προσβάλλειν ταῖς περί Θεοῦ φαντασίαις.

πδ'. Μωϋσῆς ὁ μέγας, ἔξω τῆς παρεμβολῆς πηξάμενος ἑαυτοῦ τήν σκηνήν· τουτέστι, τήν γνώμην καί τήν διάνοιαν ἱδρυσάμενος ἔξω τῶν ὁρωμένων, προσκυνεῖν τόν Θεόν ἄρχεται· καί εἰς τόν γνόφον εἰσελθών, τόν ἀειδῆ καί ἄϋλον τῆς γνώσεως τόπον, ἐκεῖ μένει τάς ἱερωτάτας τελούμενος τελετάς.

(1120) πε'. Ὁ γνόφος ἐστίν, ἡ ἀειδής καί ἄϋλος καί ἀσώματος κατάστασις, ἡ τήν παραδειγματικήν τῶν ὄντων ἔχουσα γνῶσιν· ἐν ᾗ ὁ γενόμενος ἐντός, καθάπερ τις ἄλλος Μωϋσῆς, φύσει θνητῇ κατανοεῖ τά ἀθέατα· δι᾽ ἧς τῶν θείων ἀρετῶν ἐν ἑαυτῷ ζωγραφήσας τό κάλλος, ὥσπερ γραφήν εὐμιμήτως [unus Reg. εὐμίμητον] ἔχουσαν τοῦ ἀρχετύπου κάλλους τό ἀπεικόνισμα, κάτεισιν· ἑαυτόν προβαλλόμενος τοῖς βουλομένοις μιμεῖσθαι τήν ἀρετήν, καί ἐν τούτῳ δεικνύς, ἧς μετειλήφει χάριτος, τό φιλάνθρωπόν τε καί ἄφθονον.

πστ'. Οἱ ἀσπίλως τήν κατά Θεόν μετερχόμενοι φιλοσοφίαν, μέγιστον ἐκ τῆς κατ᾽ αὐτήν ἐπιστήμης κέρδος εὑρίσκουσι· τό, μηκέτι τήνγνώμην τοῖς πράγμασι συμμεταβάλλεσθαι· ἀλλά μετ᾽ εὐσταθοῦς βεβαιότητος [unus Reg. γενναιότητος] πᾶσιν ἐγχειρεῖν προθύμως τοῖς ἁρμόζουσι τῷ λόγῳ τῆς ἀρετῆς.

πζ'. Τήν κατά σάρκα πρώτην ἐν Χριστῷ διά Πνεύματος βαπτισθέντες [ἴσ. κτηθέντες, primam nacti incorruptionem] ἀφθαρσίαν, τήν ἐσχάτην κατ᾽ αὐτόν ἐν Πνεύματι· δι᾽ ἐπιδόσεως ἔργων ἀγαθῶν δηλονότι, καί τοῦ κατά πρόθεσιν θανάτου, τήν προτέραν φυλάξαντες ἀκηλίδωτον, ἐκδεχόμεθα· καθ᾽ ἥν τῶν ἐχόντων, οὐδείς ἀποβολήν δέδοικε τῶν κτηθέντων ἀγαθῶν.

πη'. Τοῖς ἐπί γῆς, τῆς θείας ἀρετῆς ἀπ᾽ οὐρανοῦ δι᾽ ἔλεον τόν πρός ἡμᾶς τήν χάριν καταπέμψαι βουληθείς ὁ Θεός, συμβολικῶς τήν ἱεράν σκηνήν καί τά ἐν αὐτῇ πάντα κατεσκεύασε· σοφίας οὖσαν ἀπεικόνισμα καί τύπον καί μίμημα.

πθ'. Ἡ χάρις τῆς Νέας Διαθήκης, μυστικῶς τῷ τῆς Παλαιᾶς κέκρυπται γράμματι· διό φησιν ὁ Ἀπόστολος, ὅτι ὁ νόμος πνευματικῶς ἐστιν. Ὁ οὖν νόμος, τῷ μέν γράμματι, παλαιοῦται καί γηράσκει καταργούμενος· τῷ δέ πνεύματι,νεάζει διαπαντός ἐνεργούμενος. Ἡ γάρ χάρις παντελῶς ἀπαλαίωτος.

τέσσ. ἀνοικ. '. Ὁ μέν νόμος, σκιάν ἔχει τοῦ Εὐαγγελίου· τό δέ Εὐαγγέλιον, εἰκών ἐστι τῶν μελλόντων ἀγαθῶν. Ὁ μέν γάρ κωλύει τάς τῶν κακῶν ἐνεργείας· τό δέ, τάς πράξεις τῶν ἀγαθῶν παρατίθεται.

τέσσ. ἀνοικ. α'. Τήν ἁγίαν ὅλην Γραφήν, σαρκί διαιρεῖσθαι λέγομεν καί πνεύματι· καθάπερ τινά πνευματικόν ἄνθρωπον οὖσαν. Ὁ γάρ τό ῥητόν τῆς Γραφῆς εἰπών εἶναι σάρκα· (1121) τόν δέ νοῦν, πνεῦμα, ἤγουν ψυχήν, τῆς ἀληθείας οὖν ἁμαρτήσεται. Σοφός δέ προδήλως, ὁ τό μέν φθειρόμενον ἀφείς· ὅλος [unus Reg. ὅλως] δέ τοῦ ἀφθάρτου γενόμενος.

τέσσ. ἀνοικ. β'. Ὁ μέν νόμος, σάρξ ἐστι τοῦ κατά τήν ἁγίαν Γραφήν πνευματικοῦ ἀνθρώπου· αἴσθησις δέ, οἱ προφῆται· τό δέ Εὐαγγέλιον, ψυχή νοερά· διά σαρκός τοῦ νόμου, καί δι᾽ αἰσθήσεως τῶν προφητῶν ἐνεργοῦσα· καί τήν ἑαυτῆς δύναμιν ταῖς ἐνεργείαις ἐμφαίνουσα.

τέσσ. ἀνοικ. γ'. Σκιάν μέν εἶχεν ὁ νόμος, εἰκόνα δέ οἱ προφῆται τῶν ἐν τῷ Εὐαγγελίῳ θείων καί πνευματικῶν ἀγαθῶν. Αὐτό δέ τό Εὐαγγέλιον, αὐτήν παροῦσαν ἡμῖν διά τῶν γραμμάτων ἔδειξε τήν ἀλήθειαν· τήν τῷ νόμῳ προσκιασθεῖσαν, καί τοῖς προφήταις προεικονισθεῖσαν.

τέσσ. ἀνοικ. δ'. Ὁ τόν νόμον διά βίου καί πολιτείας ἐπιτελῶν, μόνων τῶν τῆς κακίας ἀργεῖ συμπερασμάτων, καταθύων τῷ Θεῷ τῶν

ἀλόγων παθῶν τήν ἐνέργειαν· καί τούτῳ πρός σωτηρίαν ἀρκεῖται τῷ τρόπῳ, διά τήν ἐν αὐτῷ πνευματικήν νηπιότητα.

τέσσ. ἀνοικ. ε'. Ὁ τῷ προφητικῷ λόγῳ παιδαγωγούμενος, πρός τῇ ἀποβολῇ τῆς τῶν παθῶν ἐνεργείας, καί τάς κατά ψυχήν συνισταμένας αὐτῶν ἐκτίθεται συγκαταθέσεις· ἵνα μή τῷ χείρονι, φημί δή τῇ σαρκί, δοκῶν κακίας ἀπέχεσθαι· τῷ κρείττονι, λέγω δέ τῇ ψυχῇ, λάθῃ ταύτην δαψιλῶς ἐνεργούμενος.

τέσσ. ἀνοικ. στ'. Ὁ τήν εὐαγγελικήν ζωήν γνησίως ἀσπαζόμενος, καί ἀρχήν καί τέλος ἑαυτοῦ τῆς κακίας ἐξέτεμε· καί πᾶσαν ἀρετήν ἔργῳ τε καί λόγῳ μετέρχεται· θύων θυσίαν αἰνέσεως καί ἐξομολογήσεως, πάσης τῆς κατ᾽ ἐνέργειαν τῶν παθῶν ἀπηλλαγμένος ὀχλήσεως, καί τῆς κατά νοῦν πρός αὐτά μάχης ὑπάρχων ἐλεύθερος· καί μόνην ἔχων τήν ἐπ᾽ ἐλπίδι τῶν μελλόντων ἀγαθῶν τήν ψυχήν διατρέφουσαν, ἀκόρεστον ἡδονήν.

τέσσ. ἀνοικ. ζ'. Τοῖς σπουδαιοτέροις τῶν θείων Γραφῶν ἐπιμεληταῖς, δύο ἔχων ἀναφαίνεται μορφάς ὁ κατά Κύριον Λόγος· τήν μέν κοινήν καί δημωδεστέραν καί οὐκ ὀλίγοις θεατήν, καθ᾽ ἥν λέγεται τό, Εἴδομεν αὐτόν, καί οὐκ εἶχεν εἶδος οὐδέ κάλλος· τήν δέ κρυφιωτέραν καί ὀλίγοις ἐφικτήν, τοῖς ἤδη κατά Πέτρον καί Ἰάκωβον καί Ἰωάννην, τούς ἁγίους ἀποστόλους γεγονόσιν, ἐφ᾽ ὧν ὁ Κύριος μετεμορφώθη πρός δόξαν νικῶσαν τήν αἴσθησιν· καθ᾽ ἥν ἔστιν ὡραῖος κάλλει παρά τούς υἱούς τῶν ἀνθρώπων. (1124) Τούτων δέ τῶν δύο μορφῶν, ἡ μέν προτέρα, τοῖς εἰσαγομένοις ἁρμόδιος· ἡ δευτέρα δέ, τοῖς κατά τήν γνῶσιν ὡς ἐφικτόν τελειωθεῖσιν ἀνάλογος. Καί ἡ μέν, τῆς πρώτης τοῦ Κυρίου παρουσίας ἐστίν εἰκών, ἐφ᾽ ἧς τό ῥητόν τοῦ Εὐαγγελίου θετέον τῆς διά παθημάτων καθαιρούσης τούς πρακτικούς· ἡ δέ, τῆς δευτέρας καί ἐνδόξου παρουσίας ἐστί προδιατύπωσις, ἐφ᾽ ἧς τό πνεῦμα νοεῖται· τῆς διά σοφίας τούς γνωστικούς μεταμορφούσης πρός θέωσιν· ἐκ τῆς ἐν αὐτοῖς τοῦ λόγου μεταμορφώσεως, ἀνακεκαλυμμένῳ προσώπῳ τήν δόξαν Κυρίου κατοπτριζομένους.

τέσσ. ἀνοικ. η'. Ὁ μέν ἀκατασείστως ὑπέρ ἀρετῆς ἐγκαρτερῶν τοῖς δεινοῖς, ἐνεργουμένην ἐφ᾽ ἑαυτόν ἔχει τήν πρώτην τοῦ Λόγου παρουσίαν, πάσης αὐτόν κηλίδος καθαίρουσαν· ὁ δέ τόν νοῦν πρός τήν τῶν ἀγγέλων διά θεωρίας μεταβιβάσας κατάστασιν, τῆς δευτέρας ἔχει παρουσίας τήν δύναμιν, ἐνεργοῦσαν αὐτῷ τό ἀπαθές καί ἀνάλωτον.

τέσσ. ἀνοικ. θ'. Αἴσθησις μέν ἕπεται τῷ πρακτικῷ, διά πόνον κατορθοῦντι τάς ἀρετάς· ἀναισθησία δέ τῷ γνωστικῷ, τόν νοῦν ἀπό τῆς σαρκός καί τοῦ κόσμου συστείλαντι πρός Θεόν. Ὁ μέν γάρ λῦσαι τήν ψυχήν τῶν κατά φύσιν τῆς σχέσεως πρός τήν σάρκα δεσμῶν διά τῆς πρακτικῆς ἀγωνιζόμενος, ἔχει τήν γνώμην τοῖς πόνοις συνεχῶς ἐποκλάζουσαν· ὁ δέ, ταύτης τῆς σχέσεως ἀνασπάσας διά τῆς θεωρίας [unus Reg. θεωρητικῆς] τούς ἥλους, οὐδενί τό σύνολόν ἐστι καθεκτός· καθαρός ἤδη τοῦ πάσχειν τε καί κρατεῖσθαι πεφυκότος παρά τῶν ἑλεῖν βουλομένων, γενόμενος.

ρ'. Τό μάννα δοθέν τῷ Ἰσραήλ κατά τήν ἔρημον, ὁ τοῦ Θεοῦ λόγος ἐστί, πρός πᾶσαν ἡδονήν πνευματικήν ἁρμῶν τοῖς ἐσθίουσιν αὐτόν, καί πρός πᾶσαν γεῦσιν κατά τήν διαφοράν τῆς τῶν ἐσθιόντων ἐπιθυμίας, μετακιρνώμενος. Πάσης γάρ ἔχει πνευματικῆς βρώσεως ποιότητα. Διό τοῖς μέν ἄνωθεν ἐκ σπόρου ἀφθάρτου διά πνεύματος γεννηθεῖσι, λογικόν ἄδολον γίνεται γάλα· τοῖς δέ ἀσθενοῦσι, λάχανον, τήν παθοῦσαν τῆς ψυχῆς παραμυθούμενος δύναμιν· τοῖς δέ διά τήν ἕξιν τά αἰσθητήρια τῆς ψυχῆς γεγυμνασμένα ἔχουσι πρός διάκρισιν καλοῦ τε καί κακοῦ, στερεάν ἑαυτόν δίδωσι τροφήν. Ἔχει δέ καί ἄλλας ἀπείρους δυνάμεις ὁ τοῦ Θεοῦ λόγος, ἐνταῦθα μή χωρουμένας· ἀναλύσας δέ τις, καί ἄξιος γενόμενος ἐπί πολλῶν, ἤ ἐπί πάντων κατασταθῆναι, λήψεται κἀκείνας ὅλας, ἤ τινας τοῦ λόγου τάς δυνάμεις, διά τό ἐν ἐλαχίστῳ αὐτόν ἐνταῦθα πιστόν γεγονέναι. Πᾶσα γάρ τῶν ἐνταῦθα διδομένων θείων χαρισμάτων ἀκρότης, συγκρίσει τῶν μελλόντων, ἐλάχιστόν τι καί μέτριόν ἐστιν.

## *ΕΚΑΤΟΝΤΑΣ Β' ΓΝΩΣΤΙΚΩΝ ΚΕΦΑΛΑΙΩΝ.*

*α'*. Εἷς Θεός, ὅτι μία θεότης· μονάς [deest τό, μονάς, in tribus Regiis] ἄναρχος καί ἁπλῆ καί ὑπερούσιος· (1125) καί ἀμερής καί ἀδιαίρετος· ἡ αὐτή μονάς καί Τριάς· ὅλη μονάς ἡ αὐτή, καί ὅλη Τριάς ἡ αὐτή· μονάς ὅλη κατά τήν οὐσίαν ἡ αὐτή, καί Τριάς ὅλη κατά τάς ὑποστάσεις ἡ αὐτή. Πατήρ γάρ, καί Υἱός, καί Πνεῦμα ἅγιον ἡ θεότης, καί ἐν Πατρί, καί Υἱῷ, καί ἁγίῳ Πνεύματι ἡ θεότης. Ὅλη ἐν ὅλῳ τῷ Πατρί ἡ αὐτή· καί ὅλος ἐν ὅλῃ τῇ αὐτῇ ὁ Πατήρ· καί ὅλη ἐν ὅλῳ τῷ Υἱῷ ἡ αὐτή· καί ὅλος ἐν ὅλῃ τῇ αὐτῇ ὁ Υἱός. Καί ὅλη ἐν ὅλῳ τῷ Πνεύματι τῷ ἁγίῳ ἡ αὐτή· καί ὅλον ἐν ὅλῃ τῇ αὐτῇ τό Πνεῦμα τό ἅγιον. Ὅλη Πατήρ, καί ἐν ὅλῳ τῷ Πατρί· καί ὅλος ἐν ὅλῃ ὁ Πατήρ· καί ὅλη ὅλος ὁ Πατήρ. Καί ὅλη

ὅλος ὁ Υἱός ἡ αὐτή· καί ὅλη ἐν ὅλῳ τῷ Υἱῷ ἡ αὐτή· καί ὅλος ὅλη, καί ἐν ὅλῃ τῇ αὐτῇ ὁΥἱός. Καί ὅλη Πνεῦμα ἅγιον ἡ αὐτή, καί ἐν ὅλῳ τῷ Πνεύματι τῷ ἁγίῳ· καί τό Πνεῦμα τό ἅγιον ὅλον ὅλη, καί ὅλον ἐν ὅλῃ τῇ αὐτῇ τό Πνεῦμα τό ἅγιον. Οὐ γάρ ἐκ μέρους ἡ θεότης ἐν τῷ Πατρί, ἤ ἐκ μέρους Θεός ὁ Πατήρ· οὔτε ἐκ μέρους ἐν τῷ Υἱῷ ἡ θεότης, ἤ ἐκ μέρους Θεός ὁ Υἱός· οὔτε ἐκ μέρους ἐν τῷ ἁγίῳ Πνεύματι ἡ θεότης, ἤ ἐκ μέρους Θεός τό Πνεῦμα τό ἅγιον. Οὔτε γάρ μεριστή ἡ θεότης· οὔτε ἀτελής ὁ Θεός ὁ Πατήρ, ἤ ὁ Υἱός, ἤ τό Πνεῦμα τό ἅγιον· ἀλλ᾽ ὅλη ἐστίν ἡ αὐτή τελεία τελείως ἐν τελείῳ τῷ Πατρί· καί ὅλη τελεία τελείως ἡ αὐτή ἐν τελείῳ τῷ Υἱῷ ἡ αὐτή· καί ὅλη τελεία τελείως ἡ αὐτή ἐν τελείῳ τῷ ἁγίῳ Πνεύματι. Ὅλος γάρ ἐν ὅλῳ τῷ Υἱῷ καί τῷ Πνεύματι τελείως ἐστίν ὁ Πατήρ· καί ὅλος ἐν ὅλῳ τῷ Πατρί καί τῷ Πνεύματι τελείως ἐστίν ὁΥἱός· καί ὅλον ἐν ὅλῳ τῷ Πατρί καί τῷ Υἱῷ τελείως ἐστί τό Πνεῦμα τό ἅγιον. Διό καί εἷς Θεός ὁ Πατήρ καί ὁ Υἱός καί τό Πνεῦμα τό ἅγιον. Μία γάρ καί ἡ αὐτή οὐσία καί δύναμις καί ἐνέργεια Πατρός καί Υἱοῦ καί ἁγίου Πνεύματος· οὐκ ὄντος οὐδενός τοῦ ἑτέρου χωρίς ἤ νοουμένου.

β'. Πᾶσα νόησις, τῶν νοούντων καί νοουμένων ἐστίν· ὁ δέ Θεός, οὔτε τῶν νοούντων ἐστίν, οὔτε τῶν νοουμένων· ὑπέρ ταῦτα γάρ· ἐπεί περιγράφεται, τῆς τοῦ νοουμένου σχέσεως, ὡς νοῶν, προσδεόμενος· ἤ τῷ νοοῦντι φυσικῶς ὑποπίπτων, διά τήν σχέσιν νοούμενος. Λείπεται γοῦν, μήτε νοεῖν, μήτε νοεῖσθαι τόν Θεόν ὑπολαμβάνειν· ἀλλ᾽ ὑπέρ τό νοεῖν εἶναι καί νοεῖσθαι. Τῶν γάρ μετ᾽ αὐτόν, φυσικῶς ἐστι τό νοεῖν καί τό νοεῖσθαι.

γ'. Πᾶσα νόησις ὥσπερ ἐν οὐσίᾳ πάντως ἔχει τήν θέσιν ὡς ποιότης, οὕτω καί περί οὐσίαν πεποιωμένην ἔχει τήν κίνησιν. Οὐ γάρ ἄφετόν τι καθόλου καί ἁπλοῦν καθ᾽ ἑαυτό ὑφεστώς δυνατόν ἐστιν αὐτήν ὑποδέξασθαι, ὅτι μή ἄφετός ἐστι καί ἁπλῆ. Ὁ δέ Θεός, κατ᾽ ἄμφω πάμπαν ὑπάρχων ἁπλοῦς, καί οὐσία τοῦ ἐν ὑποκειμένῳ χωρίς, καί νόησις μή ἔχουσά τι καθάπαξ ὑποκείμενον· οὐκ ἔστι τῶν νοούντων καί νοουμένων, ὡς ὑπέρ οὐσίαν ὑπάρχων δηλονότι καί νόησιν.

δ'. Ὥσπερ ἐν τῷ κέντρῳ τῶν ἐξ αὐτοῦ κατ᾽ εὐθεῖαν ἐκτεταμένων γραμμῶν ἀδιαίρετος θεωρεῖται (1128) παντελῶς ἡ θέσις· οὕτως ὁ ἀξιωθείς ἐν τῷ Θεῷ γενέσθαι, πάντας εἴσεται τούς ἐν αὐτῷ τῶν γεγονότων προϋφεστῶτας λόγους, καθ᾽ ἁπλῆν τινα ἀδιαίρετον γνῶσιν.

ε'. Μορφουμένη τοῖς νοουμένοις νόησις, πολλαί νοήσεις ἡ μία καθίσταται νόησις, κατ᾽ εἶδος ἕκαστον μορφουμένη τῶν νοουμένων. Ὁπηνίκα δέ τῶν μορφούντων αὐτήν αἰσθητῶν τε καί νοητῶν τό πλῆθος περάσασα, γένηται πάμπαν ἀνείδεος, τηνικαῦτα προσφυῶς αὐτήν ὁ ὑπέρ νόησιν οἰκειοῦται Λόγος, καταπαύων τῶν ἀλλοιοῦν αὐτήν ταῖς τῶν νοημάτων μορφαῖς πεφυκότων· ὅπερ ὁ παθών, καί αὐτός κατέπαυσεν ἀπό τῶν ἔργων αὐτοῦ, ὥσπερ ἀπό τῶν ἰδίων ὁ Θεός.

στ'. Ὁ τήν ἐφικτήν ἀνθρώποις ἐνταῦθα τελειότητα φθάσας, καρποφορεῖ τῷ Θεῷ ἀγάπην, χαράν, εἰρήνην, μακροθυμίαν· πρός δέ τό μέλλον, ἀφθαρσίαν καί ἀϊδιότητα, καί τά τούτοις ὅμοια· καί μήποτε τά μέν πρῶτα προσήκει τῷ τήν πρακτικήν τελειώσαντι· τά δεύτερα δέ, τῷ διά γνώσεως ἀληθοῦς ἐκστάντι τῶν πεποιημένων.

ζ'. Ὥσπερ ἴδιον παρακοῆς ἔργον ἐστίν ἡ ἁμαρτία, οὕτως ἴδιον ὑπακοῆς ἔργον ἐστίν ἡ ἀρετή· καί ὥσπερ τῇ μέν παρακοῇ παρακολουθεῖ παράβασις ἐντολῶν, καί τοῦ ἐντειλαμένου διαίρεσις, οὕτω τῇ ὑπακοῇ ἐφέπεται συντήρησις ἐντολῶν, καί ἡ πρός τόν ἐντειλάμενον ἕνωσις. Ὁ γοῦν συντηρήσας δι᾽ ὑπακοῆς ἐντολήν, καί δικαιοσύνην εἰργάσατο, καί πρός τόν ἐντειλάμενον, ἕνωσιν διά τῆς ἀγάπης ἐτήρησεν ἀδιαίρετον· ὁ δέ παραβάς διά παρακοῆς ἐντολήν, καί τήν ἁμαρτίαν εἰργάσατο, καί τῆς κατ᾽ ἀγάπην ἑαυτόν πρός τόν ἐντειλάμενον διεῖλεν ἑνώσεως.

η'. Ὁ ἐκ τῆς κατά τήν παράβασιν διαιρέσεως συναγόμενος, πρῶτον χωρίζεται τῶν παθῶν· ἔπειτα τῶν ἐμπαθῶν λογισμῶν· εἶτα φύσεως καί τῶν περί φύσιν λόγων· εἶτα νοημάτων, καί τῶν περί αὐτά γνώσεων· καί τελευταῖον, τῶν περί Προνοίας λόγων διαδράς τό ποικίλον, εἰς αὐτόν ἀγνώστως καταντᾷ τόν περί μονάδος λόγον· καθ᾽ ὅν μόνον θεωρήσας ἑαυτοῦ ἀτρεψίαν ὁ νοῦς, χαίρει τήν ἀνεκλάλητον χαράν· ὡς τήν εἰρήνην εἰληφώς τοῦ Θεοῦ, τήν ὑπερέχουσαν πάντα νοῦν· καί φρουροῦσαν διηνεκῶς ἄπτωτον τόν αὐτῆς ἀξιούμενον.

θ'. Ὁ τῆς γεέννης φόβος, κακίαν φεύγειν παρασκευάζει τούς εἰσαγομένους· ὁ δέ πόθος τῆς τῶν ἀγαθῶν ἀντιδόσεως, τοῖς προκόπτουσι τήν ἐπ᾽ ἐνεργείᾳ τῶν ἀρετῶν χαρίζεται προθυμίαν· τό δέ τῆς ἀγάπης μυστήριον, πάντων ὑπεραίρει τῶν γεγονότων τόν νοῦν, (1129) πρός πάντα τά μετά Θεόν τυφλόν ἀπεργαζόμενον. Μόνους γάρ τούς τυφλούς πρός πάντα τά μετά Θεόν γεγενημένους ὁ Κύριος σοφίζει, δεικνύς τά θειότερα.

ι'. Ὁ τοῦ Θεοῦ λόγος, κόκκῳ σινάπεως ἐοικώς, πρό τῆς γεωργίας πάνυ εἶναι δοκεῖ μικρός· ἐπειδάν δέ γεωργηθῇ δεόντως, τοσοῦτον διαδείκνυται μέγας, ὥστε τούς τῶν αἰσθητῶν καί τῶν νοητῶν κτισμάτων μεγαλοφυεῖς λόγους πτηνῶν δίκην αὐτῷ ἐπαναπαύεσθαι. Πάντων γάρ οἱ λόγοι καθεστήκασιν αὐτῷ χωρητοί· αὐτός δέ, τῶν ὄντων ἐστίν οὐδενί χωρητός. Διό τόν ἔχοντα πίστιν ὡς κόκκον σινάπεως, δύνασθαι μεταθεῖναι λόγῳ τό ὄρος ὁ Κύριος ἔφη· τουτέστι, τό καθ᾽ ἡμῶν τοῦ διαβόλου κράτος ἀποδιώκειν, καί μετατιθέναι τῆς βάσεως.

ια'. Κόκκος τοῦ σινάπεώς ἐστιν ὁ Κύριος, κατά πίστιν ἐν Πνεύματι σπειρόμενος ἐν ταῖς καρδίαις τῶν δεχομένων· ὅν ὁ ἐπιμελῶς διά τῶν ἀρετῶν γεωργήσας, τό μέν ὄρος τοῦ χοϊκοῦ φρονήματος μετατίθησι, τήν δυσκίνητον ἕξιν ἑαυτοῦ τῆς κακίας κατ᾽ ἐξουσίαν ἀπωθούμενος· τούς δέ λόγους ἑαυτῶ τῶν ἐντολῶν καί τούς τρόπους, ἤ καί τάς θείας δυνάμεις, ὥσπερ πετεινά οὐρανοῦ ἐπαναπαύει.

ιβ'. Τῷ Κυρίῳ καθάπερ τινί θεμελίῳ πίστεως, τό ὕψος ἐποικοδομοῦντες τῶν ἀγαθῶν, χρυσίον, ἀργύριον, λίθους τιμίους ἐπιθώμεθα· τουτέστι, θεολογίαν καθαράν καί ἀκίβδηλον, καί βίον διαφανῆ καί λαμπρόν, καί θείους λογισμούς τά μαργαρώδη νοήματα· ἀλλά μή ξύλα, μή χόρτον μήτε καλάμην· τουτέστι, μήτε εἰδωλολατρείαν· ἤγουν τήν περί τά αἰσθητά πτόησιν· μήτε βίον ἀλόγιστον, μήτε λογισμούς ἐμπαθεῖς, καί τῆς κατά σοφίαν συνέσεως ὥσπερ ἀσταχύων ἐστερημένους.

ιγ'. Ὁ γνώσεως ἐφιέμενος, ἀμετακινήτους τάς βάσεις τῆς ψυχῆς ἐρεισάτω παρά τῷ Κυρίῳ, καθά φησιν ὁ Θεός τῷ Μωϋσῇ· Σύ δέ αὐτοῦ στῆθι μετ᾽ ἐμοῦ. Ἰστέον δέ, ὅτι καί ἐν αὐτοῖς τοῖς ἱσταμένοις παρά τῷ Κυρίῳ ἐστί διαφορά· εἴπερ ἐκεῖνο μή παρέργως ἀναγινώσκεται τοῖς φιλομαθέσι, τό, Εἰσί τινες τῶν ὧδε ἑστώτων, οἵτινες οὐ μή γεύσωνται θανάτου, ἕως ἄν ἴδωσι τήν βασιλείαν τοῦ Θεοῦ ἐληλυθυῖαν ἐν δυνάμει. Οὐ γάρ πᾶσιν ἀεί μετά δόξης ὁ Κύριος ἐπιφαίνεται τοῖς παρ᾽ αὐτῷ ἱσταμένοις, ἀλλά τοῖς μέν εἰσαγομένοις, ἐν δούλου μορφῇ παραγίνεται· τοῖς δέ δυνάμενοις ἀκολουθῆσαι αὐτῷ ἐπί τό ὑψηλόν ἀναβαίνοντι τῆς αὐτοῦ μεταμορφώσεως ὄρος, ἐν μορφῇ Θεοῦ ἐπιφαίνεται· ἐν ᾗ ὑπῆρχε, (1132) πρό τοῦ τόν κόσμον εἶναι. Δυνατόν οὖν ἐστι, μή κατά τό αὐτό τόν αὐτόν πᾶσι τοῖς παρ᾽ αὐτῷ τυγχάνουσιν ἐπιφαίνεσθαι Κύριον· ἀλλά τοῖς μέν οὕτως, τοῖς δέ ἑτέρως, κατά τό μέτρον τῆς ἐν ἑκάστῳ πίστεως δηλονότι ποικίλλων τήν θεωρίαν.

ιδ'. Ὅταν περιφανής καί λαμπρός ἐν ἡμῖν ὁ τοῦ Θεοῦ γένηται λόγος, καί τό πρόσωπον αὐτοῦ λάμψοι καθάπερ ἥλιος, τότε καί τά ἱμάτια αὐτοῦ φαίνεται λευκά· τουτέστι, τά ῥήματα τῆς ἁγίας τῶν Εὐαγγελίων Γραφῆς, τρανά καί σαφῆ, καί μηδέν ἔχοντα κεκαλυμμένον. Ἀλλά καί Μωϋσῆς καί Ἠλίας μετ᾽ αὐτοῦ παραγίνονται· τουτέστιν, οἱ τοῦ νόμου καί τῶν προφητῶν πνευματικώτεροι λόγοι.

ιε'. Ὥσπερ ἔρχεται ὁ Υἱός τοῦ ἀνθρώπου, ὡς γέγραπται, μετά τῶν ἀγγέλων αὐτοῦ ἐν τῇ δόξῃ τοῦ Πατρός, οὕτως καθ᾽ ἑκάστην προκοπήν ἀρετῆς μεταμορφοῦται τοῖς ἀξίοις ὁ τοῦ Θεοῦ λόγος, ἐρχόμενος μετά τῶν ἀγγέλων αὐτοῦ ἐν τῇ δόξῃ τοῦ Πατρός. Οἱ γάρ ἐν νόμῳ καί προφήταις πνευματικώτεροι λόγοις, οὕς Μωϋσῆς καί Ἠλίας δι᾽ ἑαυτῶν προτυποῦσι, μετά τοῦ Κυρίου φαινόμενοι, κατά τήν μεταμόρφωσιν τοῦ Κυρίου , τήν ἀναλογίαν σώζουσι τῆς ἐν αὐτοῖς δόξης, τήν τέως χωρητήν τοῖς ἀξίοις ἀποκαλύπτοντες δύναμιν.

ιστ'. Ὁ τόν περί μονάδος ποσῶς μυηθείς λόγον, πάντως καί τούς περί προνοίας καί κρίσεως ἐπέγνω λόγους, συνόντας αὐτῷ. Διό καί τρεῖς γενέσθαι σκηνάς παρ᾽ ἑαυτῷ [unus Reg. παρ᾽ αὐτῷ] κατά τόν ἅγιον Πέτρον, τοῖς ὁραθεῖσι καλόν εἶναι ψηφίζεται· τουτέστι, τάς τρεῖς ἕξεις τῆς σωτηρίας· τήν τῆς ἀρετῆς λέγω, καί τήν τῆς γνώσεως, καί τήν τῆς θεολογίας. Ἡ μέν γάρ δεῖται τῆς κατά πρᾶξιν ἀνδρείας καί σωφροσύνης, ἧς ὁ μακάριος τύπος ὑπῆρχεν Ἠλίας· ἡ δέ, τῆς κατά τήν φυσικήν θεωρίαν δικαιοσύνης, ἥν ὁ μέγας ἐμήνυε δι᾽ ἑαυτοῦ Μωϋσῆς· ἡ δέ, τῆς κατά τήν φρόνησιν ἀκραιφνοῦς τελειότητος, ἥν ὁ Κύριος ἐδήλου. Σκηναί δέ προσηγορεύθησαν, διά τό ἄλλας εἶναι τούτων κρείττους καί περιφανεστέρας, τάς τούς ἀξίους κατά τό μέλλον διαδεξομένας λήξεις.

ιζ'. Ὁ μέν πρακτικός, ἐν σαρκί λέγεται παροικεῖν· ὡς τῆς ψυχῆς τήν πρός τήν σάρκα σχέσιν διά τῶν ἀρετῶν ἐκτέμνων, καί τῶν ὑλικῶν ἑαυτοῦ περιελόμενος τήν ἀπάτην. Ὁ δέ γνωστικός, καί ἐν αὐτῇ τῇ ἀρετῇ λέγεται παροικεῖν· ὡς ἐν ἐσόπτροις (1133) ἔτι καί αἰνίγμασι θεωρῶν τήν ἀλήθειαν. Οὔπω γάρ αὐτῷ τά τῶν ἀγαθῶν αὐθυπόστατα εἴδη καθώς εἰσιν ἐθεάσθησαν, διά τῆς πρόσωπον πρός πρόσωπον ἀπολαύσεως. Ἐν εἰκόνι γάρ τῶν ἀγαθῶν, ὡς πρός τό μέλλον, πᾶς ἅγιος διαπορεύεται, βοῶν· Πάροικός εἰμι καί παρεπίδημος καθώς πάντες οἱ πατέρες μου.

ιη'. Τόν εὐχόμενον οὐ δεῖ στῆναί ποτε τῆς ἐπί Θεόν ἀγούσης ὑψηλῆς ἀναβάσεως. Ὡς γάρ ἀναβάσεις χρή νοεῖσθαι [duo Regii, ποιεῖσθαι, ut et Fr.], κατά τήν ἐκ δυνάμεως εἰς δύναμιν, τήν ἐν τῇ πρακτικῇ τῶν ἀρετῶν προκοπήν· καί τήν ἀπό δόξης εἰς δόξαν, τῶν πνευματικῶν τῆς θεωρίας γνώσεως ἐπανάβασιν· καί τήν ἀπό τοῦ ῥητοῦ τῆς ἁγίας καί θείας Γραφῆς, ἐπί τό πνεῦμα μετάβασιν· οὕτω καί ἐν τῷ περί εὐχῶν τόπῳ γινόμενον χρή ποιεῖν· ἐπαίρειν τόν νοῦν ἀπό τῶν ἀνθρωπίνων· καί τό φρόνημα τῆς ψυχῆς, ἐπί τά θειότερα· ἵνα καί δυνηθῇ ὁ νοῦς ἀκολουθῆσαι τῷ διεληλυθότι τούς οὐρανούς, Ἰησοῦ τῷ Υἱῷ τοῦ Θεοῦ, πανταχοῦ ὄντι, καί πάντα διερχομένῳ δι᾽ ἡμᾶς οἰκονομικῶς, ἵνα καί ἡμεῖς ἀκολουθοῦντες αὐτῷ, πάντα διέλθωμεν τά μετ᾽ αὐτόν· καί γενώμεθα πρός αὐτόν, ἐάν γε νοῶμεν αὐτόν, οὐ κατά τήν σμικρότητα τῆς οἰκονομικῆς συγκαταβάσεως, ἀλλά κατά τήν μεγαλειότητα τῆς φυσικῆς ἀοριστίας.

ιθ'. Καλόν ἀεί σχολάζειν καί ζητεῖν τόν Θεόν, ὡς προσετάγημεν. Κἄν γάρ κατά τήν παροῦσαν ζωήν ζητοῦντες ἐπί τό πέρας ἐλθεῖν τοῦ βάθους τοῦ Θεοῦ οὐ δυνάμεθα· ἀλλ᾽ ἴσως καί ἐπ᾽ ὀλίγον τοῦ βάθους αὐτοῦ φθάνοντες, θεωροῦμεν ἁγίων ἁγιώτερα, καί πνευματικῶν πνευματικώτερα. Καί δηλοῖ τυπικῶς ὁ ἀρχιερεύς, ἀπό τῶν ἁγίων τῶν τῆς αὐλῆς ἁγιωτέρων, ἐπί τά ἅγια τῶν Ἁγίων, ἁγιώτερα τῶν ἁγίων εἰσιών.

κ'. Πᾶς τοῦ Θεοῦ λόγος, οὔτε πολύλογος, οὔτε πολυλογία ἐστίν· ἀλλ᾽ εἷς, συνεστώς [Regii guidam et Rt. συνετός] ἐκ διαφόρων θεωρημάτων· ὧν ἕκαστον μέρος ἐστί τοῦ λόγου. Ὥστε ὁ λέγων ὑπέρ ἀληθείας, κἄν οὕτως εἰπεῖν δυνηθῇ ὡς μηδέν εἰς τό ζητούμενον παραλιπεῖν, ἕνα λόγον εἴρηκε τοῦ Θεοῦ.

κα'. Ἐν μέν τῷ Χριστῷ, Θεῷ ὄντι καί Λόγου τοῦ Πατρός, ὅλον κατ᾽ οὐσίαν οἰκεῖ τό πλήρωμα τῆς θεότητος σωματικῶς· ἐν ἡμῖν δέ κατά χάριν οἰκεῖ τό πλήρωμα τῆς θεότητος, ἡνίκα πᾶσαν ἐν ἑαυτοῖς ἀθροίσωμεν ἀρετήν καί σοφίαν, μηδενί τρόπω κατά τό δυνατόν ἀνθρώπῳ λειπομένην τῆς πρός τό ἀρχέτυπον ἀληθοῦς ἐκμιμήσεως. Οὐ γάρ ἀπεικός κατά τόν θέσει λόγον, καί ἐν ἡμῖν οἰκῆσαι τό πλήρωμα τῆς θεότητος, τό ἐκ διαφόρων συνεστηκός πνευματικῶν θεωρημάτων.

κβ'. Ὥσπερ ὁ παρ᾽ ἡμῖν λόγος, ἐκ τοῦ νοῦ κατά φύσιν προερχόμενος, (1136) ἄγγελος τῶν κρυπτομένων τοῦ νοῦ κινημάτων ἐστίν· οὕτως ὁ Θεοῦ Λόγος, κατ᾽ οὐσίαν ἐγνωκώς τόν Πατέρα,

καθάπερ Λόγος τόν γεννήσαντα Νοῦν, οὐδενός τῶν γεννητῶν προσβάλλειν αὐτῷ χωρίς αὐτοῦ δυναμένου, ἀποκαλύπτει ὅν ἔγνω Πατέρα, ὡς κατά φύσιν Λόγος, καθό καί Μεγάλης βουλῆς ἄγγελος λέγεται.

κγ'. Μεγάλη βουλή τοῦ Θεοῦ καί Πατρός ἐστι, τό σεσιγημένον καί ἄγνωστον τῆς οἰκονομίας μυστήριον· ὅπερ πληρώσας διά τῆς σαρκώσεως ὁ μονογενής Υἱός, ἀπεκάλυψεν, ἄγγελον γενόμενος τῆς μεγάλης τοῦ Θεοῦ καί Πατρός καί προαιωνίου βουλῆς. Γίνεται δέ τῆς μεγάλης τοῦ Θεοῦ βουλῆς ἄγγελος, ὁ γνούς τοῦ μυστηρίου τόν λόγον, καί τοσοῦτον ἔργῳ τε καί λόγῳ διά πάντων ἀκαταλήκτως ὑψούμενος, μέχρις ἄν φθάσῃ τόν πρός αὐτόν τοσοῦτον κατελθόντα.

κδ'. Εἰ δι᾽ ἡμᾶς ὁ τοῦ Θεοῦ Λόγος οἰκονομικῶς κατῆλθεν εἰς τά κατώτερα μέρη τῆς γῆς, καί ἀνῆλθεν ὑπεράνω πάντων τῶν οὐρανῶν, ὁ πάντη κατά φύσιν ἀκίνητος· ἐν ἑαυτῶ κατ᾽ οἰκονομίαν ὡς ἀνθρώπῳ, προενεργῶν τά ἐσόμενα· σκοπείτων χαίρων μυστικῶς, ὁ τήν φιλίαν στέργων τῆς γνώσεως, ὁποῖόν ἐστι τό κατ᾽ ἐπαγγελίαν τέλος τῶν ἀγαπώντων τόν Κύριον.

κε'. Εἰ διά τοῦτο γέγονεν υἱός ἀνθρώπου καί ἄνθρωπος ὁ τοῦ Θεοῦ καί Πατρός Υἱός Θεός Λόγος, ἵνα ποιήσῃ θεούς καί υἱούς Θεοῦ τούς ἀνθρώπους· ἐκεῖ γενήσεσθαι πιτεύσωμεν, ἔνθα νῦν αὐτός ἐστιν ὁ Χριστός ὡς κεφαλή τοῦ ὅλου σώματος, καί ὑπέρ ἡμῶν γενόμενος πρόδρομος πρός τόν Πατέρα, τό καθ᾽ ἡμᾶς. Ἐν γάρ συναγωγῇ θεῶν, τῶν σωζομένων, ἔσται Θεός μέσος ἱστάμενος, διανέμων τάς ἀξίας τῆς ἐκεῖθεν μακαριότητος· τοπικήν οὐκ ἔχων ἀπό τῶν ἀξίων διάστασιν.

κστ'. Ὁ τάς ἐμπαθεῖς τῆς σαρκός ὀρέξεις ἔτι πληρῶν, ὡς εἰδωλολάτρης καί εἰδωλοποιός τήν γῆν οἰκεῖ τῶν Χαλδαίων. Ἐπάν δέ μικρόν τά πράγματα διακρίνας, αἴσθησιν λάβῃ τῶν καθηκόντων τῆς φύσεως τρόπων, τήν γῆν τῶν Χαλδαίων ἀφείς, ἔρχεται εἰς Χαῤῥάν τῆς Μεσοποταμίας· τήν μεταίχμιον ἀρετῆς καί κακίας λέγω κατάστασιν, τήν μήπω τῆς κατ᾽ αἴσθησιν πλάνης καθαράν γενομένην. Τοῦτο γάρ ἡ Χαῤῥάν. Εἰ δέ καί τήν δι᾽ αἰσθήσεως γενομένην σύμμετρον τοῦ καλοῦ σύνεσιν ὑπερκύψῃ, πρός τήν γῆν ἐπείξεται τήν ἀγαθήν· τοῦτ᾽ ἔστιν, εἰς τήν πάσης κακίας καί ἀγνωσίας ἐλευθέραν κατάστασιν· (1137) ἥν ὁ ἀψευδής Θεός δείκνυσι καί ἐπαγγέλλεται δώσειν ὥσπερ ἔπαθλον ἀρετῆς, τοῖς ἀγαπῶσιν αὐτόν.

κζ'. Εἰ ἐσταυρώθη δι᾽ ἡμᾶς ἐξ ἀσθενείας ὁ τοῦ Θεοῦ Λόγος, καί ἠγέρθη ἐκ δυνάμεως Θεοῦ, δῆλον ὅτι πνευματικῶς δι᾽ ἡμᾶς ἀεί τοῦτο

καί ποιεῖ καί πάσχει· ὡς πᾶσι πάντα γινόμενος, ἵνα σώσῃ τούς πάντας. Οὐκοῦν καλῶς ὁ θεῖος Ἀπόστολος ἐν τοῖς Κορινθίοις ἀσθενοῦσιν, οὐδέν ἔκρινεν εἰδέναι, εἰ μή Ἰησοῦν Χριστόν, καί τοῦτον ἐσταυρωμένον. Ἐφεσίοις δέ γράφει, τελείοις οὖσι, τό, Συνήγειρε καί συνεκάθισεν ἡμᾶς ὁ Θεός ἐν τοῖς ἐπουρανίοις ἐν Χριστῷ Ἰησοῦ· κατά τήν ἀναλογοῦσαν ἑκάστῳ δύναμιν, τόν τοῦ Θεοῦ Λόγον γίνεσθαι φάσκων. Σταυροῦται τοίνυν τοῖς ἔτι πρός εὐσέβειαν πρακτικῶς εἰσαγομένοις, τάς ἐμπαθεῖς αὐτῶν τῷ θείῳ φόβῳ προσηλῶν ἐνεργείας. Ἀνίσταται δέ καί ἄνεισιν εἰς οὐρανούς, τοῖς ὅλον τόν παλαιόν ἀπεκδυσαμένοις ἄνθρωπον, τόν φθειρόμενον κατά τάς ἐπιθυμίας τῆς ἀπάτης· καί ὅλον τόν νέον ἐνδυσαμένοις, τόν διά τοῦ πνεύματος κατ᾽ εἰκόνα Θεοῦ κτιζόμενον, καί πρός τόν Πατέρα τῆς ἐν αὐτοῖς χάριτος γενομένοις· Ὑπεράνω πάσης Ἀρχῆς καί Ἐξουσίας καί Δυνάμεως καί Κυριότητος, καί παντός ὀνόματος ὀνομαζομένου, εἴτε ἐν τῷ αἰῶνι τούτῳ, εἴτε ἐν τῷ μέλλοντι. Πάντα γάρ τά μετά Θεόν, καί πράγματα καί ὀνόματα καί ἀξιώματα, ὑπό τόν ἐν τῷ Θεῷ διά τῆς χάριτος γενησόμενον ἔσται.

κη'. Ὥσπερ πρό τῆς ἐμφανοῦς καί κατά σάρκα παρουσίας, νοητῶς ὁ τοῦ Θεοῦ Λόγος τοῖς πατριάρχαις καί προφήταις ἐνεδήμει, προτυπῶν τά μυστήρια τῆς αὐτοῦ παρουσίας· οὕτω καί μετά ταύτην τήν ἐνδημίαν, οὐ μόνον ἐν τοῖς ἔτι νηπίοις παραγίνεται, διατρέφων πνευματικῶς καί ἄγων πρός ἡλικίαν τῆς κατά Θεόν τελειότητος· ἀλλά καί ἐν τοῖς τελείοις, προδιαγράφων αὐτοῖς κρυφίως τῆς μελλούσης αὐτοῦ παρουσίας ὡς ἐν εἰκόνι τούς χαρακτῆρας.

κθ'. Ὥσπερ οἱ τοῦ νόμου καί τῶν προφητῶν λόγοι, πρόδρομοι τυγχάνοντες τῆς κατά σάρκα τοῦ Λόγου παρουσίας, τάς ψυχάς εἰς Χριστόν ἐπαιδαγώγουν· οὕτω καί αὐτός ὁ δεδοξασμένος τοῦ Θεοῦ Λόγος σαρκωθείς, πρόδρομος τῆς πνευματικῆς αὐτοῦ παρουσίας γεγένηται· παιδαγωγῶν τάς ψυχάς διά τῶν οἰκείων λόγων, πρός ὑποδοχήν τῆς ἐμφανοῦς αὐτοῦ θεϊκῆς παρουσίας· ἥν ἀεί μέν ποιεῖται, μεταβάλλων ἀπό τῆς σαρκός πρός τό πνεῦμα διά τῶν ἀρετῶν τούς ἀξίους· ποιήσει δέ καί ἐπί τέλει τοῦ αἰῶνος, ἐμφανῶς ἀποκαλύπτων τά τέως πᾶσιν ἀπόῤῥητα.

λ'. Ὅσον ἐγώ εἰμι ἀτελής καί ἀνυπότακτος, μή ὑπακούων τοῦ Θεοῦ διά τῆς ἐργασίας τῶν ἐντολῶν· μήτε γινόμενος κατά τήν γνῶσιν τέλειος ταῖς φρεσίν· ἀτελής καί ἀνυπόκτατος τό κατ᾽ ἐμέ καί Χριστός

νομίζεται δι᾽ ἐμέ· μειῶ γάρ αὐτόν καί (1140) κολοβῶ, μή συναυξάνων αὐτῷ κατά πνεῦμα, ὡς σῶμα Χριστοῦ τυγχάνων καί μέλη ἐκ μέρους.

λα'. Ἀνατέλλει ὁ ἥλιος, καί δύνει ὁ ἥλιος, φησίν ἡ Γραφή. Οὐκοῦν καί ὁ Λόγος, ποτέ μέν νομίζεται ἄνω, ποτέ δέ κάτω, κατά τήν ἀξίαν δηλονότι, καί αὐτόν τόν λόγον ἤ τόν τρόπον, τῶν μετερχομένων τήν ἀρετήν, καί περί τήν θείαν κινουμένων γνῶσιν. Μακάριος δέ, ὁ κρατῶν ἄδυτον ἐν ἑαυτῷ, κατά τόν τοῦ Ναυῆ Ἰησοῦν, τόν τῆς δικαιοσύνης ἥλιον· ὅλον τό μέτρον τῆς κατά τήν παροῦσαν ζωήν ἡμέρας, κακίας ἑσπέρᾳ καί ἀγνωσίας μή περιγραφόμενον, ἵνα δυνηθῇ νομίμως τροπώσασθαι τούς ἐπανισταμένους αὐτοῦ πνηρούς δαίμονας.

λβ'. Ὑψούμενος ἐν ἡμῖν ὁ τοῦ Θεοῦ Λόγος διά πράξεως καί θεωρίας, πάντας ἕλκει πρός ἑαυτόν· τούς τε περί σάρκα καί ψυχήν καί φύσιν τῶν ὄντων ἡμετέρους λογισμούς τε καί λόγους, καί αὐτά τά μέλη τοῦ σώματος καί τάς αἰσθήσεις κατ᾽ ἀρετήν καί γνῶσιν ἁγιάζων, καί ὑπό τόν αὑτοῦ ζυγόν ποιούμενος. Ὁ τοίνυν θεατής τῶν θείων ἀναβαινέτω κατά σπουδήν, ἀκολουθῶν τῷ Λόγῳ· μέχρις οὗ φθάσῃ τόν τόπον, οὗ ἐστιν. Ἐκεῖ γάρ ἕλκει, καθώς φησιν ὁ Ἐκκλησιαστής, Καί εἰς τόπον αὐτοῦ ἕλκει· δηλονότι τούς ἀκουλοῦντας αὐτῷ, ὡς μεγάλῳ Ἀρχιερεῖ, καί εἰσάγοντι εἰς τά Ἅγια τῶν ἁγίων· ἔνθα τό καθ᾽ ἡμᾶς αὐτός ὑπέρ ἡμῶν πρόδρομος εἰσῆλθεν.

λγ'. Ὁ τήν κατ᾽ εὐσέβειαν μετιών φιλοσοφίαν, καί πρός τάς ἀοράτους παρατασσόμενος δυνάμεις· εὐχέσθω, τήν τε φυσικήν διάκρισιν αὐτῷ παραμεῖναι (φῶς ἔχουσαν σύμμετρον), καί τήν φωτιστικήν τοῦ Πνεύματος χάριν. Ἡ μέν γάρ, παιδαγωγεῖ τήν σάρκα πρός ἀρετήν διά πράξεως· ἡ δέ, φωταγωγεῖ τόν νοῦν, τήν τῆς σοφίας πάντων προκρῖναι συμβίωσιν· καθ᾽ ἥν, τῶν τε τῆς κακίας ὀχυρωμάτων καί παντός ὑψώματος ἐπαιρομένου κατά τήν γνώσεως τοῦ Θεοῦ, ποιεῖται τήν καθαίρεσιν. Καί δηλοῖ δι᾽ εὐχῆς αἰτῶν ὁ τοῦ Ναυῆ Ἰησοῦς, στῆναι τόν ἥλιον κατά Γαβαώ· τουτέστιν, ἄδυτον αὐτῷ τό φῶς τῆς γνώσεως τοῦ Θεοῦ, κατά τό ὄρος τῆς κατά νοῦν θεωρίας φυλαχθῆναι· καί τήν σελήνην κατά φάραγγα· τουτέστι, τήν φυσικήν διάκρισιν ἐπί τῆς σαρκικῆς ἀσθενείας κειμένην, ἀπό τῆς ἀρετῆς ἀναλλοίωτον διαμεῖναι.

(1141) λδ'. Ἡ Γαβαώ ἐστιν, ὁ ὑψηλός νοῦς· ἡ δέ φάραγξ ἐστίν ἡ τῷ θανάτῳ ταπεινωθεῖσα σάρξ. Καί ὁ μέν ἥλιός ἐστιν, ὁ φωτίζων τόν νοῦν Λόγος, καί χορηγῶν αὐτῶ θεωρημάτων δύναμιν· καί πάσης

ἀγνοίας αὐτόν ἀπαλλάσσων· ἡ δέ σελήνη, ὁ κατά φύσιν νόμος ἐστίν, ὁ πείθων τήν σάρκα νομίμως ὑποταγῆναι τῷ πνεύματι, πρός τό δέξασθαι τῶν ἐντολῶν τήν ζυγόν. Φύσεως δέ σύμβολον ἡ σελήνη, διά τό τρεπτόν· ἀλλ᾽ ἐν τοῖς ἁγίοις ἄτρεπτος διαμένει, διά τήν ἀναλλοίωτον ἕξιν τῆς ἀρετῆς.

λε'. Οὐκ ἔξω τῶν ζητούντων χρή ζητεῖσθαι τόν Κύριον· ἀλλ᾽ ἐν ἑαυτοῖς, διά τήν ἐν ἔργοις πίστεως αὐτόν χρή ζητεῖν τούς ζητοῦντας. Ἐγγύς γάρ σου, φησί, τό ῥῆμά ἐστιν ἐν τῷ στόματί σου καί ἐν τῇ καρδίᾳ σου· τουτέστι τό ῥῆμα τῆς πίστεως· ὡς αὐτοῦ ὄντος τοῦ Χριστοῦ καί ῥήματος τοῦ ζητουμένου.

λστ'. Μήτε τό ὕψος τῆς θεϊκῆς ἀπειρίας ἐννοήσαντες, ἀπελπίσωμεν τήν τοῦ Θεοῦ φιλανθρωπίαν, ὡς οὐ φθάνουσαν διά τό ὕψος μέχρις ἡμῶν· μήτε ἄπειρον βάθος τῆς ἡμῶν διά τήν ἁμαρτίαν πτώσεως ἐνθυμηθέντες, ἀνάστασιν γίνεσθαι τῆς ἐν ἡμῖν νεκρωθείσης ἀρετῆς ἀπιστήσωμεν. Ἀμφότερα γάρ δυνατά τῷ Θεῷ· καί τό κατελθεῖν καί φωτίσαι τόν νοῦν ἡμῶν διά γνώσεως· καί τό ἀναστῆσαι πάλιν τήν ἀρετήν ἐν ἡμῖν, καί ἑαυτῷ συνυψῶσαι διά τῶν ἔργων τῆς δικαιοσύνης. Μή γάρ εἴπῃς, φησίν, ἐν τῇ καρδίᾳ σου· Τίς ἀναβήσεται εἰς τόν οὐρανόν; τουτέστι Χριστόν καταγαγεῖν· ἤ, Τίς καταβήσεται εἰς τήν ἄβυσσον; τουτέστι Χριστόν ἐκ νεκρῶν ἀναγαγεῖν. Τυχόν δέ κατ᾽ ἄλλην ἐκδοχήν, ἄβυσσός ἐστι, πάνα τά μετά Θεόν· ἐν οἷς ὅλος ὅλοις κατά πρόνοιαν ὁ τοῦ Θεοῦ γίνεται Λόγος, ὡς ζωή νεκροῖς ἐπιφοιτῶσα τοῖς οὖσι. Νεκρά γάρ πάντα τά ζῶντα μεθέξει ζωῆς. Οὐρανόν δέ,τήν φυσικήν τοῦ Θεοῦ κρυφιότητα, καθ᾽ ἥν πᾶσίν ἐστιν ἀκατάληπτος. Εἰ δέ τις ἐκλάβοι πάλιν, οὐρανόν μέν εἶναι τόν τῆς θεολογίας λόγον· ἄβυσσον δέ, τό τῆς οἰκονομίας μυστήριον οὐκ ἀπεικότως ἐρεῖ κατά τόν ἐμόν λόγον. Ἀμφότερα γάρ δυσεπίβατα τοῖς ἀποδεικτικῶς ζητεῖν ἐπιχειροῦσι· μᾶλλον δέ παντελῶς ἄβατα, δίχα πίστεως ἐρευνώμενα.

λζ'. Ἐν μέν πρακτικῷ, τοῖς τῶν ἀρετῶν τρόποις παχυνόμενος ὁ Λόγος, γίνεται σάρξ· ἐν δέ τῷ θεωρητικῷ, τοῖς πνευματικοῖς νοήμασι λεπτυνόμενος, γίνεται ὥσπερ ἦν ἐν ἀρχῇ, Θεός Λόγος.

λη'. Ποιεῖ σάρκα τόν λόγον, ὁ παραδείγμασι καί ῥήμασι παχυτέροις διά τήν ἀνάλογον τῶν ἀκουόντων δύναμιν, ἠθικήν τοῦ λόγου τήν διδασκαλίαν ποιούμενος· καί πάλιν ποιεῖ πνεῦμα τόν λόγον, ὁ τοῖς ὑψηλοῖς θεωρήμασι τήν μυστικήν ἐκτιθέμενος θεολογίαν.

λθ'. Ὁ μέν ἐκ τῶν θέσεων καταφατικῶς θεολογῶν, σάρκα ποιεῖ τόν λόγον· οὐκ ἔχων ἄλλοθεν, ἤ ἐκ τῶν ὁρωμένων καί ψηλαφωμένων τόν

Θεόν γινώσκειν ὡς αἴτιον· (1144) ὁ δέ ἀποφατικῶς ἐκ τῶν ἀφαιρέσεων θεολογῶν, πνεῦμα ποιεῖ τόν λόγον, ὡς ἐν ἀρχῇ Θεόν ὄντα, καί πρός Θεόν ὄντα, ἐξ οὐδενός τό παράπαν τῶν γνωσθῆναι δυναμένων, καλῶς γινώσκων τόν ὑπεράγνωστον.

μ'. Ὁ μαθών ὀρύσσειν κατά τούς πατριάρχας διά πράξεως καί θεωρίας τά ἐν αὐτῷ τῆς ἀρετῆς καί τῆς γνώσεως φρέατα, τόν Χριστόν ἔνδον εὑρήσει τήν πηγήν τῆς ζωῆς· ἀφ᾽ ἧς πίνειν ἡμᾶς ἡ σοφία παρακελεύεται, λέγουσα· Πίνε ὕδατα ἀπό σῶν ἀγγείων, καί ἀπό σῶν φρεάτων πηγῆς· ὅπερ ποιοῦντες, εὑρήσομεν ἔνδον ἡμῶν ὄντας τούς αὐτῆς θησαυρούς.

μα'. Οἱ κτηνωδῶς πρός μόνην τήν αἴσθησιν ζῶντες, ἐπισφαλῶς ἑαυτοῖς σάρκα ποιοῦσι τόν λόγον· εἰς ὑπηρεσίαν μέν παθῶν, τοῖς τοῦ Θεοῦ καταχρώμενοι κτίσμασι· τόν δέ τῆς σοφίας τῆς πᾶσιν ἐμφαινομένης, οὐ κατανοοῦντες λόγον, πρός τό γνῶναι καί δοξάσαι τόν Θεόν ἐκ τῶν αὐτοῦ ποιημάτων· καί συνιέναι πόθεν, καί τί, καί ἐπί τίνι, καί ποῦ φέρεσθαι διά τῶν ὁρωμένων γεγόναμεν· ἀλλ᾽ ἐν σκότει τόν αἰῶνα τοῦτον διαπορευόμενοι, μόνην τήν περί Θεόν ἀμφοῖν ταῖν χεροῖν ψηλαφῶσιν ἀγνωσίαν.

μβ'. Οἱ μόνῳ τῷ ῥητῷ τῆς ἁγίας Γραφῆς παρακαθήμενοι, καί τῇ σωματικῇ τοῦ νόμου λατρείᾳ δεσμοῦντες τῆς ψυχῆς τό ἀξίωμα, ψεκτῶς ποιοῦσιν ἑαυτοῖς σάρκα τόν λόγον· ἀλόγων ζώων θυσίαις εὐαρεστεῖσθαι νομίζοντες τόν Θεόν· οἷς πολύ τό σῶμα πεφρόντισται, τοῖς ἐκτός καθαρσίοις· τῆς δέ ψυχῆς παρημέληται τό κάλλος, ταῖς τῶν παθῶν κηλίσι στιζόμενον· ὑπέρ ἧς, ἡ πᾶσα τῶν ὁρωμένων προβέβληται δύναμις, καί πᾶς λόγος θεῖος καί νόμος ἐκδέδοται.

μγ'. Εἰς πτῶσιν καί ἀνάστασιν πολλῶν κεῖσθαι τόν Κύριον λέγει τό ἅγιον Εὐαγγέλιον. Οὐκοῦν σκοπήσωμεν, μήπως εἰς πτῶσιν μέν, τῶν τε πρός μόνην τήν αἴσθησιν τήν ὁρωμένην θεωρούντων κτίσιν, καί τῶν μόνῳ τῷ ῥητῷ στοιχούντων τῆς ἁγίας Γραφῆς· ὡς μή δυναμένων πρός τό καινόν πνεῦμα διαβῆναι τῆς χάριτος διά τήν ἄνοιαν· ἀνάστασιν δέ, τῶν πνευματικῶς τά τε κτίσματα τοῦ Θεοῦ καί τά ῥήματα θεωρούντων τε καί ἀκουόντων, καί τοῖς καθήκουσι τρόποις μόνης τῆς κατά ψυχήν θείας εἰκόνος ἐπιμελουμένων.

μδ'. Τό, κεῖσθαι τόν Κύριον εἰς πτῶσιν πολλῶν καί ἀνάστασιν ἐν τῷ Ἰσραήλ, ἐπαινετῶς μόνον νοούμενον, εἰς πτῶσιν μέν νοεῖται, τῶν ἐν ἑκάστῳ τῶν πιστευόντων τῶν παθῶν τε καί πονηρῶν λογισμῶν· ἀνάστασιν δέ, τῶν ἀρετῶν καί παντός θεοφιλοῦς λογισμοῦ

με΄. (1145) Ὁ μόνον τῶν ἐν γενέσει καί φθορᾷ δημιουργόν νομίζων τόν Κύριον, εἰς κηπουρόν αὐτόν παραγνωρίζει, κατά τήν Μαγδαληνήν Μαρίαν. Διό πρός ὠφέλειαν φεύγει τοῦ τοιούτου τήν ἀφήν ὁ Δεσπότης, μήπω παρ᾽ αὐτῷ δυνηθείς ἀναβῆναι πρός τόν Πατέρα, λέγων· Μή μου ἅπτου. Γινώσκει γάρ βλάπτεσθαι, τόν μετά τοιαύτης αὐτῷ προσερχόμενον ταπεινοτέρας προλήψεως.

μστ΄. Οἱ διά τόν φόβον τῶν Ἰουδαίων κατά τήν Γαλιλαίαν ἐν τῷ ὑπερῴῳ κλείσαντες τάς θύρας καθήμενοι· τουτέστι, οἱ διά τόν φόβον τῶν πνευμάτων τῆς πονηρίας, κατά τήν χώραν τῶν ἀποκαλύψεων, ἐν τῷ ὕψει τῶν θείων θεωρημάτων ἀσφαλῶς βεβηκότες, θυρῶν δίκην μύσαντες τάς αἰσθήσεις, παραγινόμενον ἀγνώστως δέχονται τόν τοῦ Θεοῦ Λόγον, ἄνευ τῆς κατ᾽ αἴσθησιν ἐνεργείας αὐτοῖς ἐπιφαινόμενον· ἀπάθειάν τε διά τῆς ἐμπνεύσεως δωρούμενον· καί τήν κατά πνευμάτων πονηρῶν ἐξουσίαν παρέχοντα, καί δεικνύοντα τῶν αὐτοῦ μυστηρίων τά σύμβολα.

μη΄. Ἡ γῆ τῶν Χαλδαίων ἐστίν, ὁ ἐμπαθής βίος· ἐν ᾧ τῶν ἁμαρτημάτων δημιουργεῖται καί προσκυνεῖται τά εἴδωλα. Ἡ δέ Μέση τῶν ποταμῶν ἐστιν, ὁ ἐπαμφοτερίζων τοῖς ἐναντίοις τρόπος. Ἡ δέ γῆ τῆς ἐπαγγελίας ἐστίν, ἡ παντός ἀγαθοῦ πεπληρωμένη κατάστασις. Πᾶς οὖν ὁ ταύτης κατά τόν παλαιόν Ἰσραήλ ἀμελῶν τῆς ἕξεως, πρός δουλείαν πάλιν κατασύρεται παθῶν, τῆς δοθείσης ἐλευθερίας στερούμενος.

μθ΄. Σημειωτέον, ὡς οὐδείς τῶν ἁγίων ἑκουσίως φαίνεται κατελθών εἰς τήν Βαβυλωνίαν. Οὐ γάρ θέμις, οὔτε συνέσεώς ἐστι λογικῆς, τῶν ἀγαθῶν ἀνθαιρεῖσθαι τά χείρονα, τούς τόν Θεόν ἀγαπῶντας. Εἰ δέ τινες αὐτῶν κατά βίαν ἐκεῖ τῷ λαῷ συναπήχθησαν, νοοῦμεν διά τούτων τούς μή προηγουμένως, ἀλλά κατά περίστασιν, σωτηρίας ἕνεκεν τῶν χρῃζόντων (1148) χειραγωγίας, ἀφέντας τόν ὑψηλότερον τῆς γνώσεως λόγον, καί τήν περί παθῶν μετερχομένους διδασκαλίαν· καθ᾽ ἥν καί ὁ μέγας Ἀπόστολος ἐν σαρκί λυσιτελέστερον ἔκρινεν εἶναι· τουτέστι, τῇ ἠθικῇ διδασκαλίᾳ, διά τούς μαθητάς· ὅλον ἔχων τόν πόθον ἀναλύσαι τῆς ἠθικῆς διδασκαλίας, καί σύν Χριστῷ γενέσθαι, διά τῆς κατά νοῦν ὑπερκοσμίου καί ἁπλῆς θεωρίας.

ν΄. Ὥσπερ πνιγόμενον τῷ πονηρῷ πνεύματι τόν Σαούλ, ψάλλων μετά τῆς κιννύρας ἀνέπαυεν ὁ μακάριος Δαβίδ· οὕτω καί πᾶς λόγος πνευματικός, γνωστικοῖς ἡδυνόμενος θεωρήμασιν, ἀναπαύει τόν

ἐπιληπτευόμενον νοῦν, τῆς πνιγούσης αὐτόν πονηρᾶς ἐλευθερῶν συνειδήσεως.

να'. Πυῤῥάκης μετά κάλλους ὀφθαλμῶν ἐστι κατά τόν μέγα Δαβίδ, ὁ τῷ φαιδρῷ τοῦ κατά Θεόν βίου, τόν τῆς γνώσεως λόγον ἔχων συνεπιλάμποντα· καθ᾽ οὕς ἡ πρᾶξίς τε καί ἡ θεωρία συνεστήκασιν· ἡ μέν, ἀρετῶν λαμπρυνομένη τρόποις· ἡ δέ, θείοις φωτιζομένη νοήμασιν.

νβ'. Ἡ μέν τοῦ Σαούλ βασιλεία, τῆς σωματικῆς τοῦ νόμου λατρείας ἐστίν εἰκών· ἥν ὁ Κύριος κατήργησεν, ὡς μηδέν τελειώσασαν. Οὐδέν γάρ, φησίν, ἐτελείωσεων ὁ νόμος. Ἡ δέ τοῦ μεγάλου Δαβίδ βασιλεία, τῆς εὐαγγελικῆς ἐστι λατρείας προδιατύπωσις· πάντα γάρ τά ἐν καρδίᾳ τοῦ Θεοῦ θελήματα τελείως περιέχει.

νγ'. Ὁ Σαούλ, ὁ φυσικός ἐστι νόμος· ὁ κατ᾽ ἀρχάς κυριεύειν τῆς φύσεως παρά τοῦ Κυρίου λαχών. Ὅς ἐπειδή παρέβη τήν ἐντολήν διά παρακοῆς, φεισάμενος τοῦ Ἀγάγ βασιλέως Ἀμαλήκ· τουτέστι τοῦ σώματος· καί πρός τά πάθη κατώλισθεν· ἐξωθεῖται τῆς βασιλείας, ἵνα παραλάβῃ τόν Ἰσραήλ ὁ Δαβίδ· τουτέστιν ὁ νόμος τοῦ νεύματος, ὁ γεννῶν τήν εἰρήνην τήν οἰκοδομοῦσαν περιφανῶς τῷ Θεῷ τόν τῆς θεωρίας ναόν.

νδ'. Σαμουήλ ὑπακοή Θεοῦ ἑρμηνεύεται. Οὐκοῦν ἕως ἄν καθ᾽ ὑπακοήν ὁ λόγος ἐν ἡμῖν ἱερατεύῃ, κἄν φείσηται τοῦ Ἀγάγ ὁ Σαούλ· τουτέστι, τοῦ χοϊκοῦ φρονήματος· ἀλλ᾽ οὖν ἀποκτενεῖ τοῦτον ζηλώσας ὁ ἱερεύς Λόγος, καί πλήττει καταισχύνων τόν φιλαμαρτήμονα νοῦν, ὡς παραβάτην τῶν θείων δικαιωμάτων.

νε'. Ἐπάν ὁ νοῦς ὑψηλοφρονήσας, τόν κατά παθῶν αὐτόν χρίσαντα τῆς διδασκαλίας λόγον, διά τῆς (1149) προσηκούσης ἐρεύνης ἐπερωτῶν περί τῶν ποιητέων καί οὐ ποιητέων παύσαιτο, τοῖς πάθεσι πάντως ἐξ ἀγνοίας ἁλίσκεται· δι᾽ ὧν κατά μέρος τοῦ Θεοῦ χωριζόμενος, ἐν ταῖς ἀκουσίοις περιστάσεσι προσχωρεῖ τοῖς δαίμοσι, τήν κοιλίαν θεοποιῶν· ἐκεῖθεν εὑρέσθαι θέλων τῶν πιεζόντων παράκλησιν. Καί πειθέτω σε Σαούλ, ἐν πᾶσι σύμβουλον μή λαμβάνων τόν Σαμουήλ, ἐξ ἀνάγκης πρός εἰδωλολατρίαν μεταστρεφόμενος, καί τήν Ἐγγαστρίμυθον ὡς δή τινα Θεόν ἐπερωτᾷν ἀνεχόμενος.

νστ'. Ὁ τόν ἄρτον εὐχόμενος λαβεῖν τόν ἐπιούσιον, οὐ πάντως ὅλον δέχεται καθώς αὐτός ὁ ἄρτος ἐστίν· ἀλλά καθώς αὐτός ὁ δεχόμενος δύναται. Πᾶσι μέν γάρ ἑαυτόν δίδωσι τοῖς αἰτοῦσι ὁ τῆς ζωῆς ἄρτος ὡς φιλάνθρωπος, οὐ κατά τό αὐτό δέ πᾶσιν· ἀλλά τοῖς μεν

μεγάλα δικαιοσύνης ἔργα πεποιηκόσι, πλείονως τοῖς δέ τούτων ἥττοσιν, ἡττόνως· ἑκάστῳ καθώς ἡ κατά νοῦν ἀξία δέξασθαι δύναται.

νζ'. Ὁ Κύριος ποτέ μέν ἀποδημεῖ, ποτέ δέ ἐνδημεῖ. Ἀποδημεῖ, κατά τήν πρόσωπον πρός πρόσωπον θεωρίαν· ἐνδημεῖ, κατά τήν ἐν ἐσόπτρῳ καί αἰνίγμασι θεωρίαν.

νη'. Τῷ μέν πρακτικῷ, ἐνδημεῖ διά τῶν ἀρετῶν ὁ Κύριος· τοῦ δέ μηδένα λόγον ποιουμένου τῆς ἀρετῆς, ἀποδημεῖ. Καί πάλιν, τῷ μέν θεωρητικῷ, διά γνώσεως τῶν ὄντων ἀληθοῦς ἐνδημεῖ· τοῦ δέ ταύτης κατά τι παρασφαλέντος, ἀποδημεῖ.

νθ'. Ἀποδημεῖ σαρκός, ὁ πρός τήν γνωστικήν ἕξιν μεταβάς ἀπό τῆς πρακτικῆς· ἁρπαζόμενος ὡς ἐν νεφέλαις, τοῖς ὑψηλοτέροις νοήμασιν, εἰς τόν διαφανῆ τῆς μυστικῆς θεωρίας ἀέρα· καθ᾽ ὅν σύν Κυρίῳ εἶναι δυνήσεται πάντοτε. Ἐκδημεῖ δέ ἀπό τοῦ Κυρίου, ὁ μήπω δίχα τῶν κατ᾽ αἴσθησιν ἐνεργειῶν καθαρῷ νοΐ θεωρῆσαι κατά τό ἐφικτόν τά νοήματα δυνάμενος, καί τόν περί τοῦ Κυρίου λόγον ἁπλοῦν χωρίς αἰνιγμάτων μή χωρῶν.

ξ'. Ὁ τοῦ Θεοῦ Λόγος, οὐ μόνον καθότι σεσάρκωται λέγεται σάρξ· ἀλλά καθότι Θεός Λόγος ἁπλῶς νοούμενος ἐν ἀρχῇ πρός τόν Θεόν καί Πατέρα, καί σαφεῖς καί γυμνούς τούς τῆς ἀληθείας περί τῶν ὅλων ἔχων τύπους, οὐ περιέχει παραβολάς καί αἰνίγματα· οὐδέ ἱστορίας δεομένας ἀλληγορίας· ἐπάν δέ ἀνθρώποις ἐπιδημήσῃ μή δυναμένοις γυμνῷ τῷ νοΐ γυμνοῖς προσβάλλειν νοητοῖς· ἀπό τῶν αὐτοῖς συνήθων διαλεγόμενος, διά τῆς τῶν ἱστοριῶν καί αἰνιγμάτων καί παραβολῶν καί σκοτεινῶν λόγων ποικιλίας (1152) συντιθέμενος, γίνεται σάρξ. Κατά γάρ τήν πρώτην προσβολήν, οὐ γυμνῷ προσβάλλει Λόγῳ ὁ ἡμέτερος νοῦς· ἀλλά Λόγῳ σεσαρκωμένῳ· δηλαδή τῇ ποικιλίᾳ τῶν λέξεων· Λόγῳ μέν ὄντι, τῇ φύσει· σαρκί δέ τῇ ὄψει· ὥστε τούς πολλούς, σάρκα καί οὐ Λόγον ὁρᾷν δοκεῖν κἄν εἰ κατά ἀλήθειαν ἐστι Λόγος. Οὐ γάρ ὅπερ δοκεῖ τοῖς πολλοῖς, τοῦτο τῆς Γραφῆς ἐστιν ὁ νοῦς, ἀλλ᾽ ἕτερον παρά τό δοκοῦν. Ὁ γάρ Λόγος, δι᾽ ἑκάστου τῶν ἀναγεγραμμένων ῥημάτων γίνεται σάρξ.

ξα'. Ἡ ἀπαρχή τῆς πρός εὐσέβειαν μαθητείας τῶν ἀνθρώπων, ὡς πρός σάρκα γίνεσθαι πέφυκε. Γράμματι γάρ, ἀλλ᾽ οὐ πνεύματι κατά τήν πρώτην εἰς θεοσέβειαν προσβολήν ὁμιλοῦμεν. Κατά μέρος δέ προσβαίνοντες τῷ πνεύματι κατά τό παχύ τῶν ῥημάτων τοῖς λεπτοτέροις θεωρήμασιν ἀποξέοντες, ἐν καθαρῷ καθαρῶς τῷ Χριστῷ γινόμεθα κατά τό δυνατόν ἀνθρώποις· εἰς τό δύνασθαι λέγειν κατά

τόν Ἀπόστολον· Εἰ καί ἐγνώκαμεν κατά σάρκα Χριστόν, ἀλλά νῦν οὐκέτι γινώσκομεν· διά τήν ἁπλῆν δηλονότι πρός τόν Λόγον χωρίς τῶν ἐπ᾽ αὐτῷ καλυμμάτων τοῦ νοός προσβολήν· ἀπό τοῦ σάρκα τόν Λόγον γινώσκειν, εἰς τήν, ὡς Μονογενοῦς παρά Πατρός αὐτοῦ δόξαν προκόψαντες.

ξβ'. Ὁ τήν ἐν Χριστῷ ζήσας ζωήν, τήν τε τοῦ νόμου καί τῆς φύσεως ὑπερέβη δικαιοσύνην· ὅπερ ὁ θεῖος ἐνδεικνύμενος Ἀπόστολος φησιν· Ἐν γάρ Χριστῷ Ἰησοῦ, οὔτε περιτομή ἐστιν, οὔτε ἀκροβυστία. Διά μέν τῆς περιτομῆς, τήν νομικήν δικαιοσύνην δηλώσας· διά δέ τῆς ἀκροβυστίας, τήν φυσικήν ἰσονομίαν αἰνιξάμενος.

ξγ'. Οἱ μέν, δι᾽ ὕδατος ἀναγεννῶνται καί πνεύματος· οἱ δέ, ἐν πνεύματι ἁγίῳ καί πυρί τό βάπτισμα δέχονται. Τά τέσσαρα δέ ταῦτα, τό ὕδωρ τέ φημι, καί τό πνεῦμα, καί τό πῦρ, καί τό πνεῦμα ἅγιον,τό ἕν καί τό αὐτό Πνεῦμα νοῶ τοῦ Θεοῦ. Τοῖς μέν γάρ ὕδωρ ἐστί τό Πνεῦμα τό ἅγιον, ὡς ῥυπτικόν τῶν ἐκτός περί τό σῶμα μολυσμῶν· τοῖς δέ πνεῦμα μόνον, ὡς ἐνεργητικόν τῶν κατ᾽ ἀρετήν ἀγαθῶν· τοῖς δέ πῦρ, ὡς καθαρτικόν τῶν ἐντός κατά τό βάθος περί ψυχήν κηλίδων· τοῖς δέ κατά τόν μέγαν Δανιήλ, πνεῦμα ἅγιον, ὡς σοφίας καί γνώσεως χορηγόν. Ἐκ γάρ τῆς διαφόρου περί τό ὑποκείμενον ἐνεργείας, διαφόρους λαμβάνει τό ἕν καί αὐτό Πνεῦμα τάς προσηγορίας.

ξδ'. Ὁ νόμος τό Σάββατον δέδωκεν, Ἵνα, φησίν, ἀναπαύσηται τό ὑποζύγιόν σου καί ὁ παῖς σου. Ἀμφότερα δέ ταῦτα δι᾽ αἰνιγμάτων τό σῶμα δηλοῦσι. Τοῦ γάρ πρακτικοῦ νοός ὑποζύγιόν ἐστι τό σῶμα, ἀχθοφορεῖν βίᾳ τοῖς τρόποις τῶν ἀρετῶν κατά τήν πρᾶξιν ἀναγκαζόμενον. Τοῦ δέ θεωρητικοῦ παῖς, ὡς ἤδη λογισθέν θεωρήμασι, καί λογικῶς ταῖς γνωστικαῖς ἐπιταγαῖς τοῦ νοός ὑπηρετούμενον. (1153) Ἀμφοτέροις δέ Σάββατόν ἐστι, τῶν αὐτοῖς ἐνεργουμένων κατά τε πρᾶξιν καί θεωρίαν καλῶν, τό πέρας, τήν πρόσφορον ἑκάστῳ παρέχον ἀνάπαυσιν.

ξε'. Ὁ τήν ἀρετήν μετά τῆς πρεπούσης γνώσεως ἐξανύων, ὑποζύγιον ἔχει τό σῶμα, λόγῳ ἐλαύνων πρός τήν τῶν καθηκόντων ἐνέργειαν· παῖδα δέ, τόν ἐπ᾽ ἀρετῇ κατά τήν πρᾶξιν τρόπον· ἤγουν αὐτόν τόν καθ᾽ ὅν ἡ ἀρετή πέφυκε γίνεσθαι τρόπον· ὥσπερ ἀργυρίῳ τοῖς διακριτικοῖς ὠνηθέντα λογισμοῖς. Σάββατον δέ, ἡ κατ᾽ ἀρετήν ἀπαθής καί εἰρηναία τῆς τε ψυχῆς καί τοῦ σώματος κατάστασις, ἤγουν ἀναλλοίωτος ἕξις.

ξστ'. Ὁ τοῦ Θεοῦ Λόγος, τοῖς μέν ἔτι περί τά σωματικά τῆς ἀρετῆς εἴδη τό πλέον ἔχουσι τῆς φροντίδος, ἄχυρον γίνεται καί χόρτος· διατρέφων αὐτῶν τό παθητικόν τῆς ψυχῆς μέρος, πρός τήν τῶν ἀρετῶν ὑπηρεσίαν· τοῖς ἀνηγμένοις δέ τῇ θεωρίᾳ τῆς ἀληθοῦς τῶν θείων κατανοήσεως, ἔστιν ἄρτος διατρέφων αὐτῶν τῆς ψυχῆς τό νοερόν πρός θεοειδῆ τελειότητα. Διό τούς πατριάρχας εὑρίσκομεν ἐπισιτιζομένους ἐν τῇ ὁδῷ, καί ἑαυτοῖς ἄρτους, καί τοῖς ὄνοις αὐτῶν χορτάσματα. Καί ὁ ἐν τοῖς Κριταῖς δέ Λευίτης, τῷ ἐν Γαβαᾷ ξεναγήσαντι αὐτόν πρεσβύτῃ φησίν· Εἰσί καί ἡμῖν ἄρτοι, καί τοῖς ὄνοις ἡμῶν ἄχυρα· καί οὐκ ἔστιν ὑστέρημα τοῖς παισί σου, παντός τινος.

ξζ'. Ὁ τοῦ Θεοῦ Λόγος καί δρόσος λέγεται καί ἔστιν· καί ὕδωρ καί πηγή καί ποταμός, ὡς γέγραπται· κατά τήν ὑποκειμενικήν δηλονότι τῶν δεχομένων δύναμιν, ταῦτα και ὤν καί γινόμενος. Τοῖς μέν γάρ ἐστι δρόσος, ὡς τῆς ἔξωθεν ἐπικειμένης αὐτοῖς περί τό σῶμα τῶν παθῶν πυρώσεώς τε καί ἐνεργείας, σβεστικός. Τοῖς δέ τό βάθος τῷ ἰῷ τῆς κακίας φρυσσομένοις [Fr. et guidm Regii φυσσωμένοις], ἐστίν ὕδωρ· οὐ μόνον ὡς δι᾽ ἀντιπαθείας τοῦ ἀντικειμένου φθαρτικός, ἀλλά καί ὡς μεταδοτικός ζωτικῆς πρός τό εὖ εἶναι δυνάμεως. Πηγή δέ, ἀεννάως ἔχουσιν ἀναβλύζουσαν τήν ἕξιν τῆς θεωρίας, ὡς σοφίας χορηγός. Ποταμός δέ, τοῖς τήν εὐσεβῆ καί (1156) ὀρθήν καί σωτήριον ποταμηδόν προχέουσι διδασκαλίαν ὡς ἀνθρώπους, καί κτήνη καί θηρία καί φυτά δαψιλῶς ποτίζων· ἵνα καί ἄνθρωποι θεωθῶσι, τοῖς τῶν λεγομένων ὑψωθέντες νοήμασι· καί οἱ κτηνωθέντες τοῖς πάθεσι, διά τῆς ἀκριβοῦς τῶν κατ᾽ ἀρετήν τρόπων ἀποδείξεως ἀνθρωπισθέντες, τήν φυσικήν ἐπαναλάβωσι λογιότητα· καί οἱ θηριωθέντες ταῖς πονηραῖς ἕξεσι καί κακοπραγίαις, διά τῆς προσηνοῦς τε καί εὐαφοῦς παραινέσεως τιθασσευθέντες, πρός τήν τῆς φύσεως ἐπανέλθωσιν ἡμερότητα· καί οἱ φυτῶν δίκην ἀναισθητοῦντες τῶν ἀγαθῶν, διά τῆς εἰς βάθος τοῦ λόγου διαβάσεως ἀπαλυθέντες, λάβωσιν αἴσθησιν πρός καρπογονίαν, καί δύναμιν τήν αὐτούς διατρέφουσαν, τοῦ λόγου ποιότητα.

ξη'. Ὁδός ἐστιν ὁ τοῦ Θεοῦ Λόγος, τοῖς καλῶς κατά τήν πρακτικήν,καί εὐτόνως τό τῆς ἀρετῆς τρέχουσι στάδιον· καί μήτε δεξιά διά κενοδοξίας, μήτε ἀριστερά διά τῆς πρός τά πάθη ῥοπῆς ἐκκλίνουσιν, εὐθύνων κατά Θεόν τά διαβήματα· ὅπερ εἰς τέλος μή φυλάξας Ἀσά ὁ βασιλεύες Ἰούδα, λέγεται περί τό γῆρας αὐτοῦ

πεπονηκέναι τούς πόδας· ὡς περί τόν δρόμον τοῦ κατά Θεόν βίου ἀσθενήσας.

ξθ'. Θύρα λέγεται τοῦ Θεοῦ Λόγος, ὡς τούς καλῶς πᾶσαν διηνυκότας τήν ὁδόν τῶν ἀρετῶν κατά τόν ἄμεπτον δρόμον τῆς πράξεως, πρός γνῶσιν εἰσάγων· καί ὡς φῶς, δεικνύς τούς πολυφαεῖς τῆς σοφίας θησαυρούς. Ὁ αὐτός γάρ καί ὁδός ἐστι καί θύρα καί κλείς καί βασιλεία· ὁδός μέν, ὡς ὁδηγός· κλείς δέ, ὡς ἀνοίγων τοῖς ἀξίοις τῶν θείων καί ἀνοιγόμενος· θύρα δέ, ὡς εἰσαγωγεύς· βασιλεία δέ, ὡς κληρονομούμενος, καί κατά μέθεξιν ἐν πᾶσι γινόμενος.

ο'. Φῶς ὁ Κύριος λέγεται, καί ζωή καί ἀνάστασις καί ἀλήθεια. Φῶς μέν καί ὡς λαμπρότης, ψυχῶν, καί ὡς ἀγνοίας σκότους διώκτης· καί ὡς φωτίζων τόν νοῦν πρός κατανόησιν τῶν ἀποῤῥήτων· καί δεικνύς, τά μόνοις θεατά τοῖς καθαροῖς μυστήρια· ζωή δέ, ὡς τήν πρέπουσαν ψυχαῖς ἀγαπώσαις τόν Κύριον ἐν τοῖς θείοις παρεχόμενος κίνησιν· ἀνάστασις δέ, ὡς τῆς νεκρᾶς τῶν ὑλικῶν προσπαθείας ἐγείρων τόν νοῦν, φθορᾶς παντοίας καθαρόν καί νεκρότητος· ἀλήθεια δέ, ὡς ἕξιν τῶν ἀγαθῶν τοῖς ἀξίοις δωρούμενος ἄτρεπτον.

οα'. Ὁ μέν τοῦ Θεοῦ, καί Πατρός Θεός Λόγος, ἑκάστη μυστικῶς ἐνυπάρχει τῶν οἰκείων ἐντολῶν· ὁ δέ Θεός καί Πατήρ, ὅλος ἐστίν ἀχώριστος ἐν ὅλῳ τῷ οἰκείῳ Λόγῳ φυσικῶς. Ὁ τοίνυν δεχόμενος θείαν ἐντολήν καί ποιῶν αὐτήν, τόν ἐν αὐτῇ τοῦ Θεοῦ δέχεται Λόγον. Ὁ δέ τόν Λόγον διά τῶν ἐντολῶν δεξάμενος, δι᾽ αὐτοῦ τόν ἐν αὐτῷ φυσικῶς ὄντα συνεδέξατο Πατέρα, καί τό ἐν αὐτῷ φυσικῶς ὄν συνεδέξατο Πνεῦμα. (1157) Ἀμήν γάρ, φησι, λέγω ὑμῖν, ὁ λαμβάνων ὅν τινα πέμψω, ἐμέ λαμβάνει· ὁ δέ ἐμέ λαμβάνων, λαμβάνει τόν πέμψαντά με. Ὁ γοῦν ἐντολήν δεξάμενος καί ποιήσας αὐτήν, λαβών ἔχει μυστικῶς τήν ἁγίαν Τριάδα.

οβ'. Δοξάζει τόν Θεόν ἐν ἑαυτῷ, οὐχ ὁ λόγοις μόνον γεραίρων τόν Θεόν, ἀλλ᾽ ὁ διά τόν Θεόν ὑπέρ ἀρετῆς τά τῶν πόνων ὑπομένων παθήματα· καί ἀντιδοξάζεται παρά Θεοῦ, τήν ἐν τῷ Θεῷ δόξαν, οἷον ἀρετῆς ἔπαθλον κατά μέθεξιν τήν τῆς ἀπαθείας κομιζόμενος χάριν. Πᾶς γάρ ὁ δοξάζων τόν Θεόν ἐν ἑαυτῷ διά τῶν κατά τήν πρακτικήν ὑπέρ ἀρετῆς παθημάτων, καί αὐτός ἐν τῷ Θεῷ δοξάζεται, διά τῆς κατά τήν θεωρίαν ἀπαθοῦς τῶν θείων ἐλλάμψεως. Φησί γάρ ὁ Κύριος ἐπί τό πάθος ἐρχόμενος· Νῦν ἐδοξάσθη ὁ Υἱός τοῦ ἀνθρώπου, καί ὁ Θεός ἐδοξάσθη ἐν αὐτῷ. Εἰ ὁ Θεός ἐδοξάσθη ἐν αὐτῷ, καί ὁ Θεός δοξάσει αὐτόν ἐν ἑαυτῷ· καί εὐθύς δοξάσει αὐτόν. Ὡς ἐντεῦθεν εἶναι

δῆλον, ὅτι τοῖς ὑπέρ ἀρετῆς παθήμασιν, ἐπακολουθοῦσι τά θεῖα χαρίσματα.

ογ'. Ἕως τόν ἐν τῷ ῥητῷ τῆς ἁγίας Γραφῆς ποικίλως δά τῶν αἰνιγμάτων σεσωματωμένον ὁρῶμεν τόν τοῦ Θεοῦ Λόγον, οὔπω τόν ἀσώματον καί ἁπλοῦν καί ἑνιαῖον καί μόνον, ὡς ἐν ἀσωμάτῳ καί ἁπλῷ καί ἑνιαίῳ καί μόνῳ Υἱῷ νοητῶς τεθεάμεθα Πατέρα, κατά τό, Ὁ ἑωρακώς ἐμέ ἑώρακε τόν Πατέρα. Καί· Ἐγώ ἐν τῷ Πατρί, καί ὁ Πατήρ ἐν ἐμοί. Πολλῆς οὖν χρεία τῆς ἐπιστήμης, ὥστε διαδύντας πρότερον τά περί τόν Λόγον τῶν ῥημάτων καλύμματα, οὕτω γυμνῷ τῷ νοΐ καθαρόν αὐτόν ἐφ᾽ ἑαυτόν ἑστῶτα θεάσασθαι [unus Reg. τεθεάσασθαι] τόν Λόγον, τόν ἐν ἑαυτῷ σαφῶς ὡς ἐφικτόν ἀνθρώποις τόν Πατέρα δεικνύντα. Διόπερ ἀνάγκη τόν εὐσεβῶς τόν Θεόν ἐπιζητοῦντα, μηδενί κρατεῖσθαι ῥητῶ, ἵνα μή ἀντί Θεοῦ, τά περί Θεόν λάθῃ λαβών· τουτέστιν, ἀντί τοῦ Λόγου τά ῥητά στέργων ἐπισφαλῶς τῆς Γραφῆς, τοῦ Λόγου διαφυγόντος τόν νοῦν ἐκ τῶν περιβλημάτων κρατεῖν δοκοῦντα τόν ἀσώματον Λόγον· κατά γε τήν Αἰγυπτίαν, τήν μή τοῦ Ἰωσήφ, ἀλλά τῶν αὐτοῦ ἐπιλαβομένην ἱματίων· καί τούς παλαιούς ἀνθρώπους, οἱ μόνῃ τῇ εὐπρεπείᾳ τῶν ὁρωμένων ἐναπομείναντες, ἔλαθον τῇ κτίσει λατρεύοντες παρά τόν κτίσαντα.

οδ'. Ὁ τῆς ἁγίας Γραφῆς λόγος, κατά μέρος τοῖς (1160) ὑψηλοτέροις νοήμασι τήν τῶν ἐπ᾽ αὐτῶ σωματικῶς διαπεπλασμένων ῥητῶν ἐκδυσάμενος σύνθεσιν, ὡς ἐν φωνῇ αὔρας λεπτῆς ὑπάρχων δείκνυται τῷ διορατικωτέρῳ, νοΐ· τῷ διά τήν ἄκραν ἀπόλειψιν τῶν κατά φύσιν ἐνεργειῶν, αἴσθησιν μόνου δυνηθέντι λαβεῖν, τῆς τόν Λόγον ποσῶς μηνυούσης ἁπλότητος, κατά τόν μέγα Ἠλίαν τόν ἐν τῷ σπηλαίῳ Χωρήβ ταύτης ἀξιωθέντα τῆς ὄψεως. Χωρήβ γάρ ἑρμηνεύεται νέωμα [unus Reg. νόημα], ὅπερ ἐστίν ἡ ἐν τῷ καινῷ πνεύματι τῆς χάριτος ἕξις τῶν ἀρετῶν. Τό δέ σπήλαιον, ἡ τῆς σοφίας ἐστί κατά νοῦν κρυφιότης· ἐν ᾗ ὁ γενόμενος, τῆς ὑπέρ αἴσθησιν μυστικῶς αἰσθήσεται γνώσεως, ἐν ᾗ λέγεται τυγχάνειν ὁ Θεός. Πᾶς οὖν κατά τόν μέγαν Ἠλίαν ζητῶν ἀληθῶς τόν Θεόν, οὐ μόνον ἐν Χωρήβ γενήσεται· τουτέστιν, ὡς πρακτικός ἐν τῇ ἕξει τῶν ἀρετῶν· ἀλλά καί ἐν τῷ σπηλαίῳ τῷ ἐν Χωρήβ· τουτέστιν, ὡς θεωρητικός ἐν τῇ κρυφιότητι τῆς σοφίας τῇ ἐν μόνῃ τυγχανούσῃ τῇ ἕξει τῶν ἀρετῶν.

οε'. Ὅταν ὁ νοῦς τάς ἐπικειμένας αὐτῷ πολλάς περί τῶν ὄντων ἐκτινάξηται δόξας, τότε σαφής αὐτῷ τῆς ἀληθείας ὁ λόγος ἀναφαίνεται, διδούς αὐτῷ τῆς ὄντως γνώσεως τάς ὑποθήκας, καί τάς

πρώην ἐπ᾽ αὐτῷ προλήψεις ὡσεί λεπίδας τῶν ὀπτικῶν δυνάμεων ἀπωθούμενος, κατά τόν θεσπέσιον καί μέγαν Ἀπόστολον Παῦλον. Λεπίδες γάρ εἰσιν, ὡς ἀληθῶς, ἐπικείμεναι τῷ διορατικῷ τῆς ψυχῆς, καί ἀπείργουσαι τήν πρός τόν ἀκραιφνῆ τῆς ἀληθείας λόγον, διάβασιν, αἵ τε πρός τό ῥητόν μόνον τῆς Γραφῆς ὑπολήψεις, καί τῶν ὁρωμένων αἱ κατ᾽ αἴσθησιν προσπαθεῖς θεωρίαι.

οστ'. Ὁ μέν θεῖος Ἀπόστολος Παῦλος, τήν τοῦ Λόγου γνῶσιν, ἐκ μέρους ἔφη γινώσκειν. Ὁ δέ μέγας εὐαγγελιστής Ἰωάννης τεθεᾶσθαι λέγει τήν αὐτοῦ δόξαν. Ἐθεασάμεθα γάρ, φησίν, τήν δόξαν αὐτοῦ, δόξαν ὡς Μονογενοῦς παρά Πατρός, πλήρης χάριτος καί ἀληθείας. Καί μήποτε ὁ μέν ἅγιος Παῦλος τήν ὡς Θεοῦ Λόγου γνῶσιν ἐκ μέρους ἔφη γινώσκειν. Ἐκ γάρ τῶν ἐνεργειῶν, ποσῶς μόνον γινώσκεται.Ἡ γάρ ἐπ᾽ αὐτῷ κατ᾽ οὐσίαν τε καί ὑπόστασιν γνῶσις, ὁμοίως πᾶσιν ἐγγέλοις τε καί ἀνθρώποις, καθέστηκεν ἄβατος, κατ᾽ οὐδέν οὐδενί γινωσκομένη· Ὁ δέ ἅγιος Ἰωάννης, τέλειον ὡς ἐν ἀνθρώποις, τόν τῆς ἐνανθρωπήσεως τοῦ Λόγου μυηθείς λόγον, τήν ὡς σάρκα Λόγον δόξαν ἔφη τεθεᾶσθαι· τουτέστι, τόν λόγον, ἤγουν τόν σκοπόν, καθ᾽ ὅν ὁ Θεός γέγονεν ἄνθρωπος, πλήρη χάριτος ἐθεάσατο, καί ἀληθείας. Οὐ γάρ καθ᾽ ὅ κατ᾽ οὐσίαν Θεός, καί τῷ Θεῷ Πατρί ὁμοούσιος ὁ Μονογενής κεχαρίτωται, ἀλλά καθ᾽ ὅ φύσει κατ᾽ οἰκονομίαν γέγονεν, ἄνθρωπος καί ἡμῖν ὁμοούσιος, δι᾽ ἡμᾶς κεχαρίτωται τούς χρῄζοντας χάριτος· καί ἐκ τοῦ πληρώματος αὐτοῦ διαπαντός κατά πᾶσαν ἡμῶν προκοπήν τήν ἀναλογοῦσαν δεχομένους χάριν. Ὥστε ὁ τόν λόγον (1161) τέλειον ἐν ἑαυτῷ φυλάξας, ἀβέβηλον τοῦ δι᾽ ἡμᾶς σαρκωθέντος Θεοῦ Λόγου, τήν πλήρη χάριτος καί ἀληθείας κομίσεται δόξαν, τοῦ δι᾽ ἡμᾶς ἑαυτόν καθ᾽ ἡμᾶς δοξάσαντός τε καί ἁγιάσαντος κατά τήν αὐτοῦ παρουσίαν. Ὅταν γάρ, φησίν, ἐκεῖνος φανερωθῇ, ὅμοιοι αὐτῷ ἐσόμεθα.

οζ'. Ἕως ἡ ψυχή, τήν ἀπό δυνάμεως εἰς δύναμιν, καί ἀπό δόξης εἰς δόξαν ποιεῖται μετάβασιν· τουτέστι, τήν ἀπό ἀρετῆς εἰς ἀρετήν μείζονα προκοπήν, καί τήν ἀπό γνώσεως εἰς γνῶσιν ὑψηλοτέραν ἀνάβασιν, οὐκ ἐπαύσατο παροικοῦσα, κατά τό εἰρημένον. Πολλά παρῴκησεν ἡ ψυχή μου. Πολύ γάρ ἐστι τό διάστημα, καί τό πλῆθος τῶν ὀφειλουσῶν παρ᾽ αὐτῆς διαβαθῆναι γνώσεων, μέχρις οὗ διελεύσεται ἐν τόπῳ σκηνῆς θαυμαστῆς, ἕως τοῦ οἴκου τοῦ Θεοῦ· ἐν φωνῇ ἀγαλλιάσεως καί ἐξομολογήσεως, ἤχου ἑορτάζοντος· ἀεί φωναῖς, φωνήν,νοεραῖς, νοεράν προστιθεῖσα τῇ προκοπῇ τῶν θείων

θεωρημάτων, μετά τῆς κατά νοῦν ἐπί τοῖς θεωρηθεῖσιν ἀγαλλιάσεως, ἤγουν χαρᾶς, καί τῆς ἀναλογούσης εὐχαριστίας. Τοιαύτας γάρ ἑορτάζουσι πάντες, οἱ τό Πνεῦμα τῆς χάριτος εἰληφότες, ἐν ταῖς καρδίαις αὐτῶν κράζων· Ἀββᾶ, ὁ Πατήρ.

οη'. Ὁ τῆς θαυμαστῆς σκηνῆς τόπος, καί ἀπαθής ἐστι καί ἀπήμων ἕξις τῶν ἀρετῶν· καθ᾽ ἥν ὁ τοῦ Θεοῦ γινόμενος Λόγος, διαφόροις ἀρετῶν κάλλεσι κατακοσμεῖ καθάπερ σκηνήν τήν ψυχήν. Ὁ δέ οἶκος τοῦ Θεοῦ, ἡ ἐκ πολλῶν καί διαφόρων συγκειμένη θεωρημάτων γνῶσίς ἐστι· καθ᾽ ἥν ἐνδημῶν τῇ ψυχῇ ὁ Θεός, τοῦ τῆς σοφίας κρατῆρος ἐμπίμπλησιν.Ἡ δέ φωνή τῆς ἀγαλλιάσεώς ἐστι, τό ἐπί τῷ πλούτῳ τῶν ἀρετῶν τῆς ψυχῆς σκίρτημα. Ἡ δέ τῆς ἐξομολογήσεως, ἡ ἐπί τῇ δόξῃ τῆς κατά τήν σοφίαν εὐωχίας ἐστίν εὐχαριστία. Ὁ δέ ἦχος, ἡ ἐξ ἀμφοῖν, ἀγαλλιάσεώς φημι καί ἐξομολογήσεως, κατά σύγκρασιν γινομένη διηνεκής μυστική δοξολογία.

οθ'. Ὁ γενναίως καταπαλαίσας τά πάθη τοῦ σώματος, καί τοῖς ἀκαθάρτοις πνεύμασιν ἱκανῶς πολεμήσας, καί τῆς ἑαυτοῦ κατά ψυχήν χώρας ἐξελάσας αὐτῶν τά νοήματα· καρδίαν εὐχέσθω καθαράν αὐτῷ δοθῆναι, καί πνεῦμα εὐθές ἐν τοῖς ἐγκάτοις ἐγκαινισθῆναι· τουτέστι, τελείως τῶν μέν φαύλων κενωθῆναι λογισμῶν, τῶν δέ θείων ἐννοιῶν πληρωθῆναι διά τῆς χάριτος· ἵνα γένηται κόσμος Θεοῦ νοητῶς λαμπρός τε καί μέγας, ἐξ ἠθικῶν καί φυσικῶν καί θεολογικῶν συνεστῶς θεωρημάτων.

π'. Ὁ τήν καρδίαν καθαράν ἐργασάμενος, οὐ μόνον τῶν ὑποβεβηκότων καί μετά Θεόν γνώσεται τούς λόγους, ἀλλά καί αὐτῷ ποσῶς μετά τήν τῶν ὅλων διάβασιν, ἐνορᾷ· ὅπερ ἐστίν ἀκρότατον τέλος τῶν ἀγαθῶν· ἐν ᾗ γενόμενος ὁ Θεός, ἀξιοῖ τά ἴδια γράμματα διά τοῦ πνεύματος ἐγχαράττειν, καθάπερ τισί (1164) πλαξί Μωσαϊκαῖς· τοσοῦτον, ὅσον ἑαυτήν διά πράξεως ἐπιδέδωκε καί θεωρίας, κατά τήν τό, Αὐξάνου, μυστικῶς κελεύουσαν ἐντολήν.

πα'. Καρδία καθαρά τάχα ἐκείνη λέγεται,ἡ μηδεμίαν ἔχουσα φυσικήν καθ᾽ οἱονδήποτε τρόπον, πρός ὁτιοῦν κίνησιν· ἐν ᾗ καθάπερ πτυχίῳ καλῶς λειανθέντι διά τήν ἄκραν ἁπλότητα γινόμενος ὁ Θεός, τούς ἰδίους νόμους ἐγγράφει.

πβ'. Καρδία ἐστί καθαρά, ἡ παντάπασιν ἀνείδεοντῷ Θεῷ καί ἀμόρφωτον παραστήσασα τήν μνήμην· καί μόνοις τοῖς αὐτοῦ ἕτοιμον ἐνσημανθῆναι τύποις, δι᾽ ὧν ἐμφανής πέφυκε γίνεσθαι.

πγ'. Ὁ τοῦ Χριστοῦ νοῦς, ὅν λαμβάνουσιν οἱ ἅγιοι, κατά τόν φάμενον· Ἡμεῖς δέ νοῦν Χριστοῦ ἔχομεν, οὐ κατά στέρησιν τῆς ἐν ἡμῖν νοερᾶς δυνάμεως ἐπιγίνεται· οὐδέ ὡς συμπληρωτικός τοῦ ἡμετέρου νοός, οὐδ᾽ ὡς μεταβαίνων οὐσιωδῶς καθ᾽ ὑπόστασιν εἰς τόν ἡμέτερον νοῦν· ἀλλ᾽ ὡς τῇ οἰκείᾳ ποιότητι τήν τοῦ ἡμετέρου νοός λαμπρύνων δύναμιν, καί πρός τήν αὐτήν αὐτῷ φέρων ἐνέργειαν. Νοῦν γάρ ἔχειν Χριστοῦ ἔγωγέ φημι, τόν κατ᾽ αὐτόν νοοῦντα, καί διά πάντων αὐτόν νοοῦντα.
πδ'. Σῶμα Χριστοῦ εἶναι λεγόμεθα, κατά τό, Ἡμεῖς δέ σῶμα Χριστοῦ ἐσμεν, καί μέλη ἐκ μέρους· οὐ κατά στέρησιν τῶν ἡμετέρων σωμάτων, ἐκείνου τό σῶμα γινόμενοι· οὐδ᾽ αὖ πάλιν ἐκείνου καθ᾽ ὑπόστασιν εἰς ἡμᾶς μεταβαίνοντος, ἤ μεληδόν διατεμνομένου· ἀλλά τῷ καθ᾽ ὁμοιότητα τῆς τοῦ Κυρίου σαρκός, τήν φθοράν ἀποσείεσθαι τῆς ἁμαρτίας. Ὡς γάρ ὁ Χριστός κατά φύσιν σαρκί τε καί ψυχῇ καθ᾽ ὅ νοεῖται ἄνθρωπος ἀναμάρτητος ἦν, οὕτω καί ἡμεῖς οἱ πεπιστευκότες αὐτῷ, καί διά Πνεύματος αὐτόν ἐνδυσάμενοι, κατά προαίρεσιν ἐν αὐτῷ χωρίς ἁμαρτίας εἶναι δυνάμεθα.
πε'. Εἰσί παρά τῇ Γραφῇ καί χρονικοί αἰῶνες καί ἄλλων αἰώνων συντέλειαν περιέχοντες, κατά τό, Νυνί δέ ἅπαξ ἐπί συντελείᾳ τῶν αἰώνων, καί τά ἑξῆς. Καί ἕτεροι πάλιν χρονικῆς ἐλεύθεροι φύσεως αἰῶνες, μετά τόν ἐνεστῶτα τοῦτον χρόνον, αἰῶνα, τόν ἐπί συντελείᾳ τῶν αἰώνων, κατά τό, Ἵνα ἐνδείξηται ἐν τοῖς αἰῶσι τοῖς ἐπερχομένοις τόν ὑπερβάλλοντα πλοῦτον, καί τά ἑξῆς. Εὑρίσκομεν δέ παρά τῇ γραφῇ καί πλῆθος αἰώνων, παρελθόντων τε καί ἐνεστώτων καί μελλόντων· καί αἰῶνας αἰώνων εἶναί τινας αἰῶνας, καί αἰῶνος αἰῶνα, καί χρόνους αἰωνίους, καί γενεάς συνημμένας αἰῶσι. Καί ἵνα μή νῦν, τί μεν διά τῶν χρονικῶν αἰώνων, τί δέ διά τῶν αἰωνίων χρόνων καί (1165) γενεῶν βούλεται δηλοῦν ὁ λόγος, λέγοντες· τινές δέ παλιν ἁπλῶς οἱ αἰῶνες τῶν αἰώνων, τίς τε ὁ ἁπλοῦς αἰών, καί ὁ αἰών τοῦ αἰῶνος, πολύν παρά τήν ὑπόθεσιν ἐκτείνωμεν λόγον, τά περί τούτων τοῖς φιλομαθέσι σκοπεῖν ἐάσαντες, πρός τόν σκοπόν δι᾽ ὅν ταῦτα προηγάγομεν, ἐπανέλθωμεν.
πστ'. Οἴδαμεν τι κατά τήν Γραφήν ὑπεραιώνιον· ὅπερ ὅτι μέν ἔστιν, ἐσήμανε· τί δέ τοῦτό ἐστιν, οὐκ ὠνόμασε, κατά τό, Κύριος βασιλεύων τόν αἰῶνα, καί ἐπ᾽ αἰῶνα καί ἔτι. Οὐκοῦν ἔστι τι πρᾶγμα ὑπέρ αἰῶνας, ἡ ἀκραιφνής τοῦ Θεοῦ βασιλεία. Οὐ γάρ δή θέμις εἰπεῖν ἦρχθαι, ἤ φθάνεσθαι ὑπό αἰώνων ἤ χρόνων τήν τοῦ Θεοῦ βασιλείαν. Ταύτην δέ πιστεύομεν εἶναι τῶν σωζομένων κληρονομίαν, καί μονήν, καί τόπον,

καθώς ὁ ἀληθής παραδίδωσι λόγος· ὡς τέλος τῶν δι' ἐφέσεως πρός τό ἔσχατον ὀρεκτόν κινουμένων· ἐν ᾧ γινόμενοι, πάσης τῆς ὁποιασοῦν δέχονται παῦλαν κινήσεως· ὡς μηκέτι χρόνου τινός ὄντος αὐτῶν ἤ αἰῶνος τοῦ διαβαθῆναι ὀφείλοντος, οἷα δή μετά πάντα καταντήσασιν εἰς τόν Θεόν· τόν πρό πάντων ὄντα τῶν αἰώνων, καί ὅν φθάνειν αἰώνων φύσις οὐ πέφυκεν.

πζ'. Ἐφ᾽ ὅσον χρόνον τίς ἐστιν ἐν τῇ ζωῇ ταύτῃ, κἄν τέλειός ἐστι κατά τήν ἐνθάδε κατάστασιν, καί πράξει καί θεωρίᾳ, τήν ἐκ μέρους ἔχει καί γνῶσιν καί προφητείαν καί ἀῤῥαβῶνα Πνεύματος ἁγίου· ἀλλ᾽ οὐκ αὐτό τό πλήρωμα· ἐλευσόμενός ποτε μετά τήν τῶν αἰώνων περαίωσιν εἰς τήν τελείαν λῆξιν, τήν πρόσωπον πρός πρόσωπον τοῖς ἀξίοις δεικνῦσαν αὐτήν ἐφ᾽ ἑαυτῆς ἑστῶσαν τήν ἀλήθειαν· ὡς μηκέτι ἐκ τοῦ πληρώματος μέρος ἔχειν, ἀλλ᾽ αὐτό τό πλήρωμα τῆς χάριτος κατά μέθεξιν ὅλον κομίζεσθαι. Καταντήσεσθαι γάρ, φησίν ὁ Ἀπόστολος, πάντας (δηλονότι τούς σωζομένους) εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ· ἐν ᾧ εἰσιν οἱ θησαυροί τῆς σοφίας καί τῆς γνώσεως ἀπόκρυφοι· ἧς φαινομένης, τό ἐκ μέρους καταργηθήσεται.

πη'. Ζητοῦσί τινες, πῶς ἔσται τῶν ἀξιουμένων τῆς ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ τελειότητος ἡ κατάστασιν· πότερον κατά προκοπήν καί μετάβασιν, ἤ κατά τήν ἐν στάσει ταυτότητα· πῶς τε τά σώματα καί τάς ψυχάς εἶναι χρεών ὑπολαμβάνειν. Πρός δή τοῦτο στοχαστικῶς ἐρεῖ τις, ὅτι καθάπερ ἐπί τῆς σωματικῆς ζωῆς διττός ἐστιν ὁ τῆς τροφῆς λόγος· ὁ μέν πρός αὔξησιν, ὁ δέ πρός συντήρησιν τῶν τρεφομένων· μέχρις οὗ φθάσωμεν τό τέλειον τῆς σωματικῆς ἡλικίας, τρεφόμεθα πρός αὔξησιν· ἐπειδάν δέ τό σῶμα στῇ τῆς εἰς μέγεθος ἐπιδόσεως, οὐκέτι τρέφεται πρός αὔξησιν, ἀλλά πρός συντήρησιν. Οὕτως καί ἐπί τῆς ψυχῆς διττός ὁ τῆς τροφῆς λόγος.Τρέφεται γάρ προκόπτουσα ταῖς ἀρεταῖς καί (1168) τοῖς θεωρήμασι, μέχρις οὗ διαβᾶσα τά ὄντα πάντα φθάσῃ τό μέτρον τῆς ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ· ἐν ᾧ γινομένη, πάσης τῆς πρός ἐπίδοσίν τε καί αὔξησιν διά τῶν μέσων ἵσταται προκοπῆς· ἀμέσως τρεφομένη τό ὑπέρ νόησιν· καί διά τοῦτο τυχόν ὑπέρ αὔξησιν· τῆς ἀφθάρτου τροφῆς εἶδος, πρός συντήρησιν τῆς δοθείσης αὐτῇ θεοειδοῦς τελειότητος, καί ἔκφανσιν τῶν τῆς τροφῆς ἐκείνης ἀπείρων ἀγλαϊῶν, καθ᾽ ἥν τό ἀεί εὖ ὡσαύτως εἶναι ἐνδημῆσαν αὐτῇ δεχομένη, γίνεται θεός τῆς μεθέξει τῆς θεϊκῆς χάριτος, πασῶν τῶν κατά νοῦν καί αἴσθησιν ἐνεργειῶν, αὐτή τε

παυσαμένη, καί ἑαυτῇ τάς τοῦ σώματος συναπαύσασα φυσικάς ἐνεργείας, συνθεωθέντος αὐτῇ κατά τήν ἀναλογοῦσαν αὐτῷ μέθεξιν τῆς θεώσεως. Ὥστε μόνον τόν Θεόν διά τε τῆς ψυχῆς καί τοῦ σώματος φαίνεσθαι, νικηθέντων αὐτῶν τῇ ὑπερβολῇ τῆς δόξης, τῶν φυσικῶν γνωρισμάτων.

πθ'. Ζητοῦσί τινες τῶν φιλομαθῶν, κατά ποῖον ἔσται τρόπον ἡ τῶν αἰωνίων μονῶν τε καί ἐπαγγελιῶν διαφορά· πότερον καθ᾽ ὑπόστασιν τοπικήν, ἤ κατ᾽ ἐπίνοιαν τῆς ἰδιαζούσης καθ᾽ ἑκάστην μορφήν πνευματικῆς ποιότητός τε καί ποσότητος. Καί τοῖς μέν δοκεῖ τό πρῶτον· τοῖς δέ, τό δεύτερον· ὁ δέ γνούς, τί τό, Ἡ βασιλεία τοῦ Θεοῦ ἐντός ὑμῶν ἐστι, καί τί τό, Πολλαί μοναί παρά τῷ Πατρί, τοῦ δευτέρου μᾶλλον γενήσεται.

τέσσ' ἀνοικ. '. Ζητοῦσί τινες, ποίαν διαφοράν ἔχει πρός τήν τοῦ Θεοῦ βασιλείαν ἡ τῶν οὐρανῶν βασιλεία· πότερον καθ᾽ ὑπόστασιν διαφέρουσιν ἀλλήλων, ἤ κατ᾽ ἐπίνοιαν. Πρός οὕς ῥητέον, ὅτι διαφέρουσι μέν· οὐ καθ᾽ ὑπόστασιν δέ. Μία γάρ καθ᾽ ὑπόστασιν ἄμφω· ἀλλά κατ᾽ ἐπίνοιαν· ἡ μέν γάρ βασιλεία τῶν οὐρανῶν, τῆς τῶν ὄντων ἀκραιφνοῦς κατά τούς ἑαυτῶν λόγους ἐν τῷ Θεῷ προαιωνίου γνώσεώς ἐστι κατάληψις· ἡ δέ τοῦ Θεοῦ βασιλεία, τῶν προσόντων τῷ Θεῷ φυσικῶς ἀγαθῶν κατά χάριν ἐστί μετάδοσις· καί ἡ μέν κατά τό τέλος τῶν ὄντων, ἡ δέ κατ᾽ ἐπίνοιαν μετά τό τέλος τῶν ὄντων ἐστί.

τέσσ. ἀνοικ. α'. Τό, Ἤγγικεν ἡ βασιλεία τῶν οὐρανῶν, οὐκ ἔστιν, ὡς οἶμαι, χρονικῆς συστολῆς· Οὐ γάρ ἔρχεται μετά παρατηρήσεως· οὔτε ἐροῦσιν· Ἰδούς ὧδε, ἰδού ἐκεῖ· ἀλλά τῆς πρός αὐτῶν τῶν ἀξίων (1169) αὐτῆς κατά διάθεσιν σχέσεώς ἐστιν· Ἡ γάρ βασιλεία τοῦ Θεοῦ, φησίν, ἐντός ὑμῶν ἐστιν.

τέσσ. ἀνοικ. β'. Ἡ τοῦ Θεοῦ καί Πατρός βασιλεία, δυνάμει μέν ἐν πᾶσί ἐστιν τοῖς πιστεύουσιν· ἐνεργείᾳ δέ ἐν τοῖς ἀποθεμένοις διόλου διαθέσεως πᾶσαν τήν κατά φύσιν ψυχῆς τε καί σώματος ζωήν, καί μόνην κτησαμένοις τήν τοῦ πνεύματος, καί δυναμένοις λέγειν· Ζῶ δέ, οὐκέτι ἐγώ, ζῇ δέ ἐν ἐμοί Χριστός.

τέσσ. ἀνοικ. γ'. Τήν βασιλείαν τῶν οὐρανῶν εἶναί τινες λέγουσι, τήν ἐν οὐρανοῖς τῶν ἀξίων διαγωγήν· ἕτεροι δέ, τήν ὁμοίαν τοῖς ἀγγέλοις τῶν σωζομένων κατάστασιν· ἄλλοι δέ, τό εἶδος αὐτό τῆς θεϊκῆς ὡραιότητος τῶν φορεσάντων τήν εἰκόνα τοῦ Ἐπουρανίου. Συνᾴδουσι δέ τῇ ἀληθείᾳ, κατά τό ἐμοί δοκοῦν, καί αἱ τρεῖς περί τούτου δόξαι.

Πᾶσι γάρ κατά τήν ἀναλογίαν τῆς ἐν αὐτοῖς κατά ποιόν τε καί ποσόν δικαιοσύνης, ἡ μέλλουσα δίδοται χάρις.
τέσσ. ἀνοικ. δ'. Ἕως ὅτου κατά τήν πρακτικήν φιλοσοφίαν, ἀνδρικῶς τούς θείους διεξέρχεταί τις ἀγῶνας· τόν διά τῶν ἐντολῶν ἐξελθόντα παρά τοῦ Πατρός εἰς τόν κόσμον, παρ᾽ ἑαυτῷ κατέχει Λόγον. Ἐπειδάν δέ τῶν κατά τήν πρᾶξιν πρός τά πάθη παλαισμάτων ἀφιέμενος, ὡς νικητής παθῶν καί δαιμόνων ἀποφανθείς, πρός τήν διά θεωρίας γνωστικήν μετέλθῃ φιλοσοφίαν, συγχωρεῖ τῷ Λόγῳ μυστικῶς ἀφεῖναι πάλιν τόν κόσμον, καί πορευθῆναι πρός τόν Πατέρα. Διό φησιν ὁ Κύριος τοῖς μαθηταῖς, ὅτι Ὑμεῖς ἐμέ πεφιλήκατε, καί πεπιστεύκατε ὅτι ἐγώ παρά τοῦ Θεοῦ ἐξῆλθον. Ἐξῆλθον παρά τοῦ Πατρός, καί ἐλήλυθα εἰς τόν κόσμον· πάλιν ἀφίημι τόν κόσμον, καί πορεύομαι πρός τόν Πατέρα· κόσμον εἰπών τυχόν, τήν κατά τήν πρᾶξιν τῶν ἀρετῶν ἐπίπονον ἐργασίαν· Πατέρα δέ, τήν κατά νοῦν ὑπερκόσμιον καί παντός ἐλευθέραν ὑλικοῦ φρονήματος κατάστασιν· καθ᾽ ἥν ἐν ἡμῖν ὁ τοῦ Θεοῦ γίνεται Λόγος, τῆς πρός τά πάθη καί τούς δαίμονας μάχης παυόμενος.
τέσσ. ἀνοικ. ε'. Ὁ δυνηθείς νεκρῶσαι διά πράξεως τά μέλη τά ἐπί τῆς γῆς, καί νικῆσαι διά τοῦ Λόγου τῶν ἐντολῶν τόν ἐν αὐτῷ τῶν παθῶν κόσμον, οὐδεμίαν ἕξει λοιπόν θλίψιν· τόν κόσμον ἐάσας ἤδη, καί ἐν Χριστῷ γεγενημένος, τῷ τόν κόσμον νικήσαντι τῶν παθῶν, καί πάσης εἰρήνης χορηγῷ. Ὁ γάρ τήν προσπάθειαν τῶν ὑλικῶν μή ἀφείς, διά παντός θλίψιν ἕξει· τοῖς κατά φύσιν ἀλλοιουμένοις τήν γνώμην συναλλοιούμενος. Ὁ δέ γενόμενος ἐν Χριστῷ, κατ᾽ οὐδένα λόγον αἰσθήσεται τῆς οἱασοῦν ὑλικῆς μεταπτώσεως. Διό φησιν ὁ Κύριος· Ταῦτα λελάληκα ὑμῖν, ἵνα ἐν ἐμοί εἰρήνην ἔχητε. Ἐν τῷ κόσμῳ θλίψιν ἕξετε· ἀλλά θαρσεῖτε, ἐγώ νενίκηκα τόν κόσμον. Τουτέστιν, Ἐν ἐμοί τῷ Λόγῳ τῆς ἀρετῆς, εἰρήνην ἔχετε· ἀπηλλαγμένοι τῆς τῶν ὑλικῶν παθῶν τε καί πραγμάτων στροβώσεώς τε καί ταραχῆς· ἐν δέ τῷ κόσμῳ, τουτέστι ἐν τῇ προσπαθείᾳ τῶν ὑλικῶν, θλίψιν, διά τήν αὐτῶν ἀλλεπάλληλον μετάπτωσιν. (1172) Θλίψιν γάρ ἔχουσι ἀμφότεροι, καί ὁ πράττων τήν ἀρετήν, διά τόν αὐτῇ συνημμένον πόνον· καί ὁ τόν κόσμον ἀγαπῶν, διά τήν τῶν ὑλικῶν ἀποτυχίαν· ἀλλ᾽ ὁ μέν, θλίψιν σωτήριον· ὁ δέ, φθαρτικήν καί ὀλέθριον. Ἀμφοτέρων δέ ἐστιν ὁ Κύριος ἄνεσις· τοῦ μέν, καταπαύων ἐν ἑαυτῷ κατά τήν θεωρίαν δι᾽ ἀπαθείας τούς πόνους τῶν ἀρετῶν· τοῦ δέ, τήν πρός τά φθειρόμενα σχετικήν προσπάθειαν δά τῆς μετανοίας ἀφαιρούμενος.

τέσσ. ἀνοικ. στ'. Ἡ ἐν τῷ τίτλῳ προγραφή τῆς τοῦ Σωτῆρος αἰτίας, πρακτικῆς καί φυσικῆς καί θεολογικῆς φιλοσοφίας ὄντα Βασιλέα τόν σταυρωθέντα σαφῶς καί Κύριον ἔδειξε. Ῥωμαϊστί γάρ, καί Ἑλληνιστί, καί Ἑβραϊστί φησιν ἀναγεγράφθαι τό λόγιον. Νοῶ δε, διά μέν τοῦ Ῥωμαϊστί, τήν πρακτικήν· ὡς τῆς Ῥωμαίων βασιλείας κατά τόν Δανιήλ ὁρισθείσης εἶναι πασῶν ἀνδρικωτέρας τῶν ἐπί γῆς βασιλειῶν· πρακτικῆς δέ ἴδιον, εἴπερ τι ἄλλο, ἡ ἀνδρεία. Διά δέ τοῦ Ἑλληνιστί, τήν φυσικήν θεωρίαν· ὡς μᾶλλον τοῦ Ἑλλήλων ἔθνους παρά τούς λοιπούς ἀνθρώπους, τῇ φυσικῇ σχολάσαντος φιλοσοφίᾳ. Διά δέ τοῦ Ἑβραϊστί, τήν θεολογικήν μυσταγωγίαν· ὡς τοῦ ἔθνους τούτου προδήλως ἀνέκαθεν τῷ Θεῷ τούς πατέρας ἀνατεθέντος.
τέσσ. ἀνοικ. ζ'. Δεῖ μή μόνον ἡμᾶς εἶναι παθῶν σωματικῶν φονευτάς, ἀλλά καί τῶν κατά ψυχήν ἐμπαθῶν λογισμῶν ὀλετῆρας, κατά τόν λέγοντα ἅγιον· Εἰς τάς πρωΐας ἀπέκτενον πάντας τούς ἁμαρτωλούς τῆς γῆς· τοῦ ἐξολοθρεῦσαι ἐκ πόλεως Κυρίου πάντας τούς ἐργαζομένους τήν ἀνομίαν· τουτέστι, τά τοῦ σώματος πάθη, καί τῆς ψυχῆς τούς ἀνομοῦντας λογισμούς.
τέσσ. ἀνοικ. η'. Ὁ τήν ὁδόν τῶν ἀρετῶν χωρίς τῆς ἐφ᾽ ἑκάτερα ῥοπῆς μετ᾽ εὐσεβοῦς καί ὀρθῆς γνώσεως συντηρήσας ἀλώβητον, εἴσεται τήν γινομένην πρός αὐτόν τοῦ Θεοῦ διά τῆς ἀπαθείας παρουσίαν. Ψαλῶ γάρ, καί συνήσω ἐν ὁδῷ ἀμώμῳ, πότε ἥξεις πρός με. Ὁ γάρ ψαλμός τήν ἐνάρετον πρᾶξιν δηλοῖ· ἡ δέ σύνεσις, τήν ἐπ᾽ ἀρετῇ γνωστικήν ἐπιστήμην· καθ᾽ ἥν τῆς θείας αἰσθάνεται παρουσίας, ὁ δι᾽ ἀγρυπνίας τῶν ἀρετῶν προσδεχόμενος τόν Κύριον αὐτοῦ.
τέσσ. ἀνοικ. θ'. Οὐ δεῖ τόν εἰσαγόμενον εἰς εὐσέβειαν, διά μόνης ἄγεσθαι χρηστότητος πρός τήν πρᾶξιν τῶν ἐντολῶν, ἀλλά μήν καί τῇ μνήμῃ τῶν θείων δικαιωμάτων, δι᾽ ἀποτομίας συχνότερον αὐτόν ἀγωνίσασθαι· ἐφ᾽ ᾧ μή μόνον πόθῳ τῶν θείων ἐρᾷν, ἀλλά καί φόβῳ τῆς κακίας ἀπέχεσθαι· Ἔλεον γάρ καί κρίσν ᾄσομαί σοι, Κύριε· ἵνα καί αὐδῇ τῷ Θεῷ κατά πόθον τερπόμενος, καί εὐτονῇ πρός τό ᾆσμα, τῷ φόβῳ στομούμενος.
ρ'. Ὁ δι᾽ ἀρετῆς καί γνώσεως ἁρμοσάμενος τό σῶμα πρός τήν ψυχήν, (1173) γέγονε κιθάρα Θεοῦ καί αὐλός καί ναός. Κιθάρα μέν, ὡς καλῶς φυλάξας τήν τῶν ἀρετῶν ἁρμονίαν· αὐλός δέ, ὡς διά τῶν θείων θεωρημάτων εἰσδεχόμενος τήν τοῦ Πνεύματος ἔμπνευσιν· ναός δέ, ὡς διά τήν κατά νοῦν καθαρότητα, τοῦ Λόγου γεγονώς κατοικητήριον.

*ΑΝΕΠΙΓΡΑΦΟΥ ΣΧΟΛΙΑ.*

α'. Οὐχ ὡς ἐπιτυγχανόντων τινῶν τῶν πρός ἐπίδειξιν ἐφιεμένων, ὁ λόγος, ἀλλ᾽ ὡς πάντως ἀποτυγχανόντων. Διά δέ τοῦ, Ἔν τινι τῶν ὁμόρων ποιείτω, καί τά ἑξῆς, σημαίνει, τό μή ἐπιγίνεσθαί τινι γνῶσιν τήν ἀληθῆ, εἰ μή διά πόνων σωματικῶν, ἤγουν, δι᾽ ἐγκρατείας καί ἀγάπης, δι᾽ ὧν ἡ κάθαρσις τῇ ψυχῇ· Μακάριοι γάρ, φησίν, οἱ καθαροί τήν καρδίαν, ὅτι αὐτοί τόν Θεόν ὄψονται.

β'. Τούτοις μάλιστα ἐλεγχόμεθα, τήν φιλαργυρίαν νοσοῦντες, καί μαμωνᾷ καταθύοντες.

γ'. Καί ταῦτα κατά τῶν Εἰκονομάχων ἄντικρυς. Ὅρα δέ ὅτι γνῶσις ἡ ἐνταῦθα λέγεται μερική· ἡ δέ τοῦ Θεοῦ σοφία, ὅλη ἐν τῷ κόσμῳ ἐστί, καθ᾽ ὅ Θεολόγος φησίν· Ἐν τῷ κόσμῳ γάρ ἦν, καί κόσμος δι᾽ αὐτοῦ ἐγένετο.

δ'. Ἔτι καί ἡμῶν ἕκαστος τοῖς αἰσθητοῖς προσκείμενος ἐξ ἀγνοίας, τόν Καίσαρα βασιλέα ἐπιγράφεται· καί τῷ Πιλάτῳ, τῇ αἰσθήσει, προδίδωσι τόν Λόγον εἰς θάνατον. Πάντως δέ μετά Καίσαρος καί τῷ Ἡρώδῃ ὑπόκεινται, ὁ κατ᾽ ἐνέργειαν ἁμαρτάνων, καί ἐν ἕξει γενόμενος τοῦ κακοῦ. Ἰουδαῖός ἐστι τήν ἀρετήν προδιδούς τῇ ἕξει τῆς κακίας ὑποχείριον· καί τήν μέν τοῦ Θεοῦ βασιλείαν ἀρνούμενος, τοῦ διαβόλου δέ τῇ τυραννίδι προσκείμενος.

ε'. Ὅτι ἐκ τῆς τοῦ Θεοῦ ἀγνοίας, ἡ φιλαυτία καί τό γαστρίμαργον· δι᾽ ἅ τήν σάρκα καί τόν κόσμον εὐθύς ἠγαπήσαμεν· καί εἰ μή τούτων ἔξω γενώμεθα διά τῆς πρός Θεόν ἀγάπης, τῆς εἰς τόν πλησίον διά τῆς φυλακῆς τῶν ἐντολῶν ἐνεργουμένης, ἄλλως ἄτρεπτοι μένειν ἐν τῷ καλῷ οὐ δυνάμεθα.

στ'. Πάροικοι πάντες οἱ ἅγιοι, ὡς ἐν ἐσόπτροις καί αἰνίγμασι βλέποντες τήν ἀλήθειαν. Οἱ δέ Εἰκονομάχοι μή παραδεχόμενοι κατιδεῖν ἐν ἐσόπτροις, παντάπασι τῆς ἀληθείας ἀποπεπτώκασι.

ζ'. Ὁ Θεός ἔστη ἐν συναγωγῇ θεῶν. Καί ὅρα τήν δύναμιν τῶν ἀγγέλων· καί ὅτι ὁ μή πιστεύων χρῆναι πρός τήν κεφαλήν συνῆφθαι τά μέλη, ἄπιστός ἐστι, καί ἐντεῦθεν ἤδη κέκριται.

η'. Τίς οἰκεῖ τῶν Χαλδαίων τήν γῆν· τίς τήν Χαῤῥάν τῆς Μεσοποταμίας; Τίς πρός τήν γῆν μετάγεται τήν ἀγαθήν, ἥν ἐπαγγέλεται δώσειν τοῖς ἀγαπῶσιν αὐτόν ὁ Θεός;

θ'. Fr. Ὅτι καί πάλαι πρό τῆς ἐπιδημίας, καί νῦν μετά τήν ἐπιδημίαν, νοητῶς ἐν ἡμῖν ἐνδημεῖ ὁ τοῦ Θεοῦ Λόγος, κρυφίως ἀναφέρων πρός τά θειότερα.

ι'. (1176) Ὅτι καί ἡμεῖς ἀμελοῦντες τῆς θείας γνώσεως, ὡς ἐκεῖνοι πρός δουλείαν παθῶν καθελκόμεθα. Τήν τελευταίαν γάρ Ἰσραήλ αἰχμαλωσίαν, κατά Χριστοῦ λυττήσας, ὑπέστη.

ια'. Ὅτι πᾶς ἅγιος, πυῤῥάκης ἐστί μετά κάλλους ὀφθαλμῶν, ἤτοι, τήν ἔμπρακτον γνῶσιν πλουτῶν.

ιβ'. Καί τότε, καί πρότερον, καί μέχρι σήμερον οὕτω γίνεται. Ἄλλως γάρ πρός τά πάθη ὁ νοῦς οὐκ αὐτομολεῖ, εἰ μή τοῦ λόγου δίχα πράττειν τι βούλοιτο.

## ΚΕΦΑΛΑΙΑ ΔΙΑΦΟΡΑ ΘΕΟΛΟΓΙΚΑ ΤΕ ΚΑΙ ΟΙΚΟΝΟΜΙΚΑ

***Καί περί ἀρετῆς καί κακίας. (1177)***

### *ΕΚΑΤΟΝΤΑΣ ΠΡΩΤΗ.*

α'. Ἕν ἐστι τό ὑπεράναρχον καί ὑπερούσιον ἀγαθόν, ἡ ἁγία τρισυπόστατος Μονάς, Πατήρ καί Υἱός καί ἅγιον Πνεῦμα· τριῶν ἀπείρων ἄπειρος συμφυΐα τόν τε τοῦ εἶναι, καί πῶς, καί τί, καί ποῖον εἶναι λόγου ..... Πᾶσαν γάρ, .....τῶν νοούντων τῆς κατά φύσιν οὐδαμῶς .....ἐξιοῦσα, καί πάσης πασῶν γνώσεων ἀπείρως ὑπερεκτείνεται γνώσεως.

β'. Τό κατ᾽ οὐσίαν κυρίως ὄν ἀγαθόν, ἐστί τό μήτε ἀρχήν, μήτε τέλος, μήτε αἰτίαν τοῦ εἶναι τινά κίνησιν ἔχον. Τό δέ μή οὕτως ἔχον, οὐδέ κυρίως ὄν, ὡς ἀρχήν καί τέλος καί αἰτίαν τοῦ εἶναι, καί τήν κατά τό εἶναι πρός αἰτίαν κίνησιν ἔχον. Τό δέ κυρίως οὐκ ὄν, κἄν εἶναι λέγηται, κατά μέθεξιν βουλήσει τοῦ κυρίως ὄντος, καί ἔστι καί λέγεται.

γ'. Εἰ Λόγος προκαθηγεῖται τῆς τῶν ὄντων γενέσεως, οὔτε ἦν, οὔτε ἔστιν, οὔτε ἔσται τοῦ Λόγου λόγος ἀνώτερος. Λόγος δέ, οὐκ ἄνους ἤ ζωῆς ἄμοιρος· ἀλλ᾽ ἔννους καί ζῶν, ὡς γεννῶτα Νοῦν ἔχων (1180) οὐσιωδῶς ὑφεστῶτα, τόν Πατέρα· καί Ζωήν ὑφεστῶσαν οὐσιωδῶς συνυπάρχουσαν, τό Πνεῦμα τό ἅγιον.

δ'. Εἷς Θεός, ἑνός Υἱοῦ γεννήτωρ, Πατήρ, καί Πνεύματος ἑνός ἁγίου πηγή· μονάς ἀσύγχυτος, καί Τριάς ἀδιαίρετος· Νοῦς ἄναρχος, μόνου μόνος οὐσιωδῶς ἀνάρχου Λόγου Γεννήτωρ· καί μόνης ἀϊδίου Ζωῆς, ἤγουν Πνεύματος ἁγίου, πηγή.

ε'. Εἷς Θεός, ὅτι μία Θεότης. Μονάς ἄναρχος, καί ὑπερούσιος, καί ἀμερής καί ἀδιαίρετος· ἡ αὐτή μονάς καί Τριάς, καί τά ἑξῆς.

στ'. Εἰ πᾶσα μετοχή τῶν μετεχόντων προεπινοεῖται· πάντων δηλαδή σαφῶς ὑπέρκειται τῶν ὄντων ἀσυγκρίτως κατά πάντα τρόπον ἡ τῶν ὄντων αἰτία, κατά φύσιν προϋπάρχουσά τε καί προεπινοουμένη τῶν ὄντων· οὐχ ὡς οὐσία συμβεβηκότων· ἐπεί σύνθετον ἀποδειχθήσεται τό Θεῖον, εἰς συμπλήρωσιν ἔχον τῆς οἰκείας ὑπάρξεως τήν τῶν ὄντων ὑπόστασιν· ἀλλ' ὡς οὐσίας, τό ὑπερούσιον. Εἰ γάρ αἱ μέν τέχναι, τῶν ἐξ αὐτῶν ἐφεῦρον τά σχήματα, ἡ δέ καθόλου φύσις, τά εἴδη τῶν ὑπ᾽ αὐτήν, πολλῷ μᾶλλον ὁ Θεός τάς τῶν ὄντων οὐσίας ἐκ μή ὄντων ὑπέστησεν, ὡς ὑπερούσιος, καί ἔτι μᾶλλον τῆς καθ᾽ ὑπερουσιότητα θέσεως, ἀπείρως ἐξηρημένος· ὁ καί τάς τέχνας συζεύξας πρός ἐξεύρεσιν σχημάτων τάς ἐπιστήμας, καί τῇ φύσει δούς τήν ἀπεργαστικήν τῶν εἰδῶν ἐνέργειαν, καί αὐτό τό εἶναι τῶν οὐσιῶν, ὅπερ ἐστίν ὑποστησάμενος.

ζ'. Ὁ τοῖς οὖσι μή κατ᾽ οὐσίαν ὑπάρχων μεθεκτός, κατ᾽ ἄλλον δέ τρόπον μετέχεσθαι τοῖς δυναμένοις βουλόμενος, τοῦ κατ᾽ οὐσίαν κρυφίου παντελῶς οὐκ ἐξίσταται· ὁπότε καί αὐτός ὁ τρόπος, καθ᾽ ὅν θέλων μετέχεται, μένει διηνεκῶς τοῖς πᾶσιν ἀνέκφαντος. Οὐκοῦν, ὥσπερ ὁ Θεός θέλων μετέχεται, καθ᾽ ὅν αὐτός οἶδε τρόπον· (1181) οὕτω καί θέλων ὑπέστησε τά μετέχοντα, καθ᾽ ὅν αὐτός ἐπίσταται λόγον, δι᾽ ὑπερβάλλουσαν ἀγαθότητος δύναμιν. Οὐκοῦν τό θελήσει τοῦ πεποιηκότος γενόμενον, οὐκ ἄν εἴη ποτέ θελήσαντι αὐτό γενέσθαι, συναΐδιον.

η'. Ὁ τοῦ Θεοῦ Λόγος ἐφάπαξ κατά σάρκα γεννηθείς, ἀεί γεννᾶται θέλων κατά πνεῦμα διά φιλανθρωπίαν τοῖς θέλουσι· καί γίνεται βρέφος, ἑαυτόν ἐν ἐκείνοις διαπλάττων ταῖς ἀρεταῖς· καί τοσοῦτον φαινόμενος, ὅσον χωρεῖν ἐπίσταται τόν δεχόμενον· οὐ φθόνῳ σμικρύνων τοῦ οἰκείου μεγέθους τήν ἔκφανσιν, ἀλλά μέτρῳ σταθμίζων τῶν ὁρᾷν ποθούντων τήν δύναμιν. Οὕτως ἀεί καί φαινόμενος ὁ τοῦ Θεοῦ Λόγος τοῖς τρόποις τῶν μετόχων, ἀεί διαμένει κατά τήν ὑπερβολήν τοῦ μυστηρίου, τοῖς πᾶσιν ἀθέατος. Ὅθεν σοφῶς τοῦ μυστηρίου τήν δύναμιν διασκοπήσας ὁ θεῖος Ἀπόστολος, φησίν· Ἰησοῦς Χριστός, χθές καί σήμερον, ὁ αὐτός καί εἰς τούς αἰῶνας· εἰδώς ἀεί καινόν τό μυστήριον, καί μηδέποτε περιλήψει νοός παλαιούμενον.

θ'. Γεννᾶται Χριστός ὁ Θεός, προσλήψει σαρκός ψυχήν ἐχούσης νοεράν γενόμενος ἄνθρωπος· ὁ παρασχόμενος τοῖς οὖσιν ἐκ μή ὄντων

τήν γένεσιν· ὅν Παρθένος ὑπερφυῶς τεκοῦσα, παρέλυσεν οὐδέν τῆς παρθενίας τεκμήριον. Ὡς γάρ αὐτός ἄνθρωπος γέγονεν, οὐκ ἀλλοιώσας τήν φύσιν, οὐδ᾽ ἀμείψας τήν δύναμιν· οὕτω τήν τεκοῦσαν καί μητέρα ποιεῖ, καί παρθένον διατηρεῖ, θαύματι θαῦμα κατά ταυτό διερμηνεύων ἅμα, καί θατέρῳ κρύπτων τό ἕτερον. Ἐπειδή δι᾽ ἑαυτόν ὁ Θεός ἀεί κατ᾽ οὐσίαν ὑπάρχει μυστήριον, τοσοῦτον ἑαυτόν ἐξάγων τῆς φυσικῆς κρυφιότητος, ὅσον ταύτην πλέον διά τῆς ἐκφάνσεως κρυφιωτέραν ἐργάζεσθαι· καί τοσοῦτον πάλιν μητέρα τήν τεκοῦσαν παρθένον ποιούμενος, ὅσον τήν κύησιν ἄλυτον τῆς παρθενίας δεσμόν ἀπεργάζεσθαι [unus Reg. ἀπεργάζεσθαι].

ι'. Καινοτομοῦνται φύσεις, καί Θεός ἄνθρωπος γίνεται· οὐ μόνον ἡ θεία καί σταθερά καί ἀκίνητος, κινουμένη πρός τήν κινουμένην καί ἄστατον, ἵνα στήσῃ τοῦ φέρεσθαι· οὐδέ μόνον ἡ ἀνθρωπίνη δίχα σπορᾶς ὑπέρ φύσιν γεωργοῦσα σάρκα τῷ Λόγῳ τελεσφορουμένην, ἵνα στῇ τοῦ φέρεσθαι· ἀλλά καί ἀστήρ ἐξ ἀνατολῶν ἐν ἡμέρᾳ φαινόμενος, καί τούς μάγους ὁδηγῶν εἰς τόν τόπον τῆς τοῦ Λόγου σαρκώσεως, ἵνα δείξῃ μυστικῶς νικῶντα τήν αἴσθησιν, τόν ἐν νόμῳ καί προφήταις λόγον, καί ὁδηγοῦντα τά ἔθνη πρός τό μέγιστον φῶς τῆς ἐπιγνώσεως. Πρός γάρ ἐπίγνωσιν τοῦ σαρκωθέντος Λόγου σαφῶς ὁ νομικός τε καί προφητικός λόγος, καθάπερ ἀστήρ εὐσεβῶς κατανοούμενος, ὁδηγεῖ τούς κατά πρόθεσιν τῇ δυνάμει κεκλημένους τῆς χάριτος.

ια'. Ἐπειδή θέλων ἐγώ, τήν θείαν ἐντολήν παρέβην ὁ ἄνθρωπος, καί τό στεῤῥόν μου τῆς φύσεως, θεότητος ἐλπίδι δελεάσας πρός ἡδονήν κατέσυρεν ὁ διάβολος, (1184) δι᾽ ἧς ὑποστήσας τόν θάνατον ἡμβρύνετο τρυφῶν τήν φθοράν τῆς φύσεως· διά τοῦτο γίνεται τέλειος ἄνθρωπος ὁ Θεός, μηδέν παραμείψας τῆς φύσεως, πλήν τῆς ἁμαρτίας· ἐπεί μηδέ τῆς φύσεως ἦν· ἵνα σαρκός προβλήματι δελεάσας, ἐρεθίσῃ τόν ἄπληστον δράκοντα περιχανόντα τήν σάρκα καταπιεῖν, γενησομένην αὐτῷ μέν δηλητήριον, τῇ δυνάμει τῆς ἐν αὐτῇ θεότητος παντελῶς αὐτόν διαφθείρουσαν· τῇ δέ φύσει τῶν ἀνθρώπων ἀλεξητήριον, πρός τήν ἐξ ἀρχῆς χάριν δυνάμει τῆς ἐν αὐτῇ θεότητος ἀνακαλουμένην. Ὡς γάρ αὐτός τόν ἰόν αὐτοῦ τῆςκακίας τῷ ξύλῳ τῆς γνώσεως ἐγχέας τήν γευσαμένην διέφθειρε φύσιν, οὕτω καί αὐτός ἐμφαγεῖν βουληθείς τῆς σαρκός τοῦ Δεσπότου, τῇ δυνάμει τῆς ἐν αὐτῇ θεότητος διεφθάρῃ.

ιβ'. Τό μέγα τῆς θείας ἐνανθρωπήσεως μυστήριον, ἀεί μένει μυστήριον· οὐ μόνον ὅτι συμμέτρως τῇ δυνάμει τῶν ὑπ᾽ αὐτοῦ σωζομένων ἐκφαινόμενον, ἔχει μεῖζον τοῦ ἐκφανθέντος τό μήπω ὁρώμενον, ἀλλ᾽ ὅτι καί τό αὐτό τό φανέν, ἔτι μένει πάμπαν ἀπόκρυφον, οὐδενί λόγῳ καθώς ἔστι γινωσκόμενον. Καί μή τῷ δόξῃ παράδοξον τό λεγόμενον. Ὁ γάρ Θεός ὑπερούσιος ὤν, καί ὑπερουσιότητος ἁπάσης ὑπερανεστηκώς, εἰς οὐσίαν ἐλθεῖν βουληθείς, ὑπερουσίως οὐσιώθη. Διό καί ὑπέρ ἀνθρώπων, ὡς φιλάνθρωπος, ἐκ τῆς ἀνθρώπων οὐσίας ἀληθῶς ἄνθρωπος γεγονώς, τόν τοῦ πῶς ἄνθρωπος γέγονε τρόπον, μένει διά παντός ἔχων ἀνέκφαντον· ὑπέρ ἄνθρωπον γάρ γέγονεν ἄνθρωπος.

ιγ'. Σκοπήσωμεν πιστῶς τό μυστήριον τῆς θείας ἐνανθρωπήσεως, καί μόνον δοξάσωμεν ἀπεριέργως τόν τοῦτο γενέσθαι δι᾽ ἡμᾶς εὐδοκήσαντα. Τίς γάρ δυνάμει θαῤῥῶν λογικῆς ἀποδείξεως, ἐξειπεῖν δύναται, πῶς Θεοῦ Λόγου γίνεται σύλληψις· πῶς γένεσις σαρκός ἄνευ σπορᾶς· πῶς γέννησις ἄνευ φθορᾶς· πῶς μήτηρ, ἡ καί μετά τόκον διαμείνασα παρθένος· πῶς ὁ ὑπερτελής, καθ᾽ ἡλικίαν προέκοπτε· πῶς ὁ καθαρός, ἐβαπτίζετο· πῶς διέτρεφεν, ὁ πεινῶν· πῶς ὁ κοπιῶν, ἐχαρίζετο δύναμιν· πῶς ὁ πάσχων, ἐδίδου ἰάματα· πῶς ὁ θνήσκων, ἐζωοποίει· καί ἵνα τό πρῶτον τελευταῖον εἴπω, πῶς Θεός ἄνθρωπος γίνεται· καί τό δή πλέον μυστηριωδέστερον, πῶς οὐσιωδῶς ἐν σαρκί καθ᾽ ὑπόστασιν ὁ Λόγος, ὁ κατ᾽ οὐσίαν ὑποστατικῶς ὅλος ὑπάρχων ἐν τῷ Πατρί; Πῶς ὁ αὐτός, καί ὅλος ἐστί Θεός κατά φύσιν, καί ὅλος γέγονε κατά φύσιν ἄνθρωπος, μηδεμίαν φύσιν ἠρνημένος παντάπασι, μήτε τήν θείαν, καθ᾽ ἥν ὑπάρχει Θεός, μήτε τήν ἡμετέραν, καθ᾽ ἥν γέγονεν ἄνθρωπος; Ταῦτα πίστις μόνη χωρεῖ τά μυστήρια, τῶν ὑπέρ νοῦν καί λόγου ὑπάρχουσα πραγμάτων ὑπόστασις.

(1185) ιδ'. Ὁ Ἀδάμ παρακούσας, ἐξ ἡδονῆς ἄρχεσθαι τήν τῆς φύσεως ἐδίδαξε γένεσιν· Ὁ Κύριος ταύτην ἐξοικίζων τῆς φύσεως, τήν ἐκ σπορᾶς οὐ προσήκατο σύλληψιν. Ἡ γυνή παραβᾶσα τήν ἐντολήν, ἐξ ὀδύνης ἄρχεσθαι τήν τῆς φύσεως κατέδειξε γέννησιν· Ὁ Κύριος ταύτης ἀποτινάσσων τῆς φύσεως, γεννηθείς, φθοράν ὑπομεῖναι τήν τεκοῦσαν οὐ συνεχώρησεν· ἵν᾽ ὁμοῦ τήν τε ἑκούσιον ἡδονήν, καί τήν δι᾽ αὐτήν ἀκούσιον ὀδύνην, ἐξέλῃ τῆς φύσεως, ὧν οὐκ ἦν δημιουργός, ἀναιρέτης γενόμενος· καί διδάξῃ μυστικῶς κατά γνώμην, ἄλλης ἀπάρχεσθαι ζωῆς, ἐξ ὀδύνης μέν τυχόν ἀρχομένης καί πόνων, ληγούσης δέ πάντως εἰς ἡδονήν θείαν καί εὐφροσύνην ἀπέραντον.

Διά τοῦτο γίνεται ἄνθρωπος, καί γεννᾶται ὡς ἄνθρωπος, ὁ ποιήσας τόν ἄνθρωπον, ἵνα σώσῃ τόν ἄνθρωπον, καί πάθη πάθεσιν ἰασάμενος, πάθος αὐτός ὑπάρχων ἀποδειχθῇ τῶν ἡμετέρων παθῶν, ὑπερφυῶς ταῖς ἑαυτοῦ κατά σάρκα στερήσεσι, τάς ἡμῶν φιλανθρώπως κατά πνεῦμα ἕξεις ἀνανεούμενος.

ιε'. Ὁ τῷ θείῳ πόθῳ νικήσας τήν πρός τό σῶμα τῆς ψυχῆς διάθεσιν, ἀπερίγραφος γέγονε, κἄν ἐστιν ἐν σώματι. Ὁ γάρ ἕλκων τήν τοῦ ποθοῦντος ἔφεσιν Θεός, πάντων ἀσυγκρίτως ἐστίν ὑψηλότερος, οὐκ ἐῶν τόν ποθοῦντα τινί τῶν μετά Θεόν προσηλῶσαι τήν ἔφεσιν. Ποθήσωμεν οὖν τόν Θεόν καθ᾽ ὅλην ἡμῶν τήν τῆς φύσεως δύναμιν, καί πᾶσι τοῖς σωματικοῖς τήν προαίρεσιν ἀκράτητον ποιησώμεθα, καί πάντων τῶν ὄντων αἰσθητῶν τε καί νοητῶν ὑπεράνω τῇ διαθέσει γενώμεθα, καί οὐδέν κατά τήν γνώμην πρός τό συνεῖναι Θεῷ τῷ κατά φύσιν ἀπεριγράφῳ, παντελῶς ὑπό τῆς φυσικῆς περιγραφῆς ζημιωθησώμεθα.

ιστ'. Ἀγών ἐστι φθόνου καί ἀρετῆς, ἡ τῶν ἁγίων δυσπάθεια· τοῦ μέν, ὅπως κρατήσῃ φιλονεικοῦντος· τῆς δέ, ὅπως ἀήττητος διαμείνῃ, πάντα φερούσης· καί τοῦ μέν, ὅπως εὐοδώσῃ κακία ἀγωνιζομένου, διά τῆς τῶν κατορθούντων κολάσεως· τῆς δέ, ὅπως κατάσχῃ τούς ἀγαθούς κἄν ταῖς συμφοραῖς τό πλέον ἔχοντας.

(1188) ιζ'. Ἀρετῆς ἆθλόν ἐστι, τό τοῖς πόνοις ἐναγωνίζεσθαι· νίκης ἔπαθλον φερούσης τοῖς ὑπομένουσι, τῆς ψυχῆς τήν ἀπάθειαν, καθ᾽ ἥν δι᾽ ἀγάπης ἑνουμένη Θεῷ, σώματος καί κόσμου τῇ διαθέσει χωρίζεται. Ψυχῆς γάρ ῥῶσίς ἐστι τοῖς ὑπομένουσιν, ὁ τοῦ σώματος αἰκισμός.

ιη'. Ἡδονῆς ἀπάτῃ κλαπέντες τό ἀπαρχῆς, τόν θάνατον τῆς ὄντως ζωῆς προεκρίναμεν. Ταύτης οὖν τόν φονευτήν εὐχαρίστως ἐνέγκωμεν πόνον τοῦ σώματος, ὅπως τοῦ ταύτης θανάτου ἑαυτῷ συναφανίσαντος τόν δι᾽ αὐτήν γενόμενον θάνατον, ἀπολάβωμεν ἡμῖν ἐπανατρέχουσαν τήν ἡδονῇ πραθεῖσαν ζωήν, μικροῖς πόνοις σαρκός ἀγαρασθεῖσαν.

ιθ'. Εἰ σαρκός εὐπαθούσης, ὁ τῆς ἁμαρτίας εἴωθε πιαίνεσθαι τόνος, δῆλον ὅτι ταύτης δυσπαθούσης, ὁ τῆς ἀρετῆς ἀνηβᾷν εἰκότως πέφυκε. Γενναίως οὖν ἐνέγκωμεν τῆς σαρκός τήν δυσπάθειαν, τῶν κατά ψυχήν οὖσαν ῥυπτικήν μολυσμῶν, καί τῆς μελλούσης δόξης πρόξενον. Οὐκ ἄξια γάρ τά παθήματα τοῦ νῦν καιροῦ, πρός τήν μέλλουσαν δόξαν ἡμῖν ἀποκαλύπτεσθαι.

κ'. Οὔτε σῶμα θεραπεύοντες ἰατροί, ἕν καί τό αὐτό πᾶσιν προσφέρουσι φάρμακον, οὔτε Θεός ψυχῶν ἰατρεύων νοσήματα, ἕν μόνον θεραπείας οἶδε τρόπον πάσαις ἁρμόδιον· ἀλλ᾿ ἑκάστῃ τόν πρόσφορον ἀπονείμας, τάς ἰάσεις ἐργάζεται. Εὐχαριστήσωμεν οὖν θεραπευόμενοι, κἄν ἔχῃ βάσανον τό γινόμενον· τό γάρ τέλος, μακάριον.

κα'. Οὐδέν οὕτω ψυχῆς ἐλέγχει διάθεσιν, ὡς σαρκός δυσπαθούσης ἐπαναστήματα· οἷς, ἐάν μέν ὑπενδῷ, Θεοῦ πλέον στέργουσα τήν σάρκα φανήσεται· ἐάν δέ τοῖς τούτων διαμείνῃ τινάγμασιν ἄσειστος, σαρκός πλέον ἀρετήν τιμῶσα δειχθήσεται· δι᾿ ἧς τόν Θεόν ἔνοικον ὑποδέξεται, τόν δι᾿ αὐτήν παθεῖν καθ᾿ ἡμᾶς ἀνασχόμενον, βοῶντα, καθάπερ πάλαι τοῖς μαθηταῖς· Θαρσεῖτε, ἐγώ νενίκηκα τόν κόσμον.

κβ'. Εἰ πάντες παιδείας οἱ ἅγιοι γεγόνασι μέτοχοι, καί ἡμεῖς εὐχαριστήσωμεν σύν αὐτοῖς παιδευόμενοι, ἵνα τῆς αὐτῆς μέτοχοι γενέσθαι δόξης ἀξιωθῶμεν. Ὅν γάρ ἀγαπᾷ Κύριος, παιδεύει· μαστιγοῖ δέ πάντα υἱόν, ὅν παραδέχεται.

κγ'. Ὁ μέν Ἀδάμ τήν πλευράν ἡδονήν προτείνουσαν παραδεξάμενος, ἔξω τοῦ παραδείσου ποιεῖ τό ἀνθρώπινον· ὁ δέ Κύριος πόνῳ ταύτην διά τῆς λόγχης ἀνασχισθείς, τόν λῃστήν ἔσω τοῦ παραδείσου ἐποίησεν. Ἀγαπήσωμεν τοίνυν τόν πόνον τῆς σαρκός· μισήσωμεν δέ ταύτης τήν ἡδονήν· ὁ μέν γάρ εἰσάγει καί τοῖς ἀγαθοῖς ἀποκαθίστησιν· ἡ δέ ἐξάγει καί τῶν ἀγαθῶν ἀποδιίστησιν.

κδ'. Εἰ Θεός πάσχει σαρκί, γενόμενος ἄνθρωπος τίς πάσχων οὐ γέγηθε Θεόν ἔχων τοῦ πάθους συμμέτοχον; (1189) ᾧ τό συμπάσχειν, βασιλείας πρόξενον γίνεται. Ἀληθής γάρ ὁ εἰπών· Εἴπερ συμπάσχομεν, ἵνα καί συνδοξασθῶμεν.

κε'. Εἰ πάντως πονῆσαι δεῖ, διά τήν ἐμφυρεῖσαν τῇ φύσει διά τοῦ προπάτορος ἡδονήν, γενναίως τούς προσκαίρους καρτερήσωμεν πόνους, τῆς τε ἡδονῆς τό κέντρον ἡμῖν ἀμβλύνοντας, καί τῶν δι᾿ αὐτῆς ἡμᾶς αἰωνίων ἐλευθεροῦντας κολάσεων.

κστ'. Πάντων τῶν ἀγαθῶν τέλος ἐστίν ἡ ἀγάπη, ὡς πρός Θεόν τό τῶν ἀγαθῶν ἀκρότατον, καί παντός αἴτιον ἀγαθοῦ, τούς ἐν αὐτῇ περιπατοῦντας ἄγουσα καί προσάγουσα καί συνάγουσα, ὡς πιστή καί ἀδιάπτωτος καί μένουσα. Ἡ πίστις γάρ, βάσις ἐστί τῶν μετ᾿ αὐτήν, ἐλπίδος λέγω καί ἀγάπης, βεβαίως τό ἀληθές ὑφεστῶσα. Ἡ δέ ἐλπίς, τῶν ἄκρων ἐστίν ἰσχύς, ἀγάπης λέγω καί πίστεως, τό πιστόν τε δι᾿ ἑαυτῆς καί τό ἐραστόν ἀμφοῖν ὑποφαίνουσα, καί πρός αὐτό τόν

δρόμον δι᾽ ἑαυτῆς ποιεῖσθαι διδάσκουσα. Ἡ δέ ἀγάπη, τούτων ἐστί συμπλήρωσις, τό ἔσχατον ὀρεκτόν ὅλον ὅλη περιπτυσσομένη, καί ταύταις τῆς ἐπ᾽ αὐτό κινήσεως στάσιν παρεχομένη, τοῦ πιστεύειν εἶναι, καί ἐλπίζειν παρέσεσθαι, τό ἀπολαύειν παρόντος δι᾽ ἑαυτῆς ἀντεισάγουσα.

κζ'. Ἔργον τῆς ἀγάπης τελειότατον, καί τῆς κατ᾽ αὐτήν ἐνεργείας πέρας, δι᾽ ἀντιδόσεως σχετικῆς τῶν κατ᾽ αὐτήν συνημμένων, ἀλλήλοις ἐμπρέπειν τά ἰδιώματα, καί τάς κλήσεις παρασκευάζειν· καί θεόν μέν τόν ἄνθρωπον ποιεῖν, ἄνθρωπον δέ τόν Θεόν χρηματίζειν καί φαίνεσθαι, διά τήν μίαν καί ἀπαράλλακτον ἀμφοτέρων κατά τό θέλημα βούλησίν τε καί κίνησιν.

κη'. Εἰ κατ᾽ εἰκόνα Θεοῦ πάντως ἡμεῖς γενώμεθα ἑαυτῶν καί τοῦ Θεοῦ· μᾶλλον δέ, μόνου καί ὅλου Θεοῦ, καί ὅλοι μηδέν ἐπίγειον ἐν ἡμῖν αὐτοῖς φέροντες, ἵνα Θεῷ πλησιάσωμεν, καί θεοί γενώμεθα, ἐκ Θεοῦ τό θεοί εἶναι λαβόντες. Οὕτω γάρ τιμᾶται τά θεῖα δωρήματα, καί ἡ τῆς θείας εἰρήνης φιλοφρονεῖται παρουσία.

κθ'. Μέγα ἀγαθόν ἡ ἀγάπη, καί τῶν ἀγαθῶν τό πρῶτον καί ἐξαίρετον ἀγαθόν, ὡς Θεόν καί ἀνθρώπους δι᾽ ἑαυτῆς περί τόν αὐτήν ἔχοντα συνάπτουσαν (1192) καί ὡς ἄνθρωπον τόν ποιητήν τῶν ἀνθρώπων φανῆναι παρασκευάζουσα, διά τήν τοῦ θεουμένου πρός τόν Θεόν κατά τό ἀγαθόν ὡς ἐφικτόν ἀνθρώπῳ ἀπαραλλαξίαν· ἥν ἐνεργεῖν ὑπολαμβάνω τό, Ἀγαπῆσαι Κύριον τόν Θεόν ἐξ ὅλης καρδίας, καί ψυχῆς καί δυνάμεως· καί τόν πλησίον ὡς ἑαυτόν.

λ'. Ἰστέον, ὡς δόλῳ κακούργως μεμηχανημένῳ διά φιλαυτίας, καθ᾽ ἡδονῆς προσβολήν ἀπατήσας ἡμᾶς ὁ διάβολος, Θεοῦ καί ἀλλήλων κατά γνώμην διέστησε, τό εὐθές διαστρέψας, καί τήν φύσιν κατά τόν τρόπον τοῦτον μερίσας, καί κατατεμών εἰς πολλάς δόξας καί φαντασίας.

λα'. Τρία ἐστί τά μέγιστα καί ἀρχέκακα, καί πάσης ἁπλῶς εἰπεῖν, κακίας γεννητικά· ἄγνοια, φημί, καί φιλαυτία καί τυραννίς· ἀλλήλων ἐξηρτημένα καί δι᾽ ἀλλήλων συνιστάμενα. Ἐκ γάρ τῆς περί Θεοῦ ἀγνοίας, ἡ φιλαυτία· ἐκ δέ ταύτης, ἡ πρός τό συγγενές τυραννίς ἐστι. Καί οὐδείς ἀντερεῖ λόγος, μή οὐχί τῷ κατά παράχρησιν τρόπῳ τῶν οἰκείων δυνάμεων, λόγου τε καί ἐπιθυμίας καί θυμοῦ, ταύτας ἐν ἡμῖν τόν πονηρόν ὑποστήσασθαι.

λβ'. Δέον, λόγῳ μέν, ἀντί τῆς ἀγνοίας, πρός τόν Θεόν διά γνώσεως κατά ζήτησιν μονώτατον κινεῖσθαι· δι᾽ ἐπιθυμίας δέ, τοῦ τῆς

φιλαυτίας πάθους καθαρᾶς, κατά πόθον πρός τόν Θεόν μόνον ἐλαύνεσθαι· καί τῷ θυμῷ τυραννίδος κεχωρισμένῳ, πρός τό τοῦ Θεοῦ μόνου τυχεῖν ἀγωνίζεσθαι, καί τήν ἐκ τούτων καί δι᾽ ἥν ταῦτα θείαν καί μακαρίαν ἀγάπην δημιουργῆσαι, τῷ Θεῷ συνάπτουσάν τε καί θεόν ἀποφαίνουσαν τόν φιλόθεον.

λγ'. Τῆς φιλαυτίας ὡς ἀρχῆς, καθώς εἶπον, καί μητρός τῶν κακῶν ἀποτιλείσης, πάντα τά ἐξ αὐτῆς τε καί μετ᾽ αὐτήν, συναποτίλλεσθαι εἴωθεν ἐπειδή ταύτης μή οὔσης, οὐδέ οὐδαμῶς τό παράπαν κακίας εἶδος ἤ ἴχνος ὑφίστασθαι δύναται.

λδ'. Δέον ἐστίν, ἑαυτῶν καί ἀλλήλων τοσοῦτον ἀντέχεσθαι, ὅσον αὐτός δι᾽ αὐτοῦ ὁ Χριστός προλαβών ἀπεδείξατο, ὑπέρ ἡμῶν παθεῖν ἀνασχόμενος.

λε'. Διά τήν ἀγάπην οἱ ἅγιοι πάντες πρός τήν ἁμαρτίαν ἀντικατέστησαν, τῆς παρούσης ζωῆς οὐδένα λόγον ποιησάμενοι· καί τούς πολυειδεῖς τοῦ θανάτου τρόπους ὑπέστησαν, ἵνα πρός ἑαυτούς ἀπό τοῦ κόσμου καί τόν Θεόν συναχθῶσι, καί τά τῆς φύσεως ἐφ᾽ ἑαυτῶν ἑνώσωσι ῥήγματα. Αὕτη γάρ ἐστιν ἡ ἀληθής καί ἀμώμητος τῶν πιστῶν θεοσοφία· ἧς τέλος, τό ἀγαθόν ἐστι καί ἡ ἀλήθεια· εἴπερ ἀγαθόν τό φιλάνθρωπον, καί ἀληθές τό κατά πίστιν φιλόθεον, τά τῆς ἀγάπης γνωρίσματα· ὡς Θεῷ καί ἀλλήλοις τούς ἀνθρώπους συνάπτουσα, καί διά τοῦτο τῶν ἀγαθῶν τήν διαμονήν ἀδιάπτωτον ἔχουσα.

λστ'. (1193) Ἐνέργεια καί ἀπόδειξις τῆς πρός Θεόν τελείας ἀγάπης ἐστίν, ἡ γνησία δι᾽ εὐνοίας ἑκουσίου πρός τόν πλησίον διάθεσις. Ὁ γάρ μή ἀγαπῶν τόν ἀδελφόν αὐτοῦ, ὅν ἑώρακε, φησίν ὁ θεῖος Ἰωάννης, τόν Θεόν ὅν οὐχ ἑώρακεν, οὐ δύναται ἀγαπᾷν.

λζ'. Ἡ τῆς ἀληθείας ὁδός, ἡ ἀγάπη ἐστίν, ἥν ἑαυτόν ὀνομάσας ὁ τοῦ Θεοῦ Λόγος, τούς ἐν αὐτῇ ὁδεύοντας, τῷ Θεῷ καί Πατρί καθαρούς παντοίων γενομένους παρίστησιν.

λη'. Αὕτη ἐστίν ἡ θύρα, δι᾽ ἧς ὁ εἰσερχόμενος, εἰς τά Ἅγια γίνεται τῶν ἁγίων, καί τοῦ ἀπροσίτου κάλλους τῆς ἁγίας καί βασιλικῆς Τριάδος καθίσταται ἄξιος θεατής γενέσθαι.

λθ'. Φοβερόν ὄντως καί πάσης κατακρίσεως ὑπερέκεινα, τό τήν δοθεῖσαν ἡμῖν παρά Θεοῦ κατά δωρεάν τοῦ ἁγίου Πνεύματος ἑκουσίως νεκρῶσαι ζωήν, διά τῆς πρός τά φθειρόμενα ἀγάπης· καί ἴσασι πάντως τοῦτον τόν φόβον, οἱ τήν ἀλήθειαν τῆς φιλαυτίας προτιμᾷν μελετήσαντες.

μ'. Χρησώμεθα εἰς δέον τῇ εἰρήνῃ, καί τήν πρός τόν κόσμον, καί τόν κοσμοκράτορα κακῶς ἡμῖν ἐνυπάρξασαν ἀθητήσαντες φιλίαν, τόν διά τῶν παθῶν πρός τόν Θεόν συνιστάμενον, κἄν ὀψέ ποτε καταλύσωμεν πόλεμον· καί σπονδάς ἀλύτους τῆς πρός αὐτόν εἰρήνης ποιήσαντες, ἐν τῇ καταργήσει τοῦ σώματος τῆς ἁμαρτίας, τῆς πρός αὐτόν ἔχθρας παυσώμεθα.

μα'. Ἀδύνατόν ἐστιν ἡμᾶς φιλιωθῆναι Θεῷ, διά τῶν παθῶν πρός αὐτόν στασιάζοντας, καί τῷ πονηρῷ τυράννῳ καί φονευτῇ τῶν ψυχῶν διαβόλῳ διά κακίας δασμοφορεῖν ἀνεχομένους, μή πρότερον διόλου πολεμωθέντας τῷ πονηρῷ. Μέχρι γάρ τότε τοῦ Θεοῦ καθεστήκαμεν ἐχθροί καί πολέμιοι, κἄν πιστῶν προσηγορίαν ἡμῖν αὐτοῖς περιπλάττωμεν, μέχρις οὗ πάθεσιν ἀτιμίας δουλεύειν βουλόμεθα· καί οὐδέν ὄφελος ἡμῖν ἐκ τῆς κατά τόν κόσμον εἰρήνης λοιπόν περιγενήσεται, τῆς ψυχῆς κακῶς διακειμένης, καί πρός τόν ἴδιον ποιητήν στασιαζούσης, καί ὑπό τήν αὐτοῦ βασιλείαν γενέσθαι οὐκ ἀνεχομένης· ἔτι μυρίοις πεπεραμένης ὠμοῖς δεσπόταις εἰς κακίαν αὐτήν κατεπείγουσι, καί τήν εἰς ἀπώλειαν φέρουσαν ὁδόν, τῆς σωζούσης μᾶλλον ἀπατηλῶς αἱρεῖσθαι παρασκευάζουσιν.

μβ'. Εἰς τοῦτο ἡμᾶς πεποίηκεν ὁ Θεός, ἵνα γενώμεθα θείας κοινωνοί φύσεως, καί τῆς αὐτοῦ ἀϊδιότητος μέτοχοι, καί φανῶμεν αὐτῷ ὅμοιοι κατά τήν ἐκ χάριτος θέωσιν, δι᾽ ἥν πᾶσάν τε τῶν ὄντων ἡ σύστασίς ἐστι καί διαμονή, καί ἡ τῶν μή ὄντων παραγωγή καί γένεσις.

μγ'. Εἰ τοῦ Θεοῦ ὀνομάζεσθαί τε καί εἶναι ἐφιέμεθα, ἀγωνισώμεθα μή προδοῦναι τοῖς πάθεσι τόν Λόγον, κατά τόν Ἰούδαν· ἤ μή ἀρνήσασθαι, κατά τόν Πέτρον. Ἄρνησις γάρ ἐστι τοῦ Λόγου, ἡ τοῦ πράττειν τό ἀγαθόν διά φόβον παραίτησις· προδοσία δέ, ἡ κατ᾽ ἐνέργειαν ἐμπρόθετος ἁμαρτία, καί ἡ πρός τήν ἁμαρτίαν ὁρμή.

μδ'. (1195) Πάσης θλίψεως τέλος ἐστίν ἡ χαρά· καί παντός κόπου, ἡ ἀνάπαυσις· καί πάσης ἀτιμίας, ἡ δόξα. Καί ἁπλῶς, πάντων τῶν ὑπέρ ἀρετῆς ἀλγεινῶν τέλος ἐστί, τό μετά Θεοῦ γενέσθαι καί εἶναι διαπαντός, καί τῆς αἰωνίου καί πέρας μή ἐχούσης ἀνέσεως ἀπολαῦσαι.

με'. Ὁ Θεός πρός τῇ φύσει, καί γνώμῃ ἀλλήλοις ἡμᾶς ἑνῶσαι βουλόμενος, καί πρός τοῦτο ἅπαν ὡς ἀληθῶς ὠθῶν τό ἀνθρώπινον, τάς σωτηρίους φιλανθρώπως ἡμῖν ἐντολάς διεχάραξε, καί τούτου χάριν ἐλεεῖν καί ἐλεεῖσθαι ἁπλῶς ἐνομοθέτησεν.

μστ'. Ἡ τῶν ἀνθρώπων φιλαυτία καί σύνεσις, ἀλλήλους καί τόν νόμον, ἤ ἀπωσαμένη, ἤ σοφισαμένη, εἰς πολλάς μοίρας τήν μίαν φύσιν κατέτεμε· καί τήν νῦν ἐπικρατοῦσαν αὐτῆς ἀναλγησίαν εἰσηγησαμένη, αὐτήν καθ᾽ ἑαυτῆς τήν φύσιν διά τῆς γνώσεως ἐξώπλισε [Regii guo ἐξήπλωσε]. Διά τοι τοῦτο, πᾶς ὅστις σώφρονι λογισμῷ καί φρονήσεως εὐγενείᾳ, ταύτην λῦσαι δεδύνηται τῆς φύσεως τήν ἀνωμαλίαν, ἑαυτόν πρό τῶν ἄλλων ἐλέησε, τήν γνώμην κατά τήν φύσιν δημιουργήσας, καί Θεῷ κατά τήν γνώμην διά τήν φύσιν προσχωρήσας, καί δείξας ἐφ᾽ ἑαυτῷ, τίς τοῦ κατ᾽ εἰκόνα λόγου ὁ τρόπος, καί πῶς ἑαυτῷ ὁ Θεός πρεπόντως κατ᾽ ἀρχάς ὁμοίαν τήν ἡμετέραν φύσιν, καί τῆς ἰδίας ἀγαθότητος ἀρίδηλον ἀπεικόνισμα δημιουργήσας, κατέστησεν αὐτήν ἑαυτῇ καί πάντα ταυτήν, ἄμαχον, εἰρηνικήν, ἀστασίαστον, πρός τε Θεόν καί ἑαυτήν δι᾽ ἀγάπης ἐσφιγμένην, καθ᾽ ἥν Θεοῦ μέν ἐφετῶς, ἀλλήλων δέ συμπαθῶς ἀντεχόμεθα.

μζ'. Ὁ φιλάνθρωπος Θεός διά τοῦτο γέγονεν ἄνθρωπος, ἵνα τήν φύσιν τῶν ἀνθρώπων πρός ἑαυτόν συναγάγῃ, καί στήσῃ τοῦ φέρεσθαι κακῶς, πρός ἑαυτήν, μᾶλλον δέ καθ᾽ ἑαυτῆς στασιάζουσάν τε καί μεμερισμένην· καί μηδεμίαν ἔχουσαν στάσιν, διά τήν περί ἕκαστον τῆς γνώμης ἀστάθμητον κίνησιν.

μη'. Οὐδέν ἐστι τῶν μετά Θεόν τοῖς νοῦν ἔχουσι τιμιώτερον, μᾶλλον δέ τῷ Θεῷ προσφιλέστερον, τῆς τελείας ἀγάπης, ὡς τούς διῃρημένους εἰς ἕν συναγούσης, καί μίαν ἐν τοῖς πολλοῖς ἤ τοῖς πᾶσιν, ἀστασίαστον κατά τήν γνώμην δημιουργῆσαι (1197) δυναμένης ταὐτότητα. Καί γάρ ἴδιον τῆς ἀγάπης, τῶν τά κατ᾽ αὐτήν ζητούντων, μίαν ἀποδεῖξαι τήν γνώμην.

μθ'. Εἰ φύσει τό καλόν ἐστιν ἑνοποιητικόν τῶν διῃρημένων καί συνεκτικόν, τό κακόν δηλονότι τῶν ἡνωμένων ἐστί διαιρετικόν τε καί φθαρτικόν. Καί γάρ φύσει τό κακόν σκεδαστόν ὑπάρχει, καί ἄστατον καί πολύμορφον καί διαιρετικόν.

ν'. Πάντων τῶν κακῶν ἀπαλλαγή καί σύντομος πρός σωτηρίαν ὁδός, ἡ ἀληθής τοῦ Θεοῦ κατ᾽ ἐπίγνωσιν ἀγάπη ἐστί, καί ἡ καθόλου τῆς κατά ψυχήν πρός τε τό σῶμα καί τόν κόσμον τοῦτον στοργῆς ἐξάρνησις, καθ᾽ ἥν, τῆς μέν ἡδονῆς ἐπιθυμίαν, τῆς ὀδύνης δέ τό φόβον ἀποβαλλόμενοι, τῆς κακῆς ἐλευθερούμεθα φιλαυτίας, πρός τήν γνῶσιν ἀναβιβασθέντες τοῦ Κτίσαντος· καί πονηρᾶς ἀγαθήν ἀντιλαβόντες νοεράν φιλαυτίαν σωματικῆς κεχωρισμένην στοργῆς,

οὐ παυόμεθα λατρεύοντες τῷ Θεῷ διά ταύτης τῆς καλῆς φιλαυτίας, ἐκ Θεοῦ τῆς ψυχῆς ἀεί ζητοῦντες τήν σύστασιν. Αὔτη γάρ ἐστιν ἀληθής λατρεία, καί ὄντως θεάρεστος, ἡ τῆς ψυχῆς διά τῶν ἀρετῶν ἀκριβής ἐπιμέλεια.

να'. Ὁ σωματικῆς ἡδονῆς μή ἐφιέμενος, καί ὀδύνην παντελῶς μή φοβούμενος, γέγονεν ἀπαθής. Ταύταις γάρ μετά τῆς τεκούσης αὐτάς φιλαυτίας, πάντα τά δι᾽ αὐτάς τε καί ἐξ αὐτῶν μετά τῆς ἀρχηγικωτάτης τῶν κακῶν ἀγνοίας, ὁμοθυμαδόν συναπέκτεινε πάθη, καί ὅλος γέγονε τοῦ ἑστῶτος καί μένοντος καί ἀεί ὡσαύτως ἔχοντος φύσει καλοῦ, παντάπασιν αὐτῷ συνδιαμένων ἀκίνητος, καί ἀνακεκαλυμμένῳ προσώπῳ τήν δόξαν τοῦ Θεοῦ κατοπτριζόμενος· ἐκ τῆς ἐν αὐτῷ φωτοειδοῦς λαμπρότητος, τήν θείαν καί ἀπρόσιτον δόξαν θεώμενος.

νβ'. Τήν ἡδονήν τῆς παρούσης ζωῆς καί τήν ὀδύνην, ὅση δύναμις, ἀρνησώμεθα, καί πάσης παθῶν ἐπινοίας καί δαιμονιώδους κακουργίας παντελῶς ἀπαλλαγησόμεθα. Διά γάρ τήν ἡδονήν ἀγαπῶμεν τά πάθη, καί διά τήν ὀδύνην φεύγομεν τήν ἀρετήν.

νγ'. Ἐπειδή πᾶσα κακία πέφυκε τοῖς συνιστῶσιν αὐτήν συμφθείρεσθαι τρόποις, εὑρίσκων δι᾽ αὐτῆς τῆς πείρας ὁ ἄνθρωπος, πάσης ἡδονῆς εἶναι πάντως τήν ὀδύνην διάδοχον, πρός μέν τήν ἡδονήν, τήν ὅλην ἔσχεν ὁρμήν· πρός δέ τήν ὀδύνην, τήν ὅλην ἀποφυγήν· τῆς μέν, κατά πᾶσαν ὑπεραγωνιζόμενος δύναμιν· τῆς δέ, κατά πᾶσιν σπουδήν καταγωνιζόμενος, οἰόμενος, ὅπερ ἀμήχανον ἦν, διά τῆς τοιαύτης μεθοδείας, ἀλλήλων ταύτας διαστῆσαι , καί μόνη τῇ ἡδονῇ (1200) συνημμενην τήν φιλαυτίαν ἔχειν παντελῶς ὀδύνης ἀπείρατον, ἀγνοήσας ὑπό τοῦ πάθους, ὡς ἔοικεν, ὡς ουκ ἐνδέχεταί ποτε χωρίς ὀδύνης εἶναι τήν ἡδονήν. Ἐγκέκραται γάρ τῇ ἡδονῇ τῆς ὀδύνης ὁ πόνος, κἄν λανθάνειν δοκῇ τούς ἔχοντας, διά τήν κατά τό πάθος τῆς ἡδονῆς ἐπικράτειαν· ἐπειδή δέ τό ἐπικρατοῦν, ἀεί διαφαίνεσθαι πέφυκε, καλύπτον τοῦ παρακειμένου τήν αἴσθησιν. Ἡδονῆς οὖν διά τήν φιλαυτίαν ἀντιποιούμενοι, καί ὀδύνην διά τήν αὐτήν αἰτίαν πάλιν φεύγειν σπουδάζοντες, τάς ἀμυθήτους τῶν φθοροποιῶν παθῶν ἐπινοοῦμεν γενέσεις.

νδ'. Ἀγνοεῖ τις τήν καθ᾽ ἡδονήν καί ὀδύνην τῆς αἰσθήσεως πεῖραν, ὅταν τῷ Θεῷ τῷ ὄντως ἀγαπητῷ καί ἐραστῷ καί ἐφετῷ προσδήσῃ, μᾶλλον δέ κολλήσῃ τόν νοῦν, τῆς σωματικῆς γενόμενον ἐλεύθερον σχέσεως.

νε'. Ὥσπερ οὐ δύναταί τις ἄλλως λατρεύειν τῷ Θεῷ καθαρῶς, μή τήνψυχήν ἄρδην ἐκκαθαίρων· οὕτως οὔτε τῇ κτίσει λατρεύειν, μή τό σῶμα περιποιούμενος· καθ᾽ ὅ σῶμα τήν φθοροποιόν ἐπιτελῶν λατρείαν ὁ ἄνθρωπος, καί κατ᾽ αὐτό γενόμενος φίλαυτος, ἡδονήν εἶχεν ἀπαύστως καί ὀδύνην ἐνεργουμένην, ἐσθίων ἀεί τό ξύλον τῆς παρακοῆς, τό καλοῦ τε καί κακοῦ, κατά ταὐτόν μεμιγμένην κατά τήν αἴσθησιν διά τῆς πείρας ἔχον τήν γνῶσιν. Καί τάχα ξύλον εἶναι γνωστόν καλοῦ καί πονηροῦ, τήν φαινομένην κτίσιν εἰπών τις, οὐχ ἁμαρτήσει τῆς ἀληθείας· ἡδονῆς γάρ καί ὀδύνης ποιητικήν ἔχει φυσικῶς τήν μετάληψιν.

νστ'. Ἔνθα λόγος οὐ κρατεῖ, τό κατ᾽ αἴσθησιν πέφυκεν ἐπιγίνεσθαι κράτος, ἐν ᾧ τῆς ἁμαρτίας πέφυρταί πως ἡ δύναμις, πρός οἶκτον τῆς συγγενοῦς σαρκός καθ᾽ ὑπόστασιν, τήν ψυχήν δι᾽ ἡδονῆς ὑποσύρουσα· καθ᾽ ἥν ὡς ἔργον αὐτῇ φυσικόν ἐγχειρίσασα τήν ἐμπαθῆ καί καθήδονον τῆς σαρκός ἐπιμέλειαν, ἀπάγει τῆς κατά φύσιν ζωῆς, καί πείθει τῆς ἀνυποστάτου κακίας γενέσθαι ταύτην δημιουργόν.

νζ'. Κακία ἐστί ψυχῆς νοερᾶς, ἡ λήθη τῶν κατά φύσιν καλῶν, ἥτις ἐκ τῆς περί τήν σάρκα τε καί κόσμον, ἐμπαθοῦς ἐπιγίνεται σχέσεως, ἥν ἀφανίζει στρατηγῶν ὁ λόγος κατ᾽ ἐπιστήμην πνευματικήν, τήν τε τοῦ κόσμου καί τῆς σαρκός διερευνώμενος γένεσίν τε καί φύσιν, καί πρός τήν συγγενῆ τῶν νοητῶν χώραν τήν ψυχήν ἐλαύνων· πρός ἥν οὐδεμίαν ὁ νόμος τῆς ἁμαρτίας ποιεῖται διάβασιν, οὐκ ἔχων καθάπερ γέφυραν πρός τόν νοῦν διαβιβάζουσαν αὐτόν ἔτι τήν αἴσθησιν, διαλυθεῖσαν ἤδη πρός τήν ψυχήν κατά τήν σχέσιν, καί τοῖς αἰσθητοῖς ἐναποῤῥιφεῖσαν θεάμασιν, ὧν διαβάς τήν σχέσιν καί τήν φύσιν ὁ νοῦς παντελῶς οὐκ αἰσθάνεται.

νη'. (1201) Καθάπερ ὁ λόγος κρατῶν τῶν παθῶν, ἀρετῆς ὄργανον ποιεῖται τάς αἰσθήσεις· οὕτω καί τά πάθη κρατοῦντα τοῦ λόγου, μορφοῦσι τάς αἰσθήσεις πρός ἁμαρτίαν. Καί χρή νηφόντως σκοπεῖν τε καί μελετᾷν, πῶς ἡ ψυχή τήν καλήν ποιήσεται δεόντως ἀντιστροφήν, τοῖς δι᾽ ὧν τό πρίν ἐπλημμέλει χρωμένη πρός γένεσιν ἀρετῶν καί ὑπόστασιν.

νθ'. Τό ἅγιον Εὐαγγέλιον, σαρκικῆς μέν εἰσηγεῖται ζωῆς ἄρνησιν, πνευματικῆς δέ ὁμολογίαν. Περί τούτων δέ λέγω, τῶν ἀεί μέν κατά τόν ἄνθρωπον, λέγω δέ τήν ἀνθρωπίνην ἐν σαρκί κατά τόν αἰῶνα τοῦτον ζωήν, ἀποθνησκόντων, ζώντων δέ κατά θεόν μόνῳ τῷ Πνεύματι, κατά τόν θεῖον Ἀπόστολον καί τούς ἀμφ᾽ αὐτόν, τούς

ζῶντας μέν οὐδαμῶς ἰδίαν ζωήν, ζῶντα δέ τόν Χριστόν ἐν ἑαυτοῖς κατά μόνην ἔχοντας τήν ψυχήν. Οὕτως οἱ διά τόν Θεόν ἐν τῷ αἰῶνι τούτῳ νεκροί σαρκί, κρίνονται, θλίψεις καί βασάνους πολλάς καί στενοχωρίας ἔχοντες, καί διωγμούς, καί μυρία πειρασμῶν εἴδη μετά χαρᾶς ὑπομένοντες.

ξ'. Πᾶν πάθος κατά συμπλοκήν πάντως αἰσθητοῦ τινος καί αἰσθήσεως, καί φυσικῆς δυνάμεως, θυμοῦ λέγω τυχόν, ἤ ἐπιθυμίας, ἤ λόγου παρατραπέντος τοῦ κατά φύσιν, συνίσταται. Ἐάν οὖν τό πρός ἄλληλα κατά σύνθεσιν τέλος, τοῦ τε αἰσθητοῦ καί τῆς αἰσθήσεως, καί τῆς ἐπ᾽ αὐτῇ φυσικῆς δυνάμεως θεωρήσας ὁ νοῦς, δυνηθῇ πρός τόν οἰκεῖον φύσει λόγον, τούτων ἕκαστον διακρίνας ἐπαναγαγεῖν, καί θεωρῆσαι καθ᾽ ἑαυτό τό αἰσθητόν, ἄνευ τῆς πρός αὐτό τῆς αἰσθήσεως σχέσεως, καί τήν αἴσθησιν δίχα τῆς τοῦ αἰσθητοῦ πρός αὐτήν οἰκειότητος· καί τήν ἐπιθυμίαν φέρε εἰπεῖν, ἤ ἄλλην τινά τῶν κατά φύσιν δυνάμεων χωρίς τῆς ἐμπαθοῦς ἐπ᾽ αἰσθήσει τε καί αἰσθητῷ διαθέσεως· ὡς ἡ τοῦ πάθους ποιά παρασκευάζει τήν θεωρίαν γίνεσθαι κίνησις, διεσκέδασε καί ἐλέπτυνε, κατά τόν πάλαι τοῦ Ἰσραήλ μόσχον, τοῦ οἱοδήποτε συμβαίνοντος πάθους τήν σύστασιν, καί ὑπό τό ὕδωρ τῆς γνώσεως ἔσπειρεν, ἀφανίσας παντελῶς καί αὐτήν τῶν παθῶν τήν ψιλήν φαντασίαν, διά τῆς πρός ἑαυτά τῶν ἀποτελούντων αὐτό κατά φύσιν πραγμάτων ἀποκαταστάσεως.

ξα'. Ὁ πολλοῖς πλημμελήμασι τῶν ἐκ τῆς σαρκός παθημάτων κεκηλιδωμένος βίος, χιτών ἐστιν ἐσπιλωμένος. Ὡς ἔκ τινος γάρ ἐνδύματος τῆς κατά τόν βίον ἀναστροφῆς, ἕκαστος τῶν ἀνθρώπων διαφαίνεσθαι πέφυκεν, εἴτε δίκαιος, εἴτε ἄδικος· ὁ μέν, χιτῶνα καθαρόν ἔχων, τόν ἐνάρετον βίον· ὁ δέ, πονηροῖς ἐσπιλωμένην ἔργοις τήν ζωήν κεκτημένος. Ἤ μᾶλλον, ἐσπιλωμένος ἀπό τῆς σαρκός ἔστι χιτών, ἡ κατά συνείδησιν μορφοῦσα διά τῆς μνήμης τῶν (1204) ἐκ τῆς σαρκός πονηρῶν κινημάτων τε καί ἐνεργημάτων τήν ψυχήν, ἕξις τε καί διάθεσις, ἥν ὁρῶσα διαπαντός καθάπερ χιτῶνά τινα περί ἑαυτήν, δυσωδίας πληροῦται παθῶν. Ὡς γάρ ἀπό τοῦ πνεύματος, διά τῶν ἀρετῶν ἀλλήλαις κατά λόγον συνυφαινομένων, ἀφθαρσίας γίνεται τῇ ψυχῇ χιτών, ὅν ἐνδυσαμένη γίνεται καλή καί ἐπίδοξος· οὕτω καί ἀπό τῆς σαρκός, τῶν παθῶν ἀλλήλοις κατά ἀναλογίαν συνυφαινομένων, γίνεταί τις χιτών ἀκάθαρτος καί ἐσπιλωμένος, ἐξ ἑαυτοῦ δεικνύς γνώριμον τήν ψυχήν, μορφήν ἄλλην αὐτῇ καί εἰκόνα παρά τήν θείαν ἐνθέμενος.

ξβ'. Βεβαία πίστις ἐστί τῆς πρός ἐκθέωσιν ἐλπίδος τῇ φύσει τῶν ἀνθρώπων, ἡ τοῦ Θεοῦ ἐνανθρώπησις, τοσοῦτον θεόν ποιοῦσα τόν ἄνθρωπον, ὅσον αὐτός γέγονεν ἄνθρωπος. Ὁ γάρ χωρίς ἁμαρτίας γενόμενος ἄνθρωπος, δῆλον ὅτι χωρίς τῆς εἰς θεότητα μεταβολῆς, τήν φύσιν θεοποιήσει· καί τοσοῦτο ἀναβιβάσει δι᾽ ἑαυτόν, ὅσον αὐτός διά τόν ἄνθρωπον ἑαυτόν κατεβίβασεν. Ὅπερ μυστικῶς διδάσκων ἑαυτόν ὁ μέγας Ἀπόστολος, φησίν, ἐν τοῖς αἰῶσι τοῖς ἐπερχομένοις, τόν εἰς ἡμᾶς ὑπερβάλλοντα πλοῦτον τῆς τοῦ Θεοῦ χρηστότητος δειχθήσεσθαι.

ξγ'. Τοῦ μέν θυμοῦ καί τῆς ἐπιθυμίας ἐπιστατῶν ὁ λόγος, ποιεῖ τάς ἀρετάς· ὁ δέ νοῦς τοῖς λόγοις ἐπιβάλλων,τῶν γεγονότων τήν ἄπταιστον συλλέγεται γνῶσιν. Ὅταν οὖν ὁ λόγος μετά τήν τῶν ἀντικειμένων ἀποβολήν, εὕρῃ τό κατά φύσιν ἐραστόν, καί ὁ νοῦς μετά τήν τῶν γινωσκομένων διάβασιν λάβηται τῆς ὑπέρ οὐσίαν καί γνῶσιν τῶν ὄντων Αἰτίας, τηνικαῦτα τό τῆς θεώσεως κατά χάριν ἐπιγίνεται πάθος, τόν μέν λόγον ἀπάγον τῆς φυσικῆς διακρίσεως, ἔνθα τό διακρινόμενον οὐκ ἔστι· τόν δέ νοῦν καταπαῦον τῆς κατά φύσιν νοήσεως, ἔνθα μή ἔστι τό γινωσκόμενον, καί ποιοῦν τῇ κατά τήν στάσιν ταὐτότητι θεόν, τόν ἀξιούμενον τῆς θείας μεθέξεως.

ξδ'. Κατιωθεῖσαν τήν ψυχήν τῷ ῥύπῳ τῆς ἡδονῆς, ἀποκαθαίρει πόνος, καί ἀφηλοῖ παντελῶς αὐτῆς τήν σχέσιν τῶν ὑλικῶν, τῆς πρός αὐτά φιλίας τήν ζημίαν μεταμαθοῦσαν [al. μεταμαθούσης]· δι᾽ ἥν αἰτίαν ὁ Θεός συγχωρεῖ τῷ διαβόλῳ, κατά κρίσιν δικαίαν τούς ἀνθρώπους βασάνοις καταπιέζειν.

ξε'. Ἡδονή καί λύπη, ἐπιθυμία καί φόβος, καί τά τούτοις ἑπόμενα, τῇ φύσει τῶν ἀνθρώπων προηγουμένως οὐ συνεκτίσθη· ἐπεί καί εἰς τόν ὅρον ἄν συνετέλουν τῆς φύσεως. Λέγω δή παρά τοῦ (1205) Νυσαέως μεγάλου Γρηγορίου μαθών, ὅτι διά τήν τῆς τελειότητος ἔκπτωσιν, ἐπεισήχθη ταῦτα, τῷ ἀλογοτέρῳ μέρει προσφυέντα τῆς φύσεως· δι᾽ ὧν, ἀντί τῆς μακαρίας καί θείας εἰκόνος, εὐθύς ἅμα τῇ παραβάσει, διαφανής καί ἐπίδηλος ἐν τῷ ἀνθρώπῳ γέγονεν ἡ τῶν ἀλόγων ζώων ὁμοίωσις. Ἔδει γάρ τῆς ἀξίας τοῦ λόγου καλυφθείσης, ὑφ᾽ ὧν ἐπεσπάσατο τῆς ἀλογίας γνωρισμάτων, ἐνδίκως τήν φύσιν τῶν ἀνθρώπων κολάζεσθαι· σοφῶς εἰς συναίσθησιν τῆς λογικῆς μεγαλονοίας ἐλθεῖν οἰκονομοῦντος τοῦ Θεοῦ τόν ἄνθρωπον.

ξστ'. Καλά γίνεται καί τά πάθη ἐν τοῖς σπουδαίοις, ὁπηνίκα σοφῶς αὐτά τῶν σωματικῶν ἀποστήσαντες, πρός τήν τῶν οὐρανίων

μεταχειριζώμεθα κτῆσιν· οἷον, ὅτε τήν μέν ἐπιθυμίαν, τῆς νοερᾶς τῶν θείων ἐφέσεως ὀρεκτικήν ἐργασόμεθα κίνησιν· τήν ἡδονήν δέ, τῆς ἐπί τοῖς θείοις χαρίσμασι τοῦ νοῦ θελκτικῆς ἐνεργείας εὐφροσύνην ἀπήμονα· τό δέ φόβον, τῆς μελλούσης ἐπί πλημμελήμασι τιμωρίας προφυλακτικήν ἐπιμέλειαν· τήν δέ λύπη, διορθωτικήν ἐπί παρόντι κακῷ μεταμέλειαν. Καί συντόμως εἰπεῖν, κατά τούς σοφούς τῶν ἰατρῶν, σώματι φθαρτικοῦ θηρός τῆς ἐχίδνης, τήν οὖσαν ἤ μελετωμένην ἀφαιρουμένους λώβησιν, τοῖς πάθεσι τούτοις πρός ἀναίρεσιν χρώμενοι παρούσης κακίας ἤ προσδοκωμένης, καί κτῆσιν καί φυλακήν ἀρετῆς τε καί γνώσεως.

ξζ'. Ὁ μέν τῆς πρώτης Διαθήκης νόμος, διά τῆς πρακτικῆς φιλοσοφίας, παντός μολυσμοῦ τήν φύσιν ἀποκαθαίρει. Ὁ δέ τῆς Καινῆς, διά τῆς θεωρητικῆς μυσταγωγίας, ἀπό τῶν σωματικῶν πρός τά συγγενῆ τῶν νοητῶν θεάματα, τόν νοῦν γνωστικῶς ἀναβιβάζει.

ξη'. Ἡ θεία Γραφή, τούς μέν εἰσαγομένους, καί ἐπί τά προπύλαιά που τυγχάνοντας τῆς θείας αὐλῆς τῶν ἀρετῶν, φοβουμένους καλεῖ· τούς δέ κτησαμένους σύμμετρον ἕξιν τῶν κατ᾽ ἀρετήν λόγων τε καί τρόπων, οἶδεν ὀνομάζειν προκόπτοντας· τούς δέ κατ᾽ αὐτήν γνωστικῶς ἤδη γεγενημένους τῆς τῶν ἀρετῶν ἐκφαντικῆς ἀληθείας τήν κορυφήν, προσαγορεύει τελείους. Ὁ τοίνυν τήν ἐν τοῖς πάθεσιν ἀρχαίαν ἀναστροφήν ἀποστραφείς, καί πᾶσαν ἑαυτοῦ τήν διάθεσιν διά τόν φόβον ἐκδεδωκώς τοῖς θείοις προστάγμασιν, οὐδενός καλοῦ τῶν εἰσαγομένοις πρεπόντων καθυστερεῖ· κἄν οὔπω τήν ἐν ἀρεταῖς ἕξιν ἐκτήσατο, καί τῆς ἐν τοῖς τελείοις λαλουμένοις σοφίας γέγονε μέτοχος. Ἀλλ᾽ οὐδέ ὁ προκόπτων, τῶν ἐπιβεβλημένων αὐτοῦ (1208) τῷ βαθμῷ καλῶν τινος ὑστερεῖ· κἄν τήν αὐτήν οὔπω τοῖς τελείοις ὑπερέχουσαν τῶν θείων ἐκτήσατο γνῶσιν. Οἱ γάρ τέλειοι, τῆς θεωρητικῆς ἤδη μυστικῶς ἀξιωθέντες θεολογίας, καί πάσης φαντασίας ὑλικῆς τόν νοῦν καθαρόν καταστήσαντες, καί εἰκόνος τῆς θείας ὡραιότητος ὅλην ἀνελλιπῶς φέρουσαν τήν ἐκμίμησιν, τήν θείαν ἀγάπης ἐν ἑαυτοῖς ἐνστερνισάμενοι φαίνονται.

ξθ'. Διττός ἐστιν ὁ φόβος· ὁ μέν ἁγνός· ὁ δέ οὐχ ἁγνός. Ὁ μέν γάρ ἐπί πλημμελήμασι κατ᾽ ἐκδοχήν κολάσεως συνιστάμενος φόβος, αἰτίαν ἔχων τῆς οἰκείας γενέσεως τήν ἁμαρτίαν, οὐχ ἁγνός, οὐδέ ἔσται διαπαντός, τῇ ἁμαρτίᾳ διά τῆς μετανοίας συναφανιζόμενος. Ὁ δέ δίχα τῆς ἐπί πλημμελήμασι λύπης ἀεί συνεστώς, οὗτος φόβος ἁγνός, καί οὐκ ἀπογενήσεταί ποτε· διότιπερ οὐσιωδῶς ἐμπέφυκέ πως τῷ Θεῷ

πρός τήν κτίσιν, ποιούμενος ἔκδηλον αὐτοῦ πᾶσιν τήν φύσικήν αἰδεσιμότητα, τῆς ὑπέρ πᾶσαν βασιλείαν καί δύναμιν ὑπεροχῆς.

ο'. Ὁ μή φοβούμενος τόν Θεόν ὡς κριτήν, ἀλλ᾽ αἰδούμενος αὐτόν διά τήν ὑπερβάλλουσαν τῆς ἀπείρου δυνάμεως ὑπεροχήν, οὐκ ἔχει δικαίως ὑστέρημα, τέλειος ὑπάρχων ἐν τῇ ἀγάπῃ, μετ᾽ αἰδοῦς καί τῆς πρεπούσης σεβασμιότητος ἀγαπῶν τόν Θεόν· καί οὗτός ἐστιν ὁ κτησάμενος τόν διαμένοντα φόβον εἰς αἰῶνα αἰῶνος, καί οὐκ ἔστιν αὐτῷ ὑστέρημα τοπαράπαν οὐδέν.

οα'. Ἐκ τῶν ὄντων, τόν τῶν ὄντων γινώσκομεν αἴτιον· καί ἐκ τῆς διαφορᾶς τῶν ὄντων, τήν ἐνυπόστατον τοῦ ὄντος διδασκόμεθα σοφίαν· καί ἐκ τῆς τῶν ὄντων φυσικῆς κινήσεως, τήν ἐνυπόστατον τοῦ ὄντος μανθάνομεν ζωήν, τήν τῶν ὄντων ζωοποιόν δύναμιν, τό Πνεῦμα τό ἅγιον.

οβ'. Τό Πνεῦμα τό ἅγιον οὐδενός ἄπεστι τῶν ὄντων, καί μάλιστα τῶν λόγου καθ᾽ ὁτιοῦν μετειληφότων. Συνεκτικόν γάρ ὑπάρχει τῆς ἑκάστου γνώσεως, ὅτι Θεός καί Θεοῦ Πνεῦμα, κατά δύναμιν προνοητικῶς διά πάντων χωροῦν, καί τόν ἐν ἑκάστῳ λόγον κατά φύσιν ἀνακινοῦν, καί δι᾽ αὐτοῦ πρός συναίσθησιν τῶν πλημμελῶς παρά τόν θεσμόν τῆς φύσεως πεπραγμένων, ἄγον τόν αἰσθανόμενον· καί τήν προαίρεσιν εὔεικτον ἔχοντα, πρός ὑποδοχήν τῶν ἐκ φύσεως ὀρθῶν λογισμῶν. Διό καί πολλούς εὑρίσκομεν καί τῶν ἄγαν βαρβάρων καί νομάδων ἀνθρώπων, καλοκαγαθίας μεταποιουμένους, καί τούς ἀνέκαθεν κρατήσαντες ἐν αὐτοῖς θηριώδεις ἀθετοῦντας νόμους.

ογ'. (1209) Ἔστι μέν ἐν πᾶσιν ἁπλῶς τό Πνεῦμα τό ἅγιον, καθό πάντων ἐστί συνεκτικόν καί προνοητικόν, καί τῶν φυσικῶν σπερμάτων ἀνακινητικόν. Προσδιωρισμένως δέ, καί ἐν πᾶσι τοῖς ἐν νόμῳ, καθότι τῆς τῶν ἐντολῶν ἐστιν ὑπεοδεικτικόν παραβάσεως, καί τῆς κατά Χριστόν προαγορευθείσης ἐπαγγελίας, φωτιστικόν· ἐν δέ πᾶσι τοῖς κατά Χριστόν πρός τοῖς εἰρημένοις, καί ὡς υἱοθετικόν. Ὡς δέ σοφίας ποιητικόν, ἐν οὐδενί τῶν εἰρημένων ἐστίν ἁπλῶς, πλήν τῶν συνιέντων, καί ἑαυτούς διά τῆς ἐνθέου πολιτείας ἀξίους ποιησαμένων τῆς αὐτοῦ θεωτικῆς ἐνοικήσεως. Πᾶς γάρ μή ποιῶν τά θεῖα θελήματα, κἄν πιστός ᾖ, ἀσύνετον ἔχει τήν καρδίαν, ὡς πονηρῶν λογισμῶν ἐργαστήριον, καί τό σῶμα κατάχρεων ἁμαρτίαις, ὡς διαπαντός μολυσμοῖς παθῶν ἐνεχόμενον.

οδ'. Ὁ τῆς σωτηρίας ὀρεγόμενος πάντων ἀνθρώπων Θεός, καί πεινῶν αὐτῶν τήν ἐκθέωσιν, τήν τούτων οἴησιν ὡς τήν ἄκαρπον καταρώμενος ἀποξηραίνει συκῆν, ὅπως τοῦ δοκεῖν εἶναι δίκαιοι, τό εἶναι μᾶλλον προκρίνατες, τόν μέν καθ᾽ ὑπόκρισιν τῆς ἠθικῆς ἐπιδείξεως ἐκδυσάμενοι χιτῶνα, τόν ἐνάρετον δέ, καθώς ὁ θεῖος βούλεται λόγος, ἀνοθεύτως μετελθόντες βίον, εὐσεβῶς τήν ζωήν διενέγκωσι, Θεῷ μᾶλλον τῆς ψυχῆς τήν διάθεσιν, ἤ τοῖς ἀνθρώποις τόν ἐκτός ἐπιδεικνύμενοι περί τά ἤθη σχηματισμόν.

οε'. Ἕτερός ἐστιν ὁ τοῦ ποιεῖν, καί ἕτερος ὁ τοῦ πάσχειν λόγος· καί ὁ μέν τοῦ ποιεῖν λόγος ἐστίν, ἡ φυσική πρός ἀρετῶν ἐνέργειαν δύναμις· ὁ δέ τοῦ πάσχειν, ἤ χάρις τῶν ὑπέρ φύσιν, ἤ σύμβασις τῶν παρά φύσιν. Ὡς γάρ τοῦ ὑπερόντος φυσικήν οὐκ ἔχομεν δύναμιν, οὕτως οὔτε τοῦ μή ὄντος ἔχομεν φύσει τήν δύναμιν. Πάσχομεν οὖν ὡς ὑπέρ φύσιν οὖσαν κατά χάριν, ἀλλ᾽ οὐ ποιοῦμεν τήν θέωσιν· οὐ γάρ ἔχομεν φύσει δεκτικήν τῆς θεώσεως δύναμιν. Καί πάσχομεν πάλιν ὡς παρά φύσιν, γνώμῃ κατά σύμβασιν τήν κακίαν· οὐ γάρ ἔχομεν πρός γένεσιν κακίας φυσικήν δύναμιν. Ποιοῦμεν οὖν ἐνταῦθα φύσει ὄντες τάς ἀρετάς, πρός τό ταύτας ποιεῖν ἔχοντες φυσικήν τήν δύναμιν· πάσχομεν δέ κατά τό μέλλον τήν θέωσιν, τήν πρός τό παθεῖν ταύτην κατά δωρεᾶς χάριν δεχόμενοι.

οστ'. Ποιοῦμεν ἡμεῖς, ἐφ᾽ ὅσον τήν τε τῶν ἀρετῶν ποιητικήν φύσει λογικήν ἔχομεν δύναμιν ἐνεργουμένην· καί τήν πάσης γνώσεως δεκτικήν νοεράν ἀσχέτως δύναμιν, (1212) πᾶσαν τῶν ὄντων καί γινωσκομένων φύσιν διαβαίνουσαν, καί πάντας κατόπιν ἑαυτῆς τούς αἰῶνας ποιουμένην· πάσχομεν δέ, ἡνίκα τῶν ἐξ οὐκ ὄντων τούς λόγους τελείως περάσαντες, εἰς τήν τῶν ὄντων ἀγνώστως ἔλθωμεν Αἰτίαν, καί συγκαταπαύσωμεν τοῖς φύσει πεπερασμένοις τάς οἰκείας δυνάμεις, ἐκεῖνο γινόμενοι, ὅπερ τῆς κατά φύσιν δυνάμεως οὐδαμῶς ὑπάρχει κατόρθωμα· ἐπειδή τοῦ ὑπέρ φύσιν, ἡ φύσις καταληπτικήν οὐ κέκτηται δύναμιν· θεώσεως γάρ οὐδέν γενητόν κατά φύσιν ἐστί ποιητικόν, ἐπειδή μηδέ Θεοῦ καταληπτικόν· μόνης γάρ τῆς θείας χάριτος ἴδιον τοῦτο πέφυκεν εἶναι, τό ἀναλόγως τοῖς οὖσι χαρίζεσθαι θέωσιν· τῆς λαμπρυνούσης τήν φύσιν τῷ ὑπέρ φύσιν φωτί, καί τῶν οἰκείων ὅρων αὐτήν ὑπεράνω, κατά τήν ὑπερβολήν τῆς δόξης, ποιουμένης.

οζʹ. Τάς ἀρετάς ποιοῦντες, μετά τήνδε παυόμεθα τήν ζωήν· τήν δέ κατά χάριν ὑπέρ αὐτῶν οὐ παυόμεθα πάσχοντες θέωσιν. Τό γάρ ὑπέρ φύσιν, ἀνύπαρκτον, ὅτι καί ἀδρανές.

οηʹ. Τῶν θείων ἀγαθῶν τύποι, οἵ τε κατ᾽ ἀρετήν τρόποι, καί οἱ τῶν ὄντων λόγοι· οἷς ὁ Θεός διαπαντός ἄνθρωπος γίνεται, ὡς μέν σῶμα, τούς τρόπους ἔχων τῶν ἀρετῶν, ὡς δέ ψυχήν, τούς ἐν πνεύματι λόγους τῆς γνώσεως, οἷς τούς ἀξίους θεοποιεῖ, χαρακτῆρα διδούς ἀρετῆς ἐνυπόστατον, καί ἀπλανοῦς γνώσεως ἐνούσιον χαριζόμενος ὕπαρξιν.

οθʹ. Ὁ πιστός, κατά τόν ἅγιον Πέτρον, καί πρακτικός νοῦς, ὑπό Ἡρώδου κρατούμενος, τοῦ δερματίνου νόμου· δερμάτινος γάρ ὁ Ἡρώδης ἑρμηνεύεται, ὅπερ ἐστί τό φρόνημα τῆς σαρκός· ὑπό δύο συγκλείεται φυλακάς, καί μίαν πύλην σιδηρᾶν, πολεμούμενος ἔκ τε τῆς τῶν παθῶν ἐνεργείας, καί τῆς κατά διάνοιαν ἐπί τοῖς πάθεσι συγκαταθέσεως, ἅς τινας καθάπερ φυλακάς, ἤγουν εἱρκτάς, διά τοῦ λόγου τῆς πρακτικῆς φιλοσοφίας, ὡς δι᾽ ἀγγέλου διαπεράσας, ἔρχεται ἐπί τήν πύλην τήν σιδηρᾶν τήν φέρουσαν εἰς τήν πόλιν· τήν πρός τά αἰσθητά λέγω τῶν αἰσθήσεων, στεῤῥάν καί ἀπότομον καί δυσκαταμάχητον σχέσιν· ἥν ὁ τῆς φυσικῆς ἐν πνεύματι θεωρίας διανοίγων λόγος αὐτομάτην, πρός τά συγγενῆ νοητά λοιπόν ἀφόβως τόν νοῦν παραπέμπει τῆς Ἡρώδου μανίας ἐλεύθερον.

πʹ. (1213) Ὁ διάβολος καί ἐχθρός ἐστι τοῦ Θεοῦ, καί ἐκδικητής· ἐχθρός μέν, ὅταν ὡς μισῶν αὐτόν, δοκεῖ πως τήν ὀλέθριον κεκτῆσθαι πρός ἡμᾶς τούς ἀνθρώπους ἀγάπην, τοῖς τῶν ἑκουσίων παθῶν τρόποις, διά τῆς ἡδονῆς πείθων ἡμῶν τήν προαίρεσιν τῶν αἰωνίων ἀγαθῶν, προκρίνειν τά πρόσκαιρα· δι᾽ ὧν κλέπτων ὅλην τῆς ψυχῆς τήν ἔφεσιν, τῆς θείας παντελῶς ἀγάπης ἡμᾶς ἀφίστησιν, ἑκουσίους ἐχθρούς ποιῶν τοῦ ποιήσαντος· ἐκδικητής δέ, ὅταν γυμνώσας τό πρός ἡμᾶς μῖσος, ὡς ἤδη γενομένους αὐτῷ διά τήν ἁμαρτίαν ὑποχειρίους, ἐξαιτῆται τήν καθ᾽ ἡμῶν τιμωρίαν. Οὐδέν γάρ οὕτω φίλον τῷ διαβόλῳ καθέστηκεν, ὡς ἄνθρωπος τιμωρούμενος. Τοῦτο δέ συγχωρηθείς, τάς ἀπαλλήλους ἐπινοῶν τῶν ἀκουσίων παθῶν ἐπαγωγάς, λαίλαπος δίκην ἀπηνῶς ἐπιφέρεται τοῖς καθ᾽ ὧν ἐκομίσατο συγχωρήσει Θεοῦ τήν ἐξουσίαν· οὐ τό πρόσταγμα τό θεῖον ἐκπληρῶσαι βουλόμενος, ἀλλά τό οἰκεῖον τοῦ καθ᾽ ἡμῶν μίσους διαθρέψαι πάθος ἐπιθυμῶν· ἵνα τῷ πολλῷ βάρει τῶν ὀδυνηρῶν συμφορῶν, ἡ ψυχή δι᾽ ἀτονίαν ὀκλάσασα, τῆς θείας ἐλπίδος ἑαυτῆς περικόψῃ τήν δύναμιν, ἀντί

νουθεσίας, ἀθεΐας αἰτίαν ποιουμένη τήν τῶν ἀλγεινῶς συμβαινόντων ἐπαγωγήν.

πα'. Ὅταν οἱ τήν πρακτικήν ἕξιν, καί τήν θεωρητικήν ἐπιστήμην ἀπειληφότες, πρός τήν τῶν ἀνθρώπων ταύτας μετέρχωνται δόξαν, ἤθη μέν ἀρετῶν τῷ φαινομένῳ τρόπῳ σκιαγραφοῦντες· λόγους δέ σοφίας καί γνώσεως μόνον λαλοῦντες, δίχα τῶν κατά δικαιοσύνην ἔργων· καί τόν ὡς ἐπ᾽ ἀρετῇ καί γνώσει τοῖς ἄλλοις ἐπιδείκνυνται τύφον, εἰκότως πρέπουσι παραδίδονται πόνοις, διά τοῦ πάσχειν τήν ἀγνοηθεῖσαν αὐτοῖς ἐκ τῆς ματαίας οἰήσεως ταπεινοφροσύνην μεταμανθάνοντες.

πβ'. Ἕκαστος τῶν δαιμόνων κατά τήν ἐνδιαθέτως ὑποκειμένην ἐπιτηδειότητα, πρός τήνδε ἤ τήνδε τῶν πειρασμῶν τήν ἐπαγωγήν τυγχάνει λειτουργῶν· ἄλλος γάρ ἄλλης ἐστί ποιητικός κακίας, καί ἄλλος ἄλλους σαφῶς ἐστι μιαρώτερος, καί πρός τόδε μᾶλλον τῆς κακίας τό εἶδος ἐπιτηδειότερος.

πγ'. Ἄνευ τῆς θείας συγχωρήσεως, οὐδέ αὐτοί οἱ δαίμονες κατ᾽ οὐδέν ὑπουργεῖν δύνανται τῷ διαβόλῳ. Οἶδε γάρ αὐτός ὁ Θεός ὅπως μετά τής δεούσης φιλανθρώπου καί ἀγαθῆς προνοίας συγχωρεῖ τῷ διαβόλῳ διά τῶν αὐτοῦ ὑπουργῶν, τάς ἐφ᾽ οἷς ἡμάρτομεν, διαφόρους ποιεῖσθαι τιμωρίας· καί δηλοῖ τοῦτο σαφῶς, ἡ περί τοῦ Ἰώβ συγγραφή μή δυνάμενον τῷ Ἰώβ παντελῶς προσπελάσαι τόν διάβολον ἀναγραφομένη, δίχα τοῦ θείου βουλήματος.

πδ'. Ἐνυπόστατος πίστις ἐστίν, ἡ ἐνεργής καί ἔμπρακτος, καθ᾽ ἥν ὁ τοῦ Θεοῦ λόγος ἐν τοῖς πρακτικοῖς δείκνυται, ταῖς ἐντολαῖς σωματούμενος, (1216) δι᾽ ὧν ὡς Λόγος πρός τόν ἐν ᾧ κατά φύσιν ἐστίν, ἀνάγει Πατέρα τούς πράττοντας.

πε'. Ζωῆς μετάθεσιν καί λατρείαν ἀγγελικήν, καί πρός σῶμα ψυχῆς ἑκούσιον ἀλλοτρίωσιν, καί τῆς ἐν πνεύματι θείας μεταποιήσεως γένεσιν, τό τῆς Νέας Διαθήκης καταγγέλλει μυστήριον. Πνευματικήν δέ περιτομήν ὁ λόγος οἶδε καλεῖν, τήν τῆς ἐμπαθοῦς σχέσεως πρός σῶμα τῆς ψυχῆς ἐκτομήν.

πστ'. Ἀγαθός ὑπάρχων ὁ Θεός, καί θέλων ἡμῶν ἐκτῖλαι παντελῶς τό τῆς κακίας σπέρμα τήν ἡδονήν, τήν τόν νοῦν τῆς θείας ἀποσυλήσασαν ἀγάπης, συγχωρεῖ τῷ διαβόλῳ πόνους ἡμῖν καί τιμωρίας ἐπαγαγεῖν· κατά ταὐτόν καί τῆς προλαβούσης ἡδονῆς τόν ἰόν, διά τῶν πόνων τῆς ψυχῆς ἀποξέων, καί πρός τά παρόντα καί μόνην τήν αἴσθησιν σαίνοντα, μῖσος ἡμῖν καί τελείαν ἀποδιάθεσιν, ὡς

μηδέν τιμωρίας πλέον εἰς κέρδος κεκτημένα κατά τήν χρῆσιν, ἐμποιῆσαι βουλόμενος, καί τήν ἐκείνου τιμωρόν δύναμιν καί μισάνθρωπον, τῆς πρός ἀρετήν ἐπαναγωγῆς περιστατικήν αἰτίαν ποιήσασθαι τῶν αὐτῆς ἑκουσίως ἀπολισθησάντων.

πζ'. Πρέπον ἐστί καί δίκαιον ὑπό τοῦ διαβόλου κολάζεσθαι, τούς τάς αὐτοῦ πονηράς ὑποθήκας τῶν ἑκουσίων ἁμαρτημάτων ἡδέως δεξαμένους. Καί γάρ καί ἡδονῆς ἐστι διά τῶν ἑκουσίων παθῶν σπορεύς ὁ διάβολος, καί ὀδύνης διά τῶν ἀκουσίων ἐπαγωγεύς.

πη'. Ὁ θεωρητικός νοῦς καί γνωστικός, πρός τιμωρίαν ἐκδίδοται διά τοῦτο πολλάκις τῷ διαβόλῳ, πόνους αὐτῷ δικαίως ἐπάγοντι καί συμφοράς, ἵνα μάθῃ πάσχων περί καρτερίας μᾶλλον καί πόνων ὑπομονῆς φιλοσοφεῖν, ἤ διακενῆς τοῖς οὐκ οὖσιν ὑπερηφάνως ἐμματαιάζειν.

πθ'. Ὁ πάσχων ὑπό χάριτος [ fort. ὑπέρ θείας ἐντολῆς] Θεοῦ παραβαθείσης, ἐάν ἐπιγνῶ τῆς ἰωμένης αὐτόν θείας προνοίας τόν λόγον τήν τε συμφοράν εὐχαρίστως δέχεται χαίρων, καί τήν ὑπέρ ἧς παιδεύεται διορθοῦται πλημμέλειαν· ὁ δέ ταύτης ἀναισθητῶν τῆς ἰατρείας, τῆς τε δοθείσης ἐνδίκως ἀπάγεται χάριτος καί τῇ συγχύσει τῶν παθῶν παραδίδοται, πρός τήν πρᾶξιν ἐλθεῖν καταλιμπανόμενος, ὧν ἐνδιαθέτως εἶχε τήν ἔφεσιν.

τέσσ. ἀνοικ. '. Πᾶς ἀνεχόμενος ἑκουσίως ἐκ τῆς τῶν αὐτῷ πεπραγμένων συναισθήσεως, δέξασθαι τάς ἐπιπόνους τῶν ἀκουσίων ἐπιφοράς πειρασμῶν, μετά τῆς δεούσης εὐχαριστίας, οὐκ ἐξοικίζεται τῆς κατ᾽ ἀρετήν ἕξεώς τε καί χάριτος, ὡς ὑπελθών ἑκουσίως τόν ζυγόν βασιλέως Βαβυλῶνος, καί ὡς χρέος ἀποτιννύς, τάς τῶν βασάνων ἐπιφοράς καταδεχόμενος· ἀλλ᾽ ἐν αὐταῖς μένων, τελεῖ τῷ μέν βασιλεῖ Βαβυλῶνος, τούς ἐκ τοῦ παθητοῦ τῆς φύσεως βιαίους πόνους, καί τήν ἐπ᾽ αὐτοῖς, (1217) κατά διάνοιαν ὡς ὀφειλέτης αὐτῶν διά τάς προλαβούσας πλημμελίας, συγκατάθεσιν· τῷ δέ Θεῷ, προσφέρων διά λατρείας ἀληθινῆς, τῆς ταπεινῆς λέγω διαθέσεως, τήν τῶν παρημελημένων διόρθωσιν.

τέσσ. ἀνοικ. α'. Ὁ τήν κατά συγχώρησιν Θεοῦ πρός διόρθωσιν ἐπαγομένην αὐτῷ διά τῶν ἀκουσίων πειρασμῶν συμφοράν, εὐχαρίστως μή καταδεχόμενος καί τήν ἐπί τῷ δοκεῖν δίκαιος εἶναι, μεταγνούς, οὐκ ἀποτιθέμενος οἴησιν, ὡς τοῖς θείοις τῶν δικαίων κριμάτων ἀντιπίπτων θεσπίσματα, καί μή καταδεχόμενος ἑκουσίως ὑπό τόν ζυγόν γενέσθαι τοῦ βασιλέως Βαβυλῶνος κατά τήν θείαν

διαταγήν, εἰς αἰχμαλωσίαν παραδίδοται· καί κλοιούς καί δεσμά καί λοιμόν καί θάνατον καί μάχαιραν, καί τῆς ἰδίας παντελῶς ἀποικίζεται γῆς. Πάντα γάρ ταῦτα, καί τούτων πλείονα, ὁ τῆς κατ᾿ ἀρετήν καί γνῶσιν ὡς ἰδίας τῆς ἐξοικιζόμενος ἕξεως πάσχει· διά τό μή θέλειν αὐτόν ἐξ ὑπερηφανίας καί ματαίας οἰήσεως τάς ἐφ᾿ οἷς ἐπλημμέλησεν ἐκτιννύς δίκας, ἐν θλίψεσιν εὐδοκῆσαι καί ἀνάγκαις καί στενοχωρίαις κατά τόν θεῖον Ἀπόστολον. Ἤδει γάρ ὁ μέγας Ἀπόστολος, φυλακτικήν τῶν θείων κατά ψυχήν θησαυρῶν ὑπάρχουσαν, τήν ἐκτός περί τό σῶμα συνισταμένην διά τῶν πόνων ταπείνωσιν· καί διά τοῦτο στέργων ὑπέμενε, καί διά ἑαυτόν, καί τούς οἷς ἀρετῆς καί πίστεως προέκειτο τύπος· ἵνα κἄν ὡς ὑπεύθυνοι πάσχωσι κατά τόν ἐπιτιμηθέντα Κορίνθιον, εἰς παρηγορίαν ἔχωσι καί ὑπομονῆς μίμησιν τόν ἀνευθύνως πάσχοντα.

τέσσ. ἀνοικ. β'. Ὁ μή τοῖς σχήμασι τῶν ὁρατῶν ἐναπομένων διά τήν αἴσθησιν, ἀλλά κατά νοῦν τούς λόγους αὐτῶν ἀναζητῶν, ὡς νοητῶν τύπους ἤ λόγους αἰσθητῶν θεώμενος κτισμάτων, οὐδέν ἀκάθαρτον εἶναι τῶν ὁρωμένων διδάσκεται· πάντα γάρ φύσει καλά λίαν καθέστηκεν.

τέσσ. ἀνοικ. γ'. Ὁ τῇ κινήσει τῶν αἰσθητῶν μή συναλλοιούμενος, ἀκίβδηλον τήν τῶν ἀρετῶν μετέρχεται πρᾶξιν. Ὁ δέ τοῖς αὐτῶν σχήμασι μή διατυπώσας τόν νοῦν, τήν ἀληθῆ τῶν ὄντων ἀπείληφε δόξαν. Ὁ δέ καί αὐτήν τήν οὐσίαν τῶν ὄντων τῇ διανοίᾳ παραδραμών, ὡς ἄριστος θεολόγος, μετά ταύτην ἀγνώστως τῇ μονάδι προσέβαλε.

τέσσ. ἀνοικ. δ'. Πᾶς θεωρητικός νοῦς, ἔχων τήν μάχαιραν τοῦ πνεύματος, ὅ ἐστι ῥῆμα Θεοῦ, ἐν ἑαυτῷ τῆς φαινομένης κτίσεως ἀποκτείνας τήν κίνησιν, κατώρθωσεν ἀρετήν· καί τῶν αἰσθητῶν σχημάτων ἑαυτοῦ τήν φαντασίαν ἀποτεμών, τήν ἐν τοῖς λόγοις τῶν (1220) ὄντων εὗρεν ἀλήθειαν, καθ᾿ ἥν φυσική θεωρία συνέστηκε· καί τῆς οὐσίας τῶν ὄντων ὑπεράνω γενόμενος, τόν τῆς θείας καί ἀμάχου μονάδος δέχεται φωτισμόν, καθ᾿ ὅν τῆς ἀληθοῦς θεολογίας συνέστηκε τό μυστήριον.

τέσσ. ἀνοικ. ε'. Ἑκάστῳ κατά τήν ὑποκειμένην αὐτῷ περί Θεοῦ δόξαν, ὁ Θεός ἐμφανίζεται· τοῖς μέν κατ᾿ ἔφεσιν τήν ὑλικήν περάσασι σύνθεσιν, καί τάς δυνάμεις τῆς ψυχῆς ἰσοδυναμούσας ἀλλήλαις κεκτημένοις κατά μίαν καί τήν αὐτήν ἀεικινησίαν περί Θεόν, ὡς μονάς ἐκφαίνεται καί Τριάς, ἵνα καί τήν οἰκείαν ὕπαρξιν παραδείξειε, καί τόν αὐτῆς τρόπον μυστικῶς ἐκδιδάξειε. Τοῖς δέ περί μόνην τήν

ὑλικήν σύνθεσιν ἔχουσι κινουμένην τήν ἔφεσιν, καί ἀλλήλαις ἀσυνδέτους τάς τῆς ψυχῆς δυνάμεις κεκτημένοις, οὐχ ὡς ἔστιν, ἀλλ᾽ ὡς εἰσίν ἐμφανίζεται, δεικνύς ὅτι τῆς ὑλικῆς δυάδος ἀμφοῖν ἐπελάβοντο ταῖν χεροῖν· καθ᾽ ἥν ὁ σωματικός, ὡς ἐξ ὕλης καί εἴδους, συνέστηκε κόσμος.

τέσσ. ἀνοικ. στ'. Ὁ θεῖος Ἀπόστολος, τάς διαφόρας ἐνεργείας τοῦ ἑνός ἁγίου Πνεύματος, χαρίσματα λέγει διάφορα, ὑφ᾽ ἑνός δηλονότι καί τοῦ αὐτοῦ ἐνεργούμενα Πνεύματος. Εἰ τοίνυν κατά τό μέτρον τῆς ἐν ἑκάστῳ πίστεως δίδοται ἡ φανέρωσις τοῦ Πνεύματος ἐν τῇ μετοχῇ τοῦ τοιοῦδε χαρίσματος, ἕκαστος τῶν πιστῶν δηλονότι κατά τήν ἀναλογίαν τῆς πίστεως, καί τῆς ὑποκειμένης αὐτῷ κατά ψυχήν διαθέσεως, συμμεμετρημένην δέχεται τοῦ Πνεύματος τήν ἐνέργειαν, χαριζομένην αὐτῷ τῆσδε ἤ τῆσδε τῆς ἐντολῆς τήν ἁρμόζουσαν πρός ἐνέργειαν ἕξιν.

τέσσ. ἀνοικ. ζ'. Ὥσπερ ὁ μέν λαμβάνει λόγον σοφίας, ὁ δέ λόγον γνώσεως, ἕτερος δέ, πίστεως, καί ἄλλος ἄλλο τι τῶν ἀπηριθμημένων τῷ μεγάλῳ Ἀποστόλῳ χαρισμάτων τοῦ Πνεύματος· οὕτως ὁ μέν δέχεται διά τοῦ Πνεύματος χάρισμα τῆς τελείας καί ἀμέσου πρός Θεόν καί μηδέν ἐχούσης ὑλικόν ἀγάπης, κατά τήν ἀναλογίαν τῆς πίστεως· ἕτερος δέ διά τοῦ αὐτοῦ Πνεύματος, τῆς τελείας ἀγάπης πρός τόν πλησίον χάρισμα· ἄλλος δέ ἄλλο τι, κατά τό αὐτό Πνεῦμα, ὡς ἔφην, ἔχοντος ἑκάστου ἐνεργούμενον τό οἰκεῖον χάρισμα. Πᾶσαν γάρ ἐντολῆς ἕξιν ἐνεργουμένην, Πνεύματος εἶναι χάρισμα λέγει.

τέσσ. ἀνοικ. η'. Τό τοῦ Κυρίου βάπτισμά ἐστιν, ἡ παντελής πρός τόν αἰσθητόν κόσμον τῆς προαιρέσεως ἡμῶν νέκρωσις· τό δέ ποτήριον, καί αὐτῆς ἡμῶν τῆς παρούσης ζωῆς ὑπέρ ἀληθείας καθέστηκεν ἄρνησις.

τέσσ. ἀνοικ. θ'. Τό τοῦ Κυρίου βάπτισμα, τῶν ὑπέρ ἀρετῆς κατά πρόθεσιν ἑκουσίων καί ἡμετέρων πόνων, τύπος ὑπάρχει· δι᾽ ὧν τάς κατά συνείδησιν ἀποῤῥύπτοντες κηλῖδας, τόν πρός τά φαινόμενα τῆς προαιρέσεως ἑκούσιον καταδεχόμεθα θάνατον· τό δέ ποτήριον, τῶν ἐκ περιστάσεως παρά προαίρεσιν ἐπανισταμένων ἡμῶν ὑπέρ τῆς ἀληθείας ἀκουσίων πειρασμῶν τύπος ἐστί· (1221) δι᾽ ὧν καί αὐτῆς προκρίνοντες τόν θεῖον πόθον τῆς φύσεως, ἑκόντες τόν περιστατικόν ὑπερχόμεθα τῆς φύσεως θάνατον.

ρ'. Ταύτην ἔχει τήν διαφοράν τό βάπτισμα πρός τό ποτήριον· ὅτι τό μέν βάπτισμα, ὑπέρ ἀρετῆς πρός τά ἡδέα τοῦ βίου νεκράν ἐργάζεται

τήν προαίρεσιν· τό δέ ποτήριον, τήν ἀλήθειαν καί αὐτῆς προκρίνειν πείθει τῆς φύσεως τούς εὐσεβεῖς.

***ΕΚΑΤΟΝΤΑΣ ΔΕΥΤΕΡΑ.***

α'. Πρότερον τοῦ βαπτίσματος ἔθετο τό ποτήριον, ὅτι διά τήν ἀλήθειάν ἐστιν ἡ ἀρετή, ἀλλ᾽ οὐ διά τήν ἀρετήν ἡ ἀλήθεια. Ὅθεν ὁ διά τήν ἀλήθειαν πράττων τήν ἀρετήν, κενοδοξίας οὐ τιτρώσκεται βέλεσιν· ὁ δέ τήν ἀλήθειαν ἀρετῆς ἕνεκεν ἐπιτηδεύων, σύνοικον ἔχει τῆς κενοδοξίας τήν οἴησιν.

β'. Ἀλήθειαν μέν εἶναι λέγει, τήν θείαν γνῶσιν· ἀρετήν δέ, τούς ὑπέρ ἀληθείας τῶν ἐφιεμένων αὐτῆς ἀγῶνας. Ὁ τοίνυν γνώσεως ἕνεκεν, ἀρετῆς ὑπομένων πόνους, οὐ κενοδοξεῖ, γινώσκων ἀπερίληπτον εἶναι φύσει τοῖς πόνοις τήν ἀλήθειαν· τοῖς δευτέροις γάρ οὐ περιγράφεται φύσει τό πρῶτον. Ὁ δέ τήν γνῶσιν διά τούς ὑπέρ αὐτῆς ἀγῶνας ἐπιτηδεύων, πάντως κενόδοξος ὡς εἰληφέναι δοκῶν τούς στεφάνους πρό τῶν ἱδρώτων· οὐκ εἰδώς ὅτι διά τούς στεφάνους οἱ πόνοι, ἀλλ᾽ οὐ διά τούς πόνους οἱ στέφανοι· φύσει γάρ ἀμελέτητος πᾶσα καθέστηκε μέθοδος, τοῦ δι᾽ ὅ πέφυκεν ἐξανυσθέντος, ἤ ἀνυσθῆναι δόξαντος.

γ'. Ὁ μόνον τῆς γνώσεως τήν μορφήν, ὅπερ ἐστίν ὁ ψιλός λόγος· καί ὁ τήν εἰκόνα τῆς ἀρετῆς, ὅπερ ἐστί τό ψιλόν ἦθος, ἐπιτηδεύων, Ἰουδαῖός ἐστι καί αὐτός ἀληθείας τύποις φυσιούμενος.

δ'. Ὁ πᾶσαν τήν φαινομένην τοῦ νόμου λατρείαν μή κατ᾽ αἴσθησιν ὁρῶν, ἀλλά ταῖς κατά νοῦν ἐφόδοις ἕκαστον τῶν ὁρωμένων συμβόλων διασκοπήσας, τόν ἐν ἑκάστῳ κεκρυμμένον θεοτελῆ Λόγον ἐκδιδασκόμενος, ἐν τῷ νόμῳ τόν Θεόν εὑρίσκει, καλῶς ψηλαφῶν διά τῆς νοερᾶς δυνάμεως ὡς ἐν φορυτῷ, τῇ ὕλῃ τῶν νομικῶν διατάξεων, εἴ που κεκρυμμένον εὕροι τῇ σαρκί τοῦ νόμου τόν τήν αἴσθησιν διαφεύγοντα παντελῶς μαργαρίτην Λόγον.

ε'. Καί ὁ τήν φύσιν δέ τῶν ὁρωμένων μή τῇ αἰσθήσει μόνῃ περιγράφων, ἀλλά κατά νοῦν σοφῶς τόν (1224) ἐν ἑκάστῳ κτίσματι λόγον ἐρευνώμενος, εὑρίσκει Θεόν, ἀπό τῆς προβεβλημένης τῶν ὄντων μεγαλουργίας, τήν αὐτῶν τῶν ὄντων διδασκόμενος αἰτίαν.

στ'. Ἐπειδή τοίνυν ἴδιον τοῦ ψηλαφῶντος ἡ διάκρισίς ἐστιν· ὁ τά νομικά σύμβολα γνωστικῶς ἐπερχόμενος, καί τήν φαινομένην τῶν ὄντων φύσιν ἐπιστημονικῶς θεώμενος, διακρίνων τήν Γραφήν καί τήν

κτίσιν καί ἑαυτόν, τήν μέν Γραφήν, εἰς γράμμα καί πνεῦμα· τήν δέ κτίσιν, εἰς λόγον καί ἐπιφάνειαν· ἑαυτόν δέ, εἰς νοοῦν καί αἴσθησιν· καί τῆς μέν Γραφῆς, τό πνεῦμα· τῆς δέ κτίσεως, τόν λόγον· ἑαυτοῦ δέ, τόν νοῦν λαβών, καί ἀλλήλοις ἀλύτως ἑνώσας, εὗρε Θεόν· ὡς ἐπιγνούς καθώς δεῖ, καί δυνατόν ἐστι, τόν Θεόν, τόν ἐν Νῷ καί Λόγῳ καί Πνεύματι· πάντων τῶν πλανώντων καί εἰς μυρίας δόξας κατασυρόντων ἀπαλλαγείς, λέγω δέ γράμματος καί ἐπιφανείας καί αἰσθήσεως, ἐν οἷς ἡ διάφορος ὑπάρχει ποσότης, καί τῆς μονάδος ἀντίθετος. Εἰ δέ τό γράμμα τοῦ νόμου, καί τήν τῶν ὁρωμένων ἐπιφάνειαν καί τήν οἰκείαν αἴσθησιν ἀλλήλοις τις προσπλέξας συμφύρῃ, τυφλός ἐστι μυωπάζων, τήν τῆς Αἰτίας τῶν ὄντων ἀγνωσίαν νοσῶν.

ζ'. Ὁ θεῖος καί μέγας Ἀπόστολος, τί ἐστι πίστις ὁρίζων, φησί· Πίστις ἐστίν, ἐλπιζομένων ὑπόστασις, καί πραγμάτων ἔλγχος οὐ βλεπομένων. Εἰ δέ τις καί ἐνδιάθετον αὐτήν ἀγαθόν ὁρίσαιτο, ἤ γνῶσιν ἀληθῆ τῶν ἀποῤῥήτων ἀγαθῶν ἀποδεικτικήν, τῆς ἀληθείας οὐ διήμαρτεν.

η'. Ἡ πίστις, δύναμίς ἐστι σχετική, ἤ σχέσις δραστική τῆς ὑπέρ φύσιν ἀμέσου τοῦ πιστεύοντος πρός τόν πιστευόμενον Θεόν, τελείας ἑνώσεως.

θ'. Ἐπειδή τοίνυν ὁ ἄνθρωπος ἐκ ψυχῆς ὑπάρχων καί σώματος, δυσί σαλεύεται νόμοις, σαρκός λέγω καί πνεύματος· καί ὁ μέν τῆς σαρκός νόμος, κατά τήν αἴσθησιν· ὁ δέ τοῦ πνεύματος, κατά τόν νοῦν κέκτηται τήν ἐνέργειαν· καί ὁ μέν τῆς σαρκός ὕλῃ συνδεῖν πέφυκε, κατά τήν αἴσθησιν ἐνεργούμενος, πρός τόν Θεόν ἀμέσως ποιεῖται τήν ἕνωσιν· εἰκότως Ὁ μή διακριθείς ἐν τῇ καρδίᾳ αὐτοῦ· τουτέστιν, ἐν τῷ νοΐ μή διακρίνας, ἤγουν διατεμών τήν διά τῆς πίστεως πρός τόν Θεόν γεγενημένην ἄμεσον ἕνωσιν, ὡς ἀπαθής, μᾶλλον δέ θεός ἤδη διά τῆς πίστεως τῇ ἑνώσει γεγενημένος, ἐρεῖ τῷ ὄρει τούτῳ μεταβῆναι, καί μεταβήσεται· (1225) δεικτικῶς διά τοῦ τοῦτο φάναι, τό φρόνημα καί τόν νόμον δηλῶν τῆς σαρκός, τόν βαρύν ὄντως καί δυσμετακίνητον, καί ὅσον πρός δύναμιν φυσικήν, παντελῶς ἀκίνητον καί ἀσάλευτον.

ι'. Τοσοῦτον ἐῤῥίζωται τῇ φύσει τῶν ἀνθρώπων διά τῆς ασθήσεως ἡ τῆς ἀλογίας δύναμις, ὥστε τούς πολλούς μηδ᾿ ἄλλο τι νομίζειν εἶναι τόν ἄνθρωπον, ἤ σάρκα, δύναμιν πρός ἀπόλαυσιν τῆς παρούσης ζωῆς τήν αἴσθησιν ἔχουσαν.

ια'. Πάντα, φησί, δυνατά τῷ πιστεύοντι, καί μή διακρινομένῳ, τουτέστι μή διαιρουμένῳ τῆς κατά νοῦν διά πίστεως γεγενημένης αὐτῷ πρός τόν Θεόν ἑνώσεως, διά τήν πρός τό σῶμα τῆς ψυχῆς κατά τήν αἴσθησιν σχέσιν· ὅσα κόσμου καί σαρκός τόν νοῦν ἀλλοτριοῖ· Θεῷ δέ προσοικειοῖ, τετελειωμένον τοῖς κατορθώμασι. Τοῦτο γάρ προσυπακουστέον τῷ, Πάντα δυνατά τῷ πιστεύοντι.

ιβ'. Ἡ πίστις ἀναπόδεικτος γνῶσίς ἐστιν. Εἰ δέ γνῶσίς ἐστιν ἀναπόδεικτος, ἄρα σχέσις ἐστίν ὑπέρ φύσιν ἡ πίστις, δι᾿ ἧς ἀγνώστως, ἀλλ᾿ οὐκ ἀποδεικτικῶς ἑνούμεθα τῷ Θεῷ κατά τήν ὑπέρ νόησιν ἕνωσιν.

ιγ'. Τήν ἄμεσον λαβών ἕνωσιν πρός τόν Θεόν ὁ νοῦς, τήν τοῦ νοεῖν καί νοεῖσθαι παντελῶς δύναμιν ἔχει σχολάζουσαν. Ὁπηνίκα γοῦν ταύτην λύσει, νοήσας τι τῶν μετά Θεόν, διεκρίθη, τεμών τήν ὑπέρ νόησιν ἕνωσιν, καθ᾿ ἥν ἕως ἐστί τῷ Θεῷ συνημμένος, ὡς ὑπέρ φύσιν καί τῇ μεθέξει Θεός γεγενημένος, καθάπερ ὅρος ἀκίνητον, ἑαυτοῦ τόν τῆς φύσεως μετατίθησι νόμον.

ιδ'. Ὁ πρός εὐσέβειαν εἰσαγόμενος, περί τῶν ἔργων διδασκόμενος τῆς δικαιοσύνης, τήν πρᾶξιν μόνην ἐπιτελεῖ, μετά πάσης ὑπακοῆς καί πίστεως, καθάπερ σάρκας ἐσθίων τῶν ἀρετῶν τά φαινόμενα, τήν ἠθικήν δηλονότι παιδαγωγίαν· τούς δέ τῶν ἐντολῶν λόγους, ἐν οἷς ἡ τῶν τελείων ὑπάρχει γνῶσις, τῷ Θεῷ παραχωρεῖ διά τῆς πίστεως, μή δυνάμενος συνεπεκταθῆναι τέως τῷ μήκει τῆς γνώσεως.

ιε'. Ὁ τέλειος, οὐ μόνον τήν τῶν εἰσαγομένων τάξιν, ἀλλά καί τήν τῶν προκοπτόντων διαδραμών, οὐκ ἀγνοεῖ τῶν ὑπ᾿ αὐτοῦ κατ᾿ ἐντολήν γινομένων τούς λόγους, ἀλλ᾿ ἐκείνους πνεύματι πρῶτον διαπιών, πᾶσαν ἐσθίει διά τῶν ἔργων τήν σάρκα τῶν ἀρετῶν, (1228) πρός τήν κατά νοῦν γνῶσιν ἀναβιβάζων, τήν τῶν γινομένων κατ᾿ αἴσθησιν κίνησιν.

ιστ'. Ὁ Κύριος εἰπών, Ζητεῖτε πρῶτον τήν βασιλείαν τοῦ Θεοῦ, καί τήν δικαιοσύνην αὐτοῦ· τουτέστι, πρό πάντων τήν ἐπίγνωσιν τῆς ἀληθείας, καί οὕτω τήν τῶν καθηκόντων τρόπων ἐξάσκησιν· σαφῶς ἔδειξε, περί μόνης τῆς θείας γνώσεως δεῖν ζητεῖν τούς πιστεύοντας, καί τῆς αὐτήν κοσμούσης διά τῶν ἔργων ἀρετῆς.

ιζ'. Ἐπειδή πολλά τυγχάνει τά πρός γνῶσιν Θεοῦ καί ἀρετήν ζητούμενα τοῖς πιστεύουσιν, ἀπαλλαγή παθῶν, ὑπομονήν πειρασμῶν, ἀρετῶν λόγοι, τρόποι ἐνεργειῶν, ἐξήλωσις τῆς πρός σάρκα τῆς ψυχῆς διαθέσεως, ἀποξένωσις τῆς πρός τά αἰσθητά τῆς

αἰσθήσεως σχέσεως, τοῦ νοῦ παντελής ἀπό πάντων τῶν γεγονότων ἀναχώρησις. Καί ἁπλῶς μυρία ἄλλα εἰσί,τά πρός ἀποχήν μέν κακίας καί ἀγνωσίας, κατόρθωσιν δέ γνώσεως καί ἀρετῆς· εἰκότως ὁ Κύριος ἔφησεν, Πάντα ὅσα ἄν αἰτῆσθε πιστεύοντες, λήψεσθε· πάντα ἁπλῶς, τά πρός ἐπίγνωσιν Θεοῦ καί ἀρετήν συντείνοντα μόνα καί ζητεῖν καί αἰτεῖν μετ᾽ ἐπιστήμης καί πίστεως δεῖν εἰπών τούς εὐσεβεῖς. Ταῦτα γάρ πάντα συμφέρει, καί πάντως δίδωσιν αὐτά τοῖς αἰτοῦσιν ὁ Κύριος.

ιη'. Ὁ τοίνυν διά μόνην τήν πίστιν, ἤγουν τήν πρός Θεόν ἄμεσον ἕνωσιν, πάντα ζητῶν τά πρός τήν ἕνωσιν, πάντως λήψεται· ὁ δέ ταύτης δίχα τῆς αἰτίας, κἄν ἄλλα, κἄν τά προειρημένα ζητῇ, οὐ λήψεται. Οὐ γάρ πιστεύει, ἀλλ᾽ οἰκείαν ὡς ἄπιστος διά τῶν θείων πραγματεύεται δόξαν.

ιθ'. Ὁ γνώμῃ τῆς καθ᾽ ἁμαρτίαν καθαρεύων φθορᾶς, φθείρει τήν τῶν φθείρειν πεφυκότων φθοράν. Ἡ γάρ ἀφθαρσία τῆς προαιρέσεως, τήν φθοράν συντηρεῖν τῆς φύσεως πέφυκεν ἄφθαρτον, κατά πρόνοιαν, διά τῆς ἐν αὐτῇ τοῦ Πνεύματος χάριτος, μή συγχωροῦσα ταῖς ἐναντίαις ποιότησιν αὐτήν διαφθείρεσθαι.

κ'. Ἐπειδή φύσεως καί χάριτος εἷς καί ὁ αὐτός οὐκ ἔστι λόγος, οὐκ ἔστιν ἀπορίας ἄξιον, πῶς τινες τῶν ἁγίων, ποτέ μέν παθῶν ὑπερεῖχον, ποτέ δέ μᾶλλον ὑπέπιπτον πάθεσι· γινωσκόντων ἡμῶν, ὅτι τό μέν θαῦμα, τῆς χάριτος ἦν· τό δέ πάθος, τῆς φύσεως.

κα'. Ὁ διά μιμήσεως τήν μνήμην ἔχων τῆς τῶν ἁγίων ἀναστροφῆς, τήν μέν τῶν παθῶν ἀποτίθεται νέκρωσιν· τήν δέ τῶν ἀρετῶν ζωήν ὑποδέχεται.

κβ'. Ὧι τρόπῳ βούλεται ὁ τήν ἑκάστου διορίσας ζωήν πρό τῶν αἰώνων Θεός, ἕκαστον πρός τό οἰκεῖον τῆς ζωῆς ἄγει τέλος, εἴτε δίκαιον, εἴτε ἄδικον.

κγ'. Τόν τῷ μακαρίῳ Παύλῳ συμβάντα ζοφερόν χειμῶνα, τό βάρος εἶναι τῶν ἀκουσίων πειρασμῶν τεκμαίρομαι· τήν δέ νῆσον, τήν παγίαν ἕξιν τῆς θείας ἐλπίδος καί ἄσειστον· (1229) τήν δέ πυράν τήν ἕξιν τῆς γνώσεως· τά δέ φρύγανα, τήν τῶν ὁρωμένων φύσιν· ἥν συνέστρεφε μέν τῇ χειρί, τῇ κατά θεωρίαν λέγω ψηλαφητικῇ τοῦ νοῦ δυνάμει, διατρέφων τοῖς ἐξ αὐτῆς νοήμασι τήν ἕξιν τῆς γνώσεως, τήν θεραπεύουσαν τήν ἐκ τοῦ χειμῶνος τῶν πειρασμῶν προστριβεῖσαν τῇ διανοίᾳ κατήφειαν· τήν δέ ἔχιδναν, τήν λανθανόντως ἐγκεκρυμμένην τῇ φύσει τῶν αἰσθητῶν πονηράν καί ὀλέθριον δύναμιν· δήξασαν μέν τήν χεῖρα, τουτέστι, τήν κατά νοῦν ψηλαφητικήν τῆς θεωρίας

ἐνέργειαν· οὐ βλάψασαν δέ τόν διορατικόν νοῦν, τῷ φωτί τῆς γνώσεως αὐτήν εὐθύς ὡς ἐν πυρί διαφθείραντα, τήν τῷ πρακτικῷ κινήματι τοῦ νοῦ, προσαφθεῖσαν ἐκ τῆς τῶν αἰσθητῶν θεωρίας, ὀλέθριον δύναμιν.

κδ'. Ὀσμή ἦν ἀπό ζωῆς εἰς ζωήν ὁ Ἀπόστολος, ὡς τούς πιστούς τῷ καθ᾿ ἑαυτόν ὑποδείγματι, διά πράξεως πρός τήν εὐωδίαν τῶν ἀρετῶν κινεῖσθαι, παρασκευάζων· ἤ τούς πειθομένους τῷ λόγῳ τῆς χάριτος, ὡς κήρυξ ἀπό τῆς κατ᾿ αἴσθησιν ζωῆς, εἰς τήν ἐν πνεύματι μετάγων ζωήν. Ὀσμή δέ θανάτου εἰς θάνατον, τοῖς ἀπό τοῦ θανάτου τῆς ἀγνοίας εἰς τόν τῆς ἀπιστίας ἐλάσασι θάνατον, διδούς αὐτοῖς αἴσθησιν τῆς μενούσης αὐτοῦ κατακρίσεως. Ἤ πάλιν ὀσμή ἀπό ζωῆς εἰς ζωήν, τοῖς ἀπό πράξεως εἰς θεωρίαν ἀναγομένοις· ὀσμή δέ θανάτου εἰς θάνατον, τοῖς ἀπό νεκρῶσαι τῇ καθ᾿ ἁμαρτίαν ἀργίᾳ τά μέλη τά ἐπί τῆς γῆς, εἰς τήν τῶν ἐμπαθῶν νοημάτων τε καί φαντασιῶν ἐπαινουμένην μεταβαίνουσι νέκρωσιν.

κε'. Τρεῖς εἰσιν αἱ τῆς ψυχῆς δυνάμεις, λόγος, θυμός, καί ἐπιθυμία. Τῷ μέν λόγῳ, ζητοῦμεν· τῇ ἐπιθυμίᾳ δέ, ποθοῦμεν τό ζητηθέν ἀγαθόν· τῷ δέ θυμῷ, ὑπεραγωνιζόμεθα. Κατά ταύτας δή τάς δυνάμεις προσμένοντες οἱ τόν Θεόν ἀγαπῶντες, τῷ θείῳ λόγῳ τῆς ἀρετῆς καί τῆς γνώσεως· τῇ μέν, ζητοῦντες· τῇ δέ, ποθοῦντες· τῇ δέ, ὑπεραγωνιζόμενοι, δέχονται τροφήν ἄφθαρτον, καί τόν νοῦν πιαίνουσαν τῇ γνῶσιν τῶν γεγονότων.

κστ'. Τήν κενωθεῖσαν τῆς δοθείσης γνώσεως φύσιν, γενόμενος ἄνθρωπος ὁ τοῦ Θεοῦ Λόγος, πάλιν ἐπλήρωσε γνώσεως· καί στομώσας πρός ἀτρεψίαν, οὐ φύσει, ποιότητι δέ, ταύτην ἐθέωσεν· ἀνελλιπῶς αὐτήν τῷ οἰκείῳ χαρακτηρίσας Πνεύματι καθάπερ ὕδωρ, οἴνου ποιότητι πρός τόνον μετακεράσας. Διά τοῦτο γάρ καί γίνεται κατ᾿ ἀλήθειαν ἄνθρωπος, ἵνα κατά χάριν ἡμᾶς καταστήσῃ θεούς.

κζ'. Ὁ τήν φύσιν τῶν ἀνθρώπων δημιουργήσας Θεός, ἅμα βουλήσει τό εἶναι αὐτῇ δέδωκεν, συνήρμοσεν αὐτῇ καί δύναμιν τῶν καθηκόντων ποιητικήν· δύναμιν δέ λέγω, τήν οὐσιωδῶς μέν κατεσπαρμένην τῇ φύσει, (1232) πρός ἀρετῶν ἐνέργειαν κίνησιν· γνωμικῶς δέ, πρός τήν τοῦ κεκτημένου βούλησιν, κατά τήν χρῆσιν ἐκφαινομένην.

κη'. Φυσικόν ἔχομεν κριτήριον, τόν κατά φύσιν νόμον, διδάσκοντα ἡμᾶς, ὅτι πρός τῆς ἐν ὅλοις σοφίας, ἔδει πρός τήν τοῦ ποιητοῦ τῶν ὅλων μυσταγωγίαν ἡμῶν κινεῖσθαι τήν ἔφεσιν.

κθ'. Τό φρέαρ ἐστί τοῦ Ἰακώβου, ἡ Γραφή· τό δέ ὕδωρ ἐστίν, ἡ ἐν τῇ Γραφῇ γνῶσις· τό δέ βάθος, ἡ τῶν Γραφικῶν αἰνιγμάτων δυσδιεξίτητος θέσις· τό δέ ἄντλημά ἐστιν, ἡ διά τῶν γραμμάτων τοῦ θείου λόγου μάθησις, ἥν οὐκ εἶχεν ὁ Κύριος Αὐτολόγος ὑπάρχων, καί οὐ τήν ἐκ μαθήσεως καί μελέτης διδούς γνῶσιν τοῖς πιστεύουσιν, ἀλλά τήν ἐκ χάριτος πνευματικῆς ἀένναον σοφίαν, καί μηδέποτε λήγουσαν τοῖς ἀξίοις δωρούμενος. Τό γάρ ἄντλημα, τουτέστιν ἡ μάθησις, μέρος ἐλάχιστον λαμβάνουσα γνώσεως, τό πᾶν ἐᾷ μηδενί λόγῳ κρατούμενον. Ἡ δέ κατά χάριν γνῶσις, ὅλην ἔχει καί δίχα μελέτης, τήν ἐφικτήν ἀνθρώποις σοφίαν, πρός τάς χρείας ποικίλως βλυστάνουσαν.

λ'. Τό ξύλον τῆς ζωῆς, καί τό μή τοιοῦτον, ἐξ αὐτοῦ μόνου, τοῦ, τό μέν ζωῆς ξύλον ὀνομασθῆναι· τό δέ, οὐ ζωῆς, ἀλλά μόνον γνωστόν καλοῦ καί πονηροῦ, πολλήν καί ἄφατον ἔχουσι τήν διαφοράν. Τό γάρ τῆς ζωῆς ξύλον, πάντως καί ζωῆς ἐστι ποιητικόν· τό δέ μή τῆς ζωῆς ξύλον, δῆλον ὅτι θανάτου ποιητικόν. Τό γάρ μή ποιητικόν ζωῆς, ἐκ τοῦ μή προσαγορευθῆναι ξύλον τῆς ζωῆς, θανάτου σαφῶς ἄν εἴη ποιητικόν· ἄλλο γάρ οὐδέν τῇ ζωῇ κατ᾽ ἐναντίωσιν ἀντιδιαιρεῖται.

λβ'. Ἐπειδή ἐκ ψυχῆς νοερᾶς καί σώματος αἰσθητικοῦ συνεστώς πρός γένεσιν ἦλθεν ὁ ἄνθρωπος, ἔστω κατά μίαν ἐπιβολήν ξύλον ζωῆς ὁ τῆς ψυχῆς νοῦς, ἐν ᾧ τῆς σοφίας ὑπάρχει τό χρῆμα· ξύλον δέ γνωστόν καλοῦ καί πονηροῦ, ἡ τοῦ σώματος αἴσθησις, ἐν ᾗ τῆς ἀλογίας ὑπάρχει σαφῶς ἡ κίνησις, (1233) ἧς κατά τήν πεῖραν, μή ἅψασθαι δι᾽ ἐνεργείας ὁ ἄνθρωπος τήν θείαν λαβών ἐντολήν, οὐκ ἐφύλαξεν.

λγ'. Ἀμφότερα τά ξύλα κατά τήν Γραφήν,τινῶν εἰσι διακριτικά, ἤγουν ὁ νοῦς καί ἡ αἴσθησις· οἷον, ὁ μέν νοῦς, ἔχει δύναμιν διακριτικήν, νοητῶν καί αἰσθητῶν, προσκαίρων καί αἰωνίων· μᾶλλον δέ ψυχῆς ὑπάρχων δύναμις διακριτική, τῶν μέν, αὐτήν ἀντέχεσθα πείθει· τῶν δέ, ὑπεραίρεσθαι. Ἡ δέ αἴσθησις ἔχει δύναμιν διακριτικήν ἡδονῆς σωμάτων καί ὀδύνης· μᾶλλον δέ δύναμις ὑπάρχουσα ἐμψύχων καί αἰσθητικῶν σωμάτων, τήν μέν ἡδονήν ἐπισπᾶσθαι πείθει, τήν δέ ὀδύνην ἀποπέμπεσθαι.

λδ'. Ὁ ἄνθρωπος, ἐάν μέν μόνης τῆς καθ᾽ ἡδονήν καί ὀδύνην αἰσθητικῆς τῶν σωμάτων γένηται διακρίσεως, τήν θείαν παραβάς ἐντολήν, ἐσθίει τό ξύλον τό γνωστόν καλοῦ καί πονηροῦ· τουτέστι, τήν κατ᾽ αἴσθησιν ἀλογίαν· ἔχων μόνην τήν συστατικήν τῶν σωμάτων

διάκρισιν, καθ᾽ ἥν, ὡς μέν καλοῦ, τῆς ἡδονῆς ἀντέχεται· ὡς δέ κακοῦ, τῆς ὀδύνης ἀπέχεται. Ἐάν δέ μόνης τῆς τῶν αἰωνίων διακρινούσης τά πρόσκαιρα δι᾽ ὅλου γένηται νοερᾶς διακρίσεως,τήν θείαν φυλάξας ἐντολήν, ἐσθίει τό ξύλον τῆς ζωῆς· τήν κατά νοῦν λέγω συνισταμένην σοφίαν· μόνης ἔχων τήν συστατικήν τῆς ψυχῆς διάκρισιν· καθ᾽ ἥν, ὡς μέν καλοῦ, τῆς τῶν αἰωνίων ἀντέχεται δόξης· ὡς δέ κακοῦ, τῆς τῶν προσκαίρων ἀπέχεται φθορᾶς.

λε'. Νοῦ μέν καλόν ἐστιν, ἡ ἀπαθής πρός τό πνεῦμα διάθεσις· κακόν δέ, ἡ ἐμπαθής πρός τήν αἴσθησιν σχέσις· αἰσθήσεως δέ καλόν ἐστιν, ἡ καθ᾽ ἡδονήν ἐμπαθής πρός σῶμα κίνησις· κακόν δέ, ἡ κατά στέρησιν ταύτης ἐπιγινομένη διάθεσις.

λστ'. Ὁ πείσας τό συνειδός ὡς φύσει καλόν, πραττόμενον ἔχειν τό κάκιστον, οὗτος χειρός δίκην ἐκτείνας τό πρακτικόν, ἔλαβε ψεκτῶς τοῦ ξύλου τῆς ζωῆς, ἀθάνατον ἡγησάμενος φύσει τό κάκιστον. Διόπερ τήν κατά τό συνειδός τοῦ κακοῦ διαβολήν τῷ ἀνθρώπῳ φυσικῶς ἐνθέμενος ὁ Θεός, διέκρινεν αὐτόν τῆς ζωῆς, κακόν τῇ προαιρέσει γεγενημένον· ἵνα μή τό κακόν πράττων, δύνηται πεῖσαι τήν ἰδίαν συνείδησιν, ὅτι φύσει καλόν ὑπάρχει τό κάκιστον.

λζ'. Ἡ ἄμπελος, οἶνον ποιεῖ· ὁ οἶνος, μέθην· ἡ μέθη, ἔκστασιν. Οὐκοῦν ὁ ἐνεργής λόγος, ὅπερ ἐστίν ἡ ἄμπελος, γεωργούμενος ταῖς ἀρεταῖς, γεννᾷ τήν γνῶσιν· ἡ δέ γνῶσις, γεννᾷ τήν καλήν ἔκστασιν, τήν τόν νοῦν τῆς κατ᾽ αἴσθησιν σχέσεως ἐξιστῶσαν.

λη'. Τοῖς τῶν αἰσθητῶν νοήμασιν εἴωθε κακούργως ὁ πονηρός συμβάλλειν τά τῶν αἰσθητῶν εἴδη καί σχήματα, δι᾽ ὧν πέφυκε τά πάθη δημιουργεῖσθαι περί τάς ἐπιφανείας τῶν ὁρατῶν, στάσιν λαμβανούσης διά τῆς μέσης αἰσθήσεως τῆς περί τά νοητά (1236) διαβάσεως, τῆς ἐν ἡμῖν λογικῆς ἐνεργείας. Διό καί κατισχύει πορθεῖν τήν ψυχήν, καί εἰς τήν τῶν παθῶν σύγχυσιν κατασύρειν.

λθ'. Λύχνος ἐστί, κατά ταυτόν ὁμοῦ καί φῶς, ὁ τοῦ Θεοῦ λόγος, καί ὡς φωτίζων τούς κατά φύσιν λογισμούς τῶν πιστῶν, καί ὡς καίων τούς παρά φύσιν· καί ὡς λύων τόν ζόφον τῆς κατ᾽ αἴσθησιν ζωῆς, τοῖς διά τῶν ἐντολῶν πρός τήν ἐλπιζομένην ἐπειγομένοις ζωήν, καί ὡς κολάζων τῇ καύσει τῆς κρίσεως τούς ταύτης τῆς σκοτεινῆς τοῦ βίου νυκτός κατά γνώμην διά φιλίαν σαρκός ἐντεχομένους.

μ'. Ὁ μή πρός ἑαυτόν, φησί, πρότερον ἀναχθείς διά τῆς ἀποβολῆς τῶν παρά φύσιν παθῶν, πρός τήν ἰδίαν αἰτίαν, ἤγουν τόν Θεόν, διά τῆς ἐν χάριτι τῶν ὑπέρ φύσιν ἀγαθῶν ἐπικτήσεως, οὐκ ἀναχθήσεται.

Τῶν γάρ πεποιημένων χωρισθῆναι δεῖ καί διάνοιαν, τόν πρός Θεόν ἀληθῶς συναγόμενον.

μα'. Τοῦ μέν γραπτοῦ νόμου ἔργον ἐστίν, ἡ τῶν παθῶν ἀπαλλαγή· φυσικοῦ δέ νόμου, ἡ κατ᾽ ἰσονομίαν πρός πάντας ἀνθρώπους ἰσοτιμία· πνευματικοῦ δέ νόμου τελείωσις, ἡ πρός τόν Θεόν, ὡς ἔστιν ἀνθρώπῳ δυνατόν ἐξομοίωσις.

μβ'. Τῆς μέν τῶν σωμάτων καί ἀσωμάτων γνώσεως, δεκτική κατά φύσιν ἐστίν ἡ τοῦ νοῦ δύναμις· τῆς δέ τῆς ἁγίας Τριάδος, κατά μόνην τήν χάριν δέχεται τάς ἐμφάσεις· ὅτι ἐστί μόνον πιστεύσουσα, ἀλλ᾽ οὐ τί ποτε κατ᾽ οὐσίαν ἐστίν αὐθαδιζομένη, ὡς δαιμόνιος νοῦς. Ὁ γάρ γνώσεως ἄμοιρος, τόν κατ᾽ ἀρετήν ῥυπτικόν τῆς κακίας οὐδαμῶς ἐπίσταται τρόπον.

μγ'. Ὁ τό ψεῦδος ἀγαπῶν, αὐτῷ παραδίδοται πρός ἀπώλειαν, ἵνα γνῷ πάσχων ὅπερ ἑκών περιεῖπε, καί μάθῃ κατά τήν πεῖραν γενόμενος, ὡς ἐλάνθανεν ἀντί ζωῆς περιπτυσσόμενος θάνατον.

μδ'. Μόνην ἔχει τοῦ καλοῦ τήν γνῶσιν ὁ Θεός, ὡς κατ᾽ οὐσίαν τοῦ καλοῦ φύσις τέ καί γνῶσις ὑπάρχων· τοῦ δέ κακοῦ, τήν ἄγνοιαν, ὡς τήν αὐτοῦ ἔχων ἀδυναμίαν· ὧν γάρ ἔχει τήν δύναμιν φυσικῶς, τούτων οὐσιωδῶς κέκτηται τήν γνῶσιν.

με'. Τό ἐν τῷ Λευϊτικῷ στηθύνιον, τήν ἀμείνω καί ὑψηλήν θεωρίαν δηλοῖ· (1237) ὁ δέ βραχίων, τήν πρᾶξιν, ἤγουν τοῦ διανοητικοῦ τήν ἕξιν καί τήν ἐνέργειαν, ἤ τήν γνῶσιν καί τήν ἀρετήν· ὡς τῆς μέν γνώσεως, αὐτῷ προσαγούσης ἀμέσως τόν νοῦν τῷ Θεῷ· τῆς ἀρετῆς δέ, κατά τήν πρᾶξιν πάσης ἀφαιρουμένης αὐτόν τῆς τῶν ὄντων γενέσεως· ἅπερ ἱερεῦσιν ἀφώρισεν ὁ λόγος, τοῖς μόνον τόν Θεόν διά πάντων κτησαμένοις κληρονομίαν, καί μηδέν τοσύνολον κεκτημένοις ἐπίγειον.

μστ'. Ἐπειδή τάς ἄλλων καρδίας διά τοῦ λόγου τῆς διδασκαλίας, οἱ γνώσει καί ἀρετῇ δι᾽ ὅλου ποιωθέντες τῷ πνεύματι, εὐσεβείας καί πίστεως ποιοῦνται δεκτικάς, καί τήν πρακτικήν αὐτῶν ἕξιν καί δύναμιν ἀφαιρούμενοι, τῶν ἐπί τῇ φθαρτῇ φύσει σπουδασμάτων, πρός τήν τῶν ὑπέρ φύσιν ἀφθάρτων ἐνέργειαν ἀγαθῶν μεταφέρουσιν· εἰκότως τῶν προσαγομένων εἰς θυσίαν Θεοῦ, τό στηθύνιον τοῦ ἐπιθέματος· τουτέστι, τῶν προσαγομένων τήν καρδίαν· καί τόν βραχίονα, τῶν αὐτῶν δηλονότι τήν πρᾶξιν· προσέταξεν ἀφιεροῦσθαι τοῖς ἱερεῦσιν ὁ Λόγος.

μζ'. Πᾶσα ἡ ἐνταῦθα δικαιοσύνη συγκρινομένη πρός τήν μέλλουσαν, ἐσόπτρου λόγον ἐπέχει, τήν τῶν ἀρχετύπων πραγμάτων εἰκόνα, οὐκ αὐτά δέ τά πράγματα κατ᾽ εἶδος ὑφιστάμενα ἔχουσα· καί πᾶσα γνῶσις ἐνταῦθα τῶν ὑψηλῶν συγκρινομένη πρός τήν μέλλουσαν, αἴνιγμά ἐστιν, ἔμφασιν τῆς ἀληθείας, ἀλλ᾽ οὐκ αὐτήν ὑφισταμένην ἔχουσα τήν φανήσεσθαι μέλλουσαν ἀλήθειαν.

μη'. Ἐπειδή ἀρετῇ καί γνώσει τά θεῖα συνέχεται, τῶν κατ᾽ ἀρετήν πρωτύπων ἐστίν ἐνδεικτικόν τό ἔσοπτρον, καί τῶν κατά γνῶσιν ἀρχετύπων ἐκφαντικόν ὑπάρχει τό αἴνιγμα.

μθ'. Ὁ διά πράξεως εὐαρεστήσας τῷ Θεῷ, διά θεωρίας πρός τήν τῶν νοητῶν χώραν, τόν νοῦ δηλαδή μετατίθησιν· ἵνα μή διά φαντασίας τινος τόν ἐν τοῖς πάθεσι θεάσηται θάνατον κατά τήν αἴσθησιν, ὡς ὑπό μηδενός τῶν ἑλεῖν βουλομένων παντελῶς εὑρισκόμενος.

ν'. Ὁ καθαρῷ πίστεως ὀφθαλμῷ τῶν μελλόντων ἀγαθῶν ἰδών τήν εὐπρέπειαν, ὑπακούει γῆς καί συγγενείας καί οἴκου πατρικοῦ προθύμως ἐξελθεῖν, καταλιπών τήν πρός σάρκα καί αἴσθησιν καί αἰσθητά σχέσιν τε καί προσπάθειαν· καί φύσεως ἐν καιρῷ πειρασμοῦ καί ἀγώνων ὑψηλότερος ὤν, (1237) προτιμήσας τήν αἰτίαν τῆς φύσεως, ὡς τοῦ Ἰσαάκ, τόν Θεόν, ὁ μέγας Ἀβράαμ.

να'. Ὁ μήτε δόξης ἕνεκεν, μήτε προφάσει πλεονεξίας, μήτε κολακείας χάριν, καί ἀνθρωπαρεσκίας καί ἐπιδείξεως, τήν ἀρετήν, ἤ τήν μελέτην τῶν θείων λόγων μετελθεῖν ἐπιτηδεύων, ἀλλά πάντα διά τόν Θεόν καί ποιῶν καί λέγων καί διανοούμενος, οὗτος ἐν τῇ ὁδῷ τῆς ἀληθείας ἐν γνώσει πορεύεται. Τρίβοις γάρ οὐκ εὐθείαις ὁ Θεῖος οὐ πέφυκεν ἐμφιλοχωρεῖν λόγος, κἄν εὕρῃ τήν ὁδόν ἔν τισιν ἕτοιμον.

νβ'. Νηστεύει τις, καί ἀπέχεται τῆς ἐξαπτικῆς τῶν παθῶν διαίτης· τά ἄλλα τε ποιεῖ, ὅσα πρός ἀπαλλαγήν κακίας συμβάλλεσθαι δύναται· τήν λεγομένην ὁδόν οὗτος ἡτοίμασε· κενοδοξίας, ἤ κολακείας, ἤ ἀνθρωπαρεσκίας, ἤ ἄλλης τινός ἕνεκεν αἰτίας, δίχα τῆς θείας εὐαρεστήσεως τούς τοιούτους ἐπιτηδεύει τρόπους, οὗτος οὐκ ἐποίησεν εὐθείας τάς τρίβους τοῦ Θεοῦ· καί τόν μέν τῆς ἑτοιμασίας τῆς ὁδοῦ πόνον ὑπέμεινεν, τόν δέ Θεόν οὐκ ἔσχε ταῖς αὐτοῦ τρίβοις ἐμπεριπατοῦντα.

νγ'. Πᾶσα φάραγξ πληρωθήσεται· οὐχ ἁπλῶς πᾶσα, οὐδέ πάντων· οὔτε γάρ τῶν μή ἑτοιμασάντωντήν ὁδόν τοῦ Κυρίου, καί εὐθείας ποιησάντων τάς τρίβους αὐτοῦ. Ὁπηνίκα οὖν φάραγξ, ἤγουν σάρξ ἤ

ψυχή, τῶν ἑτοιμασάντων, ὡς εἶπον, τήν ὁδόν τοῦ Κυρίου, καί εὐθείας ποιησάντων τάς τρίβους αὐτοῦ, διά τῆς τοῦ περιπατοῦντος ἐν αὐτοῖς διά τῶν ἐντολῶν Θεοῦ Λόγου παρουσίας, πληρωθῇ γνώσεώς τε καί ἀρετῆς, πάντα τῆς ψευδωνύμου γνώσεως καί κακίας τά πνεύματα ταπεινοῦται, πατοῦντος αὐτά τοῦ Λόγου καί ὑποτάττοντος, καί τό ἐπαιρόμενον κατά τῆς ἀνθρωπίνης φύσεως, πονηρόν κράτος καταβάλλοντος, καί οἷον τό μέγεθος καί τό ὕψος τῶν ὀρέων καί τῶν βουνῶν κατασκάπτοντος· καί εἰς τήν τῶν φαράγγων ἄγοντος πλήρωσιν. Ἡ γάρ τῶν παρά φύσιν ἀποβολή παθῶν, καί ἡ τῶν κατά φύσιν ἀρετῶν ἐπιβολή, τήν φαραγγωθεῖσαν ψυχήν ἀναπληροῖ, καί τήν ὀρινομένην τῶν πονηρῶν πνευμάτων ταπεινοῖ δυναστείαν.

νδ'. Αἱ τραχεῖαι (τουτέστιν, αἱ τῶν ἀκουσίων πειρασμῶν ἐπιφοραί) ἔσονται εἰς ὁδούς λείας, ὅταν μάλιστα χαίρων καί εὐφραινόμενος ὁ νοῦς, ἐν ἀσθενείαις εὐδοχῇ καί θλίψεσι καί ἀνάγκαις, διά τῶν ἀκουσίων πόνων, τήν ὅλη τῶν ἑκουσίων παθῶν ἀφαιρούμενος δυναστείαν. Τραχείας γάρ κέκλικε, τάς τῶν ἀκουσίων πειρασμῶν συμβάσεις, εἰς ὁδούς λείας διά τῆς κατά τῆς εὐχαριστίαν ὑπομονῆς μεταπιπτούσας.

νε'. Ὁ τῆς ἀληθινῆς ἐφιέμενος ζωῆς, γνούς ὅτι πᾶς πόνος, εἴτε ἑκούσιος, εἴτε ἀκούσιος, τῆς τοῦ θανάτου μητρός ἡδονῆς [Regii duo ὀδύνης] γίνεται θάνατος, πάσας τάς τραχείας τῶν ἀκουσίων (1241) πειρασμῶν ἐπιφοράς δέξεται μετ᾽ εὐφροσύνης χαίρων· διά τῆς ὑπομονῆς, ὁδούς εὐμαρεῖς τε καί λείας, τάς θλίψεις ποιούμενος, καί πρός τό βραβεῖον τῆς ἄνω κλήσεως ἀπλανῶς παραπεμπούσας αὐτόν, εὐσεβῶς ἐν αὐταῖς τόν θεῖον δρόμον ποιούμενον. Καί γάρ, τοῦ μέν θανάτου μήτηρ ἐστίν ἡ ἡδονή· τῆς ἡδονῆς δέ θάνατός ἐστιν, ὁ πόνος· ὅ τε προαιρετικός, καί ὁ παρά προαίρεσιν.

νστ'. Πᾶς τοιγαροῦν ὁ τήν πολυέλικτόν τε καί πολύπλοκον ἡδονήν, καί πᾶσιν ὁμοῦ τοῖς αἰσθητοῖς πολυτρόπως συμπεπλεγμένην τῇ ἐγκρατείᾳ διαλύσας, τά σκολιά εἰς εὐθείας ἐποίησε· καί ὁ τήν δύσβατον καί τραχεῖαν τῶν πόνων ἐπιφοράν δι᾽ ὑπομονῆς πατήσας, τάς τραχείας ἐποίησεν εἰς ὁδούς λείας. Ὅθεν ὥσπερ ἔπαθλον ἀρετῆς καί τῶν ὑπέρ αὐτῆς καμάτων, οἷα καλῶς τε καί νομίμως ἀθλήσας, καί τήν ἡδονήν νικήσας, τῷ πόθῳ τῆς ἀρετῆς, καί τήν ὀδύνην πατήσας τῷ τῆς γνώσεως ἔρωτι, καί δι᾽ ἀμφοτέρων γενναίως τούς θείους διενέγκας ἀγῶνας, Ὄψεται, κατά τό γεγραμμένον, τό σωτήριον τοῦ Θεοῦ.

νζ'. Ὁ τήν ἀρετήν ἀγαπῶν, τήν τῶν ἡδονῶν ἑκουσίως ἀπομαραίνει κάμινον· ὁ δέ τῇ γνώσει τῆς ἀληθείας πεποιωμένος τόν νοῦν, ἀκουσίοις οὐκ ἐπέχεται πόνοις, τῆς κατά τήν ἔφεσιν πρός τόν Θεόν φερούσης ἀεικινησίας.

νη'. Ὁ τά σκολιά τῶν ἑκουσίων παθῶν, ἤγουν τῆς ἡδονῆς τά κινήματα διά τῆς ἐγκρατείας εὐθύνας, καί τά τραχείας, τῶν ἀκουσίων πειρασμῶν συμφοράς, ἤγουν τούς τρόπους τῆς ὀδύνης διά τῆς ὑπομονῆς ὁμαλίσας, καί εἰς ὁδούς λείας καταστήσας· ὁ τοιοῦτος εἰκότως ὄψεται τό σωτήριον τοῦ Θεοῦ, καθαρός τῇ καρδίᾳ γενόμενος· καθ᾽ ἥν διά τῶν ἀρετῶν καί τῶν εὐσεβῶν θεωρημάτων, ὁρᾷ τόν Θεόν ἐπί τέλει τῶν ἄθλων, κατά τό, Μακάριοι οἱ καθαροί τῇ καρδίᾳ, ὅτι αὐτοί τόν Θεόν ὄψονται· τῶν ὑπέρ ἀρετῆς πόνων, τῆς ἀπαθείας τήν χάριν ἀντιλαβών, ἧς οὐδέν πλέον τόν Θεόν ἐμφανίζει τοῖς ἔχουσι.

νθ'. Λάκκους καλεῖ ἡ Γραφή, τάς δεκτικάς τῶν οὐρανίων χαρισμάτων τῆς ἁγίας γνώσεως καρδίας, λατομουμένας τῷ στερρῷ λόγῳ τῶν ἐντολῶν, καί ἀποβαλλομένας καθάπερ πωρώματα, τήν τε πρός τά πάθη φιληδονίαν, καί τήν πρός τά αἰσθητά τῆς φύσεως σχέσιν, καί πληρουμένας τῆς ἄνωθεν φερομένης ῥυπτικῆς τε τῶν παθῶν, καί ζωοποιητικῆς καί οἷον θρεπτικῆς τῶν ἀρετῶν ἐν πνεύματι, γνώσεως.

ξ'. (1244) Λάκκους λατομεῖ ὁ Κύριος ἐν τῇ ἐρήμῳ· λέγω δέ τῷ κόσμῳ, καί τῇ φύσει τῶν ἀνθρώπων· τάς τῶν ἀξίων καρδίας ἐκχοΐζων, καί ἀποκαθαίρων τοῦ ὑλικοῦ βάρους τε καί φρονήματος, καί ποιῶν εὐρυχώρους πρός ὑποδοχήν τῶν θείων τῆς σοφίας καί τῆς γνώσεως ὑετῶν, ἵνα ποτίζουσι τά κτήνη τοῦ Χριστοῦ, τούς δεομένους λέγω διά ψυχῆς νηπιότητα, τῆς ἠθικῆς διδασκαλίας.

ξα'. Ὀρεινήν ἡ Γραφή, τήν ὑψηλήν ἐν πνεύματι θεωρίαν τῆς φύσεως λέγει, ἥν γεωργοῦσιν οἱ τῶν αἰσθητῶν ἀπογενόμενοι φαντασιῶν, καί πρός τούς αὐτῶν νοητῶς διά μέσου τῶν ἀρετῶν διαβάντες λόγους.

ξβ'. Ὁ νοῦς ἐφ᾽ ὅσον ἔχει ζῶσαν ἐν ἑαυτῶ τήν τοῦ Θεοῦ μνήμην, διά τῆς θεωρίας ἐκζητεῖ τόν Κύριον· καί οὐχ ἁπλῶς, ἀλλ᾽ ἐν φόβῳ Κυρίου· τουτέστιν, ἐν τῇ πράξει τῶν ἐντολῶν. Ὁ γάρ ἐκζητῶν διά θεωρίας τόν Κύριον χωρίς πράξεως, οὐκ εὑρίσκει αὐτόν, ὅτι οὐκ ἐν φόβῳ Κυρίου τόν Κύριον ἐξεζήτησε. Καί εὐώδωσεν αὐτῷ ὁ Κύριος· παντί γάρ τῷ μετά γνώσεως πράττοντι, εὐοδοῖ ὁ Κύριος, τούς τε τῶν

ἐντολῶν διδάσκων τρόπους, καί τούς τῶν ὄντων ἀληθεῖς λόγους ἀποκαλύπτων.

ξγ'. Ὁ περί θεότητος ὑψηλός λόγος, πύργος ἐστί κατά ψυχήν, ταῖς τῶν ἐντολῶν ἐνεργείαις ὠχυρωμένος. Καί τοῦτό ἐστιν ὅ φησιν, ὅτι Ὠικοδόμησεν Ὀζίας πύργους ἐν Ἱερουσαλήμ. Ὁ γάρ καλῶς εὐοδούμενος ἐπί τήν διά θεωρίας ἐκζήτησιν τοῦ Κυρίου, μετά τοῦ ἐπιβεβλημένου φόβου, τουτέστι τῆς τῶν ἐντολῶν πράξεως, οἰκοδομεῖ πύργους ἐν Ἱερουσαλήμ, κατά τήν ἁπλῆν δηλαδή καί ἠρεμαίαν τῆς ψυχῆς κατάστασιν, τούς περί θεότητος ἀνυψῶν λόγους.

ξδ'. Οἱ τῶν ἐπί μέρους λόγοι, τοῖς καθόλου προσχωροῦντες, τά τῶν διῃρημένων ἑνώσεις ποιοῦνται· διότι τῶν μερικωτέρων ἑνοειδῶς οἱ καθολικώτεροι τούς λόγους περιλαμβάνουσι, πρός οὕς φυσικῶς τήν ἀναφοράν ἔχει τά κατά μέρος. Ἀλλά καί νοῦ πρός αἴσθησιν, καί οὐρανοῦ πρός γῆν, καί αἰσθητῶν πρός νοητά, καί φύσεως πρός λόγον, ἔστι τις καί τούτων σχετικός ἐν πνεύματι λόγος, τήν πρός ἄλληλα διδούς αὐτοῖς ἕνωσιν.

ξε'. Ὁ τῶν παθῶν δυνηθείς ἐξηλῶσαι τάς αἰσθήσεις, καί τῆς τῶν αἰσθήσεων σχέσεως τήν ψυχήν ἀποδιαστείλας, κατίσχυσεν ἀποτειχίσαι τήν γενομένην τοῦ διαβόλου πρός τόν νοῦν διά μέσων τῶν αἰσθήσεων εἴσοδον· καί διά τοῦτο κατά τήν ἔρημον, φημί δέ τήν φυσικήν θεωρίαν, οἱονεί πύργους ἀσφαλεῖς, τάς εὐσεβεῖς περί τῶν ὄντων ᾠκοδόμησε δόξας· ἐν αἷς ὁ καταφεύγων, οὐ φοβεῖται τούς κατά τήν ἔρημον ταύτην· λέγω δέ τήν φύσιν τῶν ὁρωμένων, ληστεύοντας δαίμονας, καί πλανῶντας τόν νοῦν διά τῆς αἰσθήσεως, καί πρός ἀγνοίας κατασύροντας ζόφον. Ὁ γάρ τήν εὐσεβῆ περί ἕκαστον δόξαν κτησάμενος, οὐ δέδοικε τούς διά τῶν φαινομένων πλανῶντας τούς ἀνθρώπους δαίμονας.

ξστ'. (1245) Πᾶς νοῦς ἰσχύν πρός θεωρίαν ἔχων, ἀληθής ἐστι γεωργός, καθαρά ζιζανίων διά τῆς οἰκείας σπουδῆς καί ἐπιμελείας τά θεῖα τῶν ἀγαθῶν διαφυλάττων σπέρματα, μέχρις οὗ συντηροῦσαν αὐτόν ἔχῃ τήν τοῦ Θεοῦ μνήμην. Φησί γάρ· Καί ἦν ἐκζητῶν τόν Κύριον ἐν ταῖς ἡμέραις Ζαχαρίου ἐν φόβῳ Κυρίου. Ζαχαρίαν δέ, μνήμην Θεοῦ πρός τήν Ἑλλάδα φωνήν μεταφερόμενον οἶδεν ὁ λόγος. Διό πάντοτε δεηθῶμεν τοῦ Κυρίου, τήν σωτηρίαν αὐτοῦ φυλαχθῆναι ἡμῖν μνήμην, ἵνα μή καί αὐτό διαφθείρῃ τήν ψυχήν τό κατορθούμενον, πρός ὕψος ἀρθεῖσαν, καί τῶν ὑπέρ φύσιν, ὡς ὁ Ὀζίας, κατατολμήσασαν.

ξζ'. Ἡ τῶν ὄντων ἀπλανής θεωρία, παθῶν ἀπηλλαγμένης δεῖται ψυχῆς· ἥτις Ἱερουσαλήμ λέγεται, διά τε τήν ἄρτιον ἀρετήν καί τήν ἄϋλον γνῶσιν· ἥτις οὐ μόνον κατά στέρησιν παθῶν, ἀλλά καί φαντασιῶν αἰσθητῶν ἐπιγίνεται.

ξη'. Χωρίς πίστεως καί ἐλπίδος καί ἀγάπης, οὐδέν οὔτε τῶν κακῶν καταργεῖται παντελῶς, οὔτε τῶν καλῶν κατορθοῦται τοσύνολον. Ἡ μέν γάρ πίστις, πείθει τῷ Θεῷ προσχωρεῖν τόν νοῦν πολεμούμενον, πάσης αὐτῷ γινομένη παρασκευῆς ὅπλων πνευματικῶν πρός τό θαῤῥεῖν παραμύθιον. Ἡ δέ ἐλπίς, τῆς θείας αὐτῷ καθίσταται βοηθείας ἐγγυητής ἀψευδέστατος, τήν τῶν ἐναντίων καθαίρεσιν ἐπαγγελλομένη δυνάμεων. Ἡ δέ ἀγάπη, δυσμετακίνητον, μᾶλλον δέ, πάμπαν ἀκίνητον, τῆς θείας στοργῆς αὐτόν εἶναι παρασκευάζει καί πολεμούμενον, προσηλοῦσα τῷ θείῳ πόθῳ πᾶσαν αὐτοῦ τήν τῆς ἐφέσεως δύναμιν.

ξθ'. Ἡ πίστις παραμυθεῖται τόν νοῦν πολεμούμενον, βοηθείας ἐλπίδι ῥωννύμενον· ἡ δέ ἐλπίς ὑπ᾽ ὄψιν ἄγουσα τήν πιστευθεῖσαν βοήθειαν, ἀποκρούεται τήν τῶν ἀντικειμένων καταδρομήν· ἡ δέ ἀγάπη, νεκράν καθίστησι τῷ φιλοθέῳ νῷ τῶν πολεμίων τήν προσβολήν, τῇ πρός Θεόν ἐφέσει παντελῶς ἀμαυρουμένην.

ο'. Θείας ὄντως μερίδος, ἤγουν γνώσεως ἀληθοῦς, υἱός, πρῶτός τε καί μόνος, ὁ κατά τήν πίστιν τῆς ἐν ἡμῖν θείας ἀναστάσεώς ἐστι λόγος, μετά τῆς δεούσης κατά τήν γνώμην οἰκονομίας, ἤγουν διακρίσεως, καλῶς διαφέρων τάς τε τῶν ἑκουσίων καί ἀκουσίων πειρασμῶν ἐπαναστάσεις. Καί γάρ πρώτη ἐν ἡμῖν ἀνάστασις τοῦ διά τῆς ἀγνοίας ἡμῖν νεκρωθέντος Θεοῦ, ἡ πίστις ἐστί, καλῶς τοῖς ἔργοις τῶν ἐντολῶν οἰκονομουμένη.

οα'. Ἡ πρός Θεόν ἐπιστροφή, σαφῶς μηνύει δι᾽ ἑαυτῆς τόν πληρέστατον τῆς θείας ἐλπίδος λόγον, οὗ χωρίς, οὐδαμῶς οὐδενί καθ᾽ ὁτιοῦν πρός Θεόν ἐπίνευσις γίνεσθαι πέφυκεν· εἴπερ ἐλπίδος ἴδιον, τό ὑπ᾽ ὄψιν ἄγειν ὡς παρόντα τά μέλλοντα· καί μηδαμῶς (1248) ἀπεῖναι πείθειν τῶν πολεμουμένων ὑπό τῆς ἀντικειμένης δυνάμεως, τόν ὑπερασπίζοντα Θεόν· ὑπέρ οὗ, καί δι᾽ ὅν ἁγίοις ὁ πόλεμος. Χωρίς γάρ τινος προσδοκίας ἤ δυσχεροῦς ἤ εὐχεροῦς, ἐπιστροφή πρός τό καλόν οὐδενί ποτε πέφυκε γίνεσθαι.

οβ'. Οὐδέν ὄντως οὕτως ἡ ἀγάπη συνάγει τούς ἐσκορπισμένους, καί μίαν αὐτοῖς δημιουργεῖ τήν γνώμην συμπνοίᾳ κρατουμένην, ἧς ὁ χαρακτήρ, τό τῆς ἰσοτιμίας καθέστηκε κάλλος. Οὐκοῦν τῆς κατά τό

αὐτό περί τά θεῖα συναγωγῆς τε καί ἑνώσεως τῶν ψυχικῶν δυνάμεων· τουτέστι, τῆς λογικῆς καί θυμικῆς καί ἐπιθυμητικῆς, ἡ ἀγάπη καθέστηκε γέννημα· καθ᾽ ἥν ἐγγράφοντες τῇ μνήμῃ τό τῆς θείας ὡραιότητος κάλλος, οἱ τό ἰσότιμον ἤδη πρός Θεόν διά τῆς χάριτος κομισάμενοι, ἀνεπίληστον ἔχουσι· τῆς τῷ ἡγεμονικῷ τῆς ψυχῆς ὑπομνηματογραφούσης τε καί ἐντυπούσης τό ἀκήρατον κάλλος, τῆς θείας ἀγάπης τήν ἔφεσιν.

ογ'. Πᾶς νοῦς θείῳ κράτει διεζωσμένος, καθάπερ πρεσβυτέρους τινάς καί ἄρχοντας κέκτηται, τήν τε λογικήν δύναμιν, ἐξ ἧς ἡ γνωστική γεννᾶσθαι πέφυκε πίστις, καθ᾽ ἥν ἀεί παρόντα τόν Θεόν ἀῤῥήτως διδάσκεται, καί ὡς παροῦσι συγγίνεται διά τῆς ἐλπίδος τοῖς μέλλουσι· καί τήν ἐπιθυμητικήν δύναμιν, καθ᾽ ἥν ἡ θεία συνέστηκεν ἀγάπη, δι᾽ ἥν ἑκουσίως προσηλώσας τῷ πόθῳ τῆς ἀκηράτου θεότητος, ἄλυτον ἔχει τοῦ ποθουμένου τήν ἔφεσιν· ἔτι μήν καί τήν θυμικήν δύναμιν, καθ᾽ ἥν ἀπρίξ τῆς θείας εἰρήνης ἀντέχεται, ἐπιστύφων πρός τόν θεῖον ἔρωτα τῆς ἐπιθυμίας τήν κίνησιν. Ταύτας δέ ἔχει τάς δυνάμεις πᾶς νοῦς, συνεργοῦσας αὐτῷ πρός τε τήν τῆς κακίας καθαίρεσιν, καί τήν τῆς ἀρετῆς σύστασίν τε καί συντήρησιν.

οδ'. Δίχα λογικῆς δυνάμεως, ἐπιστημονική γνῶσις οὐκ ἔστι· καί γνώσεως χωρίς, οὐ συνίσταται πίστις, ἀφ᾽ ἧς τό καλόν γέννημα πρόεισιν ἡ ἐλπίς, καθ᾽ ἥν ὡς παροῦσι συγγίνεται τοῖς μέλλουσιν ὁ πιστός. Καί δίχα τῆς κατ᾽ ἐπιθυμίαν δυνάμεως, οὐ συνίστατι πόθος, οὗ τέλος ἐστίν ἡ ἀγάπη· τό γάρ ἐρᾷν τινος, ἴδιόν ἐστιν ἐπιθυμίας. Καί δίχα θυμικῆς δυνάμεως νευρούσης τήν ἐπιθυμίαν πρός τήν τοῦ ἡδέος ἕνωσιν, οὐδαμῶς γίνεσθαι πέφυκεν εἰρήνη· εἴπερ ἀληθῶς εἰρήνη ἐστίν ἡ ἀνενόχλητος καί παντελής τοῦ καταθυμίου κατάσχεσις.

οε'. Οὐ δεῖ τόν μή πρότερον καθαρθέντα παθῶν, φυσικῆς ἅπτεσθαι θεωρίας, διά τάς εἰκόνας τῶν αἰσθητῶν, δυναμένας τυπῶσαι πρός πάθος τόν νοῦν τοῦ μή τελείως ἀπαλλαγέντος παθῶν. Ὁ γάρ κατά φαντασίαν ταῖς ἐπιφανείαις τῶν αἰσθητῶν ἐναπομένων διά τήν αἴσθησιν νοῦς, ἀκαθάρτων γίνεται παθῶν δημιουργός, διά θεωρίας πρός τά συγγενῆ νοητά μή δυνάμενος διαβῆναι.

οστ'. Ὁ ἐν καιρῷ τῆς τῶν παθῶν ἐπαναστάσεως (1249) γενναίως μύσας τάς αἰσθήσεις, καί τήν τῶν αἰσθητῶν φαντασίαν τε καί μνήμην παντελῶς ἀπωσάμενος, καί συστείλας πάντη τάς τοῦ νοῦ περί τήν τῶν ἐκτός ἔρευναν φυσικάς κινήσεις, κατῄσχυνε νικήσας διά τῆς θείας χειρός, τήν ἐπαναστᾶσαν αὐτῷ πονηράν καί τυραννικήν δυναστείαν.

οζ'. Ὅταν ἄνους ὁ λόγος γένηται, καί προπετής ὁ θυμός καί ἄλογος ἡ ἐπιθυμία, καί ἄγνοια καί τυραννίς καί ἀκολασία κρατῶσι τῆς ψυχῆς, τότε ἡ τῆς κακίας ἕξις ἔμπρακτος γίνεσθαι πέφυκε, συμπλακεῖσα τῇ διαφόρῳ τῶν αἰσθήσεων ἡδονῇ.

οη'. Χρή τόν γνωστικῶς τάς ἀοράτους συμπλοκάς, ὑπαλύσκειν ἐπιστάμενον νοῦν, μήτε φυσικήν μετιέναι θεωρίαν, μηδ᾽ ἄλλο τι ποιεῖν ἐν τῷ καιρῷ τῆς τῶν πονηρῶν δυνάμεων προσβολῆς, ἤ μόνον προσεύχεσθαι, καί τό σῶμα πόνοις δαμάζειν, καί τήν τοῦ χοϊκοῦ φρονήματος διά πάσης σπουδῆς ποιεῖσθαι καθαίρεσιν, καί φυλάττειν τά τείχη τῆς πόλεως· λέγω δέ τάς φρουρητικάς τῆς ψυχῆς ἀρετάς, ἤ τάς τῶν ἀρετῶν φυλακτικάς μεθόδους· ἐγκράτειαν λέγω καί ὑπομονήν· μήπως διά τῶν δεξιῶν ἀπατήσας, ἀποστήσῃ Θεοῦ κλέψας τήν ἔφεσιν, ὁ τήν ψυχήν ποτίζων ἀνατραπήν θολεράν, καί διά τῶν νομιζομένων καλῶν, πρός τά χείρονα τήν τά καλά ζητοῦσαν ὑποσύρῃ διάνοιαν.

οθ'. Ὁ γενναίως διά τῆς λελογισμένης καί περιεκτικῆς ἐγκρατείας καί ὑπομονῆς μύσας τάς αἰσθήσεις, καί διά τῶν κατά ψυχήν δυνάμεων τάς πρός τόν νοῦν τῶν αἰσθητῶν σχημάτων ἀποτειχίσας εἰσόδους, εὐχερῶς τοῦ διαβόλου τάς πονηράς διόλλυσι μηχανάς, ὑποστρέφων αὐτόν μετ᾽ αἰσχύνης τῇ ὁδῷ ᾗ ἦλθεν. Ὁδός δέ δι᾽ ἧς ὁ διάβολος ἔρχεται, ἐστί τά πρός σύστασιν τοῦ σώματος εἶναι δοκοῦντα ὑλικά.

π'. Νοῦς ἑαυτῷ κατά φύσιν διά μέσου λόγου συνάψας τήν αἴσθησιν, τήν ἐκ τῆς φυσικῆς θεωρίας ἀληθῆ συλλέγεται γνῶσιν.

πα'. Πηγαί εἰσιν ἔξω τῆς πόλεως· τουτέστι τῆς ψυχῆς· ἅς Ἐζεκίας ἐμφράττει· τά αἰσθητά πάντα· ὕδατα δέ τούτων τυγχάνουσι τῶν πηγῶν, τά τῶν αἰσθητῶν νοήματα· ποταμός δέ διορίζων διά μέσης τῆς πόλεώς ἐστιν, ἡ κατά φυσικήν θεωρίαν ἐκ τῶν (1252) αἰσθητῶν νοημάτων συναγομένη γνῶσις, διά μέσης διερχομένη τῆς ψυχῆς, ὡς νοῦ καί αἰσθήσεως οὖσα μεθόριος. Ἡ γάρ γνῶσις τῶν αἰσθητῶν, οὔτε πάντη νοερᾶς ἀπεξένωται δυνάμεως, οὔτε διόλου προσνενέμηται τῇ κατ᾽ αἴσθησιν ἐνεργείᾳ· ἀλλ᾽ οἷον τῆς τε τοῦ νοῦ πρός τήν αἴσθησιν, καί πρός τόν νοῦν τῆς αἰσθήσεως συνόδου, μέση τυγχάνουσα, δι᾽ ἑαυτῆς ποιεῖται τήν πρός ἄλληλα τούτων συνάφειαν· κατά μέν τήν αἴσθησιν, κατ᾽ εἶδος τυπουμένη τοῖς σχήμασι τῶν αἰσθητῶν· κατά δέ τόν νοῦν, εἰς λόγους τῶν σχημάτων τούς τύπους μεταβιβάζουσα. Διό ποταμός διορίζων διά μέσης τῆς πόλεως, εἰκότως προσηγορεύθη τῶν

ὁρωμένων ἡ γνῶσις, ὡς τῶν ἄκρων, λέγω δέ νοῦ καί αἰσθήσεως, οὖσα μεταίχμιος.

πβ'. Ὁ κατά τόν καιρόν τῆς τῶν πειρασμῶν ἐπαναστάσεως, τῆς μετά φυσικῆς ἀπεχόμενος θεωρίας, τῆς δέ προσευχῆς κατά τήν ἐκ πάντων πρός ἑαυτόν τε καί τόν Θεόν τοῦ νοῦ συστολήν ἀντεχόμενος, ἀποκτείνει τήν ποιητικήν τῆς κακίας ἕξιν, καί ἀποστρέφει μετ᾽ αἰσχύνης τόν διάβολον, ὑποβαλλόμενον τήν εἰρημένην ἕξιν, ἐφ᾽ ᾗ πεποιθώς μετά τῆς οἰκείας ἀλαζονείας ἦλθε πρός τήν ψυχήν, διά τῶν ὑπερηφάνων λογισμῶν τῆς ἀληθείας κατεπαιρόμενος· ὅπερ τυχόν καί γνούς καί παθών καί ποιήσας ὁ μέγας Δαβίδ, ὁ πάντων μάλιστα πεῖραν ἔχων τῆς τῶν νοητῶν πολέμων παρατάξεως, Ἐν τῷ συστῆναι, φησί, τόν ἁμαρτωλόν ἐναντίον μου , ἐκωφώθην καί ἐταπεινώθην, καί ἐσίγησα ἐξ ἀγαθῶν· καί μετ᾽ αὐτόν ὁ θεῖος Ἱερεμίας, προστάσσων τῷ λαῷ μή ἐκβῆναι τῆς πόλεως, διά τήν κύκλωσιν παροικοῦσαν τῶν ἐχθρῶν ῥομφαίαν.

πγ'. Καί ὁ μακάριος τοίνυν Ἄβελ, εἴπερ ἐφυλάξατο, καί μή συνεξῆλθε τῷ Κάϊν ἐν τῷ πεδίῳ· τουτέστιν ἐν τῷ πλάτει τῆς φυσικῆς θεωρίας· πρό τῆς ἀπαθείας, οὐκ ἄν ἐπαναστάς ἀπέκτεινεν αὐτόν μετά δόλου, κλέψας τοῖς δεξιοῖς κατά τήν τῶν ὄντων θεωρίαν πρό τῆς τελαίας ἕξεως, ὁ τῆς σαρκός νόμος, ὁ Κάϊν καί ὤν καί καλούμενος.

πδ'. Ὁμοίως καί Δίνα, ἡ τοῦ μεγάλου θυγάτηρ Ἰακώβ, εἰ μή συνεξῆλθε ταῖς θυγατράσι τῶν ἐγχωρίων· τουτέστι, ταῖς αἰσθητικαῖς φαντασίαις· οὐκ ἄνΣυχέμ ὁ υἱός Ἐμμόρ ἐπαναστάς αὐτήν ἐταπείνωσε.

πε'. Καλόν ἐστι πρό τῆς τελείας ἕξεως, μή ἅπτεσθαι ἡμᾶς τῆς φυσικῆς θεωρίας, ἵνα μή λόγους ἐπιζητοῦντες πνευματικούς ἐκ τῶν ὁρωμένων κτισμάτων, λάθωμεν πάθη συλλέγοντες. Πλέον γάρ ἐν τοῖς ἀτελέσι δυναστεύει πρός τήν αἴσθησιν τά φαινόμενα σχήματα τῶν ὁρωμένων, ἤ πρός τήν ψυχήν οἱ κεκρυμμένοι τοῖς σχήμασι λόγοι τῶν γεγονότων. Οἱ μέντοι μόνῳ τῷ γράμματι προσδήσαντες Ἰουδαϊκῶς τήν διάνοιαν, κατά τόν αἰῶνα τοῦτον ἐκδέχονται τάς ἐπαγγελίας τῶν ἀκηράτων ἀγαθῶν, ἀγνοοῦντες τά κατά φύσιν τῆς ψυχῆς ἀγαθά.

πστ'. (1253) Ὁ τήν εἰκόνα φορέσας τοῦ ἐπουρανίου, τῷ πνεύματι διά πάντων ἕπεσθαι σπεύδει τῆς ἁγίας Γραφῆς, ἐν ᾧ δι᾽ ἀρετῆς καί γνώσεως, ἡ τῆς ψυχῆς ὑπάρχει συντήρησις· ὁ δέ τήν εἰκόνα φορῶν τοῦ χοϊκοῦ, τό γράμμα μόνον περιέπει· ἐν ᾧ ἡ κατ᾽ αἴσθησιν πρός σῶμα λατρεία συνέστηκε τά πάθη δημιουργοῦσα.

πζ'. Κράτος Θεοῦ καθέστηκεν, ἡ ἀναιρετική τῶν παθῶν ἀρετή, καί τῶν εὐσεβῶν φρουρητική λογισμῶν, ἥν γεννᾷ πρᾶξις ἐντολῶν, δι᾽ ἧς τάς ἀντικειμένας τῷ ἀγαθῷ πονηράς δυνάμεις, συνεργείᾳ Θεοῦ· μᾶλλον δέ μόνῃ δυνάμει Θεοῦ διαφθείρομεν. Ὕψος δέ Θεοῦ ἐστιν ἡ γνῶσις τῆς ἀληθείας, ἥν γεννᾷ τῆς τῶν γεγονότων θεωρίας ὁ πόνος, καί οἱ ἐπί τῇ πράξει τῶν ἀρετῶν ἱδρῶτες πόνου πατέρες γινόμενοι· δι᾽ ἧς τήν ἀντικειμένην τῇ ἀληθείᾳ τοῦ ψεύδους δύναμιν, παντελῶς ἐξαφανίζομεν, πᾶν ὕψωμα τῶν ἐπαιρομένων κατά τῆς γνώσεως τοῦ Θεοῦ πονηρῶν πνευμάτων ταπεινοῦντες καί καταβάλλοντες. Καί γάρ ὥσπερ ἡ πρᾶξις γεννᾷ τήν ἀρετήν, οὕτως ἡ θεωρία τήν γνῶσιν.

πη'. Ἡ ἄληστος γνῶσις, ἀόριστον ἔχουσα περί τήν θείαν ἀπειρίαν τήν κατά νοῦν ὑπέρ νόησιν κίνησιν, εἰκονίζει διά τῆς ἀοριστίας τήν ὑπεράπειρον δόξαν τῆς ἀληθείας· ἡ δέ τῆς κατά τήν πρόνοιαν σοφῆς ἀγαθότητος αὐθαίρετος μίμησις, τιμήν φέρει τήν πρός τόν Θεόν τοῦ νοῦ κατά τήνδιάθεσιν ἀρίδηλον, ὡς ἔστι δυνατόν, ἐξομοίωσιν.

πθ'. Ἡ γλῶσσα τῆς κατά ψυχήν γνωστικῆς ἐνεργείας ἐστί σύμβολον· ὁ δέ λάρυγξ, τῆς πρός τό σῶμα φυσικῆς φιλαυτίας τεκμήριον. Ὁ γοῦν ταῦτα ψεκτῶς κολλήσας ἀλλήλοις, μνησθῆναι τῆς κατ᾽ ἀρετήν καί γνῶσιν εἰρηνικῆς ἕξεως οὐ δύναται, τῇ συγχύσει διά σπουδῆς τῶν σωματικῶν ἡδόμενος παθῶν.

τέσσ. ἀνοικ. '. Αἱ κατά φύσιν ὀρέξεις καί ἡδοναί, μή φέρουσαι τοῖς κεκτημένοις διαβολήν, ὡς ἀναγκαῖον παρακολούθημα τῆς φυσικῆς ὀρέξεως καθεστήκασιν. Ἡδονήν γάρ κατά φύσιν ποιεῖ καί μή βουλομένων ἡμῶν, καί ἡ τυχοῦσα τροφή, προλαβοῦσαν ἔνδειαν παραμυθουμένη· καί πόσις, ἀποκρουομένη τοῦ δίψους τήν ὄχλησιν· καί ὕπνος, τήν ἐκ τῆς ἐγρηγόρσεως δαπανηθεῖσαν ἀνανεούμενος δύναμιν· (1256) καί ὅσα τῶν καθ᾽ ἡμᾶς φυσικῶν ἕτερα τυγχάνει, πρός μέν σύστασιν φύσεως, ἀναγκαῖα· πρός δέ κτῆσιν ἀρετῆς, ὑπάρχοντα χρήσιμα τοῖς σπουδαίοις. Ἅπερ συνεκβαίνει παντί νοΐ φεύγοντι τῆς ἁμαρτίας τήν σύγχυσιν· ἵνα μή δι᾽ αὐτά μείνῃ κρατούμενος εἰς δουλείαν τῶν ἐφ᾽ ἡμῖν καί διαβεβλημένων, καί παρά φύσιν παθῶν, οὐκ ἐχόντων ἄλλην ἀρχήν ἐν ἡμῖν πλήν τῆς κινήσεως τῶν κατά φύσιν παθῶν, τῶν μηδέ πεφυκότων πρός τήν ἀθάνατον καί μακραίωνα ζωήν συμμεταβαίνειν ἡμῖν.

τέσσ. ἀνοικ. α'. Οἱ λόγοι τοῦ Θεοῦ, ψιλῶς κατά μόνην λαλούμενοι τήν προφοράν, οὐκ ἀκούονται, φωνήν τήν τῶν αὐτούς λαλούντων πρᾶξιν οὐκ ἔχοντες. Εἰ δέ τῇ πράξει τῶν ἐντολῶν ἐκφωνοῦνται, τούς

τε δαίμονας ἔχουσι τῇ τοιαύτῃ διατηκομένους φωνῇ, καί τούς ἀνθρώπους τῇ προκοπῇ τῶν ἔργων τῆς δικαιοσύνης, εὐπειθῶς τόν θεῖον τῆς καρδίας οἰκοδομοῦντας ναόν.

τέσσ. ἀνοικ. β'. Ὥσπερ ὁ Θεός κατ᾽ οὐσίαν οὐχ ὑποπέπτωκε γνώσει, οὕτως οὔτε ὁ λόγος αὐτοῦ γνώσει τῇ καθ᾽ ἡμᾶς περιλαμβάνεται. Ὁ γάρ τῆς ἁγίας Γραφῆς λόγος, κἄν εἰ δέχηται περιγραφήν κατά τό γράμμα, τοῖς χρόνοις τῶν ἱστορουμένων πραγμάτων συναπολήγων· ἀλλά κατά τό πνεῦμα ταῖς τῶν νοουμένων θεωρίαις μένει διαπαντός ἀπερίγραφος.

τέσσ. ἀνοικ. γ'. Χρή τόν γνωστικῶς πρός ψυχήν τήν ἁγίαν Γραφήν κατά Χριστόν ἐκδεχόμενον, ἀσκηθῆναι φιλοπόνως καί τῶν ὀνομάτων τήν ἑρμηνείαν, αὐτόθεν δυνάμενον ὅλην τήν τῶν γεγραμμένων σαφηνίσαι διάνοιαν, εἴπερ μέλει αὐτῷ τῆς ἀκριβοῦς τῶν γεγραμμένων κατανοήσεως· ἀλλ᾽ οὐκ Ἰουδαϊκῶς πρός σῶμα καί γῆν κατάγειν τό ὕψος τοῦ πνεύματος, καί τάς θείας καί ἀκηράτους τῶν νοητῶν ἀγαθῶν, τῇ τῶν παρεχομένων φθορᾷ περιγράφειν ἐπαγγελίας.

τέσσ. ἀνοικ. δ'. Ὥσπερ εὐχή ἐστιν, ὑπόσχεσις τῶν ἐξ ἀνθρώπων Θεῷ κατ᾽ ἐπαγγελίαν προσαγομένων καλῶν, οὕτω προσευχή κατά τόν εἰκότα λόγον ἔσται σαφῶς, ἡ τῶν ἐκ Θεοῦ πρός σωτηρίαν χορηγουμένων τοῖς ἀνθρώποις ἀγαθῶν ἐξαίτησις, ἀντίδοσιν φέρουσα τῆς τῶν προηγμένων [male edita προηγουμ.] καλῆς διαθέσεως. Βοή δέ ἐστιν ἡ τῶν κατά τήν πρᾶξιν ἐναρέτων τρόπων, καί τῶν κατά τήν θεωρίαν γνωστικῶν θεωρημάτων, ἐν τῷ καιρῷ τῆς τῶν πονηρῶν δαιμόνων ἐπαναστάσεως, ἐπίδοσίς τε καί ἐπαύξησις, ἧς πάντων οὐχ ἥκιστα φυσικῶς ἀκούει Θεός, ἀντί μεγάλης φωνῆς, τήν τῶν τῆς ἀρετῆς καί γνώσεως ἐπιμελουμένων διάθεσιν.

τέσσ. ἀνοικ. ε'. Ἡ πονηρά καί ὀλέθριος τοῦ διαβόλου βασιλεία, (1257) διά τῆς τῶν Ἀσσυρίων τυπουμένη βασιλείας, τόν κατά τῆς ἀρετῆς καί τῆς γνώσεως συναγείρουσα πόλεμον, διά τῶν αὐτῆς ἐμφύτων δυνάμεων τροποῦσθαι μηχανᾶται τήν ψυχήν· τήν μέν ἐπιθυμίαν πρῶτον, εἰς ὄρεξιν τῶν παρά φύσιν διερεθίζουσα, καί τά αἰσθητά τῶν νοητῶν προτιμᾶν ἀναπείθουσα· τόν δέ θυμόν, ὑπεραγωνίζεσθαι τοῦ αἱρεθέντος ὑπό τῆς ἐπιθυμίας αἰσθητοῦ διεγείρουσα· τό δέ λογικόν, τούς τρόπους ἐπινοεῖν τῶν κατ᾽ αἴσθησιν ἡδονῶν ἐκδιδάσκουσα.

τέσσ. ἀνοικ. στ'. Τῆς ἄκρας ἀγαθότητος ἴδιον, τό, μή μόνον τάς θείας καί ἀσωμάτους τῶν νοητῶν οὐσίας, τῆς ἀποῤῥήτου καί θείας

ἀπεικονίσματα καταστῆσαι δόξης, ὅλην κατά τό θεμιτόν ἀναλόγως αὐταῖς εἰσδεχομένας τήν ἀπερινόητον ὡραιότητα τοῦ ἀπροσίτου κάλλους· ἀλλά καί τοῖς αἰσθητοῖς, καί τῶν νοητῶν οὐσιῶν κατά πολύ ἀποδέουσιν, ἀπηχήματα τῆς οἰκείας ἐγκαταμίξαι μεγαλειότητος, δυνάμενα τόν ἀνθρώπινον νοῦν ἐποχούμενον αὐτοῖς, πρός Θεόν ἀπλανῶς διαπορθμεύειν, ὑπεράνω πάντων τῶν ὁρωμένων γινόμενον, οἷα τῆς ἄκρας ἐπιβάντα μακαριότητος.

τέσσ. ἀνοικ. ζ'. Πᾶς νοῦς ἀρετῇ καί γνώσει κατεστεμμένος, οἷα δή κατά τόν μέγαν Ἐζεκίαν βασιλεύειν λαχών τῆς Ἱερουσαλήμ· τουτέστι, τῆς εἰρήνην μόνην ὁρώσης ἕξεως, ἤγουν τῆς παντοίων παθῶν ἐστερημένης καταστάσεως· ὅρασις γάρ εἰρήνης Ἱερουσαλήμ ἑρμηνεύεται· πᾶσαν ἔχει τήν κτίσιν ὑποχείριον· διά τῶν αὐτήν συμπληρούντων εἰδῶν, τῷ μέν Θεῷ δι αὐτοῦ τούς ἐν αὐτῇ πνευματικούς τῆς γνώσεως καθάπερ δῶρα προσκομίζουσαν λόγους· αὐτῷ δέ καθάπερ δόματα, τούς ἐνυπάρχοντας αὐτῇ κατά τόν φυσικόν νόμον πρός ἀρετήν τρόπους παρέχουσαν, καί διά τῶν ἀμφοτέρων δεξιουμένην, τόν κατ᾽ ἀμφότερα κρατίστως εὐδοκιμεῖν δυνάμενον· λέγω δέ, τόν κατά λόγον καί βίον, διά πράξεώς τε καί θεωρίας τελειωθέντα φιλόσοφον νοῦν.

τέσσ. ἀνοικ. η'. Ὁ διά πράξεως καί θεωρίας κατορθώσας εἰς ἄκρον τήν ἀρετήν καί τήν γνῶσιν, εἰκότως ὑπεραίρεται πάντων, τῶν σαρκικῶν καί διαβεβλημένων παθῶν ὑπεράνω κατά τήν πρᾶξιν γινόμενος, καί τῶν φυσικῶν λεγομένων σωμάτων, λέγω δή, τῶν ὑπό γένεσιν ὄντων καί φθοράν· καί ἁπλῶς, ἵνα συνελών εἴπω, πάντων τῶν ὑπό αἴσθησιν εἰδῶν, κατά τήν θεωρίαν, τούς ἐν αὐτοῖς πάντας γνωστικῶς διαπεράσας λόγους, τόν νοῦν ὁ τοιοῦτος πρός τά συγγενῆ καί θεῖα ἀνήγαγεν.

τέσσ. ἀνοικ. θ'. Ὁ τήν ἀπάθειαν καθάπερ Ἱερουσαλήμ οἰκεῖν διά τῶν κατά τήν πρᾶξιν πόνων λαχών, καί πάσης τῆς καθ᾽ ἁμαρτίαν ἀπηλλαγμένος ὀχλήσεως, καί μόνην εἰρήνην καί πράττων καί λαλῶν, καί ἀκούων καί λογιζόμενος· μετά τό δέξασθαι διά τῆς φυσικῆς θεωρίας τήν φύσιν τῶν ὁρατῶν, τούς ἐν αὐτῇ θειοτέρους καθάπερ δῶρα τῷ Κυρίῳ δι᾽ αὐτοῦ (1260) προσκομίζουσα λόγους καί τούς ἐν αὐτῇ νόμους αὐτῷ καθάπερ βασιλεῖ δόματα φέρουσαν, κατ᾽ ὀφθαλμούς ἐπαίρεται πάντων τῶν ἐθνῶν, ὑπεράνω γινόμενος πάντων, δηλονότι τῶν τε κατά σάρκα παθῶν διά τῆς πράξεως, τῶν τε

φυσικῶν σωμάτων, καί τῶν ὑπό τήν αἴσθησιν πάντων εἰδῶν διά τῆς θεωρίας, τούς ἐν αὐτοῖς πνευματικούς διαβάς λόγους τε καί τρόπους.

ρ'. Ἡ πρακτική φιλοσοφία, τόν πρακτικόν ὑπεράνω ποιεῖ τῶν παθῶν· ἡ θεωρία δέ, τόν γνωστικόν, ὑπεράνω τῶν ὁρωμένων καθίστησιν, ἀναβιβάσασα τόν νοῦν πρός τά συγγενῆ νοητά.

## *ΕΚΑΤΟΝΤΑΣ ΤΡΙΤΗ. (1260)*

α'. Ὁ μετά πράξεως γινώσκων, καί μετά γνώσεως πράττων, θρόνος καί ὑποπόδιόν ἐστι τοῦ Θεοῦ· θρόνος μέν, διά τήν γνῶσιν· ὑποπόδιον δέ, διά τήν πρᾶξιν. Εἰ δέ καί τόν ἀνθρώπινον νοῦν φαίη τις εἶναι οὐρανόν, πάσης μέν ὑλικῆς καθαιρόμενον φαντασίας, τοῖς δέ θείοις τῶν νοητῶν ἐνασχολούμενον, μᾶλλον δέ κατακοσμούμενον λόγοις, οὐκ ἔξω τῆς ἀληθείας, ἔμοιγε δοκεῖ, βέβηκε.

β'. Πᾶς φιλόσοφος δηλονότι καί εὐσεβής, ἀρετῇ καί γνώσει, ἤ πράξει καί θεωρίᾳ φρουρούμενος, ἐπειδάν ἴδῃ διά τῶν παθῶν ἐπαναστᾶσαν αὐτῷ τήν πονηράν δύναμιν, καθάπερ τῷ Ἐζεκίᾳ ὁ τῶν Ἀσσυρίων βασιλεύς, μίαν ἔχει πρός τήν τῶν κακῶν λύσιν βοήθειαν, τόν Θεόν, ὅν ἱλεοῦται βοῶν ἀλαλήτως διά τῆς κατά τήν ἀρετήν καί γνῶσιν πλείονος ἐπιτάσεως· καί δέχεται πρός συμμαχίαν, μᾶλλον δέ πρός σωτηρίαν, ἄγγελον, δηλονότι μείζονα σοφίας καί γνώσεως λόγον, ἐκτρίβοντα πάντα δυνατόν καί πολεμιστήν καί ἄρχοντα καί στρατηγόν ἐν τῇ παρεμβολῇ.

γ'. Παντός πέφυκε πάθους ἄρχειν τό προσφυές αἰσθητόν. Ἄνευ γάρ τινος ὑποκειμένου, καί τάς δυνάμεις τῆς ψυχῆς διά μέσης τινός αἰσθήσεως ἐπικινοῦντος πρός ἑαυτό, πάθος οὐκ ἄν συσταίη ποτέ. Χωρίς γάρ αἰσθητοῦ πράγματος, πάθος οὐ συνίσταται. Μή γάρ οὔσης γυναικός, οὐκ ἔστι πορνεία· (1261) καί βρωμάτων οὐκ ὄντων, οὐκ ἔσται γαστριμαργία· καί χρυσοῦ μή ὄντος, οὐκ ἔσται φυλαργυρία. Οὐκοῦν πάσης ἐμπαθοῦς κινήσεως τῶν ἐν ἡμῖν φυσικῶν δυνάμεων ἄρχει τό αἰσθητόν, ἤγουν, δι᾽ αὐτοῦ τήν ψυχήν διερεθίζων πρός ἁμαρτίαν δαίμων.

δ'. Ἡ τρίψις, τήν ἐνέργειαν· ἡ ἔκτριψις δέ, καί αὐτήν ἀφανίζει τῆς κακίας τήν ἐνθύμησιν. Ἡ μέν γάρ τρίψις, τῆς ἐμπαθοῦς κατ᾽ ἐνέργειαν μόνης ὑπάρχει πράξεως κατάργησις· ἡ δέ ἔκτριψις, καί τῶν κατά διάνοιαν πονηρῶν κινημάτων παντελής ἐστιν ἀφανισμός.

εʹ. Μέσα εἰσί Θεοῦ καί ἀνθρώπων τά αἰσθητά καί τά νοητά· ὧν ὑπεράνω γίνεται χωρῶν πρός Θεόν ὁ ἀνθρώπινος νοῦς· τοῖς μέν αἰσθητοῖς κατά τήν πρᾶξιν μή δουλούμενος, τοῖς δέ νοητοῖς κατά τήν θεωρίαν μηδόλως κρατούμενος.

στʹ. Κατήγορος ἡ κτίσις γίνεται τῶν ἀσεβῶν ἀνθρώπων· διά μέν τῶν ἐν αὐτῇ λόγων, τόν ἑαυτῆς κηρύττουσα ποιητήν· διά δέ τῶν ἐν αὐτῇ κατ᾽ εἶδος ἕκαστον φυσικῶν νόμων, πρός ἀρετήν παιδαγωγοῦσα τόν ἄνθρωπον. Οἱ μέν οὖν λόγοι, ἐν τῇ συνοχῇ τῆς τοῦ καθ᾽ ἕκαστον εἴδους γνωρίζονται μονιμότητος· οἱ δέ νόμοι, ἐν τῇ ταυτότητι φαίνονται τῆς τοῦ καθ᾽ ἕκαστον εἴδους φυσικῆς ἐνεργείας· οἷς μή ἐπιβάλλοντες κατά τήν ἐν ἡμῖν νοεράν δύναμιν, τήν τε τῶν ὄντων ἠγνοήσαμεν αἰτίαν, καί πᾶσι τοῖς παρά φύσιν προστετήκαμεν πάθεσι.

ζʹ. Δῶρα τῷ Θεῷ προσφέρεσθαι παρ᾽ ἡμῶν ὁ λόγος διακελεύεται, ἵνα παραστήσῃ τό τῆς θείας ἀγαθότητος ἄπειρον, ὡς μηδέν προεισενεγκούσης δέχεσθαι παρ᾽ ἡμῶν ὡς δῶρα τά δόματα, τό πᾶν ἡμῖν λογιζομένης τῆς εἰσφορᾶς, πολλήν καί ἄφατον εἶναι περί ἡμᾶς δεικνύων τοῦ Θεοῦ τήν ἀγαθότητα, δεχομένου ὡς ἡμῶν τά ἑαυτοῦ, ἐξ ἡμῶν αὐτῷ προσφερόμενα, καί τήν ὑπέρ αὐτῶν ὡς ἀλλοτρίων ὀφειλήν ὁμολογοῦντος.

ηʹ. Ὁ ἄνθρωπος, τούς πνευματικούς τῶν ὁρωμένων λόγους κατανοῶν, διδάσκεται, ὡς ἔστι τις τῶν φαινομένων ποιητής· τήν τοῦ ὁποῖός ἐστιν ἔννοιαν, ὡς ἀνέφικτον ἀφείς ἀνεξέταστον. Τήν γάρ ὅτι Ποιητής, ἀλλ᾽ οὐχ ὁποῖός ἐστιν ὁ ποιητής, ὁρωμένη σαφῶς ἡ κτίσις, παρέχει κατάληψιν.

θʹ. Ὀργή Θεοῦ ἐστιν, ἡ τῶν παιδαγωγουμένων ἐπίπονος αἴσθησις. Ἐπίπονος δέ καθέστηκεν αἴσθησις, ἡ τῶν ἀκουσίων πόνων ἐπαγωγή, δι᾽ ἧς τόν ἐπ᾽ ἀρετῇ καί γνώσει φυσιούμενον νοῦν, ὁ Θεός ἄγει πολλάκις πρός συστολήν καί ταπείνωσιν· αὐτόν ἑαυτοῦ γενέσθαι διδούς ἐπιγνώμονα, καί τῆς οἰκείας ἀσθενείας συνίστορα· ἧς ἐπαισθόμενος, τό μάταιον οἴδημα τῆς καρδίας ἀποτίθεται.

ιʹ. (1264) Ὀργή Κυρίου ἐστίν, ἡ ἀνακωχή τῆς τῶν θείων χαρισμάτων χορηγίας· ἥ τις συμφερόντως ἐπί πάντα γίνεται νοῦν ὑψηλόν καί μετέωρον· καί τοῖς δοθεῖσιν αὐτῷ θεόθεν καλοῖς, ὡς ἐπί ἰδίοις κατορθώμασι μεγαλαυχούμενον.

ιαʹ. Πᾶς γνωστικός καί φιλόσοφος νοῦς, καί τόν Ἰούδαν ἔχει καί τήν Ἱερουσαλήμ· τόν μέν Ἰούδαν, ὡς πρακτικήν φιλοσοφίαν· τήν δέ Ἱερουσαλήμ, ὡς θεωρητικήν μυσταγωγίαν. Ὁπηνίκα οὖν διά τῆς θείας

χάριτος ὁ φιλόθεος νοῦς, κατά τε τήν πρακτικήν καί θεωρητικήν φιλοσοφίαν, πᾶσαν ἀντικειμένην ἀρετῇ καί γνώσει διακρουσάμενος δύναμιν, τελείως τό κατά τῶν πνευμάτων τῆς πονηρίας ἀναδήσηται κράτος, καί μή τήν δέουσαν εὐχαριστίαν ἀνάθηται τῷ αἰτίῳ τῆς νίκης Θεῷ, ἀλλ᾽ ὑψωθῇ τήν καρδίαν, ἑαυτόν τοῦ παντός κατορθώματος ἡγησάμενος αἴτιον· τηνικαῦτα ὡς μή ἀνταποδούς τῷ Θεῷ, κατά τό ἀνταπόδομα, ὅ ἀνταπέδωκεν αὐτῷ, δέχεται οὐ μόνον αὐτός γινομένην ἐπ᾽αὐτόν τήν ὀργήν τῆς ἐγκαταλείψεως, ἀλλά καί Ἰούδας καί Ἱερουσαλήμ· τουτέστιν, ἡ τῆς πράξεως ἕξις καί τῆς θεωρίας παθῶν ἀτιμίας εὐθέως, συγχωρήσει Θεοῦ, κατεπανισταμένων τῆς πράξεως, καί τήν τέως καθαράν μολυνόντων συνείδησιν· καί ψευδῶν ἐννοιῶν, συνεπιπλεκομένων τῇ θεωρίᾳ τῶν ὄντων, καί τήν τέως ὀρθήν διαστρεφουσῶν δόξαν τῆς γνώσεως. Τόν γάρ ἐπαιρόμενον ἐπί πράξει, παθῶν ἀτιμία διαδέχεται· τόν δέ ἐπί γνώσει ὑψούμενον, περί τήν ἀληθῆ θεωρίαν πταίειν ἡ δικαία κρίσις συγχωρεῖ.

ιβ'. Θεῖος ὡς ἀληθῶς ὅρος τε καί νόμος κατά τήν Πρόνοιαν ἐνυπάρχει τοῖς οὖσι, παιδεύεσθαι διά τῶν ἐναντίων ἐπιτρέπων πρός εὐγνωμοσύνην, τούς ἐπί κρείττοσι φανέντας ἀγνώμονας, καί τήν πεῖραν τῶν ἀντικειμένων τῆς τῶν καλῶν κατορθωτικῆς θείας ἐπίγνωσιν ποιεῖσθαι δυνάμεως· ὡς ἄν μή παντελῶς ἐπί τοῖς ἀμείνοσιν ἀκαθαίρετον παρά τῆς Προνοίας ἔχειν συγχωρηθέντες τήν οἴησιν, εἰς τήν ἀντίθεον τῆς ὑπερηφανίας διάθεσιν κατολισθήσωμεν, ἑαυτῶν κατά φύσιν, ἀλλ᾽ οὐκ ἐπίκτητον χάριτι τήν τῆς ἀρετῆς καί τῆς γνώσεως κτῆσιν εἶναι νομίζοντες· καί εὑρεθῶμεν τῷ καλῷ πρός τήν τοῦ κακοῦ χρώμενοι γένεσιν, καί δι᾽ ὧν ἔδει πλέον διασφιγχθεῖσαν ἐν ἡμῖν ἀσάλευτον μένειν τήν θείαν ἐπίγνωσιν, δι᾽ ἐκείνων ὡς οὐκ ὤφελον τήν ταύτης νοσήσαντες ἄγνοιαν.

ιγ'. (1265) Ὅρον καί νόμον ἐνυπάρχοντα θεῖον τοῖς οὖσιν ἴσμεν, τήν τῶν ὄντων συνεκτικήν πρόνοιαν, κατά κρίσιν δικαίαν τῇ σπάνει τῶν ἀγαθῶν παιδεύουσαν πρός εὐγνωμοσύνην, τούς ἐπί τῇ ἀφθονίᾳ τῶν ἀγαθῶν πρός τόν ταύτης χορηγόν φανέντας ἀγνώμονας, διά τῶν ἐναντίων αὐτούς πρός συναίσθησιν ἄγουσαν τῆς τοῦ χαριζομένου τά καλά διαγνώσεως. Ἡ ἐπ᾽ ἀρετῇ γάρ οἴησις, ἀπαιδαγώγητος μένουσα, τό τῆς ὑπερηφανίας γεννᾷν πέφυκε νόσημα, τό τήν ἀντικειμένην τῷ Θεῷ φέρον διάθεσιν.

ιδ'. Ὁ οἰόμενος ἑαυτόν κατειληφέναι τό τέλος τῆς ἀρετῆς, οὐδαμῶς ζητήσει λοιπόν τήν πηγαίαν τῶν καλῶν αἰτίαν, ἑαυτῷ μόνῳ

περιγράψας τήν τῆς ἐφέσεως δύναμιν, καί αὐτόν τῆς σωτηρίας τόν ὅρον ὑφ᾽ ἑαυτοῦ, φημί δέ τόν Θεόν, ζημιούμενος. Ὁ δέ τῆς ἑαυτοῦ περί τά καλά φυσικῆς συναισθόμενος πενίας, οὐ παύεται προτροπάδην τρέχων πρός τόν δοῦναι δυνάμενον τῆς ἐνδείας τήν πλήρωσιν.

ιε'. Ὁ τήν ἀπειρίαν τῆς ἀρετῆς διαγνούς, οὐδέποτε τοῦ κατ᾽ αὐτήν παύεται δρόμου, ἵνα μή ζημιωθῇ αὐτήν τῆς ἀρετῆς τήν ἀρχήν καί τό τέλος, τόν Θεόν λέγω, περί ἑαυτόν στήσας τήν κίνησιν τῆς ἐφέσεως· καί λάθῃ νομίζων ἐπειλῆφθαι τῆς τελειότητος, ὑπομένων τοῦ ἀληθῶς ὄντος τήν ἔκπτωσιν, πρός ὅπερ ἐπείγεται πᾶσα σπουδαίου κίνησις.

στ'. Γίνεται δικαίως ἐπί τόν ὑψηλόφρονα νοῦν ὀργή· τουτέστιν, ἐγκατάλειψις, καθά εἴρηται· ἤγουν ἡ τοῦ διοχληθῆναι αὐτόν κατά τε τήν πρᾶξιν, κατά τε τήν θεωρίαν ὑπό δαιμόνων συγχώρησις· ἵνα λάβῃ, τῆς μέν ἑαυτοῦ φυσικῆς ἀσθενείας, συναίσθησιν· τῆς δέ σκεπούσης αὐτόν, καί τό πᾶν κατορθούσης τῶν ἀγαθῶν θείας δυνάμεώς τε καί χάριτος, τήν ἐπίγνωσιν· καί ταπεινωθῇ, πόῤῥω παντελῶς ἑαυτοῦ τό ἀλλότριον καί παρά φύσιν ὕψος ποιούμενος· ὥστε μή ἐπελθεῖν ἐπ᾽ αὐτόν τήν ἄλλην ὀργήν, τῆς τῶν δοθέντων χαρισμάτων ἀφαιρέσεως, ταπεινωθέντα καί γενόμενον τῆς τοῦ παρέχοντος τά καλά συναισθήσεως.

ιζ'. Ὁ μή σωφρονισθείς τῷ πρώτῳ εἴδει τῆς ὀργῆς, ἤγουν ἐγκαταλείψεως, ἐλθεῖν πρός ταπείνωσιν, ἡγησάμενος αὐτήν τῆς καλῆς ἐπιγνωμοσύνης διδάσκαλον, τήν ἄλλην δέχεται σαφῶς ἐπ᾽ αὐτόν ἐρχομένην ὀργήν, ἀφαιρουμένην αὐτοῦ τήν τῶν χαρισμάτων ἐνέργειαν, καί ἔρημον αὐτόν καθιστῶσαν τῆς τέως φρουρούσης δυνάμεως. Ἀφελῶ γάρ, φησί, τόν φραγμόν αὐτοῦ, περί τοῦ ἀγνώμονος Ἰσραήλ ὁ Θεός λέγων, καί ἔσται εἰς διαρπαγήν· καί καθελῶ τόν τοῖχον αὐτοῦ, καί ἔσται εἰς καταπάτημα· καί ἀνήσω τόν ἀμπελῶνά μου, καί οὐ μή τμηθῇ, οὐδέ μή σκαφῇ· καί ἀναβήσεται εἰς αὐτόν ὡς εἰς χέρσον ἄκανθα, καί ταῖς νεφέλαις ἐντελοῦμαι τοῦ μή βρέξαι εἰς αὐτόν.

ιη'. (1268) Ἔτι [edit. et unus Reg. ὅτι] πρός ἀσέβειαν πρανής καθέστηκεν ὁδός, ἡ περί τήν ζημίαν τῶν ἀρετῶν ἀναισθησία. Ὁ γάρ ἐθίσας ἑαυτόν διά τάς ἡδονάς τῆς σαρκός Θεοῦ παρακούειν, καί αὐτόν ἀρνήσεται τόν Θεόν, καλούσης προφάσεως· Θεοῦ τήν σαρκός ζωήν προτιμῶν, ἧς καί μόνης τάς ἡδονάς τῶν θείων κρείττους ἔσχηκε θελημάτων.

ιθ'. Ὅταν τι καθ᾽ οἱονδήποτε τρόπον τόν νοῦν πεπονθέναι νομίσωμεν, τῷ τοιούτῳ νοΐ, τήν τε πρακτικήν αὐτοῦ καί θεωρητικήν

δύναμιν, κατά τούς φυσικούς αὐτῶν λόγους συμπεπονθέναι πάντως πιστεύσομεν. Οὐ γάρ ἐστι δυνατόν παθεῖν τό ὑποκείμενον, τῶν ἐν ὑποκειμένῳ μή πασχόντων· ὑποκείμενον δέ λέγω τόν νοῦν, ὡς ἀρετῆς καί γνώσεως δεκτικόν· ἐν ὑποκειμένῳ δέ, τήν πρᾶξιν καί τήν θεωρίαν, αἵτινες πρός τόν νοῦν συμβεβηκότων λόγον ἐπέχουσι. Διό κατά πάντα τρόπον, καί συμπάσχουσι πάσχοντι, τήν αὐτοῦ ποιάν κίνησιν, ἀρχήν τῆς οἰκείας ἀλλοιώσεως ἔχουσαι.

κ'. Πᾶς θεοφιλής καί ἐνάρετος ἄνθρωπος κατά τόν Ἐζεκίαν, γνωστικῶς τε κατά τῶν δαιμόνων διαζωσάμενος κράτος, ἄν γένηταί τις αὐτῷ προσβολή πνευμάτων πονηρῶν, ἀοράτως κατά νοῦν πρός αὐτόν συμπλεκόντων τόν πόλεμον, καί διά προσευχῆς δέξηται θεόθεν αὐτῷ πεμπόμενον ἄγγελον· λέγω δέ σοφίας λόγον μείζονα· καί πᾶσαν ἐκτρίψας διασκεδάσῃ τοῦ διαβόλου τήν φάλαγγα· καί τῆς τοιαύτης νίκης τε καί σωτηρίας αἴτιον τόν Θεόν μή ἐπιγράψηται, ἀλλ᾽ ἑαυτῷ τήν ὅλην ἀνάθηται νίκην, ὁ τοιοῦτος οὐκ ἀνταπέδωκε τῷ Θεῷ κατά τό ἀνταπόδομα αὐτοῦ, μή ἐξισώσας τῷ μεγέθει τῆς σωτηρίας, τό πλῆθος τῆς εὐχαριστίας· μηδέ τῇ εὐεργεσίᾳ τοῦ σώσαντος, ἀντιμετρήσας τήν οἰκείαν διάθεσιν.

κα'. Φωτίσωμεν τόν νοῦν τῆς θείοις νοήμασι· τό δέ σῶμα τοῖς τῶν νοηθέντων θειοτέρων λόγων τρόποις φαιδρύνωμεν, ἀρετῆς αὐτόν ποιοῦντες λογικόν ἐργαστήριον, τῇ ἀποβολῇ τῶν παθῶν· τά γάρ ἔμφυτα πάθη τοῦ σώματος, λόγῳ μέν κυβερνώμενα, οὐκ ἔχει διαβολήν· κινούμενα δέ τούτου χωρίς, φέρει διαβολήν. Τούτων οὖν λέγει γένεσθαι δεῖν ἀποβολήν, ὧν ἔμφυτος μέν ἡ κίνησις, παρά φύσιν δέ γίνεται πολλάκις ἡ χρῆσις, λόγῳ μή κυβερνωμένη.

κβ'. Πᾶς ὁ ὑψώσας ἑαυτοῦ τήν καρδίαν, ἐφ᾽ οἷς ἔλαβε χαρίσμασι, μέγα φρονήσας, ὡς μή λαβών, ἐνδίκως δέχεται γινομένην ἐπ᾽ αὐτῷ τήν ὀργήν, συγχωροῦντος τοῦ Θεοῦ τῷ διαβόλῳ νοητῶς αὐτῷ συμπλακῆναι· καί τούς κατά τήν πρᾶξιν παρασαλεῦσαι τρόπους τῆς ἀρετῆς, καί τούς κατά θεωρίαν διαυγεῖς ἐπιθολῶσαι λόγους τῆς γνώσεως, ἵνα μαθών τήν οἰκείαν ἀσθένειαν, ἐπιγνῷ τήν μόνην δύναμιν, τήν τά πάθη ἐν ἡμῖν καταπαλαίουσαν, καί ταπεινωθῇ μετανοήσας, τόν ὄγκον ἀποβαλών τῆς οἰήσεως, καί τόν Θεόν ἱλεώσηται, καί ἀποστρέψῃ τήν ἐπερχομένην τοῖς μή μετανοοῦσιν ὀργήν, τήν ἀφαιρουμένην τήν φρουροῦσαν τήν ψυχήν χάριν, καί ἔρημον καταλιμπάνουσαν τόν ἀγνώμονα νοῦν.

κγ'. (1269) Ὀργή σωτήριός ἐστιν, ἡ πρός τό πολεμεῖσθαι τόν ὑψηλόφρονα νοῦν τοῖς πάθεσιν ὑπό τῶν δαιμόνων, θεία συγχώρησις· ἵνα γνῷ πάσχων ἀτίμως, ἐπ᾽ ἀρεταῖς μεγαλαυχούμενος, τίς ὁ τούτων ὑπάρχει δοτήρ· ἤ γένηται τῶν ἀλλοτρίων γυμνός, ἅπερ ὡς μή λαβών, ἔχειν ἐνόμιζε.

κδ'. Μακάριος ὄντως ἐκεῖνος ὁ νοῦς, ὁ τοῖς οὖσιν ἅπασιν ἐπαινετῶς ἀποθανών· τοῖς μέν αἰσθητοῖς,τῇ ἀποθέσει τῆς κατ᾽ αἴσθησιν ἐνεργείας· τοῖς δέ νοητοῖς τῇ τῆς νοερᾶς ἀποπαύσει κινήσεως. Σημείωσαι δέ ὅτι νοῦ θανάτον ἐπαινούμενον λέγει, τήν πρός πάντα τά ὄντα γνωμικήν ἀπογένεσιν, μεθ᾽ ἥν τήν θείᾳ χάριτι ζωήν ὑποδέχεσθαι πέφυκεν· ἀντί τῶν ὄντων, τό αἴτιον τῶν ὄντων ἀνεννοήτως ἀπολαβών.

κε'. Μακάριος ὁ συνάψας τό μέν πρακτικόν τῷ κατά φύσιν ἀγαθῷ· τό δέ θεωρητικόν, τῇ κατά φύσιν ἀληθείᾳ. Πᾶσα γάρ πρᾶξις, διά τό ἀγαθόν γίνεσθαι πέφυκε· καί πᾶσα θεωρίαν, τήν γνῶσιν διά μόνην ζητεῖ τήν ἀλήθειαν· ὧν διανυσθέντων, οὐδέν ἔσται τοσύνολον τό πλῆττον τῆς ψυχῆς τό πρακτικόν, οὔτε μήν τό θεωρητικόν αὐτῆς, διά ξένων δριμύττον θεωρημάτων· παντός ἐπέκεινα γενομένης καί ὄντος, καί νοουμένου, καί εἰς αὐτόν εἰσδυσάσης τόν Θεόν τόν μόνον ἀγαθόν καί ἀληθινόν, καί ὑπέρ πᾶσαν οὐσίαν ὄντα καί νόησιν.

κστ'. Πρακτικῆς ἀρετῆς τέλος εἶναί φασι τό ἀγαθόν. Τοῦτο δέ, θείας ἐνεργείας ὑπάρχει συμπλήρωσις, πρός ἥν ἄγει τό λογικόν τῆς ψυχῆς, τῷ θυμῷ καί τῇ ἐπιθυμίᾳ χρώμενον κατά φύσιν· ἐν ᾗ τό καθ᾽ ὁμοίωσιν ἀναφαίνεσθαι πέφυκε κάλλος· θεωρητικῆς δέ φασι φιλοσοφίας εἶναι τήν ἀλήθειαν, τέλος· ἥτις ἀμερῶς τῶν περί Θεόν ἁπάντων ἑνοειδής ἐστι γνῶσις, πρός ἥν ὁ καθαρός φέρεται νοῦς· ἀποσβέσας ἑαυτοῦ παντελῶς τήν κατ᾽ αἴσθησιν κρίσιν· ἐν ᾗ (γνώσει δηλονότι) ἀκίβδηλον τό τῆς θείας εἰκόνος ἀξίωμα δείκνυται.

κζ'. Οὐδείς δύναται τόν Θεόν εὐλογεῖν ἀληθῶς, (1272) μή τό σῶμα καθαγιάσας ταῖς ἀρεταῖς, καί τήν ψυχήν καταφωτίσας ταῖς γνώσεσιν. Ἡ γάρ κατ᾽ ἀρετήν διάθεσις, πρόσωπόν ἐστι τοῦ θεωρητικοῦ νοός, ὡς εἰς οὐρανόν πρός τό ὕψος τῆς ἀληθινῆς ἐπαιρόμενον γνώσεως.

κη'. Μακάριος ὁ ἐν ἀληθείᾳ εἰδώς, ὅτι πᾶσαν ἐν ἡμῖν ὡς ὀργάνοις ὁ Θεός ἐπιτελεῖ πρᾶξιν καί θεωρίαν, ἀρετήν τε καί γνῶσιν, καί νίκην καί σοφίαν, καί ἀγαθότητα καί ἀλήθειαν, μηδέν ἡμῶν συνεισφερόντων τοσύνολον, πλήν τῆς θελούσης τά καλά διαθέσεως· ἥν ἔχων ὁ μέγας Ζοροβάβελ, πρός τοῖς εἰρημένοις, φησίν, Εὐλογητός εἶ, πρός τόν Θεόν

λέγων, ὅς ἔδωκάς μοι σοφίαν, καί σοί ὁμολογῶ, Δέσποτα τῶν πατέρων· παρά σοῦ ἡ νίκη καί παρά σοῦ ἡ σοφία, καί σοί ἡ δόξα, καί ἐγώ σός οἰκέτης. Ὡς εὐγνώμων ὄντες οἰκέτης, πάντα τῷ Θεῷ ἀνέθετο τῷ πάντα δωρησαμένῳ, ἐξ οὗ λαβών εἶχε τήν σοφίαν, αὐτῷ ὁμολογῶν ὡς Δεσπότῃ πατέρων τῶν κεχαρισμένων ἀγαθῶν τήν δύναμιν, ἅπερ εἰσίν, ἕνωσις νίκης, ὡς εἴρηται, καί σοφίας, ἀρετῆς τε καί γνώσεως, πράξεως καί θεωρίας, ἀγαθότητός τε καί ἀληθείας· αὗται γάρ ἀλλήλαις ἑνούμεναι, μίαν ἀπαστράπτουσιν δόξαν καί αὐτήν Θεοῦ.

κθ'. Πάντα τά τῶν ἁγίων κατορθώματα, Θεοῦ προδήλως ὑπῆρχον χαρίσματα· μηδενός τό παράπαν ἔχοντος μηδέν, ἤ τό δοθέν ἀγαθόν· ὡς παρά Δεσπότου τοῦ Θεοῦ, πρός ἀναλογίαν τῆς εὐγνωμοσύνης τε καί εὐνοίας τοῦ δεχομένου μετρούμενον· κἀκεῖνα μόνα κεκτημένου, ὅσα τῷ Δεσπότῃ δωρουμένῳ παρίσταται.

λ'. Ὁ τῆς ἀρετῆς καί τῆς γνώσεως προϊστάμενος νοῦς, καί τῆς κακῆς τῶν παθῶν δουλείας τήν ψυχήν στερηθῆναι βεβουλημένος, φησίν, Ὑπερισχύουσιν αἱ γυναῖκες, καί ὑπερνικᾷ ἡ ἀλήθεια· γυναῖκας μέν εἰπών, τάς θεοποιούς ἀρετάς, ἐξ ὧν ἡ πρός Θεόν καί ἀλλήλους τοῖς ἀνθρώποις ἑνοποιός ἀγάπη συνέστηκεν· ἁπάντων τήν ψυχήν ἐξαρπάζουσα τῶν ὑπό γένεσιν καί φθοράν, καί τῶν ὑπέρ αὐτά νοητῶν οὐσιῶν, καί αὐτῷ τῷ Θεῷ κατ᾽ ἐρωτικήν τινα σύγκρασιν περιπλέκουσα, καθ᾽ ὅσον ἐστί δυνατόν ἀνθρωπίνῃ φύσει, καί τήν ἄχραντον καί θείαν μυστικῶς δημιουργοῦσα συμβίωσιν. Ἀλήθειαν δέ φήσας, τήν μόνην καί μίαν αἰτίαν τῶν ὄντων, καί ἀρχήν καί βασιλείαν καί δύναμιν καί δόξαν, ἐξ ἧς καί δι᾽ ἥν πάντα γέγονέ τε καί γίνεται, καί πρός τό εἶναι ὑπ᾽ αὐτῆς καί δι᾽ αὐτῆς συγκρατεῖται· καί ὑπέρ ἧς πᾶσα τοῖς φιλοθέοις ἐστί σπουδή τε καί κίνησις.

λα'. Διά μέν τῶν γυναικῶν, τό τέλος ἐνδείξατο τῶν ἀρετῶν, τήν ἀγάπην· ὅπερ ἐστίν ἡ κατ᾽ ἔφεσιν (1273) τοῦ φύσει ἀγαθοῦ τῶν μετεχόντων ἀδιάπτωτος ἡδονή καί ἀδιαίρετος ἕνωσις. Διά δέ τῆς ἀληθείας, τό πέρας πασῶν ἐπεσήμανε τῶν γνώσεων, καί αὐτῶν γινωσκομένων· εἰς ὅπερ, ὡς ἀρχήν καί πέρας πάντων τῶν ὄντων, αἱ κατά φύσιν κινήσεις γενικῷ τινι λόγῳ συνέλκονται· πάντα νικώσης κατά φύσιν ὡς ἀληθείας τῆς τῶν ὄντων ἀρχῆς καί αἰτίας, καί πρός ἑαυτήν συνελκούσης τῶν γεγονότων τήν κίνησιν.

λβ'. Τῇ καθ᾽ ὑπεροχήν στερήσει τῶν πολλῶν, ὡς ἕν καί μόνον ἡ ἀλήθεια πέφυκεν ἀναφαίνεσθαι, καλύπτουσα πάντων τῶν νοεῖν ἤ νοεῖσθαι δυναμένων τάς γνωστικάς δυνάμεις, ὡς ὑπέρ τά νοοῦντά τε

καί νοούμενα καθ᾽ ὕπαρξιν ὑπερούσιον οὖσα· καί ἀπείρῳ δυνάμει τάς κατά τήν ἀρχήν καί τό τέλος τῶν ὄντων ἀκρότητας περιγράφουσα, πᾶσαν πάντων πρός ἑαυτήν συνέλκει κίνησιν· τοῖς μέν παρεχομένη γνῶσιν ἀρίδηλον ἧς ἐστερήθησαν χάριτος· τοῖς δέ δωρουμένη κατ᾽ αἴσθησιν ἄῤῥητον, ἧς εἶχον τήν ἔφεσιν ἀγαθότητος, τῇ μεθέξει φανεράν τήν ἐπίγνωσιν.

λγ'. Ὁ νοῦς, σοφίας ὄργανον, φησίν· ὁ λόγος, γνώσεως· ἡ κατ᾽ ἄμφω φυσική πληροφορία, τῆς κατ᾽ ἄμφω συνισταμένης πίστεως· τοῦ δέ τῶν ἰαμάτων χαρίσματος ἡ φυσική φιλανθρωπία. Πᾶν γάρ χάρισμα θεῖον, ἐπιτήδειον ἐν ἡμῖν ἔχει καί προσφυές, ὥσπερ δύναμιν, ἤ ἕξιν ἤ διάθεσιν, ὄργανον δεκτικόν. Οἷον, ὁ τόν νοῦν πάσης αἰσθητῶν φαντασίας ποιήσας καθαρόν, δέχεται σοφίαν· ὁ δέ τόν λόγον τῶν ἐμφύτων παθῶν, θυμοῦ λέγω καί ἐπιθυμίας, καταστήσας δεσπότην, δέχεται γνῶσιν· ὁ δέ τήν κατά νοῦν καί λόγον περί τά θεῖα ἀσάλευτον πληροφορίαν ἔχων, τήν πάντα δυναμένην δέχεται πίστιν· ὁ δέ τήν φυσικήν κατορθώσας φιλανθρωπίαν μετά τήν τελείαν τῆς φιλαυτίας ἀναίρεσιν, ἰαμάτων δέχεται χαρίσματα.

λδ'. Ἕκαστος ἡμῶν, κατά τήν ἀναλογίαν τῆς ἐν αὐτῷ πίστεως, φανερουμένην κέκτηται τοῦ Πνεύματος τήν ἐνέργειαν. Ὥστε ταμίας ὑπάρχει τῆς χάριτος ἕκαστος ἑαυτοῦ· καί οὔποτ᾽ ἄν εὖ φρονῶν ἄλλῳ φθονήσειεν ἐνευδοκιμοῦντι ταῖς χάρισιν, ἐπ᾽ αὐτῷ κειμένης τῆς δεκτικῆς τῶν θείων ἀγαθῶν διαθέσεως.

λε'. Αἴτιον εἶναί φησι τῆς τῶν θείων διανομῆς ἀγαθῶν, τό μέτρον τῆς ἑκάστου πίστεως. Καθώς γάρ πιστεύομεν, καί τήν ἐπί τό πράττειν τῆς προθυμίας ἐπίδοσιν ἔχομεν. Ὁ γοῦν πράττων, κατά τήν ἀναλογίαν τῆς πράξεως ἐπιδείκνυται τό μέτρον τῆς πίστεως, δεχόμενος ὡς ἐπίστευσε τό μέτρον τῆς χάριτος· ὁ δέ μή πράττων, κατά τήν ἀναλογίαν τῆς ἀπραξίας ἐπιδείκνυται τό μέτρον τῆς ἀπιστίας, δεχόμενος ὡς ἠπίστησε, τῆς χάριτος τήν στέρησιν. Οὐκοῦν κακῶς ποιεῖ βασκαίνων τοῖς κατορθοῦσιν ὁ φθονερός ἐπ᾽ αὐτῷ σαφῶς, οὐκ ἐπ᾽ ἄλλῳ (1276) κειμένης τῆς τῶν πιστεύειν τε καί πράττειν, καί πρός τό μέτρον τῆς πίστεως ἐρχομένην δέξασθαι τήν χάριν, ἐπιλογῆς.

λστ'. Ὁ τῶν καλῶν ἐραστής, κατά πρόνοιαν σοφίας λόγοις ἑκουσίως ἐπείγεται πρός τήν τῆς θεώσεως χάριν· ὁ δέ τούτων ἀνέραστος, κατά τήν δικαίαν κρίσιν, παιδείας τρόποις ἀκουσίως κακίας ἀπάγεται· ὁ μέν, ὡς φιλόθεος διά τῆς προνοίας θεούμενος· ὁ δέ, διά τῆς κρίσεως, ὡς φιλόϋλος εἰς κατάκρισιν ἐλθεῖν μή

συγχωρούμενος. Ὁ γάρ Θεός ὡς ἀγαθός, σοφίας μέν λόγοις θεραπεύει τούς θέλοντας· παιδείας δέ τρόποις τούς πρός ἀρετήν δυσκινήτους ἰᾶται.

λζ'. Ἡ μέν ὄντως πίστις, ἀλήθεια ἐστι συνεκτική τε καί συστατική, ψεῦδος οὐκ ἔχουσα· ἡ δέ ἀγαθή συνείδησις, τήν τῆς ἀγάπης ἐπιφέρεται δύναμιν, ὡς μηδεμίαν ἔχουσα παράβασιν ἐντολῆς.

λη'. Καί ἐπαναπαύσεται, φησίν, ἐπ᾽ αὐτόν, ἑπτά πνεύματα· πνεῦμα σοφίας, πνεῦμα συνέσεως, πνεῦμα γνώσεως, πνεῦμα ἐπιστήμης, πνεῦμα βουλῆς, πνεῦμα ἰσχύος, πνεῦμα φόβου Θεοῦ. Ἔστι δέ ἴδιον τῶν πνευματικῶν τούτων χαρισμάτων, φόβου μέν, ἡ ἀποχή τῶν κακῶν· ἰσχύος δέ, ἡ πρᾶξις τῶν ἀγαθῶν· βουλῆς δέ, ἡ τῶν ἀντικειμένων διάκρισις· ἐπιστήμη δέ, ἡ τῶν καθηκόντων ἀνόθευτος εἴδησις· γνώσεως δέ, ἡ κατ᾽ ἐνέργειαν τῶν ἐν ταῖς ἀρεταῖς θείων λόγων περίληψις· συνέσεως δέ, ἡ πρός τά γνωσθέντα διόλου τῆς ψυχῆς συνδιάθεσις· σοφίας δέ, ἡ πρός Θεόν ἀδιάγνωστος ἕνωσις, καθ᾽ ἥν τοῖς ἀξίοις ἡ ἔφεσις ἀπόλαυσις γίνεται, μεθέξει ποιοῦσα Θεόν τόν μετέχοντα, καί τῆς θείας αὐτόν ὑποφήτην καθιστῶσα μακαριότητος, κατά τήν ἀένναον πρός τούς δεομένους τῶν θείων μυστηρίων, ἀνεκπόμπευτον προβολήν καί διέξοδον.

λθ'. Τό πνεῦμα τοῦ φόβου τοῦ Θεοῦ, τῶν κατ᾽ ἐνέργειαν κακῶν ἐστιν ἀποχή· τό δέ πνεῦμα τῆς ἰσχύος, ἡ πρός ἐνέργειαν καί πρᾶξιν τῶν ἐντολῶν πρόθυμος ὁρμή καί κίνησις· τό δέ πνεῦμα τῆς βουλῆς, ἡ ἕξις τῆς διακρίσεως, καθ᾽ ἥν σύν λόγῳ τάς θείας πράττομεν ἐντολάς, καί τῶν κρειττόνων διαιροῦμεν τά χείρονα· τό δέ πνεῦμα τῆς ἐπιστήμης, ἡ τῶν κατ᾽ ἀρετήν τῆς πράξεως τρόπων ἄπτωτος εἴδησις· καθ᾽ ἥν πράττοντες, τῆς ὀρθῆς τοῦ λόγου κρίσεως οὐδαμῶς πίπτομεν· τό δέ πνεῦμα τῆς γνώσεως, ἡ τῶν ἐντολῶν καί τῶν ἐν αὐταῖς λόγων περίληψις, καθ᾽ οὕς οἱ τρόποι τῶν ἀρετῶν συνεστήκασι· πνεῦμα δέ συνέσεώς ἐστιν, ἡ πρός τούς τρόπους καί τούς λόγους τῶν ἀρετῶν συγκατάθεσις, ἤ κυριώτερον εἰπεῖν, μεταποίησις, καθ᾽ ἥν σύγκρασις γίνεται τῶν φυσικῶν δυνάμεων (1277) δυνάμεων πρός τούς τρόπους καί τούς λόγους τῶν ἐντολῶν· πνεῦμα δέ σοφίας ἐστίν, ἡ πρός τήν αἰτίαν τῶν ἐν ταῖς ἐντολαῖς πνευματικωτέρων λόγων ἀνάληψίς τε καί ἕνωσις, καθ᾽ ἥν ἀγνώστως τούς ἐν Θεῷ, κατά τό θεμιτόν ἀνθρώποις, ἁπλῶς μυούμενοι τῶν ὄντων λόγους, ὡς ἔκ τινος βλυστανούσης πηγῆς τῆς καρδίας, τήν ἐν τοῖς ὅλοις ἀλήθειαν ποικίλως τοῖς ἄλλοις ἀνθρώποις προσφέρομεν.

μ'. Ἀπό μέν τῶν ἐκ Θεοῦ τελευταίων, ἡμῖν δέ προσεχῶν, ἐπί τά πρῶτα, καί ἡμῶν μέν πόῤῥω, τῷ δέ Θεῷ προσεχῆ, καθ᾽ ὁδόν καί τάξιν ἀναβαίνομεν. Ἀπό γάρ τῆς ἀργίας τῶν κακῶν διά φόβου, ἐπί τήν τῶν ἀρετῶν δι᾽ ἰσχύος ἐρχόμεθα πρᾶξιν· ἀπό δέ τῆς τῶν ἀρετῶν πράξεως, ἐπί τήν διάκρισιν τῆς βουλῆς· ἀπό δέ τῆς διακρίσεως, ἐπί τήν ἕξιν τῶν ἀρετῶν, ἤγουν ἐπιστήμην· ἀπό δέ τῆς ἕξεως τῶν ἀρετῶν, ἐπί τήν γνῶσιν τῶν ἐν αὐταῖς ταῖς ἀρεταῖς λόγων· ἀπό δέ ταύτης, εἰς τήν πρός τούς ἐγνωσμένους λόγους τῶν ἀρετῶν μεταποιητικήν ἕξιν· φημί δέ τήν σύνεσιν· καί ἀπό ταύτης, εἰς τήν ἁπλῆν τῆς ἐν ὅλοις ἀληθείας ἀκριβῆ θεωρίαν· ἀφ' ἧς ὁρμώμενοι, πολλούς καί ποικίλους ἐκ τῆς τῶν ὄντων αἰσθητῶν τε καί νοητῶν οὐσιῶν σοφῆς θεωρίας, εὐσεβεῖς λόγους περί τῆς ἀληθείας ἀποδώσομεν.

μα'. Τό πρός ἡμᾶς κατ᾽ ἐνέργειαν πρῶτον ἀγαθόν, ὅπερ ἐστίν ὁ φόβος, τελευταῖον ἀπηριθμήσατο τῆς Γραφῆς ὁ λόγος, ὡς σοφίας ἀρχήν, ἀφ᾽ οὗ κινούμενοι, πρός τό τῆς σοφίας τέλος τήν σύνεσιν, ἀναβαίνομεν, μεθ᾽ ἥν προσεχεῖς αὐτῷ γινόμεθα τῷ Θεῷ, μόνην τήν σοφίαν τῆς πρός αὐτόν ἑνώσεως μεσιτεύουσαν ἔχοντες. Οὐ γάρ ἐστι δυνατόν ἐπιλαβέσθαι σοφίας, τόν μή πρότερον διά τοῦ φόβου, καί τῶν διά μέσου λοιπῶν χαρισμάτων, τήν τε λήμην τῆς ἀγνοίας, καί τόν τῆς κακίας κονιορτόν, ἑαυτοῦ παντελῶς ἀποσεισάμενον. Διά τοῦτο Θεῷ μέν, προσεχῆ τήν σοφίαν, ἡμῖν δέ, τόν φόβον ἡ γραφική τάξις διέθηκεν, ἵνα ἡμεῖς εὐταξίας μάθωμεν ὅρον καί νόμον.

μβ'. Διά τούτων οὖν ἀναβαίνοντες τῶν ὀφθαλμῶν τῆς πίστεως, ἤγουν φωτισμῶν, πρός τήν θείαν τῆς σοφίας συναγόμεθα μονάδα· τήν γεγενημένην δι᾽ ἡμᾶς τῶν χαρισμάτων διαίρεσιν, πρός τήν αἰτίαν τῶν χαρισμάτων συνάγοντες, ταῖς κατά μέρος τῶν ἀρετῶν ἀναβάσεσι, μηδέν τῶν εἰρημένων συνεργίᾳ Θεοῦ παραλιμπάνοντες, ἵνα μή κατ᾽ ὀλίγον ἀμελοῦντες, τυφλήν ἡμῶν τήν πίστιν και ἀνόμματον καταστήσωμεν, οὐκ ἔχουσαν τούς διά τῶν ἔργων τοῦ Πνεύματος φωτισμούς, καί κολασθῶμεν δικαίως εἰς (1280) ἀπείρους αἰῶνας, ὡς ἐν ἑαυτοῖς κατά τήν πίστιν ὅσον τό ἐφ᾽ ἡμῖν, τούς θείους ἐκτυφλώσαντες ὀφθαλμούς.

μγ'. Πᾶς ὁ τῆς πίστεως ἐν ἑαυτῷ διά τῆς ἀργίας τῶν ἐντολῶν τούς τοιούτους ἀνορύξας ὀφθαλμούς, πάντως κατάκριτος, μηκέτι τόν Θεόν ἔχων εἰς αὐτόν ἐπιβλέποντα. Εἰ γάρ τάς ἐνεργείας τοῦ Πνεύματος, φησίν, ὀφθαλμούς Κυρίου προσαγορεύει ὁ λόγος, ὁ μή τούτους τῇ πράξει τῶν ἐντολῶν διανοίγων, ἐπιβλέποντα τόν Θεόν ἐπ᾽ αὐτόν οὐκ

ἔχει. Δι᾽ ἄλλων γάρ, ὡς εἰκός, ὀφθαλμῶν ἐπισκοπεῖν τούς ἐπί γῆς οὐ πέφυκεν ὁ Θεός, εἴπερ θείας ὁράσεως ἀκτίς ἐστιν, ὁ κατ᾽ ἀρετήν ἡμῶν φωτισμός.

μδ'. Ἡ σοφία μονάς ἐστι, ταῖς ἐξ αὐτῆς διαφόροις ἀρεταῖς ἀτμήτως ἐνθεωρουμένη· καί μονοειδῶς ταῖς αὐτῶν ἐνεργείαις ἐπινοουμένη· καί πάλιν ἁπλῆ μονάς ἀποδεικνυμένη, ταῖς πρός αὐτήν τῶν ἐξ αὐτῆς ἀρετῶν ἀποκαταστάσεσιν· ὅταν ἡμεῖς, δι᾽ οὕς κατά τήν ἑκάστης ἀρετῆς γένεσιν ποιεῖται τήν πρόοδον, ἀνατατικῶς δι᾽ ἑκάστης ἀρετῆς πρός αὐτήν συναγόμεθα.

με'. Τυφλήν ἔχει τήν πίστιν, ὁ τά κατά τήν πίστιν θεῖα προστάγματα μή ἐργαζόμενος. Εἰ γάρ φῶς εἰσι τά τοῦ Θεοῦ προστάγματα, δῆλον ὅτι δίχα θείου φωτός ἐστιν, ὁ μή πράττων τά θεῖα προστάγματα, καί ψιλήν, ἀλλ᾽ οὐκ ἀληθῆ τήν θείαν περιφέρεται κλῆσιν.

μστ'. Οὐδείς ἁμαρτάνων δύναται τῆς ἁμαρτίας συνήγορον ἔχειν τῆς σαρκός τήν ἀσθένειαν. Ἡ γάρ πρός τόν Θεόν Λόγον ἕνωσις, ὅλην τήν φύσιν τῇ λύσει τῆς κατάρας ἀνέῤῥωσεν, ἀπροφάσιστον ἡμῖν ποιησαμένη τήν πρός τά πάθη τῆς γνώμης προσπάθειαν. Ἡ γάρ τοῦ Λόγου θεότης, κατα χάριν ἀεί συνοῦσα τοῖς εἰς αὐτόν πιστεύουσι, τόν ἐν τῇ σαρκί νόμον τῆς ἁμαρτίας ἀπομαραίνει.

μζ'. Ὁ τῶν παρά φύσιν παθῶν διά τῆς εἰς Θεόν πίστεως καί ἀγάπης νικήσας τάς παραλόγους ἐπιθυμίας, εἴτουν κινήσεις, καί αὐτοῦ τοῦ κατά φύσιν ἔξω γίνεται νόμου, καί πρός τήν χώραν τῶν νοητῶν ὅλος μεταβιβάζεται, καί τό κατά φύσιν ὁμόφυλον, μετά τῶν προσγενομένων αὐτῷ, τῆς ἀλλοτρίας ἑαυτῷ συνεκβάλλει δουλείας.

μη'. Μή χαλινουμένη τῷ θείῳ φόβῳ κατά τήν πρᾶξιν ἡ γνῶσις, τύφον ἐργάζεται, ὡς οἰκεῖον τό δεδανεισμένον προβάλλεσθαι πείθουσα τόν ἐπ᾽ αὐτῇ τυφωθέντα, πρός οἰκεῖον ἔπαινον τόν ἔρανον τοῦ λόγου ποιούμενον. Ἡ δέ πρᾶξις τῷ θείῳ συναυξάνουσα πόθῳ, τήν ὑπέρ τά πρακτέα μή λαμβάνουσα γνῶσιν, τόν πρακτικόν ἐργάζεται ταπεινόφροα, τοῖς ὑπέρ τήν οἰκείαν δύναμιν λόγοις πρός ἑαυτόν συστελλόμενον.

μθ'. (1281) Οὐράνιον οἰκητήριον ἐστιν, ἡ κατ᾽ ἀρετήν ἀπαθής ἕξις, καί ἡ μηδέν ἔχουσα πλάνης πολεμοῦν αὐτῇ νόημα γνῶσις.

ν'. Ὥσπερ τέλος κινηθείσης μονάδος ἐστίν ἡ μυριάς, καί ἀρχή μή κινηθείσης μυριάδος ἐστίν ἡ μονάς· ἀρχή γάρ παντός τέλους, ἡ κατ᾽ αὐτό σαφῶς ἀκινησία καθέστηκε· καί τέλος πάσης ἀρχῆς, ἡ τῆς κατ᾽

αὐτήν κινήσεως ὑπάρχει συμπλήρωσις· οὕτω καί ἡ πίστις, ἀρχή κατά φύσιν ἀρετῶν ὑπάρχουσα, τέλος ἔχει τοῦ δι᾽ αὐτῶν ἀγαθοῦ τήν συμπλήρωσιν· καί τό κατά φύσιν ἀγαθόν, ὡς ἀρετῶν τέλος, ἀρχήν ἔχον τήν πίστιν, πρός αὐτήν ἐνδιαθέτως συνάγεται. Πίστις γάρ ἐστιν ἐνδιαθέτον ἀγαθόν, καί ἀγαθόν ἐστιν ἐνεργηθεῖσα πίστις. Πιστός δέ κατά φύσιν, καί ἀγαθός ἐστίν ὁ Θεός· τό μέν, ὡς πρῶτον ἀγαθόν· τό δέ, ὡς ἔσχατον ὀρεκτόν. Ταὐτόν δέ ταῦτα καθέστηκε παντί τρόπῳ ἀλλήλοις ὄντα, μηδενί λόγῳ πλήν τοῦ κατ᾽ ἐπίνοιαν ἀλλήλων διαιρούμενα παντελῶς, διά τήν τῶν ἀπ᾽ αὐτοῦ ἀρχομένων, καί εἰς αὐτόν ληγόντων, κίνησιν. Ἄρα ἡ μυριάς ἐσχάτου ὀρεκτοῦ φέρουσα τύπον, τῶν πρός αὐτό κινουμένων τελείαν περιγράφει τήν ἔφεσιν· καί ἡ μονάς, πρώτου ἀγαθοῦ φέρουσα σύμβολον, τῶν ἀπ᾽ αὐτοῦ κινουμένων τελείαν ἐπιφέρεται βάσιν [duo Reg. φύσιν].

να'. Πρώτη ἐστίν ἀπάθεια, ἡ παντελής ἀποχή τῶν κατ᾽ ἐνέργειαν κακῶν, ἐν τοῖς εἰσαγομένοις θεωρουμένη· δευτέρα δέ, ἡ παντελής κατά διάνοιαν περί τήν τῶν κακῶν συγκατάθεσιν ἀποβολή λογισμῶν, ἐν τοῖς μετά λόγου τήν ἀρετήν μετιοῦσι γινομένη, τρίτη δέ, ἡ κατ᾽ ἐπιθυμίαν περί τά πάθη παντελής ἀκινησία, ἐν τοῖς διά τῶν σχημάτων τούς λόγους νοητῶς θεωμένοις τῶν ὁρωμένων· τετάρτη δέ ἐστιν ἀπάθεια, ἡ καί αὐτῆς τῆς ψιλῆς φαντασίας παντελής κάθαρσις, ἐν τοῖς διά γνώσεως καί θεωρίας καθαρόν καί διειδές ἔσοπτρον τοῦ Θεοῦ ποιησαμένοις τό ἡγεμονικόν, συνισταμένη. Ὁ τοίνυν καθάρας ἑαυτόν ἐνεργείας παθῶν, καί τῆς ἐπ᾽ αὐτοῖς κατά διάνοιαν συγκαταθέσεως ἐλευθερωθείς, καί τῆς περί αὐτά κατ᾽ ἐπιθυμίαν κινήσεως στάσιν λαβών, καί τῆς αὐτῶν ψιλῆς φαντασίας τόν νοῦν καταστήσας ἀμόλυντον, τάς τέσσαρας γενικάς ἀπαθείας ἔχων, ἐξέρχεται τῆς ὕλης καί τῶν ὑλικῶν, καί πρός τήν νοεράν καί θείαν καί εἰρηνικήν τῶν νοητῶν ἐπείγεται λῆξιν.

νβ'. Πρώτην ἀπάθειαν λέγει, τήν πρός ἁμαρτίαν τοῦ σώματος κατ᾽ ἐνέργειαν ἀνέπαφον κίνησιν· δευτέραν δέ, τήν κατά ψυχήν τῶν ἐμπαθῶν λογισμῶν τελείαν ἀποβολήν, δι᾽ ἧς τῶν παθῶν ἀπομαραίνεται κατά τήν πρώτην ἀπάθειαν κίνησιν, ἐξάπτονας αὐτήν πρός ἐνέργειαν οὐκ ἔχουσα τούς ἐμπαθεῖς λογισμούς· τρίτην δέ, τήν περί τά πάθη τελείαν τῆς ἐπιθυμίας ἀκινησίαν, δι᾽ ἥν καί ἡ δευτέρα γίνεσθαι πέφυκε, τῇ τῶν λογισμῶν καθαρότητι συνισταμένη· τετάρτην δέ λέγει ἀπάθειαν, τήν κατά διάνοιαν πασῶν τῶν αἰσθητῶν φαντασιῶν τελείαν ἀπόθεσιν καθ᾽ ἥν ἡ τρίτη τήν γένεσιν εἴληφεν,

οὐκ ἔχουσα τάς φαντασίας τῶν αἰσθητῶν εἰδοποιούσας αὐτῇ τῶν παθῶν τάς εἰκόνας.

νγ'. (1284) Παντί πρακτικῷ, παιδός καί παιδίσκης δίκην, ὁ λόγος καί ἡ διάνοια μοχθοῦσι, τούς κατ᾽ ἀρετήν τῆς πράξεως τρόπους ἐπινοοῦντές τε καί δημιουργοῦντες, καί οἷον πᾶσαν ἑαυτῶν κατά τῶν ἀντικειμένων τῇ πρακτικῇ πνευμάτων τῆς πονηρίας τήν δύναμιν ἔχοντες ἀντιτεταγμένην· πληρώσαντες δέ τήν πρακτικήν φιλοσοφίαν, ἥν ὁ ἕκτος τῶν ἐνιαυτῶν παρεδήλωσεν ἀριθμός· εἴρηται γάρ ὅτι ὁ ἕξ ἀριθμός, τήν πρακτικήν σημαίνει φιλοσοφίαν· ἐλεύθεροι πρός τήν πνευματικήν ἀπολύονται, δηλονότι τῶν ἐν τοῖς οὖσι συγγενῶν λόγων θεωρίαν ἐπανερχόμενον, ὅ τε λόγος καί ἡ διάνοια.

νδ'. Ἀλλόφυλος παῖς ἐστι καί παιδίσκη, ὁ θυμός καί ἡ ἐπιθυμία· οὕς ὑποζεύγνυσι διά παντός τῇ δεσποτείᾳ τοῦ λόγου, πρός ὑπηρεσίαν τῶν ἀρετῶν, δι᾽ ἀνδρίας καί σωφροσύνης ὁ θεωρητικός νοῦς, μή διδούς αὐτοῖς παντελῶς τήν πρός ἐλευθερίαν ἄφεσιν, ἕως ἄν καταποθῇ τῷ νόμῳ τοῦ πνεύματος τελείως ὁ τῆς φύσεως νόμος, καθάπερ ὑπό ζωῆς ἀπείρου, σαρκός δυστήνου θάνατος, καί πᾶσα δειχθῇ καθαρῶς ἡ τῆς ἀνάρχου βασιλείας εἰκών, πᾶσαν ἔχουσα τοῦ ἀρχετύπου διά μιμήσεως τήν μορφήν· καθ᾽ ἥν γενόμενος ὁ θεωρητικός νοῦς, ἐλευθέρους ποιεῖται τόν τε θυμόν καί τήν ἐπιθυμίαν· τήν μέν, πρός τήν ἀκήρατον τοῦ θείου ἔρωτος ἡδονήν καί τήν ἄχραντον θέλξιν μετασκευάζων· τήν δέ, πρός ζέσιν πνευματικήν καί διάπυρον ἀεικινησίαν καί σώφρονα μανίαν μεταβιβάζων.

νε'. Ἀνάρχου βασιλείας ἐστίν εἰκών, ἡ τοῦ νοῦ περί τήν ἀληθῆ γνῶσιν ἀτρεψία, καί ἡ τῆς αἰσθήσεως περί τήν ἀρετήν ἀφθαρσία· τῆς ψυχῆς καί τοῦ σώματος, κατά τήν ἐν πνεύματι πρός τόν νοῦν τῆς αἰσθήσεως μεταποίησιν, μόνῳ τῷ θείῳ νόμῳ τοῦ πνεύματος ἀλλήλοις συνδεδεμένων, καθ᾽ ἥν τήν ἀεικίνητον τοῦ λόγου καί ζῶσαν διαπαντός ἔχουσι διικνουμένην ἐνέργειαν· ἐν ᾗ πᾶσα παντελῶς ἄπεστι πρός τό Θεῖον ἀπέμφασις.

νστ'. Ἐνεργουμένην ἐπιθυμίαν φασίν εἶναι τήν ἡδονήν, εἴπερ παρόν ἀγαθόν, κατά τόν αὐτῆς ἐστιν ὁρισμόν· ἀνενέργητον δέ ἡδονήν, τήν ἐπιθυμίαν, εἴπερ μέλλον ἀγαθόν, κατά τόν αὐτῆς ἐστιν ὁρισμόν· τόν δέ θυμόν, μανίας μελετωμένην κίνησιν, καί τήν μανίαν θυμόν ἐνεργούμενον.Ὁ γοῦν ταύτας ὑποτάξας τῷ λόγῳ τάς δυνάμεις, εὑρήσει, τήν μέν ἐπιθυμίαν, (1285) αὐτῷ γινομένην ἡδονήν, κατά τήν ἐν χάριτι πρός τό Θεῖον τῆς ψυχῆς ἄχραντον συμπλοκήν· τόν δέ

θυμόν, ζέσιν ἀκήρατον, τῆς περί τό Θεῖον ἡδονῆς φρουρητικήν, καί σώφρονα μανίαν, τῆς κατά τήν ἔφεσιν τῆς ψυχῆς θελκτικῆς δυνάμεως ἀπό τῶν ὄντων τελείως ἐκστατικήν. Οὐκοῦν ἕως ἐν ἡμῖν ὁ κόσμος ζῇ, καί ἡ πρός τά ὑλικά τῆς ψυχῆς ἑκούσιος σχέσις, οὐ δεῖ ταύταις παρέχειν ἐλευθερίαν ταῖς δυνάμεσι, μήπως μιγεῖσαι τοῖς αἰσθητοῖς ὡς ὁμοφύλοις, πολεμήσωσι τήν ψυχήν, καί λάβωσιν αὐτήν δορυάλωτον γεγενημένην τοῖς πάθεσιν, ὡς πάλαι τήν Ἱερουσαλήμ, οἱ Βαβυλώνιοι. Τόν γάρ αἰῶνα καθ᾽ ὅν τούς ἀλλοφύλους παῖδας δουλεύειν ὁ νόμος ἐκέλευσε, τήν πρός τόν κόσμον τοῦτον, ἤγουν τήν παροῦσαν ζωήν, γνωμικήν τῆς ψυχῆς ἐσήμανε σχέσιν ὁ λόγος, διά τῶν ἱστορουμένων παραδεικνύς τά νοούμενα.

νζ'. Ἠργμένον λέγει, τό κακόν· ἀρχήν γάρ ἔχει τήν ἡμῶν παρά φύσιν κίνησιν· οὐκ ἠργμένον δέ, τό ἀγαθόν· πρό παντός γάρ αἰῶνος καί χρόνου, φύσει τό ἀγαθόν. Νοητόν λέγει τό ἀγαθόν, ὅ δεῖ μόνον νοεῖν· ῥητόν δέ λέγει τό ἀγαθόν, αὐτό γάρ δεῖ μόνον λαλεῖσθαι. Καί γινόμενον λέγει τό ἀγαθόν· κατά φύσιν γάρ ὑπάρχον ἀγέννητον, κατά χάριν διά φιλανθρωπίαν παρ᾽ ἡμῶν ἀνέχεται γίνεσθαι, πρός τήν ἡμῶν τῶν ποιούντων καί λαλούντων ἐκθέωσιν, ὅπερ δεῖ μονώτατον γίνεσθαι· οὐ ποιούμενον δέ τό κακόν, ὅπερ δεῖ μόνον μή γίνεσθαι. Φθαρτόν λέγει τό κακόν· φθορά γάρ ἐστιν ἡ τοῦ κακοῦ φύσις, οὐδαμῶς κατ᾽ οὐδέν ὕπαρξιν ἔχουσα· ἄφθαρτον δέ τό ἀγαθόν, ὡς ἀεί ὄν, καί μηδέποτε τοῦ εἶναι παυόμενον, καί πάντων οἷς ἐγγίνηται, φρουρητικόν. Τοῦτο γοῦν, τῷ μέν λογιστικῷ, ζητοῦμεν· τῷ δέ ἐπιθυμητικῷ, ποθοῦμεν· τῶ δέ θυμικῷ φυλάττομεν ἄσυλον· τῷ δ᾽ αἰσθητικῷ κατ᾽ ἐπιστήμην, ἀμιγές αὐτό τῶν ἐναντίων διακρίνομεν· τῷ δέ φωνητικῷ, λαλοῦντες αὐτό ποιοῦμεν τοῖς ἀγνοοῦσι φανερόν· καί τῷ γονίμῳ, πληθύνομεν αὐτό· μᾶλλον δ᾽ ἀληθές εἰπεῖν, ἡμεῖς κατ᾽ αὐτό πληθυνόμεθα.

νη'. Δεῖ τόν θεωρητικόν νοῦν, βασιλεύοντα τῶν ἐν τοῖς οὖσι νοημάτων τε καί θεαμάτων, καί τῶν οἰκείων κινημάτων, ἕξιν ἄγονον ἔχειν κακίας· τουτέστι, κακίαν μήτε συλλαμβάνουσαν παντελῶς, μήτε τίκτουσαν· ἐφ᾽ ἧς αὐτόν δεῖ περί θεωρίαν κινούμενον φέρεσθαι, μήπως πνευματικήν ποιούμενος τήν τῶν ὄντων διάσκεψιν, λαθών περιπέσῃ τινί τῶν παραφθείρειν διά τινός τῶν αἰσθητῶν πεφυκότων πονηρῶν πνευμάτων, τήν ἁγνή τῆς καρδίας διάθεσιν.

νθ'. (1288) Ὁ κενοδοξίᾳ τινί, δι᾽ ἀρετήν ἤ γνῶσιν τρωθείς, τήν κόμην ματαίως διατρέφων, καθάπερ Ἀβεσαλών, τῆς οἰήσεως,

ἐπιτετεχνασμένην τε καί μικτήν ὥσπερ ἡμίονον πρός ἀπάτην τῶν θεωμένων, τήν ἠθικήν ἐπιδείκνυται πολιτείαν· ἐφ᾽ ἧς αἰωρούμενος, οἴεται τόν γεννήσαντα διά τῆς διδασκαλίας τοῦ λόγου πατέρα χειρώσασθαι, πᾶσαν βουλόμενος τήν τῷ πατρί προσοῦσαν θεόθεν δόξαν τῆς ἀρετῆς καί τῆς γνώσεως, ὡς ὑπερήφανος εἰς ἑαυτόν τυραννικῶς ἐφελκύσασθαι. Ἀλλ᾽ ὁ τοιοῦτος ἐξελθών εἰς τό πλάτος τῆς ἐν πνεύματι φυσικῆς θεωρίας, πρός τόν ὑπέρ ἀληθείας λογικόν πόλεμον, διά τήν ζῶσαν αἴσθησιν, τῷ δάσει τῆς δρυός τῶν ὑλικῶν θεαμάτων κρατεῖται τῆς κόμης, αὐτήν ἔχων συνδεσμοῦσαν πρός θάνατον, τήν διάκενον οἴησιν, τήν κρεμνοῦσαν αὐτόν ἀναμέσον τοῦ οὐρανοῦ, καί ἀναμέσον τῆς γῆς. Οὐ γάρ ἔχει γνῶσιν ὁ κενόδοξος, καθάπερ οὐρανόν ἐνέλκουσαν αὐτόν τῆς κατασπώσης οἰήσεως· οὐδ᾽ αὖ πάλιν γῆν, τήν ἐν τῇ ταπεινώσει λέγω βάσιν τῆς πράξεως, καθέλκουσαν αὐτόν τῆς ἀνασπώσης φυσιώσεως· ὅν πενθεῖ καί θανόντα διά φιλανθρωπίαν ὡς φιλόθεος ὁ γεννήσας διδάσκαλος, μιμήσει Θεοῦ, μή βουλόμενος τόν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τό ἐπιστρέψει, καί ζῆν αὐτόν.

ξ'. Ἀρχή καί τέλος ἐστί τῆς ἑκάστου σωτηρίας, ἡ σοφία· φόβον μέν ἀρχομένη πρῶτον δημιουργοῦσα, καί πόθον ὕστερον τελειουμένη συνιστῶσα· μᾶλλον δέ φόβος αὐτή κατ᾽ ἀρχάς δι᾽ ἡμᾶς οἰκονομικῶς γινομένη, ἵνα παύσῃ κακίας τόν ἐραστήν, καί πόθος ὕστερον φυσικῶς εὑρισκομένη δι᾽ ἑαυτήν κατά τό τέλος, ἵνα πληρώσῃ γέλωτος νοητοῦ, τούς τήν αὐτῆς πάντων τῶν ὄντων ἀλλαξαμένους συμβίωσιν.

ξα'. Ἡ σοφία καί φόβος ἐστί, κατά τήν ἀποφυγήν γινομένη στέρησις, τοῖς οὐκ ὀρεγομένοις αὐτῆς· καί πόθος ἐστίν, ἕξις ἀπολαυστικῆς ἐνεργείας εὑρισκομένη τοῖς ἀγαπῶσιν αὐτήν. Αὕτη γάρ ἐλπίδι κολάσεως παθῶν ἀπαλλάσσουσα, καί φόβον ποιεῖ· καί πόθον ἐργάζεται, τῇ τῶν ἀρετῶν ἐπικτήσει τόν νοῦν ἐθίζουσα βλέπειν τά μέλλοντα.

ξβ'. Πᾶσα ἐξομολόγησις, ταπεινοῖ τήνψυχήν· ἡ μέν, χάριτι Θεοῦ δικαιωθεῖσαν· ἡ δέ, ῥαθυμίᾳ γνώμην οἰκείας ἐπ᾽ ἐγκλήμασιν ἐνεχομένην, αὐτήν ἐκδιδάσκουσα.

ξγ'. Διττός ὁ τῆς ἐξομολογήσεως λόγος· ὁ μέν, ἐπ᾽ εὐχαριστίᾳ τῶν δεδωρημένων ἀγαθῶν γινόμενος· ὁ δέ, ἐπ᾽ ἐλέγχῳ καί ἐτασμῶ τῶν κακῶς πεπραγμένων λεγόμενος. Ἐξομολόγησις γάρ λέγεται, καί ἡ τῶν εὖ πεπονθότων μετ᾽ εὐχαριστίας τῶν θείων εὐεργεσιῶν ἀπαρίθμησις, καί ἡ τῶν κακῶς πεπραγμένων παρά τῶν ὑπαιτίων

ἐξαγόρευσις· ἀμφότερα δέ, ταπεινώσεως ὑπάρχει ποιητικά. Ὅ τε γάρ ἐπ᾽ ἀγαθοῖς εὐχαριστιῶν ὁμοῦ, (1289) καί ὁ ἐπ᾽ ἐγκλήμασιν ἐταζόμενος, ταπεινοῦται· ὁ μέν, ἑαυτόν ἀνάξιον κρίνων τῶν δοθέντων καλῶν· ὁ δέ, λαβεῖν ἄφεσιν τῶν πλημμεληθέντων δεόμενος.

ξδ'. Τό τῆς ὑπερηφανίας πάθος, ἐκ δύο συνέστηκεν ἀγνοιῶν. Δύο δέ συνελθοῦσαι πρός ἕνωσιν ἄγνοιαι, μίαν φρόνησιν συγκεχυμένην ἀποτελοῦσι. Μόνος γάρ ἐκεῖνός ἐστιν ὑπερήφανος, ὁ καί τήν θείαν βοήθειαν, καί τήν ἀνθρωπίνην ἀγνοήσας ἀσθένειαν. Οὐκοῦν ὑπερηφανία ἐστί, θείας καί ἀνθρωπίνης γνώσεως στέρησις. Τῇ γάρ τῶν ἀληθῶν ἄκρων ἀποφάσει, μία καί ψευδής ὑπάρχει κατάφασις.

ξε'. Ἡ κενοδοξία, σκοποῦ μέν τοῦ κατά Θεόν ἐστιν ἔκστασις· πρός δέ ἄλλον σκοπόν παρά τόν θεῖον ὑπάρχει μετάβασις. Κενόδοξος γάρ ἐστιν, ὁ τῆς οἰκείας, ἀλλά μή τῆς θείας ἕνεκα δόξης, τήν ἀρετήν ἐπιτηδεύων, καί πόνοις οἰκείοις τούς ἐξ ἀνθρώπων ἀνυποστάτους ἐπαίνους ὠνούμενος.

ξστ'. Ὁ ἀνθρωπάρεσκος, μόνων ἐπιμελεῖται τῶν φαινομένων ἠθῶν, καί μήν καί λόγου τοῦ κόλακος· ἵνα τοῖς μέν τήν ὅρασιν, τῷ δέ τήν ἀκοήν σφετερίζηται, τῶν μόνοις ἡδομένων ἤ καί καταπληττομένων τοῖς φαινομένοις τε καί ἀκουομένοις, καί μόνῃ τῇ αἰσθήσει περιγραφόντων τήν ἀρετήν. Ἀνθρωπαρέσκειαν οὖν φαμεν, τήν ὡς ἐπ᾽ ἀρετῇ δι᾽ ἀνθρώπους γινομένην τῶν ἠθῶν τε λόγων ἐπίδειξιν.

ξζ'. Ὑπόκρισίς ἐστι, φιλίας προσποίησις· ἤ μῖσος, σχήματι φιλίας κεκαλυμμένον· ἤ ἔχθρα, δι᾽ εὐνοίας ἐνεργουμένη· ἤ φθόνος, ἀγάπης χαρακτῆρα μιμούμενος· ἤ βίος, ἀρετῆς πλάσματι, ἀλλ᾽ οὐ πράγματι τό κόσμιον ἔχων· ἤ δικαιοσύνης προσποίησις, τῇ τοῦ εἶναι δοκήσει συντηρουμένη· ἤ ἀπάτη, ἀληθείας ἔχουσα μόρφωσιν· ἥν οἱ τόν ὄφιν τῇ τῶν ἠθῶν σκολιότητι μιμούμενοι, ἐπιτηδεύουσιν.

ξη'. Ἡ τῶν ὄντων αἰτία, καί τῶν ἐν τοῖς οὖσιν ἀγαθῶν, ἐστίν ὁ Θεός. Ὁ τοίνυν περί τήν ἀρετήν ἤ τήν γνῶσιν ἐπαιρόμενος, καί μή τῷ μέτρῳ τῆς ἐν χάριτι ἀρετῆς ἤτοι προκοπῆς, συνεπεκτείνων τῆς οἰκείας ἀσθενείας τήν ἐπιγνωμοσύνην, τό τῆς ὑπερηφανίας κακόν οὐ διέφυγεν. Ὁ δέ δόξης ἕνεκεν ἰδίας τό καλόν ἐπιτηδεύων, ἑαυτόν τοῦ Θεοῦ προτετίμηκε, τῷ τῆς κενοδοξίας ἥλῳ περιπαρείς. Ὁ δέ πρός τό θεαθῆναι τοῖς ἀνθρώποις, ποιῶν ἤ λαλῶν τήν ἀρετήν, τῆς θείας πολλῷ τήν ἀνθρωπίνην ἀποδοχήν ὑπερέθηκε, τῷ τῆς ἀθρωπαρεσκείας πάθει νοσηλευόμενος· ὁ δέ μόνον τῇ κατ᾽ ἀρετήν

σεμνότητι πρός ἀπάτην κακούργως ἐπιχρώσας τά ἤθη, καί τήν πονηράν τῆς γνώμης διάθεσιν τῷ φαινομένῳ σχήματι καλύπτων τῆς εὐλαβείας, τῷ τῆς ὑποκρίσεως ἐξωνεῖται δόλῳ τήν ἀρετήν. Οὐκοῦν ὁ τοιοῦτος, ἐπ᾽ ἄλλα παρά τήν αἰτίαν ἑκάστου τούτων ἀπήγαγε τόν σκοπόν.

ξθ'. Οὐδείς τῶν πονηρῶν δαιμόνων, τοῦ ἐναρέτου (1292) ποτέ κωλύει τό πρόθυμον· ἀλλά καί μᾶλλον τάς ἐλλείψεις δολερῶς περικόψας τῶν ἀρετῶν, τάς ἐπιτάσεις ὑπαγορεύει, τοῖς ἀγωνισταῖς συμπροθυμούμενος· ἵνα πρός ἑαυτόν ὅλην ποιήσηται τοῦ ἀσκουμένου τήν ἔννοιαν, παραπολέσασαν τό ἴσον τῆς μεσότητος στάθμισιν, καί λάθῃ πρός ἄλλο παρά το δοκοῦν ὁδεύουσα καταγώγιον.

ο'. Οἱ δαίμονες οὔτε σωφροσύνην μισοῦσιν, οὔτε νηστείαν βδελύσσονται· οὐ χρημάτων διάδοσιν, οὐ φιλοξενίαν, οὐ ψαλμῳδίαν, οὐ σχολήν ἀναγνώσεως, οὐχ ἡσυχίαν, οὐ τῶν μαθημάτων τά ὑψηλότατα, οὐ χαμευνίαν, οὐκ ἀγρυπνίαν, οὐ τά λοιπά πάντα, δι᾽ὧν ὁ κατά Θεόν χαρακτηρίζεται βίος, ἕως πρός αὐτούς νένευκεν ὁ σκοπός καί ἡ αἰτά τῶν γινομένων.

οα'. Τούς μέν ἄλλους δαίμονας, τάχιον ἴσως ὁ ἀσκητής καταλαβόμενος, ῥᾳδίως τήν ἐξ αὐτῶν βλάβην διαδιδράσκει· τούς δέ δοκοῦντας συνεργεῖν τῷ δρόμῳ τῆς ἀρετῆς, καί οἷον συνοικοδομεῖν βουλομένους τόν ναόν Κυρίῳ, τίς ἀν τῶν ἄγαν ὑψηλῶν καταλάβοι νοῦς, χωρίς τοῦ διά πάντων χωροῦντος ἐνεργοῦς λόγου καί ζῶντος, καί διικνουμένου ἄχρι μερισμοῦ ψυχῆς καί πνεύματος, τουτέστι, διαγινώσκοντος τίνα τῶν ἔργων ἤ νοημάτων εἰσί ψυχικά, τουτέστιν εἶδη φυσικά τῆς ἀρετῆς ἤ κινήματα, καί τίνα τυγχάνει πνευματικά, τουτέστιν, ὑπέρ φύσιν καί Θεόν χαρακτηρίζοντα· τῇ φύσει δέ κατά χάριν διδόμενα· ἁρμῶν τε καί μυελῶν, τήν πρός τούς πνευματικούς λόγους τῶν κατ᾽ ἀρετήν τρόπων, ἁρμόδιον ἤ ἀναρμόδιον διόλου σύννευσιν ἐπισταμένου, κρίνοντός τε τάς ἐνθυμήσεις καί τάς ἐννοίας τῶν καρδιῶν, τουτέστι, τουτέστι, τάς ἐπί τοῖς εἰρημένοις ἀφανεῖς κατά τό βάθος σχέσεις, ᾧ οὐκ ἔστι κτίσις ἀφανής, ἐν ἡμῖν τοῖς λανθάνειν δοκοῦσι· πάντα δέ γυμνά καί τετραχηλισμένα, οὐ μόνον τά γεγενημένα τε καί νενοημένα, ἀλλ᾽ ἤδη καί τά γεννησόμενα παρ᾽ ἡμῶν καί νοηθησόμενα.

οβ'. Μερισμόν ψυχῆς καί πνεύματος λέγει, τήν διαφοράν τῶν ἐκ φύσεως ἀρετῶν, ὧν φυσικῶς ἔχομεν τούς λόγους· καί τῶν ἐκ

πνεύματος, ὧν κατά δωρεάν δεχόμεθα τήν χάριν. Τούτων γάρ εὐκρινῶς τήν διαστολήν ποιεῖται κρίνων ὁ λόγος.

ογ'. Τάς ἐνθυμήσεις καί τάς ἐννοίας, ὧν ἐστι κριτικός ὁ λόγος, φησίν εἶναι τάς τῆς ψυχῆς ἐπί τε τοῖς θείοις λόγοις καί τοῖς λογισμοῖς σχέσεις, καί τάς αὐτῶν δηλαδή τῶν σχέσεων αἰτίας. Ἡ γάρ ἐνθύμησις, κινεῖ μνήμην, ἧς οἰκεῖον ἡ σχέσις· ἡ δέ ἔννοια πέρας ἀποσκοπεῖ, ὅπερ αἰτίαν χαρακτηρίζει.

οδ'. Εἰ κατ᾿ οὐσίαν γνῶσίς ἐστιν ὁ Θεός, προηγεῖται δέ σαφῶς πάσης γνώσεως νοῦς, ᾧ καί ὑποπίπτειν πέφυκεν· ἄρα ὑπέρ ταύτην ἐστίν ὁ Θεός, ὅτι καί ὑπέρ πάντα νοῦν, ᾧ γνῶσις καθ᾿ ότιοῦν πέφυκεν ὑποπίπτειν, ὑπεραπείρως καθέστηκε.

οε'. (1293) Τίς τόν θεῖον οὐκ ἔχων ἐνοικοῦντα λόγον τῷ βάθει τῆς καρδίας, δυνήσεται τούς ἀφανεῖς δόλους τῆς καθ᾿ ἡμῶν ὑποκρίσεως τῶν δαιμόνων ὑποκλίνας, στῆναι καθ᾿ ἑαυτόν μονώτατος, χωρίς τινος ἐπιμιξίας, καί οἰκοδομῆσαι τοῦ Κυρίου τόν ναόν, κατά τόν μέγαν Ζοροβάβελ καί τόν Ἰησοῦν καί τούς ἡγουμένους τῶν πατριῶν, φάσκοντας διαῤῥήδην μεγάλῃ τῇ φωνῇ τοῖς ἀπατεῶσι πνεύμασι τῆς ὑπερηφανίας καί τῆς κενοδοξίας καί τῆς ἀνθρωπαρεσκίας καί τῆς ὑποκρίσεως· Οὐχ ἡμῖν καί ὑμῖν τοῦ οἰκοδομῆσαι τόν οἶκον Κυρίῳ τῷ Θεῷ ἡμῶν· ἡμεῖς γάρ μόνοι οἰκοδομήσομεν τῷ Κυρίῳ τοῦ Ἰσραήλ· γινώσκων ὡς ἡ τούτων ἐπιμιξία, τῆς ὅλης οἰκοδομῆς ποιεῖται φθοράν καί καθαίρεσιν, καί συλᾷ τῆς τῶν θείων ἀναθημάτων εὐπρεπείας τήν χάριν.

οστ'. Οὐδείς δύναταί τινα τῶν εἰρημένων δαιμόνων ἔχων τήν ἀρετήν συμμετερχόμενον, ταύτην τῷ Κυρίῳ οἰκοδομῆσαι· οὐ γάρ ἔχει τόν Θεόν τῶν γινομένων τέλος, ὅν θεώμενος ταύτην διέξεισι· ἀλλά τό πάθος, ὅπερ διά ταύτης συνίστησιν.

οζ'. Οἱ κατ᾿ ἔλλειψιν ἀρετῆς πολεμοῦντες, δαίμονές εἰσιν, οἱ πορνείαν καί μέθην, φυλαργυρίαν τε καί φθόνον διδάσκοντες· οἱ δέ καθ᾿ ὑπερβολήν πολεμοῦντες, εἰσίν οἱ τήν οἴησιν καί τήν κενοδοξίαν καί τήν ὑπερηφανίαν διδάκοντες, καί διά τῶν δεξιῶν τοῖς ἀριστεροῖς ἐπικεκρυμμένως ἐμπείροντες.

οη'. Εἴθε γένοιτο καί ἡμᾶς ἀεί λέγειν τοῖς ἐν πλάσματι φιλίας πνευματικῆς ἀοράτως προσβάλλουσι πνεύμασι τῆς πονηρίας, καί διά τοῦ ἀγαθοῦ λεληθότως βουλομένοις κατεργάσασθαι τῆς ἁμαρτίας τόν θάνατον καί λέγουσι· Συνοικοδομήσομεν ὑμῖν τόν ναόν τῷ Κυρίῳ ὑμῶν· Οὐχ ἡμῖν καί ὑμῖν τοῦ οἰκοδομῆσαι τόν οἶκον Κυρίῳ τῷ Θεῷ

ἡμῶν· ἡμεῖς γάρ μόνοι οἰκοδομήσομεν τῷ Κυρίῳ τοῦ Ἰσραήλ. Μόνοι μέν, ὅτι τῶν κατ᾽ ἔλλειψιν τῆς ἀρετῆς πολεμούντων ἐλευθερωθέντες πνευμάτων, ὧν καί ἐκβεβήκαμεν, οὐ βουλόμεθα ταῖς ὑπερβολαῖς δι᾽ ὑμῶν ἐπαρθέντες πάλιν περιπαρῆναι, καί πεσεῖν πτῶσιν, τοσοῦτον τῆς προτέρας χαλεπωτέραν, ὅσον τῆς μέν ἦν ἐπανόδου ἐλπίς εὐχερής, συγγνωσθεῖσι διά τήν ἀσθένειαν· τῇ δέ, ἤ οὐκ ἔστιν, ἤ δυσχερής ἔσται μισηθεῖσι διά τήν ὑπερηφανίαν, καί τοῦ δεξιοῦ ποιουμένοις ἕτερόν τι δεξιώτερον. Οὐ μόνοι δέ πάλιν, ὅτι τούς ἁγίους ἀγγέλους ἔχομεν τῶν καλῶν συλλήπτορας· μᾶλλον δέ τόν Θεόν αὐτόν, ἡμῖν ἑαυτόν ἐμφανίζοντα διά τῶν ἔργων τῆς δικαιοσύνης, καί ἡμᾶς ἑαυτῷ ναόν ἅγιον οἰκοδομοῦντα, καί παντός πάθους ἐλεύθερον.

οθ'. Ἀρετῆς ὅρος ἐστίν, ἡ τῆς ἀνθρωπίνης ἀσθενείας κατ᾽ ἐπίγνωσιν πρός τήν θείαν δύναμιν ἕνωσις. Ὁ τοίνυν ἑαυτόν τῇ ἀσθενείᾳ περιγράφων τῆς φύσεως, πρός τόν ὅρον οὐκ ἦλθε τῆς ἀρετῆς· καί διά τοῦτο πλημμελεῖ, (1296) μήπω λαβών τήν τό ἀσθενές ἐνισχύουσαν δύναμιν. Ὁ δέ τῆς θείας δυνάμεως τήν οἰκείαν ἀσθένειαν, ὡς ἰσχύν αὐθαδῶς ἀντιπροβαλόμενος, τόν ὅρον παρῆλθε τῆς ἀρετῆς· καί διά τοῦτο πλημμελῶν, ὡς τοῦ κατόπιν ὑπερφεροῦς παρ᾽ ἑαυτῷ γινομένου, οὐκ ἐπιγινώσκει· ἀρετήν γάρ εἶναι νομίζει τό πλημμέλημα. Συγγνωστός οὖν μᾶλλον ὁ τῇ κατά φύσιν ἀσθενείᾳ ἑαυτόν περιγράψας, παθών μᾶλλον ἐκ ῥᾳθυμίας τήν ἔκπτωσιν τῆς ἀρετῆς· ἤ ὁ τήν οἰκείαν ἀσθένειαν ὡς ἰσχύν πρός τήν τῶν καθηκόντων ποίησιν ἀντιπροβαλόμενος τῆς θείας δυνάμεως, δράσας μᾶλλον ἐξ αὐθαδείας τῆς ἀρετῆς τήν ἔκπτωσιν.

π'. Ἐπειδή εἴρηται· Πολύ ἰσχύει δέησις δικαίου ἐνεργουμένη, κατά δύο τρόπους οἶδα ταύτην ἐνεργουμένην· καθ᾽ ἕνα μέν, ὁπόταν μετά τῶν κατ᾽ ἐντολήν ἔργων, τῷ Θεῷ τήν ταύτης ποιῆται προσαγωγήν τῆς δεήσεως ὁ εὐχόμενος, ὡς μή μόνον ἐν ψιλῷ λόγῳ καί διακένῳ φωνῆς ἤχῳ τῆς γλώττης ἐκπίπτουσαν ἀργήν κεῖσθαι τήν δέησιν, καί ἀνυπόστατον, ἀλλ᾽ ἐνεργόν καί ζῶσαν, τοῖς ἔργοις τῶν ἐντολῶν ψυχουμένην. Εὐχῆς γάρ καί δεήσεως ὑπόστασις, ἡ διά τῶν ἀρετῶν τῶν ἐντολῶν ὑπάρχει προδήλως ἐκπλήρωσις, καθ᾽ ἥν ἰσχυράν καί πάντα δυναμένην ὁ δίκαιος ἔχει τήν δέησιν, ἐνεργουμένην ταῖς ἐντολαῖς. Καθ᾽ ἕτερον δέ τρόπον, ὁπόταν ὁ τῆς εὐχῆς τοῦ δικαίου δεόμενος, τά ἔργα τῆς εὐχῆς διαπράττηται, τόν τε πρότερον διορθούμενος βίον, καί τήν δέησιν ἰσχυράν τοῦ δικαίου ποιούμενος, διά τῆς οἰκείας καλῆς ἀναστροφῆς δυναμουμένην.

πα'. Οὐδέν ὄφελος τῆς τοῦ δικαίου δεήσεως, τοῦ ταύτης χρῄζοντος, πλέον τῶν ἀρετῶν ἡδομένου τοῖς πλημμελήμασιν. Ἐπεί καί ὁ μέγας ποτέ Σαμουήλ ἐπένθει τόν Σαούλ πλημμελοῦντα· ἀλλ᾽ οὐκ ἴσχυσε τόν Θεόν ἱλεώσασθαι, μή λαβών συλλήπτορα τοῦ πένθους τήν καθήκουσαν τοῦ πλημμελοῦντος διόρθωσιν. Διό τοῦ ἀνονήτου πένθους ὁ Θεός καταπαύων τόν ἑαυτοῦ θεράποντα, φησί πρός αὐτόν, Ἕως πότε σύ πενθεῖς ἐπί Σαούλ, καί ἐγώ ἐξουδένωκα αὐτόν, τοῦ βασιλεύει ἐπί τόν Ἰσραήλ;

πβ'. Καί πάλιν Ἱερεμίας ὁ συμπαθέστατος, ὑπέρ τοῦ λαοῦ τῶν Ἰουδαίων, περί τήν πλάνην μανέντος τῶν δαιμονίων, (1297) οὐκ εἰσακούεται προσευχόμενος, οὐκ ἔχων εἰς προσευχῆς δύναμιν, τήν ἀπό τῆς πλάνης τῶν ἀθέων Ἰουδαίων ἐπιστροφήν. Ὅθεν τοῦ διακενῆς προσεύχεσθαι καί τοῦτο ἀπάγων ὁ Θεός, φησί, Καί σύ μή προσεύχου περί τοῦ λαοῦ τούτου, καί μή ἀξίου τοῦς ἐλεηθῆναι αὐτούς, καί μή εὔχου, καί μή προσέλθῃς μοι περί αὐτῶν ἔτι, ὅτι οὐκ εἰσακούσομαι.

πγ'. Πολλῆς ὄντως ἐστίν ἀβελτηρίας, ἵνα μή λέγω παραφροσύνης, δι᾽ εὐχῆς δικαίων ἐπιζητεῖν σωτηρίαν, τόν κατά διάθεσιν τοῖς ὀλεθρίοις ἡδόμενον· κἀκείνων αἰτεῖσθαι συγχώρησιν, οἷς ἐγκαυχᾶται κατ᾽ ἐνέργειαν προθέσει σπιλούμενος, δέον μή ἀργήν ἐᾶν γίνεσθαι καί ἀκίνητον τοῦ δικαίου τήν δέησιν, τόν ταύτης δεόμενον, εἴπερ ἀληθῶς τοῖς πονηροῖς ἀπεχθάνεται· ἀλλ᾽ ἐνεργόν ποιεῖν καί ἰσχυράν, ταῖς οἰκείαις ἀρεταῖς πτερουμένην, καί φθάνουσαν τόν συγχώρησιν διδόναι τῶν πλημμεληθέντων δυνάμενον.

πδ'. Πολύ ἰσχύει τοῦ δικαίου ἡ δέησις, εἴτε ἐκ τοῦ ποιουμένου ταύτην δικαίου, εἴτε ἐκ τοῦ γίνεσθαι αὐτήν αἰτουμένου τόν δίκαιον, ἐνεργουμένη. Ὑπό μέν γάρ τοῦ δικαίου ἐνεργουμένη, δίδωσιν αὐτῷ παῤῥησίαν πρός τόν δοῦναι δυνάμενον τά τῶν δικαίων αἰτήματα· ὑπό δέ τοῦ ταύτην αἰτουμένου τόν δίκαιον, τῆς προτέρας αὐτόν μοχθηρίας ἀφίστησι, μεταβάλλουσα πρός ἀρετήν αὐτῷ τήν διάθεσιν.

πε'. Τοῦ Ἀποστόλου εἰρηκότος, Ἐν ᾧ ἀγαλλιᾶσθε ὀλίγον ἄρτι, εἰ δέον ἐστί λυπηθέντας ὑμᾶς ἐν ποικίλοις πειρασμοῖς, πῶς τις λυπούμενος ἐν πειρασμοῖς δύναται ἀγαλλιᾶσθαι ἐν ᾧ λυπεῖται;

πστ'. Τήν λύπην διττήν οἶδε τῆς ἀληθείας ὁ λόγος· τήν μέν, κατά ψυχήν ἀφανῶς· τήν δέ, κατ᾽ αἴσθησιν φανερῶς συνισταμένην· καί τήν μέν, ὅλον ψυχῆς τό βάθος περιλαμβάνουσαν, τῇ μάστιγι τῆς συνειδήσεως αἰκιζόμενον· τήν δέ, πᾶσαν τήν αἴσθησιν περιγράφουσαν, τῷ βάρει τῶν ἀλγεινῶν συστελλομένην τῆς φυσικῆς

διαχύσεως· καί τήν μέν, τῆς κατ᾽ αἴσθησιν ἡδονῆς· τήν δέ, τῆς κατά ψυχήν εὐφροσύνης τέλος ὑπάρχουσαν· μᾶλλον δέ τήν μέν, τῶν κατ᾽ αἴσθησιν γνωμικῶν· τήν δέ, τῶν κατ᾽ αὐτήν συμπέρασμα παρά γνώμην παθῶν τυγχάνουσαν.

πζ'. Λύπη ἐστί, κατ᾽ ἐμέ φάναι, διάθεσις ἡδονῶν ἐστερημένη· στέρησις δέ καθέστηκεν ἡδονῶν, πόνων ἐπαγωγή· πόνος δέ σαφῶς ἐστι, φυσικῆς ἕξεως ἔλλειψις ἤ ὑποχώρησις· ἔλλειψις δέ φυσικῆς ἐστιν ἕξεως, πάθος τῆς κατά φύσιν ὑποκειμένης τῇ ἕξει δυνάμεως. Τό δέ πάθος τῆς κατά φύσιν ὑποκειμένης τῇ ἕξει δυνάμεώς ἐστιν, ὁ κατά τήν παράχρησιν τῆς φυσικῆς ἐνεργείας τρόπος· παράχρησις δέ τοῦ κατ᾽ ἐνέργειαν τρόπου καθέστηκεν, ἡ πρό τό μή πεφυκός κατά φύσιν καί ὑφιστάμενον τῆς δυνάμεως κίνησις.

πη'. (1300) Τήν κατά ψυχήν λύπης τέλος εἶναί φησι τῆς κατ᾽ αἴσθησιν ἡδονῆς· ἐκ γάρ ταύτης συνίσταται λύπη ψυχῆς· ὥσπερ οὖν καί τῆς κατά ψυχήν ἡδονῆς τέλος ἐστίν ἡ κατά σάρκα λύπη· ψυχῆς γάρ εὐφροσύνη σαρκός γίνεται κόλασις [gu. illa 58, λύπη].

πθ'. Διττήν τήν λύπην λέγει· τήν μέν, περί τήν αἴσθησιν, κατά στέρησιν τῶν σωματικῶν ἡδονῶν συνισταμένην· τήν δέ, περί νοῦν κατά στέρησιν τῶν τῆς ψυχῆς ἀγαθῶν γινομένην. Διττούς δέ λέγει καί τούς πειρασμούς, τούς μέν, ἑκουσίους· τούς δέ, ἀκουσίους. Καί τούς μέν, ἑκουσίους, τῆς κατ᾽ αἴσθησιν σωματικῆς εἶναι πατέρας· τῆς δέ κατά ψυχήν λύπης [ unus Reg. ὀδύνης] εἶναι γεννήτορας· μόνη γάρ πραχθεῖσα λυπεῖ [ed. ταπεινοῖ] τήν ψυχήν ἡ ἁμαρτία· τούς δ᾽ ἀκουσίους, οἵτινες ἐν τοῖς παρά γνώμην δείκνυνται πόνοις, τῆς μέν κατά ψυχήν ἡδονῆς εἶναι πατέρας· τῆς δέ κατ᾽ αἴσθησιν σωματικῆς λύπης εἶναι γεννήτορας.

τέσσ. ἀνοικ. '. Ὥσπερ τήν λύπην διττήν, ὡς ἔφην, οἶδεν ὁ λόγος, οὕτω καί τῶν πειρασμῶν διττόν ἐπίσταται τόν τρόπον· τόν μέν, κατά γνώμην· τόν δέ, παρά γνώμην· καί τόν μέν, ἑκουσίων ἡδονῶν δημιουργόν, τόν δέ ἀκουσίων ὀδύνων ἐπακτικόν. Ὁ γάρ κατά γνώμην πειρασμός, τάς κατά προαίρεσιν ἑκουσίους σαφῶς συνίστησιν ἡδονάς. Ὁ δέ παρά γνώμην, προδήλως τούς ἀκουσίους παρά προαίρεσιν ἐφίστησι πόνους· καί ὁ μέν, τῆς κατά ψυχήν, ὁ δέ, τῆς κατ᾽ αἴσθησιν λύπης καθέστηκεν αἴτιος.

τέσσ. ἀνοικ. α'. Ὁ μέν κατά γνώμην πειρασμός, τήν κατά ψυχήν λύπην συνίστησι· τήν δέ κατ᾽ αἴσθησιν δημιουργεῖ σαφῶς ἡδονήν, τήν δέ τῆς σαρκός λύπην ὑφίστησιν.

τέσσ. ἀνοικ. β'. Οἶμαι τόν Κύριον ἡμῶν καί Θεόν, πῶς δεῖ προσεύχεσθαι τούς οἰκείους διδάσκοντα μαθητάς, πρός τό, τό κατά γνώμην εἶδος τῶν πειρασμῶν ἀπεύχεσθαι [male edita, τοῦ εἴδους ἀπέχευσθαι], φάσκειν, Καί μή εἰσενέγκης ἡμᾶς εἰς πειρασμόν· τῶν ἡδονικῶν δηλονότι καί γνωμικῶν καί ἑκουσίων πειρασμῶν, μή ἐγκαταλειφθῆναι πεῖραν λαβεῖν εὔχεσθαι· τόν δέ μέγαν Ἰάκωβον τοῦ Κυρίου λεγόμενον ἀδελφόν, πρός τό τῶν ἀκουσίων πειρασμῶν εἶδος, διδάσκοντα μή συστέλλεσθαι τούς ὑπέρ ἀληθείας ἀγνωνιζομένους, φάναι, Πᾶσαν χαράν ἡγήσασθε, ἀδελφοί μου, ὅταν πειρασμοῖς περιπέσητε ποικίλοις, δηλονότι τοῖς ἀκουσίοις καί παρά γνώμην, καί πόνων ποιητικοῖς πειρασμοῖς. Καί δηλοῦσι σαφῶς, ἐκεῖ μέν, ἐπάγων ὁ Κύριος, Ἀλλά ῥῆσαι ἡμᾶς ἀπό τοῦ πονηροῦ· ἐνταῦθα δέ ὁ μέγας Ἰάκωβος, Γινώσκοντες ὅτι τό δοκίμιον ὑμῶν τῆς πίστεως, κατεργάζεται ὑπομονήν· ἡ δέ ὑπομονή, ἔργον τέλειον ἐχέτω, ἵνα ἦτε τέλειοι καί ὁλόκληροι, ἐν μηδενί λειπόμενοι.

τέσσ. ἀνοικ. γ'. (1301) Ἱ μέν Κύριος ἀπεύχεσθαι τούς ἑκουσίους ἡμᾶς δειδάσκει πειρασμούς, ὡς σαρκός μήν, ἡδονῆς· ψυχῆς δέ, ποιητικούς ὀδύνης· ὁ δέ μέγας Ἰάκωβος, ἐπί τοῖς ἀκουσίοις ἡμῖν παραινεῖ χαίρειν πειρασμοῖς, ὡς σαρκός μέν ἡδονήν, ψυχῆς δέ ὀδύνην ἀφαιρουμένοις.

τέσσ. ἀνοικ. δ'. Τέλειός ἐστιν, ὁ τοῖς ἑκουσίοις δι᾿ ἐγκρατείας μαχόμενος, καί τοῖς ἀκουσίοις δι᾿ ὑπομονῆς ἐγκαρτερῶν πειρασμοῖς· καί ὁλόκληρός ἐστιν, ὁ καί τήν πρᾶξιν μετά γνώσεως, καί τήν θεωρίαν οὐκ ἄπρακτον διανύων.

τέσσ. ἀνοικ. ε'. Διῃρημένης εἰς ψυχήν τε καί αἴσθησιν τῆς τε λύπης καί τῆς ἡδονῆς, ὁ τήν τῆς ψυχῆς περιποιούμενος ἡδονήν, τήν δέ τῆς αἰσθήσεως μεθ᾿ ὑπομονῆς καταδεχόμενος λύπην, δόκιμος γίνεται καί τέλειος καί ὁλόκληρος· δόκιμος μέν, διά τήν πεῖραν τῶν κατ᾿ αἴσθησιν ἐναντίων· τέλειος δέ, ὡς τῇ κατ᾿ αἴσθησιν ἡδονῇ τε καί λύπῃ δι᾿ ἐγκρατείας καί ὑπομονῆς ἀνενδότως μαχόμενος· ὁλόκληρος δέ, ὡς τάς μαχομένας ταῖς κατ᾿ αἴσθησιν ἀλλήλαις ἀντικειμέναις διαθέσεσιν ἕξεις, ἐν τῇ σταθερότητι τῆς κατά τόν λόγον ταυτότητος, ἀλωβήτους διαφυλάττων· φημί δέ τήν πρᾶξιν καί τήν θεωρίαν, ἀλλήλαις συνεχομένας, καί μηδεμίαν τῆς ἑτέρας διεζευγμένην· ἀλλά τήν μέν πρᾶξιν τῆς θεωρίας τήν γνῶσιν διά τῶν τρόπων προφαίνουσαν· τήν δέ θεωρίαν, οὐχ ἧττον τοῦ λόγου τήν ἀρετήν τεθωρακισμένην τῆς πράξεως.

τέσσ. ἀνοικ. στ'. Ὁ λύπης καί ἡδονῆς σαρκός πεῖραν λαβών, λέγοιτ᾽ ἄν δόκιμος· ὡς εὐχερείας καί δυσχερείας τῶν περί σάρκα πραγμάτων πεπειραμένος. Τέλειος δέ, ὁ τήν ἡδονήν τῆς σαρκός καί τήν ὀδύνην τῇ τοῦ λόγου δυνάμει καταπαλαίσας· ὁλόκληρος δέ, ὁ τάς κατά πρᾶξιν καί θεωρίαν ἕξεις, ἀτρέπτους τῇ περί τόν θεῖον πόθον συντονίᾳ διατηρήσας.

τέσσ. ἀνοικ. ζ'. Τῆς μέν κατά ψυχήν λύπης ἐστί, διττός ὁ τρόπος· ὁ μέν, ἐπί τοῖς οἰκείοις· ὁ δέ, ἐπί τοῖς ἀλλοτρίοις πλημμελήμασι συνιστάμενος. Αἰτία δέ τῆς τοιαύτης λύπης, ἡ κατ᾽ αἴσθησιν τοῦ λυπουμένου σαφῶς, ἤ τῶν δι᾽ οὕς λυπεῖται καθέστηκεν ἡδονή. Κατά γάρ τόν ἀκριβῆ λόγον, οὐκ ἔστι παντελῶς ἁμαρτία σχεδόν ἐν ἀνθρώποις, μή τῆς ψυχῆς πρός αἴσθησιν, ἡδονῆς ἕνεκεν ἀλόγιστον σχέσιν, ἀρχήν τῆς οἰκείας γενέσεως ἔχουσα. Τῆς δέ κατά ψυχήν ἡδονῆς αἰτία, προδήλως ἐστίν, ἡ κατ᾽ αἴσθησιν τοῦ ἐπί ταῖς οἰκείαις ἤ ταῖς ἀλλοτρίαις ἀρεταῖς ἡδομένου τε καί χαίροντος λύπη. Κατά γάρ τόν ἀκριβῆ λόγον, οὐκ ἔστιν ἀρετή σχεδόν ἐν ἀνθρώποις, μή τῆς ψυχῆς πρός αἴσθησιν λελογισμένην ἀποδιάθεσιν, ἀρχήν τῆς οἰκείας γενέσεως ἔχουσα.

τέσσ. ἀνοικ. η'. Χωρίς τῆς κατά ψυχήν ἐμπαθοῦς πρός αἴσθησιν σχέσεως, οὐκ ἔστιν ἐν ἀνθρώποις παντελῶς ἁμαρτία· πάσης δέ λύπης συνισταμένης κατά ψυχήν, ἡδονή σαρκός προηγεῖται.

τέσσ. ἀνοικ. θ'. Γένεσις ἀρετῆς ἐστιν ἀληθής, ἡ πρός τήν σάρκα τῆς ψυχῆς ἑκούσιος ἀλλοτρίωσις· εὐφραίνει δέ ψυχήν πνευματικῶς, ὁ τοῖς ἑκουσίοις τήν σάρκα πόνοις δαμάζων.

ρ'. (1304) Τῆς ψυχῆς ὑπέρ ἀρετῆς πρός τήν αἴσθησιν ἀποδιάτον κτησαμένης, ἐξανάγκης ἡ αἴσθησις ἐν πόνοις ἔσται, τήν τῶν ἡδέων ἐπινοητικήν συνημμένην αὐτῇ κατα τήν γνωμικήν σχέσιν, τῆς ψυχῆς οὐκ ἔχουσα δύναμιν· τοὐναντίον δέ, τήν μέν τῶν αὐτῆς φυσικῶν ἡδονῶν ἐπανάστασιν, δι᾽ ἐγκρατείας ἀνδρικῶς ἀποῤῥαπίζουσαν· πρός δέ τήν τῶν παρά φύσιν και ἀκουσίων πόνων ἐπαγωγήν, διά τῆς ὑπομονῆς, ἀμείλικτον παντελῶς διαμένουσαν, καί τῆς κατ᾽ ἀρετήν θεοπρεποῦς ἀξίας τε καί δόξης διά τήν ἀνυπόστατον ἡδονήν οὐκ ἐξισταμένην, καί πρός τήν τῶν πόνων ἀντίληψιν φειδοῖ τῆς σαρκός διά τήν ὀδυνῶσαν αἴσθησιν, τοῦ ὕψους τῶν ἀρετῶν οὐκ ἀποπίπτουσαν. Τῆς δέ κατ᾽ αἴσθησιν λύπης αἰτία καθέστηκεν, ἡ πρός τά κατά φύσιν τῆς ψυχῆς παντελής ἀσχολία. Τήν δέ κατ᾽ αἴσθησιν ἡδονήν, ἡ παρά φύσιν ἐνέργεια τῆς ψυχῆς προδήλως ὑφίστησιν,

ἄλλην ἀρχήν ἔχειν οὐ δυναμένην συστάσεως, ἤ τήν ψυχῆς τῶν κατά φύσιν ἀπόθεσιν.

## ΕΚΑΤΟΝΤΑΣ ΤΕΤΑΡΤΗ.

α'. Ἐπινοητικήν οἶδε τήν νοεράν τῆς ψυχῆς δύναμιν· ἥτις χωριζομένη τῆς κατ᾿ αἴσθησιν σχέσεως, ἔρημον τῆς πρός ἡδονήν τήν σάρκα καταλιμπάνει προνοίας, κατά τήν ἐν γνώμῃ σχέσιν, οὐδέ τήν ὀδύνην τῆς σαρκός ἀνεχομένη παραμυθεῖσθαι, διά τήν ἐν σχέσει τῆς γνώμης πρός τά θεῖα ὁλικήν σχολήν.

β'. Νοῦς καί αἴσθησις ἀντικειμένην ἔχουσι πρός ἄλληλα τήν κατά φύσιν ἐνέργειαν, διά τήν τῶν αὐτοῖς ὑποκειμένων ἀκροτάτην διαφοράν καί ἑτερότητα. Ὁ μέν γάρ, ὑποκειμένας ἔχει τάς νοητάς καί ἀσωμάτους οὐσίας, ὧν ἀσωμάτως ἀντιλαμβάνεσθαι [gg ad Thalass. g. 58, ὧν κατ᾿ οὐσίαν ἀντιλαμ.] πέφυκεν· ἡ δέ, τάς αἰσθητάς καί σωματικάς φύσεις, ὧν καί αὐτή φυσικῶς ἀντιλαμβάνεται.

γ'. Ἡ τῆς ψυχῆς τῶν κατά φύσιν ἀπόθεσις, τῆς κατ᾿ αἴσθησιν ἡδονῆς ἀρχή γίνεσθαι πέφυκε. Τῆς γάρ ψυχῆς περί τά κτά φύσιν ἀγαθά πονουμένης, οὐκ ἔστιν ἡ τόν κατ᾿ αἴσθησιν τῆς ἡδονῆς τρόπον ἐφευρίσκουσα δύναμις.

δ'. Ἔνθα λόγος προκαθηγεῖται τῆς αἰσθήσεως κατά τήν τῶν ὁρατῶν θεωρίαν, πάσης ἐστέρηται τῆς κατα φύσιν ἡ σάρξ ἡδονῆς, οὐκ ἔχουσα τήν αἴσθησιν ἄφετον καί τῶν λογικῶν ἀπολελυμένην δεσμῶν, εἰς ὑπηρεσίαν τῶν κατ᾿ αὐτήν ἡδονῶν. Ὅθεν καί ἐξανάγκης κρατοῦντος τοῦ ἐν ἡμῶν λόγου, ἡ πρός ἀρετήν αὐτῷ δουλωθεῖσα βασανίζεται σάρξ.

ε'. (1305) Ὁ νοῦς ἅμα τήν αἴσθησιν οἰκείαν κατά φύσιν ἡγήσεται δύναμιν, ταῖς τῶν αἰσθητῶν ἐπιπλεκόμενος ἐπιφανείας, ἐπινοεῖται τάς σαρκικάς ἡδονάς, οὐ δυνάμενος τῶν ὁρατῶν διαβῆναι τήν φύσιν, τῇ πρός τήν αἴσθησιν ἐμπαθεῖ σχέσει κατασχεθείς.

στ'. Εἰ οὐκ ἔστι δυνατόν πρός τά συγγενῆ νοητά τόν νοῦν διαβῆναι, δίχα τῆς τῶν διά μέσου προβεβλημένων αἰσθητῶν θεωρίας· ταύτην δέ γενέσθαι, παντελῶς ἀμήχανον χωρίς τῆς αὐτῷ μέν συγκειμένης, τοῖς αἰσθητοῖς δέ κατά φύσιν συγγενοῦς αἰσθήσεως· εἰκότως εἰ μέν προβαλών ἐνσχεθῇ ταῖς ἐπιφανείαις τῶν ὁρατῶν, ἐνέργειαν εἶναι φυσικήν τήν συγκειμένην οἰόμενος αἴσθησιν, τῶν μέν κατα φύσιν

ἐκπέπτωκε νοητῶν· τῶν δέ παρά φύσιν ἀμφοῖν ταῖν χεροῖν, ὅ δή λέγεται, ἐπελάβετο σωμάτων· οἷς παρά τόν λόγον ἐνεργούμενος, διά τήν αὐτόν ἐκνικήσασαν αἴσθησιν, τῆς μέν κατά ψυχήν λύπης γεννήτωρ καθίσταται, συχναῖς ταῖς κατά συνείδησιν μάστιξιν αἰκιζόμενος· τῆς δέ κατ᾽ αἴσθησιν ἡδονῆς ἀρίδηλος γίνεται ποιητής, ταῖς ἐπινοίαις τῶν περιποιητικῶν τρόπων τῆς σαρκός λιπαινόμενος. Εἰ δέ τήν πρός αἴσθησιν, ἅμα τῇ προσβολῇ τῶν ὁρωμένων διατεμῶν ἐπιφάνειαν, τούς πνευματικούς τῶν ὄντων καθαρούς τῶν ἐπ᾽ αὐτοῖς σχημάτων θεάσεται λόγους, τήν μέν τῆς ψυχῆς ἡδονήν κατειργάσατο, μηδενί τῶν αἰσθητῶν θεωρουμένων κρατουμένης, τήν δέ τῆς αἰσθήσεως συνεστήσατο λύπην, πάντων κατά φύσιν τῶν αἰσθητῶν ἐστερημένης.

ζ'. Ἐπειδή τήν μέν τῆς ψυχῆς λύπην, ἤγουν τόν πόνον (ταὐτόν γάρ ἀλλήλοις ἀμφότερα), ἡ κατ᾽ αἴσθησιν ἡδονήν συνίστησι· τήν δέ τῆς αἰσθήσεως λύπην, ἤγουν τόν πόνον, ἡ κατα ψυχήν ποιεῖν ἡδονή πέφυκεν, εἰκότως ὁ τῆς κατ᾽ ἐλπίδα ζωῆς τοῦ Θεοῦ καί Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, δι᾽ ἀναστάσεως νεκρῶν εἰς κληρονομίαν ἄφθαρτον καί ἀμίαντον καί ἀμάραντον τετηρημένην ἐν οὐρανοῖς, ἐφιέμενος, κατά μέν τήν ψυχήν ἀγαλλίασιν ἔχει, χαράν ἀνεκλάλητον, διηνεκῶς τῇ τῶν μελλόντων ἐλπίδι γαννύμενος ἀγαθῶν· κατά δέ τήν σάρκα καί τήν αἴσθησιν, ἤγουν τούς ἐκ τῶν ποικίλων πειρασμῶν ἐπιγινομένους αὐτῇ πόνους, καί τάς ἐπ᾽ αὐτοῖς ὀδύνας. Πάσῃ γάρ ἀρετῇ, ἡδονή καί πόνος παρέπεται· πόνος μέν σαρκός, ἐστερημένης τῆς προσηνοῦς καί λειοτέρας αἰσθήσεως· ἡδονή δέ ψυχῆς, παντός αἰσθητοῦ καθαροῖς ἐντρυφώσης τοῖς ἐν πνεύματι λόγοις.

η'. Δέον ἐστί τόν νοῦν κατά τήν παροῦσαν ζωήν (τοῦτο γάρ μοι νοεῖται, τό νῦν), κατά σάρκα λυπούμενον, διά τούς πολλούς πόνους τῶν ὑπέρ ἀρετῆς αὐτῷ προσαγομένων πειρασμῶν, ἀεί χαίρειν κατά ψυχήν, καί ἥδεσθαι διά τήν ἐλπίδα τῶν αἰωνίων ἀγαθῶν, κἄν ἔχῃ καταπονουμένην τήν αἴσθησιν. Οὐ γάρ ἄξια τά παθήματα τοῦ νῦν καιροῦ πρός τήν μέλλουσαν δόξαν ἀποκαλύπτεσθαι εἰς ἡμᾶς, φησίν ὁ θεῖος Ἀπόστολος.

θ'. Ψυχῆς, ἡ σάρξ, ἀλλ᾽ οὐ σαρκός ἡ ψυχή· τοῦ γάρ κρείττονος, φησί, τό ἧττον, ἀλλ᾽ οὐ τοῦ ἥττονος τό κρεῖττον. (1308) Οὐκοῦν, ἐπειδή τῇ σαρκί διά τήν παράβασιν ἐνεφύρη τῆς ἁμαρτίας ὁ νόμος, ὅπερ ἐστίν ἡ κατ᾽ αἴσθησιν ἡδονή, δι᾽ ἥν διά πόνων κατεκρίθη τῆς σαρκός ὁ θάνατος, εἰς τήν τοῦ νόμου τῆς σαρκός ἀναίρεσιν ἐπινενοημένος, ὁ

διαγνούς ὅτι διά τήν ἁμαρτίαν εἰς τήν αὐτῆς ἀναίρεσιν ἐπεισῆλθεν ὁ θάνατος, ἀεί χαίρουσαν ἔχει τήν ψυχήν, διά πόνων ποικίλων θεωμένην ἀπογινόμενον τῆς οἰκείας σαρκός τόν νόμον τῆς ἁμαρτίας, πρός ὑποδοχήν τῆς μελλούσης ἐν πνεύματι μακαρίας ζωῆς, ἧς ἄλλως οὐκ ἔστι τυχεῖν, μή πρότερον κενωθέντος ὡς ἐξ ἀγγείου τινός τῆς σαρκός ἐν τῇ παρούσῃ ζωῇ, κατά τήν πρός αὐτήν σχέσιν τῆς γνώμης, τοῦ νόμου τῆς ἁμαρτίας.

ι'. Ὁ τῇ ἀρετῇ κατά σάρκα διά τούς πόνους λυπούμενος, ἐν αὐτῇ χαίρει τῇ ἀρετῇ κατά ψυχήν, ὡς παροῦσαν θεώμενος τήν τῶν μελλότων εὐπρέπειαν· ὑπέρ ἧς, κατά τόν μέγαν Δαβίδ, τῇ κατά γνώμην ἀπογενέσει τῆς σαρκός, καθ᾽ ἑκάστην ἀποθνήσκει τήν ἡμέραν, ὁ κατά τήν τῆς ψυχῆς ἐν πνεύματι γένεσιν ἀεί καινιζόμενος, ἅτε δή καί τήν ἡδονήν ἔχων σωτήριον, καί τήν λύπην ὠφέλιμον. Λύπην γάρ φαμεν, οὐ τήν παράλογον καί τῶν πολλῶν, ἐπί στερήσει παθῶν ἤ πραγμάτων ὑλικῶν τήν ψυχήν βασανίζουσαν, ὡς τάς ὁρμάς παρά φύσιν ἐφ᾽ ἅ μή δεῖ, καί τάς ἀποφυγάς ἀφ᾽ ὧν μή δεῖ ποιουμένων· ἀλλά τήν λελογισμένην, καί τοῖς τά θεῖα σοφοῖς ἐγκριθεῖσαν, καί τό παρόν κακόν ὑποσημαίνουσαν· παρόν γάρ κακόν, φασίν εἶναι τήν λύπην, συνισταμένην μέν κατά ψυχήν, ὅταν ἡ κατ᾽ αἴσθησιν ἡδονή τῆς λογικῆς κρατῇ διακρίσεως· ὑφισταμένην δέ κατ᾽ αἴσθησιν, ὅταν τῆς ψυχῆς κατ᾽ ἀρετήν ἀκωλύτως ὁ δρόμος ἀνύηται· τοσοῦτον ἐπάγων τῇ αἰσθήσει τούς πόνους, ὅσον ἡδονήν ἐμποιεῖ καί χαράν τῇ ψυχῇ, τῷ Θεῷ προσαγομένῃ, διά τῆς συγγενοῦς κατ᾽ ἀρετήν τε καί γνῶσιν ἐλλάμψεως.

ια'. Ἡδονήν λέγει σωτήριον, τήν ἐπ᾽ ἀρετῇ χαράν τῆς ψυχῆς· ὠφέλιμον δέ λύπην, τήν ὑπέρ ἀρετῆς ὀδύνην τῆς σαρκός. Ὁ γοῦν πάθεσι προστετηκώς καί πράγμασιν, ἐφ᾽ ἅ μή δεῖ τάς ὁρμάς ποιεῖται· καί ὁ τάς ποιητικάς τῆς τῶν παθῶν καί τῶν πραγμάτων στερήσεως συμβάσεις οὐκ ἀσπαζόμενος, ἀφ᾽ ὧν μή δεῖ τάς ἀποφυγάς ποιεῖται.

ιβ'. Οὔτε ἡ θεία χάρις ἐνεργεῖ φωτισμούς γνώσεως, οὐκ ὄντος τοῦ κατά δύναμιν φυσικήν δεχομένου τόν φωτισμόν· οὔτε μήν τό δεκτικόν δίχα τῆς χορηγούσης χάριτος, τόν φωτισμόν ἐνεργεῖ γνώσεως.

ιγ'. Οὔτε ἡ χάρις τοῦ παναγίου Πνεύματος ἐνεργεῖ σοφίαν ἐν τοῖς ἁγίοις, χωρίς τοῦ ταύτην δεχομένου νοός· οὔτε γνῶσιν χωρίς τῆς δεκτικῆς τοῦ λόγου δυνάμεως· οὔτε πίστει ἄνευ τῆς κατά νοῦν καί λόγον τῶν μελλόντων καί πᾶσι τέως ἀδήλων πληροφορίας· οὔτε ἰαμάτων χαρίσματα, δίχα τῆς κατά φύσιν φιλανθρωπίας· οὔτε τι

ἕτερον τῶν λοιπῶν χαρισμάτων, (1309) χωρίς τῆς ἑκάστου δεκτικῆς ἕξεώς τε καί δυνάμεως· οὔτε μήν πάλιν ἕν τῶν ἀπηριθμημένων ἄνθρωπος κτήσεται κατά δύναμιν φυσικήν, δίχα τῆς χορηγούσης ταῦτα θείας δυνάμεως. Καί δηλοῦσι τοῦτο σαφῶς πάντες ἅγιοι, μετά τάς ἀποκαλύψεις τῶν θείων, ζητοῦντες τῶν ἀποκαλυφθέντων τούς λόγους.

ιδ'. Ὁ δίχα πάθους αἰτῶν, λαμβάνει τήν τοῦ ἐνεργεῖν δύνασθαι χάριν κατά τήν πρᾶξιν τάς ἀρετάς· καί ὁ ζητῶν ἀπαθῶς, εὑρίσκει κατά τήνφυσικήν ἀπαθῶς τήν ἐν τοῖς οὖσιν ἀλήθειαν· καί ὁ κρούων ἀπαθῶς τήν θύραν τῆς γνώσεως, ἀκωλύτως εἰς τήν ἀπόκρυφον τῆς μυστικῆς θεολογίας ἐλεύσεται χάριν.

ιε'. Ὁ ἀπαθῶς τά θεῖα ζητῶν, πάντως λήψεται τό ζητούμενον. Ὁ δέ μετά τινος πάθους ζητῶν, ἀποτεύξεται τοῦ ζητουμένου. Φησί γάρ, Αἰτεῖτε, καί οὐ λαμβάνετε, διότι κακῶς αἰτεῖτε.

ιστ'. Ζητεῖ ἐν ἡμῖν τήν τῶν ὄντων γνῶσιν τό Πνεῦμα τό ἅγιον, καί ἐρευνᾷ· ἀλλ᾽ οὐκ ἑαυτῷ ζητεῖ τό ζητούμενον, ὅτι Θεός, καί πάσης ἐπέκεινα γνώσεως· ἀλλ᾽ ἡμῖν τοῖς δεομένοις τῆς γνώσεως· ὥσπερ ἀμέλει καί ὁ Λόγος γίνεται σάρξ, οὐχ ἑαυτῷ, ἀλλ᾽ ἡμῖν τό διά τῆς σαρκός ἐξανύων μυστήριον. Ὡς γάρ χωρίς σαρκός νοερῶς ἐψυχωμένης, οὐκ ἐνήργει θεοπρεπῶς τά κατά φύσιν ὁ Λόγος τῆς σαρκός, οὕτως οὐδέ τό Πνεῦμα τό ἅγιον ἐν τοῖς ἁγίοις ἐνεργεῖ τάς γνώσεις τῶν μυστηρίων, χωρίς τῆς κατά φύσιν ζητούσης τε καί ἐρευνώσης τήν γνῶσιν δυνάμεως.

ιζ'. Ὥσπερ οὐκ ἔστι χωρίς ἡλιακοῦ φωτός ὀφθαλμόν ἀντιλαμβάνεσθαι τῶν αἰσθητῶν, οὕτω δίχα πνευματικοῦ φωτός νοῦς ἀνθρώπινος οὔποτ᾽ ἄν δέξεται θεωρίαν πνευματικήν. Τό μέν γάρ αἰσθητόν φῶς, κατά φύσιν φωτίζει τήν αἴσθησιν πρός τήν τῶν σωματικῶν ἀντίληψιν· τό δέ πνευματικόν, πρός τήν θεωρίαν τόν νοῦν καταυγάζει πρός κατανόησιν τῶν ὑπέρ αἴσθησιν.

ιη'. Τάς μέν ζητητικάς τε καί ἐρευνητικάς [gu. 59 kd Thalass. ἐξερευνητ.] τῶν θείων δυνάμεις οὐσιωδῶς ἔχει καταβεβλημένας αὐτῇ παρά τοῦ Κτίσαντος κατ᾽ αὐτήν τήν εἰς τό εἶναι πάροδον, ἡ τῶν ἀνθρώπων φύσις· τάς δέ τῶν θείων ἀποκαλύψεις, κατά χάριν ἡ τοῦ παναγίου Πνεύματος ἐποιφητῶσα ποιεῖται δύναμις. Ἐπειδή δέ κατ᾽ ἀρχάς διά τῆς ἁμαρτίας, τῇ φύσει τῶν ὁρατῶν ταύτας ὁ πονηρός προσήλωσε τας δυνάμεις, καί οὐκ ἦν ὁ συνιών ἤ ἐκζητῶν τόν Θεόν, πάντων τῶν μετειληφότων τῆς φύσεως, τήν νοεράν τε καί λογικήν

δύναμιν ἐχόντων περιγεγραμμένην τῇ ἐπιφανείᾳ τῶν αἰσθητῶν, καί μηδεμίαν κεκτημένων ἔννοιαν τῶν ὑπέρ αἴσθησιν, εἰκότως ἡ τοῦ παναγίου Πνεύματος χάρις, τοῖς μή κατά πρόθεσιν ἐνδιαθέτως ὑπό τήν ἀπάτην γενομένοις, τῶν ὑλικῶν ἀφηλώσασα, τήν προσηλωμένην (1312) ἀποκατέστησεν δύναμιν· ἥν καθαράν ἀπολαβόντες διά τῆς χάριτος, πρῶτον ἐζήτησαν καί ἠρεύνησαν, καί οὕτως ἐξεζήτησαν καί ἐξηρεύνησαν, διά τῆς αὐτῆς δηλαδή τοῦ Πνεύματος χάριτος.

ιθ'. Σωτηρία δηλαδή ψυχῶν, κυρίως ἐστί, τό τέλος τῆς πίστεως. Τέλος δέ πίστεώς ἐστιν, ἡ τοῦ πιστευθέντος ἀληθής ἀποκάλυψις. Ἀληθής δέ τοῦ πιστευθέντος ἐστίν ἀποκάλυψις, ἡ κατά ἀναλογίαν τῆς ἐν ἑκάστῳ πίστεως ἄῤῥητος τοῦ πεπιστευμένου περιχώρησις. Περιχώρησις δέ τοῦ πεπιστευμένου καθέστηκεν, ἡ πρός τήν ἀρχήν κατά τό τέλος τῶν πεπιστευκότων ἐπάνοδος. Ἡ δέ πρός τήν οἰκείαν ἀρχήν κατά τό τέλος τῶν πεπιστευκότων ἐπάνοδός ἐστιν, ἡ τῆς ἐφέσεως πλήρωσις. Ἐφέσεως δέ πλήρωσίς ἐστιν, ἡ περί τό ἐφετόν τῶν ἐφιεμένων ἀεικίνητος στάσις. Ἀεικίνητος δέ στάσις περί τό ἐφετόν τῶν ἐφιεμένων ἐστίν, ἡ τοῦ ἐφετοῦ διηνεκής τε καί ἀδιάστατος ἀπόλαυσις. Ἀπόλαυσις δέ διηνεκής τε καί ἀδιάστατος τοῦ ἐφετοῦ, ἡ τῶν ὑπέρ φύσιν θείων καθέστηκε μέθεξις. Μέθεξις δέ τῶν ὑπέρ φύσιν θείων ἐστίν, ἡ πρός τό μετεχόμενον τῶν μετεχόντων ὁμοίωσις. Ἡ δέ πρός τό μετεχόμενον τῶν μετεχόντων ὁμοίωσίς ἐστιν, ἡ κατ᾽ ἐνέργειαν πρός αὐτό τό μετεχόμενον τῶν μετεχόντων δι᾽ ὁμοιότητος ἐνδεχομένη ταυτότης. Ἡ δέ τῶν μετεχόντων ἐνδεχομένη κατ᾽ ἐνέργειαν δι᾽ ὁμοιότητος ταυτότης, ἡ δι᾽ ὁμοιότητος πρός τό μετεχομενόν ἐστι θέωσις τῶν ἀξιουμένων θεώσεως.

κ'. Οὐκ ἔχει ἡ φύσις τῶν ὑπέρ φύσιν τούς λόγους, ὥσπερ οὐδέ τῶν παρά φύσιν τούς νόμους. Ὑπέρ φύσιν δέ λέγω, τήν θείαν καί ἀνεννόητον ἡδονήν, ἥν ποιεῖν πέφυκεν ὁ Θεός φύσει, κατά χάριν τοῖς ἀξίοις ἑνούμενος· παρά φύσιν δέ, τήν κατά στέρησιν ταύτης συνισταμένην ἀνεκλάλητον ὀδύνην, ἥν ποιεῖν εἴωθεν ὁ Θεός φύσει, παρά τήν χάριν τοῖς ἀναξίοις ἑνούμενος. Κατά γάρ τήν ὑποκειμένην ἑκάστῳ ποιότητα τῆς διαθέσεως, ὁ Θεός τοῖς πᾶσιν ἑνούμενος, ὡς οἶδεν αὐτός, τήν αἴσθησιν ἑκάστῳ παρέχεται, καθώς ἐστιν ἕκαστος ὑφ᾽ ἑαυτοῦ διαπεπλασμένος, πρός ὑποδοχήν τοῦ πάντως πᾶσιν ἑνωθησομένου κατά τό πέρας τῶν αἰώνων.

κα'. (1313) Τούς ἐκζητοῦντας ἐν πνεύματι τήν τῶν ψυχῶν σωτηρίαν, καί ἐξερευνῶντας τούς ταύτης πνευματικούς τῆς σωτηρίας

λόγους τε καί τρόπους, ὁδηγεῖ πρός κατανόησιν τό Πνεῦμα τό ἅγιον, οὐκ ἐῶν ἀκίνητον αὐτοῖς μένειν, καί ἀνενέργητον τήν δι᾽ ἧς τά θεῖα ἐκζητεῖν πεφύκασι [unus Reg. πεφύκαμεν] δύναμιν.

κβ'. Πρῶτόν τις ζητεῖ τῇ προαιρέσει νεκρῶσαι τήν ἁμαρτίαν, καί τήν προαίρεσιν τῇ ἁμαρτίᾳ· καί οὕτως ἐρευνᾷ, πῶς δεῖ καί ποίῳ τρόπῳ νεκρῶσαι ταύτας ἀλλήλαις. Καί πάλιν μετά τήν τούτων ἀλλήλαις τελείαν νέκρωσιν, ζητεῖ τήν κατ᾽ ἀρετήν τῆς προαιρέσεως, καί τῆς ἀρετῆς τήν κατά προαίρεσιν ζωήν· καί οὕτως ἐρευνᾷ, πῶς δεῖ καί ποίῳ τρόπῳ τήν ἐν ἀλλήλαις τούτων δημιουργῆσαι ζωήν. Ἔστιν οὖν ὡς ἐν ὁρισμῷ λαβεῖν,ἡ μέν ζήτησις, ὄρεξις καταθυμίου τινός· ἡ δέ ἐρεύνησις, τρόπος τῆς πρός τό καταθύμιον ὀρέξεως ἀνυστικός.

κγ'. Δεῖ ὡς ἀληθῶς τόν σωθησόμενον, μή μόνον τῇ προαιρέσει νεκρῶσαι τήν ἁμαρτίαν, ἀλλά καί αὐτήν τήν προαίρεσιν τῇ ἁμαρτίᾳ· καί μή μόνον ἀναστῆσαι τῇ ἀρετῇ τήν προαίρεσιν, ἀλλά καί αὐτήν τῇ προαιρέσει τήν ἀρετήν· ἵνα νεκρά νεκρᾶς, ὅλη ὅλης τῆς ἁμαρτίας διαιρεθεῖσα μή αἰσθάνηται, καί ζῶσα ζώσης, ὅλη ὅλης τῆς ἀρετῆς ἐπαισθάνηται, καθ᾽ ἕνωσιν ἀδιάστατον ἡ προαίρεσις. Ὁ γάρ νεκρώσας τῇ ἁμαρτίᾳ τήν προαίρεσιν, σύμφυτος γέγονε τῷ ὁμοιώματι τοῦ θανάτου τοῦ Χριστοῦ· καί ὁ ταύτην ἀναστήσας τῇ δικαιοσύνῃ, σύμφυτος γέγονε καί τῆς ἀναστάσεως αὐτοῦ.

κδ'. Ἡ ἁμαρτία καί ἡ προαίρεσις νεκρούμεναι ἀλλήλαις, διπλῆν ἔχουσι πρός ἀλλήλας τήν ἀναισθησίαν. Καί ἡ δικαιοσύνη καί ἡ προαίρεσις, ἀλλήλαις ἔχουσαι τήν ζωήν, διπλῆν ἔχουσι τήν αἴσθησιν.

κε'. Θεός ὑπάρχων φύσει καί ἄνθρωπος ὁ Χριστός, ὑφ᾽ ἡμῶν ὡς Θεός ὑπέρ φύσιν χάριτι κληρονομεῖται, κατά τήν ἄῤῥητον μέθεξιν· καί δι᾽ ἡμᾶς ἐν εἴδει τῷ καθ᾽ ἡμᾶς ὡς ἄνθρωπος ἡμᾶς οἰκειούμενος, ἑαυτόν κληρονομεῖ σύν ἡμῖν κατά τήν ἀνεννόητον συγκατάβασιν· ὅν τῷ πνεύματι μυστικῶς οἱ ἅγιοι προθεωρήσαντες, ἐδιδάχθησαν ὡς χρή τῆς κατά τό μέλλον φανησομένης διά τήν ἀρετήν ἐν Χριστῷ δόξης, τά εἰς αὐτόν ὑπέρ ἀρετῆς κατά τό παρόν προκαθηγεῖσθαι παθήματα.

κστ'. Ὁ μέν νοῦς κατά μόνην τήν ἔφεσιν ἀγνώστως πρός τήν τῶν ὄντων αἰτίαν κινούμενος, ζητεῖ μόνον· ὁ δέ λόγος, τούς ἐν τοῖς οὖσιν ἀληθεῖς ποικίλως ἐφοδεύων ἐρευνᾷ λόγους.

κζ'. Ζήτησίς ἐστιν ἡ τοῦ νοῦ πρώτη τε καί ἁπλῆ πρός τήν ἰδίαν αἰτίαν μετ᾽ ἐφέσεως κίνησις· ἐρεύνησις δέ ἐστιν, ἡ πρώτη τε καί ἁπλῆ τοῦ λόγου περί τήν ἰδίαν αἰτίαν μετά τινος ἐννοίας διάκρισις. Ἐκζήτησις δέ πάλιν ἐστίν,ἡ τοῦ νοῦ κατ᾽ ἐπιστήμην γνωστική πρός

τήν ἰδίαν αἰτίαν μετά τινος ζεούσης ἐφέσεως κίνησις· ἐξερεύνησις δέ ἐστιν, ἡ τοῦ λόγου κατ᾽ ἐνέργειαν τῶν ἀρετῶν περί τήν ἰδίαν αἰτίαν μετά τινος ἔμφρονος καί σοφῆς ἐννοίας γινομένη διάκρισις.

κη'. (1316) Οἱ ἅγιοι καί θεῖοι προφῆται, περί τῆς σωτηρίας τῶν ψυχῶν ἐκζητήσαντές τε καί ἐξερευνήσαντες, διάπυρον εἶχον καί ζέουσαν μετ᾽ ἐπιστήμης καί γνώσεως πρός τόν Θεόν τήν τοῦ νοῦ κατ᾽ ἔφεσιν κίνησιν, καί ἔμφρονα καί σοφήν τήν τοῦ λόγου κατά τήν ἐνέργειαν τῶν θείων διάκρισιν· οὕς οἱ μιμούμενοι, μετά γνώσεως καί ἐπιστήμης τήν τῶν ψυχῶν ἐκζητοῦσι σωτηρίαν, καί μετά φρονήσεως καί σοφίας ἐξερευνῶντες, μετέρχονται τήν ἐν τοῖς θείοις ἔργοις διάκρισιν.

κθ'. Διττήν οἶδε τήν τῶν θείων γνῶσιν ὁ λόγος, τήν μέν, σχετικήν, ὡς ἐν λόγῳ μόνῳ κειμένην καί νοήμασι, καί τήν κατ᾽ ἐνέργειαν τοῦ γνωσθέντος διά πείρας οὐκ ἔχουσαν αἴσθησιν, δι᾽ ἧς κατά τήν παροῦσαν ζωήν οἰκονομούμεθα· τήν δέ, κυρίως ἀληθινήν, ἐπί μόνῃ τῇ πείρᾳ, κατ᾽ ἐνέργειαν δίχα λόγου καί νοημάτων, ὅλην τοῦ γνωσθέντος κατά χάριν μεθέξει παρεχομένην τήν αἴσθησιν, δι᾽ ἧς κατά τήν μέλλουσαν λῆξιν, τήν ὑπέρ φύσιν ὑποδεχόμεθα θέωσιν ἀπαύστως ἐνεργουμένην. Καί τήν μέν σχετικήν, ὡς ἐν λόγῳ κειμένην καί τοῖς νοήμασι, κινητικήν εἶναί φασι, τῆς πρός τήν μεθέξει κατ᾽ ἐνέργειαν γνῶσιν ἐφέσεως· τήν δέ κατ᾽ ἐνέργειαν, διά τῆς πείρας μεθέξει παρεχομένην τοῦ γνωσθέντος τήν αἴσθησιν [male edita, ἔφεσιν, cupiditatem], ἀφαιρετικήν εἶναι τῆς ἐν λόγῳ κειμένης καί νοήμασι γνώσεως.

λ'. Διττήν εἶναι λέγειν τήν γνῶσιν, τήν μέν, ἐν λόγῳ κειμένην καί θείοις νοήμασι, κατ᾽ εἶδος παροῦσαν τήν αἴσθησιν τῶν νοηθέντων οὐκ ἔχουσαν· τήν δέ, κατ᾽ ἐνέργειαν μόνην ἔχουσαν, δίχα λόγου καί νοημάτων τῶν ἀληθῶν τήν κατ᾽ εἶδος ἀπόλαυσιν. Ἐπειδή γάρ διά γνώσεως ὁ λόγος τό γνωστόν πέφυκεν ὑποσημαίνειν, κινεῖ τήν ἔφεσιν τῶν δι᾽ αὐτοῦ κινουμένων, πρός τήν τοῦ σημανθέντος ἀπόλαυσιν.

λα'. Ἀμήχανον εἶναί φασιν οἱ σοφοί, συνυπάρχειν τῇ πείρᾳ τοῦ Θεοῦ, τόν περί αὐτοῦ λόγον, ἤ τῇ αἰσθήσει τοῦ Θεοῦ, τήν περί αὐτοῦ νόησιν. Λόγον δέ περί Θεοῦ φημι, τήν ἐκ τῶν ὄντων ἀναλογίαν τῆς περί αὐτοῦ γνωστικῆς θεωρίας· αἴσθησιν δέ, τήν ἐν τῇ μεθέξει πεῖραν τῶν ὑπέρ φύσιν ἀγαθῶν· (1317) νόησιν δέ, τήν ἐκ τῶν ὄντων ἁπλῆν περί αὐτοῦ καί ἑνιαίαν γνῶσιν· τάχα δέ καί ἐπ᾽ ἄλλου παντός τοῦτο γνωρίζεται· εἴπερ ἡ τοῦδε τοῦ πράγματος πεῖρα, τόν περί αὐτοῦ

καταπαύει λόγον· καί ἡ τοῦδε τοῦ πράγματος αἴσθησις, τήν περί αὐτοῦ σχολάζουσαν ἐργάζεται νόησιν. Πεῖραν δέ λέγω, αὐτήν τήν κατ᾽ ἐνέργειαν γνῶσιν, τήν μετά πάντα λόγον ἐπιγινομένην· αἴσθησιν δέ, αὐτήν τοῦ γνωσθέντος τήν μέθεξιν, τήν μετά πᾶσαν νόησιν ἐκφαινομένην. Καί τοῦτο τυχόν μυστικῶς διδάσκων ὁ μέγας Ἀπόστολος, φησίν· Εἴτε δέ προφητεῖαι καταργηθήσονται, εἴτε γλῶσσαι παύσονται, εἴτε γνῶσις καταργηθήσεται, περί τῆς ἐν λόγῳ κειμένης καί νοήμασι γνώσεως δηλονότι φάσκων.

λβ'. Ἐχρῆν ὡς ἀληθῶς τόν κατά φύσιν τῆς τῶν ὄντων οὐσίας δημιουργόν, καί τῆς κατά χάριν αὐτουργόν γενέσθαι τῶν γεγονότων θεώσεως· ἵνα ὁ τοῦ εἶναι δοτήρ, φανῇ καί τοῦ ἀεί εὖ εἶναι χαριστικός. Ἐπεί οὖν οὐδέν τῶν ὄντων ἑαυτό τοπαράπαν, ἤ ἄλλο γινώσκει ὅ τί ποτε κατ᾽ οὐσίαν ἐστίν, εἰκότως οὐδέ τῶν γενησομένων οὐδενός οὐδέν τῶν ὄντων, ἔχει κατά φύσιν τήν πρόγνωσιν, πλήν τοῦ ὑπέρ τά ὄντα Θεοῦ, καί ἑαυτόν γινώσκοντος, ὅ τι κατ᾽ οὐσίαν ἐστί, καί πάντων τῶν ὑπ᾽ αὐτοῦ πεποιημένων, καί πρίν γενέσθαι προεγνωκότος τήν ὕπαρξιν· καί μέλλοντος κατά χάριν φιλοτιμεῖσθαι τοῖς οὖσι τήν ἑαυτῶν, καί ἄλλων, ὅ τί ποτε κατ᾽ οὐσίαν ὑπάρχουσι γνῶσιν, καί τούς ἐν αὐτῷ μονοειδῶς προόντας τῆς αὐτῶν γενέσεως φανερῶσαι λόγους.

λγ'. Ὁ τήν φύσιν τῶν ἀνθρώπων δημιουργήσας λόγος [gg. ad Thalas. g. 61 Θεός], οὐ σενέκτισεν αὐτῇ κατά αἴσθησιν, οὔτε ἡδονήν, οὔτε ὀδύνην· ἀλλά δύναμίν τινα κατά νοῦν αὐτῇ πρός ἡδονήν, καθ᾽ ἥν ἀῤῥήτως ἀπολαύειν αὐτοῦ δυνήσεται, ἐνετεκτήνατο. Ταύτην δέ τήν δύναμιν, λέγω δέ τήν κατά φύσιν τοῦ νοῦ πρός τόν Θεόν ἔφεσιν, ἅμα τῷ γενέσθαι, τῇ αἰσθήσει δούς ὁ πρῶτος ἄνθρωπος, πρός τά αἰσθητά κατ᾽ αὐτήν τήν πρώτην κίνησιν διά μέσης τῆς αἰσθήσεως ἔσχε παρά φύσιν ἐνεργουμένην τήν ἡδονήν· ᾗτινι κατά πρόνοιαν ὁ τῆς ἡμῶν σωτηρίας κηδόμενος, παρέπηξεν ὥσπερ τινά τιμωρόν δύναμιν, τήν ὀδύνην· καθ᾽ ἥν ὁ τοῦ θανάτου μετά σοφίας ἐνεῤῥιζώθη τῇ τοῦ σώματος φύσει νόμος, περιορίζων τῆς τοῦ νοῦ μανίας παρά φύσιν ἐπί τά αἰσθητά κινουμένην τήν ἔφεσιν.

λδ'. Ἡδονή καί ὀδύνη, τῇ φύσει τῆς σαρκός οὐ συνεκτίσθησαν· ἀλλ᾽ ἡ παράβασις, τήν μέν, ἐπενόησεν εἰς φθοράν τῆς προαιρέσεως· τήν δέ, κατεδίκασεν εἰς λύσιν τῆς φύσεως· ἵνα ἡ μέν ἡδονή, ψυχῆς ἑκούσιον ἐργάσηται θάνατον τήν ἁμαρτίαν· ἡ δέ ὀδύνη διά τῆς λύσεως, τήν κατ᾽ εἶδος ποιήσηται τῆς σαρκός ἀπογένεσιν. (1320) Κατά πρόνοιαν γάρ

πρός κόλασιν τῆς κατά προαίρεσιν ἡδονῆς, δέδωκεν ὁ Θεός τῇ φύσει, τήν παρά προαίρεσιν ὀδύνην, καί τόν ἐπ᾽ αὐτῇ θάνατον.

λε'. Διά τήν ἐπελθοῦσαν τῇ φύσει παρά λόγον ἡδονήν, ἡ κατά λόγον ἐπεισῆλθεν ὀδύνη, διά πολλῶν παθημάτων, ἐν οἷς καί ἐξ ὧν ὁ θάνατος, ποιουμένη τῆς παρά φύσιν ἡδονῆς τήν ἀφαίρεσιν· οὐ μήν δέ καί τελείαν ἀναίρεσιν, καί ἥν ἡ κατά νοῦν τῆς θείας ἡδονῆς, ἀναδείκνυσθαι πέφυκε χάρις.

λστ'. Ἡ τῶν ἑκουσίων πόνων ἐπίνοια, καί ἡ τῶν ἀκουσίων ἐπαγωγή, ἀφαιροῦνται μέν τήν ἡδονήν, τήν κατ᾽ ἐνέργειαν αὐτῆς καταπαύουσαι κίνησιν· οὐκ ἀναιροῦσι δέ τήν ὥσπερ νόμον τῇ φύσει ἐγκειμένην πρός γένεσιν αὐτῇ δύναμιν. Ἡ γάρ κατ᾽ ἀρετήν φιλοσοφία, γνώμης ἀπάθειαν, ἀλλ᾽ οὐ φύσεως ἐργάζεσθαι πέφυκε· καθ᾽ ἥν δηλαδή τήν γνωμικήν ἀπάθειαν, ἡ κατά νοῦν τῆς θείας ἡδονῆς ἐπιγίνεται χάρις.

λζ'. Πᾶς πόνος, ὡς αἰτίαν τῆς ἰδίας γενέσεως ἔχων, κατ᾽ ἐνέργειαν προηγουμένην τήν ἡδονήν, χρέος ἐστί δηλαδή, φυσικῶς κατ᾽ αἰτίαν παρά πάντων τῶν μετειληφότων τῆς φύσεως ἐκτιννύμενον. Τῇ γάρ παρά φύσιν ἡδονῇ, πάντως παρέπεται φυσικῶς ὁ πόνος ἐν πᾶσιν, ὧν ὁ τῆς ἡδονῆς νόμος ἀναιτίως προκαθηγήσατο τῆς γένεσεως. Ἀναίτιον δέ φημι τήν ἐκ τῆς παραβάσεως ἡδονήν, ὡς μή γενομένην δηλονότι προλαβόντος πόνου διάδοχον.

λη'. Ἀμήχανον ἦν παντελῶς, τήν φύσιν ὑποκλιθεῖσαν τῇ τε κατά προαίρεσιν ἡδονῇ, καί τῇ παρά προαίρεσιν ὀδύνῃ, πάλιν εἰς τήν ἐξαρχῆς ἀνακληθῆναι ζωήν, εἰ μή γέγονεν ἄνθρωπος ὁ δημιουργός, προαιρέσει δεχόμενος τήν πρός κόλασιν τῆς κατά προαίρεσιν τῆς φύσεως ἡδονῆς, ἐπινοηθεῖσαν ὀδύνην, οὐκ ἔχουσαν προηγουμένην αὐτῆς τήν ἐξ ἡδονῆς γένεσιν· ἵνα τῆς ἐκ καταδίκης ἐλευθερώσῃ τήν φύσιν γεννήσεως, ἐξ ἡδονῆς ἀρχήν οὐκ ἔχουσαν καταδεχόμενος γέννησιν.

λθ'. Ἐπειδή μετά τήν παράβασιν πάντες ἄνθρωποι τήν ἡδονήν εἶχον τῆς ἰδίας φυσικῶς προκαθηγουμένην γενέσεως, καί οὐδείς ἦν τοσύνολον ὁ τῆς καθ᾽ ἡδονήν ἐμπαθοῦς γενέσεως φυσικῶς ὑπάρχων ἐλεύθερος· ἀλλ᾽ ὡς χρέος πάντες φυσικόν ἀποδιδόντες τούς πόνους, καί τήν ἐπ᾽ αὐτοῖς ὑπέμενον θάνατον· (1321) καί ἦν ἄπορος παντάπασιν ὁ τῆς ἐλευθερίας τρόπος, τοῖς ὑπό τῆς ἀδίκου τυραννουμένοις ἡδονῆς, καί ὑπό τῶν δικαίων πόνων, καί τοῦ ἐπ᾽ αὐτοῖς δικαιοτάτου θανάτου φυσικῶς ἐνεχομένοις· ἔδει δέ πρός

ἀναίρεσιν μέν τῆς ἀδικωτάτης ἡδονῆς, καί τῶν δι᾽ αὐτήν δικαιοτάτων πόνων, ὑφ᾽ ὧν ἐλεεινῶς διεσπᾶτο πάσχων ὁ ἄνθρωπος, ἐκ φθορᾶς τῆς καθ᾽ ἡδονήν ἔχων τήν ἀρχήν τῆς γενέσεως, καί εἰς φθοράν τήν διά τοῦ θανάτου τό τῆς ζωῆς καταλήγων τέλος· πρός δέ τήν ἐπανόρθωσιν τῆς ἀπαθοῦς φύσεως, ἐπινοηθῆναι πόνον καί θάνατον, ἄδικον ὁμοῦ καί ἀναίτιον· ἀναίτιον μέν, ὡς οὐδαμῶς προαλαβοῦσαν ἡδονήν ἐσχηκότα πρός γένεσιν· ἄδικον δέ, ὡς οὐδεμιᾶς τοπαράπαν ζωῆς ἐμπαθοῦς ὄντα διάδοχον, ἵνα μέσος διαληφθείς ἡδονῆς ἀδίκου, καί πόνου καί θανάτου δικαιοτάτου, πόνος καί θάνατος ἀδικώτατος, ἀνέλῃ διόλου τήν ἐξ ἡδονῆς ἀδικωτάτην ἀρχήν, καί τό δι᾽ αὐτήν διά θανάτου δικαιότατον τέλος τῆς φύσεως, καί γένηται πάλιν ἡδονῆς καί ὀδύνης ἐλεύθερον τό γένος τῶν ἀνθρώπων, τήν ἐξαρχῆς εὐκληρίαν ἀπολαβούσης τῆς φύσεως, μηδενί τῶν ἐμπεφυκότων τοῖς ὑπό γένεσιν καί φθοράν γνωρισμάτων μολυνομένην. Διά τοῦτο Θεός ὑπάρχων τέλειος κατά φύσιν ὁ τοῦ Θεοῦ Λόγος, γίνεται τέλειος ἄνθρωπος ἐκ ψυχῆς νοερᾶς καί σώματος παθητοῦ κατά φύσιν παραπλησίως ἡμῖν, χωρίς μόνης ἁμαρτίας συνεστώς· τήν μέν ἐκ τῆς παρακοῆς ἡδονήν, οὐδαμῶς τοσύνολον ἐσχηκώς, προηγουμένην αὐτοῦ τῆς ἐκ γυναικός ἐν χρόνῳ γενέσεως· τήν δέ δι᾽ αὐτήν ὀδύνην, ὑπάρχουσαν τέλος τῆς φύσεως, διά φιλανθρωπίαν κατά θέλησιν προσηκάμενος, ἵνα πάσχων ἀδίκως, ἀνέλῃ τήν ἐξ ἡδονῆς ἀδίκου τυραννοῦσαν τήν φύσιν ἀρχήν τῆς γενέσεως· οὐκ ἔχουσαν ὡς χρέος ὑπέρ αὐτῆς ἐκτιννύμενον κατά τούς ἄλλους ἀνθρώπους καί τοῦ Κυρίου τόν θάνατον, ἀλλά μᾶλλον κατ᾽ αὐτῆς προβεβλημένον· καί τό διά τοῦ θανάτου δίκαιον τέλος ἐξαφανίσῃ τῆς φύσεως, οὐκ ἔχων τήν δ᾽ ἥν ἐπεισῆλθε, καί ὑπ᾽ αὐτοῦ δικαίως τιμωρουμένην, ὡς αἰτίαν τοῦ εἶναι παράνομον ἡδονήν.

μ'. Ἔδει ὡς ἀληθῶς, ἔδει, σοφόν καί δίκαιον καί δυνατόν ὄντα κατά φύσιν τόν Κύριον, ὡς μέν σοφόν, μή ἀγνοῆσαι τόν τρόπος τῆς ἰατρείας· ὡς δίκαιον δέ, μή τυραννικήν ποιήσασθαι τοῦ κατειλημμένου κατά γνώμην ὑπό τῆς ἁμαρτίας ἀνθρώπου τήν σωτηρίαν· ὡς δέ πάντα δυνάμενος, μή ἀτονῆσαι πρός τήν τῆς ἰατρείας ἐκπλήρωσιν.

μα'. Τό μέν σοφόν τοῦ Θεοῦ, ἐν τῷ γενέσθαι φύσει κατ᾽ ἀλήθειαν ἄνθρωπον δείκνυται· τό δέ δίκαιον, ἐν τῷ τό παθητόν κατά τήν γένεσιν ὁμοίως ἡμῖν ἀνειληφέναι τῆς φύσεως· τό δέ δυνατόν, ἐν τῷ διά παθημάτων καί θανάτου, ζωήν ἀΐδιον τῇ φύσει δημιουργῆσαι καί ἀπάθειαν ἄτρεπτον.

μβ'. (1324) Τό μέν τῆς σοφίας λόγον, ἐν τῷ τρόπῳ τῆς ἰατρείας, φανερόν ὁ Κύριος ἐποίησε, χωρίς τροπῆς καί τῆς οίασοῦν ἀλλοιώσεως, γενόμενος ἄνθρωπος· τήν ἰσότητα δέ τῆς δικαιοσύνης, ἐν τῷ μεγέθει τῆς συγκαταβάσεως ἔδειξε, τό ἐν τῷ παθητῷ κατάκριμα τῆς φύσεως, κατά θέλησιν ὑποδύς, κἀκεῖνο ποιήσας ὅπλον πρός τήν τῆς ἁμαρτίας ἀναίρεσιν και τοῦ δι᾽ αὐτήν θανάτου, τουτέστι τῆς ἡδονῆς καί τῆς δι᾽ αὐτήν ὀδύνης, ἐν ᾧ τῆς ἁμαρτίας ὑπῆρχε καί τοῦ θανάτου τό κράτος, καί ἡ κατά τήν ἡδονήν τῆς ἁμαρτίας τυραννίς, καί ἡ δι᾽ αὐτήν κατά τήν ὀδύνην τοῦ θανάτου δυναστεία. Ἐν γάρ τῷ παθητῷ προδήλως ὑπάρχει τῆς φύσεως, τό τῆς ἡδονῆς κράτος καί τό τῆς ὀδύνης. Καί γάρ πως τῆς ὀδύνης πλέον τό κατά φύσιν ἐπιτεινόμενον πρόστιμον, διά τῆς ἡδονῆς αὐτήν παραμυθεῖσθαι σπουδάζομεν· θέλοντες γάρ ἐκφυγεῖν τήν κατά τήν ὀδύνην ἐπίπονον αἴσθησιν, πρός τήν ἡδονήν καταφεύγομεν, τῷ τῆς ὀδύνης αἰκισμῷ πιεζομένην τήν φύσιν, ἐπιχειροῦντες παραμυθεῖσθαι. Σπεύδοντες δέ διά τῆς ἡδονῆς τά τῆς ὀδύνης ἀμβλῦναι κινήματα, πλέον αὐτῆς τό καθ᾽ ἑαυτῶν ἐπικυροῦμεν χειρόγραφον, ὀδύνης καί πόνων ἔχειν τήν ἡδονήν ἀπολελυμένην οὐ δυνάμενοι.

μγ'. Τήν δέ τῆς ὑπερβαλλούσης δυνάμεως ἰσχύν δῆλον κατέστησε, τῶν οἷς αὐτός ἔπασχεν ἐναντίων, ὑποστήσας τῇ φύσει τήν γένεσιν ἄτρεπτον· διά πάθους γάρ τήν ἀπάθειαν, καί διά πόνων τήν ἄνεσιν, καί διά θανάτου τήν ἀΐδιον ζωήν τῇ φύσει δούς, πάλιν ἀποκατέστησε· ταῖς ἑαυτοῦ καταστερήσεσι τάς ἕξεις ἀνακαινίσας τῆς φύσεως, καί διά τῆς ἰδίας σαρκώσεως, τήν ὑπέρ φύσιν χάριν δωρησάμενος τῇ φύσει, τήν θέωσιν.

μδ'. Γέγονε ὁ Θεός κατ᾽ ἀλήθειαν ἄνθρωπος, καί δέδωκεν ἄλλην ἀρχήν τῇ φύσει δευτέρας γενέσεως, διά πόνου πρός ἡδονήν μελλούσης ζωῆς καταλήγουσαν. Ὡς γάρ Ἀδάμ ὁ προπάτωρ τήν θείαν ἐντολήν παραβάς, ἄλλην ἀρχήν γενέσεως, ἐξ ἡδονῆς μέν συνισταμένην, εἰς δέ τόν διά πόνου θάνατον τελευτῶσαν τῇ φύσει παρά τήν πρώτην παρεισήγαγε, καί ἐπενόησε κατά τήν συμβουλήν τοῦ ὄφεως ἡδονήν οὐκ οὖσαν προλαβόντος πόνου διάδοχον, ἀλλά μᾶλλον εἰς τόν πόνον περαιουμένην, πάντας τούς ἐξ αὐτοῦ σαρκί γενομένους κατ᾽ αὐτόν, διά τήν ἐξ ἡδονῆς ἄδικον ἀρχήν, εἶχε συνυπαγομένους αὐτῷ δικαίως, πρός τό διά πόνου κατά τόν θάνατον τέλος· οὕτω καί ὁ Κύριος γενόμενος ἄνθρωπος, καί ἄλλην ἀρχήν δευτέρας γενέσεως ἐκ Πνεύματος ἁγίου τῇ φύσει δημιουργήσας, καί

τόν διά πόνου τοῦ Ἀδάμ δικαιότατον καταδεξάμενος θάνατον, ἐν αὐτῷ δηλαδή γενόμενον ἀδικώτατον, ὡς οὐκ ἔχοντα τῆς ἰδίας γενέσεως ἀρχήν τήν ἐκ παρακοῆς ἀδικωτάτην τοῦ προπάτορος ἡδονήν, ἀμφοτέρων τῶν ἄκρων, ἀρχῆς τε λέγω καί τέλους τῆς κατά τόν Ἀδάμ ἀνθρωπίνης γενέσεως, οἷα δή (1325) προηγουμένως οὐκ ὄντων ἐκ τοῦ Θεοῦ, τήν ἀναίρεσιν ἐποιήσατο, καί πάντας τούς μυστικῶς ἐξ αὐτοῦ ἀναγεννωμένους, τῆς ἐπ᾽ αὐτῆς ἐνοχῆς ἐλευθέρους κατέστησε.

με'. Τήν ἐκ τοῦ νόμου τῆς ἁμαρτίας ἡδονήν εἰς ἀθέτησιν τῆς κατά σάρκα γεννήσεως τῶν ἐν αὐτῷ χάριτι διά Πνεύματος γεννωμένων ὁ Κύριος ἀφελόμενος, τόν εἰς καταδίκην τό πρότερον ὄντα τῆς φύσεως, εἰς τήν τῆς ἁμαρτίας κατάκρισιν αὐτοῖς συγχωρεῖ δέχεσθαι θάνατον, ἔχοντας μέν τοῦ Ἀδάμ οὐκέτι τήν ἐκ τοῦ Ἀδάμ ἡδονήν τῆς γενέσεως· μόνην δέ τήν διά τόν Ἀδάμ ὀδύνην ἐνεργοῦσαν ἐν αὐτοῖς· οὐ κατά χρέος ὑπέρ ἁμαρτίας, ἀλλά κατ᾽ οἰκονομίαν, διά τήν κατά φύσιν περίστασιν, κατά τῆς ἁμαρτίας, τόν θάνατον· ὅς ὁπόταν μή ἔχει γεννῶσαν αὐτόν μητέρα τήν, ἧς γίνεσθαι πέφυκε τιμωρός, ἡδονήν ἀϊδίου ζωῆς προδήλως καθίσταται πατήρ. Ὡς γάρ τοῦ Ἀδάμ ἡ καθ᾽ ἡδονήν ζωή, θανάτου καί φθορᾶς γέγονε μήτηρ, οὕτω καί ὁ διά τόν Ἀδάμ τοῦ Κυρίου θάνατος ὑπάρχων τῆς ἐκ τοῦ Ἀδάμ ἐλεύθερος ἡδονῆς, ἀϊδίου γεννήτωρ γίνεται ζωῆς.

μστ'. Ἀρχήν ἔσχε μετά τήν παράβασιν ἡ τῶν ἀνθρώπων φύσις τῆς ἰδίας γενέσεως τήν καθ᾽ ἡδονήν ἐκ σπορᾶς σύλληψιν, καί τήν κατά ῥεῦσιν γένεσιν· καί τέλος, τήν κατ᾽ ὀδύνην διά φθορᾶς θάνατον· ὁ δέ Κύριος ταύτην οὐκ ἔχων ἀρχήν τῆς κατά σάρκα γεννήσεως, οὔτε τῷ τέλει, τουτέστι τῷ θανάτῳ, ὑπῆρχεν ἁλωτός.

μζ'. Τόν Ἀδάμ ἡ ἁμαρτία καταρχάς δελεάσασα, πρός παράβασιν τῆς θείας παρέπεισεν ἐλθεῖν ἐντολῆς· καθ᾽ ἥν τήν ἡδονήν ὑποστήσασα, καί ἑαυτήν διά τῆς ἡδονῆς ἐν αὐτῷ καθηλώσασα τῷ πυθμένι τῆς φύσεως, τόν θάνατον τῆς ὅλης κατέκρινε φύσεως, ὠθοῦσα πρός ἀπογένεσιν κατά τόν θάνατον διά τοῦ ἀνθρώπου, τήν φύσιν τῶν γεγονότων. Τοῦτο γάρ καί μεμηχάνητο τῷ σπορεῖ τῆς ἁμαρτίας, καί πατρί τῆς κακίας πονηρῷ διαβόλῳ, τῷ ἑαυτόν μέν ἐξ ὑπερηφανίας τῆς θείας ἐξοικίσαντι δόξης, διά φθόνον δέ τόν τε πρός ἡμᾶς καί τόν Θεόν, τοῦ παραδείσου τόν Ἀδάμ ἐξοικίσαντι, ἀφανίσαι τά ἔργα τοῦ Θεοῦ, καί διαλῦσαι τά σενεστῶτα πρός γένεσιν.

μη'. Φθονῶν τῷ Θεῷ καί ἡμῖν ὁ διάβολος, δόλῳ τόν ἄνθρωπον ὑπό Θεοῦ φθονεῖσθαι παραπείσας, παραβῆναι τήν ἐντολήν παρεσκεύασε. Τῷ Θεῷ μέν, ἵνα φανερά μή γένηται κατ᾽ ἐνέργειαν ἡ πανύμνητος αὐτοῦ δύναμις θεουργοῦσα τόν ἄνθρωπον· τῷ δ᾽ ἀνθρώπῳ προδήλως, ἵνα μή γένηται τῆς θείας ἐν εἴδει κατ᾽ ἀρετήν μέτοχος δόξης. Φθονεῖ γάρ ὁ μιαρώτατος οὐ μόνον ἡμῖν τῆς ἐπί τῷ Θεῷ διά τήν ἀρετήν δόξης, ἀλλά καί τῷ Θεῷ τῆς ἐφ᾽ ἡμῖν διά τήν σωτηρίαν πανυμνήτου δυνάμεως.

μθ'. Ὥσπερ ἐν τῷ Ἀδάμ ὁ θάνατος τῆς φύσεως ὑπῆρχε κατάκρισις, (1328) ἀρχήν ἐχούσης τήν ἡδονήν τῆς ἰδίας γενέσεως· οὕτως ὁ θάνατος ἐν Χριστῷ, τῆς ἁμαρτίας κατάκρισις γέγονεν, ἡδονῆς καθαράν ἐν Χριστῷ πάλιν τῆς φύσεως ἀπολαβούσης τήν γένεσιν.

ν'. Εἰ ἡμεῖς οἱ οἶκος τοῦ Θεοῦ χάριτι γενέσθαι ἀξιωθέντες διά Πνεύματος, τοσαύτην ὑπέρ δικαιοσύνης εἰς κατάκρισιν τῆς ἁμαρτίας ὑπομονήν ἐπιδείκνυσθαι παθημάτων ὀφείλομεν, καί ὡς κακοῦργοι τόν ἐφύβριστον, ἀγαθοί τυγχάνοντες, προθύμως ἀποφέρεσθαι θάνατον, τί τό τέλος τῶν ἀπειθούντων τῷ τοῦ Θεοῦ Εὐαγγελίῳ ; τουτέστι ποῖον ἔσται τό τέλος, ἤγουν ἡ κρίσις, τῶν μή μόνον ζῶσάν τε καί ἐνεργουμένην, κατά τε ψυχήν καί σῶμα, γνώμῃ τε καί φύσει τήν καθ᾽ ἡδονήν τοῦ Ἀδάμ κρατήσασαν τῆς φύσεως γένεσιν μέχρι τέλους διά σπουδῆς ἐσχηκότων, ἀλλά μήτε προσδεξαμένων παρακαλοῦντα τόν Θεόν καί Πατέρα δι᾽ Υἱοῦ σαρκωθέντος· μή τε μήν αὐτόν τόν ὑπέρ τοῦ Πατρός πρεσβεύοντα μεσίτην καί Υἱόν, καί ὑπέρ τῆς ἡμῶν εἰς τόν Πατέρα καταλλαγῆς, ἑαυτόν βουλήσει τοῦ Πατρός, εἰς τόν ὑπέρ ἡμῶν θάνατον κατά θέλησιν προϊέμενον, ὅπως δι᾽ ἑαυτόν ἡμᾶς τοσοῦτον δοξάσῃ, τῷ κάλλει καταφαιδρύνας τῆς οἰκείας θεότητος, ὅσον δι᾽ ἡμᾶς αὐτός κατεδέξατο τοῖς ἡμῶν ἀτιμασθῆναι παθήμασιν.

να'. Ἐπειδή πάντων τῶν σωζομένων ὁ Θεός, ἔσται τόπος ἀπερίγραφός τε καί ἀδιάστατος καί ἄπειρος, πᾶσι πάντα γενόμενος κατά τήν ἀναλογίαν τῆς δικαιοσύνης, μᾶλλον δέ κατά τό μέτρον τῶν μετά γνώσεως ὑπέρ δικαιοσύνης ἐνταῦθα παθημάτων, ἑαυτόν ἑκάστῳ δωρούμενος, καθάπερ ψυχή σώματος μέλεσι κατά τήν ὑποκειμένην ἑκάστῳ μέλει δύναμιν, ἑαυτήν ἐνεργοῦσαν ἐκφαίνουσα, καί πρός τό εἶναι δι᾽ ἑαυτῆς τά μέλη συνέχουσα πρός ζωήν συγρατούμενα· ὁ ἀσεβής καί ἁμαρτωλός ποῦ φανεῖται, ταύτης ἐστερημένος τῆς χάριτος; Ὁ γάρ μή δυνάμενος ἐνεργουμένην τήν κατά τό εὖ εἶναι τοῦ

Θεοῦ δέξασθαι παρουσίαν, ποῦ φανεῖται, τῆς θείας ζωῆς τῆς ὑπέρ αἰῶνα καί χρόνον καί τόπον ὑπομείνας τήν ἔκπτωσιν;

νβ'. Ὁ τόν Θεόν οὐκ ἔχων πρός τό εὖ εἶναι συνέχοντα τήν ζωήν, τόν μέλλοντα πᾶσι γίνεσθαι τόπον τοῖς ἀξίοις, πῶς ἔσται, τόπον αὐτόν οὐκ ἔχων τόν Θεόν κατά τήν τῶν εὖ εἶναι ἐν Θεῷ μονήν τε καί ἵδρυσιν; Καί εἰ μετά πολλῆς δυσχερείας ὁ δίκαιος σώζεται, τί ἔσται, ἤ τί πείσεται ὁ μηδένα λόγον εὐσεβείας καί ἀρετῆς κατά τήν παροῦσαν ζωήν ποιησάμενος;

νγ'. Ὁ μέν Θεός κατά μίαν ἀπειροδύναμον τῆς ἀγαθότητος βούλησιν, πάντας συνέξει καί ἀγγέλους καί ἀνθρώπους, ἀγαθούς τε καί πονηρούς· οὗτοι δέ πάντες, οὐκ ἴσως μεθέξουσι Θεοῦ, τοῦ διά πάντων ἀσχέτως χωρήσαντος, ἀλλ᾽ ἀναλόγως ἑαυτοῖς.

νδ'. Οἱ μέν τῇ φύσει φυλάξαντες διά πάντων (1329) ἰσονομοῦσαν τήν γνώμην, καί τῶν τῆς φύσεως λόγων κατ᾽ ἐνέργειαν δεκτικήν αὐτήν καταστήσαντες καθ᾽ ὅλον τόν τοῦ εὖ εἶναι λόγον, διά τήν πρός τήν θείαν βούλησιν τῆς γνώμης εὐπάθειαν, ὅλης [gu. illa 61,ὅλως] μεθέξουσι τῆς ἀγαθότητος, κατά τήν αὐτοῖς ἐπιλάμπουσαν ὡς ἐν ἀγγέλοις ἤ ὡς ἐν ἀνθρώποις θείαν ζωήν. Οἱ δέ τῇ φύσει ποιήσαντες ἀνισονομοῦσαν διά πάντων τήν γνώμην, καί τῶν τῆς φύσεως λόγων κατά τήν ἐνέργειαν σκεδαστικήν αὐτήν ἀποδείξαντες καθ᾽ ὅλον τόν τοῦ εὖ εἶναι λόγον, διά τήν πρός τήν θείαν βούλησιν τῆς γνώμης ἀντιπάθειαν, ὅλης ἐκπεσοῦνται τῆς ἀγαθότητος, κατά τήν ἐμφαινομένην αὐτοῖς πρός τό φεῦ εἶναι τῆς γνώμης οἰκείωσιν· καθ᾽ ἥν ἡ πρός τόν Θεόν ἔσται τῶν τοιούτων διάστασις, οὐκ ἐχόντων κατά τήν πρόθεσιν τῆς γνώμης, ταῖς ἐνεργείαις τῶν ἀγαθῶν, τόν τοῦ εὖ εἶναι λόγον ζωογονούμενον, καθ᾽ ὅν ἡ θεία ζωή διαφαίνεσθαι πέφυκε.

νε'. Ζυγός τῆς ἑκάστου γνώμης ἔσται κατά τήν κρίσιν, ὁ τῆς φύσεως λόγος, τήν πρός τό φεῦ, ἤ εὖ αὐτῆς διελέγχων κίνησιν, καθ᾽ ἥν ἡ τῆς θείας ζωῆς μέθεξις ἤ ἀμαθεξία γίνεσθαι πέφυκε. Κατά γάρ τό εἶναι καί ἀεί εἶναι, πάντες συνέξει παρών ὁ Θεός· κατά δέ τό ἀεί εἶναι, μόνους ἰδιοτρόπως τούς ἁγίους, ἀγγέλους τε καί ἀνθρώπους, τό ἀεί φεῦ εἶναι, τοῖς μή τοιούτοις ὡς γνώμης καρπόν ἀφείς ἐπικιρνώμενον.

νστ'. Οὐ συνεπάγεται τῇ κατά φύσιν τῶν ἐξ ὧν συνέστηκεν ἑτερότητι, καί τήν καθ᾽ ὑπόστασιν διαφοράν τό μυστήριον τῆς θείας σαρκώσεως· τό μέν, ἵνα μή προσθήκην λάβῃ τό τῆς Τριάδος μυστήριον· τό δέ, ἵνα μηδέν ᾖ τῇ θεότητι κατά φύσιν ὁμογενές καί ὁμοούσιον. Δύο γάρ φύσεων πρός ὑπόστασιν, ἀλλ᾽ οὐ πρός φύσιν μίαν

γέγονε σύνοδος· ἵνα καί τό καθ᾽ ὑπόστασιν ἕν ἐκ τῶν ἀλλήλαις συνδραμουσῶν φύσεων δειχθῇ κατά τήν ἕνωσιν ἀποτελούμενον, καί τό διάφορον τῶν συνελθόντων πρός τήν ἀδιάσπαστον ἕνωσιν κατά τήν φυσικήν ἰδιότητα πιστευθῇ, πάσης ἐκτός μένον τροπῆς καί συγχύσεως.

νζ'. Οὐ λέγομεν ἐπί Χριστοῦ διαφοράν ὑποστάσεων, ὅτι Τριάς μεμένηκεν ἡ Τριάς, καί σαρκωθέντος τοῦ Λόγου, προσθήκης προσώπου οὐ προσγενομένης τῇ ἁγίᾳ Τριάδι διά τήν σάρκωσιν· λέγομεν δέ φύσεων διαφοράν, ἵνα μή τῷ Λόγῳ κατά τήν φύσιν ὁμοούσιον τήν σάρκα πρεσβεύωμεν.

νη'. Ὁ μή λέγων φύσεως διαφοράν, οὐκ ἔχει πόθεν πιστώσασθαι τήν ὅτι γέγονε σάρξ ὁ λόγος δίχα τροπῆς ὁμολογίαν· μή γινώσκων σωζόμενον κατά τήν φύσιν ἐν τῇ μιᾷ τοῦ ἑνός Χριστοῦ καί Θεοῦ Σωτῆρος ὑποστάσει μετά τήν ἕνωσιν, τό προλαβόν καί τό προσειλημμένον.

νθ'. (1332) Εἰ σαρκός ἐν Χριστῷ καί θεότητος μετά τήν ἕνωσιν ὑπάρχει διαφορά κατά φύσιν· οὐ γάρ ταὐτόν κατ᾽ οὐσίαν ποτέ θεότης καί σάρξ· πρός φύσεως μιᾶς γένεσιν, ἡ τῶν συνελθόντων οὐδαμῶς γέγονεν ἕνωσις, ἀλλά πρός μίαν ὑπόστασιν, καθ᾽ ἥν οὐδεμίαν ἐν Χριστῷ καθ᾽ οἱονδήποτε τρόπον εὑρίσκομεν διαφοράν. Ταὐτόν γάρ τῇ οἰκείᾳ σαρκί κατά τήν ὑπόστασιν ὁ Λόγος. Καθ᾽ ὅ γάρ ἄν ὁ Χριστός ἔχῃ διαφοράν, ἕν εἶναι κατά πάντα τρόπον οὐ δύναται· καθ᾽ ὅ δέ τήν οἱανοῦν παντελῶς οὐκ ἐπιδέχεται διαφοράν, κατά πάντα τρόπον τό ἕν ἐπ᾽ αὐτοῦ διαπαντός εὐσεβῶς ἔχει καί ὄν καί λεγόμενον.

ξ'. Ἡ πίστις διά τῆς ἐλπίδος τήν εἰς Θεόν ἀγάπην τελείαν συνίστησιν· ἡ ἀγαθή συνείδησις, τήν εἰς τόν πλησίον διά τῆς φυλακῆς τῶν ἐντολῶν ἀγάπην ὑφίστησιν. Ἡ γάρ ἀγαθή συνείδησις παραβαθεῖσαν ἐντολήν οὐκ ἔχει κατήγορον. Ταύτας δέ μόνη καρδία πιστεύεσθαι πέφυκε, τῶν ἐφιεμένων τῆς ἀληθοῦς σωτηρίας.

ξα'. Οὐδέν τοῦ πιστεύειν ταχύτερον, καί τοῦ διά στόματος ὁμολογεῖν τοῦ πιστευθέντος τήν χάριν ἐστίν εὐκολώτερον· τό μέν γάρ, δηλοῖ τήν ἔμψυχον πρός τόν πεποιηκότα τοῦ πεπιστευκότος ἀγάπην· τό δέ, τήν θεοφιλῆ πρός τόν πλησίον διάθεσιν. Ἀγάπη δέ καί γνησία διάθεσις, ἤγουν πίστις καί ἀγαθή συνείδησις, ἔργον προδήλως τοῦ κατά καρδίαν ἀφανοῦς ὑπάρχει κινήματος, τῆς ἐκτός ὕλης πρός γένεσιν παντελῶς οὐ δεόμενον.

ξβ'. Ὁ τήν παντελῆ περί τό καλόν ἀκινησίαν νοσῶν, περί τό κακόν ὑπάρχει πάντως εὐκίνητος. Κατ᾽ ἄμφω γάρ ἀκίνητον ὑπάρχειν, ἀδύνατον. Ὅθεν καί λίθους καλεῖν οἶδεν ἡ Γραφή, τήν περί τά καλά τῆς ψυχῆς ῥαθυμίαν, ὡς ἀρετῶν ἀναισθητούσης· ξύλα δέ, τήν περί τά κακά προθυμίαν.Ἡ δέ κατ᾽ αἴσθησιν κίνησις συναπτομένη τῇ κατά νοῦν ἐνεργείᾳ, ποιεῖ τήν μετά γνώσεως ἀρετήν.

ξγ'. Μεσότοιχον ἡ Γραφή, τόν κατά φύσιν, ὡς οἶμαι, νόμον τοῦ σώματος κέκληκε· φραγμόν δέ, τήν ἐν τῷ νόμῳ τῆς σαρκός πρός τά πάθη σχέσιν, ἤγουν τήν ἁμαρτίαν. Μόνη γάρ ἡ πρός τά πάθη τῆς ἀτιμίαν σχέσις, τοῦ νόμου τῆς φύσεως, τουτέστι, τοῦ παθητοῦ τῆς φύσεως μέρους, φραγμός γίνεται, τῆς ψυχῆς τό σῶμα διατειχίζων, καί τοῦ λόγου τῶν ἀρετῶν τήν πρός σάρκα διά μέσης ψυχῆς κατά τήν πρᾶξιν, μή συγχωρῶν γενέσθαι διάβασιν· ὁ δέ λόγος παραγενόμενος, καί τόν τῆς φύσως νόμον, ἤγουν τό τῆς φύσεως παθητόν (1333) [ unus. Feg. παθητικόν] καταπαλαίσας, τήν ἐν αὐτῷ τῶν παρά φύσιν παθῶν σχέσιν κατήργησεν.

ξδ'. Ἡνίκα μέν δι᾽ ἀπάτης δόλῳ συλῶν τήν περί Θεόν ἔμφυτον γνῶσιν τῆς φύσεως, ταύτην ὁ πονηρός εἰς ἑαυτόν σφετερίζεται, κλέπτης ἐστί, πρός ἑαυτόν ἀπό τοῦ Θεοῦ τό σέβας μεταφέρειν πειρώμενος· ἀπάγων δηλονότι τῶν ἐν τοῖς γεγονόσι πνευματικῶν λόγων, τήν κατά νοῦν τῆς ψυχῆς θεωρίαν, καί μόνῃ περιγράφων τήν νοεράν δύναμιν, τῇ κατά τήν ἐπιφάνειαν προσόψει τῶν αἰσθητῶν. Ὁπηνίκα δέ διά τῶν φυσικῶν ἀπαρχόμενος κινημάτων, πρός τά παρά φύσιν σοφιστικῶς κατασύρῃ τήν πρακτικήν δύναμιν, καί διά τῶν νομιζομένων καλῶν ταῖς χείροσι πιθανῶς προσηλώσῃ ταύτης τήν ἔφεσιν, ἐπί τῷ ὀνόματι Κυρίου ὀμνύει ψευδῶς, πρός ἄλλα παρ᾽ ὑπόσχεσιν ἄγων τήν πειθομένην ψυχήν. Καί ἔστι κλέπτης μέν, ὡς πρός ἑαυτόν συλῶν τήν γνῶσιν τῆς φύσεως· ἐπίορκος δέ, ὡς τό πρακτικόν τῆς ψυχῆς μάτην διαπονεῖσθαι πείθων τοῖς παρά φύσιν.

ξε'. Ἤ πάλιν, κλέπτης ἐστίν, ὁ πρός ἀπάτην τῶν ἀκουόντων τούς θείους δῆθεν ἀσκούμενος λόγους, ὧν οὐκ ἐπέγνω διά τῶν ἔργων τήν δύναμιν, τήν ψιλήν προφοράν δόξης ἐμπορίαν ποιούμενος, καί τῷ διά γλώσσης λόγῳ τόν τοῦ δίκαιος νομίζεσθαι παρά τῶν ἀκροωμένων θηρώμενος ἔπαινον. Καί ἁπλῶς εἰπεῖν, ὁ τῷ λόγῳ τόν βίον ἀνάρμοστον, καί τῇ γνώμει τήν διάθεσιν τῆς ψυχῆς ἔχων ἀντικειμένην, κλέπτης ἐστίν, ἐκ τῶν ἀλλοτρίων ἀγαθῶν οὐ καλῶς διαφαινόμενος. Πρός ὅν ὁ λόγος εἰκότως ἐρεῖ, Τῷ δέ ἁμαρτωλῷ εἶπεν

ὁ Θεός, Ἵνα τί σύ ἐκδιηγῇ τά δικαιώματά μου, καί ἀναλαμβάνεις τήν διαθήκην μου διά στόματός σου;

ξστ'. Κλέπτης ὡσαύτως ἐστί, καί ὁ τοῖς φαινομένοις τρόποις καί ἤθεσι, τήν μή φαινομένην συγκαλύπτων τῆς ψυχῆς κακουργίαν, ἐπιεικείας πλάσματι τήν ἔνδον ἐπικαλύπτων διάθεσιν· καί κλέπτων, ὥσπερ ἐκεῖνος τῇ προφορᾷ τῶν λόγων τῆς γνώσεως, τήν τῶν ἀκουόντων διάνοιαν· οὕτω δή καί αὐτός τῷ τρόπῳ τῆς τῶν ἠθῶν ὑποκρίσεως, τῶν θεομένων τήν αἴσθησιν, πρός ὅν ὁμοίως εἰρήσεται, Αἰσχύνθητε, οἱ ἐνδεδυμένοι ἱμάτια ἀλλότρια· καί τό, Ἀποκαλύψει Κύριος τό σχῆμα αὐτῶν ἐν τῇ καθ᾽ ἡμέρᾳ ἐκείνῃ. Καθ᾽ ἑκάστην γάρ ἐν τῷ κρυπτῷ τῆς καρδίας ἐργαστηρίῳ, ταῦτά μοι λέγοντος ἀκούειν δοκῶ τοῦ Θεοῦ τήν ἡμέραν, ὡς ἐπ᾽ ἀμφοῖν διαῤῥήδην κατεγνωσμένος.

ξζ'. Ἐπίορκός ἐστιν, ἤγουν ὀμνύων ἐπί τῷ ὀνόματι Κυρίου ψευδῶς, ὁ ἐπαγγελλόμενος τῷ Θεῷ τόν κατ᾽ ἀρετήν βίον, καί ἀλλότρια παρά τήν ὑπόσχεσιν τῆς οἰκείας ἐπαγγελίας ἐπιτηδεύων, καί τήν συνθήκην τῆς ὁμολογίας τοῦ σεμνοῦ βίου διά τῆς ἀργίας τῶν ἐντολῶν παραβαίνων. Καί συντόμως εἰπεῖν, ὁ κατά Θεόν ζῆν προελόμενος, (1336) καί μή τελείως τῷ παρόντι βίῳ νεκρούμενος, ψεύστης ἐστί καί ἐπίορκος, ὀμόσας μέν τῷ Θεῷ, τουτέστιν, ἐπαγγειλάμενος τόν ἐν τοῖς θείοις ἀγῶσιν ἄμεμπτον δρόμον, καί μή πληρώσας, καί διά τοῦτο μηδαμῶς ἐπαινούμενος. Ἐπαινεθήσεται γάρ πᾶς ὁ ὀμνύων ἐν αὐτῷ, τουτέστι, πᾶς ὁ τῷ Θεῷ τόν ἔνθεον ἐπαγγειλάμενος βίον, καί διά τῆς ἀληθείας τῶν ἔργων τῆς δικαιοσύνης τούς ὅρκους πληρῶν τῆς καλῆς ὑποσχέσεως.

ξη'. Ὁ κατά μόνην τήν ἐν τοῖς λόγοις προφοράν, γνῶσιν ὑποκρινόμενος, πρός δόξαν οἰκείαν τήν τῶν ἀκουόντων κλέπτει διάνοιαν· καί ὁ τοῖς ἤθεσι τήν ἀρετήν ὑποκρινόμενος, πρός δόξαν οἰκείαν κλέπτει τῶν θεωμένων τήν ὅρασιν· καί δι᾽ ἀπάτης ἀμφότεροι κλέπτονες, πλανῶσιν, ὁ μέν, διάνοιαν ψυχῆς τῶν ἀκουόντων, ὁ δέ, τῶν θεωμένων σώματος αἴσθησιν.

ξθ'. Εἰ πάντως ἔπαινον ἔχει ὁ τῶν οἰκείων πληρωτής ἐπαγγελιῶν, ὡς ὀμνύων ἐν τῷ Θεῷ, καί ἀληθεύων· δῆλον ὅτι ψόγον ἕξει καί ἀτιμίαν, ὁ τῶν οἰκείων συνθηκῶν παραβάτης γινόμενος, ὡς ὀμόσας ἐν τῷ Θεῷ, καί ψευσάμενος.

ο'. Οὐ πᾶς ἄνθρωπος εἰς τοῦτον ἐρχόμενος τόν κόσμον, ὑπό τοῦ Λόγου πάντως φωτίζεται· πολλοί γάρ ἀφώτιστοι διαμένουσι, καί τοῦ κατ᾽ ἐπίγνωσιν ἀμέτοχοι φωτός· ἀλλά δῆλον ὅτι πᾶς ἄνθρωπος κατ᾽

οἰκείαν γνώμην, εἰς τόν ἀληθῆ κόσμον ἐρχόμενος τῶν ἀρετῶν. Πᾶς γάρ ὁ κατ᾽ ἀλήθειαν διά τῆς αὐθαιρέτου γεννήσεως εἰς τοῦτον ἐρχόμενος τόν κόσμον, ὑπό τοῦ Λόγου πάντως φωτίζεται, λαμβάνων ἕξιν ἀρετῆς ἀμετακίνητον, καί γνώσεως ἀληθοῦς ἐπιστήμην ἄπταιστον.

οα'. Οὐ πάντες τε καί πάντα τά τήν αὐτήν ἐκφώνησιν ἔχοντα, καθ᾽ ἕνα καί τόν αὐτόν πάντως νοηθήσεται τρόπον· ἀλλ᾽ ἕκαστον τῶν λεγομένων πρός τήν ὑποκειμένην δηλονότι τῷ τρόπῳ τῆς ἁγίας Γραφῆς δύναμιν νοητέον, εἰ μέλλοιμεν ὀρθῶς τοῦ σκοποῦ τῶν γεγραμμένων καταστοχάζεσθαι.

οβ'. Οὐδέν τῶν ἀναγεγραμμένων τῇ Γραφῇ προσώπων, ἤ τόπων, ἤ χρόνων, ἤ ἑτέρων πραγμάτων ἐμψύχων τε καί ἀψύχων, αἰσθητῶν τε καί νοητῶν, κατά τόν αὐτόν ἀεί κινούμενον τρόπον, ἔχει συμβαίνουσαν ἑαυτῇ διόλου τήν ἱστορίαν ἤ τήν θεωρίαν. Διό χρή τόν ἀπταίστως τήν θείαν τῆς Γραφῆς ἐξασκούμενον εἴδησιν, ταῖς διαφοραῖς τῶν γινομένων ἤ λεγομένων, διαφόρως ἐκδέχεσθαι τῶν ἀπηριθμημένων ἕκαστον, καί τήν ἁρμόζουσαν αὐτῷ κατά τόν τόπον, ἤ τόν χρόνον δεόντως θεωρίαν προσνέμειν.

ογ'. Διδάσκειν χρή πάντας τούς ἐν παντί τῷ κόσμῳ, λόγῳ ζῆν μόνῳ πολιτεύεσθαι, καί τοσοῦτον ἔχειν περί τῶν σωμάτων τήν μέριμναν, ὅσο διά πολλῆς φροντίδος τήν πρός αὐτά σχέσιν τῆς ψυχῆς διακόψας, (1337) καί μηδεμίαν διδόναι τοσύνολον ὕλης τῇ ψυχῇ φαντασίαν· σβεσθείσης ἤδη τῷ λόγῳ τῆς κατ᾽ ἀρχάς, τόν μέν λόγον παρωσαμένης, τήν ἀλογίαν δέ τῆς ἡδονῆς ὄφεως δίκην ἑρπυστικοῦ προσδεξαμένης, αἰσθήσεως, καθ᾽ ἧς ὡρίσθη δικαίως ὁ θάνατος, ἵνα παύσηται τῷ διαβόλῳ πρός τήν ψυχήν παρεχομένη τήν εἴσοδον.

οδ'. Μία ὑπάρχουσα κατά τό γένος ἡ αἴσθησις, πενταπλοῦται τοῖς εἴδεσι, διά τῆς καθ᾽ ἕκαστον εἶδος ἀντιληπτικῆς ἐνεργείας, τό προσφυές αἰσθητόν, ἀντί Θεοῦ στέργειν τήν πλανωμένην ψυχήν ἀναπείθουσα. Διόπερ ὁ τῷ λόγῳ σοφῶς ἑπόμενος, πρό τοῦ βεβιασμένου καί παρά γνώμην θανάτου, τόν θάνατον τῆς σαρκός ἑκουσίως καταψηφίζεται, τόν πρός αἴσθησιν τῆς γνώμης παντελῆ ποιούμενος χωρισμόν.

οε'. Λαβοῦσα τόν νοῦν ἡ αἴσθησις ὑποχείριον, διδάσκει πολύθεον, δι᾽ ἑκάστης αἰσθήσεως τῇ περί τά πάθη δουλείᾳ ὡς θεῖον τό προσφυές αἰσθητόν θεραπεύουσα.

οστ'. Ὁ μόνῳ τῷ γράμματι τῆς Γραφῆς παρακαθήμενος, μόνην ἔχει τήν αἴσθησιν κρατοῦσαν τῆς φύσεως, καθ᾽ ἥν ἡ πρός τήν σάρκα τῆς ψυχῆς σχέσις μόνη διαφαίνεσθαι πέφυκε. Τό γάρ γράμμα μή νοούμενον πνευματικῶς, μόνην ἔχει τήν αἴσθησιν περιγράφουσαν αὐτοῦ τήν ἐκφώνησιν, καί μή συγχωροῦσαν πρός τόν νοῦν διαβῆναι τῶν γεγραμμένων τήν δύναμιν. Εἰ δέ πρός μόνην τήν αἴσθησιν ἔχει τό γράμμα τήν οἰκειότητα, πᾶς ὁ καθ᾽ ἱστορίαν μόνην Ἰουδαϊκῶς τό γράμμα δεχόμενος, κατά σάρκα ζῇ, τῆς ἁμαρτίας καθ᾽ ἑκάστην ἡμέραν διά τήν ζῶσαν αἴσθησιν γνωμικῶς ἀποθνήσκων τόν θάνατον, μή δυνάμενος πνεύματι τάς πράξεις θανατῶσαι τοῦ σώματος, ἵνα ζῇ τήν ἐν πνεύματι καμαρίαν ζωήν. Εἰ γάρ κατά σάρκα ζῆτε, μέλλετε ἀποθνήσειν, φησίν ὁ θεῖος Ἀπόστολος· εἰ δέ πνεύματι τάς πράξεις τοῦ σώματος θανατοῦτε, ζήσεσθε.

οζ'. Μή τοίνυν τόν θεῖον λύχνον, ἤγουν τόν φωτιστικόν τῆς γνώσεως λόγον ἀνάπτοντες διά θεωρίας καί πράξεως, ὑπό τόν μόδιον θήσωμεν, ἵνα μή κατακριθῶμεν ὡς περιγράφοντες τῷ γράμματι τήν τῆς σοφίας ἀπερίληπτον δύναμιν· ἀλλ᾽ ἐπί τήν λυχνίαν, λέγω τήν ἁγίαν Ἐκκλησίαν, ἐν τῷ ὕψει τῆς ἀληθοῦς θεωρίας, πᾶσι τό φῶς τῶν θείων δογμάτων πυρσεύουσαν.

οη'. Ὁ τάς προσβολάς τῶν ἀκουσίων πειρασμῶν κατά τόν μακάριον Ἰώβ καί τούς γενναίους μάρτυρας ἀκατασείστῳ φέρων τῷ φρονήματι, λύχνος ἐστίν ἰσχυρός, ἀκατάσβεστον καί αὐτός φυλάττων τό φῶς τῆς σωτηρίας, ἐν τῷ τρόπῳ τῆς κατά τήν ἀνδρίαν ὑπομονῆς φυλαττόμενον, ὡς τόν Κύριον ἰσχύν ἔχων καί ὕμνησιν. Ὁ δέ γινώσκων τοῦ πονηροῦ τά μηχανήματα, καί τάς συμπλοκάς τῶν ἀφανῶν πολέμων οὐκ ἀγνοῶν, καί οὗτος τῷ φωτί τῆς γνώσεως περιλαμπόμενος, ἄλλος πέφηνε λύχνος, τῷ μεγάλῳ Ἀποστόλῳ προσηκόντως φθεγγόμενος, Οὐ γάρ αὐτοῦ τά νοήματα ἀγνοοῦμεν.

οθ'. (1340) Τήν μέν κάθαρσιν τοῖς ἀξίοις τῆς τῶν ἀρετῶν καθαρότητος, διά φόβου καί εὐσεβείας καί γνώσεως ποιεῖται τό Πνεῦμα τό ἅγιον· τόν δέ φωτισμόν τῆς τῶν ὄντων καθ᾽ οὕς ὑπάρχουσι λόγους γνώσεως, δι᾽ ἰσχύος καί βουλῆς καί συνέσεως δωρεῖται τοῖς ἀξίοις φωτός· τήν δέ τελειότητα, διά τῆς παμφαοῦς καί ἁπλῆς καί ὁλοσχεροῦς σοφίας χαρίζεται τοῖς ἀξίοις θεώσεως, πρός τήν τῶν ὄντων αἰτίαν, ἀμέσως αὐτούς ἀνάγον κατά πάντα τρόπον, ὡς ἔστιν ἀνθρώπῳ δυνατόν, ἐκ μόνων τῶν θείων τῆς ἀγαθότητος ἰδιωμάτων γνωριζομένους, καθ᾽ ἥν ἐκ Θεοῦ μέν ἑαυτούς, ἐξ ἑαυτῶν δέ

γινώσκοντες τόν Θεόν, οὐκ ὄντος τινός μέσου διατειχίζοντος· σοφίας γάρ μέσον οὐδέν πρός Θεόν· τήν ἀναλλοίωτον ἕξουσιν ἀτρεψίαν, τῶν μέσων αὐτοῖς ὁλικῶς πάντων διαβαθέντων, ἐν οἷς ὑπῆρχεν ὁ περί τήν γνῶσιν ποτε τοῦ σφάλλεσθαι κίνδυνος. Μέσα δέ καλεῖ, τήν τῶν νοητῶν καί τῶν αἰσθητῶν οὐσίαν, δι᾽ ὧν πρός Θεόν ὡς αἰτίαν τῶν ὄντων, ὁ ἀνθρώπινος νοῦς ἀνάγεσθαι πέφυκεν.

π' Τήν μέν πρακτικήν φιλοσοφίαν, φόβος, εὐσέβειά τε καί γνῶσις ἐργάζονται· τήν δέ φυσικήν ἐν πνεύματι θεωρίαν, ἰσχύς καί βουλή καί σύνεσις κατορθοῦσι· τήν δέ μυστικήν θεολογίαν, σοφία θεία μόνη χαρίζεται.

πα'. Ὥσπερ ἐλαίου χωρίς, ἄσβεστον διατηρηθῆναι λύχνον ἀμήχανον, οὕτως ἕξεως χωρίς, προσφόροις καί λόγοις καί τρόποις καί ἤθεσι, νοήμασί τε αὖ καί λογισμοῖς τοῖς καθήκουσι τά καλά διατρεφούσης, ἄσβεστον φυλαχθῆναι τό φῶς τῶν χαρισμάτων ἀμήχανον. Πᾶν γάρ χάρισμα πνευματικόν προσφυοῦς χρῄζει τῆς ἕξεως, ἀπαύστως ἐπιχεούσης αὐτῷ καθάπερ ἔλαιον τήν ὕλην τήν νοεράν, ἵνα διαμείνῃ κατά τήν ἕξιν τοῦ δεξαμένου κρατούμενον.

πβ'. Ὥσπερ ἐλαίας χωρίς, οὐκ ἔστιν οὐδαμῶς εὑρεῖν φύσει κατ᾽ ἀλήθειαν γνήσιον ἔλαιον· ἄγγους δέ δίχα κρατεῖσθαι τοῦ δεχομένου τό ἔλαιον οὐ δυνατόν· ἐλαίῳ δέ μή τρεφόμενον σβέννυται πάντως τό λυχναῖον φῶς· οὕτω τῶν ἁγίων Γραφῶν χωρίς, οὐκ ἔστι κατά ἀλήθειαν δύναμις νοημάτων θεοπρεπής· ἕξεως δέ δίχα, καθάπερ ἄγγους νοημάτων δεκτικοῦ, οὐδαμῶς ἄν συσταίη νόημα θεῖον· θείοις δέ νοήμασι μή τρεφόμενον τό φῶς τῆς ἐν τοῖς χαρίσμασι γνώσεως, ἄσβεστον οὐ συντηρεῖται τοῖς ἔχουσι.

πγ'. Τήν μέν Παλαιάν Διαθήκην, τήν ἐξ εὐωνύμων ἐλαίαν ὑπολαμβάνω σημαίνειν, ὡς τῆς πρακτικῆς μᾶλλον προνοουμένην φιλοσοφίας· τήν ἐκ δεξιῶν δέ, τήν Νέαν Διαθήκην, ὡς καινοῦ μυστηρίου διδάσκαλον, καί τῆς ἐν ἑκάστῳ τῶν πιστῶν θεωρητικῆς ἕξεως ποιητικήν. Ἡ μέν γάρ, ἀρετῆς τρόπους, ἡ δέ, (1341) γνώσεως λόγους παρέχεται τοῖς τά θεῖα φιλοσοφοῦσι· καί ἡ μέν, τῆς τῶν ὁρωμένων ὁμίχλης ὑφαρπάζουσα πρός τό συγγενές ἀνάγει τόν νοῦν, πάσης καθαρόν ὑλικῆς φαντασίας γεγενημένον· ἡ δέ, τῆς ὑλικῆς προσπαθείας αὐτόν ἀποκαθαίρει, τῷ τῆς ἀνδρίας τόνῳ, καθάπερ σφύρᾳ τινί τούς πρός τό σῶμα τῆς γνώμης κατά τήν σχέσιν ἐκκρουομένη ἥλους.

πδ'. Ἡ μέν Παλαιά, τό σῶμα πρός ψυχήν λογισθέν ἀναβιβάζει διά μέσων τῶν ἀρετῶν, κωλύουσα τοῦ πρός σῶμα τόν νοῦν καταβιβάζεσθαι· ἡ δέ Νέα, τόν νοῦν πρός τόν Θεόν ἀναβιβάζει, τῷ πυρί τῆς ἀγάπης πτερούμενον. Καί ἡ μέν, ταὐτόν ἐργάζεται τῷ νοΐ τό σῶμα κατά τήν θέσιν κίνησιν· ἡ δέ, ταὐτόν τῷ Θεῷ τόν νοῦν ἀποτελεῖ κατά τήν ἕξιν τῆς χάριτος τοσαύτην ἔχοντα πρός Θεόν τήν ἐμφέρειαν, ὥστε τόν Θεόν δι᾽ αὐτοῦ γνωρίζεσθαι, τόν ἐξ ἑαυτοῦ κατά φύσιν οὐδαμῶς τοπαράπαν οὐδενί γινωσκόμενον, ὡς ἔκ τινος εἰκόνος ἀρχέτυπον.

πε'. Ἡ μέν Παλαιά Διαθήκη, πράξεως καί ἀρετῆς ὑπάρχουσα σύμβολον, συμφωνεῖν τό σῶμα τῷ νοΐ παρασκευάζει κατά τήν κίνησιν· ἡ δέ Νέα, θεωρίας οὖσα καί γνώσεως ποιητικήν, τόν μυστικῶς αὐτῆς ἀντεχόμενον νοῦν τοῖς θείοις νοήμασι καταφαιδρύνει καί τοῖς γνωρίσμαασι· καί ἡ μέν Παλαιά, τῷ γνωστικῷ χορηγεῖ τούς τρόπους τῶν ἀρετῶν· ἡ δέ Νέα, τῷ πρακτικῷ γνώσεως ἀληθοῦς λόγους χαρίζεται.

πστ'. Ἐκείνων ὁ Θεός λέγεταί τε καί γίνεται κατά χάριν Πατήρ, τῶν μόνην ἐχόντων τήν κατ᾽ ἀρετήν γνωμικήν ἐν πνεύματι γέννησιν· καθ᾽ ἥν ὥσπερ ψυχῆς πρόσωπον, τόν ἐν ἀρεταῖς τοῦ γεννήσαντος Θεοῦ χαρακτῆρα φαινόμενον ἔχοντες κατά τόν βίον, τούς θεωμένους τῇ μεταβολῇ τῶν τρόπων δοξάζειν τόν Θεόν παρασκευάζουσι, τόν οἰκεῖον βίον πρός μίμησιν παρέχοντες αὐτοῖς ἐξαίρετον ἀρετῆς ἐξεμπλάριον.Οὐ γάρ λόγῳ ψιλῷ Θεός δοξάζεσθαι πέφυκεν, ἀλλ᾽ ἔργοις δικαιοσύνης πολλῷ πλείονα λόγων βοῶσι τήν θείαν μεγαλοπρέπειαν.

πζ'. Ἀριστερός μέν ὁ φυσικός νόμος, διά τήν αἴσθησιν· προσάγει δέ τῷ λόγῳ τούς τρόπους τῶν ἀρετῶν, καί ποιεῖ γνῶσιν ἐνεργουμένην. Ὁ δέ πνευματικός νόμος, δεξιός μέν ἐστι διά τόν νοῦν· μίγνυσι δέ τῇ αἰσθήσει τούς ἐν τοῖς οὖσι πνευματικούς λόγους, καί ποιεῖ πρᾶξιν λελογισμένην.

πη'. Ὁ τῇ πράξει σωματουμένην τήν γνῶσιν, καί τῇ γνώσει ψυχουμένην τήν πρᾶξιν δεικνύς, τόν ἀκριβῆ τρόπον εὗρε τῆς ἀληθοῦς θεουργίας. (1344) Ὁ δ᾽ ὁποτέραν τούτων τῆς ἑτέρας ἔχων διαζευγμένην, ἤ τήν γνῶσιν ἀνυπόστατον πεποιηκε φαντασίαν, ἤ τήν πρᾶξιν ἄψυχον κατέστησε εἴδωλον. Γνῶσις γάρ ἄπρακτος, φαντασίας οὐδέν διενήνοχεν, ὑφιστῶσα αὐτήν τήν πρᾶξιν οὐκ ἔχουσα· καί πρᾶξις

ἀλόγιστος, ταὐτόν εἰδώλῳ καθέστηκεν ψυχοῦσαν αὐτήν τήν γνῶσιν οὐκ ἔχουσα.

πθ'. Τό τῆς σωτηρίας ἡμῶν μυστήριον, ἐπίδειξιν μέν λόγου, τόν βίον, δόξαν δέ βίου, τόν λόγον ποιεῖται· καί τήν μέν πρᾶξιν θεωρίαν ἐνεργουμένην, τήν δέ θεωρίαν, πρᾶξιν μυσταγωγουμένην. Καί συντόμως εἰπεῖν, τήν μέν ἀρετήν, φανέρωσιν γνώσεως, τήν δέ γνῶσιν, ἀρετῆς συντηρητικήν ἐργαζόμενον δύναμιν· καί δι᾽ ἀμφοῖν, ἀρετῆς δέ λέγω καί γνώσεως, μίαν σοφίαν συνισταμένην ἐπιδεικνύμενον· ἵνα γνῶμεν ὅτι συμφωνοῦσιν ἀλλήλαις διά πάντων αἱ δύο Διαθῆκαι κατά τήν χάριν, πλέον εἰς ἑνός μυστηρίου συμπλήρωσιν, ἤ ὅσον ψυχή καί σῶμα πρός ἑνός ἀνθρώπου γένεσιν, κατά τήν σύνθεσιν ἀλλήλαις συμβαίνουσαι.

τέσσ. ἀνοικ. '. Ὥσπερ ψυχή καί σῶμα ποιεῖ κατά σύνθεσιν ἄνθρωπον, οὕτω πρᾶξις καί θεωρία, μίαν κατά σύνοδον ἀποτελεῖ σοφίαν γνωστικήν· καί Παλαιά καί Νέα Διαθήκη, μυστήριον ἕν ἀπεργάζεται. Μόνου δέ τοῦ Θεοῦ κατά φύσιν ἐστί τό ἀγαθόν, ἐξ οὗ, κατά μετοχήν, πάντα φωτίζεταί τε καί ἀγαθύνεται, τά φωτός κατά φύσιν καί ἀγαθότητος δεκτικά.

τέσσ. ἀνοικ. α'. Ὁ τόν φαινόμενον κόσμον νοῶν, θεωρεῖ τόν νοούμενον· τυποῖ γάρ τῇ αἰσθήσει τά νοητά φανταζόμενος, καί κατά νοῦν σχηματίζει τούς θεαθέντας λόγους· καί μεταφέρει, πρός μέν αἴσθησιν πολυειδῶς, τοῦ αἰσθητοῦ κόσμου πολυπλόκως τήν σύνθεσιν· καί νοεῖ, ἐν μέν τῷ νοητῷ, τόν αἰσθητόν, μετενέγκας πρός τόν νοῦν τοῖς λόγοις τήν αἴσθησιν, ἐν δέ τῷ αἰσθητῷ, τόν νοητόν, πρός τήν αἴσθησιν ἐπιστημόνως τοῖς τύποις μετεγκλοιώσας τόν νοῦν.

τέσσ. ἀνοικ. β'. Τόν μέν πρῶτον περί μονάδος λόγον, ὡς ἀρχήν πάσης ἀρετῆς κεφαλήν ὁ προφήτης ὠνόμασεν· (1345) ὡς τό, Ἔδυ ἡ κεφαλή μου εἰς σχισμάς ὀρέων· τάς δέ διανοίας τῶν πνευμάτων τῆς πονηρίας, σχισμάς τῶν ὀρέων, ὑφ᾽ ὧν κατεπόθη διά τῆς παραβάσεως ὁ ἡμέτερος νοῦς· γῆν δέ κατωτάτην, τήν μηδαμῶς γνώσεως αἰσθανομένην θείας, ἤ τῆς κατ᾽ ἀρετήν ζωῆς, τήν οἱανοῦν κίνησιν ἔχουσαν ἕξιν· ἄβυσσον δέ, τήν ἐπικειμένην ἄγνοιαν τῇ ἕξει τῆς κακίας, ἐφ᾽ ᾗ βέβηκε καθάπερ γῇ, τά τῆς κακίας πελάγη ἤ γῆν, τήν παγίαν τῆς κακίας ἕξιν εἶπεν· αἰωνίους δέ μοχλούς, τάς συγκρατούσας τήν χειρίστην ἕξιν ἐμπαθεῖς προσπαθείας τῶν ὑλικῶν.

τέσσ. ἀνοικ. γ'. Ἡ τῶν ἁγίων ὑπομονή, τήν πονηράν δύναμιν προσβάλλουσαν, δαπανᾷ· ὡς πείθουσα τοῖς ὑπέρ ἀληθείας

ἐγκαλλωπίζεσθαι πόνοις, τούς αὐτῆς διακόνους, καί πλέον ἐμπλατύνεσθαι διδάσκουσα τοῖς παθήμασιν, ἤ ταῖς ἀνέσεσιν, οἱ τῆς ἐν σαρκί ζωῆς ἄγαν φροντίζοντες, ὑπόθεσιν αὐτοῖς ὑπερβαλλούσης κατά πνεῦμα δυνάμεως ποιουμένη, τήν κατά φύσιν τῆς σαρκός περί τό πάσχειν ἀσθένειαν. Ὅρα γάρ ὅπως τῆς καθ᾽ ὑπερβολήν θείας δυνάμεως ἐστιν ὑπόθεσις, ἡ κατά φύσιν τῶν ἁγίων ἀσθένεια, ἧς ἥττονα τόν ὑπερήφανον διάβολον Κύριος ἔδειξεν.

τέσσ. ἀνοικ. δ'. Ὁ λόγος τῆς χάριτος, διά πολλῶν πειρασμῶν πρός τήν τῶν ἀνθρώπων φύσιν, ἤγουν τήν τῶν ἐθνῶν Ἐκκλησίαν, ὥσπερ Ἰωνᾶς διά πολλῶν θλίψεων πρός Νινευί διαβάς τήν πόλιν τήν μεγάλην, ἔπεισε τόν βασιλεύοντα νόμον τῆς φύσεως ἐξαναστῆναι τοῦ θρόνου, τῆς προτέρας δηλαδή περί τό κακόν κατά τήν αἴσθησιν ἕξεως, καί περιελέσθαι τήν στολήν αὐτοῦ, τόν ἐπί τοῖς ἤθεσι λέγω τῆς κοσμικῆς δόξης ἀποθέσθαι τῦφον, καί περιβαλέσθαι σάκκον, τό πένθος δηλαδή καί τήν δυσχερῆ καί τραχεῖαν τῆς κακοπαθείας, καί βίῳ τῷ κατά Θεόν πρέπουσαν ἀγωγήν· καί καθίσαι ἐπί σποδοῦ· σποδός δέ ἐστιν ἡ πτωχεία τοῦ πνεύματος, ἐφ᾽ ἧς καθέζεται πᾶς εὐσεβῶς ζῆν διδασκόμενος, καί τήν μάστιγα τῆς συνειδήσεως ἔχων ἐπί τοῖς πλημμεληθεῖσιν, αὐτόν καταικίζουσαν.

τέσσ. ἀνοικ. ε'. Ὅρα ὅπως βασιλέα μέν εἶναι λέγει, τόν φυσικόν νόμον· θρόνον δέ, τήν ἐμπαθῆ κατ᾽ αἴσθησιν ἕξιν· τήν δέ στολήν, τήν τῆς κενῆς δόξης προβολήν· τόν δέ σάκκον, τό κατά τήν μετάνοιαν πένθος· τήν δέ σποδόν, τήν ταπεινοφροσύνην· ἀνθρώπους δέ, τούς περί τόν λόγον· κτήνη δέ, τούς περί τήν ἐπιθυμίαν· βόας δέ, τούς περί τόν θυμόν· πρόβατα δέ, τούς περί τήν θεωρίαν τῶν ὁρατῶν πταίοντας.

τέσσ. ἀνοικ. στ'. Ὁ διά τήν ἔννομον ἀρετήν τῶν ἐν σαρκί παθῶν ὡς ἀριστερῶν ποιούμενος λήθην, καί διά τήν ἄπταιστον γνῶσιν, ἐπί τοῖς κατορθώμασι τῇ νόσῳ τῆς φυσιούσης οἰήσεως ὡς δεξιᾶς οὐχ ἁλισκόμενος, ἀνήρ γέγονε, μή γινώσκων δεξιάν αὐτοῦ, ὡς δόξης οὐκ ἐρῶν λυομένης, οὐδέ ἀριστεράν, ὡς τοῖς τῆς σαρκός οὐκ ἐρεθιζόμενος πάθεσι. Δεξιάν οὖν, ὡς ἔοικεν, εἶπεν ὁ λόγος, τήν ἐπί τοῖς δῆθεν κατορθώμασι κενοδοξίαν· ἀριστεράν δέ, τήν ἐπί τοῖς αἰσχροῖς πάθεσιν ἀκολασίαν. (1348) Ὁ γάρ τῆς ἀρετῆς λόγος, τῆς σαρκός ὡς ἀριστερᾶς οὐκ οἶδεν ἁμαρτίαν· ὁ δέ τῆς γνώσεως, τήν ψυχῆς ὡς δεξιᾶς οὐ γινώσκει κακίαν.

τέσσ. ἀνοικ. ζ'. Ἡ κατά λόγον γνῶσις τῶν ἀρετῶν, ἤγουν ἡ κατ᾽ ἐνέργειαν ἀληθής τῆς τῶν ἀρετῶν αἰτίας ἐπίγνωσις, ἄγνοιαν παντελῆ

πέφυκε ποιεῖν, τῆς δεξιᾶς καί ἀριστερᾶς ἑκατέρωθεν παρακειμένης τῇ μεσότητι τῶν ἀρετῶν ὑπερβολῆς καί ἐλλείψεως. Εἰ γάρ οὐδέν ἐν τῷ λόγῳ παντελῶς πέφυκεν εἶναι παράλογον, σαφῶς ὁ πρός τόν λόγον τῶν ἀρετῶν ἀναχθείς, τήν τῶν παραλόγων οὐδαμῶς ἐπιγνώσεται θέσιν. Οὐ γάρ δυνατόν ἄμφω κατά ταὐτόν ἅμα καταθρῆσαι τά ἀντικείμενα, καί θατέρῳ ἅμα τό ἕτερον γνῶναι συνεμφαινόμενον.

τέσσ. ἀνοικ. η'. Εἰ ἀπιστίας ἐν τῇ πίστει λόγος οὐδείς, οὐδέ σκότους αἰτία κατά φύσιν ὑπάρχει τό φῶς, οὐδέ Χριστῷ συνενδείκνυσθαι πέφυκεν ὁ διάβολος, δῆλον ὡς οὐδέ τῷ λόγῳ τοπαράπαν συνυπάρχει τό παράλογον. Εἰ δέ τῷ λόγῳ συνεῖναι παντελῶς οὐ δύναται τό παράλογον, ὁ πρός τόν λόγον τῶν ἀρετῶν ἀναχθείς, τήν τῶν παραλόγων οὐδαμῶς ἐπιγνώσεται θέσιν, μόνην ὡς ἔστιν, ἀλλ᾽ οὐχ ὡς νομίζεται γινώσκων τήν ἀρετήν· καί διά τοῦτο μήτε δεξιάν διά τῆς ὑπερβολῆς, μήτε ἀριστεράν διά τῆς ἐλλείψεως ἐπιστάμενος. Ἐπ᾽ ἀμφοῖν γάρ θεωρεῖται σαφῶς τό παράλογον.

τέσσ. ἀνοικ. θ'. Ἀπιστίαν λέγει, τήν ἄρνησιν τῶν ἐντολῶν· πίστιν δέ, τήν αὐτῶν συγκατάθεσιν· τό δέ σκότος, τοῦ καλοῦ τήν ἄγνοιαν· τό δέ φῶς, τήν τούτου διάγνωσιν. Χριστόν δέ κέκληκε, τήν οὐσίαν τοῦ καλοῦ καί τήν ὑπόστασιν· τόν διάβολον δέ, τήν πάντων γεννητικήν τῶν κακῶν χειρίστην ἕξιν.

ρ'. Εἰ ὅρος ὑπάρχει καί μέτρον τῶν ὄντων ὁ λόγος, ἴσον πρός ἀλογίαν ἐστί, καί διά τοῦτο παράλογον, τό παρά τόν ὅρον καί παρά τό μέτρον, ἤ πάλιν ὑπέρ τόν ὅρον κινεῖσθαι καί ὑπέρ τό μέτρον. Ἐπίσης γάρ ἄμφω τοῖς οὕτω κινουμένοις τοῦ κυρίως ὄντος φέρει τήν ἔκπτωσιν· τό μέν, ἄδηλον αὐτοῖς ποιεῖσθαι τοῦ δρόμου πεῖθον τήν κίνησιν καί ἀόριστον, οὐκ ἔχουσαν σκοπόν τόν Θεόν δι᾽ ἀμετρίαν νοός, ὡς τέλος αὐτοῖς προεπινοούμενον· τοῦ δεξιοῦ, δεξιώτερον ἀναπλαττομένοις· τό δέ, παρά τόν σκοπόν, πρός μόνην τήν αἴσθησιν αὐτούς πεῖθον, τοῦ δρόμου ποιεῖσθαι τήν κίνησιν, δι᾽ ἀτονίας νοός, προεπινοούμενον τέλος νομίζοντας, τό κατ᾽ αἴσθησιν αὐτοῖς περιγραφόμενον· ἅπερ ἀγνοεῖ μή πάσχων, ὁ μόνῳ τῷ λόγῳ τῆς ἀρετῆς συνημμένος, καί πᾶσαν αὐτῷ τῆς κατά νοῦν οἰκείας δυνάμεως περιγράψας τήν κίνησιν, καί διατοῦτο μηδέν ὑπέρ τόν λόγον ἤ παρά τόν λόγον διανοεῖσθαι δυνάμενος.

## *ΕΚΑΤΟΝΤΑΣ ΠΕΜΠΤΗ.*

α'. Ὁ κατά φύσιν λόγος, διά μέσων τῶν ἀρετῶν, (1349) πρός τόν νοῦν ἀνάγειν πέφυκε τόν ἐπιμελούμενον πράξεως· ὁ δέ νοῦς πρός τήν σοφίαν εἰσάγει διά θεωρίας τόν ἐφιέμενον γνώσεως. Τό δέ παράλογον πάθος, πρός τήν αἴσθησιν πείθει καταφέρεσθαι τόν ἀμελοῦντα τῶν ἐντολῶν, ἧς τέλος ἐστί, τό πρός τήν ἡδονήν καθηλωθῆναι τόν νοῦν.

β'. Ἀρετήν καλεῖ, τήν ἀπαθεστάτην καί παγίαν περί τό καλόν ἕξιν, ἧς ἐφ᾽ ἑκάτερα καθέστηκεν οὐδέν, Θεοῦ φερούσης χαρακτῆρα, ᾧ οὐδέν ἐστιν ἐναντίον. Αἰτία δέ τῶν ἀρετῶν ἐστιν ὁ Θεός· τούτου δέ κατ᾽ ἐνέργειαν γνῶσις, ἡ τοῦ κατ᾽ ἀλήθειαν ἐπεγνωκότος τόν Θεόν πρός τό πνεῦμα κατά τήν ἕξιν ἀλλοίωσις.

γ'. Εἰ ὁ λόγος διώρισεν ὡς πέφυκεν ἑκάστου τήν γένεσιν, οὐδέν τῶν ὄντων ἑαυτό φυσικῶς ἤ ὑπερβέβηκεν ἤ ὑποβέβηκεν. Οὐκοῦν ὅρος μέν τῶν ὄντων ἐστίν, ἡ κατ᾽ ἔφεσιν τῆς αἰτίας ἐπίγνωσις· μέτρον δέ, ἡ ἐφικτή τοῖς οὖσι κατ᾽ ἐνέργειαν τῆς αἰτίας ἐκμίμησις. Τό δέ ὑπέρ τόν ὅρον φέρεσθαι καί τό μέτρον τῶν κινουμένων τήν ἔφεσιν, ἀνόνητον ποιεῖ τόν δρόμον, μή καταντώντων εἰς Θεόν, ἐν ᾧ ἡ κατ᾽ ἔφεσιν πάντων ἵσταται κίνησις, αὐθυπόστατον δεχομένη τέλος τοῦ Θεοῦ τήν ἀπόλαυσιν. Τό δέ παρά τόν ὅρον φέρεσθαι καί τό μέτρον τῶν κινουμένων τήν ἔφεσιν, ἀνόνητον ποιεῖ τόν δρόμον, ἀντί Θεοῦ καταντώντων πρός τήν αἴσθησιν, ἐν ᾗ καθ᾽ ἡδονήν βέβηκεν ἡ τῶν παθῶν ἀνυπόστατος ἀπόλαυσις.

δ'. Ὁ πρός τήν αἰτίαν τῶν ὄντων ἀσχέτως ἀνατιθείς νοῦν, ἀγνοήσει παντελῶς, μηδένα θεωρῶν λόγον, ἐν τῷ κατά πᾶσαν αἰτίαν ὑπέρ πάντα λόγον ὄντι κατ᾽ οὐσίαν Θεῷ· πρός ὅν ἀπό τῶν ὄντων ἁπάντων συσταλείς, οὐδένα τῶν ἀφ᾽ ὧν ἀπέστη λόγων, ἐπίσταται μόνον τόν πρός ὅν γέγονε κατά χάριν, ἀνερμηνεύτως θεώμενος. Καί γάρ καί τούς τῶν ἀσωμάτων καί τούς τῶν σωμάτων ἀφίησι λόγους, ὁ πρός τόν Θεόν ἀναδραμών κατ᾽ ἔκστασιν νοῦς. Οὐ γάρ πέφυκέ τι Θεῷ τῶν μετά Θεόν, ἅμα συγκατοπτεύεσθαι.

ε'. Ἐπάρατον ὄντως πάθος ὁ τῦφος, καί ἐκ δύο κακῶν κατά σύνθεσιν συνιστάμενον, ὑπερηφανίας φημί καί κενοδοξίας· ὧν ἡ μέν ὑπερηφανία, τήν αἰτίαν ἀρνεῖται τῆς ἀρετῆς καί τῆς φύσεως· ἡ δέ κενοδοξία, τήν τε φύσιν, καί αὐτήν νόθον τήν ἀρετήν καθίστησιν. Οὐδέν γάρ τῷ ὑπερηφάνῳ κατά Θεόν διαπράττεται, καί οὐδέν τῷ κενοδόξῳ κατά φύσιν προέρχεται.

στ'. Ὑπερηφανίας ἴδιον, τό ἀρνεῖσθαι τόν Θεόν ἀρετῆς εἶναι γενέτην καί φύσεως· κενοδοξίας δέ, τό μερίζειν τήν φύσιν πρός ὕφεσιν· ὧν ὁ τῦφος εἶναι γέννημα πέφυκεν, ἕξις κακίας ὑπάρχων σύνθετος, Θεοῦ ἄρνησιν ἑκούσιον ἔχουσα, καί τῆς κατά φύσιν ἰσοτιμίας ἄγνοιαν.

ζ'. (1352) Ὑπερηφανίας καί κενοδοξίας μίξις, ὁ τῦφος καθέστηκε· πρός μέν τόν Θεόν ἔχων τήν καταφρόνησιν, καθ᾽ ἥν πέφυκε βλασφήμως διαβάλλειν τήν πρόνοιαν· πρός δέ τήν φύσιν κεκτημένος τήν ἀλλοτρίωσιν, καθ᾽ ἥν πάντα τά τῆς φύσεως παρά τήν φύσιν μεταχειρίζεται, τῷ κατά παράχρησιν τρόπῳ τήν τῆς φύσεως παραφθείρων εὐπρέπειαν.

η'. Τό πνεῦμα τοῦ καύσωνος, οὐ μόνον τούς πειρασμούς, ἀλλά καί τήν ἐγκατάλειψιν τοῦ Θεοῦ, τήν ἀφαιρουμένην τῶν Ἰουδαίων τήν τῶν θείων χαρισμάτων χορηγίαν, δηλοῖ. Ἡ δέ διά πνεύματος κατά ψυχήν ἀγχιστεία, σαρκός μέν λύει τήν σχέσιν τῆς προαιρέσεως, Θεῷ δέ προσδεσμεῖ κατά πόθον προσηλωθεῖσαν.

θ'. Ὁ μέν φυσικός νόμος, ὅταν οὐκ ἔχῃ πλεονεκτοῦσαν τόν λόγον τήν αἴσθησιν, ἀδιδάκτως ἀσπάζεσθαι πάντας πείθει τό συγγενές καί ὁμόφυλον, αὐτήν ἔχοντας τήν φύσιν τῆς τῶν δεομένων ἐπικουρίας διδάσκαλον, κἀκεῖνο βούλεσθαι πᾶσιν [male edita πᾶν] ἅπαντας, ὅπερ ἕκαστος ἑαυτῷ παρά τῶν ἄλλων γινόμενον, εἶναι δοκεῖ καταθύμιον. Καί τοῦτο διδάσκων ὁ Κύριος, φησίν, Ὅσα θέλετε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, ὁμοίως καί ὑμεῖς ποιεῖτε αὐτοῖς.

ι'. Ἔργον εἶναι τοῦ φυσικοῦ νόμου φησί, τήν γνωμικήν πάντων πρός πάντας ὁμόθυμον σχέσιν. Ἐφ᾽ ὧν γάρ ἡ φύσις λόγῳ βραβεύεται, τούτων μία πέφυκεν εἶναι διάθεσις. Ὧν δέ διάθεσις ἡ αὐτή, καί ὁ κατ᾽ ἦθος τρόπος, καί ὁ τοῦ βίου δρόμος εἷς ὑπάρχειν προδήλως πέφυκεν. Ὧν δέ τρόπος ἠθῶν βίου δρόμος ἐστίν ὁ αὐτός, εἷς δηλονότι καί ὁ αὐτός κατά τήν γνώμην τῆς πρός ἀλλήλους σχέσεως ὑπάρχει δεσμός, κατά μίαν γνώμην ἄγων τούς πάντας πρός τόν ἕνα λόγον τῆς φύσεως· ἐν ᾧ παντελῶς οὐκ ἔστιν ἡ νῦν κρατοῦσα τῆς φύσεως διά τῆς φιλαυτίας διαίρεσις. Ὁ δέ γραπτός νόμος, φόβῳ τῶν ἐπιτιμίων ἐπέχων τάς ἀτάκτους τῶν ἀφρονεστέρων ὁρμάς, ἐθίζει διδάσκων, πρόν μόνην αὐτούς ὁρᾷν τήν τοῦ ἴσου διανομήν, καθ᾽ ἥν τῆς δικαιοσύνης τό κράτος χρόνῳ βεβαιωθέν, εἰς φύσιν μεθίσταται, ποιοῦν, τόν μέν φόβον, διάθεσιν, ἠρέμα κατά μικρόν τῇ περί τό καλόν γνώμῃ

συγκρατυνομένην· ἕξιν δέ, τήν συνήθειαν, τῇ λήθῃ τῶν προτέρων καθαιρομένην, καί τό φιλάλληλον ἑαυτῇ συναποτίκτουσαν.

ια'. Ὁ γραπτός νόμος, φησί, κωλύων φόβῳ τήν ἀδικίαν, ἐθίζει πρός τό δίκαιον· χρόνῳ δέ τό ἔθος ποιεῖ διάθεσιν φιλοδίκαιον, ὑφ᾽ ἧς παγία πρός τό καλόν ἕξις ἐπιγίνεται, λήθην προλαβούσης πονηρίας ἐπάγουσα.

ιβ'. Ὁ δέ τῆς χάριτος νόμος, αὐτόν ἀμέσως διδάσκει τούς ἀγομένους μιμεῖσθαι τόν Θεόν, ὅς τοσοῦτον ὑπέρ ἑαυτόν ἡμᾶς, εἰ θέμις εἰπεῖν, καί ταῦτα διά τήν ἁμαρτίαν ὄντας ἐχθρούς, ἠγάπησεν, ὥστε καί (1353) εἰς τήν καθ᾽ ἡμᾶς οὐσίαν ἐλθεῖν ἀτρέπτως, ὑπέρ πᾶσαν οὐσίαν ὄντα· καί φύσιν ὑπερουσίως καταδέξασθαι καί ἄνθρωπον γενέσθαι, καί τῶν ἀνθρώπων ἕνα χρηματίσαι βούλεσθαι, καί τήν ἡμετέραν κατάκρισιν οἰκείαν ποιῆσαι μή παραιτήσασθαι· καί τοσοῦτον ἡμᾶς θεῶσαι κατά χάριν, ὅσον κατ᾽ οἰκονομίαν αὐτός γέγονεν ἄνθρωπος· ἵνα μή μόνον μάθωμεν ἀλλήλων ἀντέχεσθαι φυσικῶς, καί ὡς ἑαυτούς ἀλλήλους ἀγαπᾷν πνευματικῶς, ἀλλά καί ὑπέρ ἑαυτούς ἀλλήλων κήδεσθαι θεϊκῶς, καί ταύτην τῆς εἰς ἀλλήλους ἀγάπης ἀπόδειξιν ποιεῖσθαι, τό κατ᾽ ἀρετήν ὑπέρ ἀλλήλων τόν ἑκούσιον προθύμως αἱρεῖσθαι θάνατον. Οὐκ ἔστι γάρ ἄλλη μείζων ταύτης ἀγάπη, φησίν, ἵνα τις θῇ τήν ψυχήν αὐτοῦ ὑπέρ φίλου αὐτοῦ.

ιγ'. Ὁ μέν τῆς φύσεως νόμος ἐστίν, ἵνα συνελών εἴπω, λόγος φυσικός, τήν αἴσθησιν λαβών ὑποχείριον, πρός ἀφαίρεσιν τῆς ἀλογίας· καθ᾽ ἥν τῶν φυσικῶς σηνημμένων ἐστίν ἡ διαίρεσις. Ὁ δέ γραπτός νόμος ἐστί, λόγος φυσικός μετά τήν κατ᾽ αἴσθησιν τῆς ἀλογίας ἀφαίρεσιν, προσλαβών καί πόθον πνευματικόν τῆς πρός τό συγγενές ἀλληλουχίας συνεκτικόν. Ὁ δέ τῆς χάριτος νόμος, ὑπέρ φύσιν καθέστηκεν λόγος, πρός θέωσιν ἀτρέπτως τήν φύσιν μεταλλάτων, καί ὡς ἐν εἰκόνι δεικνύς ἀκαταλήπτως τῇ φύσει τῶν ἀνθρώπων, τό ὑπέρ οὐσίαν καί φύσιν ἀρχέτυπον, καί τήν τοῦ ἀεί εὖ εἶναι διαμονήν παρεχόμενος.

ιδ'. Τό μέν ἔχειν ὡς ἑαυτόν τόν πλησίον, μόνης ἐστί φροντίσαι τῆς πρός τό εἶναι ζωῆς· ὅπερ φυσικοῦ νόμου καθέστηκε· τό δέ τόν πλησίον ἀγαπᾷν ὡς ἑαυτόν, καί τῆς πρός τό εὖ εἶναι κατ᾽ ἀρετήν ἐστι προνοεῖσθαι τοῦ πέλας· ὅπερ ὁ γραπτός ἐπιτρέπει νόμος· τό δέ ὑπέρ ἑαυτόν ἀγαπῆσαι τόν πλησίον, τοῦ νόμου τῆς χάριτός ἐστιν ἰδιαίτατον.

ιε'. Ὁ κωλυόμενος τῶν πρός ἡδονήν σώματος ἀφορμῶν, μανθάνει Προνοίας λόγους, ἐπεχούσης τήν ἐξαπτικήν ὕλην τῶν παθῶν· ὁ δέ τάς πρός ὀδύνην σώματος δεχόμενος μάστιγας, διδάσκεται κρίσεως λόγους, προλαβόντων μολυσμῶν ἀκουσίοις πόνοις αὐτόν ἐκκαθαιρούσης.

ιστ'. Εἰ τόν προφήτην διά τήν σκηνήν καί τήν κολόκυνθαν λυπούμενον, λέγω δέ τήν σάρκα καί τήν τῆς σαρκός ἡδονήν, τῆς δέ Νινευΐ τόν Θεόν ἀντεχόμενον ἀντεισήγαγεν ὁ τῆς Γραφῆς λόγος, δῆλον ὡς τῶν τοῖς ἀνθρώποις τιμίων καί ἐπεράστων, τόδε τῷ Θεῷ φανέν προσφιλές, πάντων τῶν ὄντων πολλῷ κρεῖττόν ἐστι καί τιμιώτερον, ἤπουγε [unus Reg. ὅπου γε] τῶν οὐκ ὄντων, καί μόνῃ προλήψει κατ᾽ ἐσφαλμένην κρίσιν εἶναι δοκούντων, ὧν οὐδείς τοπαράπαν ἐστί κατά τήν ὕπαρξιν λόγος· μόνη δέ φαντασία τόν νοῦν φενακίζουσα, καί σχῆμα τοῖς οὐκ οὖσι διάκενον, ἀλλ᾽ οὐχ ὑπόστασιν τῷ πάθει παρεχομένη.

ιζ'. (1356) Ἡ μέν ἀκριβής γνῶσιν τῶν λογίων τοῦ Πνεύματος, μόνοις ἀποκαλύπτεσθαι πέφυκε τοῖς ἀξίοις τοῦ Πνεύματος· οἵ διά πολλήν τῶν ἀρετῶν ἐπιμέλειαν, τῆς τῶν παθῶν αἰθάλης τόν νοῦν ἐκκαθάραντες, ἐσόπτρου δίκην καθαροῦ καί διαυγοῦς, ἅμα τῇ προσβολῇ, καθάπερ πρόσωπον ἐντυπουμένην αὐτοῖς καί ἐμπίπτουσαν τήν τῶν θείων δέχονται γνῶσιν. Οἷς δέ ταῖς τῶν παθῶν κηλῖσιν ὁ βίος κατέστικται, μόλις κἄν ἐξ εἰκότων τινῶν στοχασμῶν τεκμηριῶσαι τήν τῶν θείων γνῶσίν ἐστι δυνατόν, μή ὅτι γε νοῆσαί τε καί φράσαι ταύτην δι᾽ ἀκριβείας ἀπαυθαδίζεσθαι.

ιη'. Ὁ τοῦ νοῦ μορφήν τήν ἐξ ἀρετῶν ἐν Πνεύματι θείῳ δεξάμενος γνῶσιν, τά θεῖα λέγεται παθεῖν, ὅτι μή φύσει κατά τήν ὕπαρξιν, ἀλλά χάριτι κατά τήν μέθεξιν, ταύτην προσέλαβεν. Ὁ δέ τήν ἐκ χάριτος μή δεξάμενος γνῶσιν, κἄν λέγῃ τι γνωστικόν, οὐκ οἶδε κατά πεῖραν τοῦ λεγομένου τήν δύναμιν. Ψιλή γάρ μάθησις, τήν καθ᾽ ἕξιν γνῶσιν οὐ δίδωσι.

ιθ'. Νοῦς εἰς ἄκρον διά τῶν ἀρετῶν καθαιρόμενος, τούς τῶν ἀρετῶν πέφυκεν εἰκότως ἐκδιδάσκεσθαι λόγους, τήν ἐξ αὐτῶν θειωδῶς χαρακτηρισθεῖσαν γνῶσιν οἰκεῖον ποιούμενος πρόσωπον. Καθ᾽ ἑαυτόν γάρ ἀνείδεός τε καί ἀχαρακτήριστος πᾶς καθέστηκε νοῦς, μορφήν ἔχων ἐπίκτητον, ἤ τήν ἐκ τῶν ἀρετῶν ὑποστᾶσαν ἐν πνεύματι γνῶσιν, ἤ τήν ἐκ τῶν παθῶν ἐπισυμβαίνουσαν ἄγνοιαν.

κ'. Πᾶς ὁ τῆς θείας ἐκπεπτωκώς ἀγάπης, τόν ἐν τῇ σαρκί νόμον ἔχει διά τῆς ἡδονῆς βασιλεύοντα, τόν μηδεμίαν θείαν ἐντολήν φυλάξαι δυνάμενον ἤ βουλόμενον. Τῆς γάρ ἐν πνεύματι Θεοῦ κατ᾽ ἀρετήν διεξαγομένης ζωῆς τε καί βασιλείας, προτιμήσας τήν φιλήδονον ζωήν, τήν ἄγνοιαν ἀντί τῆς γνώσεως ἑαυτῷ ἐπεσπάσατο.

κα'. Ὁ μή διαβαίνων κατά νοῦν πρός τήν ἔνδον ἐν πνεύματι τοῦ νομικοῦ γράμματος θείαν εὐπρέπειαν, τήν τῆς γνώμης φιλήδονον σχέσιν, ἤγουν τήν κοσμικήν προσπάθειαν καί φιλοκοσμίαν γεννᾷν πέφυκεν, ἐκ τῆς κατά μόνην τήν ἐν λόγῳ τοῦ νόμου μαθήσεως προφοράν.

κβ'. Αἰσχύνη στόματός ἐστιν, ἡ κατά νοῦν φιλόκοσμος μελέτη τῶν λογισμῶν καί φιλοσώματος. Ἐν ᾧ γάρ ὁ κόσμος ἐκ τῆς ἐμφαινομένης τῷ γράμματι τοῦ νόμου σωματικῆς διαπλάσεως, κατά τήν γνωμικήν σχέσιν γεννᾶσθαι πέφυκεν· ἤγουν, ἡ τόν κόσμον φιλοῦσα διάθεσις, καί ἡ κατά νοῦν φιλήδονος μελέτη τῶν λογισμῶν. Πρός ὅ γάρ σχετικῶς διακείμεθα, πρός ἐκεῖνο καί κατά νοῦν μελέτην κεκτήμεθα.

κγ'. (1357) Ἤ πάλιν αἰσχύνη στόματός ἐστιν, ἡ τοῖς πάθεσιν εἶδος ἐπάγουσα, καί τό καθ᾽ ἡδονήν πρός αἴσθησιν διαπλάττουσα κάλλος, τοῦ νοῦ κίνησις. Χωρίς γάρ τῆς κατά νοῦν ἐπινοητικῆς δυνάμεως, πρός διάπλασιν μορφῆς, οὐδαμῶς πάθος ἄγεται. Ἤ ἀνάθημά ἐστι, καί ἡ πρόσυλος καί ἀκαλλής τῶν παθῶν καί ἀδιατύπωτος κίνησις· αἰσχύνη δέ στόματος, ἡ τό πάθος εἰδοποιοῦσα πρός αἴσθησιν τοῦ νοῦ κίνησις, καί ταῖς ἐπινοίαις ὕλην ἁρμόδιον τῷ πάθει πορίζουσα.

κδ'. Ὁ διά τρυφήν σωματικήν καί ἀνάπαυσιν τάς θυσίας καί τάς ἑορτάς, τά τε Σάββατα καί τάς νεομηνίας κατά τόν νόμον τόν Θεόν διατεταχέναι πιστεύων, πάντη τε καί πάντως, ὑπό τήν ἐνοχήν γενήσεται τῆς τῶν παθῶν ἐνεργείας, καί τήν αἰσχύνην τῆς τῶν ἐπ᾽ αὐταῖς αἰσχρῶν λογισμῶν ῥυπαρίας· ὑπό τε τόν φθειρόμενον ἔσται κόσμον, καί τήν ἐν λογισμοῖς φιλοσώματον μελέτην· ὑπό τε τήν ὕλην τῶν φθειρομένων τίμιον ἔχειν δυνάμενος.

κε'. Ὁ πεισθείς θείαν εἶναι διαταγήν τό σωματικῶς κατά νόμον τρυφᾷν, τήν γαστριμαργίαν ὡς Θεοῦ δῶρον λαμβάνει πρός συμβίωσιν μετά χαρᾶς, ἐξ ἧς γεννᾷ τούς μολύνοντας τῇ παραχρήσει τήν ἐνέργειαν τῶν αἰσθήσεων τρόπους.

κστ'. Ἐπειδάν τό θεωρητικόν τῆς ψυχῆς τήν τρυφήν κατά τόν ἐν γράμματι νόμον ὡς θείαν διά τήν ἐντολήν ἀσπάσηται πρός συμβίωσιν, τήν τῶν αἰσθήσεων παρά φύσιν μετέρχεται χρῆσιν,

μηδεμιᾶς συγχωροῦν κατά φύσιν διαφαίνεσθαι τήν χρῆσιν τῆς ἐνεργείας. Γεννᾷ γάρ τήν τε τῶν παθῶν ἕξιν καί τήν ἐνέργειαν, καί ὡς θείαν εἰσοικίζεται τήν γαστριμαργίαν, πρός γένεσιν τῶν ῥυπαινόντων τῇ παραχρήσει τάς αἰσθήσεις τρόπων, εἰς ἀναίρεσιν τῶν ἐν τοῖς οὖσι φυσικῶν λόγων τε καί σπερμάτων.

κζ'. Οὐδείς μόνῃ προσανέχων τῇ σωματικῇ τοῦ νόμου λατρείᾳ, φυσικόν τοπαράπαν δύναιτ᾽ ἄν παραδέξασθαι λόγον ἤ λογισμόν, ὅτι μηδέ πέφυκε ταυτόν εἶναι τῇ φύσει τά σύμβολα. Ὁ γάρ τοῖς συμβόλοις ἐναπομένων τοῦ νόμου, οὐ δύναται κατά λόγον τήν τῶν ὄντων φύσιν ὁρᾷν, καί τούς τεθέντας οὐσιωδῶς ὑπό τοῦ δημιουργοῦ τοῖς οὖσι λόγους περιποιεῖσθαι, διά τό τῶν συμβόλων πρός τήν τῶν ὄντων φύσιν διάφορον.

κη'. Ὁ Θεόν τήν κοιλίαν ἡγούμενος, καί ὡς ἐπί δόξῃ τῇ αἰσχύνῃ καλλωπιζόμενος, μόνων οἶδεν ὡς θείων ἀντέχεσθαι διά σπουδῆς τῶν παθῶν τῆς ἀτιμίας· καί διά τοῦτο μόνα περιέπει τά χρονικά, τουτέστι τήν ὕλην καί τό εἶδος, καί τήν κατά παράχρησιν πενταπλῆν ἐνέργειαν τῶν αἰσθήσεων. Τῇ γάρ ὕλῃ καί τῷ εἴδει συμπλακεῖσα κατά μίξιν ἡ αἴσθησις, ἀποτελεῖν μέν πάθος, ἀπεκτείνειν δέ καί ἀναιρεῖν τούς κατά φύσιν πέφυκε λόγους. Πάθος γάρ καί φύσις κατά τόν τοῦ εἶναι λόγον, οὐδαμῶς ἀλλήλοις συνυπάρχουσιν. Οὐ γάρ πέφυκε πάθει (1360) ἐμφαίνεσθαι τοπαράπαν φύσεως λόγος, ὥσπερ οὔτε φύσει συναποτίκτεσθαι κατά γένεσιν πάθος.

κθ'. Ὁ μή πιστεύων τήν Γραφήν εἶναι πνευματικήν, τῆς οἰκείας κατά τήν γνῶσιν πενίας οὐκ αἰσθάνεται, ἀλλά λιμῷ διαφθείρεται. Λιμός γάρ ἐστιν ὡς ἀληθῶς, ἔκλειψις τῶν κατ᾽ αὐτήν τήν πεῖραν ἐγνωσμένων ἀγαθῶν, καί ἀπορία καί σπάνις παντελής τῶν τήν ψυχήν συγκρατούντων πνευματικῶν βρωμάτων. Πῶς γάρ λιμόν ἡγήσεταί τις ἤ ζημίαν, τήν τῶν καθάπαξ αὐτῷ μηδαμῶς ἐγνωσμένων ἀφαίρεσιν;

λ'. Λιμώττει ἐπ᾽ ἀληθείας τῶν πιστῶν καί ἐπεγνωκότων τήν ἀλήθειαν ὁ λαός, καί ἡ ψυχή τοῦ καθ᾽ ἕκαστον ἀφεμένη τῆς ἐν τῇ χάριτι πνευματικῆς θεωρίας, καί γενομένη τῆς τυπικῆς ἐν τῷ γράμματι δουλείας, μή διατρέφουσα τόν νοῦν ταῖς τῶν νοημάτων μεγαλοφυΐαις, ἀλλά πληροῦσα τήν αἴσθησιν ἐμπαθοῦς φαντασίας, ταῖς σωματικαῖς τῶν Γραφῶν συμβόλων διατυπώσεσι.

λα'. Πᾶς ὁ τήν πνευματικήν τῆς ἁγίας Γραφῆς θεωρίαν μή προσιέμενος, τόν τε φυσικόν ταύτῃ καί τόν γραπτόν κατά τούς Ἰουδαίους συναπώσατο νόμον, καί τόν ἐν τῇ χάριτι νόμον ἠγνόησε,

καθ᾽ ὅν δίδοται τοῖς κατ᾽ αὐτόν ἀγομένοις ἡ θέωσις. Ὁ τοίνυν τόν γραπτόν νόμον λαμβάνων σωματικῶς, ἀρεταῖς τήν ψυχήν οὐ διατρέφει· καί ὁ τοῖς λόγοις τῶν ὄντων οὐκ ἐπιβάλλων, τῇ ποικίλῃ τοῦ Θεοῦ σοφίᾳ τόν νοῦν οὐχ ἑστιᾷ φιλοτίμως· καί ὁ τό μέγα τῆς καινῆς χάριτος μή γινώσκων μυστήριον, τῇ ἐλπίδι τῆς μελλούσης θεώσεως οὐκ ἀγάλλεται. Οὐκοῦν ἡ ἔλλειψις τῆς κατά τόν γραπτόν νόμον θεωρίας, ἔχει παρεπομένην αὐτῇ τήν ἔνδειαν τῆς κατά τόν φυσικόν νόμον νοουμένης ποικίλης σοφίας τοῦ Θεοῦ, ἐφεπομένην ἔχουσαν τῆς κατά τό καινόν μυστήριον χάριτι δοθησομένης θεώσεως πάντως τήν ἄγνοιαν.

λβ'. Πᾶς νοῦς κατά Χριστόν διορατικός καί ἰσχυρός ὁράσει, ἀεί ἐφίεται καί ζητεῖ τό πρόσωπον Κυρίου. Πρόσωπον δέ Κυρίου καθέστηκεν, ἡ κατ᾽ ἀρετήν τῶν θείων ἀληθής θεωρία, καί γνῶσις, ἥν ζητῶν, διδάσκεται τήν αἰτίαν τῆς κατ᾽ αὐτόν ἐνδείας καί ἀπορίας. Ὥσπερ γάρ τό πρόσωπον χαρακτηριστικόν ἐστι τοῦ καθ᾽ ἕκαστον, οὕτω καί ἡ πνευματική γνῶσις ἐμφαντικῶς χαρακτηρίζει τό Θεῖον. Ἥν ὁ ζητῶν, λέγεται ζητεῖν τό πρόσωπον Κυρίου. Ὁ δέ κατασαρκούμενος κατά τό γράμμα τοῦ νόμου ταῖς ἐναίμοις θυσίαις, ποθουμένην ἄγνοιαν ἔχει, πρός μόνην (1361) σαρκός ἡδονήν ἐντολήν ἐκδεχόμενος, καί μόνης κατ᾽ αἴσθησιν ἀντεχόμενος σωματικῶς τῆς ὕλης τοῦ γράμματος.

λγ'. Ὁ μέν σωματικῶς κατά τόν νόμον λατρεύων, καθάπερ ὕλην γεννᾷ τήν κατ᾽ ἐνέργειαν ἁμαρτίαν, καί ὡς εἶδος τήν ἐπ᾽ αὐτῇ τοῦ νοῦ συγκατάθεσιν ταῖς προσφόροις ἡδοναῖς τῶν αἰσθήσεων ὑλικῶς διαπλάττεται.Ὁ δέ πνευματικῶς τήν Γραφήν ἐκδεχόμενος, ὡς μέν ὕλην τήν ἐνέργειαν, ὡς εἶδος δέ τῆς ἁμαρτίας τήν συγκατάθεσιν, μετά τῶν κατά παράχρησιν πρός ἡδονήν τῆς αἰσθήσεως τρόπων θανατοῖ, διά τῶν φυσικῶν λογισμῶν ἐν τῷ ὕψει τῆςθεωρίας.

λδ'. Τήν ὕλην καί τό εἶδος, καί τούς περί τήν ὕλην καί τό εἶδος κατά παράχρησιν πέντε τρόπους τῶν πέντε αἰσθήσεων· λέγω δέ τήν ἐμπαθῆ τε καί παρά φύσιν πρός τά αἰσθητά τῶν αἰσθήσεων συμπλοκήν, ἤγουν τά ὑπό χρόνον καί ῥεῦσιν, μετά τήν πάροδον τῆς ἐν νόμῳ κατά τό γράμμα σωματικῆς λατρείας, καί τήν τῆς ἀγνοίας διάβασιν, παραδίδωσι θανατωθῆναι τοῖς κατά φυσικήν θεωρίαν ὑψηλοτέροις λόγοις καί λογισμοῖς, ὁ πνευματικός νόμος, ἤ νοῦς· τήν ἐν τοῖς συμβόλοις πρός αἴσθησιν καί σῶμα καθολικωτάτην τῶν ὑπό

χρόνον σχέσιν, ἀφανίσαι καί θανατῶσαι, κατά τό ὕψος γινομένοις τοῦ νόμου τῆς πνευματικῆς θεωρίας.

λε'. Χωρίς φυσικῆς θεωρίας, οὐδείς τήν πρός τά θεῖα τῶν νομικῶν συμβόλων ἀπέμφασιν διαγινώσκει. Εἰ γάρ μή φυσικῶς πρότερόν τις τήν ἐν τοῖς συμβόλοις τῶν θείων καί νοητῶν διασκοπήσας ἀπέμφασιν, ἐλθεῖν ποθήσει κατά νοῦν, ἔξω παντελῶς τῶν θείων ἀδύτων τήν αἴσθησιν θέμενος, πρός τήν τῶν νοητῶν εὐπρέπειαν, τῆς ἐν τοῖς τύποις ἀπολυθῆναι καθάπαξ οὐ δύναται σωματικῆς ποικιλίας· καθ᾽ ἥν ἕως βέβηκε τοῦ γράμματος ἀντεχόμενος, τήν ἐκ τοῦ λιμοῦ τῆς γνώσεως εἰκότως ἀπορίαν οὐ παραμυθεῖται τῆς Γραφῆς τήν γῆν, ἤγουν τό σῶμα, κατά τόν ἀπατηλόν ὄφιν ἐσθίειν ἑαυτόν καταδικάσας· ἀλλ᾽ οὐ κατά Χριστόν, τόν οὐρανόν, ἤγουν τῆς Γραφῆς τό πνεῦμα καί τήν ψυχήν, τουτέστι τόν οὐράνιον καί ἀγγελικόν ἄρτον· λέγω δέ, τήν ἐν Χριστῷ τῶν Γραφῶν πνευματικήν θεωρίαν καί γνῶσιν βρωματιζόμενος, ἥν δίδωσι δαψιλῶς ἐπιχορηγουμένην τοῖς ἀγαπῶσιν αὐτόν Θεός, κατά τό γεγραμμένον, Ἄρτον οὐρανοῦ ἔδωκεν αὐτοῖς, ἄρτον ἀγγέλων ἔφαγεν ἄνθρωπος.

λστ'. Χρή τήν κατ᾽ αἴσθησιν πρός σῶμα τῆς Γραφῆς ἐκδοχήν, ὡς παθῶν προδήλως καί τῆς πρός τά χρονικά καί ῥέοντα σχετικῆς διαθέσεως οὖσαν γεννητικήν, ἤγουν τῆς πρός τά αἰσθητά τῶν αἰσθήσεων ἐμπαθοῦς ἐνεργείας, ὡς Σαούλ τέκνα καί ἔκγονα, διά τῆς φυσικῆς ἐν ὄρει, (1364) τῇ τῶν θείων ἀναγωγῇ λογίων ἀφανίσαι θεωρίας, εἴ πως ἐμφορηθῆναι θείας ἐφιέμεθα χάριτος.

λζ'. Ἀδικεῖ τήν ἀλήθειαν ὅ τε νόμος κατά μόνον τό γράμμα νοούμενος, καί ὁ τῶν Ἰουδαίων λαός, καί εἴ τι ἐκείνων ὑπάρχει κατά διάνοιαν μιμητής, μόνῳ τῷ γράμματι περιγράφων τοῦ νόμου τήν δύναμιν, καί μή δεχόμενος πρός τήν φανέρωσιν τῆς μυστικῆς ἐγκεκρυμμένης τῷ γράμματι γνώσεως τήν φυσικήν θεωρίαν, μέσην ὑπάρχουσαν τύπων καί ἀληθείας· τῶν μέν, τούς ἀγομένους ἀπάγουσαν, πρός δέ τήν ἐπανάγουσαν· ἀλλ᾽ οἷον ταύτην πάμπαν ἀρνούμενος, καί τῆς τῶν θείων αὐτήν ἔξω ποιούμενος μυσταγωγίας. Ταύτην τοιγαροῦν χρή τοῦ νόμου τήν σωματικήν καί πρόσκαιρον ἐκδοχήν ὡς ὑπό χρόνον καί ῥέουσαν, ἀποκτείνειν διά τήν φυσικῆς θεωρίας, ὡς ἐν ὄρει τῷ ὕψει τῆς γνώσεως, τούς τῶν θείων ἐπιμελητάς θεαμάτων.

λη'. Τόν σωματικόν νοῦν τῆς Γραφῆς ἀφανίζει παντελῶς, ὁ πράξει διά τῆς φυσικῆς θεωρίας ἀποκτείνων τήν γενομένην ἐκ τοῦ γραπτοῦ

νόμου, πρός τήν ἄστατον ὕλην καί ῥέουσαν τῇ ψυχῇ φιλήδονον σχέσιν καί φιλοσώματον, κατασφάττων ὡς τέκνα τοῦ Σαούλ καί ἔκγονα, τήν χαμαίζηλον τοῦ νόμου διάνοιαν, διά μέσης τῆς φυσικῆς θεωρίας, ὡς ἐν ὄρει τῷ ὕψει τῆς γνώσεως, καί φανεράν ποιούμενος ἐνώπιον Κυρίου, δι᾽ ἐξομολογήσεως δηλαδή, τήν πρός σῶμα τοῦ νόμου προτέραν ἐκδοχήν. Τοῦτο γάρ τό, Ἐξηλιάσαι, νοεῖσθαι δύναται τοῖς φιλομαθέσιν, ἔναντι Κυρίου. Καί ἐξηλίασαν αὐτούς, φησίν, ἐν τῷ ὄρει ἔναντι Κυρίου· εἰς φῶς ἀγαγόντες, διά τῆς γνώσεως δηλαδή, τήν κατά τό γράμμα πεπλανημένην πρόληψιν· ὅπερ ἐστί, φανερῶσαι κατά τό ὕψος τῆς θεωρίας τό γράμμα τοῦ νόμου νεκρόν διά τῆς ἐν πνεύματι γνώσεως.

λθ'. Τό γράμμα, φησίν, ἀποκτείνει· τό δέ πνεῦμα ζωοποιεῖ. Διό χρή τό ἀποκτείνειν πεφυκός, ἀποκτείνεσθαι πνεύματι ζωοποιῷ. Συνυπάρχειν γάρ ἀλλήλοις κατ᾽ ἐνέργειαν ἅμα κατά τό αὐτό τό σωματικόν τοῦ νόμου καί τό θεῖον, ἤγουν τό γράμμα καί τό πνεῦμα, παντελῶς ἀμήχανον· ὅτι μηδέ συμφωνεῖν πέφυκε τῷ παρεχομένῳ κατά φύσιν ζωήν, τό ταύτην ἀφαιρεῖσθαι δυνάμενον.

μ'. Τό μέν πνεῦμα, ζωῆς ὑπάρχει παρεκτικόν· τό δέ γράμμα, ζωῆς ἐστιν ἀφαιρετικόν. Οὐκοῦν οὐ δύναται καί τό γράμμα πράττειν κατά τό αὐτό καί τό πνεῦμα, ὥσπερ οὐδέ τό ζωοποιόν τῷ φθοροποιῷ συνυπάρχειν.

μα'. (1365) Περιτομή ἐστι μυστική, τῆς ἐμπαθοῦς κατά νοῦν περί τήν ἐπείσακτον γένεσιν σχέσεως, παντελής περιαίρεσις. Φυσικῶς γάρ ἐπιβάλλοντες τοῖς πράγμασιν, οἴδαμεν ὡς οὐκ ἔστι τελειότης ἡ τῆς ἐκ Θεοῦ κατά φύσιν ἀρτιότητος περιαίρεσις. Οὐ γάρ ποιεῖ τελειότητα φύσις διά τέχνης κολοβουμένη, καί διά περινοίας, ἀποτιθεμένη τό προσόν αὐτῇ θεόθεν κατά λόγον δημιουργίας, ἵνα μή τήν τέχνην, Θεοῦ πρός βεβαίωσιν δικαιοσύνης ἰσχυροτέραν εἰσάγωμεν, καί τήν περινενοημένην τῆς φύσεως ἔλλειψιν, ἀναπληρωτικήν ποιώμεθα τῆς ἐν δικαιοσύνῃ κατά δημιουργίαν ἐλλείψεως· ἀλλ᾽ ἐκ τῆς τοπικῆς [gu. 65, τυπικ.] τοῦ περινενοημένου μορίου θέσεως, διδασκόμεθα ποιεῖσθαι γνωμικῶς [idid. γνωστ.] τήν περιτομήν τῆς κατά ψυχήν ἐμπαθοῦς διαθέσεως· καθ᾽ ἥν μᾶλλον τῇ φύσει συντρέχειν ἡ γνώμη ῥυθμίζεται, τόν ἐμπαθῆ τῆς ἐπικτήτου γενέσεως νόμον διορθουμένη.

μβ'. Φυσικόν ἡ ἀκροβυστία. Πᾶν δέ φυσικόν, θείας ἔργον δημιουργίας ἐστί, καί λίαν καλόν, κατά τήν φάσκουσαν φωνήν· Καί εἶδεν ὁ Θεός πάντα ὅσα ἐποίησε, καί ἰδού καλά λίαν. Ὁ δέ νόμος ὡς

ἀκάθαρτον περιαιρεῖσθαι κελεύων τήν ἀκροβυστίαν διά περιτομῆς, τόν Θεόν εἰσάγει, διά τέχνης τό οἰκεῖον διορθούμενον ἔργον, ὅπερ κἄν ἐννοεῖν ἀσεβέστατον. Οὐκοῦν ὁ τοῖς συμβόλοις τοῦ νόμου φυσικῶς ἐπιβάλλων, οἶδεν ὡς οὐ τήν φύσιν ὁ Θεός διορθοῦται διά τέχνης, ἀλλά τό ἐπιπειθές λόγῳ τῆς ψυχῆς παθητικόν περιτέμνεσθαι κελεύει, τό διά τοῦ σωματικοῦ μορίου τυπικῶς δηλούμενον, ὅπερ γνῶσις διά τῆς κατά πρᾶξιν ἀνδρίας, τῆς γνώμης ἀποτίθεσθαι πέφυκεν. Ὁ γάρ περιτέμνων ἱρεύς, σημαίνει τήν γνῶσιν, τήν ἔχουσαν καθάπερ σίδηρον κατά τοῦ πάθους, τήν τοῦ λόγου κατά τήν πρᾶξιν ἀνδρίαν. Ἀφανίζεται γάρ ἡ τοῦ νόμου παράδοσις, πλεονεκτοῦντος τό γράμμα τοῦ πνεύματος.

μγ'. Τό Σάββατον, παθῶν ἐστι καί τῆς περί τήν φύσιν τῶν ὄντων τοῦ νοῦ κινήσεως ἀνάπαυσις· ἡ τελεία παθῶν ἀπραξία, καί τῆς περί τά πεποιημένα καθολική τοῦ νοῦ παύλα κινήσεως, καί πρός τό Θεῖον τελεία διάβασις· ἐν ᾧ τόν δι᾽ ἀρετῆς καί γνώσεως κατά τό θεμιτόν ἀφικόμενον, οὐ δεῖ καθάπερ ξύλα τήν οἱανοῦν παντελῶς ὕλην ἐξαπτικήν ἐνθυμεῖσθαι παθῶν, οὔτε μήν φύσεως τοπαράπαν ἀναλέγεσθαι λόγους, ἵνα μή πάθεσιν ἡδόμενον, ἤ φύσεως ὅροις μετρούμενον, κατά τούς Ἕλληνας τόν Θεόν δογματίζωμεν· ὅνπερ ἡ τελεία μόνη κέκραγε σιγή, καί ἡ παντελής καθ᾽ ὑπεροχήν ἀγνωσία παρίστησι.

μδ'. (1368) Στέφανός ἐστι χρηστότητος, πίστις καθαρά, λίθων τιμίων δίκην ταῖς τῶν δογμάτων ὑψηγορίαις, καί λόγοις διηνθισμένη πνευματικοῖς καί νοήμασι, τόν θεοφιλῆ καθάπερ διασφίγγουσα νοῦν. Ἤ μᾶλλον στέφανος χρηστότητός ἐστιν, αὐτός ὁ τοῦ Θεοῦ Λόγος, ὁ τῇ ποικιλίᾳ τῶν κατά πρόνοιαν καί κρίσιν τρόπων, ἤγουν ἐγκρατείᾳ τῶν ἑκουσίων, καί ὑπομονῇ τῶν ἀκουσίων παθῶν, ὡς κεφαλήν τόν νοῦν περιγράφων, καί τῇ μετοχῇ τῆς κατά θέωσιν χάριτος αὐτόν ἑαυτοῦ τόν νοῦν ποιῶν ὡραιότερον.

με'. Ἐνταῦθα τήν ἐγκράτειαν, ἔργον εἶναι λέγει τῆς Προνοίας, ὡς τῶν γνωμικῶν καθαρτικήν παθῶν· τήν ὑπομονήν δέ, τῆς κρίσεως εἶναι κατόρθωμά φησιν, ὡς τοῖς ἀκουσίοις ἀντιτασσομένην πειρασμοῖς, καί τῆς πρακτικῆς φιλοσοφίας ὑπάρχουσαν σύμβολον· πρός ἀρετήν, ὡς ἀπ᾽ Αἰγύπτου τῆς ἁμαρτίας, τούς ὑπ᾽ αὐτῆς κρατουμένους διαβιβάζουσαν.

μστ'. Οὐ τάς ἡμέρας τιμᾶσθαι θέλων ὁ Θεός ὑπό τῶν ἀνθρώπων, προσέταξε τιμηθῆναι τό τε Σάββατον, καί τάς νεομηνίας, καί τάς ἑορτάς· οὕτω γάρ ἄν λατρεύειν τῇ κτίσει παρά τόν κτίσαντα κατά

νόμου ἐντολήν ἐδογμάτισεν, οἰομένους σεπτάς εἶναι φύσει τάς ἡμέρας, καί διά τοῦτο προσκυνητάς· ἀλλ᾽ ἑαυτόν τιμᾶσθαι συμβολικῶς διά τῶν ἡμερῶν παρεδήλωσεν. Αὐτός γάρ ἐστι Σάββατον μέν, ὡς τῶν ἐν σαρκί τῆς ψυχῆς μόχθων ἀνάπαυσις, καί τῶν κατά δικαιοσύνην πόνων κατάπαυσις. Πάσχα δέ, ὡς ἐλευθερωτής τῶν τῇ πικρᾷ δουλείᾳ κεκρατημένων τῆς ἁμαρτίας· Πεντηκοστή δέ, ὡς ἀπαρχή καί τέλος τῶν ὄντων, καί λόγος, ᾧ τά πάντα φύσει συνέστηκε. Σκόπει δέ πῶς ὁ νόμος ἀπόλλυσι τούς νοοῦντας αὐτόν σωματικῶς, τῇ κτίσει λατρεύειν παρά τόν Κτίσαντα πείθων, καί ἡγεῖσθαι φύσει σεπτά, τά δι᾽ αὐτούς γεγονότα, τόν δι᾽ ὅν αὐτοί γεγόνασιν ἀγνοήσαντας.

μζ'. Ὁ μέν κόσμος, τόπος ἐστί πεπερασμένος, καί στάσις περιγεγραμμένη· ὁ δέ χρόνος, περιγραφομένη καθέστηκε κίνησις, ὅθεν καί ἀλλοιωτή τῶν ἐν αὐτῷ καθέστηκεν ἡ κατά τήν ζωήν κίνησις. Ὁπηνίκα δέ τόν τόπον διελθοῦσα καί τόν χρόνον, κατ᾽ ἐνέργειάν τε καί ἔννοιαν ἡ φύσις, ἤγουν τά ὧν οὐκ ἄνευ, τουτέστι τήν πεπερασμένην στάσιν καί κίνησιν, ἀμέσως συναφθῇ τῇ προνοίᾳ, λόγον εὑρίσκει τήν πρόνοιαν, κατά φύσιν ἁπλοῦν τε καί στάσιμον, καί μηδεμίαν ἔχοντα πάντῃ περιγραφήν, καί διά τοῦτο παντελῶς οὔτε κίνησιν.

μη'. Ἐν μέν τῷ κόσμῳ ὑπάρχουσα χρονικῶς ἡ φύσις, (1369) ἀλλοιωτήν ἔχει τήν κίνησιν, διά τήν τοῦ κόσμου πεπερασμένην στάσιν, καί τήν καθ᾽ ἑτεροίωσιν τοῦ χρόνου φοράν· ἐν δέ τῷ Θεῷ γινομένη, διά τήν φυσικήν τοῦ ἐν ᾧ γέγονε μονάδα, στάσιν ἀκίνητον ἕξει, καί στάσιμον ταυτοκινησίαν, περί τό ταυτόν καί ἕν καί μόνον, ἀϊδίως γινομένην, ἥν οἶδεν ὁ λόγος ἄμεσον εἶναι περί τό πρῶτον αἴτιον, τῶν ἐξ αὐτοῦ πεποιημένων μόνιμον ἵδρυσιν.

μθ'. Μυστήριον ἐστι Πεντηκοστῆς, ἡ πρός τήν Πρόνοιαν ἄμεσος τῶν προνοουμένων ἕνωσις· ἤγουν ἡ πρός τόν Λόγον κατά τήν τῆς Προνοίας ἐπίνοιαν τῆς φύσεως ἕνωσις, καθ᾽ ἥν οὐδεμία τοπαράπαν ἐστί χρόνου καί γενέσεως ἔμφασις. Σάλπιγξ δέ πάλιν ἡμῶν ἐστιν ὁ Λόγος, ὡς τάς θείας καί ἀῤῥήτους ἡμῖν ἐνηχούμενος γνώσεις· ἱλασμός δέ, ὡς ἐν ἑαυτῷ τά ἡμέτερα, καθ᾽ ἡμᾶς γενόμενος, διαλύων ἐγκλήματα· καί τῇ δωρεᾷ τῆς χάριτος ἐν πνεύματι, τήν ἁμαρτήσασαν φύσιν θεοποιῶν· σκηνοπηγία δέ, ὡς τῆς ἡμῶν κατά τήν θεομίμητον ἕξιν περί τό καλόν ἀτρεψίας πρᾶξις, καί ὁ τῆς πρός ἀθανασίαν μεταποιήσεως συνεκτικός δεσμός.

ν'. Ὁ ψιλαῖς ταῖς ἐναίμοις χαίρων θυσίαις, περί τά πάθη σπουδάζειν ὡς ἐμπαθής παρασκευάζει τούς θύοντας. Φιλεῖ γάρ χαίρειν τό γνησίως σέβον, οἷς χαίρει τό προσκυνούμενον. Ὅθεν θυσίας οἶδεν ὁ λόγος, τήν τῶν παθῶν μᾶλλον σφαγήν, καί τήν τῶν φυσικῶν δυνάμεων προσαγωγήν· ὧν, τοῦ μέν λόγου, τύπος ἐστίν ὁ κριός· τοῦ δέ θυμοῦ φέρει σύμβολον ὁ ταῦρος· τῆς δέ ἐπιθυμίας, ἡ αἴξ ὑπάρχει δήλωσις.

να'. Θυσίας πνευματικάς καί γινώσκομεν, οὐ μόνον τήν τῶν παθῶν νέκρωσιν σφαττομένων τῇ μαχαίρᾳ τοῦ πνεύματος, ὅπερ ἐστί ῥῆμα Θεοῦ, καί πάσης τῆς ἐν σαρκί ζωῆς, ὡς αἵματος τήν κατά πρόθεσιν κίνησιν, ἀλλά καί τῶν κατά φιλοσοφίαν ἠθῶν, καί πασῶν τῶν κατά φύσιν δυνάμεων προσαγωγήν ἀφιερουμένων Θεῷ, καί τῷ πυρί τῆς ἐν Πνεύματι χάριτος πρός τήν θείαν λῆξιν ὁλοκαυτουμένων.

νβ'. (1372) Ὁ χοϊκός νοῦς τῆς Γραφῆς, κρατῶν τῆς ψυχῆς, τούς φυσικούς ἀποβάλλεται λόγους, τῇ παραχρήσει τῶν κατά φύσιν δυνάμεων αὐτούς ἐξαφανίζων. Οὗτος γάρ ζῶν, ἐπ᾽ ἀληθείας συντελεῖ καί διώκει καί ἀπόλλυσι, σαρκί μόνῃ τόν νόμον περιγράφων, τούς κατά φύσιν φημί λόγους καί λογισμούς, τιμῶν ὡς θεῖα τά πάθη τῆς ἀτιμίας, ἅπερ οἱ κατά φύσιν λογισμοί, λαμβάνοντες ἄδειαν ὑπό τοῦ νόμου τοῦ πνεύματος, ἀποκτείνουσιν ἐπιταυτό καί θανατοῦσιν.

νγ'. Ἅμα τις τήν τῶν ἀρετῶν λογικῶς μετέλθοι φιλοσοφίαν, ἅμα καί τήν τῶν Γραφῶν πρός τό πνεῦμα φυσικῶς μετήνεγκεν ἐκδοχήν, ἐν καινότητι γράμματος, διά τῆς κατ᾽ αἴσθησιν πρός σῶμα ταπεινοτέρας τοῦ νόμου παραδοχῆς, τροφεύς παθῶν κατά τούς Ἰουδαίους γινόμενος, καί ἁμαρτίας θεραπευτής.

νδ'. Ἅμα τις παύσεται κατ᾽ αἴσθησιν πρός σῶμα τήν Γραφήν ἐκδεχόμενος, ἅμα καί πρός τό πνεῦμα κατά νοῦν διά μέσης ἀνατρέχει τῆς φύσεως, ἐκεῖνα πράττων πνευματικῶς, ἅπερ σωματικῶς ὁ Ἰουδαῖος ἐπιτελῶν, ἔχει τόν Θεόν ὀργιζόμενον.

νε'. Πᾶς νοῦς κατά Θεόν ὑψηλός καί μετέωρος, κατά τό αὐτό, τήν τε τῶν παθῶν κατασφάττει ἐνέργειαν, καί τήν τῶν λογισμῶν ἀσχήμονα κίνησιν· πρός δέ, καί τούς κατά παράχρησιν τῆς τῶν αἰσθήσεων ἐνεργείας ἀκολάστους τρόπους. Ἀναιροῦνται γάρ τά πάθη ὑπό τῶν ὑψηλῶν τῆς φύσεως λογισμῶν, κατά τήν ὑψηλήν θεωρίαν θριαμβευόμενα.

νστ'. Τό κράτος τῆς ἁμαρτίας, ἤγουν τό φρόνημα τῆς σαρκός, ἡ χάρις ἀφανίζειν πέφυκε τοῦ ἁγίου βαπτίσματος· καί ἡ κατ᾽ ἐνέργειαν

ὑπακοῇ τῶν θείων ἐντολῶν, ἀποκτείνειν τῇ μαχαίρᾳ τοῦ πνεύματος, ἤγουν τῷ ῥήματι τῆς θείας ἐν πνεύματι γνώσεως, βοῶσα μυστικῶς πρός τό πάθος τῆς ἁμαρτίας, ὡς ὁ μέγας πρός τόν Ἄγαγ, Σαμουήλ, Ἀνθ᾿ ὧν ἠτέκνωσε γυναῖκας ἡ μάχαιρά σου, ἀτεκνωθήσεται σήμερον ἐκ γυναικῶν ἡ μήτηρ σου.

νζ'. Πολλάς τό πάθος τῆς γαστριμαργίας ὡς ἐν μαχαίρᾳ, τῷ τελείῳ τῆς ἡδονῆς λογισμῷ, ἠτέκνωσεν ἀρετάς. Τῆς μέν γάρ σωφροσύνης, διά τῆς ἀκρασίας ἀποκτείνει τά σπέρματα· τῆς δικαιοσύνης δέ, διά τῆς πλεονεξίας διαφθείρει τήν ἰσονομίαν· τῆς φιλανθρωπίας δέ, διά τῆς φιλαυτίας, τήν ἐκ φύσεως διατέμνει συνέχειαν. Καί συντόμως εἰπεῖν, πάντων τῶν κατ᾿ ἀρετήν γεννημάτων ἀναιρετικόν ἐστι τῆς γαστριμαργίας τό πάθος.

νη'. Τό τῆς γαστριμαργίας πάθος, πάντα τά θεῖα τῶν ἀρετῶν ἀποκτείνει γεννήματα πέφυκεν· αὐτό δέ τῇ τε χάριτι τῆς πίστεως, καί τῇ ὑπακοῇ τῶν θείων ἐντολῶν, διά τοῦ κατα τήν γνῶσιν ἀποκτείνεται λόγου.

νθ'. (1373) Φῶς ἐστιν ὡς ἀληθῶς ἐθνῶν ὁ Κύριος ἡμῶν, ἀποκαλύπτων αὐτοῖς διά τῆς ἀληθοῦς ἐπιγνώσεως, τούς τῷ ζόφῳ τῆς ἀγνοίας ἐπιμεμυκότας ὀφθαλμούς τῆς διανοίας, καί θείας ἀγωγῆς πάλιν ἑτοιμάσας ἑαυτόν τοῖς πιστοῖς λαοῖς, ἀγαθόν ἀρετῆς ἐξεμπλάριον, προσώπου τοῦ κατ᾿ ἀρετήν, ὑπογραμμός αὐτοῖς γενόμενος καί ὑποτύπωσις, πρός ὅν ἀφορῶντες ὡς ἀρχηγόν τῆς σωτηρίας ἡμῶν, τάς ἀρετάς κατά μίμησιν, ὡς ἡμῖν ἐστι δυνατόν, κατορθοῦμεν διά τῆς πράξεως.

ξ'. Πᾶς ὁ διά φθόνον μισῶν καί κακῶς διαθρυλῶν, ταῖς διαβολαῖς τόν ἐν τοῖς ἀγῶσι τῶν ἀρετῶν, καί τῇ περιουσίᾳ τοῦ λόγου τῆς πνευματικῆς γνώσεως δυνατώτερον, Σαούλ ἐστι πονηρῷ καταπνιγόμενος πνεύματι, μή φέρων τό κλέος τῆς κατ᾿ ἀρετήν καί γνῶσιν εὐδαιμονίας τοῦ κρείττονος· καί διά τοῦτο πλέον μαινόμενος, ὅτι μή δύναται τόν εὐεργέτην διαχειρίσασθαι. Πολλάκις δέ καί αὐτόν ἀποπέμπεται πικρῶς τόν φίλτατον Ἰωνάθαν, τόν ἔμφυτον λέγω κατά συνείδησιν λογισμόν, τό ἄδικον μῖσος ἐλέγχοντα, καί τοῦ μισουμένου φιλαλήθως ἀφηγούμενον τά κατορθώματα.

ξα'. Παρακαλέσωμεν καί ἡμεῖς τόν νοητόν Δαβίδ, ἐπηχῆσαι τῇ κιθάρᾳ τῆς πνευματικῆς θεωρίας καί γνώσεως, ἐπιληπτευόμενον τοῖς ὑλικοῖς τόν ἡμέτερον νοῦν, καί ἀπελάσαι τό πονηρόν πνεῦμα τῆς πρός αἴσθησιν ὑλικῆς περιπετείας, ἵνα δυνηθῶμεν νοῆσαι τόν νόμον

πνευματικῶς, καί τόν ἐν αὐτῷ κεκρυμμένον λόγον μυστικόν εὑρεῖν, καί κτῆμα ποιήσασθαι διαρκές πρός ἐφόδιοιν ζωῆς ἀϊδίου.

ξβ'. Πᾶς ὁ σωτηρίας ἐρῶν, ἤ πράξει πάντως ἤ θεωρίᾳ προσανέχει. Ἀρετῆς γάρ καί γνώσεως χωρίς, οὐδαμῶς οὐδείς πώποτε τυχεῖν σωτηρίας δεδύνηται· εἴπερ ἀρετῆς μέν, τό τάσσειν τήν τοῦ σώματος κίνησιν, οἷον χαλινῷ τινι τῷ ὀρθῷ λογισμῷ τῆς πρός ἀτοπίαν φορᾶς ἐπιστημόνως ἀναχαιτιζούσης· θεωρίας δέ, τό τά καλῶς νοηθέντα τε καί κριθέντα ἐμφρόνως αἱρεῖσθαι ψηφίζεσθαι.

ξγ'. Ἐπειδή νοερόν μέν ἐστι τό νοοῦν, νοητόν δέ τό νοούμενον, τροφή δέ καί οἷον σύστασις τοῦ νοοῦντος τό νοούμενον· εἰκότως ὁ Θεός ἅτε νόων ὄντων τῶν ἀσωμάτων, αὐτός νοούμενος, καί νοητός αὐτοῖς καθ᾽ ὅσον ἐφικνοῦνται γινόμενος, ἔσωθεν αὐτούς, ἐλλάμπει, τοῦ νοῦ νοοῦντός τε καί τρεφομένου.

ξδ'. Ἕτερόν ἐστι νοητόν, καί ἕτερον νοερόν. Τό γάρ νοητόν, τροφή οἷά τις, ὡς εἴρηται, τοῦ νοεροῦ ἐστιν· (1376) εἴπερ τό νοούμενον, ὅ ἐστι νοητόν, μεῖζόν ἐστι καί προεπινοούμενον τοῦ νοοῦντος, ὅ ἐστι νοερόν. Νοερά γάρ λέγεται, ὅσα διά τό νοῦς εἶναι, νοεῖ τά ὑπέρκειναι νοητά· νοητόν γάρ ἐστι τό νοούμενον, ὅπερ καί τροφή ἐστι τοῦ νοεροῦ, ἤτοι τοῦ νοοῦντος.

ξε'. Ἱστέον ὡς ἔχει τά αἰτιατά, τάς τῶν αἰτίων ἐνδεχομένας εἰκόνας. Αἰτιατά, γάρ ἐστι πάντα τά παραχθέντα εἰς κτίσιν· αἴτια δέ, τά παραγαγόντα· οὐδεμία δέ ἐμφέρεια τούτων πρός ἄλληλα, αἰτίων φημί καί αἰτιατῶν.

ξστ'. Οὐκ ἔστιν ἀκριβής ἐμφέρεια τοῖς αἰτιατοῖς καί τοῖς αἰτίοις· ἀλλ᾽ ἔχει μέν τά αἰτιατά τάς τῶν αἰτίων ἐνδεχομένας εἰκόνας· αὐτά δέ τά αἴτια, τῶν αἰτιατῶν ἐξῄρηται, καί ὑπερίδρυται κατά τόν τῆς οἰκείας ἀρχῆς λόγον. Καί γάρ περισσῶς καί οὐσιωδῶς προένεστι τά τῶν αἰτιατῶν τοῖς αἰτίοις.

ξζ'. Αἰτιατά ἐστι, πάντα τά παραχθέντα εἰς κτίσιν· εἴτε ἐν οὐρανῷ, εἴτε ἐπί γῆς· αἴτια δέ, τά παραγαγόντα, τουτέστιν, αἱ τρεῖς ὑποστάσεις τῆς ἁγίας Τριάδος. Πρόδηλον οὖν, ὅτι οὐδεμία ἐμφέρεια τούτων πρός ἄλληλα, αἰτίων φημί καί αἰτιατῶν.

ξη'. Δέον εἰδέναι τόν καθ᾽ ἡμᾶς νοῦν, τήν μέν ἔχειν δύναμιν εἰς τό νοεῖν, δι᾽ ἧς τά νοητά βλέπει· τήν δέ ἕνωσιν ὑπεραίρουσαν τοῦ νοῦ τήν φύσιν, δι' ἧς συνάπτεται πρός τά ἐπέκεινα ἑαυτοῦ. Κατά ταύτην οὖν τά θεῖα νοητέον, οὐ καθ᾽ ἡμᾶς· ἀλλ᾽ ὅλους ἑαυτούς, ὅλων ἑαυτῶν ἐξισταμένους, καί ὅλους Θεοῦ γινομένους. Κρεῖττον γάρ εἶναι Θεοῦ,

καί μή ἑαυτῶν. Οὕτω γάρ ἔσται τά θεῖα δοτά τοῖς μετά Θεοῦ γινομένοις.

ξθ'. Ὁ νοῦς νοεῖν βουλόμενος, κάτεισιν ἑαυτοῦ εἰς τάς νοήσεις καταβαίνων. Αἱ γάρ νοήσεις, κατώτεραί εἰσι τοῦ νοοῦντος, ὡς νοούμεναι καί καταλαμβανόμεναι, καί σκεδασμός εἰκότως καί μερισμός τῆς ἑνότητος τοῦ νοῦ αὐτοῦ. Ὁ μέν γάρ νοῦς, ἁπλοῦς καί ἀμερής· αἱ δέ νοήσεις, παμπληθεῖς καί σκεδασταί, καί οἷον εἴδη τοῦ νοῦ. Διά τοῦτο τά νοερά, τουτέστι τά νοοῦντα, ἐλάττονά ἐστι τῶν νοητῶν, ἤγουν τῶν νοουμένων. (1377) Ἕνωσιν δέ φησι τοῦ νοῦ, καθώς ἐν τοῖς ἑξῆς σαφέστερον λέγει, δι᾽ ἧς πρός τά ἐπέκεινα ἑαυτοῦ ἀνατείνεται, ἤγουν τῇ περί Θεοῦ προσβάλλει θεωρίᾳ· τό, πάντων ἐκστῆναι τῶν αἰσθητῶν καί τῶν νοητῶν, ἔτι δέ καί τῆς οἰκείας κινήσεως· εἶθ᾽ οὕτως τῆς θείας γνώσεως δέξασθαι τήν ἀκτῖνα.

ο'. Εἰ κινεῖται ἀναλόγως ἑαυτῷ νοερῶς τόν νοερόν, καί νοεῖ πάντως· εἰ δέ νοεῖ, καί ἐρᾷ πάντως τοῦ νοηθέντος· εἰ δέ ἐρᾷ, καί πάσχει πάντως τήν πρός αὐτό ὡς ἐραστόν ἔκστασιν· εἰ δέ πάσχει, δῆλον ὅτι καί ἐπείγεται· εἰ δέ ἐπείγεται, καί ἐπιτείνει πάντως τό σφοδρόν τῆς κινήσεως. Εἰ δέ ἐπιτείνει σφοδρῶς τήν κίνησιν, οὐχ ἵσταται μέχρις ἄν γένηται ὅλον ἐν ὅλῳ τῷ ἐραστῷ, καί ὑφ᾽ ὅλου περιληφθῇ ἑκουσίως, ὅλον κατά προαίρεσιν τήν σωτήριον περιγραφήν δεχόμενον [male edida δεδομένον]· ἵν᾽ ὅλον ὅλῳ ποιωθῇ τῷ περιγράφοντι, ὡς μηδ᾽ ὅλως λοιπόν βούλεσθαι ἐξ ἑαυτοῦ αὐτό ἐκεῖνο ὅλον γνωρίζεσθαι δύνασθαι τό περιγραφόμενον· ἀλλ᾽ ἐκ τοῦ περιγράφοντος, ὡς ἀήρ διόλου πεφωτισμένος φωτί· καί πυρί σίδηρος ὅλος ὅλῳ πεπυρακτωμένος, ἤ εἴ τι ἄλλο τῶν τοιούτων ἐστί.

οα'. Πολλή ἡ πρός τά νοούμενα τῶν νοούντων, καί πρός τά αἰσθητά τῶν αἰσθανομένων σχέσις. Ὁ δέ ἄνθρωπος ἐκ ψυχῆς καί σώματος τυγχάνων αἰσθητικοῦ, διά τῆς κατ᾽ ἐπαλλαγήν πρός ἑκάτερα τά τῆς κτίσεως τμήματα φυσικῆς σχέσεώς τε καί ἰδιότητος, καί περιγράφεται καί περιγράφει· τό μέν, τῇ οὐσίᾳ· τό δέ, τῇ δυνάμει. Περιγράφεσθαι γάρ τοῖς νοητοῖς καί αἰσθητοῖς ὡς ψυχή τυγχάνων καί σῶμα, καί περιγράφειν ταῦτα κατά δύναμιν πέφυκεν, ὡς νοῶν καί αἰσθανόμενος· ὁ δέ Θεός ἁπλῶς καί ἀορίστως ὑπέρ πάντα τά ὄντα ἐστί, τά περιέχοντά τε καί περιεχόμενα, ὡς πᾶσι παντελῶς ἄσχετος ὤν.

οβ'. Πᾶσα ἡδονή τῶν ἀπηγορευμένων, ἐκ πάθους διά μέσης αἰσθήσεως πρός τι πάντως γίνεσθαι πέφυκεν αἰσθητόν. Οὐδέ γάρ

ἄλλο τί ἐστιν ἡδονή, ἤ εἶδος αἰσθήσεως, ἐν τῷ αἰσθητικῷ τινος αἰσθητοῦ μορφουμένη· ἤ τρόπος αἰσθητικῆς ἐνεργείας, κατ᾽ ἐπιθυμίαν ἄλογον συνιστάμενος. Ἐπιθυμία γάρ αἰσθήσει προστεθεῖσα, εἰς ἡδονήν μεταπίπτει, εἶδος αὐτῇ ἐπάγουσα· καί αἴσθησις κατ᾽ ἐπιθυμίαν κινηθεῖσα, ἡδονήν ἀπεργάζεται, τό αἰσθητόν προσλαβοῦσα. Γνόντες οὖν οἱ ἅγιοι, ὅτι διά μέσης σαρκός πρός τήν ὕλην ἡ ψυχή παρά φύσιν κινουμένη τήν χοϊκήν μορφήν ὑποδύεται, διά μέσης μᾶλλον ψυχῆς κατά φύσιν αὐτοί πρός τόν θεόν κινούμενοι, καί τήν σάρκα τῷ Θεῷ πρεπόντως οἰκειῶσαι διενοήθησαν, δι᾽ ἀσκήσεως ἀρετῶν ἐνδεχομένως αὐτήν ταῖς θείαις ἐμφάσεσι καλλωπίσαντες.

ογ'. Μεγαλοφυῶς οἱ ἅγιοι κατά τόν ἀληθῆ καί (1380) ἄπταιστον τῆς κατά φύσιν κινήσεως τρόπον, τόν παρόντα τῶν σκαμμάτων αἰῶνα διέβησαν· τήν μέν αἴσθησιν, ἁπλοῦς διά μέσου τοῦ λόγου πρός τόν νοῦν τούς τῶν ὄντων ἔχοντα λόγους ἑνώσαντες· τόν δέ νοῦν, τῆς περί τά ὄντα πάντα κινήσεως καθαρῶς ἀπολυθέντα, καί αὐτῆς τῆς καθ᾽ αὐτόν φυσικῆς ἐνεργείας ἠρεμοῦντα, τῷ Θεῷ προσκομίσαντες· καθ᾽ ὅν ὁλικῶς πρός Θεόν συναχθέντες, ὅλοι ὅλῳ Θεῷ ἐγκραθῆναι διά τοῦ πνεύματος ἠξιώθησαν, ὅλην τοῦ ἐπουρανίου κατά τό δυνατόν ἀνθρώποις, τήν εἰκόνα φορέσαντες, καί τοσοῦτον ἕλξαντες τῆς θείας ἐμφάσεως, εἰ θέμις τοῦτο εἰπεῖν, ὅσον ἑλχθέντες αὐτοί τῷ Θεῷ ἐνετέθησαν.

οδ'. Ἀλλήλων εἶναί φασι παραδείγματα, τόν Θεόν καί τόν ἄνθρωπον, καί τοσοῦτον τῷ ἀνθρώπῳ τόν Θεόν διά φιλανθρωπίαν ἀνθρωπίζεσθαι, ὅσον ὁ ἄνθρωπος ἑαυτόν τῷ Θεῷ δι᾽ ἀγάπης δυνηθείς ἀπεθέωσε· καί τοσοῦτον ὑπό Θεοῦ τόν ἄνθρωπον κατά νοῦν ἁρπάζεσθαι πρός τό γνωστόν, ὅσον ὁ ἄνθρωπος τόν ἀόρατον φύσει Θεόν διά τῶν ἀρετῶν ἐφανέρωσε.

οε'. Πᾶς ὁ τά μέλη νεκρώσας τά ἐπί γῆς, καί ὅλον ἑαυτοῦ τῆς σαρκός κατασβέσας τό φρόνημα, καί τήν πρός αὐτήν διόλου σχέσιν ἀποσεισάμενος, δι᾽ ἧς ἡ τῷ Θεῷ μόνῳ χρεωστουμένη παρ᾽ ἡμῶν ἀγάπη μερίζεται, καί ἀρνησάμενος πάντα τά τῆς σαρκός καί κόσμου γνωρίσματα, τῆς θείας ἕνεκεν χάριτος· ὥστε καί λέγειν δύνασθαι μετά τοῦ μακαρίου Παύλου τοῦ ἀποστόλου, Τίς ἡμᾶς χωρίσει ἀπό τῆς ἀγάπης τοῦ Χριστοῦ; καί τά ἑξῆς· ὁ τοιοῦτος ἀπάτωρ καί ἀμήτωρ καί ἀγενεαλόγητος κατά τόν μέγαν Μελχισεδέκ γέγονεν, οὐκ ἔχων ὅπως ὑπό σαρκός κρατηθῇ καί φύσεως, διά τήν γεγενημένην πρός τό πνεῦμα συνάφειαν.

οστ'. Τό πέρας τῆς παρούσης ζωῆς, οὐ δίκαιον οἶμαι θάνατον ὀνομάζειν, ἀλλά θανάτου ἀπαλλαγήν, καί φθορᾶς χωρισμόν, καί δουλείας ἐλευθερίαν, καί ταραχῆς παῦλαν, καί πολέμων ἀναίρεσιν, καί σκότους ὑποχώρησιν, καί πόνων ἄνεσιν, καί βράσματος ἠρεμίαν, καί αἰσχύνης συγκάλυμμα, καί παθῶν ἀποφυγήν, καί πάντων, ἵνα συνελών εἴπω, τῶν κακῶν περιγραφήν· ἅπερ δι᾽ ἑκουσίου νεκρώσεως οἱ ἅγιοι κατορθώσαντες, ξένους ἑαυτούς τοῦ βίου καί παρεπιδήμους παρέστησαν. Κόσμῳ τε γάρ καί σώματι, καί ταῖς ἐξ αὐτῶν ἐπαναστάσεσι γενναίως μαχόμενοι, καί τήν ἐξ ἀμφοῖν κατά τήν τῶν αἰσθήσεων πρός τά αἰσθητά συμπλοκήν παραγενομένην ἀπάτην ἀποπνίξαντες, ἀδούλωτον ἑαυτοῖς ἐφύλαξαν τῆς ψυχῆςτό ἀξίωμα.

οζ'. Τεκμήριον οὐ σμικρόν τοῦ φυσικῶς ἡμῖν ἐνεσπάρθαι τήν τῆς προνοίας γνῶσιν, ἡ φύσις αὐτή δίδωσιν· (1381) ὁπηνίκα ἄν ἡμᾶς ἀδιδάκτως ὥσπερ ὠθοῦσα πρός τόν Θεόν διά τῶν εὐχῶν ἐν ταῖς ἐξαίφνης περιστάσεσιν, ἐκεῖθεν ζητεῖν τήν σωτηρίαν παρασκευάζῃ. Ὑπ᾽ ἀνάγκης γάρ ἄφνω συλληφθέντες, ἀπροαιρέτως πρίν τι σκέψασθαι, τόν Θεόν ἐπιβοώμεθα· ὡς ἄν τῆς προνοίας αὐτῆς πρός ἑαυτήν, καί λογισμῶν χωρίς, ἑλκούσης ἡμᾶς, καί τό τάχος τῆς ἐν ἡμῖν νοερᾶς νικώσης δυνάμως, καί πάντων ἰσχυροτέραν τήν θείαν προδεικνυούσης βοήθειαν. Οὐκ ἄν δέ ἡμᾶς ἦγεν ἀπροαιρέτως ἡ φύσις, ἐπί τό μή φύσιν ἔχον γίνεσθαι· πᾶν δέ τό ὁτῳοῦν φυσικῶς ἑπόμενον, ὡς πᾶσιν εὔδηλον, ἰσχυράν ἔχει καί ἀκαταμάχητον κατά τήν ἀπόδειξιν τῆς ἀληθείας τήν δύναμιν.

οη'. Ἐπειδή τῶν ὄντων, τά μέν ἔστιν ἀγαθά, τά δέ φαῦλα· ταῦτα δέ, ἤ παρόντα ἐστίν ἤ μέλλοντα· προσδοκώμενον μέν ἀγαθόν, ἐπιθυμίαν καλεῖ· παρόν δέ, ἡδονήν· καί πάλιν, προσδοκώμενον μέν κακόν, φόβον· παρόν δέ, λύπην· ὡς εἶναί τε καί θεωρεῖσθαι, περί μέν τά καλά, εἴτε τά ὄντως ὄντα, εἴτε τά νομιζόμενα, τήν ἡδονήν καί τήν ἐπιθυμίαν· περί δέ τά φαῦλα, τήν λύπην καί τό φόβον. Καί γάρ ἐπιτυγχάνουσα μέν ἡ ἐπιθυμία, ἡδονήν ἐργάζεται· ἀποτυγχάνυσα δέ λύπην.

οθ'. Κακόν εἶναί φασι πᾶσαν λύπην τῇ ἑαυτῆς φύσει. Κἄν γάρ ὁ σπουδαῖος ἐπ᾽ ἀλλοτρίοις λυπῆται κακοῖς, ὡς ἐλεήμων, ἀλλ᾽ οὐ προηγουμένως κατά πρόθεσιν, ἀλλ᾽ ἐφεπομένως κατά περίσταστιν· Ὁ δέ θεωρητικός, κἄν τούτοις ἀπαθής διαμένει, συνάψας ἑαυτόν τῷ Θεῷ, καί τῶν τῇδε πάντων ἀλλοτριώσας.

π'. Οἱ ἅγιοι πάντες τοῦ θείου καί ἀπλανοῦς λόγου γνησίως ἐπειλημμένοι, τόν αἰῶνα τοῦτο διέβησαν, οὐδενί τῶν ἐν αὐτῷ τερπνῶν

τό τῆς ψυχῆς ἴχνος ἐναπερείσαντες. Πρός γάρ τούς ἄκρους τῶν ἀνθρώποις ἐφικτῶν περί Θεοῦ λόγους, τῆς ἀγαθότητός τέ φημι καί τῆς ἀγάπης, μάλα γε εἰκότως τόν νοῦν ἀναπετάσαντες· οἷς κινηθέντα τόν Θεόν, τό εἶναί τε δοῦναι τοῖς οὖσι, καί τό εὖ εἶναι χαρίσασθαι, ἐπαιδεύθησαν· εἴπερ κίνησιν ἐπί Θεοῦ τοῦ μόνου ἀκινήτου θέμις εἰπεῖν, ἀλλά μή μᾶλλον βούλησιν, τήν πάντα κινοῦσάν τε καί εἰς τό εἶναι παράγουσαν καί συνέχουσαν, κινουμένην δέ οὐδαμῶς οὐδέποτε.

πα'. Ἡ ψυχή οὐσία νοερά τε καί λογική ὑπάρχουσα, καί νοεῖ καί λογίζεται· δύναμιν μέν ἔχουσα τόν νοῦν· κίνησιν δέ, τήν νόησιν· ἐνέργειαν δέ, τό νόημα. Πέρας γάρ τοῦτο, τῆς τε τοῦ νοοῦντος καί τοῦ νοουμένου νοήσεώς ἐστιν, ὡς περιοριστικόν τῆς πρός ἄλληλα τῶν ἄκρων ὑπάρχον σχέσεως. Νοοῦσα γάρ ἡ ψυχή. (1384) ἵσταται τοῦ νοεῖν ἐκεῖνο τό νοηθέν μετά τήν αὐτοῦ νόησιν. Τό γάρ νοηθέν κυρίως ἅπαξ, οὐκέτι τήν πρός τό νοηθῆναι πάλιν ἐκκαλεῖται τῆς ψυχῆς δύναμιν· καί καθ᾽ ἕκαστον νόημα οὕτω στάσιν δέχεται τῆς ποιᾶς ἐπί τῷ νοήματι τοῦ νοηθέντος νοήσεως.

πβ'. Ὥσπερ ἡ ἄγνοια διαιρετική τῶν πεπλανημένων ἐστίν, οὕτως ἡ τοῦ νοητοῦ φωτός παρουσία συναγωγός καί ἑνωτική τῶν φωτιζομένων ἐστί καί τελειωτική καί ἐπιστρεπτική· πρός τό ὄντως ὄν, ἀπό τῶν πολλῶν δοξασμάτων ἐπιστρέφουσα, καί τάς ποικίλας ὄψεις, ἤ κυριώτερον εἰπεῖν, φαντασίας, εἰς μίαν ἀληθῆ καί καθαράν καί μονοειδῆ συνάγουσα γνῶσιν· καί ἑνός καί ἑνωτικοῦ φωτός ἐμπιπλῶσα.

πγ'. Ταὐτόν ἐστιν τῷ ἀγαθῷ τό καλόν, ὅτι τοῦ καλοῦ καί ἀγαθοῦ κατά πᾶσαν αἰτίαν πάντα ἐφίεται, καί οὐκ ἔστι τῶν ὄντων, ὅ μή μετέχει τοῦ καλοῦ καί ἀγαθοῦ. Πᾶσι γάρ ἐστι τό καλόν καί ἀγαθόν, ὡς ὄντως ἀγαστόν, ἐφετόν καί ἐραστόν καί ἀρεστόν καί αἱρετόν καί ἀγαπητόν. Σημείωσαι δέ πῶς ὁ θεῖος ἔρως ἐν τῷ ἀγαθῷ προϋπάρχων, ἔτεκε τόν ἐν ἡμῖν ἀγαθόν ἔρωτα, δι᾽ οὗ τοῦ καλοῦ καί ἀγαθοῦ ἐφιέμεθα, κατά τόν εἰπόντα, Ἐραστής ἐγενόμην τοῦ κάλλους αὐτῆς. Καί, Ἐράσθητι αὐτῆς, καί τηρήσει σε· περιχαράκωσον αὐτήν, καί ὑψώσει σε.

πδ'. Τό θεῖον οἱ θεολόγοι, ποτέ μέν ἔρωτα, ποτέ δέ ἀγάπην, ποτέ δέ ἐραστόν καί ἀγαπητόν καλοῦσιν. Ὅθεν, ὡς μέν ἔρως ὑπάρχον καί ἀγάπη, κινεῖται· ὡς δέ ἐραστόν καί ἀγαπητόν, κινεῖ πρός ἑαυτό πάντα τά ἔρωτος καί ἀγάπης δεκτικά. Καί τρανότερον αὖθις φάναι, κινεῖται μέν ὡς σχέσιν ἐμποιοῦν ἐνδιάθετον ἔρωτος καί ἀγάπης τοῖς τούτων

δεκτικοῖς· κινεῖ δέ, ὡς ἑλκτικόν φύσει, τῆς τῶν ἐπ᾽ αὐτό κινουμένων ἐφέσεως. Καί πάλιν κινεῖ καί κινεῖται, ὡς διψῶν τό διψᾶσθαι, καί ἐρῶν τό ἐρᾶσθαι, καί ἀγαπῶν τό ἀγαπᾶσθαι.

πε'. Ἔστι δέ καί ἐκστατικός ὁ θεῖος ἔρως, οὐκ ἐῶν ἑαυτῶν εἶναι τούς ἐραστάς, ἀλλά τῶν ἐρωμένων. Καί δηλοῦσι τά μέν ὑπέρτερα, τῆς προνοίας τῶν καταδεεστέρων γινόμενα· καί τά ὁμόστοιχα, τῆς ἀλλήλων συνοχῆς· καί τά ὑφειμένα, τῆς πρός τά πρῶτα θειοτέρας ἐπιστροφῆς. Διό καί Παῦλος ὁ μέγας ἐν κατοχῇ τοῦ θείου γεγονώς ἔρωτος, καί τῆς ἐκστατικῆς αὐτοῦ δυνάμεως μετειληφώς, ἐνθέῳ στόματι, Ζῶ ἐγώ,φησίν, οὐκέτι, ζῇ δέ ἐν ἐμοί Χριστός· ὡς ἀληθής ἐραστής καί ἐξεστηκώς, ὡς αὐτός φησί, τῷ Θεῷ, καί οὐ τήν ἑαυτοῦ ζῶν, ἀλλά τήν τοῦ ἐραστοῦ ζωήν, ὡς σφόδρα ἀγαπητήν.

πστ'. Τολμητέον καί τοῦτο ὑπέρ ἀληθείας εἰπεῖν· (1385) ὅτι καί αὐτός ὁ πάντων αἴτιος, τῷ καλῷ καί ἀγαθῷ τῶν πάντων ἔρωτι, δι᾽ ὑπερβολήν τῆς ἐρωτικῆς ἀγαθότητος, ἔξω ἑαυτοῦ γίνεται, ταῖς εἰς τά ὄντα πάντα προνοίαις, καί οἷον ἀγαθότητι καί ἀγαπήσει καί ἔρωτι θέλγεται· καί ἐκ τοῦ ὑπέρ πάντα, καί πάντων ἐξῃρημένου, πρός τό ἐν πᾶσι κατάγεται κατ᾽ ἐκστατικήν ὑπερούσιον δύναμιν, ἀνεκφοίτητος ἑαυτοῦ. Διό καί ζηλωτήν αὐτόν οἱ τά Θεῖα δεινοί προσαγορεύουσιν, ὡς πολύν τόν εἰς τά ὄντα ἀγαθόν ἔρωτα, καί ὡς πρός ζῆλον ἐγερτικόν τῆς ἐφέσεως αὐτοῦ τῆς ἐρωτικῆς, καί ὡς ζηλωτήν αὐτόν ἀποδεικνύντα, ᾧ καί τά ἐφιέγενα ζηλωτά, καί ὡς τῶν προνοουμένων ὄντων αὐτῶ ζηλωτῶν.

πζ'. Τῆς ἀγάπης καί τοῦ ἔρωτος, αὐτόν, δηλαδή τόν Θεόν, προβολέα φασί δέ γεννήτορα. Αὐτός γάρ ταῦτα ἐν ἑαυτῷ ὄντα, προήγαγεν εἰς τά ἐκτός, τουτέστι περί τά κτίσματα· καί κατά τοῦτο εἴρηται, Ὁ Θεός ἀγάπη ἐστί· Καί πάλιν, Γλυκασμός καί ἐπιθυμία, ὅ ἐστιν ἔρως· τό δέ ἀγαπητόν καί ὄντως ἐραστόν, αὐτός ἐστι. Τῷ μέν οὖν τόν ἀγαπητικόν ἔρωτα ἐξ αὐτοῦ προχεῖσθαι, αὐτός κινεῖσθαι λέγεται ὁ τούτου γεννήτωρ· τῷ δέ αὐτόν εἶναι τό ἀληθές ἐραστόν καί ἀγαπητόν καί ἐφετόν καί αἱρετόν, κινεῖ τά πρός τοῦτο ὁρῶντα· καί οἷς ἡ τοῦ ἐφίεσθαι δύναμις, ἀναλόγως αὐτοῖς.

πη'. Προαγωγικόν καί κινητικόν πρός ἐρωτικήν συνάφειαν τήν ἐν πνεύματι, τόν Θεόν εἶναί μοι νόει, τουτέστι μεσίτην ταύτης, καί πρός αὐτήν συναρμοστήν, τοῦ ἐρᾶσθαι αὐτόν ὑπό τῶν αὐτοῦ ποιημάτων καί ἀγαπᾶσθαι. Κινητικόν δέ φησιν, ὡς κινοῦντα ἕκαστα κατά τόν οἰκεῖον λόγον πρός αὐτόν ἐπιστρέφεσθαι. Τό δέ τῆς προαγωγίας

ὄνομα, εἰ καί παρά τοῖς ἔξωθεν πρᾶγμα σημαίνει οὐκ εὐαγές, ἀλλ᾽ ἐνταῦθα τήν πρόξενον τῆς ἐν Θεῷ ἑνώσεώς φησι μεσιτείαν.

πθ'. Ἡ ἐρωτική κίνησις τοῦ ἀγαθοῦ προϋπάρχουσα ἐν τῷ ἀγαθῷ, ἁπλῆ καί ἀκίνητος οὖσα, καί ἐκ τοῦ ἀγαθοῦ προϊοῦσα, αὖθις ἐπί τό αὐτό ἐπιστρέφει, ἀτελεύτητος καί ἄναρχος οὖσα· ὅπερ δηλοῖ τήν ἡμῶν ἀεικίνητον ἔφεσιν πρός τό θεῖον καί ἕνωσιν. (1388) Ἡ γάρ πρός θεόν ἀγαπητική ἕνωσις, πάσης ἐξῄρηται καί ὑπέρκειται ἑνώσεως.

τέσσ. ἀνοικ.' Τόν ἔρωτα εἴτε θεῖον εἴτε ἀγγελικόν, εἴτε νοερόν εἴτε ψυχικόν, εἴτε φυσικόν εἴποιμεν, ἑνωτικήν τινα καί συγκρατικήν ἐννοήσωμεν δύναμιν· τά μέν ὑπέρτερα κινοῦσαν ἐπί πρόνοιαν τῶν καταδεεστέρων· τά δέ ὁμόστοιχα πάλιν, εἰς κοινωνικήν ἀλληλουχίαν· καί ἐπ᾽ ἐσχάτων, τά ὑφειμένα πρός τήν τῶν κρειττόνων καί ὑπερκειμένων ἐπιστροφήν.

τέσσ. ἀνοικ. α'. Εἰ ἡ γνῶσις ἑνωτική τῶν ἐγνωκότων καί ἐγνωσμένων· ἡ δ᾽ ἄγνοια, μεταβολῆς ἀεί καί τῆς ἐξ αὐτοῦ τῷ ἀγνοοῦντι διαιρέσεως αἰτία, τόν ἐν ἀληθείᾳ πιστεύσαντα κατά τόν ἱερόν Λόγον, οὐδέν ἀποκινήσει τῆς κατά τήν ἀληθῆ πίστιν ἑστίας· ἐφ᾽ ᾗ τό μόνιμον ἕξει τῆς ἀκινήτου καί ἀμεταβόλου ταυτότητος. Εὖ γάρ οἶδεν ὁ πρός τήν ἀλήθειαν ἑνωθείς, ὅτι εὖ ἔχει, κἄν οἱ πολλοί νουθετοῖεν αὐτόν ὡς ἐξεστηκότα. Λανθάνει μέν γάρ ὡς εἰκός αὐτούς, ἐκ πλάνης τῇ ἀληθείᾳ τῆς ὄντως πίστεως ἐξεστηκώς, αὐτός δ᾽ ἀληθῶς οἶδεν ἑαυτόν, οὐχ ὅ φασιν ἐκεῖνοι μαινόμενον, ἀλλά τῆς ἀστάτου καί ἀλλοιωτῆς, περί τήν παντοδαπῆ τῆς πλάνης ποικιλίαν φορᾶς, διά τῆς ἁπλῆς καί ἀεί κατά τά αὐτά καί ὡσαύτως ἐχούσης ἀληθείας ἠλευθερωμένον.

τέσσ. ἀνοικ. β'. Ἀγαθοί καί φιλάνθρωποι, εὔσπλαχνοί τε καί οἰκτίρμονες γεγόνασιν οἱ ἅγιοι· μίαν πρός ἅπαν τό γένος διάθεσιν ἔχοντες ἀγάπης δειχθέντες· ὑφ᾽ ἧς τό πάντων ἐξαίρετον εἶδος τῶν ἀγαθῶν, τήν ταπείνωσιν λέγω, διά πάσης αὐτῶν τῆς ζωῆς βεβαίαν κατασχόντες, τήν φυλακτικήν μέν τῶν ἀγαθῶν, φθαρτικήν δέ τῶν ἐναντίων, οὐδενί τοπαράπαν ἁλώσιμοι τῶν διοχλούντων γεγόνασι πειρασμῶν, τῶν τε ἑκουσίων καί τοῦ ἐφ᾽ ἡμῖν λόγου, καί τῶν ἀκουσίων καί οὐκ ἐφ᾽ ἡμῖν· τῷ τοῖς μέν, δι᾽ ἐγκράτειαν ἀπομαραίνειν τάς ἐπαναστάσεις· τῶν δέ, δι᾽ ὑπομονῆς τάς προσβολάς ἀποσείεσθαι.

τέσσ. ἀνοικ. γ'. Τήν μέν τελείαν πρᾶξιν τῆς ἀρετῆς, πίστις ὀρθή ποιεῖ, καί φόβος εἰς Θεόν ἀνόθευτος· τήν δέ κατά τήν ἀνάβασιν ἄπταιστον φυσικήν θεωρίαν, ἐλπίς βεβαία καί ἀλώβητος σύνεσις· τήν

δέ κατά τήν ἀνάληψιν θέωσιν, ἀγάπη τελεία, καί νοῦς τοῖς οὖσι καθ᾽ ὑπεροχήν πάμπαν ἑκουσίως πεπηρωμένος.

τέσσ. ἀνοικ. δ'. Τῆς μέν πρακτικῆς φιλοσοφίας ἔργον εἶναί φασι, πάσης τόν νοῦν ἐμπαθοῦς φαντασίας καθαρόν καταστῆσαι· τῆς δέ φυσικῆς θεωρίας, πάσης τῆς ἐν τοῖς οὖσι καθ᾽ ἥν αἰτίαν ὑπάρχουσιν, ἀληθοῦς γνώσεως αὐτόν ἐπιστήμονα δεῖξαι· τῆς δέ θεολογικῆς μυσταγωγίας, ὅμοιον Θεῷ καί ἴσον ὡς ἐφικτόν, τῇ χάριτι κατά τήν ἕξιν ποιῆσαι, μηδενός τό σύνολον ἔτι τῶν μετά Θεόν, διά τήν ὑπεροχήν ὄντα νοήμονα.

τέσσ. ἀνοικ. ε'. Ὅπερ ἐστιν ὁ αἰθήρ, ἤγουν τό πύριον στοιχεῖον, ἐν τῷ κατ᾽ αἴσθησιν κόσμῳ, τοῦτο ἐν τῷ κόσμῳ τῆς διανοίας ἐστίν ἡ φρόνησις, ὡς ἕξις φωτιστική, καί τῶν ἐφ᾽ ἑκάστου τῶν ὄντων ἰδίως πνευματικῶν λόγων ὑποδεκτική [edit. ἀποδεκτική], τήν ἐν ὅλοις ἀπλανῶς αἰτίαν δι᾽ αὐτῶν ἐκφαίνουσα, καί τῆς κατά ψυχήν περί τό θεῖον ἐφέσεως ἑλκτική· καί ὅπερ ἐν τῷ αἰσθητῷ κόσμῳ ἐστίν ὁ ἀήρ, τοῦτο ἐν τῶ κατά διάνοιαν κόσμῳ ἐστίν ἡ ἀνδρεία, ὡς ἕξις κινητική καί τῆς ἐμφύτου κατά πνεῦμα ζωῆς συνεκτική τε ἅμα καί δραστική, καί τῆς κατά ψυχήν περί τό θεῖον ἀεικινησίας τονωτική· καί ὅπερ ἐν τῷ αἰσθητῷ κόσμῳ ἐστί τό ὕδωρ, τοῦτο ἐν τῷ τῆς διανοίας κόσμῳ ἐστίν ἡ σωφροσύνη, ἕξιν ὑπάρχουσα τῆς ἐν πνεύματι ζωτικῆς γονιμότητος ποιητική, καί τῆς ἀειβλύστου κατά τήν ἔφεσιν περί τό θεῖον ἐρωτικῆς θέλξεως γεννητική· καί ὅπερ ἐν τῷ αἰσθητῷ κόσμῳ ἐστίν ἡ γῆ, τοῦτο ἐν τῷ τῆς διανοίας κόσμῳ ἐστίν ἡ δικαιοσύνη, ἕξις ὑπάρχουσα κατ᾽ εἶδος γεννητική πάντων τῶν ἐν τοῖς οὖσι λόγων, καί τῆς ἐν πνεύματι κατά τῷ ἴσον ἑκάστῳ ζωτικῆς διαδόσεως ἀπονεμητική· καί τῆς οἰκείας ἐν τῷ καλῷ κατά τήν θέσιν βάσεως ἀμετάθετος [male edita, μετάθετος] ἵδρυσις.

τέσσ. ἀνοικ. στ'. Ὥσπερ σαρκός εὐεκτούσης καί πιαινομένης, τοῖς πάθεσιν ἡ ψυχή βασανίζεται καί σκοτίζεται, τῆς τῶν ἀρετῶν ἕξεως καί τοῦ φωτισμοῦ τῆς γνώσεως ὑποχωρούντων· οὕτω καί τῆς ψυχῆς τῷ θείῳ κάλλει τῶν ἀρετῶν, καί τῷ φωτισμῷ τῆς γνώσεως φρουρουμένης τε καί λαμπρυνομένης, ὁ ἔξω ἄνθρωπος διαφθείρεται, τῆς σαρκός διά τήν ἐπιδημίαν τοῦ λόγου τήν φυσικήν εὐεξίαν ἀποβαλλομένης.

τέσσ. ἀνοικ. ζ'. Οὐκ ἦν δυνατόν ἄλλως υἱόν ἀποδειχθῆναι Θεοῦ καί Θεόν κατά τήν χάριτος θέωσιν, τόν γενόμενον ἄνθρωπον, μή πρότερον κατά προαίρεσιν γεννηθέντα τῷ πνεύματι, διά τήν ἐνοῦσαν αὐτῷ φυσικῶς αὐτοκίνητον καί ἀδέσποτον δύναμιν· ἥν τινα θεοποιόν

καί θείαν καί ἄϋλον γέννησιν, διά τό προτιμῆσαι τῶν νοουμένων καί ἀδήλων τέως ἀγαθῶν τό κατ᾽ αἴσθησιν τερπνόν καί ἐπίδηλον, παραλιπών ὁ πρῶτος ἄνθρωπος, τήν ἐκ σωμάτων εἰκότως ἀπροαίρετον καί ὑλικήν καί ἐπίκηρον ἔχει καταδικάζεται γένεσιν.

τέσσ. ἀνοικ. η'. (1392) Κινεῖται νῦν ὁ ἄνθρωπος, ἤ περί φαντασίας ἀλόγους παθῶν ἐξ ἀπάτης διά φιληδονίαν· ἤ περί λόγους τεχνῶν ἐκ περιστάσεως διά τήν χρείαν· ἤ περί φυσικούς λόγους ἐκ τοῦ νόμου τῆς φύσεως διά μάθησιν· ὧν οὐδέν κατ᾽ ἀρχάς ἐξανάγκης εἷλκε τόν ἄνθρωπον, εἰκότως, ὑπεράνω πάντων γενόμενον. Οὕτω γάρ ἔπρεπεν εἶναι τόν ἀπ᾽ ἀρχῆς, μηδενί τοσύνολον περισπώμενον τῶν μετ᾽ αὐτόν, ἤ περί αὐτόν, ἤ κατ᾽ αὐτόν, καί πρός τελείωσιν ἑνός μόνου προσδεόμενον, τῆς πρός τόν ὑπέρ αὐτόν, φημί δέ τόν Θεόν, καθ᾽ ὅλην τήν ἀγαπητικήν δύναμιν ἀσχέτου κινήσεως.

τέσσ. ἀνοικ. θ'. Οὐδέν εἶχεν ὁ πρῶτος ἄνθρωπος μεταξύ Θεοῦ καί αὐτοῦ προβεβλημένον πρός εἴδησιν, καί κωλύον τήν δι᾽ ἀγάπης αὐθαίρετον κατά τήν πρός Θεόν κίνησιν γεννησομένην συγγένειαν. Ἀπαθής γάρ χάριτι ὤν, ἀπάτην παθῶν φαντασίας δι᾽ ἡδονῆς οὐ προσίετο· καί ἀπροσδεής [ male edita προσδεής] ὑπάρχων, τῆς περί τέχνας περιστατικῆς ἀνάγκης διά τήν χρείαν, ἐλεύθερος ἦν· καί σοφός ὤν, τῆς περί τήν φύσιν θεωρίας ὑπεράνω καθειστήκει διά τήν γνῶσιν.

ρ'. Ὁ πᾶσαν μετά σοφίας τήν φύσιν ὑποστήσας Θεός, καί πρός τήν ἑκάστου τῶν λογικῶν οὐσιῶν δύναμιν τήν αὐτοῦ γνῶσιν κρυφίως ἐνθέμενος, δέδωκε καί ἡμῖν τοῖς ἀνθρώποις, ὡς μεγαλόδωρος Δεσπότης, κατά φύσιν τόν εἰς αὐτόν πόθον καί ἔρωτα, συνεπιπλέξας αὐτῷ φυσικῶς τοῦ λόγου τήν δύναμιν· ἐφ᾽ ᾧ δυνηθῆναι μετά ῥαστώνης γνῶναι τούς τρόπους τῆς τοῦ πόθου πληρώσεως, καί μή παρασφαλέντας διαμαρτεῖν οὗ τυχεῖν ἀγωνιζόμεθα. Κατά τοῦτον οὖν κινούμενοι τόν πόθον, περί τε τῆς ἀληθείας αὐτῆς καί τῆς εὐτάκτως τοῖς ὅλοις ἐμφαινομένης σοφίας τε καί διοικήσεως, ζητεῖν ἐναγόμεθα, ἐκείνου τυχεῖν διά τούτων γλιχόμενοι, οὗ χάριν τόν πόθον ἐλάβομεν.

Τέλος Μαξίμου τῶν θείων κεφαλαίων.

*ΠΡΟΣ ΘΕΟΠΕΜΠΤΟΝ ΣΧΟΛΑΣΤΙΚΟΝ (1393)*

***Ἐρωτήσαντα περί τοῦ κριτοῦ τῆς ἀδικίας· καί τοῦ, "Ἐάν τίς σε ῥαπίσῃ ἐπί τήν δεξιάν σιαγόνα· " καί τοῦ, "Μή μου ἅπτου, οὔπω γάρ ἀναβέβηκα πρός τόν Πατέρα. "***

Οἷς Λόγος ὑπάρχει τό προσκυνούμενον, τούτοις καί βίος ἐκφάντωρ λόγου τό κατορθούμενον· ἵνα σφραγίδα γνώσεως ἀληθοῦς τήν πεῖραν λαβόντες τῆς πράξεως, μάθωσιν ἀφ᾿ ὧν, ὡς θέμις, πεπόνθασιν, ὅσον τοῦ τί εἰδέναι, μεῖζον τό γίνεσθαι· καί τούτου μᾶλλον, τό ἀεί καί μᾶλλον, ἕως ἄν αὐτοῖς ἡ πρός τόν αἴτιον ἀδίστακτος οἰκείωσις, κατορθωθείη, στάσει τήν κίνησιν περιγράφουσα καί ἀτρεψίᾳ γνώμης τήν ἔφεσιν· οἷς καί ἡ μετά χάριν ἐκθέωσις, ἱερᾶς τῆς κατά τόνδε τόν βίον καί θεοειδοῦς ἀγωγῆς, ἔπαθλον ἀντιδίδοται. Πρός οὕς μάλα σοφῶς καὐτός ἀπευθύνων τόν βίον, θεοφύλακτε δέσποτα, ζητεῖν ἐπείγῃ τό πᾶσι προκείμενον δι᾿ ἀγαθότητα, καί πάντας δι᾿ ἀπειρίαν διαδιδράσκον· τό μέν, ἵν᾿ ἑλκύσῃ πρός ἑαυτό, τῷ ἀμηχάνῳ τῆς ὡραιότητος κεντρίζον τήν ἔφεσιν· τό δέ, ἵνα στομώσῃ, τῇ τῆς ὑπεραπείρου καταπλήξει καί θείας ὑπεροχῆς περιστέλλον τόν κόρον, ὕβρεως ὄντα πατέρα καί διαχύσεως γέννημα, τοῖς τήν φλογίνην ῥομφαίαν οὐ προθεωροῦσι σύν τοῖς Χερουβίμ τεταγμένην καί στρεφομένην, οὐκ ἄλλοις, ἤ τοῖς δίχα φόβον πρός ἀρετήν ἐπιστρέφουσιν· ἔνθεν τῷ μεγέθει τῆς ἐπί τά καλά προκοπῆς συνεπεκτείνων τό μέτριον, ᾧ καί μᾶλλον ἐπαύξεις σύν ἀσφαλείᾳ τήν πρόοδον· ἠξίωσας ἀγνώτην ὄντα με καί ταπεινόν ἐπιγνῶναι, δι᾿ οὗ τοῖς κατ᾿ αὐτήν ἡ φύσις τρόπου παρείχετο· φημί δέ, τοῦ γράμματος ὁ λόγος συνδεκτικός τῶν ἀπόντων ἐστί, καί τῶν οὐ βλεπομένων ἐμφανιστικός· τοσοῦτον νοήσει παραδιδούς καί συνάπτων τόν τέως αἰσθήσει μή γνωριζόμενον, ὅσον διά ταύτης αὐτός χαραττόμενος παχύνεται σωματούμενος· ᾧ καί τήν ἐμήν οὐδένειαν εἰς πόθον ἤγαγες τόν ὑμέτερον πλέον, ἥ θέαν τήν οἰκείαν ἀσωμάτως κεκίνηκας· προδείξας αὐτόν ἐπ᾿ ἀμφοῖν τούτοιν ἔχειν μᾶλλον τό ἴσον περί τόν λόγον, ἤ ὅσον ἕτεροι περί σέ τήν τοῦ λόγου χάριν παρά τούς ἄλλους προτερήματα· οἷς διά βίου κοσμούμενος, (1396) πῶς ποτε τήν ἐμήν ἀμβλυωπίαν πρός θεωρίαν ἐνάγειν ἐσπούδασας, ἱερῶν καί ταῦτα λόγων, καί ὧν ἡ ἐπίβασις, κρεῖττον ἤ κατά ἄνθρωπον, τόν οὔπω τελείως ὑπεραναβάντα τήν τῶν ἀστάτων καί διαστατῶν φύσιν καί

γένεσιν· μή ὅτι γ᾽ ἐμοί τῷ φορυτῷ τούτων ἑκουσίως συμφυρομένῳ, καί σκώληκος δίκην τῇ σήψει τῶν ἀκαθάρτων καλινδουμένῳ καί ἡδομένῳ παθῶν. Πλήν τῆς εὐπειθείας χάριν, καί τῆς ὑμετέρας ἀγάπης τιμήν, τῶν ὑπέρ ἀξίαν κατατολμῶν, ἐκεῖνά φημι περί ὧν ἐκελεύσατε· στοχαστικῶς, ἀλλ᾽ οὐκ ἀποφαντικῶς.

Κριτήν ἀδικίας ἐν τῷ Εὐαγγελίῳ παραβολικῶς ὑπάρχειν καί λέγεσθαι, τόν ἡμέτερον λογισμόν, ἀρχῆθεν ἐκ παραβάσεως ἄδικων πεποιημένον τήν κρίσιν· ὡς τήν τοῦ Κτίσαντος μέν οὐ δεξάμενον ἐντολήν· τήν δέ τοῦ φθείροντος ἑλόμενον συμβουλήν· ἐξ οὗ καί τό χοϊκός εἶναι, τοῦ εἶναι, καί τοῦ θεῖος γενέσθαι πάμπολυ προετίμησε. Πόλιν δέ εἶναι τούτου, τήν αἴσθησιν, ἤ τόν ὁρώμενον κόσμον· οἷς παραλόγως κατά σχέσιν ἐπαναπαυόμενος, τῆς κατοικίας τήν παροικίαν ἠλλάξατο· μήτε Θεόν φοβούμενος, μήτε μήν ἄνθρωπον τόν αὐτόν γεγενημένον δι᾽ ἡμᾶς ἐντρεπόμενος· τό μέν, διά τήν ἄνοιαν· τό δέ, διά τήν καταφρόνησιν· ἐκείνην τε μή προορωμένην τῶν κριμάτων τό μέγεθος· καί ταύτην οὐκ εἰργομένην, ἥν τέως ἡ χρηστότης προσμένουσα τήν μεταβολήν ἀναστέλλει, τήν βάσανον· αἷς ἑαυτόν αὐθαδῶς περιέπειρε, τῇ δεδομένῃ παρά τοῦ Κτίσαντος εἰς ἐξάνυσιν τῶν καθηκότων αὐτεξουσίῳ τιμῇ παρά τό δέον ἀποχρησάμενος· καί τοῦ νοουμένου τό φανέν ἀγαθόν κρίνας, ὅ μή θέμις ἦν, αἱρετώτερον.

Χήραν δέ διοχλοῦσαν, τήν λογικήν ψυχήν ἅτε δή πρός καρπογονίαν ἱερῶν καί ὁσίων ἔργων οὐκ ἔχουσαν τόν τά καλά κατά φύσιν σπείροντα λόγον. Μόνῃ τῇ πρός αὐτήν ὁλικῇ ταύτῃ στοργῇ καί διαθέσει κρατούμενον· ἀλλ᾽ οὐ προσμένοντα διά τήν ἀπόνευσιν, καί τήν αὐθαίρετον πρός τά τῇδε ῥοπήν.

Ἀντίδικον δέ ταύτης, φημί τῆς ψυχῆς, τό τῆς δυστήνου σαρκός ἔνυλον κίνημά τε καί φρόνημα, δι᾽ οὗ τῆς ἐν ἡμῖν θείας εἰκόνος καί τοῦ κατ᾽ αὐτήν ἀξιώματος, τό τε κάλλος καταμολύνειν σπουδάζουσι, καί τό διαυγές ἀμαυροῦν οἱ ἀκάθαρτοι δαίμονες, ὁπηνίκα, δι᾽ ἡδονῆς ὑποπίπτουσιν, ἐπεισφρήσωσι δεινῶς ἡμῖν τά τῆς ἀτιμίας αἴσχη καί πάθη· δι᾽ ἅ καί ὁ θάνατος κατεκρίθη τῆς φύσεως, οὐχ ἑλομένης τό ἀπαρχῆς τῆς ὄντως κατατρυφῆσαι ζωῆς.

Ὑπωπιασμούς δέ τούς ἐκ τῆς συνειδήσεως μεθ᾽ ὑποφωνήσεώς τινος παρακλητικούς αἰκισμούς, οἷς προτεινομένοις ἐκ τῆς ψυχῆς, ἠρέμα πως εἴωθεν κάμπτεσθαι τό αὐστηρόν τοῦ λογισμοῦ, καί πρός τά καλά διά τήν χρονιωτέραν ἕξιν ἀνύπεικτον, οὐ φέροντος ἐνδομυχοῦσαν, (1397) καί οἷον αἰκίζουσάν τε συνεχῶς καί διοχλοῦσαν

τήν βάσανον· ἕως λυμήνηται τά τήν ψυχήν λυμαινόμενα πάθη, δι᾽ ἐγκρατείας, καί τῆς πρός τά μέλη τῆς σαρκός ἑκουσίου νεκρώσεως. Εἶτα καί πρός ἀγχιστείαν αὐτοῦ τοῦ Λόγου δι᾽ εὐσεβείας, καί τῆς περί τά κρείττω τελεωτέρας ἀγάγοι σπουδῆς· οἷς φυσικῶς ἐνεργουμένοις, τά οἰκεῖα καί πατρικά παραβάλλων, ὁ ὑπέρ οὐσίαν καί φύσιν Θεός Κύριος ἡμῶν Ἰησοῦς Χριστός, Ὁ δέ Θεός μή ποιήσῃ, φησί, τήν ἐκδίκησιν ὑμῶν, δι᾽ ἐμοῦ σαρκωθέντος, καί τήν τοῦ καθαιρέτου τῆς φύσεως ποιουμένου καθαίρεσιν;

Οὕτω μέν οὖν τά περί τούτου διεξῆλθον ἐπιτόμως ἐγώ, καθ᾽ ὅσον τό ἐγχωροῦν τῆς διανοίας μέτρον ἐπήρκεσεν· εἰ καί ἄλλως ἄλλοι τόν τόπον κατανοήσαντες· οἱ μέν εἰς Χριστόν· οἱ δέ τοὔμπαλιν, εἰς τόν Ἀντίχριστον ἐξειλήφασι. Δέος δέ μοι νοεῖν, ἤ λέγειν ἑκάτερα· τό μέν, ὡς ἀσύγκριτον· οὐ γάρ μείων μέν Υἱοῦ· μείζων δέ Πατρός, ἡ ἐκδίκησις· ἤ δι᾽ ἄλλου, καί ἄλλη τό σύνολον, πλήν τοῦ Υἱοῦ. Καί πῶς ἐπί τῆς αὐτῆς συγκριτικῶς φησι, τό, Ὁ δέ Θεός, φησίν, οὐ ποιήσει τήν ἐκδίκησιν ὑμῶν; Οὐ γάρ ἔχει χώραν· ἡ διάφορος πάντως δειχθήσεται, καί μετά τῆς φύσεως οὐ δυναμένης τό ἴσον δρᾷν· καί διά τοῦτο λοιπόν οὐ συντασσομένης· εἰκονιζούσης δέ μόνον, ὡς ὑπερκειμένην, τήν ὑπερέχουσαν. Τό δέ, ὡς ἀνέκδετον καί ἀμήχανον, τό καλόν ποιεῖν τόν κακίας εὑρετήν καί διδάσκαλον· Οὐ γάρ δύναται, φησί, δένδρον σαπρόν καρπούς καλούς ποιεῖν· καλόν δέ ἡ ἐκδίκησις, καί τό τήν ὄχλησιν ἀφοσιοῦσθαι δεόντως τοῦ προσπελάζοντος· ἤ τούτῳ παραβάλλεσθαι τυχόν, ὅ μή θέμις, τόν Πατέρα, καί πάσης ἀρετῆς καί ζωῆς χορηγόν ἐξ Υἱοῦ, καί ταῦτα μονογενοῦς, καί ἴσου τήν φύσιν καί τήν ἀγαθότητα. Οὐ γάρ τά καλά διά τῶν κακῶν μηνύεσθαι πέφυκεν, ὥσπερ οὐδέ διά σκότους τό φῶς, ἤ θανάτου ζωή· καί τοῦ μηδαμῶς ὄντος, τό ὄν. Καί οὐ λέγω ταῦτα πρός τήν ἐκείνων ἀθέτησιν· ἔχομαι γάρ καί ἀντέχομαι ζωῆς πλέον, τῆς τῶν φαμένων διδασκαλίας· ἀλλά τό οἰκεῖον μέτριον δι᾽ ἄκραν δειλίαν ἀσφαλιζόμενος. Τήν δέ ἀνάγνωσιν τοῦ ὑποπιάζειν κανονίζειν οὐ πρέπον ἐμοί, διά τήν ἐν τούτοις ἀμαθίαν, ἤ τοῖς ἠσκημένοις καί σπουδῇ προελομένοις τήν παίδευσιν· οἵ ταύτην ὀφείλειν φασί κανονίζεσθαι βαρυτόνως μᾶλλον, ἤ περισπομένως, ὅτι τέ φασι τῶν ῥημάτων οὐδέν περισπᾶται, πλήν εἰ μή ἐκ συναιρέσεως βαρυτόνου καθέστηκεν, ὡς τό, νοῶ, καί ποιῶ, καί χρυσῶ, καί ὅσα τοιαῦτα, φυλάσσοντα καί μετά προθέσεως ἐπί τῆς αὐτῆς τόν τόνον.

Τήν δεξιάν, σιαγόνα, τήν δεξιάν πρᾶξίν φημι, καί ὅσην ἐνθέος ἡμῖν διά τῶν ἐντολῶν συνιστάμενος βίος χαρακτηρίζει, ῥαπιζομένην ὑπό τοῦ πονηροῦ τῇ προλήψει τῆς ἐνεργουμένης καλοκαγαθίας· (1400) καί τῇ πληγῇ τῆς ἐντεῦθεν οἰήσεως, φλεγμαίνουσάν πως διά κενοδοξίας, καί ἐπαιρομένην κατά τῶν μηδεμίαν, ἅ μή τήν ἴσην τυχόν κεκτημένων· δι᾿ ἥν ὥσπερ ἄλλην καί οἷον ἀριστεράν στρέφειν προσήκει, τόν ἤδη πρότερον ἡμᾶς κατά τήν ἀπάτην τοῦ αἰῶνος τούτου καταμολύναντα βίον, τούτῳ τε πλήττεσθαι συνεχῶς διά τῆς μνήμης· καί ὡς ἁμαρτωλούς μᾶλλον συστέλλεσθαι καί μετριάζειν, ἤ ὡς ἁγίους μετεωρίζεσθαι, καί δι᾿ ἔπαρσιν καταπίπτειν, οὐκ ἔχοντας πῆξιν ἱεράν τήν ταπείνωσιν. Τιμάσθω δέ μετά τῶν κατά θεωρίαν λαμβανομένων· μᾶλλον δέ καί πρό τούτων, εἰς ἑτοιμασίαν ἱεράν καί προκάθαρσιν, καί σωματικῶς ταῦτα τελούμενα διά τόν ἐντειλάμενον Κύριον· πραϋπαθείας ἐντεῦθεν ἕξιν τοῖς κατορθοῦσι δωρούμενον, καί τῆς τοῦ πλήττοντος περιγραφήν ἀπιστίας, τῷ ἑτοίμῳ τῆς παραδοχῆς τό πρόθυμον τῆς πληγῆς ἀναστέλλοντα, αἰδομένου τυχόν, εἰ μήτι ἄλλο, τό ὑπερβάλλον τῆς ὑποπτώσεως· καί τό μηδαμῶς ἀντιτείνεν τόν δυνάμενον τοῦτο ποιεῖν, εἰργόμενον δέ διά τήν πρόσαξιν.

Τό δέ, Μή μου ἅπτου, πρός τήν Μαγδαληνήν λέλεκται Μαρίαν παρά τοῦ Κυρίου, κηπουρόν αὐτόν εἶναι νομίσασαν· δηλοῦντος τοῦ μυστηρίου, καί ὑπεκφαίνοντος, ὡς ψυχή πᾶσα νοερά, μήπω τό συμφυές σκῆνος ὑπεραναβᾶσα, καί διά τοῦτο τῶν ἐν γενέσει καί φθορᾷ μόνον, οὐδέν οὐδαμῶς διαφερόντων λαχάνων κηπευομένων· ἴση γάρ ἐπ᾿ ἀμφοῖν ἥ τε ῥοή καί ἀποῤῥοή, καί ἡ τοῦ χρόνου περιγραφή καί περίοδος· δημιουργόν εἶναι τόν Λόγον ὑπολαμβάνουσα, διά τήν περί ταῦτα, καί ἕως τούτων πρόοδον αὐτοῦ καί συγκατάβασιν· οὐκ ἀξία τῆς τούτου κατά πνεῦμα καθέστηκεν ἐπαφῆς, καί ταῦτα τοῖς φαινομένοις αὐτόν ἐπιζητοῦσα· καί σάρκα δι᾿ ἡμᾶς γεγενημένον γινώσκουσα μόνον αὐτόν· ἀλλ᾿ οὐχί πρεπόντως καί Θεόν ἐκ Θεοῦ τοῦ Πατρός γεγεννημένον γινώσκουσα. Τοῦτο γάρ κατα τό εἰκός νοεῖν ὑποβάλλει, τό, Οὔπω ἀναβέβηκα πρός τόν Πατέρα μου, τό μή δι᾿ ἄκρας θεολογίας καί πίστεως, οἷς ἡ τῶν ὁρωμένων περιγράφεται φύσις, ὑψωθῆναι πρός τῆς οὕτω διακειμένης ψυχῆς· ἀλλ᾿ ἔτι παιδαγωγικῶς δεομένης εἰς ἐντελεστέραν τούτου κατάληψιν, ἐπί τήν ἀποκαλυπτικήν ἕξιν τῶν θείων ὡσεί τινα Γαλιλαίαν διά θεωρίας ἀναδραμεῖν· καί σύν τοῖς ὑπ᾿αὐτοῦ προτετυπωμένοις καί προβεβλημένοις λόγοις, ὅλον ὡς θέμις περιληφθῆναι, καί γενέσθαι

τοσοῦτον ὅπερ αὐτός ἦν ὁ γενόμενος ὅπερ ἡμεῖς, ὅσον ἐδείχθη τοῦτο γενόμενος πλήν μόνης τῆς ἁμαρτίας, ὡς καί ἡμεῖς ἐκείνῳ δίχα μόνης τῆς φύσεως, ἡνίκα τῆς δωρεᾶς τῆς ἐπιτύχοιμεν· ἥν δι᾽ ἐλπίδος νῦν προσδεχόμενος, καί προσήκουσι τῶν ἐντολῶν ἔργοις δεόντως ἀποσεμνύνων, ἀπολαύσαις ὅσον ἐπίστευσας, καί τρυφήσαις ὅσον ἐπόνησας· μᾶλλον δέ πλέον καί ἀπειράκις ὅσον καί ὁ ταύτης δοτήρ ὑπερουσίως ὑπερανέστηκε καί φύσεως κίνησιν, καί παντός αἰῶνος περίληψιν.

## *ΕΤΕΡΑ ΚΕΦΑΛΑΙΑ ΤΟΥ ΟΣΙΟΥ ΜΑΞΙΜΟΥ. (1401)*

ΣΤΟΙΧΟΙ.
Πηγήν νάουσαν ἠθηκῶν δρόσον λόγων,
Ἐνταῦθ᾽ ἐφεύρεις, εἰ μετέλθῃς γνησίως,
Ὁμολογητοῦ Μαξίμου πόνους, φίλε.
Ἀσπάζου δ᾽ αὐτούς, καί μαθήσῃ τό κέρδος.

α'. Ἔπεστι παντί Χριστιανῷ τῷ ὀρθῶς πιστεύοντι εἰς θεόν, μή ἀμεριμνεῖν· ἀλλά πάντοτε προσδοκᾶν καί ἐκδέχεσθαι πειρασμόν· ἵνα ὅταν ἔλθῃ, μή ξενίζηται μηδέ ταράσσηται· ἀλλ᾽ εὐχαρίστως ὑπομένειν τόν κόπον τῆς θλίψεως, καί ἐννοεῖν τί ψάλλων σύν τῷ Προφήτῃ λέγει· Δοκίμασόν με, Κύριε, καί πείρασόν με. Καί οὐκ εἶπεν· Ὅτι ἡ παιδεία σου κατέστρεψέ με, ἀλλά, ἀνώρθωσέ με εἰς τέλος.

β'. Ἀρχή μέν καλοῦ, φόβος Θεοῦ· τέλος δέ, ὁ πόθος αὐτοῦ. Ἀρχή παντός ἀγαθοῦ λόγος ἔμπρακτος, καί πρᾶξις ἐλλόγιμος. Διό, οὔτε πρᾶξις λόγου χωρίς, ἀγαθή· οὔτε λόγος πράξεως ἄνευ, ὁ προερχόμενος.

γ'. Πρᾶξις ἐστί, σώματος μεν, νηστεία καί ἀγρυπνία· στόματος δέ, ψαλμῳδία· ψαλμῳδίας δέ κρεῖττον, εὐχή· καί σιωπή, λόγου τιμιωτέρα. Καί χειρῶν πρᾶξις, τό ὑπ᾽ ἐκείνων ἀγογγύστως γινόμενον. Ποδῶν δέ, τό δι᾽ αὐτῶν ἐκ πρώτης ἐπιτροπῆς ἀνυόμενον. Ψυχῆς δέ πρᾶξις, ἐγκράτεια σύν ἁπλότητι, καί ἁπλότης τῇ ἐγκρατείᾳ ἐνεργουμένη. Τοῦ δέ νοός, ἡ ἐν θεωρίᾳ εὐχή, καί ἐν εὐχῇ θεωρία τοῦ Θεοῦ.

δ'. Προηγεῖται πασῶν ἀρετῶν, ἔλεος καί ἀλήθεια, ὧν κύημα ἡ ταπείνωσις, καί ἡ ἐκ ταύτης κατά τούς Πατέρας προσγινομένη διάκρισις. Ἧς ἄνευ, οὐδ᾽ ἑτέρα τό αὐτῆς ἰδεῖν πέρας δυνήσεται.

ε'. Ἡ μέν πρᾶξις τόν τοῦ λόγου ζυγόν ἀτιμάζουσα, (1404) ὧδε κἀκεῖσε περί τά ἀνωφελῆ, οἷά τις δάμαλις περιπλανωμένη εὑρίσκεται· ὁ δέ λόγος, τῆς πρακτικῆς τούς ἐντίμους χιτῶνας ἀποποιούμενος, οὐκ εὐσχήμων, κἄν τοιοῦτος εἶναι πως τό δοκεῖν σχηματίζεται.

στ'. Ἡ ἀνδρεία ψυχή, ὡς γυνή, παρ᾽ ὅλον αὐτῆς τόν βίον, εἰς δύο λύχνους, τό πρακτικόν τε καί θεωρητικόν, καιομένους κατέχουσα, πράττει τά ὀφειλόμενα· τά ἐναντία δέ πάλιν, ἡ παρειμένη ταῖς ἡδοναῖς.

ζ'. Οὐκ ἀρκεῖ τῇ ψυχῇ πρός τελείαν κακίας ἀπαλλαγήν, ἡ ἑκούσιος κακοπάθεια, εἰ μή καί διά τῆς ἀκουσίου ἐκπυρουμένη μή διαλύηται.

η'. Οἷά τις μάχαιρα ἡ ψυχή πρός τελείαν κακίας ἀπαλλαγήν, εἰ μή διά πυρός διέλθῃ καί ὕδατος, τουτέστιν ἑκουσίων πόνων καί ἀκουσίων, ἄθραυστος ταῖς ἀντιτυπίαις τῶν συμβαινόντων οὐ συντηρεῖται.

θ'. Ὥσπερ τῶν ἑκουσίων πειρασμῶν, τρία εἰσί τά καθολικώτερα αἴτια· ὑγεία, πλοῦτος καί εὔκλεια· οὕτω καί τά τῶν ἀκουσίων τρία εἰσί· ζημίαι, ἀσθένειαι καί λοιδορίαι. Γίνονται δέ ταῦτα τισίν, εἰς οἰκοδομήν· τισί δέ, εἰς καθαίρεσιν.

ι'. Παρυφέστηκε ψυχῇ μέν, ἐπιθυμία καί λύπη σώματι δέ, ἡδονή καί ὀδύνη. Αἴτιον δέ, τῆς μέν ὀδύνης, ἡ ἡδονή· θέλοντες γάρ ἐκφυγεῖν τήν κατα τήν ὀδύνην ἐπίπονον αἴσθησιν, πρός τήν ἡδονήν καταφεύγομεν· λύπης δέ, ἐπιθυμία ἤ ἀῤῥωστία.

ια'. Ἐνδιάθετον μέν ὁ ἐνάρετος κέκτηται τό καλόν· περινενοημένον δέ, ὁ κενόδοξος. Τό δέ κακόν, ὁ μέν σπουδαῖος, ἐξ ἐπιπολῆς ἔχει· κατά βάθους δέ, ὁ φιλήδονος.

ιβ'. Ὀλιγάκις μέν καί οὐκ ἐπιμελῶς εὑρίσκεται πρός τό κακόν, ὁ τοῦτο μισῶν· πλεονάκις δέ καί προσεκτικώτερον, ὁ ἔτι ταῖς αἰτίαις ἐκείνου προσκείμενος.

ιγ'. Οἷς μή κατά πρόθεσιν τό μετανοεῖν, τούτοις συνεχές καί τό πλημμελεῖν· οἷς δέ παρά πρόθεσιν τό ἁμαρτάνειν, ἐμπληροφόρητος ἡ μετάνοια, καί τό αἴτιον ταύτης οὐχί συχνόν.

ιδ'. Αἴσθησις καί συνείδησις, λόγῳ τῷ κατά προφοράν συνερχέσθω, ὅπως ὁ εἰρηκώς θεῖος λόγος, ἐν μέσῳ τούτων εὑρίσκεσθαι, μή καταισχύνηται, διά τῆς προπετείας ἤ ἀμετρίας τῶν λεγομένων ἤ πραττομένων.

ιε'. (1405) Οὐχ᾽ ὁ τοῖς ἔργοις μή ἀδικῶν τήν ψυχήν αὐτοῦ, οὗτος καί τοῖς λόγοις ἀμίαντον συνετήρησεν. Οὐ δέ ὁ τούτους φυλάττων, ἤδη

καί λογισμούς οὐκ ἐμόλυνεν. Ὁ γάρ ἁμαρτάνων, τριττῶς τοῦτο πράττει.

ιστ'. Οὐ δυνήσῃ τό πρόσωπον τῆς ἀρετῆς κατιδεῖν, ἡδέως ἔτι τό τῆςκακίας κατανοῶν. Μισητόν δέ τότε φανεῖται τό δεύτερον, ὅτε τοῦ πρώτου ἐπιθυμήσεις τήν γεῦσιν, καί τοσαύτης τήν ὄψιν ἀποξενώσεις μορφῆς.

ιζ'. Διά τῶν λογισμῶν, οὐ τῶν πραγμάτων προηγουμένως πολεμοῦσιν οἱ δαίμονες τήν ψυχήν. Αὐτά γάρ καθ᾽ αὐτά, ἀναγκαῖα τά πράγματα. Καί τῶν μέν πραγμάτων, ἡ ἀκοή αἰτία καί ὅρασις· τῶν δέ λογισμῶν, ἡ συνήθεια καί οἱ δαίμονες.

ιη'. Τριττόν μέν, τό ἁμαρτητικόν μέρος τῆς ψυχῆς, ἐν ἔργοις καί λόγοις καί λογισμοῖς εὑρισκόμενον. Ἐξοδικόν δέ, τό ἀναμαρτησίας καλόν. Ἀπταίστους γάρ τάς πέντε αἰσθήσεις καί τόν προφορικόν συντηρεῖν δεῖ λόγον. Ἐν οἷς ὁ μή πταίων, ἀνήρ φησι τέλειος, δυνατός χαλιναγωγῆσαι καί τά μέλη τοῦ σώματος.

ιθ'. Ἐξαχῶς τό ἄλογον μέρος διαιρεῖται τῆς ψυχῆς· εἴς τε τάς πέντε αἰσθήσεις, καί εἰς τόν κατά προφοράν λόγον, ὅς συνδιαιρεῖται μέν ἀδιαιρέτως τῷ πάσχοντι, ἀπαθής ὤν· ἀναμάττεται δέ τήν αὐτοῦ κακίαν παθητικός εὑρισκόμενος.

κ'. Οὐ δύναται οὔτε σῶμα καθαρθῆναι νηστείας καί ἀγρυπνίας χωρίς· οὔτε ἐλέους καί ἀληθείας ψυχή· ἀλλ᾽ οὔτε νοῦς ἄνευ θεωρίας καί ὁμιλίας Θεοῦ. Αὗται γάρ αἱ συζυγίαι, ἐν τούτοις ἐπισημόταται.

κα'. Κυκλοφορουμένη ταῖς εἰρημέναις ἀρεταῖς ἡ ψυχή, ἀπερικτύπητον τό ταύτης ἐκ πειρασμῶν καθίστησι φρούριον· ὅ ἐστιν ἡ ὑπομονή· Ἐν τῇ ὑπομονῇ ὑμῶν γάρ κτήσασθε τάς ψυχάς ὑμῶν, ὁ Λόγος φησίν. Εἰ δέ ἑτέρως ἐχόμενα εἴη, οἷά τις πόλις ἀτείχιστος, καί ὑπό τῶν πόῤῥωθεν ψόφων, δειλίας μοχλοῖς κατασείεσθε εἴωθεν.

κβ'. Οὐχ ὅσοι εἰς τά κατά λόγον εἰσί φρόνιμοι, οὗτοι καί εἰς τά κατ᾽ ἔννοιαν· ὅσοι δέ εἰς τά κατ᾽ ἔννοιαν, οὗτοι καί εἰς τά κατ᾽ αἴσθησιν ἔξωθεν εὑρεθήσονται. Εἰ γάρ καί πάντας ὑποφόρους ἔχει ἡ αἴσθησις, ἀλλ᾽ οὐχ ὁμοίους αὐτῇ τούς φόρους ἀποδιδόασιν. Ἐξ ἀφελότητος γάρ οἱ πλείους εἰς τά κατ᾽ αὐτήν τιμᾷν αὐτήν ὡς αὐτή ἀπατεῖ οὐκ ἐπίστανται.

κγ'. Τῇ φύσει ἄτμητος οὖσα ἡ φρόνησις, τέμνεται εἰς διαφόρους τομάς. Ὧι μέν γάρ δίδοται πλέον, ᾧ δέ ἔλαττον μέρος αὐτῆς· ἕως αὐξηθεῖσα ἡ πρακτική ἀρετή, συνδρόμους τε αὐτῇ τάς γωνικάς (ἔχουσα) ἀρετάς, τό ἐνδεχόμενον ἑκάστῃ ἀποπληρώσει καλόν. (1408)

Οἱ πλείους γάρ κατά τήν ἔλλειψιν τῆς ἐμπράκτου ζωῆς, καί τό φρονεῖν ἐκληρώσαντο.

κδ'. Εἰς μέν τά κατά φύσιν, ὀλίγοι φρόνιμοι εὑρεθήσονται· εἰς δέ τά παρά φύσιν, πολλοί. Δέει γάρ τῷ περί αὐτά ὅλην αὐτῶν τήνφυσικήν φρόνησιν ἐκκενώσαντες, ἔχουσιν ἐκεῖ μέν τό φρονεῖν ὀλίγον· τό πλεῖστον δέ ἐν τοῖς περιττοῖς, καί οὐ τῇ φύσει ἐπαινετοῖς.

κε'. Τῆς εὐλόγου σιωπῆς, ὁ καιρός καί τό μέτρον συνεστιάτορες· πανδαισία δέ τούτου γίνεται ἡ ἀλήθεια· καθ᾽ ἥν ὁ τοῦ ψεύδους πατήρ ἐπί ψυχήν ἀποδημοῦσαν ἐρχόμενος, εὑρίσκει ἐπιζητουμένων οὐδέν.

κστ'. Ἐλεήμων ἀληθής, οὐχ ὁ παρέχων ἑκουσίως τά περιττά, ἀλλ᾽ ὁ συγχωρῶν τά ἀναγκαῖα τοῖς ἀφαρπάζουσιν.

κζ'. Οἱ μέν τῷ ἔνυλῳ πλούτῳ κτῶνται τόν ἄϋλον ἐλεημοσύνης θεσμοῖς· οἱ δέ ἀΰλῳ ἀποκτῶνται τόν ἔνυλον, ἐν αἰσθήσει τοῦ ἀνεκλείπτου γενόμενοι.

κη'. Φίλον μέν παντί, τό πλουτεῖν ἐν καλοῖς· λυπηρόν δέ, τῷ θείως πλουτήσαντι μέν, μή ἐπί πλεῖστον συγχωρηθῆναι δέ ἐνευφρανθῆναι αὐτῷ.

κθ'. Ἔξωθεν μέν, ἡ ὑγεία δοκεῖ τῆς ψυχῆς· ἔνδοθεν δέ, ἐν τῷ τῆς αἰσθήσεως πυθμένι πέφυκε κρύπτεσθαι ἡ ἀῤῥωστία αὐτῆς. Εἰ δέ δεῖ πάντως ἔξωθεν μέν ἐκείνην τῷ ἀναθερισμῷ τῶν ἐλέγχων γενέσθαι, ἔνδοθεν δέ ταύτην τῷ ἀνακαινισμῷ τοῦ νοός· ἄφρων ὁ τούς ἐλέγχους ἀποσειόμενος, καί ἐν τῷ τῆς ἀναλγησίας πάντοτε ἀνακεῖσθαι νοσοκομείῳ μή αἰσχυνόμενος.

λ'. Μή τραχυνθῇς κατά τοῦ ἀκουσίως σε χειρουργήσαντος· ἀλλά πρός τήν κενωθεῖσαν ἀηδίαν ἀποβλεψάμενος, ταλάνισον μέν ἑαυτόν· μακάρισον δέ, τόν αἴτιόν σοι ταύτης γενόμενον οἰκονομίας Θεόν.

λα'. Μή πρός τό δεινόν ἀπευδοκήσῃς τῆς ἀῤῥωστίας σου· ἀλλά διά τῶν τῆς φιλοπονίας δραστικωτέρων φαρμάκων, πόῤῥω γενοῦ ταύτης, ὁ τῆς κατά ψυχήν ὑγείας ἐπιμελούμενος.

λβ'. Μή συσταλῇς ἀπό τοῦ καιρίως σε πλήττοντος· πρόσει δέ τούτῳ, καί ὑποδείξει σοι, ὅσον τό ὑποσμῆχον τήν αἴσθησίν σου κακόν, καί φάγῃ ὄψον ἡδύ τό ἐκ τῆς ὑγείας, μετά τό ἀναλωθῆναι τό ἐκ τῆς πικρίας ἀπόβλητον.

λγ'. Ὅσον αἰσθάνῃ τῶν πόνων, τοσοῦτον ἀποδέχου τόν τούτους διά τῶν ἐλέγχων ὑποδεικνῦντά σοι. Καθάρσεως γάρ τελείας αἴτιός σοι καθίσταται· ἧς ἄνευ ἐν καθαρῷ χωρίῳ τῆς εὐχῆς οὐ δύναται γενέσθαι ὁ νοῦς.

λδ'. (1409) Ἐν τῷ ἐλέγχεσθαι, ἤ σιωπᾶν δεῖ, ἤ ἠπίως ἀπολογεῖσθαι τῷ καταλέγοντι· οὐ διά τό συστῆσαι τά οἰκεῖα τόν ἐλεγχόμενον· διά δέ τό ἀναστῆσαι προσκόψαντα ἴσως, τόν ἐν ἀγνοίᾳ ἐλέγχοντα.

λε'. Ὁ τῷ λυπήσαντι ἀδίκως πρό τοῦ προσκληθῆναι ὑπ᾽ αὐτοῦ εὐνοῶν, ἐζημίωται τῶν ἀνηκόντων οὐδέν. Ὁ δέ μετά τήν πρόσκλησιν, τῆς εὐφορίας τό ἥμισυ. Κερδαίνει δέ ὅλον τό προκαταβληθέν, ὁ μήποτε διά λύπην ἀποσυνάγωγος εὑρισκόμενος· προστίθησι δέ καί μισθόν ἑαυτῷ, ὁ τό σφάλμα βάλλων ἐπάνω ἑαυτοῦ ἐν παντί.

λστ'. Οὔτε ὁ ὑψηλόφρων ἐπιγινώσκει οἷα τά ἑαυτοῦ ἐλαττώματα, οὔτε ὁ ταπεινόφρων τά οἰκεῖα καλά. Καλύπτει γάρ, τόν μέν, ἄγνοια φαύλη· τόν δέ, θεάρεστος.

λζ'. Τοῖς ἰσοτίμοις ὁ ὑπερήφανος ἐν καλοῖς παραμετρεῖσθαι οὐ βούλεται· ἐν δέ τοῖς ἐναντίοις, πρός τούς ὑπερέχοντας, φορητόν τό ἑαυτοῦ παραβαλλόμενον ἡγεῖται ἐλάττωμα.

λη'. Ὁ μέν ψόγος στεῤῥάν· ὁ δέ ἔπαινος, ἔκλυτον τήν ψυχήν ἀπεργάζεται καί νωθροτέραν πρός τά καλά.

λθ'. Ὑπόστασις μέν πλούτου, χρυσός· ἀρετῆς δέ, ταπείνωσις. Ὡς οὖν ὁ χρυσοῦ ἀπορῶν πένης ἐστί, κἄν μή τοῖς ἔξωθεν φαίνηται· οὕτω παπεινώσεως ἄνευ, ἐνάρετος οὐκ ἔσται ὁ ἀγωνιζόμενος.

μ'. Χρυσοῦ δίχα, ὥσπερ ἔμπορος οὐ πέφυκεν ἔμπορος, κἄν λίαν πρός ἐμπορίαν ἐστίν ἐπιτήδειος· οὕτως οὐδέ ταπεινοφροσύνης χωρίς, ἐν κατασχέσει τῶν τῆς ἀρετῆς ἡδέων εὑρεθήσεται ὁ ἀσκούμενος, κἄν πάντη τῇ ἑαυτοῦ νουνεχείᾳ θαῤῥῇ.

μα'. Τῇ ταπεινοφροσύνῃ ὁ ἀνιών, κατώτερος τοῦ ἑαυτοῦ φρονήματος γίνεται· ἀνώτερος δέ, ὁ ἐκείνης χωρίς, ὅς οὐδέ παραμετρεῖσθαι τοῖς ἐλαχίστοις ἑκουσίως ἀνέχεται· καί διά τοῦτο ἐν ταῖς πρωτοκλισίαις τό λυπηρόν ἐπιδείκνυται.

μβ'. Καλόν τῷ ἀγωνιστῇ φρονεῖν μέν ἧττονα τῆς ἐργασίας αὐτοῦ, πράττειν δέ κρείττονα τῆς δειλίας αὐτοῦ. Οὕτω γάρ ἄν καί ἀνθρώποις αἰδέσιμος, καί Θεῷ ἐργάτης εὑρίσκεται ἀνεπαίσχυντος.

μγ'. Ἤ κατορθοῦσθαι δεῖ πρός πάσας τάς ἐντολάς τοῦ Θεοῦ, (1412) ἤ μιᾶς ἀντιποιεῖσθαι τῆς ταπεινοφροσύνης, τόν δεδοιότα μή ξενόν τῶν τῷ νυμφῶνι ἀνακειμένων ὀφθῆναι.

μδ'. Μίξον τῇ ἁπλότητι τήν ἐγκράτειαν· καί σύζευξον τῇ ταπεινοφροσύνῃ ἀλήθειαν, καί ὀφθείσῃ δικαιοσύνῃ συνέστιος· ᾗ ὡς ἐπί τραπέζης, ἄλλη πᾶσα φιλεῖ ἐπισυνάγεσθαι ἀρετή.

με'. Τυφλή τῆς ταπεινοφροσύνης χωρίς ἡ ἀλήθεια. Διά τοῦτο καί τῇ ἀντιλογίᾳ χρῆται παιδαγωγῷ, ἐρεῖσαι μέν αὐτῇ ἐπί τι μοχθούσῃ, μή εὑρισκούσῃ δέ, εἰ μή τό τῆς μνησικακίας ὀχύρωμα.

μστ'. Ἦθος χρηστόν, ὡραιότητα μαρτυρεῖ ἀρετῆς· μελῶν δέ εὐστάθεια, εἰρηναίαν ψυχήν.

μζ'. Πρῶτον μέν καλόν, τό ἐν μηδενί μέρει πταίειν. Δεύτερον δέ, τό μή αἰδοῖ κατακαλύπτειν τό σφάλμα αὐτοῦ· μή τε μήν, ἀναιδεύεσθαι ἐν αὐτῷ, μᾶλλον δέ πατεινοῦσθαι, καί κατηγορούμενον ἑαυτοῦ συγκατηγορεῖν, καί δέχεσθαι ἀσμένως τό ἐπιτίμιον. Τούτου δέ μή γινομένου, ἀνίσχυρον ἅπαν τό τῷ Θεῷ προφερόμενον.

μη'. Πρός τῇ ἑκουσίῳ κακοπαθείᾳ, χρή καί τήν ἀκούσιον καταδέχεσθαι· τήν ἐκ διαβολῶν λέγω, ζημιῶν τε καί ἀσθενειῶν. Ταῦτα γάρ ὁ μή καταδεχόμενος, ἀλλά δυσπετῶν, ὅμοιός ἐστι τῷ μή μετά ἁλός, μετά δέ μέλιτος μόνου βουλομένου ἐσθίειν τήν ἄρτον αὐτοῦ· ὅς οὐ πάντοτε μέν τήν ἡδονήν ἔχει σύντροφον, τόν δέ κόρον ἀεί γείτονα κέκτηται.

μθ'. Δεσπότης ὤν, δούλου σχῆμα περιβαλλόμενος φαίνεται, ὁ τό διεῤῥωγός πλύνων τοῦ πλησίον λόγοις ἐνθέοις ἱμάτιον, ἤ καταῤῥάπτων ταῖς μεταδόσεσι. Σκοπείτω δέ ὁ τοῦτο ποιῶν, μή ποτε διά τό ὡς δοῦλος τοῦτο τελεῖν, προσαπολέσῃ σύν τῷ μισθῷ, καί τό προσόν αὐτῷ τῆς ἐξουσίας διά κενοδοξίας ἀξίωμα.

ν'. Ὥσπερ ἡ πίστις ἐλπιζομένων ὑπόστασις πέφυκεν, οὕτω ψυχῆς μέν, ἡ φρόνησις· ἀρετῆς δέ, ἡ ταπείνωσις. Καί θαῦμα, πῶς τά αὐτοτελῆ, τῶν συμβεβηκότων δίχα ἀτελῆ καθεστήκασι.

να'. Κύριος φυλάξοι τήν εἴσοδόν σου, φησί, καί τήν ἔξοδόν σου· τήν τῶν βρωμάτων δηλονότι καί τῶν ῥημάτων, τῇ ἐγκρατείᾳ. Ἐγκρατῶς γάρ ὁ ἔχων περί τήν τῶν βρωμάτων καί ῥημάτων εἴσοδόν τε καί ἔξοδον, ἐπιθυμίαν μέν τήν ἐξ ὀφθαλμῶν ἀποδιδράσκει· θυμόν δέ τήν ἐξ ἀπονοίας καταπραῢναι, ὧν δεῖ καί πρό πάντων ποιεῖσθαι τήν ἐπιμέλειαν τόν ἀγωνιζόμενον, παντί τρόπῳ σπουδαστέον. Ἐν τούτοις γάρ, τό μέν πρακτικόν ἔῤῥωται· τό δέ θεωρητικόν, ἐστερέωται.

νβ'. Τινές δέ περί τήν εἴσοδον τῶν βρωμάτων, πολλήν ποιοῦνται τήν ἐπιμέλειαν· περί δέ ἔξοδον τῶν ῥημάτων, ἀμελῶς διατίθενται. Οἱ τοιοῦτοι οὐκ ἐπίστανται πράγειν θυμόν μέν ἀπό καρδίας, ἐπιθυμίαν δέ ἀπό σαρκός, κατά τήν Ἐκκλησιαστήν· δι᾽ ὧν ἡ καθαρά καρδία κτίζεσθαι εἴωθε παρά τοῦ καινουργοῦντος Πνεύματος.

νγ'. Τό μέν τῶν βρωμάτων ἀπέριττον, περί τήν ἧττω τρυφῆς ποιότητα· τό δέ τῶν ῥημάτων ἀνέγκλητον, περί τήν κρείττω τῆς σιωπῆς ποσότητα εὑρεθήσεται.

νδ'. Πύρωσον τούς νεφρούς σου ἀσιτίᾳ βρωμάτων, καί ἔτασον τήν καρδίαν σου ἐγκρατείᾳ ῥημάτων, καί ἕξεις πρός ὑπηρεσίαν καλῶν, τό, ἐπιθυμητικόν τε καί θυμικόν.

νε'. Ἡ μέν τῶν ὑπογαστρίων ἡδονή καταπίπτει ἐν ἀσκουμένοις, τοῦ σώματος παρακμάσαντος· ἔτι δέ παραμένει τοῦ φάρυγγος, τῷ μή φθάσαντι ταύτην ἐνδίκως κολάσαι. Σπουδάσαι οὖν χρή διά τῆς αἰτίου, τοῦ αἰτιατοῦ τόν ὀνειδισμόν ἀποτρίψασθαι, ὡς ἄν μή ξένος ἐκεῖσε τῆς κατά τήν ἐγκράτειαν ἀρετῆς εὑρεθείς, αἰσχυνθῇς.

νστ'. Ἀναγκαῖον εἰδέναι τόν ἀσκητήν, πότε καί τίσι βρώμασι δεῖ ὡς ἐχθρόν τρέφειν τό σῶμα αὐτοῦ· πότε δέ ὡς φίλον παρακαλεῖν καί πάλιν παραμυθεῖσθαι ὡς ἀσθενῆ· ἵνα μή λάθῃ τά μέν τοῦ ἀσθενοῦς, τῷ φίλῳ· τά δέ τοῦ φίλου παρατιθείς τῷ ἐχθρῷ· καί ἑκατέρους ὡς σκανδαλίσας, καιρῷ πειρασμοῦ εὑρήσει πολεμοῦντας αὐτόν.

μζ'. Ὅταν τῆς τρυφῆς τήν τροφήν ὁ τρεφόμενος προτιμοτέραν ποιήσηται, τότε ἡ τῶν δακρύων ἐπιδημήσασα χάρις αὐτῷ, παρακαλεῖν ἄρχεται καί ἄλλης πάσης ἡδύτητος ἐπιλανθάνεσθαι, ὡς ἤδη τούτων καταποθείσης ἀσυγκρίτῳ ἡδύτητι.

νη'. Τῷ μέν πλατυνομένῳ συνεστάλη τά δάκρυα· ἐξεβλύθη δέ ταῦτα, τῷ τήν στενήν ὁδόν ἀγαπήσαντι.

νθ'. Οὐκ ἔστιν λύπης ἐκτός, οὔτε ἁμαρτωλός, οὔτε δίκαιος· ἀλλ᾽ ὁ μέν, ὅτι μή πάντη ἀπέλιπεν τό κακόν· ὁ δέ, ὅτι οὔπω κατέλαβε τό ὄντως καλόν.

ξ'. Τῶν ἐφ᾽ ἡμῖν μέν κατά δύναμιν ἀρεταί, εὐχή καί σιωπή· τῶν οὐκ ἐφ᾽ ἡμῖν δέ, ἀλλ᾽ ὡς τά πολλά τῆς τοῦ σώματος κατασκευῆς, νηστεία καί ἀγρυπνία εἰσίν. Ὅπερ οὖν τῷ ἀγωνιστῇ εὐληπτότερον, τοῦτο μετέρχεσθαι χρή.

ξα'. Οἶκος μέν εὐχῆς, ἡ ὑπομονή· περικρατεῖται ((1416) γάρ ἐν αὐτῇ· χρῆμα δέ, ἡ πατείνωσις· τρέφεται γάρ δι᾽ αὐτῆς.

ξβ'. Λόγους μή καρτερῶν, ἐπαίνοις οὐ τιμηθήσῃ· πρό δέ τῆς ἡδονῆς τήν ὀδύνην ἀποσκοπῶν, ἐκφεύξῃ ταύτης τό λυπηρόν.

ξγ'. Μή δεσμευθῇς τῷ μικρῷ, καί οὐ δουλεύσεις τῷ μείζονι· οὐ γάρ πέφυκε τό μεῖζον κακόν πρό τοῦ μικροῦ διαπλάττεσθαι.

ξδ'. Ἀφορῶν πρός, τά μείζω, φοβερός ἔσῃ τοῖς ἥττωσιν· εὐκαταφρόνητος δέ τούτοις ὀφθείσῃ, πρός ἐκεῖνα ἀπειρηκώς.

ξε'. Οὐ δυνήσῃ ἐπί τάς μείζους φθάσαι τῶν ἀρετῶν, μή τῶν κατά δύναμιν καταλαβών τήν ἀκρότητα.

ξστ'. Ἐν οἷς κρατεῖ ἔλεος καί ἀλήθεια, ἐν ἐκείνοις καί πᾶν εἴ τι θεάρεστον. Ἡ μέν γάρ οὐδένα κρίνει ἐλέους χωρίς· τό δέ φιλανθρωπεύεται ἐν οὐδέν ἀληθείας ἐκτός.

ξζ'. Τῇ ἁπλότητι κερασάμενος τήν ἐγκράτειαν, ἐν περιλήψει γενήσῃ τῆς ἐκεῖθεν μακαριότητος.

ξη'. Οὐ κόψῃς πάντα τά πολεμοῦντά σε πάθη, εἰ μή πρότερον τήν γῆν, ἐξ ἧς ἐτρέφοντο, ἐάσῃς ἀνήροτον.

ξθ'. Οἱ μέν, τήν τοῦ σώματος μόνον ὕλην ἐκκαθάραι σπεύδουσιν· οἱ δέ, καί τήν τῆς ψυχῆς. Οἱ μέν γάρ πρός μόνην τήν κατ᾽ ἐνέργειαν ἁμαρτίαν ἰχύν ἔλαβον· οἱ δέ καί πρός τό πάθος· πρός δέ τήν ἐπιθυμίαν πάνυ ἐλάχιστοι.

ο'. Ὕλην πονηρά, σώματος μέν ἐμπάθεια, ψυχῆς δέ ἡδυπάθεια, προσπάθεια δέ τοῦ νοός. Κατηγορεῖται δέ τῆς μέν ἀφή, τῆς δέ αἱ λοιπαί αἰσθήσεις, τῆς δέ τελευταίας ἐναντία διάθεσις.

οα'. Ὁ μέν ἡδυπαθής πλησίον ἐστί τοῦ ἐμπαθοῦς· ὁ δέ προσπαθής, τοῦ ἡδυπαθοῦς· μακράν δέ ἀμφοτέρων ὁ ἀπαθής.

οβ'. Ἐμπαθής ἐστιν ὁ τό ἁμαρτητικόν ἔχων τοῦ λόγισμοῦ βιαιότερον, κἄν τέως μή ἁμαρτάνει ἐκτός. Ἡδυπαθής δέ ὁ τήν ἐνέργειαν τῆς ἁμαρτίας ἔχων ἀσθενεστέραν τοῦ λογισμοῦ, κἄν πάσχῃ ἐντός. Προσπαθής δέ ὁ τῇ ἐλευθερίᾳ, μᾶλλον δέ τῇ δουλείᾳ τῶν μέσων, προσκείμενος· ἀπαθής δ᾽ ἄν εἴη ὁ τούτων πάντων τήν διαφοράν ἀγνοῶν.

ογ'. Ἀπόλλυται ἐκ ψυχῆς ἐμπάθεια μέν διά νηστείας καί προσευχῆς, ἡδυπάθεια δέ δι᾽ ἀγρυπνίας καί σιωπῆς, ἡ δέ προσπάθεια διά ἡσυχίας καί προσοχῆς· ἀπάθεια δέ συνίσταται ἐκ μνήμης Θεοῦ.

οδ'. Τῆς ἀπαθείας ἀπό χειλέων, κηρία μέλιτος, (1417) οἷα οἱ λόγοι τῆς αἰωνίου ζωῆς ἀποστάζουσι. Τίς οὖν ἀξιωθείη τοῖς χείλεσιν ἐκείνοις προσάψαι τά ἴδια, καί μασθῶν ἀνά μέσον αὐτῆς αὐλισθῆναι, καί ὀσμῆς ἡδείας μεταβαλεῖν ἱματίων ἐκείνης; τουτέστι, νόμοις ἐνηδυνθῆναι τῶν ἀρετῶν, τῶν ὑπέρ πάντα φησί τά ἀρώματα ὄντα τῆς αἰσθητῆς διαγνώσεως.

οε'. Τοῦ μέν ὁρωμένου σώματος, πᾶσα ψυχή γυμνωθήσεται· τοῦ δέ τῆς ἁμαρτίας, οἱ τῆς ἐνταῦθα ζωῆς ὀλίγοι τῶν ἡδέων προσαπολαύσαντες.

οστ'. Νεκροί μέν ἐκ ζώντων πάντες ὀφθήσονται· νεκρωθήσονται δέ τῇ ἁμαρτίᾳ μόνοι οἱ ἐκ διαθέσεως ταύτην μισήσαντες.

οζ'. Τίς ἑαυτόν πρό τοῦ κοινοῦ θανάτου τοῦ σώματος ἴδοι τῆς ἁμαρτίας γυμνόν; καί τίς ὁ γνούς αὐτόν τε καί τήν ἰδίαν φύσιν, ὁποία ἐστί πρό τῆς μελλούσης γυμνώσεως;

Ψυχήν ἔρωτι νυμφικῷ τετρωμένην,
Εὐτή συνάπτειν οἶδεν ὧδε νυμφίῳ.

οη'. Τοῦ αἰσθητοῦ τε καί νοεροῦ φωτός ἡ λογική ἐν μεθορίῳ κειμένη ψυχή, διά μέν τούτου, ὁρᾷν καί πράττειν τά τοῦ σώματος ἐπετράπη· δι᾽ ἐκείνου δέ, πράττειν τά τοῦ πνεύματος. Ἀλλ᾽ ἐπειδή ἠμαυρώθη μέν αὐτῇ ἐκεῖνο, ἐτρανώθη δέ τοῦτο, διά τήν ἀρχῆθεν συνήθειαν, εἰ μή ὅλως μετά τοῦ νοεροῦ ἐν τῇ εὐχῇ γένηται, ὁλικῶς τοῖς θείοις ἐνατενίζειν οὐ δύναται. Ἀνάγκη δέ εἶναι αὐτήν ἐν μεταιχμίῳ σκότους καί φωτός· κατά σχέσιν μέν τούτου, κατά δέ φαντασίαν ἐκείνου ἀναστρεφομένην.

οθ'. Συμπαραμενέτω τῷ νῷ ἡ εὐχή, ὡς ἐν ἡλίῳ ἀκτίς· ἧς ἄνευ αἱ κατ᾽ αἴσθησιν μέριμναι, οἷά τινες ἄνυδροι νεφέλαι περιπετόμεναι, τόν νοῦν εἴργουσι τῆς οἰκείας λαμπρότητος.

π'. Ἔνδον τῆς κατά τήν εὐχήν στενῆς πύλης, νοῦς παθητικός οὐ δύναται εἰσελθεῖν, πρό τοῦ τήν κατά σχέσιν ἀπολιπεῖν μέριμναι· περί δέ τά περισκήνια ἐκείνης, ὀδυνηθήσεται διά παντός ἀσχολούμενος.

πα'. Δύναμις μέν εὐχῆς πεῖνα βρωμάτων ἑκούσιος· πείνης δέ, τό μήτε ὁρᾷν, μήτε ἀκούειν, ὅτι μή πᾶσα ἀνάγκη, τῶν ἐγκοσμίων οὐδέν. Τούτων ὁ μή ποιούμενος πρόνοιαν, τό μέν τῆς νηστείας οὐκ ἐστρέωσεν οἰκοδόμημα· τό δέ τῆς εὐχῆς ἐν αὐτῇ περιῤῥαγῆναι ἐποίησεν.

πβ'. Ἀπέριττος εἰ μή ἐκ πάντων ὁ νοῦς τῶν κατ᾽ αἴσθησιν γένηται, ἀνωφερής γνέσθαι οὐ δύναται, καί τό οἰκεῖον γνωρίσαι ἀξίωμα.

πγ'. Ἔξω μέν ποιεῖται τῆς ψυχῆς ἡ εὐχή, πάντας τούς ἐχθραίνοντας αὐτῇ λογισμούς, δυναμουμένη τοῖς δάκρυσιν· (1420) ἀντεισάγει δέ τούτους ὁ μετεωρισμός τοῦ νοός, νόμῳ εὐτραπελίας ἐνδυναμούμενος· ἥν ὁ ἐξορίζων, συνεξόριστον καί τό παναίτιον πεποίηκε τῆς παῤῥησίας κακόν.

πδ'. Ἡμέρας μέν σύμβολον ἡ νηστεία, διά τό ἔκδηλον· νυκτός δέ διά τό ἄδηλον, ἡ εὐχή. Ἑκατέραν οὖν τούτων ἐν ἑκατέρᾳ ἐνδίκως ὁ

μετερχόμενος, πρός τήν τῶν κατασκόπων ἀπαντήσεται πόλιν, ἐν ᾗ ἀπέδρα ὀδύνη, λύπη καί στεναγμός ἐν Χριστῷ.

πε'. Ἡ πνευματική ἐργασία, καί σωματικοῦ ἔργου ἐκτός συνίστασθαι πέφυκε. Μακάριος οὖν ὁ κρείσσονα τοῦ ἐνύλου ἔργου, τήν ἄϋλον ἡγησάμενος ἐργασίαν. Δι᾽ αὐτῆς γάρ τήν τοῦ ἔργου ἐπλήρωσεν ἔλλειψιν, ζήσας τήν κεκρυμμένην ζωήν τῆς εὐχῆς καί φανεράν τῷ Θεῷ.

πστ'. Ὑπομένειν μέν ἡμᾶς τῇ πίστει παρακαλεῖ ὁ Ἀπόστολος· χαίρειν τῇ ἐλπίδι, τῇ προσευχῇ προσκαρτερεῖν, ἵνα τό τῆς χαρᾶς ἡμῖν παραμείνῃ καλόν. Εἰ δέ τοῦτο, ἄρα ὁ μή ὑπομένων, οὐ πιστός· ὁ δέ οὐ χαίρων, οὐκ εὔελπις· ἀπεβάλετο γάρ τήν αἰτίαν τῆς χαρᾶς προσευχήν, ἐν τῷ μή προσκαρτερεῖν ἐν αὐτῇ.

πζ'. Εἰ τοῖς ἐγκοσμίοις λογισμοῖς ὁ νοῦς ἐξ ἀρχῆς συναναστραφείς, τοσαύτην ἐν αὐτοῖς τήν φιλίαν ἐκτήσατο, πόσην οὐκ ἄν οἰκειότητα σχῇ ἐν εὐχῇ συνεχεῖ· καί γάρ ἐν οἷς, φησί, χρονίζει, ἐν αὐτοῖς καί πλατύνεσθαι εἴωθεν.

πη'. Ὥσπερ τοῦ ἰδίου οἰκητηρίου πάλαι διαιρεθείς ὁ νοῦς, τῆς ἐκείνου λαμπρότητος ἐπελάθετο· οὕτω δεῖ τοῦτον αὖθις ἐν λήθῃ τῶν ὧδε γενόμενον, πρός ἐκείνην ἀναδραμεῖν δι᾽ εὐχῆς.

πθ'. Καθάπερ νήπιον πρός μαστούς ἐναποψυγέντας μητρός, οὕτως εὑρεθήσεται νοῦς πρός εὐχήν τήν μή δυναμένην παρακαλέσαι αὐτόν· πρός δέ τήν ἄλλως ἔχουσαν, ὡς παιδίον τό ὑφ᾽ ἡδονῆς ἐναφυπνοῦν ἐν ταῖς ἀγκάλαις αὐτῆς.

τέσσ. ἀνοικ. '. (1421) Ἐκεῖ φησίν, ἐν τῇ πενθίμῳ δηλονότι εὐνῇ τῆς ἐναρέτου ζωῆς, κατά τήν ἐν τῷ Ἄσματι φήσειε νύμφην καί ἡ εὐχή πρός τόν ἑαυτῆς ἐραστήν, δώσω τούς μαστούς μου σοί, εἰ ὁλικῶς μοι διατεθῇς.

τέσσ. ἀνοικ. α'. Φιλίαν πρός τήν εὐχήν οὐ δύναται κτήσασθαι, ὁ μή πᾶσαν ὕλην ἀπαρνησάμενος, πλήν τροφῆς καί σκέπης. Ἔξω τῶν ἄλλων γενοῦ ἐν εὐχῇ, ὁ θέλων μετά μόνου γενέσθαι τοῦ νοῦ.

τέσσ. ἀνοικ. β'. Τοῦ θεοφιλοῦς μαρτύριον, εὐχή μονολόγιστος· λόγος δέ καίριος, ἔμφρονος λογισμοῦ· μονοειδής δέ γεῦσις, τῆς ἐλευθέρας εἴη αἰσθήσεως. Ἐν τούτοις οὖν τοῖς τρισίν, ἐῤῥῶσθαι τά τῆς ψυχῆς λέγεται.

τέσσ. ἀνοικ γ'. Λειανθῆναι δεῖ καλῶς καί ἀπαλυνθῆναι, ὥσπερ τῶν παίδων, τήν φύσιν τοῦ εὐχομένου, ὡς ἄν κατά τήν ἐκείνων, εὐείκτως

δέξηται τήν ἐκ τῆς εὐχῆς ἐνταττομένην ἀνάπτυξιν. Διό μή ἀμέλει, ὁ συναφθῆναι ταύτῃ φιλῶν.

τέσσ. ἀνοικ. δ'. Οὐ πάντες τόν αὐτόν σκοπόν ἐν εὐχῇ κέκτηνται· ἄλλος μέν ἄλλον, καί ἄλλος δέ ἕτερον. Ὁ μέν γάρ εὔχεται, εἰ οἷόν τε, μετά τῆς εὐχῆς εἶναι τήν καρδίαν αὐτοῦ πάντοτε, καί πρός τό ὑπεραναβῆναι αὐτῆς· ὁ δέ ἵνα μή λογισμοῖς ἐν αὐτῇ περικόπτηται. Πάντες δέ εὔχονται, ἤ συντηρηθῆναι ἐν ἀγαθοῖς, ἤ μή συναπαχθῆναι κακοῖς.

τέσσ. ἀνοικ. ε'. Εἰ ἐξ εὐχῆς, οὐδείς ἀταπείνωτος· συντρίβεται γάρ ὁ ἐν ταπεινώσει εὐχόμενος· οὐκ ἄρα ἐν ταπεινώσει προσεύχεται, ὁ ἔξωθεν θρασυνόμενος.

τέσσ. ἀνοικ. στ'. Πρός τήν χήραν, τήν πρός τόν ὠμόν τήν δίκην κινοῦσαν κριτήν, ἀφορῶν ὁ εὐχόμενος, οὐκ ἐκκακίσῃς διά τήν βραδυτῆτα τῶν ἀγαθῶν τῆς εὐχῆς.

τέσσ. ἀνοικ. ζ'. Οὐ παραμείνῃ σοι εὐχή, τῷ πρός τά συλλογιζόμενα ἔσωθεν, καί ὁμιλούμενα ἔξωθεν ἐμβραδύνοντι· ἡ αὐτή δέ ὀφθήσεται ὑποστρέφουσα, τῷ δι᾿ αὐτήν ὑποτεμνομένῳ τά πλείονα.

τέσσ. ἀνοικ. η'. Εἰς λαγόνας ψυχῆς εἰ μή εἰσδύνουσι τά ῥήματα τῆς εὐχῆς, οὐκ ἄν εἰς τάς τοῦ προσώπου σιαγόνας τά δάκρυα περικλυσθῆναι συγχωρηθήσονται.

τέσσ. ἀνοικ. θ'. Ἀνατέλλουσι γεωργῷ μέν τά δάκρυα, μή κατ᾿ ὄψιν τῶν σπερμάτων ῥιφθέντων τῆς γῆς· μοναχῷ δέ τά δάκρυα ἀναβλύζουσιν, οὐκ ἀπονητί μετερχομένῳ τά ῥήματα τῆς εὐχῆς.

ρ'. Κλείς οὐρανῶν βασιλείας εὐχή. Ταύτην ὁ κατέχων ὡς δεῖ, (1424) ὁρᾷ τά ἀποκείμενα ἀγαθά τοῖς φίλοις αὐτῆς. Μόνα δέ τά παρόντα περισκοπεῖ, ὁ παῤῥησίαν ἐν ἐκείνῃ μή ἐσχηκώς.

ρα'. Οὐ δύναται ὁ νοῦς ἐν καιρῷ τῆς εὐχῆς μετά παῤῥησίας λέγειν πρός τόν Θεόν· Διέῤῥηξας τούς δεσμούς μου, σοί θύσω θυσίαν αἰνέσεως, εἰ μή δειλίας καί ῥαθυμίας, πολυυπνίας τε καί ἀδηφαγίας, ἐξ ὧν τό πταίειν, ἐπιθυμίᾳ τῶν κρειττόνων, ἀποῤῥαγῇ.

ρβ'. Ἔξω τοῦ πρώτου καταπετάσματος ἵσταται, ὁ ἐν εὐχῇ ῥεμβόμενος· ἔνδοθεν γίνεται, ὁ μονολόγιστον ἐξανύων αὐτήν. Μόνος δέ εἰς τά Ἅγια τῶν ἁγίων παρέκυψεν, ὁ μετά τῆς εἰρήνης τῶν φυσικῶν λογισμῶν καί τά περί τῆς πάντα νοῦν ὑπερεχούσης [οὐσίας] διασκεπτόμενος, καί τινος ἐκεῖθεν φωτοφανείας καταξιούμενος.

ργ'. Ὁπόταν ἀπό τῶν ἔξωθεν σχολάσασα ᾖ ἡ ψυχή, τότε οἷά τις φλόξ περικυκλώσασα ταύτην, ὡς σίδηρον καθάπαξ τῷ πυρί

πεπυρακτωμένην ὅλην καθίστησι, καί ἔστι ψυχή μέν ἡ αὐτή, οὐκέτι δέ καί ἁπτή, ὡς οὐδέ ὁ πυρακτωθείς σίδηρος, ταῖς ἔξωθεν ἐπαφαῖς.

ρδ'. Μακάριος ὁ ἐν τῷ βίῳ τούτῳ ούτωσί θεωρηθῆναι ἀξιωθείς, καί τόν αὐτόν φύσει πήλινον ἀνδριάντα, χάριτι πύρινον κατιδών.

ρε'. Τοῖς μέν εἰσαγομένοις οἷά τις δεσπότης, ὁ νόμος ἐπίκειται τῆς εὐχῆς· τοῖς προκόψασι δέ, ὡς ἔρως ὁ συνελαύνων πεινῶντα καθάπερ πολυτελῆ πρός ἑστίασιν.

ρστ'. Τοῖς καλῶς τήν πρακτικήν μετερχομένοις, ποτέ μέν ἡ εὐχή νεφέλη καθάπερ ἐπισκιάζουσα, τούς καυστικούς ἀπείργει ἐξ αὐτῶν λογισμούς· ποτέ δέ σταγόνας οἷα δακρύων τούτους ἐπιψεκάζουσα, δείκνυσι τά πνευματικά θεωρήματα.

ρζ'. Ὠιδή μέν ἥδυσμα κιθάρας, τῆς κρουομένης ὑπό τινος ἔξωθεν εὑρεθήσεται· ψυχή δέ μή συνερχούσης αὐτῇ ἐν εὐχῇ τῆς ἐν πνεύματι μυστικῆς προσφωνήσεως, εὐκατάνυκτος οὐ πέφυκε δείκνυσθαι. Τό γάρ, Τί προσευξώμεθα καθό δεῖ οὐκ οἴδαμεν, καί τά ἑξῆς, εἰς τοῦτο ἐνάγει τόν προσευχόμενον.

Τοῦ αὐτοῦ.

Φωτίζεται νοῦς γνωστικῆς θεωρίας

Πρός ὕψος ἀρθείς, τοῖσδ᾽ ἐπεντυχών λόγοις.

ρη'. Ἀναγκαῖον εἰδέναι τόν γνωστικόν, πότε ὁ νοῦς αὐτοῦ εἰς τήν χώραν τῶν νοημάτων ἐστίν· πότε δέ εἰς τήν τῶν λογισμῶν· καί πότε εἰς τήν κατ᾽ αἴσθησιν. Καί ἐν ταύτῃ πάλιν, εἰ ἐν τοῖς κατά καιρόν, ἤ ἐν τοῖς παρά καιρόν μᾶλλον εὑρίσκεται.

ρθ'. Ἐν νοήμασιν οὐκ ὤν ὁ νοῦς ἐν λογισμοῖς πάντως ἐστίν· ἐν λογισμοῖς δέ ὤν, ἐν νοήμασιν οὐκ ἔστιν. Ἐν δέ τῇ αἰσθήσει γενόμενος, μετά πάντων ἐστίν.

ρι'. (1425) Διά τοῦ νοήματος μέν ὁ νοῦς διέρχεται πρός τά νοητά· διά δέ τοῦ λογισμοῦ πρός τά λογικά ὁ λόγος· πρός δέ τήν πρακτικήν, διά τῆς φαντασίας ἡ αἴσθησις.

ρια'. Εἰς ἑαυτόν ὁ νοῦς συναγόμενος, οὐδέν οὔτε τῶν κατά τόν λογισμόν θεωρεῖ· γυμνούς δέ νόας καί θείας αὐγάς, βλυζούσας εἰρήνην τε καί χάριν.

ριβ'. Ἄλλο ὁ νοῦς τοῦ πράγματος, καί ἄλλο ὁ λόγος αὐτοῦ· καί ἕτερον τό ὑπό τήν αἴσθησιν ἀναγόμενον. Καί τό μέν ἔστιν οὐσία· τό δέ, συμβεβηκός· τό δέ, ἡ τοῦ ὑποκειμένου διαφορά.

ριγ'. Πολλάς ὁδούς ἀνατέμνων ὁ νοῦς, ἀκόρεστος δείκνυται· πρός μίαν δέ συναγόμενος τῆς εὐχῆς, πρό τῆς ἐντελείας στενοχωρούμενος φαίνεται, λιπαρῶν τόν μέτοχον ἀπολυθῆναι, πρός τά ἀφ᾽ ὧν, ἐξελύληθεν.

ριδ'. Ἄνωθεν ἠγμένος ὁ νοῦς, οὐκ ἀναδραμεῖται αὖθις ἐκεῖσε, εἰ μή τελείαν τῶν κάτω ποιήσηται καταφρόνησιν διά τῆς περί τά θεῖα σχολῆς.

ριε'. Εἴ τε μή τήν ψυχήν σου δύνῃ μετά μόνων ποιῆσαι τῶν περί αὐτήν λογισμῶν, κἄν τό σῶμα σου μονάζειν ἀναγκάζον, τήν περί αὐτό ἀθλιότητα διά παντός ἐννοούμενος· οὕτω γάρ τῷ χρόνῳ ἐλέει Θεοῦ, καί πρός τό πρῶτον ἀναδραμεῖν δυνήσῃ τῆς εὐγενείας ἀξίωμα.

ριστ'. Ὁ μέν πρακτικός ὑποτάσσειν εὐκόλως δύναται τόν νοῦν τῇ εὐχῇ· ὁ δέ θεωρητικός, τήν εὐχήν τῷ νοΐ. Ὁ μέν ἀπό τῶν φαινομένων συστέλλων σχημάτων τήν αἴσθησιν· ὁ δέ τήν ψυχήν πρός τούς ἐγκεκρυμμένους τοῖς ῥήμασι λόγους μεταβιβάζων. Καί ὁ μέν σωμάτων πείθει λόγους τόν νοῦν ἐννοεῖν· ὁ δέ ἀσωμάτων κατανοεῖν. Ἀσώματοι δέ εἰσι λόγοι σωμάτων, ἰδιότητές τε καί οὐσίαι αὐτῶν.

ριζ'. Ὅταν τόν νοῦν σου τῆς τῶν σωμάτων, καί βρωμάτων, καί χρημάτων ἡδυπαθείας ἐλευθερώσῃς, τότε καί ὅπερ ἄν ποιεῖς, δῶρον καθαρόν τῷ Θεῷ λογισθήσεται· ἀντιδοθήσεται δέ σοι τοῦ διανοιγῆναι (1428) τούς τῆς καρδίας σου ὀφθαλμούς, καί τρανῶς ἐμμελετᾷν τοῖς ἐγκεκρυμμένοις ἐν αὐτῇ νόμοις Θεοῦ, οἵτινες ὑπέρ μέλι καί κηρίον τῷ νοητῷ σου λογισθήσονται λάρυγγι, τῇ ἀπ᾽ αὐτῶν ἐκδιδομένῃ ἡδύτητι.

ριη'. Οὐ δυνήσῃ σωμάτων καί χρημάτων, καί τῆς τῶν ἀναγκαίων βρωμάτων ἐπιθυμίας ὑπέρτερον ποιῆσαι τόν νοῦν, εἰ μή ἐν τῇ καθαρᾷ τῶν δικαίων χώρᾳ εἰσάξῃς αὐτόν· καθ᾽ ἥν, ἥ τε τοῦ θανάτου καί ἡ τοῦ Θεοῦ μνήμη ἐπαναβλαστήσασα, ἀπό γηΐνης καρδίας ἀπαλείψει πᾶν ἐνθυμίου ἀνάστημα.

ριθ'. Οὐδέν οὔτε ἐννοίας θανάτου φοβερώτερον, οὔτε Θεοῦ μνήμης θαυμασιώτερον. Ἡ μέν γάρ ἐστι λύπης σωτηριούδους παρεκτική· ἡ δέ, εὐφροσύνης χαριστική. Ἐμνήσθην γάρ, φησίν ὁ Προφήτης, τοῦ Θεοῦ, καί ηὐφράνθην. Καί ὁ Σοφός· Μιμνήσκου τά ἔσχατά σου, καί οὐχ ἁμαρτήσεις. Ἀδύνατον γάρ τινα τοῦ δευτέρου ἐν κατασχέσει γενέσθαι, μή πεῖραν τῆς τοῦ προτέρου λαβόντα στυφότητος.

ρκ'. Ἕως ἄν τήν τοῦ Θεοῦ δόξαν ἀνακεκαλυμμένῳ προσώπῳ οὐκ ἴδῃ ὁ νοῦς, οὐ δύναται ἡ ψυχή λέγειν ἐν αἰσθήσει αὐτῆς· Ἐγώ δέ ἐπί τῷ Κυρίῳ τερφθήσομαι· ἀγαλλιάσομαι ἐπί τῷ σωτηρίῳ αὐτοῦ. Κάλλυμα

γάρ κεῖται τό τῆς φιλαυτίας ἐπί τήν καρδίαν αὐτῆς, πρός τό μή ἀνακαλυφθῆναι αὐτῇ τά θεμέλια τῆς οἰκουμένης, ἅτινά εἰσιν οἱ λόγοι τῶν γεγονότων, ὅπερ ἐξ αὐτῆς οὐ περιειρεῖται, ἑκουσίων πόνων καί ἀκουσίων χωρίς.

ρκα'. Οὐ μετά τήν ἐξ Αἰγύπτου φυγήν· ἥτις ἐστίν ἡ κατ᾽ ἐνέργειαν ἁμαρτία· οὐδέ μετά τήν θαλάσσης διάβασιν, τῆς κατά σχέσιν λέγω δουλείας· ἀλλά μετά τήν ἐν ἐρήμῳ διατριβήν, μεταξύ κειμένην ἐνεργημάτων καί κινημάτων κακίας, τοῦ Ἰσραήλ ὁ δημαγωγός κατασκοπεῖν δύναται τήν γῆν τῆς ἐπαγγελίας, ἥτις ἐστίν ἡ ἀπάθεια, τήν ὀπτικήν ἀποστέλλων καί ἐποπτικήν αὐτοῦ δύναμιν.

ρκβ'. Οἱ μέν ἐν τῇ ἐρήμῳ καθήμενοι, τουτέστιν, ἐν τῇ τῶν κακῶν ἀνενεργησίᾳ, ἀκοῇ μόνῃ τῆς μακαρίας ἐκείνης γῆς τά ἀγαθά. . . οἱ δέ τά ἐν ἐκείνῃ κατασκοπήσαντες, ἐν περινοίᾳ δηλονότι ψυχῆς τῶν ὁρωμένων θεωρίας γεγόνασι. Οἱ δέ καταξιωθέντες ἐν αὐτῇ εἰσελθεῖν, ὅλῃ τῇ αἰσθήσει τῶν ἐξ αὐτῆς ἀποῤῥεόντων ὡς γάλα καί μέλι, τῆς πρώτης φημί καί δευτέρας θεωρίας, λόγων ἐνεφορήθησαν.

ρκγ'. Οὔπω συνεσταυρώθη Χριστῷ, ὁ ἔτι φυσικάς κινήσεις ἔχων σαρκός· οὐδέ συνετάφη, ὁ ψυχικάς ἐνθυμήσεις ἐπισυρόμενος· πῶς οὖν συναναστῇ αὐτῷ ὁ τοιοῦτος, ἐν καινότητι ζωῆς πολιτεύεσθαι.

ρκδ'. (1420) Τριῶν οὐσιῶν τῆς ψυχῆς περιεκτικωτέρων ἀρετῶν, νηστείας, εὐχῆς τε καί σιωπῆς, ἀναγκαῖον τόν μέν ἐξ εὐχῆς λύεσθαι μέλλοντα, εἰς τήν θεωρίαν ἐπαναπαύεσθαι· τόν δέ ἐκ σιωπῆς, εἰς ἠθικήν ὁμιλίαν, εἰς δευτέραν καί κεχαρισμένην τροφήν τόν νηστεύοντα.

ρκε'. Ἐν τοῖς οἰκείοις ἕως ὑπάρχει ὁ νοῦς, σώζει τό καθ᾽ ὁμοίωσιν, ἀγαθός τε καί συμπαθῆς εὑρισκόμενος. Ἐν δέ τοῖς κατ᾽ αἴσθησιν γεγονώς, εἰ μέν εὐχερῶς καί [μή] προσηκόντως κατέρχεται, πεῖραν διδούς καί λαμβάνων, ἐν ἐκείνοις εὐρωστῶν, αὖθίς τε πρός ἑαυτόν ἐπανέρχεται, περί τόν καιρόν καί τήν χρείαν, ὥς τις στρατηγός ἀπερίσκεπτος εὑρεθήσεται, τό πολύ αὐτοῦ ὑποτεμνόμενος τῆς δυνάμεως ἐν τῷ μάχεσθαι. Πλήν οὐ πάντες ἐκείνου ἐκτός εὑρεθήσονται, ὅσοι ἐντός τοῦ ἐμπεριεχομένου γενέσθαι οὐκ ἴσχυσαν.

ρκστ'. Ὁ μέν αἰσθητός ἥλιος, ξένας τάς ἑαυτοῦ ἐκτῖνας ἐξ οἰκίας κεκλεισμένης καθίστησι· οὐκ ἄν δέ τάς οἰκείας ὁ νοητός ἐπαφήσει, τῇ μή κεκλεισμένας ἐχούσῃ τάς αἰσθήσεις ἀπό τῶν ὁρωμένων ψυχῇ.

ρκζ'. Γνωστικός ἐστιν, ὁ τάς μέν καταβάσεις αὐτοῦ μεγαλοπρεπῶς· ταπεινοπρεπῶς δέ τῆς ψυχῆς τάς ἀναβάσεις διατιθέμενος.

ρκη'. Μέλιττα μέν λειμῶνα περινοστοῦσα, ἐκεῖθεν τῷ μέλιτι τάς ἀφορμάς προσπορίζεται· ψυχή δέ εἰς αἰῶνας περισκοποῦσα, ποικίλον αὐτόθεν τόν γλυκασμόν τῇ διανοίᾳ ἐνίησιν.

ρκθ'. Ἡ ἐμφαγοῦσα μέν ἔλαφος ὄφεις, ἰόν τοῦ σβέσαι, πρός ὑδάτων τρέχει πηγάς· ψυχή δέ ἡ βέλεσι θείοις τρωθεῖσα, ἄπαυστον ἕλκει τόν τρώσαντα ἔρωτα.

ρλ'. Ψιλοί μέν λογισμοί τῇ μοναδικῇ ζωή ἐπιφύονται· ἐπιλογισμοί δέ τῇ δυαδικῇ· τῇ δέ πολυσχιδεῖ ψυχῇ, (1432) λογισμοί μέν ἀπελήλανται· νόες δέ μόνοι γυμνοί σωμάτων αὐτῇ προσπελάζοντες, τούς περί Προνοίας καί κρίσεως λόγους, ὥς τινα θεμέλια γῆς ἀνακαλύπτοντες, αὐτῇ ἐμφανίζουσιν.

ρλα'. Οἱ λογισμοί, οὔτε τοῦ ἀλόγου μέρους εἰσί τῆς ψυχῆς· οὐδέ γάρ ἐστι λογισμός ἐν τοῖς ἀλόγοις· οὔτε τοῦ νοεροῦ· ἐπεί μηδέ ἐν ἀγγέλοις· αὐτῆς δέ τῆς λογικῆς ὄντες γεννήματα, ὡς κλίμακι τῇ φαντασίᾳ χρώμενοι, ἀναβαίνουσι μέν πρός τόν νοῦν ἀπό τῆς αἰσθήσεως, τά ἐκείνης αὐτῷ ἀπαγγέλοντες· καταβαίνουσι δέ πρός αὐτήν ἐξ αὐτοῦ τά ἐκείνου ὑποτιθέμενοι.

ρλβ'. Ὥς τινες ἐκ βυθοῦ ἀναφερόμενοι, καί τινος εἰς βοήθειαν ἐπιλαβέσθαι πειρώμενοι, οἱ πονηροί λογισμοί εὑρεθήσονται, ὁλκάδα καθάπερ, κινδυνευούσης τῆς κακίας δακρύων κατακλυσμῷ.

ρλγ'. Κατά τήν ὑποκειμένην ποιότητα τῆς ψυχῆς, ἤ ὡς πειραταί καταποντίζειν, ἤ ὡς ἐρέται συμβοηθεῖν κινδυνευούσῃ, οἱ περί αὐτήν συνάγονται λογισμοί· οἱ μέν πρός πέλαγος ἐννοιῶν ἕλκοντες τῶν ἀπρεπῶν λογισμῶν· οἱ δέ τήν ἆσσον παρεκλεγόμενοι, καί πρός γαληνίους ἀκτάς τόν νοῦν ἐποκείλουσιν.

ρλδ'. Ἕβδομον τόν τῆς κενοδοξίας λογισμόν ὄντα, ἡ ἐφεμένη ὡς ἔσχατον ἀποβαλέσθαι χιτῶνα ψυχή, εἰ μή τούς πρό αὐτοῦ ἀπεκδύσηται, οὐ δυνήσεται μετ᾿ αὐτούς ὄγδοον ἐπενδύσασθαι. Ὅν καί οἰκητήριον οὐράνιον καλεῖν οἶδεν ὁ θεῖος Ἀπόστολος, καί διά στεναγμῶν ἐπενδύεσθαι τούς δι᾿ αὐτό τῶν ὑλικῶν γυμνητεύοντας.

ρλε'. Τῇ μέν τελείᾳ εὐχῇ, ἄγγελοι παραβάλλειν πεφύκασι λογισμοί· τῇ δέ μέσῃ, πνευματικοί· τῇ δέ εἰσαγωγικῇ, οἱ φυσιολόγοι.

ρλστ'. Ὥσπερ τό εὐγενές τοῦ κόκκου διά τοῦ στάχυος, οὕτω καί τό εἰλικρινές τῆς θεωρίας διά προσευχῆς εἴωθεν ἐμφανίζεσθαι· κέκτηται δέ ὁ μέν, εἰς ἀποτροπήν τῶν σπερμολόγων ὀρνέων, οἷά τινα δόρατα, τούς περιστοιχοῦντας ἀνθέρικας· τό δέ, τούς φιλοσοφοῦντας ἐν πειρασμοῖς λογισμούς, πρός τήν ἐκείνων ἀναίρεσιν.

ρλζ'. Τά μέν ὁρώμενα τῆς ψυχῆς, διά τήν πρᾶξιν, περιστερᾶς περιηργυρωμένα καθάπερ εἰσί πτερά· (1433) τά δέ νοουμένα, φημί δή τά μετάφρενα, διά τήν θεωρίαν ὡς ἐν χλωρότητι χρυσίου καθίσταται· ἡ γάρ μή οὕτως ὡραιωθεῖσα ψυχή, πετασθῆναι καί καταπαῦσαι οὐ δύναται, ἔνθα πάντων εὐφραινομένων ἡ κατοικία ἐστίν.

Λειμών ἐνθάδε καρπῶν πεπληρωμένος,

Πνευματικῆς πράξεως καί θεωρίας.

λρη'. Ἀπαρχάς ἅλωνος καί ληνοῦ, πάλαι μέν τοῖς παλαιοῖς προσφέρειν ἐν τῷ ναῷ προσετέτακτο. Νυνί δέ ἡμᾶς, πρακτικῆς μέν ἀπαρχάς, ἐγκράτειαν δεῖ Θεῷ προσφέρειν καί τήν ἀλήθειαν· θεωρητικῆς δέ ἀρετῆς, ἀγάπην καί προσευχήν· δι᾽ ἐκείνων μέν, ἀλόγου ἐπιθυμίας καί τοῦ θυμοῦ τάς ὁρμάς ἀνακόπτοντας· διά τούτων δέ, ἐννοίας κενάς, καί τάς ἐκ τούτων ἐπιβουλάς.

ρλθ'. Πρακτικῆς ἀρχή μέν, ἐγκράτεια καί ταπείνωσις, ἀλήθεια, σωφροσύνη καί ταπεινοφροσύνη· τέλος δέ αὐτῆς, λογισμῶν εἰρήνη καί ἁγιασμός σώματος.

ρμ'. Πρᾶξίς ἐστιν, οὐ τό πράττειν καλῶς δύνασθαι μόνον τά καλά, ἀλλά καί τό ὡς δεῖ πράττειν αὐτά, τόν καιρόν καί τό μέτρον πρός τά πρακτέα συνεπιφερομένου τοῦ πράττοντος.

ρμα'. Θεωρία ἐστίν, οὐ τό θεωρεῖν μόνον ὡς ἔχουσι τά σώματα φύσεως, ἀλλά καί τούς λόγους αὐτῶν πρός τί βλέπουσιν.

ρμβ'. Οὐκ ἔστιν οὔτε πρᾶξις ἀσφαλής θεωρίας ἐκτός, οὔτε θεωρία ἀληθής πράξεως ἄνευ. Χρή γάρ καί πρᾶξιν ἐλλόγιμον εἶναι, καί θεωρίαν ἔμπρακτον· ἵνα τῇ μέν, ἀνίσχυρον εὑρίσκηται ἡ κακία· τῇ δέ, δυνατή ἡ ἀρετή ἐν εὐδοκίαις χρηστότητος.

ρμγ'. Πέρας μέν πρακτικῶν, ἡ νέκρωσις τῶν παθῶν· τέλος δέ γνωστικῆς, ἡ θεωρία τῶν ἀρετῶν.

ρμδ'. Ὡς ὕλη τῷ εἴδει, οὕτω πρᾶξις τῇ θεωρίᾳ· καί ὡς ὀφθαλμός προσώπῳ, οὕτω θεωρία τῇ πράξει ὀφθήσεται.

ρμε'. Ἐν τῷ κατά τήν πρακτικήν ἀρετήν σταδίῳ, πολλοί μεν τρέχουσιν· εἷς δέ λαμβάνει τό βραβεῖον, ὁ πρός τό πέρας αὐτῆς ἐλθεῖν τῇ θεωρίᾳ ἐπιθυμῶν.

ρμστ'. Κατανύξεως μέν πόμα πίνει ὁ πρακτικός ἐν εὐχῇ· ποτηρίῳ δέ κρατίστῳ μεθύσκεται, ὁ θεωριτικός. Ὁ μέν ἐν τοῖς κατά φύσιν φιλοσοφῶν· ὁ δέ, καί ἑαυτόν ἀγνοῶν ἐν τῷ εὔχεσθαι.

ρμζ'. (1436) Οὐ συγχωρεῖται ὁ πρακτικός εἰς πνευματικήν ἐπί πολύ θεωρίαν ἐγκαρτερεῖν. Εὑρίσκεται γάρ ὡς ἐπιξενωθείς τινι, καί τῆς ἐκείνου ταχέως οἰκίας ὑπεξερχόμενος.

ρμη'. Ἐν πύλαις μέν εἰσέρχονται οἱ πρακτικοί τῶν ἐντολῶν τοῦ Θεοῦ ἐν τῷ εὔχεσθαι· ὡς ἐν αὐλαῖς δέ ἀρετῶν ἐν ὕμνοις θεωρητικοί· οἱ μέν εὐχαριστοῦντες, ὅτι ἐλύληθαν τῶν δεσμῶν· οἱ δέ, ὅτι καί αἰχμαλώτους εἰλήφασι τούς πολεμοῦντας αὐτούς.

ρμθ'. Χρή κατά τό τῆς πρακτικῆς κράτος, καί τό τῆς θεωρίας εὑρίσκεσθαι, ἵνα μή καθ᾽ ὁμοιότητα πλοίου τοῦ μή κατάλληλα τά ἱστία ἐπιφερομένου, ἤ κίνδυνον ὑπομείνῃ ἐν ἀνέμων σφοδρότησιν διά τήν ἀμετρίαν αὐτῶν, ἤ ζημίαν πνευμάτων διά τήν πρός τό σκάφος σμικρότητα.

ρν'. Ἐρέτας μέν τοῦ λογικοῦ πλοίου, νόει τούς εὐσεβεῖς λογισμούς· κώπας δέ, τάς ζωτικάς δυνάμεις τῆς ψυχῆς, θυμόν καί ἐπιθυμίαν, βούλησιν καί προαίρεσιν. Τούτων ὁ μέν πρακτικός, ἐν χρείᾳ ἐστί πάντοτε· οὐ πάντοτε δέ ὁ θεωρητικός. Ἐν γάρ τῷ καιρῷ τῆς εὐχῆς χαίρειν οὗτος πᾶσιν εἰπών, αὐτός ἑαυτόν ἐπί τῶν τῆς διαγνώσεως οἰάκων καθίζων, διά πάσης ἐγρήγορε τῆς κατά θεωρίαν νυκτός, αἰνέσεις προσάγων τῷ συνοχεῖ τοῦ παντός. Καί πού τι καί μέλος ἐρωτικόν ἀναλαβόμενος, τῇ ἑαυτοῦ προσεπᾴδει ψυχῇ, τούς τῆς ἄλλης θαλάσσης ἀποσκοπῶν μετεωρισμούς, καί ὡς ῥοθίζας κινήσεις, τά θεῖα καταπληττόμενος ῥήματά τε καί δικαιώματα.

ρνα'. Ὁ μέσως ἔχων περί πρᾶξιν καί θεωρίαν, οὔτε πάντη ταῖς κώπαις κατά τούς ναυτικούς ποιεῖται τόν πλοῦν, οὐθ᾽ ὅλως, τοῖς νοητοῖς ἱστέοις· ἀλλά δι᾽ ἀμφοτέρων τήν χρείαν τῆς εὐπλοΐας ἐργάζεται· ἡδέως φέρων καί τούς πόνους τῆς πράξεως, διά τό μέτριον τῆς θεωρίας· καί τούς λόγους τῆς ἀτελοῦς θεωρίας, διά τό βοηθεῖσθαι ὑπό τῆς πράξεως.

ρνβ'. Ὁ μέν θεωρητικός, τῇ γνώμῃ τήν φύσιν ἔχων συντρέχουσαν, ὡς οἷόν τι ῥεῦμα, ἀπόνως ποιεῖται τό πλώϊμον· ὁ δέ πρακτικός, ἐναντιουμένην εὑρίσκων τῇ προαιρέσει τήν σχέσιν, πολύν λογισμῶν ὑφίσταται κλύδωνα, ὡς εἰς ἀπευδοκίας μικροῦ δεῖν διά τό βάρος ἐλθεῖν.

ρνγ'. Οὔτε χώρα μή καλῶς κατεργασθεῖσα, πολύχουν καί καθαρόν ἀντιπαρέχειν τῶ σπείροντι εἴωθεν, οὔτε ὁ τήν πρακτικήν μετερχόμενος, εἰ μή ἐπιμελῶς ταύτην καί φανητίας ἄνευ μετέρχεται, τόν ἐξ εὐχῆς ὄψεται καρπόν πολύν τε καί καθαρόν.

ρνδ'. (1437) Ἐπί μέν τῶν ἐνύλων, ὁ νοῦς συνεργόν ἔχει τόν λογισμόν· ἐπί δέ τῶν ἀΰλων, εἰ μή αὐτόν παραιτήσηται, ὡς σκώλωπα [alii, σκόλοπα] ἕξει κολαφίζοντα.

ρνε'. Κάλυμμα μέν ἔχει ὁ πρακτικός ἐπί τήν καρδίαν αὐτοῦ ἐν εὐχῇ, τήν γνῶσιν τῶν αἰσθητῶν, ἀνακαλυφθῆναι διά τήν σχέσιν μή δυνάμενον· μόνος δέ ὁ θεωρητικός διά τό ἄσχετον, ἀνακεκαλυμμένῳ προσώπῳ ὁρᾷν ἀπό μέρους δύναται τήν δόξαν τοῦ Θεοῦ.

ρνστ'. Ἡ μετά πνευματικῆς θεωρίας εὐχή, ἡ γῆ τῆς ἐπαγγελίας ἐστίν, καθ᾽ ἥν ῥέει ὡς μέλι καί γάλα ἡ γνῶσις τῶν περί προνοίας καί κρίσεως λόγων Θεοῦ· ἡ δέ μετά τινος φυσικῆς, ἡ Αἴγυπτος, ἐν ᾗ τῶν παχυτέρων ἐπιθυμιῶν μνήμη τοῖς εὐχομένοις ἐγγίνεται. Ἡ δέ γε ἁπλῆ, τό μάνα ἐστί τό ἐν τῇ ἐρήμῳ, τό διά τό μονοειδές, τοῖς μέν ἀκαρτερήτοις ἐναποκλεῖον τά δι᾽ ἐπιθυμίας τῶν ἐπηγγελμένων καλά· τοῖς δέ ἐγκαρτεροῦσι τῇ τοιαύτῃ ἀπεστενωμένῃ τροφῇ, προξενοῦν τήν κρείττω γεῦσιν καί μένουσαν.

ρνζ'. Πρᾶξις σύν θεωρίᾳ μέν ὡς σῶμα μετά πνεύματος ἡγεμονικοῦ· ἄνευ δέ θεωρίας, ὡς σάρξ μετά πνεύματος προαιρετικοῦ λογισθήσεται.

ρνη'. Τῆς λογικῆς ψυχῆς, αὐλή μέν ἡ αἴσθησις· ναός δέ, ἡ διάνοια· ἀρχιερεύς δέ, ὁ νοῦς περικοπτόμενος λογισμῶν· ἐν τῷ ναῷ δέ, ὁ ὑπό εὐκαίρων· ἐπ᾽ οὐδενί δέ τούτων, ὁ εἰς τό θεῖον ἱερατεῖον ἀξιωθείς εἰσελθεῖν.

ρξ'. Πρακτικός μέν, ἐπιθυμεῖ ἀναλῦσαι, διά τούς πόνους, καί συγγενέσθαι Χριστῷ· θεωρητικός δέ, εὐδοκεῖ μᾶλλον σαρκί παραμένειν· καί διά τήν χαράν, ἥν δέχεται ἐξ εὐχῆς, καί διά τήν τοῦ πλησίον πρός τά γήϊνα ὠφέλειαν.

ρξα'. Ἐπί μέν τῶν λογιωτέρων, ἡ θεωρία προηγεῖται τῆς πράξεως· ἐπί δέ τῶν ἀγροικοτέρων, τῆς θεωρίας ἡ πρᾶξις· εἰς ἕν δέ τέλος χρηστόν ἀμφότεραι καταλήγουσι. Συντομώτερον δέ τοῦτο ὀφθήσεται, οἷς ἡ θεωρία προηγεῖται τῆς πράξεως.

ρξβ'. (1440) Παράδεισος, ἡ θεωρία τῶν νοητῶν ἐστιν. Ἐν τούτῳ ὁ μέν γνωστικός ὡς ἐν οἰκίᾳ ἔνδοθεν εἰσέρχεται ἐν εὐχῇ· ὁ δέ πρακτικός, ὡς παροδίτης ὀφθήσεται, ἐπιθυμῶν μέν ἔνδοθεν παρακύπτειν· μή συγχωρούμενος δέ, διά τό ὑπερανεστηκέναι τόν φραγμόν τῆς πνευματικῆς ἡλικίας αὐτοῦ.

ρξγ'. Τά μέν σωματικά πάθη θηρίοις ἐοίκασι· πτηνοῖς δέ, τά ψυχικά· ἀλλά τά μέν ἀπό τοῦ λογικοῦ δύναται ἀμπελῶνος

ἀποτειχίζειν ὁ πρακτικός· οὐκέτι δέ καί τά πετεινά, εἰ μή ἐν θεωρίᾳ πνευματικῇ γένηται, κἂν ὅτι μάλιστα ποιήσεται σπουδήν πρός τήν τῶν ἔνδοθεν φυλακήν.

ρξδ'. Ἠθικῆς εὐπρεπείας κρείττων πρακτικός γενέσθαι οὐ δύναται, εἰ μή καί αὐτός κατά τόν πατριάρχην Ἀβραάμ ἔξω γένηται, ὡς μέν τῆς οἰκείας, τοῦ φυσικοῦ νόμου, ὡς δέ συγγενείας, τῆς ἥλικος αὐτῷ καί κατά σχέσιν ζωῆς. Οὕτω γάρ καί οὗτος, ὡς σφραγῖδα λήψεται τῆς γενικῆς ἡδονῆς τήν ἀφαίρεσιν, καθ᾽ ἥν τό ἀπό γενέσεως κάλυμμα περικείμενον, τήν παντελῆ ἐλευθερίαν οὐ συγχωρεῖ παρασχεθῆναι ἡμῖν.

ρξε'. Οὔτε πῶλος ἐν ἔαρι ἔνδον φάτνης μένειν, καί τά ἐκείνης ἐσθίειν ἀνέχεται· οὔτε νεοτελής νοῦς τό ἀπεστενωμένον ἐπί πολύ καρτερεῖν τῆς εὐχῆς οὐ δύναται· ἡδέως μᾶλλον κατ᾽ ἐκεῖνον ἔχων, ἐπί τό πλάτος τῆς φυσικῆς θεωρίας ἐξέρχεσθαι, τῆς κατά τήν ψαλμῳδίαν εὑρισκομένης καί τήν ἀνάγνωσιν.

ρξστ'. Ὡς μέν ὀσφύας ἔχει περιεζωσμένας, νηστείαν καί ἁγνείαν ἡ πρακτική, τάς ζωτικάς δυνάμεις αὐτῆς· ὡς λύχνους δέ καιομένους, σιωπήν τε καί προσευχήν, τάς γνωστικάς ἡ θεωρητική ἀρετάς, ἐφιστῶσα· ἡ μέν ἐκείναις, τόν λογισμόν ὡς παιδαγωγόν· ἡ δέ ταύταις, ὡς νυμφοστόλον λόγον τόν ἐνδιάθετον.

ρξζ'. Νοῦς ἀτελής, εἰς τόν κατάκαρπον ἀμπελῶνα τόν τῆς εὐχῆς οὐ συγχωρεῖται εἰσέρχεσθαι· εἰς μόνα δέ καί μόλις, ὡς πρός ἐπιφυλλάδας πτωχός, τά ψιλά τῶν ψαλμῶν ἀπηχήματα.

ρξη'. Ὥσπερ οὐ πάντες οἱ εἰς βασιλέως ὁμιλίαν ἐρχόμενοι, συναριστᾶν αὐτῷ δύνανται· οὕτως οὐδέ οἱ εἰς ἐντυχίαν εὐχῆς ἥκοντες, πάντες ἐν θεωρίᾳ τῇ κατ᾽ ἐκείνην ὀφθήσονται.

ρξθ'. Θυμοῦ μέν κημός, ἡ εὔκαιρος γίνεται σιωπή· ἀλόγου δέ ἐπιθυμίας, ἡ σύμμετρος ἐδωδή. Δυσκαθέκτου δέ λογισμοῦ, ἡ [μονολόγιστος] προσευχή.

ρο'. Καί εἰς τόν κάτω βυθόν καί εἰς τόν ἄνω ὁ ὑποδῦναι βουλόμενος, ὁ μέν διά τόν αἰσθητόν, ὁ δέ διά τόν νοητόν μαργαρίτην, ἵνα αὐτόν ἀνιμήσηται, εἰ μή γυμνωθῇ οὗτος τῆς ἐσθῆτος, (1441) ἐκεῖνος δέ τῆς αἰσθήσεως, ἀμφότεροι τοῦ ἐπιζητουμένου διαμαρτήσονται.

ροα'. Ὁ μέν ἔνδοθεν τῆς διανοίας αὐτοῦ γενόμενος νοῦς, ἐν τῷ εὔχεσθαι, ὡς μετά νύμφης νυμφίος ἐν τῷ νυμφῶνι διαλεγόμενος εὑρεθήσεται· ὁ δέ μή συγχωρούμενος εἰσελθεῖν, ἔξωθεν ἱστάμενος

στενάζων βοᾷ· Τίς ἀπάξει με εἰς πόλιν περιοχῆς; ἤ τίς ὁδηγήσει με, ἕως τοῦ μή βλέπειν εἰς ματαιότητας καί μανίας ψευδεῖς ἐν τῷ εὔχεσθαι.

ροβ'. Ὁποία ἡ χωρίς ἁλός τῷ φάρυγγι λογιζομένη τροφή, τοιαύτη καί ἡ ἐκτός κατανύξεως λογισθήσεται τῷ νῷ μετερχομένη εὐχή.

ρογ'. Ἡ μέν ἔτι καταδιώκουσα ψυχή τήν εὐχήν, τῇ ὠδινούσῃ ὑπάρχει παρεμφερής· ἡ δέ καταλαβοῦσα, τῇ κυησάσῃ, καί πλήρει γενομένῃ διά τόν τόκον χαρᾶς.

ροδ'. Πάλαι μέν ὁ Ἀμοῤῥαῖος ἐν τῷ ὄρει οἰκῶν, ἐτίτρωσκεν ἐξερχόμενος τούς παραβιαζομένους διέρχεσθαι· νυνί δέ ἡ πονηρά λήθη διώκει τούς πρό τῆς ἁγνείας ἐπί τήν ὑψηλοτέραν ἐπιχειροῦντας ἀναβαίνειν εὐχήν τῆς ἁπλότητος.

ροε'. Τῆς καθαρᾶς εὐχῆς, ἐν ἔχθρᾳ πολλῇ πεφύκασιν εἶναι οἱ δαίμονες. Καταπλήττει δέ τούτους, οὐχί πλῆθος τῶν κακῶν [καλῶν], ὡς τούς ἔξωθεν πολεμίους τό στράτευμα· ἀλλ᾽ ἡ τριῶν συμφωνία, νοῦ πρός λόγον, καί λόγου πρός αἴσθησιν.

ροστ'. Ἡ μέν ψιλή εὐχή, ὡς ἄρτος ὀφθήσεται ἀρχομένους στηρίζουσα· ἡ δέ μετά τινος θεωρίας, ὡς ἔλαιον πιαίνουσα· ἡ δέ ἀνείδεος, ὡς οἶνος εὐώδης, οὗ οἱ ἐμφορούμενοι ἀπλήστως ἐξίστανται.

ροζ'. Ἄγριος μέν ὄνος, πόλεως μέν λέγεται πολυοχλίας καταγελᾷν· καί μονόκερως δέ ὑπ᾽ οὐδενός δεσμεῖσθαι δυνάμενος. Νοῦς δέ φύσεως, καί τῶν περί φύσιν βασιλεύσας λόγων, ματαιότητος μέν καταγελᾷ λογισμῶν προσευχόμενος· παρ᾽ οὐδενός δέ δύναται τῶν ὑπό τήν αἴσθησιν κατεξουσιάζεσθαι.

ροη'. Χρή τόν ἀγωνιζόμενον, τήν μέν αἴσθησιν αὐτοῦ, εἰς τήν μονοειδή συστέλλειν τροφήν· τόν δέ νοῦν, εἰς τήν μονολόγιστον προσευχήν· οὕτως γάρ ἄσχετος γεγονώς ἐκ παθῶν, καί ἐπί τό ἁρπάζεσθαι πρός Κύριον ἥξει ἐν τῷ προσεύχεσθαι.

ροθ'. (1444) Ῥάβδον μέν ὁ κυσίν ἐπισείων ἠγρίωσε καθ᾽ ἑαυτοῦ· δαίμονας δέ, ὁ καθαρῶς ἐκβιαζόμενος εὔχεσθαι.

ρπ'. Οἱ μέν ἡδυπαθεῖς προσευχόμενοι, ἅτε ὑλώδεις ὄντες, ὡς βατράχους ἔχουσι τούς λογισμούς περισπῶντας αὐτούς· οἱ δέ μετριοπαθεῖς, τάς θεωρίας ὡς ἀηδόνας κατατερπούσας αὐτούς, τῇ ἀπ᾽ ἄλλων εἰς ἄλλους ἀκρέμονας, τουτέστι ποικίλας θεωρίας, μεταβάσει· σιγή δέ πρόσεστι τοῖς ἀπαθέσι καί ἠρεμία πολλή ἐκ λογισμῶν καί νοημάτων ἐν τῷ προσεύχεσθαι.

ρπα'. Πάλαι μέν ἡ τοῦ Μωσέως Μαρία τῶν πολεμίων τήν πτῶσιν θεασαμένη, τό τύμπανον ἀραμένη, ἐξῆρχε ταῖς ᾀδούσαις τά ἐπινίκια· νυνί δέ εἰς εὐφημίαν τῆς νικησάσης τά πάθη ψυχῆς, ἡ κρείττων ἐν ἀρεταῖς ἀγάπη διεγερθεῖσα, τήν μετ᾽ ᾠδῆς κιθάραν ὥσπερ τινά θεωρίαν μεταχειριζομένη ταύτῃ πάλαι τήν πονηθεῖσαν εἰς κάλλους περιουσίαν, οὐ παύεται σύν τοῖς περί τήν αὐτήν ἀγαλλιωμένη αἰνεῖν τόν Θεόν.

ρπβ'. Ὁπόταν διά συνεχείας τῆς κατά τήν εὐχήν κατασχεθῇ τά λόγια τῶν ψαλμῶν ἐν τῇ καρδίᾳ τοῦ εὐχομένου, τότε καί αὐτός γῆ καθάπερ ἀγαθή, ἄρχεται αὐτομάτως ἀναφέρειν, ὡς μέν ῥόδα, τήν θεωρίαν τῶν ἀσωμάτων· ὡς δέ ἴα, τό ποικίλον τῶν θείων κριμάτων δυσθεώρητον.

ρπγ'. Ἐν ὕλῃ μέν δεσμευθεῖσα φλόξ, φωτοφόρος καθίσταται· ἐξ ὕλης δέ λυθεῖσα ψυχή, θεοφόρος εὑρίσκεται. Κἀκείνη μέν αἴρεσθαι πέφυκεν ἄχρι τοῦ ὑπεκκαύματος· αὕτη δέ, μέχρι τοῦ κατά τόν θεῖον ἔρωτα συμπεράσματος.

ρπδ'. Ἡ τελείως ἑαυτήν ἀρνησαμένη ψυχή, καί ὁλικῶς ἀνατεθεῖσα πρός εὐχήν, αὕτη οὐχ ὅτε βούλεται κάτω γίνεται, ἄνωθεν εὑρισκομένη τῆς κτίσεως· ἀλλ᾽ ὅτε δίκαιον εἶναι δόξει τῷ πάντα σταθμῷ καί μέτρῳ διεξάγοντι τά ἡμέτερα.

ρπε'. Ὅταν ἐξ ψυχῆς μέν ἡ ἀκηδία ἀπελαθῇ· ἐκ διανοίας δέ ἡ πονηρία ἐκτιναχθῇ, τότε ὁ νοῦς γυμνός γινόμενος τῇ ἁπλότητι, ζωῇ τε τῇ ἀτέχνῳ καί δίχα παντός τοῦ κατά τήν αἰσχύνην ἐπικαλύμματος, καί τοῦ κατά τήν φαντασίαν προβλήματος, ᾆσμα μέν ᾄδει καί οὗτος καινόν τῷ Θεῷ· εὐχαριστεῖ δέ μέλος ἀνακρουόμενος ἐν εὐφροσύνῃ, τῷ τῆς μελλούσης τά ἐγκαίνια προεορτάζειν βιώσεως.

ρπστ'. Ὅταν τινάς θειοτέρας ἐνεργείας ἐνεργεῖσθαι ἄρξηται ἡ εὐχομένη ψυχή, τότε καί αὐτή κατά τήν ἐν Ἄισμασι Νύμφην, πρός τάς ὁμοιοτρόπους τοιαῦτα ὑποφωνεῖ· Ἀδελφιδός μου ἀπέστειλε τήν χεῖρα αὐτοῦ ἀπό τῆς ὀπῆς, καί ἡ κοιλία μου ἐθροήθη ἐπ᾽ αὐτόν.

ρπζ'. Καί στρατιώτης ἐκ τοῦ πολέμου ἐπαναλύσας, (1445) τό βάρος τῶν ὅπλων ἀποσκευάζεται· καί πρακτικός τούς λογισμούς, εἰς θεωρίαν ἐρχόμενος· οὔτε γάρ ἐκεῖνος εἰ μή ἐν πολέμῳ χρείαν ἔχει τῶν ὅπλων, οὔτε οὗτος τῶν λογισμῶν.

ρπη'. Οἱ μέν πρακτικοί ὡς ἔχουσι θέσεως θεωροῦσι τά σώματα· οἱ δέ θεωρητικοί, ὡς ἔχουσι φύσεως· μόνοι δέ τούς λόγους ἀμφοτέρων ὁρῶσιν οἱ γνωστικοί.

ρπθ'. Ἐν μέν τοῖς λόγοις τῶν σωμάτων, γινώσκονται τά ἀσώματα· ἐν ἀσωμάτοις δέ, λόγος ὁ ὑπερούσιος, πρός ὅν ἐπείγεται πᾶσα σπουδαία ἀναλῦσαι ψυχή.

ρ,τέσσ. ἀνοικ. '. Οἱ λόγοι τῶν σωμάτων, ὡς ὀστᾶ εἰσι τοῖς αἰσθητοῖς ἐπικαλυπτόμενοι, οὕς ἴδῃ οὐδείς, τῶν ἔξω μή γενομένων τῆς προσπαθείας τῶν αἰσθητῶν.

ρ,τέσσ. ἀνοικτ. α'. Ἀποτίθεται καί στρατιώτης τά ὅπλα, καταλείψας τόν πόλεμον· καί θεωρητικός τούς λογισμούς, ἀναλύων πρός Κύριον.

ρ,τέσσ. ἀνοικ. β'. Καί στρατηγός ἐν πολέμῳ σκύλων διαμαρτάνων, ἐν ἀθυμίᾳ καθίσταται· καί πρακτικός ἐν εὐχῇ, θεωρίας πνευματικῆς.

ρ,τέσσ. ἀνοικ. γ'. Ἔλαφος μέν ἐπί σωματικῶν ὑδάτων τρέχει πηγάς, ὑπό [ὄφεως] θηρός ὡς ὁ δηχθείς· ψυχή δέ, ἡ τῷ γλυκυτάτῳ βέλει τρωθεῖσα τῷ τῆς εὐχῆς, ἐπί ἀσωμάτων αὐγάς.

ρ,τέσσ. ἀνοικ. δ'. Οὔτε σωματικός ὀφθαλμός τόν κόκκον τοῦ σίτου ἰδεῖν δύναται, οὔτε νοῦς πρακτικός τήν φύσιν τήν ἑαυτοῦ, εἰ μή γυμνωθῇ, ἐκεῖνος μέν, ἐλύτρου, οὗτος δέ, σχέσεως τῆς περικαλυπτούσης αὐτόν.

τέσσ. ἀνοικ. ε'. Κρύπτοναι ἀστέρες μέν, ἡλίου ἀνατολῇ· λογισμοί δέ ἐκλιμπάνουσι, τοῦ νοῦ πρός τήν οἰκείαν βασιλείαν ἐπαναστρέφοντος.

ρ.τέσσ. ἀνοικ. στ'. Μετά τό τέλός τῆς πρακτικῆς, αἱ πνευματικαί θεωρίαι περιχυθεῖσαι τῷ νῷ, οἷά τινες ἀκτῖνες ἡλίου αἱ τοῦ ὁρίζοντος ὑπερκύψασαι, δοκοῦσιν ἔξωθεν αὐτοῦ προσβάλλειν, οἰκεῖαι οὖσαι, καί διά καθαρότητα ἐκεῖνον περιπτυσσόμεναι.

ρ,τέσσ. ἀνοικ. ζ'. Τοιαῦτα καί νοῦς θεωρητικός ἐκλαλεῖν δύναται, ὅτε ἄνωθεν ἀπ᾿ οὐρανοῦ καταβῇ, φύσεως ἀνάγκαις ἐπικλιθείς· οἷα καί ὁ φθεγξάμενος· Θείου κάλλους τί ὑπάρχει θαυμασιώτερον; καί τίς ἔννοια τῆς τοῦ Θεοῦ μεγαλοπρεπείας χαριεστέρα; Ποῖος δέ οὕτω πόθος δριμύς καί ἀφόρητος, ὡς ὁ ἀπό Θεοῦ ἐγγινόμενος τῇ ἀπό πάσης κακίας κεκαρθαμένῃ ψυχῇ, καί ἀπό διαθέσεως λεγούσῃ, ὅτι Τετρωμένη ἀγάπης ἐγώ;

ρ,τέσσ. ἀνοικ. η'. Ἐκείνου ἐστίν τό λέγειν· Ἐθερμάνθη ἡ καρδία μου ἐντός μου, καί ἐν τῇ μελέτῃ μου ἐκκαυθήσεται πῦρ, (1448) τοῦ μή κοπιῶντος ὀπίσω Θεοῦ κατακολουθεῖν δι᾿ εὐχῆς, μηδέ ἡμέραν ἀνθρώπους ἐπιθυμοῦντος θεάσασθαι.

ρ.τέσσ.ἀνοικ. θ'. Λεγέτω καί ψυχή πρακτική μετά τήν ἀπόθεσιν τῶν κακῶν, κατά τήν ἐν τῷ Ἄισματι ἐπί τῶν ἐκβιαζομένων αὖθις αὐτήν πονηρῶν δαιμόνων καί λογισμῶν, ἐπιβλέπειν εἰς ματαιότητα

καί μανίας ψευδεῖς· Ἐξεδυσάμην τόν χιτῶνά μου, πῶς ἐνδύσομαι αὐτόν; ἐνιψάμην τούς πόδας μου, πῶς μολυνῶ αὐτούς.

σ'. Ὦ ψυχῆς θεοφιλοῦς, τῆς λέγειν τολμώσης πρός Θεόν, Ἀπάγγειλόν μοι, ὁ ποιμήν ὁ καλός, ποῦ ποιμαίνεις τά πρόβατά σου, ποῦ κοιτάζεις ἐν μεσημβρίᾳ τούς ἄρνας σου· ἵνα τούτοις ἀκολουθοῦσα, μή γένωμαι ὡς πεπλανημένη ἐν ἀγέλαις ἑταίρων.

σα'. Ζητοῦσα τόν τῆς εὐχῆς ἡ πρακτική κρατῆσαι λόγον, καί μή δυναμένη, τοιαῦτα, κατά τήν ἐν Ἄισμασι, καί αὐτῇ βοᾷ· Ἐπί κοίτην μου ἐν νυξίν ἐζήτησα ὅν ἠγάπησα· ἐζήτησα, καί οὐχ εὗρον αὐτόν· ἐκάλεσα αὐτόν, καί οὐχ ὑπήκουσέ μου. Ἀναστήσομαι δή δι᾽ εὐχῆς ἐπιπονωτέρας, καί κυκλώσασα ἐν τῇ πόλει ἐν ταῖς πλατείαις καί ταῖς ἀγοραῖς, ζητήσω ὅν ἠγάπησα. Ἴσως εὑρεθήσεταί μοι, ὁ ἐν παντί τῷδε ὤν, καί τοῦ παντός ἔξω. Χορτασθήσομαι ἐν τῷ ὀφθῆναί μοι τήν δόξαν αὐτοῦ.

σβ'. Ὅταν ὅλη δακρύων ἐκ τῆς περί τήν εὐχήν χαρᾶς ἄρξηται γίνεσθαι ἡ ψυχή, τότε καί αὐτήν παῤῥησιαζομένη, ὡς πρός τόν ἑαυτῆς νυμφίον βοᾷ· Καταβήτω ἀδελφίδός μου εἰς κῆπον αὐτοῦ, καί φαγέτω τῶν ἐμῶν ὡς ἀκροδρύων τήν πονηθεῖσαν παράκλησιν.

σγ'. Ὅταν ἡ πρακτική ψυχή ἐκ μεγέθους καί καλλονῆς κτισμάτων θαυμάζειν ἄρξηται τόν Δημιουργόν, καί τῆς ἐκ τούτων κατατρυφᾶν ἡδονῆς, ταῦτα καί αὐτή ἐκπληττομένη βοᾷ· Τί ὡραιώθης, νυμφίε, παράδεισε Πατρός σου. (1449) Ἄνθος τοῦ πεδίου, καί κέδροι αὐτοῦ, ὡς κέδροι τοῦ Λιβάνου. Ὑπό τήν σκιάν αὐτοῦ ἐπεθύμησα, καί ἐκάθισα, καί ὁ καρπός ὤφθη γλυκύς ἐν τῷ λάρυγγί μου.

σδ'. Εἰ ὁ βασιλέα ὑποδεχόμενος εἰς τό δωμάτιον αὐτοῦ, οὕτω περιφανής εὑρίσκεται καί περίδοξος, καί πάσης ἄλλης. . . [ἴσ. ἔμπλεως] χαρᾶς, τί πάθοι ψυχή, ἡ τόν Βασιλέα τῶν βασιλέων ἐν τῷ καθαρθῆναι ὑποδεξαμένη κατά τήν ἀψευδῆ ἐκείνου ὑπόσχεσιν; Καί τί ἐάσει, ἔξω μέν βάλλουσα τό μή εἰς ἀνάπαυσιν ἐκείνῳ δοκοῦν· ἔνδοθεν δέ εἰσάγουσα τό εἰς ἐκείνου ἀρέσκειαν;

σε'. Ὁ κληθῆναι προσδοκῶν παρά βασιλέως τῇ αὔριον, τίνος ἐν φροντίδι ἄλλου ἔσεται, ἤ λόγων μελέτης τῶν εἰς ἐκείνου εἶναι μελλόντων ἀρέσκειαν; Τοῦτο τηροῦσα πᾶσα ψυχή, οὐκ ὀφθήσεται ἀπαρασκεύαστος πρός τό ἐκεῖθεν κριτήριον.

σστ'. Μακαρία ψυχή, ἡ διά τό σήμερον προσδοκᾶν ἥξειν τόν Κύριον ἑαυτῆς, μηδέν ἡγουμένη ὅλως τόν πόνον τῆς ἡμέρας πάσης· μηδέν τόν

τῆς νυκτός, διά τό εὐθέως ἐπί τό πρωΐ τοῦτον μέλλειν αὐτῇ ἐμφανίζεσθαι.

σζ'. Πάντας μέν ὁρᾷ ὁ Θεός· ὁρῶσι δέ τόν Θεόν, οἱ θεωροῦντες μηδέν ἐν τῷ εὔχεσθαι. Καί ὅσοι μέν ὁρῶσι τόν Θεόν, καί εἰσακούονται παρ᾿ αὐτόν. Μακάριος δέ, ὁ πιστεύων ὅτι βλέπεται ὑπό τοῦ Θεοῦ· οὐ σαλευθήσεται γάρ ὁ πούς αὐτοῦ τῆς ἀρεσκείας ἐκείνου χάριν.

σῃ'. Τῆς ἐντός ἡμῶν οὔσης βασιλείας τά ἀγαθά, ὁ φιλόκοσμος ὀφθαλμός οὐκ εἶδε· καί ἀκοή φιλότιμος οὐκ ἤκουσε, καί ἐπί καρδίαν κενήν Πνεύματος ἁγίου οὐκ ἀνέβη· ἀῤῥαβῶνές εἰσι τῶν μελλόντων δίδοσθαι τοῖς δικαίοις ἀγαθῶν ἐν τῇ μελλούσῃ βασιλείᾳ Χριστοῦ· καί ὁ μή ἐν τούτοις τρυφῶν, οἵτινές εἰσιν οἱ καρποί Πνεύματος, ἐν ἀπολαύσει ἐκείνων γενέσθαι οὐ δύναται.

σθ'. Οἱ τῶν πρακτικῶν λογισμοί ἐλάφοις ἐοίκασιν. Ὡς γάρ ἐκεῖναι ποτέ μέν ἄνω εἰσίν ἐν τοῖς ὄρεσι διά τόν φόβον τῶν θηρατῶν, ποτέ δέ κάτω ἐν ταῖς κοιλάσι διά τόν πόθον τῶν ἐν αὐταῖς· οὕτω καί οὗτοι· οὔτε πάντοτε ἐν θεωρίᾳ πνευματικῇ δύνανται εἶναι, διά τό αὐτῶν εὐτελές· οὔτε ἀεί ἐν τῇ φυσικῇ, διά τό μή τήν ἀνάπαυσιν διώκειν ἀεί. Τῶν μέντοι θεωρητικῶν, περιπεζίων ὑπερόπται θεωρημάτων καθίστανται.

σι'. Βόλοι μέν δρόσου, γῆς μεθύσκουσιν αὔλακας διαθέσεις δέ ψυχῆς ἐν εὐχῇ, ἔμβροχοι στεναγμοί ἀπό καρδίας ἀναδιδόμενοι.

σια'. (1452) Τῆς ἐν Τριάδι νοουμένης θεότητος, οὐδείς ἐν θεωρίᾳ ὀφθήσεται, ὑλικῆς δυάδος, καί τῆς γείνονος μονάδος ἄνωθεν μή ὀφθείς· οὐδέ ταύτης γενήσεται ὑψηλότερος, μή μοναδικόν τόν ἑαυτοῦ νοουμένοις ἐργασάμενος νοῦν.

σιβ'. Οὐ τοσοῦτον δυσχερές εὑρεθήσεται τό ποταμοῦ ἀνακόψαι ὁδόν ἐπί τά κάτω μή φέρεσθαι, ὅσον νοῦν ῥύμην ἀναχαιτίσαι, μή ἐν τοῖς ὁρωμένοις σκεδάννυσθαι, πρός δέ τά ἄνω καί συγγενῆ, ὅτε βούλεται τῷ εὐχομένῳ συνάγεσθαι· κἄν τοῦτο μέν κατά φύσιν, ἐκεῖνο δέ παρά φύσιν καθέστηκεν.

σιγ'. Τόν νοῦν οἱ καθαιρόμενοι εἴσω [ἔξω] τῶν ὁρωμένων παραπέμποντες, τοσούτου πίμλανται θάμβους, καί τοσαύτης πληροῦνται χαρᾶς, ὡς μηδέν ἕτερον χωρῆσαι τῶν ἐπιγείων δύνασθαι, μηδ᾿ ἄν εἰ πάντα πρός αὐτούς συῤῥυεῖεν τά περιμάχητα.

σιδ᾿ Ἐξαρκοῦσι καί μόνοι οἱ νόμοι ῥηθέντες τῆς φύσεως, πρός τό λίαν θαυμάζεσθαι· κατανοούμενοι δέ, λειμῶνες εὑρίσκονται εὐανθεῖς,

ὡς ἐξ οὐρανίου νέκταρος, ἀκηράτοις βρύοντες ἄνθεσι τῆς πνευματικῆς πανδαισίας τόν γλυκασμόν.

σιε'. Ἐν δροσεροῖς μέν ἄνθεσι λειμώνων τήν βασιλίδα τοῦ σμήνους περιζάνουσι μέλιτται· ἐν κατανύξει δέ τῇ γενομένῃ ἀδιαλείπτως ψυχῇ, ὡς οἰκεῖαι αἱ νοεραί δυνάμεις περικυκλοῦσαι, συνεκποθοῦσι τά καταθύμια.

σιστ'. Ἐν μέν τῷ ὁρωμένῳ κόσμῳ, ὡς ἄλλος τις κόσμος ὁρᾶται ὁ ἄνθρωπος· ἐν δέ τῷ νοουμένῳ, ὁ λογισμός· οὐρανοῦ μέν γάρ καί τῶν ἐν μέσῳ οὗτος ἐκείνῳ καταγγελεύς· νοῦ δέ καί αἰσθήσεως, καί τῶν περί αὐτά, ὑποφήτης ὑπάρχει ὁ λογισμός· ὧν ἄνευ, ἀμφότεροι κόσμοι ἐκεκώφωντο ἄν.

σιζ'. Οὐχ οὕτως ἀπολυθείς αἰχμάλωτος διά χρόνον πορεύεται, ὡς νοῦς τῶν ὑλικῶν σχέσεων ἐλευθερωθείς, πρός τά οὐράνια ὡς πρός τά οἰκεῖα πορεύεται ἀγαλλομένῳ ποδί.

σιη'. Τῷ μή μετά προσοχῆς εὐχομένῳ, ἀλλά διαχεομένῳ, βάρβαρος μέν ὁ ψαλμός λογισθήσεται· αὐτός δέ τῷ ψαλμῷ, ὡς βάρβαρος· καί ὡς μαινόμενοι ἀμφότεροι δαίμοσιν.

σιθ'. (1453) Οὐ ταὐτόν ἐστιν οἷς ἐσταυρώθη ὁ κόσμος, καί οἵτινες τῷ κόσμῳ ἐσταύρωνται. Τοῖς μέν γάρ, ἧλοι νηστεία καί ἀγρυπνία· τοῖς δέ, ἀκτημοσύνη καί ἐξουδένωσις. Τῶν δέ δευτέρων χωρίς, οἱ πόνοι τῶν προτέρων ἀνωφελεῖς.

σκ'. Οὐ καθαρῶς δύναται προσεύξασθαι, ὁ φιλοκάλῳ πάθει καί φιλοτίμῳ κρατούμενος. Περί ταῦτα γάρ αἱ σχέσεις, καί οἱ τῆς ματαιότητος λογισμοί τήν οἰκειότητα ἔχοντες, σχοινία καθάπερ ἐκείνῳ περιπλεκόμενοι γίνονται, κατασπῶντες ὡς οἷα στρουθίον δεδεμένον ἀναπτῆναι πειρώμενον ἐν τῷ καιρῷ τῆς εὐχῆς.

σκα'. Ἀδύνατον εἰρηνικόν γενέσθαι τόν νοῦν ἐν εὐχῇ, ἐγκράτειαν καί ἀγάπην φίλην τόν μή κτησάμενον. Ἡ μέν γάρ, τήν κατά τῆς ψυχῆς ἐκ τοῦ σώματος ἔχθραν καταλύειν ἐπαγωνίζεσθαι· ἡ δέ, τήν πρός τόν πλησίον διά τόν Θεόν. Κἀντεῦθεν ἡ ὑπερέχουσα πάντα νοῦν εἰρήνη ἐπιδημοῦσα, μόνην ποιεῖσθαι πρός τόν οὑτωσί κατειρηνεύσαντα ἐπηγγείλατο.

σκβ'. Ἀνάγκη τοῦ εἰς βασιλείαν Θεοῦ ἀγωνιζομένου εἰσελθεῖν, περισσεύειν ἐν ἀγαθοῖς τό ἔργον τῆς δικαιοσύνης αὐτοῦ· ἐν ἐλεημοσύναις μέν, διά τῆς ἐκ τοῦ ὑστερήματος παροχῆς· ἐν πόνοις δέ, τοῖς ὑπέρ τῆς εἰρήνης, διά τοῦ ἀποστερήματος τῆς ἐν Κυρίῳ ὑπομονῆς.

σκγ'. Οὔτε ὁ ἐνδεῶς πρός ἀρετήν ἔχων διά τήν ἀμέλειαν, οὔτε ὁ περιττῶς διά τήν οἴησιν, εἴσω λιμένος τοῦ κατά τήν ἀπάθειαν εὑρεθήσονται. Οὐδέτερος γάρ τῶν ἐκ δικαιοσύνης ἐν ἀπολαύσει γέγονεν ἀγαθῶν, μεσίτιδος εὑρισκομένης αὐτοῖς, ἐλλείψεως καί ὑπερβολῆς.

σξδ'. Οὔτε ἡ γῆ εἰ μή πολυπλασίονα τῷ γεωργῷ τόν πόνον χαρίσηται, εὔπορον καί ἀνενδεῆ ἀπεργάσεται αὐτόν, μόνον τόν σπόρον παρεχομένη, ἤ καί μικράν τινα προσθήκην· οὔτε τῷ πρακτικῷ τό ἀνυόμενον ἔργον, εἰ μή κρεῖττον τῆς προαιρέσεως αὐτοῦ ἡ σπουδή εὑρεθείη, πρός τόν Θεόν δίκαιον ἀπεργάσασθαι δύναται.

σκε'. Οὔτε πάντες οἱ μή ἀγαπῶντες τόν πλησίον μισεῖν δύνανται· οὔτε οἱ μή μισοῦντες αὐτόν ἀγαπᾷν· καί ἄλλο μέν ἐστι, τό βασκαίνειν ἐκείνου τήν ἀρετήν· ἕτερον δέ τό μή ἐμποδών αὐτῷ εὑρίσκεσθαι πρός προκοπήν. Ἐσχάτης δέ κακίας εὑρεθήσεται βαθμός, (1456) τό μή μόνον δάκνεσθαι ἐπί τοῖς ἐκείνου προτερήμασιν, ἀλλά καί τό διαβάλλειν τά ἐκείνου καλά, ὡς οὐ τοιαῦτα τυγχάνουσιν.

σκστ'. Ἄλλα τά σωματικά πάθη, καί ἄλλα εἰσί τά ψυχικά· ἄλλα τά κατά φύσιν, καί ἄλλα τά παρά φύσιν. Ὁ γοῦν τά μέν ἀπωθούμενος, τῶν δέ πρόνοιαν μή ποιούμενος, ὅμοιός ἐστιν ἀνθρώπῳ φραγμόν μέν ὑψηλόν καί συνερεφῆ κατά τῶν θηρίων ἱστῶντι, συνηδομένῳ δέ τοῖς πτηνοῖς ἐσθίουσιν τάς τοῦ λογικοῦ ἀμπελῶνος περιφανεῖς σταφυλάς.

σκζ'. Ἐν πρώτοις ἡ ψυχή ἐν φαντασίᾳ γίνεται τοῦ κακοῦ· εἶτα ἐν ἐπιθυμίᾳ· ἔπειτα ἐν ἡδονῇ ἤ λύπῃ· εἶθ᾽ οὕτως ἐν αἰσθήσει· εἶτα μετ᾽ αὐτήν ἐν ἀφῇ, τῇ φαινομένῃ καί ἀφανεῖ· ἐν πᾶσι συνεπομένων τῶν λογισμῶν, πλήν τῆς προτέρας κινήσεως· ἧς μή παραδεχομένης, πᾶν τό μετ᾽ αὐτήν κακόν ἀνενέργητον εὑρεθήσεται.

σκη'. Οἱ μέν τῇ ἀπαθείᾳ ἐγγίζοντες, φαντασίαις [οὐ] σαλεύονται· ἐπιθυμίαις δέ, οἱ μετριοπαθεῖς· σχέσεσι δέ, οἱ ἡδυπαθεῖς. Ἐν αἰσθήσει δέ γίνονται τοῦ κακοῦ, οἱ παραχρώμενοι μέν τά τῆς χρείας, λυπούμενοι δε· ἐν δέ ἀφῇ, οἱ ἀλύπως αὐτῇ συγγινόμενοι.

σκθ'. Ἡδονή, ἐν πᾶσι μέν τοῖς τοῦ σώματος ἐγκαθίδρυται μέλεσι· οὐ πᾶσιν δέ ὡσαύτως παρενοχλοῦσα φαίνεται· ἀλλά τοῖς μέν, μᾶλλον εἰς τό ἐπιθυμητικόν τῆς ψυχῆς μέρος· τοῖς δέ, εἰς τό θυμικόν· ἑτέροις δέ, εἰς τό ταύτης λογιστικόν· διά γαστριμαργίας, ὀξυχολίας τε καί πονηρίας, τῆς πάντων αἰτίου τῶν ἀνοσίων παθῶν.

σλ'. Οὐκοῦν ἀνάγκη τά αἰσθητήρια, ὡς πύλας ἀνοίγειν τῆς πόλεως. Ἀνάγκη δέ μή συγχωρεῖν ἐν τῇ τῶν ἀναγκαίων ἀνοίξει,

συνεισέρχεσθαι τά τούς πολεμίους θέλοντα, καί μάχης αἴτια καθιστάμενα.

σλα'. Ἐνέργεια ἡδονῆς μέν, ἐπιθυμία· θυμοῦ δέ, ὀξυχολία· βασκανίας δέ, πονηρία καθίσταται. Οὐκ εἰρηνεύει δέ μετά τῶν ἐσχάτων, ὁ μή κατά τῶν ἀρχόντων ἀγωνιζόμενος· οὐδέ εἰς τόν τῆς μετριοπαθείας δύναται λιμένα εἰσέρχεσθαι, ὁ βίᾳ τάς ἐντολάς μετερχόμενος.

σλβ'. (1457) Τάς προσβολάς οἱ ἀποκρουόμενοι, οὐ συγχωροῦσιν ἔνδοθεν τοῦ λογικοῦ ἀμπελῶνος ὡς θηρία τούς λογισμούς εἰσέρχεσθαι, καί τῶν ἐκείνου ἐν λύμῃ καθίστασθαι· οἱ δέ συνδυάζονται μέν, ἁπλῶς δέ εἰσέρχεσθαι αὐτούς συγχωροῦσιν, μή ἅπτεσθαι δέ μηδενός τῶν αὐτῶν· οἵ καί ἡδέως μέν συνομιλοῦσι τοῖς πάθεσι διά τῶν λογισμῶν, εἰς συγκατάθεσιν δέ μή ἐρχόμενοι, ὡμοιώθησαν τοῖς ἐάσασι τόν μονιόν ἔνδοθεν μέν τοῦ φραγμοῦ εἰσελθεῖν, ἐν κόρῳ δέ αὐτόν τῶν τοῦ ἀμπελῶνος γενέσθαι βοτρύων μή συγχωρήσασιν· εἶτα εὗρον αὐτόν τῆς ἑαυτῶν δυνάμεως ἰσχυρότερον, οἱ ἐν συγκαταθέσει πολλάκις παθῶν εὑρισκόμενοι.

σλγ'. Οὔπω ἔφθασεν εἰς ἁπλότητα, ὁ ἔτι δεόμενος ἐπιμελείας φραγμοῦ τοῦ κατά τήν ἐγκράτειαν.Ὁ τέλειος γάρ, φησίν, οὐκ ἐγκρατεύεται· ἔοικε δέ τινι ἔχοντι ἄμπελον, ἤ ἄρουραν, οὐ μέσον πολλῶν ἄλλων ἀμπελώνων καί χώρων, ἀλλ᾽ ἐν γωνίᾳ που· καί διά τοῦτο δεομένῳ πολλῆς τῆς φυλακῆς καί τῆς νήψεως. Τοῦ γάρ εἰς ἁπλότητα φθάσαντος, ἐκ παντός ἀνέπαφος ἡ ἄμπελος γίνεται, βασιλέως καθάπερ ἤ τινος ἄλλου παραδυναστεύοντος φοβεροῦ, καί μόνης ἐξ ἀκοῆς, τούς τε κλέπτας καί παροδίτας παρασκευάζοντος φρίττειν τήν ἐπιχείρησιν.

σλδ'. Πολλοί μέν εἰς τόν τῆς κακοπαθείας σταυρόν ἀνέρχονται· ὀλίγοι δέ τούς ἥλους αὐτοῦ καταδέχονται· προαιρετικῆς μέν εὐπειθείας δοῦλοι πολλοί· ἀπροαιρέτου δέ αἰσχύνης, μόνοι οἱ τό φιλότιμον καταλύσαντες.

σλε'. Πάντας μέν τούς δερματίνους χιτῶνας πολλοί ἐξεδύσαντο· ὡς ἔσχατον δέ τόν τῆς κενοδοξίας, μόνον οἱ μητέρα αὐτῆς τήν αὐταρέσκειαν βδελυξάμενοι.

σλστ'. (1460) Ἔπαινον ἀνθρώπων καί ἄνεσιν σώματος, ὁ ἀποδεχόμενος μέν, οὐ καταδεχόμενος δέ, οὗτος τοῦ ἐσχάτου τῆς κενοδοξίας χιτῶνος γυμνός γεγονώς, τοῦ ἐν πολλοῖς στεναγμοῖς

ἐπιζητουμένου οἰκητηρίου τοῦ ἐκ οὐρανοῦ τήν φαιδρότητα ἀπ᾽ ἐντεῦθεν ἠξιώθη ἐνδύσασθαι.

σλζ'. Ἄλλο ἐνέργεια, καί ἄλλο ἐνέργημα. Καί τό μέν, ἁμαρτίας ἀπηρτισμένης ἐστί δεικτικόν· τό δέ, ἡδυπαθείας μόνης τῆς ἔνδοθεν ἐνηργημένης, ἀλλ᾽ ἐκτός. Ὡς οἱ τῆς ἰδίας μέν μή κατακινούμενοι γῆς, δασμοφοροῦντες δέ ὅμως τοῖς καταδυναστεύουσι τά αὐτοῖς καταθύμια.

σλη'. Τῆς γεύσεως κρατούσης ἐν ἡδοναῖς, ἀδύνατον μή καί πάσας τάς αἰσθήσεις συνέπεσθαι, κἄν τῶν ψυχροτέρων εἰρηνεύειν δοκῶσι τά ὑπογάστρια, ὡς τῶν γεγηρακότων πύρωσιν ἐκ πυρός [μή] δεξαμένων. Ἀλλ᾽ οὐ περί τό γεννᾷν σώφρων ἡ στεῖρα μοιχευομένη κριθήσεται. Σωφρονεῖν δέ πάντα τόν μή πορνεύοντα εἴποιμι ἄν, μηδέ ὁράσει κατακηλούμενον.

σλθ'. Ἐν τροφαῖς καί μορφαῖς καί φωναῖς, τό ἐπιθυμητικόν τῆς ψυχῆς ἐλέγχεται, οἷόν ἐστιν ταῖς θελητικαῖς τε καί ἄλλως ἐχούσαις [ὁρμαῖς] ἐν γεύσει, καί ὄψει, καί ἀκοῇ, εἴτε ὡς χρώμενον αὐταῖς, εἴτε ὡς παραχρώμενον, εἴτε μέσον πρός ἀμφότερα εὑρισκόμενον.

σμ'. Ἐν οἷς ὁ φόβος οὐ προηγεῖται, ὡς πρόβατα μή ἔχοντα ποιμένα ἐν συγχύσει, οἱ λογισμοί εὑρεθήσονται· ἐν εὐταξίᾳ δέ, καί μάνδρας εἴσω κατά τήν εὐνομίαν ἐφεπομένου, ἤ προηγουμένου αὐτοῦ.

σμα'. Τῆς πίστεως, ὁ φόβος υἱός· τῶν ἐντολῶν δέ οὗτος νομεύς· καί ὁ μή τήν μητέρα τούτου κτησάμενος, πρόβατον ὀφθῆναι τῆς κατά Κύριον νομῆς οὐκ ἀξιωθήσεται.

σμβ'. Οἱ μέν τάς ἀρχάς μόνας ἔχουσι τῶν καλῶν· οἱ δέ, καί τάς τούτων μεσότητας· οἱ δέ, καί τά τέλη αὐτῶν· ὧν ἄνευ, ὡς στρατιώτης ψιλός ἕκαστος εὑρεθήσεται ἤ ἀξιωματικός, τῶν σιτηρεσίων ἐκτός. Καί διά τοῦτο, ὁ μέν τήν ἑαυτοῦ μόνον καί μόλις οἰκίαν ἀπό τῶν ἐπιχειρούντων αὐτήν ἐπηρεάζειν συντηρῶν· ὁ δέ οὐκ ἐν τιμῇ τῇ προσηκούσῃ εὑρισκόμενος, ἐν οἷς ἄν συνέρχηται.

σμγ'. Οἱ ταῖς ἡδοναῖς συνέρχεσθαι παρακαλοῦντες τοῦ φάρυγγος ἐντελεῖς ὄντας, ὅμοιόν τι ποιοῦσι τοῖς ἀναθερίζειν κελευομένοις τά εἰς ὑγείαν πληγάς ἤδη ἐλθούσας· ἤ τάς ψώρας διά τήν ἡδύτητα κνήθειν· ἤ τά τόν πυρετόν ἀνάπτοντα ἐσθίειν, ἤ (1461) ἀποφράττειν τόν ἀμπελῶνα αὐτοῦ, καί συγχωρεῖν εἰσέρχεσθαι σύν ταῖς ἐννοίαις ταῖς ἀγαθαῖς, ὡς μονιόν ἄγριον τό φρόνημα τῆς σαρκός, ὡς σταφυλάς διαβόσκεσθαι. Οἷς οὐ πείθεσθαι χρή, οὐδέ ταῖς ἀκαίροις κάμπτεσθαι κολακείαις ἀνθρώπων τε καί παθῶν· κατοχυροῦν δέ τόν φραγμόν δι᾽

ἐγκρατείας, ἕως παύσωνται οἵ τε θῆρες, τά σαρκικά πάθη, ὠρύεσθαι, καί ὡς πετεινά οἱ μάταιοι λογισμοί, μή καταβαίνειν λυμαίνεσθαι, τήν ὡς ἄμπελον εὐθηνουμένην ψυχήν θεωρίαις ταῖς ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν. Ἀμήν.

*Ἐκ τῶν ξγ'. ἀπόρων, Πρός τόν θειότατον βασιλέα τόν Ἀχριδήν.*

Τό γάρ Πνεῦμα τό ἅγιον, ὥσπερ φύσει κατ᾽ οὐσίαν ἐστί τοῦ Θεοῦ καί Πατρός, οὕτως καί τοῦ Υἱοῦ φύσει κατ᾽ οὐσίαν ὑπάρχει, ὡς ἐκ τοῦ Πατρός οὐσιωδῶς δι᾽ υἱοῦ τοῦ γεννηθέντος ἀφράστως ἐκπορευόμενον. Οὐκ ἔστιν οὖν ἐπινοῆσαι τομήν ἤ διαίρεσιν κατ᾽ οὐδένα τρόπον, ὡς ἤ τόν Πατέρα χωρίς τοῦ Υἱοῦ ἐπινοηθῆναι, ἤ τόν Υἱόν χωρίς τοῦ Πνεύματος, ἀλλ᾽ ἔστι τις ἄῤῥητος καί ἀκατανόητος ἐν τούτοις καί ἕνωσις καί διαίρεσις, οὔτε τῆς τῶν ὑποστάσεων διαφορᾶς τό συνεχές τῶν φύσεων [φυσικῶν] διασπώσης, οὔτε τῆς κατά τήν οὐσίαν συναφείας τό ἴδιον τῶν γνωρισμάτων ἀναχεούσης· καί ἔστιν ἐπί τούτων. . . διάκρισις συνημμένη, καί διακεκριμένη συνάφεια. Προκείσεται δέ καί τι πρός ἐπίγνωσιν ἀμυδράν ὑπόδειγμα· μᾶλλον δέ σκιά τῆς ἀληθείας, ἡ πολύχρονος ἶρις. Πάντων γάρ τῶν ἐν ταύτῃ χρωμάτων αἱ αὐγαί, καί διακεκριμέναι φαίνονται, τῷ τηλαυγεῖ εἶναι, καί συνηνῶσθαι δοκοῦσι, τῷ λανθάνειν τάς ὄψεις ἡμῶν τούς ὅρους τῶν μίξεων, τούς διακρίνοντας τάς τῶν χροῶν ἑτερότητας· ὡς ἀμήχανον ἐξευρεῖν, μέχρι τίνος ἕστηκε τό πυραυγές ἤ σμαραγδίζον ταῖς αἴγλαις, ἤ χλοάζον ταῖς λαμπηδόσι [τάς λαμπηδόνας], καί ἐπί τίνος ἄρχεται· παιδεύοντος, οἶμαι, τοῦ, λόγου καί διά τῆς κτίσεως ἡμᾶς, μή καινοπαθεῖν τοῖς περί τῶν δογμάτων λόγοις, ὅταν εἰς τό δυσθεώρητον ἐμπεσόντες, πρός τήν συγκατάθεσιν τῶν λεγομένων ἰλιγγιάσωμεν. Ὡς γάρ ἐπί τῶν τοῖς ὀφθαλμοῖς φαινομένων κρείττων λόγου ἡ πεῖρα, οὕτως καί ἐπί τῶν ὑπεραναβεβηκότων δογμάτων κρείττων ἡ πίστις ἔστω τῆς διά τῶν λογισμῶν καταλήψεως.

(PG 91)


ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΜΑΞΙΜΟΥ ΤΟΥ ΟΜΟΛΟΓΗΤΟΥ 779
ΠΡΟΣ ΜΑΡΙΝΟΝ ΤΟΝ ΟΣΙΩΤΑΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟΝ 779
Περί φυσικοῦ θελήματος, ἤγουν θελήσεως. 780

Περί βουλήσεως. 781
Περί βουλῆς ἤγουν βουλεύσεως. 781
Περί προαιρέσεως. 782
Περί τίνων βουλευόμεθα. 782
Περί γνώμης. 783
Περί ἐξουσίας. 783
Περί δόξης 783
Περί φρονήματος(ε), ἤγουν φρονήσεως. 784
Ὅτι κατά πάντα τρόπον οὐκ ἔσται μετά τήν ἀνάστασιν ἕν τό θέλημα τῶν ἁγίων πρός ἀλλήλους καί τόν Θεόν, κἄν ἕν πᾶσι τό θεληθέν, ὥς τινες λέγουσιν. 785
Ὅτιπερ ἕν θέλημα οὐ δυνατόν ἐπί Χριστοῦ λέγεσθαι· εἴτε φυσικόν, εἴτε προαιρετικόν λεχθῇ, καθώς τισιν ἔδοξεν. 788
ΣΧΟΛΙΑ. 792
Ἐκ τῆς περί ἐνεργειῶν καί θελημάτων πραγματείας, κεφάλ. ν΄(ι). 793
Ἐκ τῆς αὐτῆς πραγματείας κεφάλ. να΄. 796
Ὅτι δύο θελήματα λέγοντες οἱ Πατέρες ἐπί Χριστοῦ, τούς φυσικούς νόμους, οὐ τάς γνώμας ἐσήμαναν. 796
Πρός ΓΕΩΡΓΙΟΝ τόν ὁσιώτατον πρεσβύτερον καί ἡγούμενον, ἐρωτήσαντα δι᾽ ἐπιστολῆς περί τοῦ κατά Χριστόν μυστηρίου. 801
Πρός τούς λέγοντας, ὅτι μίαν Χριστοῦ χρή λέγειν ἐνέργειαν κατ᾽ ἐπικράτειαν· διά τό ὡς δραστικωτέραν τήν θείαν αὐτοῦ, κατεπικρατεῖν τῆς ἀνθρωπίνης οὕτω χρή ἀπολογεῖσθαι. 804
Πρός τούς λέγοντας, ὅτι Ὥσπερ ὀργάνου καί τοῦ κινοῦντος μία ἐνέργεια, οὕτως καί θεότητος καί ἀνθρωπότητος μία ἐνέργεια. 805
Πρός τούς λέγοντας, μίαν σύνθετον τοῦ Χριστοῦ ἐνέργειαν. 805
Περί τοῦ «Πάτερ, εἰ δυνατόν, παρελθέτω ἀπ᾽ ἐμοῦ τό ποτήριον». 805
ΣΧΟΛΙΟΝ 807
Τόμος δογματικός σταλείς ἐν Κύπρῳ πρός Μαρῖνον διάκονον. 807
ΣΧΟΛΙΑ. 818
ΙΣΟΝ 818
Ἐπιστολῆς γενομένης πρός τόν ἁγιώτατον ἐπίσκοπον κύριον Νίκανδρον, παρά τοῦ ἐν ἁγίοις Μαξίμου, περί τῶν δύο ἐν Χριστῷ ἐνεργειῶν. 818
ΣΧΟΛΙΟΝ 829

(193) Ἴσον ἐπιστολῆς πρός τόν κύριον Μαρῖνον τόν πρεσβύτερον τῆς Κύπρου. 839
Ἐκ τῆς ἐπιστολῆς τῆς ἐν Ῥώμῃ γραφείσης. 842
Περί τῶν δύο τοῦ Χριστοῦ φύσεων. 842
Ὅροι διάφοροι. 845
Πνευματικός τόμος καί δογματικός, ἀποδεικνύς τήν κατά καινοτομίαν γεγονυῖαν ἐπείσακτον ἔκθεσιν Ἡρακλείου τοῦ βασιλέως, ἐξ ὑποστολῆς Σεργίου τοῦ Κωνσταντινουπόλεως προέδρου, ἀπᾴδουσα μέν τῶν ἱερῶν Λογίων τε καί Πατέρων· συνᾴδουσα δέ τοῖς ἀνιέροις αἱρετικοῖς τοῖς τήν τε σύγχυσιν ἅμα, καί τήν διαίρεσιν τερατολογοῦσιν ἐπί τοῦ κατά Χριστόν τόν Θεόν ἡμῶν μυστηρίου. Γραφεῖσα ἀπό Ῥώμης πρός Στέφανον τόν ἁγιώτατον ἐπίσκοπον Δώρων, τελοῦντα ὑπό τόν ἅγιον καί ἀποστολικόν θρόνον τῆς ἁγίας Χριστοῦ τοῦ θεοῦ ἡμῶν πόλεως. 847
Περί θελημάτων β΄ τοῦ ἑνός Χριστοῦ τοῦ Θεοῦ ἡμῶν. 862
ΣΧΟΛΙΑ. 876
Περί ὅρων διαστολῶν. 876
(213) ΣΧΟΛΙΟΝ. 877
Ὅροι ἑνώσεων. 877
THEODORI BYZANTINI, MONOTHELITAE 878
THEODORI BYZANTINI, MONOTHELITAE QUAESTIONES CUM MAXIMI SOLUTIONIBUS. 878
Πρώτη ἀπορία Θεοδώρου διακόνου Βυζαντίου ῥήτορος, καί συνοδικαρίου Παύλου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως. 878
Τοῦ αὐτοῦ δευτέρα ἀπορία. 878
SANCTI MAXIMI SOLUTIONES 878
Μαξίμου μοναχοῦ πρός Μαρῖνον πρεσβύτερον Ἐπίλυσις τῶν προτεταγμένων ἀποριῶν ὑπό Θεοδώρου διακόνου καί ῥήτορος, λύσις α΄. Σελ. 217 878
Τοῦ αὐτοῦ ἁγίου Μαξίμου ἐπίλυσις τοῦ δευτέρου ἀτόπου. 881
ΤΟΜΟΣ ΔΟΓΜΑΤΙΚΟΣ ΠΡΟΣ ΜΑΡΙΝΟΝ ΠΡΕΣΒΥΤΕΡΟΝ. Σελ. 228. 884
Περί ποιότητος, ἰδιότητος, καί διαφορᾶς, Θεοδώρῳ πρεσβυτέρῳ τῷ ἐν Μαζαρίῳ. Σελ. 246. 893
Κεφάλαια περ᾽ οὐσίας καί φύσεως, ὑποστάσεως τε καί προσώπου. Σελ. 260 901

Τοῦ ἁγιωτάτου Κλήμεντος πρεσβυτέρου Ἀλεξανδρείας ἐκ τοῦ Περί Προνοίας. 902
Τοῦ πανσόφου Μαξίμου ὅρος ὑποστάσεως. 902
Τοῦ μακαριωτάτου Εὐλογίου πάπα Ἀλεξανδρείας, κεφάλαια ἑπτά περί τῶν δύο φύσεων τοῦ Κυρίου καί Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. 902
Περί οὐσίας καί φύσεως καί ὑποστάσεως. 903
Ὅτι ἀδύνατον ἕν θέλημα λέγειν ἐπί Χριστοῦ. Σελ. 268 904
Κεφάλαια ι΄ περί τῶν δύο θελημάτων τοῦ Κυρίου καί Θεοῦ καί Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἐγράφη δέ πρός ὀρθοδόξους. Σελ. 268. 906
(276) Ἐκ τῶν ἐρωτηθέντων αὐτῷ παρά Θεοδώρου μοναχοῦ. 908
Τοῦ ἁγίου Εἰρηναίου ἐπισκόπου Λουγδούνων, μαθητοῦ τοῦ ἁγίου Ἰωάννου τοῦ ἀποστόλου καί εὐαγγελιστοῦ, ἐκ τῶν πρός Δημάτριον διάκονον Βιαίνης περί πίστεως λόγων · οὗ ἡ ἀρχή, "Ζητῶν τόν Θεόν, ἄκουε τοῦ Δαυΐδ λέγοντος." 908
Κλήμεντος τοῦ Στρωματέως ἐκ τοῦ Περί Προνοίας λόγου. 909
(277) Τοῦ ἁγίου Ἀλεξάνδρου πάπα Ἀλεξανδρείας, ἐκ τῆς πρός Αἴγλωνα ἐπίσκοπον Κυνυπόλεως κατά Ἀρειανῶν Ἐπιστολῆς. 909
Τοῦ ἁγίου Εὐσταθίου Πατριάρχου Ἀντιοχείας, ἐκ τοῦ Περί ψυχῆς λόγου. 909
Τοῦ ἁγίου Ἀθανασίου πάπα Ἀλεξανδρείας, ἐκ τοῦ Περί πίστεως μείζονος λόγου. 909
Τοῦ ἁγίου Γρηγορίου ἐπισκόπου Νύσσης, ἐκ τοῦ Κατά Ἀπολιναρίου λόγου. 909
Τοῦ ἁγίου Διαδόχου ἐπισκόπου Φωτικῆς, ἐκ τοῦ ἕκτου κεφαλαίου τῶν Ἀσκητικῶν. 909
Τοῦ ἁγίου Ἀναστασίου πατριάρχου Ἀντιοχείας. 909
Τοῦ ἁγίου Νεμεσίου ἐπισκόπου Ἐμέσης. 910
Τοῦ αὐτοῦ· Κατά τί λογικός ὁ ἄνθρωπος, καί τί ἐνδιάθετος λόγος, καί τί προφορικός; 910
(280) Τοῦ ἁγίου Μαξίμου, ἐκ τῶν περί θελημάτων αὐτοῦ συλλογισμῶν· τί φυσικόν θέλημα, καί τί γνωμικόν; 910
Τοῦ αὐτοῦ, ἐκ τῆς πρός Μαρῖνον πρεσβύτερον ἐπιστολῆς, Τί θέλησις, καί τί προαίρεσις; 910
ΟΡΟΙ ΔΙΑΦΟΡΟΙ 910

Τῶν ἁγίων καί θεοφόρων Πατέρων ἡμῶν, περί τῶν δύο ἐνεργειῶν τοῦ Κυρίου καί Θεοῦ καί Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. Σελ. 280. 910
Τοῦ ἁγίου Ἰουστίνου φιλοσόφου, καί τέλος μάρτυρος, ἐκ τοῦ πρός Εὐφράσιον σοφιστήν, περί Προνοίας καί Πίστεως λόγου, οὗ ἡ ἀρχή· "Ἄχραντος ὁ Λόγος." 910
Τοῦ αὐτοῦ, ἐκ τοῦ αὐτοῦ λόγου. 911
Τοῦ ἁγίου Ἀλεξάνδρου, ἐκ τῆς πρός Αἴγλωνα ἐπίσκοπον Κυνοπόλεως κατά Ἀρειανῶν ἐπιστολῆς. 911
Γρηγορίου Νύσσης. 911
Τοῦ Χρυσοστόμου. 911
Τοῦ ἁγίου Κυρίλλου. 912
Τοῦ ἁγίου Βασιλείου. 912
Τοῦ αὐτοῦ, ἐκ τῶν κατ᾽ Εὐνομίου. 912
Τοῦ ἁγίου Γρηγορίου Νύσσης. 912
Κυρίλλου. 913
Τοῦ ἁγίου Ἀμβροσίου ἐπισκόπου Μεδιολάνων, ἐκ τοῦ πρός Γρατιανόν τόν βασιλέα δευτέρου λόγου. 913
Τοῦ ἁγίου Βασιλείου, ἐκ τῶν κατά Εὐνομίου συλλογισμῶν. 914
MAXIMI DISPUTATIO CUM PYRRHO (288) 914
ΠΑΡΑΣΗΜΕΙΩΣΙΣ ΤΗΣ ΓΕΝΟΜΕΝΗΣ ΖΗΤΗΣΕΩΣ χάριν τῶν κεκινημένων περί τῶν ἐκκλησιαστικῶν δογμάτων, παρουσίᾳ Γρηγορίου τῇ εὐσεβεστάτου πατρικίου, καί τῶν συνευρεθέντων αὐτῷ ὁσιωτάτων ἐπισκόπων, καί λοιπῶν θεοφιλῶν καί ἐνδόξων ἀνδρῶν, παρά Πύῤῥου, τοῦ γενομένου πατριάρχου Κωνσταντινουπόλεως, καί Μαξίμου τοῦ εὐλαβεστάτου μοναχοῦ, μηνί Ἰουλίῳ, ἰνδικτίωνος γ΄. Πύῤῥου μέν συμμαχοῦντος τῇ παρεισαχθείσῃ παρ᾽ αὐτοῦ τε, καί τοῦ πρό αὐτοῦ ἐν τῷ Βυζαντίῳ καινοτομίᾳ· τουτέστιν· ἑνός θελήματος· Μαξίμου δέ συνηγοροῦντος τῇ ἄνωθεν εἰς ἡμᾶς ἐλθούσῃ πατρικῇ τε καί ἀποστολικῇ διδασκαλίᾳ· διά τοῦ ῥηθέντος ὑπερφυοῦς ἀνδρός, φημί δέ Γρηγορίου τοῦ ὑπερτίμου πατρικίου, τῶν λεχθέντων ἀνδρῶν· τουτέστιν Πύῤῥου καί Μαξίμου, ἀλλήλοις προσοψισθέντων. Προκατήρξατο δέ τῆς πρός Μάξιμον διαλέξεως ὁ Πύῤῥος, οὕτως εἰπών. 914
Τοῦ μακαρίου Μαξίμου μοναχοῦ, Περί ψυχῆς. Σελ. 353. 950
Τί τό καταληπτικόν τῆς ψυχῆς κριτήριον. 950

Εἰ ἔστι ψυχή. 950
Εἰ οὐσία ἐστίν ἡ ψυχή. 950
Εἰ ἀσώματος ἡ ψυχή. 951
Εἰ ἁπλῆ ἡ ψυχή. 951
Εἰ ἀθάνατος ἡ ψυχή. 952
Εἰ λογική ἡ ψυχή. 952
Τί ψυχή. 953
Τί δέ νοῦς. 953
Τί φρένες. 953
Τί τρόπος. 953
Τί αἴσθησις. 953
Τί πνεῦμα. 953
S. MAXIMI CONFESSORIS EPISTOLAE 954
Α΄. - ΛΟΓΟΣ ΠΑΡΑΙΝΕΤΙΚΟΣ Σελ. 364. 954
Ἐν εἴδει ἐπιστολῆς 954
Πρός τόν δοῦλον τοῦ θεοῦ κύριον Γεώργιον τόν πανεύφημον ἔπαρχον Ἀφρικῆς. 954
ΣΧΟΛΙΑ. 969
Β΄. Τοῦ αὐτοῦ πρός Ἰωάννην κουβικουλάριον, περί ἀγάπης. 969
ΣΧΟΛΙΑ. 977
Γ΄. - Τοῦ αὐτοῦ πρός τόν αὐτόν. 978
(413) Δ΄. - Τοῦ αὐτοῦ πρός τόν αὐτόν, περί τῆς κατά Θεόν λύπης. 980
Ε΄. - Τοῦ αὐτοῦ πρός Κωνσταντῖνον. 984
στ΄. - Τοῦ αὐτοῦ πρός τόν ἁγιώτατον καί μακαριώτατον ἀρχιεπίσκοπον Ἰωάννην, περί τοῦ , Ὅτι ἀσώματός ἐστιν ἡ ψυχή. 986
Ζ΄. - Τοῦ αὐτοῦ πρός Ἰωάννην πρεσβύτερον, περί τοῦ καί μετά θάνατον ἔχειν τήν ψυχήν τήν νοεράν ἐνέργειαν, καί μηδεμιᾶς ἐξίστασθαι φυσικῆς δυνάμεως. 990
Η΄. - Τοῦ αὐτοῦ πρός τόν αὐτόν. 994
Θ΄. - Τοῦ αὐτοῦ πρός Θαλλάσιον πρεσβύτερον καί ἡγούμενον. 997
Ι΄- Τοῦ αὐτοῦ πρός Ἰωάννην κουβικουλάριον. 998
ΙΑ΄. - Τοῦ αὐτοῦ πρός ἡγουμένην, περί ἀσκητρίας ἐξελθούσης τῆς μονῆς, καί μετανοησάσης. 1001

(460) ΙΒ΄. - Τοῦ αὐτοῦ, πρός Ἰωάννην κουβικουλάριον, Περί τῶν ὀρθῶν τῆς Ἐκκλησίας τοῦ Θεοῦ δογμάτων· καί κατά Σευήρου τοῦ αἱρετικοῦ. 1004
Ἔκθεσις ὀρθῆς ὁμολογίας. 1008
(569) Περί διαφορᾶς· καί πῶς εὐσεβῶς δεῖ δύο φύσεις ὁμολογεῖν ἐπί Χριστοῦ μετά τήν ἕνωσιν. 1009
Ἑτέρως περί τῶν αὐτῶν. 1010
Ὅτι ἀριθμός οὔτε διαιρεῖ, οὔτε διαιρεῖται· οὔτε διαίρεσιν εἰσάγει κατά τόν ἴδιον λόγον τό σύνολον οἷς ἐπιλέγεται. 1012
Πῶς εὐσεβῶς πρός δήλωσιν τῆς διαφορᾶς ὁ ἀριθμός παραλαμβάνεται. 1014
Πῶς χρή νοεῖν τήν κειμένην ῥῆσιν εἰς τήν πρός Σούκενσον ἐπιστολήν τοῦ ἁγίου Κυρίλλου· καί ὅτι οὐ μάχεται ἡ, Ἐν δύο φωνή, τοῖς λέγουσι μίαν τοῦ Λόγου φύσιν σεσαρκωμένην· εἰ μή κατά Νεστορίῳ δοκοῦν ἀσεβῶς λαμβανομένη. 1016
Ὅτι πραγμάτων ἤγουν οὐσιῶν ἐπί Χριστοῦ ἡ διαφορά, ἀλλ᾽ οὐ ποιοτήτων· καί ὅτι πᾶσα διαφορά, ἐξ ἀνάγκης ἑαυτῇ συνεισάγει τήν ὧν εἶναι λέγεται πάντως ποσότητα· ἡ δέ ποσότης, τόν ἑαυτῆς σημαντικόν ἀριθμόν, κἄν τε συνεχής ἐστιν ἡ ποσότης, κἄν τε διῃρημένη. 1018
Ὅτι ἀσεβές ἐστί τό λέγειν μίαν σύνθετον φύσιν τόν Χριστόν, καί τῇ ἀληθείᾳ μαχόμενον. 1020
Περί ὑποστάσεως συνθέτου. 1021
Ἐπίλυσις σύντομος τῆς Σευήρου ἀπορίας κατά τῆς, Ἐν δύο, φωνῆς. 1022
Ἔκθεσις σύντομος τῆς ἐκδοχῆς τῶν ὀρθῶς ἐπί Χριστοῦ κατά τήν καθολικήν Ἐκκλησίαν ὁμολογουμένων τῆς πίστεως φωνῶν. 1026
ΙΓ΄. - Τοῦ αὐτοῦ πρός Πέτρον ἰλλούστριον λόγος ἐπίτομος κατά τῶν Σευήρου δογμάτων. 1032
Περί ἀριθμοῦ φυσικωτέρα διάληψις. 1034
Περί διαφορᾶς, καί ποσότητος ἀκριβέστερον, καί τῆς αὐτῶν εὐσεβοῦς ὁμολογίας. 1034
Ὅτι βλάσφημον τό λέγειν τόν Χριστόν μίαν ἁπλῶς φύσιν. 1036
Περί συνθέτου φύσεως ἀκριβέστερον, καί τοῦ κατ’αὐτήν λόγου· καί ὡς ἀσεβοῦσιν οἱ λέγοντες τόν Χριστόν μίαν σύνθετον φύσιν. 1036

Ὅτι ὁ λέγων Θεόν καί ἄνθρωπον τόν Χριστόν μετά τήν ἕνωσιν, συνομολογεῖ τοῖς ὀνόμασι τάς φύσεις ἐξ ἀνάγκης μετά τήν ἕνωσιν, ὀρθῶς πιστεύειν προηρημένος. 1040
Περί τῆς Ἐν δύο φωνῆς· καί περί τῆς μιᾶς τοῦ Λόγου φύσεως σεσαρκωμένης εὐσεβής ὁμολογία κατά τούς Πατέρας· καί ἄρνησις τῆς μιᾶς συνθέτου φύσεως. 1040
Περί ὑποστάσεως συνθέτου φυσικωτέρα διάληψις· καί ἀπόδειξις ἀκριβής τοῦ μή τοῖς αὐτοῖς περιπίπτειν ἀτοπήμασι, τούς ὁμολογοῦντας μίαν σύνθετον ὑπόστασιν τόν Χριστόν, τοῖς μίαν αὐτόν λέγουσι σύνθετον φύσιν. 1041
Ὅτι κατά πρόσληψιν ἡ πρός τήν σάρκα μόνη τοῦ Λόγου γέγονε ἕνωσις, ὡς προόντος, καί πρός ἕνωσιν σαρκός κενωθῆναι θελήσαντος. 1043
ΙΔ΄. - Τοῦ αὐτοῦ, πρός τόν αὐτόν, ἐπιστολή δογματική. 1045
ΣΧΟΛΙΟΝ. 1050
ΙΕ΄. - Τοῦ αὐτοῦ, περί κοινοῦ καί ἰδίου, τουτέστιν οὐσίας καί ὑποστάσεως, πρός Κοσμᾶν τόν θεοφιλέστατον διάκονον Ἀλεξανδρείας. 1051
Κατασκευή φυσικωτέρα, παριστῶσα ὡς οὐδέν τῶν ὄντων· ἑτέρῳ ταὐτόν ἐστι κατ᾽ οὐσίαν καί ὑπόστασιν· ἀλλά τά μέν κατ᾽ οὐσίαν ταὐτά ταῖς ὑποστάσεσιν ἕτερα· τά δέ ταὐτά καθ᾽ ὑπόστασιν, πάντως κατ᾽ οὐσίαν ἕτερα. 1053
Ὅτι ὁ Χριστός ταῖς μέν κατ᾽ οὐσίαν τῶν οἰκείων μερῶν πρός τά ἄκρα κοινότησιν ἑνούμενος, τήν πρός ἄλληλα τῶν μερῶν σωζομένην εἶχε διαφοράν· ταῖς δέ τῶν μερῶν ἰδιότησι, τό καθ᾽ ὑπόστασιν διεδείκνυ ταυτόν ὡς ὅλου, κοινόν ἀμφοτέρων. 1056
Ὅτι τά μέν καθ᾽ ὑπόστασιν κοινά τῶν μερῶν, τό ὅλον ἤγουν τόν Χριστόν ἠφόριζε τῶν ἄκρων· τά δέ κατ᾽ οὐσίαν πρός τά ἄκρα κοινά τῶν μερῶν, ὡς ὅλον συνῆπτε τοῖς ἄκροις οὐσιωδῶς τόν Χριστόν. 1058
Ὅτι Θεός ὑπάρχων τέλειος ὁ Χριστός, καί ἄνθρωπος τέλειος ὁ αὐτός, τῶν ἅπερ ἦν, εἶχε τό κοινόν καί τό ἴδιον, οἷς πρός ἑαυτόν ἐποιεῖτο τήν τῶν ἄκρων ἕνωσιν καί διάκρισιν· τῇ μέν πρός ἑαυτόν ἑνώσει τῶν ἄκρων, ἐν ἑαυτῷ σωζομένας τάς ἐξ ὧν συνετέθη δύο φύσεις πιστούμενος· τῇ δέ πρός ἑαυτόν διακρίσει τῶν ἄκρων, τό μοναδικόν τῆς οἰκείας παριστάς ὑποστάσεως. 1060

Περί διαφορᾶς διάληψις σύντομος, δι᾽ ἧς δείκνυται τό κατ᾽ οὐσίαν ποσόν τῶν ἡνωμένων σωζόμενον. 1060
Κατασκευή πλατυτέρα τε καί φυσικωτέρα περί διαφορᾶς καί ποσότητος, καί τοῦ δηλοῦντος αὐτάς ἀριθμοῦ 1061
Ὅτι ὁ μή ταυτόν φύσιν λέγων καί ὑπόστασιν, εὐσεβῶς ἐπί Χριστοῦ λέγει τήν ἕνωσιν καί τήν διαφοράν· τήν μέν καθ' ὑπόστασιν εἶναι πιστεύων, τήν δέ κατά φύσιν. 1064
Ὅτι Σεύηρος, ταυτόν εἶναι λέγων φύσιν καί ὑπόστασιν, σύγχυσιν ποιεῖ τήν ἕνωσιν, καί διαίρεσιν τήν διαφοράν· καθ' ἥν δείκνυται, τόν τε τῆς Τριάδος εἰς τετράδα προσώπων διαστέλλων τόν λόγον· καί τό τῆς μονάδος εἰς θεοτήτων διάδα τέμνων μυστήριον· καί πάσης τόν Χριστόν βλασφήμως ἐκβάλλων οὐσιώδους ὑπάρξεως. 1064
Ἔκθεσις σύντομος μετά τῆς ὀρθῆς συνηγορίας τῆς ἀληθοῦς τῶν Πατέρων ὁμολογίας. 1066
ΣΧΟΛΙΑ. 1068
Ιστ'. Τοῦ αὐτοῦ, πρός τόν αὐτόν. 1069
Τοῦ αὐτοῦ πρός Ἰουλιανόν Σχολαστικόν Ἀλεξανδρέα, περί τοῦ κατά τήν σάρκωσιν τοῦ Κυρίου ἐκκλησιαστικοῦ δόγματος. 1071
ΙΗ΄- Τοῦ αὐτοῦ, ἐκ προσώπου Γεωργίου τοῦ πανευφήμου ἐπάρχου Ἀφρικῆς, πρός ἀσκητρίας ἀποστάσας τῆς καθολικῆς Ἐκκλησίας ἐν Ἀλεξανδρείᾳ. 1073
ΙΘ΄- Τοῦ αὐτοῦ πρός Πύῤῥον τόν ὁσιώτατον πρεσβύτερον καί ἡγούμενον. 1076
Κ΄- Τοῦ αὐτοῦ πρός Μαρίνον μονάζοντα. 1080
ΚΑ΄- Τοῦ αὐτοῦ πρός ἁγιώτατον ἐπίσκοπον Κυδωνίας. 1083
ΚΒ΄- Τοῦ αὐτοῦ πρός Αὐξέντιον. 1084
ΚΓ΄- Τοῦ αὐτοῦ πρός Στέφανον πρεσβύτερον. 1085
ΚΔ'. -Τοῦ αὐτοῦ πρός Κωνσταντῖνον σακελλάριον. 1085
ΚΕ΄- Τοῦ αὐτοῦ πρός Κόνωνα πρεσβύτερον καί ἡγούμενον. 1088
Κστ΄. (616) - Τοῦ αὐτοῦ πρός Θαλάσσιον πρεσβύτερον ἐρωτήσαντα, πῶς ἔνιοι τῶν ἐν τοῖς ἔθνεσι βασιλέων, ὑπέρ ὀργῆς θεηλάτου ἐπικειμένης τῷ ὑπηκόῳ πλήθει κατέθυον τέκνα καί πρεσγενεῖς, καί ἐπαύετο ἡ ὀργή, καθώς πολλοῖς τῶν ἀρχαίων ἱστόρηται. 1089
ΚΖ΄- Τοῦ αὐτοῦ πρός Ἰωάννην κουβικουλάριον. 1090
ΚΗ΄- Τοῦ αὐτοῦ πρός Κυρισίκιον ἐπίσκοπον. 1092
ΚΘ΄- Τοῦ αὐτοῦ πρός τόν αὐτόν. 1092

Λ΄- Τοῦ αὐτοῦ πρός Ἰωάννην ἐπίσκοπον. 1093
ΛΑ ΄- Τοῦ αὐτοῦ πρός τόν αὐτόν. 1094
ΛΒ ΄- Τοῦ αὐτοῦ πρός ἀββᾶν Πολυχρόνιον. 1095
ΛΓ ΄- Τοῦ αὐτοῦ πρός τόν αὐτόν. 1095
ΛΔ ΄- Τοῦ αὐτοῦ πρός τόν αὐτόν. 1096
ΛΕ ΄- Τοῦ αὐτοῦ πρός τόν αὐτόν. 1096
Λστ΄- Τοῦ αὐτοῦ πρός τόν αὐτόν. 1097
ΛΖ ΄- Τοῦ αὐτοῦ πρός τόν αὐτόν. 1097
ΛΗ ΄- Τοῦ αὐτοῦ πρός τόν αὐτόν. 1098
ΛΘ ΄- Τοῦ αὐτοῦ πρός τόν αὐτόν. 1098
MAXIMI EPISTOLAE ALIQUOT 1099
Μ'.- Τοῦ αὐτοῦ πρός τόν αὐτόν Θαλάσσιον πρεσβύτερον καί ἡγούμενον. 1099
ΜΑ ΄ - Τοῦ αὐτοῦ πρός τόν αὐτόν. 1099
ΜΒ ΄- Τοῦ αὐτοῦ πρός τόν αὐτόν. 1100
ΜΓ ΄- Τοῦ αὐτοῦ πρός Ἰωάννην κουβικουλάριον. 1101
ΜΔ ΄. - Τοῦ αὐτοῦ πρός Ἰωάννην κουβικουλάριον περί θετικῆς. 1103
ΜΕ΄. - Τοῦ αὐτοῦ πρός τόν αὐτόν. 1106
DE SANCTA TRINITATE DIALOGI TRES Σελ. (652) 1108
Τῷ θεοφιλεστάτῳ καί εἰς ἄκρον παιδείας ἐληλακότι, κυρίῳ Μαξίμῳ τῷ Μαργουνίῳ ἐπισκόπῳ Κυθήρων, Δαβίδ ὁ Ἐσχέλιος, εὐδαιμόνως διαζῆν. 1108
Ἐν Αὐγούστῃ Οὐϊνδελικῶν Μουνιχιῶνος ἑβδόμῃ φθίνοντος, ἔτει ἀπό τῆς Ἐνσαρκώσεως τοῦ Λόγου αφηθ΄. 1109
Μάξιμος ὁ Μαργούνιος, ταπεινός Κυθήρων ἐπίσκοπος, Δαυΐδῃ τῷ Ἐσχελίῳ, σοφωτάτῳ ἀνδρί, εὖ πράττειν. 1109
Ὁ αὐτός Μάξιμος Μαργούνιος, τοῖς περί τήν ἱεράν φιλοσοφίαν ἐσχολακόσι, χάριτος θείας ἐπίδοσιν. 1110
ΤΟΥ ΑΓΙΟΥ ΜΑΞΙΜΟΥ ΜΥΣΤΑΓΩΓΙΑ, Σελ. 657 1111
ΠΡΟΟΙΜΙΟΝ. 1111
ΚΕΦΑΛΑΙΟΝ . Α΄. 1114
Πῶς τε καί ποίῳ τρόπῳ εἰκών ἐστι καί τύπος Θεοῦ ἡ ἁγία Ἐκκλησία. 1114
ΚΕΦΑΛ. Β΄. 1116
Περί τοῦ, πως, καί τινα τρόπον εἰκών ἐστι τοῦ ἐξ ὁρατῶν καί ἀοράτων οὐσιῶν ὑφεστῶτος κόσμου ἡ ἁγία τοῦ Θεοῦ Ἐκκλησία. 1116

(672) ΚΕΦΑΛ. Γ΄. 1118
Ὅτι καί μόνου τοῦ αἰσθητοῦ κόσμου ἐστίν εἰκών, ἡ ἁγία τοῦ Θεοῦ Ἐκκλησία. 1118
ΚΕΦΑΛ. Δ΄. 1118
Πῶς τε καί ποίῳ τρόπῳ συμβολικῶς εἰκονίζει τόν ἄνθρωπον ἡ ἁγία τοῦ Θεοῦ Ἐκκλησία· καί αὐτή ὡς ἄνθρωπος ὑπ᾽ αὐτοῦ εἰκονίζεται. 1118
ΚΕΦΑΛ. Ε΄. Πῶς καί ποίῳ τρόπῳ πάλιν τῆς ψυχῆς καθ᾽ ἑαυτήν νοουμένης, εἰκών τε καί τύπος ἡ ἁγία τοῦ Θεοῦ Ἐκκλησία. 1119
ΚΕΦΑΛ. Στ΄. 1124
Πῶς καί ποίῳ τρόπῳ ἄνθρωπος λέγεται καί ἡ ἁγία Γραφή. 1124
ΚΕΦΑΛ. Ζ ΄. 1125
Πῶς ὁ κόσμος ἄνθρωπος λέγεται· καί ποίῳ τρόπῳ καί ὁ ἄνθρωπος, κόσμος. 1125
ΚΕΦΑΛ. Η ΄. 1127
Τίνων εἰσί σύμβολα, ἥ τε πρώτη τῆς ἁγίας συνάξεως εἴσοδος, καί τά μετ᾽ αὐτήν τελούμενα. 1127
ΚΕΦΑΛ. Θ΄. 1127
Τίνος ἔχει δήλωσιν καί ἡ τοῦ λαοῦ εἰς τήν ἁγίαν τοῦ Θεοῦ Ἐκκλησίαν εἴσοδος. 1127
ΚΕΦΑΛ. Ι΄. 1128
Τίνων εἰσί σύμβολον τά θεῖα ἀναγνώσματα. 1128
ΚΕΦΑΛ. ΙΑ΄. 1128
Τίνος ἐστί σύμβολον τά θεῖα ᾄσματα. 1128
ΚΕΦΑΛ. ΙΒ΄. 1128
Τί σημαίνουσιν αἱ τῆς εἰρήνης προσφωνήσεις. 1128
ΚΕΦΑΛ. ΙΓ΄. 1129
Τίνος ἰδικῶς ἐπί τοῦ καθ᾽ ἕκαστον σύμβολόν ἐστιν ἡ ἀνάγνωσις τοῦ ἁγίου Εὐαγγελίου, καί τά μετ᾽ αὐτήν μυστικά. 1129
ΚΕΦΑΛ. ΙΔ΄. 1129
Τίνος ἐστί σύμβολον καί τό γενικῶς σημαινόμενον, ἡ θεία τοῦ ἁγίου Εὐαγγελίου ἀνάγνωσις. 1130
ΚΕΦΑΛ. ΙΕ΄. 1130
Τίνος σύμβολόν ἐστι ἡ κλεῖσις τῶν θυρῶν τῆς ἁγίας ἐκκλησίας, ἡ μετά τό ἅγιον Εὐαγγέλιον γιγνομένη. 1130
ΚΕΦΑΛ΄. Ιστ΄. 1130
Τί σημαίνει ἡ τῶν ἁγίων καί μυστηρίων εἴσοδος. 1130

ΚΕΦΑΛ. ΙΖ ΄. 1131
Τίνος ἐστί σύμβολον ὁ θεῖος ἀσπασμός. 1131
ΚΕΦΑΛ. ΙΗ΄. 1131
Τί σημαίνει τό θεῖον τῆς πίστεως Σύμβολον. 1131
ΚΕΦΑΛ. ΙΘ ΄. 1131
Τί σημαίνει ἡ τοῦ Τρισαγίου δοξολογία. 1131
ΚΕΦΑΛ. Κ΄. 1132
Τίνος ἐστί σύμβολον ἡ ἁγία προσευχή τοῦ, "Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς." 1132
ΚΕΦΑΛ. ΚΑ΄. 1132
Τί σημαίνει τό τέλος τῆς μυστικῆς ἱερουργίας τῶν ἐκφωνουμένων ὕμνων· τουτέστιν, " Εἷς Ἅγιος, εἷς Κύριος, " καί τά ἑξῆς. 1132
ΚΕΦΑΛ. ΚΒ΄. 1132
Πῶς, καί τίνι τρόπῳ καί ἡ τῆς ψυχῆς καθ᾽ ἑαυτήν νοουμένης ἐπί τοῦ καθ᾽ ἕκαστον ἰδικῶς ἐκθεωτική καί τελειοποιός διά τῶν εἰρημένων θεωρεῖται κατάστασις. 1132
ΚΕΦΑΛ. ΚΓ΄. 1133
Ὅτι σύμβολον τῶν κατά ψυχήν ἀρετῶν ἐστιν ἡ πρώτη εἴσοδος τῆς ἁγίας συνάξεως. 1133
ΚΕΦΑΛ. ΚΔ΄. 1135
Τίνων ἐστίν ἐνεργητική τε καί ἀποτελιστική μυστηρίων, διά τῶν τελουμένων κατά τήν ἁγίαν σύναξιν θεσμῶν ἐν τοῖς πιστοῖς καί πιστῶς συναγομένοις, ἡ παραμένουσα τοῦ ἁγίου Πνεύματος χάρις. 1135
ΑΒΒΑ ΜΑΞΙΜΟΥ 1144
ΚΕΦΑΛΑΙΑ ΘΕΟΛΟΓΙΚΑ Σελ...722 1144
ΤΟΥ ΑΓΙΟΥ ΕΦΡΑΙΜ, 1144
Πῶς χρή ἀναγινώσκειν, ἤ ἀναγινώσκοντι προσέχειν. 1144
ΛΟΓΟΣ Α΄. 1144
Περί βίου ἀρετῆς καί κακίας. 1144
ΛΟΓΟΣ Β ΄. (732) 1148
Περί φρονήσεως καί βουλῆς. 1149
ΛΟΓΟΣ Γ΄. 1151
Περί ἁγνείας καί σωφροσύνης. 1151
ΛΟΓΟΣ Δ΄. 1156
Περί ἀνδρείας καί ἰσχύος. 1156
ΛΟΓΟΣ Ε. 1159

| | |
|---|---|
| Περί δικαιοσύνης. | 1159 |
| ΛΟΓΟΣ Στ΄ . | 1161 |
| Περί φίλων καί φιλαδελφίας. | 1161 |
| ΛΟΓΟΣ Ζ΄. | 1166 |
| Περί ἐλεημοσύνης. | 1166 |
| ΛΟΓΟΣ Η΄. | 1171 |
| Περί εὐεργεσίας καί χάριτος. | 1171 |
| ΛΟΓΟΣ Θ΄. | 1173 |
| Περί ἀρχῆς καί ἐξουσίας. | 1173 |
| ΛΟΓΟΣ Ι ΄. | 1177 |
| Περί ψόγου καί διαβολῆς. | 1177 |
| ΛΟΓΟΣ ΙΑ΄. | 1179 |
| Περί κολακείας. | 1179 |
| ΛΟΓΟΣ ΙΒ΄. | 1182 |
| Περί πλούτου, καί πενίας, καί φιλαργυρίας. | 1182 |
| ΛΟΓΟΣ ΙΓ΄. | 1188 |
| Περί αὐταρκείας. | 1188 |
| ΛΟΓΟΣ ΙΔ΄. | 1190 |
| Περί προσευχῆς. | 1190 |
| ΛΟΓΟΣ ΙΕ΄. | 1193 |
| Περί διδαχῆς καί λόγων. | 1193 |
| ΛΟΓΟΣ Ιστ΄. | 1195 |
| Περί νουθεσίας. | 1195 |
| ΛΟΓΟΣ ΙΖ΄. | 1197 |
| Περί παιδείς καί φιλοσοφίας. | 1197 |
| (829) ΛΟΓΟΣ ΙΗ΄. | 1202 |
| Περί εὐτυχίας καί δυστυχίας. | 1202 |
| ΛΟΓΟΣ ΙΘ΄. | 1206 |
| Περί ὀργῆς καί θυμοῦ. | 1206 |
| ΛΟΓΟΣ Κ΄. | 1210 |
| Περί σιωπῆς καί ἀποῤῥήτων. | 1210 |
| ΛΟΓΟΣ ΚΑ΄. | 1212 |
| Περί πολυπραγματοσύνης καί ἡσυχίας. | 1212 |
| ΛΟΓΟΣ ΚΒ΄. | 1215 |
| Περί πλεονεξίας. | 1215 |
| ΛΟΓΟΣ ΚΓ΄. | 1217 |
| Περί τιμῆς γονέων καί φιλοτεκνίας. | 1217 |

| | |
|---|---|
| ΛΟΓΟΣ ΚΔ΄. | 1219 |
| Περί φόβου. | 1219 |
| ΛΟΓΟΣ ΚΕ΄. | 1221 |
| Περί τῶν ταχέως μεταβαλλομένων, καί περί μετανοίας. | 1221 |
| ΛΟΓΟΣ κστ΄. | 1222 |
| Περί ἁμαρτίας καί ἐξαγορεύσεως. | 1222 |
| ΛΟΓΟΣ ΚΖ΄. | 1225 |
| Περί ἀκρασίας καί γαστριμαργίας. | 1225 |
| ΛΟΓΟΣ ΚΗ΄. | 1227 |
| Περί λύπης καί ἀθυμίας. | 1227 |
| ΛΟΓΟΣ ΚΘ΄. | 1229 |
| Περί ὕπνου. | 1229 |
| ΛΟΓΟΣ Λ΄. | 1230 |
| Περί μέθης. | 1230 |
| ΛΟΓΟΣ ΛΑ΄. | 1232 |
| Περί παῤῥησίας καί τοῦ ἐλέγχου. | 1232 |
| ΛΟΓΟΣ ΛΒ΄. | 1234 |
| Περί φιλοπονίας. | 1234 |
| ΛΟΓΟΣ ΛΓ΄. | 1235 |
| Περί ὄρκου. | 1235 |
| ΛΟΓΟΣ ΛΔ΄. | 1236 |
| Περί κενοδοξίας· | 1236 |
| ΛΟΓΟΣ ΛΕ΄. | 1238 |
| Περί ἀληθείας καί ψεύδους. | 1238 |
| ΛΟΓΟΣ Λστ΄. | 1239 |
| Περί θανάτου. | 1239 |
| ΛΟΓΟΣ ΛΖ΄. | 1242 |
| Περί εἰρήνης καί πολέμου. | 1242 |
| ΛΟΓΟΣ ΛΗ΄. | 1243 |
| Περί ἐλπίδος. | 1243 |
| ΛΟΓΟΣ ΛΘ΄. | 1245 |
| Περί γυναικῶν. | 1245 |
| ΛΟΓΟΣ Μ΄. | 1246 |
| Περί ἀντιλογίας καί θρασύτητος καί ἔριδος. | 1246 |
| ΛΟΓΟΣ ΜΑ΄. | 1248 |
| Περί γήρως καί νεότητος. | 1248 |
| ΛΟΓΟΣ ΜΒ΄. | 1250 |

| | |
|---|---|
| Περί ὑπομονῆς καί μακροθυμίας. | 1250 |
| ΛΟΓΟΣ ΜΓ΄. | 1251 |
| Περί ἐπαίνου. | 1252 |
| ΛΟΓΟΣ ΜΔ΄. | 1253 |
| Περί κάλλους. | 1253 |
| ΛΟΓΟΣ ΜΕ΄. | 1254 |
| Περί μελλούσης κρίσεως. | 1254 |
| ΛΟΓΟΣ Στ΄. | 1256 |
| Περί δόξης. | 1256 |
| ΛΟΓΟΣ ΜΖ΄. | 1259 |
| Περί γλωσσαλγίας. | 1259 |
| ΛΟΓΟΣ ΜΗ΄. | 1261 |
| Περί προνοίας. | 1261 |
| ΛΟΓΟΣ ΜΘ΄. | 1263 |
| Περί ταπεινοφροσύνης. | 1263 |
| ΛΟΓΟΣ Ν΄. | 1264 |
| Περί ἰατρῶν. | 1264 |
| ΛΟΓΟΣ ΝΑ΄. | 1265 |
| Περί πίστεως. | 1265 |
| ΛΟΓΟΣ ΝΒ΄. | 1266 |
| Περί μνήμης | 1266 |
| ΛΟΓΟΣ Ν Γ΄. | 1268 |
| Περί ψυχῆς. | 1268 |
| ΛΟΓΟΣ ΝΔ΄. | 1269 |
| Περί φθόνου. | 1269 |
| ΛΟΓΟΣ ΝΕ΄. | 1272 |
| Περί ἑκουσίου καί ἀκουσίου. | 1272 |
| ΛΟΓΟΣ Στ΄. | 1274 |
| Περί τοῦ " Γνῶθι σαυτόν." | 1274 |
| ΛΟΓΟΣ ΝΖ΄. | 1277 |
| Περί χρηστότητος. | 1277 |
| ΛΟΓΟΣ ΝΗ΄. | 1278 |
| Περί νόμου. | 1278 |
| ΛΟΓΟΣ ΝΘ΄. | 1281 |
| Περί λογικοῦ καί λογισμοῦ. | 1281 |
| ΛΟΓΟΣ Ξ΄. | 1282 |

Περί ἀφροσύνης, ἄφρονος καί ἀνοήτου, καί ἀπαιδεύτου καί μωροῦ. 1282
ΛΟΓΟΣ ΞΑ΄. 1284
Περί ἀσωτίας. 1284
ΛΟΓΟΣ Ξ Β΄. 1285
Περί συνηθείας καί ἔθους. 1285
ΛΟΓΟΣ Ξ Γ΄. 1288
Περί εὐγενείας καί δυσγενείας. 1288
ΛΟΓΟΣ ΞΔ΄. 1290
Περί γέλωτος. 1290
ΛΟΓΟΣ ΞΕ΄. 1291
Περί ἐνυπνίων. 1291
ΛΟΓΟΣ Ξ στ΄. 1292
Περί ἀκακίας καί μνησικακίας. 1292
ΛΟΓΟΣ Ξ Ζ΄. 1295
Περί βίου ἀνωμαλίας. 1295
ΛΟΓΟΣ Ξ Η΄. 1297
Περί τοῦ, ὅτι δεῖ τιμᾷν ἀρετήν καί κολάζειν κακίαν. 1297
ΛΟΓΟΣ ΞΘ΄. 1298
Περί φιλαυτίας. 1298
ΛΟΓΟΣ Ο΄. 1300
Περί τοῦ, ὅτι εὔκολος ἡ κακία, καί δυσπόριστος ἀρετή. 1300
ΛΟΓΟΣ ΟΑ΄. 1301
Περί τοῦ, ὅτι οὐκ ἀεί τό πλεῖστον ἄριστον. 1301
ΕΚΘΕΣΙΣ ΤΗΣ ΟΜΟΛΟΓΙΑΣ ΤΩΝ ΛΑΤΙΝΩΝ, Σελ. 1018 1302
Συγγραφεῖσα καί ἀποσταλεῖσα παρά Γρηγορίου Πάπα Ῥώμης, πρός Γερμανόν τόν ἁγιώτατον πατριάρχην Κωνσταντινουπόλεως. 1302
ΜΑΞΙΜΟΥ ΠΕΡΙ ΔΙΑΦΟΡΩΝ ΑΠΟΡΙΩΝ ΤΩΝ ΑΓΙΩΝ 1306
ΔΙΟΝΥΣΙΟΥ ΚΑΙ ΓΡΗΓΟΡΙΟΥ 1306
ΠΡΟΣ ΘΩΜΑΝ ΤΟΝ ΗΓΙΑΣΜΕΝΟΝ. Σελ. 1032. 1306
Τοῦ ἁγίου Γρηγορίου τοῦ Θεολόγου, ἐκ τοῦ περί Υἱοῦ πρώτου λόγου εἰς τό· "Διά τοῦτο μονάς ἀπ᾽ ἀρχῆς εἰς δυάδα κινηθεῖσα μέχρι Τριάδος ἔστη." Καί πάλιν τοῦ αὐτοῦ ἐκ τοῦ δευτέρου (1036) Εἰρηνικοῦ εἰς τό· "Μονάδος μέν κινηθείσης, διά τό πλούσιον, δυάδος δέ ὑπερβαθείσης· ὑπέρ γάρ τήν ὕλην καί τό εἶδος, ἐξ ὧν τά σώματα, Τριάδος δέ ὁρισθεῖσης, διά τό τέλειον." 1307

Τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ πρώτου λόγου εἰς τό· " Ἑνί δέ κεφαλαίῳ, τά μέν ὑψηλότερα πρόσαγε τῇ θεότητι καί τῇ κρείττονι φύσει (1037) παθῶν καί σώματος, τά δέ ταπεινοτερα τῷ συνθέτῳ καί διά σέ κενωθέντι καί σαρκωθέντι, οὐδέν δέ χεῖρον εἰπεῖν καί ἀνθρωπισθέντι. " 1308

Τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ λόγου εἰς τό· " Οὗτος γάρ ὁ νῦν σοι καταφρονούμενος ἦν ὅτε καί ὑπέρ σέ ἦν· ὁ νῦν ἄνθρωπος καί ἀσύνθετος ἦν· (1040) ὁ μέν ἦν, διέμεινεν, ὁ δέ οὐκ ἦν, προσέλαβεν· ἐν ἀρχῇ ἦν ἀναιτίως (τίς γάρ αἰτία Θεοῦ;) · ἀλλά καί ὕστερον γέγονε δι᾽ αἰτίαν· ἡ δέ ἦν τό σέ σωθῆναι τόν ὑβριστήν, ὅς διά τοῦτο περιφρονεῖς θεότητα ὅτι τήν σήν παχύτητα κατεδέξατο, διά μέσου νούς ὁμιλήσας σαρκί καί γενόμενος ἄνθρωπος ὁ κάτω Θεός, ἐπειδή συνακεκράθη Θεῷ καί γέγονεν εἷς, τοῦ κρείττονος ἐκνικήσαντος, ἵνα γένωμαι τοσοῦτον Θεός ὅσον ἐκεῖνος ἄνθρωπος. " 1309

Εἰς τήν πρός Γάϊον τόν θεραπευτήν ἐπιστολήν τοῦ Διονυσίου τοῦ Ἀρεοπαγίτου, ἐπισκόπου Ἀθηνῶν· " Πῶς, φής, Ἰησοῦς, ὁ πάντων ἐπέκεινα, πᾶσιν ἀνθρώποις ἐστίν οὐσιωδῶς συντεταγμένος; Οὐδέ γάρ ὡς αἴτιος ἀνθρώπων ἐνθάδε λέγεται ἄνθρωπος, ἀλλ᾽ ὡς αὐτός κατ᾽ οὐσίαν ὅλην ἀληθῶςἄνθρωπος ὤν." 1313

ΕΚ ΤΟΥ ΑΥΤΟΥ. (1061) 1320

Πρός Ἰωάννην ἀρχιεπίσκοπον Κυζίκου Μάξιμος ἐν Κυρίῳ χαίρειν. 1320

Ἐκ τοῦ περί φιλοπτωχίας λόγου, εἰς τό, "Φείδομαι ὡς συνεργοῦ, καί οὐκ ἔχω πῶς φύγω τήν ἐπανάστασιν, ἤ πῶς μή ἀπό Θεοῦ πέσω βαρηθείς ταῖς πέδαις κατασπώσαις ἤ κατεχούσαις εἰς ἔδαφος." 1322

Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό, "Τίς ἡ περί ἐμέ σοφία, καί τί τό μέγα τοῦτο μυστήριον; ἤ βούλεται μοῖραν ἡμᾶς ὄντας Θεοῦ, καί ἄνωθεν ῥεύσαντας, ἵνα μή διά τήν ἀξίαν ἐπαιρόμενοι καί μετεωριζόμενοι καταφρονῶμεν τοῦ Κτίσαντος, ἐν τῇ πρός τό σῶμα πάλῃ καί μάχῃ πρός αὐτόν ἀεί βλέπειν, καί τήν συνεζευγμένην ἀσθένειαν παιδαγωγίαν εἶναι τοῦ ἀξιώματος; " 1324

Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό, " Ἕως ἄν καί παρ᾽ ἑαυτῆς ἡ ὕλη φέρῃ τό ἄτακτον ὥσπερ ἐν ῥεύματι." 1342

Τοῦ αὐτοῦ ἐκ τοῦ εἰς τόν ἅγιον Ἀθανάσιον λόγου, εἰς τό, "Οὐ γάρ ἔχει τι ὑψηλότερον ἤ ὅλως ἕξει." 1344

Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό, " Ὧιτινι μέν οὖν ἐξεγένετο διά λόγου καί θεωρίας διασχόντι τήν ὕλην καί τό σαρκικόν τοῦτο, εἴτε νέφος

χρή λέγειν, εἴτε προκάλυμμα, Θεῷ συγγενέσθαι, καί τῷ ἀκραιφνεστάτῳ φωτί κραθῆναι, καθ᾽ ὅσον ἐφικτόν ἀνθρωπίνῃ φύσει μακάριος οὗτος τῆς ἐντεῦθεν ἀναβάσεως καί τῆς ἐκεῖσε θεώσεως, ἥν τό γνησίως φιλοσοφῆσαι χαρίζεσθαι, καί τό ὑπέρ τήν ὑλικήν δυάδα γενέσθαι διά τήν ἐν Τριάδι νοουμένην ἑνότητα." 1344
Πῶς ἐστι νέφος καί προκάλυμμα ἡ σάρξ. 1346
Πῶς ἡδονή γίνεται. 1347
Πῶς καί πόσαι κινήσεις εἰσί ψυχῆς. 1347
(1117) Θεωρία τῆς διά τῆς θαλάσσης διαβάσεως διά Μωσέως. 1349
Θεωρία τῆς εἰς τό ὄρος ἀναβάσεως τοῦ Μωσέως. 1350
Θεωρία τῆς Ἰησοῦ ἡγεμονίας, καί τῆς διαβάσεως τοῦ Ἰορδάνου, καί τῆς δευτέρας δι᾽ αὐτοῦ περιτομῆς τοῖς ἐκ πέτρας ξίφεσιν. 1350
Θεωρία τῆς Ἱεριχοῦς καί τῶν ἑπτά περιόδων, καί τῆς κιβωτοῦ καί τῶν σαλπίγγων καί τοῦ ἀναθέματος. 1351
Θεωρία Τύρου καί τοῦ αὐτῆς βασιλέως, καί τῆς ἁλώσεως αὐτῆς. 1351
(1121) Θεωρία εἰς τό, "Οἱ οὐρανοί διηγοῦνται δόξαν Θεοῦ." 1352
Θεωρία εἰς τό, " Ὁ πατήρ μου καί ἡ μήτηρ μου ἐγκατέλιπόν με. " 1352
Θεωρία εἰς τήν ὀπτασίαν Ἠλίου τήν ἐν τῷ σπηλαίῳ Χωρήβ. 1352
Θεωρία εἰς τόν Ἐλισσαῖον, τόν αὐτοῦ μαθητήν. 1353
Θεωρία εἰς τήν Ἄνναν καί τόν Σαμουήλ. 1354
Θεωρία εἰς τόν ἀφορίζοντα τήν ἀκάθαρτον οἰκίαν. 1354
Θεωρία εἰς τόν ἅγιον Ἠλίαν, καί εἰς τήν Σαραφθίαν χήραν. 1354
Θεωρία εἰς τήν μεταμόρφωσιν τοῦ Κυρίου. 1355
Θεωρία τοῦ τε φυσικοῦ καί τοῦ γραπτοῦ νόμου, καί τῆς αὐτῶν κατ᾽ ἐπαλλαγήν εἰς ἀλλήλους συνδρομῆς. 1356
Περί τῶν πέντε τρόπων τῆς φυσικῆς θεωρίας σύντομος ἐξήγησις. 1358
Θεωρία εἰς τόν Μελχισεδέκ. 1361
Ἐξήγησις εἰς τόν Κύριον, περί τῶν λεγομένων εἰς τόν Μελχισεδέκ. 1364
Θεωρία ἄλλη εἰς τόν Μελχισεδέκ. 1364
Θεωρία εἰς τό μήτε ἀρχήν ἡμερῶν ἔχειν, μήτε τέλος ζωῆς. 1364
Θεωρία εἰς τό, " Μένει ἱερεύς εἰς τόν αἰῶνα. " 1365
Θεωρία εἰς τόν Ἀβραάμ. 1366
Θεωρία εἰς τόν Μωϋσῆν. 1366

Ἄλλη θεωρία εἰς τόν αὐτόν σύντομος. 1367
Θεωρία περί τοῦ, Πῶς τούς πρό νόμου καί μετά νόμον ἁγίους τις μιμήσασθαι δύναται, καί τίς ἡ τοῦ φυσικοῦ νόμου καί τοῦ γραπτοῦ κατά τήν εἰς ἀλλήλους μεταχώρησιν ταυτότης. 1368
Ὅτι καί οἱ κατά νόμον ἅγιοι πνευματικῶς τόν νόμον ἐκδεχόμενοι τήν δι᾽ αὐτοῦ μηνυομένην χάριν προέβλεπον. 1369
Ὅτι καί ὑπέρ τόν γραπτόν καί ὑπέρ τόν φυσικόν νόμον γίνεται ὁ τῷ Χριστῷ γνησίως διά τῶν ἀρετῶν κατά διάθεσιν ἀκολουθῶν. 1369
(1153) Θεωρία τοῦ τρόπου καθ᾽ ὅν ὑπέρ τόν φυσικόν καί τόν γραπτόν νόμον γίνεται ὁ διά πάντων τῷ θεῷ γενόμενος εὐπειθής. 1369
Θεωρία εἰς τό περί τοῦ ἐμπεσόντος εἰς τούς λῃστάς ῥητόν τοῦ Εὐαγγελίου. 1370
Θεωρία τοῦ τρόπου καθ᾽ ὅν γέγονεν τοῦ Ἀδάμ παράβασις. 1371
Ὅτι ἐκ τῆς ἀστάτου περιφορᾶς τῆς παρούσης ζωῆς ἄλλην εἶναι τήν ἀληθῆ καί θείαν καί ὡσαύτως ἔχουσαν ζωήν ἐπαιδεύθησαν οἱ ἅγιοι. 1372
Ὅτι μή καθ᾽ ἡμᾶς ἤ τήν φυσικήν θεωρίαν, ἤ τήν γραφικήν μυσταγωγίαν ἐποίουν οἱ ἅγιοι. 1373
Θεωρία εἰς τήν Μεταμόρφωσιν πλατυτέρα. 1373
(1161) Θεωρία εἰς τόν Μωϋσῆν καί τόν Ἠλίαν. 1374
Ἄλλη συνεκτική θεωρία εἰς τήν μεταμόρφωσιν. 1376
Ὅτι καί ἑαυτοῦ τύπος ὁ Κύριος γέγονεν κατά τήν ἑαυτοῦ διά σαρκός οἰκονομίαν. 1377
Θεωρία τοῦ ἀστράψαντος προσώπου τοῦ Κυρίου. 1377
Θεωρία εἰς τά φανά τοῦ Κυρίου ἐνδύματα. 1378
Θεωρία ἄλλη εἰς τόν Μωϋσῆν. 1378
Θεωρία ἄλλη εἰς τόν Ἠλίαν. 1378
Θεωρία περί τῆς πρός τόν Κύριον κατά τήν μεταμόρφωσιν διαλέξεως Μωϋσέως καί Ἠλίου. 1378
Θεωρία φυσική περί τοῦ τέλος ἐξ ἀνάγκης ἔχειν τόν κόσμον. 1379
Θεωρία σύντομος περί τοῦ μέλλοντος, αἰῶνος, καί τί τό χάσμα ἐστί τό μεταξύ Θεοῦ καί ἀνθρώπων, καί τί ὁ Λάζαρος καί ὁ κόλπος τοῦ πατριάρχου. 1379
Θεωρία περί ἀρετῶν. 1381
Ἄλλη θεωρία εἰς τό, "Ἐάν σταυρωθῇς ὡς λῃστής." 1381

(1176) Ἄλλη θεωρία πρός τούς ἀποροῦντας περί τοῦ ῥητοῦ τοῦ ἐν τῷ λόγῳ τῶν Ἐγκαινίων τοῦ λέγοντος, " Ὑψηλῆς ὑψηλοτέρα, καί θαυμασίας θαυμασιωτέρα." 1382
Θεωρία φυσική, δι᾽ ἧς τόν Θεόν ἐκ τῶν κτισμάτων οἱ ἅγιοι ἐδιδάσκοντο. 1382
Θεωρία φυσική περί τοῦ ἀρχήν ἔχειν τόν κόσμον καί γένεσιν, καί πᾶν ἄλλο μετά Θεόν. 1383
Θεωρία περί συστολῆς καί διαστολῆς οὐσίας, ποιότητός τε καί ποσότητος, καθ᾽ ἥν ἄναρχοι εἶναι οὐ δύνανται. 1383
Ἀπόδειξις τοῦ, Πᾶν ὁτιοῦν ἄνευ Θεοῦ πάντως ἐν τόπῳ, καί διά τοῦτο ἐξ ἀνάγκης καί ἐν χρόνῳ, καί ὅτι τό ἐν τόπῳ πάντως κατά χρόνον καί ἦρκται τοῦ εἶναι. 1384
Ἀπόδειξις τοῦ μή δύνασθαι ἄπειρον εἶναι, καί διά τοῦτο οὔτε ἄναρχον πᾶν, εἴ τι κατά τήν ἐν πλήθει ποσότητα ἔχει τό εἶναι. 1385
Ἀπόδειξις ὅτι πᾶν κινούμενον, ἤ ἄλλῳ διαφόρῳ κατά τήν οὐσίαν ἐξ ἀϊδίου συνθεωρούμενον, ἄπειρον εἶναι οὐ δύναται, καί ὅτι ἡ δυάς οὔτε ἀρχή ἐστιν, οὔτε ἄναρχος, καί ὅτι ἡ μονάς μόνη κυρίως ἀρχή καί ἄναρχος. 1386
Θεωρία ἀποδεικτική τοῦ εἶναι κατά φύσιν ἐπί πάντων τήν τοῦ Θεοῦ πρόνοιαν. 1389
Θεωρία διάφορος τῆς διαβαθείσης ὑπό τῶν ἁγίων ὑλικῆς δυάδος, καί τίς ἡ ἐν τῇ Τριάδι νοουμένη ἑνότης. 1392
Ἐξήγησις περί τοῦ παθητικοῦ τῆς ψυχῆς, καί τῶν αὐτοῦ καθολικῶν διαιρέσεών τε καί ὑποδιαιρέσεων. 1393
Θεωρία ἐκ τῆς Γραφῆς περί τοῦ μή δεῖν τόν γνωστικόν τῷ τῆς φύσεως νόμῳ τόν τῆς σοφίας λόγον συνάπτειν, καί τίς ἡ προσθήκη τοῦ ἄλφα στοιχείου εἰς τό ὄνομα τοῦ Ἀβραάμ. 1395
Θεωρία εἰς τόν Μωϋσῆν περί τῶν ἀφαιρουμένων ὑποδημάτων. 1396
Θεωρία εἰς μέρη τῶν θυσιῶν. 1396
Θεωρία σύντομος εἰς τήν κατά νόμον διάφορον λέπραν. 1396
Θεωρία εἰς τόν Φινεές καί τοῦ ἀναιρεθέντας ὑπ᾽ αὐτοῦ. 1396
Θεωρία εἰς τό, "Μή δῶτε τά ἅγια τοῖς κυσί, καί εἰς τό, μήτε ῥάβδον μήτε πήραν μήτε ὑποδήματα χρῆναι τούς ἀποστόλους βαστάζειν." 1397
Θεωρία περί τοῦ σεληνιαζομένου. 1398

Ἐκ τοῦ μβ΄ λόγου τοῦ Θεολόγου περί ὧν ἐμνήσθη τοῦ μακαρίου Ἰώβ, εἰς τό, · "Τά δέ ἑξῆς μικρά, καί μικρῶν ἕνεκεν οἰκονομηθέντα. " 1399

Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό, " Καθαίρει μέν τό ἱερόν τῶν θεοκαπήλων καί χριστεμπόρων, πλήν ὅσον οὐ φραγελλίῳ πλεκτῷ, λόγῳ δέ πιθανῷ τοῦτο ἐργάζεται." 1400

Τοῦ αὐτοῦ ἐκ τοῦ σχεδιασθέντος πρός Εὐνομιανούς λόγου, εἰς τό, " Εἰσί τινες οἱ τήν ἀκοήν κνηθόμενοι καί τήν γλῶτταν." 1400

Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό, " Ὥσπερ ἄνθος ἐν χειμῶνι παντελῶς ἄωρον, καί γυναιξί κόσμος ἀνδρεῖος ἤ ἀνδράσι γυναικεῖος, ἤ πένθει γεωμετρία. " 1402

(1216) Τοῦ αὐτοῦ, ἐκ τοῦ μεγάλου θεολογικοῦ, εἰς τό, "τοῦ μέν γάρ εἶναι Θεόν καί τῶν πάντων ποιητικήν τε καί συνεκτικήν αἰτίαν, καί ὄψις διδάσκαλος καί ὁ φυσικός νόμος, ἡ μέν τοῖς ὁρωμένοις προσβάλλουσα καί πεπηγόσι καλῶς καί ὁδεύουσι, καί ἀκινήτως, ἵν᾿ οὕτως εἴπω, κινουμένοις τε καί φερομένοις, ὁ δέ διά τῶν ὁρωμένων καί τεταγμένων τόν ἀρχηγόν τούτων συλλογιζόμενος." 1404

Τοῦ αὐτοῦ λόγου εἰς τό, " Ἀλλ' εἰ ἀσώματον, οὔπω μέν οὐδέ τοῦτο τῆς οὐσίας παραστατικόν, ὥσπερ οὐδέ τό ἀγέννητον, καί τό ἄναρχον, καί τό ἀναλλοίωτον, καί ἄφθαρτον, καί ὅσα περί Θεοῦ ἤ περί Θεόν εἶναι λέγεται. " 1408

Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό, "Ὡς γάρ οὐκ ἀρκεῖ τό σῶμα εἰπεῖν, ἤ τό γεγεννῆσθαι, πρός τό καί περί ὅ ταῦτα παραστῆσαί τε καί δηλῶσαι, ἀλλά δεῖ καί τό ὑποκείμενον τούτοις εἰπεῖν, εἰ μέλλοι τελείως καί ἀποχρώντως τό νοούμενον παραστήσασθαι· ἤ γάρ ἄνθρωπος ἤ βοῦς ἤ ἵππος τοῦτο τό ἐν σώματι καί φθειρόμενον. " 1409

Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό, " Εἰ γάρ τό μή ὄν οὐδαμοῦ, τό μηδαμοῦ τυχόν οὐδέ ὄν, εἰ δέ ἔστι που, πάντως, ἐπείπερ ἔστιν, ἤ ἐν τῷ παντί, ἤ ὑπέρ τό πᾶν." 1414

Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό, "Εἴτε φαντασία τις ἦν ἡμερινή, εἴτε νυκτός ἀψευδής ὄψις, εἴτε τοῦ ἡγεμονικοῦ τύπωσις, συγγινομένου τοῖς μέλλουσιν ὡς παροῦσιν." 1415

Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό, " Παύλῳ δέ εἰ μέν ἐκφορά ἦν ἅ παρέσχεν ὁ τρίτος οὐρανός, καί ἡ μέχρις ἐκείνου πρόοδος, ἤ ἀνάβασις, ἤ ἀνάληψις." 1416

Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό, " Οὐδ᾽ ἄν αὐτόν δυνηθῆναι χωρῆσαι τόν κάτω κόσμον, Ἰωάννης ὁ τοῦ Λόγου πρόδρομος, ἡ μεγάλη τῆς ἀληθείας φωνή, διωρίζετο. " 1419
Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό, " Ὁ δέ περί Θεοῦ λόγος, ὅσῳ τελεώτερος, τοσούτῳ δυσεφικτότερος, καί πλείους τάς ἀντιλήψεις ἔχων, καί τάς λύσεις ἐργωδεστέρας. " 1427
Ἐκ τοῦ περί Υἱοῦ πρώτου λόγου, εἰς τό, " Διά τοῦτο μονάς ἀπ᾽ ἀρχῆς εἰς δυάδα κινηθεῖσα μέχρι Τριάδος ἔστη. " 1428
Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό· " Ἀλλ᾽ ἕτερον, οἶμαι, θέλων καί θέλησις, γεννῶν καί γέννησις, λέγων καί λόγος, εἰ μή μεθύομεν· τά μέν ὁ κινούμενος, τά δέ οἷον ἡ κίνησις. Οὔκουν θελήσεως τό θεληθέν, οὐδέ τό γεννηθέν γεννήσεως ( οὐδέ γάρ ἕπεται πάντως ), οὐ δέ τό ἀκουσθέν ἐκφωνήσεως, ἀλλά τοῦ θέλοντος καί τοῦ γεννῶντος καί τοῦ λέγοντος. Τά τοῦ Θεοῦ δέ καί ὑπέρ πάντα ταῦτα, ᾧ γέννησίς ἐστιν ἴσως ἡ τοῦ γεννᾷν θέλησις." 1430
Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό· "Ἐπεί τί κωλύει κἀμέ ταύτην πρότασιν ποιησάμενον τήν ὅτι, Ὁ Πατήρ μείζων τῇ φύσει, ἔπειτα προσλαβόντα τό, Φύσει δέ οὐ πάντως μεῖζον, οὐδέ Πατήρ, συναγαγεῖν, Τό μεῖζον οὐ πάντως μεῖζον, ἤ, Ὁ Πατήρ οὐ πάντως Πατήρ." 1431
Ἔστω δέ καί ἐνεργείας, εἰ δοκεῖ, οὐδέ οὕτως ἡμᾶς αἱρήσετε. Αὐτό δέ τοῦτο ἐνεργηκώς ἄν εἴη τό ὁμούσιον, εἰ καί ἄτοπος ἄλλως ἡ τῆς περί τοῦτο ἐνεργείας ὑπόληψις." 1433
Ἐκ τοῦ β΄ περί Υἱοῦ λόγου, εἰς τό· " Θεός δέ λέγοιτο ἄν οὐ τοῦ Λόγου, τοῦ ὁρωμένου δέ. Πῶς γάρ εἴη τοῦ κυρίως Θεοῦ Θεός; ὥσπερ καί Πατήρ οὐ τοῦ ὁρωμένου, τοῦ Λόγου δέ. Καί γάρ ἦν διπλοῦς, ὥστε τό μέν κυρίως ἐπ᾽ ἀμφοῖν, τό δέ οὐ κυρίως· ἐναντίως δέ ἐφ᾽ ἡμῶν ἔχει. Ἡμῶν γάρ κυρίως Θεός ὁ Θεός, οὐ κυρίως δέ Πατήρ." 1434
Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό, " Λαμβάνειν αὐτόν, δηλαδή τόν Χριστόν, ζωήν, ἤ κρίσιν, ἤ κληρονομίαν ἐθνῶν, ἤ ἐξουσίαν πάσης σαρκός, ἤ δόξαν, ἤ μαθητάς, ἤ ὅσα λέγεται," καί τούτοις ἐπαγαγεῖν τόν διδάσκαλον ὅτι, " Καί τοῦτο τῆς ἀνθρωπότητος, εἶτα προσεπαγαγεῖν," " Εἰ δέ καί τῷ Θεῷ δοίης, οὐκ ἄτοπον. Οὐ γάρ ὡς ἐπίκτητα δώσεις, ἀλλ᾽ ὡς ἐξαρχῆς συνυπάρχοντα, καί λόγῳ φύσεως, ἀλλ᾽ οὐ χάριτος." 1436

Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό· " Ὡς γάρ ἀδύνατον εἶναι λέγομεν πονηρόν εἶναι Θεόν, ἤ μή εἶναι." 1436
Ἐκ τοῦ αὐτοῦ λόγους, εἰς τό, "Ἔχεις τάς τοῦ υἱοῦ προσηγορίας, βάδιζε δι᾽ αὐτῶν, ὅσαι ὑψηλαί, θεϊκῶς, καί ὅσαι σωματικαί, συμπαθῶς, μᾶλλον δέ ὅλον θεϊκῶς, ἵνα γένῃ Θεός κάτωθεν ἀνελθών διά τόν κατελθόντα δι᾽ ἡμᾶς ἄνωθεν." 1437
Τοῦ αὐτοῦ, ἐκ τοῦ εἰς τά Γενέθλια λόγου, εἰς τό, " Νόμοι φύσεως καταλύονται· πληρωθῆναι δεῖ τόν ἄνω κόσμον. Χριστός κελεύει· μή ἀντιτείνωμεν. " 1437
Ἄλλη ἐπιβολή εἰς τό αὐτό. 1439
Ἄλλη θεωρία εἰς τό αὐτό. 1440
Ἄλλη θεωρία, εἰς τό· " Πληρωθῆναι δεῖ τόν ἄνω κόσμον." 1441
Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό· " Παιδίον ἐγεννήθη ἡμῖν Υἱός καί ἐδόθη ἡμῖν, οὗ ἡ ἀρχή ἐπί τοῦ ὤμου αὐτοῦ· τῷ γάρ σταυρῷ συνεπαίρεται." 1441
Ἐκ τοῦ αὐτοῦ λόγου εἰς τό· " Ὁ λόγος παχύνεται." 1444
Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό· " Οὐκ ἐκ τῶν κατ’ αὐτόν, ἀλλ᾽ ἐκ τῶν περί αὐτόν, ἄλλης ἐξ ἄλλου φαντασίας συλλεγομένης, εἰς ἕν τι τῆς ἀληθείας ἴνδαλμα." 1445
Ἐκ τοῦ αὐτοῦ λόγου· " Ἐπεί δέ οὐκ ἤρκει τῇ ἀγαθότητι τοῦτο τό κεινεῖσθαι μόνον τῇ ἑαυτῆς θεωρίᾳ, ἀλλ᾽ ἔδει χεθῆναι τό ἀγαθόν καί ὁδεῦσαι ὡς πλέονα εἶναι τά εὐεργετούμενα." 1445
Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό, "Δευτέραν κοινωνεῖ κοινωνίαν, πολύ τῆς προτέρας παραδοξοτέραν." 1446
Ἐκ τοῦ αὐτοῦ, εἰς τό, " Νυνί δέ μοι δέξαι τήν κύησιν, καί προσκίρτησον, καί εἰ μή ὡς Ἰωάννης ἀπό γαστρός, ἀλλ᾽ ὡς Δαβίδ ἐπί τῇ καταπαύσει τῆς κιβωτοῦ." 1447
Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό· "Ἄν εἰς Αἴγυπτον φεύγῃ, προθύμως συμφυγαδεύθητι· καλόν τῷ Χριστῷ συμφεύγειν διωκομένῳ. Ἄν ἐν Αἰγύπτῳ βραδύνῃ, κάλεσον αὐτόν ἐξ Αἰγύπτου, καλῶς ἐκεῖ προσκυνούμενον." 1451
Τοῦ αὐτοῦ ἐκ τοῦ εἰς τά Φῶτα λόγου, εἰς τό· " Εἴπερ ἀσεβεῖν αὐτούς ἔδει πάντως, καί τῆς τοῦ Θεοῦ δόξης ἀποπεσεῖν, εἰς εἴδωλα κατενεχθέντας καί τέχνης ἔργα καί χειρῶν πλάσματα, μή ἄλλο τι κατ᾽ αὐτῶν εὔξασθαι τούς νοῦν ἔχοντας, ἤ τοιαῦτα σεβασθῆναι καί οὕτω τιμῆσαι." 1453

Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό, " Οὗ δέ κάθαρσις, ἔλλαμψις, ἔλλαμψις δέ πόθου πλήρωσις, τοῖς τῶν μεγίστων, ἤ τοῦ μεγίστου, ἤ ὑπέρ τό μέγα ἐφιεμένοις." 1453
Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό, " Καινοτομοῦνται φύσεις, καί Θεός ἄνθρωπος γίνεται. " 1454
Ἄλλη εἰς τό αὐτό ἄπορον θεωρία. 1460
Τοῦ αὐτοῦ, ἐκ τοῦ εἰς τό βάπτισμα β΄ λόγου, εἰς τό "Τρισσήν γέννησιν ἡμῖν οἶδεν ὁ Λόγος, τήν ἐκ σωμάτων, τήν ἐκ βαπτίσματος, τήν ἐξ ἀναστάσεως·" εἶτα ἐπειπόντος τούτοις τινά, καί τά γεννήσεις ἑρμηνεύοντος, φῆσαι, " Ταύτας δέ τάς γεννήσεις ἁπάσας παρ᾽ ἑαυτοῦ τιμήσας ὁ ἐμός Χριστός φαίνεται, τήν μέν τῷ ἐμφυσήματι τῷ πρώτῳ καί ζωτικῷ, τήν δέ τῇ σαρκώσει καί τῷ βαπτίσματι ὅπερ αὐτός ἐβαπτίσατο, τήν δέ τῇ ἀναστάσει ἧς αὐτός ἀπήρξατο, ὡς ἐγένετο πρωτότοκος ἐν πολλοις ἀδελφοῖς, οὕτω καί πρωτότοκος ἐκ νεκρῶν γενέσθαι καταξιώσας." 1460
Θεωρία εἰς τό, "Τρισσήν γέννησιν ἡμῖν οἶδεν ὁ Λόγος." 1462
Ἄλλη εἰς τό αὐτό θεωρία. 1464
Θεωρία σύντομος πρός τούς λέγοντας προϋπάρχειν ἤ μεθυπάρχειν τῶν σωμάτων τάς ψυχάς. 1465
Πρός τούς λέγοντας προϋπάρχειν τῶν σωμάτων τάς ψυχάς. 1467
Πρός τούς λέγοντας τῶν ψυχῶν προϋπάρχειν τά σώματα. 1472
Περί τοῦ πῶς καινοτομία γένεται τῶν καινοτομουμένων πραγμάτων μενόντων ἀτρέπτων κατά τήν φύσιν. 1475
Ὅτι πᾶσα φύσις τῷ οἰκείῳ λόγῳ διαπαντός ἔχει τό τέλος. 1477
Διά τί συνῆψε τῇ σαρκώσει τήν ἐκ βαπτίσματος γέννησιν ὁ διδάσκαλος. 1478
Τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό, "Τί φάρμακα ἐπιζητεῖς, τά μηδέν ὀνήσοντα; τί κριτικόν ἱδρῶτα, ἴσως παρεστῶτος τοῦ ἐξοδίου; " 1480
Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό, " Οὐ γάρ πολλάκις Χριστός φιλεῖ κλεπτόμενος, καί εἰ λίαν ἐστί φιλάνθρωπος." 1480
Τοῦ αὐτοῦ ἐκ τοῦ εἰς τό Πάσχα λόγου, εἰς τό, " Γυμνόν τῇ ἁπλότητι καί ζωῇ ἀτέχνῳ, καί δίχα παντός ἐπικαλύμματος καί προβλήματος. Τοιοῦτον γάρ ἔπρεπεν εἶναι τόν ἀπ᾽ ἀρχῆς." 1481
Ἄλλη περί αὐτοῦ θεωρία. 1482
Ἄλλη περί αὐτοῦ θεωρία. 1483

Τοῦ αὐτοῦ λόγου εἰς τό· " Ἐνιαύσιον δέ, ὡς ἥλιον δικαιοσύνης, ἤ ἐκεῖθεν ὁρμώμενον, ἤ τῷ ὁρωμένῳ περιγραπτόν." 1483
Ἐκ τοῦ αὐτοῦ λόγου εἰς τό· " Θαυμαστόν οὐδέν εἰ μάλιστα κατ᾽ οἶκον ἕκαστον ἐπιζητεῖται τό πρόβατον." 1485
Ἐκ τοῦ αὐτοῦ λόγου εἰς τό· " Ὅσον μέν σαρκῶδες τοῦ λόγου καί τρόφιμον, μετά τῶν ἐνδοσθίων καί τῶν κρυφίων τοῦ νοῦ βρωθήσεται καί εἰς πέψιν πνευματικήν ἀναδοθήσεται." 1486
Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό· "Νεκρώσας τά μέλη τά ἐπί τῆς γῆς, καί τήν ζώνην Ἰωάννου μιμούμενος, τοῦ ἐρημικοῦ καί προδρόμου καί μεγάλου τῆς ἀληθείας κήρυκος." 1489
(1368) Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό· " Καί εἴ τις μαθητής ἐπί τό Εὐαγγέλιον πέμπεται, φιλοσόφως καί ἀπερίττως· ὅν δεῖ πρός τῷ ἀχάλκῳ καί ἀράβδῳ καί μονοχίτωνι, ἔτι καί γυμνοποδεῖν, ἵνα φανῶσιν οἱ πόδες ὡραῖοι τῶν εὐαγγελιζομένων εἰρήνην." 1489
Ἄλλο εἰς τό αὐτό θεώρημα. 1490
Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό· "Εἰ μέν τις εἶ Ῥαχήλ ἤ Λεία, ψυχή πατριαρχική καί μεγάλη, καί τά εἴδωλα κλέψον ἅπερ ἄν εὕρῃς τοῦ σοῦ πατρός, οὐχ ἵνα φυλάξῃς, ἀλλ᾽ ἵνα ἀφανίσῃς· εἰ δέ Ἰσραηλίτης σοφός, πρός τήν γῆν τῆς ἐπαγγελίας μετένεγκαι." 1491
Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό· " Ἄν Σίμων ᾖς Κυρηναῖος, τόν σταυρόν ἆρον καί ἀκολούθησον." 1492
Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό· " Ἐάν συσταυρωθῇς ὡς ληστής, ὡς εὐγνώμων τόν Θεόν γνώρισον." 1492
Ἄλλος εἰς τό αὐτό θεώρημα. 1493
Ἄλλο εἰς τό αὐτό θεώρημα. 1494
Ἄλλο εἰς τό αὐτό θεώρημα. 1494
Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό· " Κἄν Ἰωσήφ ᾖς ὁ ἀπό Ἀριμαθαίας, αἴτησαι τό σῶμα παρά τοῦ σταυροῦντος. " 1495
Ἄλλο εἰς τό αὐτό θεώρημα. 1495
Ἄλλο θεώρημα εἰς τό αὐτό. 1496
Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό· " Κἄν Νικόδημος ᾖς ὁ νυκτερινός θεοσεβής, μύροις αὐτόν ἐνταφίασον. " 1496
Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό· " Κἄν Μαρία τις ᾖς, κἄν ἡ ἄλλη Μαρία, κἄν Σαλώμη, κἄν Ἰωάννα, δάκρυσον ὀρθρία. Ἴδε πρώτη τόν λίθον ἠρμένον, τυχόν δέ καί τούς ἀγγέλους, καί Ἰησοῦν αὐτόν. " 1496
Ἄλλο θεώρημα εἰς τούς ἀγγέλους. 1497
Ἄλλο θεώρημα εἰς τούς αὐτούς. 1497

Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό· " Γενοῦ Πέτρος ἤ Ἰωάννης· ἐπί τόν τάφον ἐπείχθητι, ἀντιτρέχων, συντρέχων, τήν καλήν ἅμιλλαν ἁμιλλώμενος." 1497
Ἄλλο θεώρημα εἰς τούς αὐτούς. 1498
Ἐκ τοῦ αὐτοῦ, εἰς τό· " Κἄν ὡς Θωμᾶς ἀπολειφθῇς τῶν μαθητῶν οἷς Χριστός ἐμφανίζεται, ὅταν ἴδῃς, μή ἀπιστήστης. Κἄν ἀπιστήσῃς, τοῖς λέγουσι πίστευσον. Εἰ δέ μή τούτοις, τοῖς τύποις τῶν ἥλων πιστώθητι. Ϊ 1498
Ἄλλο θεώρημα εἰς τό αὐτό. 1498
Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό· " Ἄν εἰς ᾅδου κατίῃ, συγκάτελθε. Γνῶθι καί τά ἐκεῖ τοῦ Θεοῦ μυστήρια τίς ὁ λόγος τῆς διπλῆς καταβάσεως." 1499
Ἄλλο θεώρημα εἰς τό αὐτό. 1499
Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό· " Κἄν εἰς οὐρανούς ἀνίῃ, συνάνελθε. Γενοῦ μετά τῶν παραπεμπόντων ἀγγέλων ἤ τῶν δεχομένων· ἀρθῆναι ταῖς πύλαις διακέλευσαι. " 1499
Ἀλλο θεώρημα εἰς τό αὐτό. 1500
Ἄλλο θεώρημα εἰς τό αὐτό. 1500
Τοῦ αὐτοῦ, ἐκ τοῦ εἰς τήν Καινήν Κυριακήν λόγου, εἰς τό· " Ἐγκαινίζεται δέ ἡ σκηνή τοῦ μαρτυρίου, καί λίαν πολυτελῶς, ἥν Θεός παρέδειξε, καί Βεσελεήλ ἐτελείωσε καί Μωϋσῆς ἐπήξατο. " 1500
Ἄλλο εἰς τό αὐτό θεώρημα. 1501
Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό· " Ἐγκαινίζεται δέ ἡ βασιλεία Δαβίδ, καί οὐχ ἅπαξ, ἀλλή χρισμένου τό πρότερον, καί ἀναγορευομένου τό δεύτερον." 1501
Εἰς τόν παρόντα λόγον τινές ἀποροῦσι φάσκοντες, Τί δήποτε φήσας ὁ διδάσκαλος ὑπερβαίνειν τήν ἀναστάσιμον ἡμέραν πάσας τάς ἐπί γῆς ἑορτάς, οὐ τάς ἀνθρωπικάς μόνον καί χαμαί ἐρχομένας, ἀλλ᾽ ἤδη καί τάς αὐτοῦ τοῦ Χριστοῦ και ἐπ᾽ αὐτῷ τελουμένας, ὥσπερ ἐπιλαθόμενος τῆς ἰδίας ἀποφάσεως, τήν τῶν ἐγκαινίων ἡμέραν ταύτης ὑπερτίθησιν εἰπών, " Ὑψηλῶς ὑψηλοτέρα, καί θαυμασίας θαυμασιοτέρα," ὡς ἐκ τούτου νομισθῆναι ἑαυτῷ περιπίπτειν τόν διδάσκαλον. 1501
Ἄλλο θεώρημα εἰς τό αὐτό. 1502
Ἄλλο θεώρημα εἰς τό αὐτό. 1502

Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό· " Μισῶ καί τήν δι᾽ ἀέρος συνήθειαν. " 1502
Τοῦ αὐτοῦ ἐκ τοῦ εἰς τήν ἁγίαν Πεντηκοστήν λόγου, εἰς τό· " Μιᾶς δεούσης ἡμέρας, ἥν ἐκ τοῦ μέλλοντος αἰῶνος προσειλήφαμεν, ὀγδόην τε οὖσαν τήν αὐτήν καί πρώτην, μᾶλλον δέ μίαν καί ἀκατάλυτον. Δεῖ γάρ ἐκεῖσε καταλῆξαι τόν ἐνταῦθα σαββατισμόν τῶν ψυχῶν. " 1503
(1393) Ἄλλο εἰς τό αὐτό θεώρημα. 1504
Ἄλλη εἰς τό αὐτό θεωρία. 1504
Ἐκ τοῦ αὐτοῦ λόγου, πῶς τό· "Δισσώσατε καί τρισσώσατε, " λαβών ὁ διδάσκαλος εἰς τό περί τῆς ἑβδόμης μυστήριον φησιν· " Ὥς δέ καί τήν ἑβδόμην ἀναστροφήν Ἠλίου τοῦ προφήτου, τῷ τῆς Σαραφθίας υἱῷ, τό ζῆν ἐμπνεύσασαν, καί τοῦ αὐτοῦ τήν ἰσάριθμον κατά τῶν σχιδάκων ἐπίκλυσιν." 1504
Ἄλλο θεώρημα εἰς τό αὐτό. 1505
Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό· Ἰησοῦς δέ αὐτός, ἡ καθαρά τελειότης, οἶδε μέν τρέφειν ἐν ἐρημίᾳ καί πέντε ἄρτοις πεντακισχιλίους, οἶδε δέ πάλιν καί ἑπτά τετρακισχιλίους· καί τά τοῦ κόρου λείψανα ἐκεῖ μέν δώδεκα κόφινοι, ἐνταῦθα δέ σπυρίδες ζ΄. Οὐθέτερον ἀλόγως οἶμαι, οὐδέ ἀναξίως τοῦ Πνεύματος. 1505
Θεωρία εἰς τό ιβ΄ ἀριθμόν. 1506
Ἄλλο θεώρημα εἰς τό αὐτό. 1506
Ἄλλη θεωρία. 1507
Ἄλλη θεωρία. 1507
Ἄλλη θεωρία. 1507
(1400) Ἄλλη θεωρία. 1507
Ἄλλη θεωρία. 1508
Ἄλλη θεωρία. 1508
Θεωρία εἰς τούς κοφίνους. 1509
Θεωρία τῶν ζ΄ ἄρτων. 1509
Ἄλλη θεωρία περί τῶν τριῶν ἡμερῶν. 1509
Θεωρία τοῦ ἀριθμοῦ τῶν τετρακισχιλίων ἀνδρῶν. 1510
Ἄλλη θεωρία εἰς τόν ζ΄. ἀριθμόν. 1510
Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό· " Καί ἔστι διαφορά χαρισμάτων, ἄλλου δεομένη χαρίσματος πρός διάκρισιν τοῦ βελτίονος." 1511
Τοῦ αὐτοῦ, ἐκ τοῦ εἰς Ἥρωνα τόν φιλόσοφον λόγου εἰς τό· " Συμβάματα καί παρασυμβάματα. " 1511

Τοῦ αὐτοῦ ἐκ τοῦ εἰς τόν ἅγιον Βασίλειον ἐπιταφίου, εἰς τό· "Ἐπ᾽ οὐδενός οὖν τῶν ἁπάντων οὐκ ἔστιν ἐφ᾽ ὅτῳ οὐχί τῶν ἁπάντων." 1512
Τοῦ αὐτοῦ ἐκ τῶν ἐπῶν, εἰς τό· "Παίζει γάρ λόγος αἰπύς ἐν εἴδεσι παντοδαποῖσι, κρίνας, ὡς ἐθέλοι, κόσμον ἑόν ἔνθα καί ἔνθα. 1513
Ἄλλη θεωρία εἰς τό αὐτό. 1514
Ἄλλη θεωρία εἰς τό αὐτό. 1516
Ἄλλη θεωρία εἰς τό αὐτό. 1517
ΘΑΛΑΣΣΙΟΥ ΑΒΒΑ ( Σελ. 1428) 1518
Περί ἀγάπης καί ἐγκρατείας, καί τῆς κατά νοῦν πολιτείας, 1518
Πρός Παῦλον πρεσβύτερον. 1518
ΕΚΑΤΟΝΤΑΣ Α΄. 1518
ΕΚΑΤΟΝΤΑΣ Β΄. 1524
ΕΚΑΤΟΝΤΑΣ Γ΄. (1448) 1529
ΕΚΑΤΟΝΤΑΣ Δ΄. (1457) 1535
EJUSDEM THALASSII 1543
LIBELUS AD THEODOSIUM IMPERATOREM 1543
Τοῖς εὐσεβεστάτοις, καί τιμηθεῖσι, καί τιμωμένοις παρά Θεῷ καί ἀνθρώποις, Χριστιανοῖς βασιλεῦσι, Φλαυΐοις Θεοδοσίῳ καί Οὐαλεντινιανῷ, δέησις, εἴτουν παράκλησις παρά Βασιλείου διακόνου καί ἀρχιμανδρίτου, καί Θαλασσίου ἀναγνώστου καί μονάζοντος, καί λοιπῶν Χριστιανῶν μοναχῶν. 1543
ΘΕΟΔΩΡΟΥ 1548
ΠΡΕΣΒΥΤΕΡΟΥ ΤΗΣ ΡΑΪΘΟΥ (1484) 1548
Προπαρασκευή τις καί γυμνασία, τῷ βουλομένῳ μαθεῖν τίς ὁ τρόπος τῆς θείας ἐνανθρωπήσεως, καί οἰκονομίας, καθ᾽ ὅν πέπρακται, καί τίνα τά πρός τούς ταύτην μή ὀρθῶς νοοῦντας λεγόμενα παρά τῶν τῆς Ἐκκλησίας τροφίμων. 1548
Δόξα Μάνεντος. 1549
Δόξα Παύλου Σαμοσατέως. 1549
Δόξα Ἀπολιναρίου. 1550
Δόξα Θεοδώρου Μοψουεστίας. 1550
Δόξα Νεστορίου. 1551
Δόξα Εὐτυχοῦς. 1551
Ἐξήγησις τοῦ ὅρου. 1552
Δόξα Ἰουλιανοῦ. 1557
Δόξα Σευήρου. 1557

## ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΜΑΞΙΜΟΥ ΤΟΥ ΟΜΟΛΟΓΗΤΟΥ

## ΠΡΟΣ ΜΑΡΙΝΟΝ ΤΟΝ ΟΣΙΩΤΑΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟΝ

Σκοπόν θέμενος σαυτῷ τήν πανύμνητον πρός τήν Θεόν στείλασθαι φιλίαν, θεοτίμητε Πάτερ, εὐτάκτως πρός αὐτήν διανύεις τόν δρόμον. Λόγῳ μέν πρός ἀρετῆς γένεσιν τήν τῶν ὄντων φύσιν περιγράφων(α) νῷ δέ, πρός ἀπλανοῦς ἑνώσεως (γνώσεως) σύστασιν, παντός αἰῶνος καί χρόνου περιορίζων τήν κίνησιν· αἷς θερμότερος ὁ τοῦ Θεοῦ συνεισέρχεται πόθος· τῇ τε ἀπειρίᾳ συμπαρεκτείνων σου τοῦ ποθοῦντος τήν κίνησιν· καί τῷ ἀκαταλήπτῳ τοῦ ποθουμένου, τήν ἔφεσίν σοι ποιῶν ἀκατάληπτον· ἧς τέλος αὐτός ἐστιν ὁ Θεός· πόθου τοῖς ἀξίοις γινόμενος πλήρωσις, ὡς ἀπόλαυσις ἀγαθῶν αὐθυπόστατος· ἧς μόνην τήν πεῖραν οἶδε κατάληψιν ὁ λόγος, οἷα σαφῶς ὑπέρ νόησιν τυγχάνουσαν, ἕνωσιν, ὡς μηδενί τύπῳ νοερῷ καθοτιοῦν ὑποπιπτούσης. Διά τοῦτο, τοῦ μέν λόγου σοι γέγονε πρόσωπον (2) ὁ βίος· τοῦ δέ βίου φύσις (β)(10), ὁ λόγος· τόν καινόν ἀληθῶς κατά Χριστόν ὑπογράφοντες ἄνθρωπον· εὐμιμήτως φέροντα τοῦ κτίσαντος Θεοῦ τήν εἰκόνα καί τήν ὁμοίωσιν· ἅστινας ὑποληπτέον νῦν τήν ἀλήθειαν καί τήν ἀγαθότητα· τήν μέν θεωρίας · τήν δέ, πράξεως τέλος ὑπάρχουσαν· καί τήν μέν, ψεύδους· τήν δέ, πονηρίας ἀντίπαλον.

Ἐντεῦθεν σοι τῇ κατορθώσει τῶν ἀρετῶν, ἡ τῶν θείων συνήφθη δογμάτων κατάληψις· τῷ τε πλήθει τῆς γνώσεως, καί τῇ δυνάμει συνεχομένη τῆς ἀποδείξεως· καθ᾽ ἥν, τό πρός τινων οὐκ ἠκριβωμένως περί θελημάτων προταθέν διαγνούς, καί παρωσάμενος, ταυτόν ἀλλήλοις εἶναι φαμένων θέλημα καί βούλησιν, καί βουλήν, καί προαίρεσιν καί γνώμην· ἐξουσίαν τε καί δόξαν καί φρόνησιν, μόνοις ἀλλήλων, διαφέροντα τοῖς ὀνόμασι· τοῦ τε Θεοῦ καί τῶν ἁγίων ἕν θέλημα γενήσεσθαι· καί διά τοῦτο βεβαιουμένων τόν Χριστόν ἕν θέλημα προαιρετικόν ἔχειν καί διατεινομένων· οὐκ ἠρκέσθης σαυτῷ πρός τήν τοῦ καλῶς κριθέντος βεβαίωσιν, διά τήν σύντροφον πτωχείαν τοῦ πνεύματος· ἀλλά κἀμέ τόν ἰδιωτείᾳ συντεθραμμένον σύμψηφον λαβεῖν τῶν ἐγνωσμένων σοι καλῶς κατηξίωσας. Ὅπερ ποιήσων ἥκω· κἄν προπετές· τῷ τῆς εὐπειθείας μισθῷ νενικημένος.

Ἑκάστου δέ τούτων καθ᾽ εἱρμόν τήν γραφήν ποιήσομαι σύντομον, καί οἷον ὁριστικήν· οὐκ ἐμούς ἐγχαράττων λόγους· πῶς γάρ, ὁ τούτων πενόμενος, ἀλλά τούς περί τούτων ἄλλοις πονηθέντας ἐρανισάμενος· ἵνα γνῶμεν ὡς ἀμφοῖν· διαφέρουσιν ἀλλήτων ταῦτα· λέγω δέ κλήσει καί πράγματι.

***Περί φυσικοῦ θελήματος, ἤγουν θελήσεως.***

Θέλημα γάρ εἶνα φυσικόν, ἤγουν θέλησιν, δύναμιν τοῦ κατά φύσιν ὄντος ὀρεκτικήν· καί τῶν οὐσιωδῶς τῇ φύσει προσόντων συνεκτικήν πάντων ἰδιωμάτων. Τούτῳ γάρ συνεχομένη φυσικῶς ἡ οὐσία, τοῦ τε εἶναι καί ζῆν καί κινεῖσθαι κατ᾽ αἴσθησίν τε καί νοῦν ὀρέγεται, τῆς οἰκείας ἐφιεμένη φυσικῆς καί πλήρους ὀντότητος. Θελητική γάρ ἑαυτῆς, καί τῶν ὅσα σύστασιν αὐτῆς ποιεῖσθαι πέφυκε, καθέστηκεν ἡ φύσις· τῷ τοῦ εἶναι αὐτῆς λόγῳ, καθ᾽ ὅν ἔστι τε καί γέγονεν ὀρεκτικῶς ἐπηρτημένη. (13) Διόπερ ἕτεροι τοῦτο τό φυσικόν ὁριζόμενοι· θέλημά φασιν εἶναι, ὄρεξιν λογικήν τε καί ζωτικήν· τήν δέ προαίρεσιν, ὄρεξιν βουλευτικήν τῶν ἐφ᾽ ἡμῖν. Οὐκ ἔστιν οὖν προαίρεσις ἡ θέλησις· εἴπερ ἡ μέν θέλησις ἁπλῆ τις ὄρεξίς ἐστι, λογική τε καί ζωτική· ἡ δέ προαίρεσις, ὀρέξεως καί βουλῆς καί κρίσεως σύνοδος. Ὀρεγόμενοι γάρ πρότερον βουλευόμεθα· καί βουλευσάμενοι, κρίνομεν· καί κρίναντες, προαιρούμεθα τοῦ χείρονος τό δειχθέν ἐκ τῆς κρίσεως κρεῖττον· καί ἡ μέν, μόνον ἤρτηται τῶν φυσικῶν· ἡ δέ, μόνων τῶν ἐφ᾽ ἡμῖν, καί δι᾽ ἡμῶν γίνεσθαι δυναμένων. Οὐκ ἔστιν οὖν θέλησις ἡ προαίρεσις.

***Περί βουλήσεως.***

Ἀλλ᾽ οὔτε βούλησίς ἐστιν ἡ προαίρεσις. Βούλησις μέν γάρ ἐστιν ὄρεξις φανταστική τῶν ἐφ᾽ ἡμῖν καί οὐκ ἐφ᾽ ἡμῖν (γ)· τουτέστι μόνῃ τῇ διανοίᾳ μορφουμένη. Ἡ δέ ὄρεξις φανταστική, μόνης ἐστί τῆς διανοητικῆς δυνάμεως ἄνευ τοῦ βουλευτικοῦ λόγου τῶν ἐφ᾽ ἡμῖν· ἤ ποιά φυσική θέλησις. Ἡ δέ προαίρεσις, ὄρεξις βουλευτική τῶν ἐφ᾽ ἡμῖν πρακτῶν. Ἤρκει μεν οὖν καί μόνος ὁ τῆς ὑπογραφῆς λόγος, δείξας τήν τούτων διαφοράν, παῦσαι φιλονεικίας τούς περιττῶς φιλολογοῦντας· καί τοῖς καλῶς ἐγνωσμένοις, οὐκ οἶδ᾽ ὅπως εὐφήμως εἰπεῖν, σαφῶς ἀντιλέγοντας. Ἐπειδή δέ ποθοῦσί πως οἱ φιλοπευστοῦντες διά πλειόνων ἐπιστῆναι τοῖς ζητουμένοις, ἐροῦμεν

καί ἄλλως. Φασίν οἱ περί τούτων διειληφότες. Οὐ πᾶσιν (δ) οἷς ἁρμόζει τό προαιρεῖσθαι, πάντως ἁρμόζειν καί τό βούλεσθαι. Βούλεσθαι μέν γάρ ὑγιαίνειν καί πλουτεῖν καί ἀθανατισθῆναι φαμεν· προαιρεῖσθαι δέ πλουτεῖν καί ὑγιαίνειν καί ἀθανατισθῆναι, οὐ λέγομεν· ἐπειδή ἡ μέν βούλησις, καί ἐπί τῶν δυνατῶν καί ἐπί τῶν ἀδυνάτων ἐστίν· ἡ δέ προαίρεσις, ἐπί μόνων δυνατῶν, καί δι᾽ ἡμῶν γενέσθαι δυναμένων. Καί πάλιν, ἡ μέν βούλησις, τοῦ τέλους ἐστίν· ἡ δέ προαίρεσις, τῶν πρός τό τέλος. Τέλος οὖν εἶναι φασι τό βουλητόν· οἷον, τήν ὑγίειαν· πρός τό τέλος, δέ, τό βουλευτόν· οἷον, τόν τῆς ὑγιείας τόπον. Τήν αὐτήν οὖν ἀναλογίαν ἥν ἔχει τό βουλητόν πρός τό βουλευτόν, ἔχειν τήν βούλησίν φασι (16) πρός τήν προαίρεσιν· εἴπερ ταῦτα μόνα προαιρούμεθα, ἅ δι᾽ ἡμῶν οἰόμεθα δύνασθαι γενέσθαι. Βουλόμεθα δέ καί τά μή δι᾽ ἡμῶν οἷα τε γενέσθαι. Δέδεικται τοίνυν, ὡς οὐδέ βούλησίς ἐστιν ἡ προαίρεσις· δειχθήσεται δέ πάλιν, ὡς οὔτε βούλευσίς ἐστιν ἤγουν βουλή.

***Περί βουλῆς ἤγουν βουλεύσεως.***

Τήν βουλήν ἤγουν βούλευσιν εἶναί φασιν ὄρεξιν ζητητικήν περί τι τῶν ἐφ᾽ ἡμῖν πρακτῶν γινομένην. Προαιρετόν δέ, τό ἐκ τῆς βουλῆς κριθέν. Δῆλον οὖν ἐντεῦθεν, ὡς ἡ μέν βούλευσις, ἐπί τοῖς ἔτι ζητουμένοις ἐστίν· ἡ δέ προαίρεσις, ἐπί τοῖς ἤδη προκεκριμένοις. Καί δῆλον, οὐκ ἐκ μόνου τοῦ ὁρισμοῦ, ἀλλά καί τῆς ἐτυμολογίας. Προαιρετόν γάρ ἐστι τό ἕτερον πρό ἑτέρου αἱρετόν. Οὐδείς δέ προκρίνει τι, μή βουλευσάμενος· οὐδέ αἱρεῖται μή κρίνας. Οὐκ ἔστιν οὖν βουλή, τουτέστι βούλευσις, ἡ προαίρεσις.

***Περί προαιρέσεως.***

Προαίρεσιν εἶναι φασιν ὄρεξιν βουλευτικήν ἐφ᾽ ἡμῖν πρακτῶν. Μικτόν γάρ τι, καί πολλοῖς σύγκρατον ἡ προαίρεσις· ἐξ ὀρέξεως καί βουλῆς συγκειμένη καί κρίσεως. Οὐδέτερον γάρ τούτων ὑπάρχει καθ᾽ αὐτό θεωρούμενον ἡ προαίρεσις· οὔτε γάρ μόνον ὄρεξις καθ᾽ αὐτήν, οὔτε βουλή, οὔτε κρίσις· ἀλλά ἐκ τούτων σύγκρατος, καθώς ὁ καθ᾽ ἡμᾶς ἄνθρωπος ἐκ ψυχῆς καί σώματος σύνθετος. Ἐπειδή τότε προαίρεσις, καί προαιρετόν γίνεται, τό προκριθέν ἐκ τῆς βουλῆς, περί οὗ ἡ προαίρεσις, ὅταν προσλάβῃ τήν ὄρεξιν. Ἀναγκαίως οὖν ἡ

προαίρεσις περί ταὐτά ἐστι μετά τήν κρίσιν, περί ἅ ἡ βουλή πρό τῆς κρίσεως. Ἐκεῖνα γάρ προαιρούμεθα, περί ὧν βουλευόμεθα.

***Περί τίνων βουλευόμεθα.***

Βουλευόμεθα δέ περί τῶν ἐφ᾽ ἡμῖν καί δι' ἡμῶν γίνεσθαι δυναμένων· καί ἄδηλον ἐχόντων το τέλος. Τό μέν οὖν ἐφ᾽ ἡμῖν εἴρηται, ἐπειδή περί τῶν πρακτῶν μόνον βουλευόμεθα. Ταῦτα γάρ ἐφ᾽ ἡμῖν· οὐ γάρ περί τῆς αὐθυποστάτου σοφίας. Οὔτε γάρ περί Θεοῦ, οὔτε περί τῶν ἐξ ἀνάγκης καί ἀεί ὡσαύτως γινομένων· οἷον τῆς κυκλικῆς τῶν χρόνων κινήσεως· οὔτε περί τῶν οὐκ ἀεί μέν ὄντων, ἀεί δέ ὁμοίως γινομένων, οἷον ἀνατολῆς ἡλίου καί δύσεως· οὔτε περί τῶν φύσει μέν, οὐκ ἀεί δέ ὁμοίως γινομένων, (17) ἀλλ᾽ ὡς ἐπί τό πλεῖστον· οἷον, περί τοῦ πολιοῦσθαι τόν ἑξηκοντούτην, ἤ γενειάσκειν τόν εἰκοσαετῆ· οὔτε περί τῶν φύσει μέν, ἄλλοτε δέ ἄλλως ἀορίστως γινομένων· οἷον περί ὄμβρων καί αὐχμῶν καί χαλάζης. Διά ταῦτα μέν τό ἐφ᾽ ἡμῖν, εἴρηται· Τό δέ, Δι᾽ ἡμῶν γίνεσθαι δυναμένων· ἐπειδήπερ οὐ περί πάντων ἀνθρώπων ( τῶν ἀνθρωπίνων), οὔτε περί παντός πράγματος βουλευόμεθα· ἀλλ᾽ οὐδέ περί πάντων τῶν ἐφ᾽ ἡμῖν, καί δι᾽ ἡμῶν γινομένων· ἀλλά δεῖ προσκεῖσθαι, καί ἄδηλον ἐχόντων τό τέλος. Ἐάν γάρ ᾖ φανερόν καί ὁμολογούμενον, οὐκ ἔτι περί αὐτοῦ βουλευόμεθα· κἄν ἐφ᾽ ἡμῖν, καί δι᾽ ἡμῶν γίνηται. Ἐδείχθη δέ, ὡς οὐδέ περί τοῦ τέλους, ἀλλά περί τῶν πρός τό τέλος, ἡ βουλή. Βουλεύομεθα γάρ οὐ πλουτῆσαι· ἀλλ᾽ ὅπως καί δι᾽ ὧν πλουτήσομεν. Καί συντόμως εἰπεῖν, περί τούτων μόνον βουλευόμεθα, ὧν ἡ πρᾶξις ἐπίσης ἐνδέχεται· ἔστι δέ ἐπίσης ἐνδεχόμενον, ὅ αὐτό τε δυνάμεθα, καί τό ἀντικείμενον αὐτῷ. Εἰ δέ τό ἕτερον μόνον τῶν ἀντικειμένων ἠδυνάμεθα, τοῦτο μέν ἦν ὁμολογούμενον, ὡς ἀναμφίβολον· τό δὲ ἀντικείμενον, ἀδύνατον. Οἷον, ἄρτου καί λίθου προκειμένων, οὐδείς βουλεύεται ποῖον ποιήσεται βρῶμα· τοῦ μέν ὁμολογουμένου· τοῦ δέ σαφῶς ὄντος ἀδυνάτου. Ταῦτα γοῦν προαιρούμεθα, τά ἐπίσης ἐνδεχόμενα, περί ὧν καί βουλευόμεθα.

***Περί γνώμης.***

Ἀλλ᾽ οὔτε γνώμη τίς ἐστιν ἡ προαίρεσις, κἂν οἱ πολλοί τοῦτο προχείρως νομίζωσιν· ἀλλά γνώμης· εἴπερ τήν γνώμην εἶναι φασιν ὄρεξιν ἐνδιάθετον τῶν ἐφ᾽ ἡμῖν, ἐξ ἧς ἡ προαίρεσις· ἤ διάθεσιν ἐπί τοῖς ἐφ᾽ ἡμῖν ὀρεκτικῶς βουλευθεῖσι. Διατεθεῖσα γάρ ἡ ὄρεξις τοῖς κριθεῖσιν ἐκ τῆς βουλῆς, γνώμη γέγονε· μεθ᾽ ἥν, ἤ κυριώτερον εἰπεῖν, ἐξ ἧς ἡ προαίρεσις. Ἕξεως οὖν πρός ἐνέργειαν ἐπέχει λόγον, ἡ γνώμη πρός τήν προαίρεσιν.

***Περί ἐξουσίας.***

Ἀλλ᾽ οὔτε ἐξουσία ἐστίν ἡ προαίρεσις. Ἡ μέν γάρ προαίρεσις, ὡς πολλάκις ἔφην, ὄρεξις ἐστι βουλευτική τῶν ἐφ᾽ ἡμῖν πρακτῶν· ἡ δέ ἐξουσία, κυριότης ἔννομος τῶν ἐφ᾽ ἡμιν πρακτῶν · ἤ κυριότης ἀκώλυτος τῆς τῶν ἐφ᾽ ἡμῖν χρήσεως· ἤ ὄρεξις τῶν ἐφ᾽ ἡμῖν ἀδούλωτος. Οὐκ ἔστιν οὖν ταυτόν ἐξουσία καί προαίρεσις· εἴπερ κατ᾽ ἐξουσίαν μέν προαιρούμεθα· οὐκ ἐξουσιάζομεν δέ κατά προαίρεσιν· καί ἡ μέν ἐπιλέγεται μόνον· ἡ δέ χρᾶται τοῖς ἐφ' ἡμῖν, καί τοῖς ἐπί τοῖς ἐφ᾽ ἡμῖν, ἤγουν, προαιρέσει καί κρίσει καί βουλῇ. Κατ' ἐξουσίαν γάρ βουλευόμεθα, (20) καί κρίνομεν, καί προαιρούμεθα, καί ὁρμῶμεν, καί χρώμεθα τοῖς ἐφ᾽ ἡμῖν.

***Περί δόξης***

Ἀλλ᾽ οὔτε δόξα τίς ἐστιν ἤ προαίρεσις. Ἡ μέν γάρ δόξα διττή· λογική τε, καί ἄλογος· ἡ δέ προαίρεσις τρεπτή. Τήν μέν οὖν ἄλογον δόξαν εἶναί φασιν, ἁπλῆν γνῶσιν καί πρόχειρον· ὡς ὅταν τις προφέρῃ δόξαν ἀλλοτρίαν, ἀγνοῶν τήν αὐτῆς αἰτίαν. Οἷον, ἀθάνατον λέγων τήν ψυχήν, καί μή διδούς ἀποδεικτικήν αἰτίαν τῆς ἀθανασίας αὐτῆς. Τήν δέ λογικήν δόξαν, γνῶσιν εἶναι λέγουσι, κατά ἀποπεράτωσιν τῆς διανοίας συνισταμένην· ὡς ὅταν τις λογισάμενός τι, καί τήν αἰτίαν αὐτοῦ ἐπιστημονικῶς ἀποδίδωσι. Διανοία γάρ ἐστιν, ἡ διήκουσα καί διαστηματικῶς ἐνεργοῦσα, ἀπό προτάσεως ἀρχομένη μέχρι συμπεράσματος. Οἷον, προτίθεταί τις δεῖξαι τήν ψυχήν ἀθάνατον, καί λέγει· Ἐπειδή αὐτοκίνητος ἐστιν ἡ ψυχή· τό δέ αὐτοκίνητον, ἀεικίνητον· τό δέ ἀεικίνητον, ἀθάνατον· ἡ ψυχή ἄρα ἀθάνατος. Ἤ πάλιν· Ἐπειδή ἀσύνθετός ἐστιν ἡ ψυχή· τό δέ ἀσύνθετον, ἀδιάλυτον· τό δέ ἀδιάλυτον, ἀθάνατον· ἡ ψυχή ἄρα ἀθάνατος. Διανοίας γάρ ἴδιον,

τό διανύειν τινά ὁδόν ἐπί τήν τοῦ πράγματος γνῶσιν φέρουσαν· ὁδεύει δέ ἀπό τῶν προτάσεων διά τῶν συλλογισμῶν ἐπί τά συμπεράσματα, καί ποιεῖ τήν λογικήν δόξαν. Καί πάλιν, ἡ μέν δόξα οὐ μόνον τῶν ἐφ᾽ ἡμῖν, ἀλλά καί τῶν οὐκ ἐφ᾽ ἡμῖν· ἡ δέ προαίρεσις, μόνον τῶν ἐφ᾽ ἡμῖν· καί δόξαν μέν ἀληθῆ λέγομεν καί ψευδῆ· προαίρεσιν δέ, οὐ λέγομεν ἀληθῆ καί ψευδῆ· ἀλλά καλήν καί κακήν· καί ἡ μέν δόξα, τῶν καθόλου· ἡ δέ προαίρεσις, τῶν καθέκαστα· περί γάρ τῶν πρακτῶν ἡ προαίρεσις· ταῦτα γάρ τά καθέκαστα. Διά πλειόνων, ὡς οἶμαι, φανερόν γέγονε, μή εἶναι δόξαν, τήν προαίρεσιν. Εἰ γάρ ἡ μέν δόξα κατ᾽ ἀποπεράτωσιν τῆς διανοίας συνισταμένη, γνῶσίς ἐστιν· ἡ δέ προαίρεσις, ὄρεξις βουλευτική τῶν ἐφ᾽ ἡμῖν πρακτῶν, οὐκ ἔστι τῇ δόξῃ ταυτόν ἡ προαίρεσις.

***Περί φρονήματος(ε), ἤγουν φρονήσεως.***

Ἀλλ᾽ οὔτε φρόνημα ἤγουν φρόνησίς ἐστι ἡ προαίρεσις. Εἴπερ τήν μέν φρόνησιν, ὄρεξιν θεωρητικήν λογικῶν καί γνωστικῶν μαθημάτων φασίν· (21) ἤ ἕξιν ἀνοίας τε καί ὑπερνοίας ἀντίπαλον· τήν δέ προαίρεσιν, ὡς διαφόρως ἀποδέδωκεν ὁ λόγος, ὄρεξιν βουλευτικήν τῶν ἐφ᾽ ἡμῖν. Γίνεσθαι δέ τήν φρόνησίν φασι κατά τόν τρόπον τοῦτον· οἷον, τήν μέν πρώτην τοῦ νοῦ κίνησιν, νόησιν καλοῦσι· τήν δέ περί τινος νόησιν, ἔννοιαν λέγουσι· ἥτις ἐπιμείνασα καί τυπώσασα τήν ψυχήν πρός τό νοούμενον, ἐνθύμησις προσαγορεύεται· ἡ δέ ἐνθύμησις ἐν ταυτῷ μείνασα, καί ἑαυτήν βασανίσασα, φρόνησις ὀνομάζεται· ἡ δέ φρόνησις πλατυνθεῖσα, ποιεῖ τόν διαλογισμόν· ἐνδιάθετον λόγον παρά τοῖς ταῦτα δεινοῖς ὀνομαζόμενον· ὅν ὑπογράφοντές φασι, κίνημα τῆς ψυχῆς εἶναι πληρέστατον ἐν τῷ διαλογιστικῷ γινόμενον, ἄνευ τινός ἐκφωνήσεως· ἐξ οὗ τόν προφορικόν λόγον φασί προϊέναι.

Φρόνημα δέ πάλιν εἶναι λέγουσι, τήν ἐκ τῆς φρονήσεως ἐπιγινομένην τῷ φρονητικῷ γνῶσιν τοῦ φρονηθέντος· φρόνησιν γάρ, καί φρονητόν καί φρονητικόν καί φρόνημά φασι. Καί φρόνησις μέν ἐστιν, ἡ σχέσις· φρονητόν δέ, τό φρονούμενον· φρονητικόν, τό φρονοῦν· καί φρόνημα, ἡ γενομένη ἐκ τῆς φρονήσεως τῷ φρονητικῷ γνῶσις τοῦ φρονηθέντος πράγματος. Εἰ τοίνυν τοῦτο μέν οὕτως · ἡ δέ προαίρεσις οὐχ οὕτως· ἄρα προαίρεσις οὐκ ἔστι τό φρόνημα.

Δέδεικται τοίνυν, ὡς οἶμαι, σαφῶς, οὐκ εἶναι ταυτόν ἀλλήλοις τά προταθέντα, κατά τούς τοῦτο νομίζοντας. Εἰ δέ φαῖεν ἀλλήλοις

πάντως εἶναι ταυτόν, διά τό πάντων ἐπίσης, ὡς γένος κατηγορεῖσθαι τήν ὄρεξιν, ἤγουν τήν ὀρεκτικήν τῆς φύσεως δύναμιν· εἰπάτωσαν ἀλλήλοις εἶναι ταυτόν καί πάντα τά εἴδη, τά τε χερσαῖα, καί πτηνά καί ἔνυδρα, διά τό πάντων ἐπίσης ὡς γενικώτερον, κατηγορεῖσθαι γένος τό ζῶον, φροῦδος αὐτοῖς ἡ τοῦ παντός γενήσεται διακόσμησις· πραγμάτων οὐκ οὖσα διαφόρων ὑπόστασις, ἀλλά μόνον ψιλῶν ὀνομάτων ἔκφανσις.

***Ὅτι κατά πάντα τρόπον οὐκ ἔσται μετά τήν ἀνάστασιν ἕν τό θέλημα τῶν ἁγίων πρός ἀλλήλους καί τόν Θεόν, κἄν ἕν πᾶσι τό θεληθέν, ὥς τινες λέγουσιν.***

Οὐκοῦν ἡ προαίρεσις προσλαβοῦσα τήν ἐπί τοῖς ἐφ᾽ ἡμῖν ὁρμήν τε καί χρῆσιν, πέρας τῆς κατ᾽ ὄρεξιν, ἡμῆν λογικῆς ὑπάρχει κινήσεως. Τό γάρ φύσει λογικόν, δύναμιν ἔχον φυσικήν τόν λογικήν ὄρεξιν, ἥν καί θέλησιν τῆς νοερᾶς καλοῦσι ψυχῆς· ὀρέγεται καί λογίζεται· καί λογισάμενον βούλεται. Βούλησιν γάρ εἶναί φασιν, οὐ τήν ἁπλῶς φυσικήν, ἀλλά τήν ποιάν· τουτέστι, τήν περί τινος θέλησιν· (21) καί βουλόμενον ζητεῖ· καί ζητοῦν σκέπτεται· καί σκεπτόμενον βουλεύεται· καί βουλευόμενον κρίνει· και κρίνον προαιρεῖται· καί προαιρούμενον ὁρμᾷ· καί ὁρμῶν, κέχρηται· καί χρώμενον παύεται τῆς ὀρεκτικῆς ἐπ᾽ ἐκεῖνο κινήσεως. Οὐδείς γάρ κέχρηται, μή πρότερον ὁρμήσας· καί οὐδείς ὁρμᾷ, μή προαιρούμενος· καί οὐδείς προαιρεῖται, μή κρίνας· καί οὐδείς κρίνει, μή βουλευσάμενος· καί οὐδείς βουλεύεται, μή σκεψάμενος· καί οὐδείς σκέπτεται, μή ζητήσας· καί οὐδείς ζητεῖ, μή βουληθείς· καί οὐδείς βούλεται, μή λογισάμενος· καί οὐδείς λογίζεται, μή ὀρεγόμενος· καί οὐδείς λογικῶς ὀρέγεται, μή ὑπάρχων φύσει λογικός. Λογικόν οὖν φύσει ζῶον ὑπάρχων ὁ ἄνθρωπος, ὀρεκτικός ἐστι, καί λογιστικός, καί βουλητικός, καί ζητητικός, καί σκεπτικός καί προαιρετικός, καί ὁρμητικός καί χρηστικός.

Εἰ δέ μετά τῶν λοιπῶν καί προαιρετικόν φύσει ζῶον ὁ ἄνθρωπος· ἡ δέ προαίρεσις τῶν ἐφ᾽ ἡμῖν, καί δι᾽ ἡμῶν γίνεσθαι δυναμένων, καί ἄδηλον ἐχόντων τό τέλος(θ) ἐστίν· ἐφ᾽ ἡμῖν δέ, καί ὁ τῶν ἀρετῶν λόγος, τῶν κατά φύσιν δυνάμεων ὑπάρχων ἐνεργούμενος νόμος· καί ὁ κατά παράχρησιν τῶν αὐτῶν δυνάμεων τρόπος, τά παρά φύσιν πάθη παρυφιστῶν· ἄρα πᾶς φύσει προαιρετικός, τῶν ἀντικειμένων

ἐπιδεκτικός τε καί κριτικός. Εἰ δέ τῶν ἀντικειμένων κριτικός, καί προαιρετικός πάντως· εἰ δέ προαιρετικός, ὡς ὑπ᾿ αὐτῷ κειμένης τῆς ἐπ᾿ ἄμφω κινήσεως, οὐκ ἄτρεπτος φύσει καθέστηκεν. (3) Οὐκοῦν ἐπειδή τῶν ἀμφιβόλων ἐστίν, ὡς ἐφ᾿ ἡμῖν, ἥ τε βουλή καί ἡ κρίσις καί ἡ προαίρεσις, ὅταν οὐκ ἔστι τά ἀμφίβολα, τῆς αὐθυποστάτου πᾶσιν ἐμφανοῦς ἀληθείας δειχθείσης, προαίρεσις οὐκ ἔστι διά τῶν μέσων καί ἐφ᾿ ἡμῖν ὄντων κινουμένη πραγμάτων· ὅτι μηδέ κρίσις, ἀφορισμόν ποιουμένη τῶν ἀντικειμένων, ὧν τό κρεῖττον ποιούμεθα πρό τοῦ χείρονος αἱρετόν· εἰ δέ τότε κατά τόν νῦν κρατοῦντα νόμον τῆς φύσεως, προαίρεσις οὐκ ἔστι, πάσης ἀπογενομένης τῶν ὄντων ἀμφιβολίας, ὄρεξις ἐνεργής ἔσται μόνη νοερά, τοῖς οὕτω κατά φύσιν ὀρεκτικοῖς· μόνης ἀφράστως ἐπειλημμένη τῆς τοῦ κατά φύσιν ὀρεκτοῦ μυστικῆς ἀπολαύσεως, πρός ἥν ἔσχε διά τῶν ἀπηριθμημένων τήν κίνησιν· ἧς ὁ κόρος ἐστίν, ἡ ἐπ᾿ ἄπειρον ἐπίτασις αὐτῆς τῆς τῶν ἀπολαυόντων ὀρέξεως· ἑκάστου τοσοῦτον ὑπερφυῶς μεθέξοντος, ὅσον ἐπόθησε· καί πρός αὐτό τό φύσει ποθούμενον ἄμεσος συνανάκρασις. Εἰ δέ ὅσον τις ἐπόθησε, (25) τοσοῦτον μεθέξει τοῦ ποθουμένου· τῷ μέν τῆς φύσεως λόγῳ, μία δειχθήσεται πάντων ἡ θέλησις· τῷ δέ τῆς κινήσεως τρόπῳ, διάφορος.

Εἰ δέ τρόπῳ τῷ κατά τήν κίνησις οὐ μία πάντων ἀνθρώπων ἡ θέλησις· οὐδέποτε μία τοῦ τε Θεοῦ καί τῶν σωζομένων, ὥς τισιν ἔδοξε, κατά πάντα τρόπον γενήσεται θέλησις· κἄν ἕν τό θεληθέν ἐστι τῷ τε Θεῷ καί τοῖς ἁγίοις, ἡ σωτηρία τῶν σωζομένων· σκοπός ὑπάρχουσα θεῖος, ὡς τέλος πάντων προεπινοηθέν τῶν αἰώνων· περί ὅ, τῶν τε σωζομένων πρός ἀλλήλους καί Θεοῦ τοῦ σώζοντος, κατά τήν θέλησιν γενήσεται σύμβασις· ὅλου ἐν πᾶσι γενικῶς , καί τό καθ᾿ ἕκαστον ἰδικῶς χωρήσαντος τοῦ Θεοῦ, τοῦ τά πάντα πληροῦντος τῷ μέτρῳ τῆς χάριτος· καί ἐν πᾶσι πληρουμένου, μελῶν δίκην, κατά τήν ἀναλογίαν τῆς ἐν ἑκάστῳ πίστεως αὐτῷ συμφυεῖσιν. Εἰ γάρ τοῦ μέν Θεοῦ τό θέλημα φύσει σωστικόν, τό δέ τῶν ἀνθρώπων φύσει σωζόμενον ταυτόν οὐκ ἄν εἴη ποτέ τό φύσει σῶζον, καί τό φύσει σωζόμενον· κἄν εἷς ἀμφοτέρων σκοπός, ἡ σωτηρία τῶν ὅλων καθέστηκεν· ὑπό μέν τοῦ Θεοῦ προβεβλημένη· ὑπό δέ τῶν ἁγίων προῃρημένη.

Εἰ δέ ταυτόν ἔσται καί ἕν ἀριθμῷ τό τε θεῖον καί τό ἀνθρώπινον θέλημα, κατά τούς λέγοντας, ἐπειδή θελήματι πάντας ὁ Θεός ὑπέστησε τούς αἰῶνας, ἔσται τῷ αὐτῷ θελήματι δημιουργός καί ὁ τῶν ἁγίων χορός, εἴτε φυσικῷ, εἴτε γνωμικῷ· καί ἁπλῶς, ᾧ πεφύκασι πρός

τό θεῖον ταυτίζεσθαι· ὅπερ ἄτοπον, καί μόνης, ὡς οἶμαι, ῥεμβαζομένης ἔργον διανοίας ἐστιν. Ἕως γάρ ἄν μή πάντες δημιουργοί, ἤ μόνον ἀπόστολοι, ἤ μόνον προφῆται· καί οὗτοι πάλιν, ἤ Πέτρος μόνον, ἤ Μωσῆς μόνον· καί οὐ μία, πολλαί δέ παρά τῷ Θεῷ καί Πατρί μοναί τοῖς ἁγίοις εἰσί· τῷ τε κατά φύσιν ἀγαθῷ θελήματι, τό κατά μίμησιν πρός αὐτό κινηθέν ἀνθρώπινον, ποιότητι τε φυσικῇ καί ποσότητι εἴη ταυτόν, ὅπερ ἀμήχανον (πῶς γάρ ἄν τῷ φύσει μεθεκτικῷ, τό φύσει μεθεκτόν εἴη ταυτόν;) μίαν γνώμην κατά πάντα τρόπον εἶναι τοῦ τε Θεοῦ καί τοῦ τῶν ἁγίων χοροῦ, ἀδύνατον· κἄν, ὡς εἶπον, ἕν ἐστιν ἀμφοτέροις τό θεληθέν, ἡ σωτηρία τῶν ὅλων· περί ἥν τῶν θελημάτων ἡ ἕνωσις. Ἀλλ', ὡς ἔοικεν, ἀγνοοῦτες οἷος αὐτοῖς ἐξ ὧν λέγουσιν ἀτοπίας ἀναφύεται λόγος, ἀσκόπως ἐφ᾽ ἅ μή δεῖ φέρεσθαι τήν σοφῶν αὐτῶν συγχωροῦσι διάνοιαν. Εἰ γάρ οὐκ ἔστι θέλημα, ὁπωσοῦν νοούμενον ἤ λεγόμενον ἄσχετον, καί τό πρός τι γένος οὐκ ἔχον κατηγορούμενον· ποιότης ἐστίν, ἀλλ᾽ οὐ τῶν καθ᾽ αὑτά, ὡς ἐν ἑτέρῳ δηλαδή θεωρούμενον. Εἰ δέ τῶν ἐν ἑτέρῳ θεωρουμένων ἐστί τό θέλημα, συμβεβηκός πάντως ἐστίν· εἰ δέ συμβεβηκός, ἤ οὐσία; (4), ἤ ὑποστάσεως ἔσται χαρακτηριστικόν (28) (τούτων γάρ οὐδέν μέσον ἐστί καθ᾽ αὑτό θεωρούμενον, ἤτοι μηδετέρων μετέχον, ἤ ἐξ ἀμφοῖν σύνθετον)· καί εἰ μέν οὐσίας, μίαν τοῦ τε Θεοῦ καί τῶν ἁγίων φύσιν κατηγορήσουσι· πάντων διά τοῦ ἑνός θελήματος, τήν εἰς μίαν οὐσίαν παθόντων συναίρεσιν. Τό γάρ γενικῶς τινων ἐπίσης κατηγορούμενον, οὐσίας, ὑφ᾽ ἥν τελοῦσιν, ὑπάρχει δηλωτικόν. Εἰ δέ ὑποστάσεως, μία πάντων ἔσται τοῦ τε Θεοῦ καί τῶν ἁγίων ὑπόστασις, πάντων ἀλλήλοις εἰς ταυτόν συγχωνευθέντων. Τό γάρ ἰδικῶς τινι καθ᾽ ὑπόστασιν ἐμπεφυκός, ἄλλοις ἀπαραλλάκτως ἐνθεωρούμενον, πάντας ἀλλήλοις συγχεῖ· καί τόν ἑκάστου τοῦ, πῶς εἶναι λόγον, ποιεῖ πάντελῶς ἀδιάγνωστον.

***Ὅτιπερ ἕν θέλημα οὐ δυνατόν ἐπί Χριστοῦ λέγεσθαι· εἴτε φυσικόν, εἴτε προαιρετικόν λεχθῇ, καθώς τισιν ἔδοξεν.***

Οὐκοῦν, εἴπερ ἐν τούτοις αὐτῶν ὁ λόγος ἠσθένησεν· οὐδέ ἐπί τόν Κύριον ἡμῶν καί Θεόν, καί Σωτῆρα τῶν ὅλων Χριστόν μεταβαίνων, καί ἕν ὁπωσοῦν λεγόμενον ἐπ᾽ αὐτοῦ θέλημα κατασκευάζων εὐσθενήσοι ποτ᾽ ἄν. Εἰ μέν γάρ φυσικόν εἴποιεν τοῦ Χριστοῦ τοῦτο τό θέλημα, τήν Μανιχαϊκήν αὐτόθεν νοσήσαντες δειχθήσονται φαντασίαν, ὡς τήν οὐκ οὖσαν, οὔτε γενησομένην μίαν Χριστοῦ φύσιν,

καταλλήλῳ θελήματι δηλουμένην πρεσβεύοντες· τήν τε μανίαν Ἀρείου κατά ταυτόν, καί τήν Ἀπολιναρίου ζηλώσαντες φωραθήσονται συνουσίωσιν· ὡς τοῦ Θεοῦ καί Πατρός, καί τῆς ἀχράντου ἱητρός, τόν Χριστόν κατά τήν οὐσίαν ἀλλοτριώσαντες. Τό γάρ φυσικόν θέλημα, φύσιν χαρακτηρίζει· καί οὐδείς ἀντερεῖ λόγος. Εἰ δέ φύσιν χαρακτηρίζει, δῆλον ὡς φύσιν, οἱ τοῦτο λέγοντες, τόν Χριστόν καταγγέλλουσι. Εἰ δέ φύσις ὁ Χριστός, οὔτε Θεός φύσει, οὔτε μήν ἄνθρωπος φύσει ἐστίν ἀληθῶς· εἴπερ μή φύσει Χριστός ἀληθῶς ὁ Πατήρ, ἤ φύσει Χριστός ἀληθῶς ἡ μήτηρ. Εἰ δέ φύσει Θεός ὁ Χριστός, καθό φύσει Χριστός, πολύθεος ὁ τοῦτο λέγων· ἄλλην Πατρός ὡς Θεοῦ φύσιν, οὐκ ὄντος φύσει Χριστοῦ· καί ἄλλην Χριστοῦ φύσιν, ὡς Θεοῦ πρεσβεύων, ὄντος φύσει Χριστοῦ· καί πέρας αὐτοῖς τῆς τοιαύτης τερατολογίας, ἡ πρός πολυθεΐαν ἔσται κατάκρισις.

Εἰ δέ προαιρετικόν, ὅπερ καλοῦσι γνωμικόν, ἤ κατά φύσιν ἔσται πάντως, τόν τρόπον τῆς τῶν ἐπί Χριστῷ πρακτῶν χρήσεως ἔχον διά πάντων συνεύοντα τῷ λόγῳ τῆς φύσεως· καί οὐκ ἀπαθής, ἀλλ᾽ ἐγκρατής οὕτω γε παθῶν κατ᾽ αὔτούς ὁ Χριστός ὑπάρχων δειχθήσεται· καί κατά προκοπήν ἀγαθός, ὅ τί ποτε τήν φύσιν ἐστί. Τοιοῦτον γάρ ἡ κατά φύσιν προαίρεσις τῶν ἐπί τῷ αἱρουμένῳ πρακτῶν, τό κρεῖττον ποιουμένη πρό τοῦ χείρονος αἱρετόν· (29) ἤ παρά φύσιν, καί τόν τρόπον τῆς τῶν ἐπ᾽ αὐτῷ χρήσεως δείξει φθαρτικόν τοῦ λόγου γεγενημένον τῆς φύσεως· τοιοῦτον γάρ ἡ παρά φύσιν προαίρεσις, τῶν ἐπί τῷ αἱρουμένῳ πρακτῶν, τό χεῖρον ποιουμένη πρό τοῦ κρείττονος προαιρετόν. Κατορθωθείσης γάρ ἤ παρασφαλείσης τῆς τοῦ αἱρουμένου τῶν ἐπ' αὐτῷ πρακτῶν κατά τήν βούλευσιν κρίσεως, ἧς οἱονεί ψῆφος ἐστιν ἡ προαίρεσις, ἤ ὁ κατά φύσιν αὐτῷ διά τῆς εὐχρηστίας ὑφίσταται λόγος, ἤ ὁ παρά φύσιν διά τῆς ἀχρηστίας παρυφίσταται τρόπος· ὁ μέν, τῆς κατά φύσιν· ὁ δέ, τῆς παρά φύσιν προαιρέσεως γινόμενος ἄγγελος.

Καί εἰ μέν κατά φύσιν ἡ τοῦ Χριστοῦ προαίρεσις ᾖ, οὐ μόνον ἐπί τοῖς αὐτοῖς πάλιν αὐτούς αἰτιασόμεθα, φύσιν ἄλλην Χριστοῦ θεότητος μέσην καί κτίσεως τολμηρῶς σχεδιάζοντας· ἀλλά καί ληροῦντας γελάσομεν, φύσει τῶν ἀντικειμένων κατά προαίρεσιν ὡς ψιλόν ἄνθρωπον κατά Νεστόριον τόν Χριστόν δεκτικόν ποιουμένους. Εἰ δέ παρά φύσιν, σιωπῶ παρατρέχων τό βλάσφημον, μήπως λαθών τοῖς κατ᾽ αὐτῶν ἐλέγχοις τήν γλῶτταν χρανθήσομαι. Προαιρετικόν γάρ ἐπί Χριστοῦ θέλημα φάσκοντες, ὑπόστασιν Χριστοῦ πάντως ὑπέδειξαν

κατά φύσιν κινεῖσθαι καί παρά φύσιν δυναμένην. Τοιοῦτον γάρ, ὡς ἔφθην εἰπών, ἡ προαίρεσις· εἰ δέ τῆς τοῦ Χριστοῦ χαρακτηριστικόν ἐστιν ὑποστάσεως, ἀφώρισαν αὐτόν, κατά δή τοῦτο τό θέλημα, τοῦ τε Πατρός καί τοῦ Πνεύματος ἑτερόβουλόν τε καί ἑτερόγνωμον. Τό γάρ τῷ Υἱῷ, καθ᾽ ὑπόστασιν ἰδικῶς ἐνθεωρούμενον, Πατρί καί Πνεύματι καθ᾽ ὑπόστασιν παντελῶς ἀκοινώνητον. Ὅσοι τοίνυν τῶν ἁγίων Πατέρων (5) ἐπί τῆς κατά Χριστόν ἀνθρωπότητος προαιρέσεως ἐπεμνήσθησαν, τόν ὀρεκτικήν τῆς φύσεως δύναμιν οὐσιωδῶς· ταυτόν δέ φάναι, τήν φυσικήν θέλησιν, ἤ τήν ἡμῶν αὐτῶν προαίρεσιν τῷ σαρκωθέντι Θεῷ κατ᾽ οἰκείωσεν ἐνυπάρχουσαν, παρεδήλωσαν.

Ὅ δή μάλιστα σκοπήσας ὁ σός δοῦλος καί μαθητής, ἐν τοῖς πρός τόν ἁγιώτατόν μου κύριον καί διδάσκαλον περί τῶν ἀπόρων τῆς ἁγίας Γραφῆς ἐκτεθεῖσι Θαλάσσιον, εἶπον προαίρεσιν· εἰδῶς, ὡς εἴπερ ἡμῖν γέγονεν ἄνθρωπος ὁ ποιητής τῶν ἀνθρώπων, ἡμῖν δηλονότι καί τήν ἀτρεψίαν κατώρθωσε τῆς προαιρέσεως, ὡς ἀτρεψίας δημιουργός· τά μέν τῆς ἡμῶν ἐπιτιμίας δι᾽ αὐτῆς τῆς πείρας, οὐσιωδῶς (32) κατ᾽ ἐξουσίαν πάθη δεχόμενος· τά δέ τῆς ἀτιμίας, κατ᾽ οἰκείωσιν φιλανθρώπως ἀναδεχόμενος· ὧν τήν μέν οἰκείωσιν, τῆς προαιρετικῆς ἀπαθείας αἰτίαν τῷ γένει πεποίηται· τήν δέ πεῖραν, τῆς ἑπομένης φυσικῆς ἀφθαρσίας πιστόν ἀῤῥαβῶνα δεδώρηται. Τό γάρ ἀνθρώπινον τοῦ Θεοῦ, κατά προαίρεσιν ὡς ἡμεῖς οὐ κεκίνηται, διά βουλῆς πεποιημένον καί κρίσεως τήν τῶν ἀντικειμένων διάγνωσιν· ἵνα μή φύσει κατά προαίρεσιν νομισθείη τρεπτόν· ἀλλ᾽ ἅμα τῇ πρός τόν Θεόν Λόγον ἑνώσει τό εἶναι λαβόν, ἀδίστακτον, μᾶλλον δέ στάσιμον τήν κατ᾽ ὄρεξιν φυσικήν ἤτοι θέλησιν, κίνησιν ἔσχεν· ἤ κυριώτερον εἰπεῖν, τήν στάσιν ἀκίνητον ἐν αὐτῷ κατά τήν ἀκραιφνεστάτην οὐσίωσιν τῷ Θεῷ Λόγῳ παντελῶς θεωθεῖσαν· ἥν φυσικῶς τυπῶν τε καί κινῶν (6), ὡς οἰκείαν, καί τῆς αὐτοῦ ψυχῆς φυσικήν, ἀφαντασιάστως πεπλήρωκε τό μέγα τῆς ὑπέρ ἡμῶν οἰκονομίας μυστήριον· μηδέν τοῦ προσλήμματος φυσικόν παντελῶς ἀπομειώσας, πλήν τῆς ἁμαρτίας· ἧς οὐδείς οὐδενί τῶν ὄντων καθάπαξ ἐνέσπαρται λόγος.

Τῆς οὖν διαφορᾶς τῶν ὀνομάτων φανερᾶς ἡμῖν γεγενημένης, διά τῆς εὐκρινῶς ἑκάστῳ προσαρμοσθείσης ὑπογραφῆς, μή ταρασσώμεθα τῶν ἐπί συγχύσει τῶν νοουμένων πραγμάτων, ἀδιακρίτως τοῖς ὀνόμασι κεχριμένων ἀκούοντες· εἴπερ ἐν πράγμασιν ἡμῖν, ἀλλ᾽ οὐκ ὀνόμασιν ἡ ἀλήθεια· καί νομίσωμεν ταυτόν εἶναι τό μή ταυτόν · ἀλλ' εὐσεβῶς πιστεύοντες, ὁμολογήσωμεν τόν Χριστόν Θεόν τέλειον

ἀληθῶς, καί ἄνθρωπον τέλειον ἀληθῶς, τόν αὐτόν πράγματι κυρίως κατ᾽ ἀλήθειαν ὄντα, καί οὐ μόνῃ ψιλῇ κλήσει τοῦτο λεγόμενον· καί διά τοῦτο φύσεις δύο, ὧν αὐτός ἐστιν ὑπόστασις, εἴπερ οὐκ ἄσαρκος, αὐτόν καταγγείλωμεν· καί δύο θελήματα φυσικά, κατά τούς Πατέρας· εἴπερ οὐκ ἄψιλος καί ἄνους, ἔχειν αὐτόν παῤῥησιασώμεθα· καί μή θαῤῥήσωμεν καινίσαι φωνήν, ἐφ᾽ ᾗ καταφυγήν οὐκ ἔχομεν τήν πατρικήν αὐθεντίαν. Ἕν γάρ θέλημα Χριστοῦ φυσικόν, ἤ προαιρετικόν, οὐ μόνον διά τήν δειχθεῖσαν ἀτοπίαν δέος εἰπεῖν τούς εὐσεβεῖν ἐσπουδακότας, (33) ἀλλ᾽ ὅτι καί μηδείς τῶν ἁγίων πώποτε τοῦτο φήσας πέφανται· ἀληθῶς εἰδότες, ὡς ἡ προαίρεσις τῶν ἐπ᾽ ἄμφω· τά καλά τε λέγω καί τά κακά, κινεῖσθαι δυναμένων ἐστίν· ὅπερ ἐπί Χριστοῦ τῆς ὄντως οὐσίας τῶν ἀγαθῶν καί πηγῆς, κἄν ἐννοεῖν, μή ὅτι γε λέγειν, πάσης ἀσεβείας πληρέστατον. Καί περί μέν τούτων ταῦτα.

Περί δέ τῆς ἐν τῷ ἑβδόμῳ κεφαλαίῳ τῶν ἀπόρων τοῦ μεγάλου Γρηγορίου κειμένης μιᾶς ἐνεργείας, σαφής ὁ λόγος. Τήν ἐσόμενην φάρ κατά τό μέλλον τῶν ἁγίων ὑπογράφων κατάστασιν, ἔφην μίαν ἐνέργειαν τοῦ Θεοῦ καί τῶν ἁγίων, τήν πάντων ἐκθεωτικήν τῶν ἁγίων, τῆς ἐλπιζομένης μακαριότητος· τοῦ μέν Θεοῦ κατ᾽ οὐσίαν ὑπάρχουσαν, τῶν ἁγίων δέ κατά χάριν γεγενημένης. Μᾶλλον δέ, μόνον Θεοῦ προσεπήγαγον· ἐπειδή μόνης ἀποτέλεσμα τῆς θείας ἐνεργείας ἐστίν, ἡ κατά χάριν τῶν ἁγίων ἐκθέωσις, ἧς ἡμεῖς οὐκ ἔχομεν ἐγκατεσπαρμένην τῇ φύσει τήν δύναμιν. Ὧν δέ τήν δύναμιν οὐκ ἔχομεν, τούτων οὐδέ τήν πρᾶξιν, φυσικῆς δυνάμεως οὖσαν συμπλήρωσιν. Ἔχεται οὖν ἡ μέν πρᾶξις, δυνάμεως· ἡ δέ δύναμις, οὐσίας, Ἥ τε γάρ πρᾶξις, ἀπό δυνάμεως καί ἡ δύναμις, ἀπό τῆς οὐσίας καί ἐν τῇ οὐσίᾳ. Τρία οὖν ταῦτά ἐστιν, ὥς φασιν, ἀλλήλων ἐχόμενα· δυνάμενον, δύναμις, δυνατόν. Καί δυνάμενον μέν λέγουσι, τήν οὐσίαν· δύναμιν δέ, καθ᾽ ἥν ἔχομεν τήν τοῦ δύνασθαι κίνησιν· καί δυνατόν, τό παρ᾽ ἡμῖν κατά δύναμιν γενέσθαι πεφυκός. Εἰ δέ τό παρ᾽ ἡμῖν γίνεσθαι πεφυκός, κατά δύναμον ἔχομεν φυσικήν. Οὐκ ἔστι δέ τῶν παρ᾽ ἡμῶν κατά δύναμιν γίνεσθαι πεφυκότων ἡ θέωσις, οὐκ οὖσα τῶν ἐφ᾽ ἡμῖν· οὐδείς γάρ ἐν τῇ φύσει, τῶν ὑπέρ φύσιν λόγος. Ἆρα τῆς ἡμῶν οὐκ ἔστι δυνάμεως πρᾶξις ἡ θέωσις, ἧς οὐκ ἔχομεν κατά φύσιν τήν δύναμιν· ἀλλά μόνης τῆς θείας δυνάμεως, οὐκ ἔργων ὑπάρχουσα δικαίων τοῖς ἁγίοις ἀντίδοσις· ἀλλά τῆς τοῦ πεποιηκότος ἀφθονίας ἀπόδειξις· τοῦτο θέσει ποιήσαντος τούς ἐραστάς τῶν καλῶν, ὅπερ

αὐτός ὑπάρχων φύσει δειχθήσεται, καθ' οὕς αὐτός ἐπίσταται λόγους· ἵνα καί τελείως γνωσθῇ, καί μείνῃ παντελῶς ἀκατάληπτος. Οὐκ ἀνεῖλον οὖν τήν φυσικήν τῶν τοῦτο πεισομένων ἐνεργείαν, ὧν ἀποτελεῖν πέφυκε πεπαυμένην, καί μόνην ἐμφήνας τῶν ἀγαθῶν τήν ἀπόλαυσιν πάσχουσαν· ἀλλά μόνην ὑπέδειξα (36) θεώσεως ἀπεργαστικήν τήν ὑπερούσιον δύναμιν, κατά χάριν τῶν θεωθέντων γεγενημένην.

Καί μηδείς ὑπονοήσει τούτοις μίαν καταγγέλλεσθαι Χριστοῦ τήν ἐνέργειαν. Οὐ γάρ ἄνθρωπον ἀποθεωθέντα τόν Χριστόν καταγγέλλομεν, ἀλλά Θεόν τελείως ἐνανθρωπήσαντα, καί τῆς οἰκείας ἀφράστου θεότητος τήν ἄπειρον, ἀπειράκις ἀπείρως ὑπεράπειρον δι᾽ ἐνεργοῦς φύσει σαρκός νοερῶς ἐψυχωμένης ἐμφανῆ ποιησάμενον δύναμιν· ὅλον Θεόν τόν αὐτόν, καί ἄνθρωπος ἀληθῶς· ἄμφω τε φύσει τέλειον τόν αὐτόν καί πληρέστατον· καί πᾶν εἴ τι κατ' ἄμφω πεφυκός ἀνελλιπῶς ἔχοντα πλήν ἁμαρτίας, ἧς λόγος οὐδείς. Ὧν γάρ αὐτός φύσεων ὑπόστασις ἦν, τούτων καί τούς οὐσιώδεις φυσικῶς ἐπεδέχετο λόγους. Εἰ δέ τούς οὐσιώδεις ὧν αὐτός ὑπόστασις ἦν, ἐπεδέχετο λόγους, καί φυσικήν ἔμψυχον σαρκός εἰκότως εἶχεν ἐνέργειαν, ἧς οὐσιώδεις τῇ φύσει κατέσπαρται λόγος. Εἰ δέ φυσικήν ὡς ἄνθρωπος ἐνέργειαν εἶχεν, ἧς ὁ λόγος τῆς φύσεως ὑπῆρχε συστατικός, καί ὡς Θεός δηλονότι φυσικήν εἶχεν ἐνέργειαν, ἧς ὁ λόγος τῆς ὑπερουσίου θεότητος ὑπῆρχεν ἐκφαντικός. Θεός γάρ ὑπάρχων τέλειος, καί ἄνθρωπος τέλειος ὁ αὐτός, καθ᾽ ἑκάτερον ὧν ὑπῆρχεν ὑπόστασις, φυσικῶς ἐνήργει μή διαιρούμενος. Εἰ δέ καθ᾽ ἑκάτερον ὧν ὑπῆρχεν ὑπόστασις φυσικῶς ἐνήργει μή διαιρούμενος, δῆλον ὅτι μετά τῶν φύσεων, ὧν ὑπόστασις ἦν, καί τάς οὐσιώδεις αὐτῶν καί συστατικάς ἐνεργείας εἶχεν, ὧν αὐτός ἕνωσις ἦν· ἑαυτῷ προσφυῶς ἐνεργῶν, καί οἷς ἐνήργει πιστούμενος, τήν τῶν ἐξ ὧν, ἐν οἷς τε καί ἅπερ ὑπῆρχεν, ἀλήθειαν.

Εἷς οὖν ἐκ δύο φύσεων ὁ Χριστός· θεότητός τε καί ἀνθρωπότητος· μονογενής Λόγος καί Υἱός καί Κύριος τῆς δόξης· ἐν αἷς γνωρίζεται, καί αἷς ἀληθῶς ὑπάρχων πιστεύεται· δύο τε φυσικάς καί γενικάς, καί τῶν ἐξ ὧν ἦν συστατικάς κινήσεις, ἤγουν ἐνεργείας ἔχων, ὧν ἀποτελέσματα τά κατά μέρος ἦν ἐνεργήματα· ἐξ αὐτοῦ τε προβαλλόμενα, καί ὑπ᾽ αὐτοῦ τελειούμενα, χωρίς τομῆς τῶν ἐξ ὧν ὑπῆρχε, καί τῆς οἱασοῦν δίχα συγχύσεως. Οὐ γάρ ὑπομένει τομήν ἤ

σύγχυσιν, ὁ μηδέποτε τροπαῖς ὑποκείμενος, καί πᾶσι τοῖς οὖσι τήν τε τοῦ εἶναι, καί πῶς εἶναι διαμονήν τε καί σύστασιν παρεχόμενος.

(37) Ταῦτα τῆς σῆς χάριν ἐπιτόμως, ἡγιασμένε Πάτερ, εἰρήσθω κελεύσεως· ἵνα ἔχοις εἴπερ τι χρήσιμον φέροιεν, πῶς διακρούσασθαι τήν τῶν φιλολάλων ἀδολεσχίαν, ἄδειαν λαβοῦσαν τήν τῶν καιρῶν δυσκολίαν. Καί μή παρίδῃς τόν σόν δοῦλον πενόμενον· ἀλλά θείῳ πλούτισον Πνεύματι, τῆς εὐπειθείας ἀντιδούς τάς εὐσθενεῖς σου δεήσεις· καί παρατιθέμενος Χριστῷ τῷ μεγάλῳ Θεῷ καί ποιητῇ τῶν ὅλων μή διαλείποις, τῷ παρά πάσης προσκυνουμένῳ τῆς κτίσεως, σύν Πατρί καί ἁγίῳ Πνεύματι εἰς τούς αἰῶνας. Ἀμήν.

***ΣΧΟΛΙΑ.***

α΄. Λόγῳ μέν ἡ φύσις περιγράφεται τῶν ὄντων πρός ἀρετῆς γένεσιν, κατά πρόοδον· ἥτις ἐστί παντελής κατ᾽ ἀρετήν τῆς φύσεως ἄρνησις. Νῷ δέ περιορίζεται ἡ παντός αἰῶνος καί χρόνου κίνησις, πρός σύστασιν ἀπλανοῦς ἑνώσεως, κατά ἀνάβασιν· ἥτις ἐστί τῶν ἐν οἷς ἐστιν ἡ φύσις ὑπέρβασις· λέγω δέ τόπον καί χρόνον, ἐν οἷς τῶν ὄντων ὑπόστασις. Ἡ δέ πρός τόν ἐξ οὗ τά πάντα καί δι' οὗ καί εἰς ὅν ὡς πέρας τῶν ὅλων, κατά χάριν ἀποκατάστασις, κατ᾽ ἀνάληψιν γίνεται· ἥτις ἐστί τοῦ μέν ἀναλαμβανομένου πάθος· ἐνέργεια δέ τοῦ ἀναλαμβάνοντος.

β΄. Πρόσωπον, ἤτοι ὑπόστασις· φύσις, ἤτοι οὐσία. Οὐσία γάρ, τό κατ᾽ εἰκόνα, ὁ λόγος· τό καθ᾽ ὁμοίωσιν δέ, ὁ βίος, ὑπόστασις ἐστιν, ἐξ ὧν ἀμφοτέρων ἡ ἀρετή συμπεπλήρωται. Ὑπόστασιν γάρ σοφίας, τήν ἀρετήν· οὐσίαν δέ φασιν ἀρετῆς εἶναι τήν σοφίαν. Διό τῆς μέν σοφίας ἀπλανής ἔκφανσίς ἐστιν, ὁ τρόπος τῆς τῶν θεωρητικῶν ἀγωγῆς· τῆς ἀρετῆς δέ βάσις, ὁ λόγος τῆς τῶν πρακτικῶν θεωρίας καθέστηκεν. Ἀμφοτέρων δέ χαρακτήρ ἀψευδέστατος, ἡ πρός τό κυρίως ὄν ἀκλινής ἐνατένησις.

γ΄. Ὅτι οὐκ ἄτρεπτος φύσει ὁ ἄνθρωπος· καί πῶς.

δ΄. Ὅτι τό θέλημα, ἤ οὐσίας ἤ ὑποστάσεως ἐστι χαρακτηριστικόν· καί μέσον τούτων οὐκ ἔστιν, οὔτε κοινόν καί σύνθετον ἐξ ἀμφοῖν· οὔτε οὐδετέρου μετέχον.

ε΄. Ὅτι ἡ προαίρεσις ἐπί Χριστοῦ, τήν φυσικήν σημαίνει θέλησιν· ἤτοι τήν ὀρεκτικήν τῆς φύσεως δύναμιν.

ς΄. Βλέπε τό τῆς οἰκονομίας μυστήριον.

(40) ζ΄. Εἰς τό, Δι᾽ αὐτοῦ γάρ ζῶμεν καί κινούμεθα, καί ἐσμέν· ἤτοι περί οὐσίας, καί δυνάμεως, καί ἐνεργείας.

η΄. Περί θεώσεως. Ἀκούσαις δέ τούτων καί σύ, Νεῖλε· καί φρονήσαις ἅ φρονοῦσιν οἱ τῆς ἀληθείας διδάσκαλοι

ΤΟΥ ΑΥΤΟΥ
ΠΡΟΣ ΤΟΝ ΑΥΤΟΝ ΜΑΡΙΝΟΝ

***Ἐκ τῆς περί ἐνεργειῶν καί θελημάτων πραγματείας, κεφάλ. ν΄(ι).***

Ὅτι Σευῆρος κακούργως ταυτόν εἶναι λέγει τῇ φύσει τήν ὑπόστασιν, ἵνα τήν σύγχυσιν διά τῆς μιᾶς κυρώσῃ φύσεως, καί φύγῃ τόν ἔλεγχον, ὑπόστασιν λέγων νενοηκέναι τήν φύσιν· καί πάλιν τήν διαίρεσιν εἰσηγήσηται, τήν ἐξ ὑποστάσεως πρεσβεύων ἕνωσιν· καί δόξῃ λανθάνειν ἀντί φύσεων ἐκδέχεσθαι φάσκων τάς ὑποστάσεις. Καί αὖθις τήν ἀνυπαρξίαν τῶν φύσεων, διά τῆς ψιλῆς διαφορᾶς ἐγκαλούμενος, εὕρῃ καταφυγήν ἀπολογίας, τήν ψιλήν ἐν ποιότητι φυσικῇ διαφοράν. Καί ὅτι καθάπερ Νεστόριος ψιλήν λέγων τήν ἕνωσιν, πραγματικήν εἰσῆγε διαίρεσιν· οὕτω καί Σευῆρος ψιλήν λέγων φύσεων διαφοράν, πραγματικήν ποιεῖται τή σύγχυσιν.

Ἀλλά τούτοις Σευῆρος στενοχωρούμενος τοῖς λόγοις καί μή φέρων τῆς ἀληθείας τήν βάσανον, πάλιν ἑαυτῷ συνήθως τό ψεῦδος προβάλλεται σύμμαχον· ταυτόν εἶναι φάσκων ἐπί τῆς οἰκονομίας τῇ φύσει τή ὑπόστασιν· καί τήν ἐν ποιότητι φυσικῇ διαφοράν, τῇ πραγματικῇ καί κατά φύσιν· διά τό καί φυσικήν εἶναι πᾶσαν ποιότητα, καί πρᾶγμα προσαγορεύεσθαι· ἵνα, εἰ μέν ἁλούς τοῖς ἐλέγχοις φωραθῇ, σαφῶς διά τῆς μιᾶς συνθέτου φύσεως, τήν τε Μάνεντος φαντασίαν, καί τήν Ἀπολιναρίου σύγχυσιν, καί τήν Εὐτυχοῦς μετά τήν ἕνωσιν εἰς μίαν οὐσίαν τῶν ἑνωθέντων πρεσβεύων συμαίρεσιν, χαμαιλέοντος δίκην τάς χρόας ὑπαλλάσοντος, τήν οἰκείαν μεταβάλοι φωνήν, φάσκων, ὑπόστασιν νενοηκέναι τήν φύσιν. Εἰ δέ πάλιν ἐξ ὑποστάσεων ἤγουν προσώπων λέγων γεγενῆσθαι τήν ἕνωσιν, τήν Ἐβιῶνος, Παύλου τε τοῦ Σαμωσατέως καί Νεστορίου διαίρεσιν ἀποδειχθῇ φρονῶν, καί τήν ὡς ἐν προφήτῃ τοῦ Λόγου κατά χάριν ἐνέργειαν θεσπίζων, ἕτοιμον (41) αὖθις σχοίη τό ψεῦδος συνήγορον, ἀντί φύσεων εἰρηκέναι τάς ὑποστάσεις ἀποφαινόμενος. Εἰ δέ πάλιν ἐγκληθῇ δικαίως, ἐπί τῇ ψιλῇ διαφορᾷ, τήν τῶν ἑνωθέντων

πραγμάτων δογματίζων ἀνυπαρξίαν, εὕροι πρός ἀπολογίαν καταφυγήν τήν ὡς ἐν ποιότητι φυσικῇ διαφοράν· ποιοτήτων λέγων φυσικῶν, ἀλλ' οὐ φύσεων, ἤγουν οὐσιῶν ἐπί Χριστοῦ διαφοράν μετά τήν ἕνωσιν· διά τῆς λυούσης τήν σύγχυσιν φωνῆς· τουτέστι, τῆς διαφορᾶς, πλέον ὁ πανοῦργος σοφιστής, διασφίγγων τήν σύγχυσιν· τῶν ἐναντίων κατά τόν νόμον τῆς φύσεως, οὐ λύσιν τά ἐναντία ποιούμενος, ἀλλά σύστασιν, παρά τόν ὅρον καί νόμον τῆς φύσεως· καί τοιοῦτος γενόμενος περί τήν διαφοράν εἰς πλάνην τῶν ἀκοούντων, οἷος ὑπάρχων περί τήν ἕνωσιν ἀπεφάνθη Νεστόριος. Ἐκεῖνος τε γάρ κατά μόνην ψιλήν τήν προσηγορίαν, ὀνομάζων τήν ἕνωσιν, κατ᾽ ἐνέργειαν τήν τῶν πραγμάτων εἰσῆγε διαίρεσιν· καί οὗτος ψιλήν τήν διαφοράν πρεσβεύων μετά τήν ἕνωσιν, κατά μέν τήν ἐπίνοιαν εἶναι φρονεῖ τῶν διαφερόντων τήν ὕπαρξιν· κατά δέ τήν ἐνέργειαν, τήν αὐτῶν ἐπιδιατίθεται σύγχυσιν. Εἰ γάρ μή ψιλήν ἐφρόνει Νεστόριος γεγενῆσθαι τήν ἕνωσιν, εἶπεν ἄν τήν ἐκ τῆς ἑνώσεως τῶν φύσεων ἀποτελεσθεῖσαν τοῦ Χριστοῦ μίαν ὑπόστασιν σύνθετον· καί οὗτος, εἰ μή ψιλήν ἐκήρυττε τήν διαφοράν, οὐ παρῃτεῖτο λέγειν ἐν Χριστῷ μετά τήν ἕνωσιν τήν ἄτμητον καί ἀδιαίρετον τῶν διαφερόντων ποιότητα (μ), γινώσκων ὅτι πάσῃ διαφορᾷ, πάντως συνεισάγεται ποσότης· καί πάσῃ ποσότητι, συνέζευκται ὁ δηλωτικός αὐτῆς ἀριθμός. Ἀμήχανον γάρ, ἤ διαφοράν ποσότητος εἶναι χωρίς, ἤ ποσότητα δίχα τοῦ δηλοῦντος αὐτήν ἀριθμοῦ διαγνωσθῆναι.

Καί ὁ μέν, τήν φύσεων μόνην ἐπί Χριστοῦ γινώσκων ποσότητα, τό δέ κατά σύνθεσιν ἐκ τῶν φύσεων τῆς ὑποστάσεως μοναδικόν οὐκ εἰδώς, ἐπικάλυμμα ποιεῖται διαμπάξ (τῆς) τῶν φύσεων διαιρέσεως, τήν ψιλήν τῆς ἑνώσεως προσηγορίαν· ὁ δέ, τό κατά μόνην τήν φύσιν ἀντί τοῦ καθ᾽ ὑπόστασιν πρεσβεύων μοναδικόν, τό δέ κατά φύσιν ποσόν οὐκ εἰδώς, ἐπικάλυμμα ποιεῖται τῆς τῶν φύσεων συγχύσεως τήν ψιλήν ἐν ποιότητι φυσικῇ διαφοράν. Καί ὁ μέν, τήν ἐν μόνῃ ποιότητι γνωμικῇ τῶν φύσεων ἕνωσιν πρεσβεύων, ἀρνεῖται τήν μίαν ὑπόστασιν, ἀληθῆ τῶν πραγμάτων κατ᾽ οὐσίαν γεγενῆσθαι τήν σύνοδον λέγειν οὐκ ἀνεχόμενος. Αὐθεντία γάρ καί ἀξία, καί τοιάδε θέλησις, ὧν ἔφασκε Νεστόριος εἶναι τήν ἕνωσιν, γνώμης ὑπάρχει κινήματα σαφῶς, ἀλλ᾽ οὐ φύσεως.

(44) Ὁ δέ, τήν ψιλήν ἐν μόνῃ ποιότητι φυσικῇ λέγων διαφοράν μετά τήν ἕνωσιν, τῶν ἑνωθέντων ποιεῖται προδήλως ἀναίρεσιν, τήν κατ᾽ οὐσίαν αὐτῶν τῶν ἑνωθέντων ἐν ἑτερότητι φυσικῇ διαφοράν

ἀπαρνούμενος. Καί συντόμως περί τούτων εἰπεῖν· ὁ μέν, τήν γνωμικῶν ἕνωσιν εἰς τήν τῶν πραγμάτων ἐφεῦρε διαίρεσιν· ὁ δέ, τοὐναντίον, τήν τῶν φυσικῶν ποιοτήτων διαφοράν, εἰς τήν τῶν πραγμάτων ἐπενόησε σύγχυσιν. Ὄντως κακή ξυνωρίς ἀνδρῶν παρανόμων, διασπᾶν μαινομένων κακῶς διά τῶν ἐναντίων τήν τῶν ὀρθῶν δογμάτων ἀλήθειαν. Ὁ μέν γάρ, ποιτήτων γνωμικῶν εἰσηγούμενος ἕνωσιν τήν τῶν μηδόλως κατ᾽ αὐτόν ἑνωθεισῶν φύσεων ποιεῖται διαίρεσιν· ὁ δέ, ποιτήτων φυσικῶν λέγων μόνον εἶναι διαφοράν μετά τήν ἕνωσιν, ὡσαύτως τήν τῶν μηδόλως κατ' αὐτόν ἑνωθεισῶν φύσεων εἰσηγεῖται συγκεχυμένην ἀλλοίωσιν· οὐκ εἰδότες ὅ τι καί λέγουσιν. Ἐχρῆν γάρ εἴπερ ἑαυτοῖς στοιχεῖν διεγνώκεισαν, τόν μέν Νεστόριον, γνωμικῶν ποιοτήτων λέγοντα γεγενῆσθαι τήν ἕνωσιν, μή διαιρεῖν τάς φύσεις, ὧν μηδέ τήν ἀρχήν παντελῶς ἐπρέσβευσεν ἕνωσιν· ἀλλά τήν ὧν εἶναι φάσκει τήν ἕνωσιν, γινώσκειν διαφοράν μετά τήν ἕνωσιν· τόν δέ Σευῆρον, ποιοτήτων φυσικῶν διαφοράν εἰσηγούμενον, μετά τήν ἕνωσιν μή συγχεῖν τάς φύσεις, ὧν οὐ συγχωροῦμεν αὐτῷ λέγειν τήν ἕνωσιν, ἕως ἄν αὐτῶν ἀγνοεῖ τήν διαφοράν μετά τήν ἕνωσιν. Τῶν γάρ ἑνωθέντων ἡ διαφορά θεωρεῖται μετά τήν ἕνωσιν, κἄν Νεστόριος μέμηνε· καί τῶν μετά τήν ἕνωσιν δεαφερόντων ἡ ἕνωσις, κἄν Σευῆρος παρατάττεται, καί πολλήν ὑπέρ τοῦ ψεύδους ποιεῖται τήν συνηγορίαν.

Εἰ μέν οὖν κατά τόν Νεστόριον, μόνων τῶν γνωμικῶν θελημάτων ἕνωσις γέγονε, τούτων εἰπάτω καί τήν διαφοράν μετά τήν ἕνωσιν, ἀφείς τήν τῶν μηδαμῶς ἑνωθέντων πραγμάτων διαίρεσιν· καί συνήγαγε τῇ τῶν γνωμικῶν θελημάτων διαφορᾷ, καί τήν τῆς γνώμης παραλλαγήν· καθ᾽ ἥν οὐχ ἡ κατά φύσιν διαφορά δείκνυσθαι πέφυκεν, ἀλλ᾽ ἡ καθ᾽ ὑπόστασιν, ποιουμένη τῆς ἀγαθότητος ἐν τῇ διαφορᾷ τῶν γνωμικῶν θελημάτων, ἄνεσιν καί ἐπίτασιν· καί πεποίηκεν ἁμαρτωλόν, τόν κατά προκοπήν παρ᾽ αὐτοῦ θεοποιούμενον ἄνθρωπον· ὡς μή κατά πάντα τρόπον τε καί λόγον τήν αὐτήν τῷ θεῷ γνωμικήν ἔχοντα θέλησιν. Ἡ γάρ διαφορά τῶν γνωμικῶν θελημάτων, τήν τῆς γνώμης, ὡς ἔφην, ποιεῖται παραλλαγήν· (45) ἡ δέ τῆς γνώμης παραλλαγή, τῆς ἀγαθότητος εἰσηγεῖται τήν μείωσιν· ὑφ᾽ ἧς ὁ καθοτιοῦν ἔτι κρατούμενος, τελείως οὔπω κατά τήν γνώμην γέγονεν ἀναμάρτητος.

Οὐκοῦν τό καθ᾽ ὑπόστασιν ἐκ τῆς συνόδου τῶν φύσεων ἕν μή δεχόμενος ὁ Νεστόριος, καί τήν τῶν γνωμικῶν θελημάτων διέλυσεν

ἕνωσιν, οὐχ εὑρίσκων εἰπεῖν τέ ποτέ ἐστι τό ἐκ τῆς ἑνώσεως τῶν γνωμικῶν θελημάτων ἀποδεικνύμενον ἕν. Οὐ γάρ ἔχει ταυτότητα λέγειν τῆς ἀγαθότητος, τῆς τῶν γνωμικῶν θελημάτων σαφῶς διαφορᾶς μετά τήν ἕνωσιν, τήν κατ᾽ ἐπίτασιν καί ἄνεσιν ταῦτοις ἑτερότητα προφαινούσης. Ὧν γάρ ἡ σύνοδος, τούτων ἀνάγκη πάντως λέγειν καί τήν διαφοράν. Καί μάτην αὐτῷ τῆς ταυτοβουλίας ὁ λόγος ἐπενοήθη, κἄν πρός δήλωσιν τῆς τῶν προσώπων δαιρέσεώς ἐστιν ἁρμόδιος. Ἡ γάρ ταυτοβουλία, βουλῶν ἐστιν ἕνωσις φυλάττουσα τήν τῶν κατ᾽ αὐτήν ἡνωμένων διαφοράν, εἴπερ ἀσύγχυτος αἷς ἡ τῶν βουλομένων προσώπων συνεπιθεωρεῖται διαίρεσις.

ΤΟΥ ΑΥΤΟΥ.

***Ἐκ τῆς αὐτῆς πραγματείας κεφάλ. να΄.***

***Ὅτι δύο θελήματα λέγοντες οἱ Πατέρες ἐπί Χριστοῦ, τούς φυσικούς νόμους, οὐ τάς γνώμας ἐσήμαναν.***

Ἀλλά μηδείς εὐθυνέτω τόν λόγον, τήν τῶν γνωστικῶν θελημάτων ἀπαγορεύοντα δυάδα· πάντας εὑρίσκων σχεδόν τούς ἐνδόξους διδασκάλους, δύο θελήματα λέγοντας· μηδ' αὖ πάλιν κατά Σευῆρον, πρός ἕν θέλημα διά τοῦτο τόν εὐσεβῆ μεθορμήσοιτο νοῦν, ἵνα μή κακοῦ κακόν ποιῆται διάδοχον· τῆς διαιρέσεως λέγω τήν σύγχυσιν. Οὐ γάρ εἶπον οἱ θεσπέσιοι Πατέρες ἐπί Χριστοῦ ποσότητα γνωμικῶν θελημάτων, ἀλλά φυσικῶν· τούς οὐσιώδεις τε καί φυσικούς τῶν ἑνωθέντων νόμους τε καί λόγους, θελήματα καλῶς προσαγορεύσαντες. Καί γάρ φυσικήν τῆς νοερῶς ἐψυχωμένης σαρκός, ἀλλ᾽ οὐ τήν γνωμικήν τοῦ τινος ἀνθρώπου, τοῦ κινήμασι διανοήσαντες ὄρεξιν, ἔχουσαν τῆς τοῦ ὄντος φυσικήν ἐφέσεως δύναμιν, φυσικῶς κινουμένη τε καί τυπουμένην ὑπό τοῦ Λόγου πρός τήν τῆς οἰκονομίας ἐκπλήρωσιν, θέλημα σοφῶς προσηγόρευσαν· οὗ χωρίς εἶναι τήν ἀνθρωπίνην φύσιν, ἀδύνατον. Θέλημα γάρ ἐστι φυσικόν, δύναμις τοῦ κατά φύσιν ὄντος ὀρεκτική, καί τῶν οὐσιωδῶς τῇ φύσει προσόντων, (48) συνεκτική πάντων ἰδιωμάτων· καθ᾽ ἥν ἀεί τῷ φύσει θελητικῷ, τό πεφυκέναι θέλειν, ἐμπέφυκεν· οὐ ταυτόν δέ τό πεφυκέναι θέλειν, καί θέλειν· ὡς οὐδέ τό πεφυκέναι λαλεῖν, καί λαλεῖν. Πέφυκε μέν γάρ ἀεί τό λαλητικόν, λαλεῖ δέ οὐκ ἀεί· ἐπειδή τό μέν οὐσίας ἐστί λόγῳ φύσεως συνεχόμενον· τό δέ βουλῆς, τῇ τοῦ λαλοῦντος γνώμῃ τυπούμενον· ὥστε φύσεως μέν τό ἀεί πεφυκέναι

λαλεῖν· ὑποστάσεως δέ, τό πῶς λαλεῖν· ὥσπερ καί τό πεφυκέναι θέλειν καί θέλειν. Εἰ δέ τό πεφυκένει θέλειν, καί θέλειν οὐκ ἔστι ταυτόν (τό μέν γάρ, ὡς ἔφην, οὐσίας· τό δέ, τῆς τοῦ θέλοντος ὑπάρχει βουλῆς)· εἶχεν ἄρα τό πεφυκέναι θέλειν ὁ σαρκωθείς Λόγος ὡς ἄνθρωπος, τῷ αὐτοῦ θεϊκῷ θελήματι κινούμενόν τε καί τυπούμενον. Τό γάρ ἐκείνου θέλειν, φησίν ὁ μέγας Γρηγόριος, οὐδέν ὑπεναντίον Θεῷ, θεωθέν ὅλον. Εἰ δέ τεθέωτο, τῇ τοῦ θεοῦντος δηλονότι συμφυΐᾳ τεθέωτο· τό δέ θεοῦν καί θεούμενον, δύο πάντως· ἀλλ᾽ οὐχ ἕν καί φύσει ταυτόν. Εἴπερ τῶν πρός τι, τό τε θεοῦν, καί τό θεούμενον· τά δέ πρός τι, πάντως ἀλλήλοις συνεισάγεσθαι πέφυκε, καί θατέρῳ συνεπινοεῖσθαι θάτερον. Οὐκοῦν ὡς φύσει πεφυκώς, καί τήν πρός τόν θάνατον συστολήν θέλων ἐπισημαίνεται σαρκικῶς μετά τῶν λοιπῶν παθῶν ὡς ἄνθρωπος ὁ Σωτήρ, πάσης καθαράν τήν οἰκονομίαν δεικνύς φαντασίας, καί τήν φύσιν τῶν κατακριθέντων αὐτῆς διά τήν ἁμαρτίαν παθημάτων, λυτρούμενος. Καί πάλιν τήν ὁρμήν ἐπιδείκνυται, σαρκί θανατώσας τήν θάνατον· ἵνα καί τό φύσει πεφυκῶς ὡς ἄνθρωπος ἐν ἑαυτῷ δείξῃ σωζόμενον, καί τήν ἀπόῤῥητον καί μεγάλην τοῦ πατρός ὡς Θεός παραδείξῃ βουλήν, σωματικῶς πληρουμένην. Οὐ γάρ ἵνα πάθῃ, σώσῃ δέ, προηγουμένως γέγονεν ἄνθρωπος. Διό φησι· Πάτερ, εἰ δυνατόν, παρελθέτω τοῦτο τό ποτήριον ἀπ᾽ ἐμοῦ· πλήν μή τό ἐμόν, ἀλλά τό σόν γενέσθω θέλημα· δεικνύς ἅμα τῇ συστολῇ, τήν ὁρμήν τοῦ ἀνθρωπίνου θελήματος, ἐν τῇ συμφυΐᾳ τοῦ θεϊκοῦ, κατά τήν τοῦ φυσικοῦ λόγου πρός τήν τῆς οἰκονομίας τρόπον συμπλοκήν, τυπουμένην τε καί γινομένην· εἴπερ ἡ σάρκωσις, ἐναργής ἐστι φύσεως καί οἰκονομίας ἀπόδειξις· τοῦ τε φυσικοῦ λέγω τῶν ἡνωμένων λόγου, καί τοῦ καθ᾽ ὑπόστασιν τῆς ἑνώσεως τρόπου τοῦ μέν πιστουμένου, τοῦ δέ καινοτομοῦντος τάς φύσεις, δίχα τροπῆς καί συγχύσεως. Ἀλλ᾽ οὐ τό αὐτό, κατά τό αὐτό, καταργηθῆναί τε καί ἐνεργηθῆναι δεόμενος, ὅπερ ἄτοπον· εἴπερ τοῦ Υἱοῦ φύσει θέλημα, τό τοῦ Πατρός. Εἶχεν οὖν θέλημα φυσικόν ὡς ἄνθρωπος ὁ Σωτήρ, τῷ αὐτοῦ θεϊκῷ θελήματι τυπούμενον, οὐκ ἐναντιούμενον· οὐδέν γάρ ἠναντίωται παντάπασι Θεῷ φυσικόν, ὁπόταν οὔτε γνωμικόν· ἔνθα καί (49) προσωπική θεωρεῖται διαίρεσις, ἄνπερ ᾖ κατά φύσιν· ἐπεί τόν ποιητήν αἰτιατέον τῆς μέμψεως, ἑαυτῷ πεποιηκότα τό φύσει μαχόμενον.

Πῶς δέ γέγονε κατ᾽ ἀλήθειαν ἄνθρωπος σαρκωθείς ὁ Λόγος, τοῦ μάλιστα τήν φύσιν ὡς λογικήν χαρακτηρίζοντος ἔρημος; Τό γάρ τῆς

κατ᾽ ἔφεσιν ὀρεκτικῆς ἐστερημένον κινήσεως, καί πάσης ζωτικῆς δυνάμεως ἀμοιρήσειεν ἄν. Τό δέ ζωτικήν οὐκ ἔχον ἐκ φύσεως δύναμιν, οὐδέ τήν οἱανοῦν δηλονότι ψυχήν, ἧς χωρίς οὐδέ σάρξ ὑποσταίη ποτ᾽ ἄν. Οὐκοῦν ψιλῇ μορφώσει σαρκός τήν οἰκονομίαν ἐφάντασεν· ἀλλ᾽ οὐ φύσει σαρκός, νοερῶς τε καί λογικῶς ἐψυχωμένης καθ᾽ ὑπόστασιν σαρκωθείς ὁ Λόγος πεπλήρωκε, θέλημα φυσικόν κατά Σευῆρον οὐκ ἔχων ὡς ἄνθρωπος· εἰ γάρ φυσικῷ θελήματι κατ᾽ ἀλήθειαν ὡς ἄνθρωπος ἦν ἐλλιπής, τέλειος κατ' ἀλήθειαν οὐ γέγονεν ἄνθρωπος, οὐδ᾽ ὅλως ἄνθρωπος γέγονεν. Τίς γάρ ἀτελοῦς φύσεως ὕπαρξις, ἧς οὐδέ λόγος ἐστί;

Σκοπός οὖν Σευήρῳ, καί τοῖς ἀμφ᾽ αὐτόν, διά τινος πάντως ἐλλείψεως φυσικῆς, τήν προσληφθεῖσαν καθ᾽ ἕνωσιν ἄῤῥητον ἐξώσασθαι φύσιν· τῆς τε Μάνεντος φαντασίας, καί τῆς Ἀπολιναρίου συγχύσεως, καί τῆς Εὐτυχοῦς συνουσιώσεως ἐπικυρῶσαι τό μῦσος. Μέμνημαι γάρ κατά τήν Κρητῶν νῆσον διάγων, τινῶν ψευδεπισκόπων πρός ἐμέ διενεχθέντων τῆς Σευήρου μερίδος· ἀκούσας, ὡς διά τοῦτο δύο κατά τόν Λέοντος τόμον ἐνεργείας οὐχ ὁμολογοῦμεν ἐπί Χριστοῦ, διά τά ἑπόμενα ταύταις θελήματα, οἷς ἐξ ἀνάγκης προσώπων συνεισάγεται δυάς· ἀλλ᾽ οὐδέ μίαν πάλιν, ἁπλῆν θεωρεῖσθαι μή δυναμένην· ἕν δέ θέλημα, καί πᾶσαν θείαν τε καί ἀνθρωπίνην ἐνέργειαν ἐξ ἑνός καί τοῦ αὐτοῦ Θεοῦ Λόγου σεσαρκωμένου, (52) κατά Σευῆρον προϊέναι φαμέν. Πρός οὕς ἄν τις σχετλιαστικῶς ἐκεῖνο τῆς προφητείας ἐποίσει τό μέρος· Ὦ, ὦ, φεύγετε ἀπό Βοῤῥᾶ· εἰς Σιών ἀνασώζεσθε, οἱ κατοικοῦντες θυγατέρα Βαβυλῶνος. Βοῤῥᾶς γάρ ὡς ἀληθῶς Σευήρου διάνοια, τόπος γενομένη ζοφερός, καί τῆς τοῦ θείου φωτός ἐστερημένη διατριβῆς· Θυγάτηρ δέ Βαβυλῶνος, ἡ κακῶς ἐκ τῆς προσγενομένης αὐτῷ χειρίστης ἕξεως γεννηθεῖσα συγκεχυμένη τῶν ψευδῶν διδασκαλία δογμάτων, ἥν κατοικοῦσι τήν Σιών, λέγω τήν Ἐκκλησίαν, ἀνασωθῆναι δι᾽ ἐπιστροφῆς οὐκ ἐθέλοντες. Ὁμοῦ γάρ τῆς τε θεολογίας καί τῆς οἰκονομίας, ὁ Σευήρου βασανιζόμενος καταγωνίζεται λόγος. Εἰ γάρ κατ᾽ αὐτόν, ταῖς ἐνεργείαις ἕπεσθαι τά θελήματα πέφυκε τοῖς δέ θελήμασιν εἰσάγεσθαι πρόσωπα, καθάπερ αἰτίοις αἰτιατά· ἵνα μή λέγω τίς ἡ ἀπόδειξις· καί παντί προσώπῳ δηλονότι, κατ' αὐτόν, θέλημα· καί τούτῳ πάντως ἐνέργεια συνεισαχθήσεται πρόσφορος. Ὁ γάρ τόν πρός τι, λόγος, ἄλυτον ἔχων τήν σχέσιν, ἴσην ποιεῖται τήν τῶν σχετῶν ἀκολούθως ἀντιστροφήν.

Οὐκοῦν ἐπειδή πολύσημόν ἐστι τό ἁπλῶς λεγόμενον, εἰ μέν φυσικά τά κατά ἀντιστροφήν συνεισαγόμενα τοῖς προσώποις εἶεν θελήματα, ἡ μακαρία Μονάς, κατά Σευῆρον, καί φύσεων ἔσται Τριάς. Εἰ δέ γνωμικά, στασιάσει πάντως πρός ἑαυτήν μή συμβαίνουσα τοῖς θελήμασιν, ὡς προσώπων Τριάς· ἤ πάντως, εἴπερ ἕν θέλημα τῆς ὑπερουσίου Τριάδος ἐστί, μονοπρόσωπος ἔσται Θεότης τριώνυμος.

Καί πάλιν, εἰ τῇ ἐνεργείᾳ πάντως κατά τήν Σευήρου πρότασιν ἕπεται θέλημα· τούτῳ δέ συνεισάγεται πρόσωπον, ἐξ ἀνάγκης ἀναιρεθείσῃ τῇ ἐνεργείᾳ, καί τό ἑπόμενον αὐτῇ συνανήρηται θέλημα, καί τό τούτῳ συνεισαγόμενον πρόσωπον. Εἰ δέ τῇ μέν ἐνεργείᾳ, τό θέλημα· τῷ δέ θελήματι, συναιρεῖται τό πρόσωπον, ἀνυπόστατος ἔσται κατά Σευῆρον ὁ Χριστός· τῇ ἐνεργείᾳ, διά τό συναιρούμενον αὐτῇ θέλημα τοῦ συνεισαγομένου τῷ θελήματι προσώπου συναναιρεθέντος.

Καί πάλιν, εἰ ταῖς ἐνεργείαις κατ᾽ αὐτόν ἕπεται πάντως θελήματα, τοῖς δέ θελήμασι συνεισάγεται πρόσωπα· ἐξ ἑνός δέ καί τοῦ αὐτοῦ Θεοῦ Λόγου (53) σεσαρκωμένου προϊέναι φησί πᾶσαν θείαν καί ἀνθρωπίνην ἐνέργειαν· καί πᾶν θέλημα κατ᾽ αὐτόν (δηλονότι θεῖόν τε καί ἀνθρώπινον), ὡς ταῖς ἐνεργείαις ἑπόμενον μετά τῶν ἰσαρίθμως συνεισαγομένον αὐτοῖς προσώπων, ἐξ ἑνός καί τοῦ αὐτοῦ Λόγου σεσαρκωμένου πάντως συμπροαχθήσεται· καί οὐδείς ἀντερεῖ λόγος.

Ἔσται τοιγαροῦν τῇ μέν ἀναιρέσει τῶν φυσικῶν ἐνεργειῶν ὁ Χριστός κατά Σευῆρον, ἀνούσιος· τῇ δέ παραγραφῇ τῆς μιᾶς , πάλιν ἄβουλος καί ἀνυπόστατος· καί τῇ πάσῃ προαγωγῇ θείας τε καί ἀνθρωπίνης ἐνεργείας, πολύβουλός τε καί πολυπρόσωπος· ἤ τό γε κυριώτερον εἰπεῖν, ἀπειρόβουλός τε καί ἀπειροπρόσωπος. Ὁ γάρ πᾶσαν φήσας ἐνέργειαν, ποσότητος πεποίηκε δήλωσιν ἀναρίθμητον.

Οὐκοῦν κατά μέν τήν ἀντιστροφήν τῆς Σευήρου προτάσεως, ὁ τῆς θεολογίας αὐτῷ διαπέπτωκε λόγος, Ἀρειανήν πολυθεΐαν, καί Σαβελλιανήν ἀθεΐαν, καί μαχομένην Ἑλληνικῶς ἑαυτῇ φύσιν θεότητος εἰσηγουμένῳ· κατά δέ τήν πρότασιν, σαφῶς ὁ τῆς οἰκονομίας αὐτῷ νενόθευται λόγος, τόν ἕνα Χριστόν ἀνούσιον, ἄβουλον, ἀνυπόστατον· καί πάλιν τόν αὐτόν ἀπειρόβουλόν τε πρεσβεύοντι καί ἀπειροπρόσωπον· οὗ τί δυσσεβέστερον;

Ὁρᾶτε ποῦ φέρων ὁ Σευήρου κανών ἀπάγει τούς πειθομένους; Τοιοῦτος γάρ ἅπας καθέστηκε λόγος, τήν ἀήττητον βάσιν οὐκ ἔχων ἀλήθειαν. Ἕν δέ Χριστοῦ θέλημα λέγων, ὦ βέλτιστε, πῶς καί ποῖον

τοῦτο φής; Εἰ μέν ὡς Χριστοῦ φυσικόν, Πατρός φύσει καί Μητρός αὐτόν ἠλλοτρίωσας, οὐδετέρῳ κατ᾽ οὐσίαν ἑνούμενον. Οὐδέτερον φάρ αὐτοῖν φύσει Χριστός· καί πῶς ἐκφεύξῃ τοῦτο λέγων, τῆς πολυθεΐας τόν κίνδυνον; Εἰ δέ γνωμικόν, μόνης ἔσται τῆς αὐτοῦ χαρακτηριστικόν ὑποστάσεως. Προσώπου γάρ ἀφοριστικόν ὑπάρχει τό γνωμικόν· καί δειχθήσεται σαφῶς ἑτερόβουλος Πατρί τε καί Πνεύματι κατά σέ, καί μαχόμενος. Εἰ δέ τῆς αὐτοῦ μόνης θεότητος, ἐμπαθής ἔσται θεότης, παρά φύσιν βρώσεως καί πόσεως ἀφιεμένη. Εἰ δέ τῆς αὐτοῦ μόνης ἀνθρωπότητος, οὐκ ἔσται φύσει δραστήριον. Πῶς γάρ, εἴπερ ἀνθρώπινον; Καί τερατώδης δειχθήσεται σαφῶς ἡ τῶν θαυμάτων ἐπίδειξις.

Εἰ δέ ἀμφοτέρων φύσει κοινόν, πῶς ἔσται θέλημα (56) κοινόν, ὧν ἡ φύσις διάφορος; Εἰ δέ ὡς ὅλου σύνθετος, πρός τῷ καινῷ μύθῳ καί πλάσματι. Τίς γάρ θελήματος σύνθεσις; πάλιν αὐτόν τοῦ Πατρός ἠλλοτρίωσας, συνθέτῳ θελήματι μόνην χαρακτηρίσας ὑπόστασιν σύνθετον. Οὕτω μέν οὖν πᾶσαν φυτείαν ἐκριζοῖ προσελθών ὁ λόγος, ἥν ὁ Πατήρ οὐκ ἐφύτευσεν· ἐπεί μή πέφυκε τό ξένον περιποιεῖσθαι γεώργιον.

Ἀλλ᾽, ὡς ἔοικε, τό φυσικόν θέλημα τῆς κατά Χριστόν ἀνθρωπότητος Σευῆρος ἀνεῖλεν, οὐκ εἰδώς ὅτι κυριώτερόν τε καί πρῶτον ἰδίωμα πάσης μάλιστα φύσεως λογικῆς, ἡ κατ᾽ ἔφεσιν αὐτῆς καθέστηκε κίνησις· ἥν οἱ Πατέρες σκοπήσαντες, φυσικῶν, ἀλλ᾽ οὐ γνωμικῶν ἐπί Χριστοῦ θελημάτων διαφοράν λαμπρῶς ὡμολόγησαν. Οὐ γάρ ἄν ἔλεγόν ποτε γνωμικῶν ἐπί Χριστοῦ θελημάτων διαφοράν, ἵνα μή δίγνωμον καί δίβουλον, καί οἷον εἰπεῖν μαχόμενον ἑαυτῷ τῇ στάσει τῶν λογισμῶν· καί διά τοῦτο διπρόσωπον αὐτόν κηρύττωσιν· οἵ γε κατά μόνην ταύτην γινώσκοντες τήν τῶν γνωμικῶν θελημάτων διαφοράν ἐν τῷ βίῳ γεγενῆσθαι· τήν τε τῆς ἁμαρτίας εἴσοδον, καί τήν πρός τόν Θεόν ἡμετέραν διάστασιν. Ἐν οὐδενί γάρ ἄλλῳ καθέστηκε τό κακόν, εἰ μή μόνον ἐν τῇ πρός τό θεῖον θέλημα διαφορᾷ τοῦ κατά γνώμην ἡμετέρου θελήματος· ᾗτινι πάντως ἀντικειμένη συνεισάγεται ποσότης, καί ὁ ταύτης δηλωτικός ἀριθμός, δεικνύς ἡμῶν τήν πρός τόν Θεόν τοῦ γνωμικοῦ θελήματος ἀντιπάθειαν.

Εἷς οὖν Νεστορίῳ τε τῶν Σευήρῳ περί τοῦ δυσσεβεῖν ὑπάρχει σκοπός, κἄν ὁ τρόπος διάφορος. Ὁ μέν γάρ διά τήν σύγχυσιν, φεύγων τήν καθ᾽ ὑπόστασιν ἕνωσιν, τήν οὐσιώδη διαφοράν προσωπικήν ποιεῖται διαίρεσιν· ὁ δέ διά τήν διαίρεσιν τήν οὐσιώδη μή λέγων

διαφοράν, τήν καθ᾽ ὑπόστασιν ἕνωσιν φυσικήν ἐργάζεται σύγχυσιν· δέον μήτε σύγχυσιν ἐπί Χριστοῦ, μήτε διαίρεσιν· ἀλλ' ἕνωσιν τῶν κατ᾽ οὐσίαν διαφερόντων, καί διαφοράν τῶν καθ᾽ ὑπόστασιν ἡνωμένων ὁμολογεῖν, ἵνα καί τῶν οὐσιῶν ὁ λόγος, καί τῆς ἑνώσεως ὁ τρόπος, εὐσεβῶς καταγγέλληται· ὧν ἄμφω διαῤῥαγέντες· ὁ μέν, τήν τῶν γνωμικῶν μόνον ποιοτήτων ἕνωσιν· ὁ δέ, τήν τῶν φυσικῶν μόνον μετά τήν ἕνωσιν ἐπικυρώσας διαφοράν, ἄμφω τῆς τῶν πραγμάτων ἀληθείας ἀπέπεσον· ὁ μέν, διαίρεσιν· ὁ δέ, σύγχυσιν τοῦ μυστηρίου τολμηρῶς κατακρίναντες.

ΤΟΥ ΑΥΤΟΥ

***Πρός ΓΕΩΡΓΙΟΝ τόν ὁσιώτατον πρεσβύτερον καί ἡγούμενον, ἐρωτήσαντα δι᾽ ἐπιστολῆς περί τοῦ κατά Χριστόν μυστηρίου.***

Νοῦν μέν τόν οἰκεῖον ἐφέσει θείᾳ πτερώσας, (57) καί τόν λόγον διάρας σπουδῇ ὕλης καί τῶν περί ταύτην, θεοτίμητε Πάτερ, ἀκόρεστον ἔχεις τῶν ἱερογράφων Λογίων τήν ἔντευξιν , καί τῆς περί αὐτά φροντίδος δι᾽ ἐμμελοῦς προσοχῆς, εἰ καί τις ἄλλος τήν ἀκάματον δύναμιν. Οὐ γάρ οἶδε κόρον τόν ὑπέρ αἴσθησιν· οὔτε μήν τήν οἰανοῦν περιστολήν, τό ὑπέρ ἔννοιαν. Τό μέν γάρ, ῥοῆς ἁπάσης καί ἀποῤῥοῆς κατά φύσιν ὑπερανέστηκε· τό δέ παντός εἴδους ὑπερανέχει καί σχήματος· τοῦ τε κρυφίου τήν ἔκφανσιν, ὡς θέμις , ἐκεῖνο ποιεῖται· καί τοῦ ἀορίστου τήν ἐνδεχομένην τοῦτο παρέχει κατάληψιν· καί ὅση πρός ἁρπαγήν διανοίας αὐτάρκης, καί Πνεύματος ἁγίου περίδραξιν. Ἕως γάρ τούτου, καί διά τοῦτο καθέστηκεν, ἡ φιλάνθρωπος τοῦ ὑπέρ ἀνθρώπου δι᾽ ἐκφάνσεως συγκατάβασις· χάριτι θεουργούσα τούς γνώμῃ συναναβαίνοντας· καί τῇ κενώσει τοῦ Λόγου τό κατ᾽ αὐτό πλήρωμα δεχομένους, ἐν τῷ ἀπαρτισμῷ τῆς τῶν ἐντολῶν ἐργασίας· καθ᾽ ἥν προς ἐντέλειαν φρονήσεως καί ἀνδρείας αὐτός ἀναχθείς, τό τε φαινόμενον σωφρόνως πιέζεις, καί τό κρυπτόμενον, δικαίως πιαίνεις· ἵν᾽ ἐκείνῳ μέν τήν νέκρωσιν τοῦ Ἰησοῦ παραδείξῃς, πᾶσαν ὁλικῶς ἁμαρτίαν ἐξαφανίζουσαν· ἐν τούτῳ δέ τήν ζωήν ἐπιδείξῃς, ἀρετήν πᾶσαν ὑπερκασμίως προβαλλομένην· ἐξ ὧν πρᾶξιν ἱεράν κατορθώσας καί θεωρίαν, τέλος ἱερόν ἐκομίσω τήν σωτηρίαν· ἥν ὥστε μεταδοῦναι καί ἄλλοις, καί ταύτην γνωρίσαι, τό θεομίμητον, εἵλου πρός ἐμέ τόν ἀνάξιον, ταπεινόν τε καί ἀγνώτην ὑπάρχοντα, τιμίαις προσχρήσασθαι συλλαβαῖς· καί πρῶτα μέν, σοφίσαι λόγῳ καί

συναιτίσαι· πρός δέ καί ἁγιάσαι διά τῆς ἑνούσης σοι χάριτος, πᾶσι πανταχοῦ διαδιδομένης· ἀπερίγραφον γάρ, ὡς αἰτίαν τόν ἀναίτιον ἔχουσα Λόγον.

Εἶτα καί πρός ἐπιστήμην ἱκανῶς ἀγαγεῖν τοῦ καινοῦ μυστηρίου τῆς κατ᾽ ἄνθρωπον θεοπλαστίας τοῦ δι᾽ ἡμᾶς σαρκωθέντος Θεοῦ Λόγου καί τελείως ἐνανθρωπήσαντος· τῷ δι᾽ ἐρωτήσεως ἐθέλειν, οὐ τό ἡγούμενον μαθεῖν· ἐν περιλήψει γάρ τῶν καλῶν ὑπάρχεις ἁπάντων· ἀλλ᾽ εἰς μύησιν προβιβάσαι τελεωτέραν, τό οὔπω δεδεγμένον τήν ἥττονα. Καί σου τόν εὐσεβῆ τρόπον ἀποθαυμάσας, τόν λόγον προΐσχομαι κατά δύναμιν· φάσκων, ὡς οὐκ ἄλλο τι κατά (60) φύσιν ὑπάρχει τό κατά τόν Σωτῆρα ἀνθρώπινον, καί ἄλλο τό καθ᾽ ἡμᾶς· ἀλλά ταυτόν τῇ οὐσίᾳ καί ἀπαράλλακτον, εἴπερ ἐκτῆς ἡμετέρας ἐλήφθη, κατά τήν ἐκ τῶν παρθενικῶν τῆς πανάγνου καί θεομήτορος ἀχράντων αἱμάτων ἄῤῥητον πρόσληψιν· οἷς δίκην σπορᾶς ἑνωθεῖς ὁ Λόγος, γέγονε σάρξ, μή ἐκστάς τοῦ εἶναι κατ' οὐσίαν Θεός· καί τέλειος καθ᾽ ἡμᾶς ἐχρημάτισεν ἄνθρωπος, πλήν μόνης τῆς ἁμαρτίας· δι᾽ ἥν ἡμεῖς μέν πολλάκις στασιάζομεν, καί ἀντιπαλαίομεν τῷ Θεῷ κατά τήν θέλησιν, ὡς ἐφ᾽ ἑκατέρα τήν ταύτης κεκτημένοι ῥοπήν· αὐτός δέ πάσης κατά φύσιν ἐλεύθερος ὤν ἁμαρτίας, ὡς ἄνθρωπος οὐ ψιλός, ἀλλ᾽ ἐνανθρωπήσας Θεός, οὐδέν ἐναντίον εἶχεν· ἀλλ᾽ ἄχραντον, καί πάντη κυρίως ἀμόλυντον τήν ἡμετέραν φύσιν διέσωζε· καθό καί ἔλεγε· Νῦν ὁ ἄρχων τοῦ κόσμου ἔρχεται καί ἐν ἐμοί εὑρίσκειν οὐδέν· τῶν οἷς ἡμεῖς δηλαδή τήν φύσιν παραχαράττοντες, τήν ἐναντίωσιν τοῦ θελήματος ἐπιδείκνυμεν· δι᾽ ἥν τῷ καθ᾽ ἡμᾶς ἀνυπότακτος λέγεται καί Χριστός, ἕως ἄν ταύτης καί ἡμᾶς ἀπολύσῃ τῇ δυνάμει τῆς ἐνανθρωπήσεως· ἧς ἐπικυρῶν τήν ἀλήθειαν, πάντα γέγονε δι᾽ ἡμᾶς, καί δέδρακεν ἑκουσίως ὑπέρ ἡμῶν, μήτε τήν ἡμετέραν οὐσίαν, μήτε τι τῶν αὐτῆς ἀδιαβλήτων καί φυσικῶν τό παράπαν ψευσάμενος· εἰ καί ταύτην μετ᾽ ἐκείνων ἁπάντων ἐθέωσε, πυρακτωθέντος δίκην σιδήρου, πᾶσαν θεουργόν ἀποφήνας, ὡς διόλου κατ᾽ ἄκρον αὐτῇ περιχωρήσας διά τήν ἕνωσιν· καί ἕν μετ᾽ αὐτῆς ἀσυγχύτως καί τήν αὐτήν καί μίαν ὑπόστασιν γεγονώς.

Ὅθεν τό κατ᾽ αὐτόν ἀνθρώπινον, οὐ διά τόν λόγον τῆς φύσεως, ἀλλά διά τόν καινοπρεπῆ τῆς γενέσεως τρόπον, πρός τό ἡμέτερον παραλλάττει· ταυτόν μέν ὑπάρχον κατά τήν οὐσίαν· οὐ ταυτόν δέ κατά τήν ἀσπορίαν ἐπεί μή ψιλή, ἀλλ᾽ αὐτοῦ κατ᾽ ἀλήθειαν τοῦ δι᾽ ἡμᾶς ἐνανθρωπήσαντος ἦν. Ὥσπερ οὖν καί τό θέλειν αὐτοῦ κυρίως

μέν ὄν φυσικόν καθ᾽ ἡμᾶς, τυπούμενον δέ θεϊκῶς ὑπέρ ἡμᾶς. Δῆλον γάρ ὡς ἀσπορία καί σπορά, φύσιν οὐ τέμνει· περί δέ τήν αὐτήν τέμνεται φύσιν, ὥσπερ οὖν καί ἀγεννησία καί γέννησις.

Ἐπεί τυχόν εἰ διαφοράν πρός τήν ἡμετέραν φύσιν ὡς ἄνθρωπος εἶχεν ὁ Λόγος διά τήν ἀπορίαν· ἕξει γε πάντως, καί πρός τήν τοῦ Πατρός οὐσίαν, διά τήν γέννησιν. Οὐ γάρ ταυτόν ἀγεννησία καί γέννησις. Ἕξομεν δέ καί ἡμεῖς πρός τε τόν παλαιόν Ἀδάμ καί τήν Εὔαν, δίχα σπορᾶς γενομένους· (61) ὁ μέν γάρ, πλάσμα τοῦ πλάσαντος· ἡ δέ, τμῆμα τοῦ πλάσματος. Ἀλλά μήν ταυτόν ὁ Υἱός τῷ Πατρί διά τήν Θεότητα· Θεός γάρ καί ὁμοούσιος· ὥσπερ οὖν καί ἡμεῖς, πρός τε τόν Ἀδάμ καί τήν Εὔαν, καί αὐτόν τόν δι' ἡμᾶς σαρκωθέντα Θεόν, συγγενεῖς διά τήν ἀνθρωπότητα καί ὁμοούσιοι. Ὡς γάρ οὐκ οὐσία Θεοῦ τό ἀγέννητον καί γεννητόν (τίς γάρ ὁ λέγων), οὕτως οὐδέ σπορά καί ἀσπορία φύσις καθοτιοῦν ἀνθρωπότητος.

Οὐδεμίαν οὖν ὁ μέγας θεολόγος Γρηγόριος ἔμφασιν παρέχει, τοῦ ἄλλο εἶναι κατά τήν φύσιν τό κατά τόν Σωτῆρα ἀνθρώπινον, καί ἄλλο τό καθ᾽ ἡμᾶς, εἰ καί τισιν ἐνομίσθη, τῷ φάσκειν αὐτόν, " Εἴπαμεν ἄν ὡς παρά τοῦ ἀνθρώπου τυποῦσθαι τόν λόγον· οὐ τοῦ κατά τόν Σωτῆρα νοουμένου· τό γάρ ἐκείνου θέλειν, οὐδέν ὑπεναντίον Θεῷ θεωθέν ὅλον· ἀλλά τοῦ καθ' ἡμᾶς· ὡς τοῦ ἀνθρωπίνου θελήματος, οὐ πάντως ἑπομένου τῷ θείῳ, ἀλλ' ἀντιπίπτοντος ὡς τά πολλά καί ἀντιπαλαίοντος." Αὐτοῦ γάρ ἐστιν κυρίως καί λέγεται, οὐχ ὡς ἑτέρας ἤ ἐξ ἑτέρας ὄν πάρεξ τῆς ἡμετέρας οὐσίας καί φύσεως· ἀλλ᾽ ὡς δι᾽ ἐκεῖνον καί ἐν ἐκείνῳ, κατά τήν αὐτήν καί μίαν ὑπόστασιν γεγονός· καί οὐ καθ᾽ ἑαυτό χωρίς, ἤ δι᾽ ἑαυτό πραχθέν, ὥσπερ ἡμεῖς. Ὅθεν καί σποράν οὐκείαν καινοτομοῦντα τόν ἐπεισαχθέντα τῆς γεννήσεως τρόπον αὐτόν ἔσχε τόν Λόγον, ἅμα τῷ εἶναι φυσικῶς, καί τό ὑποστῆναι θεϊκῶς ἐν αὐτῷ κληρωσάμενον· ἵνα καί τό ἡμέτερον κυρωθῇ· καί τό ὑπέρ ἡμᾶς πιστευθῇ . Δεῖ γάρ ἐν πᾶσιν καί τήν ὑπ' αὐτοῦ τοῦ σαρκωθέντος καί τελείως δι᾽ ἡμᾶς ἐνανθρωπήσαντος Θεοῦ Λόγου, καί τήν προσληφθεῖσαν φύσιν μετά τῶν αὐτῆς φυσικῶν συντηρεῖν· ὧν ἄνευ τό παράπαν οὔτε φύσις ἐστίν, ἀλλά φαντασία μόνη διάκενος, καί τήν ἕνωσιν διαφυλάττειν· τήν μέν, ἐν ἑτερότητι φυσικῇ σωζομένην· τήν δέ πάλιν, ἐν ὑποστατικῇ γνωριζομένην ταυτότητι· καί οὕτω τε σοφῶς ἅμα καί εὐσεβῶς, ὅλο διόλου τόν τῆς οἰκονομίας λόγον, ἄφυρτον ὁμοῦ καί ἀδιαίρετον ἀποφαίνειν.

Ὅν αὐτός ὀρθοδόξως κηρύττων, ἕξεις ἀνακηρύττοντα κατά τήν ὑπόσχεσιν, καί τῶν οἰκείων δωρούμενον ὥσπερ δι᾽ ἐλπίδος ἐνταῦθα, οὕτω διά πείρας ἐκεῖ τήν ἀπόλαυσιν· ἧς κἀμέ μετασχεῖν ἱκέτευσον, Πάτερ ἡγιασμένε, διά τῆς σῆς μεσιτείας προσάγων αὐτῷ τῷ καλοῦντι καί σώζοντι· καί μισθόν τῆς εἰς ἀλλήλους τῶν ὁμογενῶν συμπαθείας, τῷ σύν αὐτῶ καί παρ᾽ αὐτῷ δοξασθῆναι χαριζομένῳ· ᾧ ἡ δόξα καί τό κράτος σύν τῷ παναγίῳ Πατρί, καί τῷ ζωοποιῷ αὐτοῦ Πνεύματι, εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΤΟΥ ΑΥΤΟΥ,

***Πρός τούς λέγοντας, ὅτι μίαν Χριστοῦ χρή λέγειν ἐνέργειαν κατ᾽ ἐπικράτειαν· διά τό ὡς δραστικωτέραν τήν θείαν αὐτοῦ, κατεπικρατεῖν τῆς ἀνθρωπίνης οὕτω χρή ἀπολογεῖσθαι.***

Πρῶτον μέν δύο ἐνεργείας καί ὑμεῖς ὁμολογεῖτε· μίαν ἐπικρατοῦσαν· τήν θείαν φημί· καί μίαν κρατουμένην· τήν ἀνθρωπίνην δηλονότι· ὅπερ ἐστί τῶν Πρός τι. Τά δέ Πρός τι, πάντως συνεισάγουσιν ἑαυτοῖς καί τά ἀντιδιαιρούμενα.

Ἔπειτα δέ, ὅτι εἰ κατ᾽ ἐπικράτειαν λέγετε τήν ἐνέργειαν, ὡς τῆς ἀνθρωπίνης διά τό ἐπικρατηθῆναι ἀναιρουμένης, μείωσιν αὐταῖς εἰσάγετε. Τό γάρ ἐπικρατοῦν, πάντως καί αὐτό τῶν πασχόντων ἐστί· καί αὐτό γάρ κρατεῖται ὑπό τοῦ ἐπικρατουμένου. Εἰ γάρ καί ἔλασσον, ὅμως δέ κρατεῖται πάντως· ὥσπερ χρυσός ἐπικρατῶν μέν τοῦ καταμιγνυμένου αὐτῷ ἀργυρίου, φέρε εἰπεῖν, ἤ χαλκοῦ· κρατούμενος δέ καί αὐτός, εἰ καί ἧττον, δῆλον δέ ὅτι κατά τήν ποσότητα τήν προσμιγεῖσαν.

***Πρός τούς λέγοντας, ὅτι Ὥσπερ ὀργάνου καί τοῦ κινοῦντος μία ἐνέργεια, οὕτως καί θεότητος καί ἀνθρωπότητος μία ἐνέργεια.***

Εἰ μέν φυσικόν τό ὄργανόν φατε, σύγχρονος ἔσται καθ' ὑμᾶς ὁ Λόγος τῇ σαρκί, ἤ ἡ σάρξ τῷ Λόγῳ συναΐδιος· πᾶν γάρ κεχρημένον φυσικῷ ὀργάνῳ, σύγχρονον τοῦτο ἔχει· ὥσπερ τό σῶμα, ἡ ψυχή· καί ὥρα ἡμᾶς καί κτίσμα τήν θείαν φύσιν λέγειν, ἤ τό σῶμα ἄκτιστον. Εἰ δέ τεχνικόν τό ὄργανον λέγετε, ἄψυχον τοῦτο εἰσάγετε, καί ἰδίᾳ διεστηκός καί μεμερισμένον· καί οὐκ ἀεί κινούμενον, ἀλλ᾽ ὅτε τῷ ἐργαζομένῳ δόξει τοῦτο μετά χεῖρας λαβεῖν καί ἐργάζεσθαι· καί

λοιπόν ἤ Νεστορίου τοῦ παράφρονος σύμφρονες δειχθήσεσθε, διαιροῦντος καί διιστῶντος τά εἰς μίαν ὑπόστασιν καί ἕν πρόσωπον συνελθούσας Χριστοῦ τοῦ Θεοῦ δύο φύσεις· ἤ Ἀπολιναρίου τοῦ ἀσεβοῦς φοιτηταί, τό ἄψυχον καί ἄνουν τό σῶμα τοῦ Χριστοῦ λέγοντος.

***Πρός τούς λέγοντας, μίαν σύνθετον τοῦ Χριστοῦ ἐνέργειαν.***

Ἡ σύνθετος ἐνέργεια, πάντως συνθέτου φύσεώς ἐστι. Πᾶσα δέ σύνθετος φύσις, ὁμόχρονον καί ἀκούσιον ἔχει τήν γένεσιν· κτιστή γάρ ὑπάρχει, καί τόπῳ καί κόσμῳ ἰδίῳ περιγραφομένη· καί ἀτόμων (65) πολλῶν ἐστι περιληπτική. Ὥρα οὖν ὑμᾶς μίαν Χριστοῦ σύνθετον λέγοντας ἐνέργειαν, καί σύνθετον Χριστοῦ φύσιν λέγειν, ἧς καί ἔστιν ἀφοριστική, σύγχρονα τό μέρη ἔχουσαν· καί τούτων τήν σύνοδον ἀκούσιον καί ἠναγκασμένην· κτιστήν τε καί κόσμῳ ἰδίῳ καί τόπῳ περιγεγραμμένην· λοιπόν δέ καί πλῆθος Χριστῶν καθ᾽ ὧν αὕτη κατηγορεῖται.

ΤΟΥ ΑΥΤΟΥ,

***Περί τοῦ «Πάτερ, εἰ δυνατόν, παρελθέτω ἀπ᾽ ἐμοῦ τό ποτήριον».***

Εἰ τό, Πάτερ, εἰ δυνατόν, παρελθέτω ἀπ᾽ ἐμοῦ τό ποτήριον, συστολῆς ἔμφασιν ἔχον, ἀπό τοῦ ἀνθρώπου λαμβάνεις, "οὐ τοῦ κατά τόν Σωτῆρα νοουμένου (τό γάρ ἐκείνου θέλειν, οὐδέν ὑπεναντίον Θεῷ, θεωθέν ὅλον), ἀλλά τοῦ καθ᾽ ἡμᾶς, ὡς τοῦ ἀνθρωπικοῦ θελήματος οὐ πάντως ἑπομένου τῷ θεῷ, ἀλλ᾽ ἀντιπίπτοντος ὡς τά πολλά καί ἀντιπαλαίοντος" ἥ φησιν ὁ θεῖος Γρηγόριος· τό ἑξῆς τῆς εὐχῆς, ἤγουν τό, Οὐχ ὅ ἐγώ θέλω, ἀλλά τό σόν ἰσχυέτω θέλημα, τί σοι δοκεῖ; συστολῆς ὑπάρχειν, ἤ ἀνδρείας; συννεύσεως ἄκρας, ἤ διαστάσεως; Ἀλλ᾽ ὅτι μέν οὐκ ἀντιπτώσεως, οὔτε δειλίας, συμφυΐας δέ μᾶλλον ἐντελοῦς καί συννεύσεως, οὐδείς ἀντερεῖ τῶν νοῦν ἐχόντων.

Καί εἰ συμφυΐας ἐντελοῦς καί συννεύσεως, ἐκ τίνος ταύτης προσδέχῃ; τοῦ καθ᾽ ἡμᾶς, ἤ τοῦ κατά τόν Σωτῆρα νοουμένου ἀνθρώπου; ἀλλ᾽ εἰ μέν ἐκ τοῦ καθ᾽ ἡμᾶς, ἡμάρτηται περί αὐτοῦ διαγορεύων ὁ τοῦ διδασκάλου λόγος· " Ὡς τοῦ ἀνθρωπικοῦ θελήματος οὐ πάντως ἑπομένου τῷ θείῳ θελήματι, ἀλλ᾽ ἀντιπίπτοντος ὡς τά

πολλά καί ἀντιπαλαίοντος." Εἰ γάρ ἕπεται, οὐκ ἀντιπίπτει· καί εἰ ἀντιπίπτει, οὐχ ἕπεται. Θατέρῳ γάρ θάτερον ὡς ἀντικείμενον (68) ἀναιρεῖται καί ὑπεξίσταται. Εἰ δέ μή τοῦ καθ᾽ ἡμᾶς, ἀλλά τοῦ κατά τόν Σωτῆρα νοουμένου ἀνθρώπου λαμβάνῃς τό, Οὐχ ὅ ἐγώ θέλω, ἀλλά τό σόν ἰσχυέτω θέλημα, τήν ἄκραν τοῦ ἀνθρωπικοῦ πρός τό θεῖον αὐτοῦ θέλημα καί πατρικόν ὡμολογήσας σύννευσιν· καί δύο τοῦ διπλοῦ τήν φύσιν· τάς τε θελήσεις καί ἐνεργείας κατά φύσιν οὔσας, παρέστησας· ἐν οὐδετέρᾳ τήν οἱανοῦν ἐναντίωσιν ἔχοντος· εἰ καί τήν φυσικήν ἐν πᾶσι διαφοράν τῶν ἐξ ὧν καί ἐν αἷς τε, καί ἅπερ ἦν ὁ αὐτός κατά φύσιν.

Εἰ δέ τούτοις ἐξειργόμενος τοῖς λογισμοῖς, ἐπί τό λέγειν προάγῃ, μήτε τοῦ καθ' ἡμᾶς, μήτε τοῦ κατά τόν Σωτῆρα νοουμένου ἀνθρώπου τυγχάνειν τό, Οὐχ ὅ ἐγώ θέλω, ἀλλ' ἀρνητικῶς, ἐπί τῆς τοῦ ἱονογενοῦς ἀνάρχου θεότητος φέρεσθαι· τοῦ, τί θέλειν αὐτόν ἰδίως παρά τόν Πατέρα διεῖργον· οὐκοῦν καί τό θεληθέν, ὅπερ ἐστίν ἡ τοῦ ποτηρίου παραίτησις, ἐπ᾽ αὐτῆς ἀνάγκῃ φέρεις τῆς ἀνάρχου θεότητος. Εἰ γάρ καί τοῦ τί θέλειν ἰδίως ἀναίρεσιν φῄς ἔχειν τήν ἄρνησιν, ἀλλ᾽ οὐ τοῦ θεληθέντος ἀποσκευήν· οὐ γάρ ἐπ᾽ ἀμφοῖν τίθεσθαι τήν ἄρνησιν δυνατόν· καί τοῦ τι θέλειν ἰδίως τόν Μονογενῆ παρά τόν Πατέρα, καί τοῦ θεληθέντος. Ἐπεί πάντως ἡ τοῦ κοινοῦ Πατρός καί Υἱοῦ θέλησις θελήματος, ἀναίρεσις ἔσται τοῦ θεληθέντος Θεῷ, ἤγουν τῆς ἡμῶν σωτηρίας. Τοῦτο γάρ αὐτῷ φύσει καθέστηκε θελητόν. Εἰ δέ μή δυνατόν ἐπ᾽ ἀμφοῖν τιθέναι τήν ἄρνησιν, δῆλον ὡς εἰ ταύτην ἐπί τοῦ τι θέλειν ἰδίως ἄγεις, ἵνα τήν τοῦ κοινοῦ θέσιν ποιήσῃς θελήματος, οὐκ ἀναιρήσῃς τό θεληθέν, ἤγουν τήν τοῦ ποτηρίου παραίτησιν· ἀλλά κατά τῆς κοινῆς ἐποίσεις καί ἀνάρχου θεότητος, ἐφ᾽ ἧς ἀρνητικῶς καί τό θέλειν ἀνήγαγες. Εἰ δέ τοῦτο κἄν ἐννοεῖν ἀπευκτόν, ἄρα γε σαφῶς ἐνταῦθα ἡ ἄρνησις, ἤγουν τό, Οὐχ ὅ ἐγώ θέλω, πάντῃ τήν ἐναντίωσιν ἀποσκευαζομένη, τήν τοῦ ἀνθρωπικοῦ τοῦ Σωτῆρος πρός τό θεῖον αὐτοῦ θέλημα καί πατρικόν συμφυΐαν παρίστησιν· ὡς ὅλην ὅλου τήν φύσιν οὐσιωθέντος τοῦ Λόγου, καί ὅλην τῇ οὐσιώσει θεώσαντος. Ὅθεν ὡς δι' ἡμᾶς καθ᾽ ἡμᾶς γεγονώς, ἔλεγεν ἀνθρωποπρεπῶς πρός τόν Θεόν καί Πατέρα· Μή τό ἐμόν, ἀλλά τό σόν ἰσχυσάτω θέλημα· ἅτε θέλησιν καί ὡς ἄνθρωπος ἔχων αὐτός ὁ φύσει Θεός, τήν τοῦ πατρικοῦ θελήματος πλήρωσιν. Διό κατ᾽ ἄμφω τάς ἐξ ὧν, καί ἐν αἷς, καί ὧν ὑπόστασις ἦν, φύσει θελητικός καί ἐνεργητικός τῆς ἡμῶν ὑπάρχων ἐγνωρίζετο σωτηρίας· τό μέν, ὡς ταύτην συνευδοκῶν Πατρί καί

Πνεύματι· τό δέ, ὡς Πατρί διά ταύτην ὑπήκοος γενόμενος μέχρι θανάτου, θανάτου δέ σταυροῦ· καί τό μέγα τῆς εἰς ἡμᾶς οἰκονομίας, διά σαρκός αὐτουργήσας μυστηρίου.

***ΣΧΟΛΙΟΝ***

*α᾽.* Fr. Ὅτι οἱ λέγοντες τό, Οὐχ ὁ ἐγώ θέλω, (69) ἀρνητικῶς ἐπί τῆς τοῦ ἰονογενοῦς ἀνάρχου θεότητος φέρεσθαι· σημαῖνον, ὡς αὐτοί φασι, τό, μή τι θέλειν αὐτόν ἴδιον παρά τόν Πατέρα, ἀνάγκην ἔχουσι, καί τό θεληθέν, ὅπερ ἐστίν ἡ τοῦ ποτηρίου παραίτησις, ἐπ᾽ αὐτῆς ἀνάγειν τῆς ἀνάρχου θεότητος· καί ὅτι ἐπειδή μή δυνατόν ἐπ᾽ ἀμφοῖν τίθεσθαι τήν ἄρνησιν, καί τοῦ τί θέλειν ἰδίως τόν Μονογενῆ παρά τόν Πατέρα, καί τοῦ θεληθέντος, πάντως ἐπί τοῦ τι θέλειν ἰδίως μόνον ταύτην ἀνάγωσιν, οὐκ ἐπί τοῦ θεληθέντος, ὅπερ ἐστίν ἡ τοῦ ποτηρίου παραίτησις, ἤγουν ἡ σωτηρία ἡμῶν· οὗ τί γένοιτο παραλογώτερον; Συμβαίνει γάρ ἐθέλειν παρελθεῖν τόν Θεόν, ὅ φύσει αὐτῷ καθέστηκε θελητόν. Ἐπεί οὗ ἐστι τό, Οὐχ ὅ ἐγώ θέλω, τούτου πάντως καί τό. Παρελθέτω ἀπ᾽ ἐμοῦ ποτήριον.

ΤΟΥ ΑΥΤΟΥ

***Τόμος δογματικός σταλείς ἐν Κύπρῳ πρός Μαρῖνον διάκονον.***

Οὐ μᾶλλόν σου τῆς πολλῆς εὐλαβείας κατεπλάγην τό κόσμιον ἤ τοῦ μεγίστου ζήλου τό ἀνδρικόν ἀπεθαύμασα, πανάγιε Θεοῦ θεράπον, καί τῶν αὐτοῦ πάνσοφε μύστα καί μυσταγωγέ μυστηρίων. Τῇ γάρ ἐξ ἀμφοῖν ἱερᾷ συμπλοκῇ, τήν ἐν πᾶσιν ἀγαθοῖς ἐκτήσω τελείωσιν· κατ᾽ ἐκείνην μέν, ὅλος ἐν ὅλῳ διόλου γενόμενος τῷ θεῷ, διά τῆς τῶν αὐτοῦ θείων ἐντολῶν ἐκπληρώσεως, ὅλος εἶναι λογίζῃ δι' ἄκραν πτωχείας ὑπερβολήν ἐν τοῖς κατ᾽ ἐμέ προσύλῳ ψυχῆς διαθέσει, τῷ ἰχῶρι τῶν ἀκαθάρτων ἰλυσπώμενοι παθῶν· ὁμοῦ τε τό ἀσφαλές ἐντεῦθεν ἑαυτῷ κατά λόγον περιποιούμενος· οὐδέν γάρ αὐθαιρέτου πτωχείας εἰς πῆξιν τῶν καλῶν καί συντήρησιν, ἰσχυρότερον· θεμέλιος γάρ τῶν ἐν ψυχῇ θείων οἰκοδομημάτων καθέστηκεν ἀῤῥαγής, καί τοῖς ἄλλοις ἅπασιν, οἷς τό καλόν διεσπούδασται, σωτηρίας γενόμενος πρόξενος· τῷ ἄγειν ἐξ ὑποδείξεως ἐνεργοῦς μᾶλλον, ἤ διδακτικῆς προσφωνήσεως, εἰς μέγεθος ἀρετῆς δι᾽ ὑφέσεως ὑψηλῆς, τούς πρός σέ τόν τε νοῦν ὁμοίως καί τόν βίον σοφῶς ἀπευθύνοντας. Κατά τοῦτον

δέ, φημί, τόν ζῆλον, ὅλην ἔχων τήν ζέσιν τοῦ Πνεύματος, καί τό πῦρ ἐν τῇ γῇ τῆς καρδίας κτησάμενος, ὅ ἦλθεν ἐν αὐτῇ βαλεῖν, ὁ πᾶσαν ἡμῶν ἐκδαπανῶν μοχθηράν ἕξιν καί κίνησιν, φιλάγαθος φύσει καί φιλάνθρωπος Λόγος, φλογίζεις μέν τούς ἐξ ἀπάτης τε καί ἀνοίας ὑλομανοῦντάς τε καί ὑθλομανοῦντας, ἔν τε πράξεσι φαύλαις καί κιβδήλοις λόγοις, τούτων ἀπελέγχων (72) τό σαθρόν τε καί εἰκαῖον, τῇ προβολῇ τῆς ἀσβέστως ἐν σοί καιομένης κατά θείαν γνῶσιν καί ἀρετήν μακαρίας λαμπάδος· θερμαίνεις δέ, τούς τῇ πήξει λίαν κατεψηγμένους, ταύτης δή τῆς κρημώδους καί ἀφεγγοῦς προβολῆς, ταῖς ἀκτινοφανέσι τῶν θείων λόγων αὐγαῖς· τό τε νύχος πάμπαν ἐλαύνων καί διαλύων, καί τήν ἄκραν συστολήν πρός ἄκραν ἀνδρείαν μετάγων καί δύναμιν· φωτίζεις δέ πάλιν ἀπό ὀρέων αἰωνίων· τῶν ἀΰλων φημί, καί πᾶσαν πασῶν αἰσθήσεων ὑπερβεβηκότων γνῶσιν καί δύναμιν, πατρικῶν λόγων τε καί δογμάτων, τούς ἐφιεμένους φωτός· καί τῇ κατά τήν σοφίαν γεύσει, τοῦτο σαφῶς ἐκεῖνο δι᾽ ἐλπίδος εἰκονισθέντας ἤδη καλῶς, ὅπερ αὐτό φύσει καθέστηκε τό ποθούμενον· πρός τήν διά πείρας ἄγων αὐτούς, καί προσάγων εὐσεβῶς ὁλικήν μεταποίησιν. Οὐδέν γάρ οὕτω τῆς κατά σέ θείας ἱερωσύνης εἰκονίζει τό ἔργον, ὡς ὁ κατά Θεόν εὐλαβείᾳ σύγκρατος καί ἀνένδοτος ζῆλος, καί ὁ τούτου συνεκτικός ἅμα καί ἐξαπτικός ἐν ἡμῖν ἔμφυτος λόγος, ἐκεῖνο δρᾷν παρασκευάζων, καί σοφῶς οἰακίζων, ἅπερ ὁ φύσει καί πρῶτος διακελεύεται, πρός τήν ἡμῶν ἄνοδον εἰς αὐτόν, καί τελείαν δι᾽ ἔργων ὁσίων καί δογμάτων ἀγαθῶν ἀποκατάστασιν· ἀποφυγήν δέ καί ἀποστροφήν, τῶν ταύτης ἡμᾶς ποιούντων διαμαρτεῖν τῆς ἱερᾶς ἀναβάσεως.

Καί τί γε ἄλλο διαλύει ταύτην σφοδρῶς, καί οἷον ἀποτειχίζει· φημί δέ τήν πρός τόν Λόγον πορείαν, πλήν τῆς αὐτοῦ φοβερᾶς προδοσίας τῶν νῦν ἐπιφυέντων τοῖς τήν βασιλικήν ὁδόν τῶν θείων καί πατρικῶν δογμάτων ὁδεύουσι· καί μηδεμίαν τῶν παρ' ἑκατέρα δυστυχῶς φερομένων ἐν βαράθροις συγχύσεως καί φάραγξι διαιρέσεως παρεκτροπήν (73) γινωσκόντων; ἤ γνῶναι καθοτιοῦν βουλομένων, χάριτι τοῦ σοφῶς ὁδηγοῦντός τε καί χειραγωγοῦντος παναγίου Πνεύματος, εἰς τήν πρόσωπον πρός πρόσωπον τελείαν ἐπίγνωσίν τε καί μύησιν αὐτοῦ τοῦ μεγάλου Θεοῦ καί Σωτῆρος τῶν ὅλων Χριστοῦ, τούς κατ᾽ εὐχάς δι᾽ εἰλικρινοῦς καί ὀρθοδόξου πίστεως ἐπειγομένους. Πρόδοσις γάρ ἐστι, ἡ τῆς εὐσεβοῦς αὐτοῦ τε καί περί αὐτοῦ δόξης παραλλαγή, τῇ προσλήψει τῆς τῶν ἑτεροδόξων ὁμολογίας καί διδαχῆς

ἀπεμπολοῦσα αὐτόν, εἰς ἀναίρεσιν τῆς ἐξ ἡμῶν παναγίας αὐτοῦ σαρκός· μᾶλλον δέ τῆς ὅλης οἰκονομίας ἀνατροπήν· καί προδοσία τῆς ἐν πρώτοις, ὅτε σαρκί μεθ᾽ ἡμῶν ὑπῆρχεν ὁ Λόγος, γεγενημένης, βαρυτέρα τοσοῦτον, ὅσῳ τελειωτέρα τοῖς πᾶσιν ἥ τε τῆς θεότητος αὐτοῦ γνῶσις, καί τῆς κατ᾽ αὐτόν ἀνθρωπότητος ἡ ἀλήθεια προδήλως γεγένηται· τά πέρατα τῆς οἰκουμένης διαλαβοῦσα τῇ μεγαλοφωνίᾳ τῶν αὐτήν κηρυττόντων ἁγίων Πατέρων. Πᾶσι γάρ πανταχοῦ βεβαίως ὁμολογουμένου, καί ὀρθοδόξως πιστευομένου, κατά τήν αὐτῶν, φημί δή τῶν θεοκρίτων ὑφήγησιν διδασκάλων, ὡς ὁ εἷς τῆς ἁγίας καί ὁμοουσίου Τριάδος, ὁ μονογενής Υἱός, τέλειος κατά φύσιν ὑπάρχων Θεός, τέλειος κατά θέλησιν ἄνθρωπος γέγονε, σάρκα τήν ἡμῶν ὁμοούσιον ἐκ τῆς ἁγίας Θεομήτορος Ἀειπαρθένου κατ᾽ ἀλήθειαν προσλαβών, λογικῶς τε καί νοερῶς ἐψυχωμένην, καί καθ᾽ ὑπόστασιν ἑαυτῷ κυρίως ἀδιασπάστως ἑνώσας, εἷς τε μετ᾽ αὐτῆς ὑπάρχει καθά καί πρότερον· πλήν οὐκ ἀσύνθετος τήν ὑπόστασιν· εἰ καί τήν φύσιν ἁπλοῦς· ἅτε διαμείνας Θεός καί τῷ Πατρί ὁμοούσιος· καί αὖθις διπλοῦς ὡς γενόμενος σάρξ· ἵνα τῷ μέν διττῷ τῆς φύσεως, συγγενής ᾖ κατ᾽ οὐσίαν τοῖς ἄκροις, καί τήν πρός ἄλληλα φυσικήν τῶν οἰκείων μερῶν σώζῃ διαφοράν· τῷ δέ μοναδικῷ τοῦ προσώπου, τήν ἐν τοῖς μέρεσι τελείαν ἔχων ταυτότητα, καί τήν πρός τά ἄκρα προσωπικήν, ὡς εἷς καί μόνος, κέκτηται διαφοράν· καί τῷ ἀνελλιπεῖ τῆς πρός αὐτά (φημί δέ τά ἄκρα) φυσικῆς καί οὐσιώδους ἀπαραλλαξίας, τέλειος ᾖ τά ἑκάτερα· Θεός ὁμοῦ καί ἄνθρωπος ὁ αὐτός· ἀτελῆ τοῦτον εἰσάγουσι, καί τῶν κατά φύσιν παθόντα τήν ἔκπτωσιν, οἱ τήν τῶν προσόντων αὐτῷ φυσικῶς ἀπομείωσιν ἀσεβῶς δογματίζοντες. Εἰ γάρ ἑκατέρας φύσεως ἀνελλιπῶς οὐ φυλάττει τήν ἰδιότητα, χωρίς μόνης ἁμαρτίας, κατά τούς θείους Πατέρας, τῶν ἐξ ὧν καί ἐν αἷς κυρίως ἐστίν ὁ σαρκωθείς Λόγος καί μετά τήν ἕνωσιν, ἐλλιπής ὑπάρχει Θεός· εἴπερ ὅλως ἄνθρωπος μείωσιν τῶν φυσικῶν κεκτημένος.

Οὐ χρή τοιγαροῦν προφάσει δῆθεν ἑνώσεως μηδενί λυμαινομένης, ἀλλά μόνον εἰς ἕν καθ᾽ ὑπόστασιν συνδεούσης τά πράγματα, τήν ὕπαρξιν αὐτῶν παραφθείρειν, τῇ ἀναιρέσει τοῦ τε φυσικοῦ θελήματος (76) καί τῆς οὐσιώδους ἐνεργείας. Εἴτε γάρ ὡς ἐκ μερῶν ὅλον τι, τά τε οὐσιώδη δύο θελήματα καί τάς ἰσαρίθμους φυσικάς ἐνεργείας κατά σύνθεσιν εἰς ἕν θέλημα καί μίαν ἐνέργειαν ἐκτήξομεν τυχόν καί χωνεύσομεν, μυθικόν τό τοιοῦτον, καί τῆς πρός τόν Πατέρα καί ἡμᾶς ξένον τε πάντῃ καί ἀλλότριον δειχθήσεται κοινωνίας· ὡς οὐ σύνθετον

ἐκείνου κατά φύσιν ἔχοντος θέλημα, ἤ ἐνέργειαν· οὐδέ πάλιν ἡμῶν. Οὐδεμίαν γάρ τῶν ἐν ὑποκειμένῳ σύνθεσις· ὅτι μηδέ καθ᾿ ἑαυτά τό παράπαν ὕπαρξις θεωρεῖται, καί τῆς ὑποκειμένης οὐσίας ἐκτός. Πρός γάρ τῷ ἄχαρι καί λίαν κατάπτυστον, ἄνω τε καί κάτω διά τήν φυσικήν πρός ἄμφω συγγένειαν κατά διαστολήν ἐξ ἡμισείας μερίζεσθαί τε καί τέμνεσθαι, προσομολογούντων· καί ταῦτα τήν καθ᾿ ὑπόστασιν ἀδιάσπαστον ἕνωσιν. Εἴτε πάλιν τῆς θείας τοῦ σαρκωθέντος Λόγου φύσεως ἀλώβητον, τό τε φυσικόν θέλημα, καί τήν οὐσιωδῶς προσοῦσαν ἐνέργειαν συντηρήσομεν, τῆς δέ κατ᾿ αὐτόν ἀνθρωπίνης οὐσίας ἀνέλωμεν ταῦτα καί ἀποσκευάσομεν· καί οὕτως τήν ὑπερφυᾶ παραβλάπτομεν ἕνωσιν, οὐκ ἔχουσαν ὅ τι καί δήσει πρός μίαν ὑπόστασιν, τῆς λογικῶς τε καί νοερῶς ἐψυχωμένης σαρκός, ἤγουν τῆς καθ᾿ ἡμᾶς οὐσίας καί φύσεως, ἐν τῷ Λόγῳ τό παράπαν οὐκ οὔσης τελείως καί σωζομένης. Ποῦ γάρ καί ποία φύσις, τῶν κατά φύσιν παθοῦσ τή ἔκπτωσιν;

Εἰ οὖν τούτων, ἤ τινος τούτων ἐλλιπής ἦν κατά σάρκα τῶν φυσικῶν ἰδιωμάτων ὁ Κύριος, οὐδέ σάρξ ὅλως ὑπῆρχε καί ἄνθρωπος· ἤ γάρ δείξωσιν οἱ ταῦτα λέγοντες, ἄνθρωπον ὄντα κατά φύσιν τούτων ἐκτός, ἤ ὅλως ἄνθρωπον· ἤ, εἴπερ οὐδαμῶς τό παράπαν ἐστί, δῆλον ὥς οὐκ ἄνθρωπος, τούτων ἤ τινος αὐτῶν κατά φύσιν ἐστερημένος, σαρκωθείς ὁ Λόγος γεγένηται. Πῶς γάρ καί τίνι λόγῳ, μηδεμίαν ἔλλειψιν τῶν τοιούτων ἐχούσης τῆς φύσεως; ἀλλ᾿ ἕτερόν τι ξένον παντάπασι τῆς ἡμετέρας οὐσίας ὑπάρχει καί ἄγνωστον· καί, ἤ ἀπ᾿ ἀρχῆς συνουσιωμένον αὐτῷ, καί ἄνωθεν κατελθόντι συγκατελθόν αὐτῷ, ἐκεῖνο σαφῶς ὅπερ λέγεται γεγονέναι· καί τί λοιπόν πρός ἡμᾶς ἡ κατάβασις, οὐδαμῶς συνελθόντας διά τῆς οὐκ ἐξ ἡμῶν προσληφθείσης, καί καθ᾿ ὑπόστασιν ἑνωθείσης ἁγίας σαρκός; ἤ φαντασία τό πᾶν, καί σχῆμα μόνον φαινακίζον τήν αἴσθησιν, ἀλλ' οὐκ οὐσία σαρκός, ὡς οὐκ ἀπαρχή τοῦ ἡμετέρου γένους, τό φύραμα κατά χάριν ἑνίζουσα, καί τῶν διαιρετικῶν ἀπολύουσα πάντων, ὧν ἡ τοῦ παλαιοῦ παράβασις Ἀδάμ αἰτία γεγένηται· δι᾿ ἥν καί ὁ θάνατος κατεκρίθη τῆς φύσεως. Τί τοιγαροῦν βασκαίνουσιν ἡμῖν τῆς τελείας σωτηρίας καί ὁμολογίας; Τί τούς ἀφύκτους δῆθεν καθ' ἡμῶν διατείνουσι συλλογισμούς, καί ταῖς μέν ἐνεργείαις ἕπεσθαί φασι τά θελήματα, καί τούτοις συνέπεσθαι πάλιν τήν ἐναντίωσιν, ἐξ ἧς καί τούς τἀναντία θέλοντας ἐπεισάγουσιν;

(77) Ἵνα δέ τάς συστάσεις εὐθύνειν παρῶ· πόθεν, καί πῶς τά τοιαῦτα σοφίζονται; Πυθέσθαι μόνον ἤθελον καί μαθεῖν, ὡς ἄρα δράσαντες αὐτοί τά τοιαῦτα, καί τήν καινήν ἔκθεσιν ἐνεργήσαντες, ἀθελήτως τοῦτο πεποίηκαν, καί τίς ὁ βίαν ἐπενεγκών; Εἶτα μετά τήν πρᾶξιν, οὐκ ὄν πρότερον παντελῶς, ὕστερον τοῦ γενομένου τό θέλημα προσεκτήσαντο, πόθεν, κἀκ τίνος ἐλθόν; Καί τίς ὁ τοῦ πραχθέντος ἔχειν τό θέλημα βιασάμενος, ἵνα καί παρά θέλησιν πραχθῇ, καί παρά βούλησιν στερχθῇ τό πραττόμενον; Πῶς δέ πάλιν, εἰ μήτε φυσικῶς ὡς ἄνθρωπος ἤθελε, καί ἐνήργει τά κατά φύσιν, αὐτός ὁ σαρκωθείς Λόγος, ἑκουσίως τήν τε πεῖναν καί δίψαν, τόν τε πόνον, καί κόπον, καί ὕπνον, καί τά λοιπά πάντα προσίετο θέλων; Οὐ γάρ Λόγος μόνον ταῦτα κατά φύσιν ἤθελεν ἤ ἐνήργει, τήν φύσιν ἔχων μετά Πατρός καί Πνεύματος ὑπερούσιόν τε καί ὑπεράπειρον· εἰ κάι πάλιν ἡ "ἐξουσιαστικῶς ὡς Θεός, ἐδίδου τῇ φύσει καιρόν, ὅταν ἐβούλετο, τά ἑαυτῆς ἐνεργῆσαι·" καθάπερ φησίν ὁ θεῖος τῆς Νυσσαέων καθηγητής καί μέγας Γρηγόριος. Εἰ γάρ ὡς μόνον Θεός ταῦτα, καί οὐχ ὡς ἄνθρωπος ὁ αὐτός ἤθελεν, ἤ σῶμα φύσει τό θεῖον, ἤ τήν οὐσίαν τραπείς, σάρξ κατ᾽ ἔκπτωσιν τῆς οἰκείας θεότητος γέγονεν· ἤ πάντως λογικῶς ἡ κατ᾽ αὐτήν διόλου καί ἄλογος· ἤ εἴπερ ἐψύχωτο λογικῶς ἡ κατ᾽αὐτόν οὐκ ἐψύχωτο σάρξ· ἀλ᾽ ἄψυχος ἦν κατ᾽ αὐτήν διόλου καί ἄλογος· ἤ εἴπερ ἐψύχωτο λογικῶς, καί θέλημα ἐκέκτητο τό φυσικόν. Πᾶν γάρ φύσει λογικόν, καί φύσει θελητικόν πάντως ἐστί. Καί εἰ θέλημα φυσικόν εἶχεν ὡς ἄνθρωπος, ἐκεῖνα πάντως ἤθελε κατ᾽ οὐσίαν, ἅπερ αὐτός ὡς Θεός τῇ φύσει πρός σύστασιν δημιουργήσας ἐνέθετο φυσικῶς. Οὐ γάρ ἦλθε παραχαράξαι τήν φύσιν, ἥν αὐτός ὡς Θεός καί Λόγος πεποίηκεν· ἀλλ' ἦλθε διόλου θεῶσαι τήν φύσιν, ἥν αὐτός ἑαυτῷ θέλων, εὐδοκίᾳ Πατρός καί συνεργείᾳ Πνεύματος, κατά τήν αὐτήν καί μίαν ὑπόστασιν ἥνωσε, μετά πάντων τῶν προσόντων αὐτῇ φυσικῶς, καί δίχα τῆς ἁμαρτίας.

Οὐκοῦν ὡς φύσει Θεός ἤθελε τά κατά φύσιν θεῖα καί Πατρικά. Συνθελητής γάρ ὑπῦρχε τοῦ ἰδίου (80) Γεννήτορος· καί ὡς ἄνθρωπος φύσει πάλιν ὁ αὐτός, ἤθελε τά κατά φύσιν ἀνθρώπινα· πάσης καθαράν φυλάττων φαντασίας τήν οἰκονομίαν, μηδαμῶς ἀντιπίπτοντα τῶ θελήματι τοῦ Πατρός. Οὐδέν γάρ τῶν φυσικῶν, ὥσπερ οὐδ᾽ αὐτή καθάπαξ ἡ φύσις, τῷ αἰτίῳ ποτ᾽ ἄν ἀντιπίπτει τῆς φύσεως· ἀλλ᾽οὐδέ γνώμη καί ὅσα γνώμης ἐστίν, ὁπηνίκα μέντοι τῷ λόγῳ συννεύει τῆς φύσεως. Καί γάρ εἰ τυχόν φαίη τις, ὡς ἀντιπίπτει

Θεῷ τι τῶν κατά φύσιν, αὐτοῦ μᾶλλον ἤ τῆς φύσεως ὑπάρχει τό ἔγκλημα· πόλεμον φυσικῶς ἐνθεμένου τοῖς οὖσι, πρός τήν κατ᾽ αὐτοῦ καί ἀλλήλων στάσιν καί μάχην.

Ὅτι γάρ οὐδέν ἀντίκειται Θεῷ φυσικόν, δῆλον ἐκ τοῦ ταῦτα κατά γέννησιν ὑπ᾽ αὐτοῦ δημιουργηθῆναι, καί μηδεμίαν ὑπέρ τῆς οὐσιώδους ἐν ἡμῖν τούτων συστάσεως αἰτίασιν ἔχειν· πᾶν μέν οὖν τοὐναντίον, διά τήν τούτων παρεκτροπήν τάς ἐγκλήσεις σαφῶς ὑπομένειν. Κατά ταύτην μέν γάρ, πάσης τε γνωμικῶς κακίας γινόμεθα κατά τόν ἀρχαίκακον ὄφιν· κατ᾽ ἐκείνην δέ, πλάσμα Θεοῦ καί τίμιον κτίσμα κατά φύσιν ὑπάρχομεν. Διά τοι τοῦτο κατά τούς θείους Πατέρας, οὔτε θελημάτων φυσικῶν, οὔτε μήν ἐνεργειῶν, ὥσπερ οὐδ᾽ αὐτῶν φύσεων μείωσιν ἐργαζόμεθα τό παράπαν, ἐπί τοῦ αὐτοῦ καί ἑνός Θεοῦ Λόγου σεσαρκωμένου· τέλειον τόν αὐτόν κατά πάντα Θεόν ὁμοῦ καί ἄνθρωπον ὀρθοδόξως πιστεύοντες, ἐκ τοῦ τελείως τά τε θεῖα καί ἀνθρωπικά, καί ἔχειν φυσικῶς, καί θέλειν καί ἐνεργεῖν· καί θείαν ὁμοῦ καί ἀνθρωπίνην ἔχειν κυρίως οὐσίαν καί θέλησιν καί ἐνέργειαν· ἵνα μή τῇ περί ἑκάτερον τῶν φυσικῶν ἰδιωμάτων ἐλλείψει, τήν ἑκατέρας τῶν ἐξ ὧν καί ἐν αἷς ὑπάρχει φύσεων, μείωσιν, μᾶλλον δέ τελείαν ὑπαρξίαν, παρά τό εἰκός δογματίσωμεν.

Ὅτι γάρ θέλημα κατά φύσιν εἶχεν ἀνθρώπινον, ὡσπεροῦν καί κατ᾽ οὐσίαν θεῖον, αὐτός ἐπιδείκνυται προδήλως ὁ Λόγος, διά τῆς ἀνθρωποπρεποῦς ὑπ᾽ αὐτοῦ δι᾽ ἡμᾶς γενομένης οἰκονομικῆς τοῦ θανάτου παραιτήσεως, καθ᾽ ἥν ἔλεγε· Πάτερ, εἰ δυνατόν, παρελθέτω ἀπ᾽ ἐμοῦ τό ποτήριον· ἵνα δείξῃ τῆς οἰκείας σαρκός τήν ἀσθένειαν· καί ὡς οὐ φαντασίᾳ σάρξ ἐγνωρίζετο τοῖς ὁρῶσι, τήν αἴσθησιν παρακλέπτων· ἀλλ᾽ ἀληθείᾳ κυρίως ἄνθρωπος ἦν, τῆς φυσικῆς τοῦτο μαρνυρούσης θελήσεως, ἧς ἡ κατά οἰκονομίαν ὑπῆρχε παραίτησις.

Ὅτι δέ πάλιν διόλου τεθέωτο, πρός αὐτό τό θεῖον θέλημα συννεύων, ἐξ αὐτοῦ καί κατ᾽ αὐτό κινούμενον ἀεί καί τυπούμενον, δῆλον ἐκ τοῦ μόνην τήν τοῦ Πατρικοῦ θελήματος ἐπίκρισιν τελείως ποιήσασθαι, καθ᾽ ἥν ὡς ἄνθρωπος ἔφασκε· Μή τό ἐμόν, ἀλλά τό σόν γινέσθω θέλημα· τύπον ἡμῖν ἑαυτόν καί παράδειγμα κἀν τούτῳ διδούς, πρός ἀθέτησιν τοῦ ἡμετέρου θελήματος, διά τήν τοῦ θείου τελείαν ἐκπλήρωσιν, εἰ καί θάνατον ἐπηρτημένον διά τοῦτο κατίδοιμεν. Εἰ γάρ μή ὡς ἄνθρωπος φύσει γενόμενος, (81) καί φυσικόν ἤγουν ἀνθρώπινον θέλημα κεκτημένος, τοῦτό τε κατ᾽ οἰκονομίαν

ὑποκλίνων, καί πρός ἕνωσιν τοῦ πατρικοῦ συνελαύνων θελήματος, ἔλεγεν αὐτῷ τῷ Πατρί· Μή τό ἐμόν θέλημα γινέσθω, ἀλλά τό σόν· δῆλον ὡς φύσει Θεός τοῦτο ἔλεγε· κἀκ τούτου λοιπόν ἑαυτόν ἐδείκνυ, μή τό αὐτό καί ἴσον θέλημα τῷ Πατρί κεκτημένον, ἀλλ᾽ ἕτερον καί κατά φύσιν διάφονον· ὅ καί ὑποτάσσων, ᾔτει γενέσθαι μόνον τό πατρικόν. Καί εἰ ἄλλο παρά τό τοῦ Πατρός φυσικόν ἐκέκτητο θέλημα, δῆλον ὡς καί τήν οὐσίαν εἶχε παρηλλαγμένην. "Μιᾶς γάρ οὐσίας, ἕν δή καί τό θέλημα," κατά τόν σοφώτατον Κύριλλον. Διαφόρου δέ τοῦ φυσικοῦ θελήματος ὄντος, διάφορος πάντη τε καί πάντως ἡ φύσις.

Δυοῖν οὖν θάτερον· ἤ γάρ ὡς ἄνθρωπος εἶχε θέλημα φυσικόν, καί δι᾽ ἡμᾶς οἰκονομικῶς παρῃτεῖτο θέλων τόν θάνατον· καί πάλιν ὥρμα κατ᾽ αὐτοῦ διά τῆς πρός τό πατρικόν θέλημα τελείας συννεύσεως· ἤ μή ἔχων ὡς ἄνθρωπος θέλημα φυσικόν, ὡς Θεός φύσει τά τοῦ σώματος εἰς ἰδίαν οὐσίαν ἔπασχε πάθη, συστελλομένην φυσικῶς τόν θάνατον, καί ἄλλο κατ᾽ οὐσίαν πρός τόν Πατέρα θέλημα φυσικόν κεκτημένην· ὅ καί μή γενέσθαι δι᾽ εὐχῆς ἐζήτει καί παρεκάλει. Καί τίς Θεός θάνατον κατά φύσιν σαρκός δεδιώς, καί διά τοῦτο παρελθεῖν τό ποτήριον ἐξαιτούμενος, καί ἄλλο παρά τό πατρικόν θέλημα φυσικόν κεκτημένος;

Ταύτην οὖν τῶν ἡμετέρων ψυχῶν ἀποσκευαζόμενοι τήν ἀτοπίαν, τήν εὐσεβῆ τῶν Πατέρων ὁμολογίαν κατέχωμεν· καί ὅταν λέγει "Πάτερ, εἰ δυνατόν, παρελθέτω τό ποτήριον τοῦτο," καθώς φησιν ὁ μέγας Ἀθανάσιος ἐν τῷ περί Σαρκώσεως αὐτοῦ καί Τριάδος λόγῳ· πλήν μή τό ἐμόν θέλημα γενέσθω, ἀλλά τό σόν· τό μέν πνεῦμα πρόθυμον, ἡ δέ σάρξ ἀσθενής· νοοῦμεν ὡς δύο θελήματα ἐνταῦθα δείκνυσι· τό μέν ἀνθρώπινον· ὅπερ ἐστί τῆς σαρκός· τό δέ θεϊκόν. Τό γάρ ἀνθρώπινον διά τήν ἀσθένειαν τῆς σαρκός παραιτεῖται τό πάθος· τό δέ θεϊκόν αὐτοῦ πρόθυμον. Ταύτῃ καί ὁ μέγας θεολόγος Γρηγόριος ἐν τῷ περί Υἱοῦ δευτέρῳ λόγῳ σαφῶς ἐκδιδάσκει, λέγων· "Τό γάρ ἐκείνου θέλειν, οὐδέν ὑπεναντίον, θεωθέν ὅλον." Ὥστε θέλειν εἶχεν ἀνθρώπινον, κατά τόν θεῖον τοῦτον διδάσκαλον· οὐ μήν Θεῷ καθοτιοῦν ὑπεναντίον· ὅτι μή γνωμικόν τοῦτο καθάπαξ, ἀλλά φυσικόν κυρίως ἐτύγχανεν, ὑπό τῆς αὐτοῦ καθ᾽ οὐσίαν θεότητος τυπούμενον ἀεί καί κινούμενον πρός τήν τῆς οἰκονομίας ἐκπλήρωσιν· καί ὅλον δι᾽ ὅλου τῇ πρός τό πατρικόν συννεύσει τε καί συμφυΐᾳ τεθεωμένον, καί θεῖον τῇ ἑνώσει κυρίως, ἀλλ᾽ οὐ τῇ φύσει, καί

γενόμενον ἀληθῶς καί λεγόμενον· μηδαμῶς τῷ θεωθῆναι, τοῦ κατά φύσιν ἐκστᾶν.

Τῷ γοῦν θεωθέν ὅλον εἰπεῖν, τήν τοῦ κατ᾽ αὐτόν ἀνθρωπίνου θελήματος πρός τό θεῖον αὐτοῦ καί (84) πατρικόν ἕνωσεν ὁ διδάσκαλος παραστήσας, πᾶσαν ἐναντίωσιν, καί τούς τἀναντία θέλοντας ἐκ τοῦ κατά Χριστόν μυστηρίου τελείως ἀπήλασε· τῷ δέ φάσκειν, "Τό γάρ ἐκείνου θέλειν," τήν τε τοῦ κατ᾽ αὐτόν ἀνθρωπίνου θελήματος ἔμφυτον κίνησιν, καί τήν πρός τό θεῖον αὐτοῦ καί πατρικόν οὐσιώδη καί φυσικήν διαφοράν ἐπιδεικνύμενος, τήν σύγχυσιν μετά τῆς φαντασίας ὁλικῶς ἀπεσκεύασε. Ταύτην γάρ καί τήν ὁμότιμον αὐτῇ ἐπ᾽ ἀσεβείᾳ διαίρεσιν πολεμούσας εἰδότες τόν τῆς οἰκονομίας λόγον, ὅ τε θεῖος οὗτος Πατήρ, καί οἱ κατ᾽ αὐτόν ἅγιοι τῆς καθολικῆς Ἐκκλησίας διδάσκαλοι, μεγαλοφώνως τήν τε διαφοράν καί τήν ἕνωσιν καθ᾽ ἑκατέρας αὐτῆς ἐδογμάτισαν· τήν μέν, ἐν τῷ φυσικῷ λόγῳ πραγματικῶς καί τελείως συντηρουμένην, τήν δέ πάλιν, ἐν τῷ οἰκονομικῷ τρόπῳ παγίως καί ὑποστατικῶς σωζομένην, εἰς πίστωσιν τῶν ἐν τῷ ἑνί καί μόνῳ Χριστῷ τῷ Θεῷ καθ᾽ ἕνωσιν τήν ἀδιάσπαστον οὐσιωδῶς ὄντων πραγμάτων καί πάντων τῶν προσόντων αὐτοῖς φυσικῶν. Πάντες γάρ ὥσπερ ἄλλην καί ἄλλην, θείαν φημί καί ἀνθρωπίνην, καί διπλῆν φύσιν ἐπί τοῦ αὐτοῦ καί ἑνός ἐδογμάτισαν· οὕτως διαπρυσίως τοῦς πᾶσιν ἐκύρηξαν καί ἄλλο καί ἄλλο θέλημα, θεῖόν φημι καί ἀνθρώπινον, καί δύο θελήματα· καί ἄλλην καί ἄλλην ἐνέργειαν, θείαν τε καί ἀνθρωπίνην· καί διπλῆν αὖθις ἐνέργειαν, τουτέστι δύο. Οὕτω γάρ καί τῶν οὐσιῶν τήν ἐν ἀριθμῷ σημασίαν προδήλως ἐξεφώνησαν. Φαίνεται γάρ ὁ αὐτός ὡς ἄνθρωπος, καί τό κατά φύσιν ὑπάρχων Θεός, θέλων οἰκονομικῶς παρελθεῖν τό ποτήριον· καί μέχρι τούτου τυπῶν τό ἡμέτερον, ὡς Κύριλλος ἡμᾶς ὁ σοφός ἐξεπαίδευσεν· ἵνα τῆς ἡμῶν φύσεως πᾶσαν θανάτου συστολήν ἀπελάσῃ, καί πρός ὁρμήν ἀνδρικῶς τήν κατ' αὐτοῦ φημί τοῦ θανάτου, στομώσῃ τε καί διεγείρῃ. Φαίνεται δέ πάλιν ὡς Θεός, καίπερ ἄνθρωπος ὤν κατ'οὐσίαν, θέλων τήν οἰκονομίαν πατρικῶς ἐκπληρῶσαι, καί τήν πάντων ἡμῶν σωτηρίαν ἐργάσασθαι· δείκνυται δέ καί ὡς ἄνθρωπος, φύσει τυγχάνων Θεός, ἀνθρωπίνως ἐνεργῶν, καί τήν πεῖραν τῶν παθημάτων δι' ἡμᾶς ἑκουσίως δεχόμενος· δείκνυται δέ πάλιν ὡς Θεός, καί τό κατά φύσιν ἄνθρωπος ὤν, θε«κῶς ἐνεργῶν, καί τάς θεοσημείας φυσικῶς προβαλλόμενος· ἐξ ὧν ὅτι καί Θεός ὁμοῦ καί ἄνθρωπος ἦν ὁ αὐτός ἐγνωρίζετο, ταῖς ἐξ ὧν καί ἐν αἷς ὑπῆρχεν

οὐσίαις ἰσάριθμα τά θελήματα, καί τάς ἐνεργείας φυσικῶς κεκτημένος, εἰς βεβαίωσιν τῆς τῶν ἅπερ κυρίως ἦν τελείας ὑπάρξεως.

Εἰ δέ τις πρός τήν τούτων ἀθέτησιν ἀντιφατικῶς, τήν τε τοῦ θεοφάντορος Διονυσίου Θεανδρικήν ἐνέργειαν, καί τήν τοῦ σοφωτάτου Κυρίλλου συγγενῆ καί δι᾽ ἀμφοῖν ἐπιδεδειγμένην εἰς μέσον τῷ λόγῳ προΐσχεται, γινωσκέτω μηδεμίαν ἐντεῦθεν ἐρανισόμενος ἑαυτῷ κατά τῆς εὐσεβοῦς ὁμολογίας ἰσχύν. Ἡ μέν γάρ Θεανδρική προσφόρῳ φωνῇ πρός τοῦ διδασκάλου φρασθεῖσα, διπλῆν τοῦ διπλοῦ τήν φύσιν ἐνέργειαν (85) περιφραστικῶς δηλονότι σημαίνει. Θείαν γάρ καί ἀνδρικήν, ἤγουν ἀνθρωπίνην, διά τῆς κατά τήν ἐκφοράν συναφείας προδήλως ἐκήρυξεν· ἀλλ᾽ οὐχ ἁπλῶς· ὅθεν οὐδέ δι᾽ ἀριθμοῦ ταύτην ὠνόμασεν, εἰ καί μοναδικῶς τήν τῶν φυσικῶν ἐνεργειῶν ἕνωσιν ἐπισημαίνων, ταύτην ἐδίδαξεν· ἥτις οὐ λυμαίνεται τῇ φυσικῇ τούτων διαφορᾷ· καθάπερ οὐδ᾽ αὐτῇ τῇ τῶν οὐσιῶν, ἡ τούτων ἀδιάσπαστος ἕνωσις· ἐπειδή κατά τούς λέγοντας, Εἰ μίαν εἶχεν ἐνέργειαν, καί ταύτην Θεανδρικήν· εἰ μέν φυσικήν μίαν ὁ σαρκωθείς Λόγος ἐκέκτητο ταύτην, πρός δύο ἡ μία κατά φύσιν ἐνέργεια, πῶς μερισθήσεται; καί ποίῳ λόγῳ τάς διαφόρους οὐσίας ἡ μία κατά τό αὐτό συστήσει καί ἀφορίσει ἐνέργεια; πρός τε τά ὁμογενῆ τήν κατ' οὐσίαν ἀπαραλλαξίαν ἔχειν ἑκατέραν ποιοῦσα, καί πρός τά ἑτερογεῆ πάλιν τήν κατ᾽ οὐσίαν διαφοράν. Καί παρῶ λέγειν, ὡς τῆς πρός τόν Πατέρα καί ἡμᾶς φυσικῆς συγγενείας ἐκπέπτωκεν, ὡς μήτε παντελῶς ἐκείνου, μήτε ἡμῶν Θεανδρική τήν ἔμφυτον καί οὐσιώδη κεκτημένων ἐνέργειαν. Εἰ δέ γε πάλιν ὑποστατικήν, πρός τῇ καινῇ δόξῃ· τίς γάρ ὁ λέγων ὑποστατικήν ὑπάρχειν ἐνέργειαν. Καί οὕτως ἀλλότριον τοῦ Πατρός κατ' ἐνέργειαν αὐτόν ὁ τοιοῦτος ἀποφαίνει λόγος, εἴπερ ὑποστατικήν, καί οὐ φυσικήν ἔχει παρά τόν Πατέρα ἐνέργειαν. Τοῖς γάρ ὑποστατικοῖς ἰδιώμασι, τήν πρός αὐτό κέκτηται διαφοράν προδήλως ὁ Λόγος.

Καί ἡ "συγγενής δέ καί δι᾽ ἀμφοῖν ἐπιδεδειγμένη μία" πάλιν "ἐνέργεια," κατά τόν ἀοίδιμον Κύριλλον, οὐκ ἐπ᾽ ἀναιρέσει τῆς τῶν κατά φύσιν ἐνεργειῶν οὐσιώδους διαφορᾶς· τῶν ἐξ ὧν καί ἐν αἷς ὑπάρχει ὁ εἷς καί μόνος Χριστός ὁ Θεός· ἀλλ᾽ ἐπί συστάσει τῆς ἄκρας τούτων ἑνώσεως εἴρηται τῷ διδασκάλῳ. Καί ἔοικέ πως δι᾽ ἄλλων φωνῶν, τόν θεοφάντορα Διονύσιον ἐκμιμεῖσθαι. Ἵνα γάρ δόξῃ μή γυμνόν ὄντα τοῦτον Θεόν, μήτε ψιλόν αὖθις ἄνθρωπον· μήτε ἰδίᾳ Θεόν ἀσωμάτως ἐνεργοῦντα, μήτε ἰδίᾳ ἄνθρωπον τά κατά γνώμην

πράττοντα· ἀλλά Θεόν σεσαρκωμένον καί τελείως δι᾽ ἡμᾶς ἐνανθρωπήσαντα, θεϊκῶς ἅμα καί ἀνθρωπικῶς τόν αὐτόν ἐνεργοῦντα, ἔφυσεν, ὡς οὐ λόγῳ μόνον, καί τοῖς θεοπρεπέσιν ἐπιτάγμασιν, ἐνεργός εὑρίσκεται ὁ Σωτήρ ἐν τῷ τούς νεκρούς διανιστᾷν καί θεραπεύειν πᾶσαν νόσον καί πᾶσαν μαλακίαν· ἀλλά συνεργάτιν ὥσπερ τινά πρός τοῦτο δή μάλιστα τήν ἁγίαν αὐτοῦ παραλαμβάνειν ἠπείγετο σάρκα· τοῦτο ποιῶν μέν ὡς Θεός τῷ παντουρηῷ αὐτοῦ προστάγματι· ζωοποιῶν δέ αὖ πάλιν καί τῇ ἀφῇ τῆς ἡνωμένης αὐτῷ καθ' ὑπόστασιν ἁγίας σαρκός, ἵνα δείξῃ καί ταύτην ζωοποιεῖν δυναμένην διά τῆς οὐσιώδους αὐτοῦ ἐνεργείας, ἧς ἐστι κυρίως ἡ ἀφή, ἡ φωνή, καί ὅσα τοιαῦτα. Εἶτα, ὡς ἔδειξε τάς φυσικάς ἐνεργείας αὐτοῦ, τοῦ ἐξ ἀμφοῖν συγκειμένου Χριστοῦ τοῦ Θεοῦ, σωζομένας τελείως· τήν τῆς θεότητος αὐτοῦ, διά τοῦ παντουργοῦ (88) προστάγματος, τήν δέ τῆς ἀνθρωπότητος αὐτοῦ, διά τῆς ἀφῆς· παρέστησε ταύτας ἡνωμένας διόλου τῇ πρός ἀλλήλας συμφυΐᾳ καί περιχωρήσει· ὡς μίαν διά τήν ἕνωσιν αὐτοῦ τε τοῦ Λόγου καί παναγίας αὐτοῦ σαρκός δείκνυσθαι τήν ἐνέργειαν· οὐ φυσικήν, οὐχ ὑποστατικήν· οὐ γάρ τι τοιοῦτον εἴρηκεν ὁ διδάσκαλος· ἀλλά συγγενῆ τοῖς μέρεσι· δι᾽ ὧν, ὡς εἴρηται, κατά τε πρόσταγμα παντουργόν, κατά τε ἀφήν χειρός ἐπεδείκνυτο.

Δέδεικται τοίνυν τῆς ἱερᾶς τοῦ σοφοῦ διδασκαλίας, ὡς καί τήν διαφοράν τῶν φυσικῶν ἐνεργειῶν, ὥσπερ οὖν καὐτῶν τῶν φύσεων ὧν καί εἰσί, διαγορεύει φυλαττομένην καί μετά τήν ἕνωσιν· καὐτήν τήν ἕνωσιν αὖθις ὁρίζεται· τήν μέν, ἐν τῷ λέγειν, πρόσταγμα παντουργόν καί ἀφήν· τήν δέ, τῷ λέγειν, μίαν τε καί συγγενῆ· δι' ὧν πᾶσαν συναίρεσίν τε καί διαίρεσιν τοῦ κατά Χριστόν μυστηρίου μεγαλοφυῶς ἀποπέμπεται· οἱ δέ μή οὕτω λαμβάνοντες, ἀλλ᾽ ὡς μίαν Λόγου τε καί σαρκός τήν συγγενῆ νοοῦντες ἐνέργειαν, τήν Εὐτυχοῦς καί Ἀπολιναρίου συνουσίωσιν δογματίζουσι. Δεῖ τοιγαροῦν ἐν πᾶσι καί τόν λόγον ἀλώβητον διασώζειν, καί τόν τῆς οἰκονομίας τρόπον διατηρεῖν ἀπαράφθαρτον· ἵνα μηδεμίαν ἡ πονηρά ξυνωρίς, ἡ διαίρεσις, φημί, καί ἡ σύγχυσις, κατά τῆς ἀληθείας σχοίη παρείσδυσιν.

Κατά ταύτην οὖν, καί τά ἄλλας, εἴπερ εὑρεθεῖεν, μοναδικάς τῶν ἁγίων Πατέρων φωνάς, τήν εὐσεβῆ διάνοιαν ἐκληπτέον· καί μηδαμῶς εἰς ἀντίφασιν ταύτας, πρός τάς τῶν ἁγίων δυϊκάς ἐκδεξώμεθα· γινώσκοννтες, ὡς καί αὗται πρός τήν διαφοράν κατά τῆς συγχύσεως ἰσχυραί κἀκεῖναι πρός τήν ἕνωσιν κατά δαιρέσεως ἀσφαλεῖς· ἀλλ᾽

ἄμφω, καί ταύτας κἀκείνας, ψυχῇ τε καί στόματι περιχαρῶς ἀσπασώμεθα, καί ὀρθοδόξως ὁμολογήσωμεν· καί διά τῶν κατά προφοράν δοκούντων πως ἐναντίων φωνῶν, τούς κατά διάνοιαν ἐναντίους ἐπίσης ἑαυτοῖς καί ἀλλήλοις, καί τῇ ἀληθείᾳ, σοφῶς τροπωσώμεθα· καί τῆς ἡμετέρας αὐλῆς, ἤγουν τῆς καθολικῆς τοῦ Θεοῦ καί ἀποστολικῆς Ἐκκλησίας, ἀνδρικῶς ἐξελάσωμεν· καί μηθ᾽ ὅλως τήν οἱανοῦν πάροδον κατά τῆς ὀρθοδόξου πίστεως, τοῖς ληστρικῶς ὅρια πατρικά μηχνωμένοις μεταίρειν, παράσχωμεν, τῷ διαῤῥίπτειν τι τῶν εὐσεβῶν ὅπλων τε καί δογμάτων, δι᾽ ὧν γίνεσθαι πέφυκεν ἡ ἐκείνων καταστροφή καί ἀναίρεσις.

Πλήν κἀκεῖνο γινώσκειν χρεῶν, ὡς ἐπί τε φύσεων καί φυσικῶν ἐνεργειῶν, καί μοναδικάς πρός ταῖς δυϊκαῖς φωναῖς τῶν ἁγίων Πατέρων εὑρίσκομεν· ὡς, "τήν μίαν φύσιν τοῦ Θεοῦ Λόγου σεσαρκωμένην," καί, "τήν Θεανδρικήν ἐνέργειαν," καί τήν "συγγενῆ καί δι' ἀμφοῖν ἐπιδεδειγμένην·" ἐπί δέ φυσικῶν θελημάτων, οὐδεμίαν μοναδικήν, ὡς ἐμέ γινώσκειν, τό παράπαν ἐκφώνησιν εὑρεῖν δυνατόν, (89) ἀλλά τάς ἐν ἀντωνυμίαις καί ἀριθμῷ δυϊκάς σημασίας. Πῶς οὖν καί τίνι λόγῳ, κἄν προσεξετάσαι δεχώμεθα παντελῶς, ἕν ἤ δύο θελήματα χρή λέγειν ἐπί Χριστοῦ τοῦ Θεοῦ, τῆς τῶν Πατέρων νομοθεσίας καί διδασκαλίας δύο φυσικά θελήματα παρακελευομένης ὁμολογεῖν ἐπ' αὐτοῦ καί πρεσβεύειν, καθά καί φύσεις αὐτάς, καί τάς τούτων φυσικάς ἐνεργείας, μέχρι τοῦ γινώσκειν τήν διαφοράν;

Τούτων μοι παρεκβατικῶς νῦν λελεγμένων πρός τήν σήν θεοτίμητον ἁγιστείαν, παρακαλῶ τήν ἐπ᾽ αὐτοῖς, ἤ μή προσηκόντως ῥηθεῖσιν, ἤ μή νοηθεῖσι καλῶς, συγγνώμην ὁμοῦ καί διόρθωσίν μοι χαρίσασθαι, φιλαγάθῳ πατρικῆς εὐσπλαχνίας στοργῇ καί μιμήσει· καί Χριστῷ τῷ Θεῷ με παραθέσθαι, τῷ σύν Πατρί καί Πνεύματι ἁγίῳ δοξαζομένῳ εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

***ΣΧΟΛΙΑ.***

*α´.* Ἄτοπον, φησί, τό ἕν θέλημα μερίζεσθαι. Τοῦτο γάρ ἀναγκάζει ἡ φυσική συγγένεια· καί τό μέν ἥμισυ τῇ μιᾷ, τό δέ λοιπόν τῇ λοιπῇ φύσει δίδοσθαι· καί οὕτως ἀλλοτριοῦν τόν Χριστόν τοῦ Θεοῦ καί ἡμῶν, ὡς οὐκ ἐχόντων σύνθετον θέλημα.

*β´.* Ὅτι τήν διαφοράν, καί τήν ἕνωσιν οἱ Πατέρες κατά τῆς συγχύσεως, καί τῆς ὁμοτίμου αὐτῇ διαιρέσεως ἐδογμάτισαν.

γ΄. Fr. Ὁ Νεῖλος. Ἔστιν ὑποστατική, ἀλλ᾽ ἐφ᾽ ἡμῶν ἡ παράλογος, δι᾽ ἥν ἄνθρωπος ὁ Θεός, ἵν᾽ ἐπανασώσῃ τόν ἄνθρωπον· ἀπαλλάξας ταύτης, ὅσοι φόβῳ θανάτου διά παντός τοῦ ζῆν ἔνοχοι ἦσαν δουλείας· ἤγουν ὅσοι φοβούμενοι τήν ὀδύνην, τήν ἡδονήν περιεποιοῦντο, τήν μητέρα τῆς ὀδύνης· τήν τῆς φθορᾶς ἀρχηγόν· τήν τοῦ θανάτου προαγωγόν καί προμνήστριαν.

***ΙΣΟΝ***

***Ἐπιστολῆς γενομένης πρός τόν ἁγιώτατον ἐπίσκοπον κύριον Νίκανδρον, παρά τοῦ ἐν ἁγίοις Μαξίμου, περί τῶν δύο ἐν Χριστῷ ἐνεργειῶν.***

Αὐτός, θεοτίμητε καί παμμακάριε Πάτερ, φερωνύμως ἔχων μετά τῆς ἀνδρείας, τήν κατά πάντων ἀφανῶς, ἤ φανερῶς τήν ἁγίαν τοῦ Θεοῦ καθολικήν καί ἀποστολικήν Ἐκκλησίαν πολεμούντων ἐχθρῶν ἱερωτάτην νίκην· καί τόν ὑπέρ αὐτοῦ ἀειθαλῆ τοῖς χαρίσμασι, καί ταῖς ἐνεργείαις τοῦ Πνεύματος ἀμαράντινον στέφανον, ἤδη κατ᾽ ἐλπίδας λαβών παρ᾽ αὐτοῦ, καί ὡς ἐν χερσί κτησάμενος τοῦ κατά φύσιν ἐφετοῦ, διά τῆς πρός αὐτό τελείας συννεύσεως τήν μακαρίαν ἀπόλαυσιν· κἀκ τούτου σαφῶς, εἰ καί τις (92) ἄλλος, αὐτοῦ τοῦ Κυρίου κατατρυφῶν, πῶς ποτε, καί τίνι τρόπῳ ταύτην προσάπτειν, κἄν λόγῳ ψιλῷ, μή τί γε διά τιμίων σου καί μακαρίων προσάγειν καταδέχῃ γραμμάτων τῷ ἀδρανεῖ καί δειλῷ, καί μηδόλως εἰς παράταξιν Θεοῦ, καί τόν αὐτοῦ καί ὑπέρ αὐτοῦ, ἅγιον πόλεμον, τάς τοῦ νοῦ πρακτικάς δυνάμεις, ἤ τούς κατά ψυχήν ὡσεί τινας δακτύλους χειρῶν, λογισμούς, μέχρι καί νῦν δεδιδαγμένῳ κινεῖν, καί ταύτῃ τροποῦσθαι γενναίως τούς κατέναντι Κυρίου παντοκράτορος ῥήμασί τε καί δόγμασιν ἐπαιρομένους· καί τῆς ἀγαθῆς γῆς ἐξελαύνειν, ἥτις ἐστίν αὐτός ὁ Κύριος ἡμῶν καί Θεός, καί ἡ ταυτόν ὀρθόδοξος πίστις· ἡ ὄντως παγία τῶν εὐσεβῶν δογμάτων ἕδρα καί σύστασις· καί τῶν ἀρετῶν ἡ ἀένναος καρπογονία καί φύσις. Ἀλλά τοῦτο χριστομιμήτως πεποίηκας· ἵνα τήν τούτου προδήλως εἰς ἐμέ, τόν γνωμικῶς αὐτοῦ διεστηκότα, καί τήν μακράν ἀπ᾽ αὐτοῦ τῆς κακίας ὥσπερ τινά χώραν ἕξιν, ἐμπροθέτως οἰκοῦντα, καί τά πάθη τῆς ἀτιμίας καθάπερ χοίρους δι᾽ ἐνεργείας ἐκτρέφοντα, φιλάγαθον ἐπιδειξάμενος κένωσιν, καί τῶν ἐνόντων σοι θείων κατορθωμάτων τῷ μεγέθει τῆς συγκαταβάσεως ὑποδείξας τήν δύναμιν, εἰς ἔφεσιν ταύτης ἐγείρῃς, καί πρός ἱερόν τινα καί μακάριον

ζῆλον, ἀτρέπτως στομώσῃς, τῆς πάμπολύ με παρά πάντας βαρούσης νωθείας τε καί ἀμελείας τόν φόρτον εἰς δύναμιν ἀποῤῥιψάμενον· καί σε τῆς περί ἐμέ τόν πτωχόν σοφῆς οἰκονομίας καί προμηθείας χάριν ἀποθαυμάσας, μακάριε, τήν ἐν πλείοσιν ἔτεσι καί ἀρεταῖς θειοτέραις διατήρησιν, σοῦ τοῦ καλοῦ καί ἀγαθοῦ ποιμένος τε καί πατρός, μετά δακρύων, καίτοι λίαν ὑπάρχων ἁμαρτωλός, χαρισθῆναι μοι καί πᾶσιν ἐντενῶς καθικέτευσα τόν Κύριον ἡμῶν καί Θεόν· ἵνα ἔχοντές σε μάλιστα νῦν, ὅ τε τῆς φύσει καί ὄντως ἀληθείας τήν πρόῤῥησιν, ἡ κατά τήν ἔκβασιν τῶν πραγμάτων ἀλήθεια σαφῶς ἐπιστώσατο· καί θλίψις, οἵα καθάπαξ οὐ γέγονεν ἀπό καταβολῆς κόσμου, οὐδ᾿ οὐ μή γένηται, πάντας πανταχῇ διά τάς ἁμαρτίας κατέλαβε· τῇ τε πανσθενεῖ βακτηρίᾳ τῶν θεοπειθῶν προσευχῶν δυναμοῦντά τε καί ῥωννύοντα, καί τῇ πανιέρῳ σύριγγι τῆς θεοσόφου διδασκαλίας ὁδηγοῦντα καλῶς καί φωτίζοντα, καί εἰς τόπον χλόης τῆς ἀειζώου τῶν ἀρετῶν ἕξεως κατασκηνοῦντα διά τῆς πράξεως· καί ἐπί ὕδατος ἀναπαύσεως τῆς ἀειβλύστου τῶν ἱερῶν ἐν τοῖς δόγμασι χορηγίας ναμάτων ἐκτρέφοντα διά τῆς γνώσεως· καί εἰς τόπον ὀχυρόν καί μάνδραν ὑψηλήν τήν καθολικήν Ἐκκλησίαν, καί τόν ταύτην δι᾿ αἵματος οἰκείου καί ζωοποιοῦ κατά θέλησιν ἁρμοσάμενον Κύριον ἀσφαλῶς διασώζοντα, τῆς τῶν ἐναντίων ἐλευθερωθῶμεν καταδρομῆς· οἱ προσφόρου καιροῦ τῆς τοῦ παντός δραξάμενοι ταραχῆς καί συγχύσεως, τό μέγα τῆς τῶν ἁπάντων σωστικῆς οἰκονομίας Χριστοῦ τοῦ Θεοῦ καί ἀπόῤῥητον, ὡς πάντας αἰῶνας καί χρόνους, καί τούς ἐν αἰῶσι καί χρόνῳ φυσικῶς περιγράφον, (93) συγχεῖν μηχανῶνται μυστήριον· οἷα τῆς ἐξ ἡμῶν νοερῶς τε καί λογικῶς ἐψυχωμένης, ὑπ᾿ αὐτοῦ κατ' εὐδοκίαν Πατρός καί συνέργειαν ἁγίου Πνεύματος προσληφθείσης, καί αὐτῷ κατά μίαν καί τήν αὐτήν ὑπόστασιν ἑνωθείσης ἁγίας σαρκός, οὐκ ἐχούσης μετά τήν ἕνωσιν τά προσόντα κατά φύσιν αὐτῇ, δίχα μόνης τῆς ἁμαρτίας· ὅτι μηδέ τῆς φύσεως ἦν· μᾶλλον δέ, αὐτοῦ τοῦ σαρκωθέντος Λόγου, καί δι᾿ ἡμᾶς ἐνανθρωπήσαντος, τά τήν ἡμετέραν φύσιν οὐσιωδῶς χαρακτηρίζοντα καθ᾿ ἡμᾶς τελείως οὐ σώζοντα· ἀλλ᾿ ἤ ταῦτα πρός τήν ἑαυτοῦ θείαν μετασκευάσαντος φύσιν· καί ταύτῃ, τό ἐλλιπές τῆς οἰκείας θεότητος δείξαντος, δεομένης παρενθήκης τινός πρός τήν κατ᾿ οὐσίαν ἐντέλειαν· ἤ πάμπαν εἰς ἀνυπαρξίαν μεταχωρῆσαι ποιήσαντος, ὡς οὐ λίαν καλά, καί τῆς αὐτοῦ δημιουργίας τό ἔργον ἐξαφανίσαντος τῷ μή κατά λόγον τινα καί σοφίαν αὐτά ποιῆσαι, καί ἑνῶσαι πρός ἑαυτόν

καθ᾽ ὑπόστασιν· ἐπεί πῶς, τό λόγῳ καί σοφίᾳ γενόμενον, ἐν αὐτῷ τῷ λόγῳ καί τῇ σοφίᾳ καθ᾽ ἕνωσιν ἀδιασπάστως οὐ σώζεται; ἤ πῶς σωζόμενον καί μετά τήν ἕνωσιν, οὐχ ὁμολογεῖται; καί δι᾽ ἥντινα αἰτίαν, ἵνα διά τῆς ὁμολογίας ὅτι γέγονεν ἄνθρωπος ὁ φύσει Θεός πιστευθῇ κατ᾽ ἀλήθειαν; Ἦ τυχόν οὐδέ τήν ἀρχήν αὐτά τά φύσει προσόντα τῇ φύσει προσλαβών μετά τῆς φύσεως; Ἀλλά ἄψυχόν τινα καί ἄλογον, καί οὐδαμῶς ἐξ ἡμῶν, ἤ ἡμῖν ὑπάρχουσαν ὁμοούσιον σάρκα λαβών, ἤ οὐδέ λαβών, ἀλλ᾽ ἄνωθεν καί ἀπ᾽ ἀρχῆς συνουσιωμένην αὐτῷ κατενέγκας, ἥνωσεν ἑαυτῷ· καί τήν δ᾽ ἡμᾶς καί πρός ἡμᾶς οἰκονομίαν ἐφάντασεν, ἀνθρωπίνῳ σχήματι προσπελάσας ἡμῖν, ἀλλ᾽ οὐκ ἀνθρωπίνῃ φύσει προσομιλήσας, ἵνα τό γένος ἅπαν τοῦ παλαιοῦ παραπτώματος ἀνασώσηται, καί τοῦ δι᾽ αὐτό κατακρίματος ἐλευθερώσῃ.

Ταῦτα γάρ, καί τούτων πλείω δοξάζουσιν, ὅσοι μή παντελείως ἐν Χριστῷ τῷ θεῷ τά φυσικά, καί δίχα τῆς ἁμαρτίας, ὥσπερ καί τάς φύσεις αὐτάς σώζεσθαι (96) κατά τούς ἁγίους Πατέρας ὀρθοδόξως ὁμολογοῦσι· καί μετά τήν ἕνωσιν. Οὐδέ γάρ τήν θείαν φύσιν καί ἄκτιστον ἀνύπαρκτόν τε καί ἀθέλητον ἤ ἀνενέργητον καθορῶμεν· οὔτε μήν τήν κτιστήν καθ᾽ ἡμᾶς καί ἀνθρωπίνην οὐσίαν ἀνύπαρκτόν τε καί ἀθέλητον ἤ ἀνενέργητον ἐπιγινώσκομεν. Καί εἰ μηδεμίαν τούτων ἔρημον ἐπιστάμεθα φυσικῆς ὑπάρξεως, θελήσεώς τε καί ἐνεργείας, ἐκ τούτων, δέ θείας φύσεως καί ἀνθρωπίνης φύσεως λέγω, καί ἐν ταύταις, καί τούτων ὑπόστασις ἐστι κατ᾽ ἀλήθειαν ὁ εἷς καί μόνος Χριστός καί Υἱός, πῶς, εἴπερ φύσει κυρίως Θεός, καί φύσει κυρίως ἄνθρωπος ὁ αὐτός, οὐχί καί θεῖον θέλημα καί ἐνέργειαν φύσει κυρίως, καί ἀνθρώπινον θέλημα, καί ἐνέργειαν φύσει κυρίως εἶχε, μηδετέρου τούτων κατά φύσιν ὤν ἐλλιπής, δι᾽ ὧν ἐπαληθεύων τοῖς πράγμασι τά ὀνόματα, καί τούτοις αὖθις ἐπικυρῶν τά πράγματα, προδήλως ὁ αὐτός ἐγνωρίζετο, τά τε θεῖα καί ἀνθρώπινα φυσικῶς ἔχων καί θέλων καί ἐνεργῶν, κἀκ τούτου τά ἐξ ὧν, καί ἐν οἷς, καί ἅπερ ὑπῆρχε, πιστευόμενος; Ἐπεί, τοῦ φυσικοῦ θελήματος καί τῆς οὐσιώδους ἐνεργείας ἀναιρουμένων, τῆς τε θείας καί ἀνθρωπίνης οὐσίας, τοῦ ἐκ τούτων καί ταύτας ὄντος καί σώζοντος κατά μίαν ὑπόστασιν, πῶς Θεός ἤ ἄνθρωπος ἔσται; καί πῶς τοῦτο, ἤ ἐκεῖνο κατ᾽ οὐσίαν ὑπάρχων δειχθήσεται, μή σώζων ἑκατέρας φύσεως ἀνελλιπῶς τήν ἰδιότητα, πάσης ἁμαρτίας χωρίς; Τό γάρ τῶν κατά φύσιν ἐκστᾶν, κἄν τῆς ἔξω τῆς οὐσίας γεγένηται, μηδεμίαν ὕπαρξιν ἔχον· ὅτι μηδέ

κίνησιν φυσικήν. "Τό γάρ μηδεμίαν κίνησιν ἔχον," ᾗ φησιν ὁ θεοφάντωρ καί μέγας ἅγιος Διονύσιος, "οὔτε ἔστιν, οὔτε τί ἐστιν· οὔτε ἔστι τις αὐτοῦ παντελῶς θέσις." Διά τοι τοῦτο τάς Χριστοῦ τοῦ Θεοῦ φύσεις ὁμολογοῦντας ἡμᾶς, τήν θείαν φημί καί τήν καθ᾽ ἡμᾶς ἀνθρωπίνην, πρός βεβαίαν τῆς τε τούτων ὑπάρξεως πίστωσιν, καί τῆς ἡμῶν περί αὐτῶν ὁμολογίας ἀλήθειαν, καί τά φυσικά τούτων ἰσαρίθμως δεῖ πάντως πρεσβεύειν θελήματα, καί τάς οὐσιώδεις τοσαύτας ἐνεργείας ὁμολογεῖν· καί μηδέν αὐτῶν προφάσει δῆθεν τῆς καθ᾽ ὑπόστασιν θείας ἑνώσεως ἀπομειοῦν ἤ ἐξαρνεῖσθαι τό σύνολον· γινώσκοντας, ὡς ἡ καθ᾽ ὑπόστασιν ἕνωσις οὐδέν παραβλάπτει τῶν φυσικῶν, καθάπερ οὐδέ τάς φύσεις αὐτάς· εἰ καί ταύτας εἰς ἕν ἄγει δι᾽ ἑαυτῆς κατά τήν μίαν ὑπόστασιν· τοῦ δύο, τῷ φυσικῷ λόγῳ ὑπάρχειν οὐδαμῶς ἐξιστῶσα· ὥσπερ οὖν καὐτά δή λέγω τά φυσικά ἰδιώματα, τῇ πρός ἄλληλα συμφυΐᾳ διόλου πάλιν ἑνίζουσα, καί μηδέτερον τοῦ ἑτέρου χωρίς, ἤ τῆς θατέρου πρός θάτερον κοινωνίας ἐκτός, κατά τόν τῶν Ῥωμαίων πάπαν ἀοίδιμον Λέοντα θεωρεῖσθαι καθοτιοῦν συγχωροῦσα, τήν τούτων οὐσιώδη καί φυσικήν οὐκ ἀμαυροῖ παντελῶς, ἀλλά τελείως φυλάττει διαφοράν· (97) τῷ γάρ φυλάττειν φυλάττεται, καί τῷ συντηρεῖν συντηρεῖται. Μέχρι γάρ τότε σαφῶς ἕνωσις πραγμάτων ἐστίν, ἕως ἄν ἡ τούτων σώζηται φυσική διαφορά· ἐπεί ταύτης παυσαμένης, παύεται πάντως κἀκείνη, τῇ συγχύσει τελείως ἀφανισθεῖσα.

Ταύτης τοιγαροῦν, λέγω δέ τῆς ἑνώσεως, οὐ λυμαινομένης τοῖς πράγμασιν, οὐδέ τῇ τούτων διαφορᾷ, ἀλλά μόνον τῇ κλήσει προσφυῶς ἑνοποιούσης τά κατ᾽ αὐτήν, εἰσί πάντοτε καί πάντως ἀμειώτως ἐν αὐτῇ καί τελείως σωζόμενα, τά κατά φύσιν διάφορα, τήν οἱανοῦν παρατροπήν οὐ παθόντα καί σύγχυσιν· οὐκ ἐν οὐσίαις αὐταῖς, οὐ θελήμασιν, οὐκ ἐνεργείαις, οὐκ ἄλλῳ τινί φυσικῷ. Πῶς οὖν ἐπικάλυμμα τῆς ἰδίας, οὐκ οἶδ᾽ ὅπως εὐφήμως εἰπεῖν, καλοφροσύνης, ταύτην τινές προφασίζονται· καί τόν σαρκωθέντα Λόγον ἀθέλητον φύσει, καί ἀνενέργητον τῷ καθ᾽ ἡμᾶς, ἤγουν τῷ ἀνθρωπίνῳ, φασί· ἅτε κυρίως ἀψύχου καί ἀλόγου τῆς ἐξ ἡμῶν προσληφθείσης οὐσίας ἐν αὐτῷ τυγχανούσης. Τό γάρ ἀνενέργητον, ἀκίνητόν τε καί ἄψυχον προδήλως ἐστί· καί τό μηδεμίαν λογικήν θέλησιν ἔχον, ἄλογον σαφῶς καί ἀνόητον. Καί εἰ τούτων χωρίς κατά φύσιν ὑπῆρχεν ὁ σαρκωθείς Λόγος τό καθ᾽ ἡμᾶς, πῶς ὅτι καί ἄνθρωπος γέγονε πιστευθήσεται; πῶς δέ μᾶλλον οὐχί τραπείς τήν θείαν φύσιν, καί σαρκός πάθεσιν

ἀκουσίως ὑποπεσών δειχθήσεται κατ᾽ αὐτήν; Τῇ γάρ τῶν φυσικῶν ἀναιρέσει, τήν τῶν τοιούτων καταδρομήν, Ἄρειός τε καί Ἀπολινάριος κατ᾽ αὐτοῦ πεποιήκασιν. Ὁ μέν γάρ, ἄψυχον, ὁ δέ ἄλογον, ὅπερ ἀνενέργητόν ἐστι καί ἀθέλητον, αὐτόν δογματίσαντες, κτίσμα τοῦτον καί ποίημα καθ᾽ ἑαυτόν ἐβλασφήμησαν. Ἑκάτερος γάρ παθητόν φύσει θεότητος, ἀλλ᾽ οὐ φύσει σαρκός εἶπον τόν Μονογενῆ· κἄν Ἀπολινάριος ἔτι κατ᾽ ἀσέβειαν δαψιλευόμενος, καί τελείαν τήν εἰς σάρκα μεταβολήν κατ᾽ ἔκπτωσιν καί τροπήν τῆς αὐτοῦ θεότητος ἀπεφήνατο.

Χρή τοιγαροῦν εὐσεβοῦντας ἡμᾶς, τήν τοιαύτην ὁμολογίαν διώσασθαι, καί τήν τῶν ἁγίων Πατέρων κρατύνειν διδασκαλίαν· καί δύο φυσικά θελήματα (100) κατ᾽ αὐτούς, καί οὐσιώδεις ἐνεργείας, ἐπί τοῦ αὐτοῦ καί ἑνός ὁμολογεῖν. Εἰ γάρ ἕν ἐπ᾽ αὐτοῦ θέλημα καί μίαν ἐνέργειαν εἴποιμεν, ἤ τοῦτον οὐκ ὄντα φύσει καί ἄνθρωπον, ἀλλά μόνον Θεόν· ἤ φύσει μόνον ἄνθρωπον, καί οὐ Θεόν· ἤ οὔτε ἄνθρωπον οὔτε Θεόν σαφῶς δογματίσομεν. Οἷον, εἰ μέν φυσικόν τό θέλημα τυχόν εἴποιμεν, ἤ θεῖον πάντως, ἤ ἀνθρώπινον τουτό ἐστι· καί εἰ θεῖον, τά θεῖα κατ᾽ αὐτό θελήσει φυσικῶς ὁ Λόγος· Θεόν φύσει μόνον καί συνθελητήν τῷ ἰδίῳ γεννήτορι δεικνύς ἑαυτόν, καί οὐκ ἄνθρωπον· οὐ γάρ πέφυκε διά τοῦ φύσει θείου, τό ἀνθρώπινον φύσει χαρακτηρίζεσθαι· ὥσπερ οὐδέ διά τοῦ κατ᾽ οὐσίαν ἀνθρωπίνου, τό κατ᾽ οὐσίαν θεῖον γνωρίζεσθαι. Τοῦτο δε, καί εἰ ἀνθρώπινον φῶμεν τό θέλημα φύσει, κατά τό ἀκόλουθον συναχθήσεται. Εἰ δέ ὑποστατικόν, τῆς αὐτοῦ μόνης ὑποστάσεως ἔσται χαρακτηριστικόν· καί οὔποτ᾽ ἄν κατ᾽ αὐτό κοινωνήσῃ Πατρί καί ἡμῖν· τῶν γάρ ἄκρων ὑποστάσει διαστέλλεται καί χωρίζεται. Τά αὐτά δέ πάλιν καί περί ἐνεργειῶν ἔστιν εἰπεῖν.

Ἀλλ᾽ οὐ διά τοῦτο, μή γένοιτο, τάς τῶν θεοφόρων Πατέρων περί αὐτῶν, φημί τῶν ἐνεργειῶν, μοναδικάς ἐξαρνούμεθα, τήν τε τοῦ λεχθέντος θεοφάντορος ἁγίου Διονυσίου "Θεανδρικήν ἐνέργειαν," καί τήν Κυρίλλου τοῦ σοφοῦ "μίαν τε καί συγγενῆ δι᾽ ἀμφοῖν ἐπιδεδειγμένην ἐνέργειαν." Αὗται μέν γάρ διά τήν ἕνωσιν, καί τήν πρός ἀλλήλας διόλου τῶν φυσικῶν ἐνεργειῶν συμφυΐαν, εὐσεβῶς αὐτοῖς ἐκηρύχθησαν· ὥσπερ καί αἱ δυϊκαί, διά τήν οὐσιώδη καί φυσικήν τούτων διαφοράν. Ἡ γάρ Θεανδρική τῆς θείας ὁμοῦ καί ἀνδρικῆς ἐνεργείας ὑπάρχει περίληψις. Κατάλληλον γάρ ὁ διδάσκαλος ἐπινοήσας φωνήν, ἑκατέραν, ὡς ἔφην, τῇ προφορᾷ συλλαμβάνουσαν,

καί ταύτην μοναδικῶς ἐκφωνήσας, τήν διπλῆν, τοῦ διπλοῦ τήν φύσιν, ἐνέργειαν περιφραστικῶς παρεδήλωσεν. Ἐπειδή γάρ πρότερον ἔφησεν, "Οὐ κατά Θεόν τά θεῖα δράσας, ὅτι μή γυμνός ὑπῆρχε Θεός· ἀλλά δράσας μέν φύσει τά θεῖα· Θεός γάρ ἦν κατά φύσιν· διά σαρκός δέ, τῆς αὐτῷ καθ᾽ ὑπόστασιν ἡνωμένης· οὐ τά ἀνθρώπινα κατά ἄνθρωπον, ὅτι μή ἄνθρωπος ὑπῆρχε ψιλός· ἀλλά δράσας μέν φυσικῶς τά ἀνθρώπινα· φύσει γάρ ἄνθρωπος ἦν· κατ᾽ ἐξουσίαν δέ θεϊκήν," ἀλλ᾽ οὐκ ἀνάγκῃ τινί καί βίᾳ καθ᾽ ἡμᾶς φυσικῇ πρός τό πράττειν ἀγόμενος, συνέπλεξε τήν τε θείαν ἅμα καί ἀνδρικήν τοῦ αὐτοῦ κατά φύσιν ἐνέργειαν· ὡς μηδετέραν τῆς ἑτέρας οὖσαν χωρίς, ἀλλ᾽ ἐν ἀλλήλαις τε καί δι᾽ ἀλλήλων συμφυῶς γνωριζομένας, διά τήν ἄλυτον ἕνωσιν· καί μοναδικῇ φωνῇ συλλαβών ἄμφω, περιφραστικῶς ἀνεκήρυξεν. Ἵνα τῷ μέν δρᾶσαι τά τε θεῖα καί ἀνθρώπινα εἰπεῖν· εἰ καί μή κατά Θεόν, μήτε μήν κατά ἄνθρωπον· ὅτι μή γυμνός, ὡς ἔφην, Θεός, μήτε ψιλός ἄνθρωπος ἦν· ὅμως δέ κατ᾽ ἀλήθειαν δρᾶσαι, τήν τῶν φυσικῶν ἐνεργειῶν οὐσιώδη (101) πιστώσηται διαφοράν· τῷ δέ συλλαβεῖν ταύτας, καί τῇ προσφόρῳ φωνῇ συνοπτικῶς ἐξειπεῖν διά τῆς Θεανδρικῆς ἐνεργείας, τήν τούτων ἀδιάσπαστον ἕνωσιν ἐκδιδάξῃ.

Καί ἡ Κυρίλλου δέ τοῦ σοφοῦ "μία τε καί συγγενής δι᾽ ἀμφοῖν ἐπιδεδειγμένη ἐνέργεια," τῆς τοῦ μεγάλου τούτου Πατρός μεγίστης ἔχεται διανοίας. Τήν γάρ τῶν φυσικῶν ἐνεργειῶν καὐτός συμφυΐαν καί ἕνωσιν δι᾽ αὐτῆς ἐκπαιδεύει. Θέλων γάρ δεῖξαι καί ὁ πανεύφημος οὗτος ἀνήρ, ὥς ἥ τε σάρξ Θεός, καί ἡ κατ᾽ αὐτήν οὐσιώδης ἐνέργεια, θεία τῇ πρός τῇ φύσει Θεόν Λόγον ἑνώσει γεγένηται, καί τά ὑπέρ ἄνθρωπον ἐνήργει, μή ἐκστᾶσα τούτου, οὗπερ ἦν κατά φύσιν· ὥσπερ οὖν καί αὐτός ὁ Λόγος τῇ ταύτης προσλήψει δι᾽ ἡμᾶς ἑκουσίως γέγονεν ἄνθρωπος, τά κατά ἄνθρωπον ἐνεργῶν· καίπερ ὑπάρχων φύσει Θεός, διαγορεύει τοῦτον, μή παντουργῷ προστάγματι μόνον ἰᾶσθαι καί ζωοποιεῖν, ὡς μή Θεόν ὄντα γυμνόν· ἀλλά συνεργάτιν ὥσπερ τινά, πρός τοῦτο δή μάλιστα, τήν ἁγίαν αὐτοῦ σάρκα λαμβάνειν ἐπείγεσθαι· καί ζωοποιεῖν καί θεραπεύειν δι᾽ αὐτῆς καί τῆς κατ᾽ αὐτήν ἀφῆς καί φωνῆς· ἵνα ταύτην δεικνύῃ ζωοποιεῖν δυναμένην, διά τό πρός αὐτήν ἐν τῇ ἑνώσει γενέσθαι· καί αὐτοῦ τοῦ φύσει ζωογονοῦντος τά σύμπαντα, καί οὐχ ἕτερον σάρκα κυρίως ὑπάρχειν. Διό καί μίαν αὐτοῦ καί αὐτῆς, φημί τῆς ἁγίας σαρκός καί συγγενῆ δι' ἀμφοῖν ἐπιδεικνύει ἐνέργειαν· μίαν μέν, τῇ ἑνώσει· συγγενῆ δέ πάλιν, τοῖς μέρεσιν· ὡς τήν αὐτήν οὖσαν, ἔν τε παντουργῷ προστάγματι, καί

ἁφῇ τῆς ἁγίας σαρκός· δι᾽ ἀμφοῖν γάρ, ὡς Θεός, ὁ Λόγος, ταύτην σαφῶς ἐπεδείκνυτο· δεικνύς τῷ καί δι᾽ αὐτῆς ζωοποιεῖν, ὡς καί αὐτή γέγονεν δι᾽ ὅλου ζωοποιός· καθάπερ καί πῦρ διά σιδήρου καῖον, ἑνώσει τῇ πρός αὐτόν καυστικόν ἀποφαίνει τόν σίδηρον· ὡς εἶναι λοιπόν διά τοῦτο μή τοῦ πυρός κατά φύσιν μόνον τήν καῦσιν, ἀλλά καὐτοῦ τοῦ σιδήρου διά τήν ἕνωσιν· καί τήν ἐν τοῖς θαύμασι θείαν τοῦ Λόγου πάλιν ἐνέργειαν, μή τοῦ αὐτοῦ μόνον διά τήν φύσιν ὑπάρχειν, ἀλλά καὐτῆς τῆς ἁγίας σαρκός, διά τήν πρός αὐτήν καθ᾽ ὑπόστασιν ἕνωσιν· συνεργάτιν γάρ ἑαυτοῦ ταύτην ἐν τοῖς θείοις παρελάμβανεν, ᾗ φησιν ὁ διδάσκαλος, ὥσπερ καί ψυχή τό ἴδιον σῶμα, πρός τήν τῶν οἰκείων ἔργων ἐκπλήρωσιν. Αὕτη γοῦν ἡ μία καί συγγενής δι᾽ ἀμφοῖν ἐπιδεδειγμένη ἐνέργεια, τῶν κατά φύσιν ἐνεργειῶν δηλοῦσα τήν ἕνωσιν· τό ἑτερογενές τούτων καί δυϊκόν, καθάπερ καί (104) ἡ Θεανδρική ἐνέργεια, δι᾽ ἑαυτῆς κυρίως σημαίνει τῷ πρός ἄμφω τά μέρη, τῶν ἐξ ὧν καί ἐν οἷς ὁ εἷς καί μόνος ἐγνωρίζετο σεσαρκωμένος Λόγος, ἀναφέρεσθαι· καί ἀμφοτέρων ὑπάρχειν, ὡς δι᾽ ἀμφοῖν, τοῦ τε παντουργοῦ προστάγματος, καί τῆς ἁφῆς τῆς ἁγίας σαρκός ἐπιδεδειγμένη.

Οὐ δεῖ δέ τῷ συγγενεῖ ξενίζεσθαι παντελῶς· ἐπί τε γάρ ὁμοουσίων καί ἑτερουσίων λέλεκται τοῖς ἁγίοις Πατράσι τό συγγενές· καί μάρτυς ὁ Θεολόγος καί μέγας Γρηγόριος, περί ψυχῆς λέγων οὕτως ἐν τῷ εἰς Καισάριον τόν αὐτοῦ ἀδελφόν Ἐπιταφίῳ λόγῳ, Μικρόν δε ὕστερον καί τό συγγενές σαρκίον ἀπολαβοῦσα, ᾧ τά ἐκεῖθεν συνεφιλοσόφησεν. Ἐνταῦθα διά τήν ἕνωσιν, ἀλλ᾽ οὐ τήν φύσιν συγγενῆ τῇ ψυχῇ τήν σάρκα κέκληκεν ὁ διδάσκαλος. Καί πάλιν, Ἐν τῷ Εἰς τά φῶτα, περί τοῦ μονογενοῦς Υἱοῦ διδάσκων, φησί· Καί ὁ ὑπό τοῦ συγγενοῦς μαρτυρούμενος Πνεύματος. Νῦν τό συγγενές διά τήν φύσιν, ἀλλ᾽ οὐ τήν ἕνωσιν εἴρηκεν. Αὐτός δέ Κύριλλος ὁ σοφός κἀπί τῇ οὐσίᾳ καί ὑποστάσει διῃρημένων τό συγγενές ἀπαρατηρήτως λαμβάνει· καί τάδε λέγει τόν εὐαγγελιστήν Ἰωάννην ὑπομνηματίζων, περί τῆς κατά τό θεῖον βάπτισμα θεραπείας, "Συγγενῶς πως ἐχούσης πρός ἄμφω τῶν δεδηλωμένων. Πνεύματι μέν γάρ ἁγιάζει τοῦ ἀνθρώπου τό πνεῦμα· ὕδατι δέ αὖ, τό σῶμα," Τίς δέ, καί ποία συγγένεια Πνεύματος ἁγίου καί ὕδατος κατά τε οὐσίαν ἤ ὑπόστασιν, πρός τό ἡμέτερον πνεῦμα καί σῶμα; εἰ καί τά μάλιστα κατά χάριν ἡμῖν καί τοῖς ἐξ ὧν συγκείμεθα μέρεσιν αὕτη προσγίνεται, διά τήν ἱεράν ἀναγέννησιν.

Ἀλλά καὐτός αὖθις ὁ μοναδικός ἀριθμός, ὡς πᾶσιν εὔδηλον, καθ᾽ ἕκαστον τῶν ἐν πτώσει γενῶν ἔν τε ὁμοουσίοις, πρός τῶν ἁγίων παραλαμβάνεται, τό καθ' ἕνωσιν, ἤ δηλονότι σκοπούντων, ὡς τό, " Εἷς ἐξ ἀμφοῖν, καί δι᾽ ἑνός ἀμφότερα," Καί τό, " Μία ὑπόστασις καί μία φύσις τοῦ Θεοῦ Λόγου σεσαρκωμένη." Καί τό, " Εἰ γάρ καί τό συναμφότερον ἕν, ἀλλ᾽ οὐ τῇ φύσει, τῇ δέ συνόδῳ." Καί πάλιν ἐπί τῶν ὁμοουσίων, ὡς τό, " Καί ἦν, καί ἦν, ἀλλ᾽ ἕν ἦν. Φῶς καί φῶς, καί φῶς, ἀλλ᾽ ἕν φῶς. Καί τό " Εἷς Θεός, καί μία φύσις ἡ ἀνωτάτη," φησίν ὁ Θεολόγος Γρηγόριος. Οὐ δεῖ τοιγαροῦν τάς μοναδικάς τῶν ἁγίων φωνῶν ἤ συγγενεῖς διά τήν ἕνωσιν εἰρημένας, ἐπ᾽ ἀνατροπῇ τῶν δυϊκῶν ἤ ἑτερογενῶν λελεγμένων αὐτοῖς, διά τήν διαφοράν ἐκδέχεσθαι παντελῶς· ἤ πάλιν (105) κατ᾽ ἐκείνων ταύτας. Ὁ γάρ οὕτως ἐκλαμβάνων, καί μή ἀμφοτέρας ἐπίσης ἀσπαζόμενος, καί προσηκόντως, τάς μέν, τῇ ἑνώσει, τάς δέ, τῇ φυσικῇ διαφορᾷ προσαρμόζων· ἤ διαιρέσει πάντως, ἤ συγχύσει κατά τό εἰκός περιπίπτει· μᾶλλον δέ φάναι κυρίως, ἑαυτόν περιβάλλει, καί τῆς τῶν ἁγίων Πατέρων διωθεῖται κοινωνίας ἀληθοῦς καί ὁμολογίας. Εἰ γάρ καί πρός τόν Λόγον ἕν ἡ σάρξ καθ' ὑπόστασιν γέγονε, καί τῇ ἑνώσει τήν ἐνέργειαν αὐτοῦ κατεπλούτησεν· ἀλλ᾽ οὐδαμῶς τοῦ κτίστην κατ᾽ οὐσίαν ὑπάρχειν διέπεσεν, οὔτε τῶν φυσικῶν καί ἀδιαβλήτων παθῶν τήν οἱανοῦν πέπονθεν ἐκδρομήν. Καί εἰ τοῦτο κυρίως ἐστίν, ὥσπερ οὖν καί ἐστι, διάφορον τήν τε φύσιν αὐτήν, καί τήν φυσικήν πρός τόν Λόγον ἐκέκτητο προδήλως ἐνέργειαν. Ἥν αὐτός ἔχων ὁ σαρκωθείς Λόγος ὡς ἄνθρωπος· αὐτοῦ γάρ ἦν κατά φύσιν. Αἵματος γάρ καί σαρκός παραπλησίως ἡμῖν κεκοινώνηκε, δύο φυσικάς εἶχεν ὁ αὐτός ἐνεργείας ὥσπερ οὖν καί φύσεις· τήν θείαν καί Πατρικήν, καί τήν καθ᾽ ἡμᾶς ἀνθρωπίνην· δι᾽ ὧν ὅτι Θεός ἦν ὁ αὐτός καί ἄνθρωπος ἐπιστεύετο. Ὧν γάρ εἶχε τάς φυσικάς ἐνεργείας, τούτων δηλαδή καί τάς φύσεις. Ὡς γάρ Θεός, διά τε φωνῆς καί ἀφῆς τῆς ἁγίας σαρκός, ἰώμενός τε καί ζωοποιῶν ἐδείκνυτο κατά φύσιν· οὕτω πάλιν καί ἄνθρωπος ὤν ὁ αὐτός οὐσιωδῶς ἐγνωρίζετο, διά τῆς αὐτῆς ἀφῆς καί χειρός, λεντίῳ διαζωννύμενος, καί νίπτων τούς πόδας τῶν μαθητῶν· καί κλῶν τούς ἄρτους, καί τούτοις διαδιδούς· καί τό ψωμίον εἰς τό τρυβλίον ἐμβάπτων· καί πάλιν διά τῆς φωνῆς τήν προσοῦσαν λύπην καταμηνύων, Περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου. Καί, Νῦν ἡ ψυχή μου τετάρακται. Καί, Οὕτως οὐκ ἰσχύσατε μίαν ὥραν γρηγορῆσαι μετ᾽ ἐμοῦ. Καί ὅσα τοιαῦτα, μηδαμῶς τό φύσει πεφυκός

ἑκατέρας φύσεως, τῶν ἐξ ὧν καί ἐν αἷς συνέστηκεν, ἀθετῶν· ἀλλά φυσικαῖς ἐνεργείαις τάς φύσεις πιστούμενος.

Ἵνα δέ καί διά Κυρίλλου τοῦ σοφοῦ δειχθῇ, ὡς οὐ φύσει μίαν, ὥσπερ οὐδέ φύσιν, ἡ σάρκ εἶχε πρός τόν Λόγον ἐνέργειαν, εἰ καί συγγενής γέγονεν πρός αὐτό, τῷ θεωθῆναι διά τήν ἕνωσιν, ἀκούσωμεν τί διέξεισι, τό κατά Ματθαῖον Εὐαγγέλιον ἑρμηνεύων, ἐν τῇ δευτέρᾳ βίβλῳ τῆς ἐξομολογήσεως. "Διά τοῦτο φησίν ἐνεργεῖν ἐν Πνεύματι Θεοῦ. Καί γάρ τοι κατά τό ἀληθές, οὐ σαρκός ἐνέργεια φυσική καί ἀνθρωπότητος δύναμις, παραλύει τόν Σατανᾶν, καί καταισχύνει τόν Βεελζεβούλ· ἐπεί διδασκέτω σέ τις παρελθών, εἰ βούλεται, τί τό κωλύον τοῖς ἐθέλουσι προκεῖσθαι τήν ἐξουσίαν τήν κατά πνευμάτων ἀκαθάρτων. Ἰδού, εἰ τοῦτο ἐνεργεῖ σαρκός φύσει· πάντες γάρ ἐσμέν ἐν σαρκί, καί εἷς πάντων ὁ τῆς ἀνθρωπότητος λόγος· ἀλλ᾽ οὔτε σαρκός ἔργον ἰδικῶς, (108) οὔτε μέν ἀνθρωπότητος, τό κατισχύσαι πνευμάτων, ἐπεί μή πάντες ἰσχύουσιν· ἐνεργείας δέ μᾶλλον ὁρᾶται τό κατόρθωμα διά τοῦ Πνεύματος." Οὐκοῦν ἀληθές εἴρηκεν ὁ Πατήρ, καθό νοεῖται σάρξ καί ἄνθρωπος, ὅτι Πνεύματος ἔργον ἦν, καί οὐχί τῆς σαρκός, ἤγουν ἀνθρωπότητος, ἡ κατά δαιμόνων ἰσχύς. Ἅγιον μέν γάρ ὁμολογουμένως ἐστί τό σῶμα τοῦ Κυρίου, καί πᾶσαν ἔχον κατά πάσης νόσου τήν δύναμιν· ἀλλ᾽ ἦν τε, καί ἐστιν ἅγιον, οὐκ ἐπείπερ ἁπλῶς νοεῖται σάρξ, ἐν μόνοις οὖσα τοῖς ἰδίοις λόγοις, ἀλλ᾽ ᾗ ἐστι ναός τοῦ κατοικοῦντος ἐν αὐτῇ Θεοῦ Λόγου, ἁγιάζοντος τήν ἰδίαν σάρκα διά τοῦ ἰδίου Πνεύματος.

Ὥστε, ᾗ φησιν ὁ θεῖος οὗτος ἀνήρ, κατά τό ἀληθές, οὐ σαρκός ἐνέργεια φυσική, καί ἀνθρωπότητος δύναμις παραλύει τόν Σατανᾶν· οὐδέ τοῦτο ἐνεργεῖ σαρκός ἡ φύσις· ἐπεί καί πάντες ἄνθρωποι ἐν σαρκί ὄντες, καί εἷς κατά τόν τῆς ἀνθρωπότητος λόγον, ἑλόμενοι ἄν ἐνεργεῖν, καί τήν κατά πνευμάτων εἶχον ἰσχύν. Ταῦτα γοῦν διδάξας σαφῶς παρέστηκε, καί τῶν ἰδίων ἑρμηνευτής γέγονε λόγων, ὡς τῷ ἐνοικεῖν, ὅπερ ἐστίν ἡνῶσθαι καθ᾽ ὑπόστασιν μίαν, ἀλλ᾽ οὐ τῷ σάρξ, ὑπάρχειν, ἐν μόνοις οὖσα τοῖς ἰδίοις λόγοις, ἁγία ἐστί καί ζωοποιός, κατά πάσης νόσου τήν δύναμιν ἔχουσα. Φυλάξωμεν τοιγαροῦν καί ἡμεῖς κατά τήν τῶν ἁγίων ὑφήγησιν, τόν τε τῆς διαφορᾶς λόγον ἀλώβητον, τάς φύσεις αὐτάς, καί τά προσόντα κατ᾽ οὐσίαν αὐταῖς διασώζοντα καί μετά τήν ἕνωσιν· καί τόν τῆς οἰκονομίας τρόπον παντελῶς ἀδιάσπαστον, τήν ἄκραν τῶν ἡνωμένων συμφυΐαν ἑνοειδῆς

συντηροῦντα· καί τήν πᾶσαν ἡμῶν ἐξελάσωμεν διαίρεσίν τε καί σύγχυσιν.

Εἰ δέ μή οὕτως τάς μοναδικῶς εἰρημένας τοῖς ἁγίοις φωνάς, τήν τε Θεανδρικήν καί τήν Μίαν τε καί συγγενῆ, κατά τόν τῆς ἑνώσεως λόγον εὐσεβῶς ἐκδεξώμεθα καί νοήσωμεν, ἀλλ᾽ ἤ ταύτην ὡς φυσικήν, ἤ πάλιν ὑποστατικήν ὑπολάβωμεν, φύσιν μίαν ἐξ ἀνάγκης τόν Χριστόν δογματίσομεν· μηδετέρας τῶν ἐξ ὧν συνέστηκε τό παράπαν μετέχουσαν, ὅτι μηδεμία κατά φύσιν ὑπάρχει Χριστός. Φύσις γάρ πρός φύσιν οὐκ ἄν κοινωνήσῃ κατά φύσιν ποτ᾽ ἄν· ἀλλ᾽ ἀμέτοχος, πάντη κατ᾽ οὐσίαν πρός πᾶσάν ἐστι διάφορος · τοῦτο μέν ἡμῖν συναχθήσεται, φυσικήν τήν ἐνέργειαν λέγουσι· εἰ δέ πάλιν ὑποστατικήν, ἀλλοτριώσομεν αὐτόν τοῦ Πατρός καί τοῦ Πνεύματος κατά τήν ἐνέργειαν. Οὐδενί γάρ χαρακτηριστικῷ (109) τῆς ἰδίας ὑποστάσεως· κοινωνήσοι ποτ᾽ ἄν Πατρί καί Πνεύματι ὁ Υἱός.

Μηδαμῶς τοιγαροῦν βουληθῶμεν φυσικήν ἤ ὑποστατικήν ἐπ᾽ αὐτοῦ τοῦ σαρκωθέντος Λόγου, καί τελείως ἐνανθρωπήσαντος ὁμολογεῖν τήν ἐνέργειαν. Οὐδείς γάρ τῶν ἀπό τῆς θείας αὐτοῦ πρός ἡμᾶς καταβάσεως μέχρι νῦν ἁγίων Πατέρων, φυσικήν ἤ ὑποστατικήν ὁμολογεῖν ἐνέργειαν ἐπ᾽ αὐτοῦ παραδέδωκεν· ἀλ᾽ οὐδέ μίαν ῥητῶς, ὡς ἐμέ γινώσκειν, ἤ μόνον Κύριλλος ὁ θεσπέσιος· ἥν ὥσπερ ὁλοψύχως δεχόμεθα, καίπερ αὐτοῦ μόνου τυγχάνουσαν, τῆς ἑνώσεως χάριν· πῶς οὐχί καί τάς τῶν ὅλων σχεδόν ἁγίων Πατέρων, καὐτοῦ δέ πάλιν δέχεσθαι περιχαρῶς προσήκει δυϊκάς φωνάς, τῆς φυσικῆς ἕνεκεν διαφορᾶς· ἵνα μή τῆς περί τήν μίαν καί μόνον αὐτοῦ λέξιν προσκλήσει καί παραδοχῇ, τούτου τε καί ἄλλων ἁγίων τήν ἐκβολήν καί τήν ἀκυρωσίαν τῶν λόγων ποιήσωμεν· ὡς μή ἄλλου τινός αὐτῶν, ἤ μόνου Κυρίλλου τήν εὐσεβῆ τοῦ κηρύγματος πιστευθέντος ἀκρίβειαν· καί ταύτην οὐκ ἐν τοῖς ἄλλοις λόγοις αὐτοῦ, τοῖς τήν διαφοράν δηλοῦσιν, ἀλλ᾽ ἤ μόνον ἐν τῇ μίᾳ καί συγγενεῖ ἐνεργείᾳ.

Ἄλλως τε, πῶς μίαν ἁπλῶς ἐπί Χριστοῦ τοῦ Θεοῦ τινές φασι τήν ἐνέργειαν; Ἀνάγκη γάρ ἤ τῶν αὐτοῦ ταύτην ὑπάρχειν μερῶν, ἤ αὐτοῦ πάντως ὡς ὅλου. Ἀλλ᾽ εἰ μέν τῶν μερῶν, μερισθήσεται πρός ἄμφω δηλαδή τεμνομένη· τοῦτο δέ πάσχουσα, λυθήσεται πάντως, καί συνδιαλύσει τά κατ᾽ αὐτήν ἡνωμένα. Εἰ δέ τοῦ ὅλου, τῶν ἐναντίων ἔσται δεκτική, θνητή καί ἀθάνατος οὖσα, κτιστή καί ἄκτιστος, περιγραπτή καί ἀπερίγραφος. Καί εἰ τοῦτο, καθ᾽ ἕξιν καί στέρησιν οὖσαν καί μή οὖσαν τήν οἰκείαν ὁ Χριστός εἶχεν ἐνέργειαν· δι᾽ ἥν, ὡς

κατ᾽ αὐτήν προσφυῶς ἐνεργῶν, τῶν ἐναντίων κατά τό αὐτό δεκτικός· ἀλλ᾽ οὐ κατ' ἄλλο καί ἄλλο· οὗ τί δυσσεβέστερον;

Τό αὐτό δέ καί περί θελήματος ἔστιν εἰπεῖν. Πῶς δέ ἄρα συνεργάτιν τήν οἰκείαν ὁ Λόγος παρελάμβανε σάρκα, κατά Κύριλλον τόν σοφόν, οὐκ ἔχουσαν τήν κατά φύσιν ἐνέργειαν; Τό γάρ μή ἔχον ἐνέργειαν μήτε κίνησιν φυσικήν, νεκρόν πάντως καί ἄψυχον· καί τίνι λόγῳ προσίετο τό νεκρόν εἰς συνέργειαν; Τό γάρ ἀνενέργητον, τῇ παντελεῖ ἀκινησίᾳ καταργεῖ. Πῶς δέ ταύτην ἐδείκνυε ζωοποιεῖν δυναμένην, ὡς αὐτός πάλιν Κύριλλος ἐξεπαίδευσε, διά τῶν κατά φύσιν αὐτῆς κινημάτων· οἷον τῆς ἀφῆς, τῆς φωνῆς, τοῦ περιπάτου, τούτων οὐκ ὄντων αὐτῆς, ἤ ἐν αὐτῇ κατ᾽ οὐσίαν. Εἰ γάρ αὐτῆς κατ᾽ οὐσίαν, φυσικήν πάντως ἡ σάρξ εἶχεν ἐνέργειαν· ἐνεργείας γάρ αὐτῆς οὐσιώδους ἐστίν, ἥ τε κίνησις τῶν χειρῶν καί τῶν ποδῶν, καί ἡ κατά τήν προφοράν φωνή. (112) Εἰ δέ οὐκ αὐτῆς κατά φύσιν ταῦτα, ζωοποιεῖν δυναμένην ταύτην ὁ Σωτήρ οὐκ ἀπέδειξε.

Ταῦτα μικρά ἐκ πολλῶν, ὑμᾶς τε καί τῶν καθ᾽ ὑμᾶς θεοσόφων ἁγίων παιδευθείς διδαγμάτων, δι τήν ἱερωτάτην ὑμῶν κέλευσιν, ἐθάῤῥησα διά τοῦδε τοῦ μετρίου γράμματος χαράξαι, καί τῶν ὑπέρ δύναμιν κατατολμῆσαι, μικρός ὤν καί εὐτελής· καί μήτε νοῦν εὔστοχον εἰς ἐπιβολήν, μήτε λόγον εὐεικτον εἰς σαφήνειαν, μήτε ἦθος εὔκοσμον εἰς τήν τῶν κρειττόνων ἐξάνεσιν ἔχων· ἀλλά μᾶλλον χάριτι, διά τῆς μεσιτείας ὑμῶν σκεπαζόμενος ὑπό τοῦ παναγάθου Θεοῦ, καί καλύπτοντος τά πλήθη τῶν ἐμῶν ἁμαρτημάτων. Δυσωπῶ δέ μετά δακρύων, τοῖς τιμοίοις ὑμῶν ὡς παρών προκαλινδούμενος ἴχνεσιν, ἐπειδή ὑμᾶς κατέστησε τό Πνεῦμα τό ἅγιον ἐπισκόπους ψυχῶν καί σωτῆρας μή κατοκνῆσαι ἐν οἷς οὐκ ἠκριβωμένως γέγραφα, φιλάγαθον ποιήσασθαι τήν διόρθωσιν· ἵν᾽ ἐκ τούτου μεσίτας Θεοῦ μᾶλλον, ἤ μιμητάς ἑαυτούς ἀναδείξηται· τόν ἐπί πάντας αὐτοῦ φωτισμόν, καί τό ἔλεος· οὐ μόνον ἕξει λαχόντες, ἀλλά καί ἀξίᾳ παρέχοντες· ᾧ καί παραθέσθαι τήν ἐμήν τοῦ πένητος καί φτωχοῦ ἀσθένειαν καθικετεύω, πρός τό σκεπασθῆναι τῆς τό πᾶν νεμομένης διά τάς ἐμάς ἁμαρτίας, ὁρατῆς τε καί ἀοράτου, φλογός· καί εἰς τήν δρόσον τῆς τε παναγίας αὐτοῦ καί ὀρθοδόξου πίστεως, καί τῆς ἱερᾶς ἀρετῆς διά παντός ἐπαναπαύεσθαι καί φρουρεῖσθαι. Ἀμήν

***ΣΧΟΛΙΟΝ***

Fr. Ἴδε σοι τό ἄπορον λέλυται. Προελθών δέ Θεός μετά τῆς προσλήψεως, ἕν καί ἕν ἐκ δύο τῶν ἐναντίων, εἰπών ὁ μέγας, διά τήν καθ᾽ ὑπόστασιν ἕνωσιν· ἀλλ᾽ οὐ φύσιν τό ἕν ἐξεδέξατο.

***Τοῖς κατά τήνδε τήν Σικελῶν φιλόχριστον νῆσον παροικοῦσιν ἁγίοις Πατράσιν, ἡγουμένοις τε καί μονάζουσι, καί ὀρθοδόξοις λαοῖς, Μάξιμος ταπεινός καί ἁμαρτωλός, ἀνάξιος δοῦλος.***

Εἰρήνη πολλή τοῖς ἀγαπῶσι τόν νόμον σου, (113) καί οὐκ ἔστιν αὐτοῖς σκάνδαλον, πρός τόν Θεόν ἔφησεν ὁ Θεοπάτωρ Δαβίδ· γνωρίζων ἐντεῦθεν ἅπασι, καί διαγορεύω τοῖς σωτηρίας ἐφιεμένοις, ἵνα τῇ τοῦ ἐσχάτου φύσει προσανέχοντες ὀρεκτοῦ θειοτάτῃ κατ᾽ ἄκρον ἀγάπῃ, ταύτῃ περιχαρῶς τό τῆς εἰρήνης καλόν πρός ἑαυτούς τε καί πάντας, εἰ δυνατόν, ἀλύτως μεταδιώκοιεν· ἅπαν ἐξ ἁπάντων ἀφαιρούμενοι σκάνδαλον, διά τῆς εὐσεβοῦς εἰς ἀλλήλους καί ἄκρας ὁμοφροσύνης. Οὗ δή χάριν, κἀμοί τῷ ἡμετέρῳ διεσπουδάσθη δούλῳ, γραφῇ καταθέσθαι προθύμως, ὅπερ φθάσας γλώττῃ συνεστησάμην, πρός τήν τῶν ἁγιωτάτων ὑμῶν ἀσφάλειάν τε καί πληροφορίαν, πᾶσαν ἐξ ἑτέρων γεγενημένην ὑμῖν περί τῆς ἡμῶν ταπεινώσεως ὑποψίαν, διά τῆς ἀπολογίας ἀποσκευασάμενος· "Οὐδέ γάρ ἀνέχομαι, καθά φησιν ὁ Θεολόγος Γρηγόριος, πλήττεσθαί τινας ἐν ἐμοί τῶν πάντα τηρούντων ἐπιμελῶς τά ἡμέτερα, εὖ τε καί ὡς ἑτέρως ἔχοντα· καλόν γάρ μήτε ἁμαρτάνοντα, μήτε ὑπονοούμενον, ἕως ἄν οἷόν τε ᾖ, καί ὁ λόγος αἱρῇ, τιθέναι πρόσκομμα τοῖς πολλοῖς ἤ σκάνδαλον· εἴπερ καί τοῖς ἕνα τῶν μικρῶν σκανδαλίσασιν, ἴσμεν ὅπως ἀπαραίτητος καί βαρυτάτη παρά τοῦ ἀψευδοῦς ἡ τιμωρία."

Γνωρίζω τοίνυν τοῖς ἁγιωτάτοις ὑμῖν, ὡς οὐδαμῶς μοι πεφρόνηται πώποτε, κατά τήν τῶν ἐπηρεαζόντων εἰσήγησιν ἡ τῶν ἀντιῤῥόπων καί ἐναντίων δογμάτων ὑπόληψις. Οὐδέ γάρ μίαν ἐν ταὐτῷ καί δύο, τουτέστι τρεῖς, κατ᾽ αὐτούς, θελήσεις καί ἐνεργείας ἐπί τοῦ αὐτοῦ καί ἑνός Χριστοῦ τοῦ Θεοῦ διωμολογησάμην, ἤ συνεγραψάμην τό σύνολον. Θατέρῳ γάρ θάτερον ἀνατρέπεται, πῆξιν οὐδεμίαν (116( ἔχον τήν λογισμῶν φυσικῶν· πρός τό καί ἀμάρτυρον εἶναι δόγμα τοῖς ἀληθείας, ἤγουν τοῖς ἁγίοις Πατράσιν. Εἰ γάρ μία, πῶς καί δύο· εἰ δέ δύο, πῶς καί μία; καί τίνι κατ᾽ αὐτήν ὁμοεργής, εἴτουν ὁμοούσιος, ὁ σαρκωθείς καθέστηκε Λόγος;

Εἰ μέν γάρ τῷ Πατρί φήσειαν, διπλῆν ἐντεῦθεν εἰσάγουσι τήν θείαν ἐνέργειαν· εἴπερ μή ἐπ᾽ ἀναιρέσει τῶν δύο τοῦ αὐτοῦ κατά φύσιν ἐνεργειῶν, τῆς θείας λέγω καί τῆς ἀνθρωπίνης, διομολογοῦσι τήν πλαττομένην αὐτοῖς τρίτην ἐνέργειαν. Εἰ γάρ μή ἐπ᾽ ἀναιρέσει, δῆλον ὡς δύο τοῦ αὐτοῦ τάς θεϊκάς ἐνεργείας πρεσβεύουσι· φυσικήν καί ὑποστατικήν. Εἰ δέ δύο, διαφόρους πάντως· κἀντεῦθεν πολύθεον τήν οἰκείαν ὑπόληψιν, ὡς ἐν ἑτερότητι καί οὐ ταυτότητι φυσικῇ γνωριζομένης αὐτοῖς, τῆς ἐν Πατρί καί Υἱῷ θε«κῆς ἐνεργείας. Καί οὐ πολύθεον μόνον τήν δόξαν· ἀλλ᾽ δη καί ἄθεον· ὡς οὐδεμίαν θεϊκήν ἐνέργειαν ἔχειν κατασκευάζοντες τήν Υἱόν, ἅ τε δή φύσιν καί ὑπόστασιν ἀλλήλοις συμφύροντες, μετά τῶν ἑκατέρας ἰδιωμάτων· καί ταυτόν σύν Σαβελλίῳ γνωρίζοντες, ὡς καθ᾽ ἑκατέραν τῷ Πατρί κοινωνοῦντα, φύσιν τε λέγω καί ὑπόστασιν, τόν Υἱόν ὑπογράφοντες, ὅπερ τῆς καθολικῆς Ἐκκλησίας ἐστίν ἀλλότριον· ἵνα μή λέγω, ὅτι καί φύσει παθητόν τόν Πατέρα καί σεσαρκωμένον, εἴτουν ἐνανθρωπήσαντα, τῇ πρός τόν Υἱόν ὁμοεργίᾳ, τῶν τε θαυμάτων ὁμοίως καί παθημάτων. Εἴ γε μή ἄλλο τι παρά τά θαύματα καί τά πάθη φασίν ἐνεργεῖν τόν Υἱόν, κατά τήν, ὡς εἴρηται, πλαττομένην αὐτοῖς τρίτην ἐνέργειαν· ᾗ καί κοινωνεῖν, πρός τῇ κατά φύσιν θείᾳ, τῷ Πατρί τόν μονογενῆ Λόγον ὑπαγορεύουσιν.

Εἰ δέ τούτοις στενοχωρούμενοι, μή τῷ ἀνάρχῳ μέν Πατρί· τῇ δέ ἀχράντῳ μητρί κοινωνεῖν κατά ταύτην ὁρίζονται τόν Υἱόν τήν τρίτην ἐνέργειαν, δύο κἀνταῦθα παρέχουσιν αὐτῷ κτιστάς, ἤγουν ἀνθρωπικάς ἐνεργείας· φυσικήν αὖθις καί ὑποστατικήν· ἀλλοτριοῦντες αὐτόν δηλαδή, καθ' ἑκατέραν τοῦ Θεοῦ καί Πατρός· καί τῇ Ἀρείου συνεκφερόμενοι διατομῇ, κατά τήν ἐν ἀμφοτέραις ἐνεργείαις τοῦ Μονογενοῦς πρός τόν Πατέρα τελείαν κατ᾽ αὐτούς ἀποξένωσιν. Ὅπου γε καί ἡμᾶς θαυματουργούς, (117) ἀλλ᾽ οὐχί μόνον φύσει παθητούς ἀποφαίνουσιν· εἴ γε τῇ τρίτῃ κατ᾽ αὐτούς, ἤ ὡς ἐκείνοις φίλον καλεῖν, τῇ τοῦ ὅλου, τουτέστιν, τῇ τῆς ὑποστάσεως ἐνεργείᾳ, τό συγγενές πρός ἡμᾶς ἀποσώζειν φασί τόν Χριστόν· καθ᾽ ἥν ἑκουσίως, οὐ τήν πεῖραν μόνον προσιέμενον τῶν παθημάτων, ἀλλά καί τήν δύναμιν τῶν θαυμάτων ἐπιδεικνύμενον, τοῦτον εἰκότως ἐπιγινώσκουσιν, ὅπερ ἀδύνατον. Οὐ γάρ οἷόν τε τήν αὐτήν καί μίαν ἐνέργειαν, ἤ θέλησιν, ἤ φύσιν τό σύνολον, θείαν ἐν ταὐτῷ καί ἀνθρωπίνην ὑπάρχειν· ἤ ἄκτιστον, καί κτιστόν· ἤ ἄναρχον καί ἠργμένην· ἤ σύνθετον, καί ἀσύνθετον· ἵνα τῇ αὐτῇ καί μιᾷ πρός

ἑκάτερον, τόν τε Πατέρα φημί καί τήν Μητέρα, τό συγγενές ἀποσώζῃ φύσει καί ἀπαράλλακτον ὁ Υἱός· ἤ τά ἑκάτερα δρᾷ κατά τήν αὐτήν, τά τε θεῖα λέγω φύσει καί τά ἀνθρώπινα. Τοῦτο γάρ οὐδ᾽ ἄν οἱ τούς τραγελάφους πλάττοντες ἐννοήσαιεν.

Εἰ δέ ἀδύνατον, τήν αὐτήν καί ἐνέργειαν, ἤ θέλησιν, ἤ φύσιν, θείαν ἐν ταὐτῷ φύσει τυγχάνειν καί ἀνθρωπίνην· ἤ κατά τήν αὐτήν καί μίαν ἑκάτεροις, Πατρί φημι καί Μητρί κοινωνεῖν, ἤ ἑκάτερα δρᾷν, τά τε θεῖα καί τά ἀνθρώπινα τόν Υἱόν· προσφυῶς δέ μᾶλλον, ὡς εἴρηται· τῇ μέν θείᾳ, τά θεῖα, τῇ δέ κατ᾽ αὐτόν ἀνθρωπίνῃ, τά ἀνθρώπινα· μετά μέντοι τῆς θατέρου κοινωνίας καί συμφυΐας, ἀλλ᾽ οὐ διῃρημένως· ἄρα καί ἀνώνυμος ὡς ἀνύπαρκτος, ἡ τρίτη κατ᾽ ἐκείνους ἐνέργεια, μηδενί κυρουμένη λόγῳ τε θείῳ, καί Πατρί παντελῶς.

Καί τί τῷ ὅλῳ παρέχομεν, φασίν, εἰ μή τήν μίαν ὡς ἑνί τῷ ὅλῳ διά τήν ἕνωσιν διδοῦμεν ἐνέργειαν; ἀλλ᾽ ἠγνόησαν, ὅ τι καί λέγουσιν, οἱ ταῦτα προφέροντες. Οἰόμενοι γάρ ἄλλο τι τό ὅλον εἶναι παρά τά αὐτοῦ οἰκεῖα μέρη, ἐξ ὧν καί ἐν οἷς συνέστηκεν, ἰσχυρίζονταί πως ὀφείλειν, οὐκ ἐξ ἀποδείξεως, ἀλλ᾽ ἀποφάνσεως, καί ἄλλο τι παρά τό κατά φύσιν τοῖς μέρεσιν ἐνυπάρχον, τῷ ὅλῳ προσάπτειν ὡς ὅλῳ· φημί δή, τήν μίαν ἐνέργειαν· Δείξουσιν οὖν πρότερον, ἑκατέραν παρά τήν τῶν οἰκείων μερῶν ὕπαρξιν ἔχειν τό ὅλον· καί εἶθ᾽ οὕτως αὐτῷ καί ἑτέραν, ὡς ὅλῳ, παρά τάς ἐνυπαρχούσας τοῖς μέρεσιν οὐσιώδεις ἐνεργείας, προσνέμωσιν αὖθις ἐνέργειαν. Εἰ δέ μή ἑτέραν κατά φύσιν ὕπαρξιν, οὐδ᾽ ἑτέραν δηλονότι κατά φύσιν ἐνέργειαν τῷ ὅλῳ παρά τάς τῶν μερῶν ἀποδώσωσιν. Ἑκάτερα γάρ κατά φύσιν ὤν ὁ Χριστός· Θεός γάρ φύσει καί ἄνθρωπος ὁ αὐτός· τά ἑκατέρας ἴδια φύσεως κατά φύσιν ἔχει· τήν τε θείαν φημί θέλησιν καί ἐνέργειαν, καί τήν ἀνθρωπίνην θέλησιν καί ἐνέργειαν· ἀλλ᾽ οὐχί μίαν μόνην, ἐπ᾽ ἀναιρέσει τῶν δύο κατά φύσιν ἐνεργειῶν· ἤ ἄλλην πρός ταῖς δυσί κατά φύσιν· τουτέστι, τρεῖς ἐνεργείας τε καί θελήσεις.

Ἑκατέραν τοίνυν, ὥσπερ οὐσίαν, οὕτω καί ἑκατέραν οὐσιώδη θέλησιν καί ἐνέργειαν, τῷ αὐτῷ (120) καί μόνῳ Χριστῷ κατά φύσιν προσνέμομεν. Εἰ γάρ καί τήν διαφοράν τοῦ αὐτοῦ μερῶν θεωροῦντες, τῇ θεότητι τοῦ αὐτοῦ τά θεῖα, καί τῇ κατ᾽ αὐτόν ἀνθρωπότητι τά ἀνθρώπινα προσφόρως παρέχομεν· ἔμπαλιν δέ διά τήν ἕνωσιν, τά ἑκατέρας ἴδια φύσεως κατά ἀντίδοσιν τῇ ἑτέρᾳ προσάπτομεν· ἐξ οὗ καί Θεόν παθητόν κατά τῆς ἁμαρτίας φαμέν καί σάρκα· "προσειλημμένην καί γενομένην ὅπερ τό χρίσαν· καί θαῤῥῶ λέγειν,

ὁμόθεον," κατά τόν θεολόγον Γρηγόριον· οὔτε κατά Θεόν τά θεῖα δράσαντα· "διά σαρκός γάρ, νοερῶς ἐψυχωμένης, καί ἑνωθείσης αὐτῷ καθ᾿ ὑπόστασιν· ἀλλ᾿ οὐ γυμνῇ θεότητι, καθώς τό πρότερον· "οὔτε τά ἀνθρώπινα κατά ἄνθρωπον·" κατ᾿ ἐξουσίαν ἀπειροδύναμον, ἀλλ᾿ οὐκ ἀνάγκῃ ὑπεύθυνον. Οὐ γάρ ἔκτισις ἦν, ὡς ἐφ᾿ ἡμῖν, ἀλλά κένωσις ὑπέρ ἡμῶν τοῦ σαρκωθέντος Λόγου τό πάθος. Ὅμως δ᾿ οὖν ὡς ὅλῳ τῷ αὐτῷ καί ἑνί καί μόνῳ Χριστῷ κατά φύσιν, ὅλα παρέχομεν τά τῶν, ἐξ ὧν ἐστι φύσεων, μόνης δίχα τῆς ἁμαρτίας· διό καί παθητόν καί ἀπαθῆ τόν αὐτόν· ἄκτιστον καί κτιστόν· περιγραπτόν καί ἀπερίγραπτον· ἐπίγειον καί οὐράνιον· ὁρώμενον καί νοούμενον· χωρητόν καί ἀχώρητον κατά τήν φύσιν, ὁμολογοῦμεν. Εἰ δέ τούτοις αὖθις περιγραφόμενοι τό ἀποτέλεσμα τῶν δύο τοῦ αὐτοῦ κατά φύσιν ἐνεργειῶν, τουτέστι τήν εἰς ἄλλους, (ἀνθρώπους) τῷ Σωτῆρι Θεῷ γιγνομένην θεοσημείαν· οἷον, τήν ἀνάστασιν, ἤ τήν ἀνάληψιν, ἤ τήν κάθαρσιν, ἤ τι τῶν τοιούτων τερατουργημάτων, ἐνέργειαν μίαν καί τήν αὐτήν ὑπάρχειν φασίν, οὐδ᾿ οὕτως εὐάφορμος ἐκείνοις ὁ λόγος. Οὐδέ γάρ μίαν ἴσμεν, ἀλλά καί πολλάς καί ἀπείρους τάς τοῦ Σωτῆρος θεοσημείας, περί ὧν φησιν ὁ θεολογικώτατος Ἰωάννης, Ἐάν γράφηται καθ᾿ ἕν, οὐδ᾿ αὐτόν οἶμαι χωρῆσαι τά γραφόμενα βιβλία τόν τῇδε κόσμον.

Ἔπειτα καί τοῖς ἐκτός γινομένοις, οὔτε ἐπ᾿ ἄλλου μέν τινος τῶν ὄντων, μή τί γε δεῖ λέγειν ἐπ᾿ αὐτοῦ τοῦ ὑπέρ πάντα τά ὄντα Θεοῦ Λόγου δι᾿ ἡμᾶς σαρκωθέντος, τήν οὐσιώδη παντελῶς ἐπιγινώσκομεν ὕπαρξιν· ἀλλ᾿ οἷς αὐτός ἐν αὐτῷ χαρακτηρίζεται φυσικοῖς ἰδιώμασι· ταυτόν δέ φάναι θελήσεσι φυσικαῖς καί ἐνεργείαις· ἤ οὕτω δ᾿ ἄν, καί τόν τέκτονα ζῶον ξυλουργόν, ἀλλ᾿ οὐ λογικόν, οὐδέ θνητόν· ὁρίσοιντο ἄν, τήν τούτου φύσιν ἐκ τοῦ θώκου τυχόν, ἤ τοῦ σκίμποδος, ἀλλ᾿ οὐ τῶν οὐσιωδῶς (121) συνιστώντων αὐτήν ἰδιωμάτων γνωρίζοντες· ὅπερ κἄν ἐννοεῖν, ἀμαθές. Ὅθεν φύσει Θεόν καί ἄνθρωπον τόν αὐτόν κυρίως, οὐχ ἑτέρωθεν ὄντα διαγινώσκομεν, ἤ ἐκ τῶν θε«κῶς ἅμα καί ἀνθρωπικῶς χαρκτηριζόντων αὐτόν, ἐμφύτων ἰδιωμάτων· τῆς τε θείας, ὡς ἔφην, θελήσεως καί ἐνεργείας, καί τῆς ἀνθρωπικῆς τοῦ αὐτοῦ θελήσεως καί ἐνεργείας· αἷς, καί δι᾿ ὧν, ὅ ἦν καί γέγονεν ἐπισφραγίζει· θαυματουργῶν μέν ὑπέρ ἡμᾶς ὡς Θεός ἑκουσίως· πάσχων δέ δι᾿ ἡμᾶς ὁ αὐτός ἑκουσίως ὡς ἄνθρωπος· ὡς οὐκ ἄλλο τι παρά τῶν ἐξ ὧν, ἐν οἷς τε καί ἅπερ ἐστί γνωριζόμενος, οἷόν τι νόθον καί μεταίχμιον, ἤγουν τρίτον ἀποτέλεσμα, κατά τήν τῶν ἡμιόνων

παράδειξιν· ὡς ἡ τῶν κενολόγων αἱρετικῶν μυθοπλαστία τερατολογεῖ, τοῦ εὐσεβοῦς ἀποσφαλεῖσα τῶν ἁγίων Πατέρων κηρύγματος ἀλλ᾽ αὐτά κατ' ἀλήθειαν κυρίως ὤν, τά ἐξ ὧν, καί ἐν οἷς κατ᾽ ἀλήθειαν κυρίως ἐστίν. Ἐκ θεότητος γάρ καί ἀνθρωπότητος, καί ἐν θεότητι καί ἀνθρωπότητι κατά φύσιν ὑπάρχων· Θεός φύσει καί ἄνθρωπος ἐστιν ὁ Χριστός· καί ἄλλο τό παράπαν οὐδέν.

Καί πῶς, φασί, Κύριλλος ὁ σοφός μέσην τινά τάξιν τῶν ἐπί Χριστοῦ φωνῶν διαγορεύει φρονεῖν, οὑτωσί πρός Ἀκάκιον γράφων· "Αἱ μέν γάρ εἰσι τῶν φωνῶν ὅτι μάλιστα θεοπρεπεῖς· αἱ δέ, οὕτω πάλιν ἀνθρωποπρεπεῖς· αἱ δέ μέσην τινά τάξιν ἔχουσι. Καί τί τοῦτο συμβαλεῖταί ποτ᾽ ἄν ἐκείνοις πρός τήν οἰκείαν ὑπόληψιν;" Οὐ γάρ ἐκ μεταβολῆς, ἤ ἀποβολῆς τῶν ἄκρων, θεότητός φημι τοῦ Χριστοῦ καί ἀνθρωπότητος· ἤ θείας τοῦ αὐτοῦ καί ἀνθρωπίνης θελήσεως καί ἐνεργείας, ἕτερόν τι μέσον, ἤγουν μεταίχμιον ἀποτέλεσμα, μηδετέρᾳ φύσει τῶν ἐξ ὧν ἐστι κοινωνοῦν· ἤ πάλιν, ἐνέργειάν τινα σύνθετον ὄντα κατ᾽ αὐτούς, ἤ ἔχοντα παραδίδωσιν ἐν τούτοις ἡμῖν ὁ διδάσκαλος, ἀλλ᾽ ὅτι ταῦτα μέν κυρίως ἐστί, τά ἐξ ὧν ἐστιν· οὐ διῃρημένως δέ ταῦτα κατονομάζεται· ὁμοῦ δέ, καί ἐν ταυτῷ τούτων ἑκάτερον, ὡς εἷς ὤν καί μόνος ὁ Χριστός. Καί μαρτυρεῖ περί τούτων αὐτός ὑπαραπολογούμενος τῶν Ἀνατολικῶν ἐπισκόπων, καί γράφων πρός Ἀκάκιον οὕτως, "Οἱ δέ γε κατά τήν Ἀντιόχειαν ἀδελφοί, μερίζουσι μέν κατ' οὐδένα τρόπον τά ἡνωμένα· διαιρεῖσθαι δέ μόναι διατείνονται τάς ἐπί τοῦ Κυρίου φωνάς· πρέπειν τε τάς μέν τῇ θεότητι αὐτοῦ, τάς δέ τῇ αὐτοῦ πάλιν ἀνθρωπότητι. Θεός γάρ ἐστιν ὁ αὐτός καί ἄνθρωπος· εἶναι δέ φασι καί ἑτέρας κοινοποιηθείσας τρόπον τινά, καί οἷον ἐπ' ἄμφω βλεπούσας· θεότητα καί ἀνθρωπότητα λέγω· οἷον τί φημι, αἱ μέν γάρ εἰσι τῶν φωνῶν ὅτι μάλιστα θεοπρεπεῖς, αἱ δέ οὕτω πάλιν ἀνθρωποπρεπεῖς· αἱ δέ μέσην τινά τάξιν ἔχουσιν, ἐμφανίζουσαι τόν Υἱόν τοῦ Θεοῦ Θεόν ὄντα καί ἄνθρωπον ὁμοῦ τε καί ἐν ταὐτῷ." δέδειχε τοιγαροῦν ἡμῖν ὁ διδάσκαλος, μέσην τάξιν εἶναι φωνῶν, οὐχ ἕτερόν τι τόν Χριστόν εἶναι, σημαινουσῶν, παρά τά ἐξ ὧν, ἐν οἷς τε καί ἅπερ ἐστίν, ὥς τινες ὑπειλήφασιν· ἀλλά τόν Θεόν ὁμοῦ καί ἄνθρωπον 124) τόν αὐτόν κατά φύσιν ὑπάρχειν. Καί παρακομίζει πρός ἀπόδειξιν τούτων τάς θεοπνεύστους Γραφάς οὑτωσί φάσκων. " Ὅταν μέν τῷ Φιλίππῳ λέγῃ, Τοσοῦτον χρόνον μεθ᾽ ὑμῶν εἰμί, καί οὐκ ἔγνωκάς με, Φίλιππε; οὐ πιστεύεις ὅτι ἐγώ ἐν τῷ Πατρί, καί ὁ Πατήρ ἐν ἐμοί ἐστιν; ὁ ἑωρακώς ἐμέ, ἑώρακε καί τόν Πατέρα· καί, Ἐγώ, καί ὁ Πατήρ ἕν

ἐσμέν, θεωπρεπεστάτην εἶναι διαβεβαιούμεθα τήν φωνήν. Ὅτε δέ τοῖς τῶν Ἰουδαίων ἐπιπλήττει δήμοις, ἐκεῖνο λέγων, Εἰ τέκνα ἦτε τοῦ Ἀβραάμ, τά ἔργα τοῦ Ἀβραάμ ἐποιεῖτε ἄν· νῦν δέ ζητεῖτε με ἀποκτεῖναι ἄνθρωπον, ὅς τήν ἀλήθειαν ὑμῖν λελάληκα· τοῦτο Ἀβραάμ οὐκ ἐποίησεν· ἀνθρωποπρεπῶς εἰρῆσθαι τά τοιαῦτα φαμεν. Πλήν τοῦ ἑνός Υἱοῦ τάς θεοπρεπεῖς, καί μέντοι τάς ἀνθρωπίνας. Μέσας δέ εἶναι φωνάς ἐκείνας διαβεβαιούμεθα, οἷον, ὅταν ὁ μακάριος γράφῃ Παῦλος, Ἰησοῦς Χριστός χθές καί σήμερον ὁ αὐτός, καί εἰς τούς αἰῶνας. Καί πάλιν· Εἷς Θεός ὁ Πατήρ, ἐξ οὗ τά πάντα καί ἡμεῖς ἐξ αὐτοῦ· καί εἷς Κύριος Ἰησοῦς Χριστός, δι᾿ οὗ τά πάντα, καί ἡμεῖς δι᾿ αὐτοῦ. Καί πάλιν· Ὧν οἱ πατέρες, καί ἐξ ὧν ὁ Χριστός, τό κατά σάρκα, ὁ ὢν ἐπί πάντων Θεός, εὐλογητός εἰς τούς αἰῶνας, ἀμήν. Ἰδού γάρ, ἰδού Χριστόν Ἰησοῦν ὁ ὀνομάσας, χθές καί σήμερον τόν αὐτόν εἶναι φησι, καί εἰς τούς αἰῶνας· καί δι᾿ αὐτοῦ γενέσθαι τά πάντα· καί τόν κατά σάρκα ἐξ Ἰουδαίων, ἐπί πάντας ὀνομάζει Θεόν· καί μήν εὐλογητόν εἰς τούς αἰῶνας, ἀμήν. Μή τοίνυν διέλῃς ἐν τούτοις τάς ἐπί τοῦ Κυρίου φωνάς. Ἔχουσι γάρ ἐν ταυτῷ τό θεοπρεπές καί ἀνθρώπινον· ἐφάρμοσον δέ μᾶλλον αὐτάς ὡς ἑνί τῷ Υἱῷ, τουτέστι, Θεῷ Λόγῳ σεσαρκωμένῳ." Τούτοις δή τοῖς λόγοις τοῦ Πνεύματος καί αὐτάς ἡμῖν ἀποδέδειχεν ὁ Διδάσκαλος τάς μέσας φωνάς, μηδέν καθοτιοῦν ἕτερον ἐπί Χριστοῦ σημαινούσας, ἤ τό θεοπρεπες ἐν ταὐτῷ, καί τό ἀνθρώπινον· ὅθεν αὐτῷ ταύτας καί ἐφαρμόζειν ἀδιαιρέτως παρακελεύεται δεῖν, ὡς Θεῷ τῷ αὐτῷ, καί ἀνθρώπῳ φύσει τυγχάνοντι· καί ἄλλο τό παράπαν, ὡς ἔφην, οὐδέν.

Καί μήν ἐπί Χριστοῦ, φασί, μίαν καὐτός ὁμολογεῖ τήν ἐνέργειαν. Οὕτω γάρ τόν ἅγιον εὐαγγελιστήν Ἰωάννην ἑρμηνεύων διέξεισι, " Καί γοῦν, ὅτε τοῦ Ἀρχισυναγώγου τό κόριον διανίστη, λέγων· Ἡ παῖς, ἐγείρου· ἐκράτησε τῆς χειρός αὐτῆς, καθώς γέγραπται· ζωοποιῶν μέν ὡς θεός, τῷ παντουργῷ προστάγματι· ζωοποιῶν δ᾿ αὖ πάλιν, καί διά τῆς ἁφῆς τῆς ἰδίας αὐτοῦ σαρκός· μίαν τε καί συγγενῆ δι᾿ ἀμφοῖν ἐπιδεικνύς τή ἐνέργειαν." Ἀλλά τοῦτο δή καί λίαν ἀπερικάλυπτον ἔχει τοῦ διδασκάλου τήν ἔννοιαν· ὅτι μή ἑκατέρων τῶν ἐξ ὧν ὁ εἷς καί μόνος ὑπάρχει Χριστός οὐσιῶν μίαν ὁρίζεται τήν ἐνέργειαν, ὡς ἄν τινες ὑποτοπήσοιεν· εἴπερ πρός Ἑρμείαν αὐτός ἀποφαίνεται, λέγων· "Ἐνεργῆσαι γάρ ὁμοίως (125) τά τήν αὐτήν λαχόντα φύσιν· οἷς δέ ὁ τοῦ πῶς εἶναι λόγος ἐξηλλαγμένος, τούτοις ἄν εἴη καί ὁ τῆς ἐφ᾿ ἅπασιν ἐνεργείας λόγος ουχ ὁ αὐτός. Τά γάρ τῆς αὐτῆς ἐνεργείας ὄντα, καί

τῆς αὐτῆς οὐσίας ὡμολόγηνται." Δυοῖν οὖν ἀνάγκη θάτερον, ἤ πρός ἑαυτόν εἰσάγειν ἀπομαχόμενον τόν διδάσκαλον, ἤ τήν αὐτήν ἀποδιδόντα φύσιν, ὥσπερ οὖν καί ἐνέργειαν ἐπί Χριστοῦ τήν αὐτήν· ἀλλ᾽ οὐκ ἐξηλλαγμένας ὑπαγορεύειν τάς φύσεις, εἰς ταυτόν ἀλλήλαις ἰούσας τῷ ἀπαραλλάκτῳ τῆς ἐνεργείας. "Τά γάρ τῆς αὐτῆς ἐνεργείας ὄντα, καί τῆς αὐτῆς οὐσίας ὡμολόγηνται," φησίν. Εἰ δέ ἑκάτερον ἀπρεπές, τό τε πρός ἑαυτόν ἀσυμβάτως ἔχειν, καί τό μή παρηλλαγμένας ἐπί Χριστοῦ πρεσβεύειν τάς ἐξ ὧν ἐστί φύσεις, δῆλον ὡς οὐ μίαν ἑκατέρων τῶν οὐσιῶν, ἤγουν τοῦ ἐξ αὐτῶν συγκειμένου Χριστοῦ, παραδίδωσι τήν ἐνέργειαν· διά τοῦ φάναι, "Μίαν τε καί συγγενῆ δι᾽ ἀμφοῖν ἐπιδεικνύς τήν ἐνέργειαν·" ἀλλά Θεόν ὄντα φύσει, καί σαρκωθέντα παρίστησι τόν ὑπερούσιον Λόγον, τήν ζωοποιόν αὐτοῦ φύσει καί θείαν ἐνέργειαν, ἀσωμάτως τε προάγειν καί διά σώματος. Συγγενῆ γάρ εἰπών, οὐδέν ἕτερον, ἤ τήν αὐτήν δι᾽ ἀμφοῖν, προστάγματός τε παντουργοῦ καί ἁφῆς τῆς ἁγίας αὐτοῦ σαρκός, ἐκφαινομένην τοῖς θαύμασι ζωοποιόν ἐνέργειαν ἐπεσήμανε· ὥσπερ καί τό πῦρ ἀΰλως τε καῖον καί δι᾽ ὕλης, τήν αὐτήν ἑκατέρως καυστικήν ἐπιδείκνυται δύναμιν. Οὐκοῦν, οὐκ ἐπ᾽ ἀναιρέσει τῆς τοῦ Σωτῆρος ἀνθρωπικῆς ἐνεργείας, ταῦτα φησίν ὁ διδάσκαλος· σαρκός γάρ ἁφήν εἰρηκώς, τήν ἀνθρωπίνην ἐκδήλως ἐσήμανεν· εἴπερ ἡ ἁπτική, τῆς ἀνθρωπίνης ἐνεργείας σαφής ἐστιν ἀπόδειξις· ἀλλ᾽οὔτε πρός ταῖς κατά φύσιν δυσίν ἑτέραν παρ᾽ αὐτοῦ παραδέδωκεν· ἀλλά τήν ζωοποιόν φύσει, καθά λέλεκται, δι' ἀμφοῖν· προστάγματός τε καί ἁφῆς ἐνέργειαν, ἐξ ἑνός καί τοῦ αὐτοῦ Θεοῦ Λόγου προερχομένην δεδήλωκεν.

Εἰ δέ τούτοις περισχεθέντες τοῖς τῶν Πατέρων εὐσεβέσι κηρύγμασι, τήν πρός Ἀχίλλιον Ἡρακλειανοῦ παρακομίζουσιν ἐπιστολήν, καθ᾽ ἥν ὑποβάλλουσι καί μίαν πρός τοῖς δυσί φύσιν ἐπί Χριστοῦ λέγειν, ὡς ὅλου, καί κίνησιν, αὐτοί ταύτην ἑρμηνευέτωσαν. Ἔχει γάρ ὧδε τό γράμμα· " Μία μέν ἡ καθ᾽ αὑτήν ὅλη τοῦ Κυρίου φύσις τε καί κίνησις· δύο δέ αἱ κατά ἀναφοράν. Μίαν μέν ἡ τῶν μερῶν κίνησίς τε καί φύσις κατ᾽ οἰκείωσιν· δύο δέ , αἱ καθ᾽ αὑτάς. Κίνησιν δέ ὅταν φῶ· Ἐνέργειαν καί πάθος βούλομαι δηλοῦσθαι." Χρή τοιγαροῦν τούς ταῦτα τῶν οἰκείων δογμάτων προσβαλλομένους ὀχύρωσιν, διασαφηνίσαι τῷ λόγῳ, τίς, καί πῶς λεγομένη, καί τίνι τῶν ἐγκρίτων μεμαρτυρημένη Πατέρων, ὡς ἡ ὅλου τοῦ κυρίου μία τε φύσις καί κίνησις· καί τίνες αἱ δύο κατά ἀναφοράν. Τίς δέ καί ἡ τῶν μερῶν μία

κατ᾿ οἰκείωσιν φύσις ὁμοίως καί κίνησις· καί τίνες αἱ δύο καθ᾿ αὑτάς· ἤγουν αἱ τρεῖς αὗται συζυγίαι τῶν τε φύσεων τοῦ αὐτοῦ καί κινήσεων. Καί τίς τήν αὐτήν καί μίαν κίνησιν ἑκάτερον δηλοῦν (128) παραδέδωκεν· ἐνέργειάν τε φημί καί πάθος· καί πῶς, εἴπερ ἄμφω κατ' αὐτούς, οὐ κατά πᾶσαν αὐτοῦ διεσχοίνισται κίνησιν τοῦ Πατρός ὁ Υἱός, ὡς φύσει παθητός κατά πᾶσαν· εἴπερ οὐχ ἑκάτερον ἐνέργειαν ὁμοῦ καί πάθος ἡ τοῦ Θεοῦ καί Σωτῆρος καθ οἷον δήποτε τρόπον ἐπισημαίνεται κίνησις. Ἀπαθές γάρ φύσει τό Θεῖον, καί ἄσχετον, καί ἁπλοῦν· μᾶλλον δέ πάσης ὑπερηπλωμένον ἁπλότητος. Πῶς δέ πάλιν οὐχί ταῖς τῶν τριῶν συζυγίαις κινήσεων, ἐνεργείας τε καί πάθη δυοκαίδεκα παρεισάγουσιν, εἴπερ ἡ κίνησις ἄμφω δηλοῖ κατ᾿ αὐτούς· καί τίς τῶν ἁγίων κατ᾿ ἀναφοράν ἤ κατ᾿ οἰκείωσιν τάς ἐπί Χριστοῦ τοῦ Θεοῦ διεπρέσβευσε φύσεις;

Ταῦτα δειξάτωσαν πρότερον ἐκ Πατρικῆς ἐπικρίσεως, καί εἶθ᾿ οὕτως αὐτοῖς ἡ τῶν οἰκείων ἐντεῦθεν κυρωθήσεται δογμάτων ὑπόληψις. Εἰ δέ ἀδυνάτως ἔχοιεν, τούτων λοιπόν ἀφέμενοι, μόνοις σύν ἡμῖν τοῖς αὐσεβῶς κεκριμένοις στοιχείτωσαν, ἔκ τε τῶν θεοφόρων τῆς καθολικῆς Ἐκκλησίας Πατέρων, καί τῶν ἁγίων οἰκουμενικῶν πέντε συνόδων· Θεόν φύσει κατά πάντα τέλειον, καί ἄνθρωπον φύσει κατά πάντα τέλειον, πλήν μόνης ἁμαρτίας, τόν αὐτόν καί ἕνα καί μόνον Κύριον καί Θεόν Ἰησοῦν Χριστόν ὁμολογοῦντες· καί μή τῇ ἀναιρέσει τοῦ ἐπ᾿ ἀμφοῖν κατά πάντα φύσει τελείου, τήν θείαν ἤ τήν ἀνθρωπίνην τοῦ αὐτοῦ συνανέλωσι θέλησίν τε καί ἐνέργειαν γινώσκοντες, ὡς οὔτε ὅ ἦν ἀνάρχως καί ἀναιτίως, οὔτε ὅ γέγονεν ὕστερον δι᾿ αἰτίαν· ἤγουν τήν ἡμῶν σωτηρίαν, ἐμείωσεν ἤ ἠλλοίωσεν, ἤ ἐξηφάνισε κατά τι γοῦν ὅλως ὁ ὑπερούσιος Λόγος· ὁλικῶς δέ μᾶλλον καί τελείως, δίχα μόνης τῆς ἁμαρτίας, ἐν ἑαυτῷ τε καί δι᾿ ἑαυτοῦ, κατά πάντα τε καί ἐν πᾶσιν ἐφύλαξεν, αὐτά τε κυρίως, ὡς ἔφην, καθ᾿ ὕπαρξιν, ὧν φυσικήν· ὅθεν καί θελητικόν φύσει, καί ἐνεργητικός ὁ αὐτός καί μόνος καί εἷς Κύριος ἡμῶν καί Θεός, καθ᾿ ἑκατέραν αὐτοῦ φύσιν, ἐξ ὧν καί ἐν αἷς συνέστηκε, τῆς ἡμῶν σωτηρίας ἐστίν. Εἴπερ Θεός κατά φύσιν ἐξουσιαστικός ὑπάρχων, καί τῆς τῶν ἁπάντων ἐξουσίας δημιουργός, οὐκ ἄνους γέγονεν ἄνθρωπος, ἤ ζωῆς ἄμοιρος τῆς καθ᾿ ἡμᾶς φυσικῆς, καί παρ᾿ αὐτοῦ τό εἶναι κατά δημιουργίαν λαχόντων· ἀλλά νοερός, ἤτοι θελητικός φύσει καί ἐνεργητικός κατ᾿ ἀλήθειαν ἐχρημάτισεν ἄνθρωπος, αὐτός ὁ φύσει καί μόνος Θεός· ὅλον με προσλαβών μετά τῶν ἐμῶν, ἵν᾿ ὅλῳ μοι τήν

σωτηρίαν χαρίσηται· ὅλον λύσας τό κατάκριμα τῆς ἁμαρτίας ἐπειδή ἡ τό ἀπρόσληπτον, ἀθεράπευτον· ὅ δέ ἥνωται τῷ (129) Θεῷ, τοῦτο καί σώζεται, καθά φησιν ὁ τῆς θεολογίας ἐπώνυμος.

Ἀλλ᾽ ἐπειδή τούτοις δή τοις τῶν ἁγίων Πατέρων εὐσεβέσι διδάγμασι, τήν τῶν ἑτεροζυγούντων ἀποσκευαζομένοις παράλογον ἔνστασιν, ἑτέρωθεν ἡμῖν ἐπιφύονται· τήν τῶν ἡμετέρων εἰς ἡμετέραν καταδρομήν· μᾶλλον δέ, τήν τῶν ἀκεραιοτέρων συναρπαγήν, ποιούμενοι γραμμάτων προσαγωγήν, ἤγουν τῆς πρός Μαρῖνον, ὥς φασί, γεγονυίας ἡμῖν τόν πρεσβύτερον· καί τῆς πρός τόν Πύῤῥον ἐπιστολῆς, ἀναγκαῖον καί περί τούτων βραχέα εἰπεῖν· τήν ὑμετέραν ἐν πᾶσι πληροφοροῦντες ἁγιωσύνην, ὡς πρός Μαρῖνον μέν τόν πρεσβύτερον διαφόρως, περί διαφόρων ἐπεστάλκαμεν γραφικῶν κεφαλαίων· οὐ μήν γέ τοι καθ᾽ οἷον δήποτε τρόπον, ἤ λέλεκται ( ἡμῖν ) περί τῶν ἀντιῤῥόπων οὑτωσί, καί ἐναντίων δογμάτων· τῆς τε μιᾶς λέγω καί τῶν δύο, τουτέστι, τῶν πλαττομένων αὐτοῖς ἐπί τοῦ αὐτοῦ καί ἑνός Χριστοῦ τριῶν ἐνεργειῶν ἤ θελήσεων· ὡς ταύτας ἐπ'αὐτοῦ συνιστώντων ἡμῶν, ἐκείνοις ἐφάμιλλον, ἤ πρός ἕτερόν τινα παντελῶς. "Εἰ γάρ ἅ κατέλυσα, ταῦτα πάλιν οἰκοδομῶ, παραβάτην ἐμαυτόν συνιστάνω," φησί τό σκεῦος τῆς ἐκλογῆς. Ὅθεν καί οὑτωσί προφερομένην, ἤτοι πλαττομένην, ὡς ἐξ ἡμῶν δῆθεν πρός Μαρῖνον ἐπιστολήν, ἀλλοτρίαν οὖσαν πάντη καί οὐχ ἡμετέραν, ἡμεῖς τε αὐτοί διαῤῥίπτομεν, καί πάντας ὁμοίως ἡμῖν διαῤῥίπτειν παρακαλοῦμεν, τούς εὐσεβῶς ὁμολογοῦντας τόν Κύριον· ἵνα πᾶσαν τοῖς ἐναντίοις διατειχίσωμεν ἀφορμήν, προφάσεις προφασιζομένοις ἐν ἁμαρτίαις, καί τῆς οἰκείας ἀντιλογίας συγκάλυμμα, τήν καθ᾽ ἡμῶν ποιουμένοις συκοφαντίαν· οἵ ἐπειδή τῷ οἰκείῳ μή συνίστανται λόγῳ, τῇ τοῦ ἀληθοῦς προσβολῇ φθειρομένῳ, τῷ τοῦ ἡμετέρου δῆθεν γράμματος προσωπείῳ, τήν κατά τῶν ἀφελεστέρων ἑαυτοῖς ἀπεργάζονται δολίαν παρείσδυσιν· ἥν οὐκ ἄν πάθοιεν λοιπόν, ἤ δράσοιεν, οἱ τοῦ ψεύδους τό ἀληθές, τήν καθ᾽ ἡμᾶς περί τούτων ἀπολογίαν προκρίνοντες.

Πρός δέ τόν Πύῤῥον πάλιν, γεγραφότα πρότερον ἡμῖν τόμον πολύστιχον, καί ἄγαν ἡμᾶς, οὐκ οἶδ᾽ ὅπως, ἐν τούτῳ τιμήσαντα· κατ᾽ ἐξέτασιν δέ, καί οὐκ ἀπόφασιν, ἐν αὐτῷ δή τῷ τόμῳ τόν περί μιᾶς καί δύο τοῦ αὐτοῦ ποιησάμενον λόγον ἐνεργειῶν· (132) καί τήν ἡμετέραν οἷον ἐπιζητοῦντα, καί προσκαλούμενον περί ἑκατέρου λόγου κρίσιν τε καί ὑπόληψιν, εἰκότως καί ἡμεῖς αὐτόν ἐν προοιμίοις, τοῦ πρός αὐτόν ἡμετέρου γράμματος, ἀντετιμήσαμεν, ἀποστολικήν ἐκπληροῦντες

παραίνεσιν. Τῇ τιμῇ γάρ ἀλλήλους προηγούμενοί φησιν ὁ θεῖος Ἀπόστολος· ὅπου γε καί τούς ἑτέρως ἔχοντας, ἤ ἐπιστέλλοντας πρός ἡμᾶς ἀγαπᾷν τε καί εὐλογεῖν ὁ θεῖος παρακελεύεται λόγος. Καί ἅμα σπουδή μοι καθειστήκει, μή ἐκτραχύνειν· ὁμαλίζειν δέ μᾶλλον τόν ἄνδρα, τοῖς εἰς αὐτόν ἐγκωμίοις, πρός συγκατάθεσιν ἰέναι τῶν εὐσεβῶς μοι δεδογματισμένων, κατά τήν τῶν ἁγίων Πατέρων διδασκαλίαν· ὅθεν καί οὕτω νενοηκέναι κατά τήν γεγονυῖαν αὐτῷ παρ᾽ ἐμοῦ συγγραφήν, τά ὑπ᾽ ἐκείνου μοι γραφέντα διωμολόγουν· παρορμῶν αὐτόν οἷον, ὡς ἔφην, καί προσκαλούμενος, εἰς τήν τοῦ εὐσεβοῦς ἐπίνευσιν λόγου, σωτηρίαν αὐτῶ μεγίστην προξενοῦντος, εἴγε τοῦτο στέρξας σύν ἡμῖν ὡμολόγησεν ( ὡμολογήσειεν), ὡς γεγράφαμεν· τουτέστι δύο τοῦ αὐτοῦ καί ἑνός Χριστοῦ τοῦ Θεοῦ κατά φύσιν ἐνεργείας, ὥσπερ οὖν καί φύσεις ἡνωμένας ἀσυγχύτως καί ἀδιαιρέτως, θείαν καί ἀνθρωπίνην· ἄκτιστον καί κτιστήν· ἀλλ'οὐ μίαν καί τήν αὐτήν ὁπωσοῦν λεγομένην. Οὐ γάρ Πατρικός, αἱρετικός δέ μᾶλλον ὁ περί μιᾶς καί τῆς αὐτῆς ἐνεργείας ἤ θελήσεως ἤ φύσεως λόγος, ἐπί τοῦ αὐτοῦ καί ἑνός Κυρίου ἡμῶν καί Θεοῦ.

Τῆς μέν οὖν πρός αὐτόν ἐκεῖνον, ἤγουν τόν Πύῤῥον, ἡμετέρας εὐφημίας τοιοῦτος ὁ τρόπος καθέστηκε, τῆς ἀντιῤῥόπου δόξης αὐτόν ἠρέμα διϊστᾷν ἐπειγόμενος, καί πρός τόν ὀρθόν ἐπαναβιβάζειν λόγον τῆς πίστεως. Εἰ δέ τις τοῦ καθ᾽ ἡμᾶς, διαμαρτάνων σκοποῦ, πρός τήν εὐφημίαν ἔτι δυσφορεῖ, τήν τῆς ἡμετέρας οἰκονομίας ἐν τούτῳ δή μάλιστα λόγον οὐκ ἀποδεχόμενος, παρείσθω δή τούτω, καί διαῤῥιπτέσθω κατά τό δοκοῦν ἡ εὐφημία, μηδέ ἡμῖν λοιπόν ἐπέραστος οὖσα, προσάντης δέ μᾶλλον μετά τήν τελείαν τἀνδρός ἐκτροπήν· κυρούσθω δέ σύν ἡμῖν τῶν πρός αὐτόν ὀρθοδόξως δογματισθέντων ἡ δύναμις.

Ἔχετε, Πατέρες ἅγιοι, τῆς πληροφορίας διά τῆς ἡμετέρας ἀπολογίας τόν λόγον· ἀλλ᾽ ἀνδρίζεσθε, καί κραταιοῦσθε πνεύματι, μή παρακλινόμενοι δεξιά ἤ ἀριστερά, πρός τῶν ἐναντίων ἀνδρῶν καί δογμάτων· ἀλλ᾽ ὁδῷ βασιλικῇ στεριζόμενοί τε καί ποδηγούμενοι παρ᾽ αὐτοῦ τοῦ εἰπόντος, Ἐγώ εἰμί ἡ ὁδός, καί ἡ ζωή, καί ἀλήθεια,- σύμψυχοι, τό αὐτό φρονοῦντες,- καί ὁ Θεός τῆς εἰρήνης ἔσται μετά πάντων ὑμῶν, εὐσεβῶς ἀεί κηρυττόμενος, καί ὁσίως παρ᾽ ὑμῶν λατρευόμενος· καί πέρας τῆς ἐνταῦθα μακαρίας πολιτείας τε καί ὁμολογίας, ἑαυτόν ἐκεῖσε μακαριωτέραν παρεχόμενος ὑμῖν κληροδοσίαν τε καί ἀνάπαυσιν· μεθ᾽ οὗ τῷ Πατρί σύν τῷ ἁγίῳ

Πνεύματι, δόξα, τιμή, κράτος, προσκύνησις, νῦν καί ἀεί, καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΤΟΥ ΑΓΙΟΥ ΜΑΞΙΜΟΥ

***(193) Ἴσον ἐπιστολῆς πρός τόν κύριον Μαρῖνον τόν πρεσβύτερον τῆς Κύπρου.***

Νόμῳ θείῳ κατά Θεόν εὐθυνόμενος, θεοτίμητε πάτερ, νόμον ὑπερεῖδες ἀνθρώπινον, κενώσει τό μέτριον ὑπεράρας, καί πτωχείᾳ τό ἐντελές μεγαλύνας τῆς ἐμῆς περί τε τό νοεῖν καί λέγειν ἀπειρίας, ἤ προπετείας, εἰπεῖν οἰκειότερον· οὐ γάρ αἰσχύνομαι τά ἐμά καί τῆς ἐμῆς ἀσθενείας, πάθη δεόντως ἐξαγορεύειν, καί τόσῳ προθυμίᾳ μᾶλλον ἀποκαλύπτειν, ἤ ὅσον φιλανθρωπίᾳ ἐπικαλύπτειν ἐσπούδασας. Τίς γάρ ποτ᾽ ἄν ἀλόγου λόγον οὕτω προσήκατο, καί φρενίτιδος νοῦν διανοίας ἐδέξατο, μή τί γε παντελῶς εἰπεῖν, ἀπεσέμνυνεν ὡς σύ τό ἐμόν, θεοτίμητε πάτερ, οὐχ ὅσον μόνον δι᾽ ἀγάπην παραδραμών τό ἀπαίδευτον, κατ᾽ ἄκρον ἐτίμησας· ὅ δή μέγιστον τῷ ἀκόσμῳ πρός εὐδοξίαν, ἀλλά καί ὅσον διά χάριν ἐπιβαλών τό αἰσέσιμον, ᾧ τήν οἰκείαν παγκαλῶς εἴωθας ὡραΐζειν διάνοιαν, ὑπερβολῇ κατεφαίδρυνας· ἐξ ὧν ὅ τε λόγος καί τρόπος συνίσταται τῆς ἀληθοῦς εὐγενείας, ἤ Θεοῦ συγγενείας, εἰπεῖν ἀληθέστερον ἤ καί οἰκειότερον· οὐ μᾶλλον μετεωρίζειν εἰδώς· οὐ γάρ πέφυκεν ἤ μετριάζειν ποιῶν· καί γάρ εἴωθέ πως ἀμεταβόλως ἑδράζειν πρός ὕφεσιν, τῇ ὑπερβολῇ τῶν οὐ προσόντων πλεῖον ἀποκαλύπτων τήν ἔνδειαν, καί γνωρίζων τήν γύμνωσιν· καί τῇ παραδείξει τῶν ὑπέρ ἀξίαν, αὐστηρότεραν ἐνιείς τῶν κατ' ἀξίαν τήν αἴσθησιν, ἡνίκα τοῦ τῆς ψυχῆς βάθους κατακρατήσας, τό μέγεθος τοῦ ἀπεμφαίνοντος ἰδεῖν, ἀπαρακαλύπτως ποιήσειεν· ὅ δή μάλιστα πεπονθώς, τῇ τῶν ὑμετέρων εὐχῶν διατρανώσει, θείων ἡψάμην θεσμῶν, οὕς λόγος οἰκονομίας τῆς ὑπέρ ἔννοιαν εἶδε προνοητικῶς συντηρεῖν καί προβάλλεσθαι τοῖς κατ᾽ ἐμέ χειραγωγίας προσδεομένοις καί χρήζουσιν.

Καί μετά βραχέα. Ἀμέλει τοι γοῦν τῶν τοῦ νῦν ἁγιοτάτου, Πάπα συνοδικῶν, ἐν τοσούτοις, ὅσοις (136) γεγράφατε, κεφαλαίοις, οἱ τῆς βασιλίδος τῶν πόλεων ἐπελάβοντο· δυσί δέ μόνοις, ὧν, τό μέν ὑπάρχει περί θεολογίας, ὅτι τε φησίν εἶπεν, " Ἐκπορεύσθαι κάκ τοῦ Υἱοῦ τό

Πνεῦμα τό ἅγιον·" τό δέ ἄλλο, περί τῆς θείας σαρκώσεως· ὅτιπερ γέγραφε· "Δίχα τόν Κύριον εἶναι τῆς προπατορικῆς ἁμαρτίας ὡς ἄνθρωπον." Καί τό μέν πρῶτος, συμφώνους παρήγαγον χρήσεις τῶν Ῥωμαίων Πατέρων· ἔτι γε μήν καί Κυρίλλου Ἀλεξανδρείας, ἐκ τῆς πονηθείσης αὐτῷ εἰς τόν εὐαγγελιστήν ἅγιον Ἰωάννην ἱερᾶς πραγματείας· ἐξ ὧν, οὐκ αἰτίαν τόν Υἱόν ποιοῦντας τοῦ Πνεύματος, σφᾶς αὐτούς ἀπέδειξαν· μίαν γάρ ἴσασιν Υἱοῦ καί Πνεύματος τόν Πατέρα αἰτίαν· τοῦ μέν κατά τήν γέννησιν· τοῦ δέ, κατά τήν ἐκπόρευσιν· ἀλλ᾽ ἵνα τό δι᾽ αὐτοῦ προϊέναι δηλώσωσι· καί ταύτῃ τό συναφές τῆς οὐσίας καί ἀπαράλλακτον παραστήσωσι.

Τῷ δέ δευτέρῳ, μηδεμιᾶς χρήζουσι τό παράπαν ἀπολογίας. Ποίᾳ γάρ ἐν τούτῳ ἀμφισβήτησις· εἰ καί τοῖς προφασιζομένοις νομίζεται διά τό δύστροπον. Ὅμως δ᾽ οὖν ἐξεδυσώπησαν, εἰπόντες "Μήτε τήν κατά νοῦν ἔχειν ἁμαρτίαν, καθ᾽ ἥν πρωτοπαθήσας φαίνεταί πως ὁ Ἀδάμ, μήτε τήν ἐξ αὐτῆς προϊοῦσαν διά σώματος πρᾶξιν τοῦ κακοῦ καί ἐνέργειαν."

Οὗτοι μέν οὖν ταῦτα, περί ὧν οὐκ εὐλόγως ἀνεκλήθησαν· ἐκεῖνοι δέ περί ὧν καί μάλα δικαίως, οὐδεμίαν μέχρι καί νῦν πεποίηνται τήν ἀπολογίαν, ὅτι μηδέ τήν παρεισαχθέντων τῶν ὑπ᾽ αὐτῶν ἐκβολήν. Μεθερμηνεύειν δέ τά οἰκεῖα, τοῦ τάς ὑποκλοπάς χάριν διαφυγεῖν τῶν ὑποπιπτόντων κατά τήν ὑμετέραν κέλευσιν, παρεκάλεσα τούς Ῥωμαίους· πλήν ἔθους κεκρακηκότος οὕτω ποιεῖν καί στέλλειν, οὐκ οἶδα τυχόν εἰ πιστεῖεν. Ἄλλως τε καί τό μή οὕτως δύνασθαι διακριβοῦν ἐν ἄλλῃ λέξει σέ καί φωνῇ τόν ἑαυτῶν νοῦν ὥσπερ ἐν τῇ ἰδίᾳ καί θρεψαμένῃ, καθάπερ οὖν καί ἡμεῖς ἐν τῇ καθ᾽ ἡμᾶς τόν ἡμέτερον. Γενήσεται δέ πάντως αὐτοῖς, πείρᾳ τήν ἐπήρειαν μαθοῦσι, καί ἡ περί τούτου φροντίς.

Τῷ δέ περί οὐσίας καί φύσεως, ὑποστάσεώς τε δή καί προσώπου, καί τῶν καθεξῆς κεφαλαίων, ἐνέτυχον σχέδει Θεοδώρου τοῦ τῆς Φαράν· καί ὡς ἐν εἰσαγωγῆς τρόπῳ τυχόν οὐκ ἀσυντελοῦσιν· ἐν δέ τῷ περί προσώπου καί τῆς ὑποστάσεως λόγῳ, οὐ τοῖς περί τούτων κανόσι μᾶλλον, ἤ ἑαυτῷ φαίνεται στοιχήσας πως, ὑποστατικήν λέγοντι τήν ἐνέργειαν· ὅν καί τῆς οἰκείας δόξης καθηγητήν καί συνήγορον, οἱ τῆς ἐναντίας προβάλλονται· τήν πᾶσαν ἐξ αὐτοῦ καί τῶν αὐτοῦ ῥημάτων σχεδόν τυπώσαντές τε καί ὑπαγορεύσαντες Ἔκθεσιν. Καί γάρ κατά ταῦτα λόγον συνεσκίασέ πως καί ἠμαύρωσε, τῷ προσώπῳ δεδωκώς ὡς προσώπῳ τήν χαρακτηρίζουσαν τήν φύσιν ἐνέργειαν· οὐχί τόν πῶς

καί ὁποῖον τῆς (137) κατ᾽ αὐτήν ἐκβάσεως τρόπον· καθ᾽ ἥν ἡ διαφορότης τῶν τε πραττόντων καί τῶν πραττομένων γνωρίζεται, κατά φύσιν, ἤ παρά φύσιν ἐχόντων. Ὥς γάρ τι ὤν προηγουμένως, ἀλλ᾽ οὐχ ὥς τις ἕκαστος ἡμῶν ἐνεργεῖ· τουτέστιν, ὡς ἄνθρωπος· ὡς δέ τις, οἷον Παῦλος ἤ Πέτρος, τόν τῆς ἐνεργείας σχηματίζει τρόπον, ἐνδόσει τυχόν ἤ ἐπιδόσει, οὕτως ἤ ἐκείνως ὑπ᾽ αὐτοῦ κατά γνώμην τυπούμενος. Ὅθεν ἐν μέν τῷ τρόπῳ τό παρηλλαγμένον τῶν προσώπων κατά τήν πρᾶξιν γνωρίζεται· ἐν δέ τῷ λόγῳ, τό τῆς φυσικῆς ἀπαράλλακτον ἐνεργείας. Οὐ γάρ ὁ μέν μᾶλλον, ὁ δέ ἧττόν ἐστιν ἐνεργής ἤ λογικός· ἀλλ᾽ ἐπίσης ἅπαντες τόν τε λόγον ἔχομεν καί τήν τούτου κατά φύσιν ἐνέργειαν. Μᾶλλον δέ καί ἧττον· καί οὕτως ἤ ἐκείνως δίκαιος ἤ ἄδικος, τῷ τόν μέν τοῖς κατά φύσιν ἕψεσθαι πλέον· τόν δέ τούτων ἀφέψεσθαι. Τηρητέον δέ δι᾽ ἀκριβείας τούς περί τι παρεγκληθέντας. Ἐπειδή βιάζονταί πως καί ἕλκουσι τούς τε τῶν πραγμάτων ὅρους, καί τούς κανόνας πρός τό δοκοῦν, ὥσπερ ἐξ ἐπιτάγματος μεταφέροντες, ἵνα τά οἰκεῖα δῆθεν ἐκ παρατροπῆς ὑποστήσωσι.

Τάς σταλείσας τετράδας, καίτοι μή κατά σχολήν μετιών, λέγω δή τάς περί ψυχῆς καί τῶν λοιπῶν κεφαλαίων, τό δοκοῦν περί αὐτῶν γνωρίζω. Τό γάρ τάχος τοῦ ἐξορμῶντος, οὐ συνεχώρει ταύτας διελθεῖν· ὅτι καί μετά πλείους ἡμέρας τοῦ καταλαβεῖν ἐν τῷ Βυζακίῳ, πρός τήν ἐμήν γέγονεν οὐδενίαν ἐν Καρθαγένῃ. Λοιπόν δέ καί εἰργομένῳ μοι κἀκ τῆς προσούσης μοι τῶν ὀμμάτων ὡς εἰπεῖν ἀδρανείας· ἐπεί καί τήν περί τούτων κέλευσιν ὑμῶν, ὡς τάχος ἠβουλόμην πληρῶσαι, πέπομφα. Ἡ κριθεῖσα τῆς μεταγραφῆς χάριν τοῦ τείχους οἰκονομία, τοῖς ἁγιωτάτοις ὑμῖν, τοῦ τήν ἑρμηνείαν ἔχοντος τοῦ εὐαγγελιστοῦ Ἰωάννου, κἀμοί τῷ ἡμετέρῳ λίαν πέφανται προσηνής, ὡς μή καταδρομῆς αἰτία γένηται κατά τοῦ ἐκθεμένου, τοῖς πάντα κατά τό δοκοῦν μεταλλεύειν οὐ καλῶς πειρωμένοις.

## ΤΟΥ ΑΥΤΟΥ
## ***Ἐκ τῆς ἐπιστολῆς τῆς ἐν Ῥώμῃ γραφείσης.***

Ταῦτα γάρ τά πέρατα τῆς οἰκουμένης, καί οἱ τόν Κύριον εἰλικρινῶς καί ὀρθοδόξως πανταχοῦ γῆς ὁμολογοῦντες, ὥσπερ εἰς ἥλιον φωτός ἀϊδίου εἰς τήν Ῥωμαίων ἁγιωτάτην Ἐκκλησίαν καί τήν αὐτῆς ὁμολογίαν καί πίστιν, ἰθυτενῶς ἀποβλέπουσιν, ἐξ αὐτῆς τήν

ἀπαστράπτουσαν αἴγλην προσδεχόμενοι, τῶν πατρικῶν καί ἁγίων δογμάτων, καθώς αἱ θεόληπτοι καί θεσπέσιοι εἰλικρινῶς καί πανευσεβῶς ἐξέθεντο ἅγιαι ἕξ σύνοδοι, ἐκφαντερικώτατα φάσκοντες τό σύμβολον τῆς πίστεως. Ἀπαρχῆς γάρ τῆς πρός ἡμᾶς καταβάσεως τοῦ σαρκωθέντος Θεοῦ (140) Λόγου, μόνην κρηπῖδα καί θεμέλιον αἱ πᾶσαι πανταχοῦ τῶν Χριστιανῶν Ἐκκλησίαι, τήν αὐτόθι μεγίστην ἐκτήσαντό τε καί ἔχουσιν· ὡς οὐδαμῶς μέν κατισχυομένην κατά τήν αὐτήν τοῦ Σωτῆρος ἐπαγγελίαν, ὑπό ᾅδου πυλῶν· ἀλλ᾽ ἔχουσαν τάς κλεῖς τῆς εἰς αὐτόν ὀρθοδόξου πίστεως καί ὁμολογίας· καί τοῖς εὐσεβῶς προσερχομένοις ἀνοίγουσαν τήν ὄντως φύσει καί μόνην εὐσέβειαν· ἀποκλείουσαν δέ καί ἐμφράττουσαν πᾶν αἱρετικόν στόμα, λαλοῦν ἀδικίαν εἰς τό ὕψος. Καί γάρ ἅπερ αὐτός ὁ τῶν ὅλων δημιουργός καί Δεσπότης Κύριος ἡμῶν Ἰησοῦς Χριστός, οἵ τε τούτου μαθηταί καί ἀπόστολοι, καί οἱ καθεξῆς ἅγιοι Πατέρες τε καί διδάσκαλοι καί μάρτυρες, ἱερουργηθέντες οἰκείοις ἔργοις τε καί λόγοις, ἀγῶσί τε καί ἱδρῶσι, καί πόνοις καί αἵμασι, καί τελευταῖον ἐξαισίοις θανάτοις διά τήν ἡμῶν τῶν εἰς αὐτόν πιστευόντων καθολικήν καί ἀποστολικήν Ἐκκλησίαν ἐθεμελίωσαν καί ᾠκοδόμησαν, διά δύο ῥημάτων ἀπονητί καί δίχα θανάτου (καμάτου), ὢ τῆς τοῦ Θεοῦ μακροθυμίας καί ἀνοχῆς! καταλῦσαι σπουδάζουσι, καί ἀκυρῶσαι τό μέγα καί πάμφωταν καί πανύμνητον τῆς Χριστιανῶν ὀρθοδόξου θρησκείας μυστήριον.

ΤΟΥ ΑΓΙΟΥ ΜΑΞΙΜΟΥ

***Περί τῶν δύο τοῦ Χριστοῦ φύσεων.***

*α΄.* Ὁ Ἄρειος τάς τρεῖς ὑποστάσεις ὁμολογεῖ· ἀλλά τήν Μονάδα ἀρνεῖται· καί οὐ λέγει ὁμοούσιον τήν ἁγίαν Τριάδα. Ὁ δέ Σαβέλλιος, τήν Μονάδα ὁμολογεῖ· ἀλλά τήν Τριάδα ἀρνεῖται· τόν γάρ αὐτόν λέγει Πατέρα καί Υἱόν καί ἅγιον Πνεῦμα· ἡ δέ Ἐκκλησία τοῦ Θεοῦ, καί τήν Μονάδα ὁμολογεῖ, καί τήν Τριάδα κηρύττει. Ὁ Μακεδόνιος ὅμοια τῷ Ἀρείῳ πρεσβεύει· τό γάρ ἅγιον Πνεῦμα, κτίσμα ὑποτίθησιν· ἡ δέ Ἐκκλησία, ὁμοούσιον τῷ Πατρί καί τῷ Υἱῷ τό Πνεῦμα τό ἅγιον ἀνακηρύττει, καί Θεόν πῶς διαβεβαιοῖ. Ὁμοίως καί ἐπί τοῦ ἑνός τῆς ἁγίας Τριάδος, Νεστόριος τήν φυσικήν διαφοράν λέγει· ἀλλά τήν ἕνωσιν οὐχ ὁμολογεῖ, οὐ γάρ λέγει ταύτην καθ᾽ ὑπόστασιν γεγονέναι.

Ὁ δέ Εὐτυχής, τήν μέν ἕνωσιν ὁμολογεῖ· τήν δέ κατ᾽ οὐσίαν διαφοράν ἀρνεῖται, καί σύγχυσιν τῶν φύσεων εἰσάγει. Ἡ δέ Ἐκκλησία, καί τήν καθ᾽ ὑπόστασιν ἕνωσιν διά τό ἀδιαίρετον, καί τήν κατ᾽ οὐσίαν διαφοράν διά τό ἀσύγχυτον πρεσβεύει.

β΄. Πῶς ἡ ἄκρα ἕνωσις καί ταυτότητα ἔχει, καί ἑτερότητα; Ἤ ταυτότητα οὐσιῶν καί ἑτερότητα προσώπων, καί τό ἔμπαλιν. Οἷον ἐπί τῆς ἁγίας Τριάδος, ταυτότης μέν ἐστιν οὐσίας· ἑτερότης δέ προσώπων· μίαν γάρ οὐσίαν ὁμολογοῦμεν· τρεῖς δέ ὑποστάσεις. Ἐπί δέ τοῦ ἀνθρώπου, ταυτότης μέν ἐστι προσώπου· ἑτερότης δέ οὐσιῶν· ἑνός γάρ ὄντος ἀνθρώπου, ἄλλης οὐσίας ἐστίν ἡ ψυχή, καί ἄλλης ἡ σάρξ. Ὁμοίως δέ καί ἐπί τοῦ Δεσπότου Χριστοῦ· ταυτότης μέν ἐστι, προσώπου· ἑτερότης δέ, οὐσιῶν· ἑνός γάρ ὄντος προσώπου, ἤτοι ὑποστάσεως, ἑτέρας 148) οὐσίας ἐστίν ἡ θεότης, καί ἑτέρας ἡ ἀνθρωπότης. Ὥσπερ γάρ ἀδύνατον τῆς ἁγίας Τειάδος ὁμολογεῖν μέν τήν ἕνωσιν, μή ἐκφωνεῖν δέ τήν διαφοράν· οὕτως ἀνάγκη πᾶσα ἐπί τοῦ ἑνός τῆς ἁγίας Τριάδος, καί τήν ἕνωσιν καί τήν διαφοράν κηρύττειν.

γ΄. Ὥσπερ γάρ οὐ διά τῶν αὐτῶν σημαίνεται λέξεων, ἥ τε διαφορά καί ἡ ἕνωσις ἐπί τῆς ἁγίας Τριάδος· ἀλλά διά τοῦ μέν λέγειν τρεῖς ὑποστάσεις, ἡ διαφορά· διά τοῦ ὁμολογεῖν δε μίαν οὐσίαν, ἡ ἕνωσις ὁμολογεῖται· οὕτω καί ἐπί τοῦ ἑνός τῆς ἁγίας Τριάδος· διά μέν τοῦ γνωρίζειν τάς δύο φύσεις, ἡ διαφορά· διά δέ τοῦ κηρύττειν μίαν ὑπόστασιν σύνθετον, ἡ ἕνωσις ὁμολογεῖται.

δ΄. Ὥσπερ γάρ Ἄρειον ἀναθεματίζομεν, οὐχ ὡς κηρύττοντα ἐπί τῆς ἁγίας Τριάδος τήν καθ᾽ ὑπόστασιν διαφοράν· ἀλλ᾽ ὡς μή λέγοντα τήν φυσικήν ἕνωσιν· οὕτω καί Νεστόριον ἀναθεματίζομεν, οὐχ ὡς γνωρίζοντα τήν φυσικήν διαφοράν ἐπί τοῦ Χριστοῦ· ἀλλ᾽ ὡς μή λέγοντα τήν καθ᾽ ὑπόστασιν ἕνωσιν.

ε΄. Ὥσπερ Σαβέλλιον ἀναθεματίζομεν, οὐχ ὡς κηρύττοντα ἐπί τῆς ἁγίας Τριάδος τήν φυσικήν ἕνωσιν· ἀλλ᾽ ὡς μή λέγοντα τήν καθ᾽ ὑπόστασιν διαφοράν· οὕτως Εὐτυχέα ἀναθεματίζομεν, οὐχ ὡς μή λέγοντα τήν καθ᾽ ὑπόστασιν ἕνωσιν ἐπί τοῦ Χριστοῦ· ἀλλ᾽ ὡς μή γνωρίζοντα τήν φυσικήν διαφοράν;

στ΄. Τήν κάθ᾽ ὑπόστασιν διαφοράν ἐπί τῆς ἁγίας Τριάδος, καί τήν φυσικήν διαφοράν ἐπί τοῦ ἑνός τῆς ἁγίας Τριάδος, οὐκ ἐν αἰσθήσει χρή λέγειν, ἀλλά νοῆσαι τοῖς τῆς διανοίας ὄμμασιν. Καί πῶς, ἐπί μέν τῆς ἁγίας Τριάδος ἐκφωνεῖτε τάς τρεῖς ὑποστάσεις διά τήν καθ'

ὑπόστασιν διαφοράν· ἐπί δέ τοῦ ἑνός τῆς ἁγίας Τριάδος, οὐκ ἐκφωνεῖτε δύο φύσεις ἐν μιᾷ ὑποστάσει, διά τήν φυσικήν διαφοράν;

ζ΄. Ὥσπερ γιά τό ὁμοούσιον τῆς ἁγίας Τριάδος, μίαν οὐσίαν· καί διά τό ἑτεροϋπόστατον τρεῖς ὑποστάσεις λέγεις· οὕτω διά τό ἑτερούσιον τοῦ Λόγου καί τῆς σαρκός, δύο οὐσίας· καί διά τό μή ἰδιοϋπόστατον, μίαν ὑπόστασιν λέγε.

η΄. Ὥσπερ ἐπί τῆς ἁγίας Τριάδος τήν μίαν οὐσίαν, οὐκ ἐπί συγχύσει τῶν τριῶν ὑποστάσεων λέγομεν· οὔτε τάς τρεῖς ὑποστάσεις ἐπί ἀναιρέσει τῆς μιᾶς οὐσίας· οὕτως ἐπί τοῦ ἑνός τῆς ἁγίας Τριάδος, (149) τήν μίαν ὑπόστασιν, οὐκ ἐπί συγχύσει τῆν δύο φύσεων αὐτοῦ λέγομεν· οὔτε τάς δύο φύσεις, ἐπί διαιρέσει τῆς μιᾶς ὑποστάσεως.

θ΄. Ὁ μή λέγων ἐπί Χριστοῦ διά τήν τῶν φύσεων διαφοράν, τήν καθ᾽ ὑπόστασιν ἕνωσιν, Νεστοριανός ἐστι· καί ὁ μή λέγων ἐν τῇ καθ᾽ ὑπόστασιν ἑνώσει τήν φυσικήν διαφοράν, Εὐτυχιανιστής ἐστι· ὁ δέ καί τήν καθ᾽ ὑπόστασιν ἕνωσιν, καί τήν φυσικήν διαφοράν κηρύττων ἐπί τοῦ ἑνός τῆς ἁγίας Τριάδος, τήν βασιλικήν καί ἀμώμητον πίστιν κρατεῖ.

ι΄. Ὁ τοίνυν λέγων καί διαφοράν καί ἕνωσιν ἐπί τοῦ Χριστοῦ, οὔτε τήν διαφοράν ἀναιρεῖ, οὔτε τήν ἕνωσιν συγχέει. Καί γάρ ὁ θεῖος Κύριλλος ἀναθεματίζει τούς διά τήν διαφοράν ἀναιροῦντας τήν καθ᾽ ὑπόστασιν ἕνωσιν· καί ἡ οἰκουμενική σύνοδος ἀναθεματίζει τούς διά τήν καθ᾽ ὑπόστασιν ἕνωσιν ἀναιροῦντας τήν φυσικήν διαφοράν ἐπί τοῦ ἑνός τῆς ἁγίας Τριάδος.

ΜΑΞΙΜΟΥ ΤΟΥ ΟΜΟΛΟΓΗΤΟΥ

***Ὅροι διάφοροι.***

Οὐσία καί φύσις, ταυτόν· ἄμφω γάρ κοινόν καί καθόλου, ὡς κατά πολλῶν καί διαφερόντων τῷ ἀριθμῷ κατηγορούμενα, καί μήποτε καθοτιοῦν ἑνί προσώπῳ περιοριζόμενα.

Ἐνυπόστατόν ἐστι, τό κατά τήν οὐσίαν κοινόν, ἤγουν τό εἶδος, τό ἐν τοῖς ὑπ᾽ αὐτό ἀτόμοις πραγματικῶς ὑφιστάμενον, καί οὐκ ἐπινοίᾳ ψιλῇ θεωρούμενον.

Ἄλλως, ἤ πάλιν ἐνυπόστατόν ἐστι, τό ἄλλῳ διαφόρῳ κατά τήν οὐσίαν εἰς ἑνός σύστασιν προσώπου καί μιᾶς γένεσιν ὑποστάσεως, συγκείμενόν τε καί συνυφιστάμενον, καί οὐδαμῶς καθ᾽ αὐτό γνωριζόμενον.

Ὁμοούσιόν ἐστι τό τῆς αὐτῆς οὐσίας ἄλλῳ τυγχάνον, διάφορον δέ πρός τό αὐτό κατά τήν ὑπόστασιν ὄν· ὡς ἐπί τε ἀνθρώπου καί τῶν ἄλλων ἔχει εἰδῶν. Εἴ τι οὖν ἄλλῳ ταυτόν ὑπάρχει κατά τήν οὐσίαν, οὐ ταυτόν ὑπάρχει τῷ αὐτῷ καί κατά τήν ὑπόστασιν· καί εἴ τι ἕν καί ἡνωμένον τῷ αὐτῷ τυγχάνει κατά τήν οὐσίαν, οὐχ ἕν οὔτε ἡνωμένον τῷ αὐτῷ τυγχάνει καί κατά τήν ὑπόστασιν· καί εἴ τι διαφοράν ἔχει πρός ἄλλο κατά τήν ὑπόστασιν, τοῦτο ἕνωσιν ἔχει πρός τό αὐτό κατά τήν οὐσίαν.

Οὐσιώδης οὖν ἕνωσίς ἐστιν, ἡ τάς διαφόρους κατ᾽ ἀριθμόν καί πολλάς ὑποστάσεις εἰς μίαν καί τήν αὐτήν οὐσίαν συνάγουσα. Οὐσιώδης καί διαφορά τυγχάνει, λόγος καθ᾽ ὅν ἡ οὐσία, ἤγουν φύσις, ἀμείωτός τε καί ἄτρεπτος, ἄφυρτος ὁμοῦ καί ἀσύγχυτος διαμένει, καί τήν πρός ἄλλο κατ᾽ εἶδος ἕτερον εἰς μίαν ὑπόστασιν ποιουμένη σύνοδον, οὐδ᾽ ὅλως τῆς κατά φύσιν ἰδίας ἐξίσταται φύσεως.

(152) Ὑπόστασις καί πρόσωπον, ταυτόν· ἄμφω γάρ μερικόν τε καί ἴδιον, ὡς ἐφ᾽ ἑαυτῶν τήν περιγραφήν, ἀλλ᾽ οὐκ ἐν πλείοσι τήν κατηγορίαν φυσικῶς κεκτημένα.

Ἐνούσιόν ἐστι τό μή μόνον ἐνθεωρούμενον ἔχον ἐφ᾽ ἑαυτοῦ τό τῶν ἰδιωμάτων ἄθροισμα, καθ' ὅ ἄλλο ἀπ᾽ ἄλλου γνωρίζεται, ἀλλά καί τό κοινόν τῆς οὐσίας πραγματικῶς κεκτημένον.

Ὁμοϋπόστατόν ἐστι, τό εἰς μίαν καί τήν αὐτήν ὑπόστασιν ἄλλῳ συντεθειμένον· διάφορον δέ πρός τό αὐτό κατ᾽ οὐσίαν τυγχάνον· ὡς ἐπί τε ψυχῆς καί σώματος ἔχει, καί τῶν ἄλλων ὅσα φύσεως ἑτερότητι

διαφέροντα, καθ᾽ ὑπόστασιν ἥνωται. Εἴ τι οὖν ἄλλῳ καθ᾽ ἕνωσιν συντεθέν, ταυτόν ὑπάρχει κατά τήν ὑπόστασιν, τουτέστιν, ὑπόστασις μετ᾽ αὐτοῦ γέγονε μία, ἕτερον τῷ αὐτῷ κατά τήν οὐσίαν ἐστί. Καί εἴ τι ἕν καί ἡνωμένον ἄλλῳ τυγχάνει κατά τήν ὑπόστασιν, τοῦτο οὐχ ἕν οὔτε ὁμογενές ἐστι τῷ αὐτῷ καί κατά τήν οὐσίαν. Καί εἴ τι συντεθειμένον ἄλλῳ διαφοράν ἔχει κατά τήν οὐσίαν, τοῦτο ἕνωσιν ἔχει πρός τό αὐτό κατά τήν ὑπόστασιν.

Ὑποστατική οὖν ἕνωσίς ἐστιν, ἥ τάς διαφόρους οὐσίας ἤγουν φύσεις εἰς ἕν πρόσωπον, καί μίαν καί τήν αὐτήν ὑπόστασιν συνάγουσά τε καί συνδέουσα. Ὑποστατική δέ διαφορά, τυγχάνει λόγος, καθ᾽ ὅν ἡ κατά τό ἄθροισμα τῶν ἐνθεωρουμένων ἰδιωμάτων τῷ κοινῷ τῆς οὐσίας ἑτερότης, τέμνουσα κατ᾽ ἀριθμόν ἄλλον ἀπ᾽ ἄλλου, τήν τῶν ἀτόμων ποιεῖται πληθύν.

Σχετική ἕνωσίς ἐστι, φιλική συνδιάθεσις, ἤ θελημάτων ὁμονοητική σύμπνοια καί ἐπίνευσις. Σχετική διαφορά ἐστι, γνώμης ἑτερότης, ἤ θελημάτων ἀνομοιότης, ἤ διαίρεσις διαθέσεως.

Συγχυτική ἕνωσίς ἐστιν, ἡ ἐξ ὑποστάσεων εἰς ὅλου τινός κατά σύνοδον γινομένη σύνθεσις, ἥ τις τήν τῶν μερῶν ἑαυτῆς μετά τήν ἕνωσιν ἐν εἴδει καί σχήματι, σωζομένην οὐκ ἔχει τό συνόλον ὕπαρξιν· ἀλλ᾽ ἠφανισμένην ὁμοῦ καί πεφυρμένην καί ἄγνωστον, καί τῶν κατ᾽ αὐτήν συνδεδραμηκότων οὐδεμίαν οὐδαμῶς κέκτηται διαφοράν, τήν οὐσιώδη τούτων ἰδιότητα διασημαίνουσαν.

Διαίρεσίς ἐστι, τομή διαμπάξ ἀνά μέρος τιθεῖσά τε καί χωρίζουσα καί καθ᾽ ἑαυτήν θεωρεῖσθαι παρασκευάζουσα, κατά τε οὐσίαν καί ὑπόστασιν, τήν ἑκάστου πράγματος ὕπαρξιν.

Ὑποστάσεως ἴδιόν ἐστι, τό καθ᾽ ἑαυτήν ὁρᾶσθαι, καί τῶν ὁμοειδῶν κατ᾽ ἀριθμόν διαστέλλεσθαι. Ἐνυποστάτου ἴδιόν ἐστι, ἤ τό μετ᾽ ἄλλου διαφόρου κατά (153) τήν οὐσίαν ἐν ὑποστάσει γνωρίζεσθαι καθ᾽ ἕνωσιν ἄλυτον· ἤ τό ἐν ἀτόμοις φυσικῶς τυγχάνειν καθ' ὕπαρξιν.

Οὐσίας ἴδιον, τό ἐν πᾶσι καί πάντων φυσικῶς κατηγορεῖσθαί τε καί προφαίνεσθαι. Ἐνουσίου ἴδιον, τό πραγματικῶς ὑφίστασθαι, καί φέρειν ἁπάντων ἐφ᾽ ἑαυτοῦ τῶν προσωπικῶν ἰδιωμάτων τούς ἀληθεῖς χαρακτῆρας.

Δύναμίς ἐστιν, ἔνυλος ἐνέργεια· ἐνέργεια, ἄϋλος δύναμις. Ἤ πάλιν, ἐνέργειά ἐστι δυνάμεως φυσικῆς ἀποτέλεσμα.

Θέλημα φυσικόν ἐστιν, οὐσιώδης τῶν κατά φύσιν συστατικῶν ἔφεσις. Θέλημα γνωμικόν ἐστιν, ἡ ἐφ᾽ ἑκάτερα τοῦ λογισμοῦ αὐθαίρετος ὁρμή τε καί κίνησις.

Διαφορά ἐστι λόγος, καθ᾽ ὅν ἡ πρός ἄλληλα τῶν σημαινομένων ἑτερότης σώζεσθαι πέφυκε, καί τοῦ πῶς εἶναι δηλωτικός.

Ταυτότης ἐστίν ἀπαραλλαξία, καθ᾽ ἥν ὁ τοῦ σημαινομένου λόγος τό πάντη κέκτηται μοναδικόν, μηδενί τρόπῳ διαφορᾶς γνωριζόμενον.

***Πνευματικός τόμος καί δογματικός, ἀποδεικνύς τήν κατά καινοτομίαν γεγονυῖαν ἐπείσακτον ἔκθεσιν Ἡρακλείου τοῦ βασιλέως, ἐξ ὑποστολῆς Σεργίου τοῦ Κωνσταντινουπόλεως προέδρου, ἀπᾴδουσα μέν τῶν ἱερῶν Λογίων τε καί Πατέρων· συνᾴδουσα δέ τοῖς ἀνιέροις αἱρετικοῖς τοῖς τήν τε σύγχυσιν ἅμα, καί τήν διαίρεσιν τερατολογοῦσιν ἐπί τοῦ κατά Χριστόν τόν Θεόν ἡμῶν μυστηρίου. Γραφεῖσα ἀπό Ῥώμης πρός Στέφανον τόν ἁγιώτατον ἐπίσκοπον Δώρων, τελοῦντα ὑπό τόν ἅγιον καί ἀποστολικόν θρόνον τῆς ἁγίας Χριστοῦ τοῦ θεοῦ ἡμῶν πόλεως.***

Νυκτί μέν τόν παρόντα βίον, μύλωνι δέ τήν τούτου κίνησιν, καί κλίνῃ τήν ἀνάπαυσιν ἀπεικάσας ὁ Κύριος, τῶν ἐν ἑκατέροις ὄντων (μύλωνί τε λέγω καί κλίνῃ) τόν μέν αἵρεσθαι, τόν δέ ἀφίεσθαι διωρίσατο. Καί αἵροντα (αἵρεσθαι) μέν τυχόν, τόν ἐκείνης μέν διά θεωρίας, ταύτης δέ διά πράξεως ἀπολυθέντα· καί μήτε περιγραφῇ διαστημάτων, ἐν οἷς ὁρᾶται τῶν ὁρωμένων ἡ κίνησις, μήτε θρύψει παθῶν, ἐν οἷς ἡ ἀνάπαυσις, ἐναπομείναντα κατά διάθεσιν· ἀφίεσθαι δέ, τόν τούτοις αὐθαιρέτως ἐνισχημένον, διά τό τῆς ψυχῆς φιλήδονόν τε καί φιλομετέωρον. Τί δέ κρατεῖσθαί με τόν ἡμέτερον δοῦλον πείρᾳ πρότερον, καθάπερ ἀκοῇ τήμερον μεμεθηκότες, θεολαμπεῖς καί πανάριστοι, πῶς ἄν οἷς γεγράφατε συμπαθῶς εἵλεσθέ γε πρός ὕφεσιν οὕτως ἀχθῆναι τοῦ πτωχοῦ τε καί πένητος, οἱ τοσοῦτον ἀπό γῆς ἀρθέντες κατά θεοῦ χάριν, καί ὑψωθέντες, ὥστε τόν βίον τῷ λόγῳ, καί τόν νοῦν τῷ Κυρίῳ τῶν τῇδε, καί

ὑπέρ τῶν τῇδε διᾶραι· τῷ ἀρχετύπῳ τήν εἰκόνα προσοικειούμενοί τε καί ἑνίζοντες· ἤ μᾶλλον εἰπεῖν ἀληθέστερον, ἔνδειξιν ἐθέλοντες ὕψους ποιεῖσθαι τήν αὐθαίρετον ὕφεσιν τῆς ὑπερτάτης ὑμῶν καλλονῆς, ὡς ἄν τῷ περιόντι καί ἡμᾶς ἀγάγοιτε πρός τό μέτρον τοῦ Θεοῦ Λόγου, κενώσει τῇ πρός ἡμᾶς τό τῆς οἰκείας δόξης ἀπεριγράφως ὕψος ἐπιδεικνύντος· ἐφ᾽ ᾧ τε μεταπλάσαι τοσοῦτον ἡμᾶς

ἐπιποθέστερον, ὅσῳπερ ἄν σαρκί δι' ἡμᾶς αὐτός ἑαυτόν ἐπλαστούργησε πρός τό ταπεινότερον· φύσει γενόμενος ἄνθρωπος δίχα τροπῆς καί συγχύσεως, ὁ διαφερόντως φιλάνθρωπος· ἐλλείψας οὐδέν εἰς πρόσληψιν τῶν ἡμετέρω, ἵνα μή καί ἑαυτῷ τήν χάριν, καί ἡμῖν ἐλλείψῃ τήν σωτηρίαν, οὐχ ὅλην τῇ φύσει διδούς, ὡς μή ὅλην τήν φύσιν λαβών· ἀλλά κατ᾿ ἐκεῖνο μειώσας ἐκείνην, καθ᾿ ὅπερ ἄν οὐ προσείληφε ταύτην. "Τό γάρ ἀπρόσληπτον, ἀθεράπευτον," φησίν ὁ ἱέγας Γρηγόριος. Πῶς γάρ ὁ ὑπερούσιος δι᾿ ἡμᾶς σαρκωθείς Θεός Λόγος ἐκ Πνεύματος ἁγίου καί Μαρίας τῆς Ἀειπαρθένου καί Θεομήτορος προσλήψει σαρκός ψυχήν ἐχούσης τήν νοεράν τε καί λογικήν, νέος τε χρηματίσας φύσει καί γενόμενος ἄνθρωπος, καινουργήσει τόν πάλαι, μή δι᾿ ὅλου καί ὅλον λαβών, μόνης δίχα τῆς ἁμαρτίας, ἐξ ἧς ἡ παλαίωσις· καί δι᾿ ἥν ὁ θάνατος κατεκρίθη τῆς φύσεως, τροφήν ἔχων τοσοῦτον ἡμᾶς, ὡς ἐκείνης γεγεύμεθα, τοῦ ξύλου πικρῶς ἐμφορηθέντες τῆς παραβάσεως. Πῶς δέ κενωθείς ὁ αὐτός ἀναστήσει τόν πεπτωκότα, μή δι᾿ ὅλου καί ὅλον ἐξ αὐτῆς ἄκρας συλλήψεως ἑνώσας ἑαυτῷ καθ᾿ ὑπόστασιν, δίχα μόνου τοῦ ὀλισθήματος, ἐξ οὗ τό σύντριμμα, (157) καί δι᾿ ὅ τό ἐπιτίμιον; Ταύτῃ τοι ψυχήν νοεράν καί λογικήν μετά τοῦ συμφυοῦς αὐτῇ σώματος, τουτέστι τέλειον ἄνθρωπον παντός μώμου χωρίς προσλαβών, καί ἑνώσας ἑαυτῷ καθ᾿ ὑπόστασιν, αὐτός ὁ ὑπέρ φύσιν Θεός, καί τήν αὐτῆς φυσικήν λαβών, εἶχε πάντως αὐτεξούσιον θέλησιν. Εἰ παραβάντες τήν ἐντολήν δίχα θελήσεως, ἀλλ᾿ οὐ θελήσεως δίχα, παρέβημεν, ἐδεόμεθα τῆς κατ᾿ αὐτήν ἰατρείας· τῇ προσλήψει τοῦ ὁμοίου τό ὅμοιον, αὐτοῦ δή τοῦ σαρκωθέντος Θεοῦ θεραπεύοντος· αὐτήν δ᾿ ἄν καί τήν ταύτης προσλαβών λογικήν τε καί ζωτικήν εἶχεν ἐνέργειαν· ᾗ τήν ἁμαρτίαν, ὡς εἴθε μή ποτ᾿ ἄν, λογισάμενοί τε καί ἐνεργήσαντες, ἐχρήζομεν τῆς κατ' αὐτήν σωτηρίας, τῇ προσλήψει μολυσμοῦ παντός ταύτην ἀποκαθαίροντος, καί ὅλην τῇ σαρκώσει θεουργοῦντος τήν ἡμετέραν φύσιν. Εἰ γάρ οὐσιωδῶς ταῦτα ἔχουσαν ταύτην ἐδημιούργησε Θεός ὤν ὁ Λόγος, τήν τε θέλησίν φημι καί τήν ἐνέργειαν, καί τήν μέν αὐτεξούσιον, τήν δέ ἐνεργοῦσαν παρέστηκε, δῆλον ὡς οὕτω τήν φύσιν λαβών ἥνωσεν ἑαυτῷ τό καθ᾿ ὑπόστασιν, ὡς ἀπαρχῆς ταύτην ἐδημιούργησε, τουτέστι θελητικήν φύσει καί ἐνεργητικήν· ἵνα μή τήν φύσιν μόνον παθοῦσαν, ἀλλ' οὐ καί τάς αὐτῆς ἐμφύτους δυνάμεις προσείληφεν, οὐδ᾿ ἄν τήν φύσιν προσείληφεν, ἀλλά τήν οἰκονομίαν ἐφάντασεν. Ἀδύνατον γάρ τήν

ἡμετέραν, ἤ τῶν ὄντων ἑτέρων εἶναι ποτ᾿ ἄν ἤ ὀνομάζεσθαι φύσιν, τῶν αὐτῆς ἐμφύτων δίχα δυνάμεων, αἷς οὐσιωδῶς πᾶς χαρακτηρίζεσθαι πέφυκεν. Ὅθεν οὐκ ἀνεθέλητος ἡ ἡμετέρα φύσις ἐπεί μηδέ ἀνθρώπου. Οὔτε μήν ἀνενέργητος, ἐπεί μηδέ ἄψυχος. Εἰ δέ ἀνεθέλητος ἦν καί ἀνενέργητος, τό καθ'᾿ἡμᾶς, ὥς τισι τῶν πάλαι καί νῦν ἔδοξεν αἱρετικῶν, οὐδέ καθ᾿ ἡμᾶς ὅλως γέγονεν ὁ ὑπέρ ἡμᾶς, μή πιστούμενος τό ἡμέτερον τοῖς ἡμετέροις, καί οἷς αὐτός ἀρχῆθεν δημιουργήσας ἐχαρακτήρισε φυσικῶς, αὐτεξούσιον καί ἐνεργόν ποιήσας κατά φύσιν, τόν ἄνθρωπον. Καίτοι τούτων ἑκατέρων ἀναντιῤῥήτως προσειληφέναι πιστοῦται τήν δύναμιν, οἷς ἄνθρωπον δι᾿ ἡμᾶς εἰσάγει τόν ὑπερούσιον Λόγον θέλοντά τε καί ἐνεργοῦντα τῶν ἁγίων Εὐαγγελίων ἡ σύνταξις, πῆ μέν βοῶσα· Καί περί τετάρτην φυλακήν τῆς νυκτός ἔρχεται πρός αὐτούς περιπατῶν ἐπί τῆς θαλάσσης, καί ἤθελε παρελθεῖν αὐτούς· πῆ δέ· Καί ἀναστάς ἐκεῖθεν εἰς τά ὅρια Τύρου καί Σιδῶνος, καί εἰσελθών εἰς οἰκίαν, οὐδένα ἤθελε γνῶναι, καί οὐκ ἠδυνήθη λαθεῖν· καί πάλιν· Ἐκεῖθεν ἐξελθόντες παρεπορεύοντο διά τῆς Γαλιλαίας, καί οὐκ ἤθελεν ἵνα τις γνῷ· καί· Τῇ ἐπαύριον ἠθελεν ἐλθεῖν εἰς τήν Γαλιλαίαν. Καί μετά ταῦτα πάλιν· Περιεπάτει ὁ Ἰησοῦς εἰς τήν Γαλιλαίαν, οὐ γάρ ἤθελε ἐν τῇ Ἰουδαίᾳ περιπατεῖν, ὅτι ἐζήτουν αὐτόν οἱ Ἰουδαῖοι ἀποκτεῖναι· καί· Ποῦ θέλεις ἑτοιμάσωμέν σοι τό πάσχα φαγεῖν; (160) καί· Ἔδωκαν αὐτῷ ὄξος μετά χολῆς μεμιγμένον, καί γευσάμενος οὐκ ἠθέλησε πιεῖν. Ταῦτα γάρ, φημί δή τό Ἤθελε παρελθεῖν αὐτούς, καί, Ἤθελε ἐξελθεῖν, καί Οὐκ ἤθελε περιπατεῖν, καί Θέλειν φαγεῖν τό Πάσχα, καί μή θέλειν τό ὄξος πιεῖν, τήν καθ᾿ ἡμᾶς ἀνθρωπίνην αὐτοῦ πιστοῦται θέλησιν καί ἐνέργειαν. Οἷον τό μέν θέλειν καί οὐ θέλειν παρελθεῖν, ἤ φαγεῖν, ἤ βαδίζειν, ἤ πιεῖν, προδήλως ἐστί θέλησις, δι᾿ ἧς φύσει θελητικός ὤν ἐγνωρίζετο. Τῷ δέ γεύσασθαι καί φαγεῖν, καί ἐξελθεῖν, καί μεταβατικῶς πορεύεσθαι καί βαδίζειν, δηλαδή τήν ἐνέργειαν ἐνεργητικός ὑπάρχων ἐδείκνυτο, καθ᾿ ὅ φύσει δι᾿ ἡμᾶς ὕστερον γέγονεν ἄνθρωπος, ἀλλ᾿ οὐ καθ᾿ ὅπερ ὑπῆρχεν ἀνάρχως δι᾿ ἑαυτόν φύσει Θεός. Ἐπεί μηδέ πέφυκεν, ᾗ Θεός ἦν καί Θεοῦ κατά φύσιν Υἱός ὁ Λόγος, σωματικῶς ἐθέλειν τι καί ἐσθίειν, ἤ μεταβατικαῖς κινήσεσι τοπικῶς περιστέλλεσθαι, πανταχοῦ καί ὑπέρ τό πᾶν ἀπειράκις ἀπείρως ὑπάρχων· οὕτω δι᾿ ἄν καί τήν θείαν αὐτόν καί πατρικήν ὑπερουσίως ἔχοντα θέλησιν καί ἐνέργειαν παριστῶσα (ἡ Γραφή) διδάσκει σαφῶς· Ὥσπερ ὁ Πατήρ ἐγείρει τούς νεκρούς, καί ζωοποιεῖ,

οὕτω καί ὁ Υἱός οὕς θέλει ζωοποιεῖ. Κἀνταῦθα τοίνυν, τό μέν τούς νεκρούς ἐθέλειν ζωοποιεῖν, τήν τοῦ αὐτοῦ θεϊκήν μαρτύρεται θέλησιν· αὐτό δέ τό ζωοποιεῖν, τήν παντουργόν αὐτοῦ κυρίως ἐνέργειαν. Καί ἁπλῶς, εἴ τιπερ ἄλλο τοιοῦτο, τῆς ἐξῃρημένης τῶν ὄντων ἐξήρτηται φύσεως, εἰς τήν ταύτης, ὡς οἷόν τε, δήλωσιν.

Ἀλλά τούτοις μέν αὐτός, ἑαυτόν διά τῶν αὐτοῦ μαθητῶν κατ' ἄμφω τάς αὐτοῦ φύσεις, ἐξ ὧν καί ἐν αἷς συνέστηκε, θελητικόν ὑπάρχοντα φύσει καί ἐνεργητικόν παρίστησι τῆς ἡμῶν σωτηρίας ὁ Λόγος· οἱ δέ μετ᾿ ἐκείνους ἐκείνων διάδοχοι, καί τῆς ἐν σαρκί τοῦ Λόγου θεοφανείας ἐκφάντορες, θεόκριτοι τῆς καθολικῆς Ἐκκλησίας Πατέρες, ἑκατέραν ὁμοίως τοῦ αὐτοῦ, τήν τε θείαν καί τήν ἀνθρωπίνην φύσιν· οὐ μόνον δέ, ἀλλά καί τήν θέλησιν καί τήν ἐνέργειαν κηρύττοντες, τάδε μεγαλοφώνως φασίν. Ὁ μέν γάρ τῆς ἀθανασίας ἐπώνυμος, ἐν τῷ περί σαρκώσεως καί Τριάδος λόγῳ· "Καί ὅταν λέγῃ, Πάτερ, εἰ δυνατόν, παρελθέτω ἀπ᾿ ἐμοῦ τό ποτήριον τοῦτο, πλήν μή τό ἐμόν, ἀλλά τό σόν γενέσθω θέλημα· καί πάλιν· Τό μέν πνεῦμα πρόθυμον, ἡ δέ σάρξ ἀσθενής, δύο θελήματα ἐνταῦθα δείκνυσι· τό μέν ἀνθρώπινον, διά τήν ἀσθένειαν τῆς σαρκός, παραιτεῖται τό πάθος, τό δέ θεϊκόν αὐτοῦ πρόθυμον." Γρηγόριος δέ ὁ τῆς θεολογίας ἐπώνυμος ἐν τῷ περί (161) Υἱοῦ δευτέρῳ λόγῳ· " Ἕβδομον λεγέσθω, τό καταβεβηκέναι ἐκ τοῦ οὐρανοῦ τόν Υἱόν, οὐχ ἵνα ποιῇ τό θέλημα τό ἑαυτοῦ, ἀλλά τοῦ πέμψαντος. Εἰ μέν οὖν μή περί τοῦ κατεληλυθότος ταῦτα ἐλέγετο, εἴποιμεν ἄν ὡς περί τοῦ ἀνθρώπου τυποῦσθαι τόν λόγον, οὐ τοῦ κατά τόν Σωτῆρα νοουμένου. Τό γάρ ἐκείνου θέλημα, οὐδέ ὑπεναντίον Θεῷ θεωθέν ὅλον, ἀλλά τοῦ καθ᾿ ἡμᾶς· ὡς τοῦ ἀνθρωπίνου θελήματος, οὐ πάντως ἑπομένου τῷ θείῳ, ἀλλ᾿ ἀντιπίπτοντος ὡς τά πολλά καί ἀντιπαλαίοντος." Ὁ δέ τούτου ὁμώνυμος τῆς Νυσσαέων γενόμενος καθηγητής, μᾶλλον δέ τῆς οἰκουμένης Διδάσκαλος, ἐν τῷ εἰς τό Πάσχα λόγῳ· "Προσέρχεται ὁ λεπρός διεῤῥυηκός ἤδη καί ἠχρειωμένος τῷ σώματι. Πῶς γίνεται ἐπί τούτῳ παρά τοῦ Κυρίου ἡ ἴασις; Ἡ ψυχή θέλει, τό σῶμα ἅπτεται, δι᾿ ἀμφοτέρων φεύγει τό πάθος. Ἀπῆλθε γάρ, φησίν, ἀπ' αὐτοῦ παραχρῆμα ἡ λέπρα." Καί αὖθις ὁ αὐτός ἐν τῷ αὐτῷ λόγῳ· "Πάλιν τούς ἐν πολλοῖς χιλιάσι κατά τήν ἔρημον αὐτῷ προσεδρεύοντας, ἀπολῦσαι μέν νήστεις οὐ θέλει· ταῖς χερσί δέ διακλᾷ τούσς ἄρτους. Ὁρᾷς πῶς δι᾿ ἀμφοτέρων συμπαρομαρτοῦσα ἡ θεότης δημοσιεύεται, τῷ τε ἐνεργοῦντι σώματι, καί τῇ ὁρμῇ τοῦ ἐν τῇ ψυχῇ γινομένου

θελήματος;" Ἐν δέ τοῖς κατ᾽ Εὐνομίου τοῦ δυσσεβοῦς πονηθεῖσι δευτέρου λόγου· "Πῶς ὁ Κύριος τόν κόσμον ἑαυτῶ καταλλάσσων, ἐπεμέριζε ψυχῇ τε καί σώματι τήν παρ᾽ αὐτοῦ γενομένην τοῖς ἀνθρώποις εὐεργεσίαν, θέλων μέν διά τῆς ψυχῆς, ἁπτόμενος δέ διά τοῦ σώματος;" Καί αὖθις ὁ αὐτός ἐν τοῖς κατά Ἀπολιναρίου φησίν· " Ἐπειδή τοίνυν ἄλλο τό ἀνθρώπινον θέλημα, καί τό θεῖον ἄλλο, φθέγγεται μέν ὡς ἐκ τοῦ ἀνθρώπου τό τῇ ἀσθενείᾳ τῆς φύσεως πρόσφορον, ὁ τά ἡμέτερα πάθη οἰκειωσάμενος· ἐπάγει δέ τήν δευτέραν φωνήν, τό ὑψηλόν τε καί θεοπρεπές βούλημα κυρωθῆναι παρά τό ἀνθρώπινον ὑπέρ τῆς τοῦ κόσμου σωτηρίας θέλων. Ὁ γάρ εἰπών· μή τό ἐμόν, τό ἀνθρώπινον τῷ λόγῳ ἐσήμανε· προσθείς δέ, Τό σόν, ἔδειξε τό συναφές τῆς ἑαυτοῦ πρός τόν Πατέρα Θεότητος, ἧς οὐδεμία θελήματός ἐστι διαφορά, διά τήν κοινωνίαν τῆς φύσεως." Ὁ δέ τόν τῆς βασιλίδος καταφαιδρύνας θρόνον Ἰωάννης ὁ θεῖος, ἐν τῷ ἐπιγεγραμμένῳ λόγῳ, Πρός τούς ἀπολειφθέντας τῆς συνάξεως, καί τό ὁμοούσιον εἶναι τόν Υἱόν τῷ Πατρί (164) ἀπόδειξις, οὗ ἀρχή, Πάλιν Ἱπποδρομίαι, καί πάλιν ὁ σύλλογος ἡμῖν ἐλάττων γέγονεν· " Ὁρᾷς πῶς καί τήν προτέραν αὐτοῦ ἡλικίαν προανεφώνησεν; ἐρώτησον τοίνυν τό αἱρετικόν, Θεός δειλιᾷ καί ἀναδύεται; καί ὀκνεῖ καί λυπεῖται; κἄν εἴπῃ, ὅτι Ναί, ἀπόστηθι λοιπόν, καί στῆσον αὐτόν κάτω μετά τοῦ διαβόλου, μᾶλλον δέ κἀκείνου κατωτέρω, οὐδέ γάρ ἐκεῖνος τολμήσει τοῦτο εἰπεῖν. Ἐάν δέ εἴπῃ, ὅτι Οὐδέν τούτων ἄξιον Θεοῦ· εἰπέ, ὅτι Οὐκοῦν οὐδέ εὔχεται Θεός. Χωρίς γάρ τούτων, καί ἕτερον ἄτοπόν ἐστ᾽ ἄν τοῦ Θεοῦ τά ῥήματα ᾖ. Οὔτε γάρ ἀγωνιᾷν μόνον ἐμφαίνει τά ῥήματα, ἀλλά δύο θελήματα, ἕν μέν Υἱοῦ, ἕν δέ Πατρός, ἐναντία ἀλλήλοις. Τό γάρ εἰπεῖν· Οὐχ ὡς ἐγώ θέλω, ἀλλ' ὡς σύ, τοῦτο ἐμφαίνοντός ἐστι. Τοῦτο δέ οὐδέ ἐκεῖνοί ποτε συνεχώρησαν· ἀλλ' ἡμῶν ἀεί λεγόντων τό, Ἐγώ καί ὁ Πατήρ ἕν ἐσμέν, ἐπί τῆς δυνάμεως, ἐκεῖνοι ἐπί τῆς θελήσεως εἰρῆσθαι τοῦτό φασι, λέγοντες, Πατρός καί Υἱοῦ μίαν εἶναι βούλησιν. Εἰ τοίνυν Πατρός καί Υἱοῦ μία βούλησίς ἐστι, πῶς φησιν ἐνταῦθα· Πλήν οὐχ ὡς ἐγώ θέλω, ἀλλ' ὡς σύ; Ἄν μέν γάρ ἐπί τῆς θεότητος τό εἰρημένον ᾖ τοῦτο, ἐναντιολογία τις γίνεται, καί πολλά ἄτοπα ἐκ τούτου τίκτεται. Ἄν δέ ἐπί τῆς σαρκός, ἔχει λόγον τά εἰρημένα, καί οὐδέν γένοιτ᾽ ἄν ἔγκλημα. Οὐ γάρ τό μή θέλειν ἀποθανεῖν τήν σάρκα, κατάγνωσις. Φύσεως γάρ ἐστι τοῦτο. Αὐτός γάρ τά τῆς φύσεως ἅπαντα χωρίς ἁμαρτίας ἐπιδείκνυται, καί μετά πολλῶν τῆς περιουσίας, ὥστε τά τῶν αἱρετικῶν ἐμφράξαι στόματα. Ὅταν οὖν

λέγῃ, Εἰ δυνατόν, παρελθέτω ἀπ' ἐμοῦ τό ποτήριον τοῦτο, καί, Οὐχ ὡς ἐγώ θέλω, ἀλλά ὡς σύ, οὐδέν ἕτερον δείκνυσιν, ἀλλ᾽ ἤ ὅτι σάρκα ἀληθῶς περιβέβληται φοβουμένην θάνατον. Τό γάρ φοβεῖσθαι θάνατον, καί ἀναδύεσθαι καί ἀγωνιᾷν, ἐκείνης ἐστί. Νῦν μέν οὖν αὐτήν ἐρήμην ἀφίησι, καί γυμνήν τῆς οἰκείας ἐνεργείας, ἵνα αὐτῆς δείξας τήν ἀσθένειαν, πιστώσηται αὐτῆς καί τήν φύσιν· νῦν δέ αὐτήν ἀποκρύπτει, ἵνα μάθῃς ὅτι οὐ ψιλός ἄνθρωπος ἦν. Ὥσπερ γάρ εἰ διά παντός τά ἀνθρώπινα ἐδείκνυτο, τοῦτο ἄν ἐνομίσθη· οὕτως εἰ διά παντός τά τῆς Θεότητος ἐπετέλει, ἠπιστήθη ἄν ὁ τῆς οἰκονομίας Λόγος. Διά τοῦτο καί ποικίλλει, καί ἀναμίγνυσι καί τά ῥήματα καί τά πράγματα, ἵνα μήτε τῇ Παύλου Σαμωσατέως, μήτε τῇ Μαρκίωνος καί Μανιχαίου νόσῳ καί μανίᾳ παράσχῃ πρόφασιν. Διά τοῦτο καί προλέγει τό ἐσόμενον ὡς Θεός, καί ἀναδύεται πάλιν ὡς ἄνθρωπος." Τί δέ καί ὁ τῆς Ἀλεξανδρέων καθηγητής Κύριλλος ἐν τῷ εἰκοστῷ τετάρτῳ τοῦ Θησαυροῦ κεφαλαίῳ παιδεύει, σαφῶς ἐπακούσωμεν· " Ὅταν οὖν φαίνεται δειλιῶν τό θάνατον, καί λέγων· Εἰ δυνατόν, παρελθέτω ἀπ᾽ ἐμοῦ τό ποτήριον τοῦτο, ἐννόει πάλιν ὅτι δειλιῶσα τόν θάνατον ἡ σάρξ, ἐδιδάσκετο φορουμένη ὑπό τοῦ Θεοῦ Λόγου μηκέτι τοῦτο πάσχειν· (165) ἔλεγε γάρ πρός τόν Πατέρα· Οὐχ ὡς ἐγώ θέλω, ἀλλ᾽ ὡς σύ. Οὐκ ἐφοβεῖτο μέν γάρ καθό Λόγος ἐστί καί Θεός τόν θάνατον αὐτός, ἀλλ᾽ εἰς τέλος διεξάγειν οἰκονομίαν ἠπείγετο. Τοῦτο γάρ ἐστι τό θέλημα τοῦ Πατρός. Ἐχει δέ καί τό μή θέλειν ἀποθανεῖν, διά τό παραιτεῖσθαι τήν σάρκα τό θάνατον φυσικῶς." Οὗτος δέ τόν μέγαν εὐαγγελιστήν Ἰωάννην ὑπομνηματίζων φησίν, " Ὁ αὐτός τόν ἐπί τούτῳ λόγον ἀποιήσατο ὁ Χριστός, διδάσκων, ὅτι τό ὑπέρ πάντων τεθνᾶναι θελητόν μέν ἔχει, διά τό βεβουλῆσθαι τήν θείαν φύσιν· ἀνεθέλητον δέ, διά τά ἐπί τῷ σταυρῷ πάθη. Καί τό ὅσον ἧκεν εἰς τήν σάρκα παραιτουμένην τό θάνατον, τά τοιαῦτά φησιν." Ὁ δέ Γαβαλῶν ἐπισκοπήσας Σευεριανός ὁ θεσπέσιος, εἰς τό, Πάτερ, παρελθέτω τό ποτήριον τοῦτο ἀπ᾽ ἐμοῦ· καί εἰς τό, Πάτερ, σῶσόν με ἀπό τῆς ὥρας ταύτης. "Προλαβών ὁ Κύριος ἐμφράττει τῶν αἱρετικῶν τά στόματα, ἵνα δείξῃ ὅτι τό πολυπαθές τοῦτο ἐνεδύσατο σῶμα, τό ἀγωνιῶν τό θάνατον· τό τρέμον τοῦ θανάτου τήν βίαν· τό λυπούμενον καί ταραττόμενον πρός τό τοῦ βίου τέλος. Λέγει· Νῦν ἡ ψυχῇ μου τετάρακται. Περίλυπός ἐστι ἡ ψυχή μου ἕως θανάτου· οὐχ ἡ θεότης μου· ἀπαθές γάρ τό Θεῖον καί ἀτάρακτον καί ἀδειλίατον. Τό γάρ

πνεῦμα, φησίν ὁ Κύριος, πρόθυμον· ἡ δέ σάρξ ἀσθενής. Ὥστε δύο θελήματα ἐμφαίνει· τό μέν, θεῖον· τό δέ, ἀνθρώπινον."

Ἀλλ᾽ οἶμαι ἱκανῶς δεδεῖχθαι τοῖς θεοφόροις τόν περί τε δυάδος θελημάτων τοῦ αὐτοῦ λόγον, καί ἄλλου καί ἄλλου, καί θείου καί ἀνθρωπίνου θελήματος, καί τοῦ θελητόν εἶναι καί ἀνεθέλητον τῷ Σωτῆρι τόν θάνατον· τό μέν, διά τό ὅπερ ἦν ἀπ᾽ ἀρχῆς· τό δέ, διά τό ὅπερ ὕστερον γέγονε· Ἀρκτέον δῆτα καί τοῦ περί διαφορᾶς ἐνεργειῶν, καί δυάδος λόγου, κατά τάξιν ἡμῖν ταῖς τῶν θεηγόρων, καί τοῦτο ἐπισφραγίζουσι μαρτυρίαις Πατέρων. Αὐτίκα γοῦν ὁ μέγας ὁμολογητής καί διδάσκαλος Ἀμβρόσιος, ὁ Μεδιολάνων ἀρχιεπίσκοπος, ἐν τῷ πρός Γρατιανόν δευτέρῳ λόγῳ, τάδε διέξεισιν· " Ἴσος οὖν ἐν τῇ μορφῇ, ἐλάττων δέ ὁ αὐτός ἐν τῇ προσλήψει τῆς σαρκός, καί τῷ τοῦ ἀνθρώπου πάθει. Ποίῳ γάρ τρόπῳ δύναται ἡ αὐτή ἐλάττων εἶναι καί ἴση φύσις; πῶς δέ εἰ ἐλάττων ἐστίν, ἡ αὐτή ὁμοίως ποιεῖ ἅπερ ὁ Πατήρ ποιεῖ; Ποίῳ γάρ τρόπῳ ἡ αὐτή ἐνέργεια ἐκ διαφόρου ἐστίν οὐσίας; (168) μή γάρ οὕτω δύναται ἡ ἐλάττων, ὥσπερ ἡ μείζων ἐνεργεῖν; ἤ δύναται μία ἐνέργεια εἶναι, ὅπου διάφορός ἐστιν οὐσία;" Καί μήν ὁ τῆς Ἱεροσολυμιτῶν ἱεράρχης Κύριλλος ὁ ἀοίδιμος, ἐν τῷ εἰς τό εὐαγγελικόν ῥητόν λόγῳ ἔνθα ὁ Κύριος τό ὕδωρ οἶνον ἐποίησεν, οὗ ἡ ἀρχή· "Θαῦμα καί τοῦτο θαῦμα ἐγενήθη. Ἐθαυματούργησεν· ἔδειξεν τήν διπλῆν ἐνέργειαν, πάσχων μέν ὡς ἄνθρωπος, ἐνεργῶν δέ ὡς θεός ὁ αὐτός· οὐ γάρ ἄλλος καί ἄλλος, εἰ καί ἄλλως καί ἄλλως." Οὕτω δέ καί ὁ τῆς μεγάλης Ῥωμαίων ἔξαρχος Ἐκκλησίας Λέων ὁ παναλκής καί πανίερος, ἐν τῷ πρός τόν ἐν ἁγίοις Φλαβιανόν κατά Νεστορίου καί Εὐτυχοῦς τῶν δυσωνύμων δογματικῷ τόμῳ· " Ἐνεργεῖ γάρ ἐν ἑκατέρᾳ μορφῇ μετά τῆς θατέρου κοινωνίας, ὅπερ ἴδιον ἔσχηκε· τοῦ μέν Λόγου κατεργαζομένου τοῦθ᾽ ὅπερ ἐστί τοῦ Λόγου· τοῦ δέ σώματος ἐκτελοῦντος ἅπερ ἐστί τοῦ σώματος· καί τό μέν αὐτῶν, διαλάμπει τοῖς θαύμασι· τό δέ, ταῖς ὕβρεσιν ὑποπέπτωκεν." Ὁ δέ τό στόμα χρυσοῦν, μᾶλλον δέ Χριστοῦ κεκτημένος Ἰωάννης, ἐν τῷ λόγῳ εἰς τήν Χήραν, τήν τά δύο λεπτά προσενέγκασαν ἐν τῷ Γαζοφυλακίῳ, οὗ ἡ ἀρχή· " Ἁπλῆ μέν ἡ τῆς νηστείας προσηγορία. Καί ἐν μέν τοῖς ἄλλοις τῶν συναφθεισῶν φύσεων διάφορος ἡ ἐνέργεια τῆς ἀνθρωπότητος, καί τῆς θεότητος διάφορος ἡ ἰσχύς. Οἷόν τι λέγω· Κάτω κοπιᾷ, καί ἄνω συγκροτεῖ τά στοιχεῖα· Κάτω πεινᾷ, καί ἄνωθεν ὑετούς χορηγεῖ. Κάτω δειλιᾷ, καί ἄνω βροντᾷ. Κάτω δικαστηρίῳ παρέστηκε, καί ἄνωθεν ἑαυτόν θεωρεῖ.

Περί δέ τήν ἐλεημοσύνην, συντρέχει τό τῆς διπλῆς ἐνεργείας. Ὁ γάρ ἄνωθεν ἐκ τῶν Χερουβίμ βραβεύων τοῖς ἐλεήμοσιν, οὗτος πρό τοῦ Γαζοφυλακίου καθήμενος δοκιμάζει τούς φιλανθρώπους." Ὁ δέ αὐτός ἐν τῷ εἰς Θωμᾶν τό ἀπόστολον κατά Ἀρειανῶν λόγῳ· "Ταῦτα ἀκούσας, ἐκάθαρα τήν ψυχήν ἀπιστίας· ἀπεδυσάμην τήν ἀμφίβολον γνώμην, ἀνέλαβοςν τό πεπεισμένον, ἡψάμην τοῦ σώματος χαίρων καί τρέμων. Ἐξήπλωσα μετά τῶν δακτύλων καί τῆς ψυχῆς ὄμμα, καί δύο λοιπόν ἐνεργειῶν ᾐσθόμην." Ἀλλά δή καί ὁ σοφώτατος Κύριλλος ὁ τῆς Ἀλεξανδρέων πρόεδρος, ἐν τῷ τριακοστῷ δευτέρῳ τοῦ Θησαυροῦ κεφαλαίῳ· "Οὐ γάρ δή που μίαν εἶναι φυσικήν τήν ἐνέργειαν δώσομεν Θεοῦ καί ποιήματος· ἵνα μήτε τό ποιηθέν, εἰς τήν θείαν ἀνάγωμεν οὐσίαν· μήτε μήν τῆς θείας φύσεως τό ἐξαίρετον, εἰς τόν τοῖς γενητοῖς πρέποντα κατάγωμεν (169) τόπον. Ὧν γάρ ἡ ἐνέργεια, καί ἡ δύναμις ἀπαραλλάκτως μία, τούτοις ἀνάγκη καί τήν τοῦ γένους ἑνότητα σώζεσθαι."

Ταῦτα μέν οἴδε διαπρυσίως οἱ τῆς εὐσεβείας Πατέρες, οὕς ἐκ πολλῶν ἤ ἀπείρων, καί παντός οἷον, γραφικῶς εἰπεῖν, τοῦ τῶν μαρτύρων νέφους, κατ᾽ ἐπιδρομήν, τόν τοῦ γράμματος περιστελλόμενοι προκεκομίκαμεν ὄγκον, εἰς ἐναργεστάτην ἀπόδειξιν τῆς αὐτῶν περί τοῦ παντός Σωτῆρος ἀληθογνωσίας Χριστοῦ. Καθ᾽ ἥν ὁρμηθέντες, ταῖς ἁγίαις Ἐκκλησίαις πνευματοκινήτως παρέδωκαν δύο καθάπερ τοῦ αὐτοῦ καί ἑνός τάς φύσεις, οὕτως ἰσαρίθμους ταῖς φύσεσι, τά τε τοῦ αὐτοῦ θελήματα καί τάς ἐνεργείας πρεσβεύειν, καί ἄλλην καί ἄλλην, καί θείαν καί ἀνθρωπίνην θέλησιν καί ἐνέργειαν, εἰς δήλωσιν τῶν ἐξ ὧν, ἐν οἷς τε καί ἅπερ ἐστίν ὁ αὐτός οὐσιώδους διαφορᾶς. Τήν τε φαντασίαν ὁμοῦ καί τήν σύγχυσιν, καί σύν ταύταις παντελῶς τήν διαίρεσιν ἀποσκευαζομένης, ὡς ἑνί καί τῷ αὐτῷ δι᾽ ἡμᾶς σαρκωθέντι Θεῷ Λόγῳ, ἐξ ὧν ἐστι πραγματικῶς καί ἀνεπιθολώτως γνωριζούσης (γνωριζομένης) καθ᾽ ἕνωσιν τήν ἀδιάσπαστον. Διαφορᾶς γάρ οὐσιώδους ἐπί τῆς καθ᾽ ὑπόστασιν ἄκρας ἑνώσεως ἀσυγχύτως οὐ γνωριζομένοις, αὐτῶν τε τῶν ἡνωμένων, καί τῶν προσόντων αὐτῷ φυσικῶς, οὐ δέ τῆς ἑνώσεως ἀσυγχύτως γνωρισθήσεται λόγος. Οἱ δέ τῆς ἐναντίας καί ἀντιπάλου μοίρας, τό ἔμπαλιν. Ἀπολινάριος μέν γάρ ὁ δυσσεβής, οὕτως φησίν ἐν τῷ ἐπιγεγραμμένῳ αὐτῷ λόγῳ. "Ἀπόδειξις περί τῆς θείας σαρκώσεως τῆς καθ᾽ ὁμοίωσιν ἀνθρώπου· καί οὐ μνημονεύουσιν ὅτι τό θέλημα τοῦτο ἴδιον εἴρηται, οὐκ ἀνθρώπου, τοῦ ἐκ γῆς, καθώς αὐτοί νομίζουσιν,

ἀλλά Θεοῦ τοῦ καταβάντος ἐξ οὐρανοῦ." Ὁ δέ αὐτός πάλιν ἀβέλτερος, " Ἐν τῷ ἐπιγεγραμμένῳ· Αὐτήν ἐπιφάνειαν τήν ἔνσαρκον τοῦ Θεοῦ· Εἷς γάρ ὁ Χριστός θεϊκῷ θελήματι μόνῳ κινούμενος, καθό καί μίαν οἴδαμεν αὐτοῦ τήν ἐνέργειαν, ἐν διαφόροις θαύμασι καί παθήμασι τῆς μιᾶς αὐτοῦ φύσεως προϊοῦσαν. Θεός γάρ ἔνσαρκός ἐστι, καί πιστεύεται· καί μετά βραχέα." Καί τό· Πάτερ, εἰ δυνατόν, ἀπελθέτω τό ποτήριον τοῦτο ἀπ᾽ ἐμοῦ· πλήν μή τό ἐμόν, ἀλλά τό σόν θέλημα γενέσθω, οὐκ ἄλλου καί ἄλλου θελήματος ἔμφασιν ἔχει, μή συμβαινόντων ἀλλήλοις, ἀλλ᾽ ἑνός καί τοῦ αὐτοῦ· θεϊκῶς μέν ἐνεργουμένου· οἰκονομικῶς δέ παραιτουμένου τον θάνατον· ἐπεί Θεός ἦν σαρκοφόρος ὁ τοῦτο λέγων· μηδεμίαν ἐν τῷ θέλειν ἔχων διαφοράν." Ὁ δέ ἐκείνου τῆς ἀσεβείας μαθητής καί διάδοχος, καί φερωνύμως τῷ τῆς ἀληθείας λόγῳ πολέμιος, Πολέμων ὁ αἱρετικός, ἐν τῷ πρός τούς ἁγίου Πατέρας Ἀντιῤῥητικῷ, τάδε δυστρόφως φησίν· " Ὁ Λόγος γάρ (172) Θεός ἦν ὁ Χριστός, καί τελειότητι σαρκός ἑνωθείς καί γενόμενος ἄνθρωπος οὐ τόν τρεπτόν νοῦν ἑαυτῷ καταμίξας, θελήματι φυσικῷ ἐπί τἀναντία κινούμενον, ἑαυτῷ δέ μᾶλλον γενόμενος νοῦς, ἀτρέπτῳ θελήματι θεϊκῷ πάντα πεποιηκεν. Ἀλλ᾽ οὐ τό μέν θεῖον, τό δέ, θεωθέν, κατά τόν Καππαδόκην Γρηγόριον, ἐπεί τρεπτόν. Τό γάρ θεωθῆναι δυνηθέν, καί γεωθῆναι πάντως ἠδύνατο, κατά τόν πρῶτον Ἀδάμ." Καί ἐν ἕκτῃ τῶν πρός τόν Τιμόθεον αὐτῷ γεγραμμένων γεγραμμένων ἐπιστολῇ, τόν αὐτῷ συνεργάτην, καί τῆς ἀσεβείας συλλήπτορα πονηρόν· " Ὁ δύο θελήματα λέγων Χριστοῦ, κατά τούς πάλαι καί νῦν φησαμένους, ἤ τόν ἕνα δύο τινάς εἰσάγει Χριστούς, ἀλλήλων οὐ φύσει μόνον, ἀλλά δή καί ἀπεχθείᾳ διῃρημένους· ἤ τόν αὐτόν ἑαυτῷ διδάσκει μαχόμενον. Ἔνθα γάρ δυάς, πάντως διαίρεσις." Ἀλλά καί Θεσμίστιος, ὁ τῆς μέν Σευήρου συμμορίας ὑπασπιστής, τῆς δέ τῶν Ἀγνοητῶν ἔξαρχος κακοφροσύνης, ἐν κεφαλαίῳ με΄ τοῦ λόγου δευτέρου τῶν κατά τοῦ ἐπιδοθέντος τόμου Θεοδώρᾳ τῇ βασιλίδι παρά Θεοδοσίου τοῦ αἱρεσιάρχου, τῶν ἀπ᾽ αὐτοῦ κατονομασθέντων αἱρετικῶν, τάδε θεοστυγῶς· " Οὐ γάρ ἐπεί τε καί ἱερός Ἀθανάσιος δύο θελήματα ἔφη τόν Χριστός δεικνύναι, κατά τόν τοῦ πάθου καιρόν, ἤδη καί δύο θελήσεις αὐτῷ περιθήσωμεν· καί ταύτας μαχομένας ἀλλήλαις, κατά τούς σούς τούτους συλλογισμούς· ἀλλ᾽ εἰσόμεθα εὐσεβῶς, τήν ὡς ἑνός μίαν θέλησιν τοῦ Ἐμμανουήλ, πῇ μέν, ἀνθρωπίνως κινεῖσθαι, πῇ δέ θεοπρεπῶς." Ὁ δ᾽ αὐτός πάλιν συσάντητος αἱρετικός, ἐν κεφαλαίῳ νβ΄, λόγῳ γ΄τῆς κατακολούθου

τοῦ συμφυλέτου τῆς αὐτοῦ δυσσεβείας γεγονυ«ας αὐτῷ πραγματείας· " Μίαν φημί τοῦ Ἐμμανουήλ τήν γνῶσιν καί τήν ἐνέργειαν, καθά καί τήν θέλησιν. Σκόπει οὖν οὕτως· Ὁ ἄτρεπτος, ὡς Θεός, ὁ παντός πάθους ἀνώτερος, ἀνθρωποπρεπῶς κινηθείς κατά τήν θέλησιν, παραιτεῖται τό πάθος· θεοπρεπῶς δέ πάλιν πρός τό πάθος ἀναθαῤῥεῖ, καί διά σαρκός τούτων ἑκάτερον." Καί ταῦτα μέν οἶδε δυστρόπως.

Οἱ δέ τούτων ἐπίσης καί τῆς ἀληθείας ἀντίφρονες, τούς τῆς διαιρέσεως λέγω καθηγητάς, πρός τήν ἴσην ἐκείνοις καί τήν αὐτήν περί τε θελήματος ἑνός καί μιᾶς ἐνεργείας συνελαυνόμενοι κακοδοξίαν· οἱ καί τήν ἐν σχέσει γνωμικήν ἐπρέσβευον ἕνωσιν, τάδε περιβομβοῦσι. Θεόδωρος μέν ὁ κακόφρων καί δύσερις, ὁ τήν Μομψουεστινῶν ληϊσάμενος, ἐν τοῖς (173) εἰς τά θαύματα παρεξηγηθεῖσιν αὐτῷ λόγου δευτέρου· "Θέλω, καθαρίσθητι, πρός τόν λεπρόν εἰπών ὁ Σωτήρ, ἔδειξε μίαν εἶναι τήν θέλησιν, μίαν τήν ἐνέργειαν, κατά μίαν καί τήν αὐτήν ἐξουσίαν προαγομένην, οὐ λέγω φύσεως, ἀλλ᾽ εὐδοκίας, καθ᾽ ἥν ἡνώθη τῷ Θεῷ Λόγῳ ὁ κατά πρόγνωσιν, ἐκ σπέρματος Δαυΐδ ὕστερον γενόμενος ἄνθρωπος, ἐξ αὐτῆς μήτρας τήν πρός αὐτόν ἐνθιάθετον ἔχων οἰκείωσιν." Ὁ δέ τῆς ἐκείνου μανίας ὀπαδός καί διάδοχος, Νεστόριος ὁ ἀλητήριος, ἐν τῇ λεγομένῃ αὐτῷ Ἐμφανεῖ μυήσει λόγου δευτέρου τῆς κατ᾽ αὐτήν πραγματείας τάδε κακούργως· " Ἀσυγχύτως φυλάττομεν τάς φύσεις, οὐ κατ᾽ οὐσίαν, γνώμῃ δέ συνημμένας, δι᾽ ὅ καί μίαν αὐτῶν τήν θέλησιν, ἐνέργειάν τε καί δεσποτείαν ὁρῶμεν, ἀξίας ἰσότητι δεικνυμένας. Ὁ γάρ Θεός Λόγος ἀναλαβών ὅν προώρισεν ἄνθρωπον, τῷ τῆς ἐξουσίας λόγῳ πρός αὐτοῦ προεκρίθη, διά τήν προγνωσθεῖσαν διάθεσιν." Ὁ δ᾽ αὐτός αὖθις παράφρων ἐν τῇ αὐτῇ λόγου τετάρτου· ἡ Οὐκ ἄλλος ἦν ὁ Θεός Λόγος, καί ἄλλος ὁ ἐν ᾧ γέγονεν ἄνθρωπος. Ἕν γάρ ἦν ἀμφοτέρων τό πρόσωπον ἀξίᾳ καί τιμῇ, προσκυνούμενον παρά πάσης τῆς κτίσεως, μηδενί τόπῳ ἤ χρόνῳ ἑτερότητι βουλῆς καί θελήματος διαιρούμενον. Ἀλλά μήν καί Παῦλος ὁ Πέρσης ψευδοδιάκονος ὤν τῆς Νεστορίου μιαρωτάτης αἱρέσεως, ἐν τῷ Περί κρίσεως αὐτοῦ λόγῳ, τάδε σύν ἐκείνοις φθέγγεται θεομαχῶν. " Ἐπειδή κατ᾽ οὐσίαν ἡ τοῦ Θεοῦ Λόγου πρός ὅν ἀνέλαβεν ἄνθρωπον οὐ γέγονεν ἕνωσις, μία φύσις οὐ γέγονεν. Εἰ δέ μία φύσις οὐ γέγονεν, μία μονοπρόσωπος ὁ Χριστός οὐκ ἔστιν ὑπόστασις· οὐκοῦν κατ' εὐδοκίαν ἡ ἕνωσις, βουλῆς καί γνώμης ταυτότητι κρατουμένη, ἵνα καί τό

διάφορον τῶν φύσεων ἀσύγχυτον δείκνυται, καί τό τῆς εὐδοκίας μυστήριον μονάδι βουλήσεως διαδείκνυται."

Οἷς, ὡς ὁρᾶτε, πανάριστοι, τάτε γράμματα, καί πρό τούτων διασκοποῦντες τά δόγματα, λίαν ἐν πᾶσι ὁμόφωνάς τε καί ὁμόλογος, ἤ, οὐκ οἶδ᾽ ὅπως, νῦν διά τάς ἁμαρτίας ἡμῶν ἐπεισφρήσασα κατά τῆς ἀμωμήτου πίστεως καθέστηκεν ἕνωσις, τό ἕν ἐπί Χριστοῦ θέλημα κυροῦσα, καί τήν μίαν ἐνέργειαν ὁμοίως τοῖς ἄφροσι. Τό μέν ἕν θέλημα διά τοῦ λέγειν· " Ὅθεν τοῖς ἁγίοις Πατράσιν ἐν ἅπασι, καί ἐν τούτῳ κατακολουθοῦντες, ἕν θέλημα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ὁμολογοῦμεν." Τήν δέ μίαν ἐνέργειαν, διά τοῦ φάσκειν· " Ἀλλά γάρ καί ἕπεσθαι ταύτῃ, τουτέστι τηρήσει τῶν δύο ἐνεργειῶν, τό καί δύο πρεσβεύειν θελήματα." Καί γάρ εἰ ἕπεσθαι τῇ ἐνεργείᾳ τά θελήματα διορίζεται, πᾶσά πως ἀνάγκη, τοῦ ἑπομένου πρός αὐτῆς κυρωθέντος, λέγω δή τοῦ ἑνός θελήματος, κυροῦσθαι καί τό ἡγούμενον, ἤγουν τήν μίαν ἐνέργειαν. Ταύτην γάρ ἐπειγομένη σοφιστικῶς τῇ μιᾷ θελήσει συνεισαγαγεῖν, ἕπεσθαι τῇ ἐνεργείᾳ τήν θέλησιν κατά δόξαν ἐθέσπισεν. (176) Διό καί Πατέρας οἶδεν οἷς ἐν τούτῳ καί πᾶσι κατηκολούθησεν, οὐ τούς ὄντως, ἀλλά τούς μηδ᾽ ὅλως ἁγίους. Οὐ γάρ δήπου ποτ᾽ ἄν περί ἑνός θελήματος φήσειέ τις Ἀθανάσιον τόν ἀοίδιμον, διαῤῥήδην βοῶντα καθάπερ φθάσαντες παρέστημεν ἡ Δύο θελήματα ἐνταῦθα δείκνυσι· τό μέν, ἀνθρώπινον, τό δέ, θεϊκόν." Οὐ Γρηγόριον τόν Θεολόγον, περί τοῦ ἀνθρωπικοῦ τοῦ Σωτῆρος θελήματος λέγοντα· "Τό γάρ ἐκείνου θέλειν, οὐδέ ὑπεναντίον Θεῷ, θεωθέν ὅλον." Οὐ τόν ὁμώνυμον αὐτῷ Νυσσαέων καθηγητήν· " Ἡ ψυχή θέλει, τό σῶμα ἅπτεται, φάσκοντα," καί· "Τῷ ἐνεργοῦντι σώματι, καί τῇ ὁρμῇ τοῦ ἐν τῇ ψυχῇ γινομένου θελήματος." Καί· "Θέλων μέν διά τῆς ψυχῆς, ἁπτόμενος δέ διά τοῦ σώματος," καί, " Ἄλλον τό ἀνθρώπινον θέλημα, καί τό θεῖον ἄλλον, καί εἰπών· Μή τό ἐμόν, τό ἀνθρώπινον τῷ λόγῳ ἐσήμανεν· προσθείς δέ, Τό σόν, ἔδειξε τό συναφές τῆς ἑαυτοῦ πρός τόν Πατέρα θεότητος." Οὐ τόν Χρυσόστομον Ἰωάννην, παιδεύοντα· "Οὐ γάρ ἀγωνιᾷν μόνον ἐμφαίνει τά ῥήματα, ἀλλά δύο θελήματα. Καί ἄν μέν ἐπί τῆς θεότητος τό εἰρημένον ἦν τοῦτο, ἀντιλογία τις γίνεται. Ἄν δέ ἐπί τῆς σαρκός, ἔχει λόγον τά εἰρημένα. Οὐ γάρ τό μή θέλειν ἀποθανεῖν τήν σάρκα κατάγνωσις· φύσεως γάρ ἐστι τοῦτο. Αὐτός δέ τά τῆς φύσεως ἅπαντα χωρίς ἁμαρτίας ἐπιδείκνυται, καί μετά πολλῆς τῆς περιουσίας." Οὐ Κύριλλον τόν Ἀλεξανδρείας σοφῶς ἐκδιδάσκοντα· "Τοῦτο γάρ ἦν τό θέλημα τοῦ

Πατρός, εἰς τέλος διεξαγαγεῖν τήν οἰκονομίαν. Ἔχει δέ καί τό μή θέλειν ἀποθανεῖν, διά τό παραιτεῖσθαι τήν σάρκα τόν θάνατον φυσικῶς." Καί· "Θελητόν μέν ἔχει τό ὑπέρ πάντων τεθνάναι, διά τό βεβουλῆσθαι τήν θείαν φύσιν· ἀνεθέλητον δέ διά τήν σάρκα παραιτουμένην τόν θάνατον φυσικῶς." Οὐ Σευεριανόν τόν τῶν Γαβάλων πρόεδρον, μαρτυρούμενον, " Ὥστε δύο θελήματα ἐμφαίνει· τό μέν θεῖον· τό δέ ἀνθρώπινον." Ἀλλ᾽ οὐδέ περί μιᾶς ὁμολογίας τόν μέγαν ὁμολογητήν Ἀμβρόσιον, ἐμφρόνως κηρύττοντα, "Ποίῳ γάρ τρόπῳ ἡ αὐτῇ ἐνέργεια διαφόρου ἐστίν οὐσίας. Μή γάρ δύναται μία ἐνέργεια εἶναι, ὅ που διάφορος οὐσία ἐστίν." Οὐ Κύριλλον τόν Ἱεροσολύμων, παρεγγυώμενον, " Ἔδειξε τήν διπλῆν ἐνέργειαν, πάσχων μέν, ὡς ἄνθρωπος, ἐνεργῶν δέ, ὡς Θεός ὁ αὐτός." Οὐ Λέοντα τόν θεῖον, ἀποφωνοῦντά τε συνετῶς, " Ἐνεργεῖ γάρ ἑκατέρα μορφή μετά τῆς θατέρου κοινωνίας, ὅπερ ἴδιον ἔσχηκεν. Οὐ τόν Χρυσόστομον αὖθις. Καί ἐν μέν τοῖς ἄλλοις, τῶν συναφθεισῶν φύσεων διάφορος ἡ ἐνέργεια, τῆς ἀνθρωπότητος καί τῆς θεότητος· περί δέ τήν ἐλεημοσύνην, συντρέχει τό τῆς διπλῆς ἐνεργείας· καί δύο λοιπόν ἐνεργειῶν ᾐσθόμην." Οὐ Κύριλλον ὁμοίως τόν Ἀλεξανδρείας ἱερώτατον καθηγητήν, "Οὐ γάρ μίαν δήπου εἶναι φυσικήν τήν ἐνέργειαν δώσομεν Θεοῦ καί ποιήματος."

(177) Τούτους, ἤ τινας τούτων, οὐχ ἁγίους, οὔτε μήν ἐγκρίτους εἶναι διαγορεύει τῆς Ἐκκλησίας μυσταγωγούς· ἀλλά καί τήν αὐτῶν περί τε θελήματων δύο καί ἐνεργειῶν περίδοξον ὁμολογίαν, δυσσεβῆ τυγχάνειν, καί ἀλλοτρίαν τοῦ Χριστιανικοῦ δόγματος ἀποφαίνεται. Πιστοῦται γάρ τάδε φάσκουσα τόν λόγον ἡμῖν. Ὡσαύτως δέ καί τήν τῶν δύο ἐνεργειῶν ῥῆσιν πολλούς σκανδαλίζειν, ὡς μήτε τινί τῶν ἁγίων καί ἐγκρίτων τῆς Ἐκκλησίας μυσταγωγῶν εἰρημένην, ἀλλά γάρ καί ἕπεσθαι αὐτῇ τό δύο πρεσβεύειν θελήματα ἐναντίως πρός ἄλληλα ἔχοντα· καί ἐντεῦθεν δύο, τούς τἀναντία θέλοντας εἰσάγεσθαι· ὅπερ δυσσεβές ὑπάρχει καί ἀλλότριον τοῦ Χριστιανικοῦ δόγματος" Ἰδού σαφῶς, καί γυμνῇ τῇ κεφαλῇ, τό δή λεγόμενον, οὐχ ἁγίων ὑπάρχειν, οὔτε μήν ἐγκρίτων ὁρίζεται τῆς Ἐκκλησίας μυσταγωγῶν, τό δύο πρεσβεύειν θελήματα, καί τάς κατ᾽ αὐτήν ἡγουμένας ἰσαρίθμους αὐτοῖς ἐνεργείας· δυσσεβῶν δέ μᾶλλον, ὡς δυσσεβές, καί ἀλλότριον, ᾗ φησι, τοῦ Χριστιανικοῦ δόγματος· καί δύο τούς τἀναντία θέλοντας ἐπεισάγον τοῖς ταῦτα κηρύττουσιν. Ἤγουν τά δύο θελήματα, καί τάς ἰσαρίθμους αὐτοῖς ἐνεργείας πνευματοκινήτοις Πατράσιν, οἷς οὐδέ

ἥλατο κατακολουθεῖν, ἤ ἁγίους τούτους ἀποκαλεῖν, ἤ ὅλως κατ' ἐκείνους σύν ἐκείνοις ταῦτα πρεσβεύειν, εἰς τήν τοῦ κατά σάρκα Χριστοῦ τοῦ Θεοῦ μυστηρίου βεβαίωσιν. Ἀλλά τίσι καί τίνας τούς περί ὧνκαί οἷς ἔφησεν τήν τῆς μιᾶς ἐνεργείας εἰρῆσθαι φωνήν, καί ἀκολουθεῖν ἐν τούτῳ καθά καί ἐν πᾶσι πρός τό ἕν θέλημα Χριστοῦ τοῦ Θεοῦ ὁμολογεῖν, οἵ τε περιφανῶς ὄντες διεδείχθησαν, οἵ τε τῆς συγχύσεως πρόμαχοι καί τῆς διαιρέσεως ἡγεμόνες. Οἷον, οὐκ ἀπεικῶς γάρ εἰς πίστωσιν καί αὖθις ἐπιτόμως ἐπιδραμεῖν, Ἀπολινάριος ὁ δυσσεβής τάδε θεομαχῶν· Εἷς γάρ ὁ Χριστός, θεϊκῷ θελήματι μόνῳ κινούμενος, καθό καί μίαν οἴδαμεν αὐτοῦ τήν ἐνέργειαν, καί μηδεμίαν ἔχων ἐν τῷ θέλειν διαφοράν. Πολέμων ὁ τῆς ἀληθείας πολέμιος. "Ἀτρέπτῳ θελήματι θεϊκῷ πάντα πεποίηκεν· ἀλλ᾽ οὐ τό μέν, θεῖον· τό δέ, θεωθέν, κατά τόν Καππαδόκην Γρηγόριον." Καί, " Ὁ δύο θελήματα λέγων Χριστοῦ, κατά τούς πάλαι καί νῦν φυσωμένους, ἤ τόν ἕνα δύο τινάς εἰσάγει Χριστούς, ἤ τόν ἑαυτῷ διδάσκει μαχόμενον. Θεμίστιος ὁ ἀθέμιτος, Ἀλλ᾽ ἰσώμεθα τήν ὡς ἑνός μίαν θέλησιν τοῦ Ἐμμανουήλ, πῆ μέν, ἀνθρωπικῶς κινεῖσθαι, πῆ δέ, θεοπρεπῶς· καί, Μίαν φημί τοῦ Ἐμμανουήλ, τήν γνῶσιν καί τήν ἐνέργειαν, καθά καί τήν θέλησιν. Θεόδωρος ὁ θεόπληξ, Ἔδειξε μίαν εἶναι τήν θελησιν, μίαν τήν ἐνέργειαν, κατά μίαν καί τήν αὐτήν ἐξουσίαν προαγομένην. Νεστόριος ὁ πάμπληξ, Διό καί μίαν αὐτῶν τήν θέλησιν, ἐνέργειάν τε καί δεσποτείαν ὁρῶμεν. Παῦλος ὁ καί τήν γνώμην Πέρσης, Κατ᾽ εὐδοκίαν ἡ ἕνωσις, βουλῆς καί γνώμης ταυτότητι κρατουμένη· καί, Τό τῆς εὐδοκίας μυστήριον μοναδικῆς βουλήσεως διαδείκνυται. Τούτους δή τούς ἐναγεῖς καί ἀλάστορας, Πατέρας ἁγίους ὁρίζεται. Τούτοις ἐγκρίτους οἶδε τῆς Ἐκκλησίας μυσταγωγούς, οἷς ἐν πᾶσι, κἄν τούτῳ κατακολουθήσασα, καί μίαν Χριστοῦ τοῦ Θεοῦ συνοριζομένη θέλησιν καί ἐνέργειαν, τόν τῆς οἰκονομίας ὁμοίως αὐτοῖς συγχεῖ τε καί διατέμνει λόγον.

(180) Πῶς οὖν, τά τῶν ἐναντίων φρονοῦσα, φρονεῖν ἑτέρως ὑπείληφεν, ἀναλλάξ τιθεμένη τάς ψήφους· καί τοῦ ὄντος τό μή ὄν αἱρουμένη τε καί προκρίνουσα. Καί γάρ ἀληθείας οὐκ ἀδικίας κρινούσης, παντί που σαφές, ὡς ἐκεῖνος ἐκείνοις ὑπάρχων σύμφωνος καί ὁμόλογος, οὐχ ὁ λέγων ἅ μή λέγουσιν, ἀλλ᾽ πρεσβεύων ἅ δογματίζουσιν. Εἴπερ ἀσυμφωνία μέν τό ἑτερόδοξον, συμφωνία δέ, τό ὁμόδοξον οἶδε χαρακτηρίζειν. Καίτοι μαρτύρεταί πως καί αὐτή, βοῶσα, μή δύο τετολμηκέναι θελήματα φάναι ποτ᾽ ἄν τόν μιαρόν

Νεστόριον· ἀλλά αὐτοβουλίαν, τουτέστιν, ἕν θέλημα, τῶν πλαττομένων αὐτῷ δύο προσώπων ὁμολογεῖν. Εἰ τοίνυν καί κατά ταύτην, οὐ δύο μέν, ἕν δέ θέλημα πρεσβεύει Νεστόριος· τοῦτο δέ καί Ἀπολινάριος, καί οἱ ἀπ᾽ ἐκείνων δυσσεβεῖς ἅπαντες, καί μέντοι καί μίαν ἐνέργειαν, ὡς ὁ λόγος ἀπέδειξεν, ἀναμφηρίστως ἄρα δύο μέν ἡμᾶς λέγοντας κατά τούς θείους Πατέρας, ἑτερόφρονας πάντη· μίαν δέ λέγουσαν ἑαυτήν ὁμόφρονα Νεστορίῳ τε καί Ἀπολιναρίῳ, καί τοῖς ἀμφ᾽ αὐτοῖς οὖσαν, οἷς δογματίζει παρέστηκε· καί τούς μέν θείους παραγραφομένην, ὡς ἔφην, τούς δέ ἐναγεῖς, οἰκείους Πατέρας ἐπιγραφομένην.

Τίνος δέ ταύτην, ἤ ποίας ἐκβιασαμένης αἰτίας, κατά τῆς εὐσεβοῦς εἰσκεκόμικεν ὁμολογίας; Εἰ μέν ὡς οὐκ ἐχόντων πίστιν ἡμῶν, ψευδής ὁ λόγος· Χριστιανοί γάρ καί πρό ταύτης ἅπαντες, οἱ τόν ὀρθόν λόγον πρεσβεύοντες. Εἰ δέ ὡς ἐχόντων, φευκτός ὁ τρόπος, τό περιττόν, ὡς κίβδηλος, ἐπεισάγων, ᾧ τήν αὐτῶν συσκιαζοντες πανουργίαν, καί οὐδενός οὐδέ μίαν συνόδου καθάπαξ, ἤ Πατρός, ἤ Γραφῆς χρῆσιν προκομίζειν, εἰς τήν τῶν οἰκείων ἔχοντες μαρτυρίαν, ταῦτά φασι, πλαττόμενοι τῆς εὐσεβείας τά δόγματα, ἅ παρεδώκασιν ἡμῖν οἱ ἀπ᾽ ἀρχῆς αὐτόπται, καί ὑπηρέται τοῦ Λόγου γενόμενοι, καί οἱ τούτων μαθηταί καί διάδοχοι καθεξῆς, θεόπνευστοι τῆς ἀληθείας διδάσκαλοι· ταὐτόν δέ εἰπεῖν, αἱ ἅγιαι και οἰκουμενικαί ε΄σύνοδοι τῶν μακαριωτάτων καί θεοφόρων Πατέρων. Ἀλλ᾽ εἰ ταῦτα παρέδωκαν, τίς ἡ ἀπόδειξις, ἤ πόθεν ἐκείνοις τῶν τοιούτων δογμάτων ἡ πίστωσις; Ἄλλως τε τάς ἁγίας προσεχόντων ἡμῶν καί ὁμολογούντων συνόδους, δῆλον ὡς τῶν ἐπεισάκτων κίβδηλος ἡ ἐφεύρεσις. Εἰ δέ μή ταῦτα τῶν ἁγίων συνόδων, τίς ὁ τοῦ δράματος ὄγκος, κλήσει τῶν πανευφήμων τό δύσφημον ἐπικάμπτων, ὡς ἄν δέλεαρ ᾖ τοῖς ἁπλουστέροις εἰς τήν τῆς ἀληθείας ἀπόστασιν, τῶν περιδόξων Πατέρων τε καί συνόδων ἡ προσηγορία, (181) τοῖς ἑτερόφροσιν ἄνωθεν ἐξ ἀρχῆς εὐμηχάνως ἐξηυρημένη, πρός τέ τήν τῶν οἰκείων, ὡς ἔφην, συγκάλυψιν, καί τῶν ὑπαγομένων δολεράν οἷον ὑφαρπαγήν. Ὅθεν εἰς παντελῆ τῶν τοιούτων κατάργησιν, λέγω δή τῶν κατά καιρούς τάς ἀπατηλάς ἐξερευνώντων ἐξερευνήσεις κατά τῆς πίστεως, καί συνοδικός ὁρίζεται κάλλιστα νόμος τῆς ἁγίας ἐν Χαλκηδόνι συνάξεως τῶν μακαρίων Πατέρων, ὧδέ πη κελευόμενος· " Ὥρισεν ἡ ἁγία καί οἰκουμενική σύνοδος, ἑτέραν πίστιν μηδενί ἐξεῖναι προφέρειν, ἤγουν συγγράφειν ἤ συντιθέναι, ἤ φρονεῖν ἤ διδάσκειν ἑτέρους· τούς δέ τολμῶντας ἤ

συντιθέναι πίστιν ἑτέραν ἤγουν προκομίζειν, ἤ διδάσκειν ἤ παραδιδόναι ἕτερον σύμβολον, τοῖς ἐθέλουσιν ἐπιστρέφειν εἰς ἐπίγνωσιν τῆς ἀληθείας ἐξ Ἑλληνισμοῦ ἤ Ἰουδα«σμοῦ, ἤγουν ἐξ αἱρέσεως οἱασδηποτοῦν, τούτους, εἰ μέν εἶεν ἐπίσκοποι ἤ κληρικοί, ἀλλοτρίους εἶναι τούς ἐπισκόπους τῆς ἐπισκοπῆς, καί τούς κληρικούς τοῦ κλήρου· εἰ δέ μονάζοντες ἤ λαϊκοί εἶεν, ἀναθεματίζεσθαι αὐτούς."

Τίς οὖν ἄρα τῶν ὁποσοῦν ᾐσθημένων Θεοῦ, καί τῆς αὐτοῦ παμφαοῦς δόξης ἐξηρτημένων, παρ᾽ οὗ, καί δι᾽ οὗ, καί εἰς ὅν ἡ σωτηρία τῶν εὐσεβῶς ὁμολογούντων αὐτόν, ἔτ᾽ ἄν τήν διά τῶν θεσπεσίων λογίων τε καί Πατέρων ἄνωθεν καί ἐξ ἀρχῆς παραδεδομένην ἡμῖν ὀρθόδοξον πίστιν ἀπολιπεῖν, καί προκρῖναι τήν πρόσφατον καινοτομίαν· καθ᾽ ἧς, ὥσπερ δή καί πάσης ἑτέρας παρά τόν εὐσεβῆ λογισμόν ἐξηυρημένης τοῖς ἑτερόφροσιν, ὁ τῆς ἐγκρίτου καί συνοδικῆς ἀρᾶς ἔνθεσμος ἐξενήνεκται τῶν ἐν Χαλκηδόνι συνειλεγμένων ἁγίων Πατέρων, ὡς ὁ λόγος ἀπέδειξεν· αἰ μή που τῆς οἰκείας καταναρκήσας ζωῆς, τῆς ἀπό Θεοῦ δόξης τήν ἀλλοτρίωσιν προτετίμηκε. Διό δή πράγμασιν αὐτοῖς θεώμενοι, Δέσποτα, καί κατανοοῦντες πρόοδον οὖσαν φανερῶς ἀναφανδόν καί προκήρυξιν, εἴς τε θεοσεβείας ἁπάσης ἀνατροπήν, καί τῆς τοῦ Μονογενοῦς ἐξάρνησιν ἀληθοῦς ἐπιγνώσεως, ἐσχάτης τε πλάνης καί τοῦ τελευταίου θηρός, κατά τήν τῶν ταῦτα φρονούντων ἁγίων ἀνδρῶν, ἐξ ἐπιπνοίας θείας καί μακαριωτάτης ἐλλάμψεως προαγόρευσιν, εἰς ἡμετέραν φρουράν τῶν τά τέλη τῶν αἰώνων κατειληφότων, ταύτην δή τήν ἐπείσακτον καινοτομίαν παντί σθένει τῆς ἑαυτῶν ἕκαστος καρδίας τηρήσωμεν, ὡς ἄν μή συναπαχθῶμεν ἀπεριμερίμνως οἷον καί ἀτημελῶς, ἀλλ᾽ οὐκ ἐμβριθῶς λίαν καί ἀνδρικῶς κατά πάσης ἀσεβείας ἱστάμενοι, λογισμούς, Γραφικῶς εἰπεῖν, καθαιροῦντες , καί πᾶν ὕψωμα ἐπαιρόμενον κατά τῆς γνώσεως τοῦ Θεοῦ. Ταύτῃ τοι καί αὐτός ὁ τῶν ὅλων Σωτήρ Κύριος ἡμῶν καί Θεός, φιλανθρώπως ἡμᾶς ἀσφαλιζόμενος· Τότε, φησίν, ἐάν τις ὑμῖν εἴπῃ· Ἰδού ὧδε ὁ Χριστός, ἰδού ὧδε· μή πιστεύσητε, τάς κιβδήλους περί αὐτοῦ τῶν ἐπιλόξων, καί διαφόρους πίστεις καί ὑπολήψεις, τοῦ κατ᾽ αὐτόν πόῤῥωτάτω μυστηρίου διαπεμπόμενος, καί τούς οἰκείου ὀπαδούς ἀλλοτρίας ἁπάσης ( δόξης ) ἀνείργων, αἷς τό (184) εἰλικρινές τῆς εἰς αὐτόν ὁμολογίας ἐκταράττειν εἰώθασιν ἅμα καί πολεμεῖν, οἱ τόν τρόπον ἐριστικοί καί ἀντίφρονες· ὡς ἄν μή ποτ᾽ ἄν ὁ εὐσεβής καθ᾽ ἡμᾶς καί φιλόθεος νοῦς τινι τούτων ἁλούς, ἀποπέσῃ ἀληθείας, πιθανότητι

μύθων παραῤῥυείς, ἀλλ᾽ οὐκ ἀποδείξει πατρικῶν λόγων βεβαιωθείς. Γρηγορεῖτε γοῦν καί προσεύχεσθε, παρεγγυᾷ, διά τοῦτο πάλιν ὁ λόγος ἡμῖν, ἵνα μή εἰσέλθητε εἰς πειρασμόν· ἐγρηγόρσει μέν, τήν περί τοῦτο νῆψιν, προσευχῇ δέ, τήν αὐτοῦ κατά χάριν ἀντίληψιν βουλόμενος ἡμῖν ἐμποιῆσαι. Πειρασμόν δέ τόν ἐκ πλάνης, οὐκ ἀνάγκης φησίν ἐνταῦθα, εἰς ὅν οἴκοθεν, οὐχ ἑτέροθεν εἰσαγόμεθα, τῆς εὐθείας παρεκκλινόμενοι τρίβου καί βασιλικῆς· ἥν εὐθυτομοῦντες αὐτοί θεοδήγητοι, καί τούς κατ᾽ ἐμέ τόν ὑμέτερον ἐπ᾽ ἀμφοτέρων χωλανάντας τῶν ἰγγύων σοφῶς ὁδηγήσατε, πρός τό ἄσκιον ἀνακομίζοντες φῶς καί ἀνέσπερον, τῆς τοῦ λόγου θειοτάτης ὁμολογίας καί πολιτείας, πρός τήν ἐκεῖθεν ἀμοιβήν ἀποβλέποντες. Ἐπεί καί νόμος παρακελεύεται θεῖος τούς καθ᾽ ὑμᾶς δυνατούς τῶν ἀσθενούντων τά βάρη βαστάζειν, καί οὕτω τόν νόμον ἀναπληροῦν. Βαρύ δέ βάρος ὑπέρ τι ἄλλο καθέστηκε τῶν δυσχερῶν, ἡ περί τῶν αὐτῶν διαφορία λόγων, ἐγγινομένη τοῖς νηπιωδεστέροις, χρόνων τε καί προσώπων ὑπαλλαγαῖς, ἀπάτῃ τυχόν, ἤ ἀπειλῇ τῶν κολακευόντων, σαινόντων ἤ ἀκριβούντων· καί ἐν καιρῷ μάλιστα τῆς τοῦ παντός ἀνωμαλίας, ἀσχέτως ἐπιφυομένων. Χεῖρα τοιγάρτοι συμπαθῶς ὀρέγοντες τῷ ὑμετέρῳ μή διαλείποιτε πρόσφυγι, τοῦτο μέν λόγῳ καθαίροντες ἐπιστημόνως· τοῦτο δέ προσευχῇ στηρίζοντες φιλανθρώπως, καί αὐτῷ προσοικειοῦντές τε καί προσάγοντες, τῷ παρ᾽ ὑμῶν ὀρθῶς τε προσκυνουμένῳ καί πιστευομένῳ Θεῷ Λόγῳ καί παμβασιλεῖ τῶν αἰώνων, νῦν τε καί κατά τήν αὐτοῦ φοβεράν ἐπιφάνειαν· ᾧ σύν Πατρί καί ἁγίῳ Πνεύματι, τιμή, κράτος, δόξα, προσκύνησις, εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΜΑΞΙΜΟΥ ΤΟΥ ΜΕΓΑΛΟΥ
τοῦ ὁμολογητοῦ,
***Περί θελημάτων β´ τοῦ ἑνός Χριστοῦ τοῦ Θεοῦ ἡμῶν.***

Ἄλλα μέν ἄλλοις εἰς ἀσφάλειάν τε ὁμοῦ καί κόσμον τεχνικῶς ἐπινενόηνται, σχήματά τε καί εἴδη· καί τούτοις ἐμπρέπειν δοκοῦσι τῷ φαινομένῳ, τοῦ κρυπτομένου δι᾽ ἄνοιαν καταναρκήσαντες· σοί δέ, Πάτερ ἡγιασμένε, πρός ἀδιάστατον ἤδη μετενεγκόντι βίον τόν λογισμόν, ἡ ἄτεχνος καί παντός εἴδους καί σχήματος ὑπερέχουσα, πρός κάλλος ἤρκεσε καί φρουράν ἀρετή, τοσοῦτον ὡραΐζουσά σου πρός τῷ (185) ἀφανεῖ, καί τό πᾶσιν ὁρώμενον, ὅσον πόθον τοῦ

λυομένου καί κόσμου ( κοσμικοῦ ) τόν ἱστάμενον, καί οὔ ποτε κόρον ἔχοντα προετίμησας. Μᾶλλον δέ τοσοῦτον ἀποδεικνύσα, καθώς θέμις, προσῳκειωμένον Θεῷ καί ὅμοιον, ὅσον ὕλης καί τῶν περί ταύτην ἠλλοτριωμένον πάντη κατά σχέσιν ἀπέφηνε καί ἀνόμοιον. Ἔνθεν σοι καί τό ἀνάλωτον πρός τά δρῶντα κακῶς περίεστιν. Οὐ γάρ πέφυκε πρός ἐκείνων πάσχειν ὁ γνώμη πεπονθώς τά καλά, καί πρός ἐκείνων δι᾽ ὅλου κρατούμενος, πόθου τε πλήρωσιν εἰληφώς, τήν ἐφ᾽ ἑαυτῷ τοῦ ποθουμένου τελείαν ἐκνίκησιν, καί παύλαν κινήσεως τήν ἀεικίνητον στάσιν, καθ᾽ ἥν ὁ πάλαι τῆς φύσεως κρατήσας ἐξαφανίζεται θάνατος, οὐχ ἡττωμένης τούτῳ διά παραβάσεως. Οὐ γάρ ἔτι σάλον ὑφίστασαι, διά τήν ἐπικρατήσασαν χάριν τοῦ Πνεύματος, ὑφ᾽ ἧς τῷ ἀντέχεσθαι κατ᾽ εὐχάς ἀντεχόμενος, καί τάς ταύτης ἐπιστημόνως ἐξανύων τρίβους, ὑποδεικνύεις μέν κατ᾽ ἐνέργειαν, ὅσαι βασιλικαί καί θεῖαι τυγχάνουσιν, τοῖς πρός ἀπλανῆ τρίβον τήν τῆς εὐσεβείας ἰθυπορεῖν βουλομένοις· τούτων δέ τάς παρ᾽ ἑκάτερον ἐκτροπάς διορίζεις· καί τῶν μέν τάς ἠπειλημένας ἀνίας· τῶν δέ τάς ἐπηγγελμένας ἱεράς ἀμοιβάς ὑποφαίνεις· ὡς ἄν δέει καί πόθῳ πρός τήν ἔνθεον ἀγάγοις τελείωσιν. Καί σοῦ τήν ἐργασίαν ἀποθαυμάσας ἐπαινῶ προσηκόντως τήν σύνεσιν· μᾶλλον δέ τήν περί ἑκατέρα καταπλαγείς εὐτονίαν, τόν δυναμοῦντά σε καί σοφίζοντα δοξάζω Θεόν, λιπαρῶν ταῖς αὐταῖς χρῆσθαι μεθόδοις πρός τούς ἐνδεεῖς φρενῶν, καί μή κάμνειν· οὐ γάρ ἔχει κάματον ἡ ἀρετή, πάντων οὖσα κατεργαστική τῶν καλῶν, μέχρις ὅτου νοῦν ἐμποιήσῃς Χριστοῦ, καί τά βάθη τοῦ Πνεύματος διερευνᾷν ἐκπαιδεύσῃ, οὗ καί τά ἐμφανῆ, πᾶσαν τῶν ὄντων περιγράφει σοφίαν καί δύναμιν, καί τήν ἐν μυστηρίῳ λαλουμένην ἀποκαλύπτει, τοῖς κατά σέ προσθεμένοις αὐτῷ, καί μηδέν εἰς συμβίωσιν τούτου προκρίνασι τιμιώτερον.

Ἀλλ᾽ ἐπειδή τήν πασῶν πρωτίστην ὁμοίως καί τελευταῖαν, ὡς πραγωγόν καί σφραγίδα περιλάμπουσαν ἀρετήν κεκτημένος· λέγω δή τήν ταπείνωσιν, πυθέσθαι κατηξίωσας τόν σόν οἰκέτην καί μαθητήν, διά τόν περί φυσικοῦ θελήματος ὁρισμόν, ὅν ὁ εὐλαβής πεποίηκε μοναχός, εἰ εὖ ἔχει, ἤ μή, φήσας, "Δύναμιν ὑπάρχειν τοῦ κατά φύσιν ὄντος ὀρεκτικήν, καί τῶν οὐσιωδῶς τῇ φύσει προσόντων συνεκτικήν πάντων ἰδιωμάτων." Καί, ὅτι ἄλλο τοῦτο, καί τό γνωμικόν ἄλλο, καλῶς ἔχειν ὑπολαμβάνω, καί τῆς τῶν θεοκρίτων οὐκ ἀπᾴδοντα διδασκαλίας Πατέρων, εἰ καί τισιν ἐνομίσθη μή οὕτως ἔχειν, θέλησιν καί θεληθέν ἤ θελητόν (188) ἰσχυριζομένοις τό θέλημα τούς Πατέρας

ορίζεσθαι. Καί τίς οὕτως ορίζεται, καί ποῖος τῶν Πατέρων, ἡδέως ἄν ἠρόμην αὐτούς. Εἰ γάρ οὕτως, τί ποτε ἄλλο τοῦτο καθέστηκεν, ἤ διάλληλος δεῖξις, ἡ τόν αὐτοῦ καθ᾿ ἑαυτόν μή διευκρινοῦσα λόγον, ἀλλ᾿ ἑκατέρου τόν αὐτόν δι᾿ ἑκατέρου τιθεμένη παρά τό εἰκός, καί προΐσχουσα, ὅπερ ὑπάρχει τό, θέλησιν ορίζειν τό θέλημα, καί τοῦτο αὖθις ἐκείνην. Ἀντιστρέφει γάρ πρός τόν οἰκεῖον ὅρον τά οριζόμενα. Ὅτι γάρ καί θέλησιν τό θέλημα λέγουσιν, δῆλον. Οὐ μήν ὡς ορισμόν θελήματος τοῦτό φασι. Τίς γάρ ὁ δεῖξαι δυνάμενος· ἐπεί καί βουλήματος βούλησις, καί κίνησις αὖθις κινήματος, καί ἀνθρώπου ἀνθρωπότης ἔσται, κατά τούς λέγοντας, ορισμός. Εἴτε δέ οὕτως, εἴτ᾿ ἐκείνως σημαίνουσι τό σημαινόμενον, οὐδαμῶς τήν ὕπαρξιν αὐτοῦ παραβλάπτουσι, εἴτε κίνησις, εἴτε ουσία τό δηλούμενον ᾖ. Καί γάρ εἰ τοῦτο, πάντων καθολικῶν ἅμα καί μερικῶν διαπεσεῖται πάντως ἡ ὕπαρξις. Διαφόροις γάρ ἐν πᾶσι προσχρώμεθα σημασίαις. Κἀκεῖνο δέ φημι, ὡς εἰ καί θέλησιν τό θέλημα προσαγορεύουσιν, ἀλλ᾿ οὐδαμῶς θεληθέν ἤ θελητόν. Πῶς γάρ ταυτόν ἔφεσις, καί ἐφετόν; Εἰ γάρ τοῦτο, πρός τί κινηθήσεται, αὐτό τοῦτο κυρίως ὑπάρχουσα πρός ὅπερ ἄν καί κινεῖται, καί μή ἄλλο παρ᾿ ἐκεῖνο τήν φύσιν τυγχάνουσα; Μέση γάρ αὕτη τῶν ἄκρων σχέσις ἐστίν· ἑνωποιοῦσα μέν ταῦτα δι᾿ ἑαυτῆς, οὐ συμβαίνουσα δέ τούτοις κατά τήν ὕπαρξιν. Καί μάρτυς ὁ θεῖος καί μέγας Γρηγόριος, τό θεληθέν καί γεννηθέν, οὐκ εἰς ταυτόν ἄγων τῇ θελήσει καί τῇ γεννήσει καθάπαξ· ἀλλά διά τούτων ὡς σχέσεων φυσικῶν, ἀνάγων ἐπί τόν γεννῶντα καί θέλοντα. Εἰ γάρ μήτε τήν ἀναφοράν τοῦ θεληθέντος ἤ γεννηθέντος πρός τήν θέλησιν καί τήν γέννησιν ποιῆσαι κατεδέξατο, καίτοι μέσης κατά φύσιν οὔσης, "Οὐ γάρ ἕπεται πάντως, φησί, πῶς ἔμελλεν εἰς ταὐτόν ἀγαγεῖν, καί ἕν εἶναι ταῦτα διαγορεύειν."

Ἄλλως τε· εἰ θέλημά φασι τό θεληθέν, θεληθέν δέ καί θελητόν κατά φύσιν ἡμεῖς· Θεοῦ γάρ κτίσμα τυγχάνομεν, οὐκ ἄλλο λοιπόν ἤ μόνον ἡμᾶς θέλημα κατά φύσιν ἔχει Θεός, γινόμενόν τε καί ἀπογινόμενον, καθά καί ἡμεῖς· πρίν δέ εἶναι, παντός ὤν θελήματος ἔρημος. Τό αὐτό δέ καί ἐπί ἡμῶν συναχθήσεται· μόνον δέ τό ἔξωθεν θεληθέν, ὅν τε καί μή ὄν· καλόν καί μή τοιοῦτον, περιπλασθήσεται· πῶς ( πρός) δέ καί θεληθέν τε τῶν ἐκτός ὑπάρχει. Διά γάρ τόν πρός αὐτό θελήσει κινούμενον, ἀλλ᾿ οὐ δι᾿ αὐτό λέγεται, θεληθέν καί θελητόν. Ὡς ἐάν μηδέν θελήσῃ τῶν ὄντων, ὁ τήν φυσικήν θέλησιν ἔχων, οὐδέν αὐτῷ θεληθέν ἤ θελητόν. Τίς οὖν ὁ λόγος τοῖς θέλημα τό

θεληθέν ἰσχυριζομένοις ὑπάρχειν , ἤ λέγεσθαι πρός τῶν ἁγίων Πατέρων ἀποφαινομένοις;

(189) Ἔστω δέ καί οὕτω λεγόμενον κατ᾽ αὐτούς, οὐ γάρ περί διαφορᾶς ὀνομάτων ἡμῖν, ἀλλ' εὐσεβῶν νοημάτων ὁ λόγος· ἐκεῖνο δέ προσηκόντως ἐρομένοις ἀποκριθῶσιν, εἰ ἄλλο κατά φύσιν ἐστί τό θεῖον πρός τό ἀνθρώπινον θέλημα· καί ἄλλο πρός ἐκεῖνο τοῦτο, κἄν εἰ μυρίως καλῆται καί ὀνομάζηται· τοῦτο διδάξωσι, καί κραδαινομένην ἡμῶν ἐπί τῷ ἀγνώστῳ στηρίζωσι τήν διάνοιαν· καί οἱ λίαν αὐτῶν ταῖς ὀνοματοθεσίαις δυσχεράνομεν, ἀλλ᾽ εἴ τι καί παρ᾽ ἑαυτῶν ἐν τούτοις συνεισενέγκομεν. Εἰ γάρ ἄλλο καί ἄλλο κατ᾽οὐσίαν οὐκ ἔστι, δῆλον ὡς ἕν φύσει καί ταὐτόν. Καί εἰ τοῦτο, καί ἡ φύσις ἐξ ἀνάγκης μία καί ἀπαράλλακτος. Οὗ γάρ ἑτερότης φυσική θελημάτων οὐκ ἔστιν, οὐδ' οὐσίας τό παράπαν καί φύσεως. Εἰ δέ ἄλλο φύσει καί ἄλλο, διάφορα πάντως· καί εἰ διάφορα, πῶς τόν ἐν πόσῳ τούτων ἀριθμόν οὐχ ὁμολογῆσαι χρεών; Ἡ γάρ τούτου ἐξάρνησις, αὐτῆς τε πάμπαν ἀφανισμόν, καί τῶν διαφερόντων, ὡς οὐκ ὄντων, ἐργάζεται. Πῶς γάρ καί εἶναι δυνατόν καί μή ἀριθμεῖσθαι, καί δι᾽ ἥντινα τήν αἰτίαν; ἤ πῶς ὄντα μέν κατά φύσιν, οὐκ ἀριθμούμενα δέ τά θελήματα τήν αὐτήν, εἴπερ εὐλόγως μή παύσοιντο τοῦ ἀριθμεῖσθαι καὐταί αἱ φύσεις; Τό γάρ ἐπ᾽ ἐκείνων καλόν, ἐμφύτων ὄντων καί συστατικῶν τῶν πραγμάτων, καί ἐπ᾽ αὐτοῖς ὑπάρχειν προσήκει τοῖς πράγμασι, καί ἤ κἀκ τούτων ἀνέλωσι τόν ἀριθμόν, ὡς ὅτι κατ᾽ αὐτούς λυμαινόμενον, ἤ μηδαμῶς παραβλάπτοντα, καί ἐπ᾽ ἐκείνων περιληφθῇ. Πρός δήλωσιν τῆς ἑνούσης αὐτοῖς ἐμφύτου διαφορᾶς, δι᾽ ἥν αὐτῷ κἄν ταῖς οὐσίαις προσχρώμεθα· ἤ δείξωσι, πῶς μή ἀναίρεσιν πάντωνς ἤ σύγχυσιν, τοῦ κατά ἄνθρωπον φυσικοῦ τοῦ Σωτῆρος θελήματος ἀπεργάζονται, διά τῆς κατά τόν ἀριθμόν παραιτήσεως.

Καί πῶς τέλειος ἄνθρωπος ὁ σαρκωθείς Λόγος, θελήματος ἐκτός φυσικοῦ; Τό γάρ θεωθῆναι τῇ πρός Θεόν ἑνώσει, καθά καί τήν φύσιν αὐτήν τῆς λογικῶς τε καί νοερῶς ἐψυχωμένης σαρκός, τῆς κατ᾽ οὐσίαν ὀντότητος οὐκ ἐξίστησιν· ὥσπερ οὐδέ τῆς οἰκείας τόν σίδηρον, ἡ ἄκρα καί δι᾽ ὅλου πρός τό πῦρ συνανάκρασίς τε καί ἕνωσις· ἀλλά πάσχει μέν τά πυρός, ἐπειδή πῦρ τῇ ἑνώσει γεγένηται· βρίθει δέ πάλιν κατά φύσιν, καί τέμνει, ὅτι μή τῆς οἰκείας λώβην πέπονθε φύσεως, ἤ φυσικῆς ἐνεργείας ἐξέστη τό σύνολον· καίτοι μετά πυρός ὑπάρχων κατά τήν αὐτήν καί μίαν ὑπόστασιν, καί ἀδιαστάτως δρῶν, τά τε κατά φύσιν ἰδίαν· λέγω δέ τήν τομήν· καί τά καθ᾽ ἕνωσιν αὖθις, ὅπερ ἐστίν

ἡ καῦσις. Αὐτοῦ γάρ ὑπάρχει, καθάπερ καί τοῦ πυρός ἡ τομή, διά τήν ἄκραν τούτων αἰς ἄλληλα περιχώρησίν τε καί ἀντίδοσιν· καί οὔτε τήν φύσιν αὐτοῦ, φημί δέ τοῦ σιδήρου, κἄν μετά πυρός ὁρᾶται, (192) κωλυόμεθα τό παράπαν ὀνομάζειν ἤ ἀριθμεῖν, οὔτε τήν φυσικήν ἐνέργειαν, εἰ καί μετά καύσεως καθορᾶται, καί μηδεμίαν ἔχει πρός ταύτην διάστασιν, ἀλλ᾽ ἑνοειδῶς σύν αὐτῇ τε καί ἐν αὐτῇ διαφαίνεται καί γνωρίζεται. Τίς οὖν ὁ λόγος, τοῦ τό φυσικῶς τῇ φύσει προσόν μή ἀριθμεῖν, τουτέστι τό θέλημα, καί ταύτῃ τό καθ᾽ ἡμᾶς ἀτελές τῷ ὑπερτελεῖ καί προτελείῳ Θεῷ Λόγῳ σεσαρκωμένῳ προσμαρτυρεῖν, καίτοι πάντων ἐπίσης, εὐδοκίᾳ Πατρός, καί συνεργείᾳ Πνεύματος ἁγίου διά τήν ἡμῶν σωτηρίαν, καθ᾽ ἕνωσιν τήν ἀδιάστατον τῶν τῆς φύσεως κεκοινωνηκότι, καθάπερ οὖν καὐτῆς τελείως τῆς φύσεως, πλήν μόνης τῆς ἁμαρτίας, ὅτι μηδέ τῆς φύσεως ἦν, ἀλλά γνώμης, παρά τόν λόγον καί τόν νόμον κεκινημένης τῆς φύσεως, ἐκτροπή καί ὀλίσθημα;

Καί μοι δεόντως μάλιστα τούτου γε χάριν ὁ λεχθείς ἐπιστήσας φαίνεται μοναχός, τοῦ φυσικοῦ τό γνωμικόν διαστείλας θελήματος. Τό μέν γάρ, κατά τόν αὐτοῦ καλῶς ἔχοντα ὁρισμόν, Δύναμις ὑπάρχει τοῦ κατά φύσιν ὄντος ὀρεκτική. Πᾶν γάρ εἴ τι τῶν ὄντων καί μάλιστα λογικῶν, φυσικῶς τοῦ κατά φύσιν ὄντος ὀρέγεται, καί τούτου παρά Θεοῦ λαβόν κατ᾽ οὐσίαν ἔχει τήν δύναμιν, πρός σύστασιν τήν ἑαυτοῦ. Εἰ γάρ τοῦ κατά φύσιν ὄντος οὐκ ἔχει τήν ὄρεξιν, τοῦ μηδαμῶς ὄντος, πόθεν καί πῶς, μηδόλως ὕπαρξιν ἤ κίνησιν ἔχοντος; Μόνον γάρ ἀδρανές τό μή ὄν καί ἀνούσιον· καί οὐδαμῶς οὐδέ μία τούτου δύναμις ἐν τοῖς οὖσιν ὑπάρχει, καί κίνησις. Τό δέ, αὐθαίρετος ὁρμή καθέστηκε, τάς ἐφ᾽ ἑκάτερα ποιουμένη παρεκτροπάς· καί οὐ φύσεως ὑπάρχον ἀφοριστικόν, ἀλλά προσώπου κυρίως καί ὑποστάσεως. Καί τοῦτό γε διαγνούς ὁ διῃρημένος καί ἀνθρωπολάτρης Νεστόριος, γνωμῶν ἕνωσιν ἀσεβῶς ἐδογμάτισεν· ἵν᾽ ἑκατέραν δι᾽ ἑκατέρας ὑπόστασιν ἐπικυρώσῃ, καί ὁ ψιλός ἄνθρωπος αὐτῷ τηρηθῇ, γνώμῃ τινί καί αὐθαιρέτῳ κινήσει τῇ πρός τόν Θεόν Λόγον, ὡς αὐτός φησι, τήν ἕνωσιν ποιησάμενος, ἐξ ἧς καί τήν ταυτοβουλίαν συνίστησιν, ἤ πολυβουλίαν, εἰπεῖν οἰκειότερον· ὅσῳ καί καθ᾽ ἑκάστης τοῦ γνωμικοῦ θελήματος κίνησιν, κατά μέρος ἐκ τῶν ἀτελῶν ἐπί τά ἐντελῆ κατ᾽ αὐτόν ἴεται, φερομένη τε καί προκόπτουσα· ἀλλ᾽ οὐκ ἐξ αὐτῆς τῆς ἀφράστου συλλήψεως, ὅλης τελείως μετά τῶν αὐτῆς ἁπάντων, πρός

ὅλην καί τά κατ᾽ αὐτήν ἅπαντα, τήν ἡμετέραν φύσιν τῆς τοῦ Λόγου θεότητος, καθ᾽ ὑπόστασιν μίαν καί τήν αὐτήν ἐνωθείσης.

Ὡς ἄν τοίνυν καί τό ἐνελές διακριβώσῃ τῆς φύσεως ἐπί τοῦ σαρκωθέντος Θεοῦ, καί τό ἀντικείνενον διαῤῥίψῃ ὁ λεχθείς μοναχός· τό μέν φυσικόν (193) ὥρισεν ἐπ᾽ αὐτοῦ· τό δέ γνωμικόν ἀποδιώρισε θέλημα, μήτε τῇ διαιρέσει χώραν δούς τῷ στασιάζειν ἐν τούτῳ, μήτε τῇ φαντασίᾳ παρείσδυσιν, τῷ μή ὑπάρχειν ἐκεῖνο. Εἰ δέ τις τυχόν ἰσχυρίζεται, μή ἄν ἄλλως ἀπ᾽ αὐτοῦ δυνατόν, ἤ κατ᾽ ἐναντίωσιν τά δύο θελήματα λέγεσθαι· εἰ μέν ὡς κατ᾽ οὐσίαν διάφορα, κἀγώ δέχομαι, εἰ δέ ὡς ἀντικείμενα, ψευδής ὁ λόγος. Οὐ γάρ εἴ τι διάφορον πάντως καί ἀντικείμενον. Τό γάρ ἀντικείμενον, γνώμης παραλόγως δηλαδή κινουμένης· τό δέ τό δέ διάφορον, φύσεως λόγῳ κρατουμένης ἔργον καθέστηκε· καί τό μέν φύσεως στασιαστικόν, τό δέ προδήλως συστατικόν. Διαφορά τοιγαροῦν οὐσιώδης, εἰς σύστασιν τῶν ἐν τῇ φύσει πράγμάτων ἐστίν, οὐ μή ἐναντίωσις, (ἀλλά ) πρός τήν τούτων διάλυσιν. Οὐ γάρ ἔχει ἡ φύσις τό παρά φύσιν· οὐδέ λόγος οὐδείς τοῦ στασιάζοντος.

Ἄλλως τε, εἰ τά δύο θελήματα πάντως ἐναντία καί ἀντικείμενα, πῶς ἐπί τε τῶν φύσει καί ὑποστάσει διῃρημένων λογικῶν, οὐ τοῦτο πάντῃ τε καί πάντως συμβαίνει. Συννεύομεν γάρ ἔστιν ὅτε τούτοις, καίτοι γνωμικοῖς οὖσι, καί Θεῷ, καί ἀγγέλοις, καί ἀλλήλοις, ἀλλ᾽ οὐ διά τοῦτο τῆς γνώμης ἤδη, καί τοῦ κατ᾽ αὐτήν θελήματος, διαπεπτώκαμεν. Εἰ γάρ τούτων, καί τῆς πρός τούς ἄλλους δηλονότι συννεύσεως, εἴπερ ἕως ταύτην ἔχομεν, καί τῶν ἄλλων γνωμικῶν ἀντεχόμεθα. Εἰ οὖν ἐνταῦθα τοῦτο, καί οὐδαμῶς ἀντίταξις καθορᾶται, καίτοι σωζομένων ὑπάρξει τε καί ἀριθμῷ τῶν γνωμικῶν θελημάτων, καί τήν φιλικήν ἐν σχέσει διάθεσιν· πῶς ἐπί τοῦ αὐτοῦ καί ἑνός σαρκωθέντος Θεοῦ Λόγου, καί τελείως δι᾽ ἡμᾶς ἐνανθρωπήσαντος, ἐν τοῖς φυσικῶς προσοῦσιν αὐτῷ κατ᾽ οὐσίαν θελήμασιν, ἐναντίωσις ἔσται. Πῶς δέ ταῦτά φασιν ἐναντία, δι᾽ αὐτόν γε τόν ἀριθμόν, ἤ καί δι᾽ αὐτό τό ὑπάρχειν. Εἰ δέ διά τοῦτο, καί τήν φύσιν ἀνέλωσι τῆς σαρκός, ἀντικειμένην τῷ Λόγῳ διά τήν ὕπαρξιν. Πολλῷ γάρ ἰσχυρότερον, ὡς πᾶσιν εὔδηλον, εἰς ἀντίταξιν, τό ὑποκείμενον τοῦ ἐν ὑποκειμένῳ καθέστηκεν. Εἰ δέ διά μόνον τόν ἀριθμόν, καί τούτου τάς φύσεις ἐρήμους ποιήσωσι, καί μηδέ μίαν αὐτῶν ἀριθμείτωσαν; παραιτείσθωσαν δέ καί πάλιν αὐτόν διά τήν αὐτήν, κἀπί τῶν τῆς μιᾶς καί ἀνάρχου θεότητος τριῶν ὑποστάσεων, ἵνα μή κἀκείνη στασιάζῃ

πρός ἑαυτήν, ἀλλ᾽ ἄτοπόν γε τῷ μηδέν ὄντι τό σύνολον, οὐκ οὐσία, οὐ ποιόν, οὐκ ἄλλο τι τῶν ὄντων, ἰσχύν τοσαύτην ἀποκληροῦν· ἀτοπώτερον δέ, καί τήν ὕπαρξιν αὐτήν τοῦ φυσικοῦ θελήματος αἰτιᾶσθαι, κἀντεῦθεν τήν ἀναίρεσιν αὐτοῦ κατασκευάζειν. Καί ταῦτα, τῶν ἄλλων ἐν τῇ (196) φύσει πρωτίστην οὖσαν φυσικῶν ἰδιωμάτων καί κινημάτων ἔμφυτον δύναμιν. Κατά ταύτην γάρ μόνην, τοῦ εἶναι καί ζῆν, καί κινεῖσθαι, καί νοεῖν, καί λαλεῖν, καί αἰσθάνεσθαι, καί μετέχειν τροφῆς, ὕπνου τε καί ἀναπαύσεως, καί μή ἀλγύνεσθαι, μηδέ θνήσκειν, καί ἁπλῶς ἁπάντων τῶν συνιστώντων τήν φύσιν, ἔχειν τελείως τάς ἕξεις, καί τῶν λυμαινομένων τάς στερήσεις, φυσικῶς ἐφιέμεθα.

Καί μοι φαίνεται κἀν τούτῳ προσηκόντως ποιήσας, κατά τόν αὐτοῦ ὁρισμόν ὁ εὐλαβής μοναχός, καί προσθείς τό· " Καί τῶν οὐσιωδῶς τῇ φύσει προσόντων, συνεκτικήν πάντων ἰδιωμάτων." Πάντα γάρ ἀεί συνέχει, καί συνέχειν ἐφίεται , καί οὐδενός ἔχειν τήν στέρησιν, τό οὐσιῶδες ἐν ἡμῖν καί ἔμφυτον θέλημα· μᾶλλον δέ ἡμεῖς, δι᾽ αὐτοῦ τε καί κατ᾽ αὐτό· καί οἶμαι τόν καί ποσῶς τοῦ ὄντος, ἀλλά μή τοῦ δοκοῦντος λόγον ποιούμενον συνθήσεσθαι πάντως δή, καί ὡς ἄνθρωπον τόν σαρκωθέντα Θεόν φυσικόν ἔχειν καί ἀνθρώπινον θέλημα· καί τῶν ἀπηριθμημένων ἕκαστον θέλειν κατ᾽ αὐτό φυσικῶς, πρός πίστωσιν τῆς νοερῶς αὐτοῦ καί λογικῶς ἐψυχωμένης σαρκός, εἴπερ τέλειος ἄνθρωπος γέγονε, μηδενί τῶν ἡμετέρων λειπόμενος, πλήν μόνης τῆς ἁμαρτίας· ἀλλά πάντα ἔχων ὅσα καί ἡμεῖς, ἀπαραλείπτως τό κατά φύσιν συστατικά τῆς ἡμετέρας οὐσίας, ὥσπερ οὖν καί τά τῆς ἀνάρχου καί θείας, δι᾽ ὧν ἄνθρωπον ἑαυτόν ὁμοῦ καί Θεόν ὄντα κυρίως ἐγνώριζε, καί τήν πρός ἡμᾶς, καί τόν Πατέρα τελείως φυσικήν συγγένειαν διασώζοντα μετά τήν ἕνωσιν.

Τό γάρ δή λέγειν, ὡς ἐν τῷ καιρῷ μόνῳ τοῦ σωτηρίου πάθους, ἡνίκα τό ἡμέτερον ἐτύπου πραγματικῶς ἐν ἑαυτῷ, καί ὡς ἄνθρωπος παρῃτεῖτο τόν θάνατον, δύο θελήματα ἔχων ἐδείκνυτο, ἀποφαντικόν, οὐκ ἀποδεικτικόν μοι δοκεῖ. Πῶς γάρ ἐν τούτῳ μόνῳ τῷ καιρῷ, καί μή πρό τούτου, καί δι᾽ ἥντινα τήν αἰτίαν. Εἰ μέν γάρ εἶχε τότε, καί ἀπ᾽ ἀρχῆς εἶχεν ἐξ οὗ γέγονεν ἄνθρωπος, ἀλλ᾽ οὐχ ὕστερον ἐσχεδίασεν· εἰ δέ ἀπ᾽ ἀρχῆς οὐκ εἶχεν, οὐ δέ κατά τόν καιρόν τοῦ πάθους, ἀλλά μόνον ἐφάντασε τήν παραίτησιν, καί πρός ταύτῃ τά λοιπά δι᾽ ὧν σεσώσμεθα, οἷον τό δάκρυον, τήν εὐχήν, τήν λύπην, τήν ἀγωνίαν, τόν σταυρόν, τόν θάνατον, τήν ταφήν· ἑνός γάρ ἀκυρουμένου τῶν ἐν

αὐτῷ καθ᾽ ἡμᾶς φυσικῶν σωζομένων, οὐδέ τά ἄλλα στήσεται. Πῶς γάρ οὐκ ἐκεῖνο μέν, ταῦτα δέ; Καί τίς ὁ λόγος; ἐναντίωσις δέ ποῖα τό προσεύχεσθαι, καί φυσικῆς ἑκουσίως; τῆς κατά τήν σάρκα λέγω, πρόσδειξιν ἀσθενείας ποιεῖσθαι διά τῆς συστολῆς, καί μή ἀντιτείνειν ὅλως, ἀλλά λέγειν· Εἰ δυνατόν. Καί· Μή τί ἐγώ θέλω, ἀλλ᾽ εἴ τι σύ· καί συνάπτειν τῇ συστολῇ τήν ἰσχυράν κατά τοῦ θανάτου καί πρόθυμον κίνησιν; Ἐτύπου μέν γάρ πραγματικῶς ἐν ἑαυτῷ τό ἡμέτερον, διά τῆς φυσικῆς πρός μικρόν ἀγωνίας (197) ἵνα καί ταύτης ἡμᾶς ἐλευθερώσῃ, καί τῆς οἰκείας σαρκός τήν φύσιν πιστώσηται, καί πᾶσι καθαράν τήν οἰκονομίαν φαντασίας ἐργάσηται· παρίστη δέ πάλιν εὐθύς τήν κατά τοῦ θανάτου μεγίστην ὁρμήν, καί τήν ἄκραν τοῦ κατ᾽ αὐτόν ἀνθρωπικοῦ, πρός τό οἰκεῖον αὐτοῦ καί Πατρικόν θέλημα, συμφυίαν καί ἕνωσιν, τῷ ἐπικρῖναι τοῦτο καί φάσκειν· Μή τό ἐμόν, ἀλλά τό σόν γενέσθω. Ταύτῃ μέν τήν διαίρεσιν ἀπωθούμενος, ἐκείνῃ δέ πάλιν τήν σύγχυσιν.

Εἰ δέ, ὅτι ἀλλοτε φαίνεται τοῦ θέλειν ἔμφασιν πεποιημένος, ἤ κατά τόν καιρόν τοῦ πάθους, ταῦτά φασι, τοῦτο καί περί τῆς ἐμφύτου νοήσεως εἴποιεν, καί ἄνουν αὐτόν κατασκευάσουσιν. Οὐ γάρ φαίνεται λέξας ὅτι νενόηκα. Καί περί ὀσφρήσεως ὁμοίως, καί τῶν λοιπῶν καθ᾽ ἡμᾶς φυσικῶν, ὧν μνημονεύσας οὐκ ἀναγέγραπται. Ἤ καί περί τῆς ψυχῆς αὐτῆς, ὡς οὐ πρότερον οὔσης καθ᾽ ὕπαρξιν, ἀφ᾽ οὗ γέγονεν ἄνθρωπος, ἀλλ᾽ ἤ μόνον ὁπόταν αὐτῆς ἐμνημόνευσεν. Οὐ πρό πολλοῦ γάρ τοῦ πάθους τοῦτο πεποιηκώς ἀνηγόρευται. Ἤ τοίνυν σχεδιασθεῖσαν αὐτήν αὐτίκα εἴπωσιν, ὅτι μή πολλάκις καί ἀπ' ἀρχῆς αὐτῆς ἐμνημόνευσεν · ἤ τοῦτο μή λέγοντες, ἀλλ᾽ " Ἅμα σάρξ, ἅμα Θεοῦ Λόγου σάρξ ἔμψυχος, λογική." κατά τόν μέγαν Ἀθανάσιον δογματίζουσι, καί τό φυσικόν ὡς ἀνθρώπου τοῦ Σωτῆρος θέλημα, μή κατά τόν καιρόν εἶναι τοῦ πάθους λέξουσι μόνον, εἰ καί μνήμην αὐτίκα τούτου πεποίηκεν· ἀλλ᾽ ἀπ᾽ ἀρχῆς ὡς ἀνθρώπῳ καθ᾽ ἡμᾶς φυσικῶς τῷ Σωτῆρι συνουσιωμένον· καί παύσοιντο λοιπόν οὐκ ἐν καιρῷ τά τοιαῦτα κινοῦντές τε καί συνάγοντες. Καιρός γάρ ὁ παρών αἱμάτων διά τάς ἁμαρτίας ἡμῶν, ἀλλ᾽ οὐ δογμάτων ἐστί· καί θρήνων ἰσχυρῶν, εἰς Θεοῦ δυσώπησιν, ἀλλ᾽ οὐ σοφιστικῶν ἀντιῤῥήσεων, εἰς περισσοτέραν καθ᾽ ἡμῶν ἀγανάκτησιν.

Ἔπεισι δέ μοι θαυμάζειν καί περί ἐνεργείας, ὡς μίαν ταύτην ἐπί Χριστοῦ σογματίζουσι, τῇ πρός τό ἄτομον, ὡς αὐτοί φασιν, ἀποσκοπήσει καί ἀναφορᾷ. Καί ἵνα παρῶ λέγειν, ὡς οὐδέν τῶν

φυσικῶν ὡς εἰς ἄτομον προηγουμένως, ἀλλά τήν τούτου φύσιν τε καί οὐσίαν ἔχει τήν ἀναφοράν. Τίς γάρ ἄνευ τῶν φυσικῶς προσόντων τῇ φύσει δυνάμεων, ἐνεργεῖν τι δύναιτ᾽ ἄν; ἤ πόθεν αὐτῷ τό ἐνεργεῖν ἤ δύνασθαι, πάρεξ τῆς φύσεως; Ἐκεῖνο δέ ἐρωτῆσαι βούλομαι· πρός ἀναίρεσιν ἄρα τῶν φυσικῶν ἐνεργειῶν ταύτην προΐσχοντο, ἤ τί; Εἰ γάρ ἐπ᾽ ἀναιρέσει, πῶς, πότε καί ποῖα κατά τήν ἐκείνων ἀπόπαυσιν εἴη τό παράπαν ἐνέργεια; ὡς γάρ φύσεων οὐκ οὐσῶν, καί τό ἐξ αὐτῶν ἀφανίζεται πάντως, ἡ σύνθετος λέγω ὑπόστασις· οὕτω καί τῶν φυσικῶν ἐνεργειῶν οὐκ οὐσῶν, οὐδ᾽ ἄλλη τό σύνολον ἔσται. Καί οὐ λέγω τοῦτο, ὡς ἄλλης ἐνεργείας ἐκ τῶν φυσικῶν συνισταμένης. Οὐδέ μία γάρ τῶν ἐν ὑποκειμένῳ σύνθεσις· Ὅτι μηδέ τήν καθ᾽ ἑαυτά τό σύνολον ὕπαρξιν, ἀλλα τό (200) εἰκαῖον παριστᾷ. Ὡς εἰ τάς κυρίως κατά φύσιν οὔσας οὐκ εἶναι λέγουσι, πῶς ὑπάρξει τό μηδαμῶς ὄν; Τίς γάρ ἐστι ὑποστατικήν λέγων ἐνέργειαν, καί πόθεν τοῦτο, καί παρά τίνος λαβόντες πρσφέρουσιν; Εἰ δέ τοῦτο τυχόν ἀποφαίνονται, σύνθετον δέ τήν ὑπόστασιν ὁμολογοῦσι πρός ἥν ἀναφέρεται, καί τῶν ἐναντίων καί ἀντικειμένων δεκτικήν· θνητήν γάρ καί ἀθάνατον, ὁρατήν καί ἀόρατον, περιγραπτήν καί ἀπερίγραφον, ἄναρχον καί ὑπό ἀρχήν, ἔσται τοῦτο κατά τό εἰκός καί ἡ ἐνέργεια. Καί πῶς ἄλλως, ἤ καθ᾽ ἕξιν δηλονότι καί στέρησιν; καί τά μέν, ὡς οὖσα, πείσεται, τά δέ, ὡς μή οὖσα, παρυποστήσει. Πῶς δέ καί ὁ τοιαύτην ἔχων ἐνέργειαν, κατά τό αὐτό καί οὐκ ἄλλο καί ἄλλο, ὅτι μηδέ ἐκείνη, τά ὅμοια πείσεται; προσφυῶς γάρ ἔχειν τῇ οἰκείᾳ ἐνεργείᾳ τόν ἐνεργοῦντα, κἀκείνη τούτῳ, πᾶσα ἀνάγκη. Καί πῶς Θεός, ὁ ἕξει, καί μή φύσει Θεός; Πῶς δέ ἄνθρωπος, ὁ στερήσει, καί μή οὐσίᾳ κυρίως τοῦτο ὑπάρχων; Τίς δέ φύσις ἀνενέργητος, ἤ φυσικῆς ἐνεργείας ἐκτός; Ὡς γάρ οὐδαμῶς ὑπάρξεως ἔρημος, οὕτως οὐδέ δυνάμεως φυσικῆς. Εἰ δέ ταύτης ἀμοιρεῖ, καί τῆς ὑπάρξεως ἀμοιρήσειεν ἄν. Τό γάρ ἀδύναμον, ὡς ἀδρανές πάντη μόνον ἐστί τό μή ὄν. Πᾶν γάρ εἴ τι τῶν ὄντων, συστατικήν ἔχει διαφοράν, τήν ἔμφυτον κίνησιν τῷ γένει συμπαραλαμβανομένην, καί ποιοῦσαν τοῦ ὑποκειμένου τόν ὁρισμόν, δι᾽ οὗ ὅτι ἐστί καί τί ἐστι κυρίως γνωρίζεται, πρός τέ τά ὁμοειδῆ τό ἀπαράλλακτον ἔχον, καί τό διάφορον αὖθις πρός τά ἑτεροειδῆ· καί εἰ τοῦτο, πῶς δυνατόν φυσικῇ δυνάμει ἀμοιροῦντα κατά σάρκα, τόν ἐνανθρωπήσαντα Λόγον ἄνθρωπον τέλειον, ἤ ὅλως ἄνθρωπον χρηματίζειν. Οὐ γάρ δίχα φυσικῆς ἐνεργείας ὁ ἄνθρωπος, ὥσπερ οὐδ᾽ ἄλλη φύσις τῆς οἰκείας καί οὐσιώδους. Ἡ γάρ ἔλλειψις ταύτης, ἤ οὐδέ

φύσιν εἶναι ποιεῖ τήν φύσιν, ἤ τάς πάσας ἀλλήλαις ταυτόν, καί ἀντί πάντων μίαν, τῇ ἀπολείψει τῆς συνιστώσης συμφυρείσας δι᾽ ὅλου συγχυθείσας. Εἰ γάρ οὐκ ἀνέργητον λέγουσι τό καθ' ἡμᾶς τόν Λόγον, δῆλον ὡς ἔμφυτον καί ἀνθρωπίνην ἐνέργειαν ἔχοντα τοῦτόν φασι. Πῶς γάρ ἄν ἄλλως; Οὐ γάρ ἐνεργεῖν δυνατόν φυσικῆς ἐνεργείας χωρίς· ὥσπερ οὐδέ ὑπάρχειν οὐσίας δίχα καί φύσεως. Ἀλλ' οὐδέ μίαν μόνον, ἄν περ ᾖ τήν φύσιν διπλοῦς, τήν ἔμφυτον ἔχειν ἐνέργειαν τόν ἐνεργοῦντα, πᾶσα ἀνάγκη· ἐπεί καί φύσιν μίαν πάντως τόν ὑφεστῶτα, κἄν σύνθετος ᾖ τήν ὑπόστασιν. Εἰ γάρ διά τήν σχέσιν ἐκεῖνο, διά τήν αὐτήν πάντως καί τοῦτο. Μοναδικῶς γάρ ἐπ' ἀμφοῖν ταύτην φερομένην ὁρῶμεν. Ἥ τε γάρ ἐνέργεια πρός τόν ἐνεργοῦντα, καί πρός τόν ὑφεστῶτα πάλιν ἡ φύσις ἀνάγεται. Χρή τοίνυν εἴπερ διά τήν ἕνωσιν καί τό μοναδικόν τοῦ προσώπου, μίαν τοῦ ἐνεργοῦντός φασι τήν ἐνέργειαν, μίαν διά τοῦτο καί φύσιν τοῦ ἐφεστῶτος διαγορεύειν, ἵνα μή σχετικήν τήν ἕνωσιν δογματίζοντες φωραθεῖεν, ἐνεργειῶν ταύτην, ἀλλ᾽ οὐχί καί φύσεων λέγοντες. Οὐ γάρ πρός ὑπόστασιν ταύτας αὐτούς ἑνοῦν δυνατόν, ἀλλ᾽ οὐσίαν καί φύσιν ὅσον ἐπί ταῖς (201) φυσικαῖς ἐνεργείαις, οὐκ εἰς ἄλλο τι πλήν ἐνεργείας πρός αὐτόν ἑνουμένας. Ἐπεί ὥσπερ ἡ τούτων φυσική διαφορά, δύο τούς ἐνεργοῦντας ποιεῖ κατ᾽ αὐτούς, οὕτω δήπου πάντως, καί ἡ τῶν οὐσιῶν ἔμφυτος ἑτερότης, δύο τούς ὑφεστῶτας συνάξει. Ἤ τοίνυν πρός μίαν φύσιν καί ταύτας συμφύρωσιν· ἤ μηδαμῶς ἐκείναις, οὐσίαις τε οὔσαις φυσικῶς καί ἀριθμουμέναις, διαίρεσιν ἐπεισφρήσωσιν. Ὅπερ γάρ ἐν ἐκείναις οὐ γίνεται, οὐδέ ἐν ταύταις συμβαίνῃ ποτ᾽ ἄν. Ἀλλά δηλοῦται μέν ἡ φυσική διαφορά, διά τοῦ κατ᾽ αὐτάς ἀριθμοῦ· ἐξίσταται δέ ἡ διαίρεσις διά τῆς ἄκρας ἑνώσεως. Οὐ γάρ δυνατόν θείαν ἤ ἀνθρωπίνην φύσιν, ὅτι κἄν ἔστι γνωρίσαι, μή ὅτι γε διαφέρειν πρός ἄλλην, οὐσιώδους ἐνεργείας ἐκτός. Ὅρος γάρ τοῦ πράγματος, ὁ λόγος τῆς οὐσιώδους δυνάμεως κυρίως ἐστίν· ἧς ἀναιρουμένης, συναναιρεῖται πάντως καί τό ὑποκείμενον. Καί διά τοῦτο ταύτας ὁμολογοῦμεν ἐπί τοῦ σαρκωθέντος Λόγου φυσικῶς σωζομένας· τήν μέν, ἐν τῇ σαρκός προσβολῇ τῶν θείων· τήν δέ πάλιν, ἐν τῇ πείρᾳ τῶν ἀνθρωπίνων ἐξουσιαστικῶς δεικνυμένην· ἵνα καί τάς φύσεις, ὧν εἰσίν οὐσιώδεις ἐνέργειαι, ταύταις συνομολογήσωμεν.

Τίνι δέ δῆλον οὐκ ἔστιν, ὡς ἐπί μέν οὐσίας καί φύσεως τῆς αὐτῆς, διαφοράν ὑπάρξεως ἤ φυσικῆς ἐνεργείας, οὐκ ἔστιν ἰδεῖν; Οὐδεμία γάρ πρός ἑαυτήν διαφέρει· τοῦτο γάρ πως ἀμήχανον. Ἐν ἀτόμῳ δέ καί

προσώπῳ πάντη τε καί πάντως, εἴπερ σύνθετον· καί διαφόρους τε γάρ φύσεις, τάς ἐξ ὧν συνέστηκεν, καθορῶμεν, καί τάς φυσικάς κινήσεις, αἷς ἐνεργοῦν κατά φύσιν γνωρίζεται, τήν οἰκείαν πιστούμενος ὕπαρξιν, καί ἄλλο καί ἄλλο τά ἐξ ὧν ἐστι, διά τῆς κατ᾽ ἄλλο καί ἄλλο φυσικῆς ἐνεργείας πραγματικῶς παριστᾷ, δι᾽ οὗ, τοῦ πρός αὐτό, φημί δέ τό ἄτομον, ἀποσκοποῦντος, καί τάς φύσεις ἑκοντί παρατρέχοντος, διά τό τάς φυσικάς ἀνελεῖν ἐνεργείας, τήν καταδρομήν, οὐ μᾶλλον ἐν τούτῳ βαροῦσαν, ἤ συνεργοῦσαν εὑρίσκομεν. Εἰ γάρ οὐκ εἰς μίαν φυσικήν τό ἄτομον περικλείεται πάντως ἐνέργειαν, ὥσπερ οὖν οὐδέ φύσιν· τίς γάρ ὁ λέγων, ἤ παραστῆσαι δυνάμενος; δῆλον ὡς ταῖς κατ᾽ αὐτό φύσεσιν ἤγουν οὐσίαις, ἰσαρίθμους ἔχει τάς οὐσιώδεις κινήσεις, καί οὐδείς ἀντερεῖ. Καί παρῶ λέγειν, ὡς οὐδέ ἄτομον κυρίως τό κατά Χριστόν σύνθετον λέγεται πρόσωπον. Οὐ γάρ σχέσιν ἔχει πρός τήν ἐκ τοῦ γενικωτάτου γένους διά τῶν ὑπάλληλα καθιεμένην γενῶν πρός τό εἰδικώτατον εἶδος διαίρεσιν, (204) καί ἐν αὐτῷ τήν οἰκείαν πρόοδον περιγράφουσαν. Ὅθεν διά τοῦτο, κατά τόν σοφώτατον Κύριλλον, τό Χριστός ὄνομα, οὔτε ὅρου δύναμον ἔχει· οὐδέ γάρ ἄτομον ἐστι, πρός εἶδος ἐστι πολλῶν ἀριθμῷ διαφερόντων κατηγορούμενον, οὔτε μήν τήν τινός οὐσίαν δηλοῖ. Οὐδέ γάρ ἄτομον ἐστί, πρός εἶδος ἤ γενός ἀναγόμενον, ἤ κατ᾽ οὐσίαν ὑπό τούτων περιγραφόμενον· ἀλλ᾽ ὑπόστασις σύνθετος, τήν φυσικήν τῶν ἄκρων διαίρεσιν ἐν ἑαυτῇ κατ᾽ ἄκρος ταυτίζουσα, καί εἰς ἕν ἄγουσα τῇ τῶν οἰκείων ἑνώσει μερῶν. Εἰ δέ τυχόν, τοῖς διά τοῦ μή ἀνενέργητον εἶναι κατά σάρκα τόν Κύριον τήν ἔμφυτον αὐτοῦ καί ἀνθρωπίνην ὁμολογοῦσιν ἐνέργεια, τό μή καί ἀνυπόστατον εἶναι συνάγουσι, τήν ὑπόστασιν ἐπηρεάζειν ἐστίν. Οὐ γάρ ὑπόστασιν εἶναι ποιεῖ, τό μή ἀνυπόστατον εἶναι τήν φύσιν. Ὥσπερ οὐδέ σχῆμα πᾶν εἴ τι σῶμα, τό μή ἀσχημάτιστον εἶναι τό σῶμα· οὐδέ γέννησιν, οὐδέ ὅρασιν, τό μή ἀγέννητον, ἤ οὐκ ἀόρατον εἶναι, τό γεννητόν ἤ ὁρατόν. Καί ἁπλῶς πᾶν εἴ τι ἄλλο μή εἶναι τοὐθ᾽ ὅπερ οὐκ ἔστιν ἀποφασκόμενον, σχέσιν εἶναι ποιεῖ· τό, περί ὅ αὐτή φυσικῶς θεωρεῖται, καταφασκόμενον. Ἄλλως τε, καί εἰ τοῦτο τυχόν ἦν, ὁπότε οὐκ ἔστιν, οὐδέν ἦν πρός τάς φυσικάς ἐνεργείας, ἐπίσης οὐκ ἀποβαλλομένας ταῖς ὑποστάσεσι, παρά τῶν ἁγίων Πατέρων· οὔτε διαιρούσας εἰς δύο τόν ἕνα, καθάπερ αἱ ὑποστάσεις ποιοῦσι. Τίς γάρ ὁ δεῖξαι συνάμενος ἄν, ὅτι μή καλόν ἐπί δηλώσει τῆς οὐσιώδους διαφορᾶς τάς φυσικάς ἐνεργείας πρεσβεύειν ἐπί τοῦ αὐτοῦ; καί τίνος χάριν καί πῶς, καί τίς ὁ τοῦτο διοριζόμενος λόγος, ἤ Πατήρ ἔγκριτος,

ἀλλά ( ἵνα ) μή ἀποφήνωνται μόνον; Εἰ γάρ τάς φυσικάς ἐνεργείας ὁμολογεῖν οὐ καλόν, οὐδέ τάς φύσεις αὐτάς. Ἤ πῶς ταύτας μέν, οὐκ ἐκείνας δέ; Εἰ δέ ἄμφω καλόν, τίνος χάριν ἐντεξάγονται τῷ καλῷ, καί τήν ὑπόστασιν τῷ μή ἀνυποστάτῳ τῆς φύσεως κατασκευάζουσιν; Εἰ γάρ ὥσπερ τάς ὑποστάσεις, οὕτω καί τάς ἐνεργείας κακιζομένας τοῖς Πατράσιν ἐγνώριζον, οὐκ ἀπεικός ταύτας διέῤῥιπτον. Εἰ δέ ταύτας κηρύττοντας, καί θείαν καί ἀνθρωπίνην ὁμολογοῦντας ἐνέργειαν, ὥσπερ οὖν καί φύσιν, καί ὁμολογεῖν παρακελευομένους γινώσκομεν, ὑπόστασιν δέ θείαν ἤ ἀνθρωπίνην οὐδένα καθ᾽ ὁτιοῦν οὐδαμῶς, ἤ μόνον τόν διῃρημένον καί ἀνθρωπολάτρην Νεστόριον, διατί ἄρα, εἴπερ οὐκ ἀπόβλητος αὐτοῖς ἡ τῶν ἁγίων διδασκαλία, κατ᾽ αὐτῆς τά τοιαῦτα σοφίζονται, εἰς τήν τῶν φυσικῶν ἐνεργειῶν ἀποσκευήν; Τίνος δέ ἄλλου τό ταῦτα καί οὕτως συνάγειν ἐστί, πλήν Σεβήρου τοῦ σοφιστοῦ καί παράφρονος, τοῦ καί τά οἰκεῖα σπουδῇ καταλύοντος, καί τῶν εὐσεβῶν οὐδαμῶς κατισχύοντος, διά τό τῆς ἀληθείας περιφανές, εἰ καί τῷ ἀναιδεῖ μηχανᾶται τρόπῳ τῶν σοφιστικῶν ληρημάτων;

(205) Εἰ γάρ τό μή ἀνυπόστατον εἶναι τήν φύσιν, ὑπόστασιν ταύτην ποιεῖ, πάντως δήπου κατά τό ἀκόλουθον, καί τό μή ἀνούσιον τήν ὑπόστασιν ὑπάρχειν, οὐσίαν ταύτην παρίστησι. Καί οἱ τοῦτο λέγοντες, πῶς τόν τε τῆς θεολογίας οὐ διαιροῦσι λόγον, ταῖς τῶν ἰσαρίθμων ὑποστάσεων φύσεσιν; εἴπερ οὐσία πάντως αἱ μή ἀνούσιοι καατ᾽ αὐτούς ὑποστάσεις· καί τό τῆς οἰκονομίας οὐ συγχέουσι, τῷ τῆς φύσεως μοναδικῷ διά τήν μίαν ὑπόστασιν; Ἑαυτοῖς γοῦν στοιχοῦντες, καί τά τοιαῦτα καθ᾽ ἑαυτῶν δογματίσουσι. Τοῖς δέ τάς φυσικάς ἐνεργείας ὁμολογοῦσι, τό καί οὕτω ταύτας συνάγειν, χάρις ἐστί, διά πάντων ἑαυτοῖς τό ἀληθές συναγείρουσι κατά τήν τῶν ἁγίων παράδοσιν, καθ᾽ ἥν τό μή ἀνυπόστατον, οὐχ ὑπόστασιν εἶναι τήν φύσιν ποιεῖ, ἀλλ' ἐνυπόστατον· ἵνα μή ὡς συμβεβηκός, ἐπινοίᾳ μόνῃ λαμβάνηται, ἀλλ᾽ ὡς εἶδος πραγματικῶς θεωρῆται. Οὕτω δε καί τό μή ἀνούσιον, οὐκ οὐσίαν ποιεῖ τήν ὑπόστασιν, ἀλλ᾽ ἐνούσιον παριστᾷ, ἵνα μή ψιλόν ἰδίωμα ταύτην, ἀλλά μετά τοῦ ἐν ᾧ τό ἰδίωμα κυρίως γνωρίζωμεν. Ὥσπερ οὖν ἐκεῖ τό ἐνυπόστατον δηλοῖ τό ἐνύπαρκτον· ἐνύπαρκτον δέ ἐστι τό οὐσιώδους καί φυσικῆς μετέχον ὑπάρξεως· οὕτω κἀνταῦθα τό ἐνεργόν ἤγουν ἐνεργητικόν, τό ἐνδύναμον σημαίνει κυρίως. Ἐνδύναμον δέ ἐστι, τό οὐσιώδη καί φυσικήν ἔχον τήν δύναμιν. Οὐκοῦν τό μή ἀνυποστάτους ἤ ἀνενεργήτους ἐπί Χριστοῦ τάς φύσεις ὁμολογεῖν, οὐκ ἔστιν ὑποστάσεις ἤ ἐνεργοῦντας συνάγειν,

ἀλλά τάς οὐσιώδεις αὐτῶν καί φυσικάς ὑπάρξεις τε καί ἐνεργείας ὀρθοδόξως ὁμολογεῖν, εἰς τήν τοῦ ἐξ αὐτῶν, καί ἐν αὐταῖς ὄντος καί κατ' αὐτάς· φημί δέ τάς φύσεις, καθ᾽ ἕνωσιν τήν ἀδιάσπαστον ἐνεργοῦντος Θεοῦ Λόγου σεσαρκωμένου, πίστωσιν ἀληθῆ καί βεβαίωσιν.

Τίνι δέ λόγῳ, πολλάς μέν αὐτοί, καί ἀριθμοῦ πλείους εἰς ἕνα καί τόν αὐτόν ἀναφέροντες τάς ἐνεργείας, τῷ λέγειν, Πᾶσαν θείαν καί ἀνθρωπίνην (208) ἐνέργειαν· τό γάρ, πᾶσαν, οὐ μίαν οὐδέ δύο καθάπαξ, οὐδέ τρεῖς , ἀλλά ἀπείρους καί ἀριθμόν ὑπεραιρούσας ὑποβάλλει νοεῖν, ὥσπερ οὖν καί τό πάντα καί πᾶν· διαίρεσιν οὐδαμῶς ὑποπτεύουσιν· ταύτην δέ κατά τῶν τάς φυσικάς δύο, κατά τούς θείους Πατέρας ὁμολογούντων, μέχρι τοῦ γινώσκειν τήν διαφοράν, οὐκ οἶδ᾽ ὅπως καί διατί, μετά τῶν ἐνεργούντων συνάγουσιν; Εἰ γάρ αἱ πολλαί καί διάφοροι κατά φύσιν, τόν ἕνα καί τόν αὐτόν εἰς πολλά ἐνεργοῦντας οὐ διαιροῦσι καί τέμνουσι, πῶς αἱ δύο; Καί τίς ὁ μᾶλλον τήν καταδρομήν ὡς οὐκ εὔλογον αἰτιώμενος; Εἰ γάρ ἐπί τόν αὐτόν καί τοῦ αὐτοῦ ταύτας οὐκ ἔλεγον καί ἀνέφερον, καί τῇ πρός ἀλλήλας δι᾽ ὅλου περιχωρήσει συμφυείσας ἀλλήλαις, καί καθ᾽ ἕνωσιν τήν ἀδιάσπαστον ἐν αὐτῷ σωζομένας, καί πρός αὐτοῦ, κατ' ἄλλο μέντοι καί ἄλλο κινουμένας ἑνοειδῶς, δι᾽ ὧν τήν τε τῶν θαυμάτων θεϊκῶς προὐβάλλετο δύναμιν, ὡς φύσιν Θεός, καί τήν πεῖραν τῶν παθημάτων θέλων, ὡς ἄνθρωπος φύσει δι᾽ ἡμᾶς κατεδέχετο, ἦν ἄρα καί οὐκ ἀπίθανος αὐτῶν ἡ καταδρομή. Νῦν δέ τοῦτο μή λεγόντων, ἀλλά τοῦ αὐτοῦ ταύτας καί εἰς τόν αὐτόν ἀναγόντων, πόθεν καί πῶς τούς ἐνεργοῦντας συνάγουσι; Καί διατί, εἴπερ εὔλογον, μή πρότερον ἑαυτοῖς τούς πολλούς, ὅσον ἐπί ταῖς πολλαῖς ἐνεργείαις; Ὡς γάρ αἱ δύο τούς δύο, οὕτω δήπου πρός ἀνάγκης καί αἱ πολλαί τούς πολλούς. Εἰ δέ τοῦτο, πῶς ἐκεῖνο συνιδεῖν οὐκ ἔχω, οἶμαι δέ οὐδέ ἄλλος τις τῶν τό ἀληθές τοῦ δοκεῖν προτιμώντων.

Πῶς δέ πάλιν αὐτοῖς ὥσπερ ἀντιφατικῶς, ἐπ᾽ αὐτοῦ κατά τῶν πολλῶν ἡ μία προΐσχεται; Καί τίνα ταύτην καί πῶς δογματίζουσιν; Οὐ γάρ οἷόν τε τόν αὐτόν καί πολλάς ἔχειν, καί μίαν. Εἰ γάρ πολλάς, οὐ μίαν· καί εἰ μίαν, πῶς αὖθις πολλάς; Ἤ γάρ ταύτας ἐκείνη πάντως, ἤ ταύτην ἐκεῖναι διώσονται , κατά τόν ἐκείνων λόγον, καθ᾽ ὅν τήν μίαν ἐπ᾽ ἀνατροπῇ τῶν φυσικῶν δύο προβάλλονται. Εἰ δέ τυχόν, ὡς ἐκ πολλῶν ἀποτελουμένην τήν μίαν φασίν, οὐκ ἔχει φύσιν, ὡς λέλεκται, τά ἐν ὑποκειμένῳ συντίθεσθαι. Ἀλλ᾽ οὔτε πάλιν τήν μίαν ἐκ πολλῶν,

εἰς πολλάς ἐπιτέμνεσθαι. Πρότερον οὖν τάς πλείους αὐτοί διά τῆς μιᾶς ἐνεργείας ἀνέλωσιν, ἵνα μή πολλούς τούς ἐνεργοῦντας καθ᾽ ἑαυτῶν εἰσάγωσιν. Καί διά τῶν πολλῶν αὖθις τήν μίαν, ἵνα μή συνουσίωσιν δογματίσωσι, καί οὕτω κατά τῶν τάς δύο περσβευόντων, ἅνπερ οὐκ ἀδρανῶς ἔχοιεν, πολεμήσωσιν. Οὐ γάρ οἷόν τε παντελῶς ἄλλοις ἐπιφυῆναι, τούς σφᾶς αὐτούς μετά τῶν οἰκείων ἀνατρέποντας, οὐδενός ἄλλου καθάπαξ ἐν τούτῳ προσδεηθέντας. Τό γάρ ἔχον βάσιν, τό ὄν, πρός αὐτοῦ παγίως (209) ἑδράζεται, μηδαμόθεν τήν οἱανοῦν πάσχον διάπτωσιν. Καί γάρ ἐκεῖνο μόνον ἀκμαῖον ὄντως καί ἰσχυρόν, τό τήν ἀλήθειαν ἔχον κρατύνουσαν· ἀλλ᾽ οὐ τό παρ᾽ ἄλλου, μή τι γε παρ᾽ ἑαυτοῦ, τήν λύσιν δεχόμενον.

Τούτων γοῦν ἀφεμένους, προσήκει πάντως εὐσεβοῦντας ἡμᾶς, καί ἑκατέρας τῶν ἐν τῷ ἑνί σεσαρκωμένῳ Θεῷ Λόγῳ σωζομένης φύσεως πραγματικῶς ὁμολογοῦντας τήν ὕπαρξιν, καί τήν ἔμφυτον ὁμολογεῖν πάντως ἐνέργειαν, ὥσπερ οὖν καί τό θέλημα· καί διά τῆς περί ἑκάτερον, τό θεῖον ὁμοῦ καί τό ἀνθρώπινον, εὐσεβοῦς τοῦ αὐτοῦ καί ἀληθεστάτης δόξης, καί τῶν προσόντων αὐτῷ φυσικῶς τήν ὀρθόδοξον τῶν ἁγίων Πατέρων κρατύνειν διδασκαλίαν, οἵ περί αὐτοῦ ταῦτα καί φρονεῖν καί λέγειν ταῖς ἁγίαις τοῦ Θεοῦ καθολικαῖς Ἐκκλησίαις παραδεδώκασι· καί μηδέν ἐξαρνεῖσθαι τῶν ἅπερ ἦν ἀπ᾽ ἀρχῆς καί δι᾽ ἡμᾶς γέγονεν ὕστερον, καί τῶν χαρκτηριζόντων αὐτά φυσικῶς πάντων ἰδιωμάτων. Τέλειον γάρ τά ἑκάτερα, καί ἐν ἑκατέραις τόν αὐτόν ἐδογμάτισαν, καί ἀνελλιπῶς τήν ἑκατέρου τῶν ἐξ ὧν ὑπῆρχε διασώζοντα φυσικήν ἰδιότητα, καί κατά πάντα ὅμοιον ἡμῖν, καί ὁμοίως κατά θέλησιν πεπειραμένον, χωρίς μόνης τῆς ἁμαρτίας.

Τούτων οὖν ἐπακούοντες τῶν μακαρίων φωνῶν, οὐδέν οὔτε τῶν ἡμετέρων καί φυσικῶν, οὔτε τῶν πατρικῶν καί θείων, ἐπί τοῦ αὐτοῦ τό παράπαν ἀρνούμεθα· ἀλλά διαφόρους φύσεις καί φυσικάς ἐνεργείας, καί οὐσιώδη θελήματα, τουτέστι δύο, τόν αὐτόν ἔχειν πρεσβεύομεν. Οὔτε γάρ ἡ καθ᾽ ἡμᾶς, οὔτε μήν ἡ πατρική φύσις, οὐσίας ἐκτός, ἤ ἐμφύτου θελήματος ἤ ἐνεργείας καθέστηκε. Καί εἰ τοῦτο, δῆλον ὡς ὁ ἐκ τούτων, θεότητός φημι καί ἀνθρωπότητος, κατά μίαν καί τήν αὐτήν ὑπόστασιν ὑφεστώς, καί Θεός ὁ αὐτός κυρίως ὑπάρχων καί ἄνθρωπος, ὁμοούσιος ἡμῖν ἐστι καί ὁμοεργής, καί τήν αὐτήν ἔμφυτον θέλησιν ἔχων κατά τήν ἀνθρωπότητα· καί ὁμοούσιος τῷ Πατρί καί ὁμοεργής, καί τήν αὐτήν θέλησιν κεκτημένος κατά τήν θεότητα, καί ὅλος συγγενής τοῖς ἄνω κατά πάντα τά συγγενῶς

ἔχοντα καί ὅλως συγγενής τοῖς κάτω κατά πάντα τά συγγενῶς ἔχοντα, χωρίς μόνης τῆς ἁμαρτίας. Καί ὁ μή οὕτω πρεσβεύων, τούς ταῦτα κηρύσσοντας οὐ παραδέχεται θεολήπτους Πατέρας· ἀλλά δῆλός ἐστι τίνας καί ποίους.

Γένοιτο δέ πάντας ἡμᾶς, τῇ μεσιτείᾳ τῶν θεοτεύκτων ὑμῶν προσευχῶν, ἐν τῷ ναῷ τοῦ Θεοῦ, τῇ καθολικῇ καί ἀποστολικῇ Ἐκκλησίᾳ, διά παντός φρουρουμένους ψυχῇ τε καί σώματι, ταύτην τήν εἰλικρινῆ καί ὀρθόδοξον τοῦ μεγάλου Θεοῦ καί Σωτῆρος ἡμῶν, πρεσβεύειν ὁμολογίαν ἔμπροσθεν αὐτοῦ καί πάσης τῆς κτίσεως, καί ἀντί πάντων, καί πρό (212) πάντων αὐτῷ προσκομίσαι κατά τήν αὐτοῦ πανένδοξον ἐπιφάνειαν, καί πρός αὐτοῦ τῆς ἴσης καταξιωθῆναι καί μετασχεῖν τῶν τοῖς ἀνεπαισχύντως ἔμπροσθεν ἀνθρώπων ὁμολογοῦσιν αὐτόν, ἐπηγγελμένων αἰωνίων τε καί μακαρίων δώρων, καί πείρᾳ κατ᾽ εὐχάς ἀπολαῦσαι, ὧν νῦν πίστει καταξιωθέντες γεγεύμεθα, εὐχαῖς καί πρεσβείαις τῆς πανενδόξου καί παναγίας ἀχράντου δεσποίνης ἡμῶν Θεοτόκου καί Ἀειπαρθένου Μαρίας, καί πάντων τῶν ἁγίων. Ἀμήν.

***ΣΧΟΛΙΑ.***

*α΄*. Τό μέν ἀόρατον τοῦ βλεπομένου ἀπόφασίς ἐστι. Καταφασκόμενον δέ οὐ πρός τήν ὅρασιν, ἀλλά τό ὁρατόν καταφάσκεται· ὅπερ ἐστί σχέσις τοῦ μή ἀοράτου, ἤτοι πρός ὅ τήν σχέσιν ἔχει τό μή ἀόρατον. Τῆς δέ ὁράσεως οὐ τό μή ἀόρατον, ἀλλά ἡ τύφλωσις σχέσις, πρός ἥν καταφάσκεται.

β΄. Πρός τούς λέγοντας, μή εἶναι φύσιν ἀνυπόστατον· ἀντιστρεπτέον, τό, μηδέ ὑπόστασιν ἀνούσιον. Εἶτα ἐπακτέον, ὅτι ὥσπερ τό μή ἀνούσιον τήν ὑπόστασιν λέγειν, οὐκ οὐσίαν ταύτην παρίστησιν ὑπάρχειν. Οὕτω γάρ διαιρεῖν καί συγχεῖν ἐστι, τό μέν τῆς θεολογίας, τό δέ τῆς οἰκονομίας μυστήριον. Οὕτως οὐδέ τό λέγειν τήν φύσιν μή ἀνυπόστατον, τήν ὑπόστασιν εἰσάγει.

ΤΟΥ ΑΥΤΟΥ.

***Περί ὅρων διαστολῶν.***

Ἡ τῶν ὄντων πᾶσα διαστολή, ἤ κατ᾽ ἐναντίωσιν, ἤ κατά τό ἀντικεῖσθαι, ἤγουν διαιρεῖσθαι, ἤ ἀναιρεῖσθαι, γίνεται. Οἷον αἰσθητά καί νοητά ἐναντίωσιν ἔχουσιν ὡς ἑτερούσια, οὐκ ἀντίκειται δέ ἀλλήλοις. Οὐ γάρ ἀναιρετικά ἀλλήλων εἰσίν ταῦτα, καί διά τοῦτο

δέχονται τήν κατ᾽ ἐναντίωσιν διαστολήν πρός ἑαυτά, ἤγουν διαίρεσιν· ζωή δέ καί θάνατος ἔχουσι διαστολήν, ἀλλ᾽ οὐ κατ' ἐναντίωσιν, ἀλλά τήν ἀντικειμένην, ἤγουν ἀναιρετικήν. Ἡ γάρ θατέρου θέσις θατέρου γίνεται ἀφαίρεσις· καί ἡ τοῦ ἑνός ὕπαρξις τοῦ ἄλλου ἀνυπαρξία καθέστηκεν. Εἴ τι οὖν προηγουμένως ἀντίκειται ἄλλῳ, ἐφεπομένως πάντως καί ἠναντίωται· εἴ τι δέ προηγουμένως ἄλλῳ ἠναντίωται, ἐφεπομένως οὐδόλως ἀντίκειται. Καί σαφέστερον εἰπεῖν, αἱ μέν οὐσίαι διά τάς ἐνούσας αὐταῖς διαφοράς, τήν πρός ἀλλήλας κατ᾽ ἐναντίωσιν διαστολήν ἐπιδέχονται, ὡς ψυχή καί σῶμα, καί τά κατ᾽ οὐσίαν διαφέροντα πάντα· τά δέ περί τήν οὐσίαν, ἤγουν ποιότητες, τήν κατά τό ἀντικεῖσθαι ἔχουσι διαστολήν, ὡς ζωή καί θάνατος, καί εἴ τι τοιοῦτον. Ἀναιρετικά γάρ ἀλλήλων ταῦτα προδήλως εἰσίν.

***(213) ΣΧΟΛΙΟΝ.***

Ἐναντίωσιν, τήν διαίρεσιν νόει· τό δ᾽ ἀντικεῖσθαι, τήν ἀναίρεσιν φρόνει. Ἡ μέν γάρ αὐτῶν ἐστιν ἐν ταῖς οὐσίαις, τό δ᾽ ἐμπέφυκε τοῖς περί τήν οὐσίαν· καί τῶν μέν, ἄμφω συντρέχει θαυμασίως, ἀναίρεσίς τε καί διαίρεσις πάλιν. Ἡ δ᾽ αὖ διαιρεῖν, οὐκ ἀναιρεῖν ἰσχύει.

***Ὅροι ἑνώσεων.***

Ἡ κατ᾽ οὐσίαν ἕνωσις, ἐπί τῶν ὑποστάσεων, τουτέστι τῶν ἀτόμων.

Ἡ καθ᾽ ὑπόστασιν ἕνωσις, ἐπί τῶν οὐσιῶν, τουτέστι ψυχῆς καί σώματος.

Ἡ κατά σχέσιν ἕνωσις, ἐπί τῶν γνωμῶν, εἰς ἕν θέλημα.

Ἡ κατά παράθεσιν ἕνωσις, ἐπί τῶν σανίδων.

Ἡ κατά ἁρμονίαν ἕνωσις, ἐπί τῶν λίθων.

Ἡ κατά κράσιν ἕνωσις, ἐπί τῶν ὑγρῶν οἴνου καί ὕδατος καί τῶν τοιούτων.

Ἡ κατά φύρσιν ἕνωσις, ἐπί τῶν ξηρῶν καί τῶν ὑγρῶν, ἀλεύρου καί ὕδατος

Ἡ κατά σύγχυσιν ἕνωσις, ἐπί τῶν τηκτῶν, κηροῦ καί πίσσης, καί τῶν τοιούτων.

Ἡ κατά σωρείαν ἕνωσις, ἐπί τῶν ξηρῶν, σίτου καί κριθῆς, καί τῶν τοιούτων.

Ἡ κατά συναλοιφήν ἕνωσις, ἐπί τῶν ἀποσπωμένων, (216) καί αὖθις ἀποκαθισταμένων· οἷον λαμπάδος ἐκ πυρός προερχομένης, καί πάλιν ἀποκαθισταμένης.

Ἡ κατ᾽ οὐσίαν ἕνωσίς, ἐστιν ἐπί τῶν ἑτεροϋποστάτων.

Ἡ καθ᾽ ὑπόστασιν ἕνωσίς ἐστιν ἐπι τῶν ἑτερουσίων.

THEODORI BYZANTINI, MONOTHELITAE

THEODORI BYZANTINI, MONOTHELITAE QUAESTIONES CUM MAXIMI SOLUTIONIBUS.

***Πρώτη ἀπορία Θεοδώρου διακόνου Βυζαντίου ῥήτορος, καί συνοδικαρίου Παύλου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως.***

Εἰ κατ᾽ αὐτόν τῷ θελήματι λόγον, καί τήν ἄγνοιαν κατηγόρησαν οἱ Πατέρες ἐπί Χριστοῦ, ἀνάγκη τούς μή κατ᾽ οἰκείωσιν ἐν τῷ Χριστῷ θεωρεῖσθαι λέγοντας τό θέλημα, καί ἀγνοεῖν αὐτόν λέγειν. Καί πῶς Θεός, ὁ τά μέλλοντα μή εἰδώς; Ἀλλά καί ψιλόν αὐτόν εἰσάγειν ἄνθρωπον, κατά τήν ἤδη τῶν Ἀγνοητῶν κατακριθεῖσαν αἵρεσιν. Εἰ δέ τήν ἐντεῦθεν ἀτοπίαν ὑποστελλόμενοι, τήν ἄγνοιαν κατ᾽οἰκείωσιν λέγουσιν, ὥσπερ καί τήν ἐγκατάλειψιν, καί τήν ἀνυποταξίαν, κατά τόν ὅμοιον τρόπον καί τό θέλημα λεγέτωσαν. Τῷ γάρ θελήματι καί τήν ἄγνοιαν οἱ Πατέρες συνέταξαν, τόν αὐτόν αὐτῇ φυλάξαντες λόγον· ὥς φησιν Ἀθανάσιος μέν ἐν τῇ κατ' Ἀρειανῶν αὐτοῦ βίβλῳ, Γρηγόριος δέ ὁ Θεολόγος, ἐν τῷ περί Υἱοῦ πρώτῳ λόγῳ, καί ἄλλοι ἐν ἄλλοις συγγράμμασι.

***Τοῦ αὐτοῦ δευτέρα ἀπορία.***

Εἰ πᾶσα λέξις καί φωνή μή τοῖς Πατράσιν εἰρημένη (217) καινοτομία προδήλως καθέστηκεν, δυοῖν ἀνάγκη θάτερον, ἤ δεῖξαι τῶν Πατέρων οὖσαν φωνήν, τό φυσικά λέγειν ἐπί Χριστῷ θελήματα· ἤ δεῖξαι μή δυνάμενοι, ἴστωσαν τῷ τῶν Πατέρων ὀνόματι τήν ἑαυτῶν καινοτομοῦντες διδασκαλίαν. Εἰ δέ, τάς ἑτέρας αὐτῶν φωνάς πρός τόν ἴδιον νοοῦντες σκοπόν, τήν τοιαύτην τίθενται ὀνοματοποιΐαν. Εἰ δέ τό δεύτερον μεμπτόν, ἄρα καί τό πρῶτον.

SANCTI MAXIMI SOLUTIONES

***Μαξίμου μοναχοῦ πρός Μαρῖνον πρεσβύτερον Ἐπίλυσις τῶν προτεταγμένων ἀποριῶν ὑπό Θεοδώρου διακόνου καί ῥήτορος, λύσις α΄. Σελ. 217***

Αἱ παρά τοῦ ῥήτορος πεύσεις, ἁγιώτατε καί θεοτίμητε πάτερ, οὐ μᾶλλον τό εὔλογον ἔχουσι τῆς ἀπορίας, ἤ τό παράλογον ἐνδείκνυνται

τῆς ἀπορίας· ἔκ τε τοῦ ψεύδους αὐτοῦ, καί τῆς ἐπ᾽ ἀνατροπῇ τῆς θείας τοῦ Μονογενοῦς σαρκώσεως ἔριδος. Οὐ γάρ ατά τόν αὐτόν τῷ θελήματι λόγον, ὥς φησι, καί τήν ἄγνοιαν ἐπί Χριστοῦ κατηγόρησαν οἱ Πατέρες. Τίς γάρ ὁ τοῦτο δεῖξαι δυνάμενος, εἰ καί οὗτοι τά μηδαμῶς ὄντα, καθώς ἔθος αὐτοῖς, οὐκ ἀναπλάττονται μόνο, ἀλλά καί τολμηρῶς καθ' ἑαυτῶν προκομίζουσιν; Ἤ οὕτω δ᾽ ἄν ἀγνοίας καί θελήματος ὁ αὐτός ἔσται λόγος, εἰς ταὐτόν ἄγων ἀλλήλοις τά πάντη κυρίως ἀσύμβατα· εἴπερ ἡ μέν, τήν τοῦ ὄντος ἀναίρεσιν· τό δέ, τήν τοῦ ὄντος θέσιν παρίστησιν, ὅ δή προδήλως ἀμήχανον, ὥς οὐδέ τό παράπαν ἀλλήλαις ἕξις ὑπάρχει καί στέρησις. Οὐδέ γάρ ἐπειδή τήν ἀπό τῶν Ἀρειανῶν προτεινομένην, καί ταύτην ὁ θεῖος καί μέγας Γρηγόριος καταριθμεῖ· φημί δή τήν ἄγνοιαν, ἤδη ταὐτόν οὖσαν ἀπέφηνεν, τῷ θελήματι. Τοῦ θελήματος γάρ ῥητῶς, οὐδέ κατά τόν τόπον παντελῶς ἐμνημόνευσεν, ἐν ᾧ ταῦτα διέξεισι, "Σύ δέ μοι, λέγων, καταρίθμει πρός ταῦτα τά τῆς ἀγνωμοσύνης ῥήματα τό, Θεός μου, καί Θεός ὑμῶν· καί τό, μείζων, τό, ἔκτισεν, τό, ἡγίασε," καί τά ἑξῆς. Εἰ δέ ὅτι συμπαρέλαβε μόνο, εἰς ταὐτόν ἄγειν τήν ἄγνοιαν τῷ θελήματι τυχόν ἐπιχειροῦσιν ἔσται δήπου πάντως, καί τό, Θεός μου, καί Θεός ὑμῶν· καί τό, μείζων, παρά τοῦ Πατρός εἰρημένον, καί τό κτίζειν καί ἁγιάζειν ταὐτόν τῇ ἀγνοίᾳ κατ᾽ αὐτούς διά τήν σύνταξιν, ἐπειδή καί ταῦτα τῇ ἀγνοίᾳ συντέταχεν. Εἰ δέ τοῦτο διανοίας καθέστηκε παρατροπή, κἀκεῖνο μειζόνως ἐκτροπή τῶν ταῦτα (220) λογιζομένων, μή τι γε λέγειν ἤ γράφειν ἐπιχειρούντων.

Ἄλλως τε δέ, εἰ ἀγνοίας καί θελήματος ὁ αὐτός καθέστηκε λόγος, ἤ τά φύσει θέλοντα πάντως, καί ἀγνοοῦσιν, ἤ τά φύσει ἀγνοοῦντα, πάντως καί θέλουσιν· οὐκοῦν καί Θεός κατά φύσιν θέλων, ἀγνοίας περιπεσεῖται πάθει, καί ἄψυχα πάντα κατά φύσιν ἀγνοοῦντα, θελήματι κινηθήσεται φυσικῷ. Εἰ δέ τοῦτο, καί Χριστός αὐτός ὁ ἐκ θεότητος ὑφεστώς καί ἀνθρωπότητος, κατ᾽ οἰκείωσιν, ὥς φασιν αὐτοί, τήν τε ἄγνοιαν καί τό θέλημα ἔχων, ἕξει που πάντως φύσει κατά τοῦ θείου θελήματος καί τήν ἄγνοιαν. Καί σιωπῶ λέγειν, ὡς εἰ καί διά τήν οἰκείωσιν ἐσφαλμένως· ἀλλ᾽ ὅμως οὗπερ κατηγωνίσαντο συνηγοροῦντες ἐδείχθησαν, καί αὐτοί δύο συνιστῶντες θελήματα, τό τε κατά φύσιν λέγω, καί τό κατ᾽ οἰκείωσιν· ἅπερ δύο προδήλως τυγχάνουσι, σύν ταῖς ἰσαρίθμοις ἀγνοίαις, ὅ καί παράλογον, διττήν ἐπί Χριστοῦ δοξάζειν τήν ἄγνοιαν, τοῦ μηδέ μίαν ἔχοντος, πᾶσαν δέ πάντως ἐξαφανίζοντος, εἴπερ ἐστί Θεοῦ σοφία καί δύναμις.

Οἰκείωσιν δέ, ποίαν ἄρα φασί; Τήν οὐσιώδη, καθ' ἥν τά προσόντα φυσικῶς ἕκαστον ἔχοντα οἰκειοῦται διά τήν φύσιν· ἤ τήν σχετικήν, καθ᾽ ἥν τά ἀλλήλων φυσικῶς στέργομέν τε καί οἰκειούμεθα, μηδέν τούτων αὐτοί πάσχοντες ἤ ἐνεργοῦντες; Ἀλλ᾽ εἰ μέν τήν πρώτην, ἐκεῖνοι μᾶλλον ψιλόν ἀπέφηναν ἄνθρωπον, τόν σαρκωθέντα Θεόν, ὡς τοῦτον ἀγνοοῦντα φυσικῶς δογματίζοντες. Εἰ δέ τήν δευτέραν, οὐδέ ἄνθρωπον ὅλως, ἀλλ᾽ ἄσαρκον μόνον Θεόν, ὡς ἐν ψιλῇ σχέσει τά τῆς σαρκός, καί οὐχ ὡς ἀνθρώπου τά φυσικά φυσικῶς οἰκειούμενον μετά τοῦ εἶναι καί μένειν Θεόν. Ἐπει δήπερ ἐν ᾧ τήν ἄγνοιαν τίθησι, καί τά φυσικά πάντα τοῦ σαρκωθέντος Θεοῦ καταριθμεῖ σαφῶς ὁ διδάσκαλος· οἷον τό ὑπνοῦν, τό πεινεῖν, τό διψεῖν, τό κοπιᾷν, τό δακρύειν, τό ἀγωνιᾷν, τό ὑποδύεσθαι, τόν σταυρόν, τόν θάνατον· μεθ᾽ ὧν καί τήν ἔγερσιν, καί τήν ἀνάληψιν, οἷς καί σέσωκεν, ἑκουσίως ταῦτα κατά φύσιν δεξάμενος ὑπέρ ἡμῶν καί παθών. Εἰ οὖν ταῦτα κατά τήν ἐν σχέσει ψιλήν οἰκείωσιν ἐπί Χριστοῦ γεγενῆσθαι δοξάζουσι, καί οὐ φυσικά ὡς ἀνθρώπου τοῦ σαρκωθέντος εἶναι Λόγου πρεσβεύουσι, τί λοιπόν Ἀπολιναρίῳ καί Μάνεντι καταλείψωσι; Σεβῆρον γάρ ὑπερῆραν τῇ ἀσεβείᾳ, μᾶλλον ὑπεραυδήσαντες, ὡς οὐ τοσοῦτον κατεξαναστάντα (221) τῆς ἀληθείας, ἀλλά τῇ τῶν φυσικῶν ἰδιωμάτων ῥήσει προσκεχρημένον, εἰ καί τήν φύσιν ἀθετεῖ τῆς σαρκός, πρός μίαν τάς διαφόρους φύσεις ἐκθλίβων. Ταῦτα γάρ ἕψεται τοῖς τά ἄμικτα μίσγουσι, καί τόν Πατρικόν διωθουμένοις καί παρακλέπτουσι νοῦν, ὅστις εὐκρινῶς ἅπαντα τίθεται κατά τάξιν τήν πρέπουσαν. Ὅθεν ὁ πανεύφημος καί θεοφόρος διδάσκαλος ἐν τῷ περί Υἱοῦ δευτέρῳ λόγῳ, τάδε διέξεισι περί ἀγνοίας, ὥσπερ κανόνι τινί καί τύπῳ διοριζόμενος, κἄν αὐτά τό πρῶτον ἡμῖν ἀνερμηνεύτως εἰς μέσον προήγαγον, τόν ἀκροατήν ὑφαρπάζοντες· " Ἢ πᾶσιν εὔδηλον, ὅτι γινώσκει μέν ἀνερμηνεύτως ὡς Θεός, ἀγνοεῖν δέ φησιν ὡς ἄνθρωπος, ἄν τις τό φανόμενον χωρίσῃ τοῦ νοουμένου. " Τίθεται οὖν τήν μέν ἄγνοιαν, τῇ κατ᾽ ἐπίνοιαν διαστολῇ τῶν οὐσιῶν μόνον ἐκδέχεσθαι· τά δέ φυσικά θελήματα, καί πᾶν τι ἄλλο φυσικόν δίχα μόνης τῆς ἁμαρτίας, τῇ καθ᾽ ὑπόστασιν ἑνώσει τῶν φύσεων αὐτοῦ τοῦ σαρκωθέντος Λόγου γνωρίζειν, εἰς τήν τῶν ἐξ ὧν, καί ἐν οἷς, καί ἅπερ ὑπάρχει κυριωτάτην βεβαίωσιν. Εἰ τοίνυν τήν μέν ἄγνοιαν ἐν τῇ κατ᾽ ἐπίνοιαν διαστολῇ θεωροῦμεν, οὐδ᾽ αὐτοῦ κυρίως ἐστίν, ὅ μήτε ἡμῶν κατά φύσιν ὡς συστατικόν, εἰ καί ἡμῶν εἶναι λέγεται διά τήν ἀρχαίαν παράβασιν, οἷον ἡ ἄγνοια, ἡ ἐγκατάλειψις, ἡ παρακοή, τό

ἀνυπότακτον. Τίς γάρ ἡμῶν ἐν τούτοις φύσεως λόγος, ἤ τῆς οὐσίας συστατικός; Διόπερ οὐδέ Χριστοῦ ταῦτα κατηγοροῦμεν, ὡς Χριστοῦ παντελῶς, οὐδέ εἴ τι ἄλλο, καθώς ἔφην, τῶν ἐν τῇ κατ᾽ ἐπίνοιαν διαστολῇ γνωριζομένων· καί μάλα εἰκότως. Εἰ γαρ οὐκ ἐν διαστολῇ τόν σεσαρκωμένον γινώσκομεν Λόγον, οὐδέ κατ᾽ ἐπίνοιαν ψιλήν φανταζόμεθα, ἀλλ᾽ ἐν ἄκρᾳ τῇ καθ᾽ ὑπόστασιν ἑνώσει τῶν φύσεων ὄντα πιστεύομεν· δῆλον ὡς οὐδέ τι τῶν ἐν διαιρέσει κατ᾽ ἐπίνοιαν λαμβανομένων, αὐτοῦ τό παράπαν ἐστίν· ἀλλ᾽ ἐκεῖνα κυρίως αὐτοῦ καί μόνα πρεσβεύομεν, τά ὅσαπερ φυσικά τυγχάνει μετά τῆς φύσεως, καί λώβης ὄντα τῆς καθ᾽ ἁμαρτίαν ἐκτός, ἑνότητι προσώπου, καί τῆς κατ᾽ αὐτόν μιᾶς ὑποστάσεως, πραγματικῶς σωζόμενά τε καί ὁμολογούμενα τοῖς εὐσεβέσιν.

Οὐκοῦν εἰ μέν οὐ φυσικόν τό θέλημα, καί τῆς ἡμετέρας οὐσίας συστατικόν, παραστήσωσιν. Εἰ δέ φυσικόν· θελητικός γάρ φύσει ὁ ἄνθρωπος, ἤ καί αὐτό μετά τῶν ἄλλων τοῦ σαρκωθέντος Λόγου κατ᾽ οὐσίαν ὡς ἀνθρώπου γεγενημένου, καί θελητικοῦ κατ' ἄμφω τάς ἐξ ὧν συνέστηκε φύσεις ὑπάρχοντος, καί ἔστι καί γνωρίζεται, ἤ καί τά ἄλλα φυσικά μετ᾽ αὐτοῦ, φημί δή τοῦ κατά φύσιν θελήματος, ἐν τῇ κατ' ἐπίνοιαν διαιρέσει, ψιλῶς, ἀλλ᾽ οὐ κυρίως καί πραγματικῶς γνωρισθήσονται, καί ἔσται κατ᾽ αὐτούς, ἡ τῆς ὅλης οἰκονομίας θεωρία καί μύησις· μᾶλλον δέ αὐτή κυρίως ἡ σάρκωσις, κατά διαίρεσιν αὐτοῖς λαμβανομένη καί φαντασίαν, μηδενός φυσικοῦ (224) τούτοις ἐν Χριστῷ καθ᾽ ἕνωσιν ὁμολογουμένου, μή δ᾽ αὐτῆς τό παράπαν τῆς φύσεως. Οὗ γάρ τι φυσικόν οὐκ ἔστιν, οὔτε φύσις ἔσται ποτέ ἄν. Ὥσπερ ἔνθα κυρίως ἡ φύσις, τά κατ᾽ αὐτήν ἀπαραλείπτως δίχα μόνης τῆς ἁμαρτίας. Διόπερ οὐδέ μία τούτοις κατά τῆς ἀληθείας πρόφασις ἔσται. Περῄρηται γάρ πᾶσα, καί διά πάντων ἐπίνοια, πρός τό ταύτην, εἴ γε βούλοιντο, περιχαρῶς ἀσμενίσαι, καί ἡμῖν εἰλικρινῶς συνομολογεῖν· ἀλλά μή τοῖς ὡς ἐξ ἀράχνης τῆς κατ᾽ αὐτούς ἀδρανοῦς διανοίας ἐπερείδεσθαι λόγοις, τούς εἰς αὐτόν ὀρθοδόξως πιστεύοντας, ὅτι ἐξ ὧν ἐστιν ὁ Χριστός, ἐν αὐτοῖς ἐστιν ὁ Χριστός· καί ἐν οἷς ἐστιν ὁ Χριστός, ταῦτά ἐστιν ὁ Χριστός· Ἔστιν οὖν Θεός καί ἄνθρωπος ἐν ταὐτῷ ὁ Χριστός· ἔστι δέ καί ἐν θεότητι καί ἐν ἀνθρωπότητι· ἥνωτο δέ καί ἐκ θεότητος καί ἐξ ἀνθρωπότητος.

***Τοῦ αὐτοῦ ἁγίου Μαξίμου ἐπίλυσις τοῦ δευτέρου ἀτόπου.***

Περί τοῦ δεῖξαι φυσικά λέγειν τά θελήματα τούς Πατέρας, τότε δείξομεν, ὅτ᾽ ἄν ἐπαΐειν δυνηθῶσιν ἤ βουληθῶσιν, εἰπεῖν οἰκειότερον,

οἱ πρός πάντα τά θεῖα καί πατρικά τήν ἀκουστικήν τῆς ψυχῆς ἀποβύσαντες δύναμιν. Εἰ γάρ ταύτην ὡς ἔκ τινος πάθους ἀνακαθάραι βουληθῶσι τῆς ἔριδος, καί τρανῶς, ἤ μᾶλλον ἀπροσπάθως, τό τῆς διανοίας ὄμμα κατά λόγον ἐρεῖσαι τῇ τῆς πατροπαραδότου διδασκαλίας πολυφώτῳ καί ἱερᾷ λαμπηδόνι, συνήσουσι πάντως ὡς φυσικά θελήματα κατονομάζουσιν· ἔκ τε τοῦ διαῤῥήδην ἅπαντας κοινῇ λέγειν τε καί διδάσκειν, "Φυσικήν τε ὄρεξιν, καί ἔμφυτον ὄρεξιν, καί φυσικῶς ἔχουσαν τό μή θέλειν ἀποθανεῖν τήν σάρκα· κατάγνωσις φύσεώς ἐστι γάρ τοῦτο. Καί πῶς ἄν φησι κοινόν ἀμφοτέρων τό θέλημα; ποῦ δ᾽ ἄν ἡ τῆς φύσεως διαφορότης τῷ ἑνί θελήματι διαφαίνοιτο; Ἀνάγκη γάρ πᾶσα σύνδρομον εἶναι τῇ φύσει τήν βούλησιν, καί τήν φύσιν μή βουλομένην ἀποθανεῖν, ἀλλά τῆς παρούσης ἀντεχομένην ζωῆς. Καί ὥσπερ τό πεινεῖν καί διψεῖν οὐκ ἔγκλημα, οὐδέ τό τῆς παρούσης ζωῆς ἐφίεσθαι. Καί ὅτι φύσει γάρ ἔγκειται τό φίλτρον τό περί τά παρόντα." Καί τό· " Ἐχούσης τῆς σαρκός, ἥν δι' ἡμᾶς ἀνέλαβε μετά πάντων τῶν αὐτῇ προσόντων φυσικῶς, καί τό παραιτεῖσθαι τόν θάνατον." Ταῦτα Ἀθανασίου, καί Βασιλείου, καί Γρηγορίου, καί Ἰωάννου, καί Θεοφίλου, καί Κυρίλλου, τῶν ἀοιδίμων, τά δόγματα, καί τῶν ἄλλων ἐγκρίτων Πατέρων. Τίς ἡ ὑπέρ ταῦτα μείζων ἀπόδειξις, ὡς φυσικά θελήματα διαγορεύουσι; Ποία δέ καί παρά τίνων ἀντιλογία, μηδεμιᾶς ἐν τούτοις τοῖς λεγομένοις οὔσης ἀμφιβολίας, ἤ τῆς οἱασοῦν ἐπικρύψεως;

Ἡμεῖς μέν οὖν ἐντεῦθεν οὐ λέξεις καινοτομοῦμεν, ὡς οἱ δι᾽ ἐναντίας φασίν, ἀλλά πατρικάς ὁμολογοῦμεν φωνάς· οὐδέ πρός τόν ἴδιον νοοῦντες σκοπόν τάς ὀνοματοποιίας τιθέμεθα· τολμηρόν γάρ τοῦτο, (225) καί τῆς αἱρετικῆς ἔργον καί μανικῆς διανοίας ἐφεύρεσις· ἀλλ᾽ ὡς ὑπ᾽ αὐτῶν τῶν ἁγίων ἐνοήθησαν καί ἐλέχθησαν, ταύτας εὐσεβῶς προκομίζομεν. Αὐτοί δέ τίνα καί πόθεν ἕξουσι χώραν, εἰς τό μή πάντως οὕτω νοεῖν, ἀλλ᾽ ἑτέρως καί παρά ταῦτα δοξάζειν, εἴγε βούλοιντ᾽ ἄν ὅλως εὐσεβεῖν, καί τῆς πατρικῆς μή παρεκκλίνεσθαι διδασκαλίας; Εἰ γάρ ὑποστατικά, τουτέστι προσωπικά ἕξουσι πάντως τά φυσικά δυσωπούμενοι, καί τήν προσωπικήν ἑτερότητα συνεισάξουσιν, ἤ τά παρά φύσιν, καί τήν ἔκπτωσιν τῶν οὐσιῶν δογματίζουσιν, εἰς ἀνυπαρξίαν τάς φύσεις, ἤ μᾶλλον ἑαυτούς, συνελάσαντες. Καί γάρ τι τῶν προσωπικῶν, καί τῶν παρά φύσιν, εἴπέρ τι τοιοῦτον δώσωμεν ὅλως εἰπεῖν, οὐκ ἔστιν· ὅτι μηδέ καθόλου γινώσκεται, μετά τήν τῶν κατ᾽ οὐσίαν ἀποφοίτησιν θελημάτων. Εἴτε

γάρ θεῖον καί ἀνθρώπινον, εἴτε θεοῦν καί θεούμενον, εἴτε κτιστόν καί ἄκτιστον, εἴτε καί ὅπως ποτέ καλεῖν ἐθέλοιεν, φυσικά, καί οὐκ ἄλλως τά ἐπί Χριστοῦ θελήματα κατονομάζειν εὐσεβῶς ἐναγόμεθα, τήν φυσικήν ἑτερότητα τῶν ἐξ ὧν συνέστηκε διασημαίνειν ἐθέλοντες. Εἰ γάρ ἀνάγκη πᾶσα σύνδρομον εἶναι τῇ φύσει τήν βούλησιν κατά τούς Πατέρας, καί οὐκ ἔστιν κοινόν δηλαδή ἀμφοτέρων τῶν οὐσιῶν τό θέλημα λέγειν, οὔτε ἡ τῆς φύσεως διαφορότης τῷ ἑνί θελήματι διαφαίνεται, δῆλον ὡς πάντως δύο φυσικά ἀνάγκη τά θελήματα λέγειν· ἵνα, κατά τούς Πατέρας, ἡ τῶν οὐσιῶν ἐπί Χριστοῦ διαφορότης ἀσυγχύτως καί ἀδιαιρέτως γνωρίζηται. Τίς οὖν αὐτοῖς πρός ταῦτα λόγος, ἤ τίνα τήν ὀνοματοποιΐαν ἑαυτοῖς ἀναπλάσοιντο, κατά τόν ἴδιον τά πατρικά νοοῦντες σκοπόν; Ποῖα δέ ἄρα τόν εὐσεβῆ ἑλέσθαι βούλοιντ᾽ ἄν, τῶν φυσικῶν ἀποπίπτοντα θελημάτων, τά προσωπικά; Καί τίς οἴσει τήν ἐν προσώποις τοῦ ἑνός κατατομήν; Ἀλλά τά παρά φύσιν. Καί τίς ὅ τῆς κακίας καί τῆς ἀνυπαρξίας ἐνέγκῃ βάραθρον, εἰς ὅπερ ἑαυτούς κατά μικρόν συνελαύνουσι; Πλήν, ἐκεῖνο χάριν ἑαυτοῖς, ὅτι τόν ἀριθμόν τῶν θεληματων πολεμεῖν ἐφέμενοι, περί τήν τούτων φυσιολογίαν ἐτράπησαν, ἥν τυχόν καί παραχωροῦμεν, ὡς θέλοιεν ὀνομάζειν, τοῦ κατά ταῦτα διαπίπτοντες ἀριθμοῦ, μέχρις ἄν ἐκ τῆς ἀκαταλλήλου κλήσεως μεταμαθόντες τό ἄτοπον, καί εἰς ὅπερ ἄν αὐτοῖς ἄγει τέλος ἀπρόσφορον, πεισθεῖεν καὐτοί φυσικά θελήματα κατά τούς Πατέρας ὁμολογεῖν.

Τίς δέ καί τήν τούτων περιφοράν μή θαυμάσειε; Ὅπως τε περιόδοις τισί καί διαύλοις ἀποκεχρημένοι, τό μέγα τῆς περί ἡμᾶς θείας οἰκονομίας ἀποσκευάζειν μηχανῶνται μυστήριον; Ποτέ μέν γάρ κατά τῶν φυσικῶν ἐνεργειῶν τό θέλημα προσκομίζοντες, δι᾽ ἑνός, ᾗ φασιν, ἑαυτοῖς συνεισάγοντες τήν μίαν, κατά τῶν δύο μετῆλθον ἐνέργειαν· ποτέ δέ τήν ἄγνοιαν κατά τῶν θελημάτων, ὡς ταύτῃ συναποβαίνοντος τοῦ θελήματος, τῶν ἐκτός εἶναι λογιζομένου. Ποτέ τήν πάντων τῶν φυσικῶν τελείαν ἀπόφασιν, διά τῆς οἰκειώσεως, καί τοῦ μυστηρίου, καθώς ἔφην, τήν ὅλην ἀνατροπήν· ἐν σχέσι ψιλῇ τούτων αὐτοῖς ἁπάντων ἐπ᾽ αὐτοῦ λαμβανομένων, καί οὐ φυσικῶς ὡς ἀνθρώπου τοῦ σαρκωθέντος Θεοῦ καθ᾽ ἕνωσιν γνωριζομένων· δέον μή τῆς ἀληθείας ἐξίστασθαι· συννεύειν δέ μᾶλλον αὐτῇ διά πάντων καί συνηγορεῖν, κατά τήν ἀπαράλειπτον τῶν τοῦ αὐτοῦ καί ἑνός Χριστοῦ τοῦ Θεοῦ ἡμῶν φύσεων, καί τῶν προσόντων ταῖς φύσεσι

πίστωσιν εἰλικρινῆ καί βεβαιωτάτην ὁμολογίαν· ᾧ ἡ δόξα σύν Πατρί καί ἁγίῳ Πνεύματι, εἰς τούς ἀπεράντους αἰῶνας. Ἀμήν.

ΜΑΞΙΜΟΥ ΤΟΥ ΑΓΙΩΤΑΤΟΥ ΜΟΝΑΧΟΥ
ΚΑΙ ΟΜΟΛΟΓΗΤΟΥ

**ΤΟΜΟΣ ΔΟΓΜΑΤΙΚΟΣ ΠΡΟΣ ΜΑΡΙΝΟΝ ΠΡΕΣΒΥΤΕΡΟΝ. Σελ. 228.**

Ὧν ὁ λόγος ἀρεταῖς ὡραΐζεται, τούτων ὁ νοῦς γνωστικαῖς ἐπιλάμπεται χάρισιν, ἐξιστώσαις λήθης ἁπάσης αὐτόν, ὥσπερ ἐκεῖνον ἀπάτης ἐκεῖναι, καί πρός μύησιν ἀγούσαις τοῦ κρυφίου τοσοῦτον, ὅσον αὐτοῦ δι᾽ ἡμᾶς ἐκφανθέντος πρός μίμησιν ἐπανάγουσι. Τοῦτο ἐν Πνεύματι ἁγίῳ παρέδειξας, οἷς αὐτός ἁμιλλώμενος ἐμμελείᾳ τρόπων ἱερῶν καί ἱερωτέρων πράξεων, θεοτίμητε Πάτερ, ὑπερέχεις τοσοῦτον τήν εὐφημίαν, ὅσον καί ἱκανός προσβαλεῖν τήν εὐτονία, πέρας μέν δρόμου ποιούμενος τήν ἐπέκτασιν, καί λόγου τήν ἐπί τόν Λόγον ἀεικίνητον ἄνοδον, ἵνα καί φύσιν ὑπερβῇς, καί τύπους ἅπαντας διαῤῥήψῃς, καί καθαρῶς τῷ καθαρωτάτῳ προσομιλήσῃς, κατά τήν ἐκ πάντων καί πρός ἅπαντας ὑποστολήν ἑαυτοῦ, καί τελείαν ἐν σχέσει διάβασιν· ἥτις τήν ἀόριστον εὔροιαν προξενεῖ κατά χάριν πειγράφουσάν τε πᾶν ὁριστόν καί ὑπερβαίνουσαν, καί εἰς τά Ἅγια τῶν ἁγίων, ἔνθα πρόδρομος ὑπέρ ἡμῶν εἰσῆλθε τό καθ' ἡμᾶς ὁ ὑπέρ ἡμᾶς Ἰησοῦς ἀπρίξ χωρῆσαι (229) παρασκευάζουσαν, τόν ἀπό δόξης εἰς δόξαν πρακτικῶς αὐτῷ δι᾽ ἀρετῆς συναναβαίνοντα, καί τούς οὐρανούς ἀπό γνώσεως εἰς γνῶσιν ἐπιστημονικῶς διερχόμενον, καί τῇ κρυφιομύστῳ καί πολυφωνοτάτῳ σιγῇ, κατά πᾶσαν νοερῶς ἐνεργείας ἀπόλειψιν, ἀγνώστως ἐντυγχάνοντα τῷ Πατρί τῶν πνευμάτων, ᾧ διά χάριτος καί τῆς περί τά ἱερουργά μακαρίας σπουδῆς ὑπερφυῶς ἀναχθείς, ἀνάγεις τούς κατ᾽ ἐμέ κάτω κειμένους, χεῖρά τε συμπαθῶς ὀρέγων διά τοῦ γράμματος, καί λόγον διά τῆς ἐν τούτῳ κρυπτομένης νοήσεως, πείθων τε διά σπουδῆς ὑπεξίστασθαι τῶν ἐξιστάντων Θεοῦ, καί μόνην ἀσχέτως τήν αὐτοῦ καί πρός αὐτόν ἑνωτικήν ἐξ ὅλης καρδίας (τιμᾷν, ἀσκεῖν, προτιμᾷν,) ἀγάπην, καθ᾽ ἥν, ὡς ἁπλῆν καί ἀνείδεον, πᾶσαν διπλόην, καί σχήματος ἐπικάλυψον αὐτῆς τε διανοίας, καί τοῦ φαινομένου διακρούσασθαι παρακελεύῃ, καί τήν μακαρίαν ὄντως, καί τῶν μακαρίων ἐκφαντορικήν ἀρετήν κατορθοῦν, ἥνα ταῖς σαῖς ἱερωτάταις στηριζόμενος προσευχαῖς δυνηθείην ἐξανύσαι, εὐπερίστατον ἁμαρτίαν ἀπολιπών.

Ἐπεί δέ μοι καί πρός ἐργασίαν αὖθις ἐγείρων τό λογισμόν καί τό χώρημα τῆς ψυχῆς πάσης ἀγνοίας διακαθάραι βουλόμενος, ἐκέλευσάς μοι διερευνῆσαι τοῦ τῆς ἀναστάσεως φερωνύμως θειοτάτου καί μεγάλου Καθηγητοῦ τῆς ἁγίας Θεουπολιτῶν Ἐκκλησίας, ταὐτόν δέ φαναι τῆς οἰκουμένης ἁπάσης, τόν κατά τοῦ Διαιτητοῦ λόγον· μᾶλλον δέ Διαιρέτου, κυρίως εἰπεῖν, ὅσῳ καί Θεοῦ καί ἡμῶν τελείως χωρίζει δι᾽ ἄκρας μεταβολῆς καί συμφύρσεως, τόν δι᾽ ἡμᾶς ἀνθρωπήσαντα Θεόν, καί τοῦ Πατρός ὁμοούσιον γέννημα Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, πῶς ἐπ᾽ αὐτοῦ μίαν φησί τήν ἐνέργειαν, καίτοι φυσικάς δογματίζων τάς ἐνεργείας· αὐτόν γε αὐτῆς ὡς οἰκείας φωνῆς προΐσχομαι σιφόν ἑρμηνευτήν καί διδάσκαλον, οὐκ ἄλλο τε ταύτην εἶναι διοριζόμενον, ἤ τήν τῶν ἐμφύτων ἐνεργειῶν ἀδιάσπαστον ἕνωσιν, καί τό ἐξ αὐτῶν ἀποτέλεσμα, τό ἔργον φημί καί τήν πρᾶξιν, ὡς ἐνδεικτικήν τούτων ὑπάρχουσαν καί δηλωτικήν, εἴ τις κατά τήν ἐνέργειαν κεκοινώνηκε κλήσεως, ἅ τε δή μερικόν τι κυρίως οὖσα καί καθολικόν. Καθ᾽ ὅσον γάρ ἐκ τῆς κατά ἰδιότητα φυσικήν οὐσιώδους ἐνεργείας προάγεται μερικοῦ τάξιν ἐπέχει, ὥσπερ οὖν πάλιν κἀκείνη προάγουσα καθολικοῦ. Πέφυκε γάρ τά μέν ἰδικά τῆς κλήσεως κοινωνεῖν τῶν γενικῶν, τά δέ καθόλου τῆς (232) ὑπάρξεως κατηγορεῖσθαι τῶν μερικῶν, οὐ μήν τε τῆς κλήσεως κοινωνεῖν, ἵνα διά ταύτης ἐξιδιάζηταί πως καί εἰς μερικοῦ τάξιν λογίζηται. Τό γοῦν ἀποτέλεσμα, καθώς ἔφην, αὐτῶν δύο τῶν ἐμφύτων ἐνεργειῶν, ἤγουν τήν πρᾶξιν, ὡς ἀμφοτέρας καθ᾽ ἕνωσιν αὐτῶν συλλαβοῦσαν, ἐκ τοῦ κατ᾽ αὐτάς προσαγορεύσας ὀνόματος ὁ διδάσκαλος, μίαν εἶπεν ἐνέργειαν, διά τό μηδέν θεῖον ἤ ἀνθρώπινον κεχωρισμένως ἐπιτελεῖσθαι, ἀλλ᾽ ἐξ ἑνός καί τοῦ αὐτοῦ συμφυῶς ἅμα καί ἡνωμένως προάγεσθαι, κατά τήν ἐν τούτοις ἑνιαίαν περιχώρησιν· οὐ μήν γε διά τοῦτο εἶπε μίαν αὐτοῦ κατ᾽ ἰδιότητα φυσικήν τήν οὐσιώδη ἐνέργειαν· ὥσπερ οὐδ᾽ οὐσίαν μίαν καί φύσιν δι᾽ αὐτό γε τό τοῦ ἑνός προσώπου μοναδικόν, οὐδετέρας τῶν ἐξ ὧν συνετέθη μετέχουσαν. Σώζεται γάρ κἀν τῇ ἑνώσει τῶν φύσεων ἡ κατ᾽ οὐσίαν διαφορά, συναποσώζουσα κυρίως αὐτῇ καί τήν τῶν οὐσιωδῶς προσόντων ταῖς φύσεσι.

Καί τοῦτο διαγορεύων ἐν αὐτῷ τῷ τοῦ κατά Διαιτητοῦ πονηθέντι λόγῳ, μετά τό λίαν ἐπιστημόνως προδιαστείλασθαι περί τε ἰδιότητος φυσικῆς τῆς πρός ἐνέργειαν ἐπιτηδείως ἐχούσης, καί αὐτῆς ἐνεργείας τῆς εἰς ἔργον καί πρᾶξιν ἐκ τῆς ἐπιτηδειότητος προ«ούσης, οὕτως διέξεισι· "Διό μίαν μέν τήν ἐνέργειαν ἐπί Χριστοῦ," καί τήν αἰτίαν

ἐπάγει, διά τό μηδέν θεῖον ἤ ἀνθρώπινον κεχωρισμένως ἐπιτελεῖσθαι, "καί ἡμεῖς φαμέν." Ὡς δέ τόν τῆς ἑνώσεως λόγον ταύτῃ παρέδειξε, τόν τῆς οὐσιώδους διαφορᾶς ἐπάγων, φησίν, "Οὐ μίαν δέ αὐτοῦ τήν ἰδιότητα, μή γένοιτο· οὐ γάρ ἡ αὐτή θεότητος ἰδιότης καί ἀνθρωπότητος·" ἡ πρός ἐνέργειαν δηλαδή φυσικήν ἐπιτηδείως ἔχουσα, κατ᾿ αὐτόν. Καί παρακατιών αὖθις, "Καί ἄλλως δέ τό αὐτό καθόλου φάναι, μίαν μέν τῶν συνελθουσῶν τήν ἐκ τῶν ὁποίων δή φύσεων ἐνέργειαν εἶναι, τῇ κοινωνίᾳ δηλονότι τῆς ἑνώσεως καί τοῦ συμπεράσματος αὐτοῦ, πᾶσα νάγκη· μίαν δέ αὐτῶν τήν ἰδιότητα λέγειν συγχύσεως ἄνευ, τάχα δέ καί ἐφ᾿ ὧν τῇ συγχύσει χώρα παντελῶς ἀνεπινόητος." Φανέστατα γοῦν διά τῶν οἰκείων τήν ἑαυτοῦ ἔννοιαν ἐσαφήνισεν ὁ Πατήρ, οὐκ οὐσιώδη μίαν τήν ἐπί Χριστοῦ φήσας ἐνέργειαν, ἵνα μή σύγχυσις αὐτοῦ τοῖς μέρεσιν ἐπάγηται καί φυρμός· οὐχ ὑποστατικήν τό σύνολον, ἵνα μή τῶν ἄκρων αὐτῷ χωρισμός γένηται καί διάστασις· Πατρός ἀνάρχου φημί καί ἀχράντου μητρός· Ὑποστάσει γάρ, καί τοῖς ὑποστατικοῖς ἐκείνων σαφῶς διακρίνεται. Ἀλλά τί φησιν; Μία τῇ κοινωνίᾳ τῆς ἑνώσεως καί τοῦ συμπεράσματος, ὅπερ ἔργον καί πρᾶξιν ἐνωτέρω διώρισε, μήτε τοῖς φύρειν ἐθέλουσι, μήτε μήν τοῖς χωρίζειν παρείσδυσιν τήν οἱανοῦν δεδωκώς· ἀλλά τούς μέν ἀπελάσας, τῷ γνωρίζειν, τί μέν προηγουμένως καί κατά φύσιν ἴδιον τῆς κατ' αὐτόν ἀνθρωπότητος· τί δέ τῆς ὑπερουσίου θεότητος· τούς δέ προπωσάμενος, τῷ μηδεμίαν ἐπί τοῦ αὐτοῦ καί ἑνός διϊστᾷν ἤ χωρίζειν ἐνέργειαν. Τό γάρ ὄνομα τῆς ἐνεργείας κοινῶς ἐπί τε ἁπλῆς (233) ὁμοίως καί τῆς ἐν σχέσει θεωρουμένης κινήσεως, ἤ αὐτοῦ τοῦ ἀποτελέσματος λαμβανόμενον, φυρμόν οὐκ ἐπάγει τοῖς πράγμασιν, ἕως ἄν εὐκρινής ἡ τῶν νοουμένων διασάφησις γένηται, καθ᾿ ἥν τά τε θατέρα φύσεων οὐσιωδῶς προσδεδραμηκυιῶν ἀδιαιρέτως φυλάττομεν, καί τά θατέρας ἴδια τῆς θατέρας ἀσυγχύτως γνωρίζομεν διά τήν ἕνωσιν, καί ἀμφοτέρων τοῦ ἐξ αὐτῶν ὅλου διά τήν ὕπαρξιν, οὔτε κατά τοῦτο συμφύροντες, οὔτε μήν κατ᾿ ἐκείνας χωρίζοντες, ἀλλ᾿ οὐσιῶν μέν ὅρους κρατοῦντες τήν διαφοράν, λόγοις δέ μιᾶς καί τῆς αὐτῆς ὑποστάσεως τήν ἕνωσιν διασφίγγοντες. Οὕτω γοῦν, καί διά ταῦτα οὗτος, καί πᾶς ἄλλος εἴ τις ἔγκριτος καί θεῖος Πατήρ, ὡς ἤδη φαίνομαι γεγραφώς, μίαν ἐπί Χριστοῦ τήν ἐνέργειαν καί δύο, τό μέν τήν ἕνωσιν ἀποσκοπῶν τῆν κατά φύσιν ἐνεργειῶν, ὥσπερ οὖν καί τῶν φύσεων· τό δέ, τήν οὐσιώδη τούτων διαφοράν. Καί ὧδε μέν ταῦτα.

Περί δέ τῆς εἰς τήν χρῆσιν ἑρμηνείας τοῦ θεολόγου καί μεγάλου τῆς Ἐκκλησίας (ἀληθείας) κήρυκος Γρηγορίου, τήν "Παρά τοῦ ἀνθρώπου τυποῦσθαι τόν λόγον φάσκουσαν οὐ τοῦ κατά τόν Σωτῆρα νοουμένου. Τό γάρ ἐκείνου θέλειν, οὐδέ ὑπεναντίον Θεῷ θεωθέν ὅλον," λίαν μέν εὐσεβοῦς ἠρτημένης ὁρίζομαι διανοίας, ὑπέρ ἧς καί ἐξ ἧς ἐσπουδάσθη τῷ φιλοπόνῳ, μικρόν δέ περί τό τῆς λέξεως ἀκριβές ἐνδεοῦς, ᾧ καί μᾶλλον ἐπιδρομάς, ἤ καταδρομάς εἰπεῖν ἀληθέστερον, οἱ πάντα εὔκολοι καί παχεῖς μηχανῶνται ποιεῖν, καί οὐδέν οὕτως αὐτοῖς περισπούδαστον, ὡς τό καί τά λίαν πάντοθεν ἠσφαλισμένα, καί μηδεμίαν αὐτοῖς ὑπανοίγοντα χώραν κατά τοῦ λόγου, διερευνᾶσθαι καί μωμοσκοπεῖν, μήτοιγε ψιλῆς πόθεν δραξάμενοι φωνῆς, καί ταύτης ἐξ ἀπλάστου προαγομένης καί καθαρᾶς διανοίας, ἐπί τό μέν ἐπικυροῦν καί συνιστᾷν τῆς ἐξ ἡμῶν προληφθείσης ἐψυχωμένης σαρκός, (ἤγουν τοῦ κατά τόν Σωτῆρα ἀνθρωπίνου) τό οὐσιῶδες θέλημα καί φυσικόν, ἐκ τοῦδε τοῦ θεολήπτου Πατρός τό λέγειν· "Τό γάρ ἐκείνου θέλειν σοφόν καί περιεσκεμμένον," ἐξ οὗ τῆς πρός τό φύσει Θεῖον αὐτοῦ καί Πατρικόν ἡ οὐσιώδης δείκνυται διαφορά, μηδαμῶς ἐπιφυῆναι σύγχυσιν παραχωροῦσα τῷ κατά Χριστόν μυστήριῳ. Τό δέ γε παροξυτόνως ὡς ἐξ ἀντιγράφων τινῶν ἐκφωνεῖν τό θεωθέν ὅλον, καί μή μᾶλλον ὀξυτόνως, δέοι τοῦ μή τό ἕν εἰσαχθῆναι θέλημα πρός τῶν ἐναντίων, λαβήν δίδωσι καθ᾽ ἡμῶν, ὡς σχετικήν καί ὑποστατικήν ὑποφαινόντων, καί οἷον χάριτι καί ἀξίᾳ τήν ἕνωσιν, τῷ καί τούς ἁγίου ἐκ Θεοῦ (236) προηγουμένως κινεῖσθαί τε καί ἐνεργεῖσθαι, διά τήν ὁλικήν αὐτῶν πρός τε Θεόν καί τά θεῖα σύννευσιν καί διάθεσιν. Ἡ γάρ ὀξύτονος τοῦ θεωθέν φράσις, οὔτε εἰς ταυτόν οὐσιώδους καί φυσικοῦ θελήματος ἄγει τό, ὡς ἀνθρώπου κατά τόν Σωτῆρα θέλειν, (τίς γάρ ὁ δεῖξαι δυνάμενος;) καί τήν ἄκραν ἕνωσίν τε καί συμφυΐαν παρίστησι. Τῶν γάρ πρός τι τυγχάνον τό θεωθέν, ὥσπερ οὖν καί τό πυρωθέν καί φωτισθέν, καί ὅσα τοιαῦτα, συνεισάγει πάντως ἑαυτῷ καί τό πρός ὅ τήν ἀναφοράν, ὅπερ ἐστί τό θεοῦν, τό πυροῦν καί τό φωτίζον, τῆς σχέσεως ἔχει, ὡς μή μᾶλλον ἐκεῖθεν ἤ ἔνθεν τόν τε λόγον κρατύνεσθαι τῆς διαφορᾶς καί τῆς ἄκρας ἑνώσεως. Οὐδέ γάρ τό μή ὑπεναντίον εἶναι πρός ἕνωσιν αὔταρκες· πᾶν γάρ εἴ τι φυσικον , καί ἀδιάβλητον, οὐκ ἐναντίον μέν, οὐ πάντως δέ καί ἡνωμένον Θεῷ. Τό δέ θεωθέν πάντη τε καί πάντως ἡνωμένον, καί τήν οὐσιώδη διαφοράν οὐδαμῶς ἐξιστοῦν, ὅσῳ καί ἀσύγχυτον ὑπάρχει κατά τήν ἕνωσιν.

Εἰ δέ τις ἐρεῖ· Καί εἰ μηδέν φυσικόν ὑπεναντίον, πῶς περί τοῦ καθ᾽ ἡμᾶς ἐμφύτου θελήματος, εἴπερ αὐτοῦ, καί οὐκ ἄλλου τυχόν, ἐμνημόνευσεν ὁ Πατήρ, καί οὐ πάντως εἴρηκεν ἑπομένου Θεῷ, ἀλλ᾽ "Ἀντιπίπτοντος ὡς τά πολλά καί ἀντιπαλαίοντος;" Ἤ γάρ οὐ φυσικόν ὡς ἀντίπαλον, ἤ οὐκ ἀντίπαλον ὡς ὄν φυσικόν. Καί ἄλλο λοιπόν ὡς ἐν ποιότητι φυσικῇ πρός τό θέλειν τοῦ κατά τόν Σωτῆρα ἀνθρωπίνου καθέστηκεν· εἴπερ τοῦτο μέν, οὐδαμῶς· ἐκεῖνο δέ, ὑπεναντίον. Φαμέν, ὅτιπερ καθό μέν φυσικόν, οὐχ ὑπεναντίον· καθό δέ μή φυσικῶς πρός ἡμῶν κινεῖται, σαφῶς ὑπεναντίον, καί ὡς τά πολλά ἀντιπίπτον, ᾧ καί τό ἁμαρτάνειν ἐφέπεται. Τῷ γάρ κατά παράχρησιν τῆς κινήσεως τρόπῳ, ἀλλ᾽ οὐ τῷ κατά φύσιν τῆς δυνάμεως λόγῳ, τό παρά λόγον καί νόμον ὑφίσταται· ἐπεί προσφυῶς τυπούμενόν τε καί κινούμενον, εἰ καί τό ἡνωμένον πρός Θεόν οὐκ ἔχει, ἀλλά γε τό συμβαῖνον καί μή ἀντιπίπτον. Ὡς γάρ οὐδείς ἐν τῇ φύσει λόγος τοῦ ὑπέρ φύσειν, οὕτως οὐδέ τοῦ παρά φύσιν καί στασιάζοντος. Ἔνθεν οὐδέ ὡς οὐχ ἕπεται πάντη τε καί πάντως ἀπεφήνατο ὁ διδάσκαλος, ἀλλ᾽ ἐκόλασε φήσας· " Ὡς οὐ πάντως, καί ὡς τά πολλά," ᾧ προσυπακούεται τό, ἔστιν ὅτε καί ὀλιγάκις, διά τό πρός ἀρετήν τῶν πολλῶν δυσανάγωγον. Τό γάρ τοῦ κατά τόν Σωτῆρα ἀνθρωπίνου θέλειν, εἰ καί φυσικόν ἦν, ἀλλ᾽ οὐ ψιλόν ἦν καθ᾽ ἡμᾶς, ὥσπερ οὐδ᾽ αὐτό τό ἀνθρώπινον, ὡς ὑπέρ ἡμᾶς, τῇ ἑνώσει κατάκρον θεωθέν, ᾧ καί τό ἀναμάρτητον κυρίως ἐπήρτηται. Τό δέ ἡμέτερον προδήλως ψιλόν, καί οὐδαμῶς ἀναμάρτητον, διά τήν τῇδε κἀκεῖσε γινομένην παρέγκλησιν· οὐ φύσιν μέν παραλλάττουσαν, κίνησιν δέ παρατρέπουσαν, ἤ μᾶλλον εἰπεῖν ἀληθέστερον, τόν ταύτης τρόπον ἀμείβουσαν. Καί δῆλον, ἐκ τοῦ πολλά παραλόγως ποιεῖν, καί μηδαμῶς εἰς ἄλογον μεταπίπτειν οὐσίαν ἐκ τῆς ἑνούσης ἐμφύτου λογικῆς.

(237)) Οὐν ἔστι οὖν ἄλλο τό καθ᾽ ἡμᾶς, καί ἄλλο τό κατά τόν Σωτῆρα ἀνθρώπινον· οὐδέ τό θέλειν ἄλλο, κατά γε τόν τῆς φύσεως λόγον, εἰ καί ἄλλως ὑπέρ ἡμᾶς· θε«κῶς γάρ, ὁ μέν ὑπέστη, τό δέ ἐτυπώθη, διά τῆς πρός τό θεῖον ἄκρας ἑνώσεως. Το προσαρμόζειν δέ πάλιν μάλιτα προσφυῶς τῶν ἐν ἡμῖν διαβεβλημένων ἕκαστον, οἷον τήν ἐναντίωσιν, ἤ τήν ἀντίταξιν, καί ὅσα τοῦδε τοῦ καταλόγου τυγχάνει, κἀν ἐπινοίᾳ τάς φύσεις ἀχωρίστως χωρίζοντες τῇ ἑξῆς φύσει προσέρχονται, συμπαραλαμβάνειν, οὐ μή θέμις ἐν τούτοις ἐστί τήν κατά Χριστόν ἀνθρωπότητα. Εἰ γάρ οὔτε ἐν ἡμῖν προσφυῶς, ἀλλά παρά φύσιν θεωρεῖται καί λόγον, πῶς ἐν ἐκείνῃ κἄν δι᾽ ἐπινοίας ἤ

προσεπινοίας, ἵν᾽ οὕτως εἴπω, προσάπτειν ἔστιν; ἀλλ᾽ οἰκειώσει μόνον, δι᾽ οἶκτον ὡς κεφαλῇ τοῦ παντός σώματος, καθάπερ καί ἰατρῷ τά πάθη τοῦ κάμνοντος, ἕως ἄν τούτων ἡμᾶς ὁ δι᾽ ἡμᾶς ἐνανθρωπήσας ἐλευθερώσῃ Θεός. Πλήν τελείως ἡμῶν δαπανῶν καί ἐξαφανίζων τῇ δυνάμει τῆς κατ᾽ αὐτόν σωματώσεως. Διττός γάρ ὁ περί παθῶν λόγος· ὁ μέν τῆς ἐπιτιμίας· ὁ δέ τῆς ἀτιμίας· καί ὁ μέν φύσιν τήν ἡμετέραν χαρακτηρίζων, ὁ δέ δι᾽ ὅλου παραχαράττων. Ἐκεῖνο μέν οὖν ὡς ἄνθρωπος δι᾽ ἡμᾶς θέλων οὐσιωδῶς κατεδέξατο, ὁμοῦ τε τήν φύσιν πιστούμενος, καί τό καθ᾽ ἡμῶν λύων κατάκριμα· τοῦτον δέ πάλιν, ὡς φιλάνθρωπος, οἰκονομικῶς ᾠκειώσατο, ἐν ἡμῖν τε καί τῷ ἡμετέρῳ ἀνυποτάκτῳ γνωριζόμενον τρόπῳ, ἵν᾽ ὡς κηρόν πῦρ, ἤ ὡς ἀτμίδα γῆς ἥλιος, πάμπαν ἡμῶν ἐξαναλώσας, τῶν οἰκείων ποιήσηται τήν μετάδοσιν, καί ἀπαθεῖς μέν ἐντεῦθεν, ἀφθάρτους δέ κατά τήν ὑπόσχεσιν ἡμᾶς παρασκευάσῃ. Δεῖ τοίνυν τόν τε ζῆλον ὁμοῦ καί τόν πόνον τοῦ τά τοιαῦτα σπουδάζοντος ὑπέρ εὐσεβείας μάλιστα κατά τό εἰκός ἀποδέξασθαι, προτρέπειν δέ πρός ἀκριβεστέραν τῶν πατρικῶν λόγων ἐμμέλειαν, διά τούς ἐπηρεαστάς τῶν καλῶν, οὐδ᾽ αὐτό συγχωροῦντας ἐκ περιττῆς ἀνοίας, ὅ μή δέ βουλομένοις αὐτοῖς ἑλεῖν δυνατόν.

Τόν δέ γε τῆς Ῥωμαίων πάπαν Ὀνώριον, οὐ καταγορεύειν οἶμαι τῆς τῶν ἐμφύτων θελημάτων ἐπί Χριστοῦ δυάδος, ἐν τῇ γραφείσῃ πρός Σέργιον ἐπιστολῇ διά τό ἕν θέλημα φάναι, συναγορεύειν δέ μᾶλλον, καί ταύτην ὡς εἰκός συνιστᾷν, οὐκ ἐπ᾽ ἀθετήσει τοῦτό γε λέγοντα τοῦ ἀνθρωπίνου καί φυσικοῦ τοῦ Σωτῆρος θελήματος, ἀλλ᾽ ἐπί τοῦ μηδαμῶς τῆς ἀσπόρου συλλήψεως αὐτοῦ καί τῆς ἀφθόρου γεννήσεως προκαθηγεῖσθαι θέλημα σαρκός, ἤ λογισμόν ἐμπαθῆ. Μόνη γάρ θέλησις θεία καί Πατρική, δι᾽ Υἱοῦ μονογενοῦς αὐτουργοῦντος τήν οἰκείαν σάρκωσιν, καί Πνεύματος ἁγίου συνδρομῇ, ταύτην εἰργάσατο. Καί ὅτι γε ταύτης ἔχεται τῆς ἐννοίας, δῆλον ἐντεῦθεν. Εἰπών γάρ, ὅτι διά τήν ἄφραστον (240) ἕνωσιν τῆς ἀνθρωπίνης καί θείας φύσεως, καί Θεός λέγεται παθεῖν, καί ἀνθρωπότης ἐκ τοῦ οὐρανοῦ κατελθεῖν μετά τῆς ἀνθρωπότητος ἐκ τοῦ οὐρανοῦ κατελθεῖν μετά τῆς θεότητος· καί ταύτῃ δεῖξαι τήν τῶν φυσικῶς προσόντων ἑκατέρᾳ φύσει τῶν τοῦ ἑνός Χριστοῦ καί Υἱοῦ κατ᾽ ἀπαλλαγήν ἄκραν ἀντίδοσιν, ἐπάγει λέγων, " Ὅθεν καί ἕν θέλημα ὁμολογοῦμεν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ," Πῶς, φησίν; " Ἐπειδή προδήλως ἐκ τῆς θεότητος προσελήφθη ἡ ἡμετέρα φύσις, οὐχ

ἁμαρτία·" τουτέστιν, οὐκ ἐκ τῆς ἁμαρτίας· μονονουχί συμφθεγγόμενος τῷ μεγάλῳ Ἀθανασίῳ, γράφοντι τάδε κατ᾽ Ἀπολιναρίου τοῦ δυσσεβοῦς, " Ἐγεννήθη ἐκ γυναικός, ἐκ τῆς πρώτης πλάσεως τήν ἀνθρώπου μορφήν ἑαυτῷ ἀναστησάμενος, ἐν ἐπιδείξει σαρκός δίχα σαρκικῶν θελημάτων καί λογισμῶν ἀνθρωπίνων, ἐν εἰκόνι καινότητος· ἡ γάρ θέλησις θεότητος μόνη, ἐπειδή καί φύσις ὅλη θεότητος." Ἐπειδή γάρ τῆς δι᾽ ἡμᾶς κατά σάρκα τοῦ Λόγου γεννήσεως ὑπέρ ἡμᾶς, ἡ πρόοδος γέγονεν· οὐ γάρ σαρκός ἐμπαθής προηγήσατο θέλησις ἤ λογισμός, ὡς ἐφ᾽ ἡμῶν ὁρᾶται, διά τήν ἐξ ἀπάτης τοῦ γένους κατακρατοῦσαν ἡδονήν, ἀλλά θέλησις θεότητος μόνη δι᾽ Υἱοῦ αὐτουργοῦντος, ὡς ἔφην, τήν οἰκείαν σωμάτωσιν κατ᾽ εὐδοκίαν Πατρός, καί συνέργειαν τοῦ παναγίου Πνεύματος, καινοτομοῦντος ἐν ἑαυτῷ τε καί δι᾽ ἑαυτοῦ τόν ἐπεισαχθέντα τῇ φύσει τῆς γεννήσεως τρόπον, καί ἀσπόρως τήν ἑαυτοῦ ποιουμένου σύλληψιν ἐκ τῆς ἁγίας Θεοτόκου καί Ἀειπαρθένου Μαρίας· τοῦτον δή τόν ἄῤῥητον αὐτοῦ τῆς γεννήσεως σκοπήσαντες λόγον, ἐκεῖνος μέν, "θέλησιν μόνην ἐπ᾽ αὐτοῦ θεότητος" εἶπεν, οὗτος δέ, "Θέλημα ἕν τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ, ἐπειδή προδήλως, φησίν, ἐκ τῆς θεότητος προσελήφθη ἡ ἡμετέρα φύσις, καί οὐχ ἁμαρτία· δίχα σαρκικῶν θελημάτων καί λογισμῶν ἀνθρωπίνων," ὡς ὁ θεῖός φησιν Ἀθανάσιος· οὐ μέν γε τό μή καί ὡς ἄνθρωπον αὐτόν μετά τοῦ εἶναι φύσει Θεόν οὐκ ἔχει ἀνθρώπινον θέλημα καί φυσικόν, ὥσπερ οὖν καί θεῖον καί πατρικόν.

Τό δ᾽ αὐτό κἀν τοῖς ἑξῆς ὑπαινίττεται, φάσκων, "Χωρίς ἁμαρτίας συνελήφθη ἐκ Πνεύματος ἁγίου, καί τῆς ἁγίας ἀχράντου καί Ἀειπαρθένου θεοτόκου Μαρίας, καί χωρίς μολυσμοῦ ἐξ αὐτῆς κατά σάρκα γεγέννηται." Τήν δέ γε θείαν Γραφήν ἐπαινετῶς τε καί ψεκτῶς παράγει (241) τῆς σαρκός μνημονεύουσαν, οὐχ ἑτέραν μή γένοιτο, τῇ τε φύσει καί τῇ οὐσίᾳ τήν τοῦ Κυρίου σάρκα πρός τήν ἡμετέραν ὑποβάλλων νοεῖν, ὅς γε ταύτην ἠπίστατο προσληφθεῖαν ἐκ τῆς ἡμετέρας οὐσίας, ἤγουν τῶν τῆς ὁμοφυοῦς ἡμῖν Ἀειπαρθένου καί Θεομήτορος παναγίων σπλάγχνων, ἀλλ᾽ ἑτέραν τῇ ἁμαρτησίᾳ, καί τοῦ μηδαμῶς ἀντιταττόμενον ἔχειν, καθάπερ ἡμεῖς ἐν τοῖς μέλεσι τόν ἐκ παραβάσεως νόμον τῷ νόμῳ τοῦ πνεύματος "Οὐ γάρ προσελήφθη, φησίν, ὑπό τοῦ Σωτῆρος ἡ κατεφθαρμένη ἀπό τῆς ἁμαρτίας σάρξ, ἡ ἀντιστρατευομένη τῷ νόμῳ τοῦ νοός αὐτοῦ." Οὗ τινος γάρ οὐ προκαθηγήσατο ὁ καθ᾽ ἁμαρτίαν διά σπορᾶς τῆς γεννήσεως νόμος, τούτου παντελῶς οὐ δέ τοῖς μέλεσιν ἐνυπάρχει, ἀλλά νόμος

δικαιοσύνης πρός ὑποτύπωσιν ἡμῖν ἐκφαινόμενος, καί τόν ἐκ παραβάσεως ἐπεισαχθέντα τῇ φύσει τελείως ἐξαφανίζων. Ἦλθε γάρ, φησίν, ὁ ἀναμάρτητος ζητῆσαι καί σῶσαι τό ἀπολωλός, τουτέστι τήν ἁμαρτήσασαν τοῦ ἀνθρωπίνου γένους φύσιν. " Ἕτερος γάρ νόμος ἐν τοῖς μέλεσιν αὐτοῦ, ἤ θέλημα διάφορον ἤ ἐναντίον οὐ γέγονε τῷ Πατρί." Ἐντεῦθεν δεικνύς, οὐχ ὡς οὐκ εἶχεν ἀνθρώπινον θέλημα καί φυσικόν· οὐ γάρ λέξας φαίνεται τοῦτο· ἀλλ᾽ ὅτιπερ ὡς ἄνθρωπος οὔτε κατά σῶμα διά τῶν μελῶν τήν οἱανοῦν ἐκέκτητο παρά φύσιν ἐνέργειαν, οὔτε μήν κατά ψυχήν θελήματος ἐναντίαν ἤ παράλογον κίνησιν, ὥσπερ ἡμεῖς, "ἐπειδή καί ὑπέρ νόμον ἀνθρωπίνης φύσεως ἐτέχθη."

Τρανώτερον δέ κἀν τοῖς ἑξῆς παρίστησιν, ὡς ὁ λόγος ἦν αὐτοῦ μόνον τό ἐμπαθές, ἀλλ᾽ οὐ τό φυσικόν ἐπί τοῦ Σωτῆρος ἀποδιορίσασθαι θέλημα. Καί ὅτιπερ, κἀν τῷ φυσικῷ καί ἀνθρωπίνῳ πρός τό Πατρικόν καί θεῖον συνέβαινε μέν, οὐδεμίαν τήν ἐξ ἀντιπράξεως ἔχων πρός ἐκεῖνο διαφοράν, ὑποτύπωσιν δέ διδούς ἡμῖν ἑαυτόν, τό οἰκεῖον ἑκουσίως ὑπέταττεν· συνίστα δέ τό Πατρικόν, ᾧ ἄν καί ἡμεῖς ἐκμιμούμενοι, τό ἑαυτῶν ἀθετήσαντες, τό θεῖον διά πάσης σπουδῆς ἐκπληρώσωμεν, λέγων οὕτως· Κἄν γέγραπται, " Ὅτι οὐκ ἦλθον ποιῆσαι τό θέλημα τό ἐμόν, ἀλλά τοῦ πέμψαντός με Πατρός· καί, Οὐχ ὅ ἐγώ θέλω, ἀλλ᾽ εἴ τι σύ, Πάτερ, οὔκ εἰσι ταῦτα διαφόρου θελήματος," τουτέστιν ἐναντίου καί ἀντιπράττοντος, "ἀλλά τῆς προσληφθείσης ἀνθρωπίνης οἰκονομίας" οἰκειουμένης συμπαθῶς τά ἡμέτερα. "Ταῦτα γάρ δι᾽ ἡμᾶς ἔλεγεν, οἷς δέδωκεν παράδειγμα ὁ τῆς εὐσεβείας Διδάσκαλος, ἵνα τοῖς ἴχνεσιν αὐτοῦ ἑπώμεθα· καί μή τό ἴδιον ἕκαστος ἡμῶν, ἀλλά τό τοῦ Κυρίου μᾶλλον ἐν πᾶσι προτιμήσῃ θέλημα." Οὐκ ἀναίρεσιν οὖν, ὡς ἔφην τοῦ φυσικοῦ καί ἀνθρωπίνου θελήματος, ἀλλά τοῦ ἐμπαθοῦς καί παρά φύσιν ποιεῖ· καί διόλου φάναι, τό πάσης (244) ἁμαρτίας ἐλεύθερον τό καθ᾽ ἡμᾶς, ἐπιμαρτύρεται τόν δι᾽ ἡμᾶς σαρκωθέντα Θεόν.

Καί ἵν᾽ ἐπιτόμως εἴπω, διά τοῦ ἑνός θελήματος, τό μόνην τῆς αὐτοῦ κατά σάρκα γεννήσεως τήν θείαν προκαθηγήσασθαι θέλησιν δηλοῦν αὐτόν οἶμαι· διά δέ τοῦ "μή ὑπάρχειν θελήματος διαφοράν," τό ἐναντίον οὐκ ἔχειν ἤ ἀντιπράττον, ἀλλά τό συμβαῖνον δι᾽ ὅλου καί ἡνωμένον. Ὅθεν ἡνίκα μέν τήν ἡμετέραν φύσιν ἐκ τῆς θεότητος προσειλῆφθαι λέγῃ, θελήματος ἑνός μνημονεύει· ἡνίκα δέ τό, Οὐκ ἦλθον ποιῆσαι τό θέλημα τό ἐμόν, εἰς μέσον τῷ λόγῳ προτίθησι, τόν

ἀριθμόν ἀφείς, " Οὐκ εἰσί ταῦτα, φησί, διαφόρου θελήματος," τουτέστιν ἐναντίου καί ἀντικειμένου, ἐξ οὗ τό δύο κατά φύσιν ὑπάρχειν ἐν τῷ Σωτῆρι θελήματα προδήλως συνάγεται. Εἰ γάρ ἐναντίον οὐκ εἶχεν, φυσικόν εἶχεν ὡς ἄνθρωπος. Τό γάρ οὐκ ἐναντίον, φυσικόν πάντως, καί οὐδείς ἀντερεῖ· οὐδέν γάρ ἐν τῇ φύσει ἤ τοῖς κατά φύσιν παντελῶς ἐναντίον· Δέος οὖν πολλά βαίνειν ἐπιβαλεῖν, ὅ μή κυρίως ἐν τοῖς ἑαυτοῦ γέγραφε λόγοις, καί μηχανᾶσθαι τούς δι᾽ ἐναντίας οἰκείας δόξης ὡς οὐκ ἀρίστης ἐπικάλυμμα ποιεῖν τἀνδρός τά γράμματα, καθ᾽ ἕτερον ταῦτα παρά τόν ἐκείνου σκοπόν παραξηγουμένους. Συνηγοροῦντα γάρ ἔχει τόν λόγον, πᾶσαν τοῦ ἐπηρεαστοῦ καταδρομήν ἀπελαύνοντα.

Καί οὕτω μέν ἐγώ γε τόν νοῦν ἔχειν ὑπολαμβάνω, πάσης ὄντα καθαρόν ὑποψίας. Βεβαιότερον δέ μοι τοῦτον πεποίηκεν ἐκ τῆς πρεσβυτέρας Ῥώμης ἐπανελθών ὁ ὁσιώτατος πρσβύτερος κύριος ἀββᾶς Ἀναστάσιος, ἀνήρ εἰ καί τις ἄλλος ἀρετῇ τε θείᾳ καί φρονήσει κεκοσμημένος· καί φήσας ὡς πολύς αὐτῷ λόγος κεκίνηται πρός τούς ἐκεῖσε τῆς μεγάλης Ἐκκλησίας ἱερωτάτους ἄνδρας, δια τήν πρός Σέργιον ἐξ αὐτῶν γραφεῖσαν ἐπιστολήν, ὅτου χάριν καί πῶς αὐτῇ διερωτῶν ἐνετάγη τό ἕν θέλημα, καί εὗρεν ἀσχάλλοντας ἐν τούτῳ, καί ἀπολογουμένους, καί πρός αὐτοῖς τόν ταύτην ἐν Λατίνοις ὑπαγορεύσαντα, κατά κέλευσιν αὐτοῦ κύριον ἀββᾶν Ἰωάννην ἁγιώτατον σύμπονον, ἰσχυριζόμενον ὡς οὐδαμῶς ἐπίμνησιν ἐν αὐτῇ δι᾽ ἀριθμοῦ πεποίηνται ἑνός τό παράπαν θελήματος, εἰ καί τοῦτο νῦν ἀνεπλάσθη παρά τῶν ταύτην ἑρμηνευσάντων εἰς τήν Ἑλλάδα φωνήν. Οὔτε μήν τήν οἱανοῦν κυρίωσιν ἤ (245) ἐκβολήν τοῦ κατά τό ἀνθρώπινον φυσικοῦ τοῦ Σωτῆρος θελήματος, ἀλλά τοῦ καθ᾽ ἡμᾶς καί διαβεβλημένου τελείαν ἀποσκευήν καί ἀναίρεσιν, καθ᾽ ὅ καί ὁ πρός ἄλληλα τῶν ὁμογενῶν συνίσταται πόλεμος, δεῖξαι βουλόμενοι πάσης οὖσαν καθαράν ἁμαρτίας τήν προσληφθεῖσαν σάρκα, κατά τήν τῶν ἱερωτάτων λογίων καί τῶν Πατρικῶν διδαγμάτων παράδοσιν. Καί φαίνονταί πως διά τῆς τοιούτων λόγων συνᾴδοντες τοῖς ἀρτίως ἐξηγηθεῖσι παρά τῆς ἐμῆς οὐδενίας, καί οἷον ἐπισφραγίζοντες τήν ὑπέρ Ὀνωρίου γενομένην συνηγορίαν.

Ταῦτα γοῦν ἀπολογησαμένους διαγνούς, ἐθαύμασα λίαν αὐτῶν τήν ἀκρίβειαν, ὥσπερ οὖν καί κατεπλάγην τήν πανουργίαν, τῶν πάντα τολμώντων ὑπέρ ἑνός τοῦ διακενῆς ἀσεβεῖν, καί θελόντων, ὡς ἔθος αὐτοῖς πάλαι καί νῦν, παρακλοπαῖς τισι καί παρεξηγήσεσι τούς

ἐκθύμως κατ᾽ αὐτῶν ἀγωνιζομένους, τό γε παρά τό εἰκός, εἰς ἑαυτούς ἐπισπᾶσθαι, καί τόν νοῦν σφετερίζεσθαι μηδαμῶς συνεπόμενον. Ἀναγκαίως οὖν καί τοῦτο μαθών δεδήλωκά σοι, θεοτίμητε Πάτερ, ὡς ἄν διά πάντων φραξάμενος ἔχοις, ὅπως διακρούσῃ τῶν ἐναντίων τάς φάλαγγας, λόγῳ τε βάλλων εὐτόνως καί πίστει κατά κράτος ὑπερνικῶν, δόξαν τε τήν τοῦ Μονογενοῦς ἐντεῦθεν εἰς ἀνάῤῥησιν ἔχων, καί διάδημα τήν αὐτοῦ κατά χάριν κοινωνίαν καί ἕνωσιν.

Ἀλλ᾽, ὦ ἱερωτάτη καί τιμία μοι κεφαλή, ταῦτα γνώρισον τῷ ἱεραρχικῶς προκαθημένῳ τῆς ἀμωμήτου ἡμῶν καί ὀρθοδόξου πίστεως, οὗ πάντες οἵ τε πλησίον, καί οἱ μακράν ὑπό τάς πτέρυγας ὁσίως ἐπαναπαυσόμεθα, μόνην κρηπῖδα δογμάτων ἱεροτέρων τήν αὐτοῦ τε καί δι᾽ αὐτοῦ μακαρίαν ἔχοντες ἔλλαμψιν, δι᾽ ἧς πρός τό ἄσκιον φῶς καί Πατρικόν ἐν Πνεύματι ἁγίῳ χειραγωγούμεθά τε καί ἀναγόμεθα· πρός αὐτόν ὡς ἀρχηγόν τῆς σωτηρίας ἡμῶν, μετά τόν φύσει καί πρῶτον, ἀποσκοποῦντες, καί τάς τρίβους εὐσεβῶς κατευθύνοντες, εἰς ζωήν ἐπειγόμενοι τήν οὐ φθορᾷ λυομένην, ἀλλ᾽ ἀφθαρσίᾳ συνισταμένην, ἧς ὥσπερ ἐνταῦθα ταῖς θεολήπτοις αὐτοῦ προσευχαῖς, καί ταῖς θεοσόφοις διδασκαλίαις ἐλπίδι μετέχομεν, οὕτω κἀκεῖ τῇ θεουργῷ μεσιτείᾳ καί προσαγωγῇ πείρᾳ κοινωνῆσαι καταξιωθείημεν, κατά τήν ἐν αὐτῷ τῷ Λόγῳ καί Θεῷ Κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ μόνην καί τελείωσιν.

ΤΟΥ ΑΥΤΟΥ,

***Περί ποιότητος, ἰδιότητος, καί διαφορᾶς, Θεοδώρῳ πρεσβυτέρῳ τῷ ἐν Μαζαρίῳ. Σελ. 246.***

Οὐκ οἶμαι πρός γνῶσιν ἑτέρου δεῖσθαί τινος τῶν ἁπάντων τούς ἱερωτάτους ὑμᾶς, ἕν αὐτό ἤδη (248) δι᾽ ἀρετῆς ἁπλῆς προσβοᾷν κατά νοῦν σοφίζον, τό Πνεῦμα τό ἅγιον, ἐξ οὗπερ καί ἄλλοις τά θεῖα πηγάζετε κατ᾽ ἀπειρόδωρον τῆς σοφίας χύσιν, τῆς τῶν νοημάτων διά προφορᾶς λόγου ποιούμενοι πρόχυσιν, ὡς καί μέχρι τῶν κατ᾽ ἐμέ ταπεινῶν, καί λόγου παντός ἀμοιρούντων ταύτην φιλανθρώπως ἐκτείνειν εὖ μάλα πρός ἐπιστήμην θείαν καί μάθησιν, εἰ καί συγκαταβάσει χρωμένους οἶδα δι᾽ ἐρωτήσεως, ἐφ᾽ ᾧ τε προβιβάσαι, καί ἔτι μᾶλλον πρός τόν οἰκεῖον δι᾽ ἄκρας ὑφέσεως μετεωρίζειν ὕψος τῆς γνώσεως τούς κάτω που κειμένους ἡμᾶς, καί ἀγνοίᾳ πιεζομένους, ὡς ἄν τήν νωθείαν τῇ ὑποβάσει, τῇ τε πνεύσει τήν ἄνοιαν τῆς ἐμῆς ἐκκαθάραντες διανοίας, εἰς ἕξιν ἀγάγοιτε γνωστικήν, καί προθυμίαν

εὔτονόν τε και πρακτικήν, ἐξ ὧν τοῖς σωζομένοις ἡ σωτηρία κατά χάριν προσγίνεται, διά τῶν καθ᾽ ὑμᾶς σώζειν τούς ἀξίους ἠξιωμένων.

Λέγω γοῦν περί ὧν ἐκπαιδεύοντες προσεξετάζειν παρεκελεύσασθε, ποιότητός φημι, καί ἰδιότητος καί διαρορᾶς· πολυσχεδῆ μέν τούτων παρά τοῖς ἔξω τυγχάνειν τήν σημασίαν, καί μακρόν ἄν εἴη τάς ἐν τούτοις ἐκείνων διαιρέσεις ἐξαπλοῦν, λόγον τε διατείνειν, ὡς οὐ μᾶλλον ἐπιστολικῆς ταῦτα συμμετρίας, ἤ γραφικῆς ἀσχολίας τυγχάνοντες. Τοῖς δέ θείοις Πατράσιν, συνεχής τε καί σύντομος ἡ τούτων καθέστηκε δήλωσις, οὐκ ἐπί τινος ὑποκειμένου λαμβανομένη, τουτέστιν οὐσίας καί φύσεως, ἀλλά τῶν τῇ οὐσίᾳ, καί μέντοι γε τῶν τῇ ὑποστάσει θεωρουμένων. Ποιότητα γοῦν εἶναί φασιν, οὐσιώδη μέν ὡς ἐπ᾽ ἀνθρώπου τό λογικόν, ἤ ἵππου τό χρεμετιστικόν· ὑποστατικήν δέ τοῦ τινος ἀνθρώπου γρυπόν, ἤ σιμόν· ἤ τοῦ τινος ἵππου τό ψαρόν ἤ ξανθόν. Οὕτω δέ καί ἐπί τῶν ἄλλων ἔχει γενητῶν ἁπάντων οὐσιῶν καί ὑποστάσεων, κοινῶς τε καί ἰδικῶς, ἤγουν καθολικῶς τε καί μερικῶς τοῖς οὖσιν ἐνθεωρουμένην, καθ᾽ ἥν καί πρός ἄλληλα διαφορά τῶν τε εἰδῶν (249) καί ἀτόμων γνωρίζεται, διευκρινοῦσα τήν τῶν πράγματων ἀλήθειαν.

Ἐπί δέ τῆς ἀγεννήτου καί μοναρχικῆς φύσεως, οὐκ ἄν μέν ὅλως ἤ κυρίως λεχθείη ποιότης. Οὐ γάρ ἐξ οὐσίας τινός καί συμβεβηκότων τό Θεῖον, ἐπεί καί κτιστόν ἔσται πάντως, ὡς ἐκ τούτων σύνθετον καί συγκείμενον. Καταχρηστικῶς δέ, καί ὅσον ἄν τις ἐκ τῶν καθ᾽ ἡμᾶς δύναιτ᾽ ἄν τά ὑπέρ ἡμᾶς εἰκάζειν· ἅτε δή μήτ᾽ ἄλλως ἤ οὕτως καί μόγις ἱκανούντων ἡμῶν τήν ἐκείνων ἀμυδρῶς εἰσδέξασθαι γνῶσιν, καί λόγῳ κἄν ποσῶς γοῦν, εἰ καί μή τελείως, διατρανοῦν· φυσική μέν ποιότης ἐστί τό πανάγιον, τό πανσθενές, τό παντέλειον, τό ὑπερτελές, τό αὐτοτελές, τό αὐτοκρατορικόν, τό παντέφορον καί εἴτι τοιοῦτον ἄλλο λέγεται φυσικόν τε καί θεῖον, καί Θεῷ μόνον συμπρέπον ὡς ὑπερούσιον. Ὑποστατική δέ ποιότης, Πατρός μέν τό ἀγέννητον, Υἱοῦ δέ τό γεννητόν, καί Πνεύματος ἁγίου τό ἐκπορευτόν, ἤγουν ἀγεννησία, καί ἡ γέννησις καί ἡ ἐκπόρευσις, ἅπερ καί ἰδιότητας ὀνομάζουσι, διά τῷ μόνον αὐτῷ καί οὐκ ἄλλῳ (περί Θεοῦ λέγεται) προσεῖναι ταῦτα φυσικῶς ἤ ὑποστατικῶς. Ἐξ ὧν αἵ τε οὐσιώδεις καί ὑποστατικαί συνίστανται διαφοραί, καταχρησικῶς μέν, ὡς ἔφην, ἐπί Θεοῦ, κατά φύσιν δέ κυρίως ἐπί τῶν γενητῶν ἁπάντων. Ὅθεν ταὐτόν μέν ἀλλήλοις ὑπάρχειν ταὐτά φασι, ποιότητά φημι καί ἰδιότητα καί διαφοράν, καί τῶν τε συμβεβηκότων, ἀλλ᾽ οὐχ ὑποκειμένου τινός,

ἤγουν οὐσίας λόγον ἐπέχειν. Διαφέρειν μέν τῷ τήν ποιότητα καθολικωτέραν εἶναι, καί ἐπί πάντων ἁπλῶς, εἴπερ οὐδέν παρέξ Θεοῦ τῶν ὄντων ἄποιον, ὡς οὐκ ἄσχετον, οὐδέ ἀνείδεον. Τήν ἰδιότητα δέ μερικήν, ὡς πρός ἐκείνην, καί μή ἁπασῶν, ἀλλ' ἁπλῶς καί τοιῶσδε (ὁποσοῦν καί ἁπλῶς, ἀλλά τοιῶσδε ) λέγεσθαι, καί ἐπί τῆσδε τῆς οὐσίας, καί οὐκ ἄλλης· τήν δέ διαφοράν ὡς συστατικήν τῶν ὄντων καί ἀφοριστικήν. Ὅθεν καί οὕτω ταύτην κατονομάζουσι, συστατικήν καλοῦντες διαφοράν διευκρίνουσαν, ὡς ἔφην, τά ὄντα κατά τε οὐσίαν καί φύσιν, κατά τε πρόσωπον καί ὑπόστασιν, καί πᾶσαν πασῶν ἐλαύνουσαν τροπήν τε καί σύγχυσιν.

Αὕτη οὖν καί οὕτως ἔχουσα, κατά τήν τῶν Πατέρων διδασκαλίαν, ἡ περί ποιότητος καί ἰδιότητος καί διαφορᾶς, ὡς ἐν ἐπιτομῇ φάναι, διάληψίς τε καί διασάφησις. Ἀμήχανον δέ τι τούτων εἶναί ποτ᾿ ἄν ἤ ἐπινοηθῆναι δύνασθαι χωρίς τῆς ὑποκειμένης οὐσίας, ἧς καί ἔστι καί λέγεται τούτων ἕκαστον· (252) οὐσίας γάρ ἀλλ' οὐχ ἑαυτῆς ἥ τε ποιότης λέγεται καί ἰδιότης καί διαφορά· καί ὁ μή τοῦτο λέγων, ἠλόγησε, τοῦ κατά φύσιν λόγου παρά λόγον ἐκστάς. Οὗπερ μόνος καί παρά πάντας Σεβῆρος ὁ παράφρων σοφιστής, ὡς τά μηδαμῇ μηδαμῶς περινοῶν ἑαυτῷ καί πλαττόμενος, καί ποιοτήτων ἀνουσίων ἐπί Χριστοῦ λέγων διαφοράν, ἵν᾿ ἀνύπαρκτον αὐτόν ἀποφήνῃ, τῇ τῶν ἐξ ὧν καί ἐν αἷς συνέστηκε φύσεων ἀποσκευῇ, καί αὐτῶν γε πάλιν συναποσκευῇ τῶν ποιοτήτων. Οὐ γάρ δύναιντ᾿ ἄν ἀναιρουμένων τῶν φύσεων, ·ὡς μηδέ κἄν ταύταις λοιπόν ἤ ὅλως ἐκ τούτων, λέγω δέ τῶν ποιοτήτων, ὑφιστᾷν δύνασθαι τόν Χριστόν, εἰ καί σύνθετον αὐτόν τερατολογεῖ ὁ δείλαιος, κἀντεῦθεν τελείαν αὐτοῦ ποιούμενος τήν ἐξάρνησιν. Οὐ γάρ Θεός ἤ Θεοῦ φύσις, ἡ σύνθετος· ἐπεί καί πᾶσα σύνθετος φύσις φύσει Θεός. Εἰ δέ πᾶσα σύνθετος φύσις φύσει Θεός, οὐ Θεός κατ᾿ αὐτόν ὁ Πατήρ ὁ ἀσύνθετος· εἰ γάρ τό σύνθετον φύσει Θεός, οὐ φύσει Θεός τό ἀσύνθετον. Εἰ δέ πᾶσα σύνθετος φύσις φύσει Θεός, πολύθεός τις ἄν ἀπέφηνεν ὁ ἄθεος καί ἀντίθεος, ἀγνοήσας τόν ὄντως ὄντα Θεόν καί σάρκα γενόμενον, ἀλλά φυλάξαντα κἀν τῇ συνθέσει τῆς ὑποστάσεως τό πρός τόν Πατέρα κατά φύσιν ἁπλοῦν καί ἀσύνθετον, ὡς Θεόν φύσει καί ἐκ Θεοῦ, κἄν ἄνθρωπος ἐξ ἀνθρώπων διά ἀνθρώπου ὑπέρ ἀνθρώπους γεγέννηται προσλήψει σαρκός ψυχήν ἐχούσης τήν νοεράν· κἄν οὐδέ ἄνθρωπον ὁμολογεῖ τόν ἐνανθρωπήσαντα Θεόν ὁ ἀπάνθρωπος, ὡς φύσιν ἐπ᾿ αὐτοῦ τήν ἀνθρώπου, καθά καί τήν θείαν ἀρνούμενος. Οὐ γάρ διφυᾶ τοῦτον

ἤγουν διπλοῦν τήν φύσιν, ὡς οἱ Πατέρες, ἀλλά σύνθετόν τινα καί νόθον ὑποτίθεται φύσιν, τήν Ἀπολιναρίου βδελυρίαν ζηλώσας. Ταύτη γε τό μέγα τῆς περί ἡμᾶς οἰκονομίας ἀποσκευάζων μυστήριον ὁ ἀλητήριος, τῇ κλήσει τῶν ὀνομάτων εὐμηχάνως ὡς δεινός ἀποκέχρηται ῥήτωρ, δυσφώρατον ποιούμενος τή τῶν πραγμάτων ὑποκλοπήν, καί οἷον ὑποκνίζων τήν αἴσθησιν, εἰς τήν τῆς ἀσεβείας παραδοχήν. Θεόν τε γάρ αὐτόν ἀποκαλεῖ δῆθεν καί ἄνθρωπον· ἀποσκευάζει δέ θατέρας προσηγορίας τήν κυριότητα τήν ἀλήθειαν, ὡς οὐχ ὁμολογῶν τάς φύσεις, ὧν προδήλως αἱ κλήσεις τυγχάνουσι. Καί διαφοράν λέγει, μηδεμίαν γνωρίζων διαφοράν, τῶν διαφερούντων οὐχ ὑποκειμένων φύσει κατ᾽ αὐτόν τῶν πραγμάτων, ἵνα καί σύγχυσιν ἐπεισκρίνῃ διά τῆς μιᾶς συνθέτου φύσεως, καί ἀνυπαρξίαν νομοθετήσῃ τῇ ἀπαρνήσει τῶν φύσεων· καί δόξῃ τοῖς μέν ὀνόμασι τήν ἀναίρεσιν ἐπικαλύπτειν, τῇ δέ διαφορᾷ διαῤῥίπτειν τήν σύγχυσιν· τοσαύτη τοῦ κακόφρονος ἡ κακόφρων ὄντως μηχανή καί ἐπίνοια, τῷ τῆς ἀγνοίας ζόφῳ καλυπτομένη, καί σκοτίζουσα τούς ἁλόντας.

Πρός οὕς δέον, ὡς ὑπέρ ἐκείνου διατεινομένους τρέψαι τόν λόγον, καί τοῦτο προσειπεῖν, ὡς εἴπερ καθ᾽ ὑμᾶς Κυρίλλῳ τῷ ἀοιδίμῳ Σεβῆρος κατακολουθῶν (253) ὁμολογεῖ τήν διαφοράν, ἐκτρεπόμενος τήν συναίρεσιν, πῶς οὐ συνομολογεῖ καί τάς φύσεις αὐτῷ, κἀν ταύταις, ὡς ἐκεῖνος, τήν οὐσιώδη γνωρίζει διαφοράν, μόνην ἀποσκευαζόμενος τήν τούτων διαίρεσιν, ἀλλά ποιότησι μόνον ψιλαῖς παρά τόν ἐκείνου νόμον καί ὅρον τίθεται τήν διαφοράν; Ὅτι γάρ ὁμολογεῖ τάς φύσεις ὁ μακάριος Κύριλλος, ὧν καί τήν διαφοράν δογματίζει, δῆλον ἐκ τοῦ μη δέ Νεστορίῳ τῷ διῃρημένῳ κατ'αὐτήν γε τήν τῶν φύσεων ὁμολογίαν ἀπαξιοῦν κοινωνεῖν, εἰ καί μή κατά τήν ἐννοίας τό σύνολον. "Τί γάρ, φησίν ὁ διδάσκαλος, κοινόν ἐμοί καί Νεστορίῳ; τό δύο λέγειν τάς δύο φύσεις μέχρι τοῦ γινώσιειν τήν διαφοράν τῆς σαρκός καί τοῦ Θεοῦ Λόγου· ἑτέρα γάρ αὕτη κατά τήν φυσικήν ποιότητα, καί τῆς οὐσίας οὐχ ὁμογενές παρ᾽ ἐκεῖνον." Ἐάν οὖν καί τάς φύσεις ὁμολογῇ, καί ἐπ᾽ αὐταῖς τήν διαφοράν γνωρίζῃ, καί τήν τῆς ὁμολογίας αἰτίαν εὐσεβῶς ἀποδίδωσι, φάσκων, "Διά τό ἑτέραν εἶναι τήν σάρκα παρά τόν Λόγον κατά τήν φυσικήν ποιότητα·" ταυτόν δέ λέγειν, οὐσίαν καί ἐνέργειαν, πρός τήν Θεοῦ Λόγου διαφοράν· πῶς ὁ παράφρων Σεβῆρος οὐδ᾽ αὐτῷ τῷ πεπλασμένως αὐτῷ τετιμημένῳ Κυρίλλῳ κοινωνεῖν ἀξιοῖ, καί τάς φύσεις συμφθέγγεσθαι μέχρι τοῦ γινώσκειν τήν διαφοράν κατά τήν ἐκείνου διδασκαλίαν, οὐ κατά τήν

φυσικήν ποιότητα μόνον, ἀλλά καί τό τῆς οὐσίας οὐχ ὁμογενές, ἵν' ὁμοῦ τε τῶν φύσεων καί τῶν φυσικῶν ποιοτήτων, ἤγουν οὐσιῶν τε καί ἐνεργειῶν γνωρίσῃ τήν διαφοράν, ἀλλά καί τό τῆς οὐσίας οὐχ ὁμογενές ἐξαρνούμενος τῆς σαρκός πρός τόν Λόγον, ὅπερ ἐστί τό κατά φύσιν διάφορον, τήν ἐν ποιότησιν ἀνυπάρκτοις ( πᾶσα γάρ πάντως ποιότης ἀνύπαρκτος δίχα τῆς ὑποκειμένοις οὐσίας ) ἀντεισαγάγοι διαφοράν; Ὁ δέ κακούργως διαπραττόμενος, καί τῆς τοῦ σοφοῦ Κυρίλλου, ταυτόν δέ λέγειν πάντων τῶν θεοκρίτων Πατέρων, ἀληθοῦς κατεξανιστάμενος διδασκαλίας, ἀλλότριον ἑαυτόν ἀποφαίνει, καί τοῦ ψεύδους κοινωνόν καί συνήγορον.

Ἆρα δέ ποιτήτων λέγων ἐπί Χριστοῦ διαφοράν, μετά τήν ἕνωσιν, ἤ πρό τῆς ἑνώσεως λέγει τήν διαφοράν; Εἰ μέν γάρ πρός τῆς ἑνώσεως, διαίρεσιν φρονεῖ πάντως, ἀλλ᾿ οὐ διαφοράν, καί ἐκ διῃρημένων, οἷον τῶν καθ᾿ αὑτά προϋφεστότων, δογματίζει τήν ἕνωσιν, ἤ ταύτην ἔλυσε διά τῆς τῶν ποιοτήτων διαφορᾶς καί ὁμολογίας, ἤ οὐδέ ταύτας ὅλως ἡνῶσθαι τήν ἀρχήν ἀποφαίνεται. Καί εἰ μέν οὐχ ἡνῶσθαι λέγει, δῆλον ὡς οὔτε τάς φύσεις ὧν αἱ ποιότητες, ἡνωμένας δοξάζει, κἄν ὑποκρίνεται λέγειν· οὐ γάρ ἐνδέχεται, τάς μέν ἡνῶσθαι, τάς δέ διῃρεῖσθαι ποτ᾿ ἄν· ἀλλά σύν ἀλλήλαις ταυτόν ἀλλήλαις παθεῖν, εἴτε ἕνωσιν, εἴτε διαίρεσιν. Εἰ οὖν τήν διαίρεσιν ἀποβαλλόμενος ἡνῶσθαι διαγορεύει μετά τῶν φύσεων, καί τάς τούτων ποιότητας, ἀνάγκη πάντως αὐτόν ἑαυτῷ γε στοιχοῦντα διά πάντων, ἤ μίαν σύνθετον λέγειν ποιότητα, καθάπερ καί μίαν σύνθετον φύσιν, διά τήν ἕνωσιν, καί ἠλέγχθη μή δέ τήν ἐν ποιότητι γνωρίζων διαφοράν, ἀλλ᾿ ἀμφοῖν, οὐσιῶν τέ φημι (256) καί ποιοτήτων δογματίζων τήν σύγχυσιν, ἤ διαφόρους διδούς τάς ποιότητας, καί οὐ δεδειώς τήν διαίρεσιν, διαφόρους καί τάς φύσεις εἴποιεν ἄν, οὐ δεδιττόμενος, οὔτε μήν προφασιζόμενος τήν διαμπάξ τομήν εἰς τήν τῆς αὐτῶν ὁμολογίας ἀποστροφήν καί παραίτησιν. Εἰ γάρ κατ᾿ αὐτόν οὐ πεπόνθασι διατομήν αἱ ποιότητες, πρός αὐτοῦ δῆθεν ὁμολογούμεναι, διά τήν διαφοράν, πῶς αἱ φύσεις τμηθήσονται τῆς ὁμολογίας χάριν καί διαφορᾶς; Εἰ δέ ταύτας μέν οὐχ ὁμολογεῖ, μόνας δέ δῆθεν ὁμολογεῖ τάς ποιότητας, δῆλός ἐστι τάς φύσεις ἐξαφανίζων, καί ποιοτήτων ἄθροισμα τόν Χριστόν δογματίζων, ὥσπερ καί τάς τῶν ὑλικῶν φύσεις οὔσας γνωρίζομεν· ὑποκειμένῳ μέντοι τῆς ὕλης συνισταμένας, ἀλλ᾿ οὐκ ἐν μόναις ἐπιθεωρουμένας καί ψιλαῖς ταῖς ποιότησιν, ὡς ἐκεῖνός γε τόν Χριστόν διαγράφει, καί διά τοῦτο σύνθετον αὐτόν ὀνομάζει

φύσιν, ἐκείνην δηλαδή, καί οὐκ ἄλλην νοῶν ἥν ἐκ ψιλῶν τῶν ποιοτήτων ἀνεπλάσατο καί συνέθηκεν. Ὧν γάρ εἶναι λέγει τήν διαφοράν, τούτων σαφῶς καί τήν ἕνωσιν. Οὐ γάρ ἄλλων ἡ διαφορά καί ἄλλων ἡ ἕνωσις, ἀλλά τῶν αὐτῶν, καί οὐκ ἄλλων.

Οὐκοῦν ἐκ ποιοτήτων καί ποιότητας εἶναι διαγορεύει τόν Χριστόν ὁ παράφρων, καί κατ᾽ αὐτάς γε πάλιν διῃρημένον αὐτόν ἀποδείκνυσιν, ὡς οὐ μίαν σύνθετον διά τήν ἕνωσιν, ἀλλά διαφόρους ἐπ᾽ αὐτοῦ δογματίζων ποιότητας, εἴπερ ὅρος οὗτος αὐτῷ τῆς ἑνώσεως ἄριστος. Εἰ δέ ἄλλος μέν ἐπί φύσεων, ἄλλος δέ πάλιν ἐπικρατεῖ νόμος ἐπί τῶν ποιοτήτων, τῆς αὐτοῦ δεῖξαι τοῦτον ἡμῖν ἔργον ἐμμελείας, ἤ ἐκπληξίας, εἰπεῖν οἰκειότερον, ὡς ἄν μάθοιμεν πῶς κατά τήν ἕνωσιν μίαν μέν φύσιν τάς δύο γνωρίζει φύσεις, οὐ μίαν δέ ποιότητα διαφόρους ποιότητας· ἤ τίνι λόγῳ ποιοτήτων μέν λέγει, φύσεων δέ διαφοράν οὐ λέγει. Καί πῶς οὐκ ἀσύγχυτοι μέν δίχα διαφορᾶς μεμενήκασιν αἱ ποιότητες, ἀσύγχυτοι δέ καί δίχα ταύτης αἱ φύσεις; Πῶς τε κατά τήν διαφοράν αἱ ποιότητες οὐ διαιροῦνται, διαιροῦνται δέ κατ'αὐτήν αἱ φύσεις; Ἤ πῶς οὐ διαιρούμεναι μή ὁμολογοῦνται μετά τῶν ποιοτήτων; Διατί δέ συντίθησι μέν τάς φύσεις, οὐ συντίθησι δέ τάς ποιότητας, καί πῶς τούτων οὐχ ἑνωθεισῶν εἰς μίαν ποιότητα σύνθετον, ἐκείνας εἰς μίαν σύνθετον ἑνῶσθαι τερατεύεται φύσιν; Ταῦτα διατρανῶσαι διαποροῦσιν ἡμῖν, ὅστις ἐκείνου δυσσεβής ἐραστής καί συνήγορος, ἵνα τήν τούτων λύσιν ποιούμενος, συνδιαλύσῃ τήν μέμψιν, ἤ μή δυνάμενος ταύτην ἐνδίκως, ἐκείνῳ συναπενέγκηται μετά καί μείζονος τῆς κατακρίσεως, ὅτι τε σύμφωνον, τόν καί πρός ἑαυτόν ὄντα διά πάντων ἀλλόκοτον, εἰπεῖν τοῖς Πατράσιν τετόλμηκεν.

Ταῦτά μοι, θεοτίμητε δέσποτα, ἐν παραδρομῇ κατά τήν ὑμετέραν εἰρήσθω κέλευσιν, εἰς τήν ἐκείνου καί τῶν τῆς ἐκείνου συμμορίας ὑπασπιστῶν ἀνασκευήν καί κατάργησιν. Τῆς σῆς δ᾽ ἄν εἴη θεόφρονος διανοίας, τά μείζω, καί τελεώτερα τούς ἀτελεῖς κατ᾽ ἐμέ καί νηπίους ἐκπαιδεῦσαί τε καί διδάξαι, καί (257) πρός γνῶσιν ἀγαγεῖν θειοτέραν, ἵν᾽ οἰκειώσῃς Θεῷ διά τῆς ἀληθοῦς ἐπιστήμης τῶν ὄντων, ὧν αὐτός ὁ ὑπέρ τά ὄντα φύσει Λόγος αἰτία καθέστηκε, Κύριος ἡμῶν Ἰησοῦς Χριστός, ᾧ καί δι᾽ εὐχῶν μή διαλείποις μέ παρατιθέμενος τόν ἀνάξιον, ἁγιώτατε καί θεοτίμητε Πάτερ.

Καί πάλιν ὁ θεῖος Μάξιμος.

Πῶς οὖν τήν οὕτω ταῦτα σεβασμίως ἅμα καί διαπρυσίως ὁρῶσαν τε καί διαγορεύουσαν ἁγίαν ἐν Χαλκηδόνι σύνοδον, ὡς διαπεμπομένην τόν τῆς Νικαέων ὅρον παραστῆσαι, τίς ἄν ἰσχύσειε πώποτε, κἄν πάντων ᾖ πορικμώματος εἰς ἐξεύρεσιν τῶν διά ψεύδους, τά μή ὄντα κατά τῆς ἀληθοῦς καί ὄντως (πίστεως) πλαττομένων; Εἰ δέ καί ὡς τοῦτο μέν τηροῦσαν βεβαίως, ὡς δεύτερον δέ τυχόν ἐπεισάγουσαν ὅρον διαλοιδορεῖτε, καί μέμφεσθε, τίς οὗτος καθέστηκεν ὁ ὑπ᾽ αὐτῆς ἐπεισαγόμενος δεύτερος ὅρος; Ἡ ὁμολογία, φησί, τῶν δύο φύσεων καί ἐν δύο φύσεσι φωνῆς. Οὐ γάρ ἔχει ταύτην ὁ τῆς Νικαέων ὅρος· εἰσήχθη δέ προδήλως ὑπό τῶν ἐν Χαλκηδόνι Πατέρων, οὐ πρότερον γνωρισθεῖσα ἤ ὀνομασθεῖσα παρά τινος.

Ὅτι μέν οὐδέ τοῦτο δύνασθε παραστῆσαι δῆλον· πολλοῖς γάρ τῶν πρό αὐτῆς ἁγίων Πατέρων, ὡς εὐσεβής ἡ φωνή καί ἐκρίθη καί ἀνηγορεύθη· καί μαρτυροῦσι τῶν ταύτην κηρυξάντων οἱ λόγοι, πάσης ὄντες ἡλιακῆς ἀκτῖνος φωτοειδέστατοι καί λαμπρότεροι, κἄν ὑμεῖς ἀγνοεῖτε δι᾽ ἀπαιδευσίαν, ἤ ἀγνοεῖν προσποιεῖσθε διά λοιδορίαν, καί τῶν εὐσεβῶν Πατέρων τε καί δογμάτων ἀνόητον ἔγκλησιν. Εἰ δέ καί μηδέν ἦν, ὁπότε πλεῖστον, ὡς ἔφην, καθέστηκε, τί τό κωλύον ἁγίους τοσούτους (μᾶλλον δέ τόν ἅπαντα Χριστιανισμόν· τοῦτο γάρ κυρίως ἐστίν ἡ τῶν ὀρθοδόξων Πατέρων ἁγιωτάτη σύνοδος) ἐξουσιαστικῶς ταύτην προέσθαι, καί νομοθετεῖν κατά τῆς Εὐτυχοῦς συναιρέσεως;

Καί μετά τινά φησι· Τίνι λόγῳ, καί πῶς τήν ἐν Χαλκηδόνι ἁγίαν σύνοδον, καίτοι πατρικαῖς προδήλως ἀποχρησαμένην φωναῖς, αἰτιᾶσθε, καί ὡς ἄλλον πίστεως ὅρον εἰσάγουσαν, τῇδε κἀκεῖσε καί ἐγγράφως καί ἀγράφως διαλοιδορεῖτε καί διασκόπτετε; Μή καθ᾽ ὄψιν κρίνετε , διά τόν εἰπόντα Θεόν, ἀλλά τήν δικαίαν κρίσιν κρίνατε. Τίς ἡ ἐπί τῆς αὐτῆς καί μιᾶς ὑποθέσεως τῶν ἐν Χαλκηδόνι Πατέρων ἔγκλησις ὑμῶν, καί τίς ἡ τῶν προλαβόντων ἀνάῤῥησις; Εἰ γάρ ἔστι κατά τῆς ἐν τῇ Χαλκηδόνι ἄλλον αἰτιᾶσθαι πίστεως ὅρον διά τάς ἐγκειμένας τῷ ὅρῳ τῆς Νικαέων φωνάς, τοῦτό γε πάντως ἕψεται λέγειν διά τήν αὐτήν αἰτίαν καί κατά Κυρίλλου καί τῶν ἑκατόν πεντήκοντα. Εἰ δέ κατ' αὐτῶν οὐκ ἔστι, πῶς κατ᾽ ἐκείνης, συνιδεῖν οὐκ ἔχω. Παριστᾷν δέ προτρέπομαι τήν ὑμῶν ἐπί τοῖς ἀναποδείκτοις λύσσαν καί ἔνστασιν· εἴ γε κἄν ἄρα οὕτως ἱκανῶς αἰσχυνθέντες, συσταλῆτε τῆς ἀπονοίας τῆς τοσαύτης κατά τῆς ἀληθείας ψεύδους συστάσεως. (260) Ἐπεί καί Γρηγόριος ὁ τῆς θεολογίας συνήγορος, οὐδέν τι μᾶλλον ἐκφεύξεται τῆς ὑμῶν κατά τῆς Χαλκηδονέων ἐνοχῆς·

πλεῖστον δέ ὅσον ὑποπεσεῖται ταύτῃ παρά τόν ὑμέτερον νόμον, προδιαρθρῶν τό ἐλλιπῶς εἰρημένον τῆς ἐν Νικαίᾳ περί τοῦ ἁγίου Πνεύματος· "διά τό μηδέ κινεῖσθαι, φησί, τό τηνικαῦτα τοῦτο τό ζήτημα·" μετά τοῦ Πατρός καί Υἱοῦ τό Πνεῦμα γινώσκων, καί Κληδονίῳ γράφων οὕτω νοεῖν καί διδάσκειν.

Ἀλλ᾽ ἐοίκατέ μοι τῆς σαθρᾶς ὄψεως, οὐχ ἱκανούσης πρός ἡλιακῆς αἴγλης ἀνάνευσιν καί μετάληψιν, τήν αὐτήν ὡς ἀμυδράν αἰτιωμένης, οὐ τήν οἰκείαν ἀδράνειαν, ἐκμιμήσασθαι τό πάθος· αὐτοί τά καί νοσηλευόμενοι διά τήν σύγχυσιν, καί τούς ταύτην ὡς ἀσεβῆ καί ἀνάρμοστον πρός τήν ἐν Χριστῷ τῶν σωζομένων ἀλήθειαν φύσεων ἱκανῶς ἐξελέγχοντας, ὡς οὐ φωστῆρας κοινούς, οὐδέ τῆς ἀληθείας ἐκφάντορας ἐκδιαβάλλοντες. Εἰ γάρ ἔστι τἀληθῆ περί ἀληθείας εἰπεῖν, πάντες, οἵ τε κατά τήν Νικαέων θεόκριτοι Πατέρες, καί πᾶσα σύνοδος ὀρθοδόξων καί ἁγίων ἀνδρῶν, οὐκ ἄλλον πίστεως ὅρον διά τῆς ἐπεισαγωγῆς τῶν οἰκείων ῥημάτων παντελῶς ἐπεισήγαγον, ὡς ὑμεῖς ἀποφαίνεσθε, πλεῖστον παραληροῦντες. καί τό ὅλον μαινόμενοι· ἀλλ᾽ αὐτόν ὡς πρῶτον καί μόνον τῶν ἐκ τῶν ἁγίων τριακοσίων δέκα καί ὀκτώ Πατέρων νομοθετηθέντα βεβαίως ἐκύρωσαν, τρανοῦντες αὐτόν, καί οἷον ἐπεξηγούμενοι καί ἐπεξεργαζόμενοι, διά τούς ἐκεῖνον καί τά ἐκείνου δόγματα πρός τήν οἰκείαν κακῶς ἐκλαμβάνοντας καί παρεξηγουμένους δυσσέβειαν.

Αὐτίκα γοῦν τόν τῆς θεολογίας ἐν αὐτῷ κείμενον λόγον ἐν αὐτῷ κείμενον λόγον παραβλάψαι βεβουλημένους Εὐνόμιόν τε καί Μακεδόνιον, οἱ ἑκατόν πεντήκοντα Πατέρες οὐ συνεχώρησαν διά τῶν οἰκείων φωνῶν καί δογμάτων. Οὕτω δέ καί τόν τῆς οἰκονομίας Νεστόριον διαιρεῖν μηχνώμενον, ὁ μακάριος οὐκ εἴασε Κύριλλος· ὥσπερ οὖν καί Εὐτυχέα συγχεῖν ἐθελήσαντα διεκώλυσαν οἱ ἐν Χαλκηδόνι τίμιοι Πατέρες. Πῶς οὖν ὑπέρ τοῦ ἀγαθοῦ σύν ἐκείναις, φημή δέ ταῖς συνόδοις, καί ταύτην οὐκ ἀποδέχεσθε, διά τό αὐτό καί ἴσον καλόν· ἤ ταύτην ὡς μισόκαλοι διαλοιδοροῦντες συνδιαλοιδορεῖτε κἀκείνας; ὅ δή μάλιστα ποιοῦντες τοῖς πράγμασιν, εὐλαβεῖσθε τοῖς ῥήμασιν, ἵν᾽ εὐσεβείας πλάσμασιν ἐκείνας δῆθεν κατά ταύτης σεμνύναντες, διά ταύτης κἀκείνας λυμήνησθε, τό ἴσον αὐταῖς διά τήν ἴσην πρᾶξιν ἐπιφέροντες ἔγκλημα. Τίς οὖν ὑμῶν τήν τοσαύτην ὑποίσοι κατά τῆς εὐσεβείας καί τῶν εὐσεβούντων αὐθάδειαν; κ. τ. ἑ.

ΤΟΥ ΑΥΤΟΥ ΜΑΞΙΜΟΥ

***Κεφάλαια περ᾽ οὐσίας καί φύσεως, ὑποστάσεως τε καί προσώπου. Σελ. 260***

Ὅτι οὐσία μέν τό εἶδος καί τήν φύσιν, ὅπερ (261) ἐστί καθ᾽ ἑαυτήν, δηλοῖ, ὑπόστασις δέ, τόν τινα τῆς οὐσίας ἐμφαίνει.

Ὅτι οὐσία καί ἐνούσιον, οὐ ταὐτόν· ὥσπερ οὐδέ ὑπόστασις καί ἐνυπόστατον, εἰ καί ἐν ἀλλήλοις ἄμφω θεωρεῖται, ἀλλ᾽ ἄλλο καί ἄλλο. Ἐνούσιον μέν γάρ ἐστι, τό ἐν τῇ φύσει θεωρούμενον, καί οὐ καθ᾽ ἑαυτό ὑπάρχον· ἐνυπόστατον δέ, αὐτό τό ἐν ὑποστάσει ὄν, καί οὐκ ἐν ἑαυτῷ καθ᾽ ἑαυτό τυγχάνον, δηλοῖ· τουτέστι, τό μή ἐξ ἀτελῶν μερῶν εἰς ἕν τι συνελθόν, ἀλλ᾽ ἐκ τελείου καί ἀτελοῦς, ἐν τῇ κατά σύγχυσιν συνόδῳ θεωρούμενον.

Ὅτι ἡ μέν ὑπόστασις πρόσωπον ἀφορίζει τοῖς χαρακτηριστικοῖς ἰδιώμασι. Τό δέ ἐνυπόστατον, τό μή ὄν καθ᾽ ἑαυτό συμβεβηκός δηλοῖ· ἀλλ᾽ ὅπερ ἐν ἑτέρῳ ἔχει τό εἶναι, καί οὐκ ἐν ἑαυτῷ θεωρεῖται, οὐδέ ἔστι καθ᾽ ἑαυτό ὑφεστός, ἀλλά περί τήν ὑπόστασιν πάντοτε θεωρούμενον, ὥσπερ αἱ ποιότητες, αἵ τε οὐσιώδεις καί ἐπουσιώδεις καλούμεναι· αἵτινες οὐκ εἰσίν οὐσία, οὐδέ καθ᾽ ἑαυτά, ἐλλ' ἐν τῇ οὐσίᾳ τυγχάνουσι, καί δίχα ταύτης τό εἶναι οὐκ ἔχουσιν.

Ὅτι ὥσπερ οὐδ᾽ ἑτέρα τῶν ποιοτήτων, ἤγουν οὐσιωδῶν καί ἐπουσιωδῶν, ἐστίν οὐσία, ἤ πρᾶγμα ὑφεστώς καθ᾽ ἑαυτό, ἀλλ' ἀεί περί τήν οὐσίαν τό χαρακτηριστικόν κέκτηνται, ὥσπερ χρῶμα ἐν σώματι, καί ἐπιστήμη ἐν ψυχῇ· οὐδέ γάρ ἔστιν εἰπεῖν χρῶμα δίχα σώματος φαίνεσθαι, ἤ ἐπιστήμην δίχα ψυχῆς ἐνεργεῖσθαι· οὕτως οὐδέ ἐνυπόστατον ἤ ἐνούσιον ἔστιν νοῆσαι δίχα οὐσίας ἤ ὑποστάσεως. Οὐ γάρ καθ᾽ ἑαυτά τήν ὕπαρξιν ἔχουσιν, ἀλλ᾽ ἀεί περί τήν ὑπόστασιν θεωροῦνται.

Ὅτι τό λέγειν τινάς, μή εἶναί φύσιν ἀνυπόστατον, ὀρθῶς μέν λέγεται παρ᾽ αὐτοῖς, οὐκ ὀρθῶς δέ νενόηται· καί τό μή ἀνυπόστατον εἰς ὑπόστασιν φέρειν, καί οὐχί μᾶλλον ἐν τῇ ὑποστάσει θεωρεῖσθαι.

Ὅτι ὥσπερ εἴ τις λέγει, Οὐκ ἔστι σῶμα ἀσχημάτιστον ἤ ἀχρωμάτιστον, ὀρθῶς μέν λέγει, (264) οὐ μήν ὀρθῶς συνπεραίνει, τό σχῆμα, ἤ τό χρῶμα σῶμα λέγων εἶναι, ἀλλ᾽ οὐχί ἐν σώματι θεωρεῖσθαι· οὕτως εἴ τις ὀνομάσει λέγων· Οὐκ ἔστι φύσις ἀνυπόστατος· εἶτα τό μή ἀνυπόστατον εἰς ὑπόστασιν συνάγων, οὐκ ὀρθῶς διακρίνει.

Ὅτι φύσις μέν οὐκ ἄν εἴη ποτέ ἀνυπόστατος, οὐ μήν ἡ φύσις ὑπόστασις· οὐδέ τό μή ἀνυπόστατον εἰς ὑπόστασιν θεωρεῖται. Ἐπειδή

οὐδέ ἀντιστρέφει. Ἡ μέν γάρ ὑπόστασις, πάντως καί φύσις· ὥσπερ καί τό σχῆμα, πάντως σῶμα. Οὐκ ἔστι γάρ ὑπόστασιν νοῆσαι ἄνευ φύσεως· οὐ δέ πάλιν σχῆμα ἤ χρῶμα ἄνευ σώματος· · ἡ δέ φύσις, οὐ πάντως καί ὑπόστασις.

Ὅτι ἡ μέν φύσις τόν τοῦ εἶναι λόγον κοινόν ἐπέχει, ἡ δέ ὑπόστασις καί τόν τοῦ καθ᾽ ἑαυτό εἶναι.

Ὅτι ἡ μέν φύσις εἴδους λόγον μόνον ἐπέχει, ἡ δέ ὑπόστασις καί τοῦ τινός ἐστι δηλωτική.

***Τοῦ ἁγιωτάτου Κλήμεντος πρεσβυτέρου Ἀλεξανδρείας ἐκ τοῦ Περί Προνοίας.***

Οὐσία ἐστίν ἐπί Θεοῦ. Θεός οὐσία θεία ἐστίν, ἀΐδιόν τι καί ἄναρχον, ἀσώματόν τι καί ἀπερίγραφον, καί τῶν ὄντων αἴτιον. Οὐσία ἐστί, τό δι᾽ ὅλου ὑφεστός. Φύσις ἐστίν, ἡ τῶν πραγμάτων ἀλήθεια, ἤ τούτων τό ἐνούσιον. Κατά δέ τούς ἄλλους ἡ τῶν εἰς τί εἶναι παραγενομένων γένεσις· καθ᾽ ἑτέρους δέ, ἡ τοῦ Θεοῦ πρόνοια ἐμποιοῦσα τοῖς γινομένοις τό εἶναι, καί τό πῶς εἶναι.

***Τοῦ πανσόφου Μαξίμου ὅρος ὑποστάσεως.***

Ὑπόστασις σύθετός ἐστιν, οὐσία τις σύνθετος, τῶν καθ᾽ ἕκαστα περιληπτική τῶν ὄντων ἐν τῷ οἰκείῳ ἀτόμῳ πάντων ἰδιωμάτων. Τό γάρ κοινῶς ἐν τοῖς ὑπό τό αὐτό εἶδος ἀτόμοις θεωρούμενον, τό τῆς οὐσίας ἤτοι φύσεως χαρακτηρίζει, προηγουμένως μέν ἐν τοῖς ὑπ᾽ αὐτό ἀτόμοις, γεινικῶς δέ πάντων τό κοινόν, τῶν ὑπό τό σύνθετον εἶδος ἀτόμων.

***Τοῦ μακαριωτάτου Εὐλογίου πάπα Ἀλεξανδρείας, κεφάλαια ἑπτά περί τῶν δύο φύσεων τοῦ Κυρίου καί Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.***

Εἰ μιᾶς φύσεως κατά τήν ἕνωσιν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός ἐστιν, εἰπέ, ποίας, τῆς λαβούσης, ἤ τῆς ληφθείσης; καί τί γέγονεν ἡ ἑτέρα; Εἰ δέ ὑπάρχουσιν ἀμφότεραι, πῶς μία, εἰ μή ἐξ ἀμφοτέρων μία ἀπετελέσθη σύνθετος; εἰ δέ τοῦτο, πῶς οὐχ ἑτεροούσιος ὁ Χριστός, τοῦ Πατρός ἀσυνθέτου ὑπάρχοντος;

Εἰ οὐδέποτε δύω φύσεων ὁ Κύριος ἡμῶν, Ἰησοῦ Χριστός ὡμολόγηται ὤν, πῶς δυνατόν λέγειν μιᾶς μετά τήν ἕνωσιν τόν Χριστόν, ἤ καί ὅλως λέγειν (265) ἕνωσιν; Εἰ δέ ὡμολόγηται ὁ Χριστός

δύο φύσεων γεγονέναι, εἰπέ, πότε δύο φύσεων ἦν ὁ Χριστός, καί πότε γέγονεν ἐκ μιᾶς;

Ὁμοούσιος ὁ Θεός Λόγος τῇ παρ᾽ αὐτοῦ ληφθείσῃ σαρκί, ἤ ἑτεροούσιος; Ἀλλ᾽ εἰ μέν ὁμοούσιος, πῶς οὐ γέγονε τετράς ἤ Τριάς; Εἰ δέ ἑτεροούσιος ἡ σάρξ τοῦ Θεοῦ Λόγου, πῶς οὐ δύο φύσεων ὁ Χριστός;

Μίαν φύσιν τοῦ Θεοῦ Λόγου σεσαρκωμένην φασί τινες· οἶμαι δέ καί ὑμᾶς οὕτω λέγειν. Ἀλλ᾽ εἰ μέν μιᾶς οὐσίας τοῦ Θεοῦ καί τῆς σαρκός τοῦτο νοητέον, πῶς οἷόν τε τό κτιστόν τῷ ἀκτίστῳ, καί τό ἀΐδιον τῷ ὑπό χρόνον εἶναι ταυτόν; Εἰ δέ ὡς μιᾶς φύσεως ἐχούσης ἑτέραν, ἤ ἐχομένης ὑφ᾽ ἑτέρας, τίς ὑποίσει μίαν καί μίαν, οὐ δύο, ἀλλά μίαν εἰπεῖν;

Εἰ μία φύσις τοῦ Θεοῦ Λόγου καί τοῦ Πατρός, πῶς οὐ μία φύσις τοῦ Θεοῦ Λόγου, καί τοῦ Πατρός καί τῆς σαρκός;

Εἰ κατ᾽ οὐδέν δύο ὁ Θεός Λόγος καί ἡ σάρξ, πῶς οὐ κατά πάντα ἕν ὁ Θεός Λόγος καί ἡ σάρξ; Καί εἰ κατά πάντα ἕν ὁ Θεός Λόγος καί ἡ σάρξ, πῶς οὐκ ἔσται ὁ Λόγος σάρξ, καί ἡ σάρξ Λόγος, καί συναΐδιος τῷ Πατρί καί ὁμοούσιος ὡς ὁ Θεός Λόγος; Εἰ δέ οὐ κατά πάντα ἕν ὁ Θεός Λόγος καί ἡ σάρξ, πῶς οὐ κατά τι δύο ὁ Θεός Λόγος καί ἡ σάρξ;

Εἰ ἀδύνατον πλέον ἡνῶσθαι τόν Θεόν Λόγον καί τήν σάρκα, οὗ ἥνωται ὁ Θεός Λόγος καί ὁ Πατήρ, πῶς ἡνωμένος ὁ Θεός Λόγος καί ἡ σάρξ κατ᾽ οὐδέν εἰσί δύο;

***Περί οὐσίας καί φύσεως καί ὑποστάσεως.***

Οὐσία ἐστίν ἡ τό κοινόν τε καί ἀπερίγραπτον σημαίνουσα, ὅ ἐστιν ἄνθρωπος. Ὁ γάρ τοῦτο εἰπών, τήν κοινήν φύσιν ἐσήμανεν, οὐ περιγράψας τῇ φωνῇ τόν τινα ἄνθρωπον, τόν ἰδίως ὑπό τοῦ ὀνόματος γνωριζόμενον.

Φύσις ἐστί, τό ἐξ ἴσου πᾶσι τοῖς ὑπό τό αὐτό εἶδος ἀναγορευομένοις ἐνθεωρούμενον.

Ὑπόστασίς ἐστιν, ἡ τό κοινόν τε καί ἀπερίγραπτον ἐν τῷ τινι ἰδίως παριστῶσα καί περιγράφουσα, οἷον ὁ δεῖνα.

Ὑπόστασίς ἐστι, τό μετά τοῦ καθόλου, ἔχον τι καί ἰδικόν.

Φύσις ἐστί κατά τούς ἔξω, ἀρχή κινήσεως καί ἠρεμίας.

Φύσις ἐστίν, ἡ ποιά τῷ παντί ὕπαρξις.

Φύσις λέγεται, παρά τό πεφυκέναι.

Πρώτη οὐσία ἐστί, πᾶν τό καθ᾽ ἑαυτό ὑφεστώς, οἷον λίθος. Δευτέρα οὐσία αὐξητική, καθό αὔξει καί φθίνει τό φυτόν. Τρίτη δέ οὐσία ἔμψυχος αἰσθητική, (268) τό ζῶον, ὁ ἵππος. Τετάρτη δέ οὐσία ἔμψυχος αἰσθητική λογική, ὁ ἄνθρωπος. Διό καί ἔσχατος γέγονεν, ὡς ἐκ πάντων τήν ψυχήν ἄυλον ἔχων, καί τόν νοῦν Θεοῦ εἰκόνα.

ΤΟΥ ΜΑΚΑΡΙΟΥ ΜΑΞΙΜΟΥ,
***Ὅτι ἀδύνατον ἕν θέλημα λέγειν ἐπί Χριστοῦ. Σελ. 268***

Τό Χριστός ὄνομα, οὐ φύσεώς ἐστι δηλωτικόν, ἀλλά συνθέτου ὑποστάσεως. Τουτέστιν, ὅλος ὁ Χριστός, καί Κύριός ἐστι καί Θεός, καί παντοδύναμος, ἔχων ἐν ἑαυτῷ καί ἥν δι᾽ ἡμᾶς, καί διά τήν ἡμετέραν σωτηρίαν ἀδιαιρέτως καί ἀσυγχύτως ἐφόρεσε σάρκα παθητήν καί οὐ παντοδύναμον, κτιστήν, ὁρατήν, περιγραπτήν, τήν μή παντοδύναμον φυσικῶς, ἀλλ᾽ ἐν τῷ Χριστῷ παντοδύναμον θέλημα ἔχουσαν. Οὐ γάρ ὑποστάσει ἐστί ὁ Χριστός θνητός καί ἀθάνατος· οὐ δ᾽ αὖ πάλιν ἀδύναμος καί παντοδύναμος ὁρατός καί ἀόρατος, κτιστός καί ἄκτιστος· ἀλλά τό μέν φύσει, τό δέ ὑποστάσει. Καί ἁπλῶς εἰπείν, οὐκ ἐναντιότητι γνώμης, ἀλλ᾽ ἐν ἰδιότητι φύσεως. Εἷς γάρ ἐστίν, ὡς προεῖπον, ὁ Χριστός, ἔχων ἑκατέρα φυσικῶς. Τό γάρ, Οὐχ ὡς ἐγώ θέλω, ἀλλ' ὡς σύ, οὐδέν ἕτερον δείκνυσιν, ἀλλ᾽ ἤ ὅτι σάρκα ἀληθῶς περιβέβληται, φοβουμένην θάνατον. Τό γάρ φοβεῖσθαι θάνατον, καί ἀναδύεσθαι καί ἀγωνιᾷν, ἐκείνης ἐστί. Νῦν μέν οὖν ἐρήμην αὐτήν ἀφίησι καί γυμνήν τῆς οἰκείας ἐνεργείας, ἵνα αὐτῆς δείξας τήν ἀσθένειαν, πιστώσηται αὐτῆς καί τήν φύσιν. Νῦν δέ αὐτήν οὐκ ἀποκρύπτει, ἵνα μάθης, ὅτι ψιλός ἄνθρωπος ἦν. Ὥσπερ γάρ εἰ διά πάντων τά ἀνθρώπινα ἐπεδείκνυτο, τοῦτο ἄν ἐνομίσθη· οὕτως εἰ διά παντός τά τῆς Θεότητος ἐπετέλει, ἠπιστήθη ἄν ὁ τῆς οἰκονομίας λόγος. Διά τοῦτο ποικίλλει καί ἀναμίγνυσι καί τά ῥήματα καί τά πράγματα, ἵνα μήτε τῇ τοῦ Παύλου τοῦ Σαμοσατέως, μήτε τῇ τοῦ Μαρκίωνος καί Μανιχαίου νόσῳ καί μανίᾳ παράσχῃ ὑπόθεσιν. Δια τοῦτο καί προλέγει τό ἐσόμενον ὡς Θεός, καί ἀναδύεται πάλιν ὡς ἄνθρωπος.

Ὁ ἐπί τοῦ ἑνός καί μόνου Χριστοῦ δύο θελήματα εἰπεῖν ἤ ὁμολογεῖν παραιτούμενος, τοῦτο τό ἕν θέλημα, ὅπερ ἐπ᾽ αὐτοῦ λέγεις, ἄναρχον καί συνάναρχον καί συναΐδιον τῷ Πατρί καί τῷ ἁγίῳ Πνεύματι, ἤ ποσότητι θεϊκόν ὅλον, ἁπλοῦν τε καί ἀσύνθετον, ὡς τῆς

θείας ὑπάρχον οὐσίας, ἤ διά τήν ἐνανθρώπησιν ἀλλοῖόν τί σοι δοκεῖ; ὁποῖον δέ σήμανον , καί τί τούτου τοῦ θελήματος τό ὄνομα, φῆσαι ἡμῖν. Τό γάρ πρό τῆς ἀνανθρωπήσεως, τουτέστι τοῦ θείου θελήματος ὄνομα, ἐγώ σημαίνω. Ὥσπερ γάρ ἡ θεία φύσις ἡ τρισυπόστατος, ἄναρχος, ἄκτιστος, ἀπερινόητος, ἁπλῆ, καί ἀσύνθετος ὁλότητι ὑπάρχει· οὕτω καί τό αὐτῆς θέλημα. Ἰδού οὖν τό πρό τῆς ἐναθρωπήσεως εἶπον· καί πάντες μοι συμφθέγξονται, ὡς τήν ἀλήθειαν εἰρηκότι. Καί σύ αὐτός, εἰ θέλεις, καί οὐ θέλεις. Εἰπέ οὖν ἡμῖν τό μετά τήν ἐνανθρώπησιν, ποῖον ὄνομα ἐχει. Ζήτησον Παλαιάν καί Καινήν Διαθήκην ὅλην. Εἰπέ τούτου σύ τοῦ ἐφευρισκομένου ἐπί Χριστοῦ ἑνός θελήματος τό (269) ὄνομα. Ζήτησον, καί μή ὀκνήσῃς. Ἀλλ᾽ ἄρα ἐπειδή τό θεῖον θέλημα, θεῖον λέγεται, καί τό ἀνθρώπινον θέλημα, ἀνθρώπινον λέγεται, θεανδρικόν θέλημα εἴποις τόν Χριστόν ἔχειν; οὐ νομίζω. Ἐπειδή ὁ Πατήρ καί τό ἅγιον Πνεῦμα θεανδρικόν οὐκ ἔχει θέλημα. Ἀλλ᾽ ἄρα σύνθετον τολμήσῃς εἰπεῖν; Ὁμοίως πάλιν καινόν τῇ Θεότητι τοῦτο. Ἀλλ᾽ ἄρα φυσικόν εἴπῃς; συγχύσεις καί σύ κατά Σευῆρον· δύο γάρ φύσεις ἤ φυσικά θελήματα, μία φύσις, ἤ ἕν φυσικόν θέλημα γενέσθαι ἄνευ συγχύσεως ἀδύνατον. Ἀλλ᾽ ὑποστατικόν; καί πάλιν ἀλλοτριώσεις τόν Υἱόν τοῦ Πατρός, καί τρεῖς θελήσεις εἰσάγων φανήσῃ μή συμβαινούσας ἀλλήλαις, ὥσπερ καί τάς ὑποστάσεις.

Ἐάν εἴπῃς τήν ὡς ἑνός μίαν θέλησιν καί ἐνέργειαν, ἀναγκασθήσῃ τήν ὡς ἑνός τοῦ Πατρός, καί τήν ὡς ἑνός τοῦ Πνεύματος εἰπεῖν, κἄν θέλῃς καί μή θέλῃς θέλησιν καί ἐνέργειαν, καί εὑρεθήσεται εἰς πολυθεΐαν ἐκπίπτων ὁ λόγος. Ἐάν καί σχετική εἴπῃς· Νεστορίου εἰσάγεις προσωπικήν διαίρεσιν. Εἰ δέ καί παρά φύσιν εἴπῃς, φθείρεις τήν ὕπαρξιν τοῦ θέλοντος· φθορά γάρ τῇ φύσει τό παρά φύσιν ἐστί, καθώς οἱ Πατέρες ὡρίσαντο. Ἀλλ᾽ ἄρα τήν μονάδα πάλιν ἀνασπαράξεις, καί εἰς ψήφους ἡμᾶς κινήσεις εἰς διμοιρότριτα τοῦ παρά σοῦ ἑνός θελήματος, ὅπως μαθεῖν εὕρωμεν κατά πόσον ἐστί θεῖον, καί κατά πόσον ἀνθρώπινον. Ὁμοίως καί κατά πόσον ἄκτιστον, καί κατά πόσον κτιστόν, καί ἁπλῶς ὡς ἔστι σοι φίλον εἰπεῖν. Εἰπέ ἡμῖν τό ὄνομα τοῦ θελήματος, τοῦ παρά σοῦ πρεσβευομένου ἐπί Χριστοῦ, σύνταξον αὐτό μετά τῶν ἀνωνύμων Ψαλμῶν, ὅπως κἄν ἐκεῖ χώραν καί τόπον εὕρῃ. Ἐπειδή, λογιώτατε, ἡμεῖς ἀνώνυμον τί ποτε ὁμολογῆσαι οὐ δυνάμεθα. Ὡς εἰκός δέ, μέχρι τοῦ νῦν τινί τῶν γηγενῶν οὐ πεφανέρωται. Ἐγχάραξον οὖν ὁριστικῶς ἐκ πατρικῶν διδασκαλιῶν,

καί τήν τοῦ ὀνόματος δήλωσιν διατύπωσον ἡμῖν. Ἅ γάρ ἀριθμοῦμεν ἡμεῖς, ταῦτα καί ὁμολογοῦμεν, κατά τόν μέγαν καί θεοφάντορα Βασίλειον. Ἐγώ λέγω, ὅτι ἡ ζωοποιός σάρξ τοῦ Υἱοῦ τοῦ Θεοῦ, ἐν αὐτῷ ἔσχε τῷ Θεῷ Λόγῳ πάντα τά ὑπερφυᾶ τῆς ἰδίας φύσεως, εἰς ἕν πρόσωπον καί μίαν ὑπόστασιν τοῦ Θεοῦ Λόγου, τάς δύο φύσεις συντελούσας. Ἕνα γάρ Υἱόν, ὡς ἕνα τῆς ἁγίας Τριάδος συμπροσκυνοῦμεν Πατρί καί ἁγίῳ Πνεύματι, ὡς πρό τῶν αἰώνων, νῦν καί εἰς τούς σύμπαντας εἰῶνας, καί μετά τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΤΟΥ ΑΥΤΟΥ

***Κεφάλαια ι΄ περί τῶν δύο θελημάτων τοῦ Κυρίου καί Θεοῦ καί Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἐγράφη δέ πρός ὀρθοδόξους. Σελ. 268.***

α΄. Εἰ ὥσπερ μιᾶς ὑποστάσεώς ἐστιν ὁ Λόγος μετά (272) τῆς σαρκός, οὕτω καί ἕν θέλημα κατά τινας, εὐλογημένοι ἀνάγκη ὥσπερ τῇ ὑποστάσει, οὕτω καί τῷ θελήματι καί ἡμῶν καί τοῦ Πατρός διαφέρειν. Καί πῶς ἡ τῆς φύσεως πρός τόν Πατέρα ταυτότης, τῇ διαφορᾷ τῶν θελημάτων δειχθήσεται.

β΄. Οἷς ὁ Λόγος τό ἕν ἔχει μετά τῆς σαρκός, τούτοις τοῦ Πατρός χωρίζεται, καί οἷς τό ἕν ἔχει μετά τοῦ Πατρός, τούτοις τῆς σαρκός διακρίνεται. Εἰ δέ ἕν θέλημα μετά τῆς σαρκός κατά τινας, εὐλογημένοι, ἄρα τῷ θελήματι τοῦ Πατρός ἐχωρίσθη.

γ΄. Εἰ οἷς ἥνωται ὁ Λόγος τῷ Πατρί καί τῷ Πνεύματι, τούτοις τῆς σαρκός διαφέρειν κρίνεται· ἥνωται δέ κατά τήν κοινήν τῶν Χριστιανῶν δόξαν τῷ θελήματι Πατρί καί Πνεύματι, ἄρα θελήματι τῆς σαρκός διαφέρει τοῦ Πατρός καί Πνεύματος· ὡς αὐτοί ἑαυτοῖς οἱ Πατέρες καί ἡμῖν διωρίσαντο, καί ἡμεῖς, εὐλογημένοι, φυλάσσειν σπουδάζομεν.

δ΄. Τοῦτο τό ἕν θέλημα, ἤ φυσικόν ἤ ὑποστατικόν ἀνάγκη αὐτούς, εὐλογημένοι, λέγειν· εἴπερ ἡ τῶν ὄντων σύστασις ἐν οὐσίᾳ καί ὑποστάσει θεωρεῖται. Τί γάρ ἄν καί εἴη παρά ταῦτα ἕτερον λέγειν, [οἷς οὐ ἐξῆν]; Ἀλλ᾽ εἰ μέν φυσικόν αὐτό εἴπωσι, καί μίαν φύσιν λέξουσιν τοῦ Λόγου καί τῆς σαρκός, καί μή θέλοντες. Εἰ δέ ὑποστατικόν, ἀναγκασθήσονται διά τάς ἁγίας τρεῖς ὑποστάσεις, τρία λέγειν καί τά θελήματα, εἴπερ ἑαυτοῖς στοιχεῖν διέγνωσαν.

ε΄. Εἰ τό τῆς φύσεως τοῦ Λόγου θέλημα, δημιουργικόν πάντων τῶν γεγονότων· τοῦτο δέ κατ᾽ αὐτούς, εὐλογημένοι, καί τῆς σαρκός τυγχάνει θέλημα, δημιουργός ἔσται προδήλως τῶν γεγονότων καί ἡ τοῦ Λόγου σάρξ. Καί ἀνήρηται οὕτω γε ἡ κοινή δόξα τῶν Χριστιανῶν, τό κτιστήν αὐτήν εἶναι. Πῶς γάρ κτίσμα τό ἐκ μή ὄντων κτίζον, καί τό ἐξαίρετον τῆς θείας φύσεως ἰδίωμα ἔχον.

στ ΄. Εἰ διά τό ἕν θέλημα Πατρός καί Υἱοῦ καί ἁγίου Πνεύματος, καί μία φύσις αὐτῶν ἐδείχθη ὑπό τῶν θεολήπτων Πατέρων· ἕν δέ θέλημα κατ᾽ αὐτούς, εὐλογημένοι, τοῦ Λόγου καί τῆς σαρκός, καί μία φύσις ἔσται γε οὕτω καί τοῦ Λόγου καί τῆς σαρκός. Εἰ δέ ἐπί τῆς σαρκός καί τοῦ Λόγου, τό ἕν θέλημα τήν κίαν φύσιν οὐ συνάγει, οὐδέ ἐπί Πατρός καί Υἱοῦ καί ἁγίου Πνεύματος, τό ἕν θέλημα τήν μίαν φύσιν συνάξει, καί κενή ἡ πίστις ἡμῶν, κενόν τό τῶν Πατέρων κήρυγμα.

ζ΄. Τοῦτο τό ἕν θέλημα, ἤ προαιρετικόν τυγχάνει, ἤ φυσικόν. Ἀλλ᾽ εἰ μέν φυσικόν καί μία φύσις ἔσται, ὡς καί ἤδη ἐδείχθη, τῆς σαρκός καί τοῦ Λόγου· (273) εἰ δέ προαιρετικόν, ὥσπερ τῇ ὑποστάσει, οὕτω καί τῇ γνώμῃ χωρισθήσεται Πατρός καί Πνεύματος ὁ Χριστός.

η΄. Εἰ κατά τόν μέγαν Κύριλλον, τά τῆς αὐτῆς ὄντα οὐσίας καί φύσεως, καί τοῦ αὐτοῦ τυγχάνουσι θελήματος, πῶς τά τῆς αὐτῆς μή ὄντα φύσεως, τοῦ αὐτοῦ εἶναι θελήματος δύνανται;

θ΄. Εἰ τό μή θέλειν ἀποθανεῖν, κατά τό χρυσοῦν στόμα Ἰωάννου, φυσικόν ἔχει ἡ σάρξ· μετά πάντων δέ τῶν φυσικῶς προσόντων αὐτῇ ἰδιωμάτων ὁ Λόγος ἥνωσεν αὐτήν ἑαυτῷ ἀτρέπτως καθ᾽ ὑπόστασιν, πῶς τά φυσικῶς προσόντα αὐτῇ ἀρνούμενοι, οὐχί καί τήν φύσιν τοῖς φυσικοῖς ἰδιώμασι συναρνοῦνται;

ι΄. Εἰ τῷ θελήματι καί πρόσωπον συνεισάγεσθαι λέγουσι, καί διά τοῦτο τόν οὐκ ὄντα φοβούμενοι φόβον, δύο θελήματα ἐπί Χριστοῦ λέγειν οὐκ ἀνέχονται, ἵνα μή καί δύο πρόσωπα ἐξ ἀνάγκης αὐτοῖς συνεισαχθῇ, βιασθήσονται, εἴπερ εὐσυνάρτητον τόν τοῦ οἰκείου δόγματος λόγον δεῖξαι βούλονται, ἤ διά τό ἕν θέλημα τῆς Θεότητος, καί ἕν λέγειν πρόσωπον· ἐπειδή τῷ θελήματι κατ᾽ αὐτούς ἐξ ἀνάγκης καί πρόσωπον ἕπεται· ἤ διά τά τρία πρόσωπα, καί τρία θελήματα, Σαβελλίου τέ τήν συναίρεσιν καί Ἀρείου τήν διαίρεσιν εἰσάγειν.

Ἐπειδή δέ, εὐλογημένοι, ἡ ὁμωνυμία αἴτιον πολλάκις πλάνης γίνεται, τοῦ ἀκροατοῦ πρός ἑτέραν σημασίαν μεταβαίνοντος, παρ᾽ ἥν ὑπέφηνεν ὁ λόγος, παρακαλῶ τήν ὑμετέραν ἐν Χριστῷ σύνεσιν, διά τήν εὐκρινῆ καί ἀσύγχυτον τῶν σημαινομένων πραγμάτων δήλωσιν,

σαφηνίσαι ὑμῖν πρό πάντων , εἰ ὅλως ἐστί θέλημα, καί ἐπί ποίων σημαινομένων ἤγουν πραγμάτων φέρεται τό τοιοῦτον ὄνομα· καί εἰ τά μέν τῶν ὑπ'αὐτό προσαγορευομένων πραγμάτων σύνθετά εἰσι, τά δέ ἁπλᾶ· καί ποῖα δέ τά σύνθετα. Καί εἰ ἄρα τά σύνθετα, ὁμόχρονα ἔχουσι τά μέρη, ἤ οὐχ ὁμόχρονα· καί ποῖα ποίων προγενέστερα· ποῖα δέ ποίων μεταγενέστερα. Καί τίς ὁ ἀποδεικτικός ἑκάστου μέρους καί ὁριστικός λόγος, ἵνα ἔχωμεν νοούμενον, τό ἕν θέλημα δέχεσθαι. Οὐ γάρ περί φωνῶν ὁ λόγος τοῖς Πατράσιν, ἀλλά περί πραγμάτων. Ὅθεν φωνάς μέν παραχωροῦντας τούς Πατέρας εὕρομεν· ἐννοίας δέ, οὐδαμῶς. Πρός ἐπί τούτοις δέ, τί προαίρεσις, καί τί γνώμη· τί δέ γνωμικόν θέλημα, καί τί προαιρετικόν. Ταῦτα γάρ πάντα συνδραμεῖν θέλουσι πρός τήν τῶν θελημάτων παράστασιν. Καί ὁ μή ταῦτα γινώσκων μετά ἀκριβείας, καί περί θελημάτων διηγούμενος, τυφλός μυωπάζων, μή γινώσκων μήτε τί λαλεῖ, μήτε περί τίνος διαβεβαιοῦται.

ΤΟΥ ΑΥΤΟΥ,

***(276) Ἐκ τῶν ἐρωτηθέντων αὐτῷ παρά Θεοδώρου μοναχοῦ.***

Φύσις ἐστί, κατά μέν φιλοσόφους, ἀρχή κινήσεως καί ἠρεμίας· κατά δέ τούς Πατέρας, εἶδος κατά πολλῶν καί δαρερόντων τῷ ἀριθμῷ, ἐν τῷ ὁποῖον τί ἐστι, κατηγορούμενον. Οὐσία ἐστί, κατά μέν φιλοσόφους, αὐθυπόστατον πρᾶγμα μή δεόμενον ἑτέρου πρός σύστασιν· κατά δέ τούς Πατέρας, ἡ κατά πολλῶν καί διαφερόντων ταῖς ὑποστάσεσιν ὀντότης φυσική. Ἄτομόν ἐστι, κατά μέν φιλοσόφους ἰδιωμάτων συναγωγή, ὧν τό ἄθροισμα ἐπ' ἄλλου θεωρεῖσθαι οὐ δύναται· κατά δέ τούς Πατέρας, οἷον Πέτρος ἤ Παῦλος, ἤ τις ἕτερος τῶν καθ᾽ αὐτά ἰδίοις προσωπικοῖς ἰδιώμασι τῶν ἄλλων ἀνθρώπων ἀφοριζόμενος. Ὑπόστασις δέ ἐστιν, κατά μέν φιλοσόφους, οὐσία μετά ἰδιωμάτων· κατά δέ τούς Πατέρας, ὅ καθ᾽ ἕκαστον ἄνθρωπος, πρσωπικῶς τῶν ἄλλων ἀνθρώπων ἀφοριζόμενος.

***Τοῦ ἁγίου Εἰρηναίου ἐπισκόπου Λουγδούνων, μαθητοῦ τοῦ ἁγίου Ἰωάννου τοῦ ἀποστόλου καί εὐαγγελιστοῦ, ἐκ τῶν πρός Δημάτριον διάκονον Βιαίνης περί πίστεως λόγων · οὗ ἡ ἀρχή, "Ζητῶν τόν Θεόν, ἄκουε τοῦ Δαυῒδ λέγοντος."***

Θέλησις καί ἐνέργεια Θεοῦ ἐστιν, ἡ παντός χρόνου καί τόπου καί αἰῶνος, καί πάσης φύσεως ποιοτική τε καί προνοητική αἰτία. Θέλησίς

ἐστι τῆς νοερᾶς ψυχῆς, ὁ ἐφ᾽ ἡμῖν λόγος, ὡς αὐτεξούσιος αὐτῆς ὑπάρχουσα δύναμις. Θέλησις ἐστι νοῦς ὀρεκτικός καί διανοητική ὄρεξις πρός τό θεληθέν ἐπινεύουσα..

***Κλήμεντος τοῦ Στρωματέως ἐκ τοῦ Περί Προνοίας λόγου.***

Θέλησις ἐστι φυσική δύναμις, τοῦ κατά φύσιν ὄντος ὀρεκτική. Θέλησίς ἐστι φυσική ὄρεξις, τῇ τοῦ λογικοῦ φύσει κατάλληλος. Θέλησίς ἐστι φυσική, αὐτοκράτορος νοῦ αὐτεξούσιος κίνησις· ἤ νοῦς περί τι αὐθαιρέτως κινούμενος. Αὐτεξουσιότης ἐστί νοῦς κατά φύσιν κινούμενονς· · ἤ νοερά τῆς ψυχῆς κίνησις αὐτοκρατής.

***(277) Τοῦ ἁγίου Ἀλεξάνδρου πάπα Ἀλεξανδρείας, ἐκ τῆς πρός Αἴγλωνα ἐπίσκοπον Κυνυπόλεως κατά Ἀρειανῶν Ἐπιστολῆς.***

Θέλησις ἐστι φυσική, παντός νοεροῦ αὐθαίρετος δύναμις, ὡς μηδέ κατά τήν οὐσίαν ἀκούσιον ἔχοντος.

***Τοῦ ἁγίου Εὐσταθίου Πατριάρχου Ἀντιοχείας, ἐκ τοῦ Περί ψυχῆς λόγου.***

Θέλησίς ἐστι φυσική λόγου τοῦ ἐν ἡμῖν κίνησις. Θέλησίς ἐστιν ὄρεξις λογική τε καί ζωτική.

***Τοῦ ἁγίου Ἀθανασίου πάπα Ἀλεξανδρείας, ἐκ τοῦ Περί πίστεως μείζονος λόγου.***

Θέλησίς ἐστι ψυχῆς νοερᾶς αὐτεξούσιος κίνησις. Πρῶτον ἰδίωμα τῆς νοερᾶς ψυχῆς, καί τῆς οὐσίας αὐτῆς δηλωτικόν ἐστιν ἡ θέλησις. Νοῦς Κυρίου οὔπω Κύριος, ἀλλ᾽ ἡ θέλησις, ἤ βούλησις ἤ ἐνέργεια.

***Τοῦ ἁγίου Γρηγορίου ἐπισκόπου Νύσσης, ἐκ τοῦ Κατά Ἀπολιναρίου λόγου.***

Θέλησίς ἐστι νοῦς τις , καί περί τι διάθεσις. Αὐτεξουσιότης ἐστίν, αὐτοκρατής τοῦ θελήματος κίνησις. Θέλησις ἐστί τῆς νοερᾶς ψυχῆς, τό κατ᾽ ἐξουσίαν αὐτήν αἱρεῖσθαι τῶν κατά γνώμην, διά τῆς προαιρετικῆς θελήσεως. Θέλησίς ἐστι πάσης λογικῆς φύσεως, ἡ κατά φύσιν αὐτῆς ζωή. Ἡ στέρησις τῆς οὕτω ζωῆς, οὐσίας ἐστίν ἀναίρεσις.

***Τοῦ ἁγίου Διαδόχου ἐπισκόπου Φωτικῆς, ἐκ τοῦ ἕκτου κεφαλαίου τῶν Ἀσκητικῶν.***

Αὐτεξουσιότης ἐστί, ψυχῆς λογικῆς θέλησις ἀκωλύτως γινομένη πρός ὅπερ βούληται.

***Τοῦ ἁγίου Ἀναστασίου πατριάρχου Ἀντιοχείας.***

Θέλημα ἐστι, λόγος ἐν καρδίᾳ στρεφόμενος, δι᾽ ἐνεργείας καί μόνον φανερωθῆναι δυνάμενος. Θέλημά ἐστι βούλησις ψυχῆς [εἰ μή] οἴκοθεν ἀνακοπῆναι μή δυναμένη.

***Τοῦ ἁγίου Νεμεσίου ἐπισκόπου Ἐμέσης.***

Θέλησίς ἐστιν ὄρεξις βουλευτική τῶν ἐφ᾽ ἡμῖν καί δι᾽ ἡμῶν γίνεσθαι δυναμένων, καί ἄδηλον ἐχόντων τό τέλος.

***Τοῦ αὐτοῦ· Κατά τί λογικός ὁ ἄνθρωπος, καί τί ἐνδιάθετος λόγος, καί τί προφορικός;***

Ἐνδιάθετος λόγος ἐστί τό κίνημα τῆς ψυχῆς, τό ἐν αὐτῷ τῷ λογιστικῷ γινόμενον, ἄνευ τινός ἐκφωνήσεως· ὅθεν πολλάκις σιωπῶντες, λόγον ὅλον παρ᾽ ἑαυτοῖς διεξερχόμεθα, καί ἐν τοῖς ὀνείροις διαλεγόμεθα. Κατά τοῦτο δέ μάλιστα λογικοί πάντες ἐσμέν· ἀλλ᾽ οὐχ ὡς κατά τόν προφορικόν λόγον· Καί γάρ οἱ ἐκ γενετῆς κωφοί, καί οἱ διά πάθος, ἤ καί νόσημα τήν φωνήν ἀποβαλόντες, οὐδέ ἧττον λογικοί εἰσίν. Ὁ δέ προφορικός λόγος ἐν τῇ φωνῇ καί ἐν ταῖς διαλέκτοις τήν ἐνέργειαν ἔχει.

***(280) Τοῦ ἁγίου Μαξίμου, ἐκ τῶν περί θελημάτων αὐτοῦ συλλογισμῶν· τί φυσικόν θέλημα, καί τί γνωμικόν;***

Θέλημά ἐστι φυσικόν, ἡ ἁπλῶς καί ὡσαύτως ἔχουσα τῶν κατά φύσιν συστατικῶν ὁρμή τε καί ἔφεσις. Θέλημα δέ γνωμικόν, ἡ τῶν καθ᾽ ἡδονήν συναγερτικῶν ποιά καί διάφορος κίνησίς τε καί ὄρεξις.

***Τοῦ αὐτοῦ, ἐκ τῆς πρός Μαρῖνον πρεσβύτερον ἐπιστολῆς, Τί θέλησις, καί τί προαίρεσις;***

Θέλημά φασιν εἶναι φυσικόν, ἤγουν θέλησιν· Ζήτει ὄπισθεν ὁμοίως εἰς τήν αὐτήν ἐπιστολήν, περί βουλῆς καί γνώμης καί φρονήσεως καί δόξης καί ἐξουσίας.

***ΟΡΟΙ ΔΙΑΦΟΡΟΙ***

***Τῶν ἁγίων καί θεοφόρων Πατέρων ἡμῶν, περί τῶν δύο ἐνεργειῶν τοῦ Κυρίου καί Θεοῦ καί Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. Σελ. 280.***

***Τοῦ ἁγίου Ἰουστίνου φιλοσόφου, καί τέλος μάρτυρος, ἐκ τοῦ πρός Εὐφράσιον σοφιστήν, περί Προνοίας καί Πίστεως λόγου, οὗ ἡ ἀρχή· "Ἄχραντος ὁ Λόγος."***

Εἰ σύνδρομον ἔχει Θεός τῇ φύσει τήν θέλησιν, ὥσπερ και τήν ἐνέργειαν· ἀεί γάρ φύσει θελητικός καί ἐνεργητικός ὑπάρχει ὁ Θεός· οὐδέ τῶν θελητικῶν τῆς αὐτῆς αὐτῷ φυσικῆς ἔσται θελήσεως καί

ἐνεργείας· ἐπεί καί φύσεως ἔσται πάντως τῆς αὐτῆς. Κατ᾽ ἐνέργειαν δέ καί φύσιν οὐκ οἶδεν ὁ Θεός περιγραφήν.

***Τοῦ αὐτοῦ, ἐκ τοῦ αὐτοῦ λόγου.***

Ἐνέργεια πάσης οὐσίας ἐστίν, ἡ προσφυής αὐτῇ ποιότης. Ἐνέργεια φυσική τε καί συστατική ἐστιν, ἡ ὁριστική διαφορά τῆς τοῦ δηλουμένου πράγματος φύσεως· ἧς χωρίς, κατ᾽ οὐδέν οὐδέν παντελῶς ἔχει, τήν τοῦ πῶς εἶναι διάγνωσιν.

Ἐνέργεια φυσική ἐστιν, ἡ οὐσιώδης καί συστατική πάσης οὐσίας ποιότης· ἧς τό ἐστερημένον, καί πάσης οὐσίας ἐστέρηται.

Ἐνέργεια φυσική ἐστι, δύναμις οὐσιώδης μή δέ μίαν ἑτέρου πρός ἕτερον ἐπιδέχεσθαι συγχωροῦσα κατά τήν οὐσίαν ἀλλοίωσιν.

Ἐνέργεια φυσική ἐστιν ἡ ἀμιγῆ τήν οὐσιώδη πάντων πρός ἅπαντα διάκρισιν σώζουσα δύναμις.

***Τοῦ ἁγίου Ἀλεξάνδρου, ἐκ τῆς πρός Αἴγλωνα ἐπίσκοπον Κυνοπόλεως κατά Ἀρειανῶν ἐπιστολῆς.***

Ἐνέργεια φυσική ἐστιν, ἡ πάσης φύσεως ἔμφυτος κίνησις. Ἐνέργεια ἐστι φυσική, ὁ πάσης φύσεως οὐσιώδης καί γνωστικός λόγος. Ἐνέργειά ἐστι φυσική, ἡ δηλωτική ἡ πάσης οὐσίας δύναμις.

***Γρηγορίου Νύσσης.***

Ἐνέργεια λογικῆς ψυχῆς, ἐστί νοῦ κίνησις καί (281) διάνοια. Ἐνέργειά ἐστι κίνησις οὐσιώδης χαρακτηριστική τῆς φύσεως, ἧς ἰδία καθέστηκε, δι᾽ ἧς γινώσκεται τῶν ἄλλων οὐσιωδῶς διαφέρουσα. Ἐνέργειά ἐστι κίνησις δραστική. Δραστικόν δέ λέγεται, τό ἐξ ἑαυτοῦ κινούμενον. Ἐνέργειαν γάρ ἡμεῖς εἶναι φαμεν, τήν φυσικήν ἑκάστης οὐσίας δύναμίν τε καί κίνησιν, ἧς χωρίς οὔτε ἔστιν, οὔτε γινώσκεται φύσις. Νοερῶν γάρ ἐστι, νόησις· αἰσθητικῶν, αἴσθησις, καθ᾽ ἥν, αὗταί τε καί τῶν ἐκτός ἐφάπτονται φυσικῶς, καί τοῖς ἐκτός ὑποπίπτουσι. Πτηνῶν, πτῆσις· νηκτῶν, νῆξις· ἑρπηστικῶν, ἕρψις· βαδιστικῶν, βάδισις· βλαστῶν, βλάστησις. Καί περιληπτικῶς εἰπεῖν, τό σημαντικόν ἑκάστης ἰδίωμα φύσεως, ἐνέργειαν λέγομεν φυσικήν. Ἧς μόνον ἐστέρηται, τό μή ὄν. Τό γάρ ὄν, οὐσίας τινός μετέχον, καί τῆς δηλούσης αὐτήν φυσικῶς μεθέξει πάντως δυνάμεως. Ὅρους γάρ τῶν οὐσιῶν, τάς φυσικάς αὐτῶν ἐνεργείας ὁ ἀληθής ἐπίσταται λόγος. Ἐνέργειά ἐστι ψυχῆς λογικῆς, οἰκεία τοῦ νοῦ διάνοιά τε καί κίνησις. Ἐνέργειά ἐστι ψυχῆς λογικῆς, ἡ κατά φύσιν αὐτῆς ζωή.

***Τοῦ Χρυσοστόμου.***

Οὐσιώδυς ἐνέργειά ἐστι Θεοῦ, τό μηδαμοῦ εἶναι· οὐ τῷ μή εἶναι, ἀλλά τῷ ὑπερεῖναι τόπου καί χρόνου καί φύσεως· οἷς φυσικῶς ἀρχή συνεπινοεῖται καί πέρας καί γένεσις· ὅς ἐστι συνοχεύς καί ποιητής μόνῳ τῷ βούλεσθαι. Ἄνευ γάρ φυσικῆς ἐνεργείας, οὐδενός φύσις ἐπίδηλος. Οἷον γάρ ἑκάστῃ φύσει χαρακτῆρα γνωριστικόν ὁ Δημιουργός, τήν διακρίνουσαν αὐτήν τῶν ἄλλων, οὐσιωδῶς ἐναπέθετο κίνησιν.

***Τοῦ ἁγίου Κυρίλλου.***

Ἐνέργεια θεοπρεπής καί δύναμίς ἐστι, τό εἶναι πανταχῆ, καί πληροῦν μέν ἀῤῥήτως τόν οὐρανόν· πληροῦν δέ αὖ πάλιν τήν γῆν, καί χωρεῖν μέν ἐν πᾶσι, χωρεῖσθαι δέ ἐπ᾽ οὐδενός. Οὐ γάρ περιληπτός, ἤ διαστήματι περιωρισμένος· ἀλλ᾽ οὐδέ περιγραφῆς τινος εἴσω. Παθεῖν γάρ τι τοιοῦτον ὁ ἄποσός τε καί ἐμεγέθης καί ἀσώματος οὐκ ἀνέχεται.

***Τοῦ ἁγίου Βασιλείου.***

Ἐπείπερ πάσης οὐσίας ὅρος, ἡ κατά φύσιν αὐτῆς ἐνέργεια καθέστηκε· πίστωσις ἀνάγουσα τόν νοῦν ἐπί τήν φύσιν, ἐξ ἧς ἔχει τήν πρόοδον, ὧν μία καί ἡ αὐτή ἐνέργεια, τούτων καί ἡ οὐσία μία.

***Τοῦ αὐτοῦ, ἐκ τῶν κατ᾽ Εὐνομίου.***

Πῶς ἑτερότης οὐσίας, ἐν ᾗ ταυτότης ἐνεργείας γνωρίζεται; Παρηλλαγμένων γάρ τῶν οὐσιῶν, παρηλλαγμένας εἶναι δεῖ καί τάς ἐνεργείας. Πῶς οὐ τῆς αὐτῆς οὐσίας τό Πνεῦμα τῷ Πατρί καί τῷ Υἱῷ, τό καί τῆς αὐτῆς ἐνεργείας. Πῶς ἑτερότης οὐσίας ἐν τῇ Τριάδι, ἐν ᾗ ταυτότης ἐνεργείας εὑρίσκεται; Εἰ γάρ κατά τήν οὐσίαν ἀπαραλλάκτως, ἕξει καί (284) κατά τήν δύναμιν. Ὧν δέ ἡ δύναμις ἴση που πάντως καί ἡ ἐνέργεια· ὧν δέ ἡ φύσις μία, τούτων ἐνέργειαι αἱ αὐταί.

***Τοῦ ἁγίου Γρηγορίου Νύσσης.***

Οὐκοῦν ἡ τῆς ἐνεργείας ταυτότης ἐπί Πατρός καί Υἱοῦ καί ἁγίου Πνεύματος δείκνυσι σαφῶς τό τῆς φύσεως ἀπαράλλακτον. Τοῦ δέ ἐνεργοῦντος τήν φύσιν, διά τῆς τῶν ἐνεργειῶν κατανοήσεως ἐπιγνῶναι δυνάμεθα. Τό δέ κοινόν τῆς φύσεως ἐνεργῶς ἀποδείκνυται, διά τῆς τῶν ἐνεργειῶν ταυτότητος συνιστάμενον. Ἀλλά Θεός μέν ὁ Πατήρ, Θεός δέ ὁ Υἱός, Θεός δέ τό Πνεῦμα τό ἅγιον· εἷς δέ ἐν τῷ αὐτῷ κηρύγματι Θεός, διά τό μήτε φύσεως, μήτε ἐνεργείας θεωρεῖσθαί τινα διαφοράν ἐν θεότητι. Εἰ οὖν καί ἐνέργεια καί δύναμις μία, πῶς ἐστιν ἑτερότητα φύσεως ὑπονοῆσαι, ἐν οἷς οὐδεμία κατά τήν δύναμίν τε καί τήν ἐνέργειαν διαφοράν ἐξευρίσκομεν.

Πᾶσα ἀνάγκη κατάλληλον εἶναι καί οἰκείαν ὁμολογεῖν τῇ φύσει καί τήν προαίρεσιν· καί εἰ ἀνομοίως ἔχοιεν κατά τήν φύσιν, ἀνόμοια ἀεί εἶναι καί τά θελήματα. Τῆς δέ δυνάμεως ἐφ᾽ ἑκατέρων ἱκανῶς ἐχούσης, οὐδ᾽ ἕτερον ἀτονήσει πρός τήν ἐκπλήρωσιν τοῦ ἰδίου θελήματος. Οὐκοῦν ἐάν ἴδωμεν διαφερούσας ἀλλήλων τάς ἐνερεγείας τάς παρά τοῦ Πατρός τε καί τοῦ ἁγίου Πνεύματος ἐνεργουμένας, διαφόρους εἶναι καί τάς ἐνεργούσας φύσεις ἐκ τῆς ἑτερότητος τῶν ἐνεργειῶν στοχαζόμεθα. Οὐ γάρ ἐνδέχεται τά διεστῶτα κατά τόν τῆς φύσεως λόγον, πρός τό τῶν ἐνεργειῶν εἶδος συνενεχθῆναι, οὔτε ψύχει τό πῦρ, οὔτε θερμαίνει ὁ κρύσταλλος. Ἀλλά τῇ τῶν φύσεων ἑτερότητι, συνδιαχωρίζονται ἀπ' ἀλλήλων καί αἱ παρά τούτων ἐνέργειαι.

***Κυρίλλου.***

Ἐνεργήσει γάρ ὁμοίως, τά τήν αὐτήν ἀλλήλοις λαχόντα φύσιν. Οἷς δέ ὁ τοῦ πῶς εἶναι λόγος ἐξηλλαγμένος, τούτοις ἄν εἴη, καί ὁ τῆς ἐφ᾽ ἅπασιν ἐνεργείας λόγος, οὐχ ὁ αὐτός. Τά τήν αὐτήν ἐνέργειαν ἔχοντα, καί ταῖς αὐταῖς δυνάμεσι φυσικαῖς ἀποκεχρημένα, τῆς αὐτῆς εἶναι οὐσίας ἀνάγκη. Οὐδέν γάρ τῶν ὄντων πρός τό ἑτερογενές καί ἑτεροούσιον, τάς αὐτάς ἀπαραλλάκτως φορέσει δυνάμεις τε καί ἐνεργείας. Τά γάρ τῆς αὐτῆς ἐνεργείας ὄντα, καί τῆς αὐτῆς οὐσίας ὁμολόγηται. Τά ἑτεροφυῆ καί ἑτερογενῆ τήν αὐτήν ἐνέργειαν ἔχειν, οὐκ ἄν τις δῴη σωφρονῶν. Οὐ γαρ ἄν ὕδατι πῦρ ἕν τι καί ταυτόν ἐνεργήσειεν· ἀλλ᾽ ὥσπερ ἀπεσχοινισμένον ἔχουσι τῆς οὐσίας καί τῆς ποιότητος τόν λόγον, οὕτω καί διάφορον συναποδώσουσι τήν ἐνέργειαν. Οἷς γάρ ἡ ἐνέργεια καί ἡ δύναμις ἀπαραλλάκτως μία, τούτοις ἀνάγκη καί τήν τοῦ εἴδους κοινότητα σώζεσθαι. Φιλεῖ γάρ τά τήν αὐτήν ἐνέργειαν ἔχοντα, τῆς αὐτῆς ὑπάρχειν καί οὐσίας, καί τό ἑτεροφυές ἐν τούτοις ἀπίθανον. Οὐ γάρ δήπου μίαν εἶναι φυσικήν ἐνέργειαν δώσομεν Θεοῦ καί ποιήματος, ἵνα μήτε τό ποιηθέν εἰς τήν θεἰαν ἀναγάγωμεν οὐσίαν, μήτε μήν τῆς θείας φύσεως τό ἐξαίρετον, εἰς τόν τοῖς (285) γεννητοῖς πρέποντα καταγάγωμεν τρόπον. Τά γάρ μίαν ἔχοντα τήν ἐνέργειαν, ἕνα καί τόν αὐτόν τοῦ πῶς εἶναι φορέσει λόγον.

***Τοῦ ἁγίου Ἀμβροσίου ἐπισκόπου Μεδιολάνων, ἐκ τοῦ πρός Γρατιανόν τόν βασιλέα δευτέρου λόγου.***

Πῶς γάρ ἡ αὐτή ἐνέργεια, ἐκ διαφόρου οὐσίας ἐστί; Μή γάρ οὕτως ἡ ἥττων ἐνεργεῖ, ὥσπερ ἡ μείζων ἐνεργεῖ. Ἔνθα γάρ διάφορος οὐσία ἐστίν, ἀδύνατον μίαν ἐνέργειαν ὑπάρχειν.

***Τοῦ ἁγίου Βασιλείου, ἐκ τῶν κατά Εὐνομίου συλλογισμῶν.***

Ἕτερόν ἐστιν ὁ ἐνεργήσας, καί ἕτερον ἡ ἐνέργεια, καί ἕτερον τό ἐνέργημα, καί ταῦτα πλεῖστον ἀλλήλων διέστηκεν. Ὁ ἐνεργῶν γάρ ἐστιν ὁ πρός τό ἐνεργῆσαί τι κινούμενος. Ἐνέργεια δέ, οἱονεί κίνησις ἡ ἐνεργητική, καί αὐτή ἡ ὁρμή ὡς ἄν τις εἴποι τῆς προαιρέσεως, ἡ πρός τό ἐνεργῆσαί τι συντεινομένη καί νεύουσα, καί ἅμα τῷ ἑλέσθαι πεπαυμένη καί λήγουσα, καί θᾶττον κινηθεῖσα καί παραδραμοῦσα. Ἐνεργήματα δέ, τά ἐκ ταύτης ἀποτελούμενά τε καί ὑφιστάμενα.

MAXIMI DISPUTATIO CUM PYRRHO (288)

***ΠΑΡΑΣΗΜΕΙΩΣΙΣ ΤΗΣ ΓΕΝΟΜΕΝΗΣ ΖΗΤΗΣΕΩΣ χάριν τῶν κεκινημένων περί τῶν ἐκκλησιαστικῶν δογμάτων, παρουσίᾳ Γρηγορίου τῇ εὐσεβεστάτου πατρικίου, καί τῶν συνευρεθέντων αὐτῷ ὁσιωτάτων ἐπισκόπων, καί λοιπῶν θεοφιλῶν καί ἐνδόξων ἀνδρῶν, παρά Πύῤῥου, τοῦ γενομένου πατριάρχου Κωνσταντινουπόλεως, καί Μαξίμου τοῦ εὐλαβεστάτου μοναχοῦ, μηνί Ἰουλίῳ, ἰνδικτίωνος γ΄. Πύῤῥου μέν συμμαχοῦντος τῇ παρεισαχθείσῃ παρ᾽ αὐτοῦ τε, καί τοῦ πρό αὐτοῦ ἐν τῷ Βυζαντίῳ καινοτομίᾳ· τουτέστιν· ἑνός θελήματος· Μαξίμου δέ συνηγοροῦντος τῇ ἄνωθεν εἰς ἡμᾶς ἐλθούσῃ πατρικῇ τε καί ἀποστολικῇ διδασκαλίᾳ· διά τοῦ ῥηθέντος ὑπερφυοῦς ἀνδρός, φημί δέ Γρηγορίου τοῦ ὑπερτίμου πατρικίου, τῶν λεχθέντων ἀνδρῶν· τουτέστιν Πύῤῥου καί Μαξίμου, ἀλλήλοις προσοψισθέντων. Προκατήρξατο δέ τῆς πρός Μάξιμον διαλέξεως ὁ Πύῤῥος, οὕτως εἰπών.***

ΠΥΡΡΟΣ. Τί σοι κακόν ἐποιήσαμεν, κῦρι ἀββᾶ Μάξιμε, ἐγώ τε καί ὁ πρό ἐμοῦ, ὅτι οὕτω πανταχοῦ διασύρεις ἡμᾶς, αἱρετικήν ὑπόληψιν παρά πᾶσι διδούς ἡμῖν; Τίς δέ οὕτω ποτέ, καίτοι κατά πρόσωπον ἀγνούμενον θέᾳ, ἐτίμησεν ἤ ἐσεβάσθη σε, ὡς ἡμεῖς;

ΜΑΞ. Ἐπειδή, ὁ Θεός ἀκροᾶται, οὐδείς οὕτως, ἵνα ταῖς σαῖς χρήσωμαι λέξεσιν, ἐτίμησεν, ἤ ἐσεβάσθη με, ὡς ὑμεῖς· ἀλλ᾽ ἀθετησάντων ὑμῶν νῦν τό Χριστιανόν δόγμα, φοβερόν ἡγησάμην τῆς ἀληθείας τήν πρός ἐμέ προτιμῆσαι χάριν.

ΠΥΡ. Τί γάρ δοξάσαντες, τό Χριστιανῶν ἠθετήσαμεν φρόνημα;

ΜΑΞ.. Ἕν θέλημα τῆς θεότητος τοῦ Χριστοῦ, καί τῆς ἀνθρωπότητος αὐτοῦ δοξάντες· καί μή μόνον δοξάσαντες, ἀλλά καί ἐπί λύμῃ τοῦ παντός τῆς ἁγίας Ἐκκλησίας σώματος, διά καινῆς Ἐκθέσεως τοῦτο προτεθεικότες.

ΠΥΡ. Τί οὖν, ὁ ἕν θέλημα τοῦ Χριστοῦ δοξάζων, δοκεῖ σοι παρακεκινῆσθαι τῆς Χριστιανικῆς διδασκαλίας ;

ΜΑΞ. Πάνυ μέν οὖν. Τί γάρ ἀνοσιώτερον τοῦ λέγειν, τόν αὐτόν, ἑνί , καί τῷ αὐτῷ θελήματι, πρό ἐν τῆς σαρκώσεως τά πάντα ἐκ μή ὄντων συστήσασθαι· συνέχειν τε καί προνοεῖν, καί σωστικῶς διεξάγειν· μετά δέ τήν ἐνανθρώπησιν τροφῆς ἐφιέσθαι καί πότου· τόπους τε ἐκ τόπων ἀμείβειν, καί τά ἄλλα πάντα ποιεῖν, τά διαβολῆς ἁπάσης, καί μομφῆς ἐκτός τυγχάνοντα· δι᾽ ὧν καί πάσης, καθαράν ἔδειξε τήν οἰκονομίαν φαντασίας.

ΠΥΡ. Εἷς ὁ Χριστός, ἤ οὔ;

ΜΑΞ. Ναί, εἷς προδήλως.

ΠΥΡ. (289) Εἰ οὖν εἷς ὁ Χριστός, ὡς εἷς πάντως καί ἤθελεν, ἕν πάντως αὐτοῦ καί τό θέλημα· καί οὐ δύο.

ΜΑΞ. Τό λέγειν τι, καί προσιαστέλλεσθαι τοῦ λεγομένου τά σημαινόμενα, οὐδέ ἕτερόν ἐστιν, εἰ μή πάντα συγχεῖν καί ἀσαφῆ σπεύδειν ἐᾷν τά, περί ὧν ἡ ζήτησις· ὅπερ ἀλλότριον ἀνδρός λογίου καθέστηκε. Τοῦτο οὖν εἰπέ μοι· Ὁ Χριστός εἷς ὤν, Θεός μόνον ἐστίν, ἤ καί ἄνθρωπος;

ΠΥΡ. Προδήλως, Θεός ὁμοῦ καί ἄνθρωπος.

ΜΑΞ. Θεός οὖν φύσει καί ἄνθρωπος ὑπάρχων ὁ Χριστός, ὡς Θεός καί ἄνθρωπος ὁ αὐτός ἤθελεν, ἤ ὡς Χριστός μόνον; Ἀλλ᾽ εἰ μέν προηγουμένως ὡς Θεός καί ἄνθρωπος ἤθελεν ὁ Χριστός, δηλονότι δυϊκῶς, καί οὐ μοναδικῶς, εἷς ὤν ὁ αὐτός, ἤθελεν. Εἰ γάρ οὐδέ ἕτερόν ἐστιν ὁ Χριστός παρά τάς αὐτοῦ φύσεις, ἐξ ὧν, καί ἐν αἷς ὑπάρχει· προδήλως, ὡς καταλλήλως ταῖς ἑαυτοῦ φύσεσιν· ἤγουν, ὡς ἑκάστη πέφυκεν, εἷς ὤν καί αὐτός, ἤθελέ τε καί ἐνήργει· εἴπερ οὐδετέρα αὐτῶν ἀθέλητός ἐστιν, ἤ ἀνενέργητος. Εἰ δέ καταλλήλως ταῖς ἑαυτοῦ φύσεσιν ὁ Χριστός, ἤγουν, ὡς ἑκάστη πέφυκεν, ἤθελέν τε καί ἐνήργει· δύο δέ αὐτοῦ αἱ φύσεις· δύο αὐτοῦ πάντως καί τά φυσικά θελήματα· καί αἱ τούτων ἰσάριθμοι, καί οὐσιώδεις ἐνέργειαι. Ὥσπερ γάρ ὁ τῶν τοῦ αὐτοῦ καί ἑνός Χριστοῦ φύσεων ἀριθμός, εὐσεβῶς νοούμενός τε καί λεγόμενος, οὐ διαιρεῖ τόν Χριστόν, ἀλλά σωζομένην κἀν τῇ ἑνώσει παρίστησι τῶν φύσεων τήν διαφοράν· οὕτω καί ὁ ἀριθμός τῶν

οὐσιωδῶς προσόντων ταῖς αὐτοῦ φύσεσι θελημάτων καί ἐνεργειῶν· κατ᾽ ἄμφω γάρ, ὡς εἴρηται, τάς αὐτοῦ φύσεις θελητικός ἦν ὁ αὐτός καί ἐνεργητικός τῆς ἡμῶν σωτηρίας· οὐ διαίρεσιν εἰσάγει· μή γένοιτο· ἀλλά τήν αὐτῶν δηλοῖ καί μόνον, κἀν τῇ ἑνώσει φυλακήν καί σωτηρίαν.

ΠΥΡ. Ἀδύνατον τοῖς θελήμασι, μή συνεισάγεσθαι τούς θέλοντας.

ΜΑΞ. Τοῦτο μέν καί ἐν τοῖς ὑμετέροις γράμμασι τό παράλογον· οὐ λόγῳ, ἀλλ᾽ ἐξουσία κινούμενοι, ἀπεφήνασθε, συναιρόμενον ὑμῖν εἰς τοῦτο λαβόντες τόν Ἡράκλειον, διά τό καί ὑμᾶς συνελθεῖν τῇ αὐτοῦ ἀθεμίτῳ καί παρανόμῳ μίξει, καί ταύτην δι' εὐλογίας κυρῶσαι. Εἰ γάρ δοθῇ τοῖς θελήμασι συνεισάγεσθαι τούς θέλοντας, πάντως καί τοῖς θέλουσι τά θελήματα κατά τήν εὔλογον ἀντιστροφήν συνεισαχθήσεται· καί εὑρεθήσεται καθ᾽ ὑμᾶς, τῆς ὑπερουσίου καί ὑπεραγάθου καί μακαρίας θεότητος· διά μέν τό ἕν αὐτῆς θέλημα, μία καί ἡ ὑπόστασις κατά Σαβέλλιον· διά δέ τά τρία πρόσωπα, τρία καί τά θελήματα· καί διά τοῦτο τρεῖς φύσεις, κατά τόν Ἄρειον, εἴπερ, κατά τούς πατρικούς ὅρους καί κανόνας, (292) ἡ διαφορά τῶν θελημάτων και φύσεων εἰσάγει διαφοράν.

ΠΥΡ. Ἀδύνατόν ἐστιν ἐν ἑνί προσώπῳ δύο ἀλλήλοις συνυπάρξαι θελήματα ἄνευ ἐναντιώσεως.

ΜΑΞ. Εἰ ἄνευ ἐναντιώσεως δύο θελήματα ἐν ἑνί καί τῷ αὐτῷ προσώπῳ εἶναι οὐ δυνατόν, ἄρα μετά ἐναντιώσεως, κατά σέ, δυνατόν. Εἰ δέ τοῦτο, τέως τά δύο εἶναι ὡμολογήσας· καί πρός τόν ἀριθμόν οὐ διαφέρῃ, ἀλλ᾽ ἤ μόνον πρός τήν ἐναντιότητα. Οὐκοῦν λείπεται ζητεῖν τήν ποιητικήν τῆς μάχης αἰτίαν. Ποίαν οὖν ταύτην φῆς; Ἆρα τήν κατά φύσιν θέλησιν, ἤ τήν ἁμαρτίαν; Ἀλλ᾽ εἰ μέν τήν κατά φύσιν εἴπῃς θέλησιν, ταύτης δέ οὐκ ἄλλον ἤ τόν Θεόν γινώσκομεν αἴτιον· ἄρα, κατά σέ, τῆς μάχης δημιουργός ὁ Θεός. Εἰ δέ τήν ἁμαρτίαν· ἁμαρτίαν δέ οὐκ ἐποίησε, οὐδέ τήν οἱανοῦν ἐναντίωσιν ἐν τοῖς κατά φύσιν αὐτοῦ ὁ σαρκωθείς Θεός εἶχε θελήμασι. Τοῦ αἰτίου γάρ οὐκ ὄντος, οὐδέ τό αἰτιατόν προδήλως ἔσται.

ΠΥΡ. Φύσεως οὖν τό θέλειν;

ΜΑΞ. Ναί, τό ἁπλῶς θέλειν, φύσεως.

ΠΥΡ. Εἰ φύσεως τό θέλειν· οἱ ἐμφανέστεροι δέ τῶν Πατέρων ἕν θέλημα τοῦ Θεοῦ καί τῶν ἁγίων εἶπον· καί μία φύσις ἔσται οὕτω γε τῶν ἁγίων καί τοῦ Θεοῦ.

ΜΑΞ. Καί ἀνωτέρω ἐῤῥέθη, ὅτι δεῖ, τόν περί ἀληθείας λόγον ποιούμενον διαστέλλεσθαι τῶν λεγομένων τά σημαινόμενα, διά τήν ἐκ τῆς ὁμωνυμίας πλάνην. Ἀντερήσομαι γάρ σε καί αὐτός, ὅτι, οἱ ἕν θέλημα τοῦ Θεοῦ καί τῶν ἁγίων εἰπόντες ἅγιοι, πρός τό οὐσιῶδες τοῦ Θεοῦ καί δημιουργικόν θέλημα ἀποβλέποντες τοῦτο εἶπον,ἤ πρός τό θελητόν; Οὐ ταὐτόν γάρ τό τοῦ θέλοντος θέλημα, καί τό θελητόν, ὥσπερ οὐδέ τό τοῦ ὁρῶντος ὀπτικόν, καί τό ὁρατόν· τό μέν γάρ οὐσιωδῶς αὐτῷ προσέστι, τό δέ ἐκτός τυγχάνει. Ἀλλ᾽ εἰ μέν πρός τό οὐσιῶδες ἀπιδόντες εἶπον, οὐ μόνον ὁμοφυεῖς καί συνδημιουργούς εἰσάγοντες εὑρεθήσονται τῷ Θεῷ τούς ἁγίους, ἀλλά καί ἑαυτοῖς ἐναντιούμενοι, φύσαντες μή δύνασθαι τά ἑτερούσια κοινόν ἔχειν θέλημα. Εἰ δέ πρός τό θελητόν, ἄρα αἰτιολογικῶς· ἤ, ὥς τισι φίλον λέγειν, καταχρηστικῶς, τό θεληθέν θέλημα προσηγόρευσαν οἱ Πατέρες· καί οὐδέν ἕψεται ἄτοπον, τῶν φύσεως εἶναι τό ἁπλῶς θέλειν ὁριζομένων.

ΠΥΡ. Εἰ τοῖς θελήμασι πρός τε ἑαυτούς καί ἀλλήλους διαφέρομεν· νῦν μέν, τοῦτο θέλοντες· νῦν δέ, τό αὐτό οὐ θέλοντες· φύσεως δέ τοῦτο, καί τοῦ αὐτῆς χαρακτηριστικοῦ λόγου, οὐ μόνον τῇ φύσει ἀλλήλων διαφέροντες εὑρεθησόμεθα, ἀλλά καί ἀπειράκις ταύτην μεταβάλλοντες.

ΜΑΞ. Οὐ ταὐτόν τό θέλειν καί τό πῶς θέλειν· (293) ὥσπερ οὐδέ τό ὁρᾷν καί τό πῶς ὁρᾷν. Τό μέν γάρ θέλειν, ὥσπερ καί τό ὁρᾷν, φύσεως· καί πᾶσι τοῖς ὁμοφυέσι καί ὁμογενέσι προσόν· τό δέ πῶς θέλειν, ὥσπερ καί τό πῶς ὁρᾷν, τουτέστι θέλειν πεεριπατῆσαι, καί μή θέλειν περιπατῆσαι, καί δεξιά ὁρᾷν, ἤ ἀριστερά, ἤ ἄνω , ἤ κάτω, ἤ πρός ἐπιθυμίαν, ἤ κατανόησιν τῶν ἐν τοῖς οὖσι λόγων, τρόπος ἐστί τῆς τοῦ θέλειν καί ὁρᾷν χρήσεως, μόνῳ τῷ κεχριμένῳ προσόν, καί τῶν ἄλλων αὐτόν χωρίζον, κατά τήν κοινῶς λεγομένην διαφοράν. Εἰ δέ τοῦτο μαρτυροῦσαν τήν φύσιν ἔχομεν, ἄρα τό θέλειν φαγεῖν, ἤ μή θέλειν φαγεῖν· ἤ τό θέλειν περιπατῆσαι, ἤ μή θέλειν· οὐ τοῦ πεφυκέναι θέλειν ἐστίν ἀναίρεσις, ἀλλά τοῦ πῶς θέλειν, τουτέστι, τῶν θελητῶν ἐστι γένεσις καί ἀπογένεσις. Οὔτε γάρ, εἰ ὑποθώμεθα τά ἐκ τοῦ Θεοῦ γενόμενα, θελητά αὐτοῦ ὄντα, ἀπογενέσθαι, τούτοις καί τό προεπινοούμενον αὐτῶν, οὐσιῶδες αὐτοῦ καί ποιητικόν θέλημα συναπογενήσεται.

ΠΥΡ. Εἰ φυσικόν λέγεις τό θέλημα, τό δέ φυσικόν πάντως καί ἠναγκασμένον, πῶς οὐκ ἀνάγκη, φυσικά λέγοντας ἐπί Χριστοῦ τά θελήματα, πᾶσαν ἐπ᾽ αὐτοῦ ἑκούσιον ἀναιρεῖν κίνησιν.

ΜΑΞ.. Οὐ μόνον ἡ θεία καί θεία καί ἄκτιστος φύσις οὐδέν ἠναγκασμένον ἔχει φυσικόν, ἀλλ᾽ οὐδέ ἡ νοερά καί κτιστή. Τό γάρ φύσει λογικόν, δύναμιν ἔχει φυσικήν τήν λογικήν ὄρεξιν, ἥτις καί θέλησις καλεῖται τῆς νοερᾶς ψυχῆς· καθ᾽ ἥν θέλοντες λογιζόμεθα· καί λογιζόμενοι, θέλοντες βουλόμεθα. Καί θέλοντες ζητοῦμεν, σκεπτόμεθά τε καί βουλευόμεθα, καί κρίνομεν, καί διατιθέμεθα, καί προαιρούμεθα, καί ὁρῶμεν, καί κεχρήμεθα. Κατά φύσιν δέ ἡμῖν, ὡς εἴρηται, προσόντος τοῦ λογικῶς ὀρέγεσθαι, ἤγουν θέλειν, καί λογίζεσθαι· βουλεύεσθαί τε καί ζητεῖν, καί σκέπτεσθαι, καί βούλεσθαι, καί κρίνειν, καί διατίθεσθαι, καί αἱρεῖσθαι, καί ὁρμᾷν, καί κεχρῆσθαι· οὐκ ἄρα ἠναγκασμένα τά τῶν νοερῶν φυσικά. Πῶς δέ καί τούτου δοθέντος, οὐ πάσης ἀτοπίας ἀτοπωτέρα ἡ τοιαύτη δειχθήσεται πρότασις; Εἰ γάρ κατ᾽ αὐτήν τό φυσικόν πάντως καί ἠναγκασμένον· φύσει δέ ὁ Θεός Θεός, φύσει ἀγαθός, φύσει δημιουργός· ἀνάγκῃ ἔσται ὁ Θεός Θεός, καί ἀγαθός καί δημιουργός· ὅπερ καί ἐννοεῖν, μήτι γε λέγειν, ἐσχάτης ἐστί βλασφημίας. Τίς γάρ ὁ τήν ἀνάγκην ἐπάγων; Σκόπει δέ, εἰ δοκεῖ, ὦ φιλότης, καί οὕτω τῆς τοιαύτης προτάσεως τό βλάσφημον. Εἰ γάρ ὁ φυσικά ἐπί Χριστοῦ λέγων τά θελήματα, πᾶσαν, κατά σέ, ἑκούσιον ἐπ᾽ αὐτοῦ ἀναιρεῖ κίνησιν, ἀνάγκη τά μέν φυσικῶς θέλοντα, ἀκούσιον ἔχειν κίνησιν· τά δέ φυσικῶς μή θέλοντα, ἑκούσιον. Οὐκοῦν οὐ μόνον Θεός, ὁ ὑπέρ τά ὄντα· ἀλλά καί νοερά πάντα καί λογικά, φύσει ὄντα θελητικά, ἀκούσιον ἕξει κίνησιν· ἄψυχα δέ οὐ θελητικά, ἑκούσιον ἕξει κίνησιν. Πλήν ὅτι ὁ μακάριος Κύριλλος ἐν τῷ τρίτῳ κεφαλαίῳ πρός τάς τοῦ Θεοδωρήτου μέμψεις, ἀπήλλαξεν ἡμᾶς περιττῶν πραγμάτων, διαῤῥήδην ἀποφηνάμενος, Μηδέν φυσικόν (296) εἶναι ἐν τῇ νοερᾷ φύσει ἀκούσιον. Καί τοῦτο ἔξεστι τῷ βουλομένῳ μαθεῖν, μετά χεῖρας λαβόντι τό τοιοῦτο κεφάλαιον.

ΠΥΡ. Ἐπειδή χρή τά ἐκ τῆς ἐξετάσεως ἀναφαινόμενα ἀληθῆ, εὐγνωμόνως ἀποδέχεσθαι· μετά δέ πολλῆς εὐκρινείας ἔδειξεν ὁ λόγος, φυσικά εἶναι τά ἐπί Χριστοῦ θελήματα· δυνατόν δέ ὥσπερ ἐκ τῶν δύο φύσεων ἕν τι σύνθετον λέγομεν, οὕτω καί ἐκ τῶν δύο φυσικῶν θελημάτων ἕν τι σύνθετον λέγειν· ἵνα καί οἱ δύο λέγοντες θελήματα, διά τήν φυσικήν τῶν ἐν Χριστῷ φύσεων διαφοράν, καί οἱ ἕν λέγοντες, διά τήν ἄκραν ἕνωσιν, μηκέτι ψιλῶν λέξεων ἕνεκεν πρός ἀλλήλους

διαφέρωνται· εἴπερ οὐκ ἐν ὀνόμασιν ἡμῖν, φησίν ὁ μέγας ἐν θεολογίᾳ Γρηγόριος, ἡ ἀλήθεια, ἀλλ᾽ ἐν πράγμασιν.

ΜΑΞ. Ὁρᾷς ὅτι ἐκ τούτου πλανᾶσθε, ἐκ τοῦ πάντη ἀγνοῆσαι ὅτι αἱ συνθέσεις τῶν ἐν τῇ ὑποστάσει ὄντων, καί οὐ τῶν ἐν ἑτέρῳ, καί οὐκ ἰδίῳ λόγῳ θεωρουμένων, εἰσί. Καί τοῦτο κοινόν φρόνημα πάντων, καί τῶν ἔξω φιλοσόφων, καί τῶν τῆς Ἐκκλησίας θεοσόφων μυσταγωγῶν. Εἰ δέ τῶν θελημάτων σύνθεσιν λέγετε, καί τῶν ἄλλων φυσικῶν τήν σύνθεσιν λέγειν ἐκβιασθήσεσθε· εἴπερ εὐσυνάρτητον τόν τοῦ οἰκείου δόγματος λόγον δεῖξαι βούλεσθε, τουτέστι, τοῦ κτιστοῦ καί ἀκτίστου, τοῦ ἀπείρου καί τοῦ πεπερασμένου, τοῦ ἀορίστου καί τοῦ ὡρισμένου, τοῦ θνητοῦ καί τοῦ ἀθανάτου, τοῦ φθαρτοῦ καί τοῦ ἀφθάρτου, καί εἰς ἀτόπους ἐξενεχθήσεσθε ὑπολήψεις. Πῶς δέ τό ἐκ τῶν θελημάτων, θέλημα προσαγορευθήσεται; Οὐ γάρ δυνατόν τό σύνθετον τῇ τῶν συντεθειμένων ὀνομάζεσθαι προσηγορίᾳ. Ἤ οὕτω γε καί τό ἐκ τῶν φύσεων, φύσις, κατά τούς πάλαι αἱρετικούς προσαγορευθήσεται. Προσεπιτούτοις δέ καί πάλιν αὐτόν θελήμασι τοῦ Πατρός χωρίζετε, συνθέτῳ θελήματι σύνθετον καί μόνην χαρακτηρίσαντες φύσιν.

ΠΥΡ. Οὐδέν οὖν, καθάπερ αἱ φύσεις, καί τά αὐτῶν φυσικά εἶχε κοινόν;

ΜΑΞ. Οὐδέ, ἤ μόνην τήν τῶν αὐτῶν φύσεων ὑπόστασιν. Ὥσπερ γάρ ὑπόστασις ἦν ὁ αὐτός ἀσυγχύτως τῶν αὐτῶν φυσικῶν.

ΠΥΡ. Τί οὖν οἱ Πατέρες, ὧν οἱ λόγοι νόμος καί κανών Ἐκκλησίας καθέστηκε, καί τήν δόξαν, καί τήν ὕβριν οὐκ εἶπον κοινήν; Ἕτερον γάρ, φησίν, ἐκεῖνο, ἐξ οὗ τῆς δόξης κοινόν· καί ἕτερον, ἐξ οὗ τό τῆς ὕβρεως.

ΜΑΞ. Τῷ τῆς ἀντιδόσεως τρόπῳ τοῦτο ἁγίοις εἴρηται Πατράσι. Πρόδηλον δέ ὡς ἡ ἀντίδοσις ἑνός οὐκ ἔστιν, ἀλλά δύο, καί ἀνίσων· κατ᾽ ἐπαλλαγήν, τά φυσικῶς ἑκατέρῳ μέρει τοῦ Χριστοῦ προσόντα, κατά τήν ἄῤῥητον ἕνωσιν θατέρων πεποιημένων (297) χωρίς τῆς θατέρου μέρους πρός τό ἕτερον κατά τόν φυσικόν λόγον μεταβολῆς καί συμφύρσεως. Εἰ οὖν τῷ τῆς ἀντιδόσεως τρόπῳ κοινόν λέγεις τό θέλημα, οὐχ ἕν, ἀλλά δύο λέξεις τά θελήματα· καί περιετράπη σοι πάλιν τό σοφόν εἰς ἐκεῖνο, ἐξ οὗ φυγεῖν ἐσπούδασας.

ΠΥΡ. Τί οὖν; Οὐ νεύματι τοῦ ἑνωθέντος αὐτῇ Λόγου ἡ σάρξ ἐκινεῖτο;

ΜΑΞ. Διαιρεῖς τόν Χριστόν, οὕτω λέγων. Νεύματι γάρ αὐτοῦ ἐκινεῖτο καί Μωϋσῆς, καί Δαβίδ, καί ὅσοι τῆς θείας ἐνεργείας

χωρητικοί, τῇ ἀποθέσει τῶν ἀνθρωπίνων καί σαρκικῶν ἰδιωμάτων γεγόνασιν. Ἡμεῖς δέ τοῖς ἁγίοις Πατράσιν, ὡς ἐν ἅπασι, κἀν τούτῳ ἑπόμενοι, φαμέν, ὅτιπερ αὐτός ὁ τῶν ὅλων Θεός, ἀτρέπτως γενόμενος ἄνθρωπος, οὐ μόνον ὡς Θεός ὁ αὐτός καταλλήλων τῇ αὐτοῦ θεότητι ἤθελεν, ἀλλά καί ὡς ἄνθρωπος ὁ αὐτός καταλλήλως τῇ αὐτοῦ ἀνθρωπότητι. Εἰ γάρ ἐξ οὐκ ὄντων τά ὄντα γενόμενα, καί τοῦ ὄντος, οὐ τοῦ μή ὄντος ἔχουσι ἀνθεκτικήν δύναμιν· ταύτης δέ κατά φύσιν ἴδιον ἡ πρός τά συστατικά ὁρμή, καί πρός τά φθαρτικά ἀφορμή· ἄρα καί ὁ ὑπερούσιος Λόγος, ἀνθρωπικῶς οὐσιωθείς, ἔσχε καί τοῦ ὄντος τῆς αὐτοῦ ἀνθρωπότητος τήν ἀνθεκτικήν δύναμιν· ἧς τήν ὁρμήν καί ἀφορμήν θέλων δι᾽ ἐνεργείας ἔδειξε· τήν μέν ὁρμήν ἐν τῷ τοῖς φυσικοῖς καί ἀδιαβλήτοις τοσοῦτον χρήσασθαι, ὡς καί μή Θεόν τοῖς ἀπίστοις νομίζεσθαι· τήν δέ ἀφορμήν ἐν τῷ καιρῷ τοῦ πάθους, ἑκουσίως τήν πρός τόν θάνατον συστολήν ποιήσασθαι. Τί οὖν τῶν ἀπόπων ἡ τοῦ Θεοῦ πέπραχεν Ἐκκλησία, μετά τῆς ἀνθρωπίνης αὐτοῦ καί κτιστῆς φύσεως, καί τούς δημιουργικῶς αὐτῇ παρ᾽ αὐτοῦ ἐντεθέντας ἐν αὐτῷ ἀνελλιπῶς ὁμολογοῦσα λόγους, ὧν καί ἄνευ εἶναι τήν φύσιν ἀδύνατον;

ΠΥΡ. Εἰ φυσικῶς ἡμῖν πρόσεστιν ἡ δειλία, τῶν διαβεβλημένων δέ αὕτη, ἄρα καθ᾽ ὑμᾶς φυσικῶς ἡμῖν ἔγκειται τά διαβεβλημένα, ἤγουν ἡ ἁμαρτία.

ΜΑΞ. Πάλιν ἐκ τῆς ὁμωνυμίας ἑαυτόν, οὐ τήν ἀλήθειαν παραλογίζῃ. Ἔστι γάρ καί κατά φύσιν καί παρά φύσιν δειλία· καί κατά φύσιν μέν δειλία ἐστί, δύναμις κατά συστολήν τοῦ ὄντος ἀνθεκτική· παρά φύσιν δέ παράλογος συστολήν τοῦ ὄντος ἀνθεκτική· παρά φύσιν δέ, παράλογος συστολή. Τήν οὖν παρά φύσιν ὁ Κύριος, ἅτε δι᾽ ἐκ προδοσίας οὖσαν λογισμῶν, ὅλως οὐ προσήκατο· τήν δέ κατά φύσιν, ὡς τῆς ἐνυπαρχούσης τῇ φύσει ἀντιποιητικῆς τοῦ εἶναι δυνάμεως ἐνδεικτικήν, θέλων δι᾽ ἡμᾶς ὡς ἀγαθός, ἐδέξατο. Οὐ γάρ προσηγεῖται ἐν τῷ Κυρίῳ καθάπερ ἐν ἡμῖν, τῆς θελήσεως τά φυσικά· ἀλλ᾽ ὥσπερ πεινάσας ἀληθῶς, καί διψήσας, οὐ τρόπῳ τῷ καθ᾽ ἡμᾶς ἐπείνασεν καί ἐδίψησεν, ἀλλά τῷ ὑπέρ ἡμᾶς· ἑκουσίως γάρ · οὕτω καί δειλιάσας ἀληθῶς, οὐ καθ᾽ ἡμᾶς, ἀλλ᾽ ὑπέρ ἡμᾶς ἐδειλίασε. Καί καθόλου φάναι, πᾶν φυσικόν (300) χωρίς τῆς θατέρου μέρους πρός τό ἕτερον κατά τόν φυσικόν λόγον μεταβολῆς καί συμφύρσεως. Εἰ οὖν τῷ τῆς ἀντιδόσεως τρόπῳ κοινόν λέγεις τό θέλημα, οὐχ ἕν, ἀλλά δύο λέξεις τά θελήματα·

καί περιετράπη σοι πάλιν τό σοφόν εἰς ἐκεῖνο, ἐξ οὗ φυγεῖν ἐσπούδασας.

ΠΥΡ. Τί οὖν; Οὐ νεύματι τοῦ ἑνωθέντος αὐτῇ Λόγου ἡ σάρξ ἐκινεῖτο;

ΜΑΞ. Διαιρεῖς τόν Χριστόν, οὕτω λέγων. Νεύματι γάρ αὐτοῦ ἐκινεῖτο καί Μωϋσῆς, καί Δαβίδ, καί ὅσοι τῆς θείας ἐνεργείας χωρητικοί, τῇ ἀποθέσει τῶν ἀνθρωπίνων καί σαρκικῶν ἰδιωμάτων γεγόνασιν. Ἡμεῖς δέ τοῖς ἁγίοις Πατράσιν, ὡς ἐν ἅπασι, κἀν τούτῳ ἑπόμενοι, φαμέν, ὅτιπερ αὐτός ὁ τῶν ὅλων Θεός, ἀτρέπτως γενόμενος ἄνθρωπος, οὐ μόνον ὡς Θεός ὁ αὐτός καταλλήλως τῇ αὐτοῦ θεότητι ἤθελεν, ἀλλά καί ὡς ἄνθρωπος ὁ αὐτός καταλλήλως τῇ αὐτοῦ ἀνθρωπότητι. Εἰ γάρ ἐξ οὐκ ὄντων τά ὄντα γενόμενα, καί τοῦ ὄντος, οὐ τοῦ μή ὄντος ἔχουσι ἀνθεκτικήν δύναμιν· ταύτης δέ κατά φύσιν ἴδιον ἡ πρός τα συστατικά ὁρμή, καί πρός τά φθαρτικά ἀφορμή· ἄρα καί ὁ ὑπερούσιος Λόγος, ἀνθρωπικῶς οὐσιωθείς, ἔσχε καί τοῦ ὄντος τῆς αὐτοῦ ἀνθρωπότητος τήν ἀνθεκτικήν δύναμιν· ἧς τήν ὁρμήν καί ἀφορμήν θέλων δι᾽ ἐνεργείας ἔδειξε· τήν μέν ὁρμήν ἐν τῷ τοῖς φυσικοῖς καί ἀδιαβλήτοις τοσοῦτον χρήσασσθαι, ὡς καί μή Θεόν τοῖς ἀπίστοις νομίζεσθαι· τήν δέ ἀφορμήν ἐν τῷ καιρῷ τοῦ πάθους, ἑκουσίως τήν πρός τόν θάνατον συστολήν ποιήσασθαι. Τί οὖν τῶν ἀτόπων ἡ τοῦ Θεοῦ πέπραχεν Ἐκκλησία, μετά τῆς ἀνθρωπίνης αὐτοῦ καί κτιστῆς φύσεως, καί τούς δημιουργικῶς αὐτῇ παρ' αὐτοῦ ἐντεθέντας ἐν αὐτῷ ἀνελλιπῶς ὁμολογοῦσα λόγους, , ὧν καί ἄνευ εἶναι τήν φύσιν ἀδύνατον;

ΠΥΡ. Εἰ φυσικῶς ἡμῖν πρόσεστιν ἡ δειλία, τῶν διαβεβλημένων δέ αὕτη, ἄρα καθ᾽ ὑμᾶς φυσικῶς ἡμῖν ἔγκειται τά διαβεβλημένα, ἤγουν ἡ ἁμαρτία.

ΜΑΞ. Πάλιν ἐκ τῆς ὁμωνυμίας ἑαυτόν, οὐ τήν ἀλήθειαν παραλογίζῃ. Ἔστι γάρ καί κατά φύσιν καί παρά φύσιν δειλία· καί κατά φύσιν μέν δειλία ἐστί, δύναμις κατά συστολήν τοῦ ὄντος ἀνθεκτική· παρά φύσιν δέ, παράλογος συστολή. Τήν οὖν παρά φύσιν ὁ Κύριος, ἅτε δι᾽ ἐκ προδοσίας οὖσαν λογισμῶν, ὅλως οὐ προσήκατο· τήν δέ κατά φύσιν, ὡς τῆς ἐνυπαρούσης τῇ φύσει ἀντιποιητικῆς τοῦ εἶναι δυνάμεως ἐνδεικτικήν, θέλων δι' ἡμᾶς, ὡς ἀγαθός, ἐδέξατο. Οὐ γάρ προσηγεῖται ἐν τῷ Κυρίῳ καθάπερ ἐν ἡμῖν, τῆς θελήσεως τά φυσικά· ἀλλ᾽ ὥσπερ πεινάσας ἀληθῶς, καί διψήσας, οὐ τρόπῳ τῷ καθ᾽ ἡμᾶς ἐπείνασεν καί ἐδίψησεν, ἀλλά τῷ ὑπέρ ἡμᾶς· ἑκουσίως γάρ· οὕτω καί

δειλιάσας ἀληθῶς, οὐ καθ᾽ ἡμᾶς, ἀλλ᾽ ὑπέρ ἡμᾶς ἐδειλίασε. Καί καθόλου φάναι, πᾶν φυσικόν (300) ἐπί Χριστοῦ, συνημμένον ἔχει τῷ κατ᾽ αὐτό λόγῳ καί τόν ὑπέρ φύσιν τρόπον ἵνα καί ἡ φύσις διά τοῦ λόγου πιστωθῇ, καί ἡ οἰκονομία διά τοῦ τρόπου.

ΠΥΡ. Οὐκοῦν ἵνα τήν λεπτήν ταύτην, καί τοῖς πολλοῖς δύσληπτον τεχνολογίαν ἐκφύγωμεν, Θεόν τέλειον τόν αὐτόν, καί ἄνθρωπον τέλειον ὁμολογήσωμεν, τά λοιπά πάντα ἐκκλίνοντες, ὡς τοῦ τελείου τά φυσικά παρ᾽ ἑαυτῷ συνεμφαίνοντος.

ΜΑΞ. Εἰ τό λέγειν τάς φύσεις ἄνευ τῆς ἑκάστῃ προσούσης ἰδιότητος, ἤ Θεόν τέλειον καί ἄνθρωπον τέλειον τόν Χριστόν, ἄνευ τῶν τῆς τελειότητος γνωρισμάτων, ἀπηρτισμένης κατά σέ εὐσεβείας ἐστί, ἀναθεματιζέσθωσαν αἱ σύνοδοι, καί πρό τούτων, οἱ Πατέρες· οὐ μόνον τάς φύσεις, ἀλλά καί τήν ἑκάστης φύσεως ἰδιότητα, ὁμολογεῖν ἡμῖν νομοθετήσαντες· καί οὐ μόνον Θεόν τέλειον καί ἄνθρωπον τέλειον τόν αὐτόν, ἀλλά καί τῆς τελειότητος τά γνωρίσματα, τουτέστιν, ὁρατόν καί ἀόρατον τόν αὐτόν καί ἕνα λέγοντες, θνητόν καί ἀθάνατον, φθαρτόν καί ἄφθαρτον, ἁπτόν καί ἀναφῆ, κτιστόν καί ἄκτιστον· καί κατ᾽ αὐτήν τήν εὐσεβῆ ἔννοιαν, καί δύο εὐσεβῶς θελήματα τοῦ αὐτοῦ καί ἑνός ἐδογμάτισαν, οὐ μόνον διά τοῦ ὡρισμένου ἀριθμοῦ τῶν δύο, ἀλλά καί δι᾽ ἀντωνυμίας τοῦ ἄλλο καί ἄλλο· καί δι᾽ ἀναλογίας τοῦ θεῖον εἰπεῖν καί ἀνθρώπινον. Οὐ γάρ ἑνί τρόπῳ ἡ τοῦ ἀριθμοῦ περιορίζεται φύσις.

ΠΥΡ. Εἰ οὐ δυνατόν ἐστι τάς φωνάς ταύτας λέγεσθαι διά τήν τῶν αἱρετιζόντων ἐπήρειαν, ἀρκεσθῶμεν κἄν μόνοις τοῖς συνοδικῶς εἰρημένοις· καί μήτε ἕν, μήτε δύο εἴπωμεν τά θελήματα.

ΜΑΞ. Εἰ τά συνοδικῶς καί μόνον εἰρημένα χρή ὁμολογεῖν, οὔτε τήν μίαν τοῦ Θεοῦ Λόγου φύσιν σεσαρκωμένην, περιεκτικήν πάσης τῆς τοῦ μυστηρίου οὖσαν εὐσεβείας, χρή λέγειν, συνοδικῶς οὐκ ἐκπεφωνημένην. Πλήν ὅτι καί οὕτω ταῖς φύσεσι καί τοῖς αὐτῶν ἰδιώμασι καί τά θελήματα συνομολογεῖν βιασθήσεσθε. Εἰ γάρ τά φυσικῶς προσόντα ταῖς φύσεσι τοῦ Χριστοῦ, ἰδιώματα αὐτῶν εἶναι λέγετε, φυσικῶς δέ ἑκατέρᾳ αὐτοῦ φύσει τό θέλειν ἐμπέφυκεν, ἄρα μετά τῶν ἄλλων φυσικῶν ἰδιωμάτων, καί τά θελήματα ταῖς φύσεσι συνομολογεῖν ἀναγκασθήσεσθε.

Ἄλλως τε δέ, εἰ αἱ σύνοδοι ἐπί τῇ τοῦ ἑνός θελήματος φωνῇ καί Ἀπολινάριον καί Ἄρειον ἀνεθεμάτισαν, ἑκατέρου αὐτῶν ταύτῃ πρός σύστασιν τῆς ἰδίας αἱρέσεως ἀποχρησαμένου· τοῦ μέν, ὁμοούσιον τῷ

Λόγῳ διά τούτου τήν σάρκα βουλομένου δεῖξαι· τοῦ δέ, ἑτεροούσιον τόν Υἱόν πρός τόν Πατέρα εἰσαγαγεῖν ἀγωνιζωμένου, πῶς εὐσεβεῖν ἡμᾶς δυνατόν, τάς ἐναντίας τοῖς αἱρετικοῖς φωνάς οὐχ ὁμολογοῦντας; Ἡ δέ πέμπτη σύνοδος, ἵνα πάντα παραλίπω, θεσπίσασα αὐτολεξεί, Πάντα τά τῶν ἁγίων Ἀθανασίου, καί Βασιλείου, καί Γρηγορίων, καί ἄλλων τινῶν προσδιωρισμένως ἐγκρίτων [ἐκκρίτων] (301) διδασκάλων συντάγματα, ἐν οἷς καί τά δύο ἔγκεινται θελήματα, δέχεσθαι, καί δύο παραδεδώκασιν θελήματα.

ΠΥΡ. Καί οὐ δοκεῖ σοι, τάς τῶν πολλῶν πλήττειν ἀκοάς, τό φυσικόν θέλημα λεγόμενον;

ΜΑΞ. Ὑπεξαιρουμένης τῆς θείας, πόσα εἴδη ζωῆς ἐν τοῖς οὖσιν εἶναι λέγεις;

ΠΥΡ. Αὐτός εἰπέ.

ΜΑΞ. Τρία εἴδη ζωῆς εἰσιν.

ΠΥΡ. Ποῖα ταῦτα;

ΜΑΞ. Ἡ φυτική, ἡ αἰσθητική, ἡ νοερά.

ΠΥΡ. Οὕτως ἔχει.

ΜΑΞ. Ἐπειδή δέ ἕκαστον λόγῳ τινί δημιουργίας τῳν ἄλλων διακέκριται, τίς ὁ διακριτικός καί ἰδιάζων ἑκάστου εἴδους λόγος;

ΠΥΡ. Καί τοῦτο εἰπεῖν σε ἀξιῶ.

ΜΑΞ. Τῆς μέν φυτικῆς ἴδιον ἡ θρεπτική, καί αὐξητική, καί γεννητική κίνησις· τῆς δέ αἰσθητικῆς, ἡ καθ᾽ ὁρμήν κίνησις· τῆς δέ νοερᾶς, ἡ αὐτεξούσιος.

ΠΥΡ. Πάνυ εὐκρινῆ καί ἀσύγχυτον τήν τῆς ἑκάστου εἴδους ζωῆς παρέστησας ἰδιότητα.

ΜΑΞ. Εἰ εὐκρινής καί ἀσύγχυτος ἡ ἑκάστου ἐδείχθη [εἴδους] ἰδιότητος, πάλιν ζητῶ, εἰ κατά φύσιν πρόσεστι τῇ φυτικῇ ἡ θρεπτική, καί αὐξητική, καί γεννητική κίνησις· καί τῇ αἰσθητικῇ, ἡ καθ᾽ ὁρμήν.

ΠΥΡ. Κατά φύσιν ἀναμφιβόλως.

ΜΑΞ. Οὐκοῦν καί τῇ νοερᾷ ἀκολούθως ἡ αὐτεξούσιος κίνησις.

ΠΥΡ. Καί τοῦτο πάνως δώσει ὁ ἀκόλουθα ταῖς οἰκείαις ἀρχαῖς δογματίζων.

ΜΑΞ. Εἰ οὖν κατά φύσιν πρόσεστι τοῖς νοεροῖς ἡ αὐτεξούσιος κίνησις, ἄρα πᾶν νοερόν καί φύσει θελητικόν. Θέλησιν γάρ τό αὐτεξούσιον ὁ μακάριος ὡρίσατο Διάδοχος ὁ Φωτικῆς εἶναι. Εἰ δέ πᾶν νερόν καί φύσει θελητικόν, γέγονε δέ ὁ Θεός Λόγος σάρξ ἀληθῶς καί λογικῶς τε καί νοερῶς ἐψυχωμένη, ἄρα καί καθ᾽ ὅ ἄνθρωπος,

οὐσιωδῶς ὁ αὐτός ἦν θελητικός. Εἰ δέ τοῦτο, οὐκ ἄρα τάς τῶν εὐσεβῶν ἀκοάς πλήττει λεγόμενον τό φυσικόν θελημα, ἀλλά τάς τῶν αἱρετιζόντων.

ΠΥΡ. Ἐγώ μέν ἤδη ἐν τοῖς φθάσασι ἐπείσθην, φυσικά εἶναι τά ἐπί Χριστοῦ θελήματα· και περί τούτου ἑτέραν οὐκ ἐπιζητῶ ἀπόδειξιν. Οὐχ ἧττον γάρ τῶν θεωδῶς ἐκπεφασμένων, αὐτήν τῶν ὄντων τήν φύσιν ὁ λόγος μαρτυροῦσαν ἔδειξε, ὡς καταλλήλως ταῖς ἑαυτοῦ φύσεσιν ὁ αὐτός θέλων ἦν, εὐδοκῶν μέν ὡς θεός, ὑπακούων ὡς ἄνθρωπος, καί ὅτι κατάλληλα πάντως τά φυσικά θελήματα ταῖς φύσεσιν. Ἄναρχον μέν τῆς ἀνάρχου, καί τῆς ἠργμένης ἠργμένον· καί ὅτι οὐ δυνατόν εἰς ἕν θέλημά ποτε συμπεσεῖν ἀλλήλοις, κἄν ἑνός καί τοῦ αὐτοῦ εἰσιν, ὥσπερ καί αἱ φύσεις, τό ἄναρχον καί τό ἠργμένον, τό ἄκτιστον καί τό κτιστόν, τό ποιῆσαν καί τό ποιηθέν, τό (304) ἄπειρον καί τό πεπερασμένον, τό θεῶσαν καί τό θεωθέν. Οἱ δέ ἐν τῷ Βυζαντίῳ, ἔτι πρός τά φυσικά θελήματα ἀντιστατοῦντες, κατ᾽ οἰκείωσίν φασιν εἰρηκέναι τούς Πατέρας ἔχειν τόν Κύριον τό ἀνθρώπινον θέλημα.

ΜΑΞ. Ἐπειδή αὐτός τῆς τοιαύτης αὐτῶν θαυμαστῆς καί λαμπρᾶς καθηγήσω παιδεύσεως· κατά ποίαν οἰκείωσιν τοῦτό φασιν; Ἆρα τήν οὐσιώδη, καθ᾽ ἥν τά φυσικῶς προσόντα ἕκαστος ἔχων, διά τήν φύσιν οἰκειοῦται· ἤ τήν σχετικήν, καθ ἥν φιλικῶς τά ἀλλήλων οἰκειούμεθα καί στέργομεν, μηδέν τούτων αὐτοί ἤ πάσχοντες, ἤ ἐνεργοῦντες;

ΠΥΡ. Τήν σχετικήν δολονότι.

ΜΑΞ. Οὐκοῦν πρίν τούτου δεῖξαι τό ἄτοπον, δικαιότερον ἄν εἴη ἀκριβέστερον ἐξετάσει, εἴ τε φύσει θελητικός ἐστιν ὁ ἄνθρωπος, εἴ τε καί μή. Τούτου γάρ δεικνυμένου, σαφέστερον γενήσεται τῆς τοιαύτης αἱρέσεως τό βλάσφημον.

ΠΥΡ. Εἰ δοκεῖ, τοῦτο ἐξετάσωμεν.

ΜΑΞ. Ἀδίδακτα εἶναι τά φυσικά, οὐ μόνον οἱ λόγῳ τήν φύσιν διασκεψάμενοι, καί τῶν πολλῶν διαφέροντες ἔφασαν, ἀλλά καί ἡ τῶν χυδαιοτέρων συνήθεια. Εἰ δέ τά φυικά ἀδίδακτα, ἀδίδακτον δέ ἔχομεν τό θέλειν· οὐδείς γάρ ποτε θέλειν διαδάσκεται· ἄρα φύσει θελητικός ὁ ἄνθρωπος. Καί πάλιν, εἰ φύσει λογικός ὁ ἄνθρωπος· τό δέ φύσει λογικόν καί φύσει αὐτεξούσιον· τό γάρ αὐτεξούσιον, κατά τούς Πατέρας, θέλησίς ἐστιν· ἄρα φύσει θελητικός ὁ ἄνθρωπος. Καί πάλιν, εἰ ἐν τοῖς ἀλόγοις ἄγει μέν ἡ φύσις· ἄγεται δέ ἐν τῷ ἀνθρώπῳ ἐξουσιαστικῶς κατά θέλησιν κινουμένῳ· ἄρα φύσει θελητικός ὁ ἄνθρωπος. Καί πάλιν, εἰ κα᾽ εἰκόνα τῆς μακαρίας καί ὑπερουσίου

Θεότητος ὁ ἄνθρωπος γεγένηται· αὐτεξούσιος δέ φύσει ἡ θεία φύσις· ἄρα καί ἄνθρωπος, ὡς αὐτῆς ὄντως εἰκών, αὐτεξούσιος τυγχάνει φύσει· εἰ δέ αὐτεξούσιος φύσει, θελητικός ἄρα φύσει ὁ ἄνθρωπος· εἴρηται γάρ ἤδη, ὡς τό αὐτεξούσιον θέλησιν ὡρίσατο οἱ Πατέρες. Ἔτι τε, οὐ πᾶσιν ἐνθρώποις ἐνυπάρχει τό θέλειν· καί οὐ τοῖς μέν ἐνυπάρχει, τοῖς δέ οὐκ ἐνυπάρχει· τό δέ κοινῶς πᾶιν ἐνθεωρούμενον φύσιν χαρακτηρίζει ἐν τοῖς ὑπ' αὐτό ἀτόμοις· ἄρα φύσει θελητικός ὁ ἄνθρωπος.

ΠΥΡ. Δέδεικται διά πλειόνων φύσει θελητικός ὤν ὁ ἄνθρωπος.

ΜΑΞ. Τούτου οὖν περιφανῶς δειχθέντος, διασκεψώμεθα, ὡς ἀνωτέρω ὑπεθέμεθα, καί τῆς αὐτῶν προτάσεως τό ἄτοπον.

ΠΥΡ. Διασκεψώμεθα.

ΜΑΞ. Εἰ φύσει θελητικός ὁ ἄνθρωπος, ὡς δέδεικται, (305) κατ᾿ αὐτούς δέ κατά τήν ἐν ψιλῇ σχέσει οἰκείωσιν τό ἀνθρώπινον θέλημα εἶχεν ὁ Χριστός, ἀνάγκη αὐτούς, εἴπερ ταῖς οἰκείαις ἀρχαῖς στοιχοῦσι, καί τά ἄλλα ἡμῖν φυσικά μετ᾿ αὐτοῦ· φημί δή τοῦ κατά φύσιν θελήματος· κατ᾿ οἰκείωσιν ψιλήν λέγειν· καί εὑρεθήσεται αὐτοῖς ἡ τῆς ὅλης οἰκονομίας θεωρία καί μύησις, κατά φαντασίαν λαμβανομένη. Ἔπειτα, εἰ ἡ ψῆφος Σεργίου, οὐ τούς πῶς, ἀλλά τούς ἁπλῶς δύο θελήματα εἰπόντας ἀνεθεμάτισε· λέγουσι δέ οὗτοι δύο, κἄν εἰ ἐσφαλμένως, διά τήν οἰκείωσιν· ἄρα οἱ ταύτης προϊστάμενοι, τῷ κατ᾿ αὐτῶν συνηγοροῦσιν ἀναθέματι. Καί πάλιν, εἰ, κατά τήν ὑπ᾿ αὐτῶν διεκδικουμένην πρότασιν, τοῖς θελήμασι πρόσωπα συνεισάγονται· ἄρα δύο θελήματα λέγοντες, καί εἰ ἐσφαλμένως, διά τήν οἰκείωσιν, ὡς εἴρηται, καί τά συνεισαγόμενα αὐτοῖς, κατά τήν τοιαύτην πρότασιν, λέξουσι πρόσωπα.. Καί τίς οἴσει τήν εἰς δύο πρόσωπα τοῦ ἑνός κατατομήν;

ΠΥΡ. Τί οὖν οἱ Πατέρες; οὐχ ἡμέτερον εἶπον εἶναι, ὅπερ ὁ Χριστός ἐν ἑαυτῷ ἐτύπωσε θέλημα;

ΜΑΞ. Ναί, ἡμέτερον.

ΠΥΡ. Οὐκοῦν οὐ τό προσόν αὐτῷ φύσει διά τοῦ ἀνθρωπίνου ἐσήμαναν, ἀλλ᾿ ὅπερ κατ᾿ οἰκείωσιν ἀνεδέξατο.

ΠΥΡ. Τί οὖν οἱ Πατέρες; οὐχ ἡμέτερον εἶπον εἶναι, ὅπερ ὁ Χριστός ἐν ἑαυτῷ ἐτύπωσε θέλημα;

ΜΑΞ Ναί ἡμέτερον.

ΠΥΡ. Οὐκοῦν οὐ τό προσόν αὐτῷ φύσει διά τοῦ ἀνθρωπίνου ἐσήμαναν, ἀλλ ὅπερ κατ᾿ οἰκείωσιν ἀνεδέξατο.

ΜΑΞ. Ἐπειδή καί τήν ἡμετέραν φύσιν ὡσαύτως ἀνειληφέναι αὐτόν ἔφασιν, ἄρα κατ᾿ αὐτούς καί αὐτήν τήν φύσιν κατ᾿ οἰκείωσιν ψιλήν ἔχων εὑρεθήσεται. Εἰ γάρ ἐκεῖνο ἀληθές, καί τοῦτο· εἰ δέ τοῦτο ψευδές, κἀκεῖνο.

ΠΥΡ.. Τί οὖν; τό ἡμέτερον ἐν ἑαυτῷ τυπῶσαι εἰπόντες, τό αὐτῷ φύσει προσόν ἐσήμαναν;

ΜΑΞ. Ναί.

ΠΥΡ. Πῶς τοῦτό φῄς;

ΜΑΞ. Ἐπειδή ὁ αὐτός ὅλος ἦν Θεός μετά τῆς ἀνθρωπότητος, καί ὅλος ὁ αὐτός μετά τῆς θεότητος· αὐτός, ὡς ἄνθρωπος, ἐν ἑαυτῷ καί δι᾿ ἑαυτοῦ τό ἀνθρώπινον ὑπέταξε τῷ Θεῷ καί Πατρί, τύπον ἡμῖν ἑαυτόν ἄριστον καί ὑπογραμμόν διδούς πρός μίμησιν, ἵνα καί ἡμεῖς πρός αὐτόν ὡς ἀρχηγόν τῆς ἡμῶν ἀφορῶντες σωτηρίας, τό ἡμέτερον ἑκουσίως προσχωρήσωμεν τῷ Θεῷ, ἐκ τοῦ μηκέτι θέλειν παρ᾿ ὅ αὐτός θέλει.

ΠΥΡ. Ἐκεῖνο οὐ προθέσει κακῇ καί πανουργίᾳ (308) τινί τοῦτο εἶπον, ἀλλά βουλόμενοι τήν ἄκραν ἕνωσιν δηλῶσαι.

ΜΑξ. Εἰ τοῦτο τοῖς ἀπό Σεβήρου δοθῇ, οὐκ εὐλόγως λοιπόν, ὅσον πρός τό δοθέν λῆμμα, κἀκεῖνοι λέξουσιν· ὅτι Οὐ κακῇ προθέσει, ἤ πανουργίᾳ τινί, μίαν λέγομεν φύσιν, ἀλλά βουλόμενοι, καθάπερ καί ὑμεῖς, διά τοῦ ἑνός θελήματος, τήν ἄκραν ἕνωσιν δι᾿ αὐτῆς δεῖξαι; Τοῖς γάρ αὐτῶν κατ᾿ αὐτῶν, ὅν τρόπον καί Δαβίδ κατά τοῦ Γολιάθ, χρήσονται ὅπλοις. Ἰδού ἕν [καί γάρ ἕν] θέλημα λέγοντες, ταῖς αὐταῖς ἐκείνοις καί ἐννοίαις καί φωναῖς συμπίπτουσι. Πλήν τούτο τό ἕν θέλημα, τί βούλονται ὀνομάζειν; δίκαιοι γάρ εἰσι τούτου τήν προσηγορίαν δοῦναι.

ΠΥΡ. Γνωμικόν τουτό φασιν.

ΜΑΞ. Οὐκοῦν, ἤ γνωμικόν καί παράγωγον· εἰ δέ παράγωγον, ἡ γνώμη, ὡς πρωτότυπον, οὐσία ἔσται.

ΠΥΡ. Οὐκ ἔστιν ἡ γνώμη οὐσία.

ΜΑΞ. Εἰ οὐσία οὐκ ἔστι, ποιότης ἐστί· καί εὑρεθήσεται ποιότης ἐκ ποιότητος· ὅπερ ἀδύνατον. Τί οὖν φασι τήν γνώμην;

ΠΥΡ. Ἡ γνώμη οὐδέ ἕτερόν ἐστιν, ἤ ὅπερ ὁ μακάριος αὐτήν ὡρίσατο Κύριλλος, ὅτι τρόπος ζωῆς.

ΜΑΞ. Ὁ τρόπος τῆς κατ᾿ ἀρετήν, φέρε εἰπεῖν, ἤ κακίαν ζωῆς, ἄρα ἐξ ἐπιλογῆς ἡμῖν πρόσεστιν, ἤ οὔ;

ΠΥΡ. Ἐξ ἐπιλογῆς, πάντως.

ΜΑΞ. Θέλοντες οὖν καί βουλευόμενοι ἐπιλεγόμεθα, ἤ ἀθελήτως καί ἀβουλεύτως;

ΠΥΡ. Ὁμολογουμένως θέλοντες καί βουλευόμενοι.

ΜΑΞ. Οὐκοῦν ἡ γνώμη οὐδέ ἕτερόν ἐστιν, ἤ ποιά θέλησις, σχετικῶς τινος ἤ ὄντος ἤ νομιζομένου ἀγαθοῦ ἀντεχομένη.

ΠΥΡ. Ὀρθῶς τήν τοῦ πατρικοῦ ὅρου ἐποιήσω ἐξήγησιν.

ΜΑΞ. Εἰ ὀρθῶς ἡ τοῦ πατρικοῦ ὅρου ἐκ ἐξάπλωσις γεγένηται, πρῶτον μέν οὐ δυνατόν γνωμικόν λέγειν θέλημα. Πῶς γάρ ἐκ θελήματος θέλημα προελθεῖν ἐνδέχεται; Ἔπειτα δέ καί γνώμην λέγοντες ἐπί Χριστοῦ, ὡς ἡ περί αὐτῆς ἔδειξε ζήτησις, ψιλόν αὐτόν δογματίζουσιν ἄνθρωπον, βουλευτικῶς διατιθέμενον καθ᾽ ἡμᾶς, ἀγνοῦντά τε καί ἀμφιβάλλοντα, καί ἀντικείμενα ἔχοντα· εἴπερ τις περί τῶν ἀμφιβαλλομένων, καί οὐ περί τοῦ ἀναμφιβόλου βουλεύεται. Ἡμεῖς μέν γάρ ἁπλῶς φύσει καλοῦ φυσικῶς ἔχομεν τήν ὄρεξιν· τοῦ δέ πῶς καλοῦ πεῖραν διά ζητήσεως καί βουλῆς. Καί διά τοῦτο ἐφ᾽ ἡμῶν καί γνώμη προσφυῶς λέγεται, τρόπος οὖσα χρήσεως, οὐ λόγος φύσεως· ἐπεί καί ἀπειράκις μετέβαλεν ἡ φύσις. Ἐπί δέ τοῦ ἀνθρωπίνου τοῦ Κυρίου, οὐ ψιλῶς καθ᾽ ἡμᾶς ὑποστάντος, ἀλλά θεϊκῶς· Θεός γάρ ἦν (309) ὁ δι᾽ ἡμᾶς ἐξ ἡμῶν σαρκί πεφηνώς, γνώμη λέγεσθαι οὐ δύναται. Αὐτό γάρ [αὐτῷ τῷ] τό εἶναι, ἤγουν, τό θεϊκῶς ὑποστῆναι, φυσικῶς καί τήν πρός τό καλόν εἶχεν οἰκείωσιν, καί τήν πρός τό κακόν ἀλλοτρίωσιν, καθώς καί ὁ μέγας τῆς Ἐκκλησίας ὀφθαλμός Βασίλειος ἐν τῇ ἑρμηνείᾳ τοῦ μδ' ψαλμοῦ διδάσκων, ἔφη· "Κατά τοῦτο δέ ἐκλήψῃ καί τό Ἡσαΐᾳ περί αὐτοῦ εἰρημένον, ὅτι Πρίν ἤ γνῶναι τό παιδίον, ἤ προελέσθαι πονηρά, ἐκλέξεται τό ἀγαθόν. Διότι πρίν ἤ γνῶναι τό παιδίον ἀγαθόν ἤ κακόν, ἀπειθεῖ πονηρίᾳ τοῦ ἐκλέξασθαι τό ἀγαθόν. Τό γάρ, πρίν ἤ, δηλοῖ ὅτι οὐ καθ᾽ ἡμᾶς ζητήσας καί βουλευσάμενος, ἀλλά θεϊκῶς ὑποστάς, αὐτῷ εἶναι, τό ἐκ φύσεως εἶχεν ἀγαθόν."

ΠΥΡ. Τί οὖν; φυσικαί εἰσιν αἱ ἀρεταί;

ΜΑΞ. Ναί, φυσικαί.

ΠΥΡ. Καί εἰ φυσικαί, διά τί μή ἐπίσης πᾶσιν ἐνυπάρχουσι τοῖς ὁμοφυέσι;

[ΜΑΞ. Πᾶσι τοῖς ὁμοφυέσιν ἐπίσης ἐνυπάρχουσι.]

ΠΥΡ. Καί πόθεν ἐν ἡμῖν τοσαύτη ἀνισότης;

ΜΑΞ. Ἐκ τοῦ μή ἐπίσης ἐνεργεῖν τά τῆς φύσεως. Ὡς. εἴπερ πάντες ἴσως, ἐφ᾽ ᾧ καί γεγόναμεν, ἐνηργοῦμεν τά φυσικά, μία ἄρα ἐδείκνυτο

ἐν πᾶσιν, ὥσπερ ἡ φύσις, οὕτω καί ἀρετή, τό μᾶλλον καί ἧττον οὐκ ἐπιδεχομένη.

ΠΥΡ. Εἰ οὐκ ἐξ ἀσκήσεως ἡμῖν τά φυσικά πρόεισιν, ἀλλ᾽ ἐκ δημιουργίας, ἡ δέ ἀρετή φυσική, πῶς πόνῳ καί ἀσκήσει τάς ἀρετάς, φυσικάς οὔσας, κτώμεθα;

ΜΑΞ. Ἡ ἄσκησις, καί οἱ ταύτῃ ἑπόμενοι πόνοι, πρός τό μόνον διαχωρίσαι τήν ἐμφυρεῖσαν δι᾽ αἰσθήσεως ἀπάτην τῇ ψυχῇ ἐπενοήθησαν τοῖς φιλαρέτοις· οὐ πρός τό ἔξωθεν προσφάτως ἐπεισαγαγεῖν τάς ἀρετάς· ἔκγειται γάρ ἡμῖν ἐκ δημιουργίας, ὡς εἴρηται· ὅθεν καί ἅμα τελείως διακριθῇ ἡ ἀπάτη, ἅμα καί τῆς κατά φύσιν ἀρετῆς τήν λαμπρότητα ἐνδείκνυται ἡ ψυχή. Ὁ γάρ μή ἄφρων, φρόνιμος· καί ὁ μή δειλός ἤ θρασύς, ἀνδρεῖος· καί ὁ μή (312) ἀκόλαστος, σώφρων· καί ὁ μή ἄδικος, δίκαιος. Κατά φύσιν δέ ὁ λόγος, φρόνησίς ἐστι· καί τό κριτήριον, δικαιοσύνη, καί ὁ θυμός, ἀνδρεία· καί ἡ ἐπιθυμία, σωφροσύνη. Ἄρα τῇ ἀφαιρέσει τῶν παρά φύσιν, τά κατά φύσιν καί μόνα διαφαίνεσθαι εἴωθεν· ὥσπερ καί τῇ τοῦ ἰοῦ ἀποβολῇ, ἡ τοῦ σιδήρου κατά φύσιν αὐγή καί λαμπρότης.

ΠΥΡ. Μεγίστη ἐντεῦθεν ἀναδέδεικται βλασφημία τοῖς γνώμην ἐπί Χριστοῦ λέγουσιν.

ΜΑΞ. Χρή μηδέ τοῦτο παρελθεῖν ἀπαρασήμαντον, ὅτι πολύτροπον καί πολύσημον παρά τε τῇ ἁγίᾳ Γραφῇ καί τοῖς ἁγίοις Πατράσιν ἐστί τό τῆς γνώμης ὄνομα, ὡς τοῖς ἐπιμελῶς ἀναγινώσκουσι δῆλον ὑπάρχει. Ποτέ μέν γάρ ἐπί παραινέσεως καί ὑποθήκης αὐτό φέρουσιν· ὡς ὅταν λέγῃ ὁ Ἀπόστολος· Περί δέ τῶν παρθένων ἐπιταγήν Κυρίου οὐκ ἔχω· γνώμην δέ δίδωμι· ποτέ δέ ἐπιβουλῆς, ἡνίκα ὁ μακάριος Δαβίδ· Ἐπί τόν λαόν σου κατεπανουργεύσαντο γνώμην· ὅπερ ἄλλος ἐκδότης σαφηνίζων, Ἐπί τόν λαόν σου, ἔφη, κατεπανουργεύσαντο βουλήν· ποτέ δέ ἐπί τῆς ψήφου· ὁπηνίκα Δανιήλ, ὁ ἐν προφήταις μέγας, λέγει περί τινος· Ἐξῆλθεν ἡ γνώμη ἡ ἀναιδής ἐκ προσώπου τοῦ βασιλέως· ποτέ δέ ἐπί δόξης, ἤ πίστεως ἤ φρονήματος, ἡνίκα Γρηγόριος ὁ τῆς θεολογίας ἐπώνυμος ἐν τῷ πρώτῳ Περί Υἱοῦ λόγῳ διέξεισιν· " Ἐπεί δέ τό μέν ἐπιτιμᾶν οὐ μέγα, ῥᾷστον γάρ, καί τοῦ βουλομένου παντός· τό δέ ἀντεισάγειν τήν ἑαυτοῦ γνώμην, ἀνδρός ἐστιν εὐσεβοῦς καί νοῦν ἔχοντος." Καί ἁπλῶς, ἵνα μή καθ᾽ ἕν τά πάντα διεξερχόμενος, ὄχλον ἐπισωρεύσω τῷ λόγῳ, κατά εἰκοσιοκτώ σημαινόμενα παρά τε τῇ ἁγίᾳ Γραφῇ καί τοῖς ἁγίοις Πατράσιν ἐπιτηρησάμενος, τό τῆς γνωμης εὗρον ὄνομα· οὐδέ γάρ κοινοῦ τινος ἤ

ἰδικοῦ ἐμφαίνει χαρακτῆρα, ἀλλ᾽ ἤ ἐκ τῶν πρό αὐτοῦ λεγομένων, ἤ τῶν ἐφεξῆς, ἡ τοῦ λέγοντος κανονίζεται διάνοια. Διά καί ἀδύνατον ἑνί καί μόνῳ σηναινομένῳ, τό τοιοῦτο ἀφορίσαι ὄνομα.

ΠΥΡ. Πῶς γάρ ἐνδέχεται τό πολλαχῶς λεγόμενον, ἑνός τινος εἶναι ἀποκληρωτικόν;

ΜΑΞ. Ἵνα οὖν τό αἶσχος τῆς τοιαύτης αἱρέσεως φανερώτερον γένηται, καί ἑτέρως τήν τοιαύτην διασκεψώμεθα πρότασιν.

ΠΥΡ. Εἴ σοι φίλον, διασκεψώμεθα.

ΜΑΞ. Ἕν θέλημα λέγοντες, εἴτε προαιρετικόν εἴτε γνωμικόν, εἴτε ἐξουσιαστικόν, εἰ καί ἑτέρως πως αὐτό καλεῖν βούλοιντο· οὐ γάρ διαφερόμεθα περί τούτου· ἤ θεῖον, ἤ ἀγγελικόν, ἤ ἀνθρώπινον τοῦτο λέγειν βιασθήσονται. Καί προηγουμένως μέν, ὁπότερον τούτων αὐτό εἴπωσι, φυσικόν λέξουσιν· (313) εἴπερ ἑκάτερον αὐτῶν φύσεως ὑπάρχει δηλωτικόν· καί ὅπερ διά τῆς διαιρετικῆς μεθόδου φεύγειν ἔδοξαν, τοῦτο διά τῆς ἀναλυτικῆς συνιστῶντες ἐδείχθησαν. Ἐφεπομένως δέ, εἰ μέν θεῖον αὐτό λέξουσι, Θεόν καί μόνον φύσει ὄντα τόν Χριστόν ἐγνώρισαν· εἰ δέ ἀγγελικόν, οὔτε Θεόν οὔτε ἄνθρωπον, ἀλλ᾽ ἀγγελικήν τινα φύσιν· εἰ δέ ἀνθρώπινον, ψιλόν ἄνθρωπον καί ὑπεξούσιον αὐτόν ἔδειξαν.

ΠΥΡ. Ὁπηνίκα ταύταις περιπέσωσι ταῖς ἀτοπίαις, οὔτε φυσικόν οὔτε γνωμικόν λέγουσι τό θέλημα· ἀλλ' ἐπιτηδειότητι προσεῖναι ἡμῖν φασιν.

ΜΑΞ. Ἡ ἐπιτηδειότης αὕτη κατά φύσιν ἡμῖν πρόσεστιν, ἤ οὐ κατά φύσιν;

ΠΥΡ. Κατά φύσιν.

ΜΑΞ. Οὐκοῦν πάλιν, κατά ἀνάλυσιν, φυσικόν λέξουσι τό θέλημα· καί οὐδέν ἐκ τῆς περιόδου ταύτης ἀπώναιντο· καί ἐπειδή ἡ ἐπιτηδειότης ἐκ μαθήσεως ποιεῖται τήν ἕξιν καί τήν προχείρησιν· ἀπό μαθήσεως ἄρα καί προκοπῆς ἔσχεν ὁ Χριστός κατ᾽ αὐτούς τήν ἕξιν τοῦ θελήματος, καί τήν προχείρησιν· καί προέκοπτεν, ἀγνοῶν πρό τῆς μαθήσεως τά μαθήματα. Τίνος οὖν χάριν τόν Νεστόριον ἀποστρέφονται, τῶν ἐκείνου θερμῶς ἀντεχόμενοι λέξεων καί ἐνννοιῶν; Ὅτι δέ ἕν θέλημα λέγοντες, τά ἐκείνου διεκδικοῦσι, καί ἡ παρ᾽ αὐτῶν συνηγορουμένη Ἔκθεσις μαρτυρεῖ, ἕν θέλημα ἀποφηναμένη τόν Νεστόριον πρεσβεύειν, ἐπί τῶν πλαττομένων αὐτῷ δύο προσώπων.

Ἔτι τέ τό, φυσικόν εἶναι θέλημα διωθούμενοι, ἤ ὑποστατικόν αὐτό, ἤ παρά φύσιν λέξουσιν. Ἀλλ᾽ εἰ μέν ὑποστατικόν αὐτό φήσουσιν, ἑτερόβουλος οὕτω γε ἔσται ὁ Υἱός τῷ Πατρί. Μόνης γάρ ὑποστάσεως χαρκτηριστικόν τό ὑποστατικόν. Εἰ δέ παρά φύσιν, τήν ἔκπτωσιν τῶν αὐτοῦ δογματίζουσιν οὐσιῶν, εἴπερ φθαρτικά τῶν κατά φύσιν τά παρά φύσιν.

Ἡδέως δ᾽ ἄν αὐτούς καί τοῦτο ἐροίμην, ὅτι ὁ τῶν ὅλων Θεός καί Πατήρ, καθ᾽ ὅ Πατήρ θέλει, ἤ καθ᾽ ὅ Θεός; Ἀλλ᾽ εἰ μέν καθ᾽ ὅ ὁ Πατήρ, ἄλλο αὐτοῦ ἔσται παρά τό τοῦ Υἱοῦ θέλημα· οὐ γάρ Πατήρ ὁ Υἱός· εἰ δέ καθ᾽ ὅ Θεός· Θεός δέ Υἱός, Θεός καί τό Πνεῦμα τό ἅγιον· ἄρα φύσεως εἶναι τό θέλημα δώσουσιν, ἤγουν φυσικόν.

Ἔτι, εἰ κατά τούς Πατέρας, ὧν τό θέλημα ἕν, (316) τούτων καί ἡ οὐσία μία ἐστί· κατ᾽ αὐτούς δέ, ἕν τό θέλημα τῆς θεότητος τοῦ Χριστοῦ καί τῆς ἀνθρωπότητος αὐτοῦ· ἄρα μίαν καί τήν αὐτήν τούτων λέγουσι τήν οὐσίαν. Καί πῶς οὕτω ἀσεβοῦντες, φασίν, ὅτιπερ τοῖς Πατράσιν ἕπονται;

Καί πάλιν, εἰ κατά τούς αὐτούς διδασκάλους, οὐκ ἔστι κοινόν ἀμφοτέρων, δηλαδή οὐσιῶν, τό θέλημα, ἀνάγκη αὐτούς ἤ ἄμφω τάς φύσεις τοῦ αὐτοῦ μή λέγειν κοινῶς ἔχειν ἕν θέλημα· ἤ τοῦτο λέγοντας, φανερῶς τοῖς πατρικοῖς ἀπομάχεσθαι νόμοις τε καί θεσπίσμασι.

ΠΥΡ. Λίαν σαφῶς, καί συντετμημένως ἔδειξεν λόγος τήν συμπεπλεγμένην πάσῃ ἐπινοίᾳ τῶν δι᾽ ἐναντίας ἀσέβειαν. Τί δέ λέγομεν, ὅτι καί ἐκ τῶν Πατέρων τοῦτο δεικνύειν ἐπιχειροῦσι;

ΜΑΞ. Εἰ μέν τούς διαιροῦντας, καί τούς συγχέοντας τήν ὑπερφυᾶ οἰκονομίαν, Πατέρας καλεῖν βούλονται, συγχωροῦμεν αὐτοῖς. Πάντες γάρ ἕν θέλημα ἐδόξασαν, καίτοι ἐκ διαμέτρου διεστηκότες τήν ἀσέβειαν. Εἰ δέ τούς τῆς Ἐκκλησίας, οὐδαμῶς τοῦτο συγχωρήσομεν αὐτοῖς. Ἐπεί δείξωσιν ἕνα μόνον τῶν ἐμφανῶν καί πᾶσι γνωρίμων, ὅπως καί ἡμεῖς ἐν ἡμέρᾳ τῆς τῶν ἡμετέρων διαγνώσεως, ἐγκαλούμενοι παρά Χριστοῦ τοῦ Θεοῦ, ὅτι τίνος χάριν ἀνεδέξασθε φωνήν, ὅλον λύουσαν τῆς ἐμῆς σαρκώσεως τό μυστήριον; ἔχομεν ἀπολογίαν, ὅτι τήν ἐν πᾶσιν αἰδεσθέντες τοῦ Πατρός ὑπόληψιν.

ΠΥΡ. Τί οὖν τό εἰρημένον τῷ Θεολόγῳ Γρηγορίῳ· "Τό γάρ ἐκείνου θέλειν οὐδέ ὑπεναντίον τῷ Θεῷ, θεωθέν ὅλον," οὐκ ἐναντίον τῶν δύο θελημάτων ἐστί;

ΜΑΞ. Οὐδαμῶς. Τοὐναντίον, τῶν δύο θελημάτων μέν οὖν, καί τῶν ἄλλων πάντων ἐκφαντικώτερον.

ΠΥΡ. Πῶς τοῦτό φης;

ΜΑΞ. Ὥσπερ ἡ πύρωσις τό πυρωθέν καί τό πυρῶσαν ἑαυτῇ συνεισάγει, καί ἡ ψύξις τό ψυχθέν καί τό ψύξαν, καί ἡ βάδισις τό βαδίζον καί βαδιζόμενον, καί ἡ ὅρασις τό ὁρῶν καί ὁρώμενον, καί νόησις τό νοοῦν καί νοούμενον· οὐ γάρ δυνατόν τήν σχέσιν ἄνευ τῶν σχετῶν νοεῖν ἤ λέγειν· οὕτω κατά τό ἀκόλουθον, καί τό θεωθέν καί τό θεῶσαν. Ἄλλως τε δέ, εἰ τοῦ θελήματος θέωσις ἐναντία ἐστί τῶν δύο θελημάτων κατ᾽ αὐτούς, καί ἡ τῆς φύσεως θέωσις ἐναντία ἔσται τῶν δύο φύσεων. Ἐπ᾽ ἀμφοτέρων γάρ τόν αὐτόν τῆς θεώσεως τέθεικεν ὁ Πατήρ λόγον.

ΠΥΡ. Πάνυ συμβαίνουσα ἐδείχθη ἡ χρῆσις του Πατρός τοῖς δύο θελήμασιν· ἀλλά χρή τούτῳ σύμφωνον δεῖξαι καί Γρηγόριον, τόν τήν Νυσσαέων (317) φαιδρύναντα Ἐκκλησίαν. Ἕν γάρ αὐτόν φρονοῦντα παράγουσι θέλημα, ἐκ τοῦ εἰπεῖν τόν Πατέρα περί τοῦ Κυρίου· Ἡ ψυχή θέλει, τό σῶμα ἅπτεται· δι᾽ ἀμφοτέρων φεύγει τό πάθος. Φασί γάρ ὅτι τῷ θείῳ θελήματι τῆς ἡνωμένης αὐτῷ καθ᾽ ὑπόστασιν θεότητος ἔφη ὁ Πατήρ, τήν ψυχήν τοῦ Κυρίου θέλειν.

ΜΑΞ. Οὐκοῦν κατά τόν αὐτόν εἱρμόν καί τό σῶμα τῇ θείᾳ ἁφῇ ἔφη ἅπτεσθαι, καί ἔσται κατ' αὐτούς καί ἁπτή ἡ θεότης. Ἅ γάρ αὐτοί περί τῆς ψυχῆς τοῦ Κυρίου λέγουσιν, ἕτερος ἐκ τῆς ἴσης ἐκφωνήσεως μετάγων περί τό σῶμα, εἰς ἐσχάτην αὐτούς ἀπάγει πλάνην.

ΠΥΡ. Πάνυ συνοπτικῶς τό βλάσφημον τῆς τοιαύτης ἐκδοχῆς παρέστησας. Τί δέ φαμεν καί περί τῶν παραγομένων αὐτοῖς ἀπό τοῦ μεγάλου Ἀθανασίου χρήσεων; Ὧν μία ἐστίν αὕτη· "Νοῦς Κυρίου οὔπω Κύριος, ἀλλ᾽ ἡ θέλησις, ἡ βούλησις, ἡ ἐνέργεια πρός τι."

ΜΑΞ. Καθ᾽ ἑαυτῶν καί ταύτην προβάλλονται. Διό καί ὁ ἀληθής λόγος τοῖς αὐτῶν πρός ἀναίρεσιν τῶν αὐτῶν ἐν πᾶσι κέχρηται προβλήμασι. Μηδέ γάρ οὕτω ποτέ πτωχεύσειεν ἡ ἀλήθεια, ὥστε τῶν ἰδίων κατά τῶν ἀντιπάλων δεηθῆναι ὅπλων. Εἰ γάρ, κατά τόν Πατέρα, "Νοῦς Κυρίου, οὔπω Κύριος" ἄλλο πάντως παρά τόν Κύριον ἔσται ὁ νοῦς αὐτοῦ· τουτέστιν, οὐ φύσει Κύριος, ἤγουν Θεός, ὁ νοῦς τοῦ Κυρίου· καθ᾽ ὑπόστασιν γάρ, αὐτοῦ γεγενῆσθαι πιστεύεται· καί τοῦτο δῆλον ἐκ τοῦ ἐπαγαγεῖν, ἡ θέλησιν, ἡ βούλησιν, ἡ ἐνέργειαν πρός τι, αὐτόν εἶναι· κανόνι χρώμενος πρός τοῦτο, τῷ ὄντι φιλοσόφῳ τῶν φιλοσόφων Κλήμεντι, ἐν τῷ ἕκτῳ τῶν Στρωματέων λόγῳ, τήν μέν

θέλησιν, νοῦν εἶναι ὀρεκτικόν ὁρισαμένῳ· τήν δέ βούλησιν, εὔλογον ὄρεξιν, ἤ τήν περί τινος θέλησιν. Πρός τι δέ (320) ἐνέργειαν ὁ θεῖος οὗτος διδάσκαλος διότι πρός πάντα θεοπρεπῶς παρ᾽ αὐτοῦ γενόμενα, τῇ καθ᾽ ὑπόστασιν ἑνωθείσῃ αὐτῷ νοερᾷ καί λογικῇ ἐχρήσατο ψυχῇ.

ΠΥΡ. Τῷ ὄντι, δι᾽ ὧν ἀντιστρατεύεσθαι δοκοῦσι τῇ εὐσεβείᾳ, δι᾽ αὐτῶν τόν ἔλεγχον ὑπομείναντες ἠγνόησαν. Χρή δέ καί τήν ἑτέραν, ἥν ἐκ τοῦ Πατρός παράγουσιν, ἐπεξεργάσασθαι χρῆσιν, πρός τό μηδεμίαν αὐτοῖς ὑπολιπεῖν πρόφασιν κατά τῆς ἀληθείας.

ΜΑΞ. Τίς αὕτη; ἀγνοῶ γάρ.

ΠΥΡ. Ἥ φησιν ὁ θαυμαστός ἐκεῖνος ἀνήρ· " Ἐγεννήθη ἐκ γυναικός, ἐκ τῆς πρώτης πλάσεως τήν ἀνθρώπου μορφήν ἑαυτῷ ἀναστησάμενος, ἐν ἐπιδείξει σαρκός, δίχα δέ σαρκικῶν θελημάτων, καί λογισμῶν ἀνθρωπίνων, ἐν εἰκόνι κοινότητος. Ἡ γάρ θέλησις, θεότητος μόνης."

ΜΑΞ. Αὐθερμήνευτος οὖσα, οὐ δεῖται ὅλως τῆς ἐκ λογισμῶν βοηθείας.

ΠΥΡ. Καί πῶς τούτοις ἀμφίβολος τυγχάνει;

ΜΑΞ. Ἐκ πολλῆς ἀμαθίας. Ἐπεί, τίνι οὐκ ἔστι καταφανές, εἰ μή πάντη τό τῆς ψυχῆς πεπήρωται ὀπτικόν, ὅτι οὐ περί τοῦ φυσικοῦ λόγου, ἀλλά περί τοῦ τρόπου τῆς κατά σάρκα αὐτοῦ ὑπάρξεως, ταῦτα ὁ Πατήρ διεξῆλθεν, δεῖξαι βουλόμενος τήν σάρκωσιν ἔργον οὖσαν τῆς θείας καί μόνης θελήσεως, εὐδοκοῦντος μέν τοῦ Πατρός, αὐτουργοῦντος δέ τοῦ Υἱοῦ, καί συνεργοῦντος τοῦ ἁγίου Πνεύματος, ἀλλ᾽ οὐ σαρκικῆς κινήσεως, καί λογισμῶν ἀνθρωπίνων, εἴτου γαμικῆς ἀκολουθίας; Οὐ γάρ τόν τῆς φύσεως λόγον ἐκαινοτόμησε γενόμενος ἄνθρωπος τῶν ὅλων ὁ Θεός· ἐπεί οὐδέ ἄνθρωπος ἔτι ἦν, ἀνελλιπῆ καί ἀναλλοίωτον τόν ἐν πᾶσι τῆς φύσεως οὐκ ἔχων λόγον, ἀλλά τόν τρόπον, ἤγουυν τήν διά σπορᾶς σύλληψιν, καί τήν διά φθορᾶς γέννησιν. Οὐκοῦν τούς φυσικούς τῶν ἑνωθέντων λόγους οὐδαμῶς ἠρνήσαντο οἱ θεόφρονες τῆς Ἐκκλησίας διδάσκαλοι· ἀλλά συμφώνως τοῖς εὐαγγελισταῖς, καί ἀποστόλοις, καί προφήταις, τόν Κύριον ἡμῶν καί Θεόν Ἰησοῦ Χριστόν, κατ' ἄμφω τάς αὐτοῦ φύσεις θελητικόν καί ἐνεργητικόν τῆς ἡμῶν ἔφησαν σωτηρίας.

ΠΥΡ. Καί δυνατόν τοῦτο ἐκ τῶν τῆς Παλαιᾶς καί Νέας δεῖξαι Γραμμάτων;

ΜΑΞ. Καί μάλιστα· καί γάρ οἱ Πατέρες οὐκ οἴκοθεν κινούμενοι, ἀλλ᾽ ἐξ αὐτῶν μαθόντες, τοῦτο φιλανθρώπως καί ἐδίδαξαν. Οὐ γάρ

αὐτοί ἦσαν οἱ λαλοῦντες, ἀλλ᾽ ἡ δι᾽ ὅλου περιχωρήσασα αὐτοῖς χάρις τοῦ Πνεύματος.

ΠΥΡ. Ἐπειδή μιμήσει θείας ἀγοθότητος ὠφελεῖσαι προθέμενος, εἰς τούτους ἑαυτόν τῆς ζητήσεως ἐκδέδωκας τούς πόνους, ἀόκνως καί τοῦτο δίδαξον.

ΜΑΞ. Ἐν τοῖς ἁγίοις Εὐαγγελίοις εἴρηται περί τοῦ Κυρίου, ὅτι Τῇ ἐπαύριον ἠθέλησεν ὁ Ἰησοῦς (321) εἰς τήν Γαλικαίαν· πρόδηλον δέ, ὅτι καθ᾽ ὅ οὐκ ἦν ἐκεῖ, ἠθέλησιν εἰσελθεῖν· οὐκ ἦν δέ ἀνθρωπότητι· θεότητι γάρ οὐδενός ἄπεστιν. Ἄρα οὖν καθ᾽ ὅ ἄνθρωπος, καί οὐ καθ᾽ ὅ Θεός ἠθέλησεν εἰσελθεῖν· καί θελητικός ἦν καθ᾽ ὅ ἄνθρωπος.

Καί ἀλλαχοῦ πάλιν· Θέλω, ἵνα ὅπου εἰμί ἐγώ, καί αὐτοί ὦσιν. Εἰ καθ᾽ ὅ Θεός ὁ Χριστός ὑπέρ τό ποῦ ἐστίν· οὐ γάρ ἐν τόπῳ καθ᾽ ὅ Θεός· ὑπέρ δέ τό ποῦ ἀδύνατον τήν κτιστήν φύσιν ὑπάρχειν· ἄρα καθ᾽ ὅ ἄνθρωπος θέλει, ἵνα ὅπου ἐστί καί αὐτοί ὦσι· καί θελητικός ἦν ὁ αὐτός καθ᾽ ὅ ἄνθρωπος.

Καί ἀλλαχοῦ πάλιν· Καί ἐλθών εἰς τόπον, εἶπε· Διψῶ. Καί ἔδωκαν αὐτῷ οἶνον μετά χολῆς μεμιγμένον· καί γευσάμενος, οὐκ ἤθελε πιεῖν. Κατά ποῖον αὐτοῦ μέρος διψῆσαι αὐτόν λέγεται; Εἰ μέν κατά τήν θεότητα, ἐμπαθής ἔσται ἡ θεότης αὐτοῦ, πόσεως παρά φύσιν ἐφιεμένη. Εἰ δέ κατά τήν ἀνθρωπότητα, ἄρα καθ᾽ ὅ ἐδίψησε, κατ᾽ ἐκεῖνο καί τό ἀκατάλληλον τῇ φύσει οὐκ ἠθέλησε πιεῖν· καί θελητικός ἦν ὁ αὐτός καί καθ᾽ ὅ ἄνθρωπος.

Καί ἀλλαχοῦ φησι· Καί περιεπάτει ὁ Ἰησοῦς ἐν τῇ Γαλιλαίᾳ· οὐ γάρ ἤθελεν ἐν τῇ Ἰουδαίᾳ περιπατεῖν, ὅτι ἐζήτουν αὐτόν οἱ Ἰουδαῖοι ἀποκτεῖναι. Εἰ τῆς σαρκός φύσει ὁ περίπατος, ἀλλ᾽ οὐ τῆς καθ᾽ ὑπόστασιν ἡνωμένης αὐτῇ θεότητος, ἄρα καθ᾽ ὅ ἄνθρωπος ὁ αὐτός ἐν τῇ Γαλιλαίᾳ περιπατῶν, οὐκ ἤθελεν ἐν τῇ Ἰουδαίᾳ περιπατεῖν· καί θελητικός ὅ αὐτός καί καθ᾽ ὅ ἄνθρωπος.

Καί ἑτέρωθι πάλιν· Κἀκεῖθεν ἐξελθόντες, παρεπορεύοντο διά τῆς Γαλιλαίας· καί οὐκ ἤθελεν, ἵνα τις γνῷ. Ὡμολόγηται παρά πάντων ἡ πόρευσις φύσει τῆς ἀνθρωπότητος, ὡς εἴρηται, εἶναι τοῦ Κυρίου, ἀλλ᾽ οὐ τῆς αὐτοῦ θεότητος· εἰ δέ καθ᾽ ὅ ἄνθρωπος, ἀλλ᾽ οὐ καθ᾽ ὅ Θεός φύσει, προσῆν αὐτῷ ἡ πόρευσις· ἄρα καί καθ᾽ ὅ ἄνθρωπος παραπορευόμενος μετά τῶν μαθητῶν, οὐκ ἤθελεν ἵνα τις γνῷ· καί θελητικός ἦν ὅ αὐτός καί καθ᾽ ὅ ἄνθρωπος.

Καί ἑτέρωθι πάλιν· Κἀκεῖθεν ἀναστάς ἀπῆλθεν εἰς τά ὅρια Τύρου καί Σιδῶνος. Καί εἰσελθών εἰς οἰκίαν, οὐδένα ἤθελε γνῶναι· καί οὐκ

ἠδυνήθη λαθεῖν. Εἰ καθ᾽ ὅ Θεός ὁ Χριστός δύναμις ἦν αὐθυπόστατος· καθ᾽ ὅ δέ ἄνθρωπος, ἀσθένεια· Εἰ γάρ καί ἐσταυρώθη, φησίν ὁ θεῖος Ἀπόστολος, ἐξ ἀσθενείας, ἀλλά ζῇ ἐκ δυνάμεως Θεοῦ· ἄρα καθ᾽ ὅ ἄνθρωπος, καί οὐ καθ᾽ ὅ Θεός, εἰσελθών εἰς οἰκίαν, οὐκ ἤθελεν ἵνα τις γνῷ· καί οὐκ ἠδυνήθη λαθεῖν· καί θελητικός ἦν ὁ αὐτός, καί καθ᾽ ὅ ἄνθρωπος.

Καί ἀλλαχοῦ φησι· Περί τετάρτην φυλακήν τῆς νυκτός ἔρχεται πρός αὐτούς, περιπατῶν ἐπί τῆς θαλάσσης· καί ἤθελε παρελθεῖν αὐτούς. Εἰ μέν καθ᾽ ὅ Θεός, τοῦτό τις περί αὐτοῦ εἰρῆσθαι ἐκλάβῃ, πέρασι σωματικοῖς, τῷ ἄνω φημί, καί τῷ κάτω· τῷ ἔμπροσθεν καί τῷ ὀπίσω· τῷ δεξιά καί τῷ ἀριστερά, (324) διαλῆφθαι τήν θεότητα λέγειν ἀναγκασθήσεται. Εἰ δέ καθ᾽ ὅ ἄνθρωπος ταῦτα εἰρῆσθαι περί αὐτοῦ λέγει· ἄρα θελητικός ἦν ὁ αὐτός καί καθ᾽ ὅ ἄνθρωπος.

Καί ἀλλαχοῦ φησι· Καί προσῆλθον οἱ μαθηταί αὐτοῦ, λέγοντες αὐτῷ· Ποῦ θέλεις, ἀπελθόντες ἑτοιμάσομέν σοι τό Πάσχα φαγεῖν; Εἰ ἡ βρῶσις τοῦ Πάσχα τῶν ὑπό νόμον ἐστί· γέγονε δέ ὁ Κύριος καθ᾽ ὅ ἄνθρωπος θέλων ἔφαγε τό Πάσχα, καί θελητικός ἦν ὁ αὐτός καί καθ᾽ ὅ ἄνθρωπος.

Καί ὁ θεῖος δέ Ἀπόστολος ἐν τῇ πρός Ἑβραίους Ἐπιστολῇ, περί αὐτοῦ φησιν· Ὑπήκοος γενόμενος μέχρι θανάτου, θανάτου δέ σταυροῦ. Θέλων οὖν ἄρα ὑπήκουσεν, ἤ μή θέλων; Ἀλλ᾽ εἰ μέν μή θέλων, τυραννίς δέ εὐλόγως, καί οὐχ ὑπακοή λεχθείη. Εἰ δέ θέλων· ὑπήκοος δέ οὐ καθ᾽ ὅ Θεός, ἀλλά καθ᾽ ὅ ἄνθρωπος γέγονε· " Καθ᾽ ὅ γάρ Θεός, οὔτε ὑπήκοος, κατά τούς Πατέρας, οὔτε ἀνήκοος." - "Τῶν γάρ δευτέρων, καί τῶν ὑπό χεῖρα ταῦτα," φησίν ὁ θεῖος Γρηγόριος· ἄρα καί καθ᾽ ὅ ἄνθρωπος θελητικός ἦν.

Καί ὁ μακάριος δέ Δαβίδ ἐν τῷ τριακοστῷ ἐννάτῳ ψαλμῷ· Θυσίαν καί προσφοράν, φησίν, οὐκ ἠθέλησας, σῶμα δέ κατηρτίσω μοι. Ὁλοκαυτώματα καί πεί ἁμαρτίας οὐκ ἐξεζήτησας· τότε εἶπον· Ἰδοῦ ἥκω. Ἐν κεφαλίδι βιβλίου γέγραπται περί ἐμοῦ, τοῦ ποιῆσαι τό θέλημα σου· ὁ Θεός μου, ἠβουλήθην. Ὅτι μέν καθ᾽ ὅ ἄνθρωπος ὁ Χριστός, καί οὐ καθ᾽ ὅ Θεός, Θεός αὐτοῦ λέγεται ὁ Πατήρ, ὥσπερ καί Πατήρ, καθ᾽ ὅ Θεός, καί οὐ καθ᾽ ὅ ἄνθρωπος, οὐδέ τούς δι᾽ ἐναντίας οἶναι διαμφιβάλλειν. Εἰ δέ καθ᾽ ὅ ἄνθρωπος, καί οὐ καθ᾽ ὅ Θεός, Θεός αὐτοῦ ἐστιν ὁ Πατήρ, ἄρα καί καθ᾽ ὅ ἄνθρωπος , καί οὐ καθ᾽ ὅ Θεός, ἠβουλήθη τό θέλημα τοῦ Πατρός καί αὐτοῦ ποιῆσαι· αὐτοῦ γάρ ἐστι καί τό τοῦ Πατρός θέλημα, Θεοῦ καί αὐτοῦ κατ᾽ οὐσίαν ὄντος. Εἰ γάρ

τοῦτο, οὐ μόνον καθ᾽ ὅ Θεός καί τῷ Πατρί ὁμοούσιος ἦν θελητικός, ἀλλά καί καθ᾽ ὅ ἄνθρωπος καί ἡμῖν ὁμοούσιος.

Χρή δέ εἰδέναι ὡς τά νῦν παρατεθέντα τοῦ ψαλμοῦ ῥήματα ὁ θεῖος Ἀπόστολος, ἐν τῇ πρός Ἑβραίους Ἐπιστολῇ, εἰς τόν Κύριον ἐξείληφεν. Ὁ μέγας δέ Μωϋσῆς ἐν τῇ τοῦ ἀνθρώπου γενέσει τόν Θεόν εἰσάγει λέγοντα· Ποιήσωμεν ἄνθρωπον κατ᾽ εἰκόνα ἡμετέραν καί καθ᾽ ἡμοίωσιν. Εἰ οὖν εἰκών ὁ ἄνθρωπος τῆς θείας φύσεως· αὐτεξούσιος δέ ἡ θεία φύσις· ἄρα καί ἡ εἰκών· εἴπερ τήν πρός τό ἀρχέτυπον σώζει ὁμοίωσιν, αὐτεξούσιος φύσει τυγχάνει. Εἰ δέ τοῦτο, γέγονε δέ τό φύσει ἀρχέτυπον καί εἰκών φύσει, ἄρα κατ' ἄμφω τάς αὐτοῦ φύσεις θελητικός φύσει ὑπῆρχεν ὁ αὐτός. Προαπείχθη γάρ ἐκ τῶν Πατέρων, τό θέλημα εἶναι τήν κατά φύσιν αὐτεξουσιότητα.

Δεῖ δέ εἰδέναι ὡς ἡ αὐτεξουσιότης ὁμωνύμως (325) λέγεται μέν, ὥσπερ καί ἡ φύσις· ἄλλως δέ ἐπί Θεοῦ λαμβάνεται, καί ἄλλως ἐπί ἀγγέλων, καί ἄλλως ἐπί ἀνθρώπων. Ἐπί μέν Θεοῦ ὑπερουσίως· ἐπί δέ ἀγγέλων, ὡς συντρεχούσης τῇ ἕξει τῆς προχειρήσεως, καί παρενθήκην ὅλως χρόνου μή παραδεχομένης· ἐπί δέ ἀνθρώπων, ὡς χρονικῶς τῆς ἕξεως ἐπινοουμένης τῆς προχειρήσεως. Εἰ γάρ θέλων ὁ Ἀδάμ ὑπήκουσε, καί θέλων ἐθεώρησε, καί θελήσας ἔφαγεν· ἄρα πρωτοπαθής ἐν ἡμῖν ἡ θέλησις. Εἰ δέ πρωτοπαθής ἐν ἡμῖν ἡ θέλησις, ταύτην δέ μετά τῆς φύσεως κατ᾽ αὐτούς οὐ προσείληφεν ὁ Λόγος ἐνανθρωπήσας· οὐκ ἄρα ἐγώ χωρίς ἁμαρτίας γέγονα. Εἰ δέ ἐγώ χωρίς ἁμαρτίας οὐ γέγονα, οὐκ ἄρα ἐσώθην· εἴπερ τό ἀπρόσληπτον, ἀθεράπευτον.

Ἔπειτα δέ , εἰ ἔργον αὐτοῦ καί ποίημα ἡ αὐτεξούσιος τῆς φύσεως ὑπάρχει δύναμις, ταύτην δέ ὁ Λόγος σαρκωθείς, κατ᾽ αὐτούς, μετά τῆς φύσεως καθ᾽ ἕνωσιν ἄῤῥητον οὐ προσείληφεν, ἤ καταγνούς τῆς οἰκείας δημιουργίας, ὡς οὐ καλῆς, ταύτην ἑαυτοῦ ἀπεπέμψατο· ἤ φθονήσας ἡμῖν τῆς κατ᾽ αὐτήν θεραπείας, ἡμᾶς μέν τῆς ἐντελοῦς ἀποστερῶν σωτηρίας, καί ἑαυτόν ὑπό πάθος ὄντα δεικνύς, τῷ μή θέλειν, ἤ τῷ μή δύνασθαι τελείως σώζειν.

Ταῦτα μέν περί τοῦ θελητικόν εἶναι φύσει τόν σαρκωθέντα Θεόν Λόγον, καί καθ᾽ ὅ ἄνθρωπος· περί σέ τοῦ θελητικόν φύσει εἶναι τόν αὐτόν, καί καθ᾽ ὅ Θεός, ἔνθεν εἰσόμεθα. Φησί γάρ αὐτός ὁ Κύριος ἡμῶν καί Θεός, ἡ μόνη ἀλήθεια, περί ἑαυτοῦ ἐν τοῖς Εὐαγγελίοις οὕτως· Ἱερουσαλήμ, Ἱερουσαλήμ, ἡ ἀποκτένουσα τούς προφήτας, καί λιθοβολοῦσα τούς ἀπεσταλμένους πρός αὐτήν· ποσάκις ἠθέλησα

ἐπισυναγαγεῖν τά τέκνα σου, ὥσπερ ὄρνις ἐπισυνάγει τά νοσσία ἑαυτῆς ὑπό τάς πτέρυγας, καί οὐκ ἠθελήσατε; Νῦν ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος. Δῆλον γάρ, ὅτι οὐ καθ᾽ ὅ ἄνθρωπος ἀλλά καθ᾽ ὅ Θεός, δείξας τούς ποικίλους τῆς σοφῆς αὐτοῦ περί τόν ἄνθρωπον προνοίας τρόπους· δι᾽ ὧν θελήσας ἀπό τῆς τῶν ἐκτός πλάνης τήν φύσιν πρός ἑαυτόν ἐπισυνάξαι, αὕτη οὐκ ἠθέλησε.

Καί πάλιν φησίν· Ὥσπερ ὁ Πατήρ ἐγείρει τούς νεκρούς, καί ζωοποιεῖ· οὕτω καί ὁ Υἱός, οὕς θέλει ζωοποιεῖ. Εἰ τό, ὡς ἐπίῤῥημα συγκριτικόν ἐστιν· αἱ δέ συγκρίσεις τῶν ὁμοουσίων· οὐκ ἄρα τοῦτο δυνατόν κατά τόν ἀνθρώπινον ἐπί Χριστόν λέγεσθαι. Οὐκοῦν ἐδίδαξεν ἡμᾶς ὁ Σωτήρ ὅτι, ὥσπερ ὁ Πατήρ, Θεός ὤν, (328) θελήματι τούς νεκρούς ζωοποιεῖ, οὕτω καί αὐτός, ὁμοούσιος ὤν τῷ Πατρί καί ὁμοθελής, οὕς θέλει ζωοποιεῖ. Ταῦτα τῶν εὐαγγελιστῶν, καί ἀποστόλων, καί προφητῶν τά δόγματα. Τίς οὖν ὑπέρ ταῦτα μείζων ἀπόδειξις περί τοῦ φύσει θελητικόν εἶναι τόν αὐτόν καί καθ᾽ ὅ Θεός ἐστι, καί καθ᾽ ὅ ἄνθρωπος;

ΠΥΡ. Οὐδέν τούτων πρός ἀπόδειξιν τοῦ φυσικά εἶναι τά θελήματα σαφέστερον. Πῶς οὖν τόν ἐπιδοθέντα λίβελλον ὑπό Μηνᾶ τοῦ γενομένου ἐπισκόπου τῆς βασιλίδος, ἕν θέλημα ἔχοντα, ἐδέξατο Βιγίλιος ὁ τῆς Ῥωμαίων τηνικαῦτα πρόεδρος, καί ταῦτα ἐμφανισθέντος αὐτοῦ ἐν τῷ βασιλικῷ σεκρέτῳ τοῦ τηνικαῦτα τῶν Ῥωμαίων βασιλεύοντος, καί τῆς συγκλήτου;

ΜΑΞ. Θαυμάζω πῶς πατριάρχαι ὄντες κατατολμᾶτε τοῦ ψεύδους. Ὁ προηγησάμενός σου πρός Ὀνώριον γράφων, εἶπεν, ὅτι " Ὑπηγορεύθη μέν, οὐκ ἐπεδόθη δέ, οὔτε ἐνεφανίσθη·" αὐτός δέ ἐν τοῖς πρός τόν ἐν ἁγίοις Ἰωάννην τόν πάπαν, ἔφης ὅτι " Ἐπεδόθη καί ἐνεφανίσθη," ἀναγνωσθείς διά Κωνσταντίνου Κουαίστωρος. Τίνι οὖν πιστεύομεν; σοί, ἤ τῷ πρό σοῦ; Οὐ γάρ δυνατόν ἀμφοτέρους ἀληθεύειν.

ΠΥΡ. Καί οὕτω γέγραπται τῷ πρό ἐμοῦ;

ΜΑΞ. Οὕτω γέγραπται.

ΠΥΡ. Ἔστω περί Βιγιλίου ταῦτα. Τί ἔχεις περί Ὀνωρίου εἰπεῖν φανερῶς πρός τόν πρό ἐμοῦ ἕν δογματίσαντος θέλημα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ;

ΜΑΞ. Τίς ἀξιόπιστος ἐξηγητής τῆς τοιαύτης καθέστηκεν ἐπιστολῆς, ὁ ταύτην ἐκ προσώπου Ὀνωρίου συντάξας, ἔτι καί περιών, καί μετά τῶν (329) ἄλλων αὐτοῦ καλῶν, καί τοῖς τῆς εὐσεβείας

δόγμασι πᾶσαν τήν Δύσιν καταφαιδρύνων, ἤ οἱ ἐν Κωνσταντινουπόλει τά ἀπό καρδίας λαλοῦντες;

ΠΥΡ. Ὁ ταύτην συντάξας.

ΜΑΞ. Ὁ αὐτός οὖν πρός τόν ἅγιον Κωνσταντῖνον, τόν γενόμενον βασιλέα, ἐκ προσώπου πάλιν Ἰωάννου τοῦ ἐν ἁγίοις πάπα περί αὐτῆς γράφων, ἔφη, ὅτι " Ἕν θέλημα ἔφημεν ἐπί τοῦ Κυρίου, οὐ τῆς θεότητος αὐτοῦ καί τῆς ἀνθρωπότητος ἀλλά μόνης τῆς ἀνθρωπότητος. Σεργίου γάρ γράψαντος, ὥς τινες δύο θελήματα λέγουσι ἐπί Χριστοῦ ἐναντία, ἀντεγράψαμεν, ὅτι Ὁ Χριστός δύο θελήματα ἐναντία οὐκ εἶχε· σαρκός φημι, καί πνεύματος, ὡς ἡμεῖς ἔχομεν μετά τήν παράβασιν· ἀλλ᾽ ἕν μόνον, τό φυσικῶς χαρακτηρίζον τήν αὐτοῦ ἀνθρωπότητα." Καί τούτου ἀπόδειξις ἐναργής, τό καί μελῶν καί σαρκός μνησθῆναι· ἅπερ καί ἐπί τῆς θεότητος αὐτοῦ ἐκεῖνα ληφθῆναι οὐ συγχωρεῖ. Εἶτα καί προκατάληψιν ἀνθυποφορᾶς ποιούμενος, φησίν· " Εἰ δέ τις λέγοι· Καί τίνος χάριν περί τῆς ἀνθρωπότητος τοῦ Χριστοῦ διαλαβόντες, περί τῆς θεότητος αὐτοῦ μνήμην οὐκ ἐποιήσασθε; φαμέν, ὅτι πρῶτον μέν πρός τήν ἐρώτησιν ἡ ἀπόκρισις γέγονεν· ἔπειτα δέ, καί τῷ τῆς γραφῆς ἔθει, ὡς ἐν πᾶσι, καί ἐν τούτῳ ἑπόμενοι· ποτέ μέν ἀπό τῆς θεότητος αὐτοῦ διαλεγομένης· · ὡς ὅταν λέγη ὁ Ἀπόστολος· Χριστός Θεοῦ δύναμις, καί Θεοῦ σοφία· ποτέ δέ ἀπό τῆς ἀνθρωπότητος αὐτοῦ, καί μόνον, ὡς ὅταν ὁ αὐτός λέγῃ· Τό μωρόν τοῦ Θεοῦ, ἰσχυρότερον τῶν ἀνθρώπων ἐστίν· καί τό ἀσθενές τοῦ Θεοῦ, ἰσχυρότερον τῶν ἀνθρώπων ἐστίν."

ΠΥΡ. Ἁπλούστερον ὁ πρό ἐμοῦ, τῇ λέξει προσεσχηκώς, τοῦτο ἐδέξατο.

ΜΑΞ. Ἀλήθειαν λέγω· οὐδέν οὕτως ἀπεδιέθηκέ με πρός τόν πρό σοῦ, ὡς τό παλίμβολον αὐτοῦ· ἤγουν τό ἄλλοτε εἰς ἄλλας αὐτόν μεταπίπτειν ἐννοίας, καί ἐν μηδενί βεβηκέναι φρονήματι. Ποτέ μέν τούς τοῦτο τό ἕν θέλημα θεῖον προσαγορεύοντας ἀποδεχόμενος, τό Θεόν μόνον εἶναι τόν σαρκωθέντα εἰσῆγε· ποτέ δέ, τούς βουλευτικόν αὐτό λέγοντας, ἄνθρωπον αὐτόν ψιλόν εἶναι εἰσῆγε, βουλευτικῶς καθ᾽ ἡμᾶς διατιθέμενον (διακείμενον), καί μηδέν διαφέροντα Πύῤῥου καί Μαξίμου· ποτέ δέ ὑποστατικόν αὐτό λέγων, τῇ διαφορᾷ τῶν ὑποστάσεων συνεισῆγε καί τό διάφορον τῶν θελημάτων ἐπί τῶν ὁμοουσίων· ποτέ δέ, καί τούς ἐξουσιαστικόν αὐτό λέγοντας ἀποδεχόμενος, σχετικήν εἰσῆγε τήν ἕνωσιν· ἐξουσία γάρ, καί αὐθεντία, καί τά τοιαῦτα, γνώμης προδήλως, ἀλλ'οὐ φύσεως ὑπάρχει κινήματα· ποτέ δέ, τούς προαιρετικόν καί γνωμικόν αὐτό λέγοντας

προσλαμβανόμενος, καί κυρίους ἑαυτοῦ καθιστῶν, οὐ μόνον ψιλόν ἄνθρωπον εἰσῆγε τόν Κύριον, ἀλλα καί τρεπτόν καί ἁμαρτωλόν· εἴπερ ἡ γνώμη τῶν ἀντικειμένων ἐστί κριτική, καί τῶν ἀγνοουμένων ζητητική καί τῶν ἀδήλων βουλευτική· ποτέ δέ, τούς οἰκονομικόν αὐτό λέγοντας, (332) τό, πρό τῆς οἰκονομίας ἀθέλητον αὐτόν εἶναι, καί εἴ τι ἕτερον ἕπεται τῷ λόγῳ ἄτοπον, εἰσῆγε· καί εἰς ἄλλας μυρίας ἀτόπους ἐξηνέχθη ὑπολήψεις, τήν ἀλήθειαν βάσιν οὐκ ἐσχηκώς· ἅς δι᾿ ἀκριβείας εἰ βουληθείην Γραφῇ παραδοῦναι μετά τῶν αὐτῶν ἀτόπων, οὐδέ ὁ μέλλων ἀρκέσει χρόνος. Τίς δέ ἀνάγκη χάρτας προθεῖναι καί σχίσαι τήν ἁγίαν τοῦ θεοῦ Ἐκκλησίαν; Οὐδέ τό πᾶσι κοινότατον συνιδεῖν ἠδυνήθη. Ἤ γάρ, ἵνα παραχωρήσωμεν ὑμῖν, τά τῶν συνόδων ἔχουσι δόγματα, ὡς ὑμεῖς οὐκ ἀληθεύοντες ἔφητε, καί οὐ δεόμεθα τῶν ὑμετέρων χαρτῶν, ταύτας καί πρίν καί νῦν δεχόμενοι καί περιπτυσσόμενοι· ἤ οὐ τά τῶν συνόδων ἔχουσι, καί πολλῷ πλέον τούτους ἀποστρέφεσθαι καί φεύγειν δίκαιον. Τῆς οὖν τῶν αὐτῶν χαρτῶν προθέσεως καθ᾿ ἑκάτερον ἀδίκου καί παρανόμου οὔσης, καί ἡ αὐτῶν κατάλυσις δι᾿ ἑκάτερον δικαία καί κανονική καθέστηκεν.

ΠΥΡ. Σωφρόνιος, ὁ μικρῷ πρόσθεν πατριάρχης γενόμενος Ἱεροσαλύμων, τοῦτο ἡμᾶς καί παρά πρόθεσιν πρᾶξαι πεποιηκε, τόν περί ἐνεργειῶν λόγον οὐκ ἐν εὐθέτῳ καιρῷ κινήσας.

ΜΑΞ. Ἐγώ πάντοθεν ἀπορῶ, ποίαν ἐκδέχεσθε δοῦναι ἀπολογίαν, τόν ἀναίτιον οὕτω πικρῶς αἰτιώμενοι. Εἰπέ γάρ μοι, πρός τῆς ἀληθείας αὐτῆς, ὅτε Σέργιος ἔφραψε πρός τόν τῆς Φαράν Θεόδωρον, πέμψας καί ὅν φησι λίβελλον Μηνᾶ διά τῆς μεσιτείας Σεργίου τοῦ Μακαρωνᾶ τοῦ Ἀρσινόης ἐπισκόπου, προτρεπόμενος αὐτόν περί τῆς ἐν τῷ λιβέλλῳ μιᾶς ἐνεργείας καί ἑνός θελήματος τά δοκοῦντα εἰπεῖν, καί ἀντέγραψεν, ἀποδεχόμενος αὐτά, ποῦ οὖν τότε Σωφρόνιος; ἤ ἡνίκα ἐν Θεοδοσιουπόλει πρός Παῦλον τόν Μονόφθαλμον καί ἀπό Σεβηριτῶν ἔγραψε, πέμψας καί αὐτῷ λίβελλον Μηνᾶ, (333) καί τήν τοῦ Φαρανίτου καί ἑαυτοῦ συγκατάθεσιν; ἤ ὅτε πρός Γεώργιον τόν ἐπίκλην Ἀρσᾶν, Παυλιανιστήν ὄντα, ἔγραψε, χρήσεις αὐτῷ πεμφθῆναι περί μιᾶς ἐνεργείας αὐτῶν, ἐνθέμενος καί τοῦτο τῇ ἐπιστολῇ ὅτι ἐν ταύταις, καί τήν πρός αὐτούς τῆς Ἐκκλησίας ποιεῖ ἕνωσιν; Ταύτην δέ τήν ἐπιστολήν ὁ μακάριος Ἰωάννης ὁ πάπας Ἀλεξανδρείας ἀφείλετο χειρί ἀπό τοῦ Ἀρσᾶ· ὅθεν καί βουληθείς δι᾿ αὐτήν ποιῆσαι τήν καθαίρεσιν αὐτοῦ, ἐκωλύθη ἐκ τῆς ἐν Αἰγύπτῳ τηνικαῦτα γενομένης τῶν Περσῶν ἐπιδρομῆς. Ἤ ὅτε πρός Κῦρον τόν

Φάσιδος ἐντέγραψε περί μιᾶς ἐνεργείας καί δύο, ἐρωτηθείς παρ᾽ αὐτοῦ, πέμψας καί αὐτῷ τόν ῥηθέντα λίβελλον Μηνᾶ; Τί οὖν; Ἐπειδή Σεργίου πολυτρόπως τήν οἰκείαν νόσον ἐν τῷ κοινῷ προθέντος, καί τό πλεῖστον τῆς Ἐκκλησίας λυμηναμένου, ὁ μακάριος Σωφρόνιος ὑπέμνησεν αὐτόν μετά τῆς πρεπούσης τῷ σχήματι αὐτοῦ ταπεινοφροσύνης, τοῖς ἴχνεσιν αὐτοῦ προκαλινδούμενος καί ἀντί πάσης ἱκετηρίας αὐτοῦ προσφέρων αὐτῷ τά ζωοποιά Χριστοῦ τοῦ Θεοῦ παθήματα, ὥστε μή φωνήν αἱρετικῶν, καλῶς πάλαι ὑπό τῶν προωδευκότων τόν βίον ἁγίων Πατέρων σβεσθεῖσαν, ἀνανεώσασθαι, αὐτός αἴτιος τοῦ τοιούτου γέγονε σκανδάλου;

ΠΥΡ. Πάντων τῶν προταθέντων τήν ἀνατροπήν δεόντως ὁ λόγος ἐποιήσατο, καί οὐδέν ὅλως ἐλλείπει ἡ περί θελημάτων ζήτησις.

ΜΑΞ. Ἐπειδή ἡ περί θελημάτων ζήτησις πέρας εἴληφε, βούλει καί τήν περί ἐνεργειῶν ποιησώμεθα;

ΠΥΡ. Τόν περί τοῦ φυσικά εἶναι τά θελήματα λόγον ἀγνοήσας κατά τοῦτον καί τόν περί ἐνεργειῶν παρεδεξάμην· καί εἴ τι ἀγράφως, ἤ ἐγγράφως ἐῤῥέθη μοι, πρός τοῦτον ὁρᾷν τόν σκοπόν. Νυνί δέ τοῦ πεφυκέναι θέλειν, καί τοῦ πεφυκέναι ἐνεργεῖν συνεκδοχικῶς ὁμολογουμένων, πάντα τά περί τούτου πρώην μή συσταθέντα, ἠκύρωται· καί περιττόν ἡγοῦμαι, λοιπόν τινα ὅλως περί τούτου κινῆσαι λόγον.

ΜΑΞ. Τί οὖν; ἐπειδή ὁ Θεός, διά τήν προγνωσθεῖσαν αὐτῷ πρόθεσιν ἡμῶν, ἐκάλεσε πρός τήν τὴς ἀληθείας αὐτοῦ ἐπίγνωσιν, οὐ δεῖ τά περί τούτου ἐγγράφως, ἤ ἀγράφως πρός τινας εἰρημένα βασανίσαι, διά τού, ὡς εἰκός, ἀφυλάκτως αὐτοῖς περιτυχόντας, ἤ καί περιτηγχάνοντας εὐχερεστέρους;

ΠΥΡ. Εἰ τι προς τοῦτο ὁρᾷ ἡ βάσανος, ἀναγκαῖόν ἐστι. Τό γάρ φροντίσαι τῆς τῶν ἀκεραιοτέρων ἀσφαλείας, μίμησίς ἐστι θείας φιλανθρωπίας.

ΜΑΞ. Εἰ οὖν θείας φιλανθρωπίας ἐστί τοῦτο μίμησις, ἀρξώμεθα ἐντεῦθεν τῆς περί τούτου ἐξετάσεως.

ΠΥΡ. Ἀρξώμεθα.

ΜΑΞ. Ἐν τοῖς σοῖς εὗρον συγγράμμασι, μίαν σε Χριστοῦ, ὡς ὅλου, ἐνέργειαν δογματίσαντα. Εἰ οὖν μία, ὡς ὅλου ἔστιν ἐνέργεια, τό δέ ὅλον ἡ αὐτοῦ ἐστιν ὑπόστασις, ἄρα ἡ μία αὕτη ἐνέργεια ὑποστατική ἔσται· καί ἑτέρας ἐνεργείας ὥσπερ καί ὑποστάσεως (336) Πατρί τε καί Μητρί· εἴπερ οὐδέτερον αὐτῶν ὑπάρχει Χριστός.

ΠΥΡ. Εἰ διά τό διάφορον τῶν δύο ἐν Χριστῷ φύσεων λέγετε ἐνεργείας, καί οὐ διά τό μοναδικόν τοῦ προσώπου μίαν, δύο εὑρεθήσονται καί τοῦ ἀνθρώπου ἐνέργειαι, διά τό κατ᾽ οὐσίαν διάφορον τῆς ψυχῆς αὐτοῦ καί τοῦ σώματος. Εἰ δέ τοῦτο, τρεῖς ἔσονται τοῦ Χριστοῦ ἐνέργειαι, καί οὐ δύο.

ΜΑΞ. Ἅπερ ὑμεῖς ἐπ᾽ ἀναιρέσει τῶν φυσικῶν προΐσχεσθε, ταῦτα καί κατά τῶν φύσεων οἱ πρός αὐτάς μαχόμενοι προτείνουσι. Τοῦτο γάρ ὑμῶν καί μόνον τό χάριεν, τό ἐκείνοις ἐν πᾶσι συμπεριάγεσθαι. Ὅθεν καί ἡμεῖς τούς παρά τῶν Πατέρων ἐκείνοις ἐπενεχθέντας ἐλέγχους, καί ὑμῖν, ὡς τά αὐτά αὐτοῖς νοσοῦσι προσάγομεν· ὅτι, εἰ διά τό διάφορον τῶν ἐν Χριστῷ φύσεων, δύο φύσεις καί αὐτοί μεθ᾽ ἡμῶν λέγετε, καί οὐ διά τό μοναδικόν τοῦ προσώπου μίαν, δύο εὑρεθήσονται οὕτω γε καί τοῦ ἀνθρώπου φύσεις, διά τό κατ᾽ οὐσίαν διάφορον τῆς ψυχῆς αὐτοῦ καί τοῦ σώματος· καί εἰ τοῦτο, τρεῖς ἔσονται τοῦ Χριστοῦ, καί οὐ δύο φύσεις. Εἰ δέ διά τό διάφορον τῶν φύσεων, δύο μεθ᾽ ἡμῶν λέγοντες φύσεις, τρεῖς οὐ λέγετε ἐπί Χριστοῦ φύσεις· πῶς ἡμῖν διά τό διάφορον τῶν φύσεων δύο λέγουσιν ἐνεργείας; αἱ τρεῖς συναχθήσονται ἐνέργειαι; Ἅ γάρ ὑμεῖς μεθ᾽ ἡμῶν πρός τούς ἐκεῖνα κατά τῶν φύσεων προτείνοντας λέγετε, ταῦτα καί ἡμῖν περί τῶν ἐνεργειῶν πρός ὑμᾶς ἀρκέσει· ἀλλ᾽ οὕτω μέν ὑμᾶς ἐκ τοῦ ἴσου ὁ λόγος ἀπεῤῥάπισε, δείξας τῆς ἀπορίας τό παράλογον. Ἐκ δέ τοῦ ὑπερέχοντός φαμεν, ὅτι οὐ ταυτόν τό κατ᾽ εἶδος τοῦ ἀνθρώπου ἕν, καί τό κατ᾽ οὐσίαν ψυχῆς καί σώματος ἕν. Τό μέν γάρ κατ᾽ εἶδος τοῦ ἀνθρώπου ἕν, τήν ἐν πᾶσι τοῖς ὑπό τήν φύσιν ἀτόμοις ἀπαραλλαξίαν ἐνδείκνυται· ὅθεν οὐδέ ἀπροσδιορίστως αὐτό φαμεν, ἀλλά προσεπάγοντες τοῦ ἀνθρώπου. Τό δέ κατ᾽ οὐσίαν ψυχῆς καί σώματος ἕν, αὐτό τό εἶναι αὐτῶν λυμαίνεται, εἰς ἀνυπαρξίαν αὐτό παντελῆ ὠθοῦν. Εἰ δέ οὐ ταυτόν τό κατ᾽ εἶδος τοῦ ἀνθρώπου ἕν, οὐκ ἄρα ἀνάγκη ἡμῖν, τήν κατ᾽ εἶδος μίαν λέγοντας ἐνέργειαν, ἤ ὑποστατικήν ταύτην λέγειν, ἤ τρεῖς ἐνεργείας, διά τό πρός φύσιν ὁρᾷν τήν ἐνέργειαν.

ΠΥΡ. Ἀλλά ταῖς ἐνεργείαις τά πρόσωπα κατά Νεστόριον συνεισάγεται· καί ἀνάγκη, τούς δύο λέγοντας ἐνεργείας, τά ἐκείνου μιαρά διεκδικεῖν δόγματα.

ΜΑΞ. Καί μήν Νεστόριος, δύο πρόσωπα λέγων μίαν δογματίζει ἐνέργειαν. Εἰ δέ ταῖς ἐνεργείαις πρόσωπα καθ᾽ ὑμᾶς συνεισάγεται, καί τοῖς προσώποις ἀκολούθως αἱ ἐνέργειαι συναχθήσονται· καί

βιασθήσεσθε, τοῖς ἰδίοις ἑπόμενοι κανόσιν, ἤ διά τήν (337) μίαν ἐνέργειαν τῆς ἁγίας Θεότητος, καί ἕν λέγειν αὐτῆς πρόσωπον· ἤ διά τάς τρεῖς αὐτοῦ ὑποστάσεις, τρεῖς καί ἐνεργείας· ἤ σχετικήν, ὡς Νεστόριος λέγειν ἕνωσιν· ταύτης γάρ ἡ μία ἐνέργεια ἡ ἕνωσις, ὡς αὐτός Νεστόριος καί οἱ τῆς αὐτοῦ φατρίας ἐν τοῖς αὐτῶν ἀπέδειξαν γράμμασι. Καί ἐφ᾽ ἡμῶν δέ, ἐπειδή μία μέν ἡ κατά τό εἶδος ἐνέργεια, πολλαί δέ αἱ ὑποστάσεις· ἤ διά τήν μίαν κατ' εἶδος ἐνέργειαν, καί ἕν τῶν πάντων λέγειν πρόσωπον· ἤ διά τά πολλά πρόσωπα, πολλάς καί ἐνεργείας· καί διαπέπτωκε τοῖς Πατράσιν οὕτω γε ὁ φάσκων λόγος· "Τά τῆς αὐτῆς ὄντα οὐσίας, καί τῆς αὐτῆς εἶναι ἐνεργείας."

Ἔτι τε , εἰ τῇ ἐνεργείᾳ πρόσωπον συνεισάγεται κατ᾽ αὐτούς, πολλάς δέ δεδώκασιν ἐνεργείας ἐξ ἑνός καί τοῦ αὐτοῦ σεσαρκωμένου θεοῦ Λόγου προελθεῖν, καί τά συνεισαγόμενα ταῖς προελθούσαις ἐνεργείαις πρόσωπα δώσουσιν· εἴπερ ἑαυτοῖς στοιχεῖν διέγνωσαν· καί εὑρεθήσοντα ἄπειρα καί τά πρόσωπα, καί αἱ ἐνέργειαι τοῦ αὐτοῦ.

Καί αὖθις, εἰ συνεισάγεται πρόσωπον, κατά τήν αὐτῶν πρότασιν, τῇ ἐνεργείᾳ, καί ἀναιρουμένη ταύτῃ συναναιρεῖται πάντως. Εἰ δέ τοῦτο ἀληθές, ἄρα τῇ ἀναιρέσει τῶν δύο, καί τῆς μιᾶς ἐνεργειῶν, συναναιρεῖται καί τά δύο καί τό ἕν πρόσωπον· καί ἐχώρησεν, ὅσον τό ἐπ᾽ αὐτοῖς, ὁ Χριστός, ἐκ τοῦ ὄντος, καί ὑπερόντος, εἰς τό μή ὄν· οὗ τι γένοιτο ἄν ἀσεβέστερον;

Εἰ δέ καί ἐπί τοῦ καθ᾽ ἕκαστον ἡμῶν τοῦτό τις ἐκ πολλῆς περιουσίας γυμνάζειν βουληθείη, εὑρήσει καί ἡμᾶς καθ᾽ ἕνα καί τόν αὐτόν καιρόν καί λογιζομένους, καί περιπατοῦντας· ἤ καί ἕτερα μέν διανοουμένους, ἕτερα δέ τοῖς παρατυγχάνουσι διαλεγομένους· ὅπερ καί Μωϋσῆς ποιήσας ἱστορεῖται, κατά τόν αὐτόν καιρόν καί Θεῷ ἐντυγχάνων ὑπέρ τοῦ λαοῦ, καί τῷ λαῷ διαλεγόμενος, καί πρός χρηστάς παρορμῶν ἐλπίδας· καί οὔτε τῷ προσφυῶς ταῖς αὐτοῦ φύσεσι δυ«κῶς ἐνεργεῖν, δύο ὁ καθεῖς ἐστιν· οὔτε τῷ ἕνα εἶναι τόν δυϊκῶς ἐνεργοῦντα, τάς οὐσιωδῶς προσούσας ταῖς αὐτοῦ φύσεσι κινήσεις συγχεῖ. Καί ἐπί τοῦ κατά προφοράν δέ λόγου ὡσαύτως, καί τήν ἐγκειμένην τῷ λόγῳ ὁρῶμεν ἔννοιαν, καί τόν ὑποκείμενον τῇ ἐννοίᾳ λόγον, καί τήν αὐτῶν δι᾽ ὅλου εἰς ἄλληλα περιχώρησιν· καί οὔτε τῇ διαφορᾷ αὐτῶν τό διάφορον τῶν προσώπων συνεισάγεται, οὔτε τῇ ἄκρᾳ ἑνώσει τό συγκεχυμένον. Τί δ᾽ ἄν τις εἴποι καί περί τῆς πεπυρακτωμένης μαχαίρας, οὐχ ἧττον τῶν φύσεων, τουτέστι τοῦ πυρός καί τοῦ σιδήρου, καί τάς αὐτῶν φυσικάς ἐνεργείας, τήν καῦσιν

φημι (340) καί τήν τομήν, σωζούσης, καί διά πάντων ἅμα, καί ἐν ταυτῷ, ταύτας ἐνδεικνυμένης; Οὔτε γάρ ἡ καῦσις αὐτῆς, τῆς τομῆς ἄφετός ἐστι μετά τήν ἕνωσιν, οὔτε ἡ τομή τῆς καύσεως· καί οὔτε διά τό διττόν τῆς φυσικῆς ἐνεργείας, δύο εἰσάγει τάς πεπυρακτωμένας μαχαίρας· οὔτε διά τό μοναδικόν τῆς πεπυρακτωμένης μαχαίρας, τῆς αὐτῶν οὐσιώδους διαφορᾶς φύρσιν ἤ σύγχυσιν ποιεῖται.

ΠΥΡ. Οὐχ εἷς ἦν ὁ ἐνεργῶν;

ΜΑΞ. Ναί εἷς.

ΠΥΡ. Εἰ οὖν εἷς ὁ ἐνεργῶν, καί μία, ὡς ἑνός, ἡ ἐνέργεια.

ΜΑΞ. Ὁ εἷς οὗτος Χριστός· πάλιν γάρ τά αὐτά τοῖς ἀνωτέρω εἰς τά αὐτά ὑμᾶς ὑποστρέψαντας ἐρήσομαι· εἷς τῇ ὑποστάσει, ἤ τῇ φύσει ἐστίν;

ΠΥΡ. Τῇ ὑποστάσει· τῇ γάρ φύσει διπλοῦς τυγχάνει.

ΜΑΞ. Δυϊκῶς οὖν διά τό διπλοῦν τῆς φύσεως ὁ αὐτός ἐνήργει, ἤ ἑνικῶς διά τό μοναδικόν τῆς ὑποστάσεως; Ἀλλ᾽ εἰ μέν δυϊκῶς, εἷς ὤν ὁ αὐτός ἐνήργει, οὐκ ἄρα τῷ ἀριθμῷ τῶν ἐνεργειῶν ὁ τῶν προσώπων συνεισάγεται ἀριθμός. Εἰ δέ ἑνικῶς, διά τό μοναδικόν τοῦ προσώπου, τάς αὐτάς ἐπί τοῖς αὐτοῖς ἀτοπίας ὁ περί τούτου δέξεται λόγος. Εἰ γάρ ὑποστατική ἡ ἐνέργεια, τῷ πλήθει τῶν ὑποστάσεων, καί τῶν ἐνεγειῶν διαφορά συνθεωρηθήσεται.

ΠΥΡ. Οὐ πάντως, ἐπειδή δυ«κῶς ἐνήργει, δύο ἦσαν αὐτοῦ αἱ ἐνέργειαι· ἀλλ᾽ ἐπειδή εἷς ἦν ὁ ἐνεργῶν, μία.

ΜΑΞ. Τοῦτο καί περί τῶν φύσεων ἕτερος λέγει πρός σέ, ὅτι οὐκ ἐπειδή δυαδική αὐτοῦ ἡ φύσις, ἤδη καί δύο εἴησαν, καί λεχθείησαν αἱ φύσεις· ἀλλ᾽ ἐπειδή μία ἦν αὐτοῦ ἡ ὑπόστασις, μία ἐστίν αὐτοῦ ἡ φύσις, καί λέγεται. Πλήν ἵνα πάντα παραλίπω, ὅσα περί τούτου ῥηθῆναι δύναται, μίαν ἐνέργειαν λέγοντες, ὁποίαν ταύτην λέγειν ἀξιοῦτε; θείαν, ἤ ἀνθρωπίνην, ἤ οὐδετέραν; Ἀλλ᾽ εἰ μέν θείαν, Θεόν μόνον τόν Χριστόν λέγετε· εἰ δέ ἀνθρωπίνην, οὐδέ ὅλως Θεόν, ἀλλ᾽ ἄνθρωπον μόνον ψιλόν· εἰ δέ οὐδετέραν τούτων, οὐδέ Θεόν, οὐδέ ἄνθρωπον, ἀλλ᾽ ἀνύπαρκτον δογματίζετε τόν Χριστόν.

ΠΥΡ. Μίαν λέγοντες ἐνέργειαν τῆς θεότητος τοῦ Χριστοῦ, καί τῆς κατ᾽ αὐτόν ἀνθρωπότητος, οὐ λόγῳ φύσεως ταύτην προσεῖναι αὐτῷ φαμεν, ἀλλ ἑνώσεως τρόπῳ.

ΜΑΞ. Εἰ ἐκ τῆς ἑνώσεως αὐτῷ, κατά τόν ὑμέτερον λόγον, προσγέγονεν ἡ ἐνέργεια, πρό τῆς ἑνώσεως ἄρα ἀνενέργητος ἦν· καί τετυράννηται, καθ᾽ ὑμᾶς, δημιουργήσας. Καιί αὖθις, εἰ ἐκ τῆς ἑνώσεως

αὐτῷ προσγέγονε τό ἐνεργεῖν· ὁ Πατήρ δέ καί τό ἅγιον Πνεῦμα οὐχ ἡνώθησαν καθ᾽ ὑπόστασιν σαρκί, οὐκ ἄρα ἐνεργητικοί. Εἰ δέ μή ἐνεργητικοί, οὐδέ δημιουργοί· ἵνα μή λέγω, ὅτι οὐδέ ὅλως εἰσίν.

Καί πάλιν, ἐπειδή ἡ ἕνωσις σχέσις ἐστί, καί οὐ (341) πρᾶγμα, σχέσις ἄρα καί οὐ πρᾶγμα ἡ τοῦ Χριστοῦ ἐνέργεια.

Ἔτι τε, ἤ κτιστήν, ἤ ἄκτιστον λέγειν ταύτην ἀναγκασθήσεσθε· ἐπειδή μέσον κτιστῆς καί ἀκτίστου οὐδεμία ὑπάρχει τό σύνολον. Καί εἰ μέν κτιστήν αὐτήν φήσετε, κτιστήν καί μόνην δηλώσει φύσιν· εἰ δέ ἄκτιστον, ἄκτιστον καί μόνην χαρακτηρίσει φύσιν· δεῖ γάρ πάντως κατάλληλα ταῖς φύσεσι τά φυσικά εἶναι· καί πῶς ἄν δυνατόν, τῆς κτιστῆς φύσεως καί ἠργμένης, ἄκτιστον εἶναι τήν ἐνέργειαν, ἄναρχόν τε, καί ἄπειρον, καί δημιουργόν, καί συνεκτικήν; ἤ πῶς ἀκτίστου καί ἀνάρχου, κτιστήν, καί ἠργμένην, καί πεπερασμένην, καί ὑφ᾽ ἑτέρας πρός τό ἀδιάλυτον εἶναι συνεχομένην;

ΠΥΡ. Οὐδέ τό ἀποτέλεσμα τῶν ὑπό Χριστοῦ γενομένων ἔργων λέγοντας μίαν ἐνέργεια, ἀποδέχῃ καί ὁμονοεῖς;

ΜΑΞ. Ἄλλης ἄλλο πράξεως ἀποτέλεσμα, καί οὐχ ἕν, ὡς ἐπί τῆς πεπυρακτωμένης ἐδείχθη μαχαίρας. Εἰ γάρ καί ἥνωνται ἀλλήλαις, ἥ τε τοῦ πυρός, καί ἡ τοῦ ξίφους ἐνέγεια· ἀλλ᾽ ὁρῶμεν τό ἀποτέλεσμα τοῦ πυρός τήν καῦσιν ὄν, καί τοῦ σιδήρου τό ἀποτέλεσμα τήν τομήν· εἰ καί μή διῄρηνται ἀλλήλων ἐν τῇ κεκαυμένῃ τομῇ, ἤ ἐν τῇ καύσει· ὥσπερ καί οὐρανοῦ ἄλλο , καί γῆς ἄλλο, καί ἡλίου ἄλλο. Οὐ δυνατόν οὖν ἕν λέγειν ἀποτέλεσμα, εἰ μηδ᾽ ἄν μία εἴη καί μόνον ἡ πρᾶξις. Εἰ οὖν πρός τό ἀποτέλεσμα τῶν ὑπό Χριστοῦ γενομένων ἔργων ἀπιδόντες μίαν ἐνέργειαν ἐδογματίσατε, ἤ καί μίαν πρᾶξιν δογματίσατε· ἤ διά τάς ἀπείρους πράξεις, ἀπείρους καί τάς ἐνεργείας. Πλήν περί τῶν ἔργων ἡμῖν ἐστι τό ζητούμενον· οὐ γάρ περί τῶν ἔξω Χριστοῦ ἐστιν ὁ λόγος ἡμῖν, ἀλλά περί τῶν ἐν αὐτῷ τῷ Χριστῷ· τουτέστι περί τοῦ φυσικοῦ τῶν οὐσιῶν τοῦ Χριστοῦ λόγου, εἴτε ἐλλιπής ἐκ τῆς ἑνώσεως, εἴτε ἀνελλιπής μεμένηκε· καί εἰ ἐλλιπής, εἰ δυνατόν ἐλλιποῦς φύσεως ὕπαρξιν εἶναι· εἰ δέ ἀνελλιπής, εἰ ἐν αὐτῷ, φημί δή τῷ συστατικῷ τῆς οὐσίας λόγῳ, ἡ ἐνέργεια θεωρεῖται, ἤ τῶν ἐκτός τυγχάνει. Ἀλλ᾽, ὅτι μέν οὐ τῶν ἐκτός τυγχάνει ἡ κατά φύσιν ἐνέργεια, δῆλον ἐν τοῦ ἄνευ μέν τῶν ἔργων δύνασθαι τήν φύσιν εἶναι· ἄνευ δέ τῆς κατά φύσιν ἐνεργείας, οὔτε εἶναι τήν φύσιν, οὔτε γινώσκεσθαι δυνατόν. Οἷς γάρ ἕκαστον φυσικῶς ἐνεργεῖ, πιστοῦται ὅπερ ἐστί μή τρεπόμενον.

Ὁπόταν οὐδέ πρός ἔργον ἀντιδόντες, τήν ἀναπλασθεῖσαν ὑμῖν τραγελάφου δίκην μίαν ἐνέργειαν ἐδογματίσατε, ἀλλά πρός τόν φυσικόν τῶν ἑνωθεισῶν οὐσιῶν λόγον· καί τούτου πίστις ἀψευδής τά ὑπό Κύρου μέν δογματισθέντα κεφάλαια, ὑφ᾽ ὑμῶν (344) δέ προσηνῶς, καί λίαν ἀσπασίως δεχθέντα· ἐν οἷς καί μίαν δογματίσας, τῇ αὐτῇ ἔφη ἐνεργῆσαι τά τε θεῖα καί τά ἀνθρώπινα· οὐ μόνον τῇ ἁγίᾳ Γραφῇ, καί τοῖς ἁγίοις Πατράσι μαχόμενος, ἀλλά καί αὐτῇ τῇ τῶν γεγονότων φύσει. Οὐδέ τῶν ὄντων, ἐν τοῖς κατά φύσιν μένον, τά ἐναντία ποιεῖν πέφυκεν.Οὐ γάρ θερμαίνει τό πῦρ καί ψύχει· οὔτε ψύχει ἡ κρύσταλλος καί θερμαίνει· οὔτε ξηραίνει ἡ γῆ καί ὑγραίνει· οὔτε ὑγραίνει τό ὕδωρ καί ξηραίνει. Εἰ οὖν ἐπ᾽ οὐδενός τῶν ὄντων τοῦτο θεωρεῖται, πῶς τόν σαρκωθέντα Λόγον καί οὐσιωδῶς γενόμενον ἄνθρωπον, μιᾷ ἐνεργείᾳ τά τε θεύματα καί τά πάθη, λόγῳ φύσεως ἀλλήλων διαφέροντα, ἐπιτελέσαι λέγοντες, οὐ δεδοίκατε;

ΠΥΡ. Τί οὖν ἐναντία τῆς νῦν ἐκ τῆς ζητήσεως ἀναφανείσης εὐσεβοῦς ἐννοίας, ὁ τῆς Ἐκκλησίας φωστήρ Κύριλλος ἐδογμάτισε, "μίαν συγγενῆς δι᾽ ἀμφοῖν ἐπιδεδειγμένον ἐνέργειαν," τόν Χριστόν δηλαδή, φήσας;

ΜΑΞ. Οὐ μάχεται ὅλως ἡ παροῦσα χρῆσις ταῖς δύο ἐνεργείαις· τουναντίον δέ, καί συνίστησιν. Οὐ γάρ μίαν φυσικήν ἐνέργειαν τῆς θεότητος τοῦ Χριστοῦ ἔφη, καί τῆς αὐτοῦ ἀνθρωπότητος· ἐπεί οὐκ ἄν ἀλλαχοῦ ἔλεγειν, ὅτι "Ποιητοῦ καί ποιήματος μίαν ἐνέργειαν, οὐκ ἄν τις δοίη σωφρονῶν" ἀλλά δεῖξαι βουλόμενος, μίαν τῆς θεότητος οὖσαν τήν ἐνέργειαν, καί ἄνευ σαρκός, καί μετά σαρκός. Ὡς εἴ τις μίαν τοῦ πυρός ἐνέργειαν μετά ὕλης καί ἄνευ τῆς ὕλης δεῖξαι θέλων, φήσειεν, ὅτι τό πῦρ καί ἄνευ ὕλης καί μετά ὕλης καίει. Οὕτω καί ὁ Πατήρ οὐ μίαν τήν τῶν δύο φύσεων εἶπεν ἐνέργειαν· ἀλλά μίαν τήν ἐνέργειαν εἶπε τήν θείαν καί τήν Πατρικήν, οὐσιωδῶς ἐνυπάρχουσαν τῷ σαρκωθέντι Θεῷ Λόγῳ, καθ᾽ ἥν οὐ παντουργῷ μόνον προστάγματι τάς θεοσημίας ἀσωμάτως ἐτέλει, καθώς αὐτός φησιν· εἴπερ καί μετά σάρκωσιν ὁμοεργός ἐστι τῷ οἰκείῳ γεννήτορι, ἀσωμάτως ἐνεργοῦντι· ἀλλά καί τῇ τῆς οἰκείας σαρκός ἁφῇ ταύτας ἐδείκνυ σωματικῶς. Τοῦτο γάρ βούλεται τό, "Δι᾽ ἀμφοῖν." Ὡς συγγενῶς ἔχειν κατά τήν φύσιν διά λόγου, καί παντουργοῦ προστάγματος γενομένην τήν ζώωσιν τῆς παιδός, ἤ τήν ἀνάβλεψιν τοῦ τυφλοῦ, ἤ τήν εὐλογίαν τῶν ἄρτων, ἤ τήν κάθαρσιν τοῦ λεπροῦ, πρός τήν διά τῆς ἁφῆς σωματικῶς τελουμένην· ἵνα ἀποδείξῃ καί τήν σάρκα ζωοποιόν, ὡς αὐτοῦ κυρίως, καί οὐκ

ἄλλου ὑπάρχουσαν, τῇ πρός αὐτόν ἀκραιφνεῖ ἑνώσει. Δι᾽ ἀμφοτέρων γάρ τούτων, προστάγματός φημι καί ἁφῆς, ἡ θεία ἐνέργεια δι᾽ αὐτῶν ἐγνωρίζετο τῶν πραγμάτων, μηδόλως τήν καθ᾽ ἡμᾶς ἀνθρωπίνην, καί πάσχουσαν φυσικήν τῆς σαρκός ἐνέργειαν παραβλάπτουσα· τοὐναντίον δέ, συντηροῦσα αὐτήν εἰς οἰκείαν ἔκφανσιν· ὥσπερ οὖν καί ψυχή, ὡς δι᾽ ὀργάνου τοῦ (345) οἰκείου σώματος, καί τῆς αὐτοῦ φυσικῆς ἐνεργείας τά οἰκεῖα, καί τήν ἑαυτῆς προσφέρει κατά φύσιν ἐνέργειαν. Ἥ τε γάρ ἔκτασις τῆς χειρός καί ἡ ἁφή, καί ἡ κράτησις, καί ἡ κατ᾽ αὐτήν τοῦ πηλοῦ μίξις καί ἡ τοῦ ἄρτου κλάσις· καί ἁπλῶς, πᾶν ὅ διά τῆς χειρός, ἤ ἑτέρου μέλους, ἤ μέρους τοῦ σώματος ἐτελεῖτο, τῆς φυσικῆς ἐνεργείας τῆς ἀνθρωπότητος τοῦ Χριστοῦ ὑπῆρχε· καθ᾽ ἥν ὁ ἄνθρωπος, ἐνεργής ἦν αὐτός, ὁ φύσει Θεός, καί τά θεῖα φυσικῶς ἐνεργῶν· ὡς ἄν δι᾽ ἑκατέρων ἑκάτερα κατά φύσιν πιστώσηται, Θεόν τέλειον καί ἄνθρωπον τέλειον δίχα μόνης τῆς ἁμαρτίας ἑαυτόν ὄντα κατ' ἀλήθειαν δεικνύς.

Οὐκ ἠγνόησεν οὖν ὁ Πατήρ τήν ἑκάστης φύσεως κατ᾽ ἐξαίρετον ἰδιότητα, καί τῶν ἄλλων φυσικῶν ἰδιωμάτων περιληπτικήν· τήν τε δημιουργικήν φημι, καί τήν ἐκ τῆς ψυχῆς ἐνδιδομένην τῷ σώματι αὐτοῦ, ζωτικήν ἐνέργειαν· ἅς σώζων ἐν ἑαυτῷ ὁ σαρκωθείς θεός Λόγος εὐκρινεῖς καί ἀσυγχύτους ἔδειξε· τήν μέν δημιουργικήν , ἐν τῷ οὐσίαν καί ποιότητα καί ποσότητα δημιουργῆσαι· ἐξ ὧν, καί ἐν οἷς, καί ἅπερ ἡ τῶν ὄντων ὕπαρξις ἔστι τε καί θεωρεῖται. Εἰ γάρ καί οἱ παρ᾽ Ἕλλησι φιλοσοφήσαντες εἰς δέκα κατατείνουσι λόγους τά ὄντα· ἀλλ᾽ οὖν τούτοις τό πᾶν συνέχεται καί περικλείεται· οὐσίαν μέν, τούς λείποντας τοῦ τυφλοῦ ὀφθαλμούς ἀναπληρώσας· ποιότητα δέ, τό ὕδωρ εἰς οἶνον μεταβαλών· ποσότητα δέ, τούς ἄρτους αὐξήσας· τήν δέ ζωτικήν ἐνέργειαν ἔδειξεν ἐν τῷ ἀναπνεῖν, λαλεῖν, ὁρᾷν, ἀκούειν, ἅπτεσθαι, ὀσφραίνεσθαι, ἐσθίειν καί πίνειν· χεῖρας κινεῖν, βαδίζειν, ὑπνοῦν, καί τά λοιπά, ὅσα ἐν πᾶσι τοῖς ὑπό τήν φύσιν ἀπαραλλαξίαν τῆς κατά φύσιν ἐνδείκνυται ἐνεργείας.

ΠΥΡ. Εὐσεβῶς καί ἀβιάστως τήν τοῦ Πατρός παρέστησας ἔννοιαν, οὐ μαχομένην, ἀλλά συμβαίνουσαν διά πάντων ταῖς δύο ἐνεργείαις. Τί δέ περί τοῦ ἁγίου Διονυσίου φαμέν, ἐν τῇ πρός Γαΐον τόν θεραπευτήν ἐπιστολῇ, φήσαντος, " Καινήν τινα τήν θεανδρικήν ἐνέργειαν, περί τοῦ Χριστοῦ, ἐν ἡμῖν πεπολιτευμένον;"

ΜΑΞ. Ἡ καινότης ποιότης ἐστίν, ἤ ποσότης;

ΠΥΡ. Ποσότης.

ΜΑΞ. Οὐκοῦν καί φύσιν ἑαυτῇ συνεισάγει τοιαύτην· εἴπερ πάσης φύσεως ὅρος, ὁ τῆς οὐσιώδους αὐτῆς ἐνεργείας καθέστηκε λόγος. Οὐ μόνον δέ, ἀλλά καί ὅταν λέγῃ ὁ Ἀπόστολος, Ἰδού γέγοντε τά πάντα καινά, οὐδέν ἕτερον λέγει, ἤ ὅτι, Ἰδού γέγονε τά πάντα ἕν· εἴτε δέ φύσει, εἴτε ἐνεργείᾳ τοῦτο καλεῖν βούλεσθε, τοῦτο τῆς ἡμῶν ἔστω ἐξουσίας. Εἰ δέ ποιότης ἐστίν ἡ καινότης, οὐ μίαν δηλοῖ ἐνέργειαν, ἀλλά τόν καινόν καί ἀπόῤῥητον τρόπον τῆς τῶν φυσικῶν τοῦ Χριστοῦ ἐνεργειῶν ἐκφάνσεως, τῷ ἀποῤῥήτῳ τρόπῳ τῆς εἰς ἀλλήλας τῶν Χριστοῦ φύσεων περιχωρήσεως προσφόρως, καί τήν κατά ἄνθρωπον αὐτοῦ πολιτείαν, ξένην οὖσαν καί παράδοξον, καί τῇ (348) φύσει τῶν ὄντων ἄγνωστον, καί τόν τρόπον τῆς κατά τήν ἀπόῤῥητον ἕνωσιν ἀντιδόσεως.

ΠΥΡ. Οὔτε ἡ θεανδρική μίαν δηλοῖ;

ΜΑΞ. Οὐχί· τουναντίον γάρ περιφραστικῶς ἡ φωνή διά τῶν ἀριθμουμένων φύσεων τά αὐτῶν ἐνεργείας παραδέδωκεν· εἴπερ ἀποφάσει τῶν ἄκρων, οὐδέν ἐστι μέσον ἐπί Χριστοῦ. Εἰ δέ μίαν δηλοῖ, ἄλλην παρά τήν τοῦ Πατρός, ὡς Θεός, ὁ Χριστός ἕξει τήν ἐνέργειαν. Ἄλλης οὖν παρά τόν Πατέρα ἐνεργείας ἔσται ὁ Υἱός· εἴπερ ἡ τοῦ Πατρός οὐκ ἔστι θεανδρική· μετά τό καί θεανδρικήν χαρακτηρίζειν φύσιν καί συνιστᾷν. Ἡ γάρ ἐνέργεια, φυική οὖσα, φύσεως ὑπάρχει συστατικός καί ἔμφυτος χαρακτήρ. Καί οἱ τά περί τούτων δέ σκέμματα διαλαβόντες, ἕτερον γένος εἶναι τῆς ποσότητος, καί ἕτερον τῆς ποιότητος εἶπον.

ΠΥΡ. Οὔτε ποσότης, οὔτε ποιότης ἐστίν ἡ καινότης· ἀλλ' οὐσία.

ΜΑΞ. Θαυμάζω πῶς τοῦτο εἰπεῖν ἐθάῤῥησας. Τῇ οὐσίᾳ τί ἀντιδιαστέλλεται;

ΠΥΡ. Τό μή ὄν.

ΜΑΞ. Τί δέ καινότητι;

ΠΥΡ. Ἡ παλαιότης.

ΜΑΞ. Ὥστε οὖν οὐκ οὐσία ἡ καινότης, ἀλλά ποιότης. Πῶς δέ, εἰ πρός μίαν ἐνέργειαν ἐκληψόμεθα τήν φωνήν, οὐχ ἑαυτῷ γε, καί τοῖς λοιποῖς Πατράσιν, ἐναντιούμενον εἰσάγομεν τόν θεοφάντορα τοῦτον διδάσκαλον; Πάντες γάρ διαῤῥήδην κοινῇ καί εἶπον καί ἐδίδαξαν, τά τῆς αὐτῆς ὄντα οὐσίας, καί τῆς αὐτῆς εἶναι ἐνεργείας· καί τά τῆς αὐτῆς ὄντα ἐνεργείας, τῆς αὐτῆς εἶναι οὐσίας· καί ὅτι τά τῇ οὐσίᾳ διαφέροντα, καί τῇ ἐνεργείᾳ διαφέρουσι· καί τά τῇ ἐνεργείᾳ διαφέροντα, καί τῇ οὐσίᾳ διαφέρουσιν.

ΠΥΡ. Τοῦτο ἐπί τῆς θεολογίας τοῖς Πατράσιν, οὐ μήν καί ἐπί τῆς οἰκονομίας εἴρηται. Ὅθεν οὐδέ φιλαλήθους διανοίας καθέστηκε, τά ἐπί τῆς θεολογίας αὐτοῖς εἰρημένα, μετάγειν ἐπί τῆς οἰκονομίας, καί τήν τοιαύτην συνεισαγαγεῖν ἀτοπίαν.

ΜΑΞ. Εἰ ἐπί τῆς θεολογίας μόνον εἴρηται τοῖς Πατράσιν, οὐκ ἄρα μετά τήν σάρκωσιν, καθ᾽ ὑμᾶς, συνθεολογεῖται ὁ Υἱός τῷ Πατρί. Εἰ δέ οὐ συνθεολογεῖται, οὐδέ συναριθμεῖται κατά τήν ἐπίκλησιν τοῦ βαπτίσματος· καί εὑρεθήσεται κενή ἡ πίστις καί τό κήρυγμα.

Καί πάλιν, εἰ οὐ συνθεολογεῖται μετά τήν σάρκωσιν ὁ Υἱός τῷ Πατρί, οὔτε τῆς αὐτῆς ἔσται οὐσίας· τά γάρ τῷ λόγῳ διαφέροντα, καί τῇ φύσει διοίσει πάντως.

Καί πάλιν, εἰ οὐ συνθεολογεῖται ὁ Υἱός τῷ Πατρί μετά τήν σάρκωσιν, τίνι ἀπονείμωμεν τό, Ὁ Πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγώ ἐργάζομαι; Καί· Ἅ ἄν βλέπῃ τόν Πατέρα ποιοῦντα, καί ὁ Υἱός ὁμοίως ποιεῖ; Καί· Εἰ ἐμοί οὐ πιστεύετε, (349) τοῖς ἔργοις μου πιστεύσατε; Καί · Τά ἔργα ἅ ἐγώ ποιῶ μαρτυρεῖ περί ἐμοῦ; Καί· Ὥσπερ ὁ Πατήρ ἐγείρει τούς νεκρούς καί ζωοποιεῖ, οὕτω καί Υἱός, οὕς θέλει, ζωοποιεῖ; Ταῦτα γάρ πάντα, οὐ μόνον τῆς αὐτῆς ὄντα οὐσίας καί μετά σάρκωσιν τῷ Πατρί δείκνυσιν αὐτόν, ἀλλά καί τῆς ἀυτῆς ἐνεργείας.

Καί πάλιν, εἰ ἡ περί τά ὄντα πρόνοια ἐνέργεια Θεοῦ τυγχάνει· αὕτη δέ οὐ μόνον Πατρός καί Πνεύματος, ἀλλά καί Υἱοῦ καί μετά σάρκωσίν ἐστιν· ἄρα καί τῆς αὐτῆς ἐστιν ἐνεργείας τῷ Πατρί καί μετά σάρκωσιν.

Καί πάλιν, εἰ τά θαύματα ἐνέργεια Θεοῦ τυγχάνει· ἐκ δέ τῶν θαυμάτων τῆς αὐτῆς ὄντα οὐσία τῷ Πατρί ἐγνώκαμεν· ἄρα ἐκ τῆς αὐτῆς ἐνεργείας τῆς αὐτῆν ὥν τῷ Πατρί ἐδείχθη οὐσίας· καί συνθεολογεῖται αὐτῷ καί μετά σάρκωσιν.

Καί πάλιν, εἰ οὐσιωδῶς πρόσεστι τῷ Θεῷ ἡ δημιουργική ἐνέργεια· τά δέ οὐσιωδῶς προσόντα, καί ἀναφαίρετα· ἀνάγκη αὐτούς, ἤ τῆς αὐτῆς τῷ Πατρί καί μετά σάρκωσιν ἐνεργείας αὐτόν οὐ λέγοντας, μηδέ τῆς αὐτῆς αὐτῷ λέγειν οὐσίας εἶναι· ἔνθα γάρ ἡ κατά φύσιν ἐνέργεια οὐκ ἔστιν, οὐδέ ἡ φύσις ἔσται ποτ᾽ ἄν· ἤ τῆς αὐτῆς αὐτῷ λέγοντας αὐτόν οὐσίας, καί τῆς αὐτῆς λέγειν ἐνεργείας, καί συνθεολογεῖν τῷ Πατρί καί μετά σάρκωσιν· ἔνθα γάρ ἡ φύσις, ἐκεῖ καί ἡ κοινή κατ᾽ αὐτήν ἀπαραλείπτως ἔσται ἐνέργεια.

ΠΥΡ. Οὐκ ἐπ᾽ ἀναιρέσει τῆς ἀνθρωπίνης ἐνεργείας τήν μίαν λέγομεν ἐνέργειαν· ἀλλ᾽ ἐπειδή ἀντιδιαστελλομένη ἡ φύσις τῇ θείᾳ ἐνεργείᾳ, πάθος λέγεται κατά τοῦτο.

ΜΑΞ. Κατά τοῦτον τόν λόγον, καί οἱ μίαν φύσιν λέγοντες, οὐκ ἐπ᾽ ἀναιρέσει τῆς ἀνθρωπίνης ταύτην λέγουσιν· ἀλλ᾽ ἐπειδή ἀντιδιαστελλομένη ἡ φύσις τῇ θεία παθητική λέγεται κατά τοῦτο.

ΠΥΡ. Τί οὖν; οὐ πρός τήν θείαν ἐνέργειαν διαστολῇ οἱ Πατέρες πάθος τήν ἀνθρωπίνην προσηγόρευσαν κίνησιν;

ΜΑΞ. Μή γένοιτο· οὐδενός γάρ, καθόλου φάναι, ὕπαρξις ἐκ παραθέσεως, ἤ ἐκ συγκρίσεως γινώσκεται ἤ ὁρίζεται· ἤ οὕτω δ᾽ ἄν ἀλληλαίτια εὑρεθήσονται ὄντα τά πράγματα. Εἰ γάρ διά τό ἐνέργειαν εἶναι τήν θείαν κίνησιν, ἡ ἀνθρωπίνη πάθος ἐστί· πάντως καί διά τό ἀγαθήν εἶναι τήν θείαν φύσιν, πονηρά ἔσται ἡ ἀνθρωπίνη. Ὁμοίως δέ καί κατά τήν σύν ἀντιθέσει ἀντιστροφήν, διά τό πάθος λέγεσθαι τήν ἀνθρωπίνην κίνησιν, ἡ θεία κίνησις ἐνέργεια λέγεται· καί διά τό πονηράν εἶναι τήν ἀνθρωπίνην φύσιν, ἀγαθή ἔσται ἡ θεία. Ἀλλ᾽ ἄπαγε· πολλῆς γάρ ὄντως ἀβελτηρίας ἐστί ταῦτα.

ΠΥΡ. Τί οὖν; οὐκ ὠνόμασαν πάθος τήν ἀνθρωπίνην κίνησιν οἱ Πατέρες;

ΜΑΞ. (352) Πολυτρόπως αὐτήν πρός τάς ὑποκειμένας δηλονότι ἐννοίας, ὠνόμασαν.

ΠΥΡ. Πῶς τοῦτο λέγεις;

ΜΑΞ. Προσηγόρευσαν αὐτήν καί δύναμιν, καί ἐνέργειαν, καί διαφοράν, καί κίνησιν, καί ἰδιότητα, καί ποιότητα, καί πάθος, οὐ κατά ἀντιδιαστολήν τῆς θείας· ἀλλ᾽ ὡς μέν συνεκτικήν ἀναλλοίωτον, δύναμιν· ὡς δέ χαρακτηριστικήν καί τήν ἐν πᾶσι τοῖς ὁμοειδέσιν ἀπαραλλαξίαν ἐκφαίνουσαν, ἐνέργειαν· ὡς δέ ἀφοριστικήν, διαφοράν· ὡς δέ ἐνδεικτικήν, κίνησιν· ὡς δέ συστατικήν, καί μόνῃ αὐτῇ καί οὐκ ἄλλῃ προσοῦσαν, ἰδιότητα· ὡς δέ εἰδοποιόν, ποιότητα· ὡς δέ κινουμένην, πάθος. Πάντα γάρ τά ἐκ θεοῦ, καί μετά θεόν, πάσχει τῷ κινεῖσθαι, ὡς μή ὄντα αὐτοκίνησις, ἤ αὐτοδύναμις· οὐ κατά ἀντιδιαστολήν οὖν, ὡς εἴρηται, ἀλλά διά τόν δημιουργικῶς αὐτοῖς ἐντεθέντα παρά τῆς τό πᾶν συστησαμένης αἰτίας λόγον. Ὅθεν καί μετά τῆς θείας συνεκφωνοῦντες αὐτήν, ἐνέργειαν προσηγόρευσαν. Ὁ γάρ εἰπών, " Ἐνεργεῖ γάρ ἑκατέρᾳ μορφῇ μετά τῆς θατέρου κοινωνίας," τί ἕτερον πεποίηκεν; ἤ ὁ εἰπών· "Καί γάρ τεσσαράκοντα ἡμέρας ἀπόσιτος διαμείνας, ὕστερον ἐπείνασεν· ἔδωκε γάρ τῇ φύσει, ὅτε ἠθέλησε, τά ἴδια ἐνεργῆσαι;" ἤ οἱ διάφορον αὐτοῦ φήσαντες ἐνέργειαν; ἤ οἱ διπλῆν, ἤ οἱ ἄλλην καί ἄλλην;

ΠΥΡ. Ἐπ᾽ ἀληθρέας, καί ἡ περί τῶν ἐνεργειῶν ζήτησις ἄτοπον ἔδειξε τήν μίαν ἐνέργειαν, καθ᾽ οἱανδήποτε τρόπον ἐπί Χριστοῦ λεγομένην. Ἀλλά συγγνώμην αἰτῶ καί ὑπέρ ἐμαυτοῦ, καί τῶν προλαβόντων. Ἐξ ἀγνοίας γάρ εἰς τάς ἀτόπους ταύτας ἐξηνέχθημεν ἐννοίας καί ἐπιχειρήσεις· καί παραλκαλῶ εὑρεῖν τρόπον, ἵνα καί ἡ ἐπείσακτος αὕτη ἀτοπία καταργηθῇ, καί ἡ μνήμη τῶν προλαβόντων φυλαχθῇ.

ΜΑΞ. Ἄλλος οὐκ ἔστι τρόπος, ἤ παρασιωπηθῆναι μέν τά πρόσωπα· ἀναθεματισθῆναι δέ τά τοιαῦτα δόγματα.

ΠΥΡ. Ἀλλ᾽ εἰ τοῦτο γένηται, εὑρίσκονται τούτοις συνεκβαλλόμενοι, Σέργιός τε καί ἡ ἐπί ἐμοῦ γενομένη σύνοδος.

ΜΑΞ. Θαυμάζειν ὕπεστί μοι, πῶς σύνοδον ἀποκαλεῖς, τήν μή κατά νόμους καί κανόνας συνοδικούς ἤ θεσμούς γενομένην ἐκκλησιαστικούς· οὔτε γάρ ἡ ἐπιστολή ἐγκύκλιος κατά συναίνεσιν τῶν πατριαρχῶν γέγονεν· οὔτε τόπος ἤ ἡμέρα ὑπαντήσεως ὡρίσθη. Οὐκ εἰσαγώγιμός τις ἤ κατήγορος ἦν. Συστατικάς οἱ συνελθόντες οὐκ εἶχον, οὔτε οἱ ἐπίσκοποι ἀπό τῶν μητροπολιτῶν, οὔτε οἱ μητροπολῖται ἀπό τῶν πατριαρχῶν.Οὐκ ἐπιστολαί ἤ τοποτηρηταί, ἀπό τῶν ἄλλων πατριαρχῶν ἐπέμφθησαν. Τίς οὖν λόγου μεμοιραμένος, σύνοδον καλεῖν ἀνάσχοιτο, τήν σκανδάλων καί διχονοίας ἅπασαν πληρώσασαν τήν οἰκουμένην;

ΠΥΡ. Εἰ οὐκ ἔστιν ἕτερος τρόπος, ἤ οὗτος, (353) πάντων τήν ἐμαυτοῦ προτιμῶν σωτηρίαν, ἑτοίμως ἔχων μετά πάσης τοῦτο ποιῆσαι πληροφορίας· ἕν καί μόνον παρακαλῶν, ὥστε ἀξιωθῆναί με· προηγουμένως μέν τῆς τῶν ἀποστολικῶν σηκῶν· μᾶλλον δέ, αὐτῶν τῶν κορυφαίων ἀποστόλων προσκυνήσεως· λοιπόν δέ, καί τῆς κατά πρόσωπον τοῦ ἁγιωτάτου πάπα, θέας· καί αὐτῷ ἐπιδοῦναι τῶν ἀτόπως γεγενημένων λίβελλον. Ταῦτα αὐτοῦ εἰρηκότος, Μάξιμος καί Γρηγόριος ὁ πατρίκιος εἶπαν· Ἐπειδή ἡ πρότασίς σου ἀγαθή τυγχάνει, καί τῇ Ἐκκλησίᾳ συμβαλλομένη, οὕτω καί γένηται.

Ἐν ταύτῃ οὖν τῇ μεγαλωνύμῳ σύν ἡμῖν γενόμενος Ῥωμαίων πόλει, τήν ὑπόσχεσιν ἐπλήρωσε· κατακρίνας μέν τά τῆς ἀσεβοῦς Ἐκθέσεως δόγματα· ἑνώσας δέ ἑαυτόν διά τῆς ὀρθοδόξου ὁμολογίας τῇ ἁγίᾳ, καθολικῇ καί ἀποστολικῇ Ἐκκλησίᾳ, χάριτι καί συνεργείᾳ τοῦ μεγάλου Θεοῦ καί Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τούς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

MONITUM.

***Τοῦ μακαρίου Μαξίμου μοναχοῦ, Περί ψυχῆς. Σελ. 353.***

Πρῶτον μέν ἁπάντων ὑποθήσομαι, τίνι κριτηρίῳ πέφυκεν ἡ ψυχή καταλαμβάνεσθαι· εἶτα, δι᾽ ὧν δείκνυται ὑπάρχουσα· εἶθ᾽ ἑξῆς, εἰ οὐσία τυγχάνει οὖσα, ἤ συμβεβηκός· εἶτα τούτοις ἀκολούθως, εἰ ἁπλῆ, ἤ σύνθετος· εἶτ᾽ αὖθις, εἰ θνητή, ἤ ἀθάνατος· τελευταῖον δέ, εἰ λογική, ἤ ἄλογος. Ταῦτα γάρ μάλιστα ἐν τῷ Περί ψυχῆς ζητεῖσθαι εἴωθε λόγῳ, ὡς καιριώτατα, καί δυνάμενα αὐτῆς τήν ἰδιότητα χαρακτηρίζειν. Ἀποδείξεσι δέ πρός τήν τῶν ἐξητασμένων βεβαίωσιν, ταῖς κοιναῖς χρησόμεθα ἐννοίαις, αἷς τό ἀξιόπιστον τά ἐν χερσί πράγματα μαρτυρεῖν πέφυκε. Συντομίας δέ χάριν καί τοῦ χρησίμου, μόνοις τοῖς πρός τό ἀναγκαῖον τοῦ ζητουμένου (οὐκ) ἔχουσι τήν ἀπόδειξιν τά νῦν χρησόμεθα συλλογισμοῖς, ὅπως ἄν σαφῆ τε καί εὐπερίδραστα νοήματα γενόμενα, ἑτοιμότητά τινα ἡμῖν ἐμποιεῖ πρός τήν τῶν ἀνθισταμένων ἀπάντησιν. Ἀρξώμεθα οὖν τοῦ λόγου ἐντεῦθεν.

***Τί τό καταληπτικόν τῆς ψυχῆς κριτήριον.***

Πάντα τά ὄντα, ἤ αἰσθήσει γνωρίζεται, ἤ νοήσει καταλαμβάνεται. Καί τό μέν αἰσθήσει ὑποπίπτον ἱκανή ἀπόδειξιν ἔχει τήν αἴσθησιν· ἅμα γάρ τῇ προσβολῇ, καί τήν φαντασίαν ἡμῖν ἐμποιεῖ τοῦ (356) ὑποκειμένου· τό δέ νοήσει καταλαμβανόμενον οὐκ ἐξ ἑαυτοῦ, ἀλλ᾽ ἐκ τῶν ἐναντίων γνωρίζεται. Ἡ τοίνυν ψυχή ἄγνωστος οὖσα, οὐκ ἐξ ἑαυτῆς, ἀλλ᾽ ἐκ τῶν ἀποτελεσμάτων εἰκότως γνωσθήσεται.

***Εἰ ἔστι ψυχή.***

Τό σῶμα ἡμῶν κινούμενον, ἤ ἔξωθεν, ἤ ἔνδοθεν κινεῖται. Καί ὅτι μέν ἔξωθεν οὐ κινεῖται, δῆλον ἐκ τοῦ μήτε ὠθούμενον, μήτε ἑλκόμενον κινεῖσθαι, ὡς τά ἄψυχα. Καί ἔνδοθεν πάλιν κινούμενον οὐ φυσικῶς κινεῖται, ὡς τό πῦρ· ἐκεῖνο μέν γάρ οὐ παύεται τοῦ κινεῖσθαι ἐς ὅσον ἐστί πῦρ, ὥσπερ τό σῶμα νεκρόν γενόμενον οὐ κινεῖται σῶμα ὄν. Οὐκοῦν εἰ μήτε ἔξωθεν κινεῖται ὡς τά ἄψυχα, μήτε φυσικῶς ὡς τό πῦρ, δῆλον ὅτι ὑπό ψυχῆς κινεῖται, τῆς καί τό ζῆν αὐτῷ παρεχούσης. Εἰ τοίνυν τῷ σώματι ἡμῶν ψυχή δείκνυται τό ζῆν αὐτῷ παρέχουσα, ἔσται καθ' ἑαυτήν ἡ ψυχή ἐκ τῶν ἐναντίων γνωριζομένη.

***Εἰ οὐσία ἐστίν ἡ ψυχή.***

Ὅτι μέν οὐσία ἐστί δείκνυται οὕτως. Πρῶτον μέν, ὅτι ὁ τῆς οὐσίας ὅρος καί ἐπ᾽ αὐτῇ εἰκότως ἄν λεχθείη, ἐπειδή οὕτως οὐσία ἐστί, τό ταυτόν καί ἕν ἀριθμῷ τῶν ἐναντίως παρά μέρος εἶναι δεκτικόν. Ὅτι δέ ἡ ψυχή, αὐτή τῆς ἰδίας φύσεως μή ἐξισταμένη τά ἐνάντια ἐπιδέχεται πατά μέρος, παντί που δῆλον. Δικαιοσύνη γάρ καί ἀδικία· ἀνδρεία τε καί δειλία· σωφροσύνη τε καί ἀκολασία, ἐν αὐτῇ θεωροῦνται ἐναντία ὄντα. Εἰ τοίνυν ἰδίωμα οὐσίας τό τῶν ἐναντίων εἶναι παρά μέρος δεκτικόν· δείκνυται δέ καί ἡ ψυχή τοῦτον ἐπιδεχομένη τόν ὅρον, οὐσία ἄρα ἡ ψυχή. Ἔπειτα δέ καί τοῦ σώματος οὐσίας ὄντος, καί τήν ψυχήν ἀνάγκη οὐσίαν εἶναι. Οὐδέ γάρ οἷον τε τό μέν ζωοποιούμενον εἶναι ἐνούσιον· τό δέ ζωοποιοῦν, ἀνούσιον εἶναι· εἰ μή τις καί τό μή ὄν τοῦ ὄντος αἴτιον φήσειεν εἶναι· ἤ πάλιν τό ἐν ᾧ τήν ὕπαρξιν ἔχον, καί ὅ ἄνευ τοῦ εἶναι μή δυνάμενον, εἰτίαν ἐκείνου εἶναι ἐν ᾧ ἐστι, μανείς τις εἴποι.

***Εἰ ἀσώματος ἡ ψυχή.***

Ὅτι μέν ἐν τῷ σώματί ἐστιν ἡ ψυχή, ἀνωτέρω ἐδείχθη. Δεῖ τοίνυν εἰδέναι πῶς ἐστιν ἐν τῷ σώματι· καί εἰ μέν παράκειται αὐτῷ ὡς ψηφίς ψηφίδι, σῶμα μέν ἔσται ἡ ψυχή· ὅλον δέ τό σῶμα οὐκ ἔσται ἔμψυχον· μέρει γάρ τινι περικείσεται. Εἰ δέ μέμικται ἤ κέκραται, πολυμερής ἄν λέγοιτο ἡ ψυχή, καί οὐχ ἁπλῆ, τοῦ δέ τῆς ψυχῆς λόγου ἐκβεβλημένη. Τό γάρ πολυμερές, καί διαιρετέον ἐστι, τό δέ διαιρετόν, καί διαλυτόν· τό δέ διαλυτόν, σύνθετον· τό δέ σύνθετον, τριχῆ διαστατόν· τό δέ τριχῆ διαστατόν, σῶμα· σῶμα δέ σώμτι προστιθέμενον, ὄγκον ποιεῖ. Ἡ δέ ψυχή ἐν τῷ σώματι οὖσα οὐκ ὄγκον ποιεῖ, (357) ἀλλά μᾶλλον ζωοποιεῖ· οὐκ ἄρα ἔσται σῶμα ἡ ψυχή, ἀλλ᾽ ἀσώματος.

Ἔτι, εἰ σῶμα ἡ ψυχή, ἤ ἔνδοθεν κινεῖται, ἤ ἔξωθεν· οὔτε δέ ἔξωθεν κινεῖται· οὐ γάρ ὠθεῖται, ἤ ἕλκεται ὡς τά ἄψυχα· οὔτε δέ ἔσωθεν κινεῖται ὡς τά ἔμψυχα· ἄτοπον γάρ ψυχῆς ψυχήν λέγειν. Οὐκ ἔσται οὖν σῶμα· ἀσώματος ἄρα.

Καί πάλιν, εἰ σῶμα ἐστιν ἡ ψυχή, καί τάς ποιότητας αἰσθητάς ἔχει, καί τρέφεται· ἀλλ᾽ οὐ τρέφεται· καί εἰ τρέφεται οὐ σωματικῶς τρέφεται ὡς τό σῶμα, ἀλλ᾽ ἀσωμάτως· λόγῳ γάρ τρέφεται. Οὐ τοίνυν τάς ποιότητας αἰσθητάς ἔχει. Οὐ γάρ ὁρᾶται οὔτε δικαιοσύνη, οὔτε ἀνδρεία, οὔτε τῶν τοιούτων οὐδέν. Τῆς γάρ ψυχῆς αἱ ποιότητες αὗται· οὐκ ἔστιν οὖν σῶμα· ἀσώματος ἄρα.

***Εἰ ἁπλῆ ἡ ψυχή.***

Δείκνυται τοίνυν ὅτι ἁπλῆ ἡ ψυχή, ἐξ ὧν μάλιστα καί ἀσώματος ἀπεδείχθη. Εἰ γάρ σῶμα οὐκ ἔστι· σῶμα γάρ ἅπαν σύνθετόν ἐστι· τό συγκείμενον, ἐκ μερῶν σύγκειται· οὐκ ἄν οὐδέ πολυμερής ἔσται· ἀσώματος δέ οὖσα, ἁπλῆ ἐστιν, ἐπειδή καί ἀσύνθετος.

***Εἰ ἀθάνατος ἡ ψυχή.***

Ἀκολουθεῖν οἶμαι δεῖν τῷ ἁπλῷ, τό ἀθάνατον· καί ὅπως, ἄκουσον. Οὐδέ τῶν ὄντων αὐτό ἑαυτοῦ φθαρτικόν ἐστιν, ἐπεί οὐκ ἄν οὔτε ἐξ ἀρχῆς συνέστη. Τά γάρ φθειρόμενα, ἐκ τῶν ἀναντίων φθείρεται. Διό πᾶν φθειρόμενον, διαλυτόν ἐστι· τό δέ διαλυτόν, σύνθετον· τό δέ σύνθετον, πολυμερές· τό δέ ἐκ μερῶν συγκείμενον, δηλονότι ἐκ διαφόρων σύγκειται μερῶν· τό δέ διάφορον, οὐ ταυτόν· οὐκοῦν, ἡ ψυχή ἁπλῆ οὖσα, καί μή ἐκ διαφόρων συγκειμένη μερῶν ἀσύνθετος καί ἀδιάλυτος οὖσα, διά τοῦτο ἄφθαρτος καί ἀθάνατος ἔσται.

Καί πάλιν, τό ἔκ τινος κινούμενον, οὐκ ἐξ ἑαυτοῦ ἔχον τό ζωτικόν, ἀλλ᾽ ἐκ τοῦ κινοῦντος, τοσοῦτον διαμένοι, ὅσον ὑπό τῆς ἐνεργούσης αὐτῆς κρατεῖται δυνάμεως. Ἐπειδάν δέ παύσηται τό ἐνεργοῦν, διαχεῖται καί αὐτό. Τό δέ μή ἔκ τινος κινούμενον, ἀλλ᾽ ἐξ αὐτοῦ ἔχον τήν κίνησιν, ὥσπερ ἡ ψυχή αὐτοκίνητός ἐστιν, οὐδέποτε τοῦ εἶναι διαλείπει· ἀκολουθεῖ γάρ τῷ αὐτοκινήτῳ, τό ἀεικίνητον εἶναι. Τό δέ ἀεικίνητον, ἄπαυστον ἔσται. Τό δέ ἄπαυστον, ἀτελεύτητον. Τό δέ ἀτελεύτητον, ἄφθαρτον· τό δέ ἄφθαρτον, ἀθάνατον. Εἰ τοίνυν ἡ ψυχή αὐτοκίνητός ἐστιν, ὡς ἀνωτέρω ἀπεδείχθη, ἔσται ἄφθαρτος, κατά τόν προτεθέντα συλλογισμόν.

(360) Καί πάλιν, εἰ πᾶν τό φθειρόμενον, ὑπο τῆς ἰδίας κακίας φθείρεται· τό ὑπό τῆς ἰδίας κακίας μή φθειρόμενον, ἄφθαρτον ἔσται· τό γάρ κακόν, τό καλῷ ἐναντίον, διό καί φθαρτικόν ἔσται αὐτοῦ· οὐδέ γάρ ἕτερον ἔσται σώματος κακία, ἤ πάθη, καί νόσος καί θάνατος, ὥσπερ ἀρετή, κάλλος, ζωή, ὑγεία, εὐεξία. Εἰ τοίνυν ἡ ψυχή ὑπό τῆς ἰδίας κακίας οὐ φθείρεται· κακία δέ ψυχῆς δειλία, ἀκολασία, φθόνος, καί τά παραπλήσια· ταῦτα δέ πάντα οὐκ ἀφαιρεῖται αὐτῆς τό ζῇν καί τό κινεῖσθαι, ἀθάνατος ἄρα ἔσται.

***Εἰ λογική ἡ ψυχή.***

Ὅτι δέ λογική ἡμῶν ἡ ψυχή, ἐκ πολλῶν ἄν τις δείξειε· καί πρῶτον μέν ἐκ τοῦ τάς τέχνας χρησίμους οὔσας τῷ βίῳ, ταύτην αὐτάς εὑρηκέναι. Οὐδέ γάρ ἁπλῶς, καί ὡς ἔτυχεν εἴποι τις ἄν συνεστάναι τάς τέχνας, ἐπεί μηδ᾽ ἀρχάς, καί ἀνωφελεῖς τῷ βίῳ ἀποδείξει. Εἰ τοίνυν αἱ τέχναι συντελοῦσι πρός τό χρήσιμον τῷ βίῳ· τό δέ χρήσιμον

ἐπαινετόν· τό δέ ἐπαινετόν, λόγῳ κατασκευαστόν· ψυχῆς δέ εὕρημα αὗται· λογική ἄρα ἡμῶν ἡ ψυχή.

Ἔπειτα ἐκ τοῦ τάς αἰσθήσεις ἡμῶν ἱκανάς εἶναι πρός τήν τῶν πραγμάτων κατάληψιν, λογική ἡμῶν ἡ ψυχή ἀποδείκνυται. Οὐδέ γάρ ἀρκούμεθα πρός εἴδησιν τῶν ὄντων τῇ τῆς αἰσθήσεως προσβολῇ, ἐπεί μηδέ ἀπατᾶσθαι περί αὐτά θέλομεν. Αὐτίκα γοῦν τά τῷ σχήματι ἴσα, καί τῇ χροιᾷ ὅμοια διῃρημένα ταῖς φύσεσιν, ἡ αἴσθησις ἄλογος οὖσα διακρῖναι ἀσθενεῖ. Εἰ τοίνυν αἱ αἰσθήσεις ἄλογοι οὖσαι ψευδῆ ἡμῖν φαντασίαν τῶν ὄντων ἐμποιοῦσι, λογιστέον ἡμῖν εἰ καταληπτά· καί εἰ μέν καταληπτά, ἑτέρα ἔσται δύναμις, καί κρείττων παρά τάς αἰσθήσεις ἡ τούτων ἀφικομένη. Εἰ δέ μή καταλαμβάνεται, οὐδέ ἔσται ἡμῖν τό ἑτέρως παρ᾽ ὅ ἔστι θεωρούμενα. Ὅτι δέ καταληπτά ἐστι τά πράγματα, δῆλον ἐξ οὗ οἰκείως ἑκάστῳ πρός τό χρήσιμον χρώμεθα, καί πάλιν μετασκευάζομεν εἰς ὅ θέλομεν. Οὐκοῦν εἰ τά ὄντα ἡμῖν καταληπτά ἐδείχθη, αἱ δέ αἰσθήσεις ἄλογοι οὖσαι, ψευδῶς δοξάζουσι, νοῦς ἔσται ὁ τά πάντα διακρίνων, καί ὡς ἔστιν ἀληθῶς τά πάντα ἐπιγινώσκων. Νοῦς δέ, ψυχῆς τό λογικόν μέρος· λογική ἄρα ἡ ψυχή.

Ἔτι, οὐδέν ὅ μή πρότερον ἐν ἑαυτοῖς διαγράψαντες (διεγράψαμεν), εἰς ἔργον ἐκφέρομεν. Τοῦτο δέ οὐδέν ἕτερόν ἐστιν ἤ ψυχῆς ἀξίωμα. Νοῦς γάρ οὐκ ἔξωθεν αὐτῇ προσγίνεται, ἤ τῶν ὄντων ἡ εἴδησις· ἀλλ᾽ αὐτή ὥσπερ ταῖς ἐξ αὐτῆς ἐπινοίαις τά ὄντα κοσμεῖ. Διά τοῦτο ἐν αὐτῇ προαναζωγραφεῖ πρότερον τό πρᾶγμα· εἶθ᾽ οὕτως εἰς ἔργον ἐκφέρει. (361) Ἀξίωμα δέ ψυχῆς οὐδέ ἕτερόν ἐστιν, ἤ τό μετά λόγου πάντα ποιεῖν. Ταύτῃ γάρ διαφέρειν καί τῶν αἰσθήσεων ἐδείχθη· λογική ἄρα ἡ ψυχή.

***Τί ψυχή.***

Οὐσία ἀσώματος, νοερά, ἐν σώματι πολιτευομένη, ζωῆς παραιτία.

***Τί δέ νοῦς.***

Ψυχῆς τό καθαρώτατον καί λογικόν, εἰς θεωρίαν τῶν ὄντων καί προκατειλημμένων.

***Τί φρένες.***

Ἐνέργειαι ψυχῆς πρός τι τῶν ὄντων ἀκολούθως φερόμεναι.

***Τί τρόπος.***

Ἕξις ψυχῆς ἐξ ἔθους πεπορισμένη.

***Τί αἴσθησις.***

Ὄργανον ψυχῆς, δύναμις αἰσθητηρίων τῶν ἔξωθεν ἀντιληπτική.

***Τί πνεῦμα.***

Οὐσία ἀσχημάτιστος, πάσης κινήσεως προηγουμένη.

Τέλος τοῦ μακαρίου Μαξίμου μοναχοῦ, Περί ψυχῆς.

S. MAXIMI CONFESSORIS EPISTOLAE

***Α΄. - ΛΟΓΟΣ ΠΑΡΑΙΝΕΤΙΚΟΣ Σελ. 364.***

*Ἐν εἴδει ἐπιστολῆς*

***Πρός τόν δοῦλον τοῦ θεοῦ κύριον Γεώργιον τόν πανεύφημον ἔπαρχον Ἀφρικῆς.***

Οὐδείς οὕτω τῶν φωτός, ὡς οἶμαι, καθ᾽ οἱανδήποτε τρόπον ἐστερημένων ἡλιακῆς ἀκτίπος ἀπολαῦσαι ποθεῖ, ὡς οἱ ἡμεῖς οἱ ταπεινοί πάντες, οἱ τῆς σῆς πλουσίως ἐμφορηθέντες καλοκαγαθίας, ποθοῦμεν πάλιν σε θεάσασθαι παρόντα, καί ἀπολαῦσαί σου τῆς καλλονῆς· τοῖς θείοις μέν τοι τῶν συντρόφων ἀρετῶν κεχαρακτηρισμένον τρόποις, οἷς καί πρότερον ἐνδημοῦντα μεγαλοφυῶς ἐμπρέποντά σε γινώσκομεν· δι᾽ ὧν μᾶλλον σαφῶς ἐδιδάχθημεν, γνώμης, ἀλλ᾽ οὐ τάξεως εἶναι τήν ἀρετήν· καί διαθέσεως, ἀλλ’ οὐκ ἀξίας εἶναι τό θεομίμητον. Οἷς γάρ εἰς τό βάθος τῆς ψυχῆς καθ᾽ ὑμᾶς εὐλογημένοις, γνησίως ἐνεῤῥιζώθη τῆς πρός Θεόν ἀγάπης ἡ δύναμις, τούτοις τό ὡσαύτως ἔχειν περί τό καλόν ἀναμφιβόλως προσγέγονεν· ὥσπερ ἀμέλει καί τοῖς ἐπτοημένοις τῇ ἀγάπῃ τῶν ὑλικῶν, τό εἰς πλῆθος παθῶν εὐέμπτωτόν τε καί εὐσκέδαστον. Καί μάλα γε εἰκότως. Ὁ γάρ τοῦ Θείου, ἑνός ὄντος καί μόνου, καί ἀπαθοῦς, καί μηδέν τό παράπαν ἐξ ἀϊδίου κατ᾽ οὐσίαν διάφορον συνθεωρούμενον ἤ συνεπιθεωρούμενον ἔχοντος· οὐ γάρ ἐφικνεῖται αὐτοῦ τι τῶν ἐξ αὐτοῦ· κατά τήν ἔφεσιν γνωμικῶς ἀντεχόμενος, εἷς καί αὐτός ἐστι καί μόνος καί ἀπαθής, τῇ πρός τό ἕν ἀσχέτῳ νεύσει γενόμενος, εἷς τε καί μόνος, καί ἄτρεπτος. Εἰ γάρ ἕν ἐστι καί μόνον αὐτῷ ποθούμενον, τοῦτο δέ κυρίως ἄτρεπτόν ἐστιν, ὡς κατ’ οὐσίαν διά τήν φυσικήν ἀπειρίαν ἀκίνητον· οὐ γάρ ἔχει ποῦ κινηθῆναι τό ἀκίνητον ἄπειρον· ἄρα καί αὐτός οἷα τοῦ ἑνός ὑπάρχων ἐραστής, κατά τό εἰκός, εἷς γέγονε καί μόνος (365) καί ἄτρεπτος· ὡς ποιήσας παντάπασιν ἀπό τοῦ ἑνός τήν γνώμην ἀκίνητον. Ὁ δέ τοῖς ὑλικοῖς, τρεπτοῖς οὖσι κατά φύσιν καί ἀλλοιώτοις, καί οὐδαμοῦ παντελῶς στῆναι δυναμένοις, ἀγνοίᾳ τοῦ κρείττονος κατά γνώμην οἰκείαν ἐνδήσας τῆς ψυχῆς τόν ἔρωτα, τρεπτός ἐστιν ἐξ ἀνάγκης καί

ἐμπαθής καί εὐαλλοίωτος· τοῖς φύσει κινουμένοις καί πάσχουσι τήν συνεπικινουμένην ἔχων πάσχουσαν τῆς ψυχῆς τήν διάθεσιν.

Μή τοίνυν ταύτης σου, δέσποτά μου εὐλογημένε, τῆς ἀγαθῆς καί θεωτικῆς ἕξεως, τῆς ἐχούσης σου πρός τόν Θεόν τήν γνώμην συνέκδημον, ἐκστῆσαί τι τῶν ὄντων δυνηθῇ· μή χρόνος ἀτάκτως ἑαυτῷ συμμεταβάλλων τήν τῶν ὑλικῶν πραγμάτων φοράν, τῆς γνώμης ἀλλοιώσῃ τό βάσιμον· μή ἀνθρώπων ἀπειλή φόβον προτεινομένη, τῆς καλῆς διαθέσεως μετακινήσῃ τό στάσιμον· μή λόγος κολάκων ἀνδρῶν τῇ προφορᾷ καταγλυκαίνων τήν ἀκοήν τῆς ψυχῆς χαυνώσῃ τό εὔτονον· μή ὄρεξις ἀντιλυπήσεως, ἐκ τοῦ δύνασθαι τυχόν πρός τινα, τό σύνολον διαφθείρῃ τοῦ τρόπου τό ἥμερον· μή πόθος τῆς περί τό ἄρχειν δόξης, τῆς περί τό Θεῖον ἀγάπης μειώσῃ τήν ἔφεσιν. Οὐ γάρ ἔλλειψις δόξης παρά Θεῷ πάντως ἤ ἀνθρώποις ἐστί τό μή ἄρχειν ἀνθρώπων· ἀλλά καί μᾶλλον δόξης ἐπίδοσις, ὅσον ταραχῆς καί φροντίδος ἡ ψυχή παντοίας καθέστηκεν ἐλευθέρα τῆς ἔξωθεν, ὡς ὁ ἐμός ἔχει λόγος· καί πᾶς εὐσεβῶς τά δέοντα συνορῶν, ὡς οἶναι, συνθήσεται. Πᾶς γάρ ἀνήρ ὡς ἀληθῶς ἐνάρετος καί φιλόθεος, αὐτάρκης ἑαυτῷ πρός πᾶσαν εὐδαιμονίαν ἐστί· μηδεμίας περιβολῆς τῶν ἐκτός, πρός τό πορίσασθαι ταύτην δεόμενος. Ὁ γάρ τῶν θείων ἰδιωμάτων ἑαυτοῦ κατά τόν βίον τάς ἐμφάσεις καταστήσας γνωρίσματα, πάντων ἐντελῶς ἔχει τῶν ἀγαθῶν τό πλήρωμα· δι᾽ οὗ πέφυκεν ἐγγίνεσθαι τοῖς ἀνθρώποις ἡ πρός τόν Θεόν ἀκριβής ἐξομοίωσις· πρός ἥν οὐδέ τῶν μετά Θεόν συγκρινόμενον καθοτιοῦν παραβάλλεται. Καί ἁπλῶς εἰπεῖν, μή νόσος, μή ὑγεία, μή πλοῦτος ὁ κάτω συρόμενος, μή πενία τῶν φθειρομένων, μή ψόγος, μή ἔπαινος, μή θάνατος, μή ζωή, μή τό παρόν, μή τό μέλλον, μηδέ καθάπαξ ἕτερον τῶν ὄντων ἤ γινομένων, τήν θρεψαμένην σε ταύτην , καί εἰς τόδε προαγαγοῦσαν παρά τι Θεῷ καί ἀνθρώποις κλέος φιλοσοφίαν, νοθεῦσαι δυνηθῇ. Τοῦτο δέ γενήσεται, πῶς; Εἰ πάντα πιστεύσοιμεν τῷ Θεῷ τά καθ᾽ ἑαυτούς· καί μηδέν μέν ζητεῖν ἀνασχοίμεθα παντελῶς, ὧν ἐκ Θεοῦ ζητεῖν οὐ προσετάγημεν· ζητεῖν δέ διά πάσης σπουδῆς, πᾶν ὅτιπερ ἐκ θεοῦ (368) ζητεῖν ἐπετάγημεν· καί τά μέν ὡς μετά Θεόν ὑπό γνώμην ἡμετέραν ὄντα καί δύναμιν, κατά πάντα τρόπον θελήσαιμεν, καί μορφῶσαι δι᾽ αὐτῶν τῶν ἔργων σπουδάσαιμεν· τά δέ, πάσαις ψήφοις, ὡς τῆς ἡμῶν πρός τό γίνεσθαί τε καί ἀπογίνεσθαι γνώμης οὐ χρ.ήζοντα, παραχωρήσαιμεν τῷ Θεῷ μετ᾽ εὐχαριστίας καί πίστεως ἄγειν ὅπη θέλει καί βούλεται, μηδέν πρός τούς λόγους

διαφερόμενοι τό σύνολον τῆς αὐτοῦ προνοίας καί διοικήσεως· οἷς τό πᾶν ἀγνώστως μετά σοφίας ἀποῤῥήτου πρός τό ἑαυτοῦ κατά πρόγνωσιν τοῦ Θεοῦ φέρεται πέρας· κἄν ἄλλως, καί παρά τήν ἡμῶν ἐλπίδα ποιῆται τῶν τοιούτων λόγων τήν ἔκβασιν. Σοφώτατος γάρ ἐστι τῶν ἡμετέρων κηδεμών καί προστάτης, ἅτε δή μή συμβᾶσαν αὐτῷ τήν σοφίαν κτησάμενος, ἀλλ᾽ αὐτός κατ᾽ οὐσίαν σοφίαν κυρίως καί ὤν καί λεγόμενος. Ἕν μόνον γνησίως τηρῆσαι θελήσωμεν, τό ἀγαπᾶν αὐτόν, καθώς εἶπεν, ἐξ ὅλης καρδίας, καί ψυχῆς, καί δυνάμεως, καί τόν πλησίον ὡς ἑαυτούς· σπουδάζοντες πάντα τρόπον ἐπινοῆσαι πρός πέρας ἀγαγεῖν τό θεῖον τοῦτο διάταγμα· καί ὅλος πληρέστατος ἡμῖν κατά περιγραφήν ὁ θεῖος κατώρθωται σκοπός, ὡς ἄν ἀξίας ἤ τάξεως, βίου τε καί σχήματος ἔχωμεν· εἴτε ἄρχοντες, εἴτε ἀρχόμενοι, πλουτοῦντές τε καί πενόμενοι, καί ὑγιαίνοντες καί νοσοῦντες, καί ἄλλως πῶς τοῦ σώματος ἔχοντες· καί περί τῶν ἄλλων ὅσα πάντως ἡμῶν κατά διάθεσιν οὐχ ἕπεται τῇ θελήσει, μηδόλως μεριμνήσωμεν. Τί γάρ πρός ἡμᾶς, τό μή καθεστώς κατά φύσιν ἐξ ἀνάγκης, ἤ κατά γνώμην ἐκ τοῦ θέλειν ἡμέτερον; Καί τοῦτο τυχόν ἡμᾶς σκοπῆσαι βουλόμενος ὁ λόγος, διά θείας ἐντολῆς οὐ δέδωκεν ἡμῖν περί τούτου διάταξιν· ἵνα μή τοῖς οὐκ ἐφ᾽ ἡμῖν ἐγχειροῦντες παρά φύσιν, τῇ τοῦ θέλειν δυνάμει ψεκτῶς παραχρώμεθα· καί τήν μέν ἀσθενοῦσαν δείξωμεν, οὐκ ἔχουσαν τά μηδαμῶς ὑπ᾽ αὐτήν εἶναι δυνάμενα· τό δέ Θεόν βιαζώμεθα, νομίζοντες ἑαυτῶν εἶναι τήν τῆς προνοίας διοίκησιν, τήν σοφῶς τοῖς οὐκ᾽ ἐφ᾽ ἡμῖν εἰς κόλασιν μέν χρωμένην τῶν ἐφ᾽ ἡμῖν κακῶν· ἐπίδοσιν δέ καί εὔτονον δρόμον τῶν ἐφ᾽ ἡμῖν ἀγαθῶν.

Διαιροῦντες οὖν τῶν ἐφ᾽ ἡμῖν τά οὐκ ἐφ᾽ ἡμῖν, τά μέν τῆς θείας ὑπάρχειν ὁλοσχερῶς προνοίας· τά δέ, μετά τῆς θείας προνοίας, καί τήν ἡμῶν κατά θέλησιν γνώμης εἶναι κατόρθωμα πιστεύσωμεν. Ἐφ᾽ ἡμῖν οὖν ἐστιν, ἵνα ὡς ἐν ὅρῳ περιλαβών εἴπω πᾶν ὅτιπερ ἀρετῆς λόγῳ, ἤ τοὐναντίον κακίας τρόπῳ περιεχόμενον, κατά θέλησιν ἡμῶν τῇ γνώμῃ παρέπεται. Οὐκ ἐφ' ἡμῖν δέ ἐστι, πᾶν ὅτιπερ τῆς οἰκείας ὑπάρξεως δημιουργόν τήν ἡμῶν οὐκ (369) ἔχει προαίρεσιν· καί πᾶν μέν κατά φύσιν ὑπάρχον ἀρετῆς καί κακίας ἐλεύθερον· τῇ δέ χρήσει τῶν ἐχόντων, τοῦτο ἤ ἐκεῖνο γινόμενον, ἤ φαινόμενον εἰπεῖν οἰκειότερον. Πάντα τοιγαροῦν τά ἐφ᾽ ἡμῖν ἀγαθά μονώτατα, ὡς τῆς ἡμῶν σύν Θεῷ προαιρέσεως ἔργα, καί τῆς ἡμῶν γνώμης ὑπάρχοντα πράγματα, θελήσωμέν τε σφοδρῶς καί περί πολλοῦ ποιησώμεθα· καί ἐσόμεθα τῆς θείας οὕτω γε χάριτος πῶλοι εὐπειθεῖς καί εὐήνιοι,

ἐπιβαίνοντα τόν Λόγον δεχόμενοι, καί τόν δρόμον ἡμῖν εὐτάκτως κατορθοῦντα τῶν ἀρετῶν. Τά δέ οὐκ ἐφ᾽ ἡμῖν, ὡς οὐκ ὄντα δι᾽ ἑαυτά κατά φύσιν κακία ἤ ἀρετή, ἀλλ᾽ ὄργανα προαιρέσεως, τοῦ ἐφ᾽ ἡμῖν λόγου κεκρυμμένην τήν ὁρμήν εἰς τό φανερόν ἄγοντα, μή θελήσωμεν ὅλως· ἵνα μή τήν κατά φύσιν τοῦ θέλειν τῇ παραχρήσει διαφθείρωμεν δύναμιν, βουλομένην ἐπιλαβέσθαι τῶν ἀμηχάνων, καί ὑπ᾽ αὐτῆς κατορθοῦσθαι μή δυναμένων. Ἀλλά πιστεύσωμεν αὐτά τῷ Θεῷ, καί δεξώμεθα μετ᾽ εὐχαριστίας πᾶσαν καιρῶν τε καί πραγμάτων μεταβολήν, κατά τήν σωτήριον τοῦ Θεοῦ βούλησιν συμφερόντως ἡμῖν γινομένην· ὥστε μή μόνον διά τῶν αὐτῶν, ἀλλά καί τῶν οὐ τῶν αὐτῶν ὡσαύτως, καί διά τῶν ἀνωμάλων ὁμαλῶς ἡμῖν τό καλόν κατορθωθῆναι τῆς ἀρετῆς. Οὐδείς γάρ τῆς ἀγαθῆς ἐλπίδος ἐκπίπτει ποτέ, παραχωρῶν καί ἐμπιστεύων τῷ Θεῷ τήν ἐπ᾽ αὐτῷ τῶν οὐκ ἐπ᾽ αὐτῷ διοίκησίν τε καί πρόνοιαν. Καί ἀληθής ὁ φήσας που τῶν ἑαυτοῦ λόγων Σοφός· Ἐμβλέψατε εἰς τάς ἀρχαίας γενεάς, καί ἴδετε τίς ἐπίστευσε Κυρίῳ καί κατησχύνθη· ἤ τίς ἐπικαλέσατο αὐτόν, καί ὑπερεῖδεν αὐτόν;

Ἐπειδή ταῦτα τοῦτον ἔχει τόν τρόπον, καθώς ἔδειξε σύν ἀληθείᾳ τρέχων ὁ λόγος· καί τήν τῶν θελητῶν καί οὐ θελητῶν ἰδιότητα παρέστησε σαφῶς, ἀλλήλων διακρίνας ὁρισμῷ τά μή φυρόμενα· μήτε ἀφαιρουμένης ἡμῶν τῆς ἀρχῆς, ὡς καλοῦ τινος στέρησιν ὑπομένοντες, ἀντιποιήθωμεν· οὔτε γάρ ἕπεται πάντως ἡμῖν ἡ ἀρχή θελήσασι, τοῦ ἐφ' ἡμῖν λόγου πόῤῥω τυγχάνουσα· ὥσπερ οὐδέ πλοῦτος καί ὑγεία, οὐδ᾽ ὅσα τῶν ἐν μέσῳ κειμένων δι᾽ ἡμῶν μορφοῦται πρός ἀρετήν ἤ κακίαν· μήτ᾽ αὖ πάλιν διδομένην ὡς κακόν τι παντελῶς ταύτην ἀπωσώμεθα, δυναμένην τυχόν ἀρετῆς ὄργανον εἶναι τοῖς φιλοθέοις· καί πάντα προσφέρειν Θεῷ διά πάσης σπουδῆς πρός τοῖς ἐπ᾽ αὐτοῖς ἅπασι, καί τά οὐκ ἐπ᾽ αὐτοῖς κατ᾽ οἰκονομίαν συμβαίνειν αὐτοῖς συγχωρούμενα, προῃρημένοις. εἰκότως ἐστίν. Ὧν γάρ ἄνευ καλοί τε καί ἐνάρετοι γίνεσθαί τε καί εἶναι καί διαμένειν Τό γάρ μή δι᾽ ἑαυτόν κατά φύσιν τυχόν καλόν ἤ κακόν, οὔτε ἐραστόν οὔτε φευκτόν δυνάμεθα· καί πάλιν κακοί καί πάσης ἀρετῆς ἔρημοι, τούτων οὐκ ἀναγκαία πάντως ἡμῖν καθοτιοῦν ἡ κτῆσις· οὔτε μήν ἡ ἀκτησία, πρός γένεσιν καλοῦ τινος ἤ κακοῦ καί συντήρησιν. Ἐπεί καί δυναστείας καί πλούτου καί (372) ὑγείας τινές ἐστερημένοι, πολλούς ἀγαθῶν αἰωνίων ἐκτήσαντο θησαυρούς· ἕτεροι δέ τοὐναντίον, δυναστείαν καί πλοῦτον καί ὑγείαν ἔχοντες, πάντων τῶν θείων

ἀγαθῶν κατ᾽ οἰκείαν γνώμην γεγόνασιν ἔκπτωτοι. Καί μαρτυροῦσιν ὅ τε πτωχός Λάζαρος, καί ὁ κατ᾽ αὐτόν πλούσιος. Ὁ μέν πάσης ὑλικῆς δυναστείας, ὑγείας τε καί περιουσίας ἐστερημένος, τήν ἐν κόλποις Ἀβράαμ δεχόμενος μακαρίαν ἀνάπαυσιν· ὁ δέ τούτων τῶν ὑλικῶν εἰς ἄκρον ὑπάρχων κατάκομος, εἰργόμενος ἀπό τῶν ὁσίων τῷ χάσματι, καί τό κολαστικόν πῦρ ἔχειν μερίδα κατακρινόμενος. Καί πάλιν Δαβίδ καί Ἰώβ, οἱ μεγάλοι τῆς ἀληθείας ἀγωνισταί, δι᾽ ἀμφοτέρων τῶν βίων τῶν ἀλλήλων κατά διάμετρον ἀντιπαθῶς ἀπῳκισμένων δοκιμασθέντες, τήν ἀρετήν διεσώσαντο διά τῶν ἐναντίων αὐξάνουσαν. Οὐ γάρ ἐστι πλούτου καί ὑγείας καί δυναστείας ἔργον· οὐδ᾽ αὖ πάλιν τῆς τούτοις ἀντικειμένης μοίρας ἡ ἀρετή, ἵνα πάθῃ πρός τά ἐναντία μεταβολήν, συναλλοιωθεῖσα τοῖς πράγμασιν· ἀλλά διαθέσεως θείας, καί γνώμης εἰς ἄκρον τῷ καλῷ πεποιωμένης, καί κατά Θεόν ἀμεταβόλως πεπηγυίας, καί τήν οἰκείαν ἐν τοῖς ἐναντίοις ἀπαράλλακτον φυλαττούσης ταυτότητα.

Διδομένην τοίνυν τήν ἀρχήν στέρξωμεν, καί ὡς τῆς κατ᾽ ἀρετήν ἡμῖν παρά Θεοῦ δοθεῖσαν ἐπικουρίας ὄργανον καταδεξώμεθα. Καί πάλιν ἀφαιρουμένην αὐτήν μή ζητήσωμεν, ὡς μέγα φοβερᾶς ἀχθηδόνος βάρος ἀποτιθέμενοι, καί τόν ἐφ᾽ ἡμῖν τῆς Προνοίας σκοπόν ἀποκαλύπτουσαν, τῆς τό συμφέρον ἑκάστῳ φιλανθρώπως οἰκονομούσης· Μή ζήτει, γάρ, φησίν ὁ Σοφός, γενέσθαι κριτής, μή οὐκ ἰσχύσῃς ἐξᾶραι ἀδικίας· μή ποτε εὐλαβηθῇς ἀπό προσώπου δυνάστου, καί θήσεις σκάνδαλον ἐν εὐθύτητί σου· καί ἁμάρτῃς εἰς πλῆθος πόλεως, καί καταβάλῃς ἑαυτόν ἐν ὄχλῳ, καί καταδεσμεύσῃς δίς ἁμαρτίαν. Πλήν γε ὅτι εἰ κἀκ τούτων φανῆναι θελήσειας, εὐλογημένε, οὐδενός ἔλαττον ἦλθες τῶν κατά σέ. Οἱ γάρ ὀφθαλμοί Κυρίου, καθώς ὁ αὐτός ἔφη Σοφός, ἐπέβλεψαν ἐπί σέ εἰς ἀγαθά, καί ἀνώρθωσέ σε ἐκ ταπεινώσεώς σου, καί ἀνύψωσε τήν κεφαλήν σου, καί ἀπεθαύμασάν σε πολλοί, καί διηγοῦνται λαοῖς τε καί ἔθνεσι τάς ἀρετάς σου. Καί ὅ περί τῶν ἀποστόλων διά τοῦ μεγάλου Δαβίδ τό ἅγιον Πνεῦμα προανεφώνησεν· Εἰς πᾶσαν τήν γῆν ἐξῆλθεν ὁ φθόγγος τῶν κατορθωμάτων σου, καί εἰς τά πέρατα τῆς οἰκουμένης τῶν σῶν ἀρετῶν εὐώδης ἦλθε διάδοσις. Οὐ γάρ ἔφαγες τόν ἄρτον σου μόνος, ἀλλ᾽ ὀρφανοῖς ἐξ αὐτοῦ πλουσίως μετέδωκας, καί ἐκ νεότητος αὐτῶν ἐξέτρεψας αὐτούς ὡς πατήρ, καί ἐκ γαστρός μητρός (373) αὐτῶν ἐπί δικαιοσύνην ὡδηγήσας. Οὐχ ὑπερεῖδες γυμνούς ἀπολλυμένους, καί οὐκ ἠμφίασας· ἀδύνατοι δέ πάντες ηὐλόγησάν σε· τούς γάρ ὤμους

αὐτῶν ἐθέρμανας ἀπό κουρᾶς ἀμνῶν σου. Οὐκ ἔταξας τό χρυσίον σου εἰς τόν χοῦν σου, τουτέστιν εἰς ἀπόλαυσιν τῆς σαρκός σου· ἀλλ᾽ ἐν οὐρανῷ πάντα τόν πλοῦτόν σου προέπεμψας, εἰς ἑτοιμασίαν τῶν τῆς ψυχῆς ἀγαθῶν. Οὐκ ἠπατήθης πλούτῳ φθειρομένῳ, καί ῥέοντι αὐτῷ οὐ προσέθηκας καρδίαν. Γελοιασταῖς οὐ συνηυλίσθης, ὧν ὁ βίος ἐστίν αἰσχύνη, καί ἡ ζωή κηλίδων πεπλήρωται. Οὐκ ἐσπούδασεν ὁ πούς σου εἰς δόλον· οὐδέ ἐπεχάρης πτώματι ἐχθρῶν, καί εἶπεν ἡ καρδία σου. Εὖγε. Οὐκ ἐστέναξεν ἡ γῆ ἐπί σοί· οὐ γάρ ἔφαγες μόνος τήν ἰσχύν αὐτῆς ἄνευ τιμῆς, οὐδέ ψυχάς κυρίων αὐτῆς ἐξέθλιψας. Ἀπό δώρων ἀδίκων τάς χεῖρας συνέστειλας· διέσωσας δέ πτωχόν ἐκ χειρός δυνάστου, καί ἔκλαυσας ἐπί παντί ἀδυνάτῳ· καί ἰδών ἄνδρα ἐν ἀνάγκαις, ἐστέναξας. Ὀρφανοῖς οἷς οὐκ ἦν βοηθός ἐβοήθησας· στόματα δέ χηρῶν ηὐλόγησάν σε. Δικαιοσύνην γάρ ἐνδύσω, καί ἠμφιάσω κρῖμα εὐθές, ἴσα διπλοΐδι. Ὀφθαλμός ἐγένου τυφλῶν, πούς δέ χωλῶν, καί πατήρ ἀδυνάτων. Μύλας ἀδίκων συνέτριψας, καί ἐκ μέσου τῶν ὀδόντων αὐτῶν ἐξέσπασας ἅρπαγμα. Καί συνελόντα φάναι, πεινῶντας διατρέφεις, καί διψῶντας ποτίζεις, καί ξένους περιστέλλεις, καί γυμνούς περιβάλλεις, καί ἀσθενοῦντας ἐπισκέπτῃ, καί τοῖς ἐν φυλακαῖς διακονεῖς· μᾶλλον δέ, Θεῷ διά πάντων τούτων εὐαρεστεῖς· δι᾽ ὅν πᾶσι τούτοις προθύμως ἐπαρκεῖν, πάντων ἐπιδοξότερον ἔκρινας. Διά τοῦτό σε δικαίως ἐφύλαξεν ὁ Θεός, καί ὁ λύχνος αὐτοῦ λάμπει ὑπέρ κεφαλῆς σου· τουτέστιν, ὁ νόμος τῶν ἐντολῶν τῇ πράξει τῶν ἀρετῶν ἐπί σοί πᾶσι λαμπρῶς διαφαίνεται· καί τῷ φωτί αὐτοῦ πορεύῃ ἐν σκότει· τουτέστι, τῇ γνώσει τῆς τῶν ὄντων εὐσεβοῦς θεωρίας, τήν ἀπάτην τοῦ αἰῶνος τούτου καί τήν ἄγνοιαν ἀβλαβῶς διοδεύεις, πρός τό ἄσκιον φῶς ἐπειγόμενος. Σοί γάρ μόνῳ κατά ἀλήθειαν ὑπῆρξε παρά πάντας ἀνθρώπους, ἠγαπημένε, τῷ τῆς ἀρχῆς ὄγκῳ μή διαφθεῖραι τήν ἀρετήν, μηδέ τῷ χρυσῷ τόν τοῦ Χριστοῦ καθοτιοῦν ὑποκλῖναι νόμον· ἀλλά τοσοῦτον τῇ ἀρετῇ δουλῶσαι τήν ἐξουσίαν, ὥστε καί ἀπό μόνον ἀρετῆς τέ φημι καί λόγου, γνωρίζεσθαι· καί πᾶσι πανταχοῦ γενέσθαι διά τό κλέος τῆς δικαιοσύνης ἐξάκουστον.

Εἰ δέ τό κατά σάρκα δυσπαθές ὡς εἰκός παραιτούμενοι, τήν ταύτης νομιζομεν περιποιεῖσθαι διά τῆς ἐξουσίας εὐπάθειαν, γνῶμεν, ὡς τήν μέν εὐπάθειαν τῆς σαρκός, θείας ἐντολῆς ἐφεῦρε τῷ βίῳ παράβασις, καί ἄνθρωπος τῶν αἰωνίων τά πρόσκαιρα προτιμήσας εἰσήγαγε· τήν δέ τῆς σαρκός δυσπάθειαν, θείας ἐντολῆς τήρησις, καί Θεός διά τοῦτο

γενόμενος ἄθρωπος δι᾽ ἑαυτοῦ παρέδειξέ τε καί ἐνομοθέτησε· καί τήν μέν εἶναι τῆς τοῦ παραδείσου καί τῶν ἐκεῖσε ἀγαθῶν τοῖς ἀνθρώποις ἀποξενώσεως αἰτίαν· τήν δέ τῆς εἰς τόν παράδεισον ἐπαναγωγῆς, καί τῆς εἰς οὐρανούς ἀναλήψεως· καί τό δή πάντων θαυμασιώτερον (376) τῆς πρός Θεόν οἰκειώσεως πρόξενον. Καί διά τοῦτο τῆς μέν σαρκικῆς δυσπαθείας, ὡς θείας ὀργάνου χάριτος ὑπαρχούσης, μέχρι πάντως ἀνθεξώμεθα, μή συμμεταβαλλόμενοι τῖς καιροῖς καί τοῖς πράγμασι· τῆς δέ τῆς σαρκός εὐπαθείας παντελῶς ἀλογήσωμεν, ὡς ἀποπτύστου, καί πάντως λυθησομένης, καί πεισομένης τό ἑαυτῆς, καί τούς ἰδίους ὅρους οὐχ ὑπερβαινούσης, ὡς τό θεῖον ἔφη τοῦ Χριστοῦ στόμα Γρηγόριος· καί ὡς πάντων τῶν τῆς ψυχῆς στιγμάτων ποιητικῆς· ἵνα ὅλοι γενώμεθα τοῦ Θεοῦ καί μόνου, διά πάντων τῶν τε ψυχικῶν καί σωματικῶν κινημάτων, τάς θείας αὐγάς ἀπαστράπτοντες. Καί ἁπλῶς εἰπεῖν, ὅλου Θεοῦ χωρητικοί, καί ὅλοι δι᾽ ὅλου θεοί κατά χάριν γενώμεθα· τοσοῦτον, ὥστε ἄλλον αὐτόν ἡμᾶς εἶναι διά πάντων νομίζεσθαι· χωρίς τῆς πρός αὐτόν κατ᾽ οὐσίαν ταυτότητος· τοῦτο γάρ ἡ τελείωσις, μηδέν τό παράπαν ἐν ἡμῖν αὐτοῖς τοῦ αἰῶνος τούτου γνώρισμα φέροντες· ἵνα μή δι᾽ ἐκεῖνο κατά τι στέρησις ἡμῖν τῆς θείας ἕξεως γένηται, καί πικρῶς μέν ὀδυνηθῶμεν ἐπί τῷ μώμῳ τῆς ἀληθοῦς ἀρτιότητος· τῆς δέ διορθώσεως τάς ἀφορμάς οὐχ εὑρήσωμεν.

Τοῦ αἰῶνος ἡμῖν ἀπογενομένου τῶν πράξεων, οὐδέν μένει τό σύνολον τῶν παρόντων ὡς ἔχει νῦν, σχήματός τεκαί θέσεως, Οὐδέν τῶν ὁρωμένων τό πιστό ἔχει τοῖς κεκτημένοις, καί ἄπτωτον. Οὐδέν διαρκῶς ἔστηκε τοῖς ἡττημένοις αὐτῷ προσδιαμένον ἀκίνητον· οὐ δόξα, οὐ πλοῦτος, οὐ δυναστεία, οὐχ ὑγεία, οὐκ ἀδοξία, οὐ πενία, οὐ δουλεία, οὐ νόσος, οὐ κάλλος, οὐ νεότης, οὐ περιφανεία, οὐκ ἀμορφία, οὐ γῆρας οὐ δυσγένεια· πάντα παρέρχεται, πάντα μαραίνεται, πάντα σκιᾶς δίκην ἀφανίζεται τά ἀνθρώπινα, καί πομφόλυγος εὐδιαπνευστότερός ἐστι, πᾶς ὁ τῆς ἀνθρωπίνης συναστείας ὄγκος. Πᾶς γάρ ἄνθρωπος, φησί, χόρτος, καί πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου· ἐξηράνθη ὁ χόρτος, καί τό ἄνθος ἐξέπεσε. Πάντα γάρ ὡς ἀληθῶς τά ἀνθρώπινα, συνημμένην ἔχει κατά δύναμιν τήν φθοράν τῇ γενέσει· πολλάκις δέ καί προηγουμένην ἐπ᾽ ἐνίων τῆς γενέσεως τήν φθοράν· ὡς δύνασθαι κλαπῆναι τῇ κατά τό αὐτό τῶν ἄκρων πρός ἄλληλα συνόδῳ τό μέσον, καί δι᾽ ἀμφοῖν θεωρούμενον· καί τοῦτο σοφῶς τῆς προνοίας μηχανωμένης, ἵνα γένηται πρός τήν τῶν αἰωνίων πίστωσιν ὁ τῶν ἀλλοιουμένων λόγος παιδαγωγία. Πάντα μεταβάλλει

εἰς ἄλληλα, καί περιτρέπεται ἕκαστον ἑκάστῳ· καί δι᾽ ἀλλήλων μᾶλλον κυροῦσιν ἑαυτῶν τήν φθοράν ἤ τήν γένεσιν.

Μή τοίνυν ἐνδήσωμεν τοῖς ἐπικαίροις τήν μή φθειρομένην ψυχήν· μηδέ βαρήσωμεν τόν νοῦν κατασπῶντες πρός γῆν τῇ φροντίδι τῶν ὑλικῶν, ὕλης ὄντα κατά φύσιν ἐλεύθερον. Φυσικῶς ἀλλήλων διέλωμεν τῷ λόγῳ, τά μηδέποτε κατ᾽ οὐσίαν ἀλλήλοις (377) συμπίπτοντα· καί οὐδείς κόπος ἡμῖν περίεστιν ἑλκύσαι τῆς προσπαθείας τῶν φθειρομένων, τήν ἀσύνθετον καί μηδαμῶς διάλυσιν φύσεως ἐπιδέξασθαι δυναμένην ψυχήν. Φύγωμεν Σόδομα· τήν περί τά αἰσθητά τῶν αἰσθήσεων πλάνην· λέγω καί σύγχυσιν, ἵνα φύγωμεν τόν ἐμπρησμόν· τήν τούτοις φημί πάντως διά πυρός ἑπομένην κόλασιν. Εἰς τό ὄρος σωθῶμεν, εἰς τό ὕψος δηλαδή τῆς κατά Θεόν πολιτείας, ἵνα μή συμπαραληφθῶμεν, οἱ μήπω τῶν αἰσθήσεων ὁλικῶς ἐξοικισθέντες, κἄν ἀργεῖν δοκῶμεν κατά τόν μακάριον Λώτ ἀπό κακίας, τῷ μή συνεργάζεσθαι τοῖς Σοδομίταις τά ὅμοια· τουτέστι, τοῖς διά τῶν αἰσθήσεων πάθεσι, τά πρόσφορα πάθεσι. Παραδράμωμεν ὅση δύναμις τά παρατρέχοντα, καί κρατεῖσθαι μέν παρ᾽ ἡμῶν οὐδαμῶς δυνάμενα, αὐτήν ἔχοντα φύσιν τήν παροδικήν ῥεῦσιν ὑπόστασιν· μόνην δέ ἡμῖν ἀναφυέντα τήν ἐπ᾽ αὐτοῖς τῆς ψυχῆς κακῶς ἐστιγμένην διάθεσιν, δι᾽ ἥν πᾶσα μέλλει τοῖς κατακρίτοις ἐπανατείνεσθαι βάσανος. Ἀφῶμεν πάντα προθύμως, ἤ Θεῷ διά τῶν δεομένων προχρήσωμεν, ὧν ἐξ ἀνάγκης φυσικῶς ἡμῖν παρέπεται στέρησις. Ἀφῶμεν γνωμικῶς κατά θέλησιν, τά φυσικῶς κατ᾽ ἀνάγκης ἀφιέντά τε καί ἀφιέμενα. Μή ποιήσωμεν τοῖς γινομένοις τε καί ἀπογινομένοις διά ἀλογίστου σχέσεως κάτοχον, τήν τόν Ποιητήν ἑαυτῆς φυσικῶς εἰκονίζουσαν ψυχήν· τήν μηδέποτε μετά τό γενέσθαι πέρας τοῦ λαμβάνουσαν, καί ἀεί ζητεῖν τόν Θεόν διά πάντων, καί πρός αὐτόν ἐπείγεσθαι προστεταγμένην. Μή θελήσωμεν ἔχειν ἅπερ κρατεῖν οὐ δυνάμεθα· μήτε μήν ὡς αἰωνίοις προστεθῶμεν τοῖς πάντως παρερχομένοις. Παράγει γάρ τό σχῆμα τοῦ αἰῶνος τούτου, καθώς εἶπεν ὁ Ἅγιος· καί · Ὁ οὐρανός, καί ἡ γῆ παρελεύσεται, καθώς εἴρηκεν ὁ τοῦ Ἁγίου Θεός· καί δεχώμεθα τήν θείαν ἀψευδῶς ἀπόφασιν, καί φθάνωμεν τῇ πίστει τοῦ λόγου τήν δύναμιν, καί πιστούμεθα δι᾽ ἀποδείξεως ἐναργοῦς τῶν λεγομένων τήν ἔκβασιν. Οὗτινος γάρ τά μέρη φθοραῖς καί ἀλλοιώσεσιν ὑπόκειται, καθώς τις τῶν ἡμετέρων ἔφη σοφός, τούτου καί τό πᾶν δηλονότι, κἄν μήπω δι᾽ ἐνεργείας ἐφέστηκεν ὁ καιρός, ἐν ᾧ ταῦτα, τό πᾶν ὑποστίσεται· ἐπεί καί πᾶς

ἄνθρωπος ἐξ ὧν πάσχει καθ᾽ ἑκάστην ἡμέραν, φυσικῶς οἶδε τεθνήξεσθαι, κἄν μήπω πάρεστι διά τῶν πραγμάτων ὁ θάνατος,

Γενώμεθα τοίνυν ἑαυτῶν, καί τοῦ Θεοῦ· μᾶλλον δέ μόνου Θεοῦ, ἀλλά μή τῆς σαρκός ὅλως καί τοῦ κόσμου. Ἑτοιμασθῶμεν τοῦ ἐπικαλεῖσθαι τόν Θεόν ἡμῶν κατά τό γεγραμμένον· Ἑτοιμάζου, τοῦ ἐπικαλεῖσθαι τόν Θεόν σου, Ἰσραήλ· ὅπερ ἐστί, καθαρθῶμεν τῶν κακῶν στιγμάτων καί μολυσμῶν, ἀποβαλόντες ἑαυτῶν καί αὐτάς ψιλάς τῶν παθῶν, κατά τό δυνατόν, τάς φαντασίας. Οὕτω γάρ ἀληθῶς ἑτοιμάζεται πᾶς ἑτοιμάζεσθαι θέλων καλῶς· ἵνα δεξώμεθα διά τῶν (380) ἀρετῶν, ὡς διά τινων θείων χρωμάτων τήν ἀκριβῆ πρός Θεόν ἀξομοίωσιν. Οὕτω γάρ ἐπικαλεῖται δεόντως, ὁ τόν Θεόν πῶς ἐπικαλεῖσθαι χρή μή ἀγνοιῶν· ἑτοιμασία γάρ ἐστι, κατ᾽ ἐμέ φάναι, τῶν παθῶν ἀλλοτρίωσις· ἐπίκλησις δε, ἡ γνησία διά τῶν ἀρετῶν πρός Θεόν οἰκείωσις. Ἤ πάλιν, ἑτοιμασία ἐστίν, ἡ διά τῶν ἀρετῶν τοῖς ἀξίοις ἐγγινομένη λαμπρότης· ἐπίκλησις δέ, ἡ διά γνώσεως ἀληθοῦς ὑποδοχή τῆς θεοποιοῦ χάριτος. Οὕτω γάρ ἄν λευκά διά παντός τά ἱμάτια ἔχειν δυνησόμεθα, κατά τό γεγραμμένον· τουτέστι φαιδρούς τούς διά τῶν ἀρετῶν τρόπους· καί διαφανεῖς, καί μηδέν σκότους τεκμήριον ἔχοντας. Καί ἡ ψυχή ἡμῶν ἀγαλλιάσεται ἐπί τῷ Θεῷ τῷ Σωτῆρι ἡμῶν· χαίρουσα ἐπί τε τῇ ἀπεκδύσει τοῦ παλαιοῦ ἀνθρώπου, τοῦ φθειρομένου κατά τάς ἐπιθυμίας τῆς ἀπάτης· καί τῇ ἐπενδύσει τοῦ ναοῦ τοῦ κατά Θεόν κτισθέντος ἐν πνεύματι. Ἐνδύσει γάρ ἡμᾶς ὁ Θεός ἡμῶν ἱμάτιον σωτηρίου, καί χιτῶνα εὐφροσύνης· τουτέστι τήν ἑκτικήν κατ᾽ ἦθος διά τῶν ἀρετῶν φιλόσοφον πρᾶξιν, καί τήν ἄπταιστον ἐν πνεύματι γνωστικήν θεωρίαν, ἵνα καί τῶν μελλόντων τοῦ θείου καί ἀκηράτου νυμφῶνος ἀρχικῶν ἀπολαύσωμεν ἀγαθῶν. Ἐπί τούτοις πᾶσιν ἀκριβῶς σκοποῦντες πῶς περιπατοῦμεν, καί τί περί ἑαυτῶν βουλευόμεθα· πολλούς γινώσκοντες τοῖς παρ᾽ ἡμῶν γινομένοις ἀοράτους παρίστασθαι μάρτυρας, οὐκ εἰς τό φαινόμενον βλέποντας μόνον, ἀλλ᾽ εἰς αὐτάς παρακύπτοντας τάς ψυχάς, καί τό κρυπτόν, διελέγχοντας τῆς καρδίας.

Πολλοί γάρ, ὡς ἀληθῶς, χοροί πανταχόθεν ἀγγελικῶν Δυνάμεων ἡμᾶς περιεστήκασι, τά γινόμενά τε καί λεγόμενα παρ᾽ ἡμῶν, καί νοούμενα, μέχρι καί ψιλῆς ἐνθυμήσεως, δι᾽ ἀκριβείας πάσης ἐν οὐρανῷ καταγράφοντες, πρός ἔλεγχον ἡμῶν ἐν τῇ φοβερᾷ ἡμέρα τῆς κρίσεως· ὅτε πᾶσα τῶν ὁρατῶν ἡ κτίσις κλονουμένη κατ᾽ ἔπειξιν ἄφατον πρός τήν οἰκείαν ὠθεῖται συντέλειαν· καί οὐρανός καί γῆ

ῥοιζηδόν παρελεύσονται· καί τά διά μέσου στοιχεῖα καυσούμενα λυθήσεται· καί ἔσται οὐρανός καινός καί γῆ καινή, καί τά ἐπί τούτοις. Ἡνίκα θρόνοι προτίθενται, καί Παλαιός ἡμερῶν προκαθέζεται, καί βίβλοι ἀνοίγονται, τῶν ἡμετέρων ἔργων τε καί λόγων καί νοημάτων τά ἔγγραφα πιστῶν τε καί ἀνοθεύτως ἔχουσαι· χίλιαί τε χιλιάδες ἀγγέλων λειτουργοῦσιν αὐτῷ, καί μυρίαι μυριάδες αὐτῷ παρεστήκασι· καί ἀπειλή φρικώδης αἰθομένου (καιομένου) πυρός πανταχοῦ διατρέχουσα, καί τά κύκλῳ πάντα περιλαμβάνουσα, καί ὄρη ὡσεί κηρόν ἐκτήκουσα. Ποταμός γάρ πυρός, φησίν, εἷλκεν ἔμπροσθεν αὐτοῦ. Ἡνίκα τάρταρος, καί βόθρος ἀχανής καί ἀνείκαστος, καί σκότος ἐξώτερον, καί σκώληξ ἀκοίμητος ἀναδειχθῶσι παρόντα· καί ἐπ᾽ αὐτοῖς φόβος εἱστήκει διά πάντων μετέωρος ἐκδεχομένων τήν ἔκβασιν· (381) καί ὀργῆς ἄγγελοι κολαστικόν πῦρ ἀποστίλβοντες, πῦρ δέ βλέποντες, καί πῦρ ἀναπνέοντες, ἕτοιμοι πρός πᾶσαν ἐκδίκησιν πάσης παρανομίας ἐστήκασι. Πᾶσά τε πρός τούτοις κτίσις ἐπίγειός τε καί ἐπουράνιος, ὅση τε ἐν ἀγγέλοις, καί ταῖς ὑπέρ ἀγγέλους δυνάμεσι, καί ὅση ἀνθρώποις, παρίσταται μετά τρόμου τήν φοβεράν τῆς θείας βουλῆς ἐκδεχομένη φανέρωσιν· ἐφ᾽ ὧν ἁπάντων, αἱ πάντων ἡμῶν ἀναγνωσθήσονται πράξεις, καί τῶν κρυπτῶν ἡ γύμνωσις γενήσεται· ὥστε πάντας οὕτως γινώσκειν ἀλλήλων τάς ἁμαρτίας, ὡς ἕκαστος τάς ἑαυτοῦ, τήν βίβλον ἀπλανῶς ἀναγινώσκων τῆς ἑαυτοῦ συνειδήσεως. Ἐλέγξω γάρ σε, φησί, καί παραστήσω κατά πρόσωπόν σου τάς ἁμαρτίας σου. Καί πάλιν· Κυκλώσει αὐτούς τά διαβούλια αὐτῶν.

Καί ἰδού ἄνθρωπος καί τό ἔργον αὐτοῦ, καί δικαστής ἀπαραλόγιστος, παρισταμένην ἔχων τήν φοβεράν καί μεγαλοπρεπῆ τῶν οὐρανίων ταγμάτων δύναμιν, ὑψηλός προκαθέζεται, πᾶσαν ἀπαστράπτων δικαιοσύνην, καί ἑκάστῳ δι᾽ ἀποφάσεως ἀληθοῦς καί δικαίας ἀπονέμων τά πρός ἀξίαν· τοῖς μέν ἐκ δεξιῶν διά τάς καλάς πράξεις σταθεῖσιν, μειλιχίως τήν ἡτοιμασμένην ἀπό καταβολῆς κόσμου τῶν οὐρανῶν βασιλείαν διδούς· τούς δέ τήν ἐξ εὐωνύμων διά τήν ἐρημίαν τῶν ἀγαθῶν ἔργων στάσιν λαχόντας, εἰς τό αἰώνιον πῦρ, τό ἡτοιμασμένον τῷ διαβόλῳ καί τοῖς ἀγγέλοις αὐτοῦ, μετ᾽ ὀργῆς ἀπωθούμενος. Τίς ἐκεῖνο τό πῦρ ἐνέγκει μαινόμενον; Τίς οὐ καταπτήσει τό ξένον ἐκείνου τοῦ σκώληκος θέαμα; Τίς τοῦ σκότους ἐκείνου τοῦ ἐξωτέρου τό ταχύ τε ὁμοῦ καί βαρύ φέρειν δυνήσεται; Τίς μυκώμενον τό τάρταρον, καί ἐκ πυθμένος αὐτῷ συναναβρασσομένην τήν ἄβυσσον ὑποστήσεται; Τίς τῶν ἐπί τούτῳ τεταγμένων ἀγγέλων τό

δριμύ τε καί βλοσυρόν τοῦ βλέμματος, καί τοῦ προσώπου τό κατηφές οὐχ ὑποτρέμει δονούμενος; Τίς τό πάντων δεινότερον τῶν κακῶν, τήν ἀποστροφήν τοῦ προσώπου τοῦ φύσει πράου καί φιλανθρώπου Θεοῦ καί οἰκτείρμονος οὐ φοβηθήσεται, ᾧ πᾶσα κτίσις συναποστρέφεταί τε καί συμβδελύττεται, τούς διά φιλαπεχθήμονα γνώμην ἑαυτούς τοσούτοις κακοῖς περιπείραντας, ἀγανακτοῦσα κατ᾽ αὐτῶν ἐνδίκως, ὡς τοιοῦτον ἑαυτοῖς φανῆναι τόν φύσει τε καί μόνον φυλάνθρωπον Θεόν βιασαμένων; Τίς τήν κατά συνείδησιν ἀπέραντον αἰσχύνην ἔσεσθαι μέλλουσαν ἐπί τῇ φανερώσει τῶν κρυπτῶν ὑποστήσεται; τίς τόν ἀσίγητον κλαυθμόν, καί τό πικρόν ἐκεῖνο καί ἀνόητον δάκρυον, καί τό βρυγμόν τῶν ὀδόντων, καί τούς κωκυτούς τῶν ἐν ταῖς βασάνοις πιεζομένων, ἤ τόν ἐκ τῆς μεταμελείας πόνον κατά μέσης αὐτῶν ἐπικείμενον τῆς καρδίας, καί διασμύχοντα δικαίως αὐτῶν τῆς ψυχῆς τόν πυθμένα, μετρῆσαι δυνήσεται; Τίς τήν ἐγγινομένην αὐτοῖς στενοχωρίαν ἐκ τοῦ μή ἐλπίζειν προθεσμίαν μεταποιήσεως, καί τέλος τῆς ἐπικειμένης κολάσεως, μηδέ τῆς πρός τό εὖ ζῆν πάλιν μεταβολῆς (384) ἐκδέχεσθαι προσδοκίαν, ἐξειπεῖν ἐστιν ἱκανός. Τελευταῖον γάρ καί μόνον, καί φοβερόν ἐκεῖνο καί δίκαιον ὡς ἀληθῶς ἐστι τό κριτήριον, καί δίκαιον πλέον ἤ ὅσον ἐπίφοβον, καί διά τοῦτο τυχόν φοβερώτερον, ὅτι καί δίκαιον· καί πάντας ἑαυτῷ κατά τήν δικαίαν τοῦ Θεοῦ ψῆφον τούς αἰῶνας ἐναποκλεῖον. Τίς τάς οἰμωγάς καί τούς στεναγμούς τούς ἐκ μέσης αὐτῶν προφερομένους τῆς καρδίας, καί αὐτῶν καθαπτομένους τῶν μυελῶν, καί πικρῶς τά σπλάχνα καταδάκνοντας ἐπί νοῦν λαβών, δακρύων ἐλεύθερος εἶναι δυνήσεται; Τίς τόν θρῆνον καί τόν ὀλοφυρμόν ἐνέγκῃ χωρίς ὀδύνης καί τῆς ἐπ᾽ αὐτῇ κατηφείας, καί μεθ᾽ οἵων προφερομένους τῶν ἐκ μεταμελείας λόγων, τῶν τε πρός ἑαυτόν ἑκάστου τῶν κολαζομένων, καί πάντων πρός ἅπαντας;

Τότε γάρ ἀληθής ἐπιγνώμων τῶν ἑαυτοῦ πταισμάτων καθέστηκεν ἕκαστος, ὅταν ἐφ᾽ ἑαυτῶν γυμνά φανῶσι τά πράγματα, καί παντός καλύμματος ἀπάτης ἐλεύθερα. Δικαία ἡ κρίσις σου, ὁ Θεός· ἐκάλεις γάρ ἡμᾶς, καί οὐχ ὑπηκούομέν σου· λόγους δέ παρεῖχες ἡμῖν, καί οὐ προσείχομεν, ἀλ᾽ ἀκύρους ἐποιοῦμεν τάς σάς βουλάς· τοῖς δέ σοῖς λόγοις οὐ προσείχομεν. Τοιγαροῦν δικαίως ἦλθεν ἐφ ἡμᾶς ἀπώλεια, καί ὄλεθρος, καί καταιγίς, καί θλίψις, καί πολιορκία· καί νῦν ἡμεῖς ἐπικαλούμεθά σε, καί οὐκ εἰσακούεις· ζητοῦμεν παρά σοῦ, καί οὐχ εὑρίσκομεν ἔλεος· οὐδέ γάρ ἡμεῖς εἰσηκούσαμέν σου τῶν λόγων· οὐδέ

τῷ πλησίον ἐποιήσαμεν ἔλεος. Οἱ γάρ μισήσαντες σοφίαν, καί τόν φόβον Κυρίου μή προελόμενοι, μηδέ θελήσαντες Θεοῦ προσέχειν βουλαῖς, τοιούτους δρεπόμεθα τῶν οἰκείων σπερμάτων τούς καρπούς, καί τῆς ἑαυτῶν ἀνοίας ἐμπιπλώμεθα. Ἀπετύφλωσε γάρ ἡμᾶς ἡ ἀπάτη τοῦ βίου, καί οὐκ ἔγνωμεν μυστήρια Θεοῦ· οὐδέ μισθόν εἶναι τό σύνολον ἠλπίσαμεν ὁσιότητος. Διά τοῦτο τρίβοις ἀνομίας ἐνεπλήσθημεν, καί διωδεύσαμεν ἐρήμους ἀβάτους, δηλαδή θείας ἐπισκοπῆς, τήν δέ ὁδόν Κυρίου οὐκ ἔγνωμεν. Καί νῦν τί ὠφέλησιν ἡμᾶς ἡ ὑπερηφάνια , καί τί ὁ πλοῦτος μετά ἀλαζονείας συμβέβληται ἡμῖν; Παρῆλθεν ἐκεῖνα πάντα, ὡς σκιά, καί ὡς ἀγγελία παρατρέχουσα, καί ὡς νῦς διερχομένη κυμαινόμενον ὕδωρ· ἧς διαβάσης οὐκ ἔστιν ἴχνος εὑρεῖν, οὐδέ ἀτραπόν τρόπεως (τρόπιος) αὐτήν ἐν κύμασιν· ἤ ὡς ὀρνέου διαπτάντος ἀέρα, οὐθέν εὑρίσκεται τεκμήριον πορείας. Παρῆλθεν ἐκεῖνα πάντα, τοῦτο τό πῦρ ἡμῖν ἀφέντα κληρονομίαν, εἰς πάντας διαμένουσαν τούς αἰῶνας.

Δικαία ἡ κρίσις σου, ὁ Θεός· τά αὐτά γάρ λέγοντες οὐδέποτε λοιπόν παυσόμεθα· ἐκαλούμεθα, καί οὐχ ὑπηκούομεν· ἐνουθετούμεθα, καί οὐ προσείχομεν. Περί τούτων καθ᾽ ἑκάστην ἡμέραν ἐδιδασκόμεθα τῶν δεινῶν, καί κατεφρονοῦμεν τῶν λεγομένων. Οὐκ ἐλύπει ἡμᾶς τότε κἄν μικρόν τά περί τούτων ῥήματα· ἐπεί οὐκ ἄν νῦν σφοδρῶς οὕτως ἐλύπει τά πράγματα· λῆρος ἡμῖν ἐνομίζετο τά νῦν ἡμῶν συνέχοντα τήν ζωήν, τότε συχνῶς ἐπᾳδόμενα. Ὦ τῆς ῥᾳθυμίας ! ὤ τῆς ἀπάτης ! ὤ τῶν κακῶν (385) βουλευμάτων ! ὤ τῶν πονηρῶν συναλλαγμάτων ! ὤ τοῦ θαύματος τῆς ἐπί τούτοις δικαίας τοῦ Θεοῦ περί ἡμᾶς ἀποφάσεως ! Πῶς ἑκάστου τῶν ἡμετέρων ἁμαρτημάτων εἴδους πρόσφορον ἡμῖν ἀντέδωκε βάσανον. Δι᾽ οἰκτράν γάρ καί ἀπόπτυστον σαρκός ἡδονήν, ταύτην ἔχειν τήν φοβεράν δικαίως κατεδικάσθημεν γέενναν. Τόν ζόφον καί τό σκότος τοῦτο τό φρικτόν οἰκεῖν κατεκρίθημεν, ἐπειδήπερ ἠγαπήσαμεν πάντα τά αἰσχρά, καί θεάματα καί ἀκούσματα καί ῥήματα· καί πάντων ὁμοῦ τῶν θείων ἀγαθῶν, τά ἱππικά καί τά θέατρα καί τά κυνηγέσια προετιμήσαμεν· ἐν οἷς δαιμόνων ἐχόρευον δῆμοι, καί πᾶσα θεία δι᾽ ἀγγέλων ἀπῆν ἐπισκοπή καί ἐπίγνωσις· ἔνθα τό μέν σεμνόν τῆς σωφροσύνης πολλοῖς καθυβρίζετο τρόποις· τό δέ τῆς ἀκολασίας κακόν τε καί βδελυρόν περιφανῶς ἐσεμνύνετο. Δικαίως τοῦ φωτός ἐστερήθημεν νῦν, ὅτι πρός δόξαν τοῦ πεποιηκότος Θεοῦ τήν κτίσιν κατά τήν πρόσκαιρον ἡμῶν ζωήν οὐκ ἐθεασάμεθα· ἀλλ᾽ ἐμολύναμεν

τούς ὀφθαλμούς ἡμῶν καί τά ὦτα καί τήν γλῶσσαν· μᾶλλον δέ διά τούτων τήν κατ᾽ εἰκόνα Θεοῦ γεγενημένην ψυχήν πᾶσι τοῖς τῷ Θεῷ μισουμένοις θεάμασί τε καί ἀκροάμασι, καί ῥήμασι, καί ταῖς κατ᾽ ἀλλήλων βασκανίαις ἐφθείραμεν. Εἰς δέ τόν τάρταρον κατεῤῥίφημεν, πήξει καί βυθῷ κατά ταυτόν τρυχώμενοι δεινῶς· ἐπειδή τῆς μέν ὑψηλῆς, καί τῶν ὑψηλῶν καί θείων προξένου ταπεινοφροσύνης προεκρίναμεν τήν ὑπερηφανίαν· καί τό τῆς ἀρετῆς στεῤῥόν τε καί σύντονον διά τήν τῆς σαρκός ὑπερβάλλουσαν θρύψιν τε καί διάχυσιν ἀπεωσάμεθα. Ποῦ νῦν ἡμῶν ἐστιν ἡ ὑπερηφανία, καί ἡ δι᾽ αὐτήν ἀλαζών πρός πάντας διάθεσις, καί ἡ τῆς σαρκός βλακώδης καί εὐδιάχυτος θρύψις; Ὦ τῆς ἀβουλίας ! Ἀντί γέλωτος ἀκρατοῦ, καί τοῦ ἀκολάστου ψόφου τῶν παρειῶν, ὁ βαρύς οὗτος βρυγμός ἐστιν ἡμῖν τῶν ὀδόντων. Τήν τῶν θείων τε καί σωτηρίων λόγων ἀσκῆσαι μάθησιν μή βουληθέντες, ἀλλά μέθης ἀμετρίαν τῆς διά λόγου θείας προτιμήσαντες αἰνέσεως, δεινῶς κολαζόμεθα νῦν, τῆς γλώσσης δίψῃ φοβερᾷ διακαιομένης. Ἄξιον δέ καί τοῦ πρός τούς ἀδελφούς ἡμῶν μίσους, φθόνου τε καί δόλου καί ὑποκρίσεως, ἐξ ὧν καί δι᾽ ὧν ὁ φόνος, λοιδορίας τε καί συκοφαντίας, καί μνησικακίας καί ψεύδους καί ἐπιορκίας δρεπόμεθα καρπόν, τοῦτον τόν ἀκοίμητον σκώληκα, τό βάθος ἡμῶν τῆς ψυχῆς ἀκορέστως ἐσθίοντα. Ἐπειδή τῆς ἀγάπης τό εὐθές διαστρέψαντες, ἐσκολιώσαμεν τήν καρδίαν, καί τῆς ἀληθείας τό ἀπαθές διαφθείραντες, αὐτήν ἐσκαμβώσαμεν· κακόν διά μίσους ἑκουσίου, ἀκούσιον ἑαυτοῖς δημιουργήσαντες σκώληκα, καί πονηροτέραν σκαμβότητα διά ψεύδους ὀρύξαντες, δ᾽ ἥν τῷ Θεῷ εὐθεῖ καί ὀρθῷ οὐχ ἡνώθημεν. Αὐτός γάρ εἶπε διά τοῦ ἁγίου Δαβίδ τοῦ προφήτου, Οὐκ ἐκολλήθη μοι καρδία σκαμβή.

Ἄξια τοιγαροῦν ὧν ἐπράξαμεν ἀπολαμβάνομεν μᾶλλον δέ, τῆς οἰκείας κατά πρόθεσιν διαθέσεως ἄξια κομιζόμεθα τά ἐπίχειρα· πυρός ἡδονῆς, πῦρ γεέννης· καί σκότους ἀγνοίας καί ἀπάτης προσκαίρου, (388) σκότος αἰώνιον· καί σκώληκα κολαστικόν καί ἀκοίμητον, σκώληκος τοῦ διά μίσους καί ψεύδους τήν καρδίαν σκολιώσαντός τε καί σκαμβώσαντος· καί ψόφου παρειῶν ἀσελγοῦς καί βράσματος, ψόφον καί ὀδόντων βρυγμόν· καί ὕψους ὑπερηφανίας ματαίας καί διαχύσεως, πτῶσιν καί βάθος ἀχανές, καί στυγνότητα πτήξεως. Καί ἁπλῶς εἰπεῖν, ἑκάστου τῶν ἑκουσίων ἡμῶν κακῶν, τήν ἑκάστῳ πρόσφορον ἀκούσιον τιμωρίαν δικαίως ἀντιλαμβάνομεν. Ὦ τῆς ἐλεεινότητος ἡμῶν! Τί ἡμᾶς τούς ἀθλίους, μή κατασβέσαι τό πῦρ τῆς

σαρκός διά νηστείας καί ἀγρυπνίας, καί τῶν τῶν θείων λόγων μελέτης, καλῶν ὄντων καί εὐμαρῶν τοῦ πυρός σβεστηρίων, καί μή τούτῳ νῦν τῷ πυρί τηγανίζεσθαι; Τί μή ματά φύσιν ὁρᾷν τε καί ἀκούειν καί λαλεῖν, τούς ὀφθαλμούς καί τά ὦττα καί τήν γλῶτταν εἰθίσαμεν, ἵνα μή τοῦτον εἴχομεν νῦν τό ζόφον, καί τήν βαρυτάτην σιγήν· ἀλλά καί ἡμεῖς τοῦ φωτός καί τοῦ λόγου καί σοφίας τοῦ Θεοῦ μετά τῶν ἁγίων ἀπηλαύομεν, ὡς τῆς θείας γενόμενοι δόξης θεαταί καί ἀκουσταί καί ὑμνῳδοί; Εἰ δι᾽ ἀγάπης τόν ἑκούσιον τοῦ μίσους ἐνεκρώσαμεν σκώληκα, καί δι' ἀληθείας τό ψεῦδος ἠφανίσαμεν, νῦν ἄν τούτου τοῦ καυστικοῦ καθειστήκαμεν ἐλεύθεροι σκώληκος, καί τῶν λοιπῶν ὅσα ἡμῶν νῦν συνέχει δεινά τήν ζωήν. Δικαία ἡ κρίσις τοῦ Θεοῦ. Οὐχ εὑρίσκομεν, ὅπερ μή ἐζητήσαμεν. Οὐκ ἀνοίγεται ἡμῖν ἡ θύρα τῆς βασιλείας τῶν οὐρανῶν, ἐπειδή τήν θύραν τῶν ἀρετῶν διά πράξεως οὐκ ἐκρούσαμεν· οὐ λαμβάνομεν τῶν αἰωνίων ἀγαθῶν τήν ἀπόλαυσιν, ἐπειδή δι᾽ εὐχῆς τήν χάριν τῆς γνώσεως οὐκ ᾐτήσαμεν. Οὐδένα γάρ τῶν θείων ἔσχομεν ἔρωτα, ἀλλά τοῖς γηΐνοις τόν νοῦν καταδήσαντες, πᾶσαν αὐτοῖς ἡμῶν συνεφθείραμεν τήν ζωήν. Κἀκεῖνα μέν πάντα καπνοῦ δίκην ἀφανισθέντα παρῆλθεν, ὁ δέ τῆς ἐπ᾽ αὐτοῖς δίκης λόγος μένει διά παντός ἀπαρόδευτος.

Καί ταῦτα μέν ἐκεῖνοι, τῆς θείας δικαιοσύνης μεταμανθάνοντες ἐξ ὧν πάσχουσι τήν δύναμιν, ὡς τύπῳ περιλαβεῖν, ἀλλήλοις τυχόν διαλεχθήσονται· ἐγώ δέ τίς γένομαι ὁ τάλας ; Τίσιν ἐρειδόμενος πράξεσιν, ἐλπίσω τῆς φοβερᾶς ἐξαιρεθῆναι κατακρίσεως, πάσης ἀρετῆς καί γνώσεως, ὑπάρχων ἔρημος ; Δέδοικα μή δεθείς χεῖρας καί πόδας, ῥιφῶ εἰς γῆν γνοφεράν καί σκοτεινήν, εἰς γῆν σκότους αἰωνίου, ἔνθα οὐκ ἔστι φέγγος, οὐδέ ὁρᾷν ζωήν βροτῶν· ὡς δήσας τοῖς πάθεσιν ἑκουσίως τάς πρακτικάς τῆς ψυχῆς δυνάμεις, καί ἀπό τοῦ θείου δρόμου τῆς εὐαγγελικῆς πολιτείας κωλύσας τῆς ψυχῆς τά διαβήματα. Οἴμοι τῆς φοβερᾶς αἰσχύνης, τῆς μηδέποτε πέρας, (389) ἐχούσης, εἰ μή μεταβαλών, τῶν πολλῶν μου κακῶν ἐλεύθερος γένομαι· Οἴμοι τοῦ κλαυθμοῦ, καί τῶν πικρῶν δακρύων, καί τοῦ βρυγμοῦ τῶν ὀδόντων, εἰ μή νήψας κἄν ὀψέ ποτε τόν βαθύν ὕπνον τῆς ῥαθυμίας ἀποτινάξωμαι, καί τό ῥυπαρόν ἔνδυμα τῆς ἁμαρτίας ἐκδύσωμαι. Ἀντί φωτός, σκότος· ἀντί χαρᾶς, λύπη· ἀντί ἀνέσεως, κόλασις καί στενοχωρία με πάντως ὑποδέξονται. Καί τό δή πάντων ἐλεεινότερον, ἤ βαρύτερον εἰπεῖν ἀληθέστερον, ὅ καί λέγων μόνον ὀδυνῶμαι· πόσῳ γε μᾶλλον πάσχων (ἱλάσθητι, Χριστέ, καί σῶσον ἡμᾶς ταύτης τῆς

ὀδύνης) ὁ τοῦ Θεοῦ καί τῶν ἁγίων αὐτοῦ δυνάμεων χωρισμός· καί ἡ πρός διάβολον, καί τούς πονηρούς δαίμονας οἰκείωσις εἰς ἀεί διαμένουσα· καί τήν ἐκ τούτων ἐλευθερίαν τῶν δεινῶν ἀπροσδόκητον ἔχουσα. Οἷς γάρ κατά τόν αἰῶνα τοῦτον διά τῶν ἐπιτηδευμάτων ἡμῶν τῶν πονηρῶν συνεῖναι κατά θελητόν γνωμικῶς ἐπελεξάμεθα, σύν τούτοις εἰκότως ἐξ ἀνάγκης εἶναι κατά τόν αἰῶνα τόν μέλλοντα καί μή θέλοντες κατακριθησόμεθα. Καί ἔστι πάσης κολάσεως κολαστικώτερόν τε καί δεινότερον, τό διά παντός συνεῖναι τοῖς μισοῦσι καί μισουμένοις, καί βασάνων χωρίς, μή ὅτιγε σύν ταύταις· κεχωρίσθαι δέ τοῦ ἀγαπῶντός τε καί ἀγαπωμένου. Θεός γάρ μισεῖται κρίνων δικαίως ὑπό τῶν κρινομένων, κατά φύσιν ἀγάπη καί ὤν καί καλούμενος· οὔτε μισεῖ τούς κρινομένους· πάντως γάρ φύσιν ὑπάρχει παθοῦς ἐλεύθερος.

Ταῦτα κατ᾽ ἀλήθειαν ἀψευδῶς ἔσεσθαι πιστεύοντες, ἠγαπημένε, μή ἀμελήσωμεν ἑαυτῶν· ἀλλά σπουδῇ πάσῃ, καθ᾽ ὅλην τήν δύναμιν, ὡς ἔχομεν καιρόν, τόν πλάνον φύγωμεν κόσμον καί κοσμοκράτορα. Παρέρχεται γάρ, καί τά ἐν αὐτῷ πάντα μαραίνεται. Ἔσται γάρ ὡς ἀληθῶς, ἔσται καιρός, ὅτε φοβερά τις βοήσει σάλπιγξ, ξένην ἠχοῦσα φωνήν, καί τό πᾶν τοῦτο λυθήσεται, διαπίπτον τῆς ἐν αὐτῷ νῦν ὁρωμένης διακοσμήσεως. Καί ὁ μέν φαινόμενος κόσμος παρελεύσεται, τήν οἰκείαν λαμβάνων συντέλειαν· ὁ δέ νῦν κρυπτόμενος τῶν νοητῶν φανήσεται κόσμος, ὀφθαλμοῖς καί ἀκοαῖς καί διανοίαις ξένα παντάπασιν κομίζων μυστήρια. Καί ἡ μέν σάλπιγξ κατά τό θεῖον βοῶσα πρόσταγμα, τάς ἀπείρους ὑφέν, καί ἀθρόως τῶν ἀνθρωπίνων σωμάτων μυριάδας, ὡς ἐξ ὕπνου τινός ἀναστήσει τοῦ θανάτου, πρός ἐξέτασιν ἄγουσα· ὁ δέ Θεός δικαίας ἑκάστῳ πρός ἅ διά τοῦ σώματος ἔπραξεν, εἴτε καλόν, εἴτε φαῦλον, καταξίαν τάς ἀμοιβάς ἀποδίδωσιν, μέγαν καί φοβερόν καί ἔσχατον πᾶσι τοῖς οὖσι διδούς συγκλεισμόν. Ἀλλά γένοιτο πάντας ἡμᾶς, τόν τε σωτήριον τῆς γεέννης φόβον, καί τόν τίμιον πόθον τῆς τῶν οὐρανῶν βασιλείας [ταυτόν δέ κυρίως ἐπ᾽ ἀμφοτέρων εἰπεῖν ἔστι, Θεοῦ πᾶσι πάντα γινομένου τε καί λεγομένου· καθώς ἕκαστος ἔχει κακίας ἤ ἀρετῆς ποιότητος] πρό ὀφθαλμῶν ἀδιαστάτως ἔχειν· τόν μέν φόβον, παντελῆ τῶν κακῶν ἡμῖν ἀποχήν (392) καί ἀργίαν ποιοῦντα· τόν δέ πόθον, κατά περιουσίαν καί εἰς τάς τῶν ἀγαθῶν πράξεις ἱλαρῶς προτρεπόμενον.

Ταῦτα σοι παρ᾽ ἐμοῦ τοῦ μικροῦ καί πένητος, εὐλογημένε, τῆς ἀγάπης ἔστω τῆς πρός σέ γνωρίσματα, φυλακῆς ἕνεκεν καί ἀσφαλείας τῶν προσόντων σοι καλῶν· ἧς χρῄζειν ὑπολαμβάνω, καί τό λίαν κατά σέ ταῖς ἀρεταῖς διά πάντων κοσμούμενον. Οὐ γάρ ἄλλως ἔχω σε δικαίως ἀμείψασθαι δυνηθῆναι, τῶν εἰς ἐμέ πολλῶν σου καλῶν, ἤ κατά τοῦτον τόν τρόπον διατιθέμενος. Σύν ἐμοί δέ γνησίως πάντες ὁμοθυμαδόν οἱ ταύτην διά σέ παροικοῦντες τήν χώραν τίμιοι Πατέρες ἀσπάζονται, νυκτός καί ἡμέρας ἀπαύστως μετά δακρύων τόν Θεόν ἱκετεύοντες, ἀποκαταστῆσαι μεθ᾽ ὑγείας ἡμῖν τόν ἡμῶν Γεώργιον, τόν ὄντως γλυκύν καί ὁρώμενον καί ὀνομαζόμενον· ἵνα σύν αὐτῷ τήν τε παροῦσαν ἀβλαβῶς διοδεύσωμεν ζωήν, καί μελλούσης χάριτος τοῦ φιλανθρώπου Θεοῦ καί δοτῆρος τῶν ἀγαθῶν ἀπολαύσωμεν· πρεσβευούσης ὑπέρ ἡμῶν, καί τόν Θεόν ἡμῖν ἱλεουμένης τῆς παναγίας ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καί ἀειπαρθένου Μαρίας, σύν πᾶσι τοῖς ἁγίοις. Ἀμήν.

***ΣΧΟΛΙΑ.***

α´. Fr. Ὅρα περί ἀρχῆς ἀνθρωπίνης.

β´. Fr. Τίνα χρή ζητεῖν καί θέλειν· καί τίνα παραχωρεῖν τῷ Θεῷ.

γ´. Ὅτι τό ἀρχεῖν καί ἄρχεσθαι, καί πλουτεῖν καί πένεσθαι, οὔτε φύσεώς ἐστιν, οὔτε γνώμης, ἀλλά τῆς ἀγούσης τά πάντα Προνοίας.

δ´. Ὅρος τοῦ ἐφ᾽ ἡμῖν, ἤγουν τοῦ αὐτεξουσίου.

ε´. Ὅρος τοῦ οὐκ ἐφ᾽ ἡμῖν, εἴτουν τῶν μή ὑπό τό αὐτεξούσιον.

στ'. Τά ἄκρα λέγει τήν γένεσιν καί τήν φθοράν, μέσον δέ γενέσεως καί φθορᾶς ἐστι τό γενητόν· ἐφ᾽ οὗ πολλάκις ἡ φθορά προλαμβάνει τήν γένεσιν· ἅμα τῇ γενέσει περί τό γινόμενον συνεισειοῦσα, καί τήν αὐτοῦ πρίν γενέσθαι δαφθείρουσα σύστασιν.

ζ´. Οἱ τήν ψυχήν τῇ σχέσει τῶν αἰσθήσεων ἔχοντες προσηλουμένην, οὐ σώζονται, φησί, κἄν ἀργῶσιν ἀπό τῶν τερπόντων τάς αἰσθήσεις παθῶν, εἰ μή τελείως τῆς πρός τάς αἰσθήσεις σχέσεως τήν ψυχήν ἀποστήσωσιν· ὡς οὐδέ ὁ μακάριος Λώτ, εἰ μή ἐξῆλθε Σοδόμων, κἄν οὐκ ἐποίει τά Σοδομιτῶν, οὐκ ἄν διέφυγε τοῦ πυρός τήν κατάβασιν.

***Β´. Τοῦ αὐτοῦ πρός Ἰωάννην κουβικουλάριον, περί ἀγάπης.***

Τῆς πρός τόν Θεόν κατά χάριν καί τόν πλησίον ἁγίας ἀγάπης ἀντεχομένους ὑμᾶς, θεοφύλακτοι, καί (393) τοῖς καθήκουσι τρόποις

ἐπιμελουμένους, καί ἤδη μέν μαθών παρ᾽ ἐμαυτοῦ παρών, καί ἀπών δέ οὐχ ἧττον, εἰ μή καί μᾶλλον τοῦ παρεῖναι, τό πάσχειν ὅσα τῆς θείας ἀγάπης ἴδια καί ἔστι καί λέγεται, ἵνα καί τοῦτο θεῖον ἔχητε, τό κατ᾽ ἀρετήν ἀπερίγραφον καί ἀόριστον· τό μή παρόντας μόνον εὐεργετεῖν, ἀλλά καί ἀπόντας προθυμεῖσθαι, καί πολλῷ ἀπῳκισμένους τῷ τοπικῷ διαστήματι· καί τήν εἰς μῆκος ταύτης ἐπίδοσιν ἑκάστοτε μανθάνων διά τῶν ἐνταῦθα παραγινομένων, οὐ μήν ἀλλά καί διά τῶν τιμίων ὑμῶν συλλαβῶν, ὡς δι᾽ ἐσόπτρου τήν ἐμπρέπουσαν ὑμῖν τῆς θείας χάριτος μορφήν εἰκονιζόμενος, εἰκότως χαίρω καί εὐφραίνομαι· καί εὐχαριστῶν ὑπέρ ὑμῶν τῷ δοτῆρι τῶν ἀγαθῶν Θεῷ, καί μετά τοῦ ἁγίου Ἀποστόλου βοῶν οὐ παύομαι· Εὐλογητός ὁ Θεός καί Πατήρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ εὐλογήσας ὑμᾶς ἐν πάσῃ εὐλογίᾳ πνευματικῇ ἐν τοῖς ἐπουρανίοις· πεπεισμένος μάλιστα, καί γινώσκων τήν ἁγίαν ὑμῶν ψυχήν, τῆς ἐμῆς ἀθλίας ἐν πνεύματι δι᾽ ἀγάπης ἀλύτως ἠρτῆσθαι, δεσμόν φίλιον ἔχουσαν τόν νόμον τῆς χάριτος, καθ᾽ ὅν ἑαυτοῖς ἀοράτως με συνάπτοντες, συμφαιδρύνετε, τό ἐμόν ἐκ τῆς ἁμαρτίας αἶσχος τῇ παραθέσει τῶν ἰδίων καλῶν ἀφανίζοντες. Οὐδέν γάρ ὄντως τῆς θείας ἀγάπης θεοειδέστερον, οὐδέ μυστηριωδέστερον, οὐδέ ἀνθρώποις πρός θέωσιν ὑψηλότερον· ὅτι πάντα ἐν ἑαυτῇ συλλαβοῦσα ἔχει τά καλά, ὅσα τῆς ἀληθείας ὁ λόγος ἐν ἀρετῆς εἴδει διέξεισι· καί πάντων ἀσχέτως τῶν ἐν κακίας εἴδει κατειλημμένων ἀπῴκισται, ὡς πλήρωμα νόμου καί προφητῶν· οὕς διαδέχεται τό τῆς ἀγάπης μυστήριον, τό ἡμᾶς θεούς ἐξ ἀνθρώπων ποιοῦν, καί συντέμνον πρός τόν καθόλου λόγον τῶν ἐντολῶν τούς μερικούς ὑφ᾽ οὗ πάντες κατ᾽ εὐδοκίαν μονοειδῶς περιέχονται, καί ἐξ οὗ πολυτρόπως κατ᾽ οἰκονομίαν ἐκδίδονται.

Ποῖον γάρ εἶδος τῶν ἀγαθῶν οὐ κέκτηται ἡ ἀγάπη ; Οὐ πίστιν τήν πρώτην τῶν κατ᾽ εὐσέβειαν πραγμάτων ὑπόθεσιν, τήν τόν Θεόν εἶναι καί τά θεῖα πληροφοροῦσαν τόν ἔχοντα· καί πλέον ἤ ὅσον ὀφθαλμός ταῖς ἐπιφανείαις προσβάλλων τῶν αἰσθητῶν τήν περί αὐτῶν τοῖς ὁρῶσι δόξαν παρέχεται ; Οὐκ ἐλπίδα, τήν ὑφιστῶσαν ἑαυτῇ τό ὄντως ὑφιστάμενον ἀγαθόν, καί πλέον κατέχουσαν, ἤ ὅσον χείρ τό τῇ ἀφῇ ὑποπίπτον τῆς ὕλης παχύτατον ; Οὐ τῶν πιστευθέντων τε καί ἐλπισθέντων δίδωσι τήν ἀπόλαυσιν, δι᾽ ἑαυτῆς ὡς παρόντα τά μέλλοντα κατά (396) διάθεσιν ἔχουσα ; Οὐ ταπείνωσιν τήν πρώτην βάσιν τῶν ἀρετῶν, καθ᾽ ἥν ἑαυτῶν ἐπιγνώμονες γενέσθαι, καί τῆς ὑπερηφανίας τό μάταιον οἴδημα καταβάλλειν δύνανται [δυνάμεθα];

Οὐ πραότητα, δι᾽ ἧς τούς ψόγους τε καί τούς ἐπαίνους ῥαπίζομεν, καί τῶν ἐκ διαμέτρου κακῶν, δόξης τέ φημι καί ἀδοξίας, τήν ὄχλησιν ἀπωθούμεθα ; Οὐ πραϋπάθειαν, καθ᾽ ἥν καί πάσχοντες ἀναλλοίωτοι μένομεν πρός τούς δρῶντας κακῶς, δυσμενῶς οὐδόλως διατιθέμενοι ; Οὐκ ἔλεον, καθ᾽ ὅν τάς τῶν ἄλλων συμφοράς θέλοντες οἰκειούμεθα· καί τό συγγενές καί ὁμόφυλον ἀγνοεῖσθαι μή συγχωρούμεθα ; Οὐκ ἐγκράτειαν καί ὑπομονήν, καί μακροθυμίαν, καί χρηστότητα, εἰρήνην τε καί χαράν, δι᾽ ὧν θυμόν καί ἐπιθυμίαν, καί τήν καυστικήν τούτων ζέσιν, καί πύρωσιν εὐμαρῶς κατευνάζομεν ; Καί ἁπλῶς, ἵνα συνελών εἴπω, πάντων ἐστί τῶν ἀγαθῶν ἡ ἀγάπη τέλος, ὡς πρός Θεόν τό τῶν ἀγαθῶν ἀκρότατον, καί παντός αἴτιον ἀγαθοῦ, τούς ἐν αὐτῇ περιπατοῦντας ἄγουσα καί προσάγουσα, ὡς πιστή, καί ἀδιάπτωτος καί μένουσα.

Ἡ πίστις γάρ βάσις ἐστί τῶν μετ᾽ αὐτήν, ἐλπίδος λέγω καί ἀγάπης, βεβαίως τό ἀληθές ὑφιστῶσα· Ἡ δέ ἐσπίς, τῶν ἄκρων ἐστίν ἰσχύς, ἀγάπης λέγω καί πίστεως, τό πιστόν τε δι᾽ ἑαυτῆς καί ἐραστόν ἀμφοῖν ὑποφαίνουσα, καί πρός αὐτό τόν δρόμον δι᾽ ἑαυτῆς ποιεῖσθαι διδάσκουσα. Ἡ δέ ἀγάπη τούτων ἐστί συμπλήρωσις, τό ἔσχατον ὀρεκτόν ὅλον ὅλη περιπτυσσομένη, καί ταύταις τῆς ἐπ' αὐτό κινήσεως στάσιν παρεχομένη, τοῦ πιστεύειν εἶναι καί ἐλπίζειν παρέσεσθαι, τό ἀπολαύειν παρόντος δι᾽ ἑαυτῆς ἀντεισάγουσα. Αὕτη μόνη, κυρίως εἰπεῖν, κατ᾽ εἰκόνα τοῦ Κτίσαντος τόν ἄνθρωπον ὄντα παρίστησι, τῷ μέν λόγῳ σοφῶς τό ἐφ᾽ ἡμῖν ὑποτάσσουσα· τούτῳ δέ τόν λόγον οὐχ ὑποκλίνουσα· καί πείθουσα τήν γνώμην κατά τήν φύσιν πορεύεσθαι, μηδαμῶς πρός τόν λόγον τῆς φύσεως στασιάζουσαν· καθ᾽ ὅν ἅπαντες, ὥσπερ μίαν φύσιν, οὕτω δέ καί μίαν γνώμην καί θέλημα ἕν, Θεῷ καί ἀλλήλοις ἔχειν δυνάμεθα, οὐδεμίαν πρός Θεόν καί ἀλλήλους διάστασιν ἔχοντες, ὅτ᾽ ἄν τῷ νόμῳ τῆς χάριτος, δι᾽ οὗ τόν νόμον τῆς φύσεως γνωμικῶς ἀνακαινίζομεν, στοιχεῖον προαιρούμεθα. Ἀμήχανον γάρ τούς μή πρότερον Θεῷ καθ᾽ ὁμόνοιαν συναφθέντας, ἀλλήλοις συμβαίνειν δύνασθαι κατά τήν γνώμην.

Ἐπειδή γάρ κατ᾽ ἀρχάς τόν ἄνθρωπον ὁ ἀπατήσας διάβολος, δόλῳ κακούργως μεμηχανημένῳ διά φιλαυτίας, δι᾽ ἡδονῆς προσβολήν ἀπατήσας, Θεοῦ καί ἀλλήλων ἡμᾶς κατά τήν γνώμην διέστησε, τό τε εὐθές διατρέψας, καί τήν φύσιν κατά τόν τρόπον τοῦτον μερίσας, κατέτεμεν εἰς πολλάς δόξας καί φαντασίας, καί τήν ἐφ᾽ ἑκάστῳ κακῷ μέθοδόν τε (397) καί εὕρεσιν, τῷ χρόνῳ νόμον κατέστησε, ταῖς ἡμῶν

πρός τοῦτο δυνάμεσι συγχρησάμενος, καί πονηρόν πρός διαμονήν τοῦ κακοῦ τοῖς πᾶσιν ἐνθέμενος ἔρεισμα, τό κατά τήν γνώμην ἀσύμβατον· ἀφ᾽ οὗ τόν ἄνθρωπον ἅπαξ τῆς κατά φύσιν κινήσεως τραπῆναι παρέπεισε, καί πρός τό κεκωλυμένον ἀπό τοῦ ἐπιτετραμμένου κινῆσαι τήν ὄρεξιν, καί τρία τά μέγιστα καί ἀρχαῖα κακά, καί πάσης ἁπλῶς εἰπεῖν κακίας γεννητικά ἑαυτῷ ὑποστήσασθαι· ἄγνοιαν, φημί, καί φιλαυτίαν, τυραννίδα, ἀλλήλων ἐξηρτημένας καί δι᾽ ἀλλήλων συνισταμένας. Ἐκ γάρ τῆς περί Θεοῦ ἀγνοίας, ἡ φιλαυτία. Ἐκ δέ ταύτης, ἡ πρός τό συγγενές τυραννίς ἐστι· καί οὐδείς ἀντερεῖ λόγος· τῷ κατά παράχρησιν τρόπῳ τῶν οἰκείων δυνάμεων, λόγου τε καί ἐπιθυμίας καί θυμοῦ, ταύτας ὑποστησαμένων· δέον λόγῳ μέν, ἀντί τῆς ἀγνοίας πρός τόν Θεόν διά γνώσεως κατά ζήτησιν μονώτατον κινεῖσθαι· δι᾽ ἐπιθυμίας δέ, τοῦ τῆς φιλαυτίας πάθους καθαρόν κατά πόθον πρός τόν Θεόν μόνον ἐλαύνεσθαι· καί τῷ θυμῷ τυραννίδος κεχωρισμένῳ, πρός το Θεοῦ μόνου τυχεῖν ἀγωνίζεσθαι· καί τήν ἐκ τούτων καί δι᾽ ἥν ταῦτα, θείαν καί μακαρίαν ἀγάπην δημιουργῆσαι, τήν Θεῷ συνάπτουσάν τε, καί Θεόν ἀποφαίνουσαν τόν φιλόθεον. Ἐπειδή ταῦτα κατά θέλησιν μέν ἰδίαν τοῦ ἀνθρώπου, ἀπάτην δέ τοῦ διαβόλου συμβέβηκε κακῶς περί τόν ἄνθρωπον, ὁ τήν φύσιν καί ποιήσας Θεός, καί ἀσθενήσασαν ὑπό κακίας σοφῶς ἐξιώμενος, δι᾽ ἀγάπην τήν πρός ἡμᾶς, ἑαυτόν ἐκένωσε μορφήν δούλου λαβών, ἀτρέπτως ἑαυτῷ καθ᾽ ὑπόστασιν ταύτην ἑνώσας, ὅλος καθ᾽ ἡμᾶς ἐξ ἡμῶν δι᾽ ἡμᾶς τοσοῦτον γενόμενος ἄνθρωπος, ὅσον τοῦ μή Θεός εἶνα τοῖς ἀπίστοις ἐνομίζετο· καίτοι τοσοῦτον ὑπάρχων Θεός, ὅσον τοῖς πιστοῖς ὁ ἄῤῥητος τῆς εὐσεβείας καί ἀληθής ὑποτίθεται λόγος, ἵνα καταλύσῃ τά ἔργα τοῦ διαβόλου, καί τῇ φύσει ἀχράντους ἀποδούς τάς δυνάμεις, πάλιν τῆς πρός αὐτόν συναφείας, καί ἀλλήλους τῶν ἀνθρώπων, ἀνακαινίσῃ τῆς ἀγάπης τήν δύναμιν, τήν τῆς φιλαυτίας ἀντίπαλον· τῆς πρώτης ἁμαρτίας, καί πρώπου γεννήματος τοῦ διαβόλου καί παθῶν τῶν μετ᾽ αὐτήν μητρός καί οὔσης καί γινωσκομένης· ἥν δι᾽ ἀγάπης ἀφανίσας ὁ ἑαυτόν Θεοῦ παρασχόμενος ἄξιον, συνηφάνισεν αὐτῇ καί πάντα τόν τῆς κακίας ὄχλον, βάσιν ἄλλην ἤ αἰτίαν τοῦ εἶναι μετά ταύτην οὐκ ἔχοντα. Οὐκέτι γάρ οἶδεν ὁ τοιοῦτος ὑπερηφανίαν, τό γνώρισμα τῆς ἀντιθέου οἰήσεως, τό σύνθετον κακόν καί ἀλλόκοτον. Ἀγνοεῖ δόξαν τήν πίπτουσαν, καί ἑαυτῇ τούς κατ᾽ αὐτήν φυσωμένους καταβάλλουσαν. Μαραίνει φθόνον, τόν τούς ἔχοντας πρῶτον δικαίως μαραίνοντα, δι’ εὐνοίας

ἑκουσίου τούς συγγενεῖς οἰκειούμενος· θυμόν τε καί μιαιφονίαν καί ὀργήν καί δόλον καί ὑπόκρισιν καί εἰρωνείαν καί μῆνιν καί πλεονεξίαν, καί πάντα οἷς ὁ εἷς μεμέρισται ἄνθρωπος, συναπερίζωσε. Τῇ γάρ φιλαυτίᾳ ὡς ἀρχῇ, καθώς εἶπον, καί μητρί τῶν κακῶν ἀποτιλείσῃ, πάντα τά ἐξ αὐτῆς τε καί μετ᾽ αὐτήν συναποτίλλεσθαι εἴωθεν· (400) ἐπειδή ταύτης μή οὔσης, οὐδέ οὐδαμῶς τό παράπαν κακίας εἶδος, ἤ ἴχνος ὑφίστασθαι δύναται· πάντα δέ τά τῆς ἀρετῆς εἴδη ἀντεισάγεσθαι, τά συμπληροῦντα τῆς ἀγάπης τήν δύναμιν, τήν τά μεμερισμένα συνάγουσαν, καί πρός ἕνα καί λόγον καί τρόπον πάλιν δημιουργοῦσαν τόν ἄθρωπον, καί πᾶσαν τήν ἐν πᾶσι κατά τήν γνώμην ἀνισότητά τε καί διαφοράν ἐξισοῦσάν τε καί ὁμαλίζουσαν· καί εἰς τήν ἐπαινετήν ἀνισότητα δεόντως προβιβάζουσαν, ἑκάστου δηλονότι τοσοῦτον πρός ἑαυτόν κατά πρόθεσιν ἐφελκομένου τόν πέλας, καί ἑαυτοῦ προτιμῶντος, ὅσον τό πρίν αὐτόν ἀπεῶσαι, καί προύχειν πρόθυμος ἦν· καί ἑαυτόν ἑκουσίως ἑαυτοῦ δι᾽ αὐτήν ἀπολύοντος, τῷ χωρισμῷ τῶν ἰδικῶς κατά τήνγνώμην ἐπ᾽ αὐτῷ νοουμένων λόγων τε καί ἰδιωμάτων· καί πρός μίαν ἁπλότητά τε καί ταυτότητα συναγομένου, καθ᾽ ἥν οὐδείς οὐδαμῶς ἐστιν οὐδέν τοῦ κοινοῦ διωρισμένος, ἀλλ᾽ ἕκαστος ἑκάστῳ, καί πᾶσιν ἅπαντες, καί Θεῷ μᾶλλον ἤ ἀλλήλοις, εἵς καθεστήκασι, τόν ἕνα δι᾽ ἑαυτῶν τοῦ εἶναι λόγον, καί φύσει καί γνώμῃ μονότατον, προφαινόμενον ἔχοντες· καί τόν ἐν τούτῳ νοούμενον Θεόν· ᾧ συνθεωρεῖσθαι, καί πρός ὅν ἀναβιβάζεσθαι, ὡς αἴτιον καί ποιητήν, ὁ τοῦ εἶναι τῶν ὄντων λόγος, ἀκραιφνήν μέν τοι καί ἄχραντος διά πάσης προσοχῆς ἡφ᾽ ἡμῶν φυλαττόμενος πέφυκεν, καί κατ᾽ ἔμφρονα σπουδήν δι᾽ ἀρετῶν καί τῶν ταύταις παρεπομένων πόνων, τῶν πρός αὐτόν στασιαζόντων παθῶν ἀποκαθαιρόμενος.

Ὅπερ τυχόν ἐκεῖνος ὁ μέγας Ἀβραάμ κατορθώσας, καί ἑαυτόν τῷ τοῦ εἶναι λόγῳ τῆς φύσεως, ἤ ἑαυτῷ τόν λόγον ἀποκαταστήσας, καί διά τούτου ἀποδοθείς τε τῷ Θεῳ, καί τόν Θεόν ἀπολαβών· λεγέσθω καί ἄμφω, ἐπειδή καί ἐπ᾽ ἀμφοῖν τό ἀληθές θεωρεῖται· ὡς ἄνθρωπον τόν Θεόν ἰδεῖν ἠξιώθη, καί ὑποδέξασθαι, τελείῳ τῷ κατά φύσιν διά φιλανθρωπίας λόγῳ συνένδημον· πρός ὅν ἀνήχθη, τῶν μεμερισμένων καί μεριστῶν ἀφείς τήν ἰδιότητα, μηκέτι ἄλλον παρ᾽ ἑαυτόν ἕτερον ἡγούμενος ἄνθρωπον, ἀλλ᾽ ὡς πάντας τόν ἕνα, καί ὡς ἕνα τούς πάντας γινώσκων· οὐ τόν τῆς γνώμης δηλονότι, περί ἥν ἡ στάσις ἐστί, καί ἡ διαίρεσις, ἕως μένῃ πρός τήν φύσιν ἀσύμβατος· ἀλλά τόν τῆς

φύσεως, περί ἥν τό ἀπαράλλακτον ἕστηκε, μονώτατον λόγον σκοπούμενος, ᾧ συνεμφαίνεσθαι πάντως τόν Θεόν ἐπιστάμεθα, καί δι᾽ οὗ δηλοῦσθαι ὡς ἀγαθός ἀνέχεται, τά ἴδια οἰκειούμενος κτίσματα· ἐπειδή αὐτόν ἐξ ἑαυτοῦ, ὡς ἔστι γνῶναι τόν Θεόν ἡ κτίσις οὐ δύναται. Οὔτε γάρ οἷόν τε ἦν κατά τό εἰκός πρός τόν ἁπλοῦν τε καί ταυτόν συναχθῆναι, τόν μή ταυτόν ἑαυτῷ γενόμενοι καί ἁπλοῦν, ἀλλ᾽ ἔτι πολλοῖς κατά τήν γνώμην πρός τήν φύσιν διαιρούμενον μέρεσι, εἰ μή πρότερον διά (401) φιλανθρωπίας τῇ φύσει τήν γνώμην συνάψας, ἕνα ἐπ᾽ ἀμφοῖν λόγον εἰρηνικόν τε καί ἀστασίαστον, καί πρός οὐδέν οὐδαμῶς ἄλλο προηγουμένως τῶν μετά Θεόν κινούμενον ἔδειξε· καθ᾽ ὅν ἄτμητος καί ἀδιαίρετος μένει ἡ φύσις ἐν τοῖς τοῦτο λαβοῦσι τό χάρισμα· ταῖς τῶν πολλῶν γνωμικαῖς ἑτερότησιν οὐ συνδιατεμνομένη. Οὐκέτι γάρ πρός τόνδε καί τόνδε ἄλλοι καί ἄλλοι γινόμενοι τήν φύσιν μερίζουσιν, ἀλλ' οἱ αὐτοί πρός τούς αὐτούς διαμένουσι, μή σκοποῦντες τό ἐφ᾽ ἑκάστῳ κατά τήν γνώμην ἴδιον, καθό μεμέρισται τά μεμερισμένα, ἀλλά τό ἐν πᾶσι κατά τήν φύσιν κοινόν καί ἀμέριστον, καθό τά μεμερισμένα συνάγεται· τῶν μεριστῶν οὐδέν ἑαυτῷ συνεπαγόμενον, καί δι᾽ οὗ τοῖς ἔχουσιν ὁ Θεός ἐμφανίζεται, κατά τήν ἰδιότητα τῆς ἀρετῆς ἑκάστου διά φιλανθρωπίαν μορφούμενος, καί ἐξ αὐτῆς ὀνομασθῆναι καταδεχόμενος. Ἔργον γάρ τῆς ἀγάπης τελειότατον, καί τῆς κατ᾽ αὐτήν ἐνεργείας πέρας, δι᾽ ἀντιδόσεως σχετικῆς τῶν κατ᾽ αὐτήν συνημμένων ἀλλήλοις ἐμπρέπειν τά ἰδιώματα παρασκευάζειν, καί τάς κλήσεις· καί Θεόν μέν τόν ἄνθρωπον ποιεῖν, ἄνθρωπον δέ τόν Θεόν χρηματίζειν καί φαίνεσθαι, διά τήν μίαν καί ἀπαράλλακτον ἀμφοτέρων κατά τό θέλημα βούλησίν τε καί κίνησιν, ὡς ἐπί τε τοῦ Ἀβραάμ, καί τῶν λοιπῶν ἁγίων εὑρίσκομεν. Καί τοῦτο ἴσως ἐστι, τό ἐκ προσώπου τοῦ Θεοῦ εἰρημένον· Ἐν χερσί προφητῶν ὡμοιώθην· ἡ τοῦ Θεοῦ πρός ἕκαστον, ἐκ τῆς ἑνούσης κατά πρᾶξιν ἀρετῆς ἑκάστῳ διά πολλήν φιλανθρωπίαν μορφοποιΐα. Χείρ γάρ παντός δικαίου, ἡ κατ᾽ ἀρετήν αὐτοῦ πρᾶξίς ἐστιν· ἐν ᾗ καί δι᾽ ἧς ὁ Θεός τήν πρός ἀνθρώπους ὁμοίωσιν δέχεται.

Μέγα οὖν ἀγαθόν ἡ ἀγάπη, καί τῶν ἀγαθῶν τό πρῶτον καί ἐξαίρετον ἀγαθόν, ὡς Θεόν καί ἀνθρώπους δι᾽ ἑαυτῆς περί τόν αὐτήν ἔχοντα συνάπτουσα, καί ὡς ἄνθρωπον τόν ποιητήν τῶν ἀνθρώπων φανῆναι παρασκευάζουσα, διά τήν τοῦ θεουμένου πρός τόν Θεόν κατά τόν ἀγαθόν ὡς ἐφικτόν ἀνθρώπῳ ἀπαραλλαξίαν· ἥν ἐνεργεῖν

ὑπολαμβάνω, τό ἀγαπῆσαι Κύριον τόν Θεόν ἐξ ὅλης τῆς καρδίας καί ψυχῆς καί δυνάμεως, καί τόν πλησίον ὡς ἑαυτόν. Ὅπερ ἐστίν, ἵνα ὡς ἐν ὅρῳ περιλαβών εἴπω, ἡ καθ᾽ ὅλου πρός τό πρῶτον ἀγαθόν μετά τῆς ὅλης τοῦ ὅλου κατά τήν φύσιν γένους προνοίας ἐνδιάθετος σχέσις· μεθ᾽ ἥν πρός οὐδέν ἀνώτερόν ἐστιν ἀναβιβασθῆναι τόν φιλόθεον ἄνθρωπον, πάντων αὐτῷ δαβαθέντων τῶν κατ᾽ εὐσέβειαν τρόπων· ἥν ἀγάπην καί οἴδαμεν καί ὀνομάζομεν, οὐκ ἄλλην καί ἄλλην μεμερισμένως Θεῷ καί τῷ πλησίῳ προσνέμοντες, ἀλλά μίαν καί τήν αὐτήν ὅλην· Θεῷ μέν ὀφειλομένην, ἀνθρώπους δέ ἀλλήλοις ἐπισυνάπτουσαν. Ἐνέργεια γάρ καί ἀπόδειξις σαφής τῆς πρός τόν Θεόν τελείας ἀγάπης ἐστίν, ἡ γνησία δι᾽ εὐνοίας ἑκουσίου πρός τόν πλησίον διάθεσις. (404) Ὁ γάρ μή ἀγαπῶν τόν ἀδελφόν αὐτοῦ ὅν ἑώρακε, φησίν ὁ θεῖος ἀπόστολος Ἰωάννης, τόν Θεόν ὅν οὐχ ἑώρακεν, οὐ δύναται ἀγαπῆσαι. Αὕτη ἐστίν, ἡ τῆς ἀληθείας ὁδός, ἥν ἑαυτόν ὀνομάσας ὁ τοῦ θεοῦ Λόγος, τούς ἐν αὐτῇ ὁδεύοντας τῷ Θεῷ καί Πατρί καθαρούς παντοίων γενομένους παθῶν παρίστησιν. Αὕτη ἐστίν ἡ θύρα, δι᾽ ἧς ὁ εἰσερχόμενος εἰς τά Ἅγια γίνεται τῶν ἁγίων, καί τοῦ ἀπροσίτου κάλλους τῆς ἁγίας καί βασιλικῆς Τριάδος θεατής γενέσθαι καθίσταται ἄξιος. Αὕτη ἐστίν ἡ ἄμπελος ἡ ἀληθινή, ἐν ᾗ ὁ παγίως ἑαυτόν ἐνριζώσας, θείας καταξιοῦται μέτοχος γενέσθαι ποιότητος. Διά ταύτην πᾶσα νομική τε καί προφητική καί εὐαγγελική, καί ἔστι, καί ἐκδέδοται διδασκαλία, ἵνα τῶν ἀῤῥήτων ἐπιθυμίαν λαβόντες ἀγαθῶν, τοῖς τρόποις τόν πόθον πιστώσωμεν· τοσοῦτον διά τόν ποθούμενον πλάστην τό πλάσμα τιμήσαντες, ὅσον τῷ πλάστῃ παρίσταται, καί ὁ τῆς φύσεως ἀπαιτεῖ λόγος, νομοθετῶν τό ἰσότιμον, καί πᾶσαν τήν περί ἕκαστον φαινομένην κατά πρόληψιν ἀνισότητα περιτέμνων τῆς φύσεως· καί ἑαυτῷ τούς πάντας κατά μίαν ταυτότητος δύναμιν περικλείων.

Διά ταύτην, αὐτός ὁ τῆς φύσεως ποιητής· τό φρικτόν ὄντως καί πρᾶγμα καί ἄκουσμα! τήν φύσιν ἐνδύεται τήν ἡμετέραν, ἑνώσας ταύτην ἀτρέπτως ἑαυτῷ καθ᾽ ὑπόστασιν, ἵνα στήσῃ τοῦ φέρεσθαι, καί πρός ἑαυτόν συναγάγῃ, καθ᾽ ἑαυτήν κατά τήν γνώμην διάφορον· καί φανεράν καταστήσῃ τήν πανένδοξον τῆς ἀγάπης ὁδόν, τῆς θείας ὄντως καί θεοποιοῦ, καί πρός Θεόν ἀγούσης· εἰρήσθω δέ ὅτι καί Θεός ὑπαρχούσης, ἥν αἱ ἄκανθαι κατ᾽ ἀρχάς τῆς φιλαυτίας ἐκάλυψαν· καί τοῖς ὑπέρ ἡμῶν παθήμασιν ἐν ἑαυτῷ προτυπώσας, καθαράν κωλυμάτων τοῖς πᾶσι χαρίσηται· τούς λίθους τούς ἐν αὐτῇ διά τῶν

αὐτοῦ μαθητῶν διαῤῥίψας, ὡς αὐτός ἐν τοῖς προφήταις προανεφώνησεν, εἰπών, Καί τούς λίθους ἐκ τῆς ὁδοῦ διαῤῥίψατε· καί πείσῃ δεόντως ἡμᾶς ἑαυτοῦ τε καί ἀλλήλων τοσοῦτον ἀντέχεσθαι, ὅσον αὐτός δι᾽ ἑαυτοῦ προλαβών ἐπεδείξατο, ὑπέρ ἡμῶν παθεῖν ἀνασχόμενος. Διά ταύτην πάντες οἱ ἅγιοι μέχρι παντός πρός τήν ἁμαρτίαν ἀντικατέστησαν, τῆς παρούσης ζωῆς οὐδένα λόγον ποιησάμενοι, καί τούς πολυειδεῖς τοῦ θανάτου τρόπους ὑπέστησαν, ἵνα πρός ἑαυτούς ἀπό τοῦ κόσμου, καί τόν Θεόν συναχρῶσι, καί τά τῆς φύσεως ἐφ᾽ ἑαυτῶν ἑνώσωσι ῥήγματα. Αὕτη ἐστίν ἡ ἀληθής καί ἀμώμητος τῶν πιστῶν θεοσοφία, ἧς τέλος τό ἀγαθόν ἐστι καί ἡ ἀλήθεια· εἴπερ ἀγαθόν τό φιλάνθρωπον, καί ἀληθές, τό κατά πίστιν φιλόθεον· τά τῆς ἀγάπης γνωρίσματα· ὡς Θεῷ καί ἀλλήλοις τούς ἀνθρώπους συνάπτουσα, καί διά τοῦτο τῶν ἀγαθῶν τήν διαμονήν ἀδιάπτωτον ἔχουσα.

Ταύτης ἐρασταί γνησιώτατοι τῆς θείας καί μακαρίας (405) ὁδοῦ, καί ὑμεῖς εὐλογημένοι γενόμενοι, πρός τό τέλος ἐλθεῖν ἀγῶνα καλόν ἀγωνίσασθε, τῶν οἷς ἡ πρός τό πέρας ταύτης διάβασις γίνεται, κραταιῶς ἀντεχόμενοι· φιλανθρωπίας λέγω, φιλαδελφίας, φιλοξενίας, φιλοπτωχίας, συμπαθείας, ἐλεημοσύνης, ταπεινώσεως, πραότητος, πραϋπαθείας, ὑπομονῆς, ἀοργησίας, μακροθυμίας, καρτερίας, χρηστότητος, ἀνοχῆς, εὐνοίας, εἰρήνης πρός πάντας· ἐξ ὧν ἤ δι᾽ ὧν ἡ τῆς ἀγάπης χάρις δημιουργημένη, πρός τόν Θεόν ἄγει θεουργηθέντα τόν δημιουργήσαντα ἄνθρωπον. Ἡ ἀγάπη γάρ, φησίν ὁ θεῖος Ἀπόστολος, μᾶλλον δέ ὁ δι᾽ αὐτοῦ ταῦτα λαλήσας Χριστός, μακροθυμεῖ, χρηστεύεται, οὐ ζηλοῖ, οὐ περπερεύεται, οὐ φυσιοῦται, οὐκ ἀσχημονεῖ, οὐ ζητεῖ τά ἑαυτῆς, οὐ παροξύνεται, οὐ λογίζεται τό κακόν, οὐ χαίρει ἐπί τῇ ἀδικίᾳ, συγχαίρει δέ τῇ ἀληθείᾳ· πάντα ὑπομένει. Ἡ ἀγάπη οὐδέποτε πίπτει, ὡς θεόν ἔχουσα τόν μόνον ἀδιάπτωτον καί ἀναλλοίωτον· καί τόν κατ᾽ αὐτήν ζῶντα ἄνθρωπον τοιοῦτον ἀπεργαζομένη, ἵνα καί ὑμᾶς ἀποδεξάμενος εἴπῃ δι᾽ Ἱερεμίου τοῦ προφήτου· Λέγω ὑμῖν, Αὕτη ἡ ὁδός τῶν προσταγμάτων μου, καί ὁ νόμος ὁ ὑπάρχων εἰς τόν αἰῶνα. Πάντες οἱ κρατοῦντες αὐτήν, εἰς ζωήν καταντήσωμεν· οἱ δέ καταλιπόντες αὐτήν , ἀποθανοῦνται. Ἐπιλαβοῦ αὐτῆς ὁ παῖς μου, καί ὅδευσον πρός τήν λάμψιν κατέναντι τοῦ φωτός αὐτῆς. Μή δῷς ἑτέρῳ τήν δόξαν σου, καί τά συμφέροντά σοι, ἔθνει ἀλλοτρίῳ. Μακάριος εἶ, ὅτι τά ἀρεστά τῷ Θεῷ γνωστά σοί ἐστι, καί ἔμαθες ποῦ ἐστι φρόνησις, ποῦ ἐστιν ἰσχύς, ποῦ ἐστι

μακροβίωσις καί ζωή. Ποῦ ἐστι φῶς ὀφθαλμῶν καί εἰρήνη, καί ἐπέβης τῆς ὁδοῦ, καί ὤφθην σοι πόῤῥωθεν. Διά τοῦτο ἀγάπησιν αἰωνίαν ἀγαπήσω σε, καί ἐλεήσω σε εἰς οἰκτείρημα, καί οἰκοδομήσω σε, καί οἰκοδομηθήσῃ· καί ἐξελεύσῃ μετά συναγωγῆς εὐφραινομένων, ὅτι ἐπί ταῖς ὁδοῖς ἔστης· καί κατενόησας, καί ἠρώτησας τρίβους Κυρίου αἰωνίους· καί εἶδες ποῦ ἐστιν ἡ ὁδός ἡ ἀγαθή, καί ἐβάδισας ἐν αὐτῇ, καί εὗρες ἁγιασμόν τῇ ψυχῇ σου. Καί πάλιν διά Ἡσαΐου· Ἐγώ εἰμί ὁ Κύριος ὁ Θεός σου· δέδειχά σοι τοῦ εὑρεῖν τήν ὁδόν τῆς δικαιοσύνης, ἐν ᾗ πορεύσῃ ἐν αὐτῇ, καί ἤκουσας τῶν ἐντολῶν μου. Διά τοῦτο ἐγένετο ὡς ποταμός ἡ εἰρήνη σου, καί ἡ δικαιοσύνη σου ὡς κῦμα θαλάσσης. Κἀγώ δέ ὁ τοῖς ὑμετέροις ἐπαγαλλόμενος ἀγαθοῖς, μετά τοῦ Θεοῦ λέγειν τολμήσω, παρά τοῦ μεγάλου λαβών Ἱερεμίου· Μακάριος εἶ, ὅτι ἐξεδύσω τήν στολήν τοῦ πένθους τῆς κακώσεώς σου· τόν παλαιόν φημι ἄνθρωπον, τόν φθειρόμενον κατά τάς ἐπιθυμίας τῆς ἀπάτης· καί ἐνεδύσω τήν εὐπρέπειαν τῆς παρά τοῦ Θεοῦ δόξης εἰς τόν αἰῶνα, τόν νέον φημί ἄνθρωπον, τόν ἐν πνεύματι κατά Χριστόν κτιζόμενον κατ᾽ εἰκόνα (408) τοῦ Κτίσαντος· καί περιεβάλου τήν διπλοΐδα τῆς παρά τοῦ Θεοῦ δικαιοσύνης· καί ἐπέθου τῇ κεφαλῇ τήν μίτραν τῆς δόξης τῆς αἰωνίου· τῷ τε βασίμῳ τρόπῳ τῶν ἀρετῶν, καί τῷ τῆς σοφίας ἀπταίστῳ λόγῳ κοσμούμενος. Διά τοῦτο δείξει ὁ Θεός τῇ ὑπ οὐρανόν πάσῃ τήν σήν λαμπρότητα καί καλέσει τό ὄνομά σου Εἰρήνη δικαιοσύνης, καί δόξα θεοσεβείας.

Τούτων ἐγώ τῶν λόγων οὐδέ πλέον πρός ἀπόδειξιν τῆς ἀφανοῦς κατά ψυχήν διαθέσεως κέκτημαι· οὐ γάρ ἔχω τι τῶν ὑμετέρων ἐπάξιον ἀγαθῶν, Θεῷ καί ὑμῖν προσενέγκαι, πλήν τοῦ θαυμάζειν ὑμᾶς κατά δύναμιν, καί ἀποδέχεσθαι κατορθοῦντας, καί συνήδεσθαι, Θεόν δι᾽ ἔργων ἀγαθῶν ἱλεουμένοις· καί δι᾽ ὑμῶν τήν ἀρετήν ἐπαινεῖν· καί διά τῆς ἀρετῆς τόν Θεόν ἀνυμνεῖν, τήν ὑμᾶς τῷ Θεῷ συνάπτουσαν. Ὡς ταὐτόν μοι δοκεῖν εἶναι καί ἴσον, ὑμᾶς τε καί ἀρετήν ἐπαινέσαι, καί Θεόν ἀνυμνῆσαι, τόν χαρισάμενον ὑμῖν τῆς ἀρετῆς τήν λαμπρότητα· τήν ὑμᾶς μέν Θεῷ κατά χάριν θεουργοῦσαν, τῇ ἀναλήψει κατά τό ἐφικτόν ἀνθρώπῳ τῶν θείων ἰδιωμάτων.

***ΣΧΟΛΙΑ.***

*α΄*. Ὅτι δίδοται ἡ ἀγάπη ἀντί τοῦ νόμου καί τῶν προφητῶν· καί ὅτι ἐκ ταύτης πάντες οἱ λόγοι τῶν ἐντολῶν ἐκδίδονται, καί ὑπό ταύτης μονοειδῶς περιέχονται.

β΄. Ὅρα τήν κατά λόγον καί φύσιν κίνησιν, ἐξ ἧς ἀπ᾽ ἀρχῆς ἐτράπη ὁ ἄνθρωπος συμβουλίᾳ τοῦ πονηροῦ.

γ΄. Τά τῆς ἀγάπης ἔργα τῆς μακαρίας, εἰς ἕν συνάπτειν ἀμφί τόν κεκτημένον, Θεόν βροτούς τε πάντας ἀῤῥήτω λόγῳ.

***Γ΄. - Τοῦ αὐτοῦ πρός τόν αὐτόν.***

Τά τίμια τῆς ὑμετέρας ἐν Κυρίῳ ποθεινότητος γράμματα δεξάμενος, μετά τῆς πεμφθείσης εὐλογίας τοῖς εὐλαβεστάτοις μοναχοῖς, τοῦ εὐαγοῦς μοναστηρίου τοῦ ἁγίου καί ἐνδόξου μάρτυρος Γεωργίου, ηὐχαρίστησα τῷ Θεῷ ἐπί τῇ τοιαύτῃ ὑμῶν εἰς τό καλόν προθυμίᾳ· ὅτι διά σπουδῆς τῶν πενίᾳ κατειλημμένων τούς δεσμούς λύσαντες, τῶν τῆς ἁμαρτίας ἑαυτούς δεσμῶν ἠλευθερώσατε· καί σώματα τρέφειν προθέμενοι, τήν ἑαυτῶν ψυχήν θείᾳ διεθρέψατε χάριτι, κἀμοί δεδώκατε πρόφασιν θεωρίας ἀληθοῦς δρέψασθαι καρπόν. Ἔγνων γάρ καθ᾽ ἑαυτόν γενόμενος, ὅτου χάριν ὁ Θεός πάντας ἐλεεῖν καί ἐλεεῖσθαι χρῆν ὑπ᾽ ἀλλήλων τούς ἀνθρώπους ἁπλῶς ἐνομοθέτησεν· ὅτι πρός τῇ φύσει καί τῇ γνώμῃ ἀλλήλοις ὑμᾶς ἑνῶσαι βουλόμενος, καί πρός τοῦτο ἅπαν ὠθῶν ὡς ἀληθῶς τό ἀνθρώπινον, τάς σωτηρίους φιλανθρώπως ἡμῖν ἐντολάς διεχάραξεν· ἀλλ᾽ ἡ τῶν ἀνθρώπων φιλαυτία καί σύνεσις, ἀλλήλους, καί τόν νόμον, ἤ ἀπωσαμένη, ἤ σοφισαμένη, εἰς πολλάς μοίρας τήν μίαν φύσιν κατέτεμε· καί τήν νῦν ἐπικρατοῦσαν αὐτῆς ἀναλγησίαν εἰσηγησαμένη, (409) αὐτήν καθ᾽ ἑαυτῆς τήν φύσιν διά τῆς γνώμης ἐξώπλισε. Διά τοι τοῦτο, πᾶς ὅστις σώφρονι λογισμῷ, καί φρονήσεως εὐγενείᾳ ταύτην λῦσαι διεδύνηται τῆς φύσεως τήν ἀνωμαλίαν, ἑαυτόν μέν πρό τῶν ἄλλων ἠλέησε, τήν γνώμην κατά τήν φύσιν δημιουργήσας· καί Θεῷ κατά τήν γνώμην διά τήν φύσιν προσχωρήσας· καί δείξας ἐφ᾽ ἑαυτόν, τίς τοῦ κατ᾽ εἰκόνα λόγου ὁ τρόπος· καί πῶς ἑαυτῷ ὁ Θεός πρεπόντως κατ᾽ ἀρχάς, ὁμοίαν τήν ἡμετέραν φύσιν, καί τῆς ἰδίας ἀγαθότητος ἀρίδηλον ἀπεικόνισμα δημιουργήσας κατέστησεν· αὐτήν ἑαυτῇ κατά πάντα τήν αὐτήν· ἄμαχον, εἰρηνικήν, ἀστασίαστον, πρός τε Θεόν, καί ἑαυτήν δι᾽ ἀγάπης ἐσφιγμένην· καθ᾽ ἥν Θεοῦ μέν ἐφετῶς, ἀλλήλων δέ συμπαθῶς ἀντεχόμεθα. Ἠλέησε δέ καί τούς ἐλεεῖσθαι ὀφείλοντας· οὐ μόνον αὐτοῖς ἐπαρκέσας, ἀλλά καί διδάξας, πῶς κρυπτόμενος ὁ Θεός διά τῶν ἀξιῶν ἐκφαίνεται· ὡς δύνασθαι κἀκείνους λοιπόν, τήν περί

αὐτούς αἰδουμένους τοῦ πέλας φιλανθρωπίαν, ῥᾳδίως ταύτης ὡς Θεοῦ μεταποιεῖσθαι τῆς χάριτος. Εἰ δέ τις τοῦτο ποιεῖν ἐκ τοῦ ἔχειν δυνάμενος, τούς χρῄζοντας ἀνθρώπους περιορᾷ, ἑαυτοῦ μέν ἐκείνους, ἑαυτόν δέ Θεοῦ εἰκότως ἀποῤῥήξας δειχθήσεται· ὡς τήν φύσιν διά τήν γνώμην ἀγνοήσας, μᾶλλον δέ ἑαυτοῦ διά τήν γνώμην, τά τῇ φύσει προσόντα ἀγαθά διαφθείρας. Ταῦτα μέν ὅσοι τοῦ φιλανθρώπου, τό ἀπηνές προείλαντο γνωμικῶς, καί τῶν ὀβολῶν τό συγγενές, καί ὁμόφυλον ἀτιμότερον κρίνοντες, καί τῷ περί τόν χρυσόν ἱμέρῳ, τάς πρός ἑαυτούς τοῦ Θεοῦ εἰσόδους ἀποτειχίσαντες, ἐλεεινόν αὐτοί πάσχοντες ὑφ᾽ ἑαυτῶν τῶν κρειττόνων τήν ἔκπτωσιν· ἐκεῖνα δέ ὅσοι τά τῆς φύσεως ῥήγματα ἑνῶσαι σοφῶς σπουδάζουσι, τῷ φιλαλλήλῳ τρόπῳ, καί τοῦ συνεργῆσαι Θεῷ χάριν διά τῆς ἀγάπης, τήν τῶν ἄλλων ἀνθρώπων ὅσον τό ἐπ᾽ αὐτοῖς κατά τήν γνώμην ταυτότητα, πάντων καταφρονοῦντες τῶν ἐπί γῆς, ὡς ἀληθεῖς τοῦ Θεοῦ διά τῶν ἔργων συνήγοροι. Ὅπερ ποιοῦντες ὑμεῖς, νῦν τε καί πρότερον ἀπεφάνθητε, ἠγαπημένοι· παντί καί λόγῳ καί τρόπῳ, καί σκορπισμῷ δεξιῷ τῶν προσόντων πᾶσιν ἑαυτούς προθύμως καί ψυχῇ καί σώματι ἐπιμερίζοντες, καί ταυτόν οὖσαν δεικνύντες ἐφ᾽ ἑαυτούς τῇ φύσει τήν γνώμην, καθ᾽ ἕν μόνον πλεονεκτουμένην ὑπό τῆς φύσεως, ὅτι ἐκεῖθεν λαβοῦσα ἔχει τῶν γενομένων τά σπέρματα· μᾶλλον δέ Θεοῦ, ἐξ οὗ καί τῇ φύσει τῶν καλῶν αἱ δυνάμεις προκαταβέβληνται.

Διό πολλοῖς χαρίτων χεύμασι μεγαλοφυῶς θεόθεν (412) ἀρδευόμενοι, δαψιλῶς μετά πάντων καί τοῖς προειρημένοις εὐλαβεστάτοις ἀνδράσι τῆς φιλανθρωπίας τόν ἔλεον ἐπεστάξατε· ὑπερείσαντες σαλευόμενον ἤδη ἐξ ἀπορίας τῆς φύσεως τό ἀσθενές, καί τήν ἐκ πτωχείας ἀπιτριβεῖσαν αὐτοῖς κακευχίαν ἐνδεχομένως ὡς ἐνῆν ἰασάμενοι. Μή παύσησθε οὖν εὖ ποιοῦντες ἐνδεέσιν, ἵνα τῇ κενώσει τό πλήσμιον ἀμείωτον ἔχητε. Ἐν ἱλαρότητι δέ ψυχῆς, τήν εἰς Θεόν πίστιν τε καί ἐλπίδα καί ἀγάπην πιστούμενοι· Ἀνέχετε σύνδεσμον καί χειροτονίαν καί ῥῆμα γογγυσμοῦ, καθά που τό θεῖόν φησι λόγιον· ὅπερ ἐστί περί τοῦ δεῖν διδόναι, καί μή διασκέπτεσθαι. Ὧ τό μεταμελεῖσθαι πάντως παρέπεται· πρᾶγμα, τοῦ μηδόλως ποιεῖν ὑπάρχον βαρύτερον. Ἴσμεν γάρ ἅπαντες, ὅτι τῆς τοῦ ποιεῖν ἤ πάσχειν ἀναξιότητος, οὔπω ἀκριβῶς οὐδείς οὐδαμῶς ἔγνω τίνας αἰτιᾶσθαι χρή· εἴτε τούς εὖ ποιεῖν δυναμένους, εἴτε τούς εὖ παθεῖν δεομένους· ἀλλά καιροῦ τοῦτο εἶναι τοῦ μέλλοντος· καθ᾽ ὅ ποιά τε καί ὅσα τά ὑμέτερα,

καί ὅπως ἔχοντα τύχοι, γνωσθήσεται. Οὕτω τοῦ Θεοῦ σοφῶς εὐδοκήσαντος ἐν τῷ παρόντι καλυφθῆναι τῶν αὐτοῦ κριμάτων τήν ἄβυσσον. Καί τοῦτο εἰδώς ὁ σοφός Παροιμιαστής, ἀσυλλογίστως τόν ἄρτον καί καθ᾽ ὕδατος ῥίπτειν παρεκελεύσατο· ὡς οὐ παρασυρησόμενον οὐδέ ἀπολλύμενον· ἀλλ᾽ ἐς ὕστερον ὑπαντήσοντα μετά πλείονος τῆς ἐπικαρπίας, τοῖς ἕνεκα τοῦ καλοῦ ἐν ἁπλότητι καρδίας τήν μετάδοσιν κεκτημένοις, παρά τοῦ εἰς ἑαυτόν πάντα τά παρ᾽ ἡμῶν ἀλλήλοις γινόμενα, ὡς δ᾽ ἄν ὄντα τύχωσιν, ἀναδεχομένου Θεοῦ καί Σωτῆρος ἡμῶν Χριστοῦ. Εἰ γάρ παθεῖν ὑπέρ ἡμῶν, ὡς φιλάνθρωπος κατεδέξατο, τί οὐκ ἄν γένοιτο ἑκών τοῖς τήν αὐτοῦ περί ἡμᾶς μιμουμένοις φιλανθρωπίαν ;

### *(413) Δ΄. - Τοῦ αὐτοῦ πρός τόν αὐτόν, περί τῆς κατά Θεόν λύπης.*

Χαίρω καί εὐφραίνομαι, διά πάσης ἐπιστολῆς τήν ἐπαινετήν λύπην λυπούμενον εὑρίσκων τόν εὐλογημένον μου Δεσπότην· γινώσκων, ὡς ἡ κατά Θεόν λύπη μετάνοιαν ἀμεταμέλητον εἰς σωτηρίαν κατεργάζεται, τοῖς τῷ Θείῳ φόβῳ καθ᾽ ὅλην αὐτῶν ἐνισχημένοις τήν δύναμιν· μή συγχωροῦσα τήν ψυχήν τῶν θείων ἀπονεύσασαν δικαιωτηρίων, πρός τά φθειρόμενα κατά φύσιν διατεθῆναι · δι᾽ ὧν τοῖς ἠμελημένως τόν τῆς παρούσης ζωῆς δρόμον ποιουμένοις, ἡ πονηρά τῶν παθῶν εἰσοικιζομένη σύγχυσις, ταῖς τοῦ διαβόλου παγίσιν ἁλῶναι παρασκευάζει τόν ἄθλιον νοῦν, καί πάσης κακίας αὐτόν καθίστησιν εἰκότως διδάσκαλον· οἷα δή τήν κατά φύσιν ἐνέργειαν, παρά φύσιν ταῖς τοῦ θυμοῦ καί τῆς ἐπιθυμίας ἀτάκτοις ὁρμαῖς ὑποζεύξαντα.Ψυχή γάρ ἡ δι᾽ ἀπάτης ἅπαξ τοῖς ὑλικοῖς τήν νοεράν ἐνδήσασα δύναμιν, περί μόνην τήν τῶν φαύλων ἐξεύρεσίν ἐστι πορι μωτάτη καί εὔδρομος. Διά τοῦτο νύκτωρ τε καί μεθ᾽ ἡμέραν ἀπαύστως εὔχομαι, καίτοι πολλοῖς βαρούμενος ἁμαρτήμασι, συντηρηθῆναι τῷ εὐλογημένῳ μου Δεσπότῃ ταύτην τήν σωτήριον λύπην, τήν ὄντως, τῶν μέν παθῶν ἀπότομον δέσποιναν, τῶν ἀρετῶν δέ μητέρα σεμνήν καί ἐπίδοξον· ἵνα δι᾽ αὐτῆς φρουρούμενος, τό πονηρόν ἐκκρούσηται κέντρον τῆς ἁμαρτίας. Οὐδείς γάρ, ὡς ἀληθῶς, ταύτην τῷ βάθει τῆς καρδίας ἐναποκλείσας, τοῖς τοῦ διαβόλου καθάπαξ ἁλίσκεται βέλεσιν. Οὐδείς ταύτην ἀοράτως κατά ψυχήν περιέπων, φοβεῖται τάς πολυτρόπους τῶν δαιμόνων ἐπιδρομάς. Οὐδείς ἑλόμενος τήν ταύτης συμβίωσιν, ποτέ τοῖς ὁρωμένοις προστίθεται. Οὐδείς ταύτην ἔχων τόν βίον χαρακτηρίζουσαν, τοῖς τῶν

φθειρομένων ῥύποις μολύνεται. Οὐδείς ταύτην συνδήσας ἀλύτως τοῖς λογισμοῖς, ἀτάκτως ἐφ ἅ μή δεῖ φέρεσθαι συγχωρεῖ τάς αἰσθήσεις. Οὐδείς ταύτῃ τήν ψυχήν πεποιωμένος, ἑαυτόν ἄλλου μείζοντα παντελῶς ἡγήσασθαι δύναται· τουναντίον δέ μᾶλλον παντός ἥττονα καί εἶναι καί νομίζεσθαι πιστεύσειεν. Οὐδείς ἑαυτῷ ταύτην κατά νοῦν περιζωσάμενος, τῆς τῶν θείων ἀπολισθαίνει κατανοήσεως. Οὐδείς ἑαυτῷ ταύτην δι᾽ ὅλου συναρμόσας, ἀγνοήσει τά τῆς εὐσεβοῦς πολιτείας συνθήματα. Ταύτην τό ἅγιον Πνεῦμα δημιουργεῖ, ταῖς τῶν ἀξίων καρδίαις ἐπιφοιτοῦν. Ταύτην ἐπίσταμαι μόνην ἐγώ τῆς ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν χαρᾶς οὖσαν γεννητικήν. Σπέρμα γάρ θεῖον ὑπάρχει σαφῶς ἡ κατά Θεόν λύπη· καρπόν ὥριμον τήν τῶν αἰωνίων ἀγαθῶν εὐφροσύνην παρέχουσα.

Ταύτην ἡ κατά διάνοιαν ἀκριβής τῶν βεβιωμένων (416) ἀνάληψις ἀνανεοῖ. Ταύτην ἡ κατά συνείδησιν τῶν πλημμεληθέντων ἡμῖ βίβλος, φιλοπόνως ἀναγινωσκομένη τιθηνεῖται. Ταύτην ἡ τοῦ θανάτου μνήμη, καί ὁ ἐπ᾽ αὐτῇ κατά τήν ἔξοδον ἐγγινόμενος τῇ ψυχῇ δριμύτατος πόνος ἀεί προσδοκώμενος περιποιεῖται. Ταύτην ἡ κατά τόν ἀέρα συγκροτουμένη πρός τήν ψυχήν, τῶν τῆς πονηρίας πνευμάτων φοβερά καί ἀπότομος ἔρευνα διά παντός κατά νοῦν μορφουμένη, διαφυλάττει παντελῶς ἀκατάσβεστον. Τίς γάρ, ἠγαπημένε, τῶν κατ᾽ ἐμέ ῥύποις ἁμαρτημάτων κατεστιγμένος, οὐ φοβεῖται τήν τῶν ἁγίων ἀγγέλων ἐπιστασίαν; ὑφ᾽ ὧν κατά θείαν ψῆφον τῆς παρούσης ζωῆς τό πέρας δεχόμενος, βίᾳ τοῦ σώματος μετ᾽ ὀργῆς ἐξωθεῖται καί μή βουλόμενος. Τίς κεκηλιδωμένην ἑαυτῷ συνεπαγόμενος τήν συνείδησιν οὐ δέδοικε τήν ὠμοτάτην τῶν πονηρῶν δαιμόνων καί βάρβαρον ἔμπτωσιν, ἑκάστου κατά τόν ἀέρα τοῦτον μετά τήν ἔξοδον, διά τοῦ μέσου πάθους ἀπηνῶς πρός ἑαυτόν διασπῶντος τήν ἀθλίαν ψυχήν, καί τῷ ἐλέγχῳ τῶν αὐτῇ πεπραγμένων καταισχύνοντος, καί πάσης ἐμποιοῦντος αὐτῇ τῆς ἐπί τοῖς μέλλουσιν ἀγαθοῖς ἐλπίδος ἀπόγνωσιν; Ταύτην σωτηρίως διατρέφει τήν λύπην, ἡ μετά τήν γινομένην κατά τόν ἀέρα πρός τά πνευματικά τῆς πονηρίας διάγνωσιν, τῆς τῶν ἐν ᾅδη ψυχῶν καταστάσεως ἀκριβής ἀνατύπωσις· ὅπως ἐν σκότῳ βαθεῖ διάγωσι καί βαρυτάτῃ σιγῇ, τροφήν ἔχουσαι τούς δριμυτάτους στεναγμούς καί τά δάκρυα, καί τήν ἐπί τούτοις κατήφειαν· ἐκδεχόμεναι διά παντός, ἄλλο μέν οὐδέν, μόνην δέ τήν ἐπί τῇ θείᾳ ψήφῳ δικαίαν κατάκρισιν. Ταύτην συνίστησι τήν λύπην ἡ τῆς ἀναστάσεως ἐλπίς· ἡ τῆς φοβερᾶς καί

πανενδόξου παρουσίας τοῦ Χριστοῦ μεγαλειότητης· ἡ φρικωδεστάτη τῆς κρίσεως ἡμέρα, κατά διάνοιαν συνεχῶς μελετωμένη· καθ᾽ ἥν οὐρανός τε καί γῆ, καί πᾶς ὁ τῶν ὁρωμένων διάκοσμος ῥοιζηδόν παρελεύσεται· στοιχείων καυσουμένων καί λυομένων τῷ ἀπλέτῳ πυρί, προκαθαίροντι διά τήν ἐπίβασιν τοῦ καθαροῦ, τήν ὑφ᾽ ἡμῶν ῥυποθεῖσαν κτίσιν· ἐν ᾗ θρόνοι προτίθενται, καί Παλαιός ἡμερῶν προκαθέζεται, καί τά τῶν ἁγίων ἀγγέλων καί ἀρχαγγέλων ἄπειρα τάγματα, μετά φόβου καί τρόμου λειτουργικῶς παρεστήκασι· καί πᾶσα τῶν ἀνθρώπων ἡ φύσις εἰς ἐξέτασιν ἄγεται· καί βίβλοι ἀνοίγονται τῶν ἡμετέρων ἔργων τε καί λόγων καί λογισμῶν, ἔχουσαι μετά πάσης ἀκριβείας τά ἔγγραφα. Δι᾽ ὧν ἡ πάντων γίνεται γύμνωσις τῶν πεπραγμένων ἡμῖν ἐπί πάσης τῆς κτίσεως· ὥστε τοσοῦτον ἀλλήλων πάντας γινώσκειν τάς ἁμαρτίας, ὅσον ἕκαστος τάς ἑαυτοῦ, τήν βίβλον ἀπλανῶς ἀναγινώσκων τῆς ἑαυτοῦ συνειδήσεως· καθ᾽ ἥν οἱ μέν ἐκ δεξιῶν τοῦ Κριτοῦ σταθέντες, λήψονται τῶν ἀποῤῥήτων ἀγαθῶν τάς ἐπαγγελίας· οἱ δέ τήν ἀριστεράν λαβόντες στάσιν, τό πῦρ τό αἰώνιον, καί τό ἐξώτερον σκότος, καί τόν ἀκοίμητον σκώληκα, τόν τε βρυγμόν τῶν ὀδόντων, καί τό ἄπαυστον δάκρυον, καί τήν ἀπέραντον αἰσχύνην, ἐφ᾽ ᾗ μᾶλλον ὀδυνηθήσεται πᾶς (417) κατακριθείς τήν ἀπ᾽ αἰῶσιν ἀτελεύτητον βάσανον, ἤ πᾶσιν ὁμοῦ τοῖς ἄλλοις τῆς κολάσεως εἴδεσι. Τούτων οὐδαμῶς ὄντως τῶν φοβερῶν καί πραγμάτων καί ὀνομάτων, ὁ τήν κατά Θεόν λύπην ἔχων ἐπιλανθάνεται· ἀλλ᾽ ὡς ὁρῶν ἀεί τόν Κριτήν καί ὁρώμενος, διατεθήσεται· καί τήν παροῦσαν εὐσεβῶς καί δικαίως διενέγκῃ ζωήν, μηδέ ποιῶν ἤ λέγων ἤ λογιζόμενος, τῶν ἀλλοτρίων τῆς θείας χάριτός τε καί κλήσεως.

Ταύτης τῆς ἐπαινουμένης λύπης γέννημα τυγχάνει, τό ἐν ἀνθρώποις ἐξαίρετον ἀγαθόν, ἡ ταπεινοφροσύνη· δι᾽ ἧς ὁ ευσεβής καί φιλόθεος, πάντων ἑαυτόν ἐλαχιστότερον κατ᾽ ἀλήθειαν ἡγήσεται· κἄν βασιλεύς ᾖ τήν ἀξίαν, ὅρον τῆς ἐπιγνωμοσύνης ἑαυτοῦ ποιούμενος τήν κατά φύσιν ἀσθένειαν· ὑφ᾽ ἥν πάντες κατά τό ἴσον τελοῦσιν, οἱ τῆς αὐτῆς φύσεως μετειληφότες· οὐδαμῶς τοῦ κατά φύσιν λόγου, διά τήν ἀξίαν παραφέρων τόν λογισμόν. Ταύτης προβολή καθέστηκεν ἡ πραότης, ἕξις ὑπάρχουσα τῶν παρά φύσιν, τοῦ τε θυμοῦ καί τῆς ἐπιθυμίας, κινημάτων ἀπωστική· δι᾽ ἧς τήν πρός ἀγγέλους ὁ ἄνθρωπος ὁμοιότητα δέχεται, παρ᾽ οἷς οὐκ ἔστι θυμός λυσσῶν, καί τό συγγενές ἀπρεπῶς καθυλακτῶν· οὔτε μήν ἐπιθυμία τούς νοερούς

διαλύουσα τόνους, καί πρός τήν ὕλην τήν ἔφεσιν ὑποσύρουσα· λόγος δέ μόνος, τήν ὅλης ἔχων δυναστείαν, καί διαπύρως κατά νοῦν ἄγων πρός τόν ὑπέρ αἰτίαν καί φύσιν Λόγον. Ταύτης ὑπάρχει καρπός ἡ ἀγάπη, καθ᾽ ἥν Θεῷ τε καί ἀλλήλοις ἑνούμενοι, τοσοῦτον ἀλλήλων ἑκόντες φροντίζομεν, ὡς ἐφικτόν, ὅσον ὁ Θεός ὡς οἰκτίρμων πάντων ἀντέχεται. Ταύτης ἐστί τέλος ἡ τῶν οὐρανῶν βασιλεία, καί τῶν ἐκεῖ θείων ἀγαθῶν ἡ ἀπόλαυσις. Πρός τοῦτο γάρ ἄγει τό πέρας ἡ κατά Θεόν λύπη τούς στέργοντας αὐτήν καί φυλάττοντας.

Ταύτης δέ τῆς λύπης ὑπάρχει γνωρίσματα, τό ἐθίσαι τούς ὀφθαλμούς τήν κτίσιν ὁρᾷν πρός δόξαν μόνην τοῦ Κτίσαντος· καί τά τῶν πλησίον ἄνευ, φθόνου καί βασκανίας ἐπισκοπεῖν· τά ὦτα πρός ὑποδοχήν τῶν τοῦ Θεοῦ λόγων μόνην, καί τῆς τῶν ζεομένων ἡμῶν ἱκεσίας ἑτοίμως ἠνεῷχθαι· πρός δέ πᾶσαν λοιδορίαν, καί λόγων αἰσχρῶν εἰδέχθειαν, σπουδαίως βεβύσθαι· τήν γλῶσσαν ταῖς τῶν ἄλλων εὐφημίαις καθαγιάζεσθαι, μηδαμῶς ταῖς κατ' ἄλλων ὕβρεσι καί λοιδορίαις μολυνομένην. Καί ἁπλῶς ἵνα συνελών εἴπω, πάντα τά μέλη τοῦ τε σώματος καί τῆς ψυχῆς, πρός τό δοκοῦν τῷ Πνεύματι μεταρυθμίσωμεν· καί ὅλος ἡμῖν ὁ κατ᾽ εὐσέβειαν σκοπός κατορθωθῇ [κατορθώθῃ] .

Ταῦτα, εὐλογημένε, κατά πᾶσαν ἀκρίβειαν ἑαυτούς ἐρευνῶντες, εἰ μέν εὕρωμεν ἔχοντας, ἐπιμελῶς διατηρήσωμεν· εἰ δέ μηδέν τούτων κεκτημένους, κατά σπουδήν κτήσασθαι φιλοπονήσωμεν, πᾶσι διά τόν Θεόν καί τήν κοινήν φύσιν ἀνθρώποις, ὡς ἄνθρωποι ταπεινούμενοι· πρός τά συμβαίνοντα παρά τήν ἡμετέραν γνώμην, πρᾶοι καί ἥμεροι διαμένοντες· (430) εὐμετάδοτοί τε πρός τούς πτωχούς, καί πρός τούς ξένους φιλόξενοι· τοῖς δεομένοις προστασίας, κατά τό δυνατόν, πρός ἀντίληψιν ἕτοιμοι· πρός τούς φίλους ὁμόψυχοι καί ὁμογνώμονες· πρός τούς γνωρίμους ἐν πᾶσι περιδέξιοι· τοῖς ταπεινοτέροις εὐπρόσιτοι· τοῖς ἀσθενέσι συμπαθεῖς καί φιλάνθρωποι· μακρόθυμοι τοῖς παροργίζουσι· τοῖς πταίουσι συγγνώμονες · τοῖς λυπουμένοις, παρηγορία γινόμενοι. Καί ἁπλῶς εἰπεῖν, πάντα πᾶσι γενώμεθα, διά τε τόν Θεοῦ φόβον, καί τήν προσδοκωμένην τῶν μελλόντων κριμάτων ἀπειλήν. Χωρίς γάρ τούτων τῶν ἀπηριθμημένων, οὐκ ἔστιν οὐδενί τό παράπαν σωτηρίας ἐλπίς.

Ταῦτά με, καί πλείονα τούτων βιάζεται λέγειν ὁ πρός σέ πόθος. Οὐ γάρ ἔχω πῶς μετρῆσαι τοῦτον, διά παντός ἀνατυποῦσθαί σε παρασκευάζοντα, καί ὡς παρόντι κατά ψυχήν διαλέγεσθαι, καί ἀπόντι

βιαζόμενον συντυγχάνειν διά γραμμάτων. Ἀλλά μή παρέργως δεξώμεθα τῶν λεγομένων τήν δύναμιν· ἐπειδή μετά τῶν ἄλλων, καί τούς τοιούτους λόγους ἕξομεν πάντως ἤ συνηγόρους ἤ κατηγόρους · ἐγώ τε ὁ λέγων, καί οἱ ἀκούοντες, κατά τήν φοβεράν ἡμέραν τῆς διαγνώσεως, ὁποτέρω, ἄν περί αὐτούς διατεθῶμεν. Γένοιτο δέ πάντας ἡμᾶς, τούς τε λέγοντάς τι τῶν δεόντων, καί τούς ἀκούοντας, πάντων τῶν θείων ποιητάς ἀποδειχθῆναι λόγων · καί μή μόνον ἀκροατάς ἤ λέκτας· χάριτι Χριστοῦ τοῦ Θεοῦ καί Σωτῆρος ἡμῶν, τοῦ καλέσαντος ἡμᾶς εἰς τήν ἑαυτοῦ δόξαν τε καί βασιλείαν.

***Ε΄. - Τοῦ αὐτοῦ πρός Κωνσταντῖνον.***

Εἰ ὡς παρόντι μοι συντυγχάνων, διά τῶν γραμμάτων εὐφραίνεται κατ᾽ ἀλήθειαν ὁ εὐλογημένος μου δεσπότης, ὡς γέγραφε, δῆλον ὡς τούς ἐμούς ἀποδεχόμενος λόγους πάντως εὐφραίνεται. Ἀποδοχή δέ λόγων ἐστίν, ἡ κατά τούς λόγους τοῦ ἀποδεχομένου τούς λόγους διάθεσις. Ταύτης δέ τῆς διαθέσεως ἀπόδειξίς ἐστιν ἀκριβής, τό ἔργον τῆς ἐμφερομένης τοῖς λόγοις δυνάμεως. Οὐκοῦν τῆς περί τό λέγειν προτροπῆς ἀῤῥαβῶνά μοι παράσχῃ πιστότατον ὁ ἐμός Δεσπότης, τήν αὐτοῦ περί τό ποιεῖν τά λεγόμενα προθυμίαν· καί οὐδέποτε κωλύσω, κατά τό γεγραμμένον, τά χείλη μου, τοῦ λέγειν πρός αὐτόν τά λυσιτελεῖν αὐτῷ τε κἀμοί καί ἄλλοις δυνάμενα· καθόσον εἰμί δυνατός ὑποδέξασθαι τήν περί τό νοεῖν τε συνετῶς καί εὐσεβῶς λέγειν τά νοηθέντα χάριν τοῦ δωρουμένου Θεοῦ πᾶσιν ἁπλῶς, καί μή ὀνειδίζοντος.

(421) Γενώμεθα τοίνυν, ἠγαπημένε, πρόθυμοι τῶν κατ᾽ ἐντολήν ἔργων ποιηταί· καί φύγωμεν τήν πλάνην τοῦ αἰῶνος τούτου, καί μηδενί τῶν ἐν αὐτῷ νομιζομένων τερπνῶν τήν ψυχήν καταδήσωμεν. Παρέρχεται γάρ ὁ κόσμος, καί πάντα τά ἐν αὐτῷ μαραίνεται, φθορᾶς ὄντα κατά φύσιν παραναλώματα. Ταύτην δέ τήν περί τά θεῖα τῶν σωτηρίας ἐφιεμένων τεκμηριοῖ προθυμίαν, οὐ μόνον τό πρός τήν ἁμαρτίαν μῖσος, καί ἡ ἀπράγμων διαγωγή· ἥ τε τῶν μοχθηρῶν ἀνδρῶν ἀλλοτρίωσις, καί πρός τά φθειρόμενα πάντα τῆς ψυχῆς ἀποδιάθεσις· ἥ τε τῆς σαρκός διά τήν ἀρετή καταφρόνησις, καί ἡ πρός πάντα τά διά τῶν αἰσθήσεως ἀπατηλῶς τήν ψυχήν ὑποσαίνοντα, στεῤῥά καί ἀνένδοτος ἐγκράτεια· δι᾽ ἧς πάσας τε τάς ἀκολάστους ὀρέξεις μαραίνομεν· καί τάς ἀτάκτους κινήσεις τοῦ θυμῦ κατευνάζομεν, μή συγχωροῦντες ἐξανδραποδισθέντα συνεκφέρεσθαι

ταύταις τόν λογισμόν, καί καθάπερ ἡνίοχον ὑπό δυσηνίων ἵππων συναρπασθέντα κατά βαράθρων φέρεσθαι· μηδενός ὄντος τοῦ τάσσοντος καί ἐπισχεῖν δυναμένου τήν ἄλογον τῶν ὑπεζευγμένων ὁρμήν. Ἀλλά καί ἡ πρός πάντας τούς ἀκουσίου πειρασμούς, ὑπομονή καί καρτερία· καθ᾽ ἥν καί πάσχοντες σωματικῶς, ἀπαθεῖς κατά ψυχήν διαμένομεν, καί ἀήττητοι· μηδενί τῶν τινασσόντων καταβαλλόμενοι. Δι᾽ ὧν ἀμφοτέρων, ἐγκρατείας τε λέγω τῶν ἐφ᾽ ἡμῖν παθημάτων, καί ὑπομονῆς τῶν οὐκ ἐφ᾽ ἡμῖν, δοκιμασθέντες, καθάπερ τινός σπορᾶς θειοτάτης τῶν ἐντολῶν, εὐπρεπεῖς καί ὡρίμους προβαλλόμεθα καρπούς τάς ἀρετάς. Οἷον, φρόνησιν γνωστικήν, κατά τε τῆς ἀγνοίας, καί τῆς δεισιδαιμονίας· ἀνδρείαν, κατά τε τῆς δειλίας, καί τῆς προπετοῦς θρασύτητος· σωφροσύνην, κατά τῆς ἀκολασίας καί τῆς ἠλιθιότητος· δικαιοσύνην κατά τῆς ἀδικίας· λέγω δέ κατά τῆς πλεονεξίας καί μειονεξίας· ταπεινοφροσύνην, κατά τῆς ὑπερηφανίας ὁπλίζοντες· συγκατάβσιν, κατά τῆς ἐπάρσεως προφέροντες· μετριότητα κατά τῆς οἰήσεως· μακροθυμίαν κατά τῆς ὀλιγοψυχίας· ἡμερότητός τε αὖ πρός πάντας, καί πραότητος, καί τῆς πρός τούς δεομένους ἱλαρᾶς μεταδόσεως ἀντεχόμενοι· φιλοξενίας τε καί φιλαδελφίας, καί φιλανθρωπίας φιλοπόνως φροντίζοντες· εἰρήνην τε καί ἀγάπην μεταδιώκοντες· ἐν ᾗ, καθάπερ τινί πυθμένι τῶν καλῶν, συνάγεταί τε καί φυλάττεται πάντα τά τοῖς ἀνθρώποις δεδωρημένα θεόθεν ἀγαθά.

Ταῦτα, δέσποτα μου εὐλογημένε, πᾶς ἐρῶν τῆς τῶν οὐρανῶν βασιλείας, καί φεύγειν σπεύδων τῶν ἠπειλημένων τοῖς ἁμαρτάνουσιν αἰωνίων κολάσεων τήν πεῖραν κατά δύναμιν πάντως ποιεῖν τε καί φυλάττειν ἐπιτηδεύει· τῆς τῶν τοιούτων ἔχων φυλακῆς ἀρωγόν, τοῦ τε θανάτου, καί τῆς κατ᾽ αὐτόν (424) ἀδηλίας, τήν ἄληστον μνήμην· τῆς τε μετά τήν ἔξοδον τῆς ψυχῆς ἐρημώσεως, μηδέν ἄλλο συνεπαγομένης ἑαυτῇ, πλήν τῆς ἐπί τοῖς αὐτῇ κακῶς πεπραγμένοις ἐστιγμένης συνειδήσεως· καί τῆς πρός αὐτήν κατά τόν ἀέρα τοῦτον γενησομένης τῶν πονηρῶν πνευμάτων φοβερᾶς ἐρεύνης τήν ἔννοιαν· τῆς ἐν τῷ ᾅδη νῦν πικρᾶς καί ἀφεγγοῦς τῶν ψυχῶν κατακλείσεως τήν ἐνθύμησιν· τῆς ἐπί τοῦ δικαίου Κριτοῦ καί τῶν οὐρανίων Δυνάμεων ἐπί τῇ φανερώσει τῶν κρυπτῶν αἰσχύνης τήν προσδοκίαν, τῆς πασῶν βαρυτέρας τῶν ἠπειλημένων τοῖς ἁμαρτάνουσι κολάσεων. Ταῦτα, καί τούτων πλείονα, καί ἤδη κατά δύναμιν γέγραφα, καί γράφων οὐ

παύσομαι, καθ᾽ ὅσον οἷός τε εἰμι, τόν ἐμόν ἠγαπημένον δεσπότην πόθον ἔχων, τῶν τοιούτων λόγων ἐκβιβαστήν.

Ἀλλά νήψωμεν, καί γρηγορήσωμεν περί τήν ἑαυτῶν φυλακήν, εὐλογημένε· μήπως πλέον κατακριθῶμεν, ὡς εἰκῇ καί μάτην τά θεῖα λέγοντες μόνον καί ἀκούοντες. Ἐπειδή καί ὑπέρ τούτων τῶν λόγων τῷ Θεῷ λόγον ὑφέξομεν ἐν ἡμέρᾳ κρίσεως· ἐγώ τε ὁ τούτους λέγων, καί οἱ τούτων ἀκούοντες· ἐάν ἀργούς παντελῶς καί ἀκάρπους αὐτούς καταλείψωμεν· γένοιτο δέ μᾶλλον πάντας ἡμᾶς, πᾶσιν ἐπαγάλλεσθαι τοῖς τοῦ Θεοῦ λόγοις, καί τῶν ἐν αὐτοῖς θείων καί σωτηρίων θελημάτων ποιητάς ἀποφανθῆναι· εὐχαῖς καί πρεσβείαις τῆς πανενδόξου καί παναγίας Δεσποίνης ἡμῶν Θεοτόκου καί Ἀειπαρθένου Μαρίας, καί πάντων τῶν ἁγίων. Ἀμήν.

***στ΄. - Τοῦ αὐτοῦ πρός τόν ἁγιώτατον καί μακαριώτατον ἀρχιεπίσκοπον Ἰωάννην, περί τοῦ , Ὅτι ἀσώματός ἐστιν ἡ ψυχή.***

Τό τίμιον τῆς ὑμετέρας ἐπ᾽ ἀρετῇ τελειότητος δεξάμενος γράμμα, πάσης μεγαλοφυοῦς μετριοφροσύνης ὡραϊσμένον, ἠγάσθην τε ὁμοῦ καί ἐξέστην· πῶς τε ὁ αὐτός διανοούμενος ἐν ἀμφοτέροις, σαυτῷ καθέστηκας ὅμοιος· μήτε τῷ ὑψηλῷ ἀπρόσιτος, μήτε τῷ ταπεινῷ καταφρονούμενος. Ἕν γάρ ἀρετῆς εἶδος, σοφῶς σαυτῷ ἐξ ἀμφοῖν κερασάμενος, ἑκατέρῳ ποιεῖς παραδόξως ἐνθεωρεῖσθαι τό ἕτερον· (425) τῷ ταπεινῷ μέν, τό ὑψηλόν· τῷ ὑψηλῷ δέ τό ἔμπαλιν, τήν ταπείνωσιν. Διό δή, δοῦλε Θεοῦ, ἀπαραιτήτως σου δέχομαι τό ἐπίταγμα, φυσικώτερον ἀποδεῖξαι κελεῦον, Γραφικῆς καί Πατρικῆς μαρτυρίας χωρίς, εἰ ἔστι κτίσμα ἀσώματον ἡ ψυχή. Ταῖς ὑμετέραις πάλιν θαῤῥῶν τῆς διδασκαλίας ψεκάσιν, εἷς μέ διαφόρως ἀγνοίᾳ φρυγόμενον ἐδρόσισας.

Τίνες δέ οὗτοι ὑπάρχουσιν, οἱ κτίσμα ἀσώματον μή εἶναι διαβεβαιούμενοι; καί τίσι τούτοις, ταῖς ὑμετέραις τῶν λόγων ἀληθείας ἀνυπάρκτοις ἀναπλασμοῖς ἀντιπίπτοντες; Πῶς δέ, οἱ μή τοῦ δέοντος εἰσι φιλονεικότεροι, τῷ ἡμετέρῳ οὐκ ἐδυσωπήθησαν ἐπειχειρήματι, παντός εἰς ἄκρον οὕτως ἀντιπτωτικοῦ λόγου πόῤῥω τυγχάνοντι; Καί ἵνα μοι μᾶλλον καθ᾽ ὁδόν ὁ περί τούτου λόγος προΐῃ, αὐτό ὑμῶν ὡς τῆς ἀληθείας σύμμαχον ἀκαταγώνιστον σοφόν ἐπιχείρημα, τῶν οἰκείων ἀπαρχήν ποιήσομαι· ὡς ἐφοδικοῖς τοῖς ὑμετέροις ἐναβρυνόμενος.

α΄. Εἰ τό σῶμα τῇ οἰκείᾳ φύσει ἀκίνητον· σῶμα δέ καί ἡ ψυχή, εἰ καί τό λεπτομερέστατον, ὥς φασι, καθό σῶμα, οὐ κινηθήσεται. Καί εἰ ταῦθ᾽ οὕτως ἔχει, πόθεν ἡμῖν ἡ κίνησις; Καί τοῦτο ἐπ᾽ ἄπειρον, ἕως οὗ ἔλθωμεν εἰς ἀσώματον κτίσμα. Εἰ δέ ἀπό τοῦ Θεοῦ φήσουσι κατά πρῶτον λόγον ἡμᾶς κινεῖσθαι· ἐπειδή τάς πλείους ἡμῶν κινήσεις ἀτόπους ἐπίσταμαι καί αἰσχράς, αἴτιον πάντως ἐξ ἀνάγκης καί τούτων ἀποφανοῦνται τό θεῖον.

β΄. Ἄλλο. Καί πάλιν, εἰ πᾶσα καί ὁπωσδήποτε οὖσα σωματική ὕπαρξις κατά τόν ἀληθῆ λόγον, τῷ ποσῷ τε καί τῷ ποιῷ διειλημμένη, ἐν ὄγκῳ καί εἴδει, καί ἐπιφανείᾳ καί σχήματι, τήν περί ἑαυτῆς περατοῖ θεωρίαν, ὡς ἀναγκαίοις διειλημένη πέρασιν. Οὐ γάρ τι τούτων ἐκτός ἔχοι φαντάζεσθαι ὁ ταύτην διερευνώμενος· σῶμα δέ καί ἡ ψυχή, ἤ ἐκ τούτων , ἤ ταῦτα, ἤ τινα, ἤ τούτων τι, ἤ τούτοις, ἤ τισιν, ἤ τινι τούτων περιγραπτός πάντως ἐστί· ἀλλά μή οὔτε ἐκ τούτων, οὔτε ταῦτα, οὔτε τινά, οὔτε τι τούτων, οὔτε τούτοις, οὔτε τισίν, οὔτε τινί τούτων ἐστί περιγραπτός· οὐκ ἄρα σῶμα ἡ ψυχή.

γ΄. Ἄλλο. Εἰ τοίνυν αὐτοῖς εἶναι μή ἀμφιβέβληται ἡ ψυχή· οὖσα δέ οὐδέν ὑπάρχειν ὧν καταλαμβάνει ἡ ἔννοια, ἐξ ὧν, ἤ ἅ ὑπάρχει τά σώματα· οὐ χρῶμα, οὐ σχῆμα, οὐκ ἀντιτυπία, οὐ βάρος, οὐ πηλικότης , οὐχ ἡ εἰς τρία διάστασις· καί ἁπλῶς ὅλως οὐδέν οὖσα τῶν περί τήν σωματικήν φύσιν καταλαμβανομένων· ἡ μηδέν οὖσα τούτων, ὡς ἔδειξεν ὁ λόγος, ἀσώματος ἔσται πάντως, εἴπερ ἐστίν.

δ΄. (428) Ἄλλο. Ἔτι, εἰ πᾶσα συστολή καί διαστολή καί τομή τῶν σωμάτων ἐστί· τό δέ πάσης συστολῆς καί διαστολῆς καί τῆς οἱασοῦν τομῆς ἐλεύθερον, πάντως ἀσώματον, ἡ ψυχή ἄρα ἀσώματος, ὡς τούτων πάντων παντελῶς ἀνεπίδεκτος.

ε΄. Ἄλλο. Εἰ πάσης τῆς σωματικῆς οὐσίας, εἴς τε τό ἔμψυχον καί τό ἄψυχον διῃρημένης· σῶμα δέ καί ἡ ψυχή, ἤ ἔμψυχον, ἤ ἄψυχον ἔσται πάντως. Ἀλλ᾽ εἰ μέν ἔμψυχον, διά ψυχούσης πάντως, ἤ οὐσίας, ἤ δυνάμεως, ἤτη συμβεβηκότος ψυχωθήσεται. Ψυχήν δέ ψυχοῦσαθαι λέγειν, ὥσπερ καί φῶς φωτίζεσθαι, ἤ θερμαίνεσθαι τό πῦρ, παντελῶς καταγέλαστον. Καί εἰ μέν οὐσίαν ψυχοῦν τήν ψυχήν εἴπωμεν, ἤ σῶμα ἤ ἀσώματον αὐτήν πάλιν λέξομεν. Καί εἰ μέν σῶμα, τάς αὐτάς ἀεί τῶν λογισμῶν ἀτόπους ἐξ ἀτόπων ἐφόδους, ὁ πρί τούτου δέξεται λόγος, μέχρις οὗ ἀσώματον τήν ψυχήν εἶναι συνδιομολογηθῇ. Εἰ δέ δύναμιν, ἤτοι ποιότητα ψυχοῦν τήν ψυχήν εἴπωμεν, τῆς οὐσίας

ζωοποιητικόν τε καί κινητικόν, τό ἀκούσιον ἔσται καί ἀνυπόστατον. Πρός τό, καί ἐναλλάξ καί παρά φύσιν τήν κατά τό ἄρχειν καί ἄρχεσθαι εἶναι διαφοράν· εἴπερ σώματος ἄρχειν κατά φύσιν δημιουργηθεῖσα ἡ ψυχή, ὡς ἀσώματος οὐσία, ὡς σῶμα κα᾽ αὐτούς ὑπό τοῦ μή κατ᾽ οὐσίαν ὄντος· τῆς κατά τό ποιόν λέγω δυνάμεως, ἀρχθήσεται· ἡ κατ᾽ οὐσίαν οὖσά τε καί ὑφεστῶσα, καί τήν κοινήν πάντων πρόληψιν. Εἰ δέ ἄψυχον εἴπωμεν σῶμα, ἀναίσθητον καί ἀφαντασίαστον, ἄλογόν τε καί ἀδιανόητον ἔσται. Ἀλλά μήν ταῦτα πάντα περί τήν ψυχήν, καί ἐν τῇ ψυχῇ, καί ἔστι καί ὁρᾶται· οὐκ ἄρα σῶμα ἡ ψυχή. Σῶμα μέν γάρ ἔχειν τοῦτο αὐτήν ἑτερούσιον, καλῶς εἰδότες λέγειν οὐ παραιτούμεθα· σῶμα δέ αὐτήν εἶναι ἀποφαίνεσθαι, ὡς θρασύτατόν τε ἅμα καί ἀπαιδευτότατον, παντελῶς ἀποφεύγομεν· πολύ διαφέρειν τοῦ ἔχειν τό εἶναι οὐκ ἀγνοοῦντες.

Εἰ δέ ὅτι ἀσώματον λέγουσι τό Θεῖον, τόν μή ὄντα φοβούμενοι φόβον, ἀσώματον εἰπεῖν τήν ψυχήν οὐ καταδέχονται, ἵνα μή εἰς ἴσον αὐτήν τῷ Θεῷ ἐνέγκωσι· καί τά λοιπά ἡμῶν περικοπτέτωσαν, ἵν᾽ ᾖ αὐτοῖς τῆς ἀπονοίας τέλειον τό ἀγώνισμα, ὅσα ἐκ Θεοῦ ὡς μετέχοντες· ἤ Θεός ἐξ ἡμῶν, ὡς ἐνεργῶν καί διδούς, ἤ μεταδιδούς, προσηγορεύθημεν, ἤ παρ᾽ ἡμῶν προσηγορεύθη Θεός. Τίνα δή λέγω ταῦτα; Τό εἶναι, τό ζῆν, τό φωτίζεσθαι, τό ἀγαθύνεσθαι, τό λογίζεσθαι, τό νοεῖν· τά μέν, διά τήν οὐσίαν· τά δέ , διά τήν κίνησιν, ἤτοι γνώμην καί διάθεσιν. Ὄντες γάρ λεγόμεθα, καί ζῶντες, καί φῶτες, καί ἀγαθοί, καί νοεροί, καί λογικοί. Τόν τε Θεόν ὁμοίως, ὄντα καί ζῶντα, καί φῶς, καί ἀγαθόν, καί νοῦν καί λόγον ὀνομάζομεν· εἴτε ὡς ἐξ αἰτίου ὄντες ταῦτα (429) καί καλούμενοι· εἴτε ὡς ἐνεργούμενοι, ἐκ τῶν ἡμετέρων ταῦτα τό θεῖον πρασαγορεύοντες. Τίς οὖν ὁ λόγος αὐτοῖς, ταῦτα μέν πάντα πρς ἑτέροις πολλοῖς εἶναι τήν ψυχήν καί ὀνομάζεσθαι· ἀσώματον δέ, μηκέτι, ὅ τι περ τό Θεῖον; Ὡς δέον, ἤ μή λέγεσθαι ἡμᾶς ταῦτα, διότι τό Θεῖον, ἤ τόν Θεόν ταῦτα μή ὀνομάζεσθαι, ὅ τί περ καί ἡμεῖς. Ἀλλά μήν καί ἐσμέν ταῦτα· καί ὀνομαζόμεθα· οὐχ ὡς ταυτόν τῷ Θεῷ διά ταῦτα ὄντες· ἀλλ᾽ ὡς πρός αἴτιον αἰτιατόν, ἤ μέτοχον πρός μετεχόμενον, ἤ ὕπαρξιν πρός αἰτίαν. Οὐδέ συγκριτικῶς ἤ συνωνύμως, ὡς ἐπί τῶν ὁμοουσίων· ἀλλ᾽ ὁμονύμως, καί οἷον εἰπεῖν μεθεκτῶς· τῶν πραγμάτων κατά τό ἄπειρον ἀλλήλων τῇ φύσει διεστηκότων· εἰ μή τῷ φίλον, ὡς ἀληθῶς, τό Θεῖον εἰπεῖν, καί ὑπέρ φύσιν καί πρᾶγμα.

Ποῦ δέ λοιπόν κατ᾽ αὐτούς πάλιν, εἰ δοθείη τήν ψυχήν εἶναι σῶμα, ὁ τοῦ κατ᾽ εἰκόνα ἡμῖν διασωθήσεται λόγος, εἰ μή διά πάντων ἔχειν φαμέν τήν ψυχήν, τήν πρός τό ἀρχέτυπον ὁμοιότητα; Ὥσπερ γάρ τοῦ νοεροῦ νοεράν, καί τοῦ ἀθανάτου, ἀφθάρτου τε καί ἀοράτου, τήν ἐν τούτοις γνωριζομένην εἰκόνα ὀνομάζομεν· οὕτω δή καί τοῦ ἀσωμάτου, ἀσώματον λέγοντες, ὡς πάντα τε ὄγκον, καί πᾶσαν ὁμοίως διαφεύγουσαν διαστηματικήν καταμέτρησιν· ἄλλο τι πάλιν αὐτήν παρ᾽ ἐκεῖνο, κατά τήν τῆς φύσεως ἰδιότητα λέγομεν. Ἐπεί οὐκ ἔτι ἄν εἴη εἰκών, ἀλλ᾽ ἀπαράλλακτος ταυτότης. Ἐν οἷς δέ ἐν τῇ ἀκτίστῳ καί ἀτρέπτῳ καί ἀνάρχῳ φύσει ἐκεῖνο καθορᾶται, ἐν τοῖς αὐτοῖς τήν κτιστήν λογικήν φύσιν· οὐ κατά τό αὐτό δέ, ἀλλ᾽ ὡς ἐν ἐσχάτοις ἀπηχήμασι φωνῆς λόγου δήλωσιν, δείκνυσθαι, ἐναργῶς νομίζομεν. Καί ὥσπερ διά τῶν ἐν τοῖς οὖσι κατά τήν τοῦ παντός διακόσμησιν ἐπιτελουμένων ὁ φιλοσοφώτατος νοῦς, πρός τό καθαρόν τε καί ἄϋλον μετενεγκών τῶν νοημάτων αὐτοῦ τάς δυνάμεις, διακρίνει ἀπό τῶν κινουμένων τό κινοῦν, καί ἕν καί μόνον καί ἁπλοῦν αὐτό ἐξ ἑαυτοῦ ὑπάρχον, ὡσαύτως ἔχον καί ποιητικόν αἴτιον καταλαμβάνων ἐν τῇ οἰκείᾳ τῆς ταυτότητος μονιμότητι, ἀπρόσιτον κατά τήν φύσιν τοῖς ἄλλοις ἐπίσταται· ἄτρεπτον μέν, ὅτι ἀκίνητον· οὐ γάρ ἐστι πρός ὅ κινηθήσεται τό, τά ὄντα καί ποιοῦν καί πληροῦν, καί ὑπερ πάντα ὄν τά ὄντα· περιεκτικόν δέ, ὡς δημιουργόν, καί πρό γενέσεως, τῷ ἀπείρῳ τῆς δυνάμεως τά πάντα γινῶσκον. Κατά τόν αὐτόν τῆς θεωρίας τρόπον, καί διά τῆς τῶν μελῶν καί μερῶν ποικίλης καί ἐντεχνοῦς κινήσεως τοῦ μικροῦ κόσμου· λέγω δή τοῦ ἀνθρώπου· τό κινητικόν αἴτιον λογιζόμενος, ἄλλο τι οἶδε κατά τήν οὐσίαν παρά τήν ὀργανικήν τοῦ σώματος ὕπαρξιν· καί οὐχ ὡς σῶμα ἐν σώματι· ὅπερ δοκεῖ τοῖς νέοις σοφοῖς, καί τῶν ἀναποδείκτων δογματισταῖς· (432) ἀλλ᾽ ἁπλοῦν καί ἑνιαῖον ἐν τοῖς ἐσκεδασμένοις θεωρεῖ, καί ἐν τοῖς συνεσταλμένοις, ἀόριστον· τρεπόμενον μέν, ὡς κινούμενον· κινούμενον δέ, ὡς ἔχον πρός ὅ κινηθήσεται· τῆς δέ κατά τήν κίνησιν τροπῆς αἴτιον, οὐ τήν φύσιν γινώσκει, ἀλλά τήν κρίσιν, ὅτ᾽ ἄν ἐσφαλμένη οὖσα τυγχάνῃ αὕτη.

Ἡ τροπή οὖν, οὐ περί αὐτήν τῆς ψυχῆς ὑπάρχει, ὡς οἶμαι, τήν οὐσίαν· ἐπεί καί μετέβαλλεν ἀπειράκις, καί οὐχ ἡ αὐτή διέμενε κατ᾽ οὐσίαν· ἀλλά κατά τήν κίνησιν τήν ἀφ᾽ ἡμῖν, τῷ αὐτοκρατορικῷ θελήματι συμφερομένη. Τοιγάρτοι τροπῆς δύναμιν ἔχειν τούς ἀντιλέγοντας φάσκειν καί ἀποφαίνεσθαι , καί αὐτήν τήν περί τό

Θεῖον τῆς ψυχῆς ἀεικινησίαν, οὐ μή δοκεῖ ἀληθευόντων εἶναι· ἀλλά πομπικῶς τό κομψόν, καί οὐκ εὐλαβῶς τό ἀκριβές τοῦ λόγου ἐπιζητούντων. Ἐπεί τίς ἄν λόγου μέτοχος, καί ἀρετῆς φιλίας οὐκ ἄμοιρος ἀγνοεῖ, ὅτι οὐδέν ὑπάρχει ἕτερον ἡ περί τό καλόν τῆς ψυχῆς ἀεικινησία, ἤ ἐνέργεια φυσική, ἐφ᾿ ᾗ καί δι᾿ ἥν γεγένηται αἰτίαν τελουμένη; ἡ δέ τροπή, κίνησις παρά φύσιν, τήν ταύτης ἀποτυχίαν τῆς αἰτίας εἰσάγουσα. Τροπή γάρ, κατ᾿ ἐμέ εἰπεῖν, οὐδέν καθέστηκεν ἕτερον, ἤ ἀσθένεια, καί ἔκπτωσις τῶν κατά φύσιν ἐνεργειῶν. Μηκέτι οὖν φάναι ἀξίωσον τοῖς λογολέσχαις, Θεόν καί κτίσιν συγκρῖναι τολμήσητε. Ἐπειδή τό Θεῖον κυρίως εἰπεῖν, οὔτε σῶμα, οὔτε ἀσώματον, οὔτε οὐσία, οὔτε τι τῶν νοουμένων ἤ λεγομένων ἐστίν, ἵνα μή πάντα καθεξῆς ἀπαριθμῶμαι· ἀλλά καί νοούμενον ἄληπτον, καί λεγόμενον ἄῤῥητον διαμένει.

Ταῦτα μέν οὖν ζητητικῶς, ἀλλ᾿ οὐ δογματικῶς παρ᾿ ἡμῶν εἰρήσθω· καί εἰ μέν αὐτάρκως ἔχει πρός τήν ὑπόθεσιν, ὡς δι᾿ ἐπιτόμου ἐπιστολῆς δυνατόν, καί οὐ πολύ τῆς ὑμεστέρας μεγαλονοίας ἀπολέλειπται· Θεῷ χάρις, καί ὑμῖν τοῖς προβιβάζουσιν. Εἰ δέ βούλεσθε, εἴπερ μή πεισθεῖεν οἱ ἀντιλέγοντες, ἀγωνιστικώτερον αὐτοῖς συμπλακῆναι, ἕτοιμοί ἐσμεν Θεοῦ χάριτι, τό περικείμενον ἡμῖν τῶν θείων ματρύρων τε καί μαρτυριῶν καταφεῖναι αὐτῶν νέφος· ἵνα πάσης τῆς ἐπιπόνου περί τούτου διασκέψεως τόν ὄγκον ἀποθέμενοι, καί τή εὐπερίστατον τῶν φιλονείκων λογομαχίαν, ἀνενοχλήτως τήν ἀληθῆ περί τε Θεοῦ καί τῶν αὐτοῦ κτισμάτων γνῶσιν κατέχωμεν. Εἰ δέ ἐνδεῶς, ὅπερ πᾶσα παθεῖν ἀνάγκη, καί οὐκ ἐπιτετευγμένως, ὡς ἐξ ἀμαθοῦς διανοίας καί ἀσθενοῦς ὀργάνου προενηνεγμένα· σύγγνωτέ μοι, ἠγαπημένοι, δι᾿ ὑπακοήν καί μόνην, ὡς ὁ ἐρευνῶν τάς καρδίας ἐπίσταται Θεός, καί ταῦτα εἰπεῖν θαῤῥήσαντι· καί διορθώσασθε ἠπίως τόν οὐκ ἐθέλοντά τι (433) τῶν συμφερόντων ἀγνοεῖν, καί χειραγωγήσατε συμπαθῶς τόν ὀρθῶς βαίνειν ἐπιθυμοῦντα.

***Ζ΄. - Τοῦ αὐτοῦ πρός Ἰωάννην πρεσβύτερον, περί τοῦ καί μετά θάνατον ἔχειν τήν ψυχήν τήν νοεράν ἐνέργειαν, καί μηδεμιᾶς ἐξίστασθαι φυσικῆς δυνάμεως.***

Τῇ δευτέρᾳ τοῦ ἐνεστῶτος Αὐγούστου μηνός τῆς παρούσης πρώτης ἐπινεμήσεως, ὁ κοινός ἡμῶν φίλος τίμια τῆς ὑμετέρας πατρικῆς ἁγιωσύνης γράμματα ἐπιδέδωκέ μοι· οἷς ἐντυχών, παρεκλήθην μέν εἰκότως ἐφ᾿ ὑμῖν τοῖς ἐμοῖς δεσπόταις, καί μετά Θεόν πάντων μοι τῶν

καλῶν αἰτίοις, ἐν ὑγείᾳ διάγουσι. Τοσοῦτον γάρ ὑμῖν ἥνωται δι᾽ ὅλου τό Πνεῦμα τοῦ Θεοῦ τό ἅγιον, ὅτι καί ἀπόντας ὑμᾶς νοός ὀφθαλμοῖς μόνον ἀναθεωρῶν, ῥυθμίζομαι κατά τήν ὑποῦσάν μοι δύναμιν καί βίον καί λόγον· ὡς Θεόν κατά τήν μνήμην δι᾽ ὑμῶν ἐμφανιζόμενον, καί ὁρῶν καί αἰδούμενος. Ἠνιάθην δέ οὐ μετρίως ἐπί τῷ περί ψυχῆς δόγματι τῷ ὑπό τινων, ὡς γεγράφατε, ἀδεῶς ἐκεῖσε κηρυττομένῳ, ὅσην κἀνταῦθα τό τοιοῦτο κακόν ἔχειν ἰσχύν καί παῤῥησίαν ἐννοῶν. Τό δέ πλέον με κατηφείας ἐμπιπλῶν ἐνταῦθα, καί βάρος ὥσπερ νέφος τῇ διανοίᾳ ἐμβάλλον, τό νῦν ὑπό πάντων σχεδόν, καί μάλιστα τῶν δῆθεν ἐπιφανῶν μοναχῶν πρεσβευόμενον περί ἀναστάσεως καινοπρεπές δόγμα· ὥστε μηδέ στοχαστικῶς ἔτι προοιμιάζεσθαι τήν τοῦ Ἀντιχρίστου παρουσίαν ὑπολαμβάνειν· παρεῖναι δέ μᾶλλον πιστεύειν καί διαβεβαιοῦσαθαι , καί τόν ὁποσοῦν μετέχοντα τοῦ λογίζεσθαι· αὐτήν μαρτυροῦσαν τῷ τοιούτῳ κακῷ τήν τῶν λεγομένων (ἀτοπίαν) ἔχοντα.

Φασί γάρ οἱ πρός πάντα τήν γλῶσσαν ἀδεῶς ὀξύνοντες, καί μηδέν τῶν ἀσεβῶς γινομένων ἤ λεγομένων ἡγούμενοι φοβερόν, φλέγματι πάλιν καί αἵματι, χολῇ τε αὖ ξανθῇ καί μελαίνῃ καί ὁλκῇ ἀέρος, καί τροφῇ αἰσθητῇ πρός τό ζῇν συνέχεσθαι μέλλειν τά σώματα κατά τήν ἀνάστασιν, οὐδενός τό σύνολον ξένου παρά τήν παροῦσαν ζωήν διά τῆς ἀναστάσεως ἀναφανησομένου, πλήν τό μή δύνασθαι πάλιν ἀποθανεῖν· οὐκ οἶδ᾽ ὅπως πρός πάντα τά ἐν τῇ ἁγίᾳ Γραφῇ περί τε ψυχῆς καί ἀναστάσεως νεκρῶν διά τε προφητῶν καί ἀποστόλων, καί αὐτοῦ τοῦ διά σαρκός ὁμιλήσαντος ἡμῖν Θεοῦ Λόγου, καί μάλιστα Κορινθίοις ἰδιοτρόπως διά τοῦ θεσπεσίου Παύλου περί ἀναστάσεως διηγορευμένα, τήν τε ἀκοήν ἑκουσίως βύσαντες, καί πρός κατανόησιν τό τῆς ψυχῆς ὄμμα ἐπιμύσαντες, οὕτω τρανά ὑπάρχοντα καί ἐξάκουστα καί μηδενός τοῦ ἑρμηνεύοντος πρός τό γνωσθῆναι δεόμενα· καί τήν φύσιν αὐτήν τῶν ὄντων οὐχ ἧττον τῶν θειωδῶς ἐκπεφασμένων παιδεύουσαν ἔχοντες· ἥ καί τούς Βαρβάρους πρός γνῶσιν ἀληθείας ἐνάγειν ἐπίσταται, ἀρίδηλον ἑαυτήν (436) προβαλλομένη τῶν ζητουμένων ἀπόδειξιν, οὐκ αἰδούμενοι.

Τίς γάρ εἴπερ μή πάντη τῆς κατά τόν λόγον ἐστέρηται χάριτος, ἀγνοεῖ, ὅτι πᾶσα φύσις οὐσιωδῶς οἰκείοις ἰδιώμασι διειλημμένη · καί ταύτῃ τόν τε τρόπον τῆς οἰκείας ὑπάρξεως, καί τήν διαφοράν καθ᾽ ἥν τῶν ἄλλων ἀμιγῶς διώρισται δεικνύουσα φύσεων· ἐπάν τῶν συνεκτικῶν τῆς οὐσίας αὐτῆς ἀπογένηται ἰδιωμάτων, ἤ οὐδ᾽ ὅλως

ἔσται, ἤ ὅπερ οὐκ ἦν, γέγονεν· εἴπερ ὅλως κατά τήν ἀναίρεσιν τῶν ἰδιωμάτων εἶναι συμπεριφορικῶς αὐτήν ἀνάσχοιτο εἰπεῖν. Πέφυκε γάρ πᾶν ὑποκείμενον τοῖς φυσικοῖς ἰδιώμασι φθειρομένοις συμφθείρεσθαι. Τί γάρ, ἤ ποῦ βοῦς ἔσται, καί ἵππος , καί λέων, καί τά τοιαῦτα, τῶν συνεκτικῶν τῆς ἑκάστου φύσεως ἰδιωμάτων οὐκ ὄντων; Ἤ τίς εἶναι ταῦτα ἐκείνων χωρίς εἰπεῖν θαῤῥήσοι, μανίας ὑπάρχων ἐλεύθερος, οὐ συνόρῳ. Εἰ οὖν ἀληθές, τό μηδέν δύνάσθαι τῶν ὄντων εἶναι ἤ γνωσθῆναι ἄνευ τῶν φυσικῶς καί κυρίως αὐτό χαρακτηριζόντων, οἱ τῆς ψυχῆς τό κατ' οὐσίαν αὐτῇ ἐμπεφυκός ἀφαιρούμενοι· τουτέστι, τό λογικόν τε καί νοερόν, καθό ἀεί τέ ἐστι καί ἐνεργεῖ νοοῦσα καί λογιζομένη, προδήλως καί τό εἶναι αὐτῆς, κἄν μή λέγουσι, συναφαιροῦνται· καί ἔστι κατ' αὐτούς, φθαρτή καί θνητή, τό εἶναι μετά τόν τοῦ σώματος θάνατον οὐκ ἔχουσα· οὗ τί ἀτοπώτερον;

Εἰ δέ ζῆν αὐτήν ὑποτίθενται, κἄν λόγῳ, εἰ καί μή πράγματι, τόν παρά πάντων ὑφορώμενοι ἔλεγχον, πάντως καί κινεῖται. Πᾶσα γάρ ζωή τῶν γενητῶν, ἐν κινήσει δείκνυται. Εἰ δέ κινεῖται, καί ἐνεργεῖ πάντως· πᾶσα γάρ κίνησις, δι᾽ ἐνεργείας ἐκφαίνεται. Εἰ δέ ἐνεργεῖ, φυσικῶς πάντως κινουμένη, καί οὐ θετικῶς, ἤ κατά συμβεβηκός, ἐνεργήσει. Οὐ γάρ κυκλοφορικῶς, ἤ μεταβατικῶς· ἤ συνελόντα εἰπεῖν, σωματικῶς· ἀλλά νοερῶς τε καί λογικῶς.

Εἰ δέ νοερῶς τε καί λογικῶς καί ζῇ καί νινεῖται καί ἐνεργεῖ, λογίζεται πάντως καί νοεῖ καί γινώσκει. Εἰ δέ μή γινώσκει καί λογίζεται, οὐδέ ἐνεργεῖ, οὐδέ κινεῖται, οὐδέ ζῇ. Οὐ γάρ οἷόν τε εἶναι ζωήν ἄνευ τῆς ἐμφύτου κινήσεως· οὐδέ κίνησιν φυσικήν, προσφυοῦς ἐνεργείας οὐκ οὔσης, ἐμφαίνεσθαι.

Ἄλλως τε δέ, ἡ ψυχή, ἤ δι᾽ ἑαυτήν ἐστι λογική τε καί νοερά, ἤ διά τό σῶμα. Καί εἰ μέν δι᾽ ἑαυτήν, ἤτοι τήν ἑαυτῆς οὐσίαν ἐστί λογική τε καί νοερά, καί αὐθυπόστατος, πάντως ἐστίν. Εἰ δέ αὐθυπόστατος δι᾽ ἑαυτήν φύσει καί καθ᾽ ἑαυτήν, καί μετά σώματος ἐνεργήσει, νοοῦσα κατά φύσιν καί λογιζομένη, καί οὐδέποτε παυομένη τῶν φυσικῶς αὐτῇ προσουσῶν νοερῶν δυνάμεων. Τά γάρ φύσει τῷ ὁπωσοῦν ὄντι προσόντα, ἕως ἐστί καί ὑφέστηκεν, ἀναφαίρετα τυγχάνει. Ἡ ψυχή οὖν ἀεί τε οὖσα, ἀφ᾽ οὗ γέγονεν, καί ὑφισταμένη διά τόν οὕτως (437) αὐτήν δημιουργήσαντα Θεόν, ἀεί καί νοεῖ καί λογίζεται καί γινώσκει, καί καθ᾽ ἑαυτήν, καί μετά σώματος, δι᾽ ἑαυτήν καί τήν ἑαυτῆς φύσιν. Οὐδείς οὖν εὑρεθήσεται λόγος, ὁ τήν ψυχήν τῶν προσόντων αὐτῇ φυσικῶς, καί οὐ διά τό σῶμα, μετά τήν τούτου λύσιν ἀλλοτριῶσαι

δυνάμενος. Εἰ δέ διά τό σῶμα λογική τε καί νοερά ἐστιν ἡ ψυχή, πρῶτον μέν, τιμιώτερον τῆς δι᾽ αὐτό γενομένης ψυχῆς ἔστι τό σῶμα. Ἔπειτα δέ, καί ἐξ αὐτοῦ ἕξει τό τε νοερόν καί λογικόν, ὡς δι᾽ αὐτό γενομένη. Εἰ γάρ σώματος χωρίς, οὐδαμῶς νοεῖν ἤ λογίζεσθαι δύναται ἡ ψυχή, ἐξ αὐτοῦ πάντως τό νοεῖν αὐτῇ καί λογίζεσθαι προσέσται. Εἰ δέ τό νοεῖν καί λογίζεσθαι ἐκ τοῦ σώματος κέκτηται ἡ ψυχή, ὡς αὐτοῦ χωρίς ταῦτα ἔχειν μή δυναμένη κατά τούς λέγοντας, οὐδέ αὐθυπόστατος ἔσται πάντως· Πῶς γάρ ἡ ἄνευ σώματος καθ᾽ ἑαυτήν τό χαρακτηρίζον οὐκ ἔχουσα; Εἰ δέ αὐθυπόστατος οὐκ ἔστιν, οὐδέ οὐσία ἐστί δηλονότι. Οὐσία δέ αὐθυπόστατος μή οὖσα, συμβεβηκός ἔστι, φυσικῶς μόνον ὑφισταμένῳ τῷ σώματι ἐνυπάρχουσα· μετά δέ τήν αὐτοῦ λύσιν, οὐδέν οὐδαμῶς εἶναι δυναμένη· καί οὐδέ ἔσται πλέον τοῖς τοσοῦτον ἀνοηταίνουσι, τήν ἀθανασίαν τῆς ψυχῆς ἀφῃρημένοις, τῆς Ἐπικούρου καί Ἀριστοτέλους ματαιοπονίας, οἷς, ὡς εἰκός, οἱ γεννάδαι, καί σεμνύνονται συντασσόμενοι. Καί πρίν μέν τούτου, ταῦτα.

Τοῦ δέ περί ἀναστάσεως παρ᾽ αὐτῶν λεγομένου, τίς ἀρετῆς καί εὐσεβείας ἐπιμελούμενος ἀκούων, οὐχί τό ἀπαθές ἑαυτῷ διά πάθους, τῆς κατ᾽ αὐτῶν ἀγανακτήσεως λέγω, πειριποιήσεται; Εἰ γάρ, ὡς φασι, κατά τήν εἰκόνα τῆς παρούσης ζωῆς, ἀπαραλλάκτως τοῖς μαχομένοις χυμοῖς πεποιωμένον ἀναστήσεται τό σῶμα, καί τραφήσεται ἐν τῇ φοβερᾷ τοῦ Θεοῦ παρουσίᾳ μετά τήν τοῦ κόσμου τούτου συντέλειαν, οὐκ οἶμαι ἄλλο τι αὐτούς διά τούτων, ἵνα συνελών εἴπω, τά πολλά περικόψας ὅσα ῥηθῆναι ἐνδέχεται, ἤ ἀΐδιον τόν θάνατον πρεσβεύειν, καί τήν φθοράν ἀτελεύτητον. Εἰ γάρ φθορά τῶν οὕτω συνισταμένων ὑπάρχει ὁ θάνατος σωμάτων, ἀεί δέ τό (440) δι᾽ ἐπιῤῥοῆς τροφῶν συνιστάμενον φθείρεται σῶμα, τῇ ῥοῇ διαπνεόμενον, διά τήν τῶν ἐν αὐτῷ χυμῶν, ἐξ ὧν καί συνέστηκε, φυσικήν ἀντιπάθειαν· ἀεί ἄρα, δι᾽ ὧν μετά τήν ἀνάστασιν τό σῶμα συνίστασθαι ὑποτίθενται, συντηρούμενον εἰς τό διηνεκές τόν θάνατον καταγγέλλουσι. Δέον πιστεύειν, αὐτό μέν ἀνίστασθαι κατ᾽ οὐσίαν καί εἶδος τό σῶμα, ἄφθαρτον δέ καί ἀθάνατον, καί ἀποστολικῶς εἰπεῖν, ἀντί ψυχικοῦ πνευματικόν· τῷ μηδέν φέρειν τῆς ἀλλοιωτῆς αὐτοῦ κατά τήν φθοράν συστατικῆς ἰδότητος, ὡς οἶδεν ὁ πρός τό ἀπαθές, καί τίμιον αὐτό μετακεράσων ὁ Θεός· καί μηδέν πλέον περιεργάζεσθαι.

Τούτοις χαίροντας καί ἡδομένους ὁρῶν τούς πολλούς. Ἐκωφώθην, καί ἐταπεινώθην, καί ἐσίγησα ἐξ ἀγαθῶν· λυσιτελεστέραν τοῦ λόγου

τήν σιωπήν παντί συνετῷ εἶναι κρίνας· καί κατ᾽ ἐμαυτόν πενθῶν, καί σκυθρωπάζων πορεύομαι· λογιζόμενος πόσον οἱ τοιοῦτοι λόγοι ἀμελούμενοι, πανταχοῦ σπινθήρων δίκην διάττοντες, ψυχῶν ἐργάσονται θάνατον· καί οὐδείς ἐστιν ὁ ἐπαμῦναι τῷ λόγῳ δυνάμενος, βουλόμενος κινδυνεύοντι, διά τήν ἐπικρατοῦσαν τοῦ καιροῦ πονηρίαν. Διό καί μᾶλλον στένω, τόν ἀφ᾽ ὑμῶν χωρισμόν, τήν ἐγγύθεν φρουροῦσάν με καί ἐξαιρουμένην τῶν βλαβερῶν πανσθενῆ τῆς ὑμῶν πατρικῆς ἁγιωσύνης ἐπισκοπήν οὐκ ἔχων, συχνότερον τῷ λόγῳ τά πολλά μου ἐρείδουσαν ὀλισθήματα.

***Η΄. - Τοῦ αὐτοῦ πρός τόν αὐτόν.***

Ὁ κατά σάρκα πόθος χρόνῳ μαιραίνεσθαι πέφυκε, συναπιών χωριζομένοις τοπικῶς, τοῖς κατ᾽ αὐτόν πρός ἀλλήλους ἔχουσι τήν συνάφειαν. Περί γάρ τήν αἴσθησιν ἔχειν τήν σύστασιν, τήν μηδαμῶς τῶν μή παρόντων ἀντιλαμβάνεσθαι δυναμένην. Ὁ δέ κατά πνεῦμα πόθος, ἀεί συμπαρόντας ἀλλήλοις ἔχει νοερῶς, τούς κατ᾽ αὐτόν συνημμένους, κἄν σωματικῶς ἀλλήλων χωρισθῶσι· τήν κατά χρόνον ἤ τόπον περιγραφήν οὐ δεχόμενος. Περί γάρ τόν νοῦν ἔχει τήν ὕπαρξιν, τό μηδαμῶς τοῖς σώμασιν ἀλλήλων διαιρουμένοις τοπικῶς, συνδιαιρούμενον ἤ συμπερικλειόμενον. Τοῦτον τόν πόθον ἀπ᾽ ἀρχῆς πρός τούς (441) ἁγιωτάτους ὑμᾶς ἔχειν ἀξιωθείς, ἀεί παρόντας ὁρᾷν δοκῶ, καί διαλεγομένων αἰσθάνεσθαι· καί οὐκ ἔστι καιρός ἤ τόπος, ὁ ἀφιστᾷν μέ δυνάμενος τῆς ὑμετέρας μνήμης· διά παντός ὑμᾶς παρόντας πνευματικῶς ὑποδεικνυούσης, καί πάντας τούς ἐν ἐμοί δυσώδεις λογισμούς ἀπελαύνοντας, τῆς ἐν ὑμῖν θείας χάριτος τήν πολλήν εὐωδίαν οὐ φέροντας· καί πείθομαί γε, μή ψιλῶς τήν μνήμην φαντάζεσθαι τούς ἁγιωτάτους ὑμᾶς, ἀλλά παρόντων ἀληθῶς ἐπαισθάνεσθαι· τό γινόμενον πληροφορίαν ἀκριβῆ τῆς ὑμῶν παρουσίας ποιούμενος. Ἡ γάρ ἐν ὑμῖν κατά χάριν Θεοῦ δραστήριος δύναμις, ἅμα τῇ μνήμῃ τούς διοχλοῦντας ἀπελαύνουσα δαίμονας, σαφεστάτην τῆς ὑμῶν παρουσίας παρέχεται δήλωσιν. Καί θαυμαστόν οὐδέν, εἰ τούς ἀπόντας σωματικῶς, παρεῖναι ποιεῖ νοερῶς, ὁ τῶν σημείων καί τῶν τεράτων Θεός· ὡς οἶδεν αὐτός, καί οἱ ἐξ αὐτοῦ τά τοιαῦτα θεπρεπῶς ἐνεργούμενοι· καί πλέον ἤ ὅσον τοπικῶς ἀλλήλοις τά σώματα πάρεστι. Καί εἰ μόνον μνημονευόμενοι, τίμιοι Πατέρες, τοσοῦτόν μου τοῖς ἀτίμοις ἐπιτίμιον παρέχετε λογισμοῖς, ἀοράτως φοιτῶντες τῷ πνεύματι, πόσῳ μᾶλλον κατ᾽ ὀφθαλμούς παρόντες, καί

τήν ἐμήν ἀκοήν διά ζώσης φωνῆς τοῖς θείοις καθαγιάζοντες λόγοις, καί τήν ἀρετήν τοῖς ἑαυτῶν τρόποις λαμπρῶς ἐκδιδάσκοντες;

Διά τοῦτο πενθῶν καί σκυθρωπάζων πορεύομαι, ποθῶν τε καί ζητῶν σε τόν καλόν ποιμένα καί διδάσκαλον, τόν εἰς τόπον με χλόης τό πλανώμενον πρόβατον κατασκηνοῦν ἐπιστάμενον· τήν ἀπωθομένην λέγω τόν καύσωνα τῶν παθῶν διά πράξεως ἕξιν τῆς ἀρετῆς· καί ἐπί ὕδατος ἀναπαύσεως ἐκτρέφειν δυνάμενον· τήν ἄρδουσάν φημι τόν νοῦν διά θεωρίας χάριν τῆς γνώσεως, τόν ἐπιστρέφοντά μου τήν ψυχήν ἀπό κακίας εἰς ἀρετήν θείοις καί λόγοις καί παραδείγμασι, καί ἐπί τρίβους ὁδηγοῦντα δικαιοσύνης· τούς κατ᾽ εὐσέβειαν σωτηριώδεις ὑποδεικνύοντα τρόπους· καί ῥάβδῳ καί βακτηρίᾳ σοφῶς παρακαλοῦντα, τουτέστι, τῇ μνήμῃ τῶν αἰωνίων κολάσεων, καθάπερ ῥάβδῳ τινί τόν εἰσαγόμενον κακίας ἀπάγοντα, καί τῇ προτροπῇ τῶν μελλόντων ἀγαθῶν, βακτηρίας δίκην εἰς ἀρετήν τόν προκόπτοντα δι᾽ ἐλπίδος στηρίζοντα· ὅπερ καί ὁ Κύριος καί Σωτήρ, ὡς οἶμαι, συμβολικῶς ὑπῃνίττετο, τοῖς τραύμασι τούς τοῖς λησταῖς περιπεσόντος ἐπιχέων οἶνον καί ἔλαιον. Φόβῳ γάρ τῆς γεέννης τοῦ αἰωνίου πυρός, ὁ τῆς βασιλείας τῶν οὐρανῶν πόθος ἐπικιρνώμενος, ἀλώβητον τήν ψυχήν συντηρεῖ, πρός τήν ἀγάπην ἐπισφίγγων τοῦ Κτίσαντος· πάσης ἐμπαθοῦς διανοίας διά τῆς στύψεως ἀποσμηχθεῖσαν.

Ἀλλά πλήρωσον λοιπόν, τίμιε Πάτερ, καί αὐτόν Πνεύματος θείου τῆς διδασκαλίας τόν δόνακα, (444) καί κάλει ποιμενικῶς τε καί φιλανθρώπως τόν ἐπί τά ὄρη τῆς ἀγνοίας, καί τούς βουνούς τῆς κακίας, ἀποιμάντως πλανώμενον· καί ὑπό τήν σήν ποίησον δεξιάν, καί κατάδησον συμπαθῶς τόν πολλοῖς διασπαραχθέντα δήγμασιν πονηροῖς τῶν λύκων τῆς Ἀραβίας· τουτέστι τῶν Δυσμῶν· Δυσμάς γάρ, ὥς φασι, δηλοῖ κατά τήν Ἑλλάδα φωνήν ἑρμηνευόμενον τῆς Ἀραβίας τό ὄνομα. Νοῶ δέ, καί τυχόν οὐκ ἐσφαλμένως, κατά τούς τῆς ἀναγωγῆς λόγους, διά τῆς Ἀραβίας, τήν σάρκα ταύτην, τήν τῶν θείων ἐν τοῖς κατ᾽ ἐμέ τυραννικήν νόμων τοῦ πνεύματος· τήν πολλούς, ὡς ἀληθῶς, ἀναιδεῖς τε καί ἀνημέρους λύκους ἐκτρέφουσαν· τήν ὄντως δύσιν καί γενομένην διά τήν ἁμαρτίαν, ἀληθῶς λεγομένην· ἧς ἐπιβέβηκεν, ὡς ἀγαθός καί φιλάνθρωπος, ὁ ποιμήν ὁ καλός, ὁ ποιμαίνων τόν Ἰσραήλ Θεός, καί Θεοῦ Λόγος· ὁ καθήμενος ἐπί τῶν Χερουβίμ, προσεσχηκώς δηλονότι, καί τόν κίνδυνον ἡμῶν θεασάμενος· καί διά τοῦτο ἐμφανίσας ἑαυτόν, καί τήν οἰκείαν

ἐξεγείρας δυναστείαν, καί ἐλθών ἐν σαρκί σῶσαι τούς ἀπολομένους, καί τούς ἐντρεφομένους αὐτῇ πονηρούς ἀποκτεῖναι θῆρας· καί ποιῆσαι αὐτήν χώραν εἰρήνης, καί λογικῶν προβάτων νομήν, διά πράξεως πρός Θεόν ἀναγομένων· ἧς ἐγώ τέως οὔπω τόν νόμον παρῆλθον ἀβλαβῶς διά θεωρίας πνευματικῆς, καθάπερ ὁ Ἰσραήλ τό ὄρος Σιείρ· οὐδέ τάς αὐτῆς ἀπαθῶς διῆλθον ἐπιθυμίας, διά πράξεως γνωστικῆς, ὥσπερ τούς ἀδελφούς αὐτῶν τούς υἱούς Ἡσαῦ, τούς κατοικοῦντας ἐν Ἄραβα διά Μωσέως, οἱ ἐξ Ἰακώβ τό γένος κατάγοντες ἀλλ᾽ ἔτι κατοικῶ τήν Ἄραβα κατά τούς υἱούς Ἡσαῦ, τάς δυσμάς λέγω δέ τήν σάρκα· μετά τήν παροῦσαν ζωήν, διά τάς σαρκός ἡδονάς, ἑτέραν μή ἐκδεχόμενος. Ἥν οὐδέ παροικῆσαι πᾶς ἀληθινός Ἰσραήλ καί ὁρῶν Θεόν καταδέχεται, τῆς σαρκός ἐκδημῆσαι διά τῶν ἀρετῶν ἐπειγόμενος, καί ἐνδημῆσαι πρός τόν Κύριον διά τῆς γνώσεως ἐφιέμενος· τόν ὄντως γῆν ἐπαγγελίας ἀῤῥήτων ἀγαθῶν μυστικῶς καί ὄντα καί ὠνομασμένον, τήν ῥέουσαιν γάλα καί μέλι. Θρεπτικός γάρ τῶν κατ᾽ αὐτόν νηπιαζόντων, καί εὐφραντικός ὑπάρχει τῶν κατ᾽ αὐτόν ἀνδριζομένων ὁ Κύριος, ὡς ἀρεταῖς ἐκτρέφων διά πράξεως, καθάπερ γάλακτι, τούς φοβουμένους αὐτόν, καί γνώσεσι καταγλυκαίνων μυστικαῖς, καθάπερ μέλιτι διά θεωρίας πνευματικῆς, τούς ἀγαπῶντας αὐτόν.

Τοιγαροῦν, μή διαλίπης ποιμαίνων με συμπαθῶς ἀληθείας λόγοις τόν θηριάλωτον, τίμιε Πάτερ, (445) καί τῶν ἐν σαρκί παθῶν μετά τῶν ἀνακινούντων αὐτά πνευμάτων τῆς πονηρίας, μή παύσῃ λυτρούμενος, τῶν κακῶν κατεσθιόντων καί δαπανώντων μου τόν ἐντός ἄνθρωπον· καί κάλεσον πρός ἑαυτόν, καί ὑπό τάς σάς κατασκήνωσον πτέρυγας. εἴπερ ἀληθῶς ἄπεστι, πᾶς φόβος Βαρβάρων αἰσθητῶν, δι᾽ οὕς τοσαῦτα διαστήματα θαλάσσης, ὡς φιλόζωος, ἦλθον· περί οὗ μάλιστα παρακαλῶ τούς ἁγιωτάτους ὑμᾶς, μετά τήν εὐκταίαν σημείωσιν τῆς κατά Θεόν παμφαοῦς ὑμῶν ῥώσεως, ἀκριβέστερον δηλῶσαι· καί πᾶσαν τήν κρατοῦσαν ἐπί τοῦ παρόντος αὐτόθι κατάστασιν, ὡς ἔστι, παραδεῖξαί μοι διά γραμμάτων. Ἀσθενής γάρ ὤν τόν λογισμόν καί πάνυ σαθρός, καί μόλις κἄν ἐν εἰρήνῃ νήφειν μικρομερῶς δυνάμενος, καί περί πολλά σκεδαννύμενον ἐκ δειλίας συνάγειν τόν νοῦν, θέλω σύν ἀσφαλείᾳ ποιήσασθαι τόν πλοῦν· ὡς ἀτελής τήν διάνοιαν, καί τοῖς λόγοις τῆς σοφῶς τό πᾶν διεξαγούσης προνοίας ἐμβατεύειν οὐχ οἷός τε ὤν· μή πως ἐν τοῖς συμβαίνουσιν ἐξ ἀγνοίας ὀκλάσας τόν λογισμόν, καί τοῖς τῆς

ὑπομονῆς ἐξ ἀσθενείας ἐνδούς ἀγῶσι, τούς ἐξ αὐτῶν ζημιωθῶ στεφάνους, ὡς λειποτάκτης ἐν τῇ πείρᾳ τῶν δεόντων γενόμενος. Διά τοῦ γράμματος ὡς παρών ἀσπάζομαι τούς ἁγιωτάτους ὑμᾶς, καί πάντας τούς σύν ὑμῖν· αἰτῶν διά τῶν ἁγίων καί εὐπροσδέκτων ὑμῶν εὐχῶν, Χριστῷ τῷ Θεῷ καί Σωτῆρι τῶν ὅλων παρατεθῆναι.

***Θ΄. - Τοῦ αὐτοῦ πρός Θαλλάσιον πρεσβύτερον καί ἡγούμενον.***

Τρία, καλῶς φασιν, ὑπάρχουσι, τά τόν ἄνθρωπον ἄγοντα· μᾶλλον δέ πρό ἅ βουλήσει τε καί γνώμῃ κατά προαίρεσιν κινεῖται ὁ ἄνθρωπος· Θεός, καί φύσις, καί κόσμος. Καί τούτων ἕκαστον ἕλκον, τῶν ἄλλων δύο ἐξίστησι, πρός ἑαυτό ἀλλοιοῦν τόν ἀγόμενον· κἀκεῖνο ποιοῦν αὐτόν θέσει, ὅπερ αὐτό ὑπάρχον φύσει γνωρίζεται, πλήν μέντοι τῆς φύσεως. Ἐκείνη γάρ, τοῦθ᾿ ὅπερ ἐστί διαφυλάττει τόν ἄνθρωπον, θεόν ποιεῖν θέσει πέφυκε, θέωσιν ὡς ἀγαθός ὑπέρ φύσιν τῷ ἀγομένῳ δωρούμενος· καί τῶν δύο καθαρῶς ἀποτέμνει, κόσμου λέγω καί φύσεως. Εἰ δέ φύσις ἐστίν ἡ ἄγουσα τόν ἄνθρωπον, καθ᾿ ἑαυτόν ὄντα, φύσει τόν ἄνθρωπον διαδείκνυσι· μέσον Θεοῦ καί κόσμου τυγχάνουσα· ὡς οὐδετέρου τούτων κατά γνώμην μετέχοντα. Εἰ δέ κόσμος ἐστίν ὁ φέρων, κτῆνος ἐργάζεται, ἤτοι σάρκα μόνην τόν ἀγόμενον ἄνθρωπον· ἐμπάθειαν αὐτῷ δ᾿ ἀπάτης δημιουργῶν· καθ᾿ ἡν Θεοῦ τε καί φύσεως μακράν αὐτόν ἀποθέμενος, τά παρά φύσιν πάντα ποιεῖν αὐτόν ἐκδιδάσκει.

Αἱ οὖν ἀκρότητες, Θεόν δέ φημι καί κόσμον, ἀλλήλων καί τῆς μεσότητος, λέγω δέ τήν φύσιν, ἀπάγειν τόν ἄνθρωπον εἰώθασιν. Ἡ δέ μεσότης, τούτων (448) οὖσα μεθόριος, εἰ αὐτήν μόνην σκοποῦντα λάβοι τόν ἄνθρωπον, ἐπίσης τῶν ἄκρων κινηθῇ διίστησιν· οὔτε πρός τόν Θεόν αὐτόν ἀναδραμεῖν συγχωροῦσα, καί πρός τόν κόσμον ἀφιέναι καταπεσεῖν αἰδουμένη. Ἅμα τοίνυν πρός τινα τούτων κοινηθῇ κατά γνώμην ἐνδιαθέτως ὁ ἄνθρωπος, ἅμα πρός αὐτόν ἐκεῖνον καί τήν ἐνέργειαν ἤμειψε, καί τήν προσηγορίαν μετάβαλε, σαρκικός, ἤ ψυχικός, ἤ πνευματικός προσαγορευόμενος. Ἔργον δέ καί γνώρισμα τοῦ μέν σαρκικοῦ, τό κακῶς μόνον εἰδέναι ποιεῖν. Τοῦ δέ ψυχικοῦ, τό μήτε ποιεῖν βούλεσθαί ποτε, μήτε πάσχειν κακῶς. Τοῦ δέ πνευματικοῦ, τό ποιεῖν μόνον καλῶς βούλεσθαι, καί ὑπέρ ἀρετῆς εἰ συμβαίνει πάσχειν καλῶς, προθύμως καταδέχεσθαι. Εἰ τοίνυν Πνεύματι Θεοῦ ἄγεσθαι ποθεῖς, εὐλογημένε, ὥσπερ οὖν καί ποθεῖς, κόσμον καί φύσιν σαυτοῦ περίελε· μᾶλλον δέ τούτων σαυτόν

περίτεμε, καί ἀδικεῖσθαι μή παραιτήσῃ· ἐμπαιγμούς τε καί ὕβρεις φέρειν μή ἀπαναίνου· καί ἵνα συνελών εἴπω, πάσχων κακῶς, τοῦ ποιεῖν καλῶς τοῖς δρῶσι κακῶς, καί πάντα προσαφιέναι τά δρώμενα, θεοῦ χάριν καί ἀρετῆς, μή παύσῃ ποτέ, κατά τόν εἰπόντα· Ἐάν τις θέλῃ σοι κριθῆναι, καί τόν χιτῶνά σου λαβεῖν, ἄφες αὐτῷ καί τό ἱμάτιον. Καί πάλιν κατά τόν μακάριον Ἀπόστολον λέγοντα· Λοιδορούμενοι, εὐλογοῦμεν· διωκόμενοι, ἀνεχόμεθα· βλασφημούμενοι, παρακαλοῦμεν.

Λοιπόν εἰ πεισθῆναί μοι βούλοιο, δοῦλε τοῦ θεοῦ εὐλογημένε, μεγάλην κατάθου χάριν τοῖς θλίψασι· καί προσζημιωθῆναι αὐτοῖς εἰ δέον ἐστί πάντα, μή ἀνανεύσῃς· καί μᾶλλον εὐλόγησον λοιδορούμενος· καί ἀνάσχου διωκόμενος, καί παρακέλεσον βλασφημούμενος, ἵνα μή ᾖς σαρκικός, ὡς ἀδικεῖν μόνον καί εἰδώς καί βουλόμενος· ἤ ψυχικός, ὡς ἀδικεῖσθαι μή ἀνεχόμενος· ἀλλά μᾶλλον πνευματικός, τό εὖ ποεῖν μόνον ἑκουσίως καί εἰδώς καί ἀσκούμενος· καί πάσχειν κακῶς παρά τῶν βουλομένων προθύμως ὑπέρ ἀρετῆς ἐπιστάμενος· ἀφορῶν πρός τόν τῆς σωτηρίας ἡμῶν ἀρχηγόν Ἰησοῦν· ὅς ἀντί πάντων τῶν ἀγαθῶν, ὅσα οὐδέπω τις γνώσει περιλαβεῖν δεδύνηται, πάντα τά δεινά, ὅσα οὐδείς ὑπό τῶν ἁμαρτωλῶν, καί ὑπέρ τῶν ἁμαρτωλῶν μακροθύμως ὑπέμεινε. Σκοπός γάρ τῷ δοτῆρι τῶν ἐντολῶν, κόσμου καί φύσεως ἐλευθερῶσαι τόν ἄνθρωπον. Καί διά τοῦτο κατάκριτος, ὁ μή πειθόμενος· καί μάτην οἱ κατά κόσμον πατέρες τά ἔκγονα προφασίζονται, καί τάς συνοδίας τῶν τόν μονήρη βίον ἀσκουμένων οἱ προϊστάμενοι, πρός τό δεῖν εὐλόγως αὐτοῖς ἀργάς εἶναι τάς ἐντολάς. Ὅπερ ὡς ἀληθές εἰ δεξοίμεθα, οὐδενί τό παράπαν ὁ Κύριος γεγραφώς νόμον σωτηρίας δειχθήσεται. Ψυχικόν δέ, καθώς οἶμαι, τόν φυσικόν ὁ τῆς Γραφῆς λόγος ἐκάλεσεν ἄνθρωπον· ἐπειδή περί μόνα, καθώς φασιν οἱ τά τοιαῦτα δεινοί, τά ψυχούμενα, καί ἁπλῶς τά ὑπό γένεσιν καί φθοράν, ἡ τῆς φύσεως θεωρεῖσθαι πέφυκε ἰδιότης. Ταῦτα δέ γέγραφα ὑμῖν, δέσποτα, ἐπειδή πολύ (449) διά τοῦ ὑμετέρου παραναγνωστικοῦ δυσχεραίνοντας ὑμᾶς εὗρον πρός τά συμβάντα. Ἀλλ᾽ εὔχου δυνατῶς, ὡς δυνατός πρός τόν δυνατόν ἀφιέναι ἁμαρτίας, ὑπέρ Μαξίμου τοῦ σοῦ καί δούλου καί μαθητοῦ, τίμιε Πάτερ.

***Ι΄- Τοῦ αὐτοῦ πρός Ἰωάννην κουβικουλάριον.***

Ἐπειδή τήν αἰτίαν δι᾽ ἥν ὑπ᾽ ἀνθρώπων βασιλεύεσθαι ψηφισάμενος ὁ Θεός ἐδικαίωσε, μιᾶς καί τῆς αὐτῆς πάντων ὑπαρχούσης τῆς φύσεως, καί πάντας τῷ κατ᾽ αὐτήν ἁπλῷ λόγῳ τούς μετέχοντας αὐτῆς ὁμοτίμως ἀποφαινούσης, γραφῆναι ὑμῖν ἐκελεύσατε, ἐρῶ κατά τήν ἐμήν δύναμιν, μηδέν ἀποκρυπτόμενος, ὧν παρά σοφῶν καί μακαρίων ἀνδρῶν παρέλαβον· τά πολλά περικόπτων ὅσα ῥηθῆναι περί τούτου διά τό σύντομον ἐνδέχεται. Λόγος ἀληθής, ὥς φασι, μυστικῶς ὑπαγορεύει, τόν δεσπόζειν κατά χάριν τοῦ πεποιηκότος αὐτόν Θεοῦ, παντός τοῦ ὁρωμένου κόσμου λαχόντα ἄνθρωπον, διά τοῦ κατά παράχρησιν τρόπου, τῶν ἐμφύτων δυνάμεων τῆς ἐν αὐτῷ νοερᾶς οὐσίας, πρός τά παρά φύσιν τρέψαντα τάς κινήσεις, ἑαυτῷ τε καί τῷ παντί τούτῳ κόσμῳ, τήν κρατοῦσαν νῦν αὐτῶν ἀλλοίωσιν καί φθοράν, κατά κρίσιν εἰσενέγκασθαι τοῦ Θεοῦ δικαίαν· ἵνα μή πρός τά παρά φύσιν ἀθάνατος ἐπ᾽ ἄπειρον ἡ τῆς ψυχῆς δύναμις αὐτῷ κινουμένῳ φυλάττοιτο· ὅπερ ἐστίν οὐ μόνον κακίας τό ἔσχατον, καί τῆς αὐτοῦ τοῦ ἀνθρώπου ἀληθοῦ ὀντότης ἀρίδηλος ἔκπτωσις, ἀλλά καί σαφής τῆς θείας ἀγαθότητος ἄρνησις.

Διά τοῦτο ὁ πολύμοχθος οὗτος, καί πολυστένακτος τῶν ἀνθρώπων βίος, διά τῆς πολλῆς ἀλογίας καί ἀταξίας τῆς αὐτόν τιθηνούσης ὕλης, ἄλλο τε ἄλλως φέρων τε καί φερόμενος· καί ἀκριβέστερον εἰπεῖν, ἐν τῷ φέρεσθαι φέρων πάντας ἀνθρώπους, τῶν ἐν αὐτῷ δεινῶν μετόχους πάντας καθίστησι· καί οὐδένα παντελῶς ἀφίησι τῆς αὐτοῦ ταραχῆς ἐλεύθερον. Καί τοῦτο κατά τόν πρέποντα τῆς τοῦ Θεοῦ σοφίας διετυπώθη λόγον, ἵνα τόν παρόντα βίον παραλόγως κατά διάθεσον ὑφ᾽ ἡμῶν ἀγαπώμενον, κἄν ὀψέ ποτε τῷ πάσχειν ὑπ᾽ αὐτοῦ κακῶς κατά περίστασιν, ὅσον βλάπτειν οἶδεν ἡ πρός αὐτόν φιλίαν μεταμαθόντες, γνῶμεν ὅτι πολύ τῆς πρός αὐτόν ἑνώσεως ὁ χωρισμός ἐστιν ἡμῖν χρησιμώτερος· καί τό πρός αὐτόν μῖσος, κατά λόγον ἐνδίκως κυρώσωμεν · καί φυγόντες τήν τῶν ὁρωμένων φύρσιν καί ταραχήν, πρός τήν τῶν νοουμένων εὐσταθῆ ταυτότητα σωφρόνως τόν πόθον μεταθώμαθα.

(452) Ἀλλ᾽ ἐπειδή καί μαστιζόμενοι, καί μυρία πάσχοντες δεινά, τῆς πρός αὐτόν φιλίας τόν δεσμόν λύειν οὐκ ἀνεχόμεθα, κατά πρόνοιαν ὡς σοφός καί ἀγαθός, τόν τῆς βασιλείας τοῖς ἀνθρώποις ὁ Θεός διετύπωσε νόμον· τήν προγνωσθεῖσαν διά τήν ἄνεσιν ἔσεσθαι κατά τόν βίον πολλήν τῆς κακίας λύσσαν ἀναστέλλων πόῤῥωθεν· ἵνα μή γένωνται κατά τούς ἰχθύας τῆς θαλάσσης, ἀλλήλων οἱ ἄνθρωποι

παραναλώματα· μηδενός ἐπιστατοῦντος, καί τήν ἄδικον τοῦ δυνατωτέρου κατά τοῦ ὑποβεβηκότος ὁρμήν κωλύοντος. Διά τοῦτο, κατά τό εἰκός, ὡς οἶμαι, βασιλεία τῶν ἀνθρώπων τῷ γένει ἀναγκαίως ἐπεισήχθη· σοφίαν παρά Θεοῦ λαβοῦσα, καί δυναστείαν· καί ἡ ὁμότιμος φύσις εἰς τό ἄρχειν καί ἄρχεσθαι μερισθῆναι συνεχωρήθη. Ὅπως τῇ μέν, τάσσῃ τούς νομίμως τοῖς θεσμοῖς τῆς φύσεως πειθομένοις· τῇ δέ, κολάζῃ δικαίως τούς εἴκειν τούτοις δι᾽ αὐθάδειαν γνώμης μή βουλομένους· καί τήν δικαιοσύνην ἐντεῦθεν πᾶσι χαρίζηται, πόθῳ καί φόβῳ βραβευομένην· δι᾽ ἧς τό ἀνώμαλον τῆς τοῦ καθ᾽ ἕκαστον γνώμης ἀπογενόμενον, τό ἐν πᾶσι τῆς φύσεως ἴσον γαληνόν τε καί ἥμερον λαμπρῶς διαδείκνυται. Ὅπερ οὐκ ἄν ἐγεγόνει ποτέ, μή τοῦ φόβου κολάζοντος τήν ἄφρονα τῶν πολλῶν πρός ἀτοπίαν ὁρμήν, καί βίᾳ πρός τῶν σωφρόνων δι᾽ ἀπειλῆς ἄγοντες γαληνότητα. Ὅ γάρ πέφυκε λόγος τούς σώφρονας πείθειν ἑκουσίως ἀσπάζεσθαι, τοῦτο στέργειν ὁ φόβος τούς ἄφρονας εἴωθεν ἀκουσίως βιάζεσθαι.

Διά ταύτην ἐγώ τήν αἰτίαν τῷ βίῳ τῶν ἀνθρώπων παρεισελθεῖν τήν βασιλείαν συγχωρηθῆναι μεμάθηκα, καί ἀποδέχομαι τόν λόγον ὡς ἀληθῆ, καί τῆς αἰτίας διδάσκαλον. Εἰ δέ τις καί ἕτερος ταύτης λόγος καθέστηκεν εἴτιος κατά τήν θείαν Γραφήν, τοῦτον εἶναι μόνοις ἡγοῦμαι ληπτόν τοῖς καθαροῖς τήν διάνοιαν. Πλήν δι᾽ ὅμως, οὐδ᾽ οὗτος τοῦ σκοποῦ τῆς θείας ὁλοσχερῶς ἀπᾴδει Γραφῆς. Κἀκείνη γάρ παραιτησαμένοις ἀνθρώποις τήν τοῦ Θεοῦ βασιλείαν, συγχωροῦντα τόν Θεόν ἀφηγεῖται, κἄν ὑφ᾽ ἑαυτῶν βασιλεύεσθαι· ἵνα μή τό ἄτακτον τῆς ἀναρχίας πολυαρχίαν ἐργάσηται καί στάσιν φθοροποιόν ἐντεῦθεν τῷ παντί γένει τῶν ἀνθρώπων ἐνεργάσηται, μηδενός τήν αὐτῶν ἐπιμέλειαν κατά θείαν ψῆφον πεπιστευομένου· καί λόγῳ μέν τάσσοντος τούς διά λόγου παιδαγωγουμένους πρός ἡμερότητα· δυναστείας δέ φόβῳ κολάζοντος, τούς τήν πονηρίαν τεκταίνοντας· καί τό ἔμφυτον τῆς γνώσεως ἀγαθόν γνωμικῶς τοῖς παρά φύσιν τρόποις ἐφ’ ἑαυτῶν διαφθείροντας.

Ὅστις οὖν βασιλέων, τοῦτον οὕτω φυλάξαι τόν νόμον τῆς βασιλείας ἐσπούδασε, Θεοῦ δεύτερος ἐπί γῆς ἀληθῶς ἀναπέφανται, ὡς θείας βουλῆς πιστότατος γενόμενος ὑπουργός, καί τό βασιλεύεσθαι ὑπό Θεοῦ, βασιλεύειν ἀνθρώπων δικαίως λαχών. Ὅστις δέ τοῦτον παρωσάμενος τόν θεσμόν, ἑαυτῷ βασιλεύειν πάντως διέγνω, καί οὐ Θεῷ, τἀναντία τούτοις εἰκότως ἐργάσηται· τυραννικῶς

μέν ἑαυτοῦ (453) τούς ἀγαθούς ἐκτινάσσων, καί πάσης πόῤῥω τιθέμενος βουλῆς καί δυναστείας· νεωτερικῶς δέ τούς πονηρούς ἐπισπώμενος, καί πάσης αὐτούς κυρίους τῆς αὐτοῦ καθιστῶν ἐξουσίας· ὅπερ ἐστί τῶν κρατούντων τε καί κρατουμένων ἔσχατον ἀπωλείας βάραθρον. Ἡμῖν δέ δοίη Θεός ἑκουσίως ὑπ᾽ αὐτοῦ βασιλεύεσθαι, διά τῆς ἐκπληρώσεως τῶν ζωοποιῶν αὐτοῦ ἐντολῶν· καί τούς κατ᾽ αὐτόν ἐπί γῆς βασιλεύοντας, ἀξίως τιμᾷν, ὡς φύλακας τῶν αὐτοῦ θείων διαταγμάτων.

***ΙΑ΄. - Τοῦ αὐτοῦ πρός ἡγουμένην, περί ἀσκητρίας ἐξελθούσης τῆς μονῆς, καί μετανοησάσης.***

Οἱ τῆς ἀληθείας κήρυκες, καί τῆς θείας χάριτος γενόμενοι λειτουργοί, ὅσοι ἐξ ἀρχῆς μέχρις ἡμῶν κατά τούς ἑαυτῶν καιρούς ἕκαστος τό σωτήριον ἡμῖν τοῦ Θεοῦ διεσάφησαν θέλημα, φασί, μηδέ οὕτω Θεῷ εἶναι φίλον τε καί ἐράσμιον, ὡς ἡ ἐκ μετανοίας ἀληθοῦς ἐπ᾽ αὐτόν τῶν ἀνθρώπων ἐπιστροφή. Ὅπερ μάλιστα τῶν ἄλλων θειότερον ὑπάρχον δεῖξαι βουλόμενος ὁ θεαρχικός τοῦ Θεοῦ καί Πατρός Λόγος· μᾶλλον δέ καί πρῶτον καί μόνον τῆς ἀπείρου ἀγαθότητος γνώρισμα, κατά τινα ἄῤῥητον συγκαταβάσεως τρόπον, διά σαρκός ἡμῖν ὁμιλῆσαι ἠξίωσεν, ἐκεῖνα καί δράσας καί παθών καί εἰπών, δι᾽ ὧν ἔδει ἡμᾶς, ἐχθρούς ὄντας καί πολεμίους καταλλαγῆναι τῷ Θεῷ καί Πατρί, καί τῆς μακαρίας ζωῆς ξενωθέντας, πρός αὐτήν πάλιν ἐπαναχθῆναι. Οὐ μόνον γάρ τοῖς θαύμασι τάς νόσους ἡμῶν ἰάσατο, καί διά παθημάτων τάς ἀσθενείας ἀναλαβών, καί διά θανάτου ἀποδούς ὡς ὑπεύθυνος ὁ ἀναμάρτητος τό ἡμέτερον ὄφλημα τῶν πολλῶν καί φοβερῶν ἡμᾶς ἠλευθέρωσεν ἐγκλημάτων· ἀλλά καί πολυτρόπως διδάσκων, ἴσους ἑαυτῷ γενέσθαι κατά τήν φιλάνθρωπον ἕξιν, καί τήν εἰς ἀλλήλους τελείαν ἀγάπην, βουλομένους βεβούληται. Διά τοι τοῦτο, Οὐκ ἦλθον καλέσαι δικαίους, ἐβόα, ἀλλά ἁμαρτωλούς εἰς μετάνοιαν. Καί, Οὐ χρείαν ἔχουσιν οἱ ἰσχύοντες ἰατροῦ, ἀλλ᾽ οἱ κακῶς ἔχοντες. Καί, Ζητῆσαι, καί σῶσαι τό ἀπολωλός, ἐληλυθέναι. Καί, Πρός τά πρόβατα, τά ἀπολωλότα οἴκου Ἰσραήλ ἀπεστάλθαι. Καί τήν βασιλικήν ἀνασώσασθαι εἰκόνα, ὑπό τήν δυσωδεστάτην τῶν παθῶν κόπρον γεγενημένην παραγεγονέναι, διά τῆς δραχμῆς παραβολικῶς παρῃνίξατο. Καί, Ἀμήν λέγω ὑμῖν ὅτι χαρά γίνεται ἐν οὐρανῷ καί ἐπί γῆς, ἐπί ἑνί ἁμαρτωλῷ μετανοοῦντι. Διά τοῦτο τόν λησταῖς περιπεσόντα, καί γυμνωθέντα πάσης περιβολῆς, καί ταῖς

πληγαῖς ἡμιθανῆ γεγενημένον, οἴνῳ καί ἐλαίῳ καί καταδέσμοις ἀνέῤῥωσε· καί ἐπί τό ἴδιον κτῆνος ἀναβιβάσας, τῷ πανδοχεῖ παρατίθεται· καί τά πρός ἐπιμέλειαν ἀρκοῦντα δούς, ἐπηγγείλατο καί τά προσδαπανώμενα δώσειν ἐπανερχόμενος. Διά τοῦτο πρός τήν ἐπιστροφήν τοῦ ἀσώτου υἱοῦ τόν πανάγαθον πατέρα ἐπικλιθῆναί φησι, καί ἀσπασάμενον (456) τόν αὐτόν διά τῆςμετανοίας ἀνδραμόντα, τῷ κάλλει τῆς πατρικῆς πάλιν κατακοσμῆσαι δόξης, οὐδοτιοῦν περί τῶν προτέρων μεμψάμενον. Διά τοῦτο τό τῆς θείας ἑκατοντάδος ἀποφοιτῆσαν πρόβατον, ἐπί τά ὄρη καί τούς βουνούς πλανώμενον εὑρών, οὐκ ἐλαύνων, οὐδέ μόχθῳ κατατρίβων πρός τήν μάνδραν ἐπανήγαγε τῶν προβάτων· ἀλλά τῶν ὤμων ἐπιθείς τῶν ἰδίων, πρός τά σύννομα συμπαθῶς διεσώσατο. Διά τοῦτο, Δεῦτε πρός με, πάντες οἱ κοπιῶντες καί πεφορτισμένοι τῇ καρδίᾳ, κἀγώ ἀναπαύσω ὑμᾶς, ἀνέκραγε. Καί, Ἄρατε τόν ζυγόν μου ἐφ᾽ ὑμᾶς· ζυγόν δέ λέγων, τάς ἐντολάς· ἤγουν τόν εὐαγγελικῶς εὐθυνόμενον βίον· φορτίον δέ, τό δοκοῦν εἶναι τῆς μετανοίας ἐπίπονον· Ὁ γάρ ζυγός μου, φησί, χρηστός καί τό φορτίον μου ἐλαφρόν. Καί πάλιν θείαν δικαιοσύνην καί ἀγαθότητα διδάσκων, παρακελεύεται λέγων· Γίνεσθε ἅγιοι· καί γίνεσθε τέλειοι· γίνεσθε ἐλεήμονες· γίνεσθε οἰκτίρμονες, ὡς ὁ Πατήρ ὑμῶν ὁ οὐράνιος. Καί, Ἄφετε , καί ἀφεθήσεται ὑμῖν. Καί, Ὅσα θέλετε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, ὁμοίως καί ὑμεῖς ποιεῖτε αὐτοῖς. Καί τά τοιαῦτα. Καί ἁπλῶς, ἵνα μή καθ᾽ ἕκαστον λέγων μηκύνω τήν ἐπιστολήν, διά τοῦτο πόρνας δικαιοῖ μετανοούσας, τελώνας τε προσδέχεται ἐπιστρέφοντας, καί τοῦ Εὐαγγελίου καθίστησι κήρυκας. Διά τοῦτο λῃστάς ὁμολογοῦντας, καί τῷ θανάτῳ ὠνουμένους τήν σωτηρίαν, διά τό φόβον συνεπάγεται, καί εἰς τόν παράδεισον ἑαυτῷ συνεισάγει, τῶν μελλόντων ἀγαθῶν πιστούμενος τάς ἐπαγγελίας. Διά τοῦτο διώκτας μαινομένους, σωφρονίζει, διά τόν ζῆλον, καί ἐθνῶν ἀποστόλους ἀνθ᾽ ἑαυτοῦ χειροτονήσας, προβάλλεται· ἵνα ἡμεῖς μάθωμεν φιλανθρωπίαν καί ἡμερότητα· καί μήτε ῥᾳδίως ἑαυτῶν ἀπογινώσκωμεν ἁμαρτάνοντες, καί πρός τούς ἁμαρτάνοντας μή μένωμεν ἀσυμπαθεῖς καί ἀνάλγητοι· Θεόν ἔχοντες τῶν γινομένων παράδειγμα.

Ἐπειδή οὖν ταῦθ᾽ οὕτως ἐπ᾽ αὐτῆς ἔχειν τῆς ἀληθείας, καί θέλημα Θεοῦ ὑπάρχειν τό πάντας ἀνθρώπους σωθῆναι, καί εἰς ἐπίγνωσιν ἐλθεῖν ἀληθείας, ἐδιδάχθημεν· καί τῆς πρός ἡμᾶς αὐτοῦ θαυμαστῆς διά σαρκός ἐπιδημίας ἀρχήν καί ὑπόθεσιν μόνην τήν ἡμῶν σωτηρίαν

εἶναι μεμνήμεθα· θαῤῥῶν αἰτῶ τήν ὑμετέραν ἁγιωσύνην, αὐτά σοι τά ζωοποιά παθήματα τοῦ Θεοῦ καί Σωτῆρος ἡμῶν Χριστοῦ, οἷς ἐλυτρώθημεν τῆς ἐξουσίας τοῦ σκότους, ἀνθ᾽ ἱκετηρίας προβαλλόμενος. Πιστεύω γέ σε γνησίαν οὖσαν μαθῆτιν τοῦ Υἱοῦ τοῦ Θεοῦ, διά πάσης τῆς τοῦ βίου ἀγωγῆς, ζῶντα καί ἔμπρακτον ἐν ἑαυτῇ φέρειν τόν διδάσκαλον, ἅτε δή ἐκ παιδός δι᾽ ὅλου αὐτῷ προσχωρήσασαν· ἵνα καί δι᾽ ἐμοῦ μεσίτου τοῦ ταπεινοῦ (457) καί ἁμαρτωλοῦ, καί μηδέν ἔχοντος τῆς σῆς ἀρετῆς ἐπάξιον, τιμήσῃς τήν ὑπέρ ὑμῶν αὐτοῦ φιλάνθρωπον κένωσιν, καί προσδέξῃ μετανοοῦσαν, καί τοῖς δάκρυσιν ἐκτακεῖσαν τήνδε τήν ἀδελφήν. Πολλή γάρ ἐστι καί ἄφατος ἡ συντριβή τῆς καρδίας αὐτῆς, καί τοῦ πνεύματος ἡ ταπείνωσις, ἐπί τε τῇ ἁμαρτίᾳ ᾗ πέπραχε, καί τῷ ἀφ᾽ ὑμῶν χωρισμῷ, ὅν πένθοθεν. Μή οὖν ἐξουδενώσῃς, δούλη Θεοῦ εὐλογημένην, καρδίαν συντετριμμένην καί τεταπεινωμένην, ἥν ὁ Θεός οὐκ ἐξουδένωσεν· ἀλλ᾽ οἰκτίρμων καί ἐλεήμων, εὔσπλαχνός τε καί συμπαθής γενομένη, μίμησαι τόν δι᾽ ἡμᾶς ἑκουσίως ὑπέρ φιλανθρωπίας ἀποθανεῖν καταδεξάμενον· καί προσδέξασθαι αὐτήν καί ἀσπάσασθαι ἀξίωσον, καί κυρῶσαι πρός αὐτήν ἀγάπην ἀνάσχου. Καί στήριξον αὐτήν λόγοις καί ἔργοις φιλανθρωπίας καί ἡμερότητος, καί ἅρπασον τῶν χειρῶν τοῦ τυράννου, καί τά γενόμενα αὐτῇ συντρίμματα κατάδησον συμπαθῶς· ἵνα μή πολύ καταβαρηθεῖσα τῇ λύπῃ, τῷ τῆς ἀπογνώσεως ἐμπαρῇ σκόλοπι· καί ἀπαιτηθῶμεν αἷμα ψυχῆς ἐξ ἡμῶν παραφθείσης· ἤ τόγε ἀληθέστερον εἰπεῖν, προδοθείσης τῷ ἐχθρῷ τῆς ζωῆς ἡμῶν, πρός τό ἔχειν ὑφήνιον εἰς ὅπερ ἄν καί βούλεται· ἥν ἔδει ζῇν διά τῆς ἡμῶν μακροθυμίας καί ἠπιότητος· καί ἐγκληθῶμεν δικαίως, ὡς τῶν θείων ἀμελήσαντες καί θελημάτων καί παθημάτων. Ὁμοίως γάρ, κἄν εἰ σκληρός ὁ λόγος, ἀλλ’ οὖν ἀληθής, τό ἀγαθόν τοῦ Θεοῦ ἀτιμάζουσι θέλημα, καί τήν ὑπέρ ἡμῶν αὐτοῦ φιλάνθρωπον κένωσιν ἐξουδενοῦσιν, ὅσον τό ἐπ᾽ αὐτοῖς, οἵ τε μετανοεῖν οὐκ ἐθέλοντες, καί τούς μετανοοῦντας μή προσδεχόμενοι· ὅτι ἀλλήλων ὀφείλοντες οἰκειοῦσθαι τάς συμφοράς, διά τήν ὁμοτιμίαν τῆς φύσεως· οὐδ᾽ αὐτήν τήν περί ἡμᾶς τοῦ Θεοῦ ἀγαθότητα αἰδεσθέντες· εἰ μή τι ἄλλο περί τό ὁμόφυλον μιμησάμενοι, διεδείχθημεν.

Ὡς οὖν γινώσκουσα, δούλη τοῦ Θεοῦ εὐλογημένη, ὅτι ταῖς τῶν ψυχῶν ἡμῶν διαθέσεσιν ἡ θεία δεόντως ἐφαρμόζεται δικαιοσύνη, τοιαύτη ἡμῖν γινομένη, οἵους ἀλλήλοις ἑαυτούς πεποιήμεθα· καί

τοιοῦτον ἡμῖν αὐτοῖς τόν Θεόν καθιστῶσα, οἵους θάσαντες τοῖς ὁμοιοπαθέσιν ἑαυτούς διεθήκαμεν, μή ἀναβάλῃ προσδέξασθαι ὑπτίαις χερσί τήν σήν ἱκέτην καί δούλην· ἀλλ᾽ ἀμελλητί θεομιμήτως διά πάσης σπουδῆς ἐπίθες τοῖς ὤμοις τό πρόβατον, καί πρός τήν ἀσφαλῆ μάνδραν συγκόμισον, καί τοῖς λύκοις ἀνάλωτον πρός τό ἑξῆς διαφύλαξον· ἵνα καί αὐτή τοιούτου τύχοις τοῦ φιλανθρώπου Θεοῦ καί Σωτῆρος Χριστοῦ καί κριτοῦ τῶν ὅλων, κατά τήν αὐτοῦ φοβεράν καί ὑπερένδοξον ἐπιφάνειαν, ἀποδώσοντός σοι ὧν ἔσπειρας τούς αἰωνίου καρπούς. Οὗ καί ἡμεῖς τύχοιμεν ἵλεω τῇ αὐτοῦ χάριτι καί φιλανθρωπίᾳ· εὐχαῖς καί πρεσβείαις τῆς Δεσποίνης ἡμῶν, τῆς πανενδόξου Θεοτόκου, καί πάντων τῶν ἁγίων αὐτοῦ. Ἀμήν.

***(460) ΙΒ΄. - Τοῦ αὐτοῦ, πρός Ἰωάννην κουβικουλάριον, Περί τῶν ὀρθῶν τῆς Ἐκκλησίας τοῦ Θεοῦ δογμάτων· καί κατά Σευήρου τοῦ αἱρετικοῦ.***

Καλῶς ἔχειν λογισάμενος, μηδέν ὑμῖν τῶν εἰς ἐμέ ἐρχομένων περί ὑμῶν αὐτῶν, θεοφύλακτοι, ἀναγγεῖλαι ὑποστείλασθαι· τοῦτο γάρ κελεύει ὁ ἡμέτερος τῆς ἀληθοῦς ἀγάπης νόμος καί νομοθέτης καί αὐτοαγάπη Χριστός· δι᾽ ἑαυτῶν ἀλλήλους ἡμᾶς οἰκειοῦσθαι διδάσκων· τό παρόν τῆς ἐπιστολῆς γράμμα πεποίημαι· δηλῶν, ὡς κατά τόν Νοέμβριον μῆνα τῆς ἐνεστώσης πεντεκαιδεκάτης ἐπινεμήσεως, κατέλαβε τά ἐνταῦθα Θεόδωρός τις τοὔνομα καγκελλάριος· εὐγενής ὄντως, καί τρόπων ἐλευθερίας οὐκ ἀμοιρῶν, ὡς ἐμέ γε ἐκ τῶν ὁρωμένων στοχάσασθαι δυνατόν, γράμμα ἐπιφερόμενος παρά τῆς κοινῆς ἡμῶν δεσποίνης τῆς θεοφυλάκτου Πατρικίας, ὡς ἔλεγε κεχαραγμένον, πρός τόν εὐλογημένον δοῦλον τοῦ Θεοῦ, τόν ἐνταῦθα πανεύφημον ἔπαρχον· χάριν τοῦ ἀπολυθῆναι τάς οἰκούσας ἐνταῦθα μοναζούσας· τῆς τε μονῆς τῆς ἀμμᾶς Ἰωαννίας, τῆς ἀπό Ἀλεξανδρείας, καί τῆς ἐπιλεγόμενης μονῆς τῶν Σακερδῶτος, τῆς Σευήρου οὔσας αἱρέσεως· τοῦ τοσαύτῃ χρησαμένου κατά τῆς ἀληθείας μανίᾳ τε ψεύδους καί περιουσίᾳ, ὡς καί μέχρι τῆς σήμερον τῇ ἁγίᾳ τοῦ Θεοῦ Ἐκκλησίᾳ διοχλῆσαι ἀρκεῖν. Οὐδενί δέ ἄλλῳ ἀπ᾽ οὐδενός ἑτέρου τό σύνολον τῶν ὑπουργεῖν ἐκεῖσε ἀποταγέντων τῇ θεοφυλάκτ·ω Πατρικίᾳ ἀρχόντων, οὐδ᾽ ἕως συλλαβῆς ψιλῆς διεκόμισεν. Ὅθεν κἀγώ σύν πολλοῖς ἄλλοις ἐθαύμασα, τίς, εν ἐμαυτῷ διαπορῶν, ὁ λόγος καθ᾽ ὅν οὐδέν μοι δι᾽ αὐτοῦ ἠξίωσε δηλῶσαι ὁ θεοφύλακτός μου δεσπότης· καί πολύν, ὡς εἰκός, ὅπερ φιλεῖ

συμβαίνειν ἐν τοῖς τοιούτοις, ὡς ἴστε, δέσποτα, τοῖς πιστοῖς λαοῖς γογυσμόν ἐποίησε τό τοιοῦτον γράμμα· καί τό περί τήν δέσποιναν τήν πανεύφημον Πατρικίαν παρά τῇ καθολικῇ τοῦ Θεοῦ Ἐκκλησίᾳ σέβας μικροῦ ἐμείωσε· καί πάντας τούς ταύτην οἰκοῦντας τήν Ἄφρων χώραν, προλήψεσι χρησταῖς περί αὐτῆς ἤδη προκατειλημμένους διέσεισεν, εἰ μή πρεπούσῃ τῇ αὐτοῦ συνέσει μεθόδῳ χρησάμενος ὁ λεχθείς πανεύφημος ἔπαρχος, ψευδές εἶναι τό γράμμα καί νόθον πανταχοῦ διεφήμισε· καί ἀγανακτεῖν κατά τοῦ καγκελλαρίου προσεποιήσατο, καί τοῖς ἀνασυρεῖσι τῶν αἱρετικῶν προφάσει τοῦ τοιούτου γράμματος, τῶν τε ἀπό Ἀλεξανδρείας καί Συρίας δεόντως ἐχρήσατο· τούς μέν φυλακαῖς, τούς δέ καί πληγαῖς παιδεύσας, μή ὑβρίζειν λέγων τάς προλήψεις τῆς δεσποίνης ἡμῶν Πατρικίας. Ἰσχυρίζοντο γάρ ἀναιδῶς, ἐρειδόμενοι, ὡς εἶπον, τῷ γράμματι χαίρειν αὐτήν τοῖς αὐτῶν δόγμασι· (461) καί πᾶσι λέγειν οὐ παρῃτοῦντο ψευδόμενοι, ὧν Θωμᾶς ὁ λεγόμενος αὐτῶν ἐπίσκοπος, τῶν ἐπ᾽ ἀδείας πρός αὐτήν παραγινομένων, καί μεγάλως παρ᾽ αὐτῆς τιμωμένων εἷς ὤν τυγχάνει· ὅπερ πάντων μαλιστα τούς πάντας ἐτάραξέ τε καaί ἐσκανδάλισεν. Ὥστε κἀμέ ἐξ ἀνάγκης τότε κληθέντα ἀπελθεῖν, ἐλέγξαι τε τούς τοῦτο εἰπεῖν τολμήσαντας κατά πρόσωπον, καί τούς ἀκούσαντας πεῖσαι, ὡς οὐδαμῶς χάριτι τοῦ Σωτῆρος Χριστοῦ ἤ αὐτήν, ἤ ὁ ἐν ἁγίοις γενόμενος σύμβιος καθοτιοῦν αἱρετικοῖς προσπεπόνθασιν. Ὁμοίως δέ καί ἄλλοι πολλοί τῶν ἐνταῦθα ἐπιξενουμένων εὐλαβεστάτων μοναχῶν, καί μάλιστα οἱ εὐλογημένοι δοῦλοι τοῦ Θεοῦ καί Πατέρες ἡμῶν, οἱ ἐπίκλην Εὐκρατάδης τά αὐτά λέγοντες, τούς πολλούς ἐποίουν τῆς τοιαύτης ψευδοῦς ὑπονοίας ἐκτός. Καί ἁπλῶς εἰπεῖν, διά παντός τρόπου ἐλήλυθεν ὁ εἰρημένος πανεύφημος ἀνήρ, παντός μέμου καθαράν αὐτήν ἀποδεῖξαι, καί πιστήν τῷ Θεῷ, καί τιμίαν οὖσαν φανερῶσαι τοῖς πᾶσι προθέμενος.

Ἐγώ δέ οὔπω τῆς ἐπί τοῦτο ἀμφιβολίας ἐλεύθερος γέγονα, ὁ μάλιστα τά ὑμέτερα οἰκειούμενος, ὁ μικρός καί οὐδενός ἄξιος, τῶν μεγάλων καί τῆς θείας ἠξιωμένων χάριτος· ἀσχάλλων ἔτι περί τούτου, και οὐκ ἔχων τί κρίνας ψηφίζομαι. Τήν τε γάρ κοινήν ἡμῶν δέσποιναν τήν πανεύφημον Πατρικίαν ἐπί τῆς ἀῤῥαγοῦς τῆς πίστεως πέτρας βεβηκυῖαν ἐκ προγόνων εἰδώς καί μηδέν ἄλλο σχεδόν ἀναπνεῖν δεδιδαγμένην, ἤ τήν ὀρθήν εἰς Θεόν πίστιν, τήν κατά τήν τοῦ Θεοῦ καθολικήν Ἐκκλησίαν κηρυττομένην, πιστεύειν οὐκ ἔχω αὐτῆς ὑπάρχειν τό γράμμα. Καί πάλιν ὁρῶν ὅρκοις φρικτοῖς πιστούμενον

καγκελλάριον, καί ἐπί τούτῳ καί μόνον παρ᾽ αὐτῆς πεπέμφθαι ἐνταῦθα διβεβαιούμενον, φοβερόν ἡγοῦμαι τό μή πιστεύειν· καί μέσος εἰμί δύο λογισμῶν ἑστώς μεθόριος, οὐκ ἔχων τόν νικῶντα εὑρεῖν, καί πρός ἑαυτόν τῆς ψυχῆς ἐπισπᾶσθαι δυνάμενον τήν συγκατάθεσιν. Πλήν, δέσποτά μου εὐλογημένε, ἵνα τἀληθές εἴπω, καί πᾶν ὅ κρίνειν δεδύνημαι ἐξαγορεύσω· καί δέξασθέ με ἐκ πολλοῦ πόνου ψυχῆς διά τήν πρός ὑμᾶς ἀγάπην τολμηρῶς παῤῥησιαζόμενον· εἰ τῷ ὄντι βουλήσει καί γνώμῃ τῶν θεοφυλάκτων ὑμῶν, τό ὑπέρ τῶν εἰρημένων αἱρετικῶν γυναικῶν γράμμα παρ᾽ αὐτῆς γεγένηται· ὅπερ θαυμάζω, οὐκ ἀποδέχομαι· οὐκ ἔξω βάρους εἶναι ὑμᾶς τεκμαιρόμενος. Ἀκούω γάρ τῆς θείας διδασκούσης Γραφῆς, ὡς Ἰωσάφατ ὁ εὐσεβής ἐκεῖνος καί πιστός τῆς Ἰουδαίας γενόμενος βασιλεύς, τῷ Ἀχαάβ βασιλεῖ τοῦ Ἰσραήλ, πολλοῖς ῥεπυπωμένῳ εἰδωλολατρείας μολυσμοῖς, κατά τῆς Συρίας ποτέ κινήσαντι πόλεμον συμμαχήσας, ἠγανακτήθη τε καί ἐνεγκλήθη ὑπό τοῦ Θεοῦ, πρός αὐτόν οὕτω διά τοῦ προφήτου φήσαντος· Εἰ ἀνθρώπω μισουμένῳ μοι, καί ἐχθραίνοντι Κυρίῳ τῷ Θεῷ σύ βοηθεῖς; Εἰ δέ ἄλλοις ἴσως ὑποθεμένοις τοῦτο πεισθεῖσα πεποίηκεν, οὐδ᾽ οὕτως τῷ γενομένῳ προστίθεμαι, (464) τόν Ῥοβοάμ ἐκεῖνον τόν τοῦ μεγάλου Σολομῶντος υἱόν ἐνθυμούμενος, τόν διά τοῦ προκρῖναι τῆς τῶν πρεσβευτέρων βουλῆς τήν τῶν νεωτέρων, τό πλεῖστον τῆς ἑαυτοῦ βασιλείας ὑποτεμόμενον· ἅμα δέ καί κανονικοῖς πράγμασι ἐγχειρεῖν οἷς μή θέμις ἀπώμοτον γινώσκων, καί μάλιστα γυναιξίν, αἷς τό σιωπᾷν ἀναπνοῆς προσφορώτερον ὁ θεῖος ἀπεφήνατο λόγος.

Οὐ δεῖ οὖν αἱρετικοῖς καθ᾽ οἷόν δήποτε τρόπον, ὡς αἱρετικοῖς, βοηθεῖν, εἰ καί πᾶσι πάντα μετελθεῖν ἀδεῶς ἐπετέτραπτο· διά τε τάς εἰρημένας αἰτίας, ἵνα μή τῷ Θεῷ προσκρούοντες λάθωμεν· καί μή καλόν εἶναι διδόναι αὐτοῖς ἄδειαν ἐμπομπεύειν τῷ οἰκείῳ ψεύδει, καί ἀνασείεσθαι κατά τῆς εὐσεβείας· ἵνα μή δι᾽ ἡμῶν ἐμφανισθέντες, ὄφεως δίκην, τῶν ἀφελεστέρων τινάς ἀπάτης δήγματι δυνηθῶσι τῆς κατά τήν πίστιν ἀσφαλοῦς βάσεως κατασεῖσαι· καί εὑρεθῶμεν καί ἡμεῖς, ὡς οὐ θέλομεν, τῆς ὑπέρ τούτου ἐπηρτημένης αὐτοῖς συμμετέχοντες δίκης. Οὕτω γάρ καταρχάς τῇ συνήθει χρησάμενος καί περί αὐτάς συμπαθείᾳ ὁ πανεύφημος ἔπαρχος, ὡς καί πολλοῦ χρυσίου ἄξιον οἶνον αὐταῖς δωρήσασθαι πρός καταμονήν μετά τῆς λοιπῆς τῶν χρειῶν δαψιλοῦς ἐπιδόσεως· ὥς ηὗρε τῇ οἰήσει τῆς ὑπερηφανίας τυφωθείσας αὐτάς, ἀπετράπη. Εὐθύς γάρ, ὥσπερ ἐξ ἐπιτάγματος, τοῦ συνάγειν ἤρξαντο, καί ὑποσείρειν πιστῶν θηγατέρας· κρύπτειν τε καί

ἀρνεῖσθαι τούς γονέας, ἐφ᾽ ἱκανόν αὐτάς ἐπιζητοῦνταας χρόνον· καί ἱλασμούς, καί παραβαπτίσματα ποιεῖν τολμᾷν· καί διά πολλῆς πολλάκις ἐλθών πρός αὐτάς παρακλήσεως ταῦτα μαθών, καί τῶν μέν τοιούτων παύσασθαι πραγμάτων, ἑνωθῆναι δέ τῇ ἁγίᾳ τοῦ Θεοῦ Ἐκκλησίᾳ ἐπί πολύ παραινέσας, καί μηδέν ἀνύσας· τέλος, ὡς μέγα εἶδε καί ἄσχετον ἤδη γινόμενον τό κακόν, καί τούς δήμους τῶν πιστῶν ὑπολαλοῦντας τά γινόμενα, φοβηθείς μή τι εἰς αὐτάς ἄτακτον προέλθοι, θυμῷ ζέσαντος ἐπ᾽ αὐταῖς τοῦ πιστοῦ πλήθους τῶν Ῥωμαίων, μηδ᾽ αὐτῆς ψιλῆς ὀνομασίας τῶν αἱρετικῶν ἀνεχομένου, βουλῆς καί γνώμης περί τούτου γενέσθαι βασιλικῆς πρέπον καί ἔννομον ἡγησάμενος, πάντα δι᾽ ἀναφορᾶς, ἅμα τῷ ἁγιωτάτῳ ἀρχιεπισκόπῳ, καί τοῖς ἐνδοξοτάτοις τῶν ἐνταῦθα λογάσι, τῷ εὐσεβεστάτῳ ἡμῶν βασιλεῖ, καί τοῖς ἁγιωτάτοις πατριάρχαις τῷ τε Ῥώμης καί τῷ Κωσταντινουπόλεως ἀνήγαγε. Καί δή γαληνόν τοῦ πιστοτάτου ἡμῶν βασιλέως, καί ἱερόν τῶν μακαριωτάτων πατριαρχῶν δεξάμενος γράμμα, παρακελευόνενον πάντας μέν αἱρετικούς τῆς χώρας ἐλαύνεσθαι, τούς τῇ ἰδίᾳ κακοδοξίᾳ ἐμμένοντας· τάς δέ εἰρημένας γυναῖκας βουλομένας μέν τῇ ἁγίᾳ καί ἀχράντῳ καί ζωοποιῷ τῆς καθολικῆς Ἐκκλησίας προσελθεῖν, ἔχειν τά ἴδια κοινόβια ἀπαρεγχείρητα· ἀνανευούσας δέ τῇ τε ἀληθείᾳ, καί τῷ βασιλικῷ εἴκειν μή πειθομένας θεσπίσματι, διηνεκῶς ἐν τοῖς τῶν ὀρθοδόξων ἀσκητηρίοις κατά μίαν διῃρῆσθαι, καί τά πράγματα αὐτῶν κατά τόν νόμον, οἷς μάλιστα (465) θαῤῥοῦσαι τούς αὐτάς πλανῶντας δαψιλῶς παρέτρεφον, τῷ δημοσίῳ προσχωρηθῆναι ταμείῳ· ἐποίησε πάντα σπουδαίως καθώς ἐκελεύσθη. Πάντας μέν χάριτι Χριστοῦ πείσας τούς ἀπό Συρίας αἱρετικούς, Αἰγύπτου τε καί Ἀλεξανδρείας καί Λιβύης, προσελθεῖν τῇ ἁγίᾳ τοῦ Θεοῦ Ἐκκλησίᾳ· τῶν δέ εἰρημένων γυναικῶν, τάς μέν ἀπό τῆς μονῆς τῶν Σακερδῶτος, ἀφρόνως πρός τήν κέλευσιν τοῦ εὐσεβοῦς δεσπότου διά τήν σύντροφον ὑπερηφανίαν ἐνεχθείσας, διανείμας εἰς τά εὐαγῆ τῶν ὀρθοδόξων ἀσκητήρια, πληρώσεως ἕνεκεν τῶν εὐσεβῶς κεκελευσμένων, καί τάς μέν παρακλήσει, τάς δέ καί ὑποπτώσει, καί πάντα πάσαις διά τόν Θεόν γενόμενος· ὀψέ ποτε τό δέον μεταμαθούσας, ἑνωθῆναι τῇ τοῦ Θεοῦ καθολικῇ Ἐκκλησίᾳ πείσας, σύν ἄλλοις πολλοῖς κοινοβίοις· τάς δέ τῆς ἀμμᾶς Ἰωαννίας, ἐμφρόνως μάλα γε εἰκότως, διά τήν προλάμπουσαν τῶν ἐκκλησιαστικῶν δογμάτων ἀλήθειαν, μετά πάσης χαρᾶς προσελθούσας, ἀποκατέστησεν πᾶσί τε καί πάσαις τά ἴδια

μοναστήρια· μισθόν ἐπάξιον τῆς αὐτοῦ περί τά θεῖα μεγαλοφυΐας εὑράμενος, τό καί ἀποστολικοῖς κοσμηθῆναι χαρίσμασι, καί στόμα Κυρίου γνήσιον χρηματίσαι, κατά τό φάσκον θεῖον λόγιον, Ἐάν ἐξαγάγῃς τίμιον ἐξ ἀναξίου, ὡς στόμα μου ἔσῃ. Μᾶλλον δέ τῆς μενούσης αὐτόν θείας ἀμοιβῆς προοίμιον, καί τῆς σύν Χριστῷ δόξης ἀῤῥαβῶνα πιστότατον, τοῦτο τό μέγα καί θαυμαστόν ἔργον κομισάμενος.

Οὐ θέλων δέ τούς αἱρετικούς θλίβεσθαι, οὐδέ χαίρων τῇ κακώσει αὐτῶν, γράφω ταῦτα, μή γένοιτο, ἀλλά τῇ ἐπιστροφῇ μᾶλλον χαίρων καί συναγαλλόμενος. Τί γάρ τοῖς πιστοῖς τερπνότερον, τοῦ θεᾶσθαι τά τέκνα τοῦ Θεοῦ τά διεσκορπισμένα, συναγόμενα εἰς ἕν. Οὔτε ὑμῖν τοῦ φιλανθρώπου τό ἀπηνές παραινῶν προτιθέναι· μή οὕτω μανείην· ἀλλά μετά προσεχειάς καί δοκιμασίας ποιεῖν τε καί ἐνεργεῖν τά καλά εἰς πάντας ἀνθρώπους, καί πᾶσι πάντα γινομένους, καθώς ἕκαστος ἐπιδεῖται ὑμῶν, παρακαλῶν· πρός μόνον τό καθοτιοῦν αἱρετικοῖς συνάρασθαι εἰς σύστασιν τῆς φρενοβλαβοῦς αὐτῶν δόξης, σκληρούς παντελῶς εἶναι ὑμᾶς καί ἀμειλίκτους βούλομαί τε καί εὔχομαι. Μισανθρωπίαν γάρ ὁρίζομαι ἔγωγε, καί ἀγάπης θείας χωρισμόν, τό τῇ πλάνῃ πειρᾶσθαι διδόναι ἰσχύν εἰς περισσοτέραν τῶν αὐτῇ προκατειλημμένων φθοράν.

***Ἔκθεσις ὀρθῆς ὁμολογίας.***

Πρό δέ πάντων καί ἐπί πᾶσι, νήφειν τε καί ἀγρυπνεῖν καί παρατηρεῖσθαι τῶν κλεπτῶν τάς ἐφόδους, ἵνα μή συληθέντες ὑπ᾽ αὐτῶν λάθωμεν· φυλάξομεν δέ μᾶλλον τό μέγα καί πρῶτον τῆς σωτηρίας ἡμῶν φάρμακον· τήν καλήν λέγω τῆς πίστεως κληρονομίαν ὁμολογοῦντος ψυχῇ τε καί στόματι μετά παῤῥησίας, ὡς οἱ Πατέρες ἡμᾶς ἐδίδαξαν. Οἵτινες τοῖς ἐξ (468) ἀρχῆς αὐτόπταις καί ὑπηρέταις γενομένοις τοῦ Λόγου ἑπόμενοι, τόν ἕνα τῆς ἁγίας καί ὁμοουσίου, ἀχράντου τε καί μακαρίας Τριάδος τόν Υἱόν τοῦ Θεοῦ Θεόν Λόγον τό ἀπαύγασμα τῆς δόξης καί χαρακτῆρα τῆς πατρικῆς ὑποστάσεως, τόν πάσης ὁρατῆς τε καί ἀοράτου κτίσεως δημιουργόν, τόν ἄπειρον, τόν ἀόριστον, τόν ἀόρατον, τόν ἀκατάληπτον, τόν ἀπερινόητον, τόν πάντα μόνῃ ῥοπῇ τοῦ θελήματος καί ποιήσαντα καί συνέχοντα· τόν ἀγαθότητι ἄμετρον, ἔφασαν ἐνανθρωπῆσαι δι᾽ ἡμᾶς, καί σαρκωθῆναι ἐκ τῆς ἁγίας πανενδόξου ἀειπαρθένου Μαρίας, τῆς κυρίως καί κατ᾽ ἀλήθειαν Θεοτόκου· σάρκα ἐξ αὐτῆς ἑνώσαντα ἑαυτῷ καθ᾽ ὑπόστασιν

τήν ἡμῖν ὁμοούσιον, ἐψυχωμένην ψυχῇ λογικῇ τε καί νοερᾷ οὐδ᾽ ὡς ἐν ῥιπῇ ὀφθαλμοῦ προϋποστᾶσαν, ἀλλ᾽ ἐν αὐτῷ τῷ Θεῷ καί Λόγῳ, καί τό εἶναι καί τό ὑποστῆναι λαβοῦσαν· καί τέλειον ὄντα Θεόν γενέσθαι τέλειον ἄνθρωπον· μήτε τό Θεός εἶναι ἀποθέμενον διά τό γενέσθαι ἄνθρωπον, ὅπερ οὐκ ἦν· μήτε κωλυθέντα γενέσθαι ὅπερ οὐκ ἦν, ἄνθρωπον, διά τό μεμενήκαι ὅπερ ἦν καί ἔστι, Θεός· ἀλλά τοῦτο ὄντα, κἀκεῖνο γενέσθαι, ἑκάτερόν τε ἀπαληθεύοντα, τό θεῖον ὁμοῦ καί ἀνθρώπινον πιστοῦσθαι θαύμασι θείοις καί παθήμασιν ἀνθρωπίνοις καί κατά μέν τήν ἑαυτοῦ πρός τόν Πατέραν φύσιν τε καί οὐσίαν, ἄκτιστον, ἀόρατον, ἀπερίγραφον, ἀναλλοίωτον, ἄτρεπτον, ἀπαθῆ, ἄφθαρτον, ἀθάνατον, δημιουργόν τῶν ἁπάντων· κατά δέ τήν τῆς σαρκός αὐτοῦ φύσιν καί ὑμετέραν, τόν αὐτόν κτιστόν, παθητόν, περιγραπτόν, χωρητόν, θνητόν· τόν αὐτόν μέν, οὐ κατά τό αὐτό δέ, διά τά ἐξ ὧν καί ἐν οἷς τό εἶναι ἔχει· ὁμοούσιον τόν αὐτόν τῷ Θεῷ καί Πατρί κατά τήν θεότητα, καί ὁμοούσιον ἡμῖν τόν αὐτόν κατά τήν ἀνθρωπότητα· διπλοῦν τήν φύσιν, ἤτοι τήν οὐσίαν· διά τόν μεσίτην ὄντα Θεοῦ καί ἀνθρώπων, δεῖν κυρίως ἀποσώζειν τήν πρός τά μεσιτευόμενα φυσικήν οἰκειότητα, τῷ ὑπάρχειν ἀμφότερα· ὅπως αὐτῇ τῇ ἀληθείᾳ ἐν ἑαυτῷ καί δι᾽ ἑαυτοῦ, συνάψας τοῖς ἐπουρανίοις τά ἐπίγεια, τήν ὑλικήν τῶν ἀνθρώπων φύσιν, τήν ἐκ τῆς ἁμαρτίας πολεμωθεῖσαν, τῷ Θεῷ καί Πατρί προσαγαγών σωθεῖσαν, φιλωθεῖσάν τε καί θεωθεῖσαν· οὐκ οὐσίας ταυτότητι, ἀλλά δυνάμει ἀῤῥήτῳ τῆς ἐνανθρωπήσεως· θείας κοινωνούς φύσεως, διά τῆς ἐξ ἡμῶν ἁγίας αὐτοῦ σαρκός, ὡς ἀπαρχῆς καί ἡμᾶς ἀπεργάσηται. Διό καί Θεός ὁμοῦ καί ἄνθρωπος ὁ αὐτός, πράγματι καί οὐ κλήσει μόνῃ ὑπάρχων γινώσκεται· οὐ διπλοῦν δέ τήν ὑπόστασιν, ἤτοι τό πρόσωπον· διά τό ἕνα καί τόν αὐτόν, καί πρό σαρκός εἶναι, καί μετά σαρκός μεμενηκέναι· μηδέ μιᾶς γινομένης προσθήκης τῇ ἁγίᾳ Τριάδι, ἤ ὑφαιρέσεως, ἐκ τῆς τοῦ Λόγου σαρκώσεως· τόν αὐτόν παθόντα μέν σαρκί ὑπέρ ἡμῶν· διά παντός δέ τόν αὐτόν θεότητι ὄντα ἀπαθῆ καί διαμένοντα· ὥστε καί τήν σωτηρίαν εἶναι τήν ἡμετέραν ἐν τῷ θανάτῳ τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ· ὤ τοῦ παραδόξου καί ἀνεκφράστου μυστηρίου! καί τήν θεϊκήν τῆς οὐσίας αὐτοῦ πρός τόν Πατέρα δόξαν τε καί ταυτότητα, διηνεκῶς μένειν ἀνελάττωτον.

***(569) Περί διαφορᾶς· καί πῶς εὐσεβῶς δεῖ δύο φύσεις ὁμολογεῖν ἐπί Χριστοῦ μετά τήν ἕνωσιν.***

Τούτων οὕτω σοφῶς κατά τήν ὑγιῆ ἔννοιαν τοῖς ἱεροῖς τῆς Ἐκκλησίας διδασκάλοις διηγορευμένων, εὐσεβές πάντως ἐστίν, αὐτοῖς καί ἡμᾶς ἑπομένους, ὁμολογεῖν δύο μέν φύσεις ἀνομοίους κατά τήν οὐσίαν εἶναι, τάς συνελθούσας πρός τήν ἄῤῥητον ἕνωσιν· ἀσυγχύτους δέ ταύτας μεμενηκέναι δοξάζειν, καί μετά τό ἑνωθῆναι· τοῦ ἀσυγχύτους αὐτάς μεμενηκέναι λέγειν, οὐ διαίρεσιν τήν οἱανοῦν παρεισάγοντος· μή γένοιτο πώποτε! ἀλλά τήν διαφοράν ἄτρεπτον μένειν σημαίνοντος. Οὔτε γάρ ταὐτόν ἐστι διαφορά καί διαίρεσις. Διαφορά μέν γάρ ἐστι λόγος, καθ᾿ ὅν ἀλλήλων διαφέρει τά ὑποκείμενα· καί τοῦ πῶς εἶναι δηλοτικός· τουτέστι, τό εἶναι τήν σάρκα τῇ φύσει καί τῇ οὐσίᾳ, ὅπερ ἐστί· καί τό εἶναι πάλιν τόν Θεόν Λόγον τῇ φύσει καί τῇ οὐσίᾳ, ὅπερ ἐστίν. Διαίρεσις δέ ἐστί, τομή διάμπαξ, ἤτοι δι᾿ ὅλου τά ὑποκείμενα τέμνουσα, καί ἰδία καί ἀνά μέρος καί καθ᾿ ἑαυτά ὑφεστῶτα, καί ἀλλήλων κεχωρισμένα τιθεῖσα. Εἰ τοίνυν ὁ τοιοῦτος λόγος καί μετά τήν ἕνωσιν σώζεται, ὁ μή τετράφθαι δεικνύς εἰς σάρκα τόν Λόγον, καί τήν σάρκα τοῦ κατά φύσιν ὅρου μή ἐκστᾶσαν· ἀλλ᾿ ἑκάτερον καθό πέφυκε κατ’ οὐσίαν μεμενῆκαι πιστούμενος, εἰ καί γέγονεν ἕνωσις· πῶς οὐ δίκαιον πάντως τήν τῶν συνελθουσῶν φύσεων διαφοράν ὁμολογεῖν καί μετά τήν ἕνωσιν σώζεσθαι; Εἰ δέ τοῦτο οὐκ ἀμφιβέβληται, ὡς αὐτήν ἔχων μάρτυρα πιστόν τήν ἀλήθειαν, φανερόν ὑπάρχει πᾶσι καί εὔδηλον, ὡς τά συνελθόντα μένει ἀσύγχυτα· μήτε τῆς θεότητος εἰς σάρκα τραπείσης, μήτε τῆς σαρκός εἰς θεότητος φύσιν μεταβληθείσης. Ποῖος οὖν λοιπόν ὑπολέλειπται λόγος, εἰ φόβῳ Θεοῦ ἄγεσθαι πάντες ἄνθρωποι, καί πανταχοῦ τήν ἀλήθειαν αὐτήν τῶν θείων δογμάτων κανόνα, καί οὐχί τήν ἑαυτῶν πταιστήν ὑπόνοιαν ἔχειν βουληθῶμεν, ὁ ἀποδεῖξαι δυνάμενος, ὡς οὐκ εὔλογον ὁμολογεῖν τά σωζόμενα.

***Ἑτέρως περί τῶν αὐτῶν.***

Πρός τούτοις δέ πᾶσι, τούς λόγους τῶν συνελθόντων σωζομένους ἀεί οἱ Πατέρες διδάσκουσιν· αὐτά δέ ταῦτα τά συνελθόντα, πρός ἕν ἄμφω συντελεῖν πρόσωπον τοῦ Υἱοῦ καί μίαν ὑπόστασιν. Εἰ δέ τοῦτο, πῶς οὐ χρεών πάλιν κατά τούς Πατέρας, διά μέν τοῦ εἰδέναι σωζομένους τούς λόγους, τήν διαφοράν λέγειν· καί μετά τήν ἕνωσιν σώζεσθαι ἐν ἰδιότητι τῇ κατά φύσιν τῶν συνελθόντων ἑκάτερον· διά δέ τοῦ ὁμολογεῖν ὡς πρός ἕν ἄμφω συντελοῦσι πρόσωπον τοῦ Υἱοῦ καί μίαν ὑπόστασιν, ἀκριβῶς γινώσκειν ὡς ἀδιαίρετα ταῦτα πεφύκασιν.

Ὅτι δέ ἡ τῶν (472) συνελθόντων διαφορά, καί αὐτά δέ ταῦτα τά συνελθόντα σώζεται μετά τήν ἕνωσιν, πάσης τροπῆς ἐκτός καί συγχύσεως, ὁ ἁγιώτατος τῆς Ἐκκλησίας φωστήρ Κύριλλος, ᾧ καί προστεθῆσθαι περισσῶς ὑποκρίνονται οἱ τῇ ἁγίᾳ τοῦ Θεοῦ διακενῆς πολεμοῦντες Ἐκκλησίᾳ, ἀρκέσει μαρτυρῶν ἐν μέν τῷ δευτέρῳ κατά τῶν Νεστορίου δυσφημιῶν τόμῳ, γράφων τάδε· "Παρενηνεγμένου γε μήν εἰς μέσον ἡμῖν μυστηρίου τοῦ κατά Χριστόν, ὁ τῆς ἑνώσεως λόγος, οὐκ ἀγνοεῖ μέν τήν διαφοράν, ἐξίστησι δέ τήν διαίρεσιν· οὐ συγχέων ἤ ἀνακιρνῶν τάς φύσεις· ἀλλ᾽ ὅτι σαρκός, καί αἵματος μετεσχηκώς ὁ τοῦ Θεοῦ Λόγος, εἷς δή πάλιν καί ὁ αὐτός Υἱός νοεῖται καί ὀνομάζεται." Ἐν δέ τῇ Πρός Ἀνδρέαν τόν μεμψάμενον τό τρίτον τῶν κεφαλαίων ἀπολογίᾳ, οὕτω λέγων· " Ἀμοιρήσειε δ᾽ ἄν καί μώμου παντός, τό εἰδέναι τυχόν, ὡς ἑτέρα μέν ἐστι καί κατά φύσιν ἰδίαν ἡ σάρξ, παρά γε τόν ἐκ Θεοῦ Πατρός φύντα Λόγον· ἕτερος δ᾽ αὖ, κατά γε τόν τῆς ἰδίας φύσεως Λόγον ὁ μονογενής. Ἀλλ᾽ οὐ τό εἰδέναι ταῦτα, μερίζειν ἐστί τάς φύσεις μετά τήν ἕνωσιν." Ἰδού καί τό μετά τήν ἕνωσιν σαφῶς τέθειται τῷ μεγάλῳ Κυρίλλῳ, εὐσεβῶς τοῖς πιστοῖς καί νοούμενον κατ᾽ αὐτόν καί λεγόμενον. Τό γάρ μηδαμῶς τι βεβλάφθαι τόν τοῦ εἶναι τῶν ἑνωθέντων λόγον ἐκ τῆς ἑνώσεως, δηλοῖ, καί τό μή θατέρῳ θάτερον φυρῆναι, διά τό ἐπ᾽ ἀμφοῖν κατά τήν ὑπόστασιν ἕν· σώζεσθαι δέ μᾶλλον καί μένειν, καθ᾽ ὅ ἑκάτερον εἶναι τῇ οὐσίᾳ πέφυκεν. Τοῦτο γάρ καί ὁ σοφός ἐπιστάμενος Κύριλλος, διαῤῥήδην φησί· "Μήτε συγκεχύσθαι ἀλλήλαις τάς φύσεις, τῷ πρός μίαν συντελεῖν ὑπόστασιν τοῦ Υἱοῦ· μήτε διῃρῆσθαι ἀλλήλων, τῷ ἕτερον καί ἕτερον [κατά τήν οὐσίαν δηλονότι] εἶναί τε καί μένειν καί νοεῖσθαι μετά τήν ἕνωσιν·" καί ἑκάστην μετά τῆς φυσικῆς ἰδιότητος καί διαφορᾶς· καθ᾽ ἥν ὅ τε Λόγος Θεός ἐστι κατά φύσιν, καί οὐ σάρξ· εἰ καί οἰκείαν ἐποιήτο τήν σάρκα οἰκονομικῶς· καί ἡ σάρξ σάρξ ἐστι κατά φύσιν, οὐ Θεός, εἰ καί ἰδία γέγονε τοῦ Θεοῦ Λόγου διά τήν ἕνωσιν.

Πῶς οὖν οὐκ ἀναγκαῖον, εὐσεβές τε καί πρέπον, κατά τήν τῶν Πατέρων διδασκαλίαν, λέγοντες τήν διαφοράν μετά τήν ἕνωσιν σώζεσθαι· καί τάς δύο φύσεις εἶναί τε καί σώζεσθαι ἐν τῷ ἑνί Χριστῷ, ἐξ ὧν καί ἔστι, δοξάζειν μετά τήν ἕνωσιν, ὧν ἡ διαφορά; τοσαῦτα γινώσκοντας καί τά συνελθόντα πρός τήν ἀδιάσπαστον ἕνωσιν, καθοτιοῦν τροπήν εἰς ἄλληλα ἤ μεταβολήν οὐ δεξάμενα; Πᾶσα γάρ πως ἀνάγκη τινῶν διαφερόντων εἶναι πᾶσαν διαφοράν· καί ὅπου νοεῖσθαι εἶναι δαφοράν δυνατόν, ἐκεῖ ὑπάρχειν πάντως καί τά

διαφέροντα. Συνεισαγωγικά γάρ ἀλλήλων τρόπον τινά τά τοιαῦτα ὄντα τυγχάνει· (473) ὥσπερ τά αἴτια καί τά αἰτιατά, ὡς πρός τι ἐπί τῆς αὐτῆς οὐσίας νοούμενα. Εἰ γάρ ποιητικόν ἐστι τῆς ἐν Χριστῷ διαφορᾶς τό ἑτεροούσιον τῶν ἐξ ὧν συνέστηκεν, ὥς αἴτιον· πάντως καί ἡ διαφορά δηλωτική τυγχάνει ὡς αἰτιατόν τῆς τῶν ἑνωθέντων φυσικῆς ἑτερότητος ὡς ἰδίας αἰτίας. Συνεισάγεσθαι γάρ, ὡς εἴρηται, ἀλλήλοις τά τοιαῦτα πέφυκε· καί λεγομένου θατέρου, ἀνάγκη πάντως ὁμολογεῖν καί τό ἕτερον· καί ἀναιρουμένου πάλιν ἑνός, μηδέ τό ἕτερον εἶναι λέγειν ἀκόλουθον. Δεῖ οὖν καί δύο λέγειν, ἵνα μή ψιλήν τήν διαφοράν εἰσάγωμεν· καί ἐπί τούτῳ καί μόνῳ κεχρῆσθαι τῷ ἀριθμῷ, πρός δήλωσιν τοῦ μεμενηκέναι τῶν συνελθόντων τήν διαφοράν, ὡς σωζομένων μετά τήν ἕνωσιν, καί οὐ διῃρημένων· πρός τῷ καί ῥᾶον εἶναι ἀληθές, ἐκ τῆς τῶν πραγμάτων μᾶλλον σημαντικῆς προφορᾶς δείκνυσθαι τήν διαφοράν, ἤ ἐκ μόνης τῆς φωνῆς διάφορα πιστοῦσθαι εἶναι τά πράγματα.

***Ὅτι ἀριθμός οὔτε διαιρεῖ, οὔτε διαιρεῖται· οὔτε διαίρεσιν εἰσάγει κατά τόν ἴδιον λόγον τό σύνολον οἷς ἐπιλέγεται.***

Εἰ δέ τινες τοῦ ἀληθοῦς τό δόξαν προτιμῶντες, φασί τόν ἀριθμόν διαιρετικόν εἶναι ἤ διαιρετόν, ἤ διαιρέσεως εἰσαγωγικόν· καί τοῦτο τόν οὐκ ὄντα φοβούμενοι φόβον, δύο φύσεις ἐπί Χριστοῦ τάς συνελθούσας σώζεσθαι λέγειν παραιτοῦνται μετά τήν ἕνωσιν, ἵνα μή τομή καί μερισμός τῷ μυστηρίῳ τῆς ἐνανθρωπήσεως παρεισκρίνηται, οὐ συνορῶ τίς ὁ λόγος αὐτοῖς τῆς περί τοῦτο συνέσεως. Ἤ γάρ σοφωτέρους ἐν τούτῳ τῶν χρησαμένων τῇ τοιαύτῃ φωνῇ ἁγίων Πατέρων, καί διαίρεσιν οὐδεμίαν ὑποπτευσάντων ἑαυτούς ἀποφαίνουσιν· ὡς δή τι πνευματικώτερον αὐτῶν τοῖς θείοις ἐμβατεύειν δύνασθαι ἀπατώμενοι, ἤ τούς τῶν ὄντων καθ᾽ ἑαυτούς διασκεπτόμενοι λόγους, τῇ περί τό δόξαν οἰήσει φυσώμενοι, τό ἀληθές αὐτούς διαλαθόν οὐκ ἐπέγνωσαν. Ἐπεί τίς ἀγνοεῖ τῶν ὁποσοῦν τά θεῖα τῶν Πατέρων ἠσκημένων διδάγματα, ὅτι πᾶς ἀριθμός κατά τόν μέγαν καί θεοφόρον Γρηγόριον, τοῦ ποσοῦ τῶν ὑποκειμένων ἐστί δηλωτικός, ἀλλ᾽ οὐ τῆς διαιρέσεως τῶν πραγμάτων, καθά τούτοις δοκεῖ; Πῶς γάρ ἄν καί διαιρεῖν δυνήσηται, ἡδέως ἄν αὐτούς ἠρόμην, τό κατ᾽ οὐσίαν μή ὑφεστώς; οὐσίας γάρ ὑφεστώσης, τό, τί δρᾷν πεφυκέναι περί τι ἕτερον δύνασθαι. Πῶς δέ καί διαιρεθήσεται, τό πάσχειν μή δυνάμενον κατά τόν ἴδιον λόγον; Συμβεβηκότος γάρ, ἤτοι

ποιότητος τοῦτο ὑπάρχειν ἴδιον, οἱ περί ταῦτα δεινοί ἀπεφήναντο, τῶν ἐν ὑποκειμένῳ εἶναι λεγομένων. Εἰ δέ οὔτε διαιρεῖν, οὔτε διαιρεῖσθαι κατά τόν ἴδιον λόγον ὁ ἀριθμός δύναται. Οὔτε γάρ ποιεῖν πέφυκεν, οὐσίας γάρ· οὔτε πάσχειν, συμβεβηκότος γάρ· οὔτε διαίρεσιν ἑαυτῷ συνεισάγειν ἐξ ἀνάγκης (476) δυνήσεται τῶν πραγμάτων, ὡς ἔχουσι πρό τοῦ ἀριθμοῦ φύσεώς τε καί θέσεως, καί τῆς πρός ἄλληλα σχέσεως, μενόντων ἀραρότων, καί μετά τό ἀριθμηθῆναι, οὐδέν διά τόν ἀριθμόν τό σύνολον παθόντων καινοπρεπές. Δέκα γάρ ἀνθρώπους φέρε εἰπεῖν, ἤ εἴ τι ἄλλο τῶν καθ᾿ αὐτά ὑφεστώτων λέγοντες, καί ποσόν διῃρημένον σημαίνοντες· οὐ τό καθ᾿ αὐτούς εἶναι , καί ἀλλήλων διωρίσθαι ταῖς ὑποστάσεσι διά τοῦ ἀριθμοῦ τότε εἰληφέναι γινώσκομεν· ἀλλ᾿ αὐτούς δι᾿ ἑαυτούς καί οὐ διά τόν ἀριθμόν τοῦτο ὄντας, καί τοσούτους, οὐ τῇ διαιρέσει· τῷ δέ ποσῷ διά τοῦ ἀριθμοῦ ἐδηλώσαμεν. Καί πάλιν λίθον λέγοντες δίχροον ἤ πετάχροον, καί ὅσα συνεχοῦς ὑπάρχει ποσοῦ, οὐ διαιροῦμεν εἰς λίθους δύο ἤ πέντε τόν ἕνα λίθον· οὔτε ἀλλήλων τά ἐν αὐτῷ χρώματα τέμνομεν, ἀλλά περί αὐτόν καί ἐν αὐτῷ ὡς ὑποκειμένῳ ἀσυγχύτως τοσαῦτα ὄντα σημαίνομεν· μηδεμιᾶς γενομένης, ἤ συμβῆναι δυναμένης τῷ λίθῳ τομῆς ἤ διαιρέσεως, ἐκ τοῦ περί αὐτόν ἀριθμηθέντος συνεχοῦς τῶν χρωμάτων ποσοῦ· ὥσπερ οὐδέ τοῖς χρώμασι συγχύσεως ἤ φύρσεως ἐκ τοῦ περί τόν λίθον ὑποκειμένου ἑνός. Καί γάρ τό μοναδικόν τῷ ὑποκειμένῳ ἔχων ὁ λίθος, καί τό περί αὐτόν τῶν χρωμάτων ἀδιαιρέτως κεκτημένος δείκνυται ποσόν. Ὁμοίως δέ καί τά αὐτοῦ τοῦ λίθου χρώματα, ὡς τῷ ποιῷ ἀλλήλων διαφέροντα, τό ποσόν κεκτημένα τό πρός ἕν πάλιν συντελεῖν κατά σύνθεσιν τοῦ λίθου ὑποκείμενον, τό μοναδικόν ἀσυγχύτως ἔχουσι, καί ἔστιν εἷς καί ὁ αὐτός λίθος, μήτε τῷ ποσῷ τῶν χρωμάτων διῃρημένος, μήτε τῷ μοναδικῷ τοῦ ὑποκειμένου συγκεχυμένος. Διαφόρους δέ λόγους κεκτημένην ἔχων τήν ὕπαρξιν, κατ' ἄλλον μέν, ἀριθμόν ἐπιδέχεται· κατ' ἄλλον δέ, τοῦτον οὐ προσίεται. Πᾶς οὖν ἀριθμός οὐ τῆς σχέσεως αὐτῆς τῶν πραγμάτων· διαιρέσεώς φημι καί συνεχείας· ἀλλά τῆς ποσότητος ὧν τυγχάνει δηλωτικός, τόν τοῦ ποσόν εἶναι τό ποσόν, ἀλλ᾿ οὐ τοῦ πῶς ὑπάρχειν λόγον εἰσάγων. Πῶς γάρ ἄν καί συνεισάγειν ἑαυτῷ δυνήσηται τάς σχέσεις τῶν πραγμάτων, καί πρό αὐτοῦ οὔσας, καί ἄνευ αὐτοῦ γνωσθῆναι δυναμένας, καί μηδεμίαν πρός αὐτάς ἔχων οἰκειότητος ἔμφασιν, μέσῳ τῷ ποσῷ αὐτῶν διειργόμενος; Πλῆθος γάρ ἀνθρώπων ὁρῶντες, ἤ ἵππων, ἤ βοῶν, καί

ὅσα τοιαῦτα· τό μέν καθ᾽ αὐτούς ὑπάρχειν, καί ταῖς ὑποστάσεσιν ἰδικῶς διῃρῆσθαι ἕκαστον, καί τοῦ ἀριθμοῦ χωρίς, ὡς προεῖπον, τοῦτο ὄντας γινώσκομεν· πρός δήλωσιν δέ τῆς τούτων ποσότητος τοῦ ἀριθμοῦ χρῄζοντες, τῆς σχέσεως οὐδαμῶς αὐτόν τιθέμεθα αἴτιον· ὅτι μηδέ πρός τό γνῶναι αὐτήν παντελῶς αὐτοῦ δεδεήμεθα. Καί πάλιν ἤ λίθον ἤ ἄνθος ἤ ζῶον πολυχρώματον θεώμενοι, καί ὅσα τούτοις ὅμοια· πρός μέν τό ποικίλως αὐτά κεχρῶσθαι εἰδέναι, οὐδαμῶς ἀριθμόν παραλαμβάνομεν· πρός δέ τό γνῶναι ἐθέλειν τήν τῶν ἐν αὐτοῖς χρωμάτων ποσότητα, χρῄζειν αὐτοῦ οὐκ ἀρνούμεθα.

***Πῶς εὐσεβῶς πρός δήλωσιν τῆς διαφορᾶς ὁ ἀριθμός παραλαμβάνεται.***

Ὥστε οὐ τό ποσόν εἶναι μέν δηλοῖ, ποιεῖ ἤ εἰσάγει διαίρεσιν· ἀλλά ποσόν μέν δηλοῖ, διαφοράν δέ εἰσάγει. Ὥσπερ γάρ πᾶσα διαφορά ποσοῦ τινος ἀριθμόν ἐπιδεχομένου ἐστί δηλωτική, τόν τοῦ πῶς εἶναι λόγον εἰσάγουσα· τό γάρ ἄποσον, καί ἀδιάφορον πάντως, ὡς ἁπλοῦν τῇ οὐσίᾳ καί τῇ ποιότητι· οὕτω καί πᾶς ἀριθμός ποσοῦ τινων διαφερόντων, κατά τόν τοῦ πῶς εἶναι, ἤ τόν τοῦ πῶς ὑφεστάναι λόγον ὑπάρχω δηλωτικός, τῆς διαφορᾶς τῶν ὑποκειμένων, καί οὐ τῆς σχέσεώς ἐστιν εἰσαγωγικός. Ὅτι δέ ταῦθ᾽ οὕτως ἐπ᾽ αὐτῆς ἔχει τῆς ἀληθείας, καί ὅτι πᾶς ἀριθμός διαφορᾶς καί οὐ διαιρέσεώς ἐστι δηλωτικός, μαρτυρεῖ τῷ λόγῳ πάλιν ὁ ἁγιώτατος Κύριλλος ἐν τῇ πρός Εὐλόγιον ἐπιστολῇ, γράφων οὕτως ἐπί λέξεως· " Οὕτω καί ἐπί Νεστορίου, κἄν λέγῃ δύο φύσεις, τήν διαφοράν σημαίνων τῆς σαρκός καί τοῦ Θεοῦ Λόγον· ἀλλ᾽ οὐκέτι τήν ἕνωσιν ὁμολογεῖ μεθ᾽ ἡμῶν. Ἡμεῖς γάρ ἑνώσαντες ταῦτα, ἕνα Χριστόν, ἕνα Υἱόν, ἕνα Κύριον ὁμολογοῦμεν· καί λοιπόν, μίαν τήν τοῦ Υἱοῦ φύσιν σεσαρκωμένην." Ὡσανεί ἔλεγεν, Ἡμεῖς τήν τοῦ μυστηρίου διασκοποῦντες πάνσοφον οἰκονομίαν· ὅτ᾽ ἄν μέν σώζεσθαι δεικνύναι βουλώμεθα τῶν συνελθόντων τήν διαφοράν μετά τήν ἕνωσιν, δύο κατά τοῦτο καί μόνον τάς φύσεις λέγομεν· κατά μόνην τήν θεωρίαν, πρός δήλωσιν τῆς διαφορᾶς, τόν ἀριθμόν παραλαμβάνοντες· ὅτ᾽ ἄν δέ τόν ἄῤῥητον τοῦ μυστηρίου διακριβῶμεν τῆς ἑνώσεως τρόπον, μίαν τοῦ θεοῦ Λόγου φύσιν σεσαρκωμένην φαμέν. Τοῦτο γάρ, ὡς οἶμαι, αὐτῷ βούλεται δηλοῦν, τό " Ἡμεῖς δέ ἑνώσαντες αὐτά, ἕνα Χριστόν, ἕνα Υἱόν, ἕνα Κύριον ὁμολογοῦμεν· καί λοιπόν, μίαν τοῦ Λόγου φύσιν σεσαρκωμένην." Τουτέστιν, ἡμεῖς ὁμολογοῦντες τήν ἕνωσιν, καί τόν

αὐτῆς ἀκριβῶς μετ᾽ εὐσεβείας διαρθροῦντες τρόπον, οὐ κεχρήμεθα τῇ σημαντικῇ φωνῇ τῆς διαφορᾶς πρός δήλωσιν τῆς ἑνώσεως· ἀλλά τήν μέν ἐπί τῆς διαφορᾶς, τήν δέ ἐπί τῆς ἑνώσεως προσφόρως ἐκλαμβάνοντες, ἀσύγχυτον φυλάττομεν τῶν σημαινομένων τόν νοῦν. Ὡς λοιπόν ἐντεῦθεν εἶναι δῆλον, ὅτι κοινόν αὐτῷ καί Νεστορίῳ τό λέγειν δύο φύσεις, μέχρι τοῦ γινώσκειν τήν διαφοράν. Οὐκέτι δέ κοινόν ἦν, τό καί τήν ἕνωσιν ὁμολογεῖν, τῷ λέγειν, " Ἕνα Χριστόν, ἕνα Υἱόν, ἕνα Κύριον, καί μίαν τοῦ Λόγου φύσιν σεσαρκωμένην· "ὅπερ Νεστόριος εἰπεῖν οὐ κατεδέχετο. Τό γάρ φάσκειν, "Οὕτω καί ἐπί Νεστορίου, κἄν λέγῃ δύο φύσεις, τήν διαφοράν σημαίνων τῆς σαρκός καί τοῦ Θεοῦ Λόγου· ἀλλ᾽ οὐκέτι τήν ἕνωσιν ὁμολογεῖ μεθ᾽ ἡμῶν·" οὐκ ἄλλο ἤ τοῦτο βούλεται δηλοῦν, ὅτι Νεστόριος, τήν μέν διαφοράν μεθ᾽ ἡμῶν ὁμολογεῖ, διά τοῦ λέγειν δύο φύσεις· τήν δέ ἕνωσιν οὐκέτι μεθ᾽ ἡμῶν ὁμολογεῖ, μή λέγων " Ἕνα Χριστόν, ἕνα Υἱόν, ἕνα Κύριον, καί μίαν τοῦ Λόγου φύσιν σεσαρκωμένην." Καί σαφές τοῦτο καθέστηκε τοῖς τοῦ καλοῦ ἐρασταῖς, καί τό ἀληθές ἀγαπᾷν ἐσπουδακόσιν, ἐκ τοῦ μηδαμοῦ φαίνεσθαι τόν διδάσκαλον, ἤ κωλύοντα λέγειν δύο φύσεις μετά τήν ἕνωσιν· ἀλλά διαιρεῖν τάς φύσεις μετά (480) τήν ἕνωσιν· ἤ ἀνῃρῆσθαι διδάσκοντα τήν διαφοράν τῶν συνελθόντων μετά τήν ἕνωσιν· ὡς ἔστιν ἐκ μυρίων αὐτοῦ συγγραμμάτων καταμαθεῖν.

Εἰ τοίνυν ἀεί μέν ἡ ἕνωσις ἕστηκεν, ἀεί δέ καί τά ἑνωθέντα μένει ἀσύγχυτα· ἀεί δέ καί ἡ τῶν ἑνωθέντων σώζεται διαφορά, δι᾽ ἥν ὁ ἀριθμός παρελήφθη κατά τούς Πατέρας· πῶς οὐκ ἀνάγκη, εἴπερ ἄρα ἀεί ἡ ἕνωσις καί τά ἑνωθέντα, καί ἡ τούτων διαφορά ἕστηκε καί μένει καί σώζεται, καί δύο φύσεις εὐσεβῶς λέγειν ἐπί δηλώσει τῆς τῶν συνελθόντων διαφορᾶς, καί πάλιν μίαν φύσιν τοῦ Θεοῦ Λόγου σεσαρκωμένην ὁμολογεῖν, πρός ἔνδειξιν τῆς καθ᾽ ὑπόστασιν ἑνώσεως, μηδ᾽ ἑτέρας τῶν φωνῶν, τούτων δηλονότι, διά τῆς ἑτέρας ἀναιρουμένης, ὡς δοκεῖ τισιν ὑπόθεσιν σοφίας ποιουμένης τό ἄσοφον· ἵνα μή σύγχυσις ἤ διαίρεσις παρεισάγηται; Σιωπῶντες γάρ τήν προσφόρως δηλοῦσαν τήν διαφοράν φωνήν, τῇ συγχύσει χώραν ἔχειν παρέχομεν· μή λέγοντες δέ πάλιν τήν τῆς ἑνώσεως σημαντικήν, πῶς τήν διαίρεσιν τροπώσασθαι οὐ γινώσκομεν; ἀλλ᾽ ἐπί τοῦ αὐτοῦ Χριστοῦ ἀεί μέν κειμένων καί λεγομένων εὐσεβῶς· οὐ κατά τό αὐτό δέ, ὅτι μηδέ τά σημαινόμενα ἀλλήλοις ταὐτά. Οὐ γάρ ταὐτόν διαφορά καί ἕνωσις· εἰ καί περί τόν αὐτόν, καί τοῦ αὐτοῦ καί εἰσί καί λέγονται· ἑτέρα γάρ τούτων τῆς ἑτέρας κεχωρισμένως ἐκφωνουμένη, ἀτελής τέ

ἐστιν, ὅσον πρός δήλωσιν τοῦ ὅλου μυστηρίου, μή συνεπαγομένη τήν ἄλλην συνήγορον, καί τό ὕποπτον ἔχουσα δείκνυται· ἡ μέν διαιρέσεως, διά Νεστόριον τόν ἀρνούμενον τήν καθ' ὑπόστασιν ἕνωσιν, καί κραττεῖσθαι σαρκί τόν ἀπερίγραφον εὐδοκῆσαι δι᾿ ἡμᾶς ὁμολογεῖν οὐκ ἀνεχόμενον· ἡ δέ συγχύσεως, διά Ἀπολινάριον καί Εὐτυχέα, τούς ἀρνουμένους τήν διαφοράν τῶν συνελθόντων μετά τήν ἕνωσιν· καί τό ἀόρατον αἰσθήσει ὑποπεσεῖν ἡμετέρᾳ, διά τήν φυσικήν ἰδιότητα τῆς ἐξ ἡμῶν ἁγίας αὐτοῦ σαρκός ἀνασχέσθαι ὁμολογεῖν αἰσχυνομένους.

Δεῖ οὖν, ὡς εἴρηται, τούς ἀληθῶς εὐσεβεῖν βουλομένους, καί μίαν τοῦ Θεοῦ Λόγου φύσιν σασαρκωμένην ὁμολογεῖν, ἵνα διά τούτου ἡ ἄκρα δειχθῇ ἕνωσις· καί δύο πάλιν φύσεις λέγειν, ἵνα ἡ διαφορά τῶν συνελθόντων καί ἀσυγχύτως σωζομένων μετά τήν ἕνωσιν δηλωθῇ· καί πρός τοῦτο καί μόνον τόν ἀριθμόν παραλαμβάνειν. Δι᾿ ἄλλης γάρ, ὡς εἰκός, φωνῆς δηλοῦσθαι τήν διαφοράν οἱ Πατέρες οὐκ ἐδοκίμασαν. Εἰ δέ τις ἐφ᾿ ἑαυτῷ πεποιθώς ᾖ, καί δύναται ἁρμοδιωτέραν πρός τήν ταύτης δήλωσιν ἐπινοῆσαι φωνήν,(481) μή φθονείτω ἡμῖν τῆς ὠφελείας, καί οὐδ᾿ ἡμεῖς φθονήσομεν αὐτῷ τῆς παιδεύσεως, ἵνα μή λέγω τῆς θρασύτητος.

***Πῶς χρή νοεῖν τήν κειμένην ῥῆσιν εἰς τήν πρός Σούκενσον ἐπιστολήν τοῦ ἁγίου Κυρίλλου· καί ὅτι οὐ μάχεται ἡ, Ἐν δύο φωνή, τοῖς λέγουσι μίαν τοῦ Λόγου φύσιν σεσαρκωμένην· εἰ μή κατά Νεστορίῳ δοκοῦν ἀσεβῶς λαμβανομένη.***

Εἰ δέ φαῖεν, ἀλλ᾿ οὐδέν ἧττον μάχεσθαι τό πρόβλημα τῶν δύο λεγόντων φύσεις ἡνωμένας ἀδιαιρέτως μετά τήν ἕνωσιν, τοῖς μίαν λέγουσι τοῦ Λόγου φύσιν σεσαρκωμένην· ὡς ἐν τῷ πρός Σούκενσον δευτέρῳ ὑπομνηστικῷ ὁ ἅγιος ὑποτίθεται Κύριλλος· φανερῶς τοῦτο εἶναι ἤ ἀγνοούντων ἤ κακουργούντων τάς τῶν Πατέρων τίθεμαι φωνάς· καί τό πρός τήν ἀλήθειαν διαμάχεσθαι, τοῦ πρός αὐτήν σπένδεσθαι λισιτελέστερον ψηφιζομένων. Ἔδει γάρ αὐτούς γινώσκοντας, ὡς καί ὑπέρ ψιλῆς ἐννοίας ἀποδώσομεν λόγον τῷ δικαίῳ τῶν ἡμετέρων Κριτῇ, συνετῶς μετά τοῦ φόβου τοῦ Θεοῦ, τοῖς Πατρικοῖς ἐντυγχάνοντας συγγράμμασι, σπεύδειν μή ποιεῖσθαι ὑπόθεσιν μάχης καί διαστάσεως, τά τήν εἰρήνην καί τήν ὁμόνοιαν διδάσκοντα ῥήματα. Τίνι γάρ οὐκ ἔστι καταφανές τῷ ὁπωσοῦν ἐπισκήπτοντι, ὡς οὐχ ἁπλῶς φαίνεται τήν τοιαύτην ἀπαγορεύων

φωνήν ὁ μακάριος Κύριλλος, ἀλλά κατά τήν Νεστορίου κακόνοιαν προσφερομένην, σχετικήν φάσκοντος γεγενῆσθαι τήν ἕνωσιν, ὡς αὐτός ἑαυτῷ Κύριλλος ὁ μακάριος μαρτυρῶν δείκνυται ἐπί τέλει τῆς αὐτῆς ἐπιστολῆς καί τοῖς ἄγαν φιλονείκοις τόν ἑαυτοῦ σκοπόν ποιούμενος φανερόν, οὕτω λέγων· "Τό δέ ἀδιαιρέτως προστεθέν, δοκεῖ πως παρ᾽ ἡμῖν ὀρθῆς δόξης εἶναι σημαντικόν. Αὐτοί δέ οὐχ οὕτω νοοῦσι. Τό γάρ ἀδιαίρετον παρ᾽ αὐτοῖς, κατά τάς Νεστορίου κενοφωνίας, καθ᾽ ἕτερον λαμβάνεται τρόπον. Φασί γάρ, ὅτι τῇ ἰσοτιμίᾳ, τῇ ταυτοβουλίᾳ, τῇ αὐθεντείᾳ ἀδιαίρετός ἐστι τοῦ Θεοῦ Λόγου ὁ ἐν ᾧ κατῴκησεν ἄνθρωπος. Ὥστε οὐχ ἁπλῶς τάς λέξεις προφέρουσιν, ἀλλά μετά τινος δόλου καί κακουργίας." Ἰδού σαφῶς διττόν ὑπάρχειν τόν τοῦ ἀδιαιρέτου τρόπον ὑπέθετο ὁ θαυμαστός οὗτος διδάσκαλος· τόν μέν, τήν καθ᾽ ὑπόστασιν σημαίνοντα ἕνωσιν· ὅν καί ἀσπαζόμενος, ὀρθῆς δόξης εἶναί φησι σημαντικόν· τόν δέ, μόνης τῆς κατά σχέσιν συναφείας δηλωτικόν, ὅν καί ἀποστρέφεται· καί τοῖς πιστοῖς τοῦτο αὐτό ποιεῖν παραινεῖ, ἐκ τῆς κατά τήν λέξιν ὁμοίας προφορᾶς, πολλάκις τόν τῆς αἱρετικῆς δεσσεβείας ἰόν τοῖς ἀκεραιοτέροις λεληθότως ἐμβάλλειν δυνάμενον. Ὅθεν παρ᾽ ἑαυτῷ μέν, τό δύο λέγειν ἀδιαιρέτως, ὀρθόδοξον τίθεται· ἐπειδή αὐτός καθ᾽ ὑπόστασιν εἶναι τήν ἕνωσιν ἔλεγε· παρά δέ τῶν κατά Νεστόριον (484) προσφερομένην, ὕποπτον ποιεῖται τήν φωνήν τοῦ ἀδιαιρέτου, ἐπειδή κατά μόνην τήν σχετικήν συνάφειαν τήν ἕνωσιν γεγενῆσθαι ἐδόξαζον.

Καθ᾽ ὑπόστασιν μέν οὖν ἕνωσίς ἐστι κατά τούς Πατέρας, ἡ τῶν ἑτερουσιῶν εἰς μίαν ὑπόστασιν σύνοδος, θατέρου τῶν κατ᾽ αὐτήν συγκειμένων, πρός τό ἕτερον τήν φυσικήν ἰδιότητα ἀνόθευτόν τε καί ἀμετάβλητον ἔχουσα καί ἀδιαίρετον. Σχετική δέ ἕνωσίς ἐστιν, ἡ τῶν καθ᾽ αὐτούς ἰδικῶς ἐν μονάσι προσωπικαῖς ὑφεστώτων ἴση θελήματος κίνησις καί γνωμικῆς ταυτότητος ἀπαραλλαξία. Ὁ τοίνυν ὁμολογῶν τήν καθ᾽ ὑπόστασιν ἕνωσιν, κἄν λέγῃ δύο φύσεις ἐπί Χριστοῦ μετά τήν ἕνωσιν ἡνωμένας ἀδιαιρέτως, ἑνώσει δηλονότι τῇ καθ᾽ ὑπόστασιν, τῆς ἀληθείας καθοτιοῦν οὐ διαμαρτάνει. Τά γάρ ἐξ ὧν σύγκειται ὁ Χριστός ἀσύγχυτα μεμενηκέναι διά τήν σωζομένην διαφοράν κατά τούς Πατέρας ὁμολογεῖ· τοῦ καθ᾽ ὑπόστασιν ἑνός οὐδαμῶς τά τῷ φυσικῷ λόγῳ ἀλλήλων διαφέροντα ἐκτός εἶναι, καί χωρίς καθ᾽ οἱονδήποτε τρόπον γινώσκειν δυνάμενος. Ὁ δέ τήν κατά σχέσιν πρεσβεύων ἕνωσιν, κἄν εἰ μυριάκις λέγοι τό ἀδιαίρετον, τό ἐπίψογον

κέκτηται· κατά τινα ἀγαπητικήν συνδιάθεσιν ἡνῶσθαι, καί τό ἀδιαίρετον ἔχειν λέγειν τά σημαινόμενα· οὐδαμῶς μίαν ὑπόστασιν εἶναι τόν Θεόν Λόγον μετά τῆς ἐξ ἡμῶν ἰδίας αὐτοῦ ἐμψύχου τε καί ἔννου σαρκός εἰπεῖν οἷός τε ὤν. Ἐκ δύο γάρ ὑποστάσεων ἰδικῶν τῶν πρός τά ὁμοειδῆ ἄτομα ἰδικῷ λόγῳ μεμερισμένων, μίαν γενέσθαι ὑπόστασιν, ἀμήχανον. Ὥστε οὐχ ἁπλῶς διαβάλλει καί ἀποπέμπεται ὁ ἅγιος Πατήρ ἡμῶν Κύριλλος, τό λέγειν δύο φύσεις ἡνωμένας ἀδιαιρέτως μετά τήν ἕνωσιν, ἀλλά τήν σημαινομένην διά τῆς τοιαύτης φωνῆς τῶν κακῶς χρησαμένων ἔννοιαν.

Εἰ τοίνυν δέδεικται, κἄν εἰ μετρίως, πλήν ὅτι γε κατ᾽ ἐμέ εἰπεῖν, ἀρκούντως, ὡς δι᾽ ἐπιστολῆς σημᾶναι ἦν δυνατόν, ἔκ τε τῶν ἁγίων Πατέρων, καί τῆς τῶν κοινῶν ἐννοιῶν ἀκολουθίας, ὡς τήν οἱανοῦν διαίρεσιν, οὔτε ποιεῖν, οὔτε πάσχειν, οὔτε εἰσάγειν ὁ ἀριθμός δύναται, ἀλλ᾽ ἁπλῶς μέν δηλοῖ τά πόσα· τῆς δέ σχέσεως, ὡς δ᾽ ἄν ἔχοντα τύχωσιν, οὐ προσάπτεται· ποία λοιπόν ὑπολέλειπται τομῆς ὑπόνοια, ἤ διαιρέσεως, τοῖς πρός τήν ἁγίαν τοῦ Θεοῦ στασιάζουσιν Ἐκκλησίαν, καί εἰκῆ τοῦ κοινοῦ σώματος αὐτούς ἀποτέμνουσιν· οὐ μᾶλλον δρῶντες, ἤ πάσχοντες τῷ χωρισμῷ ἐλεεινῶς νεκρούμενοι καί φθειρόμενοι· καί τήν ὅσον ἐπί τῇ ἀπρεπείᾳ τοῦ σώματος τοῦ Χριστοῦ, δίκην ἑαυτοῖς ἑτοιμάζοντες· ὥστε παραιτεῖσθαι τούτου γε ἕνεκεν τήν ὀρθήν καί εὐσεβῆς τῆς πίστεως ὁμολογίαν· εἰ μή ἄρα ἐν προσχήματι εὐλαβείας, τοῦ μή τεμεῖν δόξαι τήν ἕνωσιν, (485) τήν σύγχυσιν ἀσπαζόμενοι, τό μή ἁλῶναι ἐπ᾽ ἀσεβεῖ δόξῃ ὡς πανοῦργοι τεχνάζονται.

***Ὅτι πραγμάτων ἤγουν οὐσιῶν ἐπί Χριστοῦ ἡ διαφορά, ἀλλ᾽ οὐ ποιοτήτων· καί ὅτι πᾶσα διαφορά, ἐξ ἀνάγκης ἑαυτῇ συνεισάγει τήν ὧν εἶναι λέγεται πάντως ποσότητα· ἡ δέ ποσότης, τόν ἑαυτῆς σημαντικόν ἀριθμόν, κἄν τε συνεχής ἐστιν ἡ ποσότης, κἄν τε διῃρημένη.***

Ἔδει γάρ αὐτούς, εἴπερ ἀληθῶς τοῦτο μή ἦν, μηδέ τήν διαφοράν ψιλῇ καί μόνῃ τῇ προφορᾷ, ὡς κατά μηδενός κειμένην, πρός ἐξαπάτην τῶν ἀφελεστέρων εἰρωνευτικῶς προφέρουσι, μή παραιτεῖσθαι λέγειν, τίνα καί πόσα τά διαφέροντα τυγχάνει ὄντα, ὧν εἶναι τήν διαφοράν ὁμολογοῦσιν. Εἰ γάρ σώζεσθαι μετά τήν ἕνωσιν τά ἐξ ὧν ἡ ἕνωσις πιστεύουσιν, δύο πάντως τά σωζομένα ὁμολογήσαιεν ἄν. Τοσαῦτα γάρ καί τά συνελθόντα πρός ἕνωσιν τήν ἀδιάσπαστον, τήν οἱανοῦν

τροπήν ἤ σύγχυσιν, ἤ μείωσιν, ἤ συναίρεσιν, ἤ μεταβολήν τήν εἰς ἄλληλα ἐκ τῆς ἑνώσεως οὐ δεξάμενα. Νυνί δέ τοῦτο μή δοξάζοντες, ὡς ἠρνημένοι τάς φύσεις μετά τήν ἕνωσιν σώζεσθαι, ὑπευθύνους ἑαυτούς ἐλέγχοις πεποίηνται, κἄν μή βούλωνται, μόνῃ ποιότητι λέγοντες τήν διαφοράν σώζεσθαι, τῶν πραγμάτων χωρίς· ὅπερ ἀνθρώπων προδήλως παιζόντων ἐστί· καί τό μή γελᾶσθαι ὡς εἰκός ὕβριν λογιζομένων, καί σαφῶς κενούντων τό Εὐαγγέλιον, ἄνευ οὐσιῶν ὑποκειμένων, εἶναι ποιτότητας δύνασθαι νομοθετούντων καί ποσοῦ χωρίς, ἐπιγνωσθῆναι διαφοράν ὑποτιθεμένων. Ἠγνόησαν γάρ ὡς ἔοικεν, οἱ σοφώτατοι, ὅτι πᾶσα ποιότης ὑποκειμένης πάντως οὐσίας ἐστί, περί ἥν καί θεωρεῖται καί λέγεται, τό καθ᾽ αὑτήν εἶναι οὐδαμῶς ἔχουσα· καί πᾶσα διαφορά τῆς ἄλλων πρός ἄλλα κατά τόν τοῦ πῶς εἶναι λόγον ἀνομοιότητός τε καί ἑτερότης οὖσα δηλωτική, τό ποσόν τῶν διφερόντων πραγμάτων συνεισάγειν ἑαυτῇ πέφυκεν, εἴτε οὐσιῶν, εἴτε ποιοτήτων, εἴτε ἰδιοτήτων. Καί ἁπλῶς ἵνα συνελών εἴπω, παντός ἑτέρου τινός, τῶν ὅσα διαφέρειν ἀλλήλων ὑπολαβόντες εἴποιεν εἶνα διαφοράν πάντως ἐν ποσῷ τά διαφέροντα θεωρήσαντες, εἴτε αἰσθήσει εἴτε νοήσει τήν διαφοράν ἐγνώρισαν. Ἄνευ γάρ ποσοῦ δύνασθαι διαβεβαιοῦσθαι δεικνύναι διαφοράν, ἀνένδεκτον. Ἐπειδή τά μή ἀλλήλοις πάντη ταυτά, ἕνα καί τόν αὐτόν τοῦ εἶναι οὐδαμῶς ἐπιδέξηται λόγον. Οὐσίας γάρ ἤτοι φύσεως, φέρε εἰπεῖν, πρός οὐσίαν, ἤ ποιόητος πρός ποιότητα, ἤ ἰδιότητος πρός ἰδιότητα, ἤ καί εἴ τι ἕτερον τῶν ὅσα μή πάντη ταυτόν· τά πάντη γάρ ἀλλήλοις ταυτά, καί διαφορᾶς ἀνεπίδεκτα, ἕνα καί τόν αὐτόν τοῦ πῶς εἶναι λόγον, οὐδέποτε λέγειν δυνάμεθα. Τό δέ, ἕνα καί τόν αὐτόν ἐπί πάντων θεωρεῖσθαι λόγον κατά τό αὐτό μή δύνασθαι, τήν δαφοράν ποιῆσαν, ἕν καί ἀλήλοις ταὐτόν ἐκεῖνα, ὧν ὁ τοῦ εἶναι διάφορος, καί οὐχ ὁ αὐτόν λόγος μή δύνασθαι ὑπάρχειν εἰκότως παρίστησιν. Ἄλλο δέ ἄλλου, ἤ ἄλλων ἄλλα διαφέρειν λέγοντες, πολλά, ἤ τοὐλάχιστον, δύο καί οὐχ ἕν σημαίνομεν· εἰ καί ἄλλως, καί καθ᾽ ἕτερον τρόπον τε καί λόγον, ἑνός εἶναι, καί ἕν δύνασθαι (488) λέγομεν· ὡς ἑνός πυρός, αἱ περί αὐτό ποιότητες καί ἰδιότητες, καί ἑνός Χριστοῦ, αἱ φύσεις ἐξ ὧν καί ἐν αἷς συνεστώς γνωρίζεται· καί ἑνός ἀνθρώπου, τά ἐξ ὧν συνετέθη καί ἐν οἷς ὑπάρχων γινώσκεται. Ἕν δέ τῇ ὑποστάσει, ἐπί τε Χριστοῦ, καί τοῦ καθ᾽ ἡμᾶς ἀνθρώπου· ἤτοι τῷ ἐκ τούτων ὡς μερῶν ὅλῳ, ὡς πληρεστάτους ἄμφω ἐπιδεχομένῳ κυρίως τούς τοῦ εἶναι τῶν μερῶν διαφόρους λόγους· ἀλλ᾽ οὐ τῇ φύσει καί τῇ οὐσίᾳ ἕν, ὅτι μηδέ

ἀλλήλων τά μέρη τόν τοῦ εἶναι ἐπιδέχεται λόγον, ἤ ἐπ᾽ ἀμφοῖν ἡμεῖς τόν αὐτόν τοῦ εἶναι λόγον εἰδέναι δυνάμεθα. Οὐχ ὁ αὐτός γάρ θεότητος καί ἀνθρωπότητος λόγος· ὥσπερ οὐδέ ψυχῆς καί σώματος, ὡς πᾶσιν εὔδηλον. Διό οὐχ ἕν τῇ φύσει, οὐδέ μίαν ἁπλῶς ἤ σύνθετον φύσιν τόν Χριστόν εἶναι, πώποτε ὁ τῆς ἀληθείας ὡρίσατο λόγος. Οὔτε γάρ οὐσίας ἤτοι φύσεως δηλωτικόν ὡς εἴδους τό Χριστός ὄνομα ὑπάρχει, τῶν κατά πολλῶν καί διαφερόντων ταῖς ὑποστάσεσι κατηγορουμένων ἀτόμων, καθώς φησιν ἐν τοῖς σχολίοις ὁ μακάριος Κύριλλος, " Ὅτι τό Χριστός ὄνομα, οὔτε ὅρου δύναμιν ἔχει, οὔτε μήν τήν τινος οὐσίαν δηλοῖ· ὑποστάσεως δέ τῆς τοῦ Λόγου ἐν προσλήμματι δηλονότι σαρκός νοεράν ἐχούσης ψυχήν νοουμένης." Ἀλλ᾽ οὐδέ τόν ἄνθρωπον μίαν φύσιν τήν ἐκ ψυχῆς καί σώματος· ὡς τῆς αὐτῆς τῇ ψυχῇ οὐσίας ὄντος τοῦ σώματος· ἀλλά τήν ὡς ἐν εἴδει· πρός μέν τά ἄλλά κατά τήν συστατικήν διαφοράν τεμνομένην εἴδη· κατά δέ τῶν ὑπ᾽ αὐτήν ὡς εἶδος καί ὑπ᾽ αὐτῆς περιεχομένων ἀτόμων ἴσως κατηγορουμένην. Καί οὐ διά τοῦτο τό εἶναι δύο κατά τόν οὐσιώδη λόγον τήν ψυχήν καί τό σῶμα ὡς ψυχήν καί σῶμα· καί ἄλλην καί ἄλλην οὐσίαν κατά τόν τοῦ εἶναι λόγον· τά ἐξ ὧν, καί ἐν οἷς, καί ἅ ὑπάρχει ὁ ἄνθρωπος ἀπηγόρευσεν.

***Ὅτι ἀσεβές ἐστί τό λέγειν μίαν σύνθετον φύσιν τόν Χριστόν, καί τῇ ἀληθείᾳ μαχόμενον.***

Πᾶσα γάρ σύνθετος φύσις, ἑαυτῇ τε καί ἀλλήλοις κατ᾽ αὐτήν τήν εἰς τό εἶναι γένεσιν ἔχουσα τά ἴδια μέρη ὁμόχρονα, καί ἐκ τοῦ μή ὄντος εἰς τό εἶναι, καί εἰς συμπλήρωσιν τῆς τοῦ παντός διακοσμήσεως, παρά τῆς τό πᾶν συστησαμένης, καί εἰς τό εἶναι συνεχούσης δυνάμεως παρηγμένα, ἀλλήλοις εἰκότως ἐξ ἀνάγκης τά ἴδια μέρη περιεχόμενα κέκτηται· ὡς ἐπί τε τοῦ ἀνθρώπου ἔχει, καί τῶν ἄλλων ὅσα συνθέτου εἶναι ἔλαχον φύσεως. Τῆς ψυχῆς ἀκουσίως τε κρατούσης τό σῶμα, καί ὑπ᾽ αὐτοῦ κρατουμένης, καί ζωήν ἀπροαιρέτως αὐτῷ, κατ᾽ αὐτό μόνον τό ἐν αὐτῷ εἶναι παρεχούσης, καί πάθους καί ἄλγους φυσικῶς μεταλαμβανούσης διά τήν ἐγκειμένην αὐτῇ τούτων δεκτικήν δύναμιν· κἄν εἰ τά (489) μάλιστά τινες τῶν κατά τήν Ἐκκλησίαν ἀληθῶν περί ψυχῆς δογμάτων ἀποσφαλέντες, προϋπάρχειν Ἑλληνικῶς, ἤ μεθυπάρχειν ἰουδαϊκῶς τοῦ ἰδίου σώματος τήν ψυχήν τερατευόμενοι, καί ἀρχήν οὐ καλήν οὐδέ θεοφιλῆ τῆς τῶν ὁρατῶν δημιουργίας προκαθηγεῖσθαι ὑποτιθέμενοι, ἀντιπαθῶς πρός

τόν τοιοῦτον διάκεινται λόγον· ὧν διελέγξαι τά περί τούτου σαθρά, καί ἀπαγῆ προβλήματα, οὐ τοῦ παρόντος εἶναι καιροῦ τε καί λόγου κρίνας, ἐπί τό προκείμενον ἐπανελεύσομαι.

Οὕτω τοίνυν, καθά πρόκειται, πάσης συνθέτου ἐχούσης φύσεως,οὐκ ἄν τις τολμήσαιέ ποτε τῶν εὐσεβως περί τῶν θείων φρονεῖν ἐγνωκότων, μίαν εἶναι σύνθετον φύσιν εἰπεῖν τόν Χριστόν, ἵνα μή ἐξ ἀνάγκης εἱρμῷ τινι φυσικῷ καί ἀκολουθίᾳ τά τοιαῦτα λέγειν ἐξελόμενος, κτιστόν ὅλον καί ἐξ οὐκ ὄντων, περιγραπτόν τε καί παθητόν, καί τῷ Πατρί οὐχ ὁμοούσιον· καί ἤ συναΐδιον τῷ Λόγῳ τήν σάρκα, ἤ ὁμόχρονον τῇ σαρκί τόν Λόγον ὄντα ὑποτιθέμενος· τοιοῦτος γάρ ὁ πάσης συνθέτου φύσεως λόγος· φοβερῶν ἑαυτόν καταστήσει ἐγκλημάτων ὑπεύθυνον. Τό γάρ συνθέτου φύσεως ὑπάρχον, καί σύνθετον κατά φύσιν δηλονότι ἐστί. Τό δέ κατά φύσιν σύνθετον, τῷ κατά φύσιν ἁπλῷ οὐκ ἄν εἴη ποτέ ὁμοφυές καί ὁμοούσιον. Οὐ θέμις οὖν μίαν τόν Χριστόν λέγειν σύνθετον φύσιν τούς εὐσεβεῖς, οὐ μόνον διά τήν συναγομένην ἐκ τῆς τοιαύτης φωνῆς ἀτοπίαν· ἀλλ᾽ ὅτι καί μηδείς τῶν θεοκρίτων Πατέρων τοῦτο πώποτε εἰρηκώς ἀναπέφανται· ὑπόστασιν δέ μᾶλλον Χριστοῦ σύνθετον μίαν ὁμολογεῖν, καί δύο φύσεις, ἵνα καί τῷ Πατρί ὁμοούσιος κάι ὁμοφυής κατά τήν θεότητα γινώσκηται, καί ἡμῖν ὁμοούσιος καί ὁμοφυής κατά σάρκα ὁ αὐτός γνωρίζηται· καί εἷς καί ὁ αὐτός πρός τέ τόν Πατέρα καί ἡμᾶς, ὡς μεσίτης Θεοῦ καί ἀνθρώπων ὑπάρχων πιστεύηται.

***Περί ὑποστάσεως συνθέτου.***

Εἰ δέ ὅτι καί πᾶσα ὑπόστασις σύνθετος ἑαυτῇ τε καί ἀλλήλοις τά ἴδια μέρη ὁμόχρονα ἔχουσα δείκνυται· ὑπόστασιν δέ σύνθετον εἶναι λέγειν τόν Χριστόν οὐκ ἀρνούμεθα, εἴποιεν καί ἡμᾶς οἱ ἀντιλέγοντες, μή δύνασθαι τήν ἐπί τούτῳ μομφήν ἐκτινάξασθαι, ὡς τοῖς ἰδίοις ἑαλωκότας λόγοις. Φαμέν ἀληθῶς οὕτως ἔχειν, εἴπερ σύνθετον εἶναι ὡς εἶδος αὐτῆς κατηγορούμενον ἔχουσαν ὑπετιθέμεθα. Νυνί δέ τοῦτο μή λέγοντες, οὐδαμῶς τήν οἱανοῦν ἕξομεν μομφήν, σαφῶς γινώσκοντες μή δι᾽ ἑαυτήν σύνθετον εἶναι πᾶσαν σύνθετον ὑπόστασιν, τήν ὑπό τι τελοῦσαν εἶδος· ἀλλά διά τήν φύσιν τήν περιέχουσαν, ὅτ᾽ ἄν σύνθετος ᾖ καί τό κατηγορούμενον εἶδος ὑφ᾽ ὅ ἀνάγεσθαι πέφυκεν· ὡς τοῦ μερικοῦ, ἤτουν ἰδικοῦ ὅλον ἔχοντος ἐν ἑαυτῷ τό καθόλου, ἤτοι τό κοινόν καί γενικόν, πληρέστατον· τοῦ δέ ἰδίου τό σύνολον λόγου τῷ γενικῷ μεταδιδοῦντος οὐδέν· ὅπερ ἐπί

Χριστοῦ οὐδείς οὐδαμῶς τῶν ἀνέκαθεν μέχρις ἡμῶν (492) γενομένων τοῦ λόγου τῆς εὐσεβείας ὑφηγητῶν φρονῶν ἀνηγόρευται· ἐφ᾽ οὗ οὔτε γένος, οὔτε εἶδος, ὡς Χριστοῦ κατηγορούμενον εὑρεῖν τις δυνήσεται. Οὐ γάρ φύσεως λόγῳ πρός ἡμᾶς διά σαρκός ὁ θεαρχικός ἐπεδήμησε Λόγος· ἀλλά τρόπῳ οἰκονομίας ἀνελλιπῶς ἑαυτῷ καθ᾽ ὑπόστασιν ἑνώσας, τήν ἡμετέραν ἀνεκαίνησε φύσιν. Ὥστε οὐδέν τῆς πολλῆς αὐτῶν περινοίας, ἵνα τῆς μικρῷ πρόσθεν τῶν ἐξητασμένων ἀκολουθίας λαβώμεθα, ἀπώναντο, πάλιν εἰς τό ποσόν ὅπερ πεφεύγασι, περιτραπέντος αὐτοῖς τοῦ σοφοῦ, μή δυναμένοις οὐδ᾽ αὐτήν τήν ἐν τῷ ποιῷ διαφοράν ἄνευ ποσοῦ εἶναι λέγειν. Ἀνάγκη γάρ πᾶσα πολλάς εἶναι· ἤ τό μέτριον δύο, ὡς προείρηται, τάς ποιότητας, ὧν τήν διαφοράν εἶναι ὑπολαμβάνουσι. Μόνην γάρ ποιότητα πρός ἄλλην παντελῶς ἀμιγῶς ἔχουσαν πρός ἑαυτήν διαφέρειν, οὐκ ἄν τις νοῦν ἔχων εἴποι ποτέ.

Λοιπόν οὖν, ἤ καί αὐτῆς παύσωνται τῆς ψιλῆς διαφορᾶς, ποσοῦ πάντως τινῶν διαφερόντων δηλωτικήν αὐτήν οὖσαν μαθόντες· ἤ σύν ἡμῖν τῆς ἀληθείας τήν ὁμολογίαν καταδεξάσθωσαν, τῷ λόγῳ τῆς διαφορᾶς καί μόνον, πρός γνῶσιν τοῦ ἀσύγχυτα μεμενηκέναι τά συνελθόντα, τόν ἀριθμόν εὐσεβῶς κατά τούς Πατέρας παραλαμβάνουσιν. Ἐπείτοιγε εἰπάτωσαν ἡμῖν ἀγαπητκῶς ἐρέσθαι βουλομένοι, εἴπερ ἔνεστιν αὐτοῖς λόγος σοφίας οὐκ ἐγεννής, πῶς δύο μέν τά συνδεδραμηκότα πρός ἕνωσιν λέγοντες, ταῦτα δέ αὐτά μεμενηκέναι ἀσύγχυτα καί μετά τήν ἕνωσιν οὐκ ἀρνούμενοι· ὡς μηδ᾽ ἑτέρου τοῦ κατά φύσιν ὅρου τε καί λόγου ἐκστάντος· κἄν εἰ πρός ἕν ἄμφω συντελοῦσι πρόσωπον τοῦ Υἱοῦ καί μίαν ὑπόστασιν· δύο τά καί κατ᾽ αὐτούς σωζόμενα, ὥς φασιν , εἴπερ ἀληθεύουσιν, οὐχ ὁμολογοῦσι· καί τίς αὐτοῖς τῆς μειώσεως ὁ λόγος, καί δι᾽ ἥντινα τήν αἰτίαν, καί πῶς ἄμφω αἱ φύσεις μίαν γενόνασιν; Ἤ εἴπερ μειώσεως καθαρά διέμεινεν ἡ ἕνωσις, τίς ὁ τοῦ μή λέγεσθαι τά ἀμειώτως σωζόμενα λόγος· καί στέργομεν εὐπειθῶς τῆς μιᾶς τήν στέρησιν· καί θαυμάζομεν αὐτῶν τῆς εὐπαιδείας τό εὔτονον, ὡς μόνων τῆς τῶν ἀῤῥήτων γνώσεως ἐκφανθέντων ἡμῖν χωρητικῶν. Ἀλλ᾽ οὐ δυνήσονται πώποτε τόν τοῦτο πείθοντα παραστῆσαι λόγον.

***Ἐπίλυσις σύντομος τῆς Σευήρου ἀπορίας κατά τῆς, Ἕν δύο, φωνῆς.***

Κἄν εἰ τά μάλιστα ἐπ᾽ ἐκεῖνο καταφεύγομεν τελευταῖον, τό σαθρόν καί διάκενον Σευήρου εὕρημα, τό πάνυ παρ᾽ αὐτοῦ ὥσπερ τι σοφόν πανταχοῦ φερόμενον καί ᾀδόμενον, φάσκοντες γελοῖον εἶναι, ἐκ δύο

φύσεων δύο φύσεις ἐκ τῆς ἑνώσεως πάλιν ἀναδειχθῆναι λέγειν· ὥσπερ λήμματι παρ᾽ ἡμῶν δοθέντι τά εἰκότα ἐπισυνάγοντες. Τίνος γάρ ἤκουσαν τῶν τά θεῖα τῆς Ἐκκλησίας πεπαιδευμένων δόγματα, ὡς ἡ ἕνωσις ἐκ δύο φύσεων δύο ἀπετέλεσε φύσεις; Ἀλλ᾽ οὐδαμῶς ἀκηκοέναι εἰπεῖν δυνήσονται ἀληθείας φροντίζοντες. Λέγομεν δέ ἐκ δύο φύσεως τήν ἕνωσιν γεγενῆσθαι· μίαν δέ τήν ἐξ αὐτῶν (493) ὑπόστασιν ἀποτελέσθαι τοῦ Χριστοῦ σύνθετον ἐκεῖνας αὐτάς τάς ἐξ ὧν συνετέθη φύσεις, ὡς ὅλον ἴδια μέρη ἀνελλιπῶς μετά τῶν φυσικῶν ἰδιωμάτων, καί ἀτρέπτως φυλάττουσάν τε καί διασώζουσαν· καί ἐν αὐταῖς φυλαττομένην καί σωζομένην ὡς ὅλον ἐν μέρεσιν. Ἐκ δύο οὖν φύσεων, οὐ δύο φύσεις, ἀλλά μίαν ὑπόστασιν λέγομεν Χριστόν σύνθετον· τούτων ὡς ἰδίων μερῶν περιεκτικήν τῶν φύσεων, καί ταύτας ὡς ἴδια καί συμπληρωτικά μέρη περιέχουσαν· καί ἐν αὐταῖς ὡς ἐν μέρεσι καί οὖσαν καί γνωριζομένην. Ἕως γάρ ἄν σύγχυτα τά συνελθόντα μεμένηκαι πιστεύηται, ἀεί δέ μένει ἀσύγχυτα, τοῦ μή δύο εἶναι κατά τό πεφυκέναι εἶναι, ὅπερ ἑκάτερον κατ᾽ οὐσίαν εἶναι πέφυκεν· ὥσπερ οὖν καί τοῦ ἕν εἶναι ταῦτα τῷ κατά τήν ὑπόστασιν λόγῳ, ἕως ἄν ἡ ἕνωσις ᾖ· ἀεί δέ ἐστι κατά τήν εὐσεβῆ τῶν πιστῶν ὁμολογίαν, ἀδύνατον.

Διό ἕν καί δύο αὐτό λέγοντες, οὐ κατά τό αὐτό φαμεν, ἐπί τοῦ αὐτοῦ καί ἑνός ἀμφότερα· κατ᾽ ἄλλο δέ καί ἄλλο. Οἷον κατά μέν τόν τῆς φύσεως λόγον, τῶν ἐξ ὧν ἡ ἕνωσις, τό δύο. Οὐ γάρ ταὐτόν κατά τήν φύσιν τῇ ἰδίᾳ σαρκί τόν Θεόν Λόγον γινώσκομεν· κατά δέ τόν τῆς ὑποστάσεως λόγον τό ἕν· ταὐτόν γάρ τόν Θεόν Λόγον τῇ ἰδίᾳ σαρκί κατά τήν ὑπόστασιν ἐπιστάμεθα. Οὔτε οὖν τάς φύσεις ἀφρόνως εἰς μίαν συναλείφομεν φύσιν, τῷ ἀνῃρῆσθαι λέγειν ἐπί Χριστοῦ τήν φυσικήν διαφοράν, ἵνα μή τροπήν τοῦ Λόγου καί τῆς σαρκός εἰσαγάγωμεν· οὔτε εἰς δύο πάλιν ἰδιοσυστάτους μανικῶς διαιροῦμεν, τῷ καί κατά τόν τῆς ὑποστάσεως λόγον τιθέναι διαφοράν, ἵνα μή τήν ἡμῶν αὐτῶν ἀρνώμεθα σωτηρίαν· ὥσπερ οἱ ἐκ διαμέτρου πρός ἀλλήλους μερισάμενοι τήν ἀσέβειαν, Ἀπολινάριος ἅμα Εὐτυχεῖ, καί Νεστόριος ποιήσαντες· οἱ μέν φυσικήν διαφοράν ἐπί Χριστοῦ οὐκ εἰδότες· ὁ δέ πρός ταύτῃ καί προσωπικήν προσεπάγων, τῆς ἀληθείας ἐξέπεσαν. Ἀλλ᾽ εἰδότες καί ἐν τῇ καθ᾽ ὑπόστασιν ἑνώσει τήν φυσικήν ἰδιότητα ἄτρεπτον, καί τήν σύγχυσιν ὁμοίως καί τήν διαίρεσιν ἀποστρεφόμεθα· μήτε τήν ἕνωσιν σύγχυσιν, ὡς ἀγνοοῦντες τά

ἑνωθέντα· μήτε διαίρεσιν τήν διαφοράν, ὡς καθ᾽ αὑτά ὑφεστάναι μεμερισμένως εἰδότες τά διαφέροντα, ἐργαζόμενοι.

Τοῦτο μέν οὖν, ὡς οἶναι, καί ὁ μέγας Θεολόγος Γρηγόριος διδάσκων φαίνεται ἐν τῷ μεγάλῳ ἀπολογητικῷ, " Ἕν ἐξ ἀμφοῖν λέγων, καί δι᾽ ἑνός ἀμφότερα·" ὡσανεί ἔλεγεν, Ὥσπερ γάρ ἕν ἐξ ἀμφοῖν, τουτέστιν ἐκ δύο φύσεων τό ἕν, ὡς ὅλον ἐκ μερῶν κατά τόν τῆς ὑποστάσεως λόγον· οὕτω καί διά τοῦ καθ᾽ ὑπόστασιν ἑνός, ὡς ὅλου, ἀμφότερα τῷ κατά φύσιν λόγῳ τά μέρη, τουτέστι τά δύο. Ὅπερ ἐν τῷ δευτέρῳ περί Υἱοῦ λόγῳ τρανώτερον διεξιών, φησίν, "Εἰ γάρ καί τό συναμφότερον ἕν, ἀλλ᾽ οὐ τῇ (496) φύσει, τῇ δέ συνόδῳ." Τοῦτο δέ αὐτό καί ὁ κακάριος Κύριλλος ἐν τοῖς πρός Σούκενσον γράμμασι δείκνυται φρονῶν, ἐν οἷς ἐπί τοῦ κατά τόν ἄνθρωπον παραδείγματός φησιν· " Ὥστε τά δύο μηκέτι μέν εἶναι δύο, δι' ἀμφοῖν δέ τό ἕν ἀποτελεῖσθαι ζῶον·" μονονουχί ἐν τούτοις διαῤῥήδην βοῶν, Ὅτι τά ἐξ ὧν ἡ σύνθεσις ἐπί τε τοῦ καθ᾽ ἡμᾶς ἀνθρώπου τοῦ ἐκ ψυχῆς καί σώματος· ἐπί τε τοῦ κατά Χριστόν μυστηρίου, τοῦ ἐκ θεότητος καί ἀνθρωπότητος, τό εἶναι μέν δύο κατά τόν οὐσιώδη λόγον οὐκ ἀνῄρηται· ἐπεί, οὐδέ ἑτερούσια ἔτι μένει. Τό δέ καθ᾽ αὑτά ἐν μονάδι καί μονάδι ἰδιοσυστάτως εἶναι δύο, παντελῶς ὁ τῆς εὐσεβείας οὐ παραδέχεται λόγος· ἵνα μή τόν ἕνα ἄνθρωπον ἤτοι ζῶον, εἰς ἀνθρώπου ἤ ζῶα δύο μερίζωμεν· καί τόν ἕνα Χριστόν εἰς δύο Χριστούς, ἤ δύο Υἱούς. Εἰ γάρ μή τοῦτο πανταχοῦ καί νοεῖν καί φρονεῖν καί διδάσκειν καλῶς ἔγνω ὁ μακάριος Κύριλλος, οὐκ ἄν τήν τῶν φύσεων διαφοράν μή ἀνῃρῆσθαι διά τήν ἕνωσιν ἔφασκεν· οὐκ ἄν ἄλλο καί ἄλλο, ἕτερον καί ἕτερον, καί τοῦτο κἀκεῖνο, καί ἄμφω τόν ἕνα Χριστόν, καί ἀσυγχύτους μεμενηκέναι τάς φύσεις ἐδίδασκεν. Οὐκ ἄν μή μεταπεφοιτηκέναι εἰς τήν τῆς σαρκός φύσιν τόν Λόγον, ἤ τήν σάρκα εἰς τήν αὐτοῦ τοῦ Λόγου φύσιν μή μεταβληθῆναι ἐδόξαζεν. Οὐκ ἄν τάς εὐαγγελικάς καί ἀποστολικάς περί τοῦ Κυρίου φωνάς τούς θεηγόρους ἄνδρας ἐγίνωσκε, τάς μέν κοινοποιοῦντας, ὡς ἐφ' ἑνός προσώπου· τάς δέ διαιροῦντας, ὡς ἐπί δύο φύσεων. Οὐκ ἄν τό ὅλον, τουτέστι τόν Χριστόν, μίαν εἶναι φύσιν λέγειν παρῃτεῖτο, εἴπερ εὐσεβές τοῦτο ἠπίστατο. Οὐκ ἄν ὡρίζετο μηδέν ἄλλο τήν ἀνθρωπίαν εἶναι φύσιν, πλήν σαρκός νοερῶς ἐψυχωμένης· διά τούτου τελείαν εἶναι διαβεβαιούμενος ἐν Χριστῷ καί τήν φύσιν τῆς ἀνθρωπότητος. Οὐκ ἄν διά τοῦ ἐπάγειν τό Σεσαρκωμένην, τῆς καθ᾽ ἡμᾶς οὐσίας τήν δήλωσιν εἰσκομίζεσθαι ἔφασκεν. Οὐκ ἄν ὀρθῆς δόξης εἶναι

σημαντικόν, τό λέγειν δύο φύσεις ἡνωμένας ἀδιαιρέτως, ὅτ᾽ ἄν μή κατά τόν Νεστορίῳ δοκοῦντα τρόπον κακούργως προφέρηται ἡ φωνή, διωρίζετο. Οὐκ ἄν τοιαῦτα, ἀλλά μυρία λέγων, ὡς τοῖς φιλοπόνοις δῆλον ἐκ τῶν αὐτοῦ συγγραμμάτων, ἐφαίνετο.

Πόθεν οὖν, κἀκ τίνων τῶν διδασκάλων, τάς ἐπί Χριστοῦ, ἐξ ὧν καί ἔστι, σωζομένας μετά τήν ἕνωσιν καί κατ’ αὐτούς, ὥς φασι, δύο φύσεις, μή δεῖν εὐσεβῶς ὁμολογεῖσθαι παρά τῶν πιστῶν παραστήσουσιν; Οὐδείς γάρ οὐδαμῶς τῶν ἐγκρίτων διδασκάλων τοῦτο θεσπίσας εὑρίσκεται· τοὐναντίον μέν οὖν πάντες καί εἶπον, καί λέγειν τούς πιστούς διά τῶν ἰδίων ἐδίδαξαν φωνῶν· εἰ μή ἄρα συνήθως ἐκ καρδίας πλασάμενοι τό δοκοῦντα, ὡς ἑνός τῶν Πατέρων ἀπάτης ἕνεκεν τῶν ἀκεραιοτέρων, τό πλάσμα προβάλλοιντο. Ἀλλ᾽ οὗτοι, ὡς ἔοικεν, αἰσχύνην ἡγούμενον τό πείθεσθαι, καί τήν εἰς πλανήσαντας αὐτούς ἐξ ἀρχῆς ἀνθρώπους προσπάθειαν τῆς θείας ἀγάπης (497) προκρίνοντες, καί τοῦ εὐσεβεῖν τό φιλόνεικον προτιμῶντες, καί τοῦ τιμᾶσθαι ὡς ἱερεῖς παρά τῶν ἀνθρώπων, οἷς τήν ἀπάτην διά τοῦ καθ᾽ ἡμῶν ψεύδεσθαι τά μή ὄντα προσάγουσι· καί τῶν κακόν κακοῦ ἀντιλαβεῖν, τῆς ἀπάτης λέγω μισθόν τά φθειρόμενα, τήν παρά τοῦ Θεοῦ ἐπί τῇ ὁμονοίᾳ τῆς πίστεως ἀποδοχήν τε καί τιμήν κατωτέραν ποιούμενοι, τοῦ πολεμεῖν τῇ ἀληθείᾳ, καί ἀφιστᾷν αὐτῆς ἐπιχειρεῖν, οὐ παύονται ὅσους ἄν δύνανται. Διό παρακαλῶ ὑμᾶς ἐγώ ὁ ἐλάχιστος, τέκνα ὄντας γνήσια τῆς ἁγίας ἀποστολικῆς Ἐκκλησίας, ἐν ᾗ φωτισθέντες διά τῆς τοῦ θείου λουτροῦ ἀναγεννήσεως, υἱοθετηθῆναι Θεῷ ἐν Πνεύματι ἠξιώθητε στέλλεσθαι ἀπό τῶν τοιούτων, μνημονεύοντας τοῦ ἁγίου Ἀποστόλου Παύλου γράφοντος Ῥωμαίοις τόν τρόπον τοῦτον· Παρακαλῶ ὑμᾶς, ἀδελφοί, σκοπεῖν τούς τάς διχοστασίας καί τά σκάνδαλα παρά τήν διδαχήν, ἥν ὑμεῖς ἐμάθετε, ποιοῦντας, καί ἐκκλίνατε ἀπ᾽ αὐτῶν. Οἱ γάρ τοιοῦτοι τῷ Κυρίῳ ἡμῶν Χριστῷ οὐ δουλεύουσιν, ἀλλά τῇ ἑαυτῶν κοιλίᾳ· καί διά τῆς χρηστολογίας καί εὐλογίας ἐξαπατῶσι τάς καρδίας τῶν ἀκάκων. Καί πάλιν περί τούτων αὐτῶν, ταραχάς τῇ τοῦ Θεοῦ Ἐκκλησίᾳ κινεῖν εἰθισμένων Κορινθίοις ἐπιστέλλοντος τάδε· Οἱ γάρ τοιοῦτοι ψευδαπόστολοι ἐργάται δόλιοι, μετασχηματιζόμενοι εἰς Ἀποστόλους Χριστοῦ. Καί οὐ θαῦμα· αὐτός γάρ ὁ Σατανᾶς μετασχηματίζεται εἰς ἄγγελον φωτός. Οὐ μέγα οὖν, εἰ καί οἱ διάκονοι αὐτοῦ μετασχηματίζονται ὡς διάκονοι δικαιοσύνης· ὧν τό τέλος ἔσται κατά τά ἔργα αὐτῶν. Τούτων δέ αὐτῶν τό τῆς γνώμης δολερόν, καί τοῦ

τρόπου τό ὑπόκλοπον ἐν Εὐαγγελίοις γάρ ὁ Κύριος αἰνιττόμενος, προαναιφώνησε, τούς πιστούς οἷον ἀσφαλιζόμενος, λέγων· Προσέχετε ἀπό τῶν ψευδοπροφητῶν, οἵτινες ἔρχονται πρός ὑμᾶς ἐν ἐνδύμασι προβάτων· ἔσωθεν δέ εἰσι λύκοι ἅρπαγες. Ἀπό τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς. Περί τούτων δέ αὐτῶν καί ὁ ἅγιος Εὐαγγελιστής Ἰωάννης ἐν τῇ πρώτῃ αὐτοῦ καθολικῇ, νηφαλαιοτέρους τούς εὐσεβεῖς ἐργαζόμενος, φησίν, Ἀγαπητοί μή παντί πνεύματι πιστεύητε, ἀλλά δοκιμάζετε τά πνεύματα, εἰ ἐκ τοῦ Θεοῦ εἰσιν· ὅτι πολλοί ψευδοπροφῆται ἐξεληλύθασιν εἰς τόν κόσμον. Ἐν τούτῳ γινώσκετε τό Πνεῦμα τοῦ Θεοῦ. Πᾶν πνεῦμα ὅ ὁμολογεῖ Ἰησοῦν Χριστόν ἐν σαρκί ἀληλυθότα, ἐκ τοῦ Θεοῦ ἐστι. Καί πᾶν πνεῦμα ὅ οὐχ ὁμολογεῖ Κύριον Ἰησοῦν Χριστόν ἐν σαρκί ἐληλυθέναι, τοῦ Θεοῦ οὐκ ἔστι· καί τοῦτό ἐστι καί νῦν ἐν τῷ κόσμῳ ἐστίν.

Τούτων ἀεί μνημονεύοντας τῶν λόγων, αὐτούμενος ὑμᾶς, εὐλογημένοι, τῆς εὐσεβείας, ἧς οὐδέν ἀνθρώποις πρός τό φιλιωθῆναι Θεῷ οἰκειότερον, διά πάσης προσοχῆς καί ἐπιμελείας ἔχεσθαι βούλομαι πάντας πάσῃ δυνάμει ἀποστρεφομένους, τούς μή δεχομένους τά εὐσεβῆ τῆς Ἐκκλησίας καί σωτήρια δόγματα· καί μάλιστα μαθόντας τῆς τοῦ Ἀντιχρίστου διδασκαλίας εἶναι, Τό μή ἐν σαρκί ὁμολογεῖν τόν Κύριον (500) ἡμῶν καί Θεόν Ἰησοῦν Χριστόν, ὡς μέγας εὐαγγελιστής διαῤῥήδην βοᾷ Ἰωάννης· ὅπερ οἱ νῦν τῇ τοῦ Θεοῦ πολεμοῦντες Ἐκκλησίᾳ προφανῶς καταγγέλλουσι, τήν φύσιν τῆς σαρκός ἀπαρνούμενοι, τῷ μή ὁμολογεῖν ἐν Χριστῷ σώζεσθαί τε καί εἶναι αὐτήν ἀνέχεσθαι· καί οὔτε φρίττουσι, τό ἐνεεινότερον, ἤ θρασύτερον, εἰπεῖν οἰκειότερον, τῆς Θεῷ ἀντικειμένης δόξης κήρυκας ἑαυτούς προβαλλόμενοι. Ἀλλ᾽ οὗτοι μέν οὕτω διακεῖσθαι ἐπισφαλῶς κατά τήν πίστιν προελόμενοι, ἄξιον τῆς αὐτῶν δρέπονται ἀνοίας καρπόν· τό παρά πᾶσιν εὐφώρατον κεκτῆσθαι τῆς δισσεβείας ἔλεγχον.

***Ἔκθεσις σύντομος τῆς ἐκδοχῆς τῶν ὀρθῶς ἐπί Χριστοῦ κατά τήν καθολικήν Ἐκκλησίαν ὁμολογουμένων τῆς πίστεως φωνῶν.***

Ἡμεῖς δέ σύν Θεῷ φᾶναι, οἱ τήν θείαν καί καθαράν τῆς ἐκκλησιαστικῆς διδασκαλίας πόαν νεμόμενοι, ἀκαθαίρετον ἔχοντες τῆς εὐσεβείας τό κλέον, πάσας εὐσεβῶς τάς εὐσεβεῖς ἐπί Χριστοῦ τόν Πατέρων φωνάς, ὁμολογεῖν ἐνώπιον Θεοῦ καί ἀνθρώπων παῤῥησιαζόμεθα, μετ᾽ εὐσεβοῦς ἑκάστην ἐννοίας καί λογισμοῦ τοῦ πρέποντος ἐκλαμβάνοντες· καθώς ἄνωθεν αἱ ἀπ᾽ ἀρχῆς διά τῶν

γενομένων λειτουργῶν τῆς χάριτος, τόν σωτήριον τῆς πίστεως κατηχήθημεν λόγον. Ὁμολογοῦμεν τοίνυν τόν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν ἐκ δύο μέν φύσεων, ὡς ἐκ θεότητος καί ἀνθρωπότητος συγκείμενον· ἐν δύο δέ φύσεσιν, ὡς ἐν θεότητι καί ἀνθρωπότητι, ὄντα γινώσκοντες. Ὥσπερ γάρ ἐκ δύο φύσεων λέγοντες, τό ἐκ Θεότητος καί ἀνθρωπότητος αὐτόν εἶναι δοξάζομεν· οὕτω καί ἐν δύο φύσεσι λέγοντες, τό ἐν θεότητι καί ἀνθρωπότητι εἰκότως αὐτόν ὑπάρχειν σημαίνομεν· ὡς μηδεμιᾶς κεχωρισμένον μετά τήν ἕνωσιν τῶν ἐξ ὧν συνέστηκε φύσεων, ἀλλ᾽ ἐν αὐταῖς, ἐξ ὧν καί ἔστιν ἀεί, καί ὄντα καί γνωριζόμενον. Δύο φύσεις καθ᾽ ὑπόστασιν ἡνωμένας ἀδιαιρέτως πάλιν αὐτόν ὁμολογοῦμεν, ὡς Θεόν ἀληθῶς τόν αὐτόν ὄντα καί ἄνθρωπον, αὐτοῖς ἐπαληθεύοντα τοῖς πράγμασι τά ὀνόματα πιστεύοντες. Ὡς γάρ Υἱόν Θεοῦ καί Θεόν φύσει αὐτόν καί ἀληθείᾳ καί ὄντα καί λεγόμενον πιστεύομεν διά τήν πρό τόν Θεόν καί Πατέρα τῆς οὐσίας ταυτότητα· Οὕτω καί Υἱόν ἀνθρώπου, καί ἄνθρωπον γενόμενον εἶναί τε καί λέγεσθαι αὐτόν φύσει καί ἀληθείᾳ φαμέν, διά τήν πρός τήν τεκοῦσαν αὐτόν φυσικήν κατά σάρκα συγγένειαν. Εἰ γάρ μή δύο φύσεις αὐτόν, ὡς Θεόν τε ὁμοῦ καί ἄνθρωπον ὁμολογήσομεν, ἐκ ψιλῶν ὀνομάτων καί οὐχί πραγμάτων συντεθεῖσθαι αὐτόν λέγοντες ἐλεγχθησόμεθα· καί οὐκ ὄντα κατ᾽ ἀλήθειαν, ὅπερ εἶναι διά τῶν ὀνομάτων σημαίνεται. Ὡς καί μηδέν εἶναι λοιπόν δύνασθαι, κατ᾽ αὐτούς ἐκείνους εἰπεῖν ὑποτίθεσθαι τόν βλασφημεῖν προαιρούμενον, τό ἡμῖν προσκυνούμενόν τε καί λατρευόμενον, ὅπερ πάσης ἀσεβείας ὑπερβολήν ὑπερβέβηκε.

Διόπερ μή ὑπαχθῆναι βλασφημίας ἐγκλήμασι (501) φυλαττόμενοι, οὐ παυόμεθα ὁμολογοῦντες τόν Χριστόν ἐκ δύο φύσεων, ὡς ἐκ θεότητος, καθώς εἴρηται, καί ἀνθρωπότητος· καί ἐν δύο φύσεσιν, ὡς ἐν θεότητι καί ἀνθρωπότητι· καί δύο φύσεις, ὡς Θεόν τε ὁμοῦ τόν αὐτόν ὄντα, καί ἄνθρωπον πιστεύοντες· ὅτι μή ἐν τούτων μόνον, ἀλλά καί ταῦτα· οὐδέ ταῦτα μόνον, ἀλλά καί ἐν τούτοις, ὡς ἐκ μερῶν ὅλον, καί ὅλον ἐν μέρεσι, καί διά τῶν μερῶν ὅλον γινώσκοντες. Εἰ γάρ αὐτός τοῖς οὖσι τό εἶναι δούς, καί τήν πρός διαμονήν ἐχαρίσατο δύναμιν, πρός τό μή φύρεσθαι ἀλλήλοις τά εἴδη καί μεταβάλλειν εἰς ἄλληλα, ἀλλά μένειν ἕκαστα καθ᾽ ὅν παρ᾽ αὐτοῦ γεγένηνται λόγον· ὥστε δύνασθαι ἐκ τῆς κατά τήν φυσικήν ἑκάστων ἰδιότητα παγιότητος, τόν πάνσοφον καί ἐπιστήμονα τοῦ παντός γενεσιουργόν καί ταξιάρχην, τούς τῶν θείων ἐπιμελεῖς φιλοθεάμονας, ὡς ἐφικτόν, ἐννοεῖν· πολλῷ

μᾶλλον ἐν ἑαυτῷ τήν ἑαυτοῦ ἀπειροδύναμον πιστώσηται δύναμιν· ὅπερ ἦν διαμένων, καί γενόμενος ὅπερ οὐκ ἦν· καί ὅπερ γέγονεν οὐκ ἀρνούμενος μετά τοῦ μένειν ὅπερ ἦν, τῷ ὑπάρχειν ἀνελλιπῶς τε καί ἀτρέπτως ἀμφότερα.

Καί μίαν δέ τοῦ Θεοῦ Λόγου φύσιν σεσαρκωμένην, σαρκί ψυχήν ἐχούσῃ τήν νοεράν τε καί λογικήν λέγομεν εὐσεβῶς, διά τοῦ ἐπάγειν τό Σεσαρκωμένην, τῆς καθ᾽ ἡμᾶς οὐσίας τήν δήλωσιν εἰσκομίζοντες. Περίφρασις γάρ ἐστιν ἐν ταυτῷ καθ᾽ ἕνωσιν, δι᾽ ὀνόματος καί ὅρου τάς δύο φύσεις ἐμφαίνουσα· ὀνόματος μέν, τῆς μιᾶς τοῦ λόγου φύσεως, τῆς τό κοινόν τῆς οὐσίας μετά τοῦ ἰδίου τῆς ὑποστάσεως σημαινούσης· ὅρου δέ τῆς ἀνθρωπίνης, ὡς αὐτός φησιν ὁ διδάσκαλος Τί γάρ ἐστιν ἀνθρωπότητος φύσις, πλήν ὅτι σάρξ ἐψυχωμένη νοερῶς. Ὥστε ὁ λέγων μίαν τοῦ Θεοῦ Λόγου φύσιν σεσαρκωμένην, μετά σαρκός ἐμψύχου εἶναι τόν Θεόν Λόγον δηλοῖ, ἑτερόν τι πάντως κατά τήν οὐσίαν παρά τόν Θεόν Λόγον οὖσαν τήν σάρκα νοῶν, ὅ γε ἀληθής τῆς εὐσεβείας μαθητής καί ἀνόθευτος. Καί τήν καθ᾽ ὑπόστασιν δέ λέγοντες ἕνωσιν, εἰς μίαν τῶν φύσεων γεγενῆσθαι τήν ἕνωσιν νοοῦμέν τε καί ὁμολογοῦμεν· ὡς μηδεμιᾶς καθ᾽ ἑαυτήν τό σύνολον ἤ οὔσης, ἤ νοουμένης, ἀλλά μετά τῆς συγκειμένης καί συμπεφυκυίας· οὐδ᾽ ἄν πάλιν κατά τόν οὐσιώδη λόγον πρός τήν ἄλλην φυρείσης, ἤ καθ᾽ ὁτιοῦν τῆς φυσικῆς τελειότητος παθούσης ἐκ τῆς ἑνώσεως μείωσιν. Καί πάλιν τήν φυσικήν ἕνωσιν ἀντί τοῦ ἀληθῆ λέγειν ὁμολογοῦμεν, καθώς ὁ ἅγιος αὐτός Κύριλλος ταύτας τάς φωνάς καί εἶπε καί ἐξηγήσατο· καί οὐ πρός ἀναίρεσιν τῶν ἐξ ὧν ἐστίν ὁ Χριστός δύο φύσεων μετά τήν ἕνωσιν, ἤ μιᾶς αὐτῶν, καθώς Ἀπολινάριος, Εὐτυχής τε καί Σευῆρος, Σίμωνι μάγῳ, Οὐαλεντίνῳ τε καί Μάνεντι ἀκολουθήσαντες ἐκδεδώκασιν, ὡς ἔστι τοῖς βουλομένοις εὐχερές, ἐκ τῶν Σευήρου αὐτοῦ συγγραμμάτων πρός τούς ὀνομασθέντας ἀσεβεῖς ἄνδρας, κατά τήν συμφωνίαν τῶν λόγων, τήν τῶν δογμάτων κατιδεῖν (504) ταυτότητα. Ὡσαύτως δέ τοῦ αὐτοῦ καί ἑνός Χριστοῦ τάς δύο γεννήσεις φαμέν, τήν τε ἐκ Θεοῦ Πατρός πρό αἰώνων, καί τήν δι᾽ ἡμᾶς ἐπ᾽ ἐσχάτων τῶν χρόνων ἐκ τῆς ἁγίας Παρθένου γεγενημένην· τοῦ αὐτοῦ τά τε θαύματα καί τά πάθη δοξάζομεν. Ὁμολογοῦμεν δέ καί τήν ἁγίαν πανένδοξον Παρθένον κυρίως καί κατά ἀλήθειαν Θεοτόκον· ὡς οὐχί τινος ἀνθρώπου ψιλοῦ, κἄν ὡς ἐν ῥιπῇ ὀφθαλμοῦ δίχα τῆς πρός τόν Λόγον ἑνώσεως προδιαπλασθέντος, καί ἐκ προκοπῆς ἔργων καί ἐκ τῆς εἰς ἀρετήν ἀκρότητος θεωθέντος

γεγενημένην μητέρα· ἀλλ᾽ ὡς αὐτοῦ ἀληθῶς τοῦ Θεοῦ Λόγου, τοῦ ἑνός τῆς ἁγίας Τριάδος, ἐξ αὐτῆς κατά σύλληψιν ἄῤῥητον σαρκωθέντος, καί τελείως ἐνανθρωπήσαντος.

Ταύτας οὕτω τούς ἰδίους ἡ ἁγία τοῦ Θεοῦ Ἐκκλησία τάς φωνάς εὐσεβῶς καί λέγειν καί νοεῖν διδάξασα, τῷ Θείῳ καί λαμπρῷ τῆς γνώσεως φωτί φυλάττεσθαι ἐνεχείρισε· παρακαλοῦσα διά τε Προφητῶν καί Ἀποστόλων, καί αὐτοῦ τοῦ τοῖς ἰδίοις παθήμασιν αὐτήν συμπηξαμένου τε καί ἁρμοσαμένου Χριστοῦ, πρόσφορόν τε καί πρέποντα τῷ μεγάλῳ τῆς πίστεως ἐπαγγέλματι βίον ἀναλαβεῖν· Σκοποῦντας τί τό θέλημα τοῦ Θεοῦ τό ἀγαθόν καί εὐάρεστον καί τέλειον· καί εἰς αὐτό ἀγρυπνοῦντας. Οὐχ ἧττον γάρ εὐσεβοῦς πίστεως ἀρίστης χρήζειν ἐδιδάχθημαεν πολιτείας πρός τό τυχεῖν τῆς αἰωνίου ζωῆς· μήπως τῷ θεμελίῳ τῆς πίστεως τά μή ἐπιβάλλοντα ἐποικοδομήσαντες, διά πονηρῶν ἐπιτηδευμάτων, ὡς τήν κλῆσιν, καί τήν χάριν τῆς υἱοθεσίας ὑβρίσαντες, ἀντί χαρᾶς καί δόξης ἀτελευτήτου, αἰωνίου πυρός ὑποδίκους ἑαυτούς καταστήσωμεν.

Πολλάς οὖν ὁρῶντες ὁδούς ἀρετῶν, εὐλογημένοι, καί τῆς μακαρίας Χριστοῦ καλλονῆς σώφροντες ἐρασταί, παρά τοῦ Κυρίου τῶν ὅλων τοῖς ἀνθρώποις δεδωρημένας, ἕνα τε τόν σκοπόν ἐχούσας, καί πρός ἕν τάς πάσας τέλος καταντώσας εἰς σωτηρίαν, μή ἀμελήσωμεν τῆς ἑαυτῶν σωτηρίας, μηδέ προώμεθα τόν καιρόν τόν ἐπί μετανοίᾳ ἡμῖν δεδομένον, οὗ πάλιν ἐπιτυχεῖν ἀμήχανον. Ἀλλά πρίν πορευθῆναι, καθά πού φησιν ὁ μέγας Ἰώβ, ὅθεν οὐκ ἀναστρέψομεν, εἰς γῆν σκοτεινήν καί γνοφεράν, εἰς γῆν σκότους αἰωνίου, οὗ οὐκ ἔστι φέγγος, οὐδέ ὁρᾷν ζωήν βροτῶν, σπουδάσωμεν τόν Θεόν ἱλεώσασθαι κατά τήν ἑαυτοῦ ἕκαστος δύναμιν. Πρός γάρ τό ποικίλον καί διάφορον τῶν καταστάσεων τῶν ψυχῶν ἡμῶν, ὡς ἀγαθός, πολλάς εἰκότως εἶναι καί τάς ὁδούς πρός τάς αἰωνίους μονάς ἀγούσας τούς δι᾽ αὐτῶν ὁδεύοντας ἀμέμπτως πεποίηκεν, ὅπως τήν ἑαυτῷ πρόσφορον ἐπιλεξάμενος ἕκαστος, καί τόν δρόμον τοῦ βίου δι᾽ αὐτῆς ποιησάμενος, τόν ἐν οὐρανοῖς κατ᾽ ἐλπίδας προκείμενον πανένδοξον καταλήψοιτο χῶρον.

Τοιγαροῦν καθώς ἔχομεν δυνάμεως συνεργείᾳ καί χάριτι Χριστοῦ, τῶν καθηκόντως ἁψώμεθα. Ἐπικουφίσωμεν συμπαθῶς τοῦ πένητος τήν συμφοράν, καί μετριωτέραν αὐτῷ καταστῆσαι τήν ἔνδειαν μή (505) ἀμελήσωμεν. Τῶν γυμνῶν περιστεῖλαι τήν γύμνωσιν, τό δοθέν ἡμῖν αἰδούμενοι τῆς ἀφθαρσίας ἔνδυμα μή ἀναβαλώμεθα. Τοῖς ἐν κακώσει φρουρᾶς τρυχομένοις καί ἀσθενείᾳ σώματος, καί βάρει

ξενητείας πιεζομένοις συναλγήσωμεν, καί τά δυσχερῆς τῶν ἄλλων οἰκειοῦσθαι σπουδάσωμεν· ἵνα τόν Τάς ἀσθενείας ἡμῶν ἀναλαβόντα, καί τάς νόσους βαστάσαντα, περί τό ὁμόφυλον μιμησάμενοι, καί τήν αὐτοῦ δι᾽ ἡμᾶς φιλάνθρωπον κένωσιν τοῖς ἔργοις τιμήσαντες, τῆς αὐτοῦ καί ἡμεῖς ἄξιοι γενέσθαι δυνηθῶμεν ἐπόπται δόξης καί μέτοχοι· μή δόξης ἕνεκεν τῆς παρά τῶν ἀνθρώπων ταῦτα ἐπιτηδιεύοντες, ἧς μετά τήν παροῦσαν ζωήν ὑφέστηκε πρός ἀποδοχῆς λόγον, οὐδέν· ἀλλ᾽ ὅλου Θεοῦ τῇ ἀληθείᾳ γενόμενοι, καί ὡς αὐτόν πάντα πᾶσι καί ὄντα καί γινόμενον διά τῆς εἰς ἀλλήλους φιλανθρωπίας θεραπεύοντες, πάντα καί λέγωμεν καί πράττωμεν, δι᾽ ὧν αὐτῷ εὐαρεστήσομεν. Οὕτω γάρ ταῖς κατά μέρους εἰς ἀρετήν προκοπαῖς, καί τήν θείαν ποτέ μετελθεῖν δεόντως φιλοσοφίαν, σύν Θεῷ φᾶναι δυνησόμεθα· καί πρός τόν ἄνω βίον μεθαρμοσθῆναι, πάντων καταφρονήσαντες τῶν ἐπί γῆς· κρεῖττον καί τιμιώτερον τήν ἐσχάτης ἔχειν παρά Θεῷ μᾶλλον ἡγούμενοι τάξιν, ἤ παρά τῷ κάτω βασιλεῖ τά πρῶτα φέρειν τῶν ἐπί γῆς· καθ᾽ ἥν ἑαυτοῖς προσλαβεῖν ἀρχόμενοι, καί καθ᾽ ἡσυχίαν ἠρέμα τά τῆς ψυχῆς αἰσθητήρια ἐμφρόνως ὁρᾷν τήν κτίσιν ἐθίσαντες, κέρδος μέγιστον ἀπενεγκώμεθα, τό καλῶς ὁδηγηθῆναι διά τῆς τῶν ὁρατῶν ταραχῆς καί ἀστασίας, ἐπι τά ἑστῶτα καί μή κινούμενα· ἀλλά μή ἐναπομένειν αὐτοῖς, καί ἐνεσχεθῆναι ἀνέχεσθαι· ἐξ οὗ, τῶν μέν τό ἄτακτον μισήσαντες· τῶν δέ τό βάσιμον ποθήσαντες, ἀβύσσῳ ἄβυσσον ἐπικαλεσόμεθα· διά τῶν ἐν τοῖς ὁρατοῖς μεγαλουργῶν, τούς ἐν τοῖς νοητοῖς ὡς ἐφικτόν ἀνθρώποις κατανοοῦντες λόγους· καί οὕτως ἀτεχνῶς δι᾽ ἀφθεγξίας τῷ ἀδύτῳ τῶν ἀδύτων παρακύψαντες, τό ἑαυτῶν εὐτελές ἐπιγνωσόμεθα, διδασκόμενοι μυστικῶς διά τῶν λογίων τοῦ Πνεύματος, πῶς ὄντες γῆ καί σποδός, θείας μεταποιούμεθα δόξης, τῇ τοῦ εὐδοκήσαντος χάριτι· καί τό τῇ φύσει εὐτελές καί ἀπόπτυστον, πρός ποίαν μετασκευάζεται μακαριότητα· καί οὕτω τοῖς τοῦ ἀπείρου καταπλαγέντες θεάμασι, τό ὀσχυρόν φυλακτήριον τῶν ἀρετῶν, λέγω δή τήν ταπείνωσιν, Θεοῦ δῶρον μέγιστον καί πρῶτον, τῆς ἀληθοῦς φιλοσοφίας καρπόν οὖσαν, δρεψόμεθα δι᾽ ἧς νεκροῦντες τῶν παθῶν τά αἴτια, φημί δή τάς αἰσθήσεις, μετά τῆς πρός αὐτάς τῶν αἰσθητῶν συγγενοῦς οἰκειότητος, κόσμου παντελῶς ἑαυτούς ἀποτέμνομεν· ὥστε ἀνεπιθολώτῳ ψυχῆς ὄμματι ἐπιβάλλειν δύνασθαι τοῖς νοητοῖς· ἐξ ὧν, ἤ μεθ᾽ ἅ, τήν ψυχήν ἤδη ἀληθῶς τῇ ταπεινώσει ποιωθεῖσαν, καί λοιπόν ἱκανήν γενομένην θείας ἐμφάσεως δέξασθαι εἰκόνα, παραλαβοῦσα ἡ θεία ἀγάπη, φίλους

ἡμᾶς ἀντί δούλων ἐργάζεται· τό τοῦ νόμου κεφάλαιον, τό, Ἀγαπήσεις Κύριον τόν Θεόν σου ἐξ ὅλης τῆς καρδίας σου, (508) καί ἐξ ὅλης τῆς ψυχῆς σου, καί τά ἑξῆς, χαριζομένη, ἐν τῷ μηδεμίαν τῶν ἐν ἡμῖν νοερῶν δυνάμεων πρός ἄλλο τι παντελῶς, ἤ πρός θεόν ἀῤῥενωπῶς συγχωρεῖν ἀνατείνεσθαι.

Ἀγωνισώμεθα οὖν ὡς καιρόν ἔχομεν τόν προτεθέντα ἡμῖν παρά τοῦ Θεοῦ, τῆς εὐσεβοῦς καί Χριστιανικῆς ἐπαγγελίας σκοπόν εἰς ἔργον ἀγαγεῖν. Ὅτι δ᾽ Οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρός αἷμα καί σάρκα, ἀλλά πρός τάς ἀρχάς, πρός τάς ἐξουσίας, πρός τούς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου, τούς ἀφανεῖς τυράννους καί πολεμίους, οὐκ ἐν τῷ φανερῷ συγροτοῦντας τάς μάχας, ἀλλ᾽ ἐν τῷ κρυπτῷ τῆς καρδίας τούς πολέμους συμπλέκοντας, Ἀναλάβωμεν τήν πανοπλίαν τοῦ Θεοῦ, ὡς ὁ θεῖος ἡμῖν παρακελεύεται ἀπόστολος, ἵνα δυνηθῶμεν ἀντιστῆναι ἐν τῇ ἡμέρᾳ τῇ πονηρᾷ, καί ἅπαντα κατεργασάμενοι στῆναι· καί περιζωσάμενοι τήν ὀσφύν ἐν τῇ ἀληθείᾳ, καί ἐνδυσάμενοι τόν θώρακα τῆς δικαιοσύνης, ἐν ᾧ πάντα τά βέλη τοῦ πονηροῦ τά πεπυρωμένα σβεσθήσεται. Προσκαρτερήσωμεν διά πάσης προσευχῆς καί δεήσεως, καί τήν μάχαιραν τοῦ πνεύματος δέξασθαι, ὅ ἐστι ῥῆμα Θεοῦ, τό διαιροῦν, ἵνα συνελών εἴπω, τῶν κρειττόνων τά χείρονα, καί διδάσκον τούς εὐσεβεῖν τήν πρέπουσαν Χριστανοῖς ἀγωγήν, ὅπερ τελείας ἔργον ἐστί διακρίσεως· ὀφθαλμῶν ἀκρίβειαν, γλώσσης ἐγκράτειαν· σώματος παιδαγωγίαν · φρόνημα ταπεινόν, ἐννοίας καθαρότητα· ὀργῆς ἀφανισμόν, ὥς πού φησιν ὁ μέγας Βασίλειον· νοῦ πρός Θεόν ἀνάπτησιν, καί τοῖς πειρασμοῖς, φυλακῆς χάριν τῶν τιμίων, ἀνταγωνίζεσθαι προστιθέναι ἀγγαρευομένους· μέ δικάζεσθαι ἀποστερουμένους· μίσους ἀγάπην ἀντιμετρεῖν· ἀνοχήν διωγμοῖς ἐξισοῦν· βλασφημίαις, παράκλησιν· νεκρωθῆναι τῇ ἁμαρτίᾳ· συσταυρωθῆναι Χριστῷ· ὅλην μεταθέσθαι πρός Θεόν ἀσχέτως τήν ἀγάπην.

Ταῦτα γέγραφα, Δέσποτά μου εὐλογημένε, οὐκ ἀγνοῶν ὑμῶν τό στερέωμα τῆς ἐν Χριστῷ πίστεως, καί τήν ἐν αὐτῷ αὐξανομένην διά τῶν ἐντολῶν σεμνότητα· ἀλλ᾽ εἰδέναι ὑμᾶς βουλόμενος, ὁποῖον καί ὁπόσον ἔχω περί ὑμῶν ἀγῶνα, διά μερίμνης ἀεί μου ἐκκαίοντα τήν καρδίαν· καί παρατηρεῖσθαι νηφαλαιότερον παρακαλῶ τούς τῶν αἱρέσεων προμάχους· ἵνα μή τις αὐτῶν παραλογισάμενος ὑμᾶς πειθανολογίᾳ ψεύδους, τό ἐν ὑμῖν διαυγές καί ζωτικόν τῆς πίστεως νάμα τοῖς ἰδίοις τῶν ἀσεβῶν δογμάτων ἐπιθολῶσαι ῥύποις δυνηθῇ,

ὅπερ μή γένοιτο. Ξίφος γάρ δίστομον καί ξυρόν ἠκονημένον τήν γλῶσσαν κέκτηνται, ψυχάς σφάζουσαν, καί εἰς πέταυρον ᾅδου, καί βάραθρον σκότους παραπέμπουσαν, καί τῆς ἐν Χριστῷ ζωῆς διά τῆς ἠπατημένης αὐτῶν χρηστολογίας ἀποστεροῦσαν. Αὐτός δέ ὁ (509) Κύριος ἡμῶν καί Θεός Ἰησοῦς Χριστός, ὁ τοῦ Θεοῦ καί Πατρός μονογενής Υἱός καί Λόγος, ὁ πάσης ὁρατῆς καί ἀοράτου κτίσεως ποιητής, ὁ τόν ὑπέρ ἡμῶν διά τήν ἄφατον αὐτοῦ φιλανθρωπίαν, καθώς αὐτός ηὐδόκησε, καταδεξάμενος θάνατον, καί ῥυσάμενος ἡμᾶς τῷ ἰδίῳ αἵματι τῆς ἐξουσίας τοῦ σκότους· αὐτός κρατῆσαι τῆς χειρός ὑμῶν τῆς δεξιᾶς, καί ὁδηγῆσαι ὑμᾶς εἰς τόν φόβον αὐτοῦ, καί πληρῶσαι τῆς ἐπιγνώσεως τοῦ θελήματος αὐτοῦ, ἐν πάσῃ σοφίᾳ καί συνέσει πνευματικῇ, καί ἀξίως ἑαυτοῦ περιπατῆσαι πείσειεν, ἐν παντί ἔργῳ ἀγαθῷ καρποφορούντας, καί αὐξανομένους ἐν ἐπιγνώσει τῆς ἀληθείας αὐτοῦ, καί πάσῃ δυνάμει δυναμῶσαι κατά τό κράτος τῆς δόξης αὐτοῦ εἰς πᾶσαν οἰκοδομήν καί μακροθυμίαν· καί μετά χαρᾶς καί εὐχαριστίας συναθλοῦντας τῷ εὐαγγελίῳ τῆς χάριτος αὐτοῦ τηρήσας, ἀξιώσαι τῆς μερίδος τῶν ἁγίων ἐν τῷ φωτί, εὐχαῖς καί ἰκεσίαις τῆς πανενδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καί ἀειπαρθένου Μαρίας, καί πάντων τῶν ἁγίων. Ἀμήν.

***ΙΓ΄. - Τοῦ αὐτοῦ πρός Πέτρον ἰλλούστριον λόγος ἐπίτομος κατά τῶν Σευήρου δογμάτων.***

Ἔδειξεν ὡς ἀληθως ὁ εὐλογημένος μου δεσπότητς, ὡς οὐδέν δύναται πρός μείωσιν τῆς ἀγάπης πνευματικῆς, τό ἀλλήλων ἀπεῖναι σωματικῶς· τούς κατά Θεόν δι'ἀγάπης νοερῶς ἀλλήλοις συνηρμοσμένους· μή ἀπαξιώσας διά τῶν τιμίων αὐτοῦ συλλαβῶν ἐπισκέψασθαί με τόν ταπεινόν καί ἁμαρτωλόν, καί μηδέν ἔχοντα τῆς αὐτοῦ ἀγάπης ἐπάξιον. Ἅσπερ δεξάμενος, ὥσπερ αὐτόν παρόντα τῷ πνεύματι γεγηθώς περιλαβών ἠσπασάμην, καί τῷ μόνῳ Θεῷ καί Σωτῆρι τῶν ὅλων Χριστῷ συνήθως ηὐχαρίστησα, γνούς μετά σωτηρίας αὐτόν τήν ὑγράν κέλευθον ἐξηνυκέναι. Ἡδύς γάρ ὄντως καί παρών ὁ εὐλογημένος μου δεσπότης, καί ἀπών, οὐχ ἧττον τοῦ παρεῖναι πᾶσίν ἐστιν ἐπέραστος, διά τήν ἐπιλάμπουσαν αὐτῷ χάριν τῆς πτωχείας τοῦ ἁγίου Πνεύματος· δι᾽ ἥν ναός ἅγιος εἰς κατοικητήριον Θεοῦ ἐν πνεύματι γίνεται, πᾶς ὁ ταύτης ὡς Θεοῦ τῆς ἀρετῆς γνησίως μεταποιούμενος, τοῦ ταπεινώσαντος ἑαυτόν μέχρι δούλου μορφῆς, καί ἔργῳ καί λόγῳ τοῖς ἀνθρώποις αὐτήν ἐν ἑαυτῷ παραδείξαντος· ὅνπερ μιμούμενος ὁ εὐλογημένος μου δεσπότης, ἐνδιαθέτως καί

αὐτός ἐκτήσατο τήν πραότητά τε καί τήν ταπείνωσιν. Τήν πραότητα μέν, ἵνα τάς ἐμπαθεῖς τοῦ θυμοῦ καί τῆς ἐπιθυμίας κατασβέσας κινήσεις, Θεῷ γένηται καί ἀνθρώποις εὐάρεστος. Ἡ πραότης γάρ οὐδέν ἕτερον οὖσα καθέστηκεν, ἤ θυμοῦ καί ἐπιθυμίας παντελής (512) πρός τά παρά φύσιν ἀκινησία· καθ᾽ ἥν φανερόν τό θεῖον τοῖς ἔχουσι γίνεται θέλημα. Φησί γάρ ψάλλων ὁ μέγας Δαβίδ, Ὁδηγήσει πραεῖς ἐν κρίσει· διδάξει πραεῖς ὁδούς αὐτοῦ. Τήν καί ταπείνωσιν, ἵνα τῆς ὑπερηφανίας ἐκτεμών τά πωρώματα, εὐχάριστός τε τῷ Θεῷ γένηται, καί πᾶσιν ἀνθρώποις εὐπρόσιτος. Ταπείνωσις γάρ ἐστιν, ἡ ἑκάστου πρός τόν Θεόν κατά παράθεσιν ἐκ παραλλήλου τῆς ὑπερεχούσης καί ποιητικῆς αἰτίας ἐπίγνωσις· καθ᾽ ἥν ἡ πρός ἀλλήλους τῶν ἀνθρώπων γίνεσθαι πέφυκεν συνδιάθεσις, καί ἡ τῶν πλημμελημάτων δίδοσθαι τοῖς ὀφείλουσιν ἄφεσις. Ἴδε γάρ, φησίν ὁ αὐτός μέγας πάλιν Δαβίδ, τήν ταπείνωσίν μου καί τόν κόπον μου, καί ἄφες πάσας τάς ἁμαρτίας μου.

Οὕτω μέν οὖν ἔχοντα περί τόν ιον τόν εὐλογημένον μου δεσπότην, ἐν τῷ στερεώματι τῆς εἰς Χριστόν πίστεως, φερωνύμως ἀσάλευτον εὔχομαι διαφυλαχθῆναι, καί πάσης αἱρετικῆς τρικυμίας ἀνώτερον, ὡς γνήσιον τέκνον τῆς ἁγίας τοῦ Θεοῦ καθολικῆς καί ἀποστολικῆς Ἐκκλησίας· τεθεμελιωμένον ἐπί τῆς εὐσεβοῦς ὁμολογίας· καθ' ἧς οὐδέν τό παράπαν ἰσχύουσιν, ἀνοιγόμενα καθάπερ ᾅδου πύλαι, τά πονηρά τῶν αἱρετικῶν στόματα. Περί γάρ τῶν νόθων, καί νόθως ἐκ τῆς ἀγριελαίας παρενκεντρισθέντων εἰς τήν καλλιέλαιον ἐγίνωσκον, καί πρίν γράψαι τούς εὐλογημένους ὑμᾶς, ὅτι κατά τόν προφητικόν λόγον· Ὡς κύων ἐπί τόν ἴδιον ἔμετον, τῆς κατά τήν πίστιν αὐτῶν ἀηδείας λέγω τό δυσῶδες ἔχουσιν ἐπιστρέψαι· οἷα δή Σίμωνες δεύτεροι, καί Δήμαντες καί Ἑρμογένεις, προκρίνειν ἑλόμενοι τῆς ἀληθείας τό ψεῦδος· καί μηδέν ἀδικοῦντες, ὡς οἴονται, τῇ ἀποστασίᾳ τούς κήρυκας τῆς εὐσεβείας, ἤ βλαπτόμενοι μᾶλλον ἐνδίκως τῇ στερήσει τῆς χάριτος· καί οὐδέ τόν νῦν αἰῶνα, δι᾽ ὅν τῆς ἀληθείας ἀπέστησαν, ἔχειν καταθυμίως δυνάμενοι, κατά φύσιν ἄστατον ὄντα καί εὐαλλοίωτον, καί ἀεί παρατρέχοντα τούς κρατεῖν νομίζοντας.

Ἀηδής γάρ ὄντως ὑπάρχει καί δυσωδίας μεστός καί πάσης χάριτος ἔρημος, πᾶς λόγος, μή σώζεσθαι πρεσβεύων κατά φύσιν ἐν τῷ ἑνί Χριστῷ τά ἐξ ὧν Χριστός μετά τήν ἄφραστον ἕνωσιν· ἀλλ᾽ οἷον ἀρνούμενος τήν ὅλην τοῦ Θεοῦ περί τόν ἄνθρωπον οἰκονομίαν, καί περιτέμνων τοῦ Λόγου τοῦ Θεοῦ τό προσειλημμένον, ἐκ τῆς ἀχράντου

καί ἁγίας πανενδόξου Παρθένου καί κατά ἀλήθειαν Θεοτόκου, σῶμα λογικόν ἐμψυχωμένον. Περιτέμνει γάρ ἀληθῶς τῷ πράγματι, κἄν δοκῇ πῶς ψιλῶς ὁμολογεῖν τῷ στόματι τῶν ἀκουόντων ἐξαπάτην, καί παντελῶς ἀρνεῖται τήν σάρκωσιν, ὁ μετά τήν ἕνωσιν μή λέγων εἶναι, σώζεσθαί τε καί λέγεσθαι τῆς σαρκός τήν φύσιν, ἀσυγχύτως τε καί ἀδιαιρέτως ἡνωμένην τῷ Θεῷ Λόγῳ καθ᾽ ὑπόστασιν, προφάσει δῆθεν εὐλαβείας, τοῦ μή τεμεῖν δόξαι διά τοῦ ἀριθμοῦ τήν ἕνωσιν, αὐτήν κυρίως εἰπεῖν, τήν πᾶσαν τῶν ἐξ ὧν (513) ἐστιν ὁ Χριστός φύσεων, μετά τήν ἕνωσιν σαφῶς ἀρνούμενος ὕπαρξιν.

***Περί ἀριθμοῦ φυσικωτέρα διάληψις.***

Τοῦτο δέ πάσχουσιν, ὡς ἔοικε, παρά τό ἀγνοεῖν αὐτούς, ὅτι πᾶς ἀριθμός οὔτε διαιρεῖ κατά τόν ἴδιον λόγου, οὔτε διαιρεῖται· οὔτε διαιρέσεως, οὔτε μήν ἑνώσεως παντελῶς ἐστι ποιητικός. Ποιεῖν γάρ ἤ πάσχειν οὐ πέφυκε, μή ὑπάρχων οὐσία ἤ συμβεβηκός· περί ἅ τό ποιεῖν τε καί πάσχειν ἐστίν· ἀλλά μόνον δηλωτικός τοῦ ποσοῦ τῶν ὑποκειμένων πραγμάτων, ὡς δ᾽ ἄν κατά τήν σχέσιν ἔχοντα τύχωσιν· εἴτε ἡνωμένα, εἴτε διακεκριμένα. Οἷον, ἵν᾽ εἴπω τι θαῤῥήσας, ὄνομα ποσοῦ, χωρίς τῆς ἐπ᾽ αὐτῷ σχέσεως σημαντικόν. Οὔτε γάρ τήν τῶν ὄντων ἐξ ἀνάγκης φυσικήν ὁ ἀριθμός ποιεῖται διάκρισιν, ἤ ποσότητα· οὔτε τῶν συνημμένων κατά τό αὐτό εἶδος ἀφ’ ἑαυτοῦ ἐργάζεται τήν συνέχειαν· οὔτε μήν καθ᾽ ὅλου τινός ἐστι χαρακτηριστικός ἰδιότητος τῶν ὑπό τό αὐτό εἶδος πρός ἄλληλα τοῖς συμβεβηκόσι διακεκριμμένων ἀτόμων. Ταῦτα γάρ ποιεῖν τῆς θείας σοφίας τε καί δυνάμεως καθέστηκεν ἴδιον, τῆς τό πᾶν συστησαμένης, καί ἀσύγχυτον διατηρούσης ἕκστον, τοῖς περί τό πᾶν κατά φύσιν τῶν ὄντων διορισμοῖς· ἀλλά μόνον, ὡς ἔφην, τοῦ ἁπλῶς, ἀλλ᾽ οὐ τοῦ πῶς τῶν πραγμάτων ποσοῦ ποιεῖται δήλωσιν, καθάπερ τι ὄνομα ποσοῦ προσφυές.

***Περί διαφορᾶς, καί ποσότητος ἀκριβέστερον, καί τῆς αὐτῶν εὐσεβοῦς ὁμολογίας.***

Εἰ τοίνυν κατά τούς Πατέρας, ὁ ἀριθμός τοῦ ποσοῦ τῶν πραγμάτων, ἀλλ᾽ οὐ τῆς σχέσεώς ἐστι δηλωτικός· πᾶν δέ ποσόν ἑτερότητι φυσικῇ θεωρούμενον, διαφοράν πάντως ἐπιδέχεται· διαφοράν δέ λέγουσιν ἐπί Χριστοῦ φυσικήν μετά τήν ἕνωσιν καί οἱ τῇ ἀληθείᾳ μαχόμενοι· καί τό ποσόν τῶν διαφερόντων, οὗ χωρίς ἀμήχανον εἶναι διαφοράν μετά τοῦ δηλοῦντος αὐτό ἀριθμοῦ· οὗ χωρίς

ποσόν καθ᾽ ὅλου γνωσθῆναι ἀδύνατον, λέγειν αὐτούς ἀνάγκη μετά τήν ἕνωσιν· εἴπερ κατά τήν εὔτακτον ἀκολουθίαν, εὐσυνάρτητον τόν τοῦ οἰκείου δόγματος ἀποδεῖξαι βούλονται λόγον. Εἰ δέ τό ποσόν τῶν σωζομένων ἐν Χριστῷ φύσεων ἀρνοῦνται μετά τήν ἕνωσιν, μηδέ τήν διαφοράν λέγειν τολμάτωσαν, τῶν ἐξ ὧν ὁ Χριστός ἔστι φύσεων μετά τήν ἕνωσιν· γινώσκοντες ὅτι πᾶν εἴτι καθ᾽ ὁτιοῦν ἔχει διαφοράν, ἕν κατά πάντα λόγον τε καί τρόπον εἶναι οὐ δύναται. Τό δέ μή δυνάμενον εἶναι κατά πάντα λόγον τε καί τρόπον ἕν, δηλονότι κατά τινα λόγον τε καί τρόπον, δύο τό ἐλάχιστόν ἐστιν ἤ πλείονα. Οὐκοῦν ἐν Χριστῷ μετά τήν ἕνωσιν λέγοντας εἶναι διαφοράν, ἕν κατά πάντα λόγον τε καί τρόπον τόν Χριστόν εἶναι μετά τήν ἕνωσιν λέγειν οὐ δύνανται. Εἰ δέ μή κατά πάντα καί λόγον καί τρόπον ἕν ἐστιν ὁ Χριστός μετά τήν ἕνωσιν· δηλονότι κατά τινα λόγον τε καί τρόπον, δύο πάντως ἐστίν ὁ Χριστός μετά τήν ἕνωσιν. Εἰ δέ κατά τινα λόγον τε καί τρόπον δύο ἐστίν ὁ Χριστός μετά τήν ἕνωσιν, διά τήν ἐν αὐτῷ τῶν ἐξ ὧν καί ἐν αἷς ἐστι φύσεων διαφοράν, ὡς ἔδειξεν ὁ λόγος, δῆλον (516) ὡς ἀσεβοῦσι διακενῆς, οἱ τήν μέν διαφοράν τῶν ἐξ ὧν ἐστι φύσεων ὁ Χριστός μετά τήν ἕνωσιν λέγοντες, αὐτάς δέ τάς φύσεις, ὧν ἡ διαφορά, προφανῶς ἀναιροῦντες τῇ σιωπῇ μετά τήν ἕνωσιν· ἀναίρεσις γάρ ἐστιν ἀληθῶς ἡ τῶν ὄντων καί σωζομένων ἐξάρνησις. Ἤ γάρ οὐ ἀν.ῄρηνται κατ᾽ αὐτούς αἱ φύσεις μετά τήν ἕνωσιν, καί εἰσι καί σώζονται, καί δίκαιόν ἐστιν αὐτάς σωζομένας ὁμολογεῖσθαι μετά τήν ἕνωσιν· ἤ εἴπερ μή δίκαιον ἐστιν αὐτάς ὁμολογεῖσθαι μετά τήν ἕνωσιν, μήτε εἶναι, μήτε σώζεσθαι λέγειν αὐτάς ἐν Χριστῷ δίκαιόν ἐστι κατ᾽ αὐτούς, καί ἀνῄρηνται. Ὁ γάρ μή δίκαιόν ἐστι πάντως ὀνομάζεσθαι, μηδέ τό παράπαν ὑπάρχειν, πολλῷ κρεῖττόν ἐστιν ὡς οἶμαι καί δικαιότερον, λέγειν· ἤ πείσωσιν ἡμᾶς λόγῳ, πῶς ἐστι δίκαιον ἐν Χριστῷ μή ὁμολογεῖσθαι, τά ἐξ ὧν ὁ Χριστός, ὄντά τε καί σωζόμενα μετά τήν ἕνωσιν, χωρίς τῆς οἱασοῦν τροπῆς καί ἀλλοιώσεως, καί τῆς εἰς ἄλληλα κατά τόν οὐσιώδη λόγον μεταβολῆς· καί στέργομεν εὐπειθῶς τῆς τῶν σωζομένων ἐν Χριστῷ καί ὄντων ὁμολογίας τήν στέρησιν.

Ὥσπερ δέ κατά πάντα λόγον τε καί τρόπον ἕν οὐκ ἔστιν ὁ Χριστός μετά τήν ἕνωσιν, οὕτω πάλιν κατά πάντα λόγον τε καί τρόπον οὐκ ἔστιν ὁ Χριστός δύο μετά τήν ἕνωσιν. Εἰ δέ μή κατά πάντα λόγον τε καί τρόπον ἐστίν ὁ Χριστός δύο μετά τήν ἕνωσιν· πάντως κατά τινα λόγον τε καί τρόπον διά τήν ὑποστατικήν ταυτότητα, ἤγουν τήν μίαν

ὑπόστασιν, καθ᾿ ἥν διαφοράν ἔχειν οὐ δύναται, ἕν ἐστιν ὁ Χριστός. Ἐπεί οὖν κατ᾿ ἄλλον καί ἄλλον λόγον τε καί τρόπον, ἕν καί δύο ἐστίν ὁ αὐτός, ἀναγκαῖον σκοπῆσαι, κατά ποῖον καί ποῖον λόγον ἕν ἐστιν ὁ αὐτός καί δύο.

***Ὅτι βλάσφημον τό λέγειν τόν Χριστόν μίαν ἁπλῶς φύσιν.***

Εἰ μέν οὖν κατά τόν τῆς φύσεως λόγον ἕν αὐτόν εἶναι φήσουσι, μίαν φύσιν ἁπλῶς χωρίς τῆς οἱασδήποτε διαφορᾶς δηλονότι κατ᾿ αὐτούς ἔσται τό ὅλον. Εἰ δέ τοῦτο λέγειν αὐτοῖς συγχωρήσομεν, οὐκ ἔσται Θεός κατ᾿ αὐτούς, οὔτε μήν ἄνθρωπος ὁ Χριστός· οὔτε κτίσμα παντελῶς, οὔτε κτίστης. Ἡ γάρ ἁπλῶς λεγομένη φύσις, οὐδ᾿ ἑτέρου τούτων καθάπαξ τήν οἱανοῦν ἐπιδέχεται σημασίαν. Εἰ δέ τήν πρόδηλον φεύγοντες ἀτοπίαν εἴποιεν, μίαν μέν, σύνθετον δέ τόν Χριστόν εἶναι φύσιν, ἠγνόησαν ὡς ἀληθῶς, πῶς ὁ τῆς ἀσεβείας ζόφος πρός τήν ἐσχάτην αὐτούς ἀπεώσατο πλάνην.

***Περί συνθέτου φύσεως ἀκριβέστερον, καί τοῦ κατ'αὐτήν λόγου· καί ὡς ἀσεβοῦσιν οἱ λέγοντες τόν Χριστόν μίαν σύνθετον φύσιν.***

Πᾶσα γάρ σύνθετος φύσις, πρῶτον μέν (517) ἀπροαίρετον ἔχειν τήν πρός ἄλληλα τῶν μερῶν κατά τήν σύνθετον σύνοδον.

Ἔπειτα δέ καί ἀλλήλοις ὁμόχρονα τά μέρη, καί ἑαυτῇ κέκτηται, κατά τήν εἰς τό εἶναι γένεσιν συνυπάρχοντα, μηδετέρου μέρους θατέρου χρονικῶς προϋπάρχοντος.

Πρός ἔτι γε μήν καί εἰς συμπλήρωσιν τῆς τό πᾶν μεγαλοφυῶς ὑπογραφούσης ὁλότητος γινώσκεται πεποιημένη· ὧν οὐδέν ἐπί Χριστοῦ παντελῶς θεωρεῖται τοῖς εὐσεβεῖν βουλομένοις· ἵνα μή τήν πρός τήν σάρκα τοῦ Λόγου σύνοδον ἀκούσιον ποιώμεθα, καί ἀπροαίρετον· καί ἤ τῇ σαρκί τόν Θεόν Λόγον κατά τήν πρός τό εἶναι γένεσιν ὁμόχρονον, ἤ τήν σάρκα τῷ Λόγῳ κατά τήν ἄναρχον ὕπαρξιν συναΐδιον· ἤ καί μηδέν ἔχειν πλέον τῶν λοιπῶν κατά τήν καθ᾿ ὅλου φύσιν θεωρουμένων εἰδῶν, ὡς μέρος εἰς συμπλήρωσιν τοῦ παντός κατά τά λοιπά εἴδη, παρά τῆς τό πᾶν συστησαμένης δυνάμεως παρηγμένον τόν Χριστόν διοριζόμεθα. Οὗτος γάρ πάσης συνθέτου φύσεως ὅρος τε καί λόγος καί νόμος, καθώς ἡ τῆς ἀληθείας δύναμις, καί ὁ τῆς λογικῆς ἀκολουθίας δρόμος ποδηγεῖ λέγειν τούς μετά συνέσεως τήν τῶν ὄντων ποιουμένους διάσκεψιν. Καί τίς ἔτι τῆς τῶν εὐσεβῶν εἶναι δυνήσεται μοίρας, οὕτω φρονῶν περί τοῦ Θεοῦ καί

Λόγου, τοῦ πρό πάντων ὑπάρχοντος τῶν αἰώνων· μᾶλλον δέ κυριώτερον εἰπεῖν, ποιητοῦ τῶν αἰώνων, καί κατά θέλησιν ἑκούσιον ποιησαμένου πρός ἡμᾶς τούς ἀνθρώπους καί αὐθαίρετον τήν κένωσιν· καί εἰς διόρθωσιν καί ἀνακαινισμόν, ἀλλ᾽ οὐκ εἰς συμπλήρωσιν τοῦ παντός, ἐνανθρωπήσαντος. Τρόπῳ γάρ οἰκονομίας, ἀλλ᾽ οὐ νόμῳ φύσεως, ἀῤῥήτως ὁ τοῦ Θεοῦ πρός ἀνθρώπους διά σαρκός ἐπεδήμησε Λόγος. Οὐκοῦν οὐκ ἔστι σύνθετος φύσις ὁ Χριστός, κατά τήν καινοτομίαν τῶν κενούντων τό Εὐαγγέλιον· τῷ νόμῳ τῆς συνθέτου φύσεως, κατά τόν εἰς τό εἶναι τρόπον, παντάπασιν ὑπάρχων ἀδούλωτος· ἀλλ᾽ ὑπόστασινς σύνθετος, τήν οἱανοῦν κατ᾽ εἶδος σύνθετον φύσιν αὐτῆς κατηγορουμένην οὐκ ἔχουσα· ὅ καί παράδοξον, ὑπόστασιν σύνθετον θεᾶσθαι, χωρίς τῆς κατ᾽ εἶδος αὐτῆς κατηγορουμένης συνθέτου φύσεως.

Εἰ δέ κατ᾽ αὐτούς ἐκείνους ὁ Χριστός σύνθετός ἐστι φύσις, ἡ θαυμαστή τῶν Σευήρου λόγων ἀκρόπολις, ἤ γενική πάντως ἐστί, ἤ μοναδική. Τούτων γάρ ἄλλην ἐπινοῆσαι μέσην ἀμήχανον. Καί εἰ μέν γενική φύσις ἐστίν ὁ Χριστός, κατά πολλῶν ἔσται δηλονότι καί διαφερόντων τῷ ἀριθμῷ κατηγορούμενος· καί κατ᾽ ἐπίνοιαν ἔσται μόνην, ἐν οἷς τήν ὕπαρξιν ἔχει· καί οὐ καθ᾽ ἑαυτόν ἐν ἰδίᾳ τινί ὑποστάσει γνωριζόμενος· χωρίς τῶν ἐπιθεωρουμένων τοῖς ὑπ᾽ αὐτόν ἀτόμοις συμβεβηκότων. Τοιοῦτος γάρ ὁ πάσης γενικῆς φύσεως ὅρος τε καί λόγος· καί εἰσήχθη πλῆθος ἡμῖν Χριστῶν ἀνθ᾽ ἑνός, κατά μηδένα τρόπον τήν οἱανοῦν ἐχόντων πρός τόν Θεόν, ἤ τούς ἀνθρώπους ταυτότητα, διά τήν Σευήρου κατά τῆς ἀληθείας περιττήν καί ἀκάθεκτον μανίαν. Εἰ δέ μοναδική φύσις ἐστίν ὁ Χριστός, ἵνα παρῶμεν λέγειν ὡς οὐδαμῶς ἐστι τό σύνολον φύσις ἑνί προσώπῳ περιγεγραμμένη· κἄν εἰ τά μάλιστα τόν μυθευόμενον (520) ὄρνιθα τόν φοίνικα, καθάπερ τι μέγα καί ἄμαχον παράδειγμα τῆς ἑαυτῆς δόξης συστατικόν, τελευταῖον προβάλλωνται· πρός ὅ καί λέγειν τι δέδοικα, μήπως καί ἀνοίας παρά τοῖς συνετοῖς ὀφλήσω γέλωτα, τόν μῦθον δεῖξαι μῦθον πειρώμενος. Εἰ γάρ ὄρνις ἐστίν ὁ φοίνιξ, καί ζῶον πάντως ἐστίν. Εἰ δέ ζῶον, πρῶτον μέν οὐ πάντη μοναδικόν καθό ζῶον. Ἔπειτα δέ, εἴπερ ζῶον, καί σῶμα ἔμψυχον αἰσθητικόν. Εἰ δέ σῶμα ἔμψυχον αἰσθητικόν ἐστιν ὁ φοίνιξ, καί ὑπό γένεσίν ἐστι δηλονότι καί φθοράν. Αὐτούς ἐρωτήσωμεν τούς σοφούς τῶν ὄντων θεάμονας, εἰ δυνατόν ἐστί τι τῶν ὑπό γένεσιν καί φθοράν ἐμψύχων καί αἰσθητικῶν σωμάτων, μοναδικῆς ὑπάρχειν καθ᾽ ὑπόστασιν, φύσεως· ὧν ἡ ἐξ

ἀλλήλων κατ᾽ εἶδος διαδοχή, ἀρίδηλος χαρακτήρ τοῦ εἶναι καί ὅρος ἐστί. Καθάπερ καί ἡ θεία Γραφή μαρτύρεται, τό βέβαιον δι᾽ ἑαυτῆς τῷ λόγῳ παρεχομένη, τῷ μεγάλῳ Νῶε τόν Θεόν εἰσηγουμένη ταῦτα προστάσσοντα. Καί εἶπεν ὁ Θεός τῷ Νῶε, Εἴσελθε σύ, καί πᾶς ὁ οἶκός σου εἰς τήν κιβωτόν, ὅτι σε εἶδον δίκαιον ἐναντίον ἐμοῦ ἐν τῇ γενεᾷ ταύτῃ. Ἀπό δέ πάντων τῶν κτηνῶν τῶν καθαρῶν εἰσάγαγε πρός σέ ἑπτά ἑπτά, ἄρσεν καί θῆλυ· ἀπό δέ τῶν κτηνῶν τῶν μή ὄντων καθαρῶν, δύο δύο, ἄρσεν καί θῆλυ· καί ἀπό πάντων τῶν πετεινῶν τοῦ οὐρανοῦ τῶν καθαρῶν, ἑπτά ἑπτά, ἄρσεν καί θῆλυ, καί ἀπό πάντων τῶν πετεινῶν τοῦ οὐρανοῦ τῶν μή καθαρῶν, δύο δύο, ἄρσεν καί θῆλυ, διαστρέψαι σπέρμα ἐπί πᾶσαν τήν γῆν. Οἷς, εἴπερ ὡς πτηνόν ζῶον ὁ φοίνιξ ἐστίν ἐναρίθμιος, μοναδικῆς καθ᾽ ὑπόστασιν φύσεως οὐκ ἔστι κατά τήν θείαν ἀπόφασιν, ἵνα ταῦτα καθώς ἔφην μή λέγωμεν· οὐ γάρ φίλον ἡμῖν ὑπέρ τῶν οὐκ ἀναγκαίων τό μάχεσθαι· πᾶσιν εὔδηλόν ἐστι, ὡς εἴπερ μοναδική φύσις ἐστίν ὁ Χριστός, οὔτε τῷ Θεῷ καί Πατρί ὁμοούσιος ἐστιν, οὔτε τοῖς ἀνθρώποις. Τό γάρ πάντῃ κατά τήν φύσιν μοναδικόν, τῆς πρός ὁτιοῦν ἄλλο παντελῶς ἠλλοτρίωται φυσικῆς συγγενείας. Εἰ δέ κατ᾽ αὐτούς ἐκείνους, ὡς ἔδειξεν ὁ λόγος, πάντῃ κατά τήν φύσιν ὁ Χριστός πάντων ἠλλοτρίωται τῶν ὄντων· αὐτούς εἰπεῖν προτρεψόμεθα τούς καινούς δογματιστάς, τί ὄντα κατά τήν φύσιν, καί ποίῳ λόγῳ σέβουσι τόν Χριστόν, τόν μηδέν ὅσον ἐπί ταῖς αὐτῶν ὑποθήκαις τῶν λόγων, ὄντα παρ᾽ αὐτῶν βλασφημούμενον.

Εἰ τοίνυν μέγας καί φοβερός ἐξ ἀνάγκης ἕπεται κίνδυνος, κατά τήν ἀποδοθεῖσαν τοῦ λόγου δύναμιν, τοῖς λέγουσιν ἕν κατά τήν φύσιν εἶναι τόν Χριστόν, ἤγουν μίαν φύσιν, εἴτε ἁπλῶς λεγομένην, εἴτε σύνθετον· καί ταύτην εἴτε γενικήν ἤγουν κοινήν, εἴτε μοναδικήν ἤγουν ἰδικήν· πάσῃ φυλακῇ τάς ἑαυτῶν καρδίας τῆς τοιαύτης δόξης τηρήσωμεν καθαράς, ἵνα καί τῆς ἐπ᾽ αὐτῇ μελλούσης ἀπειλῆς ἐλευθερωθῶμεν. Καί τό μέν δύο ἐπί Χριστοῦ κατά τόν τῆς φυσικῆς ἑτερότητος λόγον, ἤγουν διαφορᾶς τῶν ἐξ ὧν ἐστι φύσεων σωζομένων καί μετά τήν ἕνωσιν, ὡς ἐν ὅλῳ μερῶν, εὐσεβῶς ὁμολογήσωμεν· καθ᾽ ὅν οὐδέποτε τά μέρη φυσικῶς ἀλλήλοις συμπίπτουσιν, ἕως ἑκάτερον τόν οἰκεῖον τῆς φύσεως πρός τό ἕτερον διαφυλλάτει λόγον ἀλώβητον· τό δέ ἕν κατά τόν τῆς ὑποστατικῆς ταυτότητος λόγον, καθ᾽ ὅν οὐδεμίαν τό σύνολον πρός ἑαυτόν ὁ Χριστός ὡς ὅλον τήν ἐκ διαφορᾶς διάκρισιν, ἤγουν μερισμόν ἐπιδέχεται· ἕως μία καί πρό σαρκός, καί μετά σάρκωσιν ὑπόστασις ὑπάρχων πιστεύεται· καί εἷς τῆς ἁγίας καί

βασιλικῆς Τριάδος προσκυνεῖται παρ᾽ ἡμῶν καί δοξάζεται. Μοναδική γάρ τοῦ Χριστοῦ ἡ ὑπόστασις, ὡς ὅλον, μηδενί λόγῳ κατά τήν χαρακτηρισικήν αὐτῆς ἰδιότητα τοῖς ἄκροις ἐπιμεριζομένη, καθ᾽ ἥν αὐτῶν ἀφορίζεται. Ἄκρα δέ νῦν λέγω, τόν Θεόν καί Πατέρα, ἐξ οὗ πρό τῶν αἰώνων ὁ Χριστός γεγένηται θεϊκῶς· καί τήν ἁγίαν πανένδοξον Παρθένον καί Μητέρα, ἐξ ἧς ὁ αὐτός ἀνθρωπίνως γεγέννηται δ᾽ ἡμᾶς, τῇ πρός ἄμφω τά ἄκρα τῶν ἰδίων μερῶν οἰκειότητι, φυλάττουσα τήν κατ᾽ οὐσίαν ἀμειώτως ταυτότητα· οἷς μέρεσι τόν τῆς διαφορᾶς ὁ Χριστός ἐπιδεχόμενος λόγον, τῆς οἰκείας οὐκ ἐξίσταται μοναδικῆς ὑποστάσεως. Πᾶσα γαρ ὁλότης, καί μάλιστα κατά σύνθεσιν, ἐκ διαφόρων θεωρουμένη, τῆς οἰκείας ὑποστάσεως μοναδικῶς φυλάττουσα τήν ταυτότητα, καί τήν πρός ἄλληλα τῶν οἰκείων μερῶν ἀσύγχυτον ἔχει διαφοράν, καθ᾽ ἥν τόν ἑκατέρου μέρους πρός θάτερον κατ᾽ οὐσίαν διασώζει λόγον ἀνόθευτον. Ὡσαύτως δέ καί τά μέρη κατά τήν πρός ἄλληλα σύνθεσιν, ἀκραιφνῆ καί ἀμείωτον τόν κατά φύσιν λόγον φυλάττοντα, τήν ἑνικήν τῆς οἰκείας ὁλότητος ἀδιάκριτον ἔχει ταυτότητα· καθ’ ἥν μοναδικῶς τόν καθ᾽ ὑπόστασιν διαφυλάττει λόγον παντελῶς ἀδιαίρετον.

Εἰ τοίνυν, καθώς ἔδειξεν σύν ἀληθείᾳ τρέχων ὁ λόγος, ἀσεβές πάντη καθέστηκεν ἐπί Χριστοῦ τῷ κατά φύσιν λόγῳ θεσπίζειν κεῖσθαι τό ἕν, ὥσπερ καί τό ἔμπαλιν τῷ καθ᾽ ὑπόστασιν λόγῳ τά δύο· τό μέν γάρ τῆς Ἀπολιναρίου δυσωδίας ἐστίν ἴδιον, συναλείφοντός τε καί συγχέοντος εἰς μίαν φύσιν τάς φύσεις, καί ἀδιάγνωστον πάντη ποιοῦντος τήν οἰκονομίαν· μηδεμίαν κυρίως εἶναι τιθεμένου φύσιν μετά (524) ἕνωσιν. Φεύγει γάρ εἶναι ὅπερ ἐστί, τούτων ἑκάτερον εἰς ἄλληλα μεταχωροῦντα καί μεταπίπτοντα. Τό δέ τῆς Ἰουδαϊκῆς Νεστορίου φρενοβλαβείας, τήν μίαν ὑπόστασιν εἰς ὑποστάσεις δύο μερίζοντος, καί τήν ὅλην οἰκονομίαν ἀρνουμένου, τό σαρκί καθ᾽ ὑπόστασιν οὐσιωδῶς τόν Θεόν Λόγον ἑνωθῆναι λέγειν παραιτουμένου· ἡμεῖς ὀρθῶς τε καί προσφυῶς χρησώμεθα τῷ λόγῳ, πρός τό εὐθές μεβάλλοντες τῶν διεστραμμένων τάς φωνάς· καί τό μέν δύο, κατά τόν τῆς φυσικῆς ἑτερότητος ἤγουν διαφορᾶς λόγον· τό δέ ἕν, κατά τόν τῆς ὑποστάσεως λόγον· ἵνα καί τό διάφορον τῶν ἐξ ὧν ὁ Χριστός ἐστι φύσεων, ἐν Χριστῷ μετά τήν ἕνωσιν διατηρῆται· καί τό ταυτόν καί μοναδικόν τῆς ὑποστάσεως τοῦ σαρκωθέντος Θεοῦ Λόγου ὡσαύτως ἀπλήθυντον διασώζηται. Ἡ γάρ ἀντάλληλος τῶν πραγμάτων δεῖξίς τε καί ὁμολογία, τῶν ὑποκειμένων κατά τούς

αἱρετικούς ἀφανισμόν ἀπεργάζεται· οὐκ ἀνεχομένης τῆς ἀληθείας τάς κυρίας παντάπασι τῶν πραγμάτων συγχωρεῖν εἰς ἀλλήλας ἀμείβεσθαι προσηγορίας. Διά τοῦτο δύο φύσεις ὁμολογοῦμεν τόν Χριστόν, ὡς ἔφην, κατά τόν τῆς διαφορᾶς λόγον τῶν ἐξ ὧν ἐστι φύσεων καί μετά τήν ἕνωσιν ἐν αὐτῷ σωζομένων· ὡς Θεόν τόν αὐτόν ὄντα καί ἄνθρωπον μετά τήν ἕνωσιν.

***Ὅτι ὁ λέγων Θεόν καί ἄνθρωπον τόν Χριστόν μετά τήν ἕνωσιν, συνομολογεῖ τοῖς ὀνόμασι τάς φύσεις ἐξ ἀνάγκης μετά τήν ἕνωσιν, ὀρθῶς πιστεύειν προῃρημένος.***

Εἰ γάρ Θεός καί ἄνθρωπός ἐστιν ὁ Χριστός μετά τήν ἕνωσιν, κατά τήν κοινήν ὁμολογίαν, δηλονότι τά πράγματα τοῖς ὀνόμασιν ἔχων, ἐπαληθεύει μετά τήν ἕνωσιν. Τά γάρ πράγματα προεπινοοῦνται τῶν οἰκείων ὀνομάτων· καί οὐδ᾽ ἄν εἶναι δυνηθείη πώποτε χωρίς τοῦ πράγματος ὄνομα, τοῦ παρέχοντος δι᾽ ἑαυτοῦ τῷ ὀνόματι θέσιν, καί ἀντιλαμβάνοντος δήλωσιν. Εἰ δέ τά πράγματα, ὧν εἰσι τά ὀνόματα, οὐκ ἔχει κατά τήν ἕνωσιν ὁ Χριστός, ψιλάς κατ᾽ αὐτούς, ὡς μετά μηδενός κειμένας ἔχων δειχθήσεται τάς προσηγορίας, καί πραγμάτων ἐρήμους· καί ἔσται Θεός καί ἄνθρωπος μόνον ὀνόματι κατ᾽ αὐτούς ὁ Χριστός, καί οὐ πράγματι· οὗ τί γένοιτ᾽ ἄν ἀθεώτερον; Εἰ δέ τοσοῦτον μανῆναι παραιτούμενοι, φαῖεν μή ἐρήμους εἶναι πραγμάτων ἐπί Χριστοῦ τάς προσηγορίας μετά τήν ἕνωσιν· ὥσπερ οὐ παραιτοῦνται λέγειν τάς δύο τοῦ Χριστοῦ μετά τήν ἕνωσιν προσηγορίας, οὕτω καί τάς δύο φύσεις τοῦ Χριστοῦ, ἐξ ὧν καί ἐν αἷς συνέστηκε λεγέτωσαν μετά τήν ἕνωσιν, ὧν καί προσηγορίαι· εἴπερ κατ᾽ ἀλήθειαν πιστῶς ὁμολογοῦσι σώζεσθαι πραγματιωδῶς κατά φύσιν τά ἑνωθέντα μετά τήν ἕνωσιν.

***Περί τῆς Ἐν δύο φωνῆς· καί περί τῆς μιᾶς τοῦ Λόγου φύσεως σεσαρκωμένης εὐσεβής ὁμολογία κατά τούς Πατέρας· καί ἄρνησις τῆς μιᾶς συνθέτου φύσεως.***

Καί πάλιν ἐν δύο φύσεσιν ἀδιαιρέτως τόν αὐτόν ὄντα πιστεύομεν, ὡς ἐν θεότητι καί ἀνθρωπότητι. Ὥσπερ γάρ ἐκ δύο φύσεων λέγοντες τόν Χριστόν, ἐκ θεότητος καί ἀνθρωπότητος ὄντα νοοῦμεν, ὡς ἐκ μερῶν ὅλον· οὕτω καί ἐν δύο φύσεσι λέγοντες (525) μετά τήν ἕνωσιν, ἐν θεότητι καί ἀνθρωπότητι ὄντα πιστεύομεν, ὡς ὅλον ἐν μέρεσι. Μέρη δέ Χριστοῦ ἡ θεότης αὐτοῦ καί ἡ ἀνθρωπότης ἐστίν, ἐξ ὧν καί ἐν

αἷς ὑφέστηκε. Καί αὖθις μίαν τοῦ Θεοῦ Λόγου φύσιν σεσαρκωμένην σαρκί, νοεράν τε καί λογικήν ἐχούσῃ ψυχήν πιστεύειν, λέγειν τε καί κηρύττειν ἐδιδάχθημεν, κατά τόν ἅγιον Κύριλλον· διά τοῦ σεσαρκωμένην εἰπεῖν, τῆς καθ᾿ ἡμᾶς φύσεως εἰσκεκομισμένην νοοῦντες τήν οὐσίαν. Καί πάλιν τοῦ αὐτοῦ καί ἑνός Χριστοῦ τά τε θαύματα καί τά πάθη, καί τοῦ αὐτοῦ τάς δύο γεννήσεις, τήν τε προαιώνιον ἀσωμάτως ἐκ τοῦ Πατρός, καί τήν χρονικήν ἐκ Μητρός καί Παρθένου σωματικῶς δι᾿ ἡμᾶς γεγενημένην. Διό μάλιστα καί κατά ἀλήθειαν κυρίως Θεοτόκον αὐτήν ὁμολογοῦμεν, ὡς τόν ἐκ Πατρός γεννηθέντα πρό πάντων τῶν αἰώνων Θεόν Λόγον, ἐπ᾿ ἐσχάτων τῶν χρόνων ἐξ αὐτῆς σαρκωθέντα γεννήσασαν. Μίαν δέ φύσιν σύνθετον τόν Χριστόν παντελῶς παραιτούμεθα λέγειν· οὐ μόνον διά τάς εἰρημένας αἰτίας, ἀλλ᾿ ὅτι καί μηδείς καθ᾿ ὅλου τῶν ἐγκρίτων Πατέρων πέφανται μέχρι τῆς δεῦρο ταύτην εἰρηκώς τήν φωνήν· καί ὡς προδήλως Ἀπολιναρίου τοῦ αἱρετικοῦ, καί τῶν αὐτοῦ φοιτητῶν ὑπάρχουσαν γέννημα· ὧν ἀποδεξάμενος Σευῆρος τήν πλάνην, εἰκότως καί ταῖς φωναῖς καλλωπίζεται. Οὐ γάρ φυσική μονάς κατά σύνθεσίν ἐστιν ὁ Χριστός κατ᾿ Ἀπολινάριον καί Σευῆρον, ἕως σωζομένην διαφυλλάττει τῶν ἐξ ὧν ἐστι φύσεων καί μετά τήν ἕνωσιν ἀσύγχυτον τήν ἑτερότητα. Οὔτε μήν ὑποστατική δυάς κατά Νεστόριον, ἕως μή καθ᾿ ἑαυτά τά συνελθόντα καί ἀλλήλων διακεκριμένα παντελῶς ὑφεστήκασι· καί ἕως εἷς ἐστιν ὁ σαρκωθείς Θεός Λόγος καί μετά τήν σάρκωσιν, καί μή προϋποστᾶσαν τῷ οἰκείῳ λόγῳ τῆς φύσεως, τήν ἑνωθεῖσαν αὐτῷ λογικῶς τε καί νοερῶς ἐψυχωμένην σάρκα προσέλαβεν· ἀλλ᾿ ὑπόστασις μία σύνθετος κατά τούς Πατέρας, καθ᾿ ἥν ὅλος τε Θεός ἐστιν ὁ αὐτός καί εἷς τῆς ἁγίας καί πανευφήμου Τριάδος μετά τῆς ἀνθρωπότητος διά τήν θεότητα, καί ὅλος ἄνθρωπος ὁ αὐτός, καί εἷς τῶν ἀνθρώπων μετά τῆς θεότητος διά τήν ἀνθρωπότητα.

***Περί ὑποστάσεως συνθέτου φυσικωτέρα διάληψις· καί ἀπόδειξις ἀκριβής τοῦ μή τοῖς αὐτοῖς περιπίπτειν ἀτοπήμασι, τούς ὁμολογοῦντας μίαν σύνθετον ὑπόστασιν τόν Χριστόν, τοῖς μίαν αὐτόν λέγουσι σύνθετον φύσιν.***

Εἰ δέ ὅτι καί πᾶσα σύνθετος ὑπόστασις ἀλλήλοις ὁμόχρονα κέκτηται τά μέρη, νομίζοι τις τήν αὐτήν ἀτοπίαν συνάγεσθαι, καί τοῖς λέγουσι μίαν τόν Χριστόν εἶναι σύνθετον ὑπόστασιν, οὐκ ὀρθῶς κατά τόν ἐμόν ὁ τοιοῦτος ὑπολαμβάνειν λόγον. Οὐ γάρ ἁπλῶς πᾶσα

σύνθετος ὑπόστασις ἀλλήλοις ὁμόχρονα κατά τήν γένεσιν ἔχει τά μέρη· ἀλλ᾽ ἡ ὑπό φύσιν σύνθετον δηλονότι τελοῦσα, καί εἶδος ἔχουσα τοιοῦτον αὐτῆς κατηγορούμενον· ἥτις τῷ κοινῷ καί καθ᾽ ὅλου τῆς κατηγορουμένης οὐσίας ἤτοι φύσεως, (528) τό ἄθροισμα τῶν περί αὐτήν ἰδιωμάτων συμπεπλεγμένον ἔχουσα, φύσις ἐστίν, ἤγουν μετά ἰδιωμάτων. Εἰ οὖν σύνθετος ἡ ὑφ᾽ ἥν τελεῖ φύσις ἐστί καί τό κατηγορούμενον εἶδος, καί αὐτήν σύνθετον εἶναι πάντως ἀνάγκη, καί ἀλλήλοις ὁμόχρονα κεκτῆσθαι τά μέρη, διά τήν κατηγορουμένην αὐτῆς οὐσίαν, ἤγουν φύσιν, οὕτως ὑπάρχουσαν, ὡς τήν αὐτήν οὖσαν τῷ εἴδει χωρίς τῶν ἀφοριστικῶν αὐτῆς γνωρισμάτων. Ὥσπερ γάρ τήν ἁπλῶς λεγομένην ὑπόστασιν ὁρίζοντές φαμεν, Ὑπόστασίς ἐστιν οὐσία τις μετά ἰδιωμάτων, ἤ, οὐσία τις τῶν καθ᾽ ἕκαστα περιληπτική τῶν ἐν τῷ οἰκείῳ ἀτόμῳ πάντων ἰδιωμάτων· οὕτω τήν προσδιωρισμένως, ἀλλ᾽ οὐχ ἁπλῶς λεγομένην ὁρίζοντες ὑπόστασιν, λέγομεν, Ὑπόστασς σύνθετός ἐστι, οὐσία τις σύνθετος μετά ἰδιωμάτων· ἤ οὐσία τις σύνθετος τῶν καθ᾽ ἕκαστα περιληπτική τῶν ἐν τῷ οἰκείῳ ἀτόμῳ πάντων ἰδιωμάτων. Τά γάρ κοινῶς ἐν τοῖς ὑπό τό αὐτό εἶδος ἀτόμοις θεωρούμενα, τό τῆς οὐσίας ἤτοι φύσεως χαρακτηρίζει προηγουμένως ἐν τοῖς ὑπ᾽ αὐτήν ἀτόμοις γενικόν. Πάντων δέ κοινόν τῶν ὑπό τό σύνθετον εἶδος ἀτόμων τό σύνθετον· ἄρα φύσιν ἐν τοῖς ὑπ᾽ αὐτήν ἀτόμοις σύνθετον προηγουμένως χαρακτηρίζει τό σύνθετον, ἀλλ᾽ οὐχ ὑπόστασιν.

Ἄλλως τε δέ πάλιν ἐκ τῶν κοινῶν καί καθ᾽ ὅλου πᾶς ἐστιν ὁρισμός τῶν ὑπ᾽ αὐτά τελούντων ἀτόμων· καί ἐκ τῶν γενικῶν πάντα φυσικῶς ἔχει τήν ἀρχήν τῆς οἰκείας ὑπογραφῆς τά ὑπ᾽ αὐτά· διά τό σαφές εἶναι τό τί κυρίως τε καί προηγουμένως ἐστί τό ὁριζόμενον. Εἰ δέ τοῦτό ἐστιν ἀληθές, ὥσπερ οὖν καί ἔστιν, δῆλον ὅτι ὁ εἰπώς σύνθετον ὑπό φύσιν ἀναγομένην ὑπόστασιν, τό ἐνυπάρχον τῷ κοινῷ τῆς οὐσίας, γενικῶς, τῷ ἀτόμῳ τῆς ὑποστάσεως συνεξέφηνε μετά τῶν αὐτήν ἰδικῶς χαρακτηριζόντων ἰδιωμάτων. Ὥστε ὁ φήσας, ὑπό τινα φύσιν τελοῦσαν ὑπόστασιν σύνθετον, οὐδέν ἕτερον εἶπεν, ἤ φύσιν ἤγουν οὐσίαν σύνθετον μετά ἰδιωμάτων. Εἰ τοίνυν, καθώς δέδεικται, πᾶσα φύσις σύνθετος ἀπροαίρετον ἔχει τήν πρός ἄλληλα τῶν οἰκείων μερῶν κατά τήν σύνθεσιν σύνοδον, καί ἀλλήλοις ὁμόχρονα κέκτηται τά μέρη, καί εἰς συμπλήρωσιν τῆς τά πᾶν κατ᾽ εἶδος ἕκαστον ἐν τοῖς οὖσι θεωρουμένης ὁλότητος γεγένηται· καί πᾶσα δηλονότι κατά τό πεφυκός ὑπόστασις τήν αὐτήν ἔχει τῷ οἰκείῳ γένει τε καί εἴδει

ἀπαράλλακτον πρός τό εἶναι τήν σύστασιν. Δείξωσιν οὖν ὑπό φύσιν σύνθετον τελοῦσαν τήν τοῦ Χριστοῦ σύνθετον ὑπόστασιν, καί ὁμόχρονα κεκτῆσθαι τά μέρη συναγαγέτωσαν, καί τήν αὐτήν δικαίως μέμψιν ἡμῶν κατηγορείτωσαν. Ἕως δι᾽ ἄν τοῦτο μή δύνωνται, κατά ψάμμου ποιοῦνται τῶν οἰκείων δογμάτων τά ἐρείσματα. Ὁ γάρ τόν Χριστόν τούτοις ὑπαγαγεῖν τοῖς προρηθεῖσιν ἀτόποις ἀμαθῶς βιαζόμενος, διά τό σύνθετον αὐτόν ὑπόστασιν καί εἶναι, καί παρ᾽ ἡμῶν εὐσεβῶς ὁμολογεῖσθαι, πολύ τῆς πρός τήν ἀλήθειαν ἀγούσης ὁδοῦ, μᾶλλον δέ κυριώτερον εἰπεῖν, τῆς ἀληθείας αὐτῆς ἀποπεπλάνηται. Τό γάρ μέγα τοῦτο καί σεπτόν τοῦ Χριστοῦ μυστήριον, (529) οὔτε ὡς ἄτομον καθ᾽ ὅλου τινά καί γενικήν ἔχει τήν ὡς εἶδος φύσιν αὐτοῦ κατηγορουμένην· οὔτε μήν αὐτό γένος ἐστίν, ἤ εἶδος τῶν ὑπ᾽ αὐτό φυσικῶς ἀτόμων κατηγορούμενον· ὥστε τινί δύνασθαι τῶν εἰρημένων ὑπαχθῆναι κανόνων· οἷα μηδέ τοῖς συνθέτοις κατά τήν πρός ἄλληλα σύνοδον, ἴσην καί ὁμοίαν ἔχον τήν τοῦ Θεοῦ Λόγου συνδρομήν πρός τήν σάρκα κατά τήν σύνθεσιν.

***Ὅτι κατά πρόσληψιν ἡ πρός τήν σάρκα μόνη τοῦ Λόγου γέγονε ἕνωσις, ὡς προόντος, καί πρός ἕνωσιν σαρκός κενωθῆναι θελήσαντος.***

Ἐπί γάρ πάντων καθ᾽ ὅλου τῶν κατά φύσιν συνθέτων, οὐχ ἡ τοῦδε πρός τόδε κατά πρόσληψιν σύνοδος, τήν τοῦ δέ τοῦ εἴδους, ὡς ἐκ μερῶν ὅλου ποιεῖται σύστασιν. Ἀλλ᾽ ἡ ἀθρόα τῶν μερῶν ἐκ τοῦ μή ὄντος εἰς τό εἶναι γένεσις, κατά τήν ἅμα τῷ εἶναι πρός ἄλληλα σύνοδον, ποιεῖται τοῦ ὅλου τήν σύνθεσιν. Τό δέ τοῦ Κυρίου ἡμῶν καί Θεοῦ καί Σωτῆρος Ἰησοῦ Χριστοῦ μυστήριον, οὐ κατά τοῦτον τόν τρόπον γέγονεν· ἀλλά Θεός ὑπάρχων φύσει, καί Θεοῦ κατά φύσιν Υἱός ἁπλοῦς τε καί ἀσώματος, καί τῷ Πατρί συναΐδιος, καί πάντων δημιουργός τῶν αἰώνων, φιλανθρώπῳ βουλήσει θέλων κατά πρόσληψιν σαρκός γέγονεν ἄνθρωπος· καί δι᾽ ἡμᾶς, ἁπλοῦς κατά φύσιν καί ἀσώματος, ἐξ ἡμῶν γέγονεν οἰκονομικῶς καθ᾽ ὑπόστασιν σύνθετος καί ἐνσώματος, καθά φησιν ἐνθεαστικῶς ὁ ἅγιος καί μέγας Ἀρεοπαγίτης Διονύσιος ἐν τῷ πρώτῳ κεφαλαίῳ τῆς Περί θείων ὀνομάτων συγγραφῆς περί τῆς θείας σαρκώσεως οὑτωσί διεξιών· "Φιλάνθρωπον δέ διαφερόντως, ὅτι τοῖς καθ᾽ ἡμᾶς πρός ἀλήθειαν ὁλικῶς ἐν μιᾷ τῶν αὐτῆς ὑποστάσεων ἐκοινώνησεν· ἀνακαλουμένη πρός ἑαυτήν, καί ἀνατιθεῖσα τήν ἀνθρωπίνην ἐσχατιάν, ἐξ ἧς

[ἀῤῥήτως] ὁ ἁπλοῦς Ἰησοῦς συνετέθη· καί παράτασιν εἴληφε χρονικήν ὁ ἀΐδιος· καί εἴσω τῆς καθ᾽ ἡμᾶς γέγονε φύσεως, ὁ πάσης τῆς κατά φύσιν τάξεως ὑπερουσίως ἐκβεβηκώς."

Εἰ τοίνυν μή κατά νόμον καί τάξιν τῆς τῶν συνθέτων φύσεως, ἀλλ᾽ ἑτέρῳ παρά τήν φύσιν τῶν συνθέτων θεσμῷ· κατά πρόσληψιν γάρ ἀφράστως ὁ τοῦ Θεοῦ πρός τήν σάρκα συνετέθη Λόγος· ἀλλ᾽ οὐ κατά γένεσιν ἅμα τῇ σαρκί πρός σύνθεσιν τό εἶναι λαβών, εἰς ὅλου τινός κατ᾽ εἶδος συμπλήρωσιν, καθώς ὁ τῆς ἀληθείας διαπρυσίως πᾶσιν ἐμβοᾷ λόγος· μάτην τοῖς ὑπό φύσιν θεσμοῖς ὑπαγαγεῖν ἀθέσμως ἐπιχειροῦσιν οἱ ἀμαθεῖς τήν πάντα φύσεως ὅρον τε καί λόγον ἐκβαίνουσαν σύνθεσιν. Διά τοῦτο κατά πρόσληψιν σαρκός ὁ λέγων γενέσθαι τήν ἐνανθρώπησιν, τήν τε τοῦ Θεοῦ Λόγου προαιώνιον ὕπαρξιν σιασώζει, καί τήν ἑκούσιον εὐσεβῶς ὁμολογεῖ καί αὐθαίρετον αὐτοῦ κατά χρόνον σάρκωσιν· καί τήν διαφοράν αὐτοῦ τοῦ προσλαβόντος Λόγου, καί τῆς προσληφθείσης σαρκός ἀσύγχυτον διαφυλάττει καί μετά (532) τήν ἕνωσιν. Ὁ δέ μή κατά πρόσληψιν σαρκός ὁμολογῶν ἀτρέπτως ἐνανθρωπῆσαι τόν τοῦ Θεοῦ Λόγον, οὐδέν τῶν εἰρημένων κατ᾽ οὐδένα τρόπον ἀληθῶς ὁμολογεῖν δυνήσεται. Πῶς γάρ εἰ μή προϋπῆρχεν ἀνάρχως ὁ Λόγος, κατά θέλησιν σάρκα προσέλαβε κατ᾽ οὐσίαν διάφορον; ἐφ᾽ οὗ μάλιστα, καθάπερ οἶμαι, κυρίως ἡ τοῦ ἑτεροφυοῦς λέγεται γεγενῆσθαι κατά πρόσληψιν ἕνωσις· ὡς μόνου τε καί μόνως ἀπαθῶς τε καί ἀληθῶς προσλαβόντος τό ἑτεροούσιον, καί ἄτρεπτον ἑαυτόν παντί λόγῳ τε καί τρόπῳ φυλάξαντος καί ἀπλήθυντον, καί τό προσληφθέν ἀναλλοίωτον· ὅπερ ἀμήχανον ἐπί τῆς γενητῆς γενέσθαι φύσεως· ἐφ᾽ ἧς ἅμα τῇ γενέσει τῶν μερῶν, εἰς ὅλου τινός κατ᾽ εἶδος συμπλήρωσιν, κατά τήν ἀθρόαν πρός ἄλληλα συνδρομήν, πᾶσα γίνεσθαι πέφυκε σύνθεσις, ἴση κατά τό ὅλον τήν πρός ἄλληλα τῶν μερῶν ἀναλογίαν φυλάττουσα· καθάπερ ἐφ᾽ ἡμῶν ἔχει, καί τῶν ὅσα σύνθετον ἔχειν τήν κατ᾽ εἶδος ἔλαχον φύσιν. Ἐφ᾽ ἡμῶν γάρ ἀναλογούσας ἡ ψυχή ταῖς οἰκείαις ἐνεργείαις τάς φυσικάς ἔχει τοῦ σώματος δυνάμεις, ὡς δεκτικοῦ κατά φύσιν ὄντος διά τήν αὐτῆς ἀθρόαν ἅμα τῇ σαρκί πρός τό εἶναι γένεσιν. Ὁ δέ Θεοῦ Λόγος, κατ᾽ οὐδένα λόγον ἤ τρόπον ἀναλογούσας ἔχων ταῖς οἰκείαις κατά φύσιν ἐνεργείαις τῆς ὑπ᾽ αὐτοῦ προσληφθείσης φύσεως τάς δυνάμεις· οὐ γάρ μετρεῖται φύσει τό ὑπέρ φύσιν· οὐδέ τι τό παράπαν ἐν τοῖς οὖσίν ἐστι κατά φύσιν αὐτοῦ δεκτικόν. Ἄρα μονώτατος κατά πρόσληψιν σαρκός λογικῶς τε καί

νοερῶς ἐψυχωμένης, θέλων ἀῤῥήτως γέγονεν ἄνθρωπος· ὡς ὤν καί προών, καί πάντα δυνάμενος· τῷ ὑπέρ φύσιν τρόπῳ τάς φύσεις καινοτομήσας, ἵνα σώσῃ τόν ἄνθρωπον.

Ταύτην ἔμαθον ἐγώ τήν πίστιν, καί ἐδιδάχθην ἐκ τε τῶν προαποδημησάντων ἁγίων καί μακαρίων Πατέρων ἡμῶν, καί ἐκ τῶν νῦν περιόντων, καί τούς οἴακας τῆς καθολικῆς ἁγίας τοῦ Θεοῦ Ἐκκλησίας πεπιστευμένων, καί ὀρθῶς πρός τόν λιμένα τοῦ θείου θελήματος αὐτήν διακυβερνώντων· μεθ᾽ ἧς ταῖς αὐτῶν ἱκεσίαις καί ἀπελεύσομαι τήν παροῦσαν ἀπολιμπάνων ζωήν· ἀντί παντός ἀξιώματος, ταύτην τῷ Θεῷ προσφέρων τήν ὁμολογίαν ἄχραντον καί ἀμόλυντον, καί πάσης αἱρετικῆς ζάλης ὑψηλοτέραν. Βίῳ γάρ ἔργοις καταγλαϊσμένῳ δικαιοσύνης οὐκ ἔχω καυχᾶσθαι, κατά πᾶσάν μου τήν ἐνθάδε ζωήν παραβάτης αὐθαίρετος τῶν θείων νόμων γενόμενος.

Καί ταῦτα μέν ὑμῖν, ὡς οἷόν τε ἦν, ἐπιτόμως ἐγώ γέγραφα, κύριοί μου εὐλογημένοι, πρός τό γινώσκειν ὑμᾶς, εἴπερ τι τοῖς γραφεῖσιν ἔνεστι γρήσιμον, πῶς κἄν ποσῶς ἀποπέμπεσθε τούς ἠμφιεσμένους τό κώδιον λύκους, ταῖς ἀσήμοις καταπτοοῦντας ὑλακαῖς τά θεῖα καί ἤπια τῆς ἁγίας τοῦ Χριστοῦ ποίμνης πρόβατα, καί μή παρασύρεσθε τῷ ψεύδει κακούργως ὑποκρινομένῳ ἀλήθειαν· τάς δέ συνηγόρους τῆς ἐκκλησιαστικῆς πίστεως τῶν Πατέρων φωνάς, τέως οὐκ ἠδυνήθην ἐνθεῖναι τῷ γράμματι, (533) διά τήν παρ᾽ ἐμοί τῶν βίβλων πολλήν ἀπορίαν. Αὐτόθι γάρ τόν εὐλογημένον μου δεσπότην ἔχετε, Πατέρα τε καί διδάσκαλον κύριον ἀββᾶν Σωφρόνιον τόν ὄντως σώφρονα καί σοφόν τῆς ἀληθείας συνήγορον, καί ἀήττητον τῶν θείων δογμάτων ὑπέρμαχον, καί ἔργῳ καί λόγῳ κατά πάσης αἱρέσεως δυνατόν ἀγωνίζεσθαι, μετά πάντων τῶν ἄλλων καλῶν, καί πλήθει βίβλων θείων πλουτοῦντα, καί τούς βουλομένους μανθάνειν τά θεῖα προθύμως πλουτίζοντα. Πρός αὐτόν οὖν φοιτῶντες, πᾶσαν τῶν θείων καί σωτηρίων δογμάτων, εὖ οἶδα, κομίσεσθε τήν ὀρθήν καί ἄπταιστον γνῶσιν. Ἔῤῥωσθε.

***ΙΔ΄. - Τοῦ αὐτοῦ, πρός τόν αὐτόν, ἐπιστολή δογματική.***

Ὁ μέν Θεός κατά φύσιν ὑπάρχων ἀγαθός, οὐδέν ὧν ποιεῖν πέφυκεν, ἐστί πονηρόν. Ὁ δέ ἄνθρωπος, ἐπιμελείᾳ γνώμης γινόμενος ἀγαθός, οἷς πέφυκε ποιεῖν ὁ Θεός, ἀεί δείκνυται χαίρων. Ἄλλην γάρ ὁ ἄνθρωπος οὐκ ἔχει τοῦ ἀγαθός εἶναι διάγνωσιν, ἤ μόνην τήν πρός τό γινόμενον ὑπό τοῦ Θεοῦ συνδιάθεσιν. Θεοῦ γάρ ἴδιον ἡ τῶν ἀγαθῶν

ποίησις· ἀνθρώπου δέ, ἡ πρός αὐτά συνδιάθεσις. Ἀρετή γάρ ἀνδρός ἐστι, τό δεῖξαι τό πεποιημένον ὑπό τοῦ Θεοῦ διαθέσει γνώμης στεργόμενον. Οὐκοῦν εἴπερ ἀγαθόν ἅπαν τό τόν Θεόν ἔχον τῆς οἰκείας γενέσεως αἴτιον, ἀγαθόν εἰκότως, καί τῶν ἀγαθῶν τό μέγιστον, ἡ τῶν διεστηκότων ἕνωσίς ἐστιν, ὅτι Θεοῦ προφανές ἔργον καθέστηκεν. Εἰ δέ τοῦτο πάντως ἐστί ἀληθές, οἶδ᾽ ὅτι χαίρετε θεώμενοι τούς διεσκορπισμένους συναγομένους εἰς ἕν, ἀγαθοί τυγχάνοντες, διά τήν ὑμῶν πρός τά καλά συνδιάθεσιν.

Δέξασθε τοίνυν ὡς ἀγαθούς παρακαλῶ τούς θεοφυλάκτους ὑμᾶς, τόν ταύτην μου τήν μετρίαν ἐπιφερόμενον συλλαβήν θεοφιλέστατον διάκονον κύριόν (536) μου Κοσμᾶν, ἄνδρα καλόν καί συνετόν, καί τοῖς κατά Θεόν ἤθεσιν ὡραϊσμένον, καί εἰς τούς οἰκείους αὐτόν κατατάξασθαι φίλους· καί εἴπερ γένηται χρεία πρός τόν θεοτίμητον πάπαν ὑπέρ αὐτοῦ καταθέσθαι παράκλησιν, ἵνα τόν ἴδιον ἀπολάβῃ βαθμόν τῆς διακονίας, ἐν ᾗ τεταγμένος ἦν Ἐκκλησίᾳ, μή κατοκνῆσαι. Τοσοῦτον γάρ γνησίως τόν εὐσεβῆ τῶν θείων τῆς Ἐκκλησίας δογμάτων προσήκατο λόγον, ὥστε καί διαπύρως αὐτοῦ ὑπερμάχεσθαι, καί τοῦτον εἰδέναι τῆς εὐσεβείας ὅρον τε καί θεσμόν, τή μηδέν ἠρνῆσθαι φρονεῖν ὧν ἐστι Χριστός μετά τήν ἄφραστον ἕνωσιν· Θεός ὁμοῦ κατά ταυτόν ἀληθῶς ὁ αὐτός ὑπάρχων καί ἄνθρωπος. Οὐ γάρ ἀπέβαλεν ὅπερ ἦν, γενόμενος ἀληθῶς ὅπερ οὐκ ἦν· ἄτρεπτος γάρ. Οὐδ᾽ ἠλλοίωσεν ὅπερ γέγονε, διαμείνας ὅπερ ὑπῆρχε· φιλάνθρωπος γάρ· ἀλλ᾽ ἄμφω φυσικῶς καθ᾽ ὑπόστασιν ὅλος ἐστίν· ὡς εἷς ἐξ ἀμφοῖν, καί δι᾽ ἑνός ἑαυτοῦ σώζων ἀμφότερα, δίχα τροπῆς καί μειώσεως, ὡς αὐτά καθ᾽ ἕνωσιν ὤν ἀληθῶς τήν καθ᾽ ὑπόστασιν. Ἡ γάρ καθ᾽ ὑπόστασιν ἕνωσις, πρός τήν διαίρεσιν ἔχουσα τήν ἀντιδιαστολήν, ἀλλ᾽ οὐ πρός τήν φυσικήν τῶν κατ᾽ αὐτήν ἡνωμένων διαφοράν, τῆς μέν ποιεῖται τελείαν ἀναίρεσιν, τῆς δέ παγίαν ἐργάζεται τήρησιν· ἧς ὁ ἀριθμός καθέστηκε δήλωσις. Ἐπειδή ποσοῦ παντελῶς ἀμοιροῦσαν οὐκ ἄν ποτέ τις διαφοράν ἐπινοήσειε· κἄν ὁ σοφώτατος ᾖ περί λόγους καί δυσμαχώτατος. Ἕως γάρ ἄν τοῦ κατά σύνθεσιν ὅλου τά μέρη σώζεται δίχα συγχύσεως, ἐξ ὧν τό ὅλον συνέστηκεν, ἡ πρός ἄλληλα φυσική τῶν καθ᾽ ἕνωσιν σωζομένων τοῦ ὅλου μερῶν οὐκ ἀγνοεῖται διαφορά. Ἕως δ᾽ ἄν ἐν τῷ ὅλῳ τῆς κατ᾽ οὐσίαν διαφορᾶς τῶν μερῶν ὁ λόγος μένῃ σωζόμενος, ἀγνοεῖσθαι τό ποσόν τῶν κατ᾽ οὐσίαν ἀλλήλων διαφερόντων τοῦ ὅλου μερῶν ἀμήχανον, οὗ ποιεῖσθαι πέφυκεν ὁ ἀριθμός δήλωσιν, ἀλλ᾽ οὐ

διαίρεσιν ὅτι μή τῆς σχέσεως τῶν πραγμάτων, τουτέστιν ἑνώσεως ἤ διαιρέσεως, ἀλλά μόνης τῆς ἁπλῶς, ἀλλ᾽ οὐ τῆς πως ποσότητος ὁ ἀριθμός ὑπάρχει δηλωτικός. Εἰ δέ ποσότητος, ἀλλ᾽ οὐχί σχέσεως ὁ ἀριθμός ποιεῖσθαι πέφυκε δήλωσιν, οὐ διαιρεῖ παντελῶς τήν ἕνωσιν, ὁ πρός μόνην εὐσεβῶς τήν δήλωσιν τῆς ἐν Χριστῷ σωζομένης τῶν ἐξ ὧν ἐστι φύσεων διαφορᾶς τῷ ἀριθμῷ χρώμενος μετά τήν ἕνωσιν, ἀλλά γινώσκειν μόνον ἀσυγχύτως μεμενηκέναι τάς φύσεις μετά τήν ἕνωσιν· ἐξ ὧν ὁ εἷς ὑπάρχει Χριστός καί Κύριος, καί Υἱός καί Θεός, δηλονότι σεσαρκωμένος, καί τελείως ἐνανθρωπήσας. Διό καί μίαν φύσιν αὐτοῦ τοῦ Λόγου σεσαρκωμένην, σαρκί ψυχήν ἐχούσῃ τήν νοεράν τε καί λογικήν πρεσβεύει μετά τήν ἕνωσιν, οὐκ ἀγνοῶν τήν διαφοράν, ἀλλ᾽ ἐξιστῶν καί οἷον ἔξω τιθείς τήν διαίρεσιν· ἵν᾽ ὁμοῦ τε διά τουτωνί τῶν φωνῶν, Ἀπολιναρίου (537) τήν σύγχυσιν καί Νεστορίου τήν διαίρεσιν, τά ἐκ διαμέτρου κακά, τῆς θείας αὐλῆς ἀπελάσειε· καί γένηται καθαρός τοῦ μυστηρίου προσκυνητής· ὁμολογῶν τόν αὐτόν ἄνωθεν ἐκ τοῦ Πατρός γεννηθέντα πρό πάντων τῶν αἰώνων· καί τόν αὐτόν κάτωθεν, προσλήψει δηλονότι σαρκός, λογικῶς τε καί νοερῶς ἐψυχωμένης ἐκ τῆς μητρός δι᾽ ἡμᾶς ἐπ' ἐσχάτων γεννηθέντα τῶν χρόνων. Καί διά τοῦτο κυρίως καί κατ᾽ ἀλήθειαν εἶναι Θεοτόκον τήν ἁγίαν Παρθένον πιστεύων, ὅτι περ αὐτόν ἀντί σπορᾶς συλλαβοῦσα τόν Λόγον, κεκύεκέ τε καί τέτοκεν ἐξ αὐτῆς σαρκωθέντα· τό αὐτόν ἐνεργοῦντα τά θαύματα· τόν αὐτόν τῆς τῶν ἀνθρωπίνων παθημάτων κατά θέλησιν ἀνεχόμενον πείρας τόν αὐτόν σταυρωθέντα, ταφέντα, ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ κατά τάς Γραφάς· ἀναληφθέντα σεσαρκωμένον εἰς οὐρανούς, ἐξ ὧν ἄσαρκος πρός ἡμᾶς κατελήλυθεν, ὡς οἶδεν αὐτός· ὁ μηδεμίαν ἔχων ὡς Θεός κατά φύσιν τήν ἐκ τόπων εἰς τόπους μετάβασιν. Φύσει γάρ ἄπειρος, καί διά τοῦτο μηδενί τρόπῳ τοῖς οὖσι χωρούμενος, ὡς πάσης περιγραφῆς ὑπάρχων ἐλεύθερος, καί φύσει φιλάνθρωπος, καί διά τοῦτο τῆς ἡμῶν κατά θέλησιν σαρκικῆς γεννήσεως ἀνασχόμενος, καί χωρητός τοῖς ἡμετέροις γενόμενος· τόν αὐτόν ἥξοντα μετά τῆς ἑκάστω δοῦναι τήν κατ' ἀξίαν ἡτοιμασμένων διανομήν.

Ταύτην ἀσπασίως προσηκάμενον τήν ὁμολογίαν τόν εἰρημένον θεοφιλέστατον κύριον Κοσμᾶν, κἀγώ προσηλάμην χαίρων, καί τῆς ψυχῆς προὐτίμησα τῆς ἐμῆς τήν ἁπλῆν αὐτοῦ κατά Χριστόν διάθεσιν γνούς· καί περί ὧν ἠρώτησε δογματικῶν κεφαλαίων, ἔγγραφον δέδωκα αὐτῷ σύντομον τήν ἀπόκρισιν· ἥν καί τούς θεοφυλάκτους

ὑμᾶς λαβεῖν καί γυμνάσαι, τῶν εἰκότων ἐστίν. Ὠφελεῖτε γάρ αὐτόν διά τῆς ὑμετέρας ἐπί τῷ κειμένῳ καλῆς ἐξηγήσεως, ἀναπληροῦντες τῶν διά τήν συντομίαν ἐλλειφθέντων τόν νοῦν· καί ταῦτα μέν περί τούτου. Ὑπομιμνήσκω δέ τούς θεοφυλάκτους ὑμᾶς γρηγορεῖν, καί προσεύχεσθαι κατά τήν τοῦ Κυρίου διαταγήν, ἵνα μή ταῖς παγίσι τῶν πανταχόθεν ἡμᾶς περιεστηκότων ἁλῶμεν πειρασμῶν. Ἐάν γάρ γρηγορῶμεν καί νήφωμεν, τούς τῶν διαμόνων οἶδ᾽ ὅτι φυλαττόμεθα δόλους· καί ἐάν προσευχώμεθα, πρός τήν ἡμετέραν βοήθειαν τήν θείαν ἐπισπώμεθα χάριν, συμμαχοῦσαν ἡμῖν, καί πάσης ἡμᾶς ἀποφαίνουσαν νικητάς (540) ἀντικειμένης δυνάμεως, καί ῥυομένην ἡμᾶς πάσης πλάνης καί ἀγνωσίας· καί μάλιστα νῦν τοῦτο πράττειν ὀφείλομεν· ὅτι καί δίχα τῆς ἐντολῆς, γίνεται τῆς ἐπί τόν Θεόν καταφυγῆς διδάσκαλος ἡ φύσις, λαμβάνουσα σύμβουλον τήν περίστασιν. Τί γάρ τῶν νῦν περιεχόντων τήν οἰκουμένην κακῶν περιστατικώτερον; τί δέ τοῖς ᾐσθημένοις τῶν γινομένων δεινότερον; τί δέ τοῖς πάσχουσιν ἐλεεινότερον ἤ φοβερώτερον; Ἔθνος ὁρᾷν ἐρημικόν τε καί βάρβαρον, ὡς ἰδίαν γῆν διατρέχον τήν ἀλλοτρίαν· καί θηρσίν ἀγρίοις καί ἀτιθάσσοις, μόνης ἀνθρώπων ἔχουσι ψιλόν σχῆμα μορφῆς, τήν ἥμερον πολιτείαν δαπανωμένην· καί λαόν Ἰουδαϊκόν, καί ἀνέκαθεν ἀνθρώπων αἵμασι χαίροντα, καί μόνην θείαν εὐαρέστησιν εἰδότα τόν φόνον τοῦ πλάσματος· καί διά τοῦτο πλέον μαινόμενον, πάντων τῶν ἐπί κακίᾳ διαβεβοημένων ἐν τῷ πλούτῳ τῆς πονηρίας γενέσθαι περιφανέστερον · καί οἷς Θεός ἀπεχθάνεται, Θεόν θεραπεύειν οἰόμενον· τόν μόνον πάντων τῶν ἐπί γῆς λαῶν ἀπιστότατον· καί διά τοῦτο πρός ὑποδοχήν τῆς ἀντικειμένης δυνάμεως ἐπιτηδειότατον· προπομπεύοντα, τρόπῳ τε παντί καί διαθέσει τῆς ἐνδημίας τοῦ πονηροῦ· καί δι᾽ ὧν πράττει μηνύοντα τοῦ Ἀντιχρίστου τήν παρουσίαν, ἐπειδή τήν τοῦ ἀληθῶς Σωτῆρος ἠγνόησεν· τόν δυσμενῆ καί παράνομον, μισάνθρωπόν τε καί μισόθεον, καί διά τοῦτο μᾶλλον μισάνθρωπον, ὅτι μισόθεον, καί ταῖς κατά τῶν ἁγίων ἐντρυφᾷν ὕβρεσι συγχωρούμενον· ὡς ἐγγύς οὔσης τῆς ἐκδικήσεως, ἵνα καί κολασθῇ δικαιότερον, φανείσης αὐτοῦ διά τῶν πραγμάτων τελείως τῆς κατά τοῦ Θεοῦ τυραννίδος τε καί ἐπαναστάσεως· τόν τοῦ ψεύδους προστάτην λαόν, τῆς τε μιαιφονίας δημιουργόν, καί τῆς ἀληθείας ἐχθρόν· τόν πικρόν τῆς ἐμῆς πίστεως διώκτην, δι᾽ ἧς ἡ πολύθεος κατελύθη πλάνη, καί τῶν διαμόνων αἱ φάλαγγες ἀπηλάθησαν. Δι᾽ ἧς Πάντα τά ἔθνη κεκροτήκασι χεῖρας,

κατά τήν προφητείαν, καί ἠλάλαξαν τῷ Θεῷ ἐν φωνῇ ἀγαλλιάσεως· ὅτι Κύριος ὕψιστος, φοβερός, Βασιλεύς μέγας ἐπί πᾶσαν τήν γῆν. Ἐγνώσθη μυστικῶς αὐτοῖς διά σαρκός ἐπιδημήσας ὁ μονογενής Υἱός· Κύριος μέν, ὡς δούλοις ἀρετήν ἐπιτάσσων τοῖς διά πράξεως τῶν ἐντολῶν ἀνεχομένοις· ὕψιστος δέ, ὡς τῆς ἀληθῶς γνώσεως χορηγός, τοῖς πόθῳ σοφίας διά θεωρίας πρός τήν γυμνήν συμβόλων ἐπειγομένοις τῶν μυστηρίων κατάληψιν· φοβερός δέ, ὡς κριτής, καί τῶν παραβάσεων ἐκδικητής· βασιλεύς δέ, ὡς ἑκάστῳ τῶν κατ᾽ ἀξίαν ἡτοιμασμένων διανομεύς· (541) καί μέγας ὡς ὑπέρ φύσιν διά τῶν ἐναντίων τά ἐναντία ποιῶν· καί διά πάθους ἀπάθειαν, καί διά θανάτου ζωήν δημιουργῶν, καί παραδόξῳ δυνάμει ταῖς ἑαυτοῦ κατά σάρκα στερήσεσι, τάς ἀτρέπτους ἕξεις τῶν ἀγαθῶν τῇ φύσει δωρούμενος· καί οὐδ᾽ οὕτως ὁ παράφρων αἰσχύνεται λαός, καί λήγει διώκων πίστιν καί ἀρετήν. Ἅπερ σαφῶς διώκει διά βασκανίαν· ὡς ἀμφοτέρων ἐκπεπτωκώς, καί οὐκ εἰδώς ὅτι πέπτωκεν, ἐπ᾽ ἀμφοτέραις χωλαίνων ταῖς ἰγνύαις, καί διαναστῆναι τοῦ πτώματος τῆς ἀσεβείας παντελῶς μή δυνάμενος, ἤ μή βουλόμενος, εἰπεῖν οἰκειότερον· ὡς πίστιν καί ἀρετήν ἀεί προδιδούς ὑπερηφανίας χάριν καί ἡδονῆς, ὡς ἀποστάτης λαός καί μωρός, καί ἔθνος ἀπαίδευτον. Αἷς ἐπιμερίσας ἑαυτοῦ τήν ζωήν, ὁ ἀποστάτης καί πλήρης ἀνομιῶν, τήν μέν ἀποστασίας Θεοῦ ποιεῖται μητέρα, τήν δέ, μισανθρωπίας δημιουργόν· ἵνα καί Θεός αὐτῷ καί κτίσις ὑβρίζεται· ὁ μέν καταφρονούμενος, ἡ δέ, φθειρομένη τοῖς αὐτοῦ μιασμοῖς τῶν ἐπιτηδευμάτων.

Τί τούτων, ὡς ἔφην, Χριστιανῶν ὀφθαλμοῖς, ἤ ἀκοαῖς φοβερώτερον; Ἔθνος ἀπηνές καί ἀλλόκοτον, κατά τῆς θείας κληρονομίας ὁρᾷν ἐπανατείνεσθαι χεῖρας συγχωρούμενον. Ἀλλά ταῦτα τό πλῆθος ὧν ἡμάρτομεν συμβῆναι πεποίηκεν. Οὐ γάρ ἀξίως τοῦ Εὐαγγελίου τοῦ Χριστοῦ πεπολιτεύμεθα. Πάντες ἡμάρτομεν, πάντες ἠνομήσαμεν, πάντες ἀφήκαμεν τήν ὁδόν τῶν ἐντολῶν τήν εἰποῦσαν, Ἐγώ εἰμί ἡ ὁδός, καί κατ᾽ ἀλλήλων ἐθηριώθημεν, ἀγνοήσαντες τῆς φιλανθρωπίας τήν χάριν, καί τῶν ὑπέρ ἡμῶν τοῦ σαρκωθέντος Θεοῦ παθημάτων τό μυστήριον· καί διωδεύσαμεν τρίβους ἀβάτους, τάς τῶν παθῶν τῆς ἀτιμίας δηλαδή σχέσεις τῇ διαθέσει τῇ γνώμης κυρώσαντες. Ἀλλά γρηγορήσωμεν καί προσευξώμεθα, μήπως πλέον βαρυνθῶσιν αἱ καρδίαι ἡμῶν ἐν κραιπάλῃ καί μέθῃ. Κραιπάλη γάρ ἐστιν, ὁ ἐπί τῷ λόγῳ τῆς πίστεως ἐν καιροῖς διωγμῶν δισταγμός· μέθη δέ, ἡ τῶν κατά φύσιν ἀποβολή

λογισμῶν, δι᾽ ὧν ἡ ἀληθής γενέσθαι πέφυκε τῶν ὄντων διάγνωσις, ὅτ᾽ ἄν ἐξ ἀτονίας ἐποκλάσῃ ταῖς ἐπηρείαις τῶν πειρασμῶν ἡ ψυχή· καί σκοτωθεῖσα, πάθῃ σάλον περί τόν λόγον, ὡς ἔφην, τῆς πίστεως. Ἐάν γαρ προσευχώμεθα καί γρηγορῶμεν, βεβαιοτέραν μᾶλλον τήν εἰς τόν Κύριον ἡμῶν καί Θεόν Ἰησοῦν Χριστόν πίστιν κατέχομεν, θεωροῦντες, καί τῇ πείρᾳ λαμβάνοντες, ὧν προεῖπεν τήν ἔκβασιν· καί οὐ ξενιζόμεθα παντελῶς, καί σάλον κατά ψυχήν ὑπομένομεν, ὡς παρ᾽ ἐπαγγελίαν πάσχοντες, ἀλλά βεβαιοτέραν τήν πίστιν κατέχομεν, βλέποντες διά τῶν πραγμάτων πληρουμένην τοῦ Κυρίου τήν πρόῤῥησιν. Εἰ δέ βεβαίωσιν πίστεως οἶδε ποιεῖν ἡ τῶν προῤῥηθέντων ἔκβασις, πλέον διά τῶν γινομένων καί (544) ἡμεῖς τήν πίστιν ἡμῶν βεβαιώσομεν, ἀληθῆ τόν εἰρηκότα τυγχάνειν εὑρίσκοντες· καί Θεόν αὐτόν ὁμολογήσωμεν ἔμπροσθεν τῶν ἀνθρώπων, μηδένα παντελῶς ὑφορώμενοι θάνατον· ἵνα καί αὐτός ἡμᾶς ἔμπροσθεν τοῦ Πατρός ὁμολογήσῃ· καί σεσωσμένους διά τῆς καλῆς ὁμολογίας προσαγάγῃ, ἧς αὐτός εἰς τήν τῶν ἡμετέρων καλῶν ὑποτύπωσιν ἀπήρξατο· μαρτυρήσας ἐπί Ποντίου Πιλάτου, καί ὁμολογήσας τήν καλήν ὁμολογίαν· ἥν μιμεῖσθαι κατά τήν αὐτοῦ χάριν ἀξιωθείημεν, ὅτ᾽ ἄν καλέσοι καιρός· μή προπετῶς ἐπιπηδῶντες τοῖς ὑπέρ τοῦ λόγου τῆς εὐσεβείας κινδύνοις, ἀλλά φεύγοντες ὅση δύναμις τούς πειρασμούς, φειδοῖ τε τῶν διωκόντων, καί τῇ κατ᾽ ἐπίγνωσιν δοκιμασίᾳ τῆς ἐνούσης ἡμῖν φυσικῆς ἀσθενείας· τούς νηπιάζοντας παιδαγωγοῦντες, καί τόν καλοῦντα περιμένοντες Λόγον· ὅς ἐν τοῖς νομίμως τούς ὑπέρ εὐσεβείας ὑπερμαχομένοις ἀγῶνας ἀοράτως παραγινόμενος, τόν τῆς μαρτυρίας διέξεισι δρόμον· ὡς μόνος αἴσθησιν καί φύσιν νικῆσαι δυνάμενος· ἐπειδή σαφῶς αἰσθήσεως νίκη καί φύσεώς ἐστι τό μαρτύριον, δι᾽ οὗ πέφυκε νοῦ τε καί λόγου γίγνεσθαι κατά τῶν παθῶν ἐπανάστασις, καθ᾽ ἥν ὁ τοῦ Θεοῦ βεβαιοῦται πόθος, παραδόξως διά θανάτου πείθων τούς ἐραστάς διαβῆναι πρός τόν ποθούμενον· ᾧ παραστῆναι καταξιωθείημεν ταῖς εἰς αὐτόν ὁμολογίαις ἀστράπτοντες, ἅς καί συναπενέγκοιμεν ἑαυτοῖς ἐντεῦθεν ἀπιόντες, καί πρός τόν ἀτελεύτητον μεταβαίνοντες κόσμον, εὐχαῖς καί πρεσβείαις τῆς παναγίας Δεσποίνης ἡμῶν Θεοτόκου καί ἀειπαρθένου Μαρίας, καί πάντων τῶν ἁγίων. Ἀμήν.

***ΣΧΟΛΙΟΝ.***

*α΄*. Ὁ χρώμενος, φησί, πρός μόνην δήλωσιν τῆς διαφορᾶς ἐπί Χριστοῦ, τῇ φωνῇ τῶν δύο φύσεων, Ἀπολιναρίῳ μάχεται· καί ὁ λέγων πάλιν τήν φωνήν τῆς μιᾶς τοῦ Θεοῦ Λόγου φύσεως σεσαρκωμένης, ἐκβάλλει τήν Νεστορίου διαίρεσιν. Τάς δύο γάρ λέγει φωνάς ὁ φεύγων ἐπ' ἴσης τήν ἑκατέρου τούτων δυσσέβειαν.

***ΙΕ΄. - Τοῦ αὐτοῦ, περί κοινοῦ καί ἰδίου, τουτέστιν οὐσίας καί ὑποστάσεως, πρός Κοσμᾶν τόν θεοφιλέστατον διάκονον Ἀλεξανδρείας.***

Τῷ θεοφιλεστάτῳ κυρίῳ Κοσμᾷ διακόνῳ, Μάξιμος ταπεινός χαίρειν.

Ἐπείπερ πολύς ἡμῖν περί τῆς θείας σαρκώσεως κεκίνηται λόγος, αὐτῶν ἁψάμενος τῶν λεπτῶν τῆς εὐσεβείας δογμάτων, ἐξ ὧν λαβόμενος ἀφορμῆς τήν ἐμήν ἀπήτησας ταπείνωσιν, εἰπεῖν, ἄνθρωπε τοῦ Θεοῦ, τί τό κοινόν ἐστι καί καθόλου· καί τί τό μερικόν καί ἴδιον· ἵν᾽ ἐντεῦθεν ἡμῖν σαφής ὁ πᾶς τῆς ἑνώσεως γένηται λόγος· ἐμόν μέν οὐδέν ἐρῶ παντελῶς· ὅ δέ παρά τῶν Πατέρων ἐδιδάχθην, φημί, μηδέν παραμείβων τῆς αὐτῶν ἐπί τούτοις διδασκαλίας.

Κοινόν μέν οὖν ἐστι καί καθολικόν, ἤγουν γενικόν, κατά τούς Πατέρας, ἡ οὐσία καί ἡ φύσις· ταυτόν γάρ ἀλλήλαις ταύτας ὑπάρχειν φασίν. Ἴδιον δέ καί μερικόν, ἡ ὑπόστασις καί τό πρόσωπον· ταυτόν γάρ ἀλλήλοις κατ᾽ αὐτούς ταῦτα τυγχάνουσιν. Καί δηλοῖ Τερεντίῳ τάδε γράφων ὁ μέγας Βασίλειος, " Εἰ δέ δεῖ καί ἡμᾶς ἐν βραχεῖ τό ἡμῖν δοκοῦν εἰπεῖν, ἐκεῖνο ἐροῦμεν, ὅτι ὅν ἔχει λόγον τό κοινόν πρός τό ἴδιον, τοῦτον ἔχει ἡ οὐσία πρός τήν ὑπόστασιν. Ἕκαστος γάρ ἡμῶν καί τῷ κοινῷ τῆς οὐσίας λόγῳ τοῦ εἶναι μετέχει, καί τοῖς περί αὐτόν ἰδιώμασιν ὁ δεῖνά ἐστι καί ὁ δεῖνα." Καί πάλιν ὁ αὐτός πρός Ἀμφιλόχιον περί τῶν τοιούτων διεξιών, τάδε φησίν· "Οὐσία δέ καί ὑπόστασις ταύτην ἔχει τήν διαφοράν, ἥν ἔχει τό κοινόν πρός τό καθέκαστον. Οἷον, ὡς ἔχει τό ζῶον πρός τόν δεῖνα ἄνθρωπον." Καί μεθ᾽ ἕτερα· "Οἱ δέ ταὐτόν λέγοντες οὐσίαν καί ὑπόστασιν, ἀναγκάζονται πρόσωπα μόνον ὁμολογεῖν διάφορα." Καί πάλιν κανονικήν τινα διδάσκων ἐπέστελλεν ἑρμηνεύων τήν τοῦ ὁμοουσίου διάνοιαν· "Αὕτη δέ ἡ φωνή, καί τοῦ Σαβελλίου κακόν ἐπανορθοῦται. Ἀναιρεῖ γάρ τήν ταυτότητα τῆς ὑποστάσεως, καί εἰσάγει τελείαν τῶν προσώπων τήν ἔννοιαν· οὐ γάρ αὐτό τί ἐστιν ὁμοούσιον ἑαυτῷ, ἀλλ᾽ ἕτερον ἑτέρῳ. Ὥστε καλῶς ἔχει, καί εὐσεβῶς, τῶν τε ὑποστάσεων τήν

ἰδιότητα διορίζουσα, καί τῆς φύσεως τό ἀπαράλλακτον παριστῶσα." Καί πάλιν ἐν τῇ δευτέρᾳ πρός Νεοκαισαρεῖς διδάσκει φάσκων· "Καί γάρ εἰδέναι χρή, ὅτι ὥσπερ ὁ τό κοινόν τῆς οὐσίας μή ὁμολογῶν εἰς πολυθεΐαν ἐκπίπτει· οὕτως ὁ τά ἴδια τῶν ὑποστάσεων μή διδούς, εἰς τόν Ἰουδαϊσμόν ἀποφέρεται." Καί πάλιν ἐν οἷς Εὐστάθιον τόν Ἀρμένιον ὑπογράψαι πεποίηκε, διαῤῥήδην γράφων φαίνεται. "Προσήκει τοίνυν ἐναργῶς ὁμολογεῖν, ὅτι πιστεύουσι κατά τά ῥήματα τά ὑπό τῶν ἡμετέρων Πατέρων ἐκτεθέντα ἐν τῇ Νικαίᾳ, καί κατά τήν ὑγιῶς ὑπό τῶν ῥημάτων ἐμφερομένην διάνοιαν. Εἰσί γάρ τινες, οἵ καί ἐν ταύτῃ τῇ πίστει δολοῦντες τόν λόγον τῆς ἀληθείας, καί πρός τό ἑαυτῶν βούλημα, τόν νοῦν τῶν ἐν αὐτῇ ῥημάτων ἕλκοντες. Ὅπου γε καί Μάρκελλος ἐτόλμησεν ἀσεβῶν εἰς τήν ὑπόστασιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καί ψιλόν αὐτόν ἐξηγούμενος λόγον, ἐκεῖθεν προφασίσασθαι τάς ἀρχάς εἰληφέναι, τοῦ ὁμοουσίου τήν διάνοιαν κακῶς ἐξηγούμενος. Καί τινες τῶν ἀπό τῆς δυσσεβείας τοῦ Λίβυος Σαβελλίου ὑπόστασιν καί οὐσίαν ταυτόν εἶναι ὑπολαμβάνοντες, ἐκεῖθεν ἕλκουσι τάς ἀφορμάς πρός τήν κατασκευήν τῆς ἑαυτῶν βλασφημίας, ἐκ τοῦ ἐγγεγράφθαι τῇ πίστει, Ἐάν δέ τις λέγῃ ἐξ ἑτέρας οὐσίας ἤ ὑποστάσεως τόν Υἱόν τοῦ Θεοῦ, τοῦτον ἀναθεματίζει ἡ ἁγία καί καθολική Ἐκκλησία. Οὐ γάρ ταυτόν εἶπον ἐκεῖνοι οὐσίαν καί ὑπόστασιν. Εἰ γάρ μίαν καί τήν αὐτήν ἐδήλουν [ἔννοιαν] αἱ φωναί, τίς χρεία ἦν ἑκατέρων ; Ἀλλά δῆλον, ὡς τῶν μέν ἀρνουμένων τό ἐκ τῆς (548) οὐσίας ἄλλων δέ λεγόντων ἐν ἄλλης τινός ὑποστάσεως· οὕτως ἀμφότερα ὡς ἀλλότρια τοῦ ἐκκλησιαστικοῦ φρονήματος ἀπηγόρευσαν. Ἐπεί ὅπου γε τό ἑαυτῶν ἐδήλουν φρόνημα, εἶπον ἐκ τῆς οὐσίας τοῦ Πατρός εἶναι τόν Υἱόν, οὐκέτι προσθέντες τό, ἐκ τῆς ὑποστάσεως. Ὥστε ἐκεῖνο μέν κεῖται ἐπ᾽ ἀναιρέσει τοῦ πονηροῦ φρονήματος· τοῦτο δέ φανέρωσιν ἔχει τοῦ σωτηρίου δόγματος."

Συνῳδά δέ τούτῳ καί Γρηγόριος ὁ τῆς θεολογίας ἐπώνυμος ἐν τῷ θεολογικῷ προτέρῳ λόγῳ τάδε φαίνεται φάσκων· "Μεσότητα δέ ὅτ᾽ ἄν εἴπω, τήν ἀλήθειαν λέγω· πρός ἥν βλέπειν, καλῶς ἔχει μόνον, καί τήν φαύλην συναίρεσιν παραιτουμένους , καί τήν ἀτοπωτέραν διαίρεσιν· ὡς μήτε εἰς μίαν ὑπόστασιν συναιρεθέντα τόν λόγον, δέει πολυθεΐας, ψιλά ἡμῖν καταλιπεῖν τά ὀνόματα, τόν αὐτόν Πατέρα καί Υἱόν καί ἅγιον Πνεῦμα ὑπολαμβάνουσι." Καί μετ᾽ ὀλίγα πάλιν· " Ἐπειδή χρή καί τόν ἕνα Θεόν τηρεῖν, καί τάς τρεῖς ὑποστάσεις ὁμολογεῖν· ἤγουν τριά πρόσωπα, καί ἑκάστην μετά τῆς ἰδιότητος. Τηροῖτο δ᾽ ἄν, ὡς ὁ

ἐμός λόγος, εἷς μέν Θεόν, εἰς ἕν αἴτιον Υἱοῦ καί Πνεύματος ἀναφερομένων, οὐ συντιθεμένων, οὐδέ συναλειφομένων· αἱ δέ τρεῖς ὑποστάσεις, μηδεμιᾶς ἐπινοουμένης συναλοιφῆς ἤ ἀναλύσεως ἤ συγχύσεως· ἵνα μή τό πᾶν καταλυθῇ, δι᾽ ὧν τό ἕν σεμνύνεται πλέον, ἤ καλῶς ἔχει. Καί κατά τό ἕν καί ταὐτόν τῆς θεότητος, ἵνα οὕτως ὀνομάσω, κίνημά τε καί βούλημα, καί τήν τῆς οὐσίας ταυτότητα." Καί ἐν τῷ Συντακτηρίῳ λόγῳ πάλιν· "Πιστεύομεν εἰς Πατέρα, καί Υἱόν, καί ἅγιον Πνεῦμα· ὁμοούσιά τε καί ὁμόδοξα, ἐν οἷς καί τό βάπτισμα τήν τελείωσιν ἔχει· οἶδας, ὁ μυηθείς, ἄρνησις ὅν ἀθεΐας καί ὁμολογία θεότητος· καί οὕτω καταρτιζόμεθα, τό μέν ἕν τῇ οὐσίᾳ γνωρίζοντες, καί τῷ ἀμερίστῳ τῆς προσκυνήσεως· τά δέ τρία, ταῖς ὑποστάσεσιν, ἤγουν προσώποις." Καί μέντοι κἀν τῷ εἰς τά φῶτα λόγῳ ταῦτά φησιν ὁ αὐτός, "Θεοῦ δέ ὅτ᾽ ἄν εἴπω, ἑνί φωτί περιαστράφθητε, καί τρισί· τρισί μέν, κατά τάς ἰδιότητας, ἤγουν ὑποστάσεις, εἴ τινι φίλον καλεῖν, εἴτε πρόσωπα· οὐδέν γάρ περί τῶν ὀνομάτων ζυγομαχήσομεν, ἕως ἄν πρός τήν αὐτήν ἔννοιαν αἱ συλλαβαί φέρωσιν· ἑνί δέ, κατά τόν τῆς οὐσίας λόγον ἤγουν θεότητος." Τοσαύτην μέν οἱ θεηγόροι Πατέρες ἡμῶν Γρηγόριος καί Βασίλειος ὑπάρχουσαν τῶν θείων δογμάτων τήν συμφωνίαν παρέστησαν, ταυτόν διαῤῥήδην εἰπόντες· τῇ μέν οὐσίᾳ τήν φύσιν, ὡς κοινόν καί καθόλου· τῇ δέ ὑποστάσει τό πρόσωπον, ὡς ἰδικόν τε καί μερικόν· (549) μηδαμῶς συμφύραντες τῶν λεγομένων τήν ἔννοιαν, διά τῆς τούτων εἰς ἀλλήλας περιτροπῆς καί συγχύσεως. Ὑφ᾽ ἑνός γάρ καί τοῦ αὐτοῦ Πνεύματος ἐνεργηθέντες, τήν ὀρθήν τῆς πίστεως τοῖς λαοῖς παραδεδώκασιν ὁμολογίαν. Τούτοις δέ συμφώνως εὑρήσεις, καί πάντας τούς κατά τήν χάριν τοῦ Πνεύματος πιστευθέντας τῆς Ἐκκλησίας τούς οἴακας, τόν ὀρθόν τῆς εὐσεβοῦς πίστεως πρεσβεύσαντας λόγον, καί μηδέν ταύτης τῆς ἐννοίας παντελῶς ἐκτραπέντας.

***Κατασκευή φυσικωτέρα, παριστῶσα ὡς οὐδέν τῶν ὄντων· ἑτέρῳ ταὐτόν ἐστι κατ᾽ οὐσίαν καί ὑπόστασιν· ἀλλά τά μέν κατ᾽ οὐσίαν ταὐτά ταῖς ὑποστάσεσιν ἕτερα· τά δέ ταὐτά καθ᾽ ὑπόστασιν, πάντως κατ᾽ οὐσίαν ἕτερα.***

Εἰ δέ ταὐτόν μέν οὐσία καί φύσις· ταὐτόν δέ πρόσωπον καί ὑπόστασις, δῆλον ὡς τά ἀλλήλοις ὁμοφυῆ καί ὁμούσια, πάντως ἀλλήλοις ἑτεροϋπόστατα. Κατ᾽ ἄμφω γάρ, φημί δή τήν φύσιν καί τήν ὑπόστασιν, οὐδέν ἐν τοῖς οὖσιν ἐστιν ἑτέρῳ ταὐτόν. Διότι τά κατά μίαν

καί τήν αὐτήν ἀλλήλοις ἡνωμένα φύσιν, ἤγουν οὐσίαν, τουτέστι τά τῆς αὐτῆς οὐσίας ὄντα καί φύσεως κατά μίαν καί τήν αὐτήν ὑπόστασιν ἤγουν πρόσωπον, οὐκ ἄν ἑνωθείη ποτ᾽ ἄν· τουτέστιν ἕν πρόσωπον ἔχειν οὐ δυνήσεται καί μίαν ὑπόστασιν· καί τά κατά μίαν καί τήν αὐτήν ὑπόστασιν ἤγουν πρόσωπον ἡνωμένα, κατά μίαν καί τήν αὐτήν οὐσίαν, ἤγουν φύσιν οὐκ ἄν συναφθείη ποτ᾽ ἄν· τουτέστι μιᾶς καί τῆς αὐτῆς οὐσίας ὄντα καί φύσεως, οὐκ ἄν γενόμενα φανείη ποτ᾽ ἄν. Ἀλλά τά κατά μίαν καί τήν αὐτήν ἡνωμένα φύσιν, ἤγουν οὐσίαν· τουτέστι τά μιᾶς καί τῆς αὐτῆς οὐσίας ὄντα καί φύσεως, ἀλλήλων διακέκριται ταῖς ὑποστάσεσιν, ἤγουν προσώποις, ὡς ἐπ᾽ ἀγγέλων ἔχει καί ἀνθρώπων, καί πάντων τῶν ἐν εἴδει καί γένει θεωρουμένων κτισμάτων. Ἄγγελος γάρ ἀγγέλου, καί ἄνθρωπος ἀνθρώπου, καί βοῦς βοός, καί κύων κυνός διακέκριται κατά τήν ὑπόστασιν, ἀλλ᾽ οὐ κατά τήν φύσιν καί τήν οὐσίαν. Τολμήσει δέ τό μεῖζον ὁ λόγος εἰπεῖν, ὡς οὐδ᾽ ἐπ᾽ αὐτῆς τῆς πρώτης ἀνάρχου τε καί ποιητικῆς τῶν ὄντων αἰτίας θεωροῦμεν ταὐτόν ἀλλήλαις τήν φύσιν καί τήν ὑπόστασιν· εἴπερ μίαν οὐσίαν καί φύσιν θεότητος οἴδαμεν, ἐν τρισίν ὑπάρχουσαν ὑποστάσεσι διαφερούσαις ἀλλήλων ταῖς ἰδιότησι· καί τρεῖς ὑποστάσεις ἐν μιᾷ καί τῇ αὐτῇ οὐσίᾳ τε καί φύσει τῆς θεότητος. Μονάς γάρ ἐν Τριάδι, καί ἐν μονάδι Τριάς, ἐστίν ἡμῖν προσκυνούμενον· Πατήρ, καί Υἱός, καί Πνεῦμα ἅγιον, εἷς Θεός· οὔτε τοῦ Υἱοῦ ὄντος Πατρός, ἀλλ᾽ ὅπερ ὁ Πατήρ· οὔτε τοῦ Πνεύματος ὄντος Υἱοῦ, ἀλλ᾽ ὅπερ ὁ Υἱός· πάντα γάρ ὅσα ὁ Πατήρ, πλήν ἀγεννησίας, ἐστίν ὁ Υἱός (γεννητός γάρ), καί πάντα ὅσα ὁ Υἱός, πλήν τῆς γεννήσεως, ἐστί τό Πνεῦμα ἅγιον (ἐκπορευτόν γάρ). Τῆς ἀγεννησίας καί τῆς γεννήσεως καί τῆς (552) ἐκπορεύσεως, οὐ τεμνουσῶν εἰς τρεῖς ἀνίσους ἤ ἴσας οὐσίας τε καί φύσεις τήν μίαν φύσιν καί δύναμιν τῆς ἀφράστου θεότητος· ἀλλά τά ἐν οἷς, ἤ ἅπερ ἡ μία θεότης ἐστίν, ἤγουν οὐσία καί φύσις, χαρακτηριζουσῶν πρόσωπα· τουτέστιν, ὑποστάσεις· καί τά κατά μίαν καί τήν αὐτήν ὑπόστασιν, ἤγουν πρόσωπον ἡνωμένα, τουτέστι μιᾶς ὑποστάσεως ὄντα, καί ἑνός συμπληρωτικά προσώπου, τῷ λόγῳ τῆς οὐσίας ἤτοι φύσεως διαφέρουσιν· ὡς ἐπί ψυχῆς ἀνθρωπίνης ἔχει καί σώματος, καί τῶν ὅσα καθ᾽ ὑπόστασιν ἐσχήκασι τήν πρός ἄλληλα σύνοδον. Οὐ γάρ ἀλλήλοις ὁμοούσια ταῦτα τυγχάνουσιν.

Τά τοίνυν κατά μίαν καί τήν αὐτήν οὐσίαν, ἤγουν φύσιν ἡνωμένα, τουτέστι μιᾶς καί τῆς αὐτῆς οὐσίας ὄντα καί φύσεως, ὁμοούσια μέν

ἀλλήλοις πάντως εἰσί, καί ἑτεροϋπόστατα· ὁμοούσια μέν, τῷ λόγῳ τῆς ἀπαραλλάκτως αὐτοῖς ἐν ταυτότητι φυσικῇ ἐνθεωρουμένης οὐσιώδους κοινότητος· καθ᾿ ὅν οὐκ ἔστιν ἄλλος ἄλλου μᾶλλον τοῦθ᾿ ὅπερ ἐστί τε καί λέγεται· πάντες δέ τόν ἕνα καί τόν αὐτόν ἐπιδέχονται τῆς οὐσίας ὅρον τε καί λόγον. Ἑτεροϋπόστατα δέ, τῷ λόγῳ τῆς αὐτά διακρινούσης προσωπικῆς ἑτερότητος, καθ᾿ ὅν ἄλλος ἄλλου διακέκριται, μή συμβαίνοντες ἀλλήλοις τοῖς καθ᾿ ὑπόστασιν χαρακτηριστικοῖς ἰδιώμασιν· ἀλλ᾿ ἕκαστος τῷ κατ' αὐτόν ἀθροισμῷ τῶν ἰδιωμάτων ἰδικώτατον τῆς οἰκείας καθ᾿ ὑπόστασιν ἐπιφέρεται λόγον· καθ᾿ ὅν τήν πρός τά ὁμοφυῆ καί ὁμοούσια κοινωνίαν οὐκ ἐπιδέχεται. Τά δέ κατά μίαν καί τήν αὐτήν ὑπόστασιν ἤγουν πρόσωπον ἡνωμένα, τουτέστι, τά μιᾶς καί τῆς αὐτῆς ὄντα συμπληρωτικά καθ᾿ ἕνωσιν ὑποστάσεως, ὁμοϋπόστατα μέν ἀλλήλοις εἰσί καί ἑτεροούσια. Ὁμοϋπόστατα μέν, τῷ λόγῳ τῆς καθ᾿ ἕνωσιν ἐξ αὐτῶν συμπληρουμένης προσωπικῆς ἀδιαιρέτου μονάδος· καθ᾿ ὅν τά διαιροῦντα θάτερον τῆς κατ᾿ οὐσίαν οἰκείας καινότητος ἰδιώματα, κατά τήν ἅμα τῷ εἶναι πρός ἄλληλα σύνοδον, ποιεῖται χαρακτηριστικά τῆς ἐξ αὐτῶν συμπληρουμένης μίας ὑποστάσεως· καθ᾿ ἥν ἡ πρός ἄλληλα θεωρεῖται ταυτότης, τήν οἱανοῦν μή δεχομένη διαφοράν· ὡς ἐπί ψυχῆς ἀνθρωπίνης ἔχει καί σώματος. Τά γάρ ἀφορίζοντα τό τινος σῶμα τῶν λοιπῶν σωμάτων, καί τήν τοῦ τινος ψυχήν τῶν λοιπῶν ψυχῶν ἰδιώματα, συνδραμόντα καθ᾿ ἕνωσιν, χαρακτηρίζει μέν κατά ταὐτόν ἅμα καί ἀφορίζει τῶν λοιπῶν ἀνθρώπων τήν ἐξ αὐτῶν συμπληρωθεῖσαν ὑπόστασιν, Πέτρου φέρε εἰπεῖν ἤ Παύλου· ἀλλ' οὐ τήν Πέτρου ἤ Παύλου ψυχήν ἀπό τοῦ οἰκείου σώματος. Ἄμφω γάρ ἀλλήλοις ταὐτόν ψυχή τε καί σῶμα, τῷ λόγῳ τῆς καθ᾿ ἕνωσιν ἐξ αὐτῶν συμπληρουμένης μιᾶς ὑποστάσεως· ὅτι μή καθ᾿ αὑτά τούτων ἑκάτερον ὑπέστη θατέρων κεχωρισμένον, πρό τῆς ἐξ αὐτῶν εἰς γένεσιν εἴδους συνθέσεως. Ἅμα γάρ γένεσις, ἅμα σύνθεσις, ἅμα καί ἡ κατά σύνθεσιν ἐξ αὐτῶν τοῦ εἴδους συμπλήρωσις. Ἑτεροουσία δέ, τῷ λόγῳ τῆς πρός ἄλληλα φυσικῆς ἑτερότητος· καθ᾿ ὅν οὐδαμῶς ἐπιδέχονται (553) κατ᾿ οὐσίαν τούς ἀλλήλων ὅρους τε καί λόγους· ἀλλ᾿ ἕτερον καί ἕτερον ἀποδίδωσι θάτερον τῆς οἰκείας οὐσίας πρός τόν θατέρου λόγον ἀσύμπτωτον· καθ᾿ ὅν τήν ψυχῆς καί σώματος οὐσιώδη σώζοντες διαφοράν, οὐ συγχέομεν τήν ἐξ αὐτῶν συμπληρουμένην ὑπόστασιν, τῇ πρός θάτερον θατέρου περιτροπῇ τε

καί μεταβολῇ τῶν ἐξ ὧν συνετέθη μερῶν ἤγουν φύσεων, τόν ἀφανισμόν δεχομένην.

Εἰ δέ κατά τήν ἅμα πρός εἶδους γένεσιν ψυχῆς τε καί σώματος σύνοδον, ὁ τίς ἀποτελεῖσθαι πέφυκεν ἄνθρωπος· τῷ μέν λόγῳ τῆς τῶν οἰκείων μερῶν φυσικῆς κοινότητος, πρός ἄλλους ἀνθρώπους σώζων τό ὁμοούσιον· τῷ δέ λόγῳ τῆς τῶν αὐτῶν ἰδιότητος, πρός τούς ἄλλους φυλάττων ἀνθρώπους τό ἑτεροϋπόστατον· ἑνούμενος μέν τῇ κατά φύσιν κοινότητι τῶν οἰκείων μερῶν τοῖς ἄλλοις ἀνθρώποις, πρός οὕς μίαν καί τήν αὐτήν κατ᾽ εἶδος ἐπιφέρεται φύσιν· διαιρούμενος δέ τῇ καθ᾽ ὑπόστασιν τῶν μερῶν ἰδιότητι τῶν λοιπῶν ἀνθρώπων, πρός οὕς ἕτερόν τε κατά τήν ὑπόστασιν καί διάφορον, ἐπιφέρεται πρόσωπον· ᾧ διακρίνεται λόγῳ τῶν ἄλλων ἀνθρώπων, τήν ἑνότητα τῆς οἰκείας προσωπικῆς ἀδιαιρέτου μονάδος φυλάττων παντελῶς ἀδιάφορον· καί ᾧ τοῖς ἄλλοις ἑνοῦσθαι λόγῳ πέφυκεν ἀνθρώποις, τήν διαφοράν τῆς τῶν οἰκείων μερῶν οὐσιώδους ἑτερότητος σώζων ἀσύγχυτον· σαφής ἐντεῦθεν ἡμῖν, καί μηδέν ἔχων γριφῶδες ὁ περί τῆς σαρκώσεως, ἤγουν ἐνθρωπήσεως τοῦ ἑνός τῆς ἁγίας καί ὁμοουσίου καί προσκυνητῆς Τριάδος Θεοῦ Λόγου καθέστηκε λόγος.

***Ὅτι ὁ Χριστός ταῖς μέν κατ᾽ οὐσίαν τῶν οἰκείων μερῶν πρός τά ἄκρα κοινότησιν ἑνούμενος, τήν πρός ἄλληλα τῶν μερῶν σωζομένην εἶχε διαφοράν· ταῖς δέ τῶν μερῶν ἰδιότησι, τό καθ᾽ ὑπόστασιν διεδείκνυ ταυτόν ὡς ὅλου, κοινόν ἀμφοτέρων.***

Διδάσκων διαῤῥήδην ἡμᾶς, ὅτιπερ ὁ τοῦ Θεοῦ Λόγος τέλειος ὑπάρχων κατά τήν φύσιν καί τήν οὐσίαν, καθ᾽ ἥν ταυτόν ἐστι τῷ Πατρί καί τῷ Πνεύματι καί ὁμοούσιος, κατά τε τό πρόσωπον καί τήν ὑπόστασιν, καθ᾽ ἥν ἕτερος πρός τόν Πατέρα καί τό Πνεῦμα καθέστηκε, τήν προσωπικήν ἀσύγχυτον σώζων διαφοράν, σαρκωθείς ἐκ Πνεύματος ἁγίου, καί τῆς ἁγίας Θεοτόκου καί ἀειπαρθένου Μαρίας, τελείως ἐνηνθρώπησεν· τουτέστι, τέλειος γέγονεν ἄνθρωπος, κατά πρόσληψιν δηλονότι σαρκός, ψυχήν ἐχούσης νοεράν τε καί λογικήν, ἐν αὐτῷ τήν τε φύσιν λαβούσης καί τήν ὑπόστασιν· τουτέστι, τό εἶναί τε καί τό ὑφεστᾶναι, κατ᾽ αὐτήν ἅμα τοῦ Λόγου τήν σύλληψιν· ἐπείπερ αὐτός ὁ Λόγος ἀντί σπορᾶς· μᾶλλον δέ σπορά τῆς οἰκείας θέλων εὑρέθη σαρκώσεως, καί γέγονε κατά τήν ὑπόστασιν σύνθετος, (556) ὁ κατά τήν φύσιν ἁπλοῦς καί ἀσύνθετος· εἷς καί αὐτός ἐν τῇ μονιμότητι τῶν ἐξ ὧν συνέστη μερῶν διαμένων ἄτρεπτος,

ἀδιαίρετός τε καί ἀσύγχυτος· ἵνα ᾖ καθ᾽ ὑπόστασιν μεσίτης τοῖς ἐξ ὧν συνετέθη μέρεσι· τήν τῶν ἄκρων ἐν ἑαυτῷ συνάπτων διάστασιν· ποιῶν εἰρήνη, καί ἀποκαταλλάσσων τῷ Θεῷ καί Πατρί διά τοῦ Πνεύματος τήν φύσιν τήν ἀνθρωπίνην· ὡς Θεός ἀληθῶς κατ᾽ οὐσίαν ὑπάρχων, καί ἄνθρωπος ἀληθῶς φύσει κατ᾽ οἰκονομίαν γενόμενος· μήτε τῇ κατά φύσιν διαφορᾷ τῶν οἰκείων μερῶν διαιρούμενος, μήτε τῇ καθ᾽ ὑπόστασιν ἑνότητι τῶν αὐτῶν συγχεόμενος· ἀλλά τῷ μέν λόγῳ τῆς κατ᾽ οὐσίαν τῶν ἐξ ὧν συνετέθη μερῶν κοινότητος, Πατρί τε καί Μητρί κατά φύσιν ἑνούμενος, τήν πρός ἄλληλα τῶν ἐξ ὧν συνετέθη μερῶν διεδείκνυτο σώζων διαφοράν· τῷ δέ λόγῳ τῆς καθ᾽ ὑπόστασιν τῶν οἰκείων μερῶν ἰδιότητος, τῶν ἄκρων Πατρός τέ φημι καί Μητρός διακρινόμενος, τό μοναδικόν τῆς οἰκείας ὑποστάσεως ἔχων διεφαίνετο παντελῶς ἀδιάφορον, ἐν τῇ πρός ἄλληλα κατ᾽ ἄκρον προσωπικῇ ταυτότητι τῶν οἰκείων μερῶν διαπαντός ἑνιζόμενον. Ἡ γάρ κατ᾽ οὐσίαν θατέρου τῶν μερῶν πρός τά ἄκρα κοινότης, ἐν τῇ ἑνότητι τῆς μιᾶς ὑποστάσεως, ἀσύγχυτον τό διάφορον τῆς θατέρου διασώζουσα φύσεως, μίαν ἀμφοτέρων ἐκ τῆς ἑνώσεως τοῖς εὐσεβέσιν οὐκ ἐδίδου γνωρίζεσθαι φύσιν, ἵνα μή γένηται παντελῶς κατ᾽ οὐσίαν τῶν μερῶν ἀπογένεσις, ἡ κατά σύνθεσιν τῆς ἐξ αὐτῶν τοῦ ὅλου μιᾶς φύσεως γένεσις, οὐκ ἔχουσα πῶς τήν φυσικήν πρός τά μέρη τῶν ἄκρων φυλάξει συγγένειαν, μή σώζουσα τήν κατ᾽ οὐσίαν πρός ἄλληλα τῶν ἐξ ὧν συνετέθη μερῶν διαφοράν μετά τήν ἕνωσιν· ἀλλ᾽ ὑπόστασιν μίαν παρεῖχεν ὁρᾷν ἐκ τῆς ἑνώσεως σύνθετον, τῇ κατά φύσιν τῶν ἐξ ὧν συνετέθη μερῶν ὑπάρξει συντηρουμένην. Ἡ δέ καθ᾽ ὑπόστασιν θατέρου τῶν ὡς εἰς ὅλου τινός τοῦ Χριστοῦ σύνθεσιν μερῶν ἰδιότης, τῷ κατ' οὐσίαν κοινῷ συνεπινοουμένη, γνώρισμα κοινόν ἀπετέλεσε τῶν μερῶν, τό χαρακτηρίζον τήν ἐξ αὐτῶν συμπληρωθεῖσαν μίαν ὑπόστασιν. Κοινήν γάρ σαρκός καί θεότητος κατά τήν ἄῤῥητον ἕνωσιν γεγενῆσθαί φαμεν, τήν ἐξ αὐτῶν συνόδῳ τῇ καθ' ἕνωσιν φυσικήν, ἤγουν ἀληθῆ τε καί πραγματικήν, συμπληρωθεῖσαν τοῦ Χριστοῦ μίαν ὑπόστασιν. Φημί δέ κοινήν, ὡς μίαν καί τήν αὐτήν τῶν μερῶν ἰδικωτάτην ἐκ τῆς ἑνώσεως ἀποφανθεῖσαν ὑπόστασιν· μᾶλλον δέ μίαν τοῦ Λόγου καί τήν αὐτήν ὑπάρχουσαν νῦν τε καί πρότερον· ἀλλά πρότερον μέν ἀναιτίως, ἁπλῆν τε καί ἀσύνθετον· ὕστερον δέ δι᾽ αἰτίαν προσλήψει σαρκός νοερῶς ἐψυχωμένης ἀτρέπτως γενομένην κατ᾽ ἀλήθειαν σύνθετον· καθ᾽ ἥν τῶν ἄκρων, Πατρός τέ φημι καί Μητρός ἀφοριζόμενος, πρός ἑαυτόν ἥνωται, καθοτιοῦν οὐκ ἔχων διαφοράν·

ἵνα μή γένηται παντελής τῆς καθ᾽ ὑπόστασιν τῶν μερῶν ταυτότητος ἀπογένεσις, ἤ τῆς κατ᾽ αὐτήν τῶν μερῶν διαφορᾶς γένεσις, εἰς δυάδα προσωπικήν διαλύουσα τήν καθ᾽ ὑπόστασιν ἕνωσιν· οὐκ ἔχουσα πῶς δεῖξαι τήν πρός ἄλληλα τῶν μερῶν προσωπικήν ταυτότητα σωζομένην, τῇ καθ᾽ ὑπόστασιν διαφορᾷ πρός δυάδα προσώπων μεριζομένην.

***Ὅτι τά μέν καθ᾽ ὑπόστασιν κοινά τῶν μερῶν, τό ὅλον ἤγουν τόν Χριστόν ἠφόριζε τῶν ἄκρων· τά δέ κατ᾽ οὐσίαν πρός τά ἄκρα κοινά τῶν μερῶν, ὡς ὅλον συνῆπτε τοῖς ἄκροις οὐσιωδῶς τόν Χριστόν.***

Οὐ γάρ οἷς ἠφορίζετο τῶν λοιπῶν ἀνθρώπων ἰδιώμασιν ἡ σάρξ, τούτοις διετήρει τήν πρός τόν Λόγον διαφοράν· οὔτ᾽ ἄν πάλιν, οἷς τοῦ Λόγου διέφερεν ἰδιώμασι, τούτοις καί ἡμῶν ἠφορίζετο. Ἀλλ᾽ οἷς πρός ἡμᾶς ἠφορίζετο, τούτοις τήν καθ᾽ ὑπόστασιν πρός τόν λόγον διέσωζεν ἕνωσιν, ἤγουν ταυτότητα· καί οἷς ἡμῖν ἥνωτο φυσικῶς, τούτοις δηλαδή τήν πρός τόν Λόγον σωζομένην εἶχεν οὐσιώδη διαφοράν. Ὥσπερ καί ὁ Λόγος, οἷς ἠφορίζετο τοῦ κοινοῦ τῆς θεότητος ἰδιώμασιν ὡς Υἱός καί Λόγος, τούτοις πρός τήν σάρκα τήν καθ' ὑπόστασιν διέσωζεν ἕνωσιν, ἤγουν ταυτότητα· καί οἷς ὡς Θεός τήν πρός τήν σάρκα φυσικήν ἐτήρει διαφοράν, τούτοις Πατρί τε καί Πνεύματι κατ' οὐσίαν ἑνούμενος ἐπήλλαττε τήν τε πρός ἑαυτόν καί τά ἄκρα διαφοράν καί ταυτότητα· κοινότησι μέν τῶν μερῶν κατά φύσιν τοῖς ἄκροις ἑνούμενος, ἰδιότησι δέ τῶν αὐτῶν δηλαδή μερῶν, καθ᾽ ὑπόστασιν τῶν ἄκρων διακρινόμενος· ἐν μέν τῇ καθ᾽ ὑπόστασιν ταυτότητι τῶν οἰκείων μερῶν, πρός ἑαυτόν δεικνύς σωζομένην τήν τῶν ἄκρων διαφοράν· ἐν δέ τῇ τῶν μερῶν κατ᾽ οὐσίαν ἑτερότητι, τήν πρός τά μέρη τῶν ἄκρων ταυτότητα φυσικήν ἐπιφερόμενος. Εἰ δέ ταῖς μέν κοινότησι τῶν μερῶν ἥνωτο τοῖς ἄκροις, ταῖς δέ τῶν ἰδιότησιν ἠφορίζετο τῶν ἄκρων· δῆλον ὡς οἷς ἥνωτο τοῖς ἄκροις, τήν πρός ἄλληλα τῶν μερῶν φυσικήν εἶχε σωζομένην διαφοράν. Οἷς δέ διεκρίνετο τῶν ἄκρων, τήν καθ᾽ ὑπόστασιν τῶν μερῶν εἶχε ταυτότητα διαφαινομένην.

Οὐκοῦν ἑκατέρου τῶν ἐξ ὧν συνετέθη μερῶν ὁ Χριστός εἶχε, τό τε κοινόν καί τό ἰδικόν· τό μέν κοινόν, ἐν τῷ λόγῳ τῆς κατ᾽ οὐσίαν πρός τά ἑαυτοῦ μέρη τῶν ἄκρων ταυτότητος καθ᾽ ὅν τήν πρός ἄλληλα τῶν μερῶν καί μετά τήν ἕνωσιν σωζομένην εἶχε διαφοράν· τό δέ ἴδιον, ἐν τῷ λόγῳ τῆς καθ᾽ ὑπόστασιν ταυτότητος τῶν μερῶν, καθ᾽ ὅν ἠφορίζετο τῶν ἄκρων, ἀσύγχυτον τήν πρός αὐτά σώζων διάκρισιν. Ἡ

γάρ ἀληθής καθ᾽ ὑπόστασιν ἕνωσις, ἑκατέρου τῶν εἰς ὅλου τινός σύνθεσιν ἀλλήλοις συνερχομένων μερῶν, κατά τήν ἅμα πρός ὅλου τινός γένεσιν σύνοδον, τό ἀφορίζον ἑκάτερον τῆς κατ᾽ οὐσίαν κοινότητος ἰδίωμα, τῷ κοινῷ συμπαραλαβοῦσα, δείκνυσιν ἐνυπόστατον, ἀλλ' οὐχ ὑπόστασιν· ὅτι μή καθ᾽ αὑτό διωρισμένως ὑπέστη· τῶν ὁμογενῶν, ἤ τοῦ καθ᾽ ἕνωσιν αὐτῷ πρός ὅλου τινός γένεσιν συνυφεστῶτος ἀφοριζόμενον· ὅπερ ἴδιόν ἐστιν ὑποστάσεως. Τό γάρ καθ᾽ αὑτό διωρισμένως συνεστώς ἐστιν ὑπόστασις· γ᾽ εἴπερ ὑπόστασιν εἶναί φασιν, οὐσίαν μετά ἰδιωμάτων, ἀριθμῷ τῶν ὁμογενῶν διαφέρουσαν· δ' ἐνυπόστατον δέ, τό καθ᾽ αὑτό μέν (560) οὐδαμῶς ὑφιστάμενον, ἐν ἄλλοις δέ θεωρούμενον, ὡς εἶδος ἐν τοῖς ὑπ' αὐτό ἀτόμοις· ἤ τό σύν ἄλλῳ διαφόρῳ κατά τήν οὐσίαν εἰς ὅλου τινός γένεσιν συντιθέμενον· ὅπερ καθ᾽ ὅσον μέν διαφέρει τοῖς ἀφορίζουσιν αὐτό τῶν κατ᾽ οὐσίαν ὁμογενῶν ἰδιώμασι, τοσοῦτον τῷ συγκειμένῳ καθ᾽ ὑπόστασιν, ἑνίζεται ταυτιζόμενον. Οὐ γάρ οἷς ἀφορίζεται τῶν ὁμογενῶν ἰδιώμασι, τούτοις διακρίνεται καί τοῦ συγκειμένου καθ᾽ ἕνωσιν καί συνυφεστῶτος· ἀλλ᾽ οἷς διενήνοχε τῶν ὁμοουσίων ἀφοριστικοῖς ἰδιώμασι, τούτοις πρός τό συγκείμενον τήν καθ᾽ ἕνωσιν φυλάττει ταυτότητα τῆς ὑποστάσεως, ἐν τῷ πάντη μοναδικῷ τοῦ προσώπου συντηρουμένην· ὅπερ ἐπί τῆς θείας οἰκονομίας ἤγουν σαρκώσεως ὁ ἀληθής πρεσβεύει λόγος. Οἷς γάρ ἡμῶν ἀφοριζομένη διέφερεν ἡ σάρξ ἰδιώμασι, τούτοις τήν πρός τόν Λόγον καθ᾽ ὑπόστασιν εἶχε ταυτότητα· καί οἷς ὁ Λόγος Πατρός τε καί Πνεύματος διέφερεν ἰδιώμασιν, ὡς Υἱός ἀφοριζόμενος, τούτοις τό καθ᾽ ὑπόστασιν πρός τήν σάρκα, μοναδικόν διετήρει σωζόμενον, μηδενί λόγῳ παντελῶς διαιρούμενον.

Οὐκοῦν οὐχ ὑπόστασις ἡ τοῦ Θεοῦ Λόγου καθέστηκε σάρξ. Οὐδέποτε γάρ, οὐδόσον ἐπινοίας ψιλῆς πέφυκε τάχος χωρεῖν, καθ᾽ ἑαυτήν τό παράπαν ὑπέστη τοῖς ἀφορίζουσιν αὐτήν ἰδιώμασι διωρισμένη τῶν ὁμογενῶν, ἤ πρός τόν συγκείμενον καθ᾽ ὑπόστασιν Λόγον, τοῦ κοινοῦ τό ἴδιον ἔχουσα κεχωρισμένον· ἀλλ᾽ ἐνυπόστατος ὡς ἐν αὐτῷ καί δι᾽ αὐτόν λαβοῦσα τοῦ εἶναι τήν γένεσιν· καί αὐτοῦ γενομένη καθ᾽ ἕνωσιν σάρξ, καί πρός αὐτόν καθ᾽ ὑπόστασιν ἑνιζομένη, τῷ λόγῳ τῆς τῶν λοιπῶν ἀνθρώπων ἀφοριζούσης αὐτήν ἰδιότητος. Καί σαφέστερον εἰπεῖν, αὐτοῦ τοῦ Λόγου καθ᾽ ὑπόστασιν ποιουμένη τό ἴδιον· ὥς που καί τό κατ᾽ οὐσίαν κοινόν, οὗ καί σάρξ ἀληθῶς καθ᾽ ἕνωσιν γέγονεν.

***Ὅτι Θεός ὑπάρχων τέλειος ὁ Χριστός, καί ἄνθρωπος τέλειος ὁ αὐτός, τῶν ἅπερ ἦν, εἶχε τό κοινόν καί τό ἴδιον, οἷς πρός ἑαυτόν ἐποιεῖτο τήν τῶν ἄκρων ἕνωσιν καί διάκρισιν· τῇ μέν πρός ἑαυτόν ἑνώσει τῶν ἄκρων, ἐν ἑαυτῷ σωζομένας τάς ἐξ ὧν συνετέθη δύο φύσεις πιστούμενος· τῇ δέ πρός ἑαυτόν διακρίσει τῶν ἄκρων, τό μοναδικόν τῆς οἰκείας παριστάς ὑποστάσεως.***

Εἰ γάρ φύσει Θεός ὤν ὁ Λόγος προσλήψει σαρκός νοερῶς ἐψυχωμένης δίχα τροπῆς γέγονεν ἄνθρωπος, δῆλον ὡς ἐξ ἀμφοῖν εἷς, καί δι᾽ ἑνός ἑαυτόν κατ᾽ ἀλήθειαν ἄμφω πιστούμενος, ἀμφοτέρων εἶχεν ὁ αὐτός τό τε κοινόν, καί τό ἴδιον· οἷς τήν πρός τά ἄκρα ἐποιεῖτο ἕνωσιν καί διάκρισιν· τῇ μέν πρός ἄλληλα φυσικῇ διαφορᾷ τῶν οἰκείων μερῶν, κατ᾽ οὐσίαν τοῖς ἄκροις ἑνούμενος· τῇ δέ τῶν αὐτῶν, δηλονότι μερῶν, ταυτότητι, καθ᾽ ὑπόστασιν, τῶν ἄκρων διακρινόμενος. Εἰ δέ διαφοράν εἶχεν ὁ αὐτός καί ταυτότητα, δῆλον ὡς ἕν καί δύο ἦν ὁ αὐτός. Ἕν μέν, τῷ λόγῳ τῆς οἰκείας κατά τήν ὑπόστασιν ἀδιαιρέτου (561) μονάδος· δύο δέ, τῷ λόγῳ τῆς κατ᾽ οὐσίαν πρός ἄλληλα τῶν οἰκείων μερῶν καί μετά τήν ἕνωσιν ἑτερότητος. Διαφορά γάρ ἐστιν, λόγος καθ᾽ ὅν ἡ πρός ἄλληλα τῶν σημαινομένων ἑτερότης σώζεσθαι πέφυκεν, καί τοῦ πῶς εἶναι δηλωτικός. Ταυτότης δέ ἐστιν, ἀπαραλλαξία καθ᾽ ἥν ὁ τοῦ σημαινομένου λόγος τό πάντη κέκτηται μοναδικόν, μηδενί τρόπῳ διαφορᾶς γνωριζόμενον.

***Περί διαφορᾶς διάληψις σύντομος, δι᾽ ἧς δείκνυται τό κατ᾽ οὐσίαν ποσόν τῶν ἡνωμένων σωζόμενον.***

Εἰ τοίνυν σώζεται μετά τήν ἕνωσιν ἐν Χριστῷ τῶν ἐξ ὧν συνετέθη μερῶν ἡ πρός ἄλληλα κατά τήν οὐσίαν διαφορά, σαφής ὑπάρχει τοῖς εὐσεβοῦσιν ἀπόδειξις, ὡς τό κατ᾽ οὐσίαν ποσόν μεμένηκε τῶν ἡνωμένων ἀμείωτον μετά τήν ἕνωσιν, τόν ἑκατέρου μέρους πρός θάτερον ἐν τῷ κατά σύνθεσιν ἐξ αὐτῶν ὅλῳ διασῷζον τῆς οὐσίας ὅρον τε καί λόγον ἀσύμπτωτον. Εἰ δέ καί ἡ τοῦ ὅλου πρός τά οἰκεῖα μέρη, μᾶλλον δέ φάναι σαφέστερον, ἡ πρός ἄλληλα τῶν μερῶν κατά τήν ἐξ αὐτῶν ὅλου σύνθεσιν ὑποστατική διασώζεται ταυτότης· δῆλον ὡς οὐδενί τρόπῳ τά μέρη κατά τήν ἐξ αὐτῶν συμπληρουμένην μίαν ὑπόστασιν, πρός ἄλληλα παντελῶς διαφέρουσι. Καί λοιπόν οὐδείς ἐστι λόγος δεῖξαι δυνάμενος, ἤ τό κατ᾽ οὐσίαν διάφορον συγχεόμενον, ἤ τό καθ᾽ ὑπόστασιν μοναδικόν διαιρούμενον.

***Κατασκευή πλατυτέρα τε καί φυσικωτέρα περί διαφορᾶς καί ποσότητος, καί τοῦ δηλοῦντος αὐτάς ἀριθμοῦ***

Οὐκοῦν εἴπερ διαφοράν ἐπί Χριστοῦ μετά τήν ἕνωσιν λέγομεν, πάσῃ δέ πάντως ἐξ ἀνάγκης διαφορᾷ συνεισάγεσθαι πέφυκε ποσόν, οὗ δηλωτικόν τόν ἀριθμόν εἶναι γνωρίζομεν, εἰκότως πρός δήλωσιν μόνην τῆς τῶν διαφερόντων διαφορᾶς μετά τήν ἕνωσιν τόν ἀριθμόν παραλαμβάνοντες, οὐ διαιροῦμεν τῷ ἀριθμῷ τά σημαινόμενα παντελῶς, ἀλλά δηλοῦμεν σωζομένην τῶν ἡνωμένων τήν ὕπαρξιν· ὅτι καί μόνου ποσοῦ δηλωτικός πᾶς εἶναι πέφυκεν ἀριθμός, ἀλλ᾽ οὐ διαιρετικός. Τό γάρ μή ποιοῦν ἤ πάσχον, πῶς ἄν εἴη τῆς οἱανοῦν σχέσεως κύριον; ἐπειδή μόνης οὐσίας ἐστί τό μέν ποιεῖν· ὥσπερ καί τό πάσχειν συμβεβηκότος ἤγουν ποιότητος· ἀφ᾽ ὧν εἶναι, καί ἐξ ὧν τάς σχέσεις, οἱ τῶν τοιούτων γυμνασταί λόγων προϊέναι φασίν. Μᾶλλον δέ σκοποῦσιν ἡμῖν ἀκριβέστερον, οὐδέ τούτων, οὐσίας τέ φημι καί συμβεβηκότος, καθεστήκασιν ἔργον αἱ σχέσεις, ἀλλά τῆς πάντων ποιητικῆς αἰτίας τε καί δυνάμεως, καί λόγον ἐνθεμένης ἑκάστῳ τῶν γεγονότων τοῦ εἶναι συστατικόν, καί τῆς πρός ἄλληλα φυσικῆς παραστατικόν οἰκειώσεώς τε καί ἀλλοτριώσεως. Εἰ δέ κυρίως αἱ σχέσεις οὐκ ἔχουσιν αἰτίαν ποιητικήν ἑαυτῶν τήν οὐσίαν, σχολῇ γ᾽ ἄν τόν ἀριθμόν· ὅς καθό μέν οὐκ ἔστιν οὐσία, ποιεῖν οὐ δύναται παντελῶς· καθό δέ συμβεβηκός, ἤγουν ποιότης οὐκ ἔστιν, πάσχειν οὐ πέφηκεν. Εἰ δέ μήτε ποιεῖν, μήτε πάσχειν ὁ ἀριθμός πέφυκεν, ἄρα σημεῖόν ἐστι ποσοῦ δηλωτικόν, τῆς ἐν τῷ δηλουμένῳ ποσῷ σχέσεως οὐδεμίαν ποιούμενος (564) ἔμφασιν· ὅτι μή γένος ἐστίν, ἄλλων κατηγορεῖσθαι δυνάμενος· ἀλλά σημεῖον, ὡς ἔφην, τοῦ κατ᾽ ἄλλων κατηγορικῶς φερομένου γένους ἐμφατικόν.

Εἰ δέ μή τό τε ποιεῖν, μήτε πάσχειν ὁ ἀριθμός ἔχει, δῆλόν ἐστιν, ὅτι καθό μέν οὐ ποιεῖ, σχέσεως τῆς οἱασοῦν οὐκ ἔστι δηλωτικός, τουτέστιν ἑνώσεως ἤ διαιρέσεως· ἑτέρου γάρ, ὡς ἔφην, λόγου τοῦτο καθέστηκε· καθό δέ πάσχειν οὐ πέφυκεν, οὐ διαιρεῖται. Καθ᾽ ἑαυτόν γάρ ἀδιαίρετός ἐστι πᾶς ἀριθμός, τήν κατ᾽ ἀλλοίωσιν οὐκ ἐπιδεχόμενος κίνησιν, ὅπερ ἴδιον ὑπάρχει ποιότητος· οὔτε συστολήν καί διαστολήν, ὅπερ ἴδιον οὐσίας καθέστηκεν· οὔτε μήν αὔξησιν καί μείωσιν, ὅπερ ἴδιόν ἐστι ποσότητος. Εἰ δέ ποσότητος, ἀλλ᾽ οὐ σχέσεως· μόνης γάρ τῆς ἁπλῶς, ἀλλ᾽ οὐ τῆς πῶς λεγομένης ποσότητος, ὁ ἀριθμός ὑπάρχει σημαντικός· δῆλον ὡς οὔτε διαίρεσιν, οὔτε μήν ἕνωσν ὁ ἀριθμός

ποιεῖν πέφυκεν, ἀλλά μόνην ποσότητος δήλωσιν, ὡς δ᾽ ἄν ταύτην ὑπάρχουσαν ἐννοήσωμεν. Οὐσίας γάρ, ὡς ἔφην, ἐστί τό ποιεῖν, καί συμβεβηκότος ἤγουν ποιότητος τό πάσχειν· ὧν οὐθέτερόν ἐστιν ὁ ἀριθμός. Εἰ γάρ ἦν οὐσία, καί αὐθυπόστατον ἦν, μή δεόμενον ἑτέρου πρός σύστασιν· εἰ δέ συμβεβηκός ἦν, ἤγουν ποιότης, ἤ τήν ἰδιαίτατα διαφοράν ἐποίει, καί τόν ὁρισμόν τοῦ ὑποκειμένου συνῆγε τῷ γένει συμπλεκόμενος, καί δήλωσιν εἴδους, ἀλλ᾽ οὐ ποσοῦ παρεῖχεν· ἤ τήν κοινῶς διαφοράν τῷ εἴδει συναπτόμενος, εἰσῆγε· καί τήν ἄλλου πρός ἄλλον τῶν ὑπό τό αὐτό εἶδος ἀναγομένων ἀτόμων ἐποίει διάκρισιν· ἤ τήν ἰδίως λεγομένην διαφοράν, ἐν τῷ ἀθροισμῷ τῶν ἐν τῷ ἀτόμῳ πάντων ἰδιωμάτων ἐποίει· καί οὐκ ἄλλον ἀπ᾽ ἄλλου μόνον, ἀλλά καί ἀλλοῖον ἐδήλου δεικνύμενον τόν δι᾽ αὐτοῦ σημαινόμενον. Εἰ δέ τοῖς ὁρισμοῖς τῶν πραγμάτων παντελῶς, οὐδείς συμπαραλαμβάνει τόν ἀριθμόν, οὐκ ἔστιν ὁ ἀριθμός, οὔτε οὐσία, οὔτε ποιότης. Εἰ δέ τούτων μηδέν ἐστιν ὁ ἀριθμός, δῆλον ὡς οὔτε ποιεῖν πέφυκεν, οὔτε πάσχειν· εἰ δέ τό ποιεῖν οὐκ ἔχει καί τό πάσχειν ὁ ἀριθμός, εἰκότως οὔτε ἑνοῖ τό παράπαν, οὔτε διαιρεῖ ὡς ποιῶν· οὔτε μήν ὡς πάσχων διαιρεῖται παντάπασιν· ἀλλά μόνης τῆς τῶν πραγμάτων ποσότητος ποιούμενος δήλωσιν, τῆς αὐτῶν οὐκ ἐφάπτεται σχέσεως.

Εἰ δέ μόνης ποσότητος, ἀλλ᾽ οὐ οἱασοῦν κατ᾽ αὐτήν νοουμένης σχέσεως ὁ ἀριθμός ὑπάρχει δηλωτικός, φωνή τίς ἐστιν μᾶλλον, ἵν᾽ οὕτως εἴπω, καί προσηγορία ποσῷ προσφυής ὁ ἀριθμός. Οὐκοῦν ὁ διαφοράν ἐπί Χριστοῦ λέγων μετά τήν ἕνωσιν, καί ποσόν πάντως τῇ διαφορᾷ συνεπενόησε τῶν διαφερόντων. Τό γάρ παντελῶς ἁπλοῦ, καί διαφορᾶς ἀνεπίδεκτον· ὅτι καί πάντη ταυτόν ἑαυτῷ καί μοναδικόν, καί ὅλον καί ὅλως ἄσχετον, ὡς τό ἐν ποσῷ γένος οὐκ ἔχον κατηγορούμενον· καί διά τοῦτο παντελῶς οὐκ ἀριθμούμενον· ὁ δέ τῇ διαφορᾷ ποσόν (565) συνεπινοήσας· ἀμήχανον γάρ γνωσθῆναι διαφοράν ποσοῦ παντελῶς ἀνοιροῦσαν· πρός μόνην δήλωσιν, ἀλλ᾽ οὐ διαίρεσιν τοῦ τῇ διαφορᾷ συνεπινοηθέντος ποσοῦ παραλαμβάνων τόν ἀριθμόν, οὐκ ἐξίσαται τῆς ἀληθείας, τό ἐπινοούμενον ἐξ ἀνάγκης τῇ διαφορᾷ διά τοῦ ἀριθμοῦ σημαίνων ποσόν· ἐπειδή, καθώς ἔφην, πάσῃ καθ᾽ ὅντινα τρόπον λεγομένῃ διαφορᾷ πάντως συνεπινοεῖται ποσόν· οὗ φύσει δηλωτικόν, ἀλλ᾽ οὐ διαιρετικόν εἶναι τόν ἀριθμόν ἐδιδάχθημεν.

Εἰ δέ μᾶλλον φροντίζει τῆς ἀληθείας, ὁ τό συνεπινοούμενον ἐξ ἀνάγκης τῇ διαφορᾷ διά τοῦ ἀριθμοῦ σημαίνων ποσόν εἰς τήν τοῦ

μυστηρίου σύστασιν, ἵνα μή τῶν ἑνωθέντων πρεσβεύσῃ σύγχυσιν· πῶς οὐ δίκαιον κατά τινας οἴεσθαι χρή διά ταύτην ὁμολογεῖσθαι τήν αἰτίαν τῶν ἐν Χριστῷ σωζομένων ἀσυγχύτως μετά τήν ἕνωσιν τό κατ' οὐσίαν ποσόν, ὁπότ᾽ ἄν ὁ ἀριθμός διαφορᾶς, ὡς ἔδειξε διά πλάτους ὁ λόγος, ἀλλ᾽ οὐ διαιρέσεως ποιεῖσθαι δήλωσιν πέφυκεν; Εἰ μέν οὖν ἀναλλοίωτος ὁ κατ᾽ οὐσίαν θατέρου τῶν ἑνωθέντων διέμεινε λόγος μετά τήν ἕνωσιν, πρός τόν θατέρου τῆς οὐσίας ὅρον μή μεταπίπτων, προδήλως ἡ τοῦ Χριστοῦ θεότης μεμένηκε κατ᾽ οὐσίαν θεότης, πρός τήν σαρκός οὐσίαν οὐ μεταφοιτήσασα· καί ἡ τοῦ αὐτοῦ πάλιν ἀνθρωπότης μεμένηκε κατ᾽ οὐσίαν ἀνθρωπότης , πρός τήν τῆς θεότητος φύσιν μή παθοῦσα μεταβολήν. Εἰ δέ οὐδέ ἡ θεότης τοῦ Χριστοῦ, οὔτε ἡ ἀνθρωπότης εἰς ἀλλήλας διαπεφοιτήκασιν διά τήν καθ᾽ ὑπόστασιν ἕνωσιν, ἀλλ᾽ ἀσύγχυτοι κατά τόν μέγαν Κύριλλον μεμενήκασι αἱ φύσεις, σαφῶς ἡ μετά τήν ἕνωσιν διαφοράν τῶν σωζομένων ἐν Χριστῷ καθέστηκε φύσεων, καί οὐδείς ἀντερεῖ λόγος. Εἰ δέ τῶν ἀσυγχύτως ἐν Χριστῷ σωζομένων ἐστίν, ἡ διαφορά μετά τήν ἕνωσιν· διαφοράν δέ γνωσθῆναι ποσοῦ παντελῶς κεχωρισμένην ἀμήχανον· λεγέσθω πρός δήλωσιν τῆς διαφορᾶς τό ποσόν τῶν διαφερόντων, ἵνα μή ψιλήν πως καί οὐκ ἀληθῆ τήν διαφοράν ὑποπτευθῶμεν πρεσβεύοντες. Ψιλήν γάρ πᾶσαν διαφοράν οἶδεν ὁ λόγος, τήν οὐκ ἔχουσαν ὑπαρκτικῶς ὑποκειμένην τήν, ὧν ἐστι διαφορά, πραγμάτων ἀλήθειαν.

Ἡμεῖς μέν οὖν ταυτόν ὑπόστασίν τε καί φύσιν, κυρίως μηδέποτε λέγοντες, κατά τήν τῶν Πατέρων διδασκαλίαν, ὡς ἀνωτέρω προλαβών ἀπέδειξεν ὁ λόγος, εὐσεβῶς ἐπί Χριστοῦ τό ταυτόν πρεσβεύομεν καί τό διάφορον. Τό μέν, τῷ λόγῳ τῆς μιᾶς ὑποστάσεως, καθ᾽ ὅν ταυτόν τῇ οἰκείᾳ σαρκί τόν Θεόν Λόγον ὁμολογοῦμεν· ἵνα μή προσθήκην προσωπικήν ἡ πανεύφημος λάβῃ Τριάς, γινομένη τετράς. Τό δέ, τῷ λόγῳ τῆς κατ᾽ οὐσίαν τῶν ἐξ ὧν ἐστιν ἑτερότητος, καθ᾽ ἥν εἰς ἄλληλα τά μέρη τοῦ Χριστοῦ παντελῶς οὐ μεταπίπτουσιν. Οὐ γάρ ταυτόν ποτε κατ᾽ οὐσίαν γένοιτ᾽ ἄν θεότης καί ἀνθρωπότης, ἵνα μηδέν ᾖ κτιστόν τῇ θεότητι καθ᾽ ἕνωσιν ὁμοφυές καί ὁμοούσιον. Ἐπειδή φύσει φύσιν ὁμοούσιον εἶναι λέγειν, μαινομένης διανοίας ὑπάρχειν γινώσκομεν. Οὐκ ἔστι (568) γάρ φύσει ποτ᾽ ἄν φύσις ὁμοφυής καί ὁμοούσιος. Τό γάρ ὁμοφυές καί ὁμοούσιον, ἐπί μόνων τῶν κατά τό αὐτό εἶδος πρός μίαν οὐσίαν ἀναγομένων ἀτόμων λέγεσθαι πέφυκεν.

***Ὅτι ὁ μή ταυτόν φύσιν λέγων καί ὑπόστασιν, εὐσεβῶς ἐπί Χριστοῦ λέγει τήν ἕνωσιν καί τήν διαφοράν· τήν μέν καθ' ὑπόστασιν εἶναι πιστεύων, τήν δέ κατά φύσιν.***

Ταύτην ἔχοντες τήν ὁμολογίαν ἡμεῖς, οὔτε τήν τῶν φύσεων διαφοράν ἀρνούμεθα μετά τήν ἕνωσιν, ἐξ ὧν ὁ εἷς συνετέθη Χριστός, ἀσυγχύτους μεμενηκέναι τάς φύσεις πιστεύοντες· οὔτε τήν καθ᾽ ὑπόστασιν ἀγνοοῦμεν ἕνωσιν, ἕνα τόν Χριστόν τῆς ἁγίας καί ὁμοουσίου καί προσκυνητῆς ὁμολογοῦντες Τριάδος. Ἀλλά καί τήν διαφοράν τῶν ἐξ ὧν ἐστιν ὁ Χριστός ἐν αὐτῷ κατ᾽ ἀλήθειαν σωζομένων, δίχα τομῆς καί συγχύσεως μετά τήν ἕνωσιν διά τοῦ ἀριθμοῦ ποιοῦμεν κατάδηλον, πρός ἀναίρεσιν τῆς Ἀπολιναρίου καί Εὐτυχοῦς συγχύσεως· καί τήν καθ᾽ ὑπόστασιν ἕνωσιν ἐπεί γινώσκομεν, διαπρυσίῳ τῇ φωνῇ τήν μίαν τοῦ Θεοῦ Λόγου φύσιν σεσαρκωμένην, σαρκί ψυχήν ἐχούσῃ τήν νοεράν κατά τῆς Νεστορίου προβαλλόμεθα διαιρέσεως· ἐπίσης καί τήν Ἀπολιναρίου φεύγοντες σύγχυσιν· τήν τῶν ἑνωθέντων φυσικήν ἀρνουμένου διαφοράν μετά τήν ἕνωσιν, καί ταυτόν τῷ Λόγῳ κατά φύσιν τήν σάρκα πρεσβεύοντος διά τήν ἕνωσιν· καί τήν Νεστορίου διαίρεσιν, ὑποστατικήν ἐπί Χριστοῦ διαφοράν καταγγέλλοντος, καί τήν σαρκός καθ᾽ ὑπόστασιν πρός τόν Λόγον ταυτότητα διατέμνοντος.

***Ὅτι Σεύηρος, ταυτόν εἶναι λέγων φύσιν καί ὑπόστασιν, σύγχυσιν ποιεῖ τήν ἕνωσιν, καί διαίρεσιν τήν διαφοράν· καθ' ἥν δείκνυται, τόν τε τῆς Τριάδος εἰς τετράδα προσώπων διαστέλλων τόν λόγον· καί τό τῆς μονάδος εἰς θεοτήτων διάδα τέμνων μυστήριον· καί πάσης τόν Χριστόν βλασφήμως ἐκβάλλων οὐσιώδους ὑπάρξεως.***

Σευῆρος δέ ταυτόν κυρίως οὐσίαν καί ὑπόστασιν, φύσιν τε λέγων καί πρόσωπον ἐπί τῆς θείας σαρκώσεως, οὔτε τήν ἕνωσιν οἶδεν ἀσύγχυτον, κἄν προσποιεῖται λέγειν· οὔτε τήν διαφοράν ἀδιαίρετον, κἄν εἰ καί τοῦτο κομπάζων διέξεισιν· ἀλλά τήν μέν ἕνωσιν σύγχυσιν κατά τόν Ἀπολινάριον ἀπεργάζεται· τήν δέ διαφοράν ἀλλοτρίωσιν κατά τόν Νεστόριον. Εἰ γάρ ταυτόν ἐστιν ὑπόστασις καί φύσις, οὐδενί τρόπῳ κατ᾽ αὐτόν ἡ σάρξ ἔσται τῷ Λόγῳ ταυτόν ἤ ἕτερον. Λέγων γάρ τήν ὡς ἐν ποιότητι φυσικῇ διαφοράν ἐπί Χριστοῦ μετά τήν ἕνωσιν, Νεστορίῳ τήν ἕνωσιν καί αὐτός συνδιαιρῶν εὑρεθήσεται, καθ᾽ ὑπόστασιν τῆς σαρκός πρός τόν Λόγον τήν διαφοράν ἐπάγων μετά

τήν ἕνωσιν· ὡς οὐκ ἄν ἄλλως τῆς ὡς ἐν ποιότητι φυσικῇ διαφορᾶς νοεῖσθαι κατ᾿ αὐτόν δυναμένης, ἥ ὡς ἐν ὑποστατικῇ ποιότητι διαφορᾶς, εἴπερ ταυτόν φύσις ἐστίν καί ὑπόστασις. Ἀνάγκην γάρ ἔχει λέγων τήν ὡς ἐν ποιότητι φυσικῇ διαφοράν, καί τήν ὡς ἐν ὑποστατικῇ ποιότητι προσεπάγειν διαφοράν· ἵνα δείξῃ ταυτόν οὖσαν τῇ φύσει τήν (569) ὑπόστασιν. Εἰ δέ τήν καθ᾿ ὑπόστασιν λέγῃ διαφοράν μετά τήν ἕνωσιν, φοβούμενος τήν διαίρεσιν· μηδέ τήν φυσικήν λεγέτω διαφοράν μετά τήν ἕνωσιν, εἴπερ ἑαυτῷ διέγνω στοιχεῖν, καί οὕς αὐτός ἑαυτῷ διωρίσατο κανόνας φυλάττειν ἐσπούδακεν· ἐπειδή ταυτόν οἶδεν ἀλλήλαις, ὅρῳ τε καί λόγῳ τήν φύσιν καί τήν ὑπόστασιν. Εἰ δέ κατ᾿ ἄμφω, λέγω δέ τήν φύσιν καί τήν ὑπόστασιν, οὐκ ἔχει διαφοράν, ὡς Σευήρῳ δοκεῖ, πρός τόν Λόγον ἡ σάρξ, ἔστω σαφῶς ἡ αὐτή τῷ αὐτῷ ὁμοούσιός τε καί ὁμοϋπόστατος κατά τήν Ἀπολιναρίου ληρῳδίαν. Καί εἰ μέν ὁμοούσιός ἐστι τῷ Λόγῳ ἡ σάρξ, ἔσται καί τῷ Πατρί καί τῷ Πνεύματι ὁμοούσιος, καί ἡ Τριάς φανήσεται γενομένη τετράς· ἐπειδή τά ὁμοούσια τήν καθ᾿ ὑπόστασιν οὐκ ἐπιδέχονται πρός ἄλληλα σύμβασιν. Εἰ δέ ὁμοϋπόστατός ἐστι τῷ Λόγῳ ἡ σάρξ, ἔσται πρός τόν ἑτροούσιον. Τά γάρ ὁμοϋπόστατα, τόν πρός ἄλληλα τῆς οὐσίας λόγον πάντῃ τε καί πάντως διάφορον ἔχουσιν. Εἰ δέ πρός τόν Λόγον ὡς ὁμοϋπόστατος μετά τήν ἕνωσιν, ἑτεροούσιός ἐστιν ἡ σάρξ, εἰς δύο φύσεις ὁ Χριστός τεμνόμενος εὑρεθήσεται κατά Σευήρον μετά τήν ἕνωσιν· εἴπερ πάντως κατ᾿ αὐτόν διαιρέσεως ὁ ἀριθμός κέκτηται δύναμιν. Οὕτω πᾶν τό τῇ ἀληθείᾳ μαχόμενον, εὐπερίτρεπτόν ἐστιν ἑαυτῷ καί εὐπερίπτωτον.

Εἰ δέ μίαν φύσιν λέγων Χριστοῦ μετά τήν ἕνωσιν σύνθετον, τήν ὡς ἐν ποιότητι φυσικῇ δοκεῖ προσρίπτειν αὐτῇ διαφοράν· πρῶτον μέν καθό φύσις σύνθετος, οὐδενί τῶν ὄντων ἔσται παντελῶς ὁ Χριστός ὁμοούσιος· εἴπερ κατ᾿ οὐσίαν καί φύσιν εἷς καί μόνος ἐστίν ὁ Χριστός. Φύσις γάρ φύσει, καθώς εἴρηται, οὐκ ἄν εἴη ποτ᾿ ἄν παντελῶς ὁμοούσιος. Τινί δέ τῶν ὄντων οὐκ ὤν ὁμοούσιος, οὔτε Θεός ἔσται παντελῶς ὁ αὐτός, οὔτε μήν ἄνθρωπος· ἤ εἴπερ Θεός, ἔσται πολύθεος ὁ τοῦτο πρεσβεύων, ὡς ἀσυνθέτου μέν φύσεως ὡς ἁπλῆς λέγων Θεόν τόν Πατέρα καί τό Πνεῦμα τό ἅγιον· συνθέτου δέ φύσεως ὡς οὐχ ἁπλῆς λέγων Θεόν τόν Χριστόν, καί δύο θεότητας καταγγέλλων δειχθήσεται· μίαν ἁπλῆν, καί μίαν σύνθετον.

Ἔπειτα δέ τήν ὡς ἐν ποιότητι φυσικῇ λέγων διαφοράν, εἰ μέν ὑποκεῖσθαι λέγῃ ταῖς διαφόροις ποιότησι τάς φύσεις ὧν εἰσίν αἱ

ποιότητες, δύο φύσεων καὐτός δειχθήσεται μετά τήν ἕνωσιν ποιούμενος δήλωσιν· ὧν κατηγωνίσατο, συνήγορος καί μή θέλων γινόμενος. Εἰ δέ ψιλῶν ποιοτήτων χωρίς τῶν πραγμάτων εἶναι λέγῃ τήν διαφοράν, τούτων λεγέτω καί τήν ἕνωσιν. Ὧν γάρ ἡ διαφορά μετά τήν ἕνωσιν, τούτων προδήλως ἡ ἕνωσις· καί δι᾽ ὀλίγων συλλαβῶν Ἐπικούρου τόν αὐτοματισμόν, (572) καί Μάνεντος τήν ἀπατηλήν φαντασίαν εἰσήγαγε, οὐκ ὄντος αὐτῷ τοῦ Χριστοῦ κατ᾽ ἀλήθειαν τοῖς πράγμασιν, ἀλλά ταῖς διακένοις ποιότησι· καί ἔσται ποιότητι μόνῃ Θεός ὁ Χριστός, καί οὐ πράγματι. Ἀθανασία γάρ καί θνητότης, ὧν εἶναι λέγει μετά τήν ἕνωσιν δαφοράν, φύσεων μέν ὑπάρχουσιν, οὐ φύσεις δέ. Ποῦ γάρ θνητότης, οὐκ ὄντος τοῦ θνήσκοντος, ἤ ἀθανασία, οὐκ οὔσης τῆς φύσεως ἧς οὐχ ἅπτεται θάνατος; Ἀλλ᾽ ὄντως ἀσυλλόγιστον ἡ πονηρία, καί τό δοκεῖν εἶναι σοφόν, μεγάλης καθίστασθαι πέφυκεν ἀνοίας δημιουργόν. Καί σιωπήν ἀσπάζεσθαι πρός τούς τοιούτους μᾶλλον λυσιτελέστερον τοῖς συνετοῖς, ἤ τῷ κατ᾽ αὐτῶν ἐλέγχῳ παίζειν νομίζεσθαι καί αὐτούς τό μυστήριον. Ὁ μέν οὖν Σεύηρος οὕτως ἔχων περί Χριστοῦ τοῖς οἰκείοις συντέθνηκε δόγμασι.

***Ἔκθεσις σύντομος μετά τῆς ὀρθῆς συνηγορίας τῆς ἀληθοῦς τῶν Πατέρων ὁμολογίας.***

Ἡμεῖς δέ οὐχ οὕτω φρονοῦμεν, οὐχ οὕτω πιστεύομεν, οὐδ᾽ αὕτη ἐστίν ἡ μερίς τοῦ Ἰακώβ, φησίν ὁ εἰπών· ἀλλ᾽ ἐκ δύο φύσεων τελείως ἐχουσῶν κατά τόν ἴδιον τοῦ εἶναι λόγον, θεότητός τέ φημι καί ἀνθρωπότητος, συντεθεῖσθαι τόν ἕνα Χριστόν, ἤγουν τήν αὐτοῦ μίαν ὑπόστασιν ὁμολογοῦντες, ἀσυγχύτους μεμενηκέναι, καί τῆς οἱασοῦν δίχα τομῆς τάς φύσεις πιστεύομεν μετά τήν ἕνωσιν. Τόν Χριστόν γάρ εἶναι πιστεύοντες, τάς ἐξ ὧν συνετέθη σώζεσθαι φύσεις ὁμολογήσαμεν μετά τήν ἕνωσιν. Καί διά τοῦτο φυσικήν μέν ἐπ᾽ αὐτοῦ, τά μέρη δηλονότι σκοποῦντες ἐξ ὧν συνετέθη, διαφοράν καταγγέλλομεν· ὅτι μή ταυτόν θεότης κατ᾽ οὐσίαν καί ἀνθρωπότης· ὑποστατικήν δέ ταυτότητα· ταυτόν γάρ καθ᾽ ὑπόστασιν ὑπάρχει τῷ Λόγῳ προδήλως ἡ σάρξ. Πραγματικήν οὖν γινώσκοντες μετά τήν ἕνωσιν τῶν ἐξ ὧν Χριστός συνετέθη φύσεων τήν διαφοράν, τήν καθ᾽ ὑπόστασιν οὐκ ἀγνοοῦμεν ταυτότητα· εἴπερ πρός ἄλληλα μέν φυσικῶς διαφέροντα τά μέρη τοῦ Χριστοῦ, κατά τήν ὡς ὅλου τοῦ ἐξ αὐτῶν συντεθέντος ὑπόστασιν οὐ δαφέρουσιν· ὅτι μή πέφηκε τῷ τοῦ

ὅλου λόγῳ τά συμπληρωτικά μέρη τοῦ ὅλου διαφέρειν ἀλλήλων παντάπασιν.

Φύσεις μέν οὖν, δύο τόν αὐτόν ὁμολογήσαντες, Θεόν ὁμοῦ τόν αὐτόν ὄντα καί ἄνθρωπον ἐγνωρίσαμεν· εἴπερ μή ψιλάς, καί κατά μηδενός κειμένας ἐπ᾿ αὐτοῦ τάς κλήσεις προφέρομεν. Ἐν δύο δέ φύσεσιν ἀδιαιρέτως τε καί ἀσυγχύτως μετά τήν ἕνωσιν ὄντα πιστεύοντες, ἐν θεότητι τέλειον τόν αὐτόν, καί ἐν ἀνθρωπότητι τέλειον τόν αὐτόν κατηγγείλαμεν, ὡς ὅλον ἐν μέρεσιν. Ἐξ ὧν γάρ συνετέθη μερῶν, ἐν αὐτοῖς ὡς ὅλον γνωρίζεται μετά (573) τήν ἕνωσιν· ὅτι μηδ᾿ ἄλλην ἔχει τοῦ εἶναί τε καί σώζεσθαι, καί κυρίως λέγεσθαι δήλωσιν ὁ Χριστός, ἤ τήν πρός τό εἶναι φυσικῶς μετά τήν ἕνωσιν διαμονήν τῶν ἐξ ὧν συνετέθη μερῶν· οὐ μόνον γάρ ἐκ τούτων, ἀλλά ἐν τούτοις, καί κυριώτερον εἰπεῖν, ταῦτά ἐστιν ὁ Χριστός· ἀριθμοῦμεν δέ μετά τήν ἕνωσιν τά ἐξ ὧν ὁ Χριστός, οὐ μερίζοντες, μή γένοιτο, τάς φύσεις, ἀλλά μόνην τῆς αὐτῶν σωζομένης μετά τήν ἕνωσιν διαφορᾶς ποιούμενοι δήλωσιν. Σύνοδον δέ καθ᾿ ἕνωσιν φυσικήν, ἤγουν ἀληθῆ τε καί πραγματικήν ὁμολογοῦμεν κατά τόν ἅγιον Κύριλλον, καί Θεοτόκον κυρίως καί κατ᾿ ἀλήθειαν τήν παναγίαν Παρθένον πρεσβεύομεν· οὐχ ἁπλῶς, ἀλλ᾿ ὡς αὐτόν τόν πρό πάντων τῶν αἰώνων ἀφράστως ἐκ Θεοῦ καί Πατρός γεννηθέντα Θεόν Λόγον συλλαβοῦσαν ἀληθῶς, καί ἀῤῥήτως ἐξ αὐτῆς σαρκωθέντα γεννήσασαν. Καί τοῦ αὐτοῦ τά τε θαύματα καί τά πάθη λέγομεν, ὡς ἑνός ὄντος δηλαδή τοῦ Χριστοῦ τοῦ τά θεῖα καί τά ἀνθρώπινα ἐνεργοῦντος· τά μέν θεῖα σαρκικῶς, ὅτι διά σαρκός φυσικῆς ἐνεργείας οὐκ ἀμοιρούσης τήν τῶν θαυμάτων προὐβάλλετο δύναμιν· τά δ᾿ ἀνθρώπινα θεϊκῶς, ὅτι δίχα βίας φυσικῆς, κατ᾿ ἐξουσίαν τήν τῶν ἀνθρωπίντων παθῶν θέλων κατεδέχετο πεῖραν. Τοῦ αὐτοῦ τόν σταυρόν καί τόν θάνατον καί τήν ταφήν καί τήν ἀνάστασιν, καί τήν εἰς οὐρανούς ἀνάληψιν· ἐξ ὧν ἄσαρκος κατελθών, οὐ μετῆλθε τόπους ἀμείψας, ὁ μηδενί λόγῳ τοῖς οὖσι χωρούμενος. Πάσης γάρ ὑπάρχει περιγραφῆς ἐλεύθερος· ἀλλ᾿ ἐπεφάνη διά σαρκός ὡς φύσει φιλάνθρωπος, κατά γέννησιν ἀληθῆ τήν ἐκ γυναικός χωρητός, ὡς ἠθέλησε, τοῖς ἡμετέροις γενόμενος. Διό καί μίαν αὐτῷ καί σαρκωθέντι προσάγομεν σύν Πατρί καί Πνεύματι τήν προσκύνησιν.

Εἰ τοίνυν ψυχῇ τε καί στόματι Θεοτόκον κυρίως τήν ἁγίαν Παρθένον λέγομεν, καί τήν καθ᾿ ὑπόστασιν ἕνωσιν ὁμολογοῦμεν, καί σύνοδον καθ᾿ ἕνωσιν γεγενῆσθαι λέγομεν φυσικήν, καί ἕνα Κύριον

καί Χριστόν καί Υἱόν, καί μίαν αὐτοῦ τοῦ Θεοῦ Λόγου φύσιν σεσαρκωμένην πρεσβεύομεν· καί ἕνα τῆς ἁγίας Τριάδος, Πατρί τε καί Πνεύματι συμπροσκυνούμενον καί συναρυθμούμενον τόν Χριστόν εἶναι πιστεύομεν, πῶς ὡς διαιροῦντες παρά τῶν ἀφόβων, καί πάντα ψευδῶς λέγειν τολμώντων λοιδορούμεθα, διά μόνην τοῦ ἀριθμοῦ ψιλήν τήν φωνήν, ἐπί μόνῃ δηλώσει παρ᾽ ἡμῶν, ὡς πολλάκις εἴρηται, τῆς σωζομένης διαφορᾶς τῶν φύσεων προφερομένην μετά τήν ἕνωσιν; Εἰ μέν οὖν ἐξ ἀνάγκης πάντως ὁ ἀριθμός τοῦ ποσοῦ τῶν πραγμάτων ποιεῖται διαίρεσιν, δειξάτω τις τοῦτο, καί στέργομεν ὡς ἀληθῆ τήν συκοφαντίαν. Εἰ δέ μόνον ἐπηρεάζουσι διαβάλλοντες τούς τήν ἀληθῆ τοῦ μυστηρίου καταγγέλοντας πίστιν, δι᾽ ἥν νοσοῦσι φιλοδοξίαν, αὐτοί δώσουσι τῷ Θεῷ λόγον ἐν ἡμέρᾳ κρίσεως, φησίν ὁ θεῖος Ἀπόστολος, ὑπέρ ὧν εἰς πλάνην συνήρπασαν, οἵγε πεπληρωκότες τοῦ παρόντος βίου τό δόλιχον. (576) Οἱ δέ περιόντες, Θεόν σχοῖεν αὐτούς μεταβάλλοντα, καί πρός τήν ἐπίγνωσιν αὐτούς ἄγοντα τῆς ἀληθείας, τῆς νῦν παρ᾽ αὐτῶν πολεμουμένης. Οὕτω γάρ συμφέρει λέγειν, διά τήν κελεύουσαν ἐντολήν ὑπερεύχεσθαι τῶν καταρωμένων.

Ἐγώ μέν οὖν ταῦτα πρός σέ κατ᾽ ἐπιτομήν περί ὧν ἠρώτησας διεξῆλθον, δοῦλε Θεοῦ, τῆς σῆς χάριν πληροφορίας· οὐκ ἄλλως μέν ἔχων κατά ψυχήν, ὥς τινες τῶν Σευήρῳ χαιρόντων διαθρυλλοῦσιν· ἄλλως δέ λαλῶν τοῖς παρατυγχάνουσι· μή τοῦτο νομίσῃς, ἀλλ᾽ ὡς ἐδιδάχθην καί φρονῶ καί πιστεύω, καί παρά τῶν Πατέρων παρέλαβον, λαλῶ. καί τό δέ κυριώτερον εἰπεῖν, αὐτήν μου τήν διάνοιαν προφέρω σωματουμένην τοῖς ῥήμασιν. Εἰ δέ ψευδής ὁ λόγος, μή τύχω τῆς ἐκεῖθεν μακαριότητος· ἀλλά τῶν ἐπηγγελμένων ἀγαθῶν τήν ἀλλοτρίωσιν ὡς ψεύδους καρπόν ἀπενέγκωμαι. Σύ δέ τῆς εὐπειθείας ἕνεκεν τῆς ἐμῆς, ἀμείψασθαί με ταῖς εὐχαῖς καταξίωσον· ὅπως Χριστός ὁ Θεός ἡμῶν, ἡ σωτηρία τῶν φοβουμένων αὐτόν, ἰάσηταί μου τά τραύματα τῆς ψυχῆς τῇ δυνάμει τοῦ μ6υστηρίου τῶν ὑπέρ ἡμῶν αὐτοῦ ζωοποιῶν παθημάτων· ὁ μόνος σύν τῷ Πατρί καί τῷ ἁγίῳ Πνεύματι δεδοξασμένος εἰς τούς αἰῶνας. Ἀμήν.

***ΣΧΟΛΙΑ.***

*α΄.* Ἐν τῷ ὅρῳ, ἡ τῶν κατ᾽ οὐσίαν ταυτῶν, φησί, θεωρεῖται κοινότης.

β΄. Ὅτι τά χαρακτηρίζονταα τήν σύνθετον ὑπόστασιν ἰδιώματα, φησί, κοινά τῶν αὐτῆς ὑπάρχει μερῶν.

γ ΄. Ὅρος ὑποστάσεως ἀκριβής.

δ ΄. Ὅρος ἤγουν ὑπογραφή τοῦ ἐνυποστάτου.

ε ΄. Ὅρος διαφορᾶς γενικός.

στ΄. Ὅρος ταυτότητος γενικός.

ζ ΄. Γένος λέγεται τό ποσόν, οὗ δηλωτικός ἐστιν ὁ ἀριθμός.

η ΄. Κυρίως εἶπε, διά τό μή μεταβάλλειν εἰς ἀλλήλους τούς οἰκείους ὁρισμούς. Ὧν γάρ οὐχ εἷς ὁρισμός, οὐχ εἷς λόγος· ὧν δέ οὐχ εἷς ὁ λόγος, διάφορος ὁ τοῦ εἶναι τρόπος· ὧν δέ διάφορος ὁ τοῦ εἶναι τρόπος ἐστίν, τούτων ἡ διά πάντων ταυτότης οὐκ ἔστιν. Οὐκοῦν οὐκ ἔστι ταυτόν φύσις καί ὑπόστασις· ὅτι μή κυρίως εἷς τούτων ἐστίν ὁ τοῦ εἶναι τρόπος καί λόγος καί ὁρισμός. Καταχρηστικῶς οὖν, καί πρός τι τυχόν, ἀλλ᾽ οὐ κυρίως λεχθήσεται ὑπόστασις.

***Ιστ΄. Τοῦ αὐτοῦ, πρός τόν αὐτόν.***

Πολλαῖς με λύπης καταικιζόμενον μάστιξιν ἐπί τοῖς συμβᾶσιν ἐκ συκοφαντίας τῶν μή φοβουμένων τόν κύριον, τῷ γενναίῳ τῶν ἀρετῶν φύλακι κυρίῳ (577) Γεωργίῳ, φθάσαν παρεμυθήσατο τό γράμμα σου τό ἱερόν, ὅσιε Πάτερ· τοῦτο μέν, τῆς ποθουμένης σου πᾶσιν ὑγείας εὐαγγέλια φέρον· τοῦτο δέ, τῆς εἰς Κύριον Ἰησοῦν Χριστόν τόν ἀληθινόν ἡμῶν Θεόν ὀρθῆς ὁμολογίας μηνύον τό βάσιμον. Ὅπερ παθημάτων δοκιμασίᾳ βεβαιωθέν, πρός ἀτρεψίαν σοι μετεποιήθη, παρ᾽ οὐδέν θεμένῳ τῆς παρούσης ζωῆς τήν δυσημερίαν, ἧς πάλαι τήν εὐημερίαν ἔχων εὐκαταφρόνητον, πρός μόνα τά ἐλπιζόμενα τῆς ψυχῆς ὅλον τόν πόθον μεθώρμισας· ὅντινα πίστις καί ἀγαθή πέφυκε χαρακτηρίζειν συνείδησις· ἡ μέν τόν εὐσεβῆ φυλάττουσα λόγον, μηδενί τρόπῳ ψεύδους δόξης χραινόμενον· ἡ δέ, τόν θεάρεστον δημιουργοῦσα βίον, τῇ τηρήσει τῶν ἐντολῶν κατορθούμενον. Ἀμφοτέρων γάρ, λόγου τέ φημι καί βίου χρεία, τῷ προτιμᾷν ἐσπουδακότι πάντων τήν τῆς σοφίας συμβίωσιν· ἵνα καί τό μυστήριον τῆς ὑπέρ ἡμῶν διά σαρκός τοῦ Θεοῦ τῶν ὅλων ἀτρέπτου κενώσεως, εὐσεβῶς καταγγέλλωμεν· ὁμολογοῦντες τόν Χριστόν κατ᾽ ἀλήθειαν Θεόν ὁμοῦ τε καί ἄνθρωπον· τό μέν ἀναιτίως ὄντα δι᾽ ἑαυτόν, τό δέ δι᾽ ἡμᾶς γενόμενον ὕστερον. Οὐθ᾽ ὅπερ ἦν, δι᾽ ὅπερ γέγονεν ἀποθέμενον· ἄτρεπτος γάρ. Οὐθ᾽ ὅπερ γέγονε δι᾽ ὅπερ ἦν ἀπαρνούμενον· φιλάνθρωπος γάρ. Αὐτῷ γάρ μόνῳ κυρίως ὄντι

περιουσίᾳ δυνάμεως γενέσθαι δυνατόν ἦν δίχα τροπῆς ἀσυγχύτως ὅπερ οὐκ ἦν, καί ἄμφω μεῖναι κυρίως ὅπερ ἦν τε καί γέγονε· τό κατ᾿ ἄκρον τῆς οἰκείας ὑποστατικῆς μονάδος ἑνικῷ μή δεχομένη διαίρεσιν, διά τήν φυσικῶς σωζομένην ἐν αὐτῷ μετά τήν ἕνωσιν τῶν ἐξ ὧν συνετέθη διαφοράν· εἴπερ σαρκί νοερῶς ἐψυχωμένῃ καθ᾿ ὑπόστασιν ἑνωθείς, τοῖς μέν θαύμασιν ὅπερ ἦν ἀτρέπτως μένων ἐδείκνυτο· τοῖς δέ παθήμασιν ὅπερ γέγονεν ἀναλλοιώτως σώζων ἐφαίνετο· καί δι᾿ ἀμφοτέρων, θαυμάτων τε λέγω καί παθημάτων, τήν τε τῆς ἁμαρτίας ἀναίρεσιν, καί τήν τῆς θεώσεως ἡμῖν ἐδωρήσατο χάριν. Καί τιμήσωμεν ἀναστροφῇ βίου κατηγλαϊσμένου ταῖς ἐντολαῖς τήν κλῆσιν τῆς χάριτος, ὑπ᾿ οὐδεμιᾶς ἡδονῆς, ἤ τῆς οἱασοῦν ὀδύνης καθ᾿ ὁτιοῦν δονούμενοι· καί δείξωμεν δι᾿ ὧν ποιοῦμεν ἤ πάσχομεν, ὅτι μόνου Θεοῦ τοῦ δόντος ἑαυτόν ὑπέρ ἡμῶν λύτρον τε καί ἀντάλλαγμα περιεχόμεθα, πᾶσαν αὐτῷ πιστεύσαντες ἡμῶν τήν ζωήν, τήν παροῦσάν τε καί τήν μέλλουσαν· ὡς ἐξ αὐτοῦ τῷ τῆς παραγωγῆς ὄντες λόγῳ, καί δι᾿ αὐτοῦ τῷ τῆς ἀγωγῆς ὑπάρχοντες τρόπῳ· καί εἰς αὐτόν τῷ κατά τήν χάριν μυστηρίῳ τῆς ἐλπιζομένης θεώσεως λήξοντες· καί τό ἀεί εὖ εἶναι, διά τοῦ νῦν φεῦ εἶναι δοκοῦντος, ἀπολάβωμεν, δείξαντες ἡμῶν, δι᾿ ὧν πάσχομεν, τήν περί Θεόν κεκρυμμένην διάθεσιν, μηδενί τρόπῳ τῶν συμπιπτόντων ἡμῖν ἀλγεινῶν ἀλλοιουμένην.

(580) Μή τοίνυν ἐκκακήσωμεν ἐν τοῖς θλίψεσι, τίμιε Πάτερ, εἰδότες ὡς ἡ θλῖψις ὑπομονήν τατεργάζεται, ἡ δέ ὑπομονή δοκιμήν, ἡ δέ δοκιμή ἐλπίδα, ἡ δέ ἐλπίς οὐ καταισχύνει, βεβαίαν ἔχουσα τήν ὑπέρ ὧν πάσχομεν αἰωνίων ἀπόλαυσιν ἀγαθῶν· ἀλλά γενναίως ἐνέγκωμεν τά συμβαίνοντα, πρός τόν ἀρχηγόν ἀφορῶντες τῆς σωτηρίας ἡμῶν Ἰησοῦν· ὅς Θεός ὤν ἀληθινός, τόν ὑπέρ ἡμῶν θέλων κατεδέξατο θάνατον· ἵνα πάσχοντες χαίρωμεν, σύμφυτοι αὐτῷ γενόμενοι διά θανάτου πρός ἀνάστασιν ζυμούμενοι ζωῆς ἀκαταλύτου. Ἐπειδή θείου νόμου καθέστηκε βούλησις, καλοποιοῦντας ἡμᾶς πάσχειν ἀδίκως, ὡς Χριστοῦ μαθητάς εἰς τήν τῆς ἁμαρτίας κατάκρισιν· ἥν δι᾿ ἀπάτης ὁ νοητός ὄφις παραβῆναι τήν θείαν ἐντολήν, καί τῶν αἰωνίων προτιμῆσαι τά πρόσκαιρα παραπείσας τόν ἄνθρωπον, ἐπεισήγαγεν· ὅν πατεῖν ἐξουσίαν ἐλάβομεν, τήν φυλάττουσαν χάριν φυλάττοντες τῇ τηρήσει τῶν ἐντολῶν φρουρουμένην· ἥτις μόνῃ κακοπαθείᾳ σαρκός ἑκουσίῳ τε καί ἀκουσίῳ, συλλογισμῷ σώφρονι κατορθοῦται τοῖς ἀγαπῶσι τόν Κύριον. Ὦ πᾶσαν προσηλώσας σου τήν ἐπιθυμίαν,

οὐκ αἰσθάνῃ τῶν θλιβερῶν, ὅσιε Πάτερ· νικῶσαν ἔχων τήν παροῦσαν θλίψιν, τήν χαράν τῶν ἐλπιζομένων· ὧν τύχοιμεν ἅπαντες, Χριστοῦ τοῦ μεγάλου Θεοῦ καί Σωτῆρος ἡμῶν ταῦτα, καθώς οἶδεν, ἡμῖν ὡς ἕκαστος ἄξιός ἐστι διανέμοντος· τῇ πρεσβείᾳ τῆς ἀχράντου καί παναγίας αὐτοῦ Μητρός ἀειπαρθένου, καί πάντων τῶν ἁγίων. Ἀμήν.

***Τοῦ αὐτοῦ πρός Ἰουλιανόν Σχολαστικόν Ἀλεξανδρέα, περί τοῦ κατά τήν σάρκωσιν τοῦ Κυρίου ἐκκλησιαστικοῦ δόγματος.***

Χαρᾶς μεγάλης καί εὐφροσύνης πνευματικῆς ἐνέπλησέ με τόν ταπεινόν καί ἁμαρτωλόν, καί σύν ἐμοί πᾶσαν ὡς εἰπεῖν τήν ἁγίαν τοῦ Θεοῦ καθολικήν ἐκκλησίαν, τό τίμιον τοῦ θεοφυλάκτου μου δεσπότου γράμμα, κομίσαν ἡμῖν εὐαγγέλια τῆς στεῤῥᾶς καί ἀμεταθέτου γνώμης, αὐτοῦ τε καί τοῦ σύν αὐτῷ δεσπότου μου κυρίου Χριστοπέμπτου τοῦ σοφωτάτου Σχολαστικοῦ, περί τήν ὀρθήν καί εὐσεβῆ καί σωτήριον ὁμολογία τῆς κατά Χριστόν τόν ἀληθινόν ἡμῶν Θεόν πίστεως· τόν διά τοῦτο γενόμενον ἄνθρωπον, ἵνα τήν φύσιν τῶν ἀνθρώπων πρός ἑαυτόν συναγάγῃ, καί στήσῃ τοῦ φέρεσθαι κακῶς πρός ἑαυτήν, μᾶλλον δέ καθ᾽ ἑαυτῆς στασιάζουσάν τε καί μεμερισμένην, καί μηδεμίαν ἔχουσαν στάσιν, διά τήν περί ἕκαστον τῆς γνώμης ἀστάθμητον κίνησιν. Διό πάντες εὐχαριστοῦντες ἐφ᾽ ὑμῖν τῷ Θεῷ, τιμιώτατοι, δεήσεις ἀπαύστως ποιούμεθα, κἄν ἁμαρτωλοί τυγχάνωμεν, συντηρῆσαι ὑμᾶς ἀκλονήτως τε (581) καί ἀσείστως εἰς τόν ἅπαντα χρόνον τήν σωτήριον τῆς πίστεως ὁμολογίαν· πιστεύοντας ὅτιπερ ὁ τοῦ Θεοῦ καί Πατρός Υἱός καί Λόγος ἐξ ἀνθρώπων, ὑπέρ ἀνθρώπων, κατά ἀνθρώπους χωρίς ἁμαρτίας ἀληθῶς γενόμενος ἄνθρωπος, οὐκ ἐτράπη τοῦ Θεός εἶναι καί γενόμενος ἄνθρωπος· οὔτε μήν τοῦ ἄνθρωπος ἀληθῶς εἶναι μεμείωται, μεμενηκώς ὅπερ ἦν, καί ἔστι, καί ἀεί ἔσται κατά φύσιν Θεός· ἀλλά Θεός ὑπάρχων κατ᾽ οὐσίαν καί φύσιν δι᾽ ἑαυτόν, ἀτρέπτως κατ᾽ οἰκονομίαν δι᾽ ἡμᾶς ἀληθῶς γέγονεν ἄνθρωπος, κατά πρόσληψιν δηλονότι σαρκός, νοεράν τε καί λογικήν ἐχούσης ψυχήν. Διό καί Θεός φύσει καί ἀληθῶς ὁ αὐτός ὡς τοῦτο κἀκεῖνο κατ᾽ ἀλήθειαν ἀνελλιπῶς ὁ αὐτός ὑπάρχων· ἅτε δή τινος τῶν ἐπί τῷ μυστηρίῳ τῆς αὐτοῦ σαρκώσεως, ἤγουν τελείας ἐνανθρωπήσεως πρός ἕνωσιν τήν καθ᾽ ὑπόστασιν συνενηνεγμένων φύσεων, μηδαμῶς ἑαυτήν ἠρνημένης διά τήν ἕνωσιν, ἀλλά φυλαττούσης τόν ἑαυτῆς οὐσιώδη λόγον τε καί ὅρον, ἤτοι τήν φυσικήν ἰδιότητα πρός τήν ἑτέραν ἀσύγχυτον καί

ἀμετάβλητον μετά τήν ἕνωσιν. Οὔτε γάρ ἀναιρεῖ τήν διαφοράν τῶν εἰς μίαν ὑπόστασιν συνενηνεγμένων ἡ ἕνωσις· ἀλλά τήν εἰς ἀναμέρος αὐτῶν παντελῶς ἐξωθεῖται διαίρεσιν.

Σωζομένων οὖν ἀμειώτως ἐν Χριστῷ κατά φύσιν τῶν ἐξ ὁ Χριστός καί μετά τήν ἕνωσιν· πῶς οὐκ ἔστι δίκαιον ὁμολογεῖσθαι τά ἐξ ὧν ὁ Χριστός καί μετά τήν ἕνωσιν; κατά τινας μή συνορῶντας ὡς ἐπισφαλές ἐστι καί ἐπικίνδυνον, καί εἰς ψυχήν πᾶσαν ἔχον ζημίαν, τό πρός τά δῆλα μάχεσθαι, καί τήν οὖσαν ἀρνεῖσθαι προδήλως ἀλήθειαν· καί μόνων ἐκείνων ἴδιον εἶναι τῶν ἀνάστασιν καί κρίσιν τό παράπαν μή προσδοκώντων. ἐπεί τίνι καταφανής οὐκ ἔστι καί ἐπίδηλος ὁ τῆς ἀληθείας λόγος, ὡς ἁπλοῦς καί ἀπέριττος, καί μηδέν ἔχων γριφῶδες τό σύνολον; Εἰ γάρ Θεός καί ἄνθρωπός ἐστιν ὁ Χριστός πράγματι καί ἀληθείᾳ μετά τήν ἕνωσιν, καί οὐχί μόνον κλήσει καί προσηγορίᾳ Θεός λέγοιτο εἶναι καί ἄνθρωπος· δῆλον ἐστιν ὡς ὁ λέγων τε καί φρονῶν τόν Χριστόν Θεόν τε ὁμοῦ καί ἄνθρωπον μετά τήν ἕνωσιν, ἀληθῶς εἶναι συνομολόγησε τοῖς ὀνόμασι τάς φύσεις ὧν εἰσί τά ὀνόματα· εἴπερ μή ψιλάς ἐπί Χριστοῦ τάς προσηγορίας κεῖσθαι φρονεῖ, καί παντελῶς πραγμάτων ἐρήμους. Τί μέν οὖν ἁγία τοῦ Θεοῦ καθολική Ἐκκλησία τῶν ἀτόπων πέπραχεν, εἰ τά ἐξ ὧν ὁ Χριστός ἐν Χριστῷ καθ᾿ ἕνωσιν ἀδιάσπαστον σώζεσθαι λέγοι κατά φύσιν ἀσυγχύτως τε καί ἀδιαιρέτως καί μετά τήν ἕνωσιν; Τί δέ τῆς τῶν ἁγίων Πατέρων διδασκαλίας ἀλλότριον πεφρόνηκεν, εἰ μήτε τήν θείαν τοῦ Λόγου φύσιν εἰς τήν τῆς σαρκός τετράφθαι φύσιν· μήτε τήν αὐτῆς τῆς σαρκός φύσιν εἰς τήν τοῦ Λόγου φύσιν μεταπεφοιτηκέναι δοξάζει διά τήν ἕνωσιν, φρονεῖν τε καί λέγειν διδάσκει τούς πιστούς μετά τήν ἕνωσιν; Τί δέ μᾶλλον οὐ βεβαιοῖ τῆς πατρικῆς παραδόσεως οὕτω φρονεῖν ἐκδιδάσκουσα, καί ἕνα Κύριον ὁμολογοῦσα καί ἕνα Χριστόν, καί ἕνα Υἱόν τόν αὐτόν, καί μίαν αὐτοῦ τοῦ σαρκωθέντος Θεοῦ (584) Λόγου φύσιν σεσαρκωμένην, σαρκί ψυχήν ἐχούσῃ τήν λογικήν τε καί νοεράν, κατά τήν ἑρμηνείαν τοῦ ἁγίου καί μακαρίου Πατρός ἡμῶν Κυρίλλου τήν φωνήν ἐκλαμβάνουσα· διά τοῦ σεσαρκωμένην λέγειν, τῆς καθ᾿ ἡμᾶς οὐσίας εἰσκομίζεσθαι νοοῦσα τήν δήλωσιν, καί μή ἀρνουμένη τῆς σαρκός τοῦ Λόγου τήν φύσιν διά τήν ἕνωσιν; τά γάρ σωζόμενα κατά φύσιν ἀσυγχύτως τε καί ἀτρέπτως καί ἀδιαιρέτως καθ᾿ ἕνωσιν ἀδιάσπαστον ἐν Χριστῷ καί μετά τήν ἕνωσιν χωρίς τῆς οἱασοῦν μειώσεως, πάντως καί ὁμολογεῖσθαι πρεπωδέστατόν ἐστι καί δικαιότατον μετά τήν ἕνωσιν. Ἀληθοῦς γάρ πίστεως καθέστηκεν ἴδιον,

ὁμολογεῖν ὅπερ φρονεῖν ἐδιδάχθημεν. Εἰ τοίνυν σώζεται κατά φύσιν τά ἐξ ὧν ὁ Χριστός μετά τήν ἕνωσιν, καί φρονεῖν αὐτά πάντως εἶναι δίκαιον ἐστιν ἐν Χριστῷ μετά τήν ἕνωσιν. Εἰ δέ φρονεῖν σώζεσθαι τά ἐξ ὧν ὁ Χριστός δίκαιόν ἐστι μετά τήν ἕνωσιν, καί ὁμολογεῖν αὐτά πολλῷ μᾶλλον ἄν εἴη δικαιότατον τε ὁμοῦ καί πρεπωδέστατον, καί πᾶσι τοῖς σωτηρίας φροντίζουσι σπουδαιότατον· εἴπερ ἔνδειξις πίστεως καθέστηκεν ἀληθοῦς, ἡ κατ᾽ αὐτήν ἀνελλιπής ὁμολογία. Καί ταῦτα μέν περί τούτων. Οὔτε γάρ πλείονα λέγειν ἀνάγκη, πρός ὑμᾶς γε ποιούμενον τόν λόγον, καί τούς μηδέν διά τῆς χάριτος τῶν εἰς τήν ὀρθήν τοῦ Χριστοῦ πίστιν ὁρώντων ἀγνοοῦντας.

Περί δέ ὧν γεγράφατέ μοι, τιμιώτατοι, ἀνήγαγον τῷ εὐλογημένῳ δούλῳ τοῦ Θεοῦ, τῷ πανεύφημῳ ἐπάρχῳ καί τάς τιμίας ἡμῶν συλλαβάς· καί ὑπέσχετο προθύμως πᾶσαν ὑμῶν πληρῶσαι κέλευσιν. Καί οὐ παύομαι ὑπομιμνήσκων αὐτόν, ἕως ἄν πάντως εἰς πέρας ἀγάγοι τήν ὑμετέραν κέλευσιν. Ὁ Κύριος δέ καί Θεός τῶν ὅλων καί Σωτήρ Ἰησοῦς Χριστός, ὁ τόν ὑπέρ ἡμῶν ἑκουσίως καταδεξάμενος θάνατον, καί τῷ οἰκείῳ αἵματι λυτρωσάμενος ἡμᾶς τῆς ἐξουσίας τοῦ σκότους, καί δούς ἡμῖν τήν ἐντολήν καινήν ἐν τῷ τοσοῦτον ἡμᾶς ἀλήλους ἀγαπᾷν, ὅσον καί ἠγαπήμεθα· αὐτός κρατῆσαι τῆς χειρός ὑμῶν τῆς δεξιᾶς, καί ὁδηγῆσαι ὑμᾶς εἰς πᾶν ἔργον ἀγαθόν, καί κατευθῆναι ὑμ ῶν τά κατ' αὐτόν διαβήματα· φέρων ὑμᾶς ἐν πληρώματι καρπῶν δικαιοσύνης εἰς τόν θαυμαστόν τόπον τῆς σκηνῆς αὐτοῦ, ἔνθα πάντων εὐφραινομένων ἡ κατοικία.

***ΙΗ΄- Τοῦ αὐτοῦ, ἐκ προσώπου Γεωργίου τοῦ πανευφήμου ἐπάρχου Ἀφρικῆς, πρός ἀσκητρίας ἀποστάσας τῆς καθολικῆς Ἐκκλησίας ἐν Ἀλεξανδρείᾳ.***

Ἐγώ μέν ᾤμην ὑμᾶς ὡς ἀληθῶς ἐστηρίχθαι καλῶς, καί ἀμεταθέτους ἔχειν τάς τῆς ψυχῆς βάσεις ἀπό τῆς κατά τήν ἀμώμητον καί ἄπταιστον πίστιν τοῦ Χριστοῦ ὀρθῆς καί εὐσεβοῦς ὁμολογίας τε καί ἐλπίδος, τήν καλέσασαν ὑμᾶς τοῦ Θεοῦ χάριν αἰδουμένας, καί τῷ ζῶντι καί ἀρτίῳ καί ἀμωμήτῳ (585) σώματι τῆς ἁγίας καθολικῆς καί ἀποστολικῆς Ἐκκλησίας ἑνώσασαν· καί ἤδη καταῤῥυείσας φθινάδι νόσῳ πλάνης τε καί ἀγνοίας ῥώσασαν, καί μέλος εὔχρηστον τοῦ κοινοῦ τῆς Ἐκκλησίας σώματος ποιησαμένην· καθ᾽ ἥν ὁ εὐσεβής, καί ὀρθός καί ἀληθής καί σωτήριος τῆς ἀποστολικῆς πίστεως ἀκμάζων κηρύττεται λόγος, πᾶσαν ἐντός ἑαυτοῦ ποιούμενος τήν ὑπ᾽ οὐρανόν·

καί τό λεῖπον ἀεί τῷ ἤδη συνειλημμένῳ προσάγων καί προστιθέμενος· καί μίαν ἁπάντων τῶν ἀπό περάτων τῆς γῆς ἕως τῶν περάτων αὐτῆς, καί ψυχήν καί γλῶσσαν εἶναι δεικνύς τῷ πνεύματι κατά τήν ὁμόνοιαν καί ὁμοφωνίαν τῆς πίστεως· ἥν ἀῤῥήτως ἐξ ἀνθρώπων, ὑπέρ ἀνθρώπων, κατ᾽ ἀνθρώπους ἀληθῶς προσλήψει σαρκός ψυχήν ἐχούσης λογικήν τε καί νοεράν, καί οὐ τροπῇ θεότητος ἄνθρωπος γενόμενος, δηλονότι χωρίς ἁμαρτίας, ὁ τῶν ἀνθρώπων δημιουργός τοῦ Θεοῦ Λόγος, ἡμᾶς τούς ἀνθρώπους ἐδίδαξεν ὁμολογεῖν καί ἀσπάζεσθαι, μηδεμίαν αὐτοῦ καθάπαξ ἀρνουμένους φύσιν μετά τήν ἕνωσιν, ἤγουν μετά τήν ἐνανθρώπησιν· μήτε τήν θείαν, καθ᾽ ἥν Θεός ἀεί τε δι᾽ ἑαυτόν καί τῷ Πατρί ὁμοούσιος ἔστι τε καί διαμένει· μήτε τήν ἀνθρωπίνην, καθ᾽ ἥν ὁ αὐτός ἄνθρωπος ἀληθῶς δι᾽ ἡμᾶς γέγονεν, ὡς φιλάνθρωπος, καί ἡμῖν ἐστιν ὁμοούσιος. Οὔτε γάρ ἐτράπη τοῦ ὅπερ ἦν καί ἔστιν, καί εἰς ἀεί ἔσται κατά φύσιν Θεός· οὔτε μήν τοῦ ὅπερ γέγονεν ἄνθρωπος καθ᾽ ἕνωσιν ἀδιάσπαστον σαρκός ἐψυχωμένης τήν φύσιν μετέβαλεν, εἷς ὤν καί ὁ αὐτός Θεός τε καί ἄνθρωπος· οὐ κλήσει μόνον καί προσηγορίᾳ Θεός ὑπάρχων καί ἄνθρωπος, ἀλλά πράγματι καί ἀληθείᾳ Θεός καί ἄνθρωπος καί ὑπάρχων κυρίως, καί ἀληθῶς ὀνομαζόμενος. Τό ἐκ τῆς ἑνώσεως ἕν τε καί μοναδικόν καθ᾽ ὑπόστασιν, ἀλλ᾽ οὐ κατά φύσει ἔχων, ὡς οἱ Πατέρες διδάσκουσι, φάσκοντες, "Εἰ γάρ καί τό συναμφότερον ἕν, ἀλλ᾽ οὐ τῇ φύσει τῇ συνόδῳ·" καθ᾽ ἥν οἰκονομικῶς δι᾽ ἡμᾶς ὡς ἀγαθός, σύνθετος γενέσθαι καταδεξάμενος, τό κατά φύσιν ἁπλοῦν, καθ᾽ ἥν ὁμοφυής ἐστι τῷ Πατρί καί ὁμοούσιος διαμένει, φυλάττων ἀλώβητον καί μετά τήν σάρκωσιν. Οὐ γάρ ταυτόν θεότητς καί ἀνθρωπότης. Κἄν γάρ γέγονεν ἄνθρωπος ὁ τοῦ Θεοῦ Λόγος, ἀλλά κατά πρόσληψιν σαρκός νοερῶς καθ᾽ ὑπόστασιν ἀδιασπάστως ἑνωθείσης αὐτῷ γέγονεν ἄνθρωπος. Διό καί Θεός ἐστιν ὁ αὐτός κυρίως καί ἄνθρωπος, ὡς ἐκεῖνο ὤν καί τοῦτο γενόμενος· καί τοῦτο κἀκεῖνο ὑπάρχων ἀνελλιπῶς· μήτε τῷ ἄκρως μοναδικῷ τῆς ὑποστάσεως συγχεόμενος, καθ᾽ ἥν ὁ τῆς διαφορᾶς παντελῶς ἄπεστι λόγος· μήτε τῷ ἀκραιφνεῖ τῆς ἑτερότητος τῶν ἐξ ὧν συνέστηκε φύσεων διαιρούμενος· καθ᾽ ἥν ὁ τῆς διαφορᾶς διά τήν ἕνωσιν οὐδαμῶς ἀνήρηται λόγος.

Τῆς οὖν διαφορᾶς τῶν ἐξ ὧν ἐστι φύσεων ὁ Χριστός ἀσυγχύτως σωζομένης καί μετά τήν ἕνωσιν, οὐκ ἔστιν, ὡς οἶμαι, παντελῶς ὁ δεῖξαι δυνάμενος λόγος, δίκαιον εἶναι τό ποσόν τῶν φυσικῶς διαφερόντων καί ἐν Χριστῷ σωζομένων καθ᾽ ἕνωσιν (588)

ἀδιάσπαστον μή ὁμολογεῖσθαι· διότι πᾶσα δαφορά ποσόν ἑαυτῇ συνεισάγει πάντως τινῶν, ἀλλήλων κατά τι διαφερόντων. Οὐ γάρ ποσοῦ χωρίς πώποτέ τις, κἂν εὐμήχανος ᾖ καί ποριμώτατος, διαφοράν εἶναι φάναι δυνήσηται, καλῶς φρονῶν, καί ἀληθείας κἂν μικρόν γοῦν λόγον ποιούμενος· σαφῶς γινώσκων, ἤ τῆς κατ᾽ οὐσίαν τινῶν ἑτερότητος, ἤ τῆς κατά ποιότητα καί ἰδιότητά τινων ἀνομοιότητος πᾶσαν εἶναι διαφοράν· ἥν ἡ ποσότης τῶν ὑποκειμένων πραγμάτων, εἴτε καθ᾽ ἕνωσίν εἰσιν, ἤ καί ταύτης χωρίς πάντως ἐργάζεται. Ἐφ᾽ ὧν γάρ μή κατά πάντα τρόπον ὁ εἷς καί ὁ αὐτός θεωρεῖται λόγος, ποσότητος ἔνεστιν ἔμφασις, ἧς ἐστιν ἴδιον ἡ διαφορά. Εἰ τοίνυν ἐπί Χριστοῦ τῇ μέν ἑνώσει κατά λόγον τό πάντη μοναδικόν καθ᾽ ὑπόστασιν, ὡς οἱ Πατέρες διδάσκουσιν, ἕπεται λέγειν· τῇ δέ τῶν ἐξ ὧν ἐστιν ὁ Χριστός φύσεων καί μετά τήν ἕνωσιν ἀσυγχύτως τε καί ἀδιαιρέτως ἐν Χριστῷ σωζομένων διαφορᾷ τό ποσόν λέγειν ἐστί ἀκόλουθόν τε καί πρόσφορον· δῆλον ὅτι, ὥσπερ ὁ μή λέγων τόν Χριστόν διά τήν καθ᾽ ὑπόστασιν ἕνωσιν μίαν εἶναι τοῦ Θεοῦ Λόγου φύσιν σεσαρκωμένην, κατά τήν ἑρμηνείαν τοῦ ἁγιωτάτου Πατρός ἡμῶν καί διδασκάλου Κυρίλλου νοουμένην ὀρθῶς, οὐ πιστεύει γεγενῆσθαι τήν ἕνωσιν· οὕτω καί ὁ μή τάς δύο μετά τήν ἕνωσιν φύσεις ὁμολογῶν, ἐξ ὧν ἐστιν ὁ Χριστός, τήν διαφοράν σώζεσθαι λέγειν οὐ δύναται. Φυσικῆς γάρ τῶν ἐξ ὧν ἐστιν ὁ Χριστός ἑτερότητός ἐστι μετά τήν ἕνωσιν ἡ διαφορά, ἀλλ᾽ οὐ τῆς κατά ποιότητα μόνην ἀνομοιότητος, χωρίς τῶν ὑποκειμένων ταῖς ποιότησι φύσεων· ὧν ἄνευ ποιότητα καθ᾽ ἑαυτήν εἶναι τῶν ἀδυνάτων ἐστίν· ἵνα μή ψιλήν, μᾶλλον δέ κυριώτερον εἰπεῖν, ψευδῆ τήν διαφοράν εἰσάγωμεν καί ἀνύπαρκτον.

Ταύτην ἀκριβῶς κατέχειν ἡμᾶς κατά τούς Πατέρας τῆς πίστεως τήν ὁμολογίαν πεπεισμένος, πᾶσι πανταχοῦ ποτε γράφειν οὐκ ὤκνουν πατριάρχαις καί ἐπισκόποις καί ἄρχουσι, καί αὐτοῖς τοῖς εὐσεβεστάτοις καί πανημέροις ἡμῶν βασιλεῦσιν, ὑπέρ εὐχαριστίας Θεοῦ, κατάδηλον πᾶσι ποιῶν τήν ὑμῶν εἰς Χριστόν γνησίαν μετάθεσίν τε καί πίστιν. Καί οὐκ ᾤμην ποτέ, καθάπερ ἔφην, ὑμᾶς οὕτω ταχέως μετατίθεσθαι τῆς σωτηρίου κλήσεως ὑμῶν. Ἐπειδή δέ διά τάς ἐμάς ἁμαρτίας, ὁ ἐξ ἀρχῆς δι᾽ ἀπάτης εἰς ὄλεθρον καί ἀπώλειαν τό γένος τῶν ἀνθρώπων ὑποσυρόμενος πονηρός, καί ὑμᾶς ἴσχυσε παραπεῖσαι, τῆς ἀληθείας προτιμῆσαι τό ψεῦδος· καί πλέον Θεοῦ, καί τῶν ἀποκειμένων ἀγαθῶν τοῖς ἁγίοις, συνηθείας ἕνεκεν πονηρᾶς,

ἀπαταίωσιν ἀνθρώποις χαρίσασθαι πρός θάνατον δελεάζειν μόνον δεδιδαγμένοις· καί πρός τόν ἴδιον ἔμετον ὑμᾶς καθάπερ κύνας προφητικῶς εἰπεῖν ἐπιστρέψαι δεδύνηται, παρεγγυῶ, εἴπερ οὕτως ἀνιάτως ἔχετε, καί εἰς τέλος προέθεσθε τήν τοῦ Χριστοῦ χάριν ἀποστραφῆναι· τέως τάς (589) γινομένας εἰς ὑμᾶς παρ᾽ ἐμοῦ δωρεάς δοῦναι Θεοπέμπτῳ τῷ ἀνθρώπῳ, ἐπί τούτῳ καί μόνον παρ᾽ ἐμοῦ σταλέντι μετ᾽ ἐγγράφου ἐντάλματος, πρός τό μηδεμίαν ἀμφιβολίαν ἔχειν ὑμᾶς περί τούτου. Καί πάλιν, εἴ τι παρίσταται τοῖς εὐσεβεστάτοις καί φιλοχρίστοις καί πανημέροις ἡμῶν βασιλεῦσι, καί τοῖς ἁγιωτάτοις πατριάρχαις, τά καθ᾽ ὑμᾶς πάντα δι᾽ ἐμοῦ σύν Θεῷ παρά τήν αὐτῶν γαληνότητα γινομένου μανθάνουσι περί τῆς ἀποστασίας ὑμῶν, καί τῆς τοσαύτης κακουργίας καί ἀγνωμοσύνης, γενέσθαι καλῶς ἔχειν κρινῶ. Οὔτε γάρ παρασιωπήσομαι τοσοῦτον κακόν. Εἰ δέ τό φρικτόν τοῦ Χριστοῦ κατά νοῦν λαμβάνουσαι δικαστήριον, ἐφ᾽ οὗ παρουσίᾳ ἀγγέλων καί ἀρχαγγέλων καί παντός δήμου τῶν κατ᾽ οὐρανόν στρατιῶν, καί πάσης τῆς ἀνθρωπίνης φύσεως, ἡ παρ᾽ ἐμοῦ πρός ὑμᾶς περί τούτου συγκροτηθήσεται δίκη, μεταμελήθητε, καί πρός τόν καλέσαντα πάλιν ὑμᾶς ἐν χάριτι Θεόν ἐπανέλθετε· καί αὐτήν ἤδη τήν ἐμοῦ δωρηθεῖσαν ὑμῖν κτίσιν ἔχειν ὑμᾶς βούλομαι· καί οὐ παύσομαι ἕως τήν παροῦσαν καί πρόσκαιρον ταύτην ζωήν οἰκονομοῦμαι ζῆν, τρόπους ἐπινοῶν εἰς σύστασιν ὑμῶν περισσοτέραν· καί ἐμαυτόν ἀντίλυτρον τῶν ὑμετέρων ψυχῶν οὐκ ἄν παραιτήσομαι δοῦναι, εἴπερ ἀναγκαίως τοῦτο γενέσθαι καλέσοι καιρός. Καί δώσω γε προθύμως πρός τοῦτό με καλοῦντος τοῦ Θεοῦ διά τῆς χάριτος· εἰ μόνον ὑμεῖς ἑαυτάς Χριστῷ τῷ Θεῷ πάλιν ἀποκαταστήσητε· καί τήν γενομένην ὑμῖν ἀπό τοῦ σώματος αὐτοῦ διά τῆς ἐπανόδου, καλῶς ἐξιάσησθε τομήν καί διάστασιν.

***ΙΘ΄- Τοῦ αὐτοῦ πρός Πύῤῥον τόν ὁσιώτατον πρεσβύτερον καί ἡγούμενον.***

Τήν ἁγίαν σου, θεοτίμητε Πάτερ, ἐπιστολήν ἀναγνούς, ὅλον ὅλῳ τῷ Πνεύματι τόν σόν νοῦν ἐπέγνων πεποιωμένον· καί τοσοῦτον τῆς φυσικῆς ἐξεστηκότα διέγνων συνέσεως, ὅσον τῆς θείας καί ὑπέρ τήν φύσιν κατέλαβον σοφίας ἐπειλημμένον. Αὐτόν γάρ σου παρόντα διά τῶν γραμμάτων οἷον ὁρᾷν ἐδόκουν τόν θεόσοφον νοῦν, μόναις ἀστράπτοντα ταῖς ἀκηράτοις ἀκτῖσι τοῦ Πνεύματος· αἷς μεταμορφοῦσθαι πρός τό θειότερον πέφυκεν, ὁ τῷ Πατρί τῶν ὅλων

(592) υἱοθετεῖσθαι καταξιούμενος· καί τοσοῦτόν με τῆς ἐπί τοῖς θείοις δόγμασιν ἀγνοίας λυτρούμενον, ὅσον τό πρίν τῆς ἐπ᾽ αὐτοῖς ἐδόκουν ἀντέχεσθαι γνώσεως. Διό θαυμάσας σου τήν ἐν ὅλοις ἀγχίνοιαν, μόνην ἐκείνην ἀναβοήσας τήν φωνήν ἀπεφθεγξάμην, ἥν πάλαι γυνή τις πρός τόν Κύριον κέκραγε, τῶν αὐτοῦ ῥημάτων καταπλαγεῖσα τήν δύναμιν· Μακαρία ἡ κοιλία ἡ βαστάσασά σε, καί μαστοί οὕς ἐθήλασας. Οὐ μόνον δέ τήν τεκοῦσάν σε μακαρίζω, τίμιε Πάτερ, ὡς τοιούτου μητέρα γενέσθαι καταξιωθεῖσαν· ἀλλά καί τήν συλλαμβάνουσαν, καί κύουσαν ἀεί τόν εὐσεβῆ λόγον καί τίκτουσάν σου διάνοιαν· ὡς τοῦ ὑπέρ φύσιν Λόγου κατά χάριν κοιλίαν ἀποφανθεῖσαν χωρητικήν, διά τήν πρός αὐτόν τόν Λόγον τῆς γνώμης οἰκείωσιν. Καί μήν κατά τάς σάς παγίας ἕξεις τάς ἐκ τῆς σῆς καρδίας ἐκδιδομένας αἷς μαστῶν δίκην κατά τε τήν πρᾶξιν καί τήν θεωρίαν διατρέφεις τόν Λόγον, τῇ χορηγίᾳ τῶν εὐσεβῶν νοημάτων τε καί τρόπων συναυξανόμενον· καί παραδόξως εἰπεῖν, τήν οἰκείαν αὔξησιν τοῦ διατρέφοντος νοῦ ποιούμενον θέωσιν. Τί γάρ ἕτερον εἶχον φθέγξασθαι πρός σέ, τίμιε Πάτερ, τοιούτων γεννήτορα Λόγων γεγενημένον θεώμενος· δι᾽ ὧν, ὡς ἐξ ὅρους τινός τοῦ ὕψους τῆς γνώσεως τήν ἐπί τοῖς θείοις δόγμασι καθάπερ πλάκας θεοχαράκτους διά τοῦ νέου Μεσίτου καί ἐφ᾽ ἡμῖν μεγάλου Μωϋσέως καί ἱερέων ἱερέως, καί τῆς καθ᾽ ὅλην τήν οἰκουμένην ἐξάρχου θείας ἱεροσύνης, κομισθεῖσάν τε καί ἐκδοθεῖσαν κατεμήνυσας ψῆφον· ἥν ἡ ἁγία καί μόνη προσκυνουμένη Τριάς, ὡς δι᾽ ὀργάνου τοῦ ῥηθέντος ὑπηγόρευσεν ἀρχιερέως, καί πρός ὁμόνοιαν πλέον ἐπέδησε τάς Ἐκκλησίας, εἰς οὐδέν θεμένας τήν δόξασαν τοῖς πολλοῖς γεγενῆσθαι κατά τήν Ἀλεξάνδρου πόλιν περί τήν πίστιν καινοτομίαν.

Ταύτην γάρ ὁλοσχερῶς ἡ δοθεῖσα διεσώσατο ψῆφος τήν ἔννοιαν, καθ᾽ ἥν πιστεύειν οἱ θεοφόροι Πατέρες ἡμῶν ταῖς ἁγίαις Ἐκκλησίαις παρέδοσαν· ἕνα καί τόν αὐτόν φάμενοι Θεόν Λόγον καί πρό σαρκός, καί μετά σαρκός· ἥν αὐτός ἑαυτῷ δι᾽ ἡμᾶς ἐψυχωμένην νοερῶς καθ᾽ ὑπόστασιν ἥνωσεν, ἐκ τῆς ἁγίας Θεοτόκου καί Ἀειπαρθένου προσληφθεῖσαν Μαρίας· σπορά δηλαδή τῆς οἰκείας αὐτός γενέσθαι καταξιώσας σαρκώσεως· ἵνα καί ἄνθρωπος ἀληθῶς γένηται· καί δείξῃ κατά τήν ἄσπορον σύλληψιν, καί τήν ἄφθορον γέννησιν τήν φύσιν καινοτομουμένην καί μηδεμίαν τῇ καινοτομίᾳ πάσχουσαν μείωσιν. Θεοῦ γάρ δι᾽ ἀγαθότητα πρός ἀνθρώπους ὑπῆρχεν αὐθαίρετος κένωσις τό μυστήριον, ἀλλ᾽ οὐ θεότητος ἔκπτωσις, ἡ διά σαρκός

ἑκούσιος συγκατάβασις· μεμένηκε γάρ ὅπερ ἦν, καί γενόμενος ὅπερ οὐκ ἦν· ἄτρεπτος γάρ. Καί ὅπερ γέγονε διετήρησε, διαμείνας ὅπερ ὑπῆρχε φιλάνθρωπος γάρ. Δι᾽ ὧν ἐνήργει θεοπρεπῶς, δεικνύς ὅπερ γέγονεν ἀναλλοίωτον· (593) καί δι᾽ ὧν ἔπασχεν ἀνθρωποπρεπῶς, πιστούμενος ὅπερ ἦν μή τρεπόμενον. Ἐνήργει γάρ, τά μέν θεῖα σαρκικῶς, ὅτι δά σαρκός φυσικῆς ἐνεργείας οὐκ ἀμοιρούσης· τά δ᾽ ἀνθρώπινα θε«κῶς, ὅτι κατά θέλησιν ἐξουσιαστικῶς, ἀλλ᾽ οὐ κατά περίστασιν τήν τῶν ἀνθρωπίνων παθημάτων προσίετο πεῖραν. Οὔτε γάρ τά θεῖα θε«κῶς, ὅτι μή γυμνός ὑπῆρχε Θεός· οὔτε τά ἀνθρώπινα σαρκικῶς, ὅτι μή ψιλός ἄνθρωπος ἦν. Διά τοῦτο τά θαύματα δίχα πάθους οὐκ ἦν· καί τά παθήματα χωρίς οὐχ ὑπῆρχε θαύματος· ἀλλά τά μέν, ἵν᾽ εἴπω τολμήσας, οὐκ ἀπαθῆ· τά δέ προδήλως θαυμάσια· καί ἄμφω παράδοξα, ὅτι καί θεῖα [καί ἀνθρώπινα] ὡς ἐξ ἑνός καί τοῦ αὐτοῦ προερχόμενα Θεοῦ Λόγου σεσαρκωμένου, δι᾽ ἀμφοτέρων πιστουμένου πραγματικῶς, τήν τῶν ἐξ ὧν, καί ἅπερ ὑπῆρχεν ἀλήθειαν. Τό γάρ ἔκ τινων ἀσυγχύτως ἑνώσει τῇ κατά σύνοδον φυσικήν ἀποτελούμενον, καί τάς φύσεις ἐξ ὧν συνέστηκεν ἀτρέπτους διατηρεῖ, καί τάς αὐτῶν συστατικάς ἀμειώτως διασώζει δυνάμεις, εἰς ἑνός ἔργου συμπλήρωσιν· εἴτε πάθος, εἴτε θαῦμα τό γινόμενον ἦν, κατά τήν εἰκόνα τοῦ θαυμαστοῦ σου, Πάτερ, καί τῷ μυστηρίῳ τῆς θείας σαρκώσεως προσφυοῦς παραδείγματος, τῆς ἐκπυρωθείσης μαχαίρας, ἧς τήν τομήν ἐπιστάμεθα καυστικήν, καί τήν καῦσιν οἴδαμεν τμητικήν. Πυρός γάρ καί σιδήρου καθ᾽ ὑπόστασιν γέγονε σύνοδος, μηδετέρου τῆς κατά φύσιν διά τήν πρός θάτερον ἕνωσιν ἐκστάντος δυνάμεως· μήτε μήν ἄφετον ταύτην κεκτημένον μετά τήν ἕνωσιν, καί τῆς τοῦ συγκειμένου καί συνυφεστῶτος κεχωρισμένην.

Ταύτην μέν οὖν εὗρον ἐγώ τοῖς ὑμετέροις γράμμασι σοφῶς ἐνυφανθεῖσαν τήν τῶν θείων δογμάτων ἀκρίβειαν, ἧς κατά τήν ἐνοῦσάν μοι περί τό νοεῖν μετρίαν δύναμιν ἐπιστήσας τόν νοῦν, ηὐξάμην ἱκανωθεῖναι ταύτην φυλάξαι, καί τῇ διανοίᾳ κατασχεῖν, ὑπό λήθης τινός μή δεχομένην περιγραφήν. Σύ δέ, θεοτίμητε Πάτερ, συμπάθησόν μοι τῷ σῷ δούλῳ, καί τήν δέουσαν ὡς φιλάνθρωπος παράσχου συγγνώμην, ἀδυνατοῦντι πρός τήν τῶν κεκελευσμένων ἐγχείρησιν. Καί μή μου καταγνῷς ἀπείθειαν· ἀλλά μᾶλλον ἀπόδεξαί με τῆς οἰκείας ἀμαθίας ἐπιγνώμονα γενέσθαι σπουδάζοντα. Μισητόν γάρ τό προπετές, καί πρῶτον τῆς ἐσχάτης ἀγνοίας γέννημα· καθ᾽ ὅ πέφυκεν ἡ τῆς ὑπερηφανίας διαφαίνεσθαι νόσος, ἕξιν δημιουργοῦσα

τοῖς αὐτῇ κατειλημμένοις ἀντίθεον· καί δέξαι μου παντός πάθους καθαράν τήν ἐπί τοῦτο παραίτησιν· καί μή ἀπώσῃ με τούς αὐτούς σοι προβαλλόμενον λόγους, οὕς ἐπί τοῖς τοιούτοις πρός τόν Θεόν Μωϋσῆς πρότερον καί Ἱερεμίας ὕστερον προὐβάλλοντο· ὁ μέν, Δέομαι, Κύριε, (596) λέγων, οὐχ ἱκανός εἰμι πρό τῆς χθές οὐδέ πρό τῆς τρίτης ἡμέρας, οὐδέ ἀφ᾿ οὗ ἤρξω λαλεῖν πρός με· ἰσχνόφωνος καί βραδύγλωσσος ἐγώ εἰμι. Ὁ δέ, Ὁ ὤν, Δέσποτα Κύριε, φάσκων, οὐκ ἐπίσταμαι λαλεῖν, ὅτι νεώτερός εἰμι. Ἐπ᾿ ἀληθείας γάρ ἰσχνόφωνος εἰμι καί βραδύγλωσσος, καί τῆς ἐπί τῷ λαλεῖν τά καλά συνέσεως ἐστερημένος· μήτε τόν νοῦν ἔχων ἐπιβάλλοντα τοῖς θείοις, μήτε τόν κατά προφοράν λόγον, ἐξυπηρετεῖσθαι τῷ μεγέθει τῶν ζητηθέντων δυνάμενον. Νεάζω γάρ ἔτι τοῖς πάθεσι, καί πλεονεκτοῦσαν τόν νόμον τοῦ πνεύματος κέκτημαι τῆς σαρκός τήν ἐπανάστασιν. Ὁπόταν καί εἰ δῶμεν καθ᾿ ὑπόθεσιν μηδέν λείπεσθαί με τῆς ἐν τούτοις δυνάμεως, τίς οὕτω θρασύς ὑπάρχει καί τολμηρός, ὥστε τοῖς οὕτω κατά θείαν ψῆφον ἱεραρχικῶς θεσπισθεῖσιν, ἐπιδιατάττεσθαι; Παρακαλῶ δέ μᾶλλον τιμίοις σου γράμμασιν ὁρισμῷ μοι διασαφῆσαι, τίς ἡ ἐνέργεια, καί ποσαχῶς ἡ ἐνέργεια, καί τί παρά ταύτην ἐπί τό ἐνέργημα· καί τίνα τούτων φαμέν, πρός τε τό ἔργον καί τήν πρᾶξιν τήν διαφοράν, ἵνα ἔχω τῶν γραφέντων γινώσκειν τήν δύναμιν. Οὔπω γάρ ἀκριβῶς ἐπιστῆσαι δεδύνημαι, τίνα καί πῶς λεγομένην ἤ νοουμένην ἐκδέξασθαι χρή τήν μίαν ἐνέργειαν. Οὐχ ἁπλῶς γάρ φωνάς ἀσήμους προφέρομεν, ἀλλ᾿ ἐννοίας ταῖς φωναῖς διασημαίνομεν. Δι᾿ ἥν αἰτίαν, φωνάς μέν πολλάκις παραχωροῦντας εὗρον τούς θεηγόρους Πατέρας, ἐννοίας δέ οὐδαμῶς· ὅτι μή ἐν συλλαβαῖς, ἀλλ᾿ ἐν νοήμασί τε καί πράγμασι τό τῆς σωτηρίας ἡμῶν ὑπάρχει μυστήριον. Τό μέν γάρ ἐποίουν, εἰρήνην φροντίζοντες· τό δέ, ψυχάς τῇ ἀληθείᾳ στηρίζοντες. Καί ταῦτα μέν περί τούτων.

Δέομαι δέ, Πάτερ τίμιε, τῆς σῆς ἁγιότητος, εὐμενῶς τούς τοῦτο τό μέτριον ἐπιφερομένους γράμμα θείους προσδέξασθαι Πατέρας, διά χρείαν λυσιτελοῦσαν τῷ κοινῷ τάγματι τῶν μοναχῶν, ἑαυτούς εἰς τοῦτον πλοῦν ἐπιδεδωκότας· καί πάντα γενέσθαι αὐτοῖς καταδέξασθαι, ὅσα τῆς θείας ἐντολῆς ὁ ἀκριβής βούλεται λόγος, τούς τῶν θείων ἐφιεμένου, καί μονώτατον τοῦ οἰκείου βίου τόν σαρκωθέντα Λόγον ἔχοντας ὑποτίπωσιν. Ἄξιοι γάρ τυγχάνουσι τῆς (597) ὑμετέρας ἐπί τοῦτο σπουδῆς, ὅτι τόν θεῖον ἕλκουσιν ἀμέμπτως τῆς ἀρετῆς τε καί τῆς γνώσεως ζυγόν. Δέδοικα δέ ταῦτα γράφων μή

παῤῥησίας ἀκαίρου καί ἀπειροκαλίας παρά τοῖς οὐκ εἰδόσι σε, Πάτερ, καί τῆς σῆς πεῖραν οὐκ εἰληφόσι συγκαταβάσεως, ὄνειδος ἀπενέγκωμαι· καί λεχθῇ καί περί ἐμοῦ δικαίως, ὅπερ τις τῶν ἔξω τοῦ καθ᾽ ἡμᾶς λόγου σοφῶν ἔφη, θεασάμενος ἐπί τινι φυσηθέντα τινά τῶν ἀπειροκάλων·

Ἐξέμηνε πρός ὕβριν μωρόν, σοφός μειδιάσας.

Ἐν πᾶσιν οὖν, ἅγιε Πάτερ, συγχώρησόν μοι τῷ σῷ δούλῳ, καί ταῖς σαῖς πανιέροις εὐχαῖς ἐξιλέωσόν μοι Χριστόν τόν Θεόν, ὅν διά παντός τῇ τε τοῦ νοῦ καθαρότητι, καί τῇ ἀκριβείᾳ τοῦ βίου θεραπεύεις.

***Κ΄- Τοῦ αὐτοῦ πρός Μαρίνον μονάζοντα.***

Ἐγώ μέν εἰδώς τῶν οἰκείων πλημμελημάτων τό πλῆθος, καί τήν ἐπ᾽ αὐτοῖς ὡς εἰκός διαδεξομένην με κατάκρισιν, μετά τήν ταύτης ἀπόλειψιν τῆς ζωῆς καθορῶν· καί οἷον ἐκεῖνο τό μέγα καί φρικτόν δικαστήριον κατά ψυχήν ἤδη συνηθροισμένον κατανοῶν, ἐφ᾽ οὗπερ κατ' ἀξίαν ἕκαστος ὧν πεπράχαμεν τάς ἀμοιβάς ἀποληψόμεθα· τήν σιωπήν σύνοικον ἔχειν διενοήθην, τῶν ὑπέρ ἐμέ θείων λόγων, ὥς γέ μοι δοκεῖ, παντοίως φειδόμενος, μή πως πλέον κατακριθῶ καί δικαιότερον, ὡς λόγους θεοῦ προφέρων ὑπ᾽ ἐμοῦ τῇ τῶν ἀγαθῶν ἔργων ἀπραξίᾳ νενεκρωμένους, καί διά τοῦτο τοῖς ἀκούουσι τήν ἐν χάριτι ζωήν παρασχεῖν οὐ δυναμένους· καί τούς τῶ ἀρετῶν παραδεῖξαι τρόπους ἐν τῇ πολιτείᾳ μου τοῦ λέγοντος οὐκ ἰσχύοντας· καί γένωμαι τῆς μελλούσης ὑπόδικος ἀπειλῆς, ὡς οὐ μόνον αὐτός ἐν ἐμαυτῷ διά τῶν πονηρῶν μου τρόπων τούς ζωοποιούς τοῦ Θεοῦ καταφονεύσας λόγους, ἀλλά καί τοῖς ἀκούουσι τῆς πρός αὐτούς καταφρονήσεως εἰκόνα ζῶσαν, καί πᾶσι κατάδηλον, τήν ὅλην μου τοῦ βίου πονηράν ἀναστροφήν παρεχόμενος. Ἐγώ μέν οὖν, ὡς εἶπον, ταῦτα καί εἰδώς καί φοβούμενος, τήν περί τό λέειν τε καί γράφειν τούς θείους λόγους προθυμίαν ἀπεσεισάμην, ὧν οὐκ ἔχω τήν ἐργασίαν, διακενῆς τούς ἐπαίνους παρά τῶν ἀκουόντων κομίζεσθαι μεγίστην ἀδικίαν εἶναι κρίνων, καί ζημίαν ὀλέθριον. Ἐπειδή δέ νενίκηκέ μου τῆς σιωπῆς τήν ψῆφον ταῖς πολλαῖς τῶν θείων ἐπῳδαῖς λογισμῶν, ὁ πολύς τήν φρόνησιν, καί πάντα μοι τίμιος ὁ ὁσιώτατος ἡγούμενος, ὅν οὐκ ἠδυνήθην ἀπώσασθαι διά τήν ἐμπρέπουσαν αὐτῷ κατά θείαν σύνεσιν τῶν ἀρετῶν καλλονήν· καί ταύτην ἐβιάσατό με χαράξαι τήν μετρίαν συλλαβήν πρός τήν σήν θεοσέβειαν, μέρη τινά τῶν κατά Θεόν σου κατορθωμάτων ἀφηγησάμενος, καί ὠφελήσας τά μέγιστα·

δεῖν ᾠήθην ἐκεῖνα κατ᾽ ἐπιτομήν εἰπεῖν, ὅσα σοί τε κἀμοί, καί πᾶσι τοῖς ἀκούειν ἐθέλουσι συμφέρον ἐστί καί σωτήριον.

(600) Δαβίδ ὁ μέγας προσήτης καί βασιλεύς, τοῖς ἀγαπᾷν τόν Θεόν προθεμένοις, καί πάντων τῶν ἐπί γῆς τήν ἔνθεον σωτηρίαν προελομένοις, τήν ἀληθῶς γνωστικήν ὁδόν παραδεικνύς τῶν θείων ἀρετῶν, καί τήν ἔμπρακτον τῆς γνώσεως θύραν ὑπανοίγων, φησίν· Ἀρχή σοφίας φόβος Κυρίου· σύνεσις δέ ἀγαθή πᾶσι τοῖς ποιοῦσιν αὐτήν. Εἰ δέ σοφίας ἀρχή καθέστηκεν ὁ φόβος, τέλος δηλαδή σοφίας, ἡ ἀγαθή πέφυκεν εἶναι σύνεσις, τοῖς ποιοῦσιν αὐτήν. Εἰ δέ ταῦτα τοῦτον ἔχει τόν τρόπον, ὅση δύναμις τόν φόβον τοῦ Θεοῦ κτήσασθαι σπουδάσωμεν, καί τήν σύνεσιν τήν ἀγαθήν. Τόν μέν φόβον, ἵνα φύγωμεν τῆς ἁμαρτίας τούς μολυσμούς, τῇ προσδοκίᾳ τῶν αἰωνίων κολάσεων αὐτούς τῆς ψυχῆς ἐκτινάσσοντες· τήν δέ σύνεσιν, ἵνα πάντων ποιηταί τῶν θείων ἐπιστήμονες ἀποδειχθῶμεν θελημάτων. Ὁ γάρ φοβούμενος τάς ἐπί ταῖς παραβάσεσι τῶν θείων ποινάς ἐντολῶν, τοῖς μολύνουσιν αὐτοῦ τήν ψυχήν οὐχ ἁλίσκεται πάθεσιν· καί ὁ τήν σύνεσιν τήν ἀγαθήν ἐνδιαθέτως ἔχων, κατά τόν δέοντα λόγον διακρίνουσαν τῶν αἰωνίων τά πρόσκαιρα, πᾶσι γίνεται τοῖς θείοις κατάκομος ἀγαθοῖς, μηδενί τρόπῳ τήν ἐν αὐτῷ γνῶσιν ἀργεῖν δειχθῆναι παρασκευάζων. Ὡς γάρ ὁ φόβος ἐν τοῖς ἀληθῶς τόν Θεόν φοβουμένοις, τῶν ἀκαθάρτων γίνεται παθῶν ἀναιρέτης· οὕτως καί ἡ σύνεσις τῶν ἀληθῶς συνετῶν, πασῶν γίνεται δημιουργός τῶν ἀρετῶν. Οὐκοῦν φοβηθῶμεν τόν Θεόν, καί μηδέν ὧν μή βούλεται πράξωμεν· καί τήν αὐτοῦ σύνεσιν ἀγαπήσωμεν· καί μηδέν ὧν βούλεται πράττειν καταμελήσωμεν. Μισεῖ γάρ πᾶσαν ἀνομίαν ὁ τόν Θεόν φοβούμενος, καί ἀγαπᾷ πᾶσαν δικαιοσύνην, ὁ τήν ἀγαθήν εἰσοικισάμενος σύνεσιν. Σημαίνει γάρ ὥσπερ τόν φοβούμενον τό πρός τήν ἀνομίαν μῖσος· οὕτως καί ἡ πρός τήν δικαιοσύνην ἀγάπη, κατάδηλον ποιεῖται τόν συνετόν.

Μή τοίνυν κατηφείας ἤθεσι μόνοις τόν φόβον σχηματισώμεθα, μηδέ μέχρι τῶν φαινομένων τρόπων ὑπάρχουσαν τήν εὐλάβειαν δείξωμεν· ἀλλά διαθέσει ψυχῆς, καί ταπεινώσει καρδίας πυκνοῖς κατά τό βάθος στεναγμοῖς κατησφαλισμένης· καί τῇ μάστιγι τῆς τῶν προημαρτημένων μνήμης κατά τήν συνείδησιν ἀφανῶς πληττομένης, καί διά τοῦτο τῇ πρός ἑαυτήν συστολῇ τά τῶν ἄλλων πταίσματα παντελῶς ὁρᾷν οὐκ ἀνεχομένης. Ὁ γάρ μόνοις τοῖς ἤθεσι τόν τοῦ Θεοῦ φόβον ὑποκρινομένος, οὐδέν τοῦ πιθήκου τό σύνολον

διενήνοχεν, ἀνθρώπων ἤθη μιμουμένου καί σχήματα. Τοῦτο γάρ τό ζῶον ἐν τετράποσι, τῆς ἀνθρωπίνης φύσεως πόῤῥω κατά φύσιν διεστηκός, τῇ τῶν ἠθῶν μιμήσει τοῖς θεωμένοις ἄνθρωπος εἶναι δοκεῖ, μηδέν φύσει κεκτημένος ἀνθρώπινον· ὥσπερ καί ὁ τά μέν ἤθη τῶν ἀληθῶς φοβουμένων τόν Κύριον πρός τήν τῶν ὁρώντων ἀπάτην μιμούμενος, τήν δέ τῆς γνώμης διάθεσιν οὐκ ἔχων κατά τό ἴσον ἐκείνοις (601) τῷ θείῳ φόβῳ πεποιωμένην, Σαδδουκαῖός τις ἕτερος ἤ Γραμματεύς, καί ὤν, καί καλούμενος· τό μέν σχῆμα σώζων τῆς εὐλαβείας μετ᾽ εὐπρεπείας τῆς ἔξωθεν· παντελῶς δέ τοῦ πράγματος διά τήν ἀκάθαρτον ἐν τῷ βάθει που κειμένην τῆς ψυχῆς πρός τά πάθη φιλίαν ἀπολειπόμενος.

Μηδέ πάλιν μόνῃ προφορᾷ λόγων πρός κάλλος ἀπεξεσμένων τήν θείαν γνῶσιν ἐπιδειξώμεθα· μηδέ μέχρι ψιλοῦ τοῦ δύνασθαι μόνον λαλεῖν δίχα τοῦ πράττειν, εἶναι τήν ἀγαθήν ὁρισώμεθα σύνεσιν· ἀλλά διαθέσει ψυχῆς κατά τήν πρᾶξιν ταῖς ἀρεταῖς ποιωθείσης, καί διά τοῦτο πράξει μέν τό φέγγος λαμπρυνούσης τῆς γνώσεως· γνώσει δέ τόν τόνον φαιδρυνούσης τῆς πράξεως· ἵνα τῷ κατά τήν ἀγαθήν σύνεσιν πόθῳ τοῦ Θεοῦ συνελθών διά τῶν πραγμάτων ὁ φόβος, τελείαν ἡμῖν τήν θείαν ἐργάσωνται σοφίαν· ἐν μέν τῇ κατά τόν θεῖον φόβον ἀποχῇ τῶν κακῶν ἀρχομένην, ἐν δέ τῇ πράξει τῶν ἐντολῶν κατά τήν ἀγαθήν σύνεσιν τελειουμένην. Ὁ γάρ ἐν μόνῃ ψιλῇ τῇ προφορᾷ τῶν θείων λόγων εἶναι τήν σύνεσιν διοριζόμενος, ἔοικε ψιττακῷ, τούς ἀνθρωπίνους μιμηλευομένῳ λόγους. Τοῦτο γάρ μονώτατον τό ζῶον ἐν τοῖς πτηνοῖς, τούς ἀνθρωπίνους διδασκόμενον ὑποκρίνεται λόγους, μηδέν ἔχων παντελῶς κατά τήν φύσιν ἀνθρώπινον· ὥσπερ καί ὁ μέχρι μόνης τῆς ψιλῆς προφορᾶς, τούς μέν τῶν ἀληθῶς συνετῶν λόγους πρός τήν τῶν ἀκουόντων κατάπληξιν μιμηλευόμενος, τήν δέ τῆς γνώσεως ἕξιν οὐκ ἔχων τῇ πράξει τῶν ἀρετῶν πεποιωμένην, Φαρισαῖος τις ἄλλος ὡς ἀληθῶς, ἤ ψεκτός ἱερεύς καί ὤν καί καλούμενος· τήν μέν σύνεσιν τῇ προφορᾷ μόνῃ τῶν λόγων ὑποκρινόμενος· αὐτῆς δέ τῆς ὄντως ἐν τοῖς ἔργοις ἐχούσης τό εἶναι σοφίας παντελῶς ἀπολειπόμενος· καί διά τοῦτο μέγα φυσῶν, καί τῇ ἀλαζονείᾳ τῆς ὑποτρεφούσης αὐτοῦ τήν κατά νοῦν ὑπερηφανίαν οἰήσεως, κατά τοῦ λόγου τῆς ἀληθείας ἱστάμενος· οὐκ εἰδώς, ὡς ἔοικεν, ὅτι δαιμόνων θεολογία προδήλως, ἡ τῶν ἐπ᾽ αὐτῇ διά φιλοδοξίαν μέγα φυσώντων καθέστηκε δίχα πράξεως γνῶσις·

ἐπιτιμῶντα διαῤῥήδην Ἰησοῦν ἔχουσα, τόν δῆθεν θεολογούμενον, κἄν ὁ τοιοῦτος τῷ πάθει κρατούμενος οὐκ αἰσθάνεται.

Διά τοι τοῦτο φόβῳ φοβηθῶμεν ἡμεῖς τόν Θεόν, καί παντός ῥύπου σαρκός καί πνεύματος ἑαυτούς ἐλευθερώσωμεν, μή συγχωροῦντες, τόν νόμον τῆς σαρκός διά τῆς ἐπαινουμένης τῶν μελῶν νεκρώσεως ἐπαναστῆναι τῷ νόμῳ τοῦ πνεύματος· μηδέ μόνοις τοῖς κατ᾿ ἦθος φαινομένοις τρόποις περιγράψωμεν τοῦ θείου φόβου τήν μεγαλοπρέπειαν· ἀλλά τῆς ἐντός κατά ψυχήν καλῆς διαθέσεως κήρυκα ποιησώμεθα τήν περί τό ἦθος καταστολήν, ἵνα φύγωμεν τήν μέλλουσαν τοῦ πυρός ἀπειλήν· καί τήν σύνεσιν τήν ἀγαθήν τῇ πράξει τῶν ἐντολῶν κατακοσμήσωμεν, ἵνα μή νεκρούς, ὡς κενόδοξοι, περιφέρωμεν λόγους, καί τῆς κατά τήν πρᾶξιν τῶν ἐντολῶν ἐστερημένους ζωῆς· ἀλλ᾿ ἐμπράκτους τούς θείους λόγους (604) ποιήσωμεν, εἰρήνην μετά πάντων διώκοντες καί ἀγάπην· χρηστότητός τε καί πραότητος ἐπιμελούμενοι, καί μακροθυμίας καί τῆς ἐν πᾶσι πρός πάντας ἀνοχῆς· μεθ᾿ ὑπομονῆς τά συμβαίνοντα φέροντες, καί εὐχαριστίας· καί ὡς θεῖα δόγματα [δόματα], τάς θλίψεις ἀκατασείστως δεχόμενοι· μηδέν πρός τούς λόγους τῆς διά τούτων συμφερόντως διεξαγούσης ἡμῶν τήν ζωήν προνοίας ἀντιτείνοντες, ὅπως τύχωμεν τῆς αἰωνίου ζωῆς μετά πάντων τῶν ἁγίων, κατατρυφῶντες τῶν μελλόντων ἀγαθῶν, ἐν τῇ διαμονῇ τῆς τῶν αἰωνίων μακαριότητος, λέγοντος πρός ἡμᾶς ἀκούοντες τοῦ Θεοῦ· Δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τήν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπό καταβολῆς κόσμου· καί εὐφρανθῶμεν ἐκείνων ἀπολαύοντες τῶν ἀποῤῥήτων ἀγαθῶν, Ἅπερ ὀφθαλμός οὐκ εἶδε, καί οὖς οὐκ ἤκουσε, καί ἐπί καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἅ ἡτοίμασεν ὁ Θεός τοῖς ἀγαπῶσιν αὐτόν.

### *ΚΑ΄- Τοῦ αὐτοῦ πρός ἁγιώτατον ἐπίσκοπον Κυδωνίας.*

Αὐτόν ἑαυτῷ τόν Θεόν ἴσον ὕψει τε καί βάθει, δι᾿ εὐσεβοῦς ἐρεύνης τοῦ μυστηρίου τῆς περί ἡμᾶς αὐτοῦ οἰκονομίας διαγνούς ὁ θεοφύλακτός μου δεσπότης, καί θαυμάσας πῶς ὁ ὅρος τῇ ἀοριστίᾳ, τἀναντία καί ἀμιγῆ, περί αὐτόν συναυθέντα, δι᾿ ἀλλήλων ἔσχε τήν δήλωσιν· τῆς μέν ἀπειρίας τῷ ὅρῳ ἀῤῥήτως συνορισθείσης· τοῦ δέ ὅρου ὑπερφυῶς τῇ ἀπειρίᾳ συναπλωθέντος· αὐτόν δέ περί ὅν ταῦτα κατ᾿ ἄμφω ταυτόν ἑαυτῷ, μηδέν τό παράπαν ἑαυτοῦ καθυφέντα κατά τό ἄπειρον, ὡς κατά φύσιν μετά ἀόριστον, κατ᾿ οἰκονομίαν δέ,

ἀκατάληπτον καί ὄντα καί γινωσκόμενον· τό τε ὕψος τῆς θεϊκῆς δόξης ἀδιανόητον ἔχοντα, καί τό βάθος τῆς οἰκονομικῆς συγκαταβάσεως ἀπερίπληπτον, ἐμφρόνως ἑαυτόν κηροῦ δίκην, ὥσπερ σφραγίδι τῷ Θεῷ εὐείκτως ὑπέθηκεν, ὅν δι᾽ ὅλου εἰς τό βάθος ἐντυπωθέντα δεξάμενος, ἀρίδηλον μίμημα τῆς θείας ἑαυτόν κατέστησε μακαριότητος. Σοφῶς γάρ τοῖς θείοις ἑαυτόν ἐναμείψας τρόποις· τῷ μέν ταπεινῷ τῆς φύσεως, δι᾽ ἀρετῆς ἐκέρασε τό τῆς ἀξίας ἀνάστημα· τῷ δέ ὕψει τῆς ἀξίας ἔμπαλιν, διά γνώσεως τήν τῆς φύσεως συνεπῆρε ταπείνωσιν· καί θάτερον θατέρῳ παραδόξως ἐνθεωρεῖσθαι πεποίηκε. Κατ᾽ ἄμφω γάρ ταυτόν ἑαυτῷ, μηδέν ἐν ἀμφοτέροις καθυφέντα σεμνότητος, ἑαυτόν συνετήρησε· δείξας μάλα σαφῶς, δι᾽ ὧν ἀκίβδηλον τήν πρός Θεόν ἐκτήσατο μίμησιν, ὡς τήν ἱερωσύνην ὁ Θεός ἐπί γῆς ἀνθ᾽ ἑαυτοῦ χειροτονήσας προὐβάλετο. Ἐφ᾽ ᾧτε καί σωματικῶς ὁρώμενος, καί τά αὐτοῦ μυστήρια τοῖς ὁρᾷν δυναμένοις μή διαλίπη φαινόμενα.

(605) Διά τοῦτο θεοειδῶς τῷ λόγῳ μετά τῶν τρόπων φερόμενος ὁ ἐμός δεσπότης, πολλήν μοι σωτηρίαν ἐνετεκτήνατο. Ὡς γάρ τούς ἀνθρώπους καταλλαγῆναι τῷ Θεῷ καί Πατρί ὡς πταισθέντας μᾶλλον ἤ πταίσαντας ὁ Κύριος παρεκάλεσε, καθώς μαρτυρεῖ λέγων ὁ θεσπέσιος Παῦλος, Ὑπέρ Χριστοῦ πρεσβεύομεν, ὡς τοῦ Θεοῦ παρακαλοῦντος δι᾽ ἡμῶν. Δεόμεθα ὑπέρ Χριστοῦ, καταλλάγητε τῷ Θεῷ· ἵνα ἐντρέψῃ τῷ μεγέθει τῆς εὐεργεσίας πρός συναίσθησιν ἐλθεῖν τῆς οἰκείας πωρώσεως· οὕτω καί ὁ ἐμός δεσπότης, δι᾽ ἑκουσίου ὑφέσεως, εὐμηχάνως με χειρωσάμενος, τό μαθεῖν δόξαι παρ᾽ ἐμοῦ διά γραμμάτων θελῆσαι, ἅπερ διδάσκειν διά τήν ἀξίαν προβέβληται, κἄν ὀψέ ποτε τῆς οἰκείας ἀμαθίας κατέστησε ἐπιγνώμονα. Ὁμολογῶ οὖν τῷ δεσπότῃ μου τήν χάριν· καί σεμνύνομαι τῷ τρόπῳ δι᾽ οὗ τό νέφος μου τῆς οἰήσεως εὐαφῶς ἀπεώσατο· καί αἰτῶ αὐτόν τοιούτοις καί λόγοις καί τρόποις ῥυθμίζοντα τόν αὐτοῦ δοῦλον μή παύσασθαι.

***ΚΒ΄- Τοῦ αὐτοῦ πρός Αὐξέντιον.***

Εἰ μέν θαῤῥοῦντες τῷ Πνεύματι, καθά ἀλύτως περικειμένην ὑμῖν αὐτοῖς ἔχετε τήν ἀγάπην, μηδενός δεομένην πρός καινισμόν, ἀμελεῖν τῶν πρός τούς φίλους διέγνωτε γραμμάτων, ἐπαινῶ τε τόν νόμον, καί ὑμᾶς ἀποδέχομαι· πιστεύοντας ἐκείνῳ τῆς ἀγάπης τόν θησαυρόν, ἐξ οὗ τε καί εἰς ὅν ἄρχεσθαί τε καί ἀναπαύεσθαι πέφυκεν. Εἰ δέ τοῦ καθήκοντος φιλικοῦ τρόπου κατολιγωροῦντες τοῦ γράφειν δι᾽ ὄκνου

παραιτεῖσθε, τἀναντία ποιεῖν οὐ παύσομαι· φίλους αἰδεῖσθαι διά μέγεθος τῆς κατά κόσμον προλήψεως οὐκ εἰδώς. Εἰ δέ τῶν δύο τοῦ μή γράφειν οὐδέν καθέστηκεν αἴτιον, δέξασθε ἀπόντων, καί δότε προθύμως ἀποῦσιν, ὡς ἐδίδαξεν ἡ φύσις, διά γραμμάτων τήν ἔντευξιν· μᾶλλον δέ, ὡς Θεός τήν φύσιν σοφίσας παρεμυθήσατο. Κεντρίζει γάρ ἠρεμοῦσαν τήν μνήμην, καί διεγείρει νυστάζουσαν, πρός τό ἰδεῖν καί ἀναμάττεσθαι τῶν φιλουμένων τά πρόσωπα, γράμμασι λόγος μορφούμενος· δι᾽ ὧν ὁ πόθος πυρός δίκην σβεσθέντος, ἐκ μικροῦ σπινθῆρος πάλιν ἀναῤῥιπίζεται.

***ΚΓ΄- Τοῦ αὐτοῦ πρός Στέφανον πρεσβύτερον.***

Ἀγάπης ἴδιον ὑπάρχει πνευματικῆς, οὐ μόνον παρόντας εὐεργετεῖν τούς χρῃζοντας, ἀλλά καί ἀπόντας παραμυθεῖσθαι· καί μή συγχωρεῖν τοῖς σώμασι τάς ψυχάς συνδιατέμνεσθαι· μήτε μήν τοῦ λόγου, δι᾽ οὗ τήν εἰκόνα φέρει τοῦ Κτίσαντος ἡ ψυχή, (608) περιγράφεσθαι τόπῳ τήν δύναμιν· ἀλλ᾽ ἤ παρόντας τοῖς ἠγαπημένοις διά φωνῆς κατ᾽ ὀφθαλμούς τά πρέποντα διαλέγεσθαι, ἤ ἀπόντας διά γραμμάτων προσομιλεῖν. Τοῦτον γάρ τόν τρόπον ἡ φύσις κατά Θεοῦ χάριν σοφῶς ἐπενόησε, πρός ἕνωσιν ἀδιάστατον τῶν πολλῷ διεστηκότων ἀλλήλων σωματικῶς τῷ τοπικῷ διαστήματι. Οὕτω γάρ ὁ λόγος συχνότερον ἐνηχούμενος φωνῇ τε καί γράμμασι δυσέκνιπτον μνήμην ἐντίθεται τῇ ψυχῇ, πρός τό διά παντός ὁρᾷν τούς ἀεί κατ᾽ ἀγάπην παρόντας τῷ πνεύματι· καί περιπτύσσεσθαι, καί πάντων ἀνακαλεῖσθαι τῶν λυπηρῶν. Μή τοίνυν ἐπιλάλησθέ μου τοῦ παιδός ὑμῶν καί μαθητοῦ, τίμιοι Πατέρες, ἀλλ᾽ ὡς ἀγάπης ὄντες καί μαθηταί καί διδάσκαλοι, θρέψατε λόγῳ τῶν ἀρετῶν τήν λιμώττουσάν μου ψυχήν· καί φωτίσατέ μου τόν νοῦν ἀγνοίας ζόφῳ πεπιεσμένον, πρός τόν ἀποκείμενον ὑμῖν ἐν οὐρανοῖς ὑπέρ τούτου μισθόν ἀποβλέποντες· κἄν τό γινόμενον τυχόν πρός ὀλίγον ὑμᾶς κρείττονος ἀπάγῃ καί τιμιωτέρας σχολῆς. Οἶδα γάρ, ὡς οὐκ ἴσον πρός εὐδοξίαν, ἀμέσως τε Θεῷ προσομιλεῖν, καί τῶν ἡττόνων συμπαθῶς προνοεῖν. Πλήν οὐδέ τοῦτο τῶν Θεῷ νενομισμένων ἀλλότριον.

***ΚΔ΄. -Τοῦ αὐτοῦ πρός Κωνσταντῖνον σακελλάριον.***

Ἧκε τό τίμιον τοῦ θεοφυλάκτου μου δεσπότου γράμμα μετά τῆς εἰρήνης, καί αὐτόν ὅλον φέρον τοῖς τρόποις φαινόμενον. Τῇ γάρ τῶν λόγων σεμνότητι, πέφυκέ πως ἐμφαίνεσθαι μετά τῆς τῶν τρόπων

ἐπιεικείας καί τῆς ψυχῆς ἡ διάθεσις. Καί ἥσθην ὥσπερ αὐτόν παρόντα δεξάμενος τόν ἐμόν δεσπότην, καί ἠσπασάμην τῷ πνεύματι, καί ὅλον τῷ χωρήματι τῆς καρδίας περιλαβών ἀπεθέμην· καί ἐδόξασα Χριστόν τόν Θεόν ἡμῶν σοφῶς τοῖς ἀνθρώποις ἐμφῦντα τῆς ἀγάπης τόν νόμον· καθ᾽ ὅν ἀλλήλων ἀπεῖναι οὐδέποτε δύνασθαι, κἄν πολλῷ διεστήκασιν ἀλλήλων σωματικῶς τῷ τοπικῷ διαστήματι, οἱ τῶν σπερμάτων τῆς ἀγάπης δεόντως ἐπιμελεῖσθαι γινώσκοντες. Ἀλλ᾽ ἐπειδή εἰρήνης κοσμικῆς εὐαγγέλια τό γράμμα κόμισαν, εἰς χαράν τῆς ψυχῆς τήν λύπην μεθήρμοσε· δέον ἐστίν ἡμᾶς ὑπέρ αὐτῆς εἰκότως τῷ χαρισαμένῳ Θεῷ γενέσθαι πάντως εὐγνώμονας, ἵνα μή φανῶμεν ἀχάριστοι περί τήν εὐποιίαν, κακῶς τόν εὐεργέτην ἀνταμειψάμενοι. Γενησόμεθα δέ πάντως εὐγνώμονες, εἰς δέον τῇ εἰρήνῃ χρησάμενοι, (609) καί τήν πρός τόν κόσμον καί τόν κοσμοκράτορα, κακῶς ἡμῖν ἐνυπάρξασαν ἀθετήσαντες φιλίαν, καί διά τῶν παθῶν πρός τόν Θεόν συνιστάμενον κἄν ὀψέ ποτε καταλύσωμεν πόλεμον· καί σπονδάς ἀλύτους τῆς πρός αὐτόν εἰρήνης ποιήσαντες, ἐν τῇ καταργήσει τοῦ σώματος, τῆς πρός αὐτόν ἔχθρας παυσώμεθα. Ἀδύνατον γάρ ἐστιν ἡμᾶς φιλωθῆναι Θεῷ, διά τῶν παθῶν πρός αὐτόν στασιάζοντας, καί τῷ πονηρῷ τυράννῳ, καί φονευτῇ τῶν ψυχῶν διαβόλῳ διά κακίας δασμοφορεῖν ἀνεχομένους, μή πρότερον δι᾽ ὅλου πολεμωθέντας τῷ πονηρῷ. Μέχρι γάρ τότε τοῦ Θεοῦ καθεστήκαμεν ἐχθροί καί πολέμιοι, κἄν πιστῶν προσηγορίαν ἡμῖν αὐτοῖς περιπλάττωμεν, μέχρις οὗ πάθεσιν ἀτιμίας δουλεύειν βουλώμεθα· καί οὐδέν ὄφελος ἡμῖν ἐκ τῆς κατά κόσμον εἰρήνης λοιπόν περιγεγήσεται, τῆς ψυχῆς κακῶς διακειμένης, καί πρός τόν ἴδιον ποιητήν στασιαζούσης, καί ὑπό τήν αὐτοῦ βασιλείαν γενέσθαι οὐκ ἀνεχομένης· ἔτι μυρίοις πεπραμένης ὠμοῖς δεσπόταις, εἰς κακίαν αὐτήν κατεπείγουσι, καί τήν ἀπώλειαν φέρουσαν ὁδόν τῆς σωζούσης μᾶλλον ἀπατηλῶς αἱρεῖσθαι παρασκευάζουσιν. Ἐπειδάν δέ τῆς τῶν παθῶν μέθης ἐκνήψωμεν, καί τῆς τοῦ διαβόλου πονηρᾶς κατεξαναστῶμεν καί τυραννικῆς βασιλείας, καί τόν αὐτοῦ πικρότατον ζυγόν ἑαυτῶν ἐκτιναξώμεθα· καί κατίδοιμεν ὅσον ἡμᾶς ἡ πρός αὐτόν φιλία κατέφθειρε· τηνικαῦτα δεξόμεθα τοῦ εἰρηνικοῦ καί πράου βασιλέως Χριστοῦ τήν εἰρηνικήν παρουσίαν ἐφ᾽ ἑαυτοῖς ἀοράτως γινομένην· καί ἀνεξόμεθα ὑπό τόν αὐτοῦ γενέσθαι ζυγόν, νόμοις ἀληθείας τάσσοντος ἡμᾶς καί ῥυθμίζοντος· καί τήν πρός αὐτόν στείλασθαι ἑκουσίως φιλίαν καταδεξόμεθα, φόρους αὐτῷ καί δασμούς ἑκουσίως προσάγοντες,

τούς διά τῶν ἀρετῶν κατ᾽ ἐντολήν τελεσφορουμένους ἐν ἡμῖν τῆς δικαιοσύνης καρπούς. Οἷς ὑπέρ τῆς ἡμῶν σωτηρίας ἡδόμενος ὁ μόνος ἀπροσδεής, πάντα ἡμῖν χαρίσηται ὡς ἀψευδής, ὅσα ἡμῖν ἐπηγγείλατο. Τὰ δέ ἐστιν, Ἅ ὀφθαλμός οὐκ εἶδε, καί οὖς οὐκ ἤκουσε, καί ἐπί καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἅ ἡτοίμασεν ὁ Θεός τοῖς ἀγαπῶσιν αὐτόν. Εἰς τοῦτο γάρ ἡμᾶς καί πεποίηκεν, ἵνα γενώμεθα θείας κοινωνοί φύσεως, καί τῆς αὐτοῦ ἀϊδιότητος μέτοχοι· καί φανῶμεν αὐτῷ ὅμοιοι κατά τήν ἐκ χάριτος θέωσιν· δι᾽ ἥν πᾶσά τε τῶν ὄντων ἡ σύστασίς ἐστι καί ἡ διαμονή, καί ἡ τῶν ὄντων παραγωγή καί γένεσις.

Γενώμεια τοίνυν ἄξιοι τῆς εἰρήνης, δέσποτά μου εὐλογημένε, τά ἐν ἡμῖν στασιάζοντα πρός Θεόν πάθη ἑαυτῶν ἀνδρικῶς περιελόντες. Τήξωμεν ὅση δύναμις τό σῶμα, δι᾽ οὗ σφριγῶντος ἡ τοῦ διαβόλου πρός τήν ψυχήν γένεσθαι εἴσοδος. Ἀναγνώσμασι (612) θείοις πλανώμενον στήσωμεν τόν νοῦν, καί πρός τόν Θεόν πάλιν ἐπαναγάγωμεν. Ἐγκρατείας τόνοις καί ἀγρυπνίας, κατ᾽ ὄρεξιν εἰς πολλά φερομένην ἀτάκτως τήν ἐπιθυμίαν, σωφρόντως καταστείλωμεν. Εὐχαῖς καί δεήσεσι καί ἐλεημοσύναις, τόν θυμόν ζέοντα καί ταρασσόμενον, σοφῶς κατευνάσωμεν. Φόβῳ Θεοῦ καί ἀπειλῇ τῶν μελλόντων, ἀκολάστως κινούμενά τε καί ἐνεργοῦντα τά αἰσθητήρια, παύσωμεν. Ἐπί πᾶσι, καί πρό πάντων μνησθῶμεν τοῦ θανάτου, καί τῆς φοβερᾶς τῆς ψυχῆς ἐκ τοῦ σώματος ἐξόδου· καί πῶς ὑπαντῶσιν αὐτῇ κατά τόν ἀέρα τοῦτον αἱ ἀρχαί καί ἐξουσίαι καί δυνάμεις τοῦ σκότους· πᾶσα πρός ἑαυτήν διέλκουσά τε καί κατατέμνουσα, κατ᾽ ἀναλογίαν τῆς σχετικῶς πρός αὐτήν διά τοῦ μέσου πάθους γενομένης κακῆς οἰκειότητος. Μνησθῶμεν τῆς ἐν τῷ ᾅδη κατά συνείδησιν γινομένης τῇ ψυχῇ πικρᾶς ὀδύνης, ἐπί τῇ μνήμῃ τῶν αὐτῇ κακῶς διά τοῦ σώματος πεπραγμένων. Μνησθῶμεν τῆς τελευταίας τοῦ παντός κόσμου συντελείας, καθ᾽ ἥν τῷ πολλῷ καί ἀπλέτῳ πυρί τό πᾶν καταφλέγεται τοῦτο· στοιχείων φοβερῶς κλονουμένων τῇ τήξει τῆς καύσεως· οὐρανοῦ τῇ ἑλίξει [καί] φόβῳ κατ᾽ ἔπειξιν φεύγοντος ἀπό προσώπου πυρός τοῦ προκαθείροντος τήν κτίσιν διά τήν τοῦ Καθαροῦ παρουσίαν· θαλάσσης ἀφανιζομένης, γῆς βρασσομένης, καί ἐκ πυθμένος, καί τάς ἀπείρους τῶν ἀνθρωπίνων σωμάτων ἀμειώτως παρεχούσης μυριάδας· μνησθῶμεν τῆς φρικτῆς ὥρας τῆς ἀπολογίας τῆς ἐπί τοῦ φοβεροῦ καί φρικτοῦ βήματος τοῦ Χριστοῦ γενησομένης· ἡνίκα πᾶσα ἡ δύναμις τῶν οὐρανῶν, καί πᾶσα ἡ ἀπό καταβολῆς τοῦ αἰῶνος κτίσις τῶν ἀνθρώπων ἐφορᾷ τά ἑκάστῳ

προσόντα, μέχρι καί ψιλοῦ ἐνθυμήματος· ἡνίκα τούς μέν, διά τήν τῶν ἔργων λαμπρότητα τό ἄφραστον φῶς διαδέξηται· καί ἡ τῆς ἁγίας καί μακαρίας Τριάδος ἔλλαμψις τρανώτερον ἐπιλαμπούσης, τοῖς ὁρᾷν καί ὑποδέχεσθαι διά καθαρότητα ψυχῆς δυναμένοις· τούς δέ διά τήν τῶν ἔργων ἀτοπίαν τό σκότος ὑποδέξεται τό ἐξώτερον, καί ὁ ἀκοίμητος σκώληξ, καί τό πῦρ τῆς γεέννης τό ἄσβεστον· καί τό πάντων βαρύτατον, ἡ ἐν τῷ συνειδότι αἰσχύνη πέρας οὐκ ἔχουσα. Μνησθῶμεν τούτων ἁπάντων ἵνα τῶν μέν γενώμεθα ἄξιοι τῶν, δέ πεῖραν λαβεῖν μή κατακριθῶμεν· καί γενώμεθα ἑαυτῶν καί τοῦ Θεοῦ, μᾶλλον δέ μόνου καί ὅλου Θεοῦ, καί ὅλοι· μηδέν ἐπίγειον ἐν ἡμῖν αὐτοῖς φέροντες, ἵνα Θεῷ πλησιάσωμεν, καί θεοί γενώμεθα, ἐκ Θεοῦ τό θεοί εἶναι λαβόντες. Οὕτω γάρ τιμᾶται τά θεῖα δωρήματα, καί ἡ τῆς θείας εἰρήνης φιλοφρονεῖται παρουσία. Καί ταῦτα μέν περί τούτων. Ὁ δέ Θεός τῆς εἰρήνης ὁ καταλλάξας ἡμᾶς ἑαυτῷ διά τοῦ σταυροῦ, καί ἐξαγοράσας τῷ ἰδίῳ αἵματι τῆς ἐξουσίας τοῦ σκότους αὐτός τήν εἰρήνην αὐτοῦ τήν ὑπερέχουσαν πάντα (613) νοῦν χαρίσηται τῷ εὐλογημένῳ μου δεσπότῃ, καί ἀξιώσαι αὐτόν τῆς ἐπουρανίου αὐτοῦ βασιλείας· ἔνθα πάντων τῶν εὐφραινομένων ἡ κατοικία, καί ὁ τῶν ἑορταζόντων χορός.

***ΚΕ΄- Τοῦ αὐτοῦ πρός Κόνωνα πρεσβύτερον καί ἡγούμενον.***

Πιστεύω καθώς παρέλαβον καί ἐδιδάχθην, ὅτι ὁ Θεός ἀγάπη ἐστί· καί ὅτι καθώς αὐτός εἷς ἐστι, μηδέποτε τοῦ εἷς εἶναι παυόμενος, οὕτω τούς κατά τήν αὐτοῦ ἀγάπης ζῶντας, ἕνα ποιεῖ, καί μίαν αὐτοῖς χαρίζεται καρδίαν καί ψυχήν, κἄν πολλοί τύχοιεν ὄντες· ἵνα ὡς μίαν ψυχή, ἔχοντες, τάς ἀλλήλων ἐπιγινώσκωσι καρδίας, καί μή κάμνωσι τῇ ἀγνοίᾳ ἐρευνῶντες περί τῶν ἀδήλων, στοχαζόμενος ἕκαστος τήν ἐφ᾽ ἑαυτῷ τοῦ πέλας διάθεσιν. Διά τοῦτο πιστεύων τῇ χάριτι τοῦ Χριστοῦ τῇ ἐν σοί κινουμένῃ, ἅγιε Πάτερ, ὅτι οὐδέν ἀγνοεῖς τῶν ἐν τῇ ἐμῇ καρδίᾳ ὥσπερ ἴσως, κἄν τολμηρόν εἰπεῖν, οὔτε ἐγώ τῶν ἐν σοί, θαῤῥῶ παραιτήσασθαι τέως κατά τό παρόν τήν πρός ὑμᾶς ἄφιξιν, εἰδώς ὅτι οὐ παρακοῆς τήν παραίτησιν εἶναι πιστεύετε, ἀλλά πάθους σωματικοῦ βίᾳ με κωλύοντος τῆς ὁδοῦ, καί τό πρόθυμον τῆς ψυχῆς εἰς ἔργον προελθεῖν μή συγχωροῦντος. Ἀλλά καί ἀπών τῷ σώματι διά τοῦ παρόντος γράμματος, ὁ ἀεί παρών τῷ πνεύματι, καί μηδέποτε ὑμῶν κατά ψυχήν χωριζόμενος, ἀσπάζομαί σε τόν ἐμόν κατά Θεόν πατέρα καί προστάτην, καί τῆς ἐμῆς ἐπιμελητήν σωτηρίας, καί τήν ἁγίαν σου,

καί τῆς Χριστοῦ βασιλείας ἀξίαν ποίμνην· καί παρακαλῶ δεήσεις ὑπέρ ἐμοῦ ποιεῖσθαι πρός Κύριον, ἵνα ζῶσαν καί ἔμπρακτον τήν εἰς αὐτόν πίστιν ἀπενέγκωμαι, μή νεκρωθεῖσαν τοῖς πάθεσιν, ἀλλά τήν δύναμιν ἔχουσαν τοῦ τε σταυροῦ καί τοῦ θανάτου, καί τῆς ταφῆς καί τῆς ἀναστάσεως αὐτοῦ· τοῦ μέν σταυροῦ, κατά τήν ἀπραξίαν τῆς ἁμαρτίας· τοῦ δέ θανάτου, κατά τήν πληρεστάτην ἀποβολήν τῆς κακίας· τῆς δέ ταφῆς κατά τήν ἀπόθεσιν τῆς κατά ψυχήν περί τά αἰσθητά φαντασίας· τῆς δέ ἀναστάσεως, κατά τόν πλοῦτον τῶν ἀρετῶν, καί τήν περιουσίαν τῆς αὐτοῦ ἐπιγνώσεως ἀληθοῦς, καί τήν εἰς ὕψος τῆς διανοίας ἀπό τῶν φθειρομένων ἔγερσιν, ἵνα γένωμαι σύσσωμος αὐτοῦ καί σύμψυχος. Καί ἁπλῶς εἰπεῖν, κατά τήν αὐτοῦ ἐπαγγελίαν, κατά πάντα ὅμοιος, χωρίς τῆς πρός αὐτόν κατά τήν φύσιν ταυτότητος· ἵνα μή τήν δοθεῖσάν μοι παρ᾽ αὐτοῦ διά τῶν εἰρημένων ζωήν νεκρώσας, τοῖς ἔργοις τῆς ἀτιμίας, τό κρῖμα δικαίως σχῶ τῶν ἀποκτεινάντων τήν ἑαυτῶν ζωήν, τόν Κύριον ἡμῶν τόν Ἰησοῦν τόν Χριστόν. Φοβερόν γάρ ὄντως, καί πάσης κατακρίσεως ὑπερέκεινα, τό τήν δοθεῖσαν ἡμῖν παρά Θεοῦ κατά δωρεάν τοῦ ἁγίου Πνεύματος ἑκουσίως νεκρῶσαι ζωήν, διά τῆς πρός τά φθειρόμενα ἀγάπης. Καί ἴσασι πάντως τοῦτον τόν φόβον, οἱ τήν ἀλήθειαν τῆς φιλαυτίας προτιμᾷν μελετήσαντες.

***Κστ΄. (616) - Τοῦ αὐτοῦ πρός Θαλάσσιον πρεσβύτερον ἐρωτήσαντα, πῶς ἔνιοι τῶν ἐν τοῖς ἔθνεσι βασιλέων, ὑπέρ ὀργῆς θεηλάτου ἐπικειμένης τῷ ὑπηκόῳ πλήθει κατέθυον τέκνα καί πρεσγενεῖς, καί ἐπαύετο ἡ ὀργή, καθώς πολλοῖς τῶν ἀρχαίων ἱστόρηται.***

Καί Ἕλλησιν ὁ Θεός συνεχώρει χρηματίζεσθαι, δι᾽ ὧν ἑαυτοῖς τήν τῶν μελλόντων πρόγνωσιν, καί τήν τῶν λυπούντων ἀπαλλαγήν ἐπενόησαν τρόπων· καί ἐδίδου πολλάκις κατ᾽ ἐλπίδας αὐτοῖς ἐκβαίνειν τά πράγματα, πᾶσι προοδοποιῶν κατά πρόνοιαν, καθώς ἕκαστος ἠδύνατο δέξασθαι, τήν τοῦ μέλλοντος μεγάλου μυστηρίου παραδοχήν. Εἰ γάρ φιλοστοργία τῶν ἀρχόντων πρός τούς ἀρχομένους δι᾽ ἔργου προβαίνουσα, ὅλον ὑφήρπασε τῆς ἐπικειμένης ἀνάγκης τό ὑπήκοον· οὐ ξένον οὐδέ ἄπιστον, εἰ ὁ φύσει φιλάνθρωπος, καί μόνος Δημιουργός καί Βασιλεύς τῶν ἀνθρώπων, τόν αὐτοῦ Υἱόν ὑπέρ πάντων τῶν ἀνθρώπων εἰς θάνατον, κατ᾽ οἰκονομίαν διά σαρκός προέσχετο, ἵνα τῶν κατεχόντων λυτρώσηται κακῶν. Ἀμέλει τῶν

βασιλέων Ἰσραήλ καί Ἰούδα κατά τῶν Μωαβιτῶν ἐπιστρατευσάντων ἐπί τοῦ ἁγίου Ἐλισσαίου τοῦ προφήτου, καί μετά μεγάλην νίκην μελλόντων καί αὐτήν πᾶσαν τῆς βασιλείας πορθῆσαι τήν πόλιν, λαβών κατά τό εἰθισμένον, ὡς ἔοικεν, ἔθνεσιν, ὁ τῆς χώρας βασιλεύς τόν υἱόν αὐτοῦ, κατ' ὀφθαλμούς τῶν βασιλέων ἐπί τοῦ τείχους κατέθυσε·καί τούτῳ τῷ τρόπῳ, τούς μέν βασιλεῖς ἱλεώσατο, καί ἔπεισεν ἀποστραφῆναι τῆς κατ᾽ αὐτοῦ διεσκευασμένης (617) ὀργῆς, τούς δέ ὑπηκόους διεσώσατο. Τοῖς μέν οὖν Ἕλλησι τά ἐξ αὐτονομίας ἐπιτελεῖν συγχωρῶν ὁ Θεός, εἰς τήν τοῦ μεγάλου μυστηρίου παραδοχήν σοφῶς ἐσφετερίζετο· τῷ δέ Ἰσραηλίτῃ λαῷ νόμον διδούς, δι᾽ ὅλου τό μέλλον διετύπου μυστήριον. Ὅθεν μετά τό φανῆναι, καί κατ᾽ ἐνέργειαν γενέσθαι τό τῆς ἡμῶν σωτηρίας μυστήριον, ταῦτα κἀκεῖνα ἐξ Ἐθνῶν καί Ἰουδαίων κατήργησεν, ὅσα πρό τούτου δέδωκεν, ἤ γίνεσθαι συνεχώρησεν πρός τήν τοῦ μέλλοντος διατύπωσιν. Ἐξ αὐτοῦ γάρ, καί δι᾽ αὐτοῦ, καί εἰς αὐτόν τά πάντα, ὅσα γέγονεν ἤ γενήσεται, κατά πάντα καιρόν ἤ τρόπον· τά μέν, κατ᾽ εὐδοκίαν· τά δέ, κατ᾽ οἰκονομίαν· τά δέ, κατά συγχώρησιν. Οὐκ ἔστιν οὖν μῦθος τό τοῖς ἀρχαίοις μνημονευόμενον· ἀλλά γέγονεν ἀληθῶς, καί ἐπηκολούθησεν αὐτῷ, τό ἐφ᾽ ᾧ γέγονεν ἀλέξημα. Τό δέ κατά λεπτόν περί τῶν γραφέντων, σύν Θεῷ παρ᾽ ὑμῖν γινόμενος ἅμα γυμνάζωμεν. Πλήν ὁ γνούς πῶς καί ὄφεως σάρκες δύνανται θεραπεύειν διά τέχνης νοσοῦντας, δέξεται πιστῶς τῆς θείας προνοίας τήν μέθοδον.

***ΚΖ΄- Τοῦ αὐτοῦ πρός Ἰωάννην κουβικουλάριον.***

Οἱ μέν κατά κόσμον, τήν πρός ἀλλήλους ἀγάπην στησάμενοι, τῆς ἀλλήλων χρῄζουσι σωματικῆς παρουσίας πρός τήν ταύτης συντήρησιν, διά τήν λήθην τήν καταμαραίνουσαν φυσικῶς πάντα τόν περί μόνα τά σώματα συνιστάμενον πόθον· ᾧ συγκατασβέννυσθαι πέφυκεν ἡ μνήμη τῶν οὕτω πρός ἀλλήλου διακειμένων. Ἔστι δέ ὅτι καί αὐτό τοῦτο τό συντηρεῖν δύνασθαι δοκοῦν τήν κατά κόσμον πρός ἀλλήλους σχέσιν, διίστησι κόρος ἐπιγενόμενος, καί ὅλην τήν προλαβοῦσαν ἀφανίζων διάθεσιν. Καί ἐπίλειψις δέ τινος πολλάκις τῶν ταύτης ποριστικῶν αἰτιῶν, ἤ καί μικρά τις παρεμπεσοῦσα πρόφασις, ταχεῖαν ποιεῖται τῆς οὕτω συνισταμένης ἀγάπης τήν εἰς μῖσος περιτροπήν. Οἱ δέ κατά Θεόν τῷ δεσμῷ τῆς ἀγάπης ἀλλήλοις ἀλύτως καταδεθέντες, καί σύν ἀλλήλοις ὄντες, καί ἀλλήλων ἀπόντες,

μᾶλλον τόν ταύτης δεσμόν ἐπιτείνουσι· διά Θεόν ταύτην ἐν ἑαυτοῖς ἔχοντες, τόν καί ἀγάπην ὄντα, καί τήν τοῦ ἀγαπᾷν δύνασθαι τοῖς ἀξίοις παρεχόμενον δύναμιν· καί μάλα γε, καθάπερ οἶμαι, δικαίως. Τοῖς γάρ κατά φύσιν ῥευστοῖς συναποῤῥεῖν πέφυκε καί ἡ τῶν κατ᾽ αὐτά πρός ἀλλήλους διακειμένων διάθεσιν· τοῖς δέ σταθεροῖς καί ἀεί ὡσαύτως ἔχουσιν, ἀκλόνητος παντάπασι καί ἀτίνακτος συνδιαμένειν εἴωθε, καί ἡ τῶν κατ᾽ αὐτά πρός ἀλλήλους διακειμένων στοργή· τοσοῦτον αὐτοῖς ἐπιτείνουσα τόν εἰς ἀλλήλους πόθον πρός τό ἀόριστον, ὅσον ὁ ταύτης τῆς σχέσεως αἴτιος πρός ἑαυτόν ἕλκειν τούς ἀλλήλων ἠρτημένους τῷ πνεύματι πέφυκε Θεός.

(620) Κατά τοῦτον τοίνυν τόν τρόπον ἀγαπῶν σε, λίαν ἠγαπημένε, διά παντός ἀχώριστον ἔχω συνόντα κατά ψυχήν, εἰς βάθος τετυπωμένον τῷ πνεύματι, κἄν πολύ τοῦ χρόνου μῆκός ἐστι, καί μέγα τό διαμέσου τῶν τόπων διάστημα, μηδέποτε τοῦ βλέπειν νοητῶς καί ἀσπάζεσθαι παυόμενος. Ὑφ᾽ οὗ κατά τό ἴσον, εἰ μή καί μᾶλλον ἀγαπᾶσθαι πιστεύων, ἀόκνως περί ὧν χρεία γράφειν οὐ παραιτοῦμαι, μίαν ἀμφοτέρων ἡμῶν γεγενῆσθαι ψυχήν γινώσκων διά τοῦ πνεύματος. καί οἶδα ὅτι οὐ νομίζεις ὑβρίζεσθαι τοῦ ἀκούων, τήν πρός ἀνθρώπους τοῦ Θεοῦ φοβεράν, καί ὑπέρ νοῦν καί λόγον συγκατάβασιν λογιζόμενος. Δέχου τοίνυν τόν τήν παροῦσαν ἐπιφερόμενον μετρίαν συλλαβήν εὐμενῶς, καί γενοῦ αὐτῷ πάντα ἅπερ ὁ τάς ἀλλήλων ἐπιμερίζεσθαι συμφοράς τοῖς ἀνθρώποις ἐνομοθέτησε· καί τοσοῦτον οἰκειώσασθαι τόν πέλας, ὅσον μή ἄλλον ἐκεῖνον νομίζεσθαιι, κατά τήν ἀντιδοθεῖσαν τῶν εἰς ἀλλήλους μεταποιηθέντων διάθεσιν. Οὐ γάρ μόνον χαίρειν μετά χαιρόντων, ἀλλά καί κλαίειν μετά κλαιόντων· καί οὐχ ἁπλῶς ἀγαπᾷν, ἀλλ᾽ ὡς ἑαυτόν τόν πλησίον, ὁ θεῖος διαγορεύει λόγος· ἵνα μή λέγω τήν καινήν ἐντολήν, τήν καί αὐτάς ὑπέρ ἀλλήλων ἀγάπης χάριν, ἡνίκα καιρός ἐστιν ἀγωνίζεσθαι, τάς ψυχάς τιθέναι προστάσσουσαν· ἥν ὁ δούς ἔργῳ πεπλήρωκε Κύριος, ὑπέρ ἡμῶν θεῖναι τήν ἑαυτοῦ ψυχήν μή παραιτησάμενος· ἡμῖν ὑποτύπωσιν τελείας εὐαρεστήσεως, καθ᾽ ἥν ὁ τῆς φιλαυτίας ἠρέμα κατασβέννυται νόμος, ὁ κατ᾽ ἀρχάς δι᾽ ἡδονῆς ἡμᾶς ἀπατηλῶς Θεοῦ καί ἀλλήλων ἀπαγαγών· καί ἀνθ᾽ ἑνός Θεοῦ, πολλούς εἶναι ἤ οὐδένα τό σύνολον νομισθῆναι διδάξας, παντελῶς τήν τοῦ ἐν ἡμῖν λόγου πρός τήν σάρκα κατέραξε δύναμιν, καί εἰς πολλάς τήν μίαν φύσιν κατατεμών μοίρας, ὑπέρ ἡδονῆς κατ᾽ ἀλλήλων τήν τοῦ ἐν ἡμῖν θυμοῦ δύναμιν ἐθηρίωσε. Γενοῦ τοίνυν, ὡς

εἶπον, πάντα τῷ χρῄζοντι τῆς σῆς ἐπικουρίας, ἵνα τοιοῦτον εὕροις τόν Θεόν σοι γινόμενον, τόν πάντα πᾶσι γίνεσθαι διά φιλανθρωπίαν καταδεχόμενον.

***ΚΗ΄- Τοῦ αὐτοῦ πρός Κυρισίκιον ἐπίσκοπον.***

Τῆς θείας ἐπί γῆς κατά τήν δοθεῖσά σοι χάριν (621) τῆς ἀρχιερωσύνης, τίμιε Πάτερ, μιμητής εἶναι λαχών ἀγαθότητος, οὐδένα τῶν χαρακτηριζόντων αὐτήν τρόπων ἀπλήρωτος εἴασας· ἀλλά πάντας ἀλλήλοις ἐφεξῆς συνομαρτοῦντας ἔχων, τῷ ἄνωθεν ἐξυφασμένῳ διά τοῦ Πνεύματος χιτῶνι τῶν ἀρετῶν ἐσπούδασας καλλωπίσαι τό τῆς ἀρχιερωσύνης μυστήριον· ὅντινα χιτῶνα σχίσαι οὐδέποτε δύνανται, οὔτε πλήθει πειρασμῶν, ὑμᾶς σταυροῦντες οἱ δαίμονες. Σπούδασον οὖν τά διεσκορπισμένα τέκνα τοῦ Θεοῦ συναγαγεῖν εἰς ἕν. Χαρακτήρ γάρ καί τοῦτο τῆς θείας ἐστίν ἀγαθότητος· καί ὡς κεφαλή τοῦ τιμίου σώματος τῆς ἁγίας τοῦ Θεοῦ Ἐκκλησίας γενόμενος, τά μέλη συναρμολόγησον ἀλλήλοις διά τῆς ἀρχιτεκτονίας τοῦ Πνεύματος· καί κάλεσον φωνῇ μεγάλῃ ὡς κῆρυξ τῶν θείων διδιαγμάτων καταστάς, τούς τε μακράν, και τούς ἐγγύς· καί ἐν ἑαυτῷ κατάδησον τῷ ἀλύτῳ δεσμῷ τῆς ἀγάπης τοῦ Πνεύματος· εἴπερ μέντοι ἀπέδρα, καί παντελῶς ἐξηφάνισται ἡ τῶν ἐχθρῶν προσδοκία· δι᾽ ἥν τοσοῦτον τῆς ἐνεγκούσης ἀπεξενώθησαν· ἵνα καί σοί ἐξόν ᾖ χριστοπρεπῶς λέγειν· Ἰδού ἐγώ, καί τά παιδία ἅ μοι ἔδωκεν ὁ Θεός. Ἀλλ᾽ ἀξίωσον τόν σόν ταπεινόν καί ἀνάξιον δοῦλον καί ἱκέτην περί τούτου τιμίων σου συλλαβῶν, ἅγιε Πάτερ· καί δι᾽ εὐχῶν παραθέσθαι τῷ Θεῷ προσφέρων θυσίαν αἰνέσεως μή ἀπαξιώσῃς.

***ΚΘ΄- Τοῦ αὐτοῦ πρός τόν αὐτόν.***

Ὁ μέν Θεός ζητῶν κατῆλθεν ἐξ οὐρανοῦ, καί ποθῶν τό πρόβατον ἐνεδύσατο· καί οὕτως σώσας τό πλανώμενον, πρός τά σύννομα τῶν ὤμων ἐπιθείς, συμπαθῶς ἐπανήγαγε. Σύ δέ, πανάγιε Πάτερ καί ποιμήν, μόνον Πνεύματος ἁγίου πληρώσας τῆς διδασκαλίας τόν δόνακα, πρός ἑαυτόν ἐπανήγαγες πλήρη, τήν ἀκουσίως μέν τῆς πατρίδος ἀποφοιτήσασαν ἀγέλην τῶν λογικῶν προβάτων, ἑκουσίως δέ προστρέχουσαν τῇ φωνῇ σου τοῦ καλοῦ ποιμένος καί ἐπιστήμονος, ὡς τελείαν διάγνωσιν ἔχουσαν τοῦ συμφέροντος. Οὐ γάρ πλανηθεῖσα τά μακρά διεπέρασε πελάγη, τῆς θείας κατολιγωρήσασα νομῆς· ἀσφαλείας δέ χάριν σωστικῆς τῶν κατά ψυχήν θείων ἀναθημάτων.

Ἀλλά δέξαι ποίμνην, οὐ μόνον ἀνεπίβατον λύκοις διαμείνασαν, ἀλλά καί λύκων ἀναιρετικήν γενομένην, καί πολλοῖς πλουτοῦσαν τοῖς κατά ψυχήν ἀγαθοῖς· Καί ἔντεινον, καί κατευοδοῦ, καί βασίλευε, ἕνεκεν ἀληθείας καί πραότητος καί δικαιοσύνης· ὡς τῶν κατ᾽ εὐσέβειαν θείων δογμάτων διδάσκαλος, καί βίου καθαροῦ, καί σεμνῆς (624) πολιτείας ὑφηγητής, καί τοῖς ἐν πᾶσιν ὀρθῆς διακρίσεως νομοθέτης· προσλαβόμενος μάλιστα μετά τῆς εἰρημένης ἱερᾶς ποίμνης, καί τόν ἡγιασμένος κύριον ἀββᾶν Γεώργιον τόν πρεσβύτερον, ἄνθρωπον ἱερόν, ἴσον τῷ λόγῳ κεκτημένον τόν βίον· καί δι᾽ ἀμφοτέρων ὄντα τῆς πονηρᾶς καθαιρέτην δυνάμεως. Ἀλλ᾽ ἐπειδή μεγάλῃ κατεπόθην λύπῃ μή φέρων τήν τούτων διάζευξιν, ἤ κἀμέ προσλάβετε, καί ὑπό τάς ὑμετέρας καταπαύετε πτέρυγας· ἤ στηρίξατε δι᾽ εὐχῶν πρός τό γενναίως φέρειν τήν ἐπί τῷ χωρισμῷ τῶν φιλτάτων ὀδύνην.

***Λ΄- Τοῦ αὐτοῦ πρός Ἰωάννην ἐπίσκοπον.***

Φασίν οἱ τήν τῶν ὄντων φύσιν λογικῶς διασκεψάμενοι, παντός ἑλκτικήν εἶναι τοῦ ὑποκειμένου τήν τοῦ πυρός δύναμιν· ᾧ παραβάλοντες συμβολικῶς τόν Θεόν, οἱ τῶν θείων ἐξηγηταί μυστηρίων, ἑλκτικόν καί αὐτόν εἶναί φασιν πάντων τῶν βουλεμένων τοῖς αὐτοῦ πείθεσθαι νόμοις, καί τό ζῆν ὁσίως ἀνεχομένων ἀσπάζεσθαι· πρός ὅν, ὥσπερ ἐν εἰκόνι γραφήν εὐφυῶς τήν μίμησιν ἔχουσαν ὑπάρχειν λέγοντες τήν ἱερωσύνην, καί αὐτήν τῷ ἴσῳ κατά τήν χάριν συμπαθείας νόμῳ, πάντων ἑλκτικήν εἶναι τῶν ὑπό τήν αὐτήν φύσιν διαγορεύουσι. Ταύτην οὖν καί αὐτός, ἅγιε Πάτερ, ἐπί γῆς τοῦ Θεοῦ εἰκόνα ἔχειν λαχών, κάλεσον πρός ἑαυτόν συμπαθείας τρόποις καί λόγοις, τούς πρός σέ ποθοῦντας ἐπανελθεῖν, καί ὑπό σοῦ ποιμανθῆναι κατ᾽ εὐχάς ἐπιθυμοῦντας· καί πίστωσον ἐπαγγελίαις ἀληθέσι διά συλλαβῶν σου τιμίων, τήν εἰς αὐτούς σύν Θεῷ περί πάντα σου πρόνοιαν· εἴπερ παντελῶς ἡ τῶν ἐχθρῶν δυσώδης ἀπεγένετο προσδοκία· δι᾽ ἥν τοσαύτην ὑπέμειναν φυγήν, οἱ τῷ νόμῳ τοῦ Θεοῦ κατακολουθεῖν ἀσφαλές ἡγησάμενοι, τῷ διαῤῥήδην βοῶντι· Ἐάν διώκωσιν ὑμᾶς ἐκ τῆς πόλεως ταύτης, φεύγετε εἰς τήν ἄλλην· καί τήν ἐπαινετήν δειλίαν τοῦ θράσους προκρίναντες· ἵνα μετά Θεόν τοῖς σοῖς πιστεύοντες λόγοις, ἀφόβως ποιήσωνται τήν ἐπάνοδον· καί τῶν πόνων οἷς ὑπέρ ἀρετῆς, καί τοῦ πεισθῆναι Θεῷ τούς διώκοντας φεύγειν κελεύοντι, κατά τήν φοβεράν ταύτην ξενιτείαν, ὑπεπιάσθησαν, ἄνεσιν εὕρωσιν, ἐλεήμονα τήν σήν περί αὐτούς κατά

πάντα συγκρότησιν. Μή τοίνυν ἀπαξιώσῃς, ἅγιε Πάτερ, τόν σόν ἱκέτην καί δοῦλον παρακαλοῦντα προσδέξασθαι· ἀλλά τίμησον οἰκείαις συλλαβαῖς, ὡς τίμιος, τόν μηδεμιᾶς τιμῆς ἄξιον· καί δι᾿ εὐχῶν παράθου τῷ Χριστῷ τῷ μόνῳ τιμίῳ, καί τόν ἄτιμον πολυτίμως δι᾿ ἑαυτοῦ τιμήσαντι ἄνθρωπον· ὅντινα Δεσπότην καί Κύριον κατά πάντα μιμούμενος, ἄλλον ἐκεῖνον κατά χάριν τοῦ Πνεύματος σεαυτόν τοῖς ὁρῶσι κατέστησας.

***ΛΑ΄- Τοῦ αὐτοῦ πρός τόν αὐτόν.***

Ὥσπερ ἀκτίς ἐπισπᾶται προσηνῶς τήν ὑγιαίνουσαν (625) ὄψιν κατά φύσιν προσχαίρουσαν φωτί, καί τῆς οἰκείας λαμπρότητος μεταδίδωσι οὕτως καί ἡ ἀληθής ἱερωσύνη χαρακτήρ οὖσα δά πάντων τῆς μακαρίας θεότητος τοῖς ἐπί γῆς, πᾶσαν ψυχήν κατά τήν ἕξιν φιλόθεόν τε καί θείαν ἐφέλκεται πρός ἑαυτήν, καί τῆς ἰδίας μεταδίδωσι γνώσεως, εἰρήνης τε καί ἀγάπης· ἵνα πρός τό πέρας τῆς οἰκείας ἐνεργείας, ἑκάστην τῆς ψυχῆς ἐνέγκασα δύναμιν, Θεῷ παραστήσῃ διά πάντων θεωθέντας τούς ὑπ᾿ αὐτῆς μυσταγωγουμένους. Τέλος γάρ τῆς κατά ψυχήν λογικῆς ἐνεργείας, ἡ ἀληθής γνῶσίς ἐστι· τῆς ἐπιθυμητικῆς δέ, ἡ ἀγάπη· τῆς δέ θυμικῆς, ἡ εἰρήνη· ὥσπερ καί τῆς ἀληθοῦς ἱερωσύνης, τό διά τούτων θεοποιεῖσθαί τε καί θεοποιεῖν. Ἐφ᾿ ᾧ γάρ ζητεῖν τόν Θεόν ἔχομεν φυσικῶς τό λογίζεσθαι, καί αὐτόν μόνον ποθεῖν τήν ἐπιθυμίαν ἐλάβομεν, καί ὑπέρ αὐτοῦ ἀγωνίζεσθαι μόνον τόν θυμόν ἐκομισάμεθα. Τέλος δέ τῆς μέν ζητήσεως, ἡ ἀληθής γνῶσίς ἐστι· τοῦ δέ πόθου, ἡ διηνεκής καί διάπυρος ἀγάπη· τῶν δέ θείων ἀγώνων, ἡ πάντα νοῦν ὑπερέχουσα εἰρήνη.

Τούτων ὄντας τῶν ἄκρων ἀγαθῶν ποιητάς τε καί διδασκάλους τούς παναγίους καί παμμακαρίστους ὑμᾶς γινώσκουσα ἡ ὄντως δούλη τοῦ Θεοῦ, καί θυγάτηρ καί μήτηρ Εὐδοκία ἡ ἐγκλειστή, μετά τῆς ἱερᾶς αὐτῆς ἀγέλης, πρός ὑμᾶς ἐπανῆλθε, νικητάς ἀποδείξασα τούς θεοτιμήτους ὑμᾶς πάντων τῶν πρός ἑαυτούς ἔχειν αὐτήν σπουδασάντων. Δούλη γάρ ἀληθῶς ἐστιν, ὡς τῶν θείων ἐντολῶν πληρωτική· θυγάτηρ δέ, ὡς διά πάντων κατά τήν ἕξιν ἀπαράλλακτον ἔχουσα πρός τόν Θεόν τήν ἐμφέρειαν μήτηρ δέ, ὡς καί τῆς κατ᾿ ἀρετήν ἐν ἄλλοις ἕξεως γεννητική. Ἀλλ᾿ εὐφραίνεσθε τό λοιπόν καί ἀγαλλιᾶσθε, τό τιμιώτερον μέρος τῆς ὑμετέρας ἁγίας ἐπαναλαβόντες ποίμνης· καί μάλιστα προσλαβόμενοι καί τόν ἡγιασμένον κύριόν μου

Γεώργιον τόν πρεσβύτερον, τό ὄντως θεῖον γεώργιόν τε, καί θείου καί μεγάλου Γεωργίου γεωργόν δοκιμώτατον, ἱκανόν ἐν ἔργῳ καί λόγῳ ἐνώπιον τοῦ Θεοῦ καί παντός τοῦ λαοῦ, κατά τήν ψυχῶν γωργικήν ἐπιστήμην, καί διά τοῦτο πᾶσιν ἐπέραστον τοῖς ἀγαπῶσι τόν Κύριον. Ἀλλ᾽ ἐπειδή τέως ἐγώ κατέστην ἡμιθνής καί ἡμίτομος, τῆς ἐπωφελοῦς αὐτῶν ἀπεῤῥωγώς συζυγίας, ἤ κἀμέ προσλάβετε ὡς μέλος νενοσηκός, καί θεραπεύσατε, ἤ δι᾽ εὐχῶν με παραμυθήσασθε, καί πείσατε ἀπαθῶς φέρειν τόν χωρισμόν. Καί τοῦτο γάρ τῆς θείας καί ἀληθοῦς ἱερωσύνης καθέστηκεν ἴδιον.

***ΛΒ΄- Τοῦ αὐτοῦ πρός ἀββᾶν Πολυχρόνιον.***

Ἐπειδή ταφήν τοῦ ὑπέρ ἡμῶν νεκρωθέντος καί ταφέντος κατά σάρκα Χριστοῦ, καί ἀνάστασιν ἑορτάζειν μέλλομεν, σκοπήσωμεν εἰ καί ἡμεῖς ἐνεκρώθημεν, καί ἐτάφημεν κατά τόν παλαιόν ἄνθρωπον τόν φθειρόμενον κατά τάς ἐπιθυμίας τῆς ἀπάτης, καί ἀνέστημεν κατά τόν καινόν ἄνθρωπον τόν (628) ἀνακαινούμενον κατ᾽ εἰκόνα τοῦ κτίσαντος. Σημεῖον δέ τῆς μέν τοῦ πρώτου νεκρώσεως, ἡ τῶν παθῶν παντελής ἐλευθερία· τῆς δέ τοῦ δευτέρου ἀναστάσεως, ἡ κατά συνείδησιν ἀκηλίδωτος καί ἀληθής παῤῥησία· καί ὁ κατά νοῦν φωτισμός τῆς γνώσεως. Καί εἰ μέν ταῦτα γεγόνασιν ἐν ἡμῖν, Χριστῷ τῷ Θεῷ συνεορτάζωμεν· εἰ δέ μήγε, ἀγωνισώμεθα κἄν μή προδοῦναι τοῖς πάθεσι τόν Λόγον κατά τόν Ἰούδαν, ἤ μή ἀρνήσασθαι κατά τόν Πέτρον· μή πως οὐκ ἰσχύσωμεν μετανοῆσαι, καί ἀπαχθῶμεν ἀκερδῶς μεταμελούμενοι· ἤ πικρῶς κλαῦσαι καί πλῦναι τά τῆς ἀρνήσεως στίγματα. Ἄρνησις γάρ ἐστι τοῦ λόγου, ἡ τοῦ πράττειν τό ἀγαθόν διά φόβον παραίτησις· προδοσία δέ, ἡ κατ᾽ ἐνέργειαν ἐμπρόθετος πρός ἁμαρτίαν ὁρμή· ὧν μή γένοιτο ἡμᾶς πεῖραν λαβεῖν.

***ΛΓ΄- Τοῦ αὐτοῦ πρός τόν αὐτόν.***

Εἰ κατά τόν μέγαν νικητήν τῶν πειρασμῶν Ἰώβ, Πειρατήριόν ἐστιν ὁ βίος τῶν ἀνθρώπων. Καί ὁ κόσμος, ὡς εἶπεν ὁ Κύριος, ἐν τῷ πονηρῷ κεῖται· καί, Πολλαί αἱ θλίψεις τῶν δικαίων, ὡς ὁ μέγας ἀποφαίνεται Δαβίδ, καί τούς πειρασμούς, καί τήν πάλην, ἤ πρός ἀνθρώπους, ἤ πρός δαίμονας κατά τήν δικαίαν κρίσιν τοῦ Θεοῦ, πάντως ἔχειν ἡμᾶς δεῖ, κατά τόν ἅγιον Ἀπόστολον, παρακαλέσωμεν τόν Θεόν ὑπομονήν δοῦναι, πρός τό δυνηθῆναι ἡμᾶς ἐκ τῆς ἰλύος τῶν παθῶν ἀνασπασθῆναι, καί στῆναι ἐπί τήν ἄσειστον πέτραν, τήν ἐν Χριστῷ λέγω διά τῆς χάριτος ἀπάθειαν· νεκρωθέντων ἐν ἡμῖν τοῦ τε

πειράζοντος βίου, καί τοῦ πονηρευομένου κόσμου, καί τῶν ἀνθρώπων, καί τῶν δαιμόνων, τουτέστι, τῆς ἐμπαθοῦς ζωῆς, καί τῆς κατ᾽ αἴσθησιν ἡδονικῆς ἀπάτης, καί τῶν σαρκικῶν παθημάτων, καί τῶν ψυχικῶν ἐμπαθῶν κινημάτων, καί τῶν ἐπί τούτοις ἀκουσίων ἐπαγωγῶν, αἵτινες θλίψεις ἐκλήθησαν. Ὑπομείνωμεν οὖν ἵνα σωθῶμεν· ὅτι ὁ ὑπομείνας εἰς τέλος σωθήσεται. Ἡ εἰρήνη τοῦ Χριστοῦ μεθ᾽ ἡμῶν. Ἀμήν.

***ΛΔ ΄- Τοῦ αὐτοῦ πρός τόν αὐτόν.***

Εἰρήνην ἀπιών πρός τό πάθος ὁ Κύριος ἀφῆκεν ἡμῖν· καί πάλιν ἀναστάς ἐκ νεκρῶν εἰρήνην δέδωκεν ἡμῖν. Τί διά τούτων αἰνιττόμενος, Τό δεῖν τούς ἐναντίους καιρούς ἀπαθῶς διαφέρειν ἡμᾶς, μήτε ταῖς λυπηραῖς περιστάσεσιν ὑποπίπτοντας, κρείττοντος ἐλπίδος εἶναι χωρίς, μήτε ταῖς φαιδραῖς ὑποθέσεσι συμπεριφερομένους, τόν παιδαγωγοῦντα ἡμᾶς λογισμόν ἀπωθεῖσθαι· ἀλλά τούς αὐτούς εἶναι καί πάσχοντας καί εὐπαθοῦντας. Τοῦτο δέ οὐ γίνεται, εἰ μή πρότερον ἐπιβῶμεν ἐπί ἀσπίδα καί βασιλίσκον· τουτέστιν ὑπεράνων γενώμεθα παρακοῆς τῶν θείων λόγων, καί παραδοχῆς τῶν πονηρῶν λογισμῶν· καί καταπατήσωμεν λέοντα καί δράκοντα, τουτέστι (629) θυμόν καί ἐπιθυμίαν· ὧν ἀπογενομένων, πᾶσα ἡμῖν ἔσται εἰρήνη, μηδενός ἡμᾶς κινῆσαι δυναμένου πρός μηδέν τῶν ὧδε μενόντων. Κρατήσωμεν θυμοῦ καί ἐπιθυμίας, καί ὅλον ὁμοῦ τόν οἶκον τῶν ἀλλοφύλων μετά τῶν ἐν αὐτῷ κατεβάλομεν, τήν ἐμπαθῆ ζωήν τε καί ἀγωγήν τοῖς πάθεσι συναποκτείναντες.

***ΛΕ ΄- Τοῦ αὐτοῦ πρός τόν αὐτόν.***

Εἰ μετά τήν μεγάλην καί φοβεράν ἐκείνην ἔρημον, ὁ Ἰσραηλίτης λαός τήν γῆν λαμβάνει τῆς ἀναπαύσεως, καί τό πάντων καταπληκότερον [καταπληκτικώτερον] ἄκουσμα, ὁ δι᾽ ἡμᾶς γενόμενος ἄνθρωπος Θεός ὤν καί πάντων Κύριος, διά παθημάτων καί σταυροῦ κάι θανάτου, εἰς τήν δόξαν αὐτοῦ εἰσέρχεται, οὐκ ὄντος ἄλλου τρόπου ὡρισμένου αὐτῷ, καθώς γέγραπται· Οὐχί ταῦτα ἔδει παθεῖν τόν Χριστόν, καί εἰσελθεῖν εἰς τήν δόξαν αὐτοῦ; Μή ἐκκακήσωμεν ἐν ταῖς θλίψεσιν, ἐκλυόμενοι· ἀλλ᾽ ἀπίδωμεν εἰς τόν ἀρχηγόν τῆς σωτηρίας ἡμῶν, καί τελειωτήν Ἰησοῦν· καί ὑπομείνωμεν τά συμβαίνοντα γενναίως. Πάσης γάρ θλίψεως τέλος ἐστίν ἡ χαρά· καί παντός κόπου ἡ ἀνάπαυσις, καί πάσης ἀτιμίας δόξα· καί ἁπλῶς, πάντων τῶν ὑπέρ ἀρετῆς ἀλγεινῶν τέλος ἐστί, τό μετά Θεοῦ γενέσθαι διά παντός, καί τῆς αἰωνίου καί πέρας μή ἐχούσης ἀνέσεως

ἀπολαῦσαι. Ἀλλ᾽ εὖξαι, Πάτερ, ἵνα τύχωμεν αὐτῆς καλῶς τήν θάλασσαν τοῦ βίου περάσαντες, καί βρόχους τάς νοητάς βάσεις τῆς ψυχῆς τῆς αὐτοῦ ἅλμης φυλάξαντες.

***Λστ΄- Τοῦ αὐτοῦ πρός τόν αὐτόν.***

Εὐλογημένος ἐστίν ὁ δεσπότης ἡμῶν τῷ Κυρίῳ, καί εὐλογημένος ὁ κῆπος τῆς καρδίας αὐτοῦ, ὅν ἐφύτευσεν ὁ ἀληθινός γεωργός Ἰησοῦς, καί πεπλήρωκεν ἀθανάτων φυτῶν δικαιοσύνης· οὗ καί ἡμεῖς τῶν καρπῶν μετελάβομεν, τῶν αὐτοῦ πνευματικῶν λαχάνων ἐμφορηθέντες· οἷς καί ὁ μέγας Ἀπόστολος οἶδε τρέφειν, τούς πρός τήν ἄμεσον τῶν θείων αὐτοψίαν ἐξασθενοῦντας· βρωματίζων αὐτούς ὥσπερ λάχανα τήν φυσικήν τῶν ὁρατῶν θεωρίαν· καί διά τῆς τῶν φαινομένων μεγαλοπρεπείας, πρός τόν αὐτῆς κτίστην χειραγωγῶν· ὅν μιμούμενος καί ὁ εὐλογημένος ἡμῶν Πατήρ καί διδάσκαλος, φιλοστόργως ἡμᾶς ἐφιλοφρόνησε, ταύτης ἡμῖν τῆς κτίσεως συμβολικῶς παραθείς διά τῶν λαχάνων τήν κατανόησιν. Ἀλλά μετάδος καί στερεᾶς τροφῆς, καί κίνησον ἡμῶν ἀνορεκτοῦσαν πρός τά θεῖα τήν ταῖς ἡδοναῖς παρειμένην ψυχήν, ἐπιστύφων τῷ λεπτοτέρῳ τῆς προνοίας καί τῆς κρίσεως λόγῳ τήν ἔφεσιν· ἵνα μή μόνον λαχάνοις διατρέφῃς τούς σούς μαθητάς, μόνους τούς τῶν γινομένων καί ἀπογινομένων λόγους διδάσκων· ἀλλα καί σίτῳ, καί οἴνῳ, καί ἐλαίῳ, τοῖς τῶν ἀϊδίων στήρισον λόγοις· τόν τε συνεκτικόν τῶν ἀρετῶν ὡς στεῤῥόν ἄρτον λόγον διδούς, καί τῷ κατά τήν (632) ἄληστον γνῶσιν, ὥσπερ οἴνῳ τήν καρδίαν λόγῳ διαθερμαίνων πρός ἔκστασιν θεοποιόν τῶν σῶν ὀπαδῶν· καί τήν διατρέφουσαν, καί ἄσβεστον τόν ἐν τούτοις διατηροῦσαν πυρσόν· καθάπερ ἔλαιον, τήν εἰρηνικήν καί ἀτάραχον τῆς πραότητος ἕξιν ἐμποιῶν τοῖς σοῖς οἰκέταις.

***ΛΖ΄- Τοῦ αὐτοῦ πρός τόν αὐτόν.***

Πάλιν σου τίμιον γράμμα μετά ξενίων, ἅγιε Πάτερ, δεδέγμεθα· καί πάλιν τῶν ἴσων τοῖς προτέροις καλῶν ἀπηλαύσαμεν· τοῖς μέν ξενίοις, τήν μελαίνουσαν ἡμῶν τήν ψυχήν καῦσιν τῶν παθῶν κατασβέσαντες· πρό αὐτῶν γάρ τούς νοητούς λόγους βεβρώκαμεν· οὐκ εἰκῆ καί μάτην, καί ὡς ἔτυχε ταῦτα παρά σοῦ πεπέμφθαι πιστεύσαντες, τοῦ διά πάντων μετά λόγου κινουμένου καί πνεύματος· καί ψυχῆς ἡμῖν παίδευμα ποιουμένου, καί τήν βρῶσιν τοῦ σώματος· τῷ δέ γράμματι τήν πασῶν μητέρα τῶν ἀρετῶν εὑρηκότες ταπείνωσιν, δι᾽ ἧς ἥ τε γένεσις τῶν καλῶν καί φυλακή δημιουργεῖται τοῖς ἔχουσιν, ἱκανῶς ἐδακρύσαμεν, πόσον ταύτης ἀπῳκίσμεθα τῆς ὁδοῦ διαθρήσαντες. Τό

γάρ σόν πένθος, τῶν ἐφ᾽ οἷς ἐνεχόμεθα κακῶν ἔλεγχος γέγονε· καί βαθύ κοιμωμένην ἡμῶν ἐξύπνισε τήν διάνοιαν, καί τήν μνήμην ἐγύμνασε κεκαλυμμένην τῷ πέπλῳ τῆς φυσιούσης οἰήσεως· καί πεποίηκεν ἡμᾶς ἑαυτῶν ἐπιγνώμονας, συμμέτρως ἐπαισθομένους τῆς τῶν οἰκείων ἁμαρτημάτων ὀχλήσεως. Καί ποσῶς σοφίας μετόχους πεποίηκε, τῶν ἰδίων πλημμελημάτων λαβόντας διάγνωσιν, εἴπερ ἀληθής ὁ λέγων· Οἱ ἑαυτῶν ἐπιγνώμονες σοφοί. Μή τοίνυν παύσῃ, τίμιε Πάτερ, καί λόγῳ καινίζων ἡμῶν τήν διάνοιαν, καί δι᾽ εὐχῆς τήν τῶν κακῶν ἡμῖν αἰτούμενος λύτρωσιν· ἵνα τούτων λάβῃς μισθόν παρά τοῦ διδοῦντος Θεοῦ τήν τελείαν τῆς ψυχῆς κατά συνείδησιν κάθαρσιν.

***ΛΗ΄- Τοῦ αὐτοῦ πρός τόν αὐτόν.***

Εὐχαριστοῦμέν σοι, τίμιε Πάτερ, ὅτι μετανοίας ἀρίστης ἡμῖν σεαυτόν δέδωκας ὑποτίπωσιν, πείθων δι᾽ ἐξαγορίας τούς ἐν ἡμῖν αὐτοῖς σκοτεινούς τῶν παθῶν γυμνῶσαι θησαυρούς· δι᾽ ἧς τό πρός τήν ἁμαρτίαν ἐπικυροῦσθαιι πέφυκε μῖσος. Ἡμεῖς γάρ ἐσμεν ἐπ᾽ ἀληθείας οἱ τά πάθη περιέποντες, ὧν ἡ μνήμη μετά τήν πρᾶξιν φέρει τήν ἀηδίαν· ὡς μέν κρόμμυα, τήν τῶν πονηρῶν ἀγαπῶντες λογισμῶν συγκατάθεσιν, καθ᾽ ἥν τό τῆς ψυχῆς ὀπτικόν πρός ἀρετήν καί γνῶσιν ἀμβλύτερον γίνεται, λεπίδας ὥσπερ λαμβάνον, τάς ἐμπαθεῖς τῶν ὁρατῶν φαντασίας. Κόρης γάρ μύσις κατά τούς ἐτυμολογοῦντας τό κρόμμυον. Ὡς δέ σκόρδα, τήν δι᾽ ἐνεργείας τῶν παθῶν συμπλήρωσιν τρώγοντες, καθ᾽ ἥν ὁ νοῦς ἀκαθαρσίας πληρούμενος, τοῖς ἔξω πνεῖ δι᾽ αἰσχρῶν ῥημάτων τε καί τρόπων, τήν ὧν διά πράξεως βέβρωκε κακῶν δυσωδίαν. Ἀλλά δίδαξον (633) ἡμᾶς, ἅγιε Πάτερ, πῶς μετά τήν τούτων ἀποβολήν ἀγαπήσομεν τό μάννα· φημί δέ τόν λογικόν τῆς θείας γνώσεως ἄρτον, οὐρανόθεν ἡμῖν ὑόμενον, καί φυλάξομεν ἄφθαρτον· μήτε πρός τήν αὔριον, δι᾽ ἀναβολῆς θησαυρίζοντες, ἵνα μή βράσῃ σκώληκας παθῶν σαρκικῶν, διά τῆς ἀργίας σηπόμενον· μήτε δι᾽ ἐπιδείξεως θριαμβεύοντες, ἵνα μή γένηται φροῦδον τῇ κενοδοξίᾳ τηκόμενον. Τοιούτοις καί πάλιν λόγοις θρέψον ἡμᾶς, τίμιε Πάτερ, τούς σούς μαθητάς, καί παράθου δι᾽ εὐχῆς τῷ Θεῷ, δίχα τῆς σῆς μεσιτείας προσκυνῆσαι μή δυναμένους.

***ΛΘ΄- Τοῦ αὐτοῦ πρός τόν αὐτόν.***

Ἀφθόνως ἡμῶν διατρέφεις, ἡγιασμένε Πάτηρ, τόν τε φαινόμενον καί τόν νοούμενον ἄνθρωπον. Τῷ μέν σώματι χορηγῶν τά πρός σύστασιν· τῇ δέ ψυχῇ διδούς τά πρός αὔξησιν τήν ἐν πνεύματι.

Πεποίηκέ σε γάρ ὁ Θεός κατ’ ἀμφότερα πλούσιον, εὐλογήσας τήν εἴσοδόν σου. Εἴσοδον μέν γάρ λέγω, τήν τῶν χορηγουμένων σοι παρά Θεοῦ χαρισμάτων κτῆσιν, πολυπλασιαζομένην διά τῆς πράξεως· ἔξοδον δέ, τήν ἄλλοις παρά σοῦ γινομένην τοῦ λόγου διάδοσιν· καί ἐν ἐκείνοις δηλαδή τοῖς λαμβάνουσιν, ὥσπερ καρπόν φέρουσαν τήν τῶν καθηκόντων ἐνέργειαν.

MAXIMI EPISTOLAE ALIQUOT

***Μ΄.- Τοῦ αὐτοῦ πρός τόν αὐτόν Θαλάσσιον πρεσβύτερον καί ἡγούμενον.***

Τῷ σοφῷ καί τιμίῳ γράμματι τῆς ὑμετέρας, δέσποτα, πατρικῆς ἁγιωσύνης ἐντυχών ἐπιμελῶς· πάντα τε σκοπήσας, καί πᾶσάν μου τῆς συνειδήσεως ἐναγνούς τήν βίβλον, οὐδέν εὗρον ἐμοί τῶν ἐμφερομένων. . .εσω. . ολο. . θᾶττον συνέστειλα τῆς ψυχῆς τόν τόνον, διασφίγξας τήν χαύνωσιν, ἀλλοτρίων καλῶν ἐπαίνοις προστεθῆναι, μάταιον ἡγησάμενος, καί μόνης ἴδιον εἶναι κρίνας ψυχῆς τήν ῥοπήν ἐχομένης πρός πᾶσαν ἀπάτην ἐπαγωγόν. Τῷ ὄντι γάρ μάταιον, ὡς ἀρετῆς μεστόν ἐπαίνους οἰκειοῦσθαι προπετῶς πειρᾶσθαι, τόν ἐν τοῖς πράγμασι τό κλέος τῶν λεγομένων οὐκ ἔχοντα. Ἀλλ᾽ ὁ ἐμός δεσπότης ἐκ τῶν οἰκείων τῆς ἀρετῆς πλεονεκτημάτων τά τῶν ἄλλων κρίνων, ψηφίζεται, διά περιουσίαν θεοειδοῦς τελειότητος τό αἶσχος καλύπτων, τόν πολλοῖς . . . παθῶν τετρωμένον, ὡς ἔθος ἐστί τοῖς ἀγαπῶσι ττόν Κύριον. Πλήν ἐγώ, δέσποτά μου (636) εὐλογημένε . . παμφαοῦς ἐπ᾽ ἀρετῇ τελειότητος τήν κέλευσιν ηρῶσ . . . οιμότατος, παντός ὀνείδους καί ψόγου τυχόν ἐμβῆναι μέλλων, ὡς ἐμῆς ἄν ἐπί τοῦτο προπετείας ἕνεκεν παρά τῶν . . λοσ . . νων, τήν ὑμετέραν ἀγάπην ἀνωτέρω τιθε . . . . . . κυρίῳ ἀββᾷ Θωμᾷ τούτῳ προθύμως ὑπουργ . . πράγματι. Ὀρέγοντες δηλαδή, τήν ἀρκοῦσαν ὕλην, ὡς οἶμαι, διά τοῦ χειμῶνος, τήν τοιαύτην ὑμῶν τοῦ Κυρίου συνεργοῦντος πληρῶσαι κέλευσιν δύνασθαι. Σώζοιό μοι λίαν, ἠγαπημένε καί τίμιε Πάτερ, καί σώζοις ταῖς πρός Θεόν εὐχωλῆσιν υμ . . . τόν σόν οἰκέτην καί δοῦλον· προσθήσω δέ καί ἐραστήν, πάσης τῇ ἑαυτοῦ μεσιτείᾳ διαβολικῆς ἐξαιρούμενος μηχανῆς.

***ΜΑ΄ - Τοῦ αὐτοῦ πρός τόν αὐτόν.***

Εἰς Χριστόν πάντα αἰχμαλωτίζειν ὑπό τοῦ Πνεύματος δεδιδαγμένος, ἐκ πάντων οἶδε καρποῦσθαι ὠφέλειαν· ὥσπερ οὖν καί ὑμεῖς ἐξ ἐμοῦ τοῦ πάμπαν τῆς θείας ἠλλοτριωμένου χάριτος, καί τῶν

νόμων τῆς σαρκός γενναίως καταδεδεμένου. Καί μηδέν ἔχοντός εἰμι κάι σπουδαίως, χρεών ἦν με παραιτεῖσθαι καθόλου τοῦ ποτε φοιτᾶν, ἵνα μή βλάπτω μᾶλλον, ποιῶν τήν κέλευσιν ὑμῶν. Καί ἔρχομαι ὅτε ὁ Κύριος θελήσῃ, γινώσκων ἀχράντους καί ἀμολύντους ὑμᾶς διαμεμενηκέναι καί συνουσιάζοντές μοι τῷ βεβήλῳ. Τό γάρ καθ᾽ ἕξιν ἅγιον ὥσπερ τό φύσει, ὑπ᾽ οὐδενός ἀκαθάρτου χρανθήσεται. Περί δέ τῆς τοῦ Βεστίτορος, καλῶς ποιεῖτε συμπάσχοντες, εἰ μή ἔχῃ βλάβην τό πρᾶγμα· καί μάλιστα εἰ γινώσκετε δύνασθαι ἀνέξεσθαι αὐτῆς.

***ΜΒ΄- Τοῦ αὐτοῦ πρός τόν αὐτόν.***

Ὁ μακάριος Δαβίδ, ὁ μέγας ἐκεῖνος τοῦ Κυρίου βασιλεύς, μετά τούς φοβερούς τῶν ἀλλοφύλων πολέμους, μετά τούς μεγάλους τῶν ὁμοφύλων πειρασμούς, μετά τάς ἐπιπόνους φυγάς καί τάς ὑπέρ τῶν πολλῶν εὐεργεσιῶν συχνάς ἐπιβουλάς, μετά τάς τῶν συγγενῶν ἐπαναστάσεις, μετά τήν τρ . . . . ησιν τε καί βασιλείαν, ὅταν ᾔσθετο τοῦ Θεοῦ πανταχόθεν αὐτῷ . . . . . . αύοντος· τότε διενοήθη οἰκοδομῆσαι οἶκον τῷ Κυρίῳ Θεῷ . . . . . καί ἀποδέχεται μέν αὐτόν ὁ Θεός ὡς καλῶς διανοηθέντα . . . . . . ησιν δέ καί ὅμως διαστολήν πρόσφορον, λέγων . . . . . . σπέρμα τό ἐξ αὐτοῦ δεῖν εἰς πέρας ἀγαγεῖν τό καλόν τ. . . . ας ἐγχείρημα· προσθείς τήν αἰτίαν, διά τό πολύν αὐτόν ἐκκεχυκέναι αἷμα ἐπί τῆς γῆς. Καί πείθεται μέν παραινοῦντι τῷ Θεῷ· ἀσπάζεται δέ μεθ᾽ ἡδονῆς τήν συμβουλήν καί τῆς ἰδίας μορφῆς κρίνει τιμιωτέραν. Καί αὐτός μέν οὐκ οἰκοδομεῖ τόν τοῦ Θεοῦ ναόν. Παραπέμπει δέ τῷ υἱῷ δαψιλ. . . . δίδωσι τήν τε ὕλην καί τό παράδειγμα· διδασκόμενος. . . . . . ὡς οἶμαι, (637) τούς εὐτάκτους τῆς σωτηρίας δεσμούς. Καί ἵνα μή τήν καθ᾽ ἕκαστον τῶν εἰρημένων διεξερχόμενος θεωρίαν μηκύνω τόν λόγον, τό εἰρηνικόν . . . . . τόν ναόν τοῦ Θεοῦ δυνάμενον ἄνω . . . . .αὐταί εἰσιν, καί εἴ τις . . . . ., ἀλλά μή φόβῳ δορυφορεῖν πεῖσαι δυναμένην καί εἰς τήν οἰκοδομήν τοῦ θειοτάτου ναοῦ συνεργοῦσαν βλάβος λαμβάνουσαν· τόν τε Χηράν βασιλέα Τύρου καί τάς ἑκατόν πεντήκοντα χιλιάδας τῶν ἀλλοφύλων τῶν λατόμων καί ὑδροφόρων. Ἀλλ᾽ Ἔντεινον, καί κατευόδου, καί βασίλευε, κἄν χωρίς Μαξίμου τοῦ σοῦ ἐβασίλευσας, ἕνεκεν ἀληθείας καί πραότητος καί δικαιοσύνης, αἵτινες αὗταί εἰσι. Προσθήσω δέ, καί ἀγρύπνει κατά κράτος μή συναπαχθῆναι καθ’ ὅ τι σύν ταῖς τῶν ἐθνικῶν βασιλέων θυγατράσι· μήπως συνδιέλωσι τήν βασιλείαν εἰς υἱόν ἄφρονα καί δοῦλον ἀποστάτην. Πολύ γάρ ἑκών . . . . . Ἔῤῥωσο,

Πάτερ τίμιε, καί εὔχου τῷ σῷ δούλῳ . . . . πουμένῳ, καί δεινῶς ἐνεχομένῳ ὑπό πολλῶν ἁμαρτιῶν.

***ΜΓ΄- Τοῦ αὐτοῦ πρός Ἰωάννην κουβικουλάριον.***

Ἧκεν τό τίμιον τοῦ θεοφυλάκτου μου δεσπότου γράμμα, μετά τῆς εἰρήνης καί αὐτόν ὅλον φέρον τοῖς τρόποις φαινόμενον.Τῇ γάρ τῶν λόγων σεμνότητι πέφυκέ πως ἐμφαίνεσθαι μετά τῆς τῶν τρόπων ἐπιεικείας καί τῆς ψυχῆς ἡ διάθεσις· καί ἤσθην ὥσπερ αὐτόν δεξάμενος τόν ἐμόν δεσπότην, καί ἠσπασάμην τῷ πνεύματι, καί ὅλον τῷ χωρήματι τῆς καρδίας περιλαβών ἀπεθέμην· καί ἐδόξασα Χριστόν τόν Θεόν ἡμῶν, φῶς τοῖς ἀνθρωποις ἐμφύντα τῆς ἀγάπης τόν νόμον· καθ᾽ ἥν ἀλλήλων ἀπεῖναι οὐδέποτε δύνανται, κἄν πολλῷ διεστήκασιν ἀλλήλων σωματικῶς τῷ τοπικῷ διαστήματι, οἱ τῶν σπερμάτων τῆς ἀγάπης δεόντως ἐπιμελεῖσθαι γινώσκοντες.

Ἀλλ᾽ ἐπειδή εἰρήνης κοσμικῆς εὐαγγέλια τό γράμμα κομίσαν, εἰς χαράν τῆς ψυχῆς τήν λύπην μεθήρμοσε, δέον ἐστί καί ἡμᾶς ὑπέρ αὐτῆς εἰκότως τῷ χαρισαμένῳ Θεῷ γενέσθαι πάντως εὐγνώμονας· ἵνα μή φανῶμεν ἀχάριστοι περί τήν εὐποιίαν, κακῶς τόν εὐεργέτην ἀνταμειψάμενοι. Γενησόμεθα δέ πάντως εὐγνώμονες, εἰς δέον δῆλον ὅτι τῇ εἰρήνῃ χρησάμενοι, καί τήν πρός τόν κόσμον καί κοσμοκράτορα κακῶς ἡμῖν ἐνυπάρχουσαν ἀθετήσαντες φιλίαν· τόν διά τῶν παθῶν πρός τόν Θεόν συνεστάμενον καί ὀψέ ποτε καταλύσαντες πόλεμον, καί σπονδάς αὐτοῖς τῆς πρός αὐτόν εἰρήνης ποιήσαντες ἐν τῇ καταργήσει τοῦ σώματος, τῆς πρός αὐτόν ἔχθρας παυσώμεθα. Ἀδύνατον γάρ ἐστιν ἡμᾶς αὐτῷ φιλωθῆναι, διά τῶν παθῶν πρός αὐτόν στασιάζοντας, καί τῷ πονηρῷ τυράννῳ καί φονευτῇ τῶν ψυχῶν διαβόλῳ διά κακίας δασμοφορεῖν ἐνεχομένους, μή πρότερον δι᾽ ὅλου πολεμωθέντας τῷ πονηρῷ. Μέχρι γάρ τόπε τοῦ Θεοῦ καθεστήκαμεν ἐχθροί καί πολέμιοι, κἄν πιστῶν προσηγορίαν ἡμῖν αὐτοῖς (640) περιπλάττωμεν, μέχρις οὗ πάθεσιν ἀτιμίας δουλεύειν βουλόμεθα, καί φόρους εἰσφέρειν δεινούς ἑκουσίως διά τῶν ἔργων τῆς αἰσχύνης τῷ διαβόλῳ καταδεχόμεθα. Καί οὐδέν ὄφελος ἡμῖν ἐκ τῆς κατά κόσμον εἰρήνης λοιπόν γενήσεται, τῆς ψυχῆς κακῶς διακειμένης, καί πρός τόν ἴδιον ποιητήν στασιαζούσης, καί ὑπό τήν βασιλείαν αὐτοῦ γενέσθαι οὐκ ἀνεχομένης, ἔτι μυρίοις πεπραμένης δεσπόταις εἰς κακίαν αὐτήν ἀεί κατεπείγουσι· καί τήν εἰς ἀπώλειαν φέρουσαν ὁδόν, τῆς σωζούσης μᾶλλον ἀπατηλῶς αἱρεῖσθαι παρασκευάζουσιν. Ἐπειδάν δέ τῆς τῶν

παθῶν μέθης ἐκνήψωμεν, καί τῆς τοῦ διαβόλου πονηρίας κατεξαναστῶμεν καί τυραννικῆς βασιλείας· καί τόν αὐτοῦ πικρότατον ζυγόν ἑαυτῶν ἐκτιναξώμεθα, καί ὅσον κατείδομεν ἡμᾶς τῇ πρός αὐτόν φιλίᾳ κατέφθειρε τηνικαῦτα δεξόμεθα τοῦ εἰρηνικοῦ καί πράου βασιλέως Χριστοῦ τήν εἰρηνικήν παρουσίαν, ἐν ἑαυτοῖς ἀοράτως γινομένην, καί ἀνεξόμεθα ὑπό τόν αὐτοῦ γενέσθαι ζυγόν, νόμοις ἀληθείας τάσσοντος ἡμᾶς καί ῥυθμίζοντος, καί τήν πρός αὐτόν ἑκουσίως στείλασθαι φιλίαν καταδεξόμεθα· φόρους αὐτῷ δασμούς ἑκουσίως προσάγοντες, τούς διά τῶν ἀρετῶν κατ᾽ ἐντολήν τελεσφορουμένους ἐν ἡμῖν τῆς δικαιοσύνης καρπούς. Οἷς ὑπέρ τῆς ἡμῶν σωτηρίας ἡδόμενος ὁ μόνος ἀπροσδεής, πάντα ἡμῖν χαρίσεται ὡς ἀψευδής, ὅσα ἡμῖν ἐπηγγείλατο. Τά δ᾽ ἔστιν ἅ ὀφθαλμός οὐκ ἴδεν, καί οὖς οὐκ ἤκουσε, ἅ ἡτοίμασεν ὁ Θεός τοῖς ἀγαπῶσιν αὐτόν. Εἰς τοῦτο γάρ ἡμᾶς καί πεποίηκεν, ἵνα γενώμεθα θείας κοινωνοί φύσεως, καί τῆς αὐτῆς ἀϊδιότητος μέτοχοι· καί φανῶμεν αὐτῷ ὅμοιοι κατά τήν ἐκ χάριτος θέωσιν· δι᾽ ἥν, πᾶσά τε τῶν ὄντων ἡ σύστασίς ἐστι καί ἡ διαμονή· καί ἡ τῶν μή ὄντων παραγωγή καί γένεσις.

Γενώμεθα τοίνυν ἄξιοι τῆς εἰρήνης, δέσποτά μου εὐλογημένε, τά ἐν ἡμῖν πρός Θεόν στασιάζοντα πάθη ἑαυτῶν ἀνδρικῶς περιελόντες. Τήξωμεν ὅση δύναμις τό σῶμα, δι᾽ οὗ σφριγῶντος, ἡ τοῦ διαβόλου πρός τήν ψυχήν γίνεσθαι πέφυκεν εἴσοδος. Ἀναγνώσμασι θείοις πλανώμενον στήσωμεν τόν νοῦν, καί πρός Θεόν πάλιν αὐτόν ἐπανάγωμεν. Ἐγκρατείας τόνοις καί ἀγρυπνίας κατ᾽ ὄρεξιν εἰς πολλά φθειρομένην ἀτάκτως τήν ἐπιθυμίαν, σωφρόνως καταστείλωμεν. Εὐχαῖς καί δεήσεσι καί ἐλεημοσύναις τόν θυμόν ζέοντα καί ταρασσόμενον σοφῶς κατευνάσωμεν· φόβῳ Θεοῦ καί ἀπειλῇ τῶν μελλόντων ἀκολάστως κινούμενά τε καί ἐνεργοῦντα τά αἰσθητήρια παύσωμεν. Ἐπί πᾶσι καί πρό πάντων μνησθῶμεν τοῦ θανάτου καί τῆς φοβερᾶς τῆς ψυχῆς ἐκ τοῦ σώματος ἐξόδου· καί πῶς ἀπαντῶσιν αὐτῇ κατά τόν ἀέρα τοῦτον αἱ ἀρχαί καί ἐξουσίαι καί δυνάμεις σκότους· πᾶσα πρός ἑαυτήν διέλκουσά τε καί κατατέμνουσα κατ᾽ ἀναλογίαν σῆς σχετικῶς πρός αὐτήν διά τοῦ μέσου πάθους γενομένης κακῆς οἰκειότητος. Μνησθῶμεν τῆς ἐν ᾅδῃ κατά συνείδησιν γινομένης τῇ ψυχῇ πικρᾶς ὀδύνης, ἐπί τῇ μνήμῃ τῶν αὐτῇ κακῶς διά τοῦ σώματος πεπραγμένων. Μνησθῶμεν τῆς (641) τελευταίας τοῦ παντός κόσμου συντελείας, καθ᾽ ἥν τῷ πολλῷ καί ἀπλέτῳ πυρί τό πᾶν καταφλέγεται τοῦτο· στοιχείων φοβερῶς κλονουμένων τῇ τήξει τῆς καύσεως· καί

οὐρανοῦ τῇ εἱλήσει τῷ φόβῳ κατ᾽ ἔπειξιν φεύγοντος ἀπό προσώπου πυρός τοῦ προκαθαίροντος τήν κτίσιν διά τήν τοῦ καθαροῦ παρουσίαν· θαλάσσης ἀφανιζομένης, γῆς βρασσομένης, καί ἐκ πυθμένος σειομένης, καί τάς ἀπείρους τῶν ἀνθρωπίνων σωμάτων ἀμειώτως παρεχούσης μυριάδας. Μνησθῶμεν τῆς φρικτῆς ὥρας τῆς ἀπολογίας τῆς ἐπί τοῦ φοβεροῦ καί φρικτοῦ βήματος τοῦ Χριστοῦ· ἡνίκα πᾶσα ἡ δύναμις τῶν οὐρανῶν, καί πᾶσα ἡ ἀπό καταβολῆς τοῦ αἰῶνος κτίσις τῶν ἀνθρώπων ἐφορᾷ τά ἑκάστῳ προσόντα μέχρι καί ψιλοῦ ἐνθυμήματος· ἡνίκα τούς μέν διά τήν τῶν ἔργων λαμπρότητα, τό ἄφροστον φῶς διαδέξεται, καί ἡ τῆς ἁγίας καί μακαρίας Τριάδος ἔλλαμψις τρανότερον ἐπιλαμπούσης, τοῖς ὁρᾷν καί ὑποδέχεσθαι διά καθαρότητα ψυχῆς, αὐτήν δυναμένοις· τούς δέ, διά τήν τῶν ἔργων ἀτοπίαν τό σκότος ὑποδέξεται τό ἐξώτερον, καί ὁ ἀκοίμητος σκώληξ καί τό πῦρ τῆς γεέννης τό ἄσβεστον· καί τό πάντων βαρύτατον, ἡ ἐν τῷ συνειδότι αἰσχύνη πέρας οὐκ ἔχουσα. Μνησθῶμεν τούτων ἁπάντων, ἵνα τῶν μέν ἄξιοι γενώμεθα, τῶν δέ πεῖραν λαβεῖν μή κατακριθῶμεν· καί γενώμεθα ἑαυτῶν καί τοῦ Θεοῦ· μᾶλλον δέ, μόνου καί ὅλου τοῦ Θεοῦ ὅλοι· καί μηδέν ἐπίγειον ἐν ἡμῖν αὐτοῖς φέροντες, ἵνα Θεῷ πλησιάσωμεν, καί θεοί γενόμενοι, ἐκ Θεοῦ τό θεοί εἶναι λαβόντες. Οὕπω γάρ τιμᾶται τά θεῖα δωρήματα, καί ἡ τῆς θείας εἰρήνης φιλοφρονεῖται παρουσία.

Καί ταῦτα μέν περί τούτου· ὁ δέ Θεός τῆς εἰρήνης, ὁ καταλλάξας ἡμᾶς ἑαυτῷ διά τοῦ σταυροῦ, καί ἐχθρούς ὄντας ἐξαγοράσας τῷ ἰδίῳ αἵματι τῆς ἐξουσίας τοῦ σκότους, αὐτός τήν εἰρήνην αὐτοῦ τήν ὑπερέχουσαν πάντα νοῦν χαρίσηται τῷ εὐλογημένῳ μου δεσπότῃ, καί ἀξιώσοι αὐτόν τῆς οὐρανίου αὐτοῦ βασιλείας· ἔνθα πάντων εὐφραινομένων ἡ κατοικία καί ὁ τῶν ἑορταζόντων χορός.

***ΜΔ΄. - Τοῦ αὐτοῦ πρός Ἰωάννην κουβικουλάριον περί θετικῆς.***

Διά νόμου καί προφητῶν πάλαι τοῖς ἀνθρώποις ὡς ἀγαθός ὁ Θεός τήν εἰς ἀλλήλους ἀγάπην πολυτρόπως νομοθετήσας, ἐπί τέλει τῶν χρόνων δι᾽ ἑαυτοῦ ταύτην (644) ἐπλήρωσε ὡς φιλάνθρωπος, γενόμενος ἄνθρωπος. Οὐκ ἀγαπήσας μόνον ἡμᾶς ὡς ἑαυτόν, ἀλλά καί ὑπέρ ἑαυτόν· καθώς καί ἡ τοῦ μυστηρίου δύναμις διδάσκει σαφῶς, τούς εὐσεβῶς τήν εἰς αὐτόν τῆς πίστεως ὁμολογίαν παρειληφότας. Εἰ γάρ ἑκών ὡς ὑπεύθυνος ἑαυτόν κατά θέλησιν ὑπέρ ἡμῶν τῶν παθεῖν ὀφειλόντων ὡς ὑπευθύνων πάθει καί θανάτῳ προΐσχετο, παντί που τῷ κἄν ποσῶς ᾐσθημένῳ τῆς χάριτος δῆλόν ἐστιν, ὡς ὑπέρ ἑαυτόν

ἠγάπησεν ἡμᾶς τούς ὑπέρ ὧν ἑαυτόν κατά θέλησιν τῷ θανάτῳ παρέδωκε, καί τῆς ἰδίας κατά φύσιν δόξης ὡς ὑπεράγαθος, κἂν τολμηρός ὁ λόγος, τήν κατ᾽ οἰκονομίαν εὐκαίρως ὑπέρ ἡμῶν ὕβριν ὡς τιμιωτέραν προείλατο. Τιμή γάρ ὑπερβάλλουσα καί δόξα Θεοῦ πλεονάζουσα, καί τῆς φυσικῆς δόξης μᾶλλον εἰς τό φανερόν πρόοδός τε καί ἔνδειξις καθέστηκεν ἀληθῶς, ἡ πρός αὐτόν τῶν πεπλανημένων ἐπάνοδος. Καί οὐδέν αὐτῷ τῆς τῶν ἀνθρώπων σωτηρίας εἰς δόξης λόγον ἐστίν οἰκειότερον· ὑπέρ ἧς, ἅπας λόγος καί ἅπαν μυστήριον· καί τό δή πάντων μυστήριον μυστηριωδέστατον, αὐτός ὁ Θεός ὑπέρ ἀγάπης ἀληθῶς κατά πρόσληψιν σαρκός νοερῶς τε καί λογικῶς ἐψυχωμένης γενόμενος ἄνθρωπος, καί εἰς ἑαυτόν τά πάθη τῆς φύσεως ἀτρέπτως καταδεξάμενος, ἵνα σώσῃ τόν ἄνθρωπον, καί δῷ τοῖς ἀνθρώποις ἡμῖν ἑαυτόν ὑπέρ ἀρετῆς ὑποτύπωσιν, καί τῆς εἰς αὐτόν τε καί ἀλλήλους εὐνοίας τε καί ἀγάπης εἰκόνα ζῶσαν, δυσωπῆσαι πάντας δυναμένην πρός ὀφειλομένην ἀντίδοσιν.

Ἐπειδή τοίνυν τοῦ Θεοῦ νόμος ἐστί παλαιός τε καί νέος ἀλλήλους ἡμᾶς τοσοῦτον ἀγαπᾷν, ὅσον καί ἠγαπήμεθα· καί τοσοῦτον ἀλλήλων οἰκειοῦσθαι τάς συμφοράς, ὥστε καί εἰς ἀλλήλους κατά ἀντίδοσιν διά τήν σχέσιν τῆς ἀγάπης ἀλλήλων ἀμείβεσθαι τάς διαθέσεις, κατά τήν χαίρειν μετά χαιρόντων καί κλαίειν μετά κλαιόντων κελεύουσαν ἐντολήν· παρακαλῶ τόν θεοφύλακτον καιί εὐλογημένον μου δεσπότην, ἕνα καί μόνον ἔχοντα σκοπόν ἀκολουθῆσαι διά τῆς ἴσης φιλανθρωπίας τῷ διεληλυθότι τούς οὐρανούς Ἰησοῦ, μηδενί καταδεθέντα τό παράπαν πατριᾶς δεσμῷ πρός τοῦτον τόν πλάνον κόσμον καί κοσμοκράτορα· πλάνος γάρ ὄντως ὁ παρών κόσμος ὑπάρχει, δι᾽ ἀπάτης ἀεί δελεάζων πρός ἐπιθυμίαν τῶν φθειρομένων, καί τῇ δουλείᾳ τῶν ὑλικῶν ἐνδιασφίγγων τούς κατά φύσιν ἐλευθέρους καί τῶν οὐρανίων ἀγαθῶν κληρονόμους· τό παίζειν δι' ἡδονῆς καί ὑποκλέπτειν τούς κρατεῖσθαι τούτοις ἀνεχομένους.

Ἕνα τοίνυν, ὡς ἔφην, τόν τοῦ σωθῆναι σκοπόν ἔχοντα τόν εὐλογημένον μου δεσπότην γινώσκων, παρακαλῶ δεχόμενον τόν σύν αὐτῷ μου δεσπότην τόν μεγαλοπρεπέστατον Ἰλλούστριον κύριον θεοχάριστον, τόν ἐπιφερόμενον τήν παροῦσάν μου μετρίαν συλλαβήν, γενέσθαι αὐτῷ πάντα ἐν οἷς τῆς αὐτοῦ μετά Θεόν, μᾶλλον δέ, σύν Θεῷ, ἐπικουρίας δεῖται, ὅσα τόν Θεόν ἡμῖν αὐτοῖς γενέσθαι, καί τόν πλησίον, (645) βουλόμεθα, περί ὧν δεώμεθα. Ἄνθρωπος γάρ ὄντως ἐστίν ἀγαθός, καί παντός ἔργου δικαιοσύνης νέ ο, καί τῆς ἐμῆς

παροικίας προστάτης μετά Θεόν γνήσιος· καί τῶν πολλῶν καί συχνῶν καί χαλεπῶν ἀσθενειῶν παρήγορος πρόθυμος· καί ἁπλῶς, κατά τήν ὑποῦσαν αὐτῶ δύναμιν, κἀμοί καί πολλοῖς ἄλλοις ἐπήρκεσεν. Δῴη αὐτῷ Κύριος εὑρεῖν ἔλεος παρ᾽ αὐτῷ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, διότι πολλῶν γέγονεν ἀνάπαυσις καί παρηγορία. Ὅθεν εἴπερ ηὗρον χάριν ἐν ὀφθαλμοῖς τοῦ εὐλογημένου μου δεσπότου, καί τοῖς ἠγαπημένοις αὐτῷ κατά Θεόν ἔχει με σύμψηφον, πάντως αὐτοῦ διά πάσης σπουδῆς ἀντιλάβηται, μηδέν ἄδικον, ὡς ἧκεν εἰς τήν αὐτοῦ δύναμιν, εἰς αὐτόν γενέσθαι συγχωρῶν. Τοῦτο γάρ τῆς ἀγάπης ὁ νόμος ὑπαγορεύει, καί τό μυστήριον τῆς πρός ἀνθρώπους τοῦ Θεοῦ διά σαρκός βούλεται θειοτάτης ἐπιδημίας· ἵνα τάς εὐεργεσίας τοῦ εὐλογημένου μου δεσπότου καί τήν ἀνόθευτον σπουδήν τῆς εἰς αὐτόν ἀντιλήψεως ἐπανέλθοι σύν Θεῷ διηγούμενος· κἀγώ προσθήκην δέξομαι καυχήματος, τοιοῦτον ἔχειν παρά Θεοῦ λαχών ἐπί γῆς δεσπότην πρόθυμον εἰς πᾶν ἔργον ἀγαθόν, καί πάντων τῶν δεομένων προστάτην ἕτοιμόν τε καί εἰλικρινέστατον.

Ὁ Θεός ὁ μόνος ἀγαθός καί φιλάνθρωπος· ὁ τῆς ἡμῶν ἕνεκεν σωτηρίας πάντα πᾶσι σωτηρίως οἰκονομῶν, αὐτός κρατῆσαι τῆς χειρός σου τῆς δεξιᾶς, δέσποτά μου, καί ὁδηγῆσαι δε εἰς τήν ὁδόν τῆς αὐτοῦ δικαιοσύνης, καί ἀξιῶσαι τῆς ἐπουρανίου βασιλείας καλῶς ἐνταῦθα τῶν θείων μεταποιηθέντα χαρισμάτων. Ὁ Θεός τῶν ὅλων καί Κύριος ἡμῶν Ἰησοῦς Χριστός διατηρήσοι τούς εὐσεβεστάτους καί πανημέρους ἡμῶν βασιλέας, καί δυναμώσοι τό κράτος τῆς εὐσεβοῦς αὐτῶν βασιλείας, καί λαλήσοι περί ἡμῶν τῶν ταπεινῶν δούλων αὐτῶν εἰς τάς καρδίας αὐτῶν ἀγαθά τε καί εἰρηνικά. Καί ἵν᾽ εἴπω τι τολμήσας· ποιεῖ γάρ με τολμηρόν τό ἀλγεῖν· πλήν καί αὐτό εὐχήν τῷ Θεῷ προσφιλῆ συγχωρήσοι αὐτοῖς, ὅτι τόν τῆς χώρας ταύτης πανεύφημον ὕπαρχον ὡς λύχνον ἐν αὐχμηρῷ τόπῳ φαίνομτα, καί πάντας τρόπον τινά τῆς τοῦ μή βλέπειν ὀδύνης ἐλευθεροῦντα, κατεδέξαντο κἄν πρός ῥοπήν μεταστείλασθαι· ἄνθρωπον φιλόθεον, πιστόν, εὐσεβῆ, ἀγαθόν, εὐλαβῆ, σώφρονα, ἐγκρατῆ, ἀνεκτικόν, πρᾶον, συμπαθῆ, ἐλεήμονα, πτωχοτρόφον, γηρωκόμον, προστάτην χηρῶν, μοναχῶν κηδεμόνα, ἀκτήμονα [ἀπήμονα], φιλεκκλήσιον· καί ἵνα συνελών εἴπω, πάντων καί ζώντων καί νεκρῶν φίλον· τούς μέν ζῶντας παντοίοις τρόποις φιλοστοργίας περιποιούμενον· τούς δέ νεκρούς, οἰκοδομημάτων κάλλεσι τιμῶν τά πρός ταφήν, ὡς Ἰωσήφ ὁ ἀπό Ἀριμαθίας τόν ὑπέρ ἡμῶν σαρκί νεκρωθῆναι καταδεξάμενον

Κύριον· καί ἔτι πρός τούτοις, τοῦ κατά τήν ἀποστολικήν πίστιν ὀρθοῦ λόγου ζηλωτήν ἐκθυμώτατον, κήρυκα βίου δικαιοσύνης. (648) Καί συντόμως εἰπεῖν, ἄλλοις μέν ἄλλα κατά τήν ἑκάστου ἔφεσιν ἐπί γῆς διεσπούδασται· Γεωργίου δέ, τά νοσοκομεῖα, καί τά γηρωκομεῖα καί ξενοκομεῖα κάι πτωχοτροφεῖα, καί τά μοναστήρια καί τά ξενοτάφια, καί ὅσα πλήθη φτωχῶν τε καί πενήτων κατά γένος ἀγεληδόν κατά τάς πόλεις διέῤῥιπται, περιστεῖλαί τε καί διαθρέψαι· καί ἑώας τε καί δύσεως, βορείου τε καί νοτίου λήξεως τούς ὅρους ὑπερβῆναι ταῖς ἀκτῖσι τῆς φιλανθρωπίας, ἔργον ὑπάρχει καί σπούδασμα.

Τούτων οὕτως ἐχόντων, τίς ἀγνοεῖ τῶν ὁπωσοῦν εὐσεβείας μεταποιουμένων, πόσην εὐμένειαν τοῦ Θεοῦ περί τό πᾶν ἡ τῶν τοιούτων ἔργων εὐαρέστησις προσεκαλεῖτο, διά παντός ταῖς αὐτοῦ προσόν προθυμίαις ἀκμάζουσα; Τό καί ἐναντίον, τῇ τούτων ἀργίᾳ συμβαῖνον διά τό δύσφημον σιωπήσομαι. Τίς δέ μετρῆσαι δυνήσεται τά κρουνηδόν παρά παντός ὀφθαλμοῦ χεθέντα δάκρυα παρά τῶν ταύτην οἰκούντων τήν γῆς ἐπί τῇ ἐξόδῳ αὐτοῦ, πάντων περιεχομένων αὐτοῦ καί ἀνθελκόντων βίᾳ πρός αὐτούς, καί τῷ πλοίῳ τρόπον τινά προσβῆναι μή συγχωρούντων· καί ταῖς οἰμωγαῖς ποτνιωμένων, οἱονεί ζητούντων κατά γένος καί ἡλικίαν· οἱ μέν, τῆς πενίας τόν ποριστήν· οἱ δέ, τῆς εὐπορίας τόν οἰκονόμον· αἱ χῆραι, τόν προστάτην· οἱ ὀρφανοί τόν πατέρα· οἱ πτωχοί, τόν φιλόπτωχον, καί τόν φιλόξενον οἱ ξένοι· καί ἀδελφοί, τόν φιλάδελφον· οἱ νοσοῦντες, τόν ἰατρόν· οἱ ἐν συμφοραῖς, τήν παράκλησιν· πολιά, τήν βακτηρίαν· καί ἁπλῶς πάντες, τόν πάντα πᾶσι γενόμενον, ἵνα κερδίσῃ τούς πάντας, καί ὑπέρ πάντων τῷ Θεῷ κερδηθῇ; Διό κατά τήν δοθεῖσάν σοι χάριν παρά τοῦ Θεοῦ, δέσποτά μου εὐλογημένε, δι᾽ ὧν οἶδας τρόπων τε καί προσώπων, εἰ δηνηθείης αὐτόν πάλιν ἐπανελθεῖν ποιῆσαι, μεγάλην θυσίαν γίνωσκε τῷ Θεῷ, καί τοῖς θεοστηρίκτοις ἡμῶν βασιλεῦσιν εὔνοιαν γνησίαν καί ἀσφάλειαν ἀῤῥαγῆ δεδωκώς τήν προβολήν. Οὐδείς γάρ αὐτοῦ καθέστηκε γνησιώτερος δοῦλος τῆς αὐτῶν εὐσεβοῦς βασιλείας. Ἔῤῥωσό μοι, λίαν ἠγαπημένε, καί πάντων μοι τιμιώτατε δοῦλε γνήσιε τοῦ Θεοῦ.

***ΜΕ΄. - Τοῦ αὐτοῦ πρός τόν αὐτόν.***

Πάσῃ μέν γενεᾷ κατά καιρούς ὁ Θεός, τῆς τῶν ἀνθρωπίνων προνοούμενος φύσεως, καί τῆς ἡμῶν ἁπάντων σωτηρίας ἐπιμελούμενος, φωτός δίκην ταῖς ἀρεταῖς ἐξαστράπτοντα τόν ὁσίως πολετευσόμενον, ὡς κατά πρόθεσιν χωρητικόν τῶν θείων νόμων

ἀνέδειξε· τοσαύτην ἰσχύν δεδωκώς, ὅσον εἰκός πρός ἐπιστροφήν ἔχρηζεν, ὁ λαός ὁ ἀγόμενος· ἵνα ὥσπερ λαμπτῆρί τινι φωτός ἔργων δικαιοσύνης οἱ λοιποί τῶν ἀνθρώπων προσέχοντες, κατά Θεόν καί αὐτοί βίον ῥυθμίζωσι· μηδενός αὐτούς ἐξ ἀγνοίας πάθους ὑποσκελίζοντος. Ἡμῖν δέ κατά καιρόν λαμπτήρ τις καί κανών ἀρετῆς ἀναδέδεικται Γεώργιος ὁ φιλόχριστος ἔπαρχος· ὁ πολύς καί τοσοῦτος τήν ἀρετήν, καί τοσαύτην πλουτοῦσαν τῇ χάριτι θεόθεν δεξάμενος δύναμιν· καί τῶν ἐπί (649) τούτῳ πάλαι προκεχειρισμένων, καί προβεβλημένων ὑπεραίρουσαν τοσοῦτον, ὅσον ἡμεῖς, ἤγουν ἡ καθ᾽ ἡμᾶς γενεά πολλῷ βάρει κακίας καταπεπιεσμένοι ἐδεόμεθα πρός ἀνάνευσιν καί ἐκ τῆς τῶν κακούντων ἡμᾶς πληθύος. Ἀνήρ εἰ καί τις ἄλλος τῶν πάλαι τε καί νῦν φιλοθεωτάτων ἀγαθός τε καί φιλάνθρωπος, ἐλεήμων, πραΰς, ἀνεκτικός, μακρόθυμος, ταπεινόφρων, σώφρων, ἀόργητος, ἀφιλάργυρος, ἀγαπητικός, ἀμνησίκακος, εὐεργετικός, φιλόξενος, φιλόπτωχος, συμπαθής, κοινωνικός, σπουδαιότατος, ἄγρυπνος, φιλεκκλήσιος· καί τό δή πάντων τιμιώτερον, τοῦ κατά τήν ὀρθήν πίστιν εὐσεβοῦς λόγου ζηλωτής ἐκθυμώτατος. Καί τά λοιπά ἀκολούθως ἐν τῇ προτέρᾳ περιέχεται ἐπιστολῇ· καθ᾽ ἥν καί δι᾽ ἄλλης τῷ εὐλογημένῳ μου δεσπότῃ συλλαβῆς ἐκ μέρους ἐσήμανα. Πάντα γάρ τά τοῦ ἀνδρός κατορθώματα λόγου δυνάμει περιληφθῆναι τῶν ἀμηχάνων ἐστί καί ἀνεγχωρήτων· καί ταῦτα διά τό μόνον γινώσκοντα τόν θεοφύλακτόν μου δεσπότην τοῦ ἀνδρός τό φιλόθεον, ὡς θείας δι᾽ αὐτῶν τῶν πραγμάτων ὑπό τῆς χάριτος ὄντα, δέξασθαί τε καί τιμῆσαι δεδήλωκα· καί παραθέσθαι τοῖς ἐπί γῆς τό θεῖον εἰκονίζουσι κράτος εὐσεβέσι καί πανημέροις ἡμῶν βασιλεῦσι· καί πεῖσαι γλώσσας ἀδίκους ἀνδρῶν παρανόμων μή παραδέχεσθαι, ποιούσας δόλον ὡσεί ξυρόν ἠκονημένον, καί ἀγαπώσας κακίαν ὑπέρ ἀγαθωσύνην· ἵνα μή χώρα τῷ ψεύδει κατά τῆς ἀληθείας δοθῇ, καί παῤῥησίαν λάβῃ κατά τῆς δικαιοσύνης ἡ ἀδικία· καί ἁπλῶς κατά πάσης ἀρετῆς ἡ κακία, διά τῆς εἰς ἄλληλα τούτων ἐναλλαγῆς καί συγχύσεως. Γέγραπται γάρ, Ζημιοῦν ἄνδρα δίκαιον, οὐκ ἀγαθόν· οὐδ᾽ ὅσιον ἐπιβουλεύειν δυνάσταις δικαίοις. Τοῦτο γάρ ἐργάζεσθαι τῷ εὐλογημένῳ μου δεσπότῃ πρέπει, ὄντι σοφίας ἐραστῇ καί φρονήσεως· ἥν διά παντός φυλαχθῆναι τῷ θεοφυλάκτῳ μου δεσπότῃ εὔχομαι φύλακα τυγχάνουσαν τῆς ψυχῆς αὐτοῦ καί τοῦ σώματος. Τόν δέ ταύτην ἐπιφερόμενον, τῆς ἐμῆς οὐδενίας συλλαβήν, πρεσβυτέραν ἔχοντα τῆς

ἡλικίας τοῦ σώματος τῆς ψυχῆς τήν φρόνησιν, παρακαλῶ δεχθῆναι προσφόρως διά τήν ἐμπρέπουσαν αὐτῷ σύνεσιν, ὡς τῆς θείας τῶν λόγων σπουδῆς μεταποιούμενον, καί γνήσιον περί ἐμέ τόν ταπεινόν σχέσιν ἔχειν οὐκ ἀπαξιοῦντα.

DE SANCTA TRINITATE DIALOGI TRES **Σελ.** (652)

***Τῷ θεοφιλεστάτῳ καί εἰς ἄκρον παιδείας ἐληλακότι, κυρίῳ Μαξίμῳ τῷ Μαργουνίῳ ἐπισκόπῳ Κυθήρων, Δαβίδ ὁ Ἐσχέλιος, εὐδαιμόνως διαζῆν.***

Ἐν πᾶσι μέν τοῖς ἱεροῖς λόγοις, θεοφιλέστατε δέσποτα, ὑποθήκας εὑρίσκομεν, ὡς χρή ζῆν κοσμίως τε καί ἐναρέτως· μάλιστα δέ οἷς ὁ θεῖος Ἀπόστολος παραινεῖ, εὐσχημόνως περιπατεῖν πρός τούς ἔξω. Καί πάλιν εὐσχημόνως καί κατά τάξιν πάντα γίνεσθαι. Εἰ γάρ καί οἱ τῆς θεοπνεύστου διδασκαλίας ἀμύητοι, τό, πρεπόντως τιμῆσαι τό Ὄν, εὐτάκτως ἐν ταῖς ὁδοῖς βαδίσαι, φιλοφρονήσασθαι ἀλλήλους ἴδιον ἔργον ἀνθρώπου καλῶς ἀπεφήναντο· μᾶλλον πάντως τοῖς θεοδιδάκτοις πρέπει εὐχαριστικῶς τε καί τιμητικῶς ἔχειν Θεοῦ. Ὁσίως διάγειν τόν βίον, φιλανθρωπεύεσθαι πρός πάντας, καί ἑκάστοτε τήν ἀναστροφήν ἔχειν καλήν ἐν τοῖς ἔθνεσιν· ἵνα, ἐν ᾧ καταλαλοῦσιν αὐτῶν [καθά φησίν που ὁ ἅγιος Πέτρος] ὡς κακοποιῶν, ἐκ τῶν καλῶν ἔργων ἐποπτεύοντες, δοξάσωσι τόν Θεόν ἐν ἡμέρᾳ τῆς ἐπισκοπῆς. Τοῦτο αὐτό οἱ πάλαι πάντοτε κἀν ταῖς Συνάξεσι τῶν ἁγίων διετήρουν· οὕτω τά καθ᾽ ἕκαστον τε μετά πάσης εὐλαβείας διαπραξάμενοι, ὥστε μεγάλα τε καί μικρά δοκοῦντα, θεοπρεπές τι καί ὑπέρ ἄνθρωπον ὑποδεικνύναι. Οἷον τεκμήραιτ᾽ ἄν τις καί ἐξ ἧς κατέλιπε βίβλου Μάξιμος ὁ τήν ἐπίκλην Ὁμολογητής, καί τότε ἱεροτελεστίας λίαν ὀρθῶς ἀναζωγραφήσας. Ἧς τήν ἔκδοσίν σοι, αἰδεσιμώτατε Πάτερ, τά νῦν προσπεφώνηκα· τό ὁμώνυμόν σου, ὥς τινα σωτῆρα Δία, ἐπιγραφομένην, καί κατά τῆς τῶν ἀμαθῶν βασκανίας ὡς παράρτυμα περιαπτομένην. Τοῦτο τό συναταγμάτιον, πρώτως μέν παρά σοῦ μοι πεμφθέν, εἶτα δ᾽ ἐν μεμβράναις κἀνταῦθα προσπορισθέν, ἀνάκειταί σοι. Οἶμαι δέ ἄν αὐτόν τόν Μάξιμον, εἴπερ νῦν ἀναβιῴη, τοῦ ἱερατικοῦ πάλαι γεγονότος τέλους περιχαρῆναι, ὅτι ἐπεφωνήθη τῶν ἀρχιερέων τῆς Ἑλλάδος τῷ πάνυ, καί οὐκ ἄν διά τοῦτο τῆς ἐμῆς γνώμης διαφωνῆσαι. Ἀσμένως οὖν, τάδε τό δωρίδιον καί προσφιλῶς ἀπόδεξαι,

Ληψόμενος (ἐάν Θεός θελήση) μετ᾽ οὐ πολύ, μυστικήν τοῦ αὐτοῦ ὁσίου Μαξίμου εἰς τό, Πάτερ ἡμῶν, πρός τινα φιλόχριστον, ἑρμηνείαν, καί ἄλλα τῶν πάλαι (653) συγγραφέων. Ἡ τοῦ Φωτίου Μυριόβιβλος ἤδη Ἑλληνιστί παρ᾽ ἡμῖν, πόνῳ και ἐπιμελείᾳ μου, ἀντιγράφοις γ´ διαφόροις χρωμένου, ἐντυποῦται. Ἐῤῥωμένος διαφυλάσσοιο τῇ τοῦ Θεοῦ Ἐκκλησίᾳ, τῇ αὐτοῦ χάριτι, πανεύφημε καί θεοφρούρητε δέσποτα.

***Ἐν Αὐγούστῃ Οὐϊνδελικῶν Μουνιχιῶνος ἑβδόμῃ φθίνοντος, ἔτει ἀπό τῆς Ἐνσαρκώσεως τοῦ Λόγου αφηθ´.***

***Μάξιμος ὁ Μαργούνιος, ταπεινός Κυθήρων ἐπίσκοπος, Δαυΐδη τῷ Ἐσχελίῳ, σοφωτάτῳ ἀνδρί, εὖ πράττειν.***

Περί τῆς τῶν τοῦ ἱεροῦ Μαξίμου προσφωνητικῆς, ὑπέρχαρι μέν ἔμοιγ᾽ ἄν εἴη, εἰ ὥσπερ τοῦ ὀνόματος τῷ μακαρίῳ ἐκείνῳ, οὕτω, καί τῆς ἄνωθεν αὐτῷ δαψιλῶς χορηγηθείσης συγκοινωνοίην χάριτος. Καί ἦν ἄν ἄρα ταύτῃ ἡ τῶν προσώπων κοινωνία οὐκ ἀσύμφωνος. Ἐπειδή δ᾽ ἐκ τῆς ἐνοικούσης ἡμῖν ἀμελείας, μᾶλλον δέ καί ὥσπερ συμπεφυκυίας, ἐκ διαμέτρου τοῖς ἐκείνου τά ἡμέτερα φαίρεται· ὅσον γε ἥκει εἴς τε σοφίαν καί τήν ἄλλην ἀρετήν· καί σκεῦος ἀχρεῖον, οἷον δή τοὐμόν τῆς ψυχῆς, τήν τοιούτου ἐκλεκτοῦ μύρου εὐωδίαν χωρεῖν οὐ μεμάθηκε, τί ἐμοί, πρός τοῦ Φιλίου, καί τῷ σοφωτάτῳ ἐκείνῳ τά θεῖα καί ἁγιωτάτῳ ἀνδρί; Ὅπως μή παρά τό πρέπον, καί τήν ἐμήν ἀξίαν ποιήσῃς, μιγνύων τά ἄμικτα, καί ὧν ἥ γε ὁποιαοῦν συνδρομή, διά τό τοῦ τρόπου διάφορον, ἀφιλάλληλος· καί τῶν ἀδύτων καί ἀποῤῥήτων τούς ἔτι πρός τῇ ὑπωρείᾳ καθεζομένους, καί στοιχειουμένους τά θεῖα καταξιῶν. Οὕτως μέν οὐκ ἔχω γνώμης ἐγώ· εἰ δ᾽ ἄλλως σοί, καί βέλτιον ἤ κατά τήν ἐμήν γνώμην δόξειεν, ἐπί σοί κείσεται τό βουληθέν διαπράξασθαι. Καί εἰ τοῦτο εὖ οἶδ᾽ ὅτι οὔτε παρά τό πρέπον τι πράξῃ, οὔτε μήν παρά τήν ἐμήν ἀξίαν, ἐπίσκοπον οὐκ ἀγνοῶν ταπεινόν, εἰ καί μή σπουδαῖον τούς τρόπους, ἀλλά φιλάρετον· καί μαθητήν ἁλιέων, εἰ καί μή κατ᾽ ἐκείνους, ἀλλά γε τῶν ἐκείνων ἰχνῶν, ὅσον σθένος, ἐχόμενον· καί τήν κατά Θεόν φιλοσοφίαν μετά τοῦ εὐσεβοῦς καί ὀρθοδόξου ἀντί πάντων διώκοντά τε καί ἀσπαζόμενον. Χαριῇ μοι τά μέγιστα, διαμηνύων μοι, εἴ που τυχόν κατα τό παρόν τά τῆς τοῦ Φωτίου βιβλιοθήκης Ἑλληνιστί ἐκτυποῦται, εἰ μέλλει ἐκτυπωθήσεσθαι. Ἐῤῥωμένος μοι διαφυλάσσοιο ἐν Χριστῷ ψυχῇ τε καί σώματι, ἀνδρῶν σοφώτατέ μοι καί φιλικώτατε.

Ἐνετίηθεν Σκιῤῥοφοριῶνος πέμπτῃ φθίνοντος, κατά τό αψηθ΄ ἔτος τό σωτήριον.

***Ὁ αὐτός Μάξιμος Μαργούνιος, τοῖς περί τήν ἱεράν φιλοσοφίαν ἐσχολακόσι, χάριτος θείας ἐπίδοσιν.***

Οἷος μέν ὁ ἱερός Μάξιμος, καί οἵους ὑπέρ τῆς τῶν τῆς ἱερᾶς Ἐκκλησίας δογμάτων συστάσεως, πρός (656) αἱρετικούς διαμαχόμενος, τούς ἀγῶνας ὑπέστη· ἥ τε πρός Πύῤῥον τόν δυσσεβῆ αὐτοῦ προσδιάλεξις, περί τοῦ δεῖν δύο μετά τήν ἕνωσιν ἐπί Χριστοῦ φύσεις ὁμολογεῖν, καί ἄλλα πλεῖστα τῶν αὐτοῦ συγγραμμάτων, τῆς κατά Θεόν σοφίας πληρέστατα, σαφῶς παριστάνουσιν· ὅπως δέ καί δεξιώτατον μετά τοῦ εὐσεβοῦς διαλλάκτην τε καί διαιτητήν παρέσχεν ἑαυτόν τῆς μεταξύ τῶν Ἐκκλησιῶν

ἀναφυείσης ποτέ διαμφισβητήσεως· ἀλλά καί ἐν μέρει ἔστιν οἷς τῶν ἁγίων τό πάντῃ ἀνεπίληπτον ἔν γε τοῖς ἑαυτῶν συγγράμμασι διετήρησεν· ἥ τε πρός Μαρῖνον Κύπρου πρεσβύτερον ἐπιστολή, καί ἡ τῶν ἱεροῦ Νύσσης λόγων, ὅσα γε εἰς τήν ἀποκατάστασιν ἥκει, γενομένη αὐτῷ θεραπεία, καί ἄλλα τοιαῦτα λαμπῶς πάνυ ἀνακηρύττουσιν. Ἐν οἷς μέντοι ἑαυτόν ἑρμηνέα καθίστησι τῆς ἁγίας Γραφῆς, οὕτως ἀνακαθαίρει τοῦ ὑλώδους ἐπικαλύμματος τόν ἐγκεκρυμμένον τοῖς ἱεροῖς λογίοις θησαυρόν, καί τῶν προσεχόντων αὐτῷ κατακαλλύνει τό ἦθος, τό πρός τήν ὕλην ἐπιῤῥεπές τῆς ψυχῆς πρός κάλλος ἀποξέων πνευματικόν, πρός τε τό ὑψηλόν τῆς θεωρίας ἀναβιβάζων τόν νοῦν, καί τῶν θείων μύστας τε καί ἐπόπτας ἀπεργαζόμενος, ὡς εἰς θεῖόν τι ἄγαλμα τῆς καθ᾽ ὁμοίωσιν ὡραιότητος τοῦ κάλλει ὡραίου παρά τούς υἱούς τῶν ἀνθρώπων μετασκευάζειν αὐτούς· καί εἰς τήν κατά Θεόν τελείωσιν ταἰς ἐπί τά κρείττω τοῦ νοῦ ἀναβάσεσι χειραγωγεῖν. Πολύ δέ, ὅσα γε ἐμέ εἰδέναι, τούς ἄλλους παρήλασε τῷ μυστικωτέρῳ τε καί ἀναγωγικωτέρῳ τῆς ἑρμηνείας τρόπῳ. Καί γάρ κάτω που καταλείπων πολλάκις τό τοῦ λόγου οἷόν τι προκάλυμμα ταπεινόν, τῷ ὕψει καί μόνῳ τῶν νοημάτων ἐντρυφᾷ· καί πολύς ἐστιν ἐν τῷ δαψιλῇ τούτων τοῖς τῶν τοιούτων καλοῖς δαιτυμόσι συμπαρασκευάζειν τήν τράπεζαν. Ἴσασι τοῦτο οἱ μή ἐπιπολαιότερον τοῖς πρός Θαλάσσιον τόν πρεσβύτερον περί διαφόρων ἀπόρων τῆς ἁγίας Γραφῆς ἐγκεκυφότες ζητήμασι· τοῖς πρός Ἐλπίδιον περί ἀγάπης τετρακοσίοις κεφαλαίοις· τοῖς περί θεολογίας καί τῆς ἐνσάρκου οἰκονομίας, διακοσίοις· καί τοῖς περί ἀρετῶν καί κακίας πεντακοσίοις·

καί ταῖς πρός διαφόρους αὐτοῦ ἐπιστολαῖς, καί ἄλλοις τοιούτοις· δι᾽ ὧν ἕκαστος τῶν μετά προσοχῆς ἀναγινωσκόντων, τῆς πρός τήν ὕλην συμπαθείας ἀνώτερος γίγνεται, καί οἷον ἀναπτεροῦται πρός τήν τοῦ Θείου δυνατήν κατανόησιν καί ἀγάπησιν. Κρινόντων ἄλλοι, οἵ γε ἡμῶν κριτικώτεροι, τό περί τήν ἔξω σοφίαν τοῦ ἱεροῦ ἀνδρός περιττόν, τό πρακτικόν ἐν θεωρίᾳ, τό ἐν πράξει θεωρητικόν, τήν καλήν ὄντως ἀντιστροφήν, καί πάσῃ θεοφιλεῖ ψυχῇ ἀξιέραστον ξυνωρίδα· οἷς πᾶσιν οὐ μόνον δογματιστής ἀκριβής καί θεολόγος, ἀλλά δή καί φιλόσοφος ἀναδείκνυται. Τοιούτου δέ γένους, καί τό παρόν ἐστι σύγγραμμα, τό περί τοῦ, Τίνων σύμβολα τά κατά τήν ἁγίαν Ἐκκλησίαν ἐπί τῆς θείας Συνάξεως τελούμενα, πραγματεία, τῷ ὄντι πᾶσι Χριστιανοῖς, καί μάλιστα τοῖς περί τάς ἱερᾶς τελετάς κατασχολουμένοις, καί τόν τοῦ Θεοῦ λαόν διδάσκειν ἐμπεπιστευμένοις, λυσιτελεστάτη τε ἅμα καί ἀναγκαιοτάτη· ἐν ᾗ τοσοῦτον ἀνώτερος γέγονεν ἑαυτοῦ, ὅσῳ γε τῶν ἄλλων ἡ τοιαύτη θεωρία ὑψηλοτέρα καθέστηκε, τήν χωρητήν ἡμῖν τῶν κατά τήν τοῦ Χριστοῦ Ἐκκλησίαν τελουμένων μυστηρίων γνῶσιν ἐμποιοῦσα καί τήν ἐν οὐρανοῖς ἱεραρχίαν ἐκμιμεῖσθαι παρασκευάζουσα. Ταῦτ᾽ οὖν ὁλοψύχως ἀποδεξάμενοι, ὦ τῆς εὐσεβείας διάπυροι ἐρασταί, καί τῶν ἐν τούτοις καλῶν ἔν γε τῷ μεταξύ ἀπολαύοντες, ἀντί τούτων τοῖς χαρισαμένοις τήν πρός Θεοῦ χάριν ἐκλιπαροίητε, ὅσον οὔπω καί τοῖς ἄλλοις τούτου πανσόφοις συγγράμμασιν ἐντευξόμενοι. Ἔῤῥωσθε ἐν Χριστῷ Σωτῆρι.

Ἐνετίῃσιν, Ἀνθεστηριῶνος τετάρτῃ φθίνοντος, κατά τό αφιθ΄ ἔτος τό σωτήριον.

**ΤΟΥ ΑΓΙΟΥ ΜΑΞΙΜΟΥ ΜΥΣΤΑΓΩΓΙΑ, Σελ.** 657

ΠΕΡΙ ΤΟΥ ΤΙΝΩΝ ΣΥΜΒΟΛΑ ΤΑ ΚΑΤΑ ΤΗΝ ΑΓΙΑΝ ΕΚΚΛΗΣΙΑΝ ΕΠΙ ΤΗΣ ΣΥΝΑΞΕΩΣ ΤΕΛΟΥΜΕΝΑ ΚΑΘΕΣΤΗΚΕ.

***ΠΡΟΟΙΜΙΟΝ.***

Πῶς σοφώτερος γίνεται λαβών ἀφορμήν ὁ σοφός· καί δίκαιος γνούς, προσθήσει τοῦ δέχεσθαι, κατά τήν θείαν Παροιμίαν· σαφῶς αὐτός, πάντων μοι τιμιώτατε, κατ᾽ αὐτήν ἔδειξας τήν πεῖραν· ἔργῳ διδάξας ὅπερ ὁ θεῖος σοφῶς ὑπαινίσσεται λόγος. Ἅπαξ γάρ ἀκούσας μου κατ᾽ ἐπιδρομήν ἐπιτόμως, ὡς οἷόν τε ἦν, ἀφηγουμένου τά ἄλλῳ τινί μεγάλῳ γέροντι, καί ὄντως τά θεῖα σοφῷ περί τε τῆς ἁγίας Ἐκκλησίας, καί τῆς ἐν αὐτῇ ἐπιτελουμένης ἁγίας συνάξεως, καλῶς τε

καί μυσικῶς θεωρηθέντα· καί, ὡς ἐνῆν μάλιστα διδασκαλικῶς· ἀπήτεις με (661) κατεπείγων ἐξαυτῆς, ἔγγραφόν σοι ποιεῖσθαι τήν τούτων διήγησιν· λήθης φάρμακον καί βοήθειαν μνήμης ἔχειν τό γράμμα βεβουλημένος, φυσικῶς τόν χρόνον ἐχούσης φάσκων δαμάζοντα· καί ἀνεπαισθήτως διά λήθης τῶν ἐναποκειμένων καλῶν συλᾶν τε καί ἀφανίζειν παντελῶς τούς τύπους καί τάς εἰκόνας δυνάμενον· καί διά τοῦτο πάντως δεομένης τοῦ ἀνακαινίζοντος τρόπου, καθ᾽ ὅν ἡ τοῦ λόγου δύναμις διά παντός ἀκμάζουσα συντηρεῖν πέφυκε τήν μνήμην ἀπαθῆ καί ἀμείωτον. Ὅσον δέ τοῦ ἁπλῶς ἀκούειν, τό καί διαμονήν ἀκαθαίρετον τῶν ἀκουσθέντων ἐπιζητεῖν, ἐστί σοφώτερον, ἐπίσταται πάντως πᾶς ὁ καί μικρόν εὐγενείας λογικῆς ἐπιμελούμενος, καί μή πάντη τῆς πρός τόν λόγον οἰκειότητος ὑπάρχων ἀλλότριος.

Κἀγώ μέν ὤκνουν παρά τήν ἀρχήν, τοῦ λόγου (εἰρήσεται γάρ τἀληθές) τήν ὑπόθεσιν παραιτούμενος· οὐ τῷ μή θέλειν ὑμῖν, ἠγαπημένοι, παντί τρόπῳ διδόναι κατά δύναμιν τό καταθύμιον· ἀλλά τό μήτε τῆς ἐναγούσης πρός τοῦτο τούς ἀξίους μετειληφέναι χάριτος· μήτε μήν πεῖραν ἔχειν τῆς πρός τό λέγειν δυνάμεώς τε καί τριβῆς, ἰδιωτείᾳ συντεθραμμένος, καί λόγων τεχνικῶν παντελῶς ἀμύητος ὑπάρχων, τῶν ἐν μόνῃ τῇ προφορᾷ τήν χάριν ἐχόντων· οἷς οἱ πολλοί μάλιστα χαίρουσι, τῇ ἀκοῇ τήν ἡδονήν περιγράφοντες, κἄν εἰ μηδέν τῶν τιμίων διά βάθους πολλάκις ἔχοιεν· καί τό, κυρώτερον εἰπεῖν καί ἀληθέστερον, δεδοικέναι μή καθυβρίσειν τῇ εὐτελείᾳ τοῦ ἡμετέρου λόγου τήν ἐκείνου τοῦ μακαρίου ἀνδρός περί τῶν θείων ὑψηγορίαν τε καί νόησιν· ὅμως δι᾽ οὖν ὕστερον τῇ βίᾳ τῆς ἀγάπης εἴξας, τῆς πάντων ἰσχυροτέρας, ἐδεξάμην ἑκών τό ἐπίταγμα· γελᾶσθαι μᾶλλον ἐπ᾽ αὐθαδείᾳ τε καί ἀπαιδευσίᾳ, δι᾽ εὐπείθειαν παρά τῶν μεμψιμοίρων ἑλόμενος, ἤ ὑμῖν διά τῆς ἀναβολῆς ἐν παντί καλῷ μή συμπροθυμεῖσθαι βούλεσθαι νομισθῆναι· τήν περί τοῦ πῶς εἰπεῖν μέριμναν τῷ Θεῷ ἐπιῤῥίψας, τῷ μόνῳ θαυματουργῷ· καί διδάσκοντι μέν ἄνθρωπον γνῶσιν, τρανοῦντι δέ γλῶσσαν μογιλάλων καί τοῖς ἀπόροις πόρον ἐπινοοῦντι· καί ἐγείροντι μέν ἀπό γῆς πτωχόν, ἀπό δέ κοπρίας ἀνυψοῦντι πένητα· τοῦ σαρκικοῦ λέγω φρονήματος, καί τῆς δυσώδους τῶν παθῶν ἰλύος· τόν φτωχόν τῷ πνεύματι ἤ τόν κακίας πτωχεύοντα, καί τῆς κατ' αὐτήν πενόμενον ἕξεως· ἤ τοὐναντίον, καί τόν ἔτι τῷ νόμῳ τῆς σαρκός καί τοῖς πάθεσιν ἐνεχόμενον, καί διά τοῦτο τῆς κατ' ἀρετήν καί γνῶσιν πτωχεύοντα καί πενόμενον χάριτος.

Ἀλλ᾽ ἐπειδή τῷ παναγίῳ καί ὄντως θεοφάντορι Διονυσίῳ τῷ Ἀρεοπαγίτῃ ἐν τῇ περί τῆς ἐκκλησιαστικῆς Ἱεραρχίας πραγματείᾳ, καί τά κατά τήν ἱεράν (661)) τῆς ἁγίας συνάξεως τελετήν ἀξίως τῆς αὐτοῦ μεγαλονοίας τεθεώρηται σύμβολα· ἰστέον, ὡς οὐ τά αὐτά νῦν ὁ λόγος διεξέρχεται, οὔτε διά τῶν αὐτῶν ἐκείνῳ προέρχεται. Τολμηρόν γάρ καί αὔθαδες καί ἀπονοίας ἐγγύς, ἐγχειρεῖν τοῖς ἐκείνου πειρᾶσθαι, τόν μήτε χωρεῖν αὐτόν ἤ νοεῖν δυνάμενον· καί ὡς ἴδια προκομίζειν, τά ἐνθέως ἐκείνῳ μόνῳ διά τοῦ Πνεύματος φανερωθέντα μυστήρια· ἀλλ᾽ ὅσα καί ἄλλοις ὡς ληπτά παρ᾽ αὐτοῦ φιλανθρώπως βουλήσει Θεοῦ παρελείφθη πρός ἔκθεσιν καί γυμνασίαν τῆς αὐτῶν ἐκείνων περί τά θεῖα κατά τήν ἔφεσιν ἕξεως· καί δι᾽ ὧν συμμέτρως αὐτοῖς ἡ παμφαής τῶν τελουμένων ἀκτίς κατανοουμένη καθίσταται γνώριμος, καί πρός ἑαυτήν κατέχει τῷ πόθῳ περιληφθέντας, ἵνα μή παντελῶς οἱ μετ᾽ αὐτόν ὦσιν ἀργοί, τήν πᾶσαν τοῦ χρόνου τῆς παρούσης ζωῆς ἡμέραν, οὐκ ἔχοντες τόν πρός τήν θείαν ἐκείνην ἀμπελουργίαν μισθούμενον λόγον, τόν ὑπέρ τῆς πνευματικῆς ἐργασίας τοῦ πνευματικοῦ ἀμπελῶνος, τό συλωθέν κατ᾽ ἀρχάς ὑπό τοῦ πονηροῦ δι᾽ ἀπάτης κατά τήν τῆς ἐντολῆς παράβασιν, πνευματικόν τῆς θείας καί βασιλικωτάτης εἰκόνος δηνάριον ἀποδιδόντα.

Οὐ πάντα δέ τά τῷ μακαρίῳ γέροντι μυστικῶς θεωρηθέντα λέγειν καθεξῆς ἐπαγγέλλομαι· οὐδ᾽ αὐτά τά λεγόμενα, ὡς ἐνοήθη τε παρ᾽ ἐκείνου καί ἐλέγθη. Ἐκεῖνος γάρ, πρός τό φιλόσοφος εἶναι, καί πάσης παιδείας διδάσκαλος, δι᾽ ἀρετῆς περιουσίαν καί τῆς περί τά θεῖα χρονιωτέρας τε καί ἐπιστημονικωτέρας τριβῆς καί φιλοπονίας, τῶν τῆς ὕλης δεσμῶν καί τῶν κατ᾽ αὐτήν φαντασιῶν ἐλεύθερον ἑαυτόν καταστήσας, τόν τε νοῦν εἰκότως εἶχε ταῖς θείας αὐγαῖς περιλαμπόμενον, καί διά τοῦτο δυνάμενον εὐθέως ὁρᾷν τά τοῖς πολλοῖς μή ὁρώμενα, καί τόν λόγον ἑρμηνευτήν ἀκριβέστατον τῶν νοηθέντων· καί ἐσόπτρου δίκην ὑπ᾽ οὐδεμιᾶς κηλίδος παθῶν ἐμποδιζόμενον, ἀκραιφνῶς τά ἄλλοις μήτε νοηθῆναι δυνάμενα, καί φέρειν καί λέγειν ἰσχύοντα· ὡς δύνασθαι τούς ἀκροατάς ὅλον μέν τῷ λόγῳ τόν νοῦν ὁρᾷν ἐποχούμενον· ὅλα δέ ὅλῳ τῷ νῷ καθαρῶς ἐμφαίνεσθαι τά νοηθέντα, καί διά τῆς τοῦ λόγου μεσιτείας αὐτοῖς διαπορθμευόμενα δέξασθαι· ἀλλ᾽ ὅσα διά μνήμης τε φέρω, καί ὡς νοεῖν ἀμυδρῶς, καί λέγειν ἀμυδρότερον δύναμαι· πλήν εὐσεβῶς, χάριτι τοῦ τά ἐσκοτισμένα φωτίζοντος Θεοῦ. Μηδέ γάρ οἴεσθαι δεῖν ὑμᾶς ὑπολαμβάνω, δικαίως κρίνειν εἰδότας, ἄλλως με νοεῖν ἤ λέγειν

δύνασθαι, ἤ ὡς νοεῖν καί λέγειν δύναμαι, καί ἡ ἄνωθεν χάρις ἐνδίδωσιν, οἰκείως τῆς ἀναλογούσης μοι προνοουμένης δυνάμεως, κἄν ὁ παραδούς μάλιστα, καί διδάξας ἐστίν ὑψηλότατος. Ἐπεί τό τά ἴσα ζητεῖν παρά τῶν μή ἴσων τήν ἀρετήν καί τήν γνῶσιν, οὐ πόῤῥω μοι δοκεῖ τυγχάνειν τῶν δείξειν πειρωμένων τῷ ἡλίῳ, κατά τό ἴσον τήν σελήνην (664) φωτίζουσαν· καί τά μή πάντη ταῦτα συμβαίνειν ἀλλήλοις κατά πάντα δύνασθαι βιαζομένων· ὅπερ ἀμήχανον καί ἀδύνατον.

Ἡγείσθω δέ Θεός τῶν λεγομένων τε καί νοουμένων, ὁ μόνος νοῦς τῶν νοούντων καί νοουμένων, καί λόγος τῶν λεγόντων καί λεγομένων· καί ζωή τῶν ζώντων καί ζοουμένων, καί πᾶσι πάντα καί ὤν καί γινόμενος, δι᾽ αὐτά τά ὄντα καί γινόμενα· δι᾽ ἑαυτόν δέ οὐδέν κατ᾽ οὐδένα τρόπον οὐδαμῶς οὔτε ὤν οὔτε γινόμενος, τῶν ἅ τι τῶν ὄντων ἐστί καί γινομένων, οἷα μηδενί τό παράπαν τῶν ὄντων φυσικῶς συντασσόμενος· καί διά τοῦτο, τό μή εἶναι μᾶλλον, διά τό ὑπερεῖναι, ὡς οἰκειότερον ἐπ' αὐτοῦ λεγόμενον προσιέμενος. Δεῖ γάρ , εἴπερ ὡς ἀληθῶς τό γνῶναι διαφοράν Θεοῦ καί κτισμάτων ἐστίν ἀναγκαῖον ἡμῖν, θέσιν εἶναι τοῦ ὑπερόντος τήν τῶν ὄντων ἀφαίρεσιν· καί τήν τῶν ὄντων θέσιν, εἶναι τοῦ ὑπερόντος ἀφαίρεσιν· καί ἄμφω περί τόν αὐτόν κυρίως θεωρεῖσθαι τάς προσηγορίας, καί μηδεμίαν κυρίως δύνασθαι· τό εἶναί φημι καί μή εἶναι. Ἄμφω μέν κυρίως, ὡς τῆς μέν τοῦ εἶναι τοῦ Θεοῦ κατ᾽ αἰτίαν τῶν ὄντων θετικῆς· τῆς δέ καθ᾽ ὑπεροχήν αἰτίας τοῦ εἶναι πάσης τῶν ὄντων ἀφαιρετικῆς· καί μηδέ μίαν κυρίως πάλιν, ὡς οὐδεμιᾶς τήν κατ᾽ οὐσίαν αὐτήν καί φύσιν τοῦ τί εἶναι τοῦ ζητουμένου θέσιν παριστώσης. Ὧ γάρ μηδέν τό σύνολον φυσικῶς κατ᾽ αἰτίαν συνέζευκται, ἤ ὄν ἤ μή ὄν· τούτῳ οὐδέν τῶν ὄντων καί λεγομένων, οὐδέ τῶν μή ὄντων καί μή λεγομένων, εἰκότως ἐστίν ἐγγύς. Ἁπλῆν γάρ καί ἄγνωστον καί πᾶσιν ἄβατον ἔχει τήν ὕπαρξιν, καί παντελῶς ἀνερμήνευτον, καί πάσης καταφάσεώς τε καί ἀποφάσεως οὖσαν ἐπέκεινα. Καί ταῦτα μέν περί τούτων· ἐπί δέ τήν προκειμένην τοῦ λόγου ὑπόθεσιν ἔλθωμεν.

### ***ΚΕΦΑΛΑΙΟΝ . Α΄.***

### ***Πῶς τε καί ποίῳ τρόπῳ εἰκών ἐστι καί τύπος Θεοῦ ἡ ἁγία Ἐκκλησία.***

Τήν τοίνυν ἁγίαν Ἐκκλησίαν κατά πρώτην θεωρίας ἐπιβολήν, τύπον καί εἰκόνα Θεοῦ φέρειν, ἔλεγεν ὁ μακάριος γέρων ἐκεῖνος· ὡς

τήν αὐτήν αὐτῷ κατά μίμησιν καί τύπον ἐνέργειαν ἔχουσαν. Ὥσπερ γάρ ὁ Θεός πάντα τῇ ἀπείρῳ δυνάμει ποιήσας καί εἰς τό εἶναι παραγαγών, συνέχει καί συνάγει καί περιγράφει, καί ἀλλήλοις καί ἑαυτῷ προνοητικῶς ἐνδιασφίγγει· τά τε νοητά καί τά αἰσθητά· καί περί ἑαυτόν ὡς αἰτίαν καί ἀρχήν καί τέλος πάντα περικρατῶν, τά κατά τήν φύσιν ἀλλήλων διεστηκότα, κατά μίαν τήν πρός αὐτόν ὡς ἀρχήν σχέσεως δύναμιν ἀλλήλοις συννενευκότα ποιεῖ· καθ᾽ ἥν (665) εἰς ταυτότητα κινήσεώς τε καί ὑπάρξεως ἀδιάφθορον καί ἀσύγχυτον ἄγεται τά πάντα, πρός οὐδέν οὐδενός τῶν ὄντων προηγουμένως κατά φύσεως διαφοράν ἤ κινήσεως στασιάζοντός τε καί διαιρουμένου· πάντων πᾶσι κατά τήν μίαν τῆς μόνης ἀρχῆς καί αἰτίας ἀδιάλυτον σχέσιν τε καί φρουράν ἀφύρτως συμπεφυκότων· τήν πάσας τε καί ἐπί πᾶσι κατά τήν ἑκάστου τῶν ὄντων φύσιν θεωρουμένας ἰδικάς σχέσεις, καταργοῦσάν τε καί ἐπικαλύπτουσαν· οὐ τῷ φθείρειν αὐτάς καί ἀναιρεῖν καί μή εἶναι ποιεῖν· ἀλλά τῷ νικᾷν καί ὑπερφαίνεσθαι, ὥσπερ ὁλότης μερῶν· ἤ καί αὐτῆς αἰτία τῆς ὁλότητος ἐπιφαινομένη· καθ᾽ ἥν ἥ τε ὁλότης αὐτή, καί τά τῆς ὁλότητος μέρη φαίνεσθαί τε καί εἶναι πέφυκεν· ὡς ὅλην ἔχοντα τήν αἰτίαν ἑαυτῶν ὑπερλάμπουσαν· καί ὥσπερ ἥλιος ὑπερφανείς ἀστέρων καί φύσιν καί δύναμιν, οὕτω τήν αὐτῶν ὡς αἰτιατῶν αἰτίαν καλύπτουσαν ὕπαρξιν. Πέφυκε γάρ ὥσπερ ἐκ τῆς ὁλότητος τά μέρη, οὕτω δέ κἀκ τῆς αἰτίας τά αἰτιατά καί εἶναι κυρίως, καί γνωρίζεσθαι, καί τήν ἑαυτῶν σχολάζουσαν ἔχειν ἰδιότητα, ἡνίκα τῆς πρός τήν αἰτίαν ἀναφορᾶς περιληφθέντα, ποιωθῇ δι᾽ ὅλου· κατά τήν μίαν, ὡς εἴρηται, τῆς πρός αὐτήν σχέσεως δύναμιν. Πάντα γάρ ἐν πᾶσιν ὤν, ὁ ἀπείροις μέτροις ὑπέρ πάντα Θεός, μονώτατος τοῖς καθαροῖς τήν διάνοιαν ὁραθήσεται· ἡνίκα ὁ νοῦς τούς τῶν ὄντων θεωρητικῶς ἀναλεγόμενος λόγους, εἰς αὐτόν καταλήξει τόν Θεόν, ὡς αἰτίαν καί ἀρχήν καί τέλος τῆς τῶν ὅλων παραγωγῆς καί γενέσεως, καί πυθμένα τῆς πάντων περιοχῆς ἀδιάστατον.

Κατά τόν αὐτόν τρόπον καί ἡ ἁγία τοῦ Θεοῦ Ἐκκλησία, τά αὐτά τῷ Θεῷ περί ἡμᾶς ὡς ἀρχετύπῳ εἰκών ἐνεργοῦσα δειχθήσεται. Πολλῶν γάρ ὄντων καί ἀπείρων ἀριθμῷ σχεδόν, ἀνδρῶν τε καί γυναικῶν καί παίδων, γένει καί εἴδει, καί ἔθνεσι καί γλώσσαις, καί βίοις καί ἡλικίαις καί γνώμαις καί τέχναις καί τρόποις καί ἤθεσι καί ἐπιτηδεύμασιν· ἐπιστήμαις τε αὖ καί ἀξιώμασι, καί τύχαις καί χαρακτῆρσι καί ἕξεσιν, ἀλλήλων διῃρημένων τε καί πλεῖστον διαφερόντων τῶν εἰς αὐτήν γιγνομένων, καί ὑπ᾽ αὐτῆς ἀναγεννωμένων τε καί

ἀναδημιουργουμένων τῷ πνεύματι· μίαν πᾶσι κατά τό ἴσον δίδωσι καί χαρίζεται θείαν μορφήν καί προσηγορίαν, τό, ἀπό Χριστοῦ καί εἶναι καί ὀνομάζεσθαι· καί μίαν τήν κατά πίστιν ἁπλῆν τε καί ἀμερῆ καί ἀδιαίρετον σχέσιν, τήν τάς πολλάς καί ἀμυθήτους περί ἕκαστον οὔσας διαφοράς, οὐδ᾽ ὅτι κἄν εἰσί συγχωροῦσαν γνωρίζεσθαι, διά τήν τῶν πάντων εἰς αὐτήν καθολικήν ἀναφοράν καί συνέλευσιν· καθ᾽ ἥν οὐδείς τό παράπαν οὐδέν ἑαυτῷ τοῦ κοινοῦ διωρισμένος ἐστί· πάντων συμπεφυκότων ἀλλήλοις καί (668) συνημμένων, κατά τήν μίαν ἁπλῆν τε καί ἀδιαίρετον τῆς πίστεως χάριν καί δύναμιν. Ἦν γάρ πάντων, φησίν, ἡ καρδία καί ἡ ψυχή μία· ὡς ἐκ διαφόρων μελῶν, σῶμα ἕν καί εἶναι καί ὁρᾶσθαι, καί αὐτοῦ Χριστοῦ τῆς ἀληθινῆς ἡμῶν κεφαλῆς ὄντως ἄξιον· Ἐν ᾧ, φησίν ὁ θεῖος Ἀπόστολος, οὐκ ἔστιν ἄρρεν οὐδέ θῆλυ, οὔτε Ἰουδαῖος οὔτε Ἕλλην, οὔτε περιτομή οὔτε ἀκροβυστία, οὔτε βάρβαρος οὔτε Σκύθης· οὔτε δοῦλος οὔτε ἐλεύθερος· ἀλλά πάντα καί ἐν πᾶσιν αὐτός, ὁ πάντα κατά μίαν ἁπλῆν τῆς ἀγαθότητος ἀπειρόσοφον δύναμιν ἑαυτῷ περικλείων, ὥσπερ κέντρον εὐθειῶν τινων ἐξημμένων αὐτοῦ, κατά μίαν ἁπλῆν καί ἑνιαίαν αἰτίαν καί δύναμιν· τάς ἀρχάς τῶν ὄντων τοῖς πέρασιν οὐκ ἐῶν συναφίστασθαι, κύκλῳ περιγράφων αὐτῶν τάς ἐκστάσεις, καί πρός ἑαυτόν ἄγων τούς τῶν ὄντων καί ὑπ᾽ αὐτοῦ γενομένων διορισμούς· ἵνα μή ἀλλήλων παντάπασιν ἀλλότρια ᾖ καί ἐχθρά τά τοῦ ἑνός κτίσματα καί ποιήματα· οὐκ ἔχοντα περί τί καί ὅποι τό φίλον τι καί εἰρηνικόν καί ταυτόν πρός ἄλληλα δείξωσι· καί κινδυνεύσῃ αὐτοῖς καί αὐτό τό εἶναι εἰς τό μή ὄν μεταπεσεῖν, τοῦ Θεοῦ χωριζόμενον.

Εἰκών μέν οὖν ἐστι τοῦ Θεοῦ, καθώς εἴρηται, ἡ ἁγία Ἐκκλησία, ὡς τήν αὐτήν τῷ Θεῷ περί τούς πιστούς ἐνεργοῦσα ἕνωσιν, κἄν διάφοροι τοῖς ἰδιώμασι καί ἐκ διαφόρων καί τόπων καί τρόπων, οἱ κατ᾽ αὐτήν διά τῆς πίστεως ἑνοποιούμενοι τύχωσιν ὄντες· ἥν περί τάς οὐσίας τῶν ὄντων ἀσυγχύτως αὐτός ἐνεργεῖν πέφυκεν ὁ Θεός· τό περί αὐτάς διάφορον, ὡς δέδεικται, τῇ πρός ἑαυτόν ὡς αἰτίαν καί ἀρχήν καί τέλος, ἀναφορᾷ τε καί ἑνώσει παραμυθούμενός τε καί ταυτοποιούμενος.

### *ΚΕΦΑΛ. Β΄.*

### ***Περί τοῦ, πως, καί τινα τρόπον εἰκών ἐστι τοῦ ἐξ ὁρατῶν καί ἀοράτων οὐσιῶν ὑφεστῶτος κόσμου ἡ ἁγία τοῦ Θεοῦ Ἐκκλησία.***

Κατά δευτέραν δέ θεωρίας ἐπιβολήν, τοῦ σύμπαντος κόσμου τοῦ ἐξ ὁρατῶν καί ἀοράτων οὐσιῶν ὑφεστῶτος, εἶναι τύπον καί εἰκόνα,

τήν ἁγίαν τοῦ Θεοῦ ἐκκλησίαν, ἔφασκεν· ὡς τήν αὐτήν αὐτῷ καί ἕνωσιν, καί διάκρισιν ἐπιδεχομένην. Ὥσπερ γάρ αὕτη κατά την οἰκοδομήν εἷς οἶκος ὑπάρχουσα, τήν κατά τήν θέσιν τοῦ σχήματος ποιᾷ ἰδιότητι, δέξεται δαφοράν, διαιρουμένη εἴς τε τόν μόνοις ἱερεῦσί τε καί λειτουργοῖς ἀπόκληρον τόπον, ὅν καλοῦμεν ἱερατεῖον· καί τόν πᾶσι τοῖς πιστοῖς λαοῖς πρός ἐπίβασιν ἄνετον, ὅν καλοῦμεν ναόν. Πάλιν μία ἐστί κατά τήν ὑπόστασιν, οὐ συνδιαιρουμένη τοῖς ἑαυτῆς μέρεσι, διά τήν ἑαυτῶν πρός ἄλληλα τῶν μερῶν διαφοράν· ἀλλά καί αὐτά τῇ πρός τό ἕν ἑαυτῆς ἀναφορᾷ τά μέρη, τῆς ἐν τῇ κλήσει διαφορᾶς ἀπολύουσα, (669) καί ταυτόν ἀλλήλοις ἄμφω δεικνύουσα· καί θάτερον θατέρῳ κατ’ ἐπαλλαγήν ὑπάρχον, ὅπερ ἑκάτερον ἑαυτῷ καθέστηκεν ὄν ἀποφαίνουσα· ἱερατεῖον μέν τόν ναόν κατά τήν δύναμιν, τῇ πρός τό πέρας ἀναφορᾷ τῆς μυσταγωγίας ἱερουργούμενον· καί ἔμπαλιν ναόν τό ἱερατεῖον, κατά τήν ἐνέργειαν τῆς ἰδίας αὐτόν ἔχον μυσταγωγίας ἀρχήν, μία δι᾽ ἀμφοῖν καί ἡ αὐτή διαμένει. Οὕτω καί ὁ ἐκ Θεοῦ κατά γένεσιν παρηγμένος σύμπας τῶν ὄντων κόσμος, διαιρούμενος εἴς τε τόν νοητόν κόσμον, τόν ἐκ νοερῶν καί ἀσωμάτων οὐσιῶν συμπληρούμενον· καί τόν αἰσθητόν τοῦτον καί σωματικόν, καί ἐκ πολλῶν μεγαλοφυῶς συνυφασμένον εἰδῶν τε καί φύσεων· ἄλλη πως ὑπάρχων ἀχειροποίητος Ἐκκλησία, διά ταύτης τῆς χειροποιήτου σοφῶς ὑποφαίνεται· καί ἱερατεῖον μέν ὥσπερ ἔχων τόν ἄνω κόσμον, καί ταῖς ἄνω προσνενεμημένον δυνάμεσι· ναόν δέ, τόν κάτω, καί τοῖς δι’ αἰσθήσεως ζῆν λαχοῦσι προσκεχωρημένον.

Πάλιν εἷς ἐστι κόσμος τοῖς ἑαυτοῦ μή συνδιαιρούμενος μέρεσι· τοὐναντίον δέ, καί αὐτῶν τῶν μερῶν τήν ἐξ ἰδιότητος φυσικῆς διαφοράν, τῇ πρός τό ἕν ἑαυτοῦ καί ἀδιαίρετον ἀναφορᾷ περιγράφων· καί ταυτόν ἑαυτῷ τε καί ἀλλήλοις ἀσυγχύτως ἐναλλάξ ὄντας· καί θατέρῳ θάτερον ὅλον ὅλῳ δεικνύς ἐμβεβηκότα· καί ἄμφω ὅλον αὐτόν ὡς μέρη ἕνα συμπληροῦντας, καί κατ᾽ αὐτόν ὡς ὅλον μέρη ἑνοειδῶς τε καί ὁλικῶς συμπληρουμένους. Ὅλος γάρ ὁ νοητός κόσμος ὅλῳ τῷ αἰσθητῷ μυστικῶς τοῖς συμβουλικοῖς εἴδεσι τυπούμενος φαίνεται τοῖς ὁρᾷν δυναμένοις· καί ὅλος ὅλῳ τῷ νοητῷ ὁ αἰσθητός γνωστικῶς κατά νοῦν τοῖς λόγοις ἁπλούμενος ἐνυπάρχων ἐστίν. Ἐν ἐκείνῳ γάρ, οὗτος τοῖς λόγοις ἐστί· κἀκεῖνος ἐν τούτῳ, τοῖς τύποις· καί τό ἔργον αὐτῶν ἕν, καθώς ἄν εἴη τροχός ἐν τῷ τροχῷ, φησίν ὁ θαυμαστός τῶν μεγάλων θεατής Ἰεζεχιήλ, περί τῶν δύο κόσμων, οἶμαι, λέγων. Καί πάλιν· Τά γάρ ἀόρατα αὐτοῦ ἀπό κτίσεως κόσμου τοῖς ποιήμασι

νοούμενα καθορᾶται, φησίν ὁ θεῖος Ἀπόστολος. Καί εἰ καθορᾶται διά τῶν φαινομένων τά μή φαινομένα, καθώς γέγραπται, πολλῷ δή καί διά τῶν μή φαινομένων τοῖς θεωρίᾳ πνευματικῇ προσανέχουσι τά φαινόμενα νοηθήσεται. Τῶν γάρ νοητῶν ἡ διά τῶν ὁρατῶν συμβολική θεωρία, τῶν ὁρωμένων ἐστί διά τῶν ἀοράτων πνευματική ἐπιστήμη καί νόησις. Δεῖ γάρ τά ἀλλήλων ὄντα δηλωτικά, πάντως ἀληθεῖς καί ἀριδήλους τάς ἀλλήλων ἔχειν ἐμφάσεις, καί τήν ἐπ' αὐταῖς σχέσιν ἀλώβητον.

***(672) ΚΕΦΑΛ. Γ΄.***

***Ὅτι καί μόνου τοῦ αἰσθητοῦ κόσμου ἐστίν εἰκών, ἡ ἁγία τοῦ Θεοῦ Ἐκκλησία.***

Καί αὖθις μόνου τοῦ αἰσθητοῦ κόσμου καθ᾽ ἑαυτόν τήν ἁγίαν τοῦ Θεοῦ Ἐκκλησίαν εἶναι σύμβολον, ἔφασκεν· ὡς οὐρανόν μέν, τό θεῖον ἱερατεῖον ἔχουσαν· γῆν δέ, τήν εὐπρέπειαν τοῦ ναοῦ κεκτημένην. Ὡσαύτως δέ καί τόν κόσμον ὑπάρχειν Ἐκκλησίαν· ἱερατείῳ μέν ἐοικότα τόν οὐρανόν ἔχοντα· ναῷ δέ, τήν κατά γῆν διακόσμησιν.

***ΚΕΦΑΛ. Δ΄.***

***Πῶς τε καί ποίῳ τρόπῳ συμβολικῶς εἰκονίζει τόν ἄνθρωπον ἡ ἁγία τοῦ Θεοῦ Ἐκκλησία· καί αὐτή ὡς ἄνθρωπος ὑπ᾽ αὐτοῦ εἰκονίζεται.***

Καί πάλιν κατ᾽ ἄλλον τρόπον θεωρίας, ἄνθρωπον εἶναι τήν ἁγίαν τοῦ Θεοῦ Ἐκκλησίαν ἔλεγε· ψυχήν μέν ἔχουσαν τό ἱερατεῖον· καί νοῦν, τό θεῖον θυσιαστήριον· καί σῶμα, τόν ναόν· ὡς εἰκόνα καί ὁμοίωσιν ὑπάρχουσαν τοῦ κατ᾽ εἰκόνα Θεοῦ καί ὁμοίωσιν γενομένου ἀνθρώπου· καί διά μέν τοῦ ναοῦ, ὡς διά σώματος, τήν ἠθικήν φιλοσοφίαν προβαλλομένην· διά δέ τοῦ ἱερατείου, ὡς διά ψυχῆς, τήν φυσικήν θεωρίαν πνευματικῶς ἐξηγουμένην· καί ὡς διά νοός τοῦ θείου θυσιαστηρίου, τήν μυστικήν θεολογίαν ἐμβαίνουσαν. Καί ἔμπαλιν, Ἐκκλησίαν μυστικήν τόν ἄνθρωπον, ὡς διά ναοῦ μέν τοῦ σώματος, τό πρακτικόν τῆς ψυχῆς ταῖς τῶν ἐντολῶν ἐνεργείαις κατά τήν ἠθικήν φιλοσοφίαν ἐναρέτως φαιδρύνοντα· ὡς δι᾽ ἱερατείου δέ τῆς ψυχῆς τούς κατ᾽ αἴσθησιν λόγους, καθαρῶς ἐν πνεύματι τῆς ὕλης περιτμηθέντας, κατά τήν φυσικήν θεωρίαν διά λόγου τῷ Θεῷ προσκομίζοντα· καί ὡς διά θυσιαστηρίου τοῦ νοός, τήν ἐν ἀδύτοις πλυύμνητον τῆς ἀφανοῦς καί ἀγνώστου μεγαλοφωνίας σιγήν τῆς

θεότητος, δι᾽ ἄλλης λάλου τε καί πολυφθόγγου σιγῆς προσκαλούμενον· καί ὡς ἐφικτόν ἀνθρώπῳ, κατά μυστικήν θεολογίαν αὐτῇ συγγινόμενον· καί τοιοῦτον γινόμενον, οἷον εἰκός εἶναι δεῖ τόν ἐπιδημίας ἀξιωθέντα Θεοῦ, καί ταῖς αὐτοῦ παμφαέσιν αἴγλαις ἐνσημανθέντα.

***ΚΕΦΑΛ. Ε΄. Πῶς καί ποίῳ τρόπῳ πάλιν τῆς ψυχῆς καθ᾽ ἑαυτήν νοουμένης, εἰκών τε καί τύπος ἡ ἁγία τοῦ Θεοῦ Ἐκκλησία.***

Καί οὐχ ὅλου μέν τοῦ ἀνθρώπου, τοῦ ἐκ ψυχῆς καί σώματος κατά σύνθεσίν φημι συνεστῶτος, εἰκόνα μόνον εἶναι δύνασθαι τήν ἁγίαν Ἐκκλησίαν ἐδίδασκεν· ἀλλά καί τῆς αὐτῆς ψυχῆς καθ᾽ ἑαυτήν τῷ λόγῳ θεωρουμένης. Ἐπειδή γάρ ἐκ νοερᾶς καί ζωτικῆς δυνάμεως καθολικῶς συνίστασθαι τήν ψυχήν ἔφασκε· καί τῆς μέν νοερᾶς ἐξουσιαστικῶς κατά βούλησιν κινουμένης, τῆς δέ ζωτικῆς κατά φύσιν ἀπροαιρέτως, ὡς ἔχει, μενούσης. Καί πάλιν, τῆς μέν νοερᾶς, εἶναι τό τε θεωρητικόν, καί τό πρακτικόν· καί τό μέν θεωρητικόν, καλεῖσθαι νοῦν ἔλεγε· τό δέ πρακτικόν, λόγον· καί τῆς μέν νοερᾶς δυνάμεως (673) κινητικόν εἶναι τόν νοῦν· τῆς δέ ζωτικῆς προνοητικόν ὑπάρχειν τόν λόγον· καί τόν μέν εἶναί τε καί καλεῖσθαι σοφίαν· φημί δέ τόν νοῦν, ὅταν παντάπασιν ἀτρέπτους ἑαυτοῦ διαφυλάττῃ τάς πρός τόν Θεόν κινήσεις·τόν δέ λόγον ὡσαύτως φρόνησιν καί εἶναι καί καλεῖσθαι, ὅταν σωφρόνως τήν ὑπ᾽ αὐτοῦ κατά πρόνοιαν διοικουμένην ζωτικήν δύναμιν ταῖς ἐνεργείαις συνάψας τῷ νῷ, δείξειεν ἀδιάφορον· τήν αὐτήν αὐτῷ καί ὁμοίαν δι᾽ ἀρετῆς ἔμφασιν τοῦ Θείου φέρουσαν· ἥν καί ἐπιμερίζεσθαι τῷ τε νῷ καί τῷ λόγῳ φυσικῶς ἔλεγεν· ὡς εἶναι μᾶλλον καί συνισταμένην δείκνυσθαι προηγουμένως τήν ψυχήν, ἐκ τοῦ νοῦ καί τοῦ λόγου, ὡς νοεράν τε καί λογικήν· τῆς ζωτικῆς ἐπ᾽ ἀμφοῖν κατά τό ἴσον δηλονότι, νοῦ τε καί λόγου φημί, θεωρουμένης δυνάμεως· οὐδ᾽ ὁπότερον γάρ τούτων ζωῆς ἄμοιρον εἶναι θέμις ἐννοεῖν, καί ὑπ᾽ ἀμφοῖν διειλημμένης· δι᾽ ἧς ὁ μέν νοῦς, ὅν καί σοφίαν ἔφαμεν καλεῖσθαι, τῇ θεωρητικῇ ἕξει κατ᾽ ἀπόῤῥητον σιγήν τε καί γνῶσιν ἐξαπλούμενος, πρός τήν ἀλήθειαν δι᾽ ἀλήστου τε καί ἀκαταλήκτου γνώσεως ἄγεται· ὁ δέ λόγος, ὅν ἐκαλέσαμεν φρόνησιν, τῇ πρακτικῇ ἕξει σωματικῶς κατ᾽ ἀρετήν εἰς τό ἀγαθόν διά πίστεως καταλήγει· ἐξ ὧν ἀμφοτέρων ἡ ἀληθής τῶν τε θείων καί τῶν ἀνθρωπίνων ἐπιστήμη συνέστηκε πραγμάτων· ἡ ὄντως

ἄπταιστος γνῶσις, καί πάσης τῆς κατά Χριστιανούς θειοτάτης φιλοσοφίας πέρας.

Καί σαφέστερον περί τούτων εἰπεῖν· τῆς ψυχῆς, τό μέν ἔλεγε εἶναι θεωρητικόν καθώς εἴρηται· τό δέ, πρακτικόν, καί τό μέν θεωρητικόν ἐκάλει νοῦν· τό δέ πρακτικόν, λόγον· ὡς πρώτας δηλαδή δυνάμεις τῆς ψυχῆς· καί πάλιν τόν νοῦν, σοφίαν· τόν δέ λόγον, φρόνησιν, ὡς πρώτας ἐνεργείας. Διεξοδικῶς δέ πάλιν, τῆς ψυχῆς ἔφασκεν εἶναι, κατά μέν τό νοερόν, τόν νοῦν, τήν σοφίαν, τήν θεωρίαν, τήν γνῶσιν, τήν ἄληστον γνῶσιν· τούτων δέ τέλος εἶναι τήν ἀλήθειαν· κατά δέ τό λογικόν, τόν λόγον, τήν φρόνησιν, τήν πρᾶξιν, τήν ἀρετήν, τήν πίστιν· τούτων δέ τέλος τό ἀγαθόν. Τήν ἀλήθειαν δέ καί τό ἀγαθόν, τόν Θεόν ἔλεγε δηλοῦν· ἀλλά τήν μή ἀλήθειαν, ὅταν ἐκ τῆς οὐσίας τό Θεῖον σημαίνεσθαι δοκῇ· ἁπλοῦν γάρ, καί μόνον, καί ἕν, καί ταυτόν, καί ἀμερές, καί ἄτρεπτον, καί ἀπαθές πρᾶγμα ἡ ἀλήθεια καί ἀλάθητον, καί παντελῶς ἀδιάστατον· τό δέ ἀγαθόν, ὅταν ἐκ τῆς ἐνεργείας. Εὐεργετικόν γάρ τό ἀγαθόν, καί προνοητικόν τῶν ἐξ αὐτοῦ πάντων, καί φρουρητικόν· ἀπό τοῦ ἄγαν εἶναι, ἤ τεθεῖσθαι, ἤ θέσιν, κατά τήν τῶν ἐτυμολογούντων δόξαν, πᾶσι τοῖς οὖσι τοῦ εἶναι καί διαμένειν, καί κινεῖσθαι χαριστικόν.

(676) Τάς οὖν περί τήν ψυχήν νοουμένας πέντε συζυγίας περί τήν μίαν τήν τοῦ Θεοῦ σημαντικήν συζυγίαν ἔλεγε καταγίγνεσθαι. Συζυγίαν δέ φημιν νῦν τόν νοῦν καί τόν λόγον· τήν σοφίαν καί τήν φρόνησιν· τήν θεωρίαν καί τήν πρᾶξιν· τήν γνῶσιν καί τήν ἀρετήν· τήν ἄληστον γνῶσιν καί τήν πίστιν. Τήν δέ τοῦ θείου σημαντικήν, τήν ἀλήθειαν καί τό ἀγαθόν· αἷς κατά πρόοδον ἡ ψυχή κινουμένη, τῷ Θεῷ τῶν ὅλων ἑνοῦται, μιμουμένη αὐτοῦ τῆς οὐσίας καί τῆς ἐνεργείας τό ἄτρεπτον καί εὐεργετικόν, διά τῆς ἐν τῷ καλῷ παγίας καί ἀμεταθέτου κατά τήν προαίρεσιν ἕξεως. Καί, ἵνα τούτων μικρόν τι μίξω θεώρημα πρόσφορον, τάχα αὕτη ἐστίν ἡ θεία δεκάς τῶν χορδῶν τοῦ κατά ψυχήν νοητοῦ ψαλτηρίου· ἡ τόν λόγον ὑπηχοῦντα τῷ πνεύματι, διά τῆς ἄλλης τῶν ἐντολῶν μακαρίας δεκάδος ἔχουσα, καί τούς ἐντελεῖς τε καί ἁρμονίους, τούς ἐμμελεῖς νοητῶς ἀποτελοῦσα φθόγγους, δι᾽ ὧν ὑμνεῖται ὁ Θεός· ἵν᾽ ἐγώ μάθω, τίς ὁ τῆς ᾀδούσης, καί τῆς ᾀδομένης δεκάδος ὁ λόγος· καί πῶς δεκάδι δεκάς μυσικῶς ἑνουμένη τε καί συναπτομένη, Ἰησοῦν μέν τόν ἐμόν Θεόν καί Σωτῆρα συμπληρωθέντα δι᾽ ἐμοῦ σωζομένου, πρός ἑαυτόν ἐπανάγει τόν ἀεί πληρέστατον, καί μηδέποτε ἑαυτοῦ ἐκστῆναι δυνάμενον· ἐμέ δέ τόν

ἄνθρωπον θαυμαστῶς ἑαυτῷ ἀποκαθίστησι· μᾶλλον δέ Θεῷ, παρ᾿ οὗ τό εἶναι λαβών ἔχω, καί πρός ὅν ἐπείγομαι, πόῤῥωθεν τό εὖ εἶναι προσλαβεῖν ἐφιέμενος. Ὅπερ ὁ γνῶναι δυνηθείς, ἐκ τοῦ παθεῖν τά λεγόμενα, εἴσεται πάντως γνωρίσας ἤδη κατά τήν πεῖραν ἐναργῶς τό οἰκεῖον ἀξίωμα· πῶς ἀποδίδοται τῇ εἰκόνι τό κατ᾿ εἰκόνα· πῶς τιμᾶται τό ἀρχέτυπον· τίς τοῦ μυστηρίου τῆς ἡμῶν σωτηρίας ἡ δύναμις, καί ὑπέρ τίνος Χριστός ἀπέθανε· πῶς τε πάλιν ἐν αὐτῷ μεῖναι δυνάμεθα, καί αὐτός ἐν ἡμῖν, καθώς εἶπε· καί πῶς Ἐστίν εὐθύς ὁ λόγος τοῦ Κυρίου, καί πάντα τά ἔργα αὐτοῦ ἐν πίστει. Ἀλλ᾿ ἐπανάγωμεν πρός τόν εἱρμόν τοῦ λόγου τόν λόγον, τούτοις περί τούτων ἀρκεσθέντες.

Τόν γάρ νοῦν διά τῆς σοφίας ἔφασκε κινούμενον, εἰς θεωρίαν ἰέναι· διά δέ τῆς θεωρίας, εἰς γνῶσιν· διά δέ τῆς γνώσεως, εἰς τήν ἄληστον γνῶσιν· διά δέ τῆς ἀλήστου γνώσεως, εἰς τήν ἀλήθειαν· περί ἥν ὁ νοῦς ὅρον τῆς κινήσεως δέχεται, περιγραφομένης αὐτῷ τῆς τε οὐσίας καί τῆς δυνάμεως, καί τῆς ἕξεως καί τῆς ἐνεργείας.

Νοῦ γάρ ἔλεγε δύναμιν εἶναι τήν σοφίαν, καί αὐτόν εἶναι τόν νοῦν δυνάμει σοφίαν· τήν δέ θεωρίαν ἕξιν· τήν δέ γνῶσιν ἐνέργειαν· τήν δέ ἄληστον γνῶσιν, σοφίας τε καί θεωρίας καί γνώσεως· ἤγουν δυνάμεως καί ἕξεως καί ἐνεργείας· τήν περί (677) τό γνωστόν τό ὑπέρ πᾶσαν τήν γνῶσιν ἀκατάληκτον καί ἑκτικήν ἀεικινησίαν· ἧς πέρας ἐστίν, ὡς ἀλάθητον γνωστόν, ἡ ἀλήθεια· ὅ καί θαυμάζειν ἄξιον· πῶς τό ἄληστον λήγει περιγραφόμενον, ἤ δηλονότι ὡς Θεῷ τῇ ἀληθείᾳ περατούμενον; Θεός γάρ ἡ ἀλήθεια, περί ὅν ἀκαταλήκτως τε και ἀλήστως κινούμενος ὁ νοῦς, λήγειν οὐκ ἔχει ποτέ τῆς κινήσεως, μή εὑρίσκων πέρας ἔνθα μή ἔστι διάστημα. Τό γάρ θαυμαστόν μέγεθος τῆς θείας ἀπειρίας, ἄποσόν τί ἐστι καί ἀμερές καί παντελῶς ἀδιάστατον· καί τήν οἱανοῦν πρός τό γνωσθῆναι, ὅ τί ποτέ ἐστι κατ᾿ οὐσίαν, φθάνουσαν αὐτόν οὐκ ἔχον κατάληψιν. Τό δέ μή .ἔχον διάστημα ἤ κατάληψιν καθ᾿ ὁτιοῦν, οὐκ ἔστι τινί περατόν.

Τόν δέ Λόγον ὡσαύτως διά τῆς φρονήσεως κινούμενον, εἰς τήν πρᾶξιν ἰέναι· διά δέ τῆς πράξεως εἰς ἀρετήν· διά δέ τῆς ἀρετῆς εἰς τήν πίστιν, τήν ὄντως βεβαίαν καί ἄπτωτον τῶν θείων πληροφορίαν· ἥν πρώτην ἔχων δυνάμει κατά τήν φρόνησιν ὁ λόγος, ὕστερον ἐνεργείᾳ κατά τήν ἀρετήν ἐπιδείκνυται, διά τήν ἐπ’ ἔργων φανέρωσιν. Ἡ γάρ χωρίς ἔργων πίστις νεκρόν τι, καθώς γέγραπται· πᾶν δέ νεκρόν καί ἀνενέργητον, οὐκ ἄν ποτέ τις εὖ φρονῶν τοῖς καλοῖς εἶναι θαρσήσειεν εἰπεῖν ἐνάριθμον. Διά δέ τῆς πίστεως εἰς τό ἀγαθόν, περί ὅ δέχεται

τέλος, παυόμενος τῶν οἰκείων ἐνεργειῶν ὁ λόγος, περιγραφομένης αὐτοῦ τῆς τε δυνάμεως καί τῆς ἕξεως καί τῆς ἐνεργείας.

Λόγου γάρ ἔφασκεν εἶναι δύναμιν τήν φρόνησιν· καί αὐτόν εἶναι δυνάμει τόν λόγον, φρόνησιν· ἕξιν δέ, τήν πρᾶξιν· ἐνέργειαν δέ, τήν ἀρετήν· τήν δέ πίστιν φρονήσεως τε καί πράξεως καί ἀρετῆς, ἤγουν δυνάμεως ἕξεώς τε καί ἐνεργείας ἐνδιάθετον πῆξιν καί ἀναλλοίωτον· ἧς πέρας ἔσχατόν ἐστι τό ἀγαθόν, περί ὅ καταλήγων τῆς κινήσεως ὁ λόγος παύεται. Θεός γάρ ἐστι τό ἀγαθόν, ᾧ πέφυκε πᾶσα καί παντός λόγου παρατοῦσθαι δύναμις. Πῶς δέ καί τίνα τρόπον τούτων ἕκαστον κατορθοῦται, καί εἰς ἐνέργειαν ἄγεται· καί τίνα τούτων ἑκάστῳ ἠναντίωται, ἤ προσῳκείωται, καί ἐπί πόσον, διαιρεῖν τε καί λέγειν, οὐ τῆς παρούσης ἐστίν ὑποθέσεως· πλήν τοῦ, ὅσον γιγνώσκειν, ὅτι πᾶσα ψυχή ἡνίκα διά τῆς χάριτος τοῦ ἁγίου Πνεύματος, καί τῆς οἰκείας φιλοπονίας καί σπουδῆς ἀλλήλοις ταῦτα συνάψαι τε καί ἱστουργῆσαι δυνηθῇ· τόν λόγον φημί τῷ νῷ, καί τῇ σοφίᾳ τήν φρόνησιν, καί τῇ θεωρίᾳ τήν πρᾶξιν, καί τῇ γνώσει τήν ἀρετήν, καί τῇ ἀλήστῳ γνώσει τήν πίστιν, οὐδενός ἐλαττουμένου πρός τό ἕτερον ἤ πλεονάζοντος, πάσης αὐτοῖς περικοπείσης ὑπερβολῆς καί ἐλλείψεως· καί, ἵνα συνελών εἴπω, μονάδα τήν ἑαυτῆς δεκάδα ποιῆσαι· τηνικαῦτα καί αὐτή (680) τῷ Θεῷ ἀληθινῷ τε καί ἀγαθῷ, καί ἑνί καί μόνῳ ἑνωθήσεται· καλή τε καί μεγαλοπρεπής, καί αὐτῷ [κατά τό ἐφικτόν] ἐμφερής γενομένη, τῇ συμπληρώσει τῶν τεσσάρων γενικῶν ἀρετῶν· τῶν δηλωτικῶν μέν τῆς κατά ψυχήν θείας δεκάδος, περιεκτικῶν μέν τῆς ἄλλης τῶν ἐντολῶν μακαρίας δεκάδος. Δεκάς γάρ δυνάμει ἐστίν ἡ τετράς, ἀπό τῆς μονάδος εἱρμῷ κατά πρόοδον συντιθεμένη. Καί πάλιν μονάς ἡ αὐτή, κατά σύνοδον τό ἀγαθόν μοναδικῶς περιέχουσα, καί τό ἁπλοῦν καί ἀμερές τῆς θείας ἐνεργείας, ἐφ᾽ ἑαυτῆς ἀτμήτως μεμερισμένον δεικνύουσα· αἷς, τό μέν οἰκεῖον εὐτόνως ἀπερεγχείρητον ἡ ψυχή διετήρησεν· τό δέ ἀλλότριον ἀνδρικῶς ὡς πονηρόν ἀπεῤῥάπισεν· ὡς νοῦν εὔλογον ἔχουσα, καί σοφίαν ἔμφρονα, καί θεωρίαν ἔμπρακτον, καί γνῶσιν ἐνάρετον, καί τήν ἐπ᾽ αὐταῖς ἄληστον γνῶσιν, πιστοτάτην ὁμοῦ καί ἀμετάπτωτον· καί ὡς τοῖς αἰτίοις τά αἰτιατά, καί ταῖς δυνάμεσι τάς ἐνεργείας σωφρόνως συνημμένας, Θεῷ προσκομίσασα· καί ἀντιλαβοῦσα τούτων τήν ποιητικήν τῆς ἁπλότητος θέωσιν.

Ἐνέργεια γάρ ἐστι καί φανέρωσις· τοῦ μέν νοῦ, ὁ λόγος, ὡς αἰτίας αἰτιατόν· καί τῆς σοφίας ἡ φρόνησις, καί τῆς θεωρίας ἡ πρᾶξις, καί τῆς

γνώσεως ἡ ἀρετή, καί τῆς ἀλήστου γνώσεως ἡ πίστις· ἐξ ὧν ἡ ἐνδιάθετος πρός τε τήν ἀλήθειαν καί τό ἀγαθόν, φημί δέ τόν Θεόν, σχέσις δημιουργεῖται· ἥν ἔφασκεν εἶναι θείαν ἐπιστήμην, καί γνῶσιν ἄπταιστον, καί ἀγάπην καί εἰρήνην, ἐν αἷς καί δι᾽ ὧν ἡ θέωσις· τήν μέν [ἐπιστήμην] ὡς συμπλήρωσιν πάσης τῆς ἐφικτῆς ἀνθρώποις περί Θεοῦ καί τῶν θείων γνώσεως, καί τῶν ἀρετῶν περιοχήν ἄπταιστον· τήν δέ [γνώμην], ὡς ἐπιβᾶσαν γνησίως τῇ ἀληθείᾳ, καί πεῖραν τοῦ θείου διαρκῆ παρεχομένην· τήν δέ [ἀγάπην] ὡς ὅλης τοῦ Θεοῦ κατά διάθεσιν, ὅλην μετέχουσαν τῆς τερπνότητος· τήν δέ [εἰρήνην], ὡς τά αὐτά τῷ Θεῷ πάσχουσαν, καί πάσχειν τούς κατ᾽ αὐτήν ἀξιωθέντας γενέσθαι παρασκευάζουσαν. Εἰ γάρ τό θεῖον παντελῶς ἀκίνητον, ὡς τό διοχλοῦν καθ᾽ ὁτιοῦν οὐκ ἔχον. (Τί γάρ καί τό φθάνον ἐστί τήν ἐκείνου περιωπήν;) ἡ δέ εἰρήνη, σταθερότητς ἐστίν ἀκλόνητός τε καί ἀκίνητος· πρός δέ, καί ἀνενόχλητος εὐφροσύνη· ἆρα τά θεῖα οὐ πάσχει καί πᾶσα ψυχή, ἡ τήν θείαν καταξιωθεῖσα κομίσασθαι εἰρήνην; ὡς μή μόνον κακίας καί ἀγνωσίας, ψεύδους τε καί πονηρίας, τῶν τῇ ἀρετῇ καί γνώσει, τῇ τε ἀληθείᾳ καί τῷ ἀγαθῷ ἀντικειμένων κακιῶν, αἵ ταῖς παρά φύσιν τῆς ψυχῆς κινήσεσι παρυφίστανται· ἀλλ᾽ ἤδη καί ἀρετῆς αὐτῆς γνώσεως, ἀληθείας τε αὖ καί ἀγαθότητος τῶν ἡμῖν διεγνωσμένων τούς ὅρους, εἰ θέμις εἰπεῖν, ὑπερβᾶσα, καί τῇ ὑπεραληθεστάτῃ καί ὑπεραγάθῳ κοίτῃ τοῦ θεοῦ, κατά τήν ἀψευδεστάτην αὐτοῦ ἐπαγγελίαν, ἀῤῥήτως τε καί ἀγνώστως ἑαυτήν κατευνάσασα· ὡς μηδέν τῶν διοχλεῖν αὐτῇ πεφυκότων λοιπόν ἔχουσα φθάνον αὐτῆς τήν ἐν θεῷ κρυφιότητα· καθ᾽ ἥν μακαρίαν καί (681) παναγίαν κοίτην, τό φρικτόν ἐκεῖνο τῆς ὑπέρ νοῦν καί λόγον ἑνότητος μυστήριον ἐπιτελεῖται· δι᾽ οὗ μία σάρξ καί ἕν πνεῦμα, ὅ τε θεός πρός τήν Ἐκκλησίαν, τήν ψυχήν, καί ἡ ψυχή πρός τόν Θεόν γενήσεται· ὦ πῶς σε, Χριστέ, θαυμάσω τῆς ἀγαθότητος, οὐ γάρ ἀνυμνῆσαι φάναι τολμήσω, ὁ μήτε πρός τό θαυμάζειν ἀξίως ἀρκοῦσαν ἔχων τήν δύναμιν· Ἔσονται γάρ οἱ δύο εἰς σάρκα μίαν· τό δέ μυστήριον τοῦτο μέγα ἐστίν· ἐγώ δέ λέγω εἰς Χριστόν καί εἰς τήν Ἐκκλησίαν, φησίν ὁ θεῖος Ἀπόστολος. Καί πάλιν· ὁ κολλώμενος τῷ Κυρίῳ, ἕν πνεῦμά ἐστι.

Οὕτω γοῦν ἑνοειδῆ γενομένην ψυχήν, καί πρός ἑαυτήν καί τόν Θεόν συναχθεῖσαν, οὐκ ἔσται ὁ εἰς πολλά κατ᾽ ἐπίνοιαν αὐτήν ἔτι διαιρῶν λόγος, τῷ πρώτῳ καί μόνῳ καί ἑνί Λόγῳ τε καί Θεῷ κατεστεμμένην τήν κεφαλήν· ἐν ᾧ κατά μίαν ἀπερινόητον ἁπλότητα πάντες οἱ τῶν ὄντων λόγοι ἑνοειδῶς καί εἰσί καί ὑφεστήκασιν, ὡς

δημιουργῷ τῶν ὄντων καί ποιητῇ· ᾧ ἐνατενίζουσα, οὐκ ἐκτός αὐτῆς ὄντι, ἀλλ' ἐν ὅλῃ ὅλῳ, κατά ἁπλῆν προσβολήν εἴσεται καί αὐτή τούς τῶν ὄντων λόγους καί τάς αἰτίας, δι᾽ οὕς τυχόν πρίν νυμφευθῆναι τῷ Λόγῳ καί Θεῷ ταῖς διαιρετικαῖς ὑπήγετο μεθόδοις· σωστικῶς τε δι᾽ αὐτῶν καί ἐναρμονίως πρός αὐτόν φερομένη, τόν πάντός λόγου καί πάσης αἰτίας περιεκτικόν τε καί ποιητήν.

Ἐπειδή ταῦτα τοίνυν τῆς ψυχῆς εἰσίν, ὡς ἔφαμεν, κατά νοῦν μέν ἐχούσης δυνάμει τήν σοφίαν, ἐκ δέ τῆς σοφίας τήν θεωρίαν, ἐκ δέ ταύτης τήν γνῶσιν· ἐκ δέ τῆς γνώσεως τήν ἄληστον γνῶσιν· δι᾽ ἧς πρός τήν ἀλήθειαν ὡς πέρας καί τέλος οὖσαν τῶν κατά νοῦν ἀγαθῶν ἄγεται· κατά δέ τόν λόγον ἐχούσης τήν φρόνησιν, ἐκ δέ ταύτης τήν πρᾶξιν, ἐκ δέ τῆς πράξεως τήν ἀρετήν, ἐκ δέ ταύτης τήν πίστιν, καθ᾽ ἥν εἰς τό ἀγαθόν ὡς τέλος μακάριον τῶν λογικῶν ἐνεργιῶν καταλήγει· δι᾽ ὧν ἡ τῶν θείων ἐπιστήμη , κατά σύνοδον τῆς πρός ἄλληλα τούτων ἑνώσεως, συλλέγεται· πρός ταῦτα πάντα σαφῶς ἁρμόζεται, κατά τήν θεωρίαν εἰκαζομένη τῇ ψυχῇ ἡ ἁγία τοῦ Θεοῦ Ἐκκλησία. Τά μέν κατά νοῦν πάντα καί ἐκ τοῦ νοῦ κατά πρόοδον εἶναι δειχθέντα, διά τοῦ ἱερατείου σημαίνουσα· τά δέ κατά τόν λόγον καί ἐκ τοῦ λόγου κατά διαστολήν εἶναι δηλωθέντα, διά τοῦ ναοῦ σαφηνίζουσα· καί πάντα συνάγουσα πρός τό τελούμενον ἐπί τοῦ θείου θυσιαστηρίου μυστήριον· ὅπερ διά τῶν κατά τήν Ἐκκλησίαν ἐπιτελουμένων ὁ δυνηθείς ἐμφρόνως καί σοφῶς μυηθῆναι, Ἐκκλησίαν ὄντως Θεοῦ, καί θείαν τήν ἑαυτοῦ ψυχήν κατεστήσατο· δι᾽ ἥν ἴσως, καί ἧς ἡ χειροποίητος ἐκκλησία σοφῶς διά τῆς ἐν αὐτῇ τῶν θείων ποικιλίας (684) κατά σύμβολον οὖσα παράδειγμα, πρός ὁδηγίαν τοῦ κρείττονος ἡμῖν παρεδόθη.

***ΚΕΦΑΛ. Στ΄.***

***Πῶς καί ποίῳ τρόπῳ ἄνθρωπος λέγεται καί ἡ ἁγία Γραφή.***

Ὥσπερ δέ τῇ κατά ἀναγωγήν θεωρίᾳ τήν Ἐκκλησίαν ἔλεγεν ἄνθρωπον εἶναι πνευματικόν, μυστικήν δέ Ἐκκλησίαν τόν ἄνθρωπον· οὕτω δή καί τήν ἁγίαν πᾶσαν κατά συναίρεσιν Γραφήν, ἄνθρωπον ἔφασκεν εἶναι· τήν μέν Παλαιάν Διαθήκην, ἔχουσαν σῶμα· ψυχήν δέ καί πνεῦμα καί νοῦν, τήν Καινήν. Καί πάλιν, ὅλης τῆς ἁγίας γραφῆς, Παλαιᾶς τέ φημι καί Νέας, τό καθ᾽ ἱστορίαν γράμμα, σῶμα· τόν δέ νοῦν τῶν γεγραμμένων, καί τόν σκοπόν, πρός ὅν ὁ νοῦς ἀποτέτακται, ψυχήν· Ὅπερ ἀκούσας ἐγώ, μάλιστα τῆς εἰκασίας ἠγάσθην τό ἀκριβές,

καί τόν κατ᾽ ἀξίαν ἑκάστῳ διανέμοντα χαρίσματα, δεόντως ἀνύμνησα κατά δύναμιν. Ὡς γάρ θνητός ὁ καθ᾽ ἡμᾶς ἄνθρωπος, κατά τό φαινόμενον, κατά δέ τό μή φαινόμενον, ἀθάνατος· οὕτω καί ἡ ἁγία Γραφή τό μέν φαινόμενον γράμμα, παρερχόμενον ἔχουσα· τό δέ κρυπτόμενον τῷ γράμματι πνεῦμα, μηδέποτε τοῦ εἶναι παυόμενον, ἀληθῆ τόν λόγον τῆς θεωρίας συνίστησι. Καί ὥσπερ οὗτος ὁ καθ᾽ ἡμᾶς ἄνθρωπος, φιλοσοφίᾳ κρατῶν τῆς ἐμπαθοῦς ὀρέξεώς τε καί ὁρμῆς, μαραίνει τήν σάρκα· οὕτω καί ἡ ἁγία Γραφή νοουμένη πνευματικῶς, τό γράμμα ἑαυτῆς περιτέμνει. Φησί γάρ ὁ θεῖος Ἀπόστολος, Ὅσον ὁ ἔξω ἡμῶν ἄνθρωπος διαφθείρεται, τοσοῦτον ὁ ἔσω ἀνακαινοῦται ἡμέρᾳ καί ἡμέρᾳ. Τοῦτο νοείσθω καί λεγέσθω καί ἐπί τῆς ἁγίας Γραφῆς, ἀνθρώπου τροπικῶς νοουμένης. Ὅσον γάρ αὐτῆς τό γράμμα ὑποχωρεῖ, τοσοῦτον τό πνεῦμα πλεονεκτεῖ· καί ὅσον αἱ σκιαί τῆς προσκαίρου λατρείας παρατρέχουσι, τοσοῦτον ἡ ἀλήθεια τῆς πίστεως ἡ παμφαής τε καί ὁλολαμπής καί ἄσκιος ἐπεισέρχεται· καθ᾽ ἥν καί δι᾽ ἥν προηγουμένως καί ἔστι καί γέγραπται, καί Γραφή λέγεται, τῷ νῷ διά χάριτος πνευματικῆς ἐγχαραττομένη· ὥσπερ καί ὁ καθ᾽ ἡμᾶς ἄνθρωπος, διά τήν ψυχήν τήν λογικήν τε καί νοεράν, προηγουμενως ἄνθρωπος μάλιστα καί ἔστι καί λέγεται· καθ᾽ ἥν καί δι᾽ ἥν εἰκών τε καί ὁμοίωσίς ἐστι Θεοῦ, τοῦ ποιήσαντος αὐτόν· καί τῶν λοιπῶν ζώων φυσικῶς ἀποδιώρισται, μηδεμίαν πρός αὐτά σχετικῆς δυνάμεως τήν οἱανοῦν ἔμφασιν ἔχων.

***ΚΕΦΑΛ. Ζ´.***

***Πῶς ὁ κόσμος ἄνθρωπος λέγεται· καί ποίῳ τρόπῳ καί ὁ ἄνθρωπος, κόσμος.***

Κατά ταύτην δέ πάλιν εὐμιμήτως τήν εἰκόνα, καί τόν κόσμον ὅλον τόν ἐξ ὁρατῶν καί ἀοράτων συνιστάμενον, (685) ἄνθρωπον ὑπέβαλλεν εἶναι· καί κόσμον αὖθις, τόν ἐκ ψυχῆς καί σώματος ἄνθρωπον· ψυχῆς γάρ λόγον ἐπέχειν ἔλεγε, τά νοητά· ὥσπερ καί ἡ ψυχή, τῶν νοητῶν· καί σώματος τύπον ἐπέχειν τά αἰσθητά· ὥσπερ καί τῶν αἰσθητῶν τό σῶμα. Καί ψυχήν μέν εἶναι τῶν αἰσθητῶν, τά νοητά, σῶμα δέ τῶν νοητῶν, τά αἰσθητά. Καί ὡς ψυχήν ἑνοῦσαν σώματι, τῷ αἰσθητῷ κόσμῳ τόν νοητόν εἶναι· καί τῷ νοητῷ τόν αἰσθητόν, ὡς σῶμα τῇ ψυχῇ συγκροτούμενον· καί ἕνα ἐξ ἀμφοῖν εἶναι κόσμον, ὥσπερ καί ἐκ ψυχῆς καί σώματος ἄνθρωπον ἕνα, μηδ’ ἑτέρου τούτων, τῶν ἀλλήλοις καθ’ ἕνωσιν συμπεφυκότων, θάτερον ἀρνουμένου καί

ἀποπέμποντος, διά τόν τοῦ συνδήσαντος νόμον· καθ᾽ ὅν τῆς ἑνοποιοῦ δυνάμεως ὁ λόγος ἐνέσπαρται, μή συγχωρῶν τήν καθ᾽ ὑπόστασιν ἐπί τῇ ἑνώσει ταυτότητα τούτων ἀγνοηθῆναι, διά τήν φυσικήν ἑτερότητα· μηδ᾽ εἶναι δυνατωτέραν πρός διάστασίν τε καί μερισμόν τήν ἕκαστον τούτων ἑαυτῷ περιγράφουσαν ἰδιότητα, τῆς μυστικῶς καθ᾽ ἕνωσιν αὐτοῖς ἐντεθείσης φιλικῆς συγγενείας, ἀποφανθῆναι· καθ᾽ ἥν, ὁ καθ᾽ ὅλου καί εἷς τρόπος τῆς ἐν ὅλοις ἀφανοῦς καί ἀγνώστου παρουσίας τῆς τῶν ὄντων συνεκτικῆς αἰτίας ποικίλως πᾶσιν ἐνυπάρχων, καί καθ᾽ ἑαυτά καί ἐν ἀλλήλοις τά ὅλα συνίστησιν ἄφυρτα καί ἀδιαίρετα· καί ἀλλήλων μᾶλλον, ἤ ἑαυτῶν κατά τήν ἑνοποιόν σχέσιν, ὄντα, παρίστησι· μέχρις οὗ λῦσαι παραστῇ τῷ συνδήσαντι, μείζοντος ἕνεκα καί μυστικωτέρας οἰκονομίας, κατά τόν καιρόν τῆς ἐλπιζομένης καθολικῆς συντελείας· καθ᾽ ἥν καί ὁ κόσμος, ὡς ἄνθρωπος, τῶν φαινομένων τεθνήξεται, καί παλιν ἀναστήσεται νέος ἐκ γεγηρακότος, κατά τήν παραυτίκα, προσδοκωμένην ἀνάστασιν· ἡνίκα καί ὁ καθ᾽ ἡμᾶς ἄνθρωπος, ὡς μέρος τῷ ὅλῳ, καί μικρός τῷ μεγάλῳ, συναναστήσεται κόσμῳ, τήν πρός τό μηκέτι δύνασθαι φθείρεσθαι κομισάμενος δύναμιν· ὅταν ἐμφερῆ τῇ τε ψυχῇ τό σῶμα, καί τοῖς νοητοῖς τά αἰσθητά, κατ᾽ εὐπρέπειαν καί δόξαν γενήσεται, μιᾶς ὅλοις κατ᾽ ἐναργῆ τε καί ἐνεργόν παρουσίαν, ἀναλόγως ἑκάστῳ θείας ἐπιφαινομένης δυνάμεως, καί δι᾽ ἑαυτῆς τόν τῆς ἑνώσεως ἄλυτον εἰς τούς ἀπείρους αἰῶνας συντηρούσης δεσμόν.

Εἴ τις οὖν βούλεται καί βίον καί λόγον θεοφιλῆ καί θεάρεστον ἔχειν, τῶν τριῶν τούτων ἀνθρώπων· τοῦ κόσμου τέ φημι, καί τῆς ἁγίας Γραφῆς, καί τοῦ καθ᾽ ἡμᾶς, τά κρείττω περί πολλοῦ ποιείτω καί τιμιώτερα. Ψυχῆς μέν, ὅση δύναμις ἐπιμελείσθω τῆς ἀθανάτου καί θείας καί θεοποιηθησομένης, ἐξ ἀρετῶν· καί σαρκός καταφρονείτω τῆς ὑποκειμένης φθορᾷ καί θανάτῳ, καί τό τῆς ψυχῆς ἀμελούμενον ῥυπῶσαι (688) δυναμένης ἀξίωμα. Φθαρτόν γάρ σῶμα, φησί, βαρύνει ψυχήν, καί βρίθει τό γεῶδες σκῆνος νοῦν πολυφρόντιδα. Καί πάλιν, Ἡ σάρξ ἐπιθυμεῖ κατά τοῦ πνεύματος· τό δέ πνεῦμα, κατά τῆς σαρκός. Καί αὖθις, Ὁ σπείρων εἰς τήν σάρκα ἑαυτοῦ, ἐκ τῆς σαρκός θερίσει φθοράν. Πρός δέ τάς ἀσωμάτους καί νοεράς δυνάμεις κατά νοῦν διά νοήσεως κινησάτω τήν ἅμιλλαν, ἀφείς τά παρόντα καί βλεπόμενα· Τά γάρ βλεπόμενα πρόσκαιρα, φησί· τά δέ μή βλεπόμενα, αἰώνια· εἷς διά τό πλῆθος τῆς κατ᾽ εἰρήνην ἕξεως ὁ Θεός ἐναναπαύεται. Καί πρός τό Πνεῦμα τό ἅγιον, δι᾽ ἔμφρονος μελέτης τῆς ἁγίας γραφῆς, ὑπερβάς τό

γράμμα, σωφρόνως ἀναφερέσθω· ἐν ᾧ τό πλήρωμα ὑπάρχειν τῶν ἀγαθῶν, καί οἱ θησαυροί τῆς γνώσεως καί τῆς σοφίας ἀπόκρυφοι· ὧν εἴ τις ἐντός ἄξιος γενέσθαι φανήσεται, τόν Θεόν αὐτόν εὑρήσει ταῖς πλαξί τῆς καρδίας ἐγγεγραμμένον διά τῆς ἐν πνεύματι χάριτος, ἀνακεκαλυμμένῳ προσώπῳ τήν τοῦ Θεοῦ δόξαν ἐνοπτριζόμενος τῇ περιαιρέσει τοῦ κατά γράμμα καλύμματος.

***ΚΕΦΑΛ. Η΄.***

***Τίνων εἰσί σύμβολα, ἥ τε πρώτη τῆς ἁγίας συνάξεως εἴσοδος, καί τά μετ᾽ αὐτήν τελούμενα.***

Ἥκει δέ λοιπόν ὁ λόγος ἡμῖν, μετά τήν σύντομον ἔκθεσιν τῶν εἰρημένων περί τῆς ἁγίας ἐκκλησίας θεωριῶν παρά τοῦ μακαρίου γέροντος, συντομωτέραν καί τήν περί τῆς ἁγίας τῆς Ἐκκλησίας συνάξεως διήγησιν, ὡς οἷόν τε, ποιησόμενος. Τήν μέν οὖν πρώτην εἰς τήν ἁγίαν Ἐκκλησίαν τοῦ ἀρχιερέως κατά τήν ἱεράν σύναξιν εἴσοδον, τῆς πρώτης τοῦ Υἱοῦ τοῦ Θεοῦ καί Σωτῆρος ἡμῶν Χριστοῦ διά σαρκός εἰς τόν κόσμον τοῦτον παρουσίας τύπον καί εἰκόνα φέρειν, ἐδίδασκε· δι᾽ ἧς τήν δουλωθεῖσαν τῇ φθορᾷ καί παθοῦσαν ὑφ᾽ ἑαυτῆς τῷ θανάτῳ δά τῆς ἁμαρτίας, καί βασιλευομένην τυραννικῶς ὑπό τοῦ διαβόλου τῶν ἀνθρώπων φύσιν ἐλευθερώσας τε καί λυτρωσάμενος· πᾶσαν τήν ὑπέρ αὐτῆς ὀφειλήν, ὡς ὑπεύθυνος ἀποδούς ὁ ἀνεύθυνος καί ἀναμάρτητος, πάλιν πρός τήν ἐξ ἀρχῆς ἐπανήγαγε τῆς βασιλείας χάριν, ἑαυτόν λύτρον ὑπέρ ἡμῶν δούς καί ἀντάλλαγμα· καί τῶν ἡμετέρων φθοροποιῶν παθημάτων τό ζωοποιόν αὐτοῦ πάθος ἀντιδούς, παιώνιον ἄκος καί παντός τοῦ κόσμου σωτήριον· μεθ᾽ ἥν παρουσίαν, ἡ εἰς οὐρανούς αὐτοῦ καί τόν ὑπερουράνιον θρόνον ἀνάβασίς τε καί ἀποκατάστασις συμβολικῶς τυποῦται, διά τῆς ἐν τῷ ἱερατείῳ τοῦ ἀρχιερέως εἰσόδου, καί τῆς εἰς τόν θρόνον τόν ἱερατικόν ἀναβάσεως.

***ΚΕΦΑΛ. Θ΄.***

***Τίνος ἔχει δήλωσιν καί ἡ τοῦ λαοῦ εἰς τήν ἁγίαν τοῦ Θεοῦ Ἐκκλησίαν εἴσοδος.***

Τήν δέ τοῦ λαοῦ σύν τῷ ἱεράρχῃ γενομένην εἰς τήν Ἐκκλησίαν εἴσοδον, τήν ἐξ ἀγνοίας καί πλάνης (689) εἰς ἐπίγνωσιν Θεοῦ ἐπιστροφήν τῶν ἀπίστων, καί τήν ἀπό κακίας καί ἀγνωσία εἰς ἀρετήν καί γνῶσιν, μετάθεσιν τῶν πιστῶν σημαίνειν, ὁ μακάριος ἔλεγε γέρων. Οὐ γάρ μόνον τήν ἐπί τόν ἀληθινόν Θεός ἐπιστροφήν τῶν

ἀπίστων ἡ εἰς τήν ἐκκλησίαν εἴσοδος παραδηλοῖ· ἀλλά καί ἑκάστου ἡμῖν τῶν πιστευόντων μέν, ἀθετούντων δέ τάς ἐντολάς τοῦ κυρίου δι᾽ ἀγωγῆς ἀκολάστου καί ἀσχήμονος βίου, τήν διά μετανοίας διόρθωσιν. Πᾶς γάρ ἄνθρωπος, εἴτε φονεύς, εἴτε μοιχός, εἴτε κλέπτης, εἴτε ὑπερήφανος, εἴτε ἀλαζών, ἤ ὑβριστής, ἤ πλεονέκτης, ἤ φιλάργυρος, ἤ κατάλαλος, ἤ μνησίακακος, ἤ πρός θυμόν καί ὀργήν εὐάγωγος, ἤ λοίδορος, ἤ συκοφάντης, ἤ ψίθυρος, ἤ φθόνῳ εὐχείρωτος, ἤ μέθυσος· καί ἁπλῶς, ἵνα μή πάντα τά τῆς κακίας εἴδη ἀπαριθμούμενος μηκύνω τόν λόγον, ὅστις ὑφ᾽ οἱασδήποτε κακίας ἐνεχόμενος, ἐπόν τοῦ ἑκουσίως κατ᾽ ἐπιτήδευσιν ἐνέχεσθαι καί ἐνεργεῖν κατά πρόθεσιν παύσοιτο, καί μεταβαλοῖ τόν βίον ἐπί τό κρεῖττον, τῆς κακίας τήν ἀρετήν ἀνθαιρούμενος· ὁ τοιοῦτος κυρίως τε καί ἀληθῶς Χριστῷ τῷ Θεῷ καί ἀρχιερεῖ νοείσθω τε καί λεγέσθω συνεισιέναι εἰς τήν ἀρετήν, Ἐκκλησίαν τροπικῶς νοουμένην.

**ΚΕΦΑΛ. Ι΄.**

***Τίνων εἰσί σύμβολον τά θεῖα ἀναγνώσματα.***

Τάς δέ θείας τῶν πανιέρων βίβλων ἀναγνώσεις, τάς θείας καί μακαρίας τοῦ παναγίου Θεοῦ βουλήσεις τε καί βουλάς ὑπεμφαίνειν, ἔλεγεν ὁ διδάσκαλος· δι᾽ ὧν τάς ὑποθήκας τῶν πρακτέων, ἀναλόγως ἕκαστος ἡμῶν, κατά τήν ὑποῦσαν αὐτῷ δύναμιν, λαμβάνομεν· καί τούς τῶν θείων καί μακαρίων ἀγώνων νόμους μανθάνομεν· καθ᾽ οὕς νομίμως ἀθλοῦντες, τῶν ἀξιονίκων τῆς Χριστοῦ βασιλείας ἀξιούμεθα στεφάνων.

**ΚΕΦΑΛ. ΙΑ΄.**

***Τίνος ἐστί σύμβολον τά θεῖα ᾄσματα.***

Τήν δέ πνευματικήν τῶν θείων ᾀσμάτων τερπνότητα, τήν ἐμφαντικήν δηλοῦν ἔφασκε, τῶν θείων ἡδονήν ἀγαθῶν· τήν τάς ψυχάς πρός μέν τόν ἀκήρατον τοῦ Θεοῦ καί μακάριον ἀνακινοῦσαν ἔρωτα· πρός δέ τό μῖσος τῆς ἁμαρτίας πλέον ἐγείρουσαν.

**ΚΕΦΑΛ. ΙΒ΄.**

***Τί σημαίνουσιν αἱ τῆς εἰρήνης προσφωνήσεις.***

Διά δέ τῶν γινομένων ἔνδοθεν ἐκ τοῦ ἱερατείου κελεύσει τοῦ ἀρχιερέως, ἐφ᾽ ἑκάστῳ ἀναγνώσματι τῆς εἰρήνης ὑποφωνήσεων· τάς διά τῶν ἁγίων ἀγγέλων διακομιζομένας θείας ἀποδοχάς δηλοῦσθαι, ὁ σοφός διωρίζετο· δι᾽ ὧν ὁ Θεός ὁρίζει τῶν νομίμως ὑπέρ τῆς ἀληθείας

πρός τάς ἀντικειμένας δυνάμεις ἀθλούντων τούς ἀγῶνας, τάς ἀοράτους συμπλοκάς (692) διαλύων, καί εἰρήνην διδούς ἐν τῇ καταργήσει τοῦ σώματος τῆς ἁμαρτίας, καί τῶν ὑπέρ ἀρετῆς πόνων τῆς ἀπαθείας τήν χάριν τοῖς ἁγίοις ἀντιδιδούς· ἵνα τοῦ πολεμεῖν ἀφέμενοι, πρός γεωργίαν πνευματικήν, εἴτουν ἀρετῶν ἐργασίαν, τάς τῆς ψυχῆς μετασκευάσωσι δυνάμεις· δι᾿ ὧν τά στίφη τῶν πονηρῶν πνευμάτων διέλυσαν, στρατηγοῦντος αὐτοῖς τοῦ Θεοῦ καί Λόγου, καί τά πικρά τοῦ διαβόλου καί δύσφυκτα μηχανήματα διασκεδάζοντος.

***ΚΕΦΑΛ. ΙΓ΄.***

***Τίνος ἰδικῶς ἐπί τοῦ καθ᾿ ἕκαστον σύμβολόν ἐστιν ἡ ἀνάγνωσις τοῦ ἁγίου Εὐαγγελίου, καί τά μετ᾿ αὐτήν μυστικά.***

Ὅθεν εὐθύς μετά ταύτας, τήν θείαν τοῦ ἁγίου Εὐαγγελίου, ἀνάγνωσιν, ἡ τῆς ἁγίας Ἐκκλησίας ἱερά διάταξις ἐνομοθέτησε γίγνεσθαι· ἰδικῶς μέν τήν ὑπέρ τοῦ λόγου τοῖς σπουδαίοις κακοπάθειαν εἰσηγουμένην· μεθ᾿ ἥν ὁ τῆς γνωστικῆς θεωρίας ὥσπερ Ἀρχιερεύς οὐρανόθεν ἐπιδημῶν αὐτοῖς Λόγος, τῆς σαρκός αὐτοῖς ὥσπερ τινά κόσμον αἰσθητόν συστέλλει τό φρόνημα· τούς ἔτι πρός γῆν κατανεύοντας λογισμούς ἀπωθούμενος, καί πρός τήν τῶν νοητῶν ἐποψίαν ἐντεῦθεν διά τῶν τῶν θυρῶν κλείσεως, καί τῆς εἰσόδου τῶν ἁγίων μυστηρίων, αὐτούς ἀγαγών, λόγων τε καί πραγμάτων, μύσαντας ἤδη τάς αἰσθήσεις· καί ἔξω σαρκός καί κόσμου γεγενημένους, τά ἀπόῤῥητα διδάσκει· συναχθέντας ἤδη διά τοῦ ἀσπασμοῦ πρός ἑαυτούς τε καί αὐτόν, καί μόνην ἀντεισάγοντας αὐτῷ τῆς περί αὐτούς πολλῆς εὐεργεσίας, εὐγνωμόνως, τήν ὑπέρ τῆς ἑαυτῶν σωτηρίας εὐχαριστήριον ὁμολογίαν· ἥν τό θεῖον τῆς πίστεως αἰνίττεται σύμβολον. Εἶτα τοῖς ἀγγέλοις ἐναριθμίους αὐτούς καταστήσας διά τοῦ Τρισαγίου, καί τήν αὐτήν ἐκείνοις ἐπιστήμην τῆς ἁγιαστικῆς θεολογίας αὐτοῖς χαρισάμενος, τῷ Θεῷ καί Πατρί προσάγει, υἱοθετηθέντας τῷ Πνεύματι διά τῆς προσευχῆς, δι᾿ ἧς Πατέρα καλεῖν τόν θεόν ἠξιώθησαν. Κἀντεῦθεν πάλιν ὥσπερ ἐπιστημόνως ἤδη τούς ἐν τοῖς οὖσι πάντας λόγους περάσαντας, πρός τήν ἄγνωστον ἀγνώστως διά τοῦ, Εἷς ἅγιος, καί τῶν ἑξῆς, ἄγει μονάδα, τῇ χάριτι ἑνωθέντας, καί κατά μέθεξιν πρός αὐτήν ὁμοιωθέντας τῇ κατά δύναμιν ἀδιαιρέτῳ ταυτότητι.

***ΚΕΦΑΛ. ΙΔ΄.***

***Τίνος ἐστί σύμβολον καί τό γενικῶς σημαινόμενον, ἡ θεία τοῦ ἁγίου Εὐαγγελίου ἀνάγνωσις.***

Γενικῶς δέ τήν τοῦ κόσμου τούτου συντέλειαν ὑποσημαίνουσαν. Μετά γάρ τήν θείαν τοῦ ἁγίου Εὐαγγελίου ἀνάγνωσιν, ὅ τε ἀρχιερεύς κάτεισι τοῦ θρόνου· καί ἡ τῶν κατηχουμένων, καί ἡ τῶν λοιπῶν (693) τῶν ἀναξίων τῆς θείας τῶν δειχθησομένων μυστηρίων θεωρίας, ἀπόλυσίς τε καί ἐκβολή διά τῶν λειτουργῶν γίγνεται· σημαίνουσα καί προτυποῦσα δι᾽ ἑαυτῆς τήν ἀλήθειαν, ἧς εἰκών ὑπάρχει καί τύπος, καί οἷον ἐν τούτοις βοῶσα, ὅτι μετά τό κηρυχθῆναι τό Εὐαγγέλιον, καθώς γέγραπται, τῆς βασιλείας ἐν ὅλῃ τῇ οἰκουμένῃ, εἰς μαρτύριον πᾶσι τοῖς ἔθνεσι, τότε ἥξει τό τέλος· παραγινομένου κατά τήν δευτέραν αὐτοῦ παρουσίαν, ἐξ οὐρανῶν δηλαδή, μετά δόξης πολλῆς τοῦ μεγάλου Θεοῦ καί Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ· Αὐτός γάρ ὁ Κύριος ἐν φωνῇ ἀρχαγγέλου καί ἐν σάλπιγγι Θεοῦ καταβήσεται ἀπ᾽ οὐρανοῦ; φησίν ὁ θεῖος Ἀπόστολος· καί ποιοῦντος ἐκδίκησιν ἐν τοῖς ὑπεναντίοις, καί ἀφορίζοντος διά τῶν ἁγίων ἀγγέλων τούς πιστούς ἀπό τῶν ἀπίστων, καί ἀπό τῶν δικαίων τούς ἀδίκους, καί τῶν ἁγίων τούς ἐναγεῖς· καί ἁπλῶς, ἵνα συνελών εἴπω , τῶν Πνεύματι Θεοῦ στοιχησάντων, τούς ὀπίσω σαρκός πορευθέντας· καί ἐπ᾽ αἰῶσι ἀπείροις τε καί ἀτελευτήτοις, ὡς ἡ τῶν θείων λογίων ἀλήθειά φησι, κατ᾽ ἀξίαν τῶν βεβιωμένων ἑκάστῳ δικαίαν ἀποδιδόντος τήν ἀμοιβήν.

***ΚΕΦΑΛ. ΙΕ΄.***

***Τίνος σύμβολόν ἐστι ἡ κλεῖσις τῶν θυρῶν τῆς ἁγίας ἐκκλησίας, ἡ μετά τό ἅγιον Εὐαγγέλιον γιγνομένη.***

Ἡ δέ μετά τήν ἱεράν ἀνάγνωσιν τοῦ ἁγίου Εὐαγγελίου, καί τήν ἐκβολήν τῶν κατηχουμένων γινομένη κλεῖσις τῶν θυρῶν τῆς ἁγίας τοῦ Θεοῦ ἐκκλησίας, τήν τε τῶν ὑλικῶν δηλοῖ πάροδον, καί τήν γενησομένην μετά τό φοβερόν ἐκεῖνον ἀφορισμόν καί τήν φοβερωτέραν ψῆφον, εἰς τόν νοητόν κόσμον, ἤτοι τήν νυμφῶνα τοῦ Χριστοῦ, τῶν ἀξίων εἴσοδον· καί τήν ἐν ταῖς αἰσθήσεσι τῆς κατά τήν ἀπάτην ἐνεργείας, τελείαν ἀποβολήν.

***ΚΕΦΑΛ΄. Ιστ΄.***

***Τί σημαίνει ἡ τῶν ἁγίων καί μυστηρίων εἴσοδος.***

Ἡ δέ τῶν ἁγίων καί σεπτῶν μυστηρίων εἴσοδος, ἀρχή καί προοίμιόν ἐστιν (ὡς ὁ μέγας ἐκεῖνος ἔφασκε γέρων) τῆς γενησομένης

ἐν οὐρανοῖς καινῆς διδασκαλίας περί τῆς οἰκονομίας τοῦ Θεοῦ τῆς εἰς ἡμᾶς, καί ἀποκάλυψις τοῦ ἐν ἀδύτοις τῆς θείας κρυφιότητος ὄντος μυστηρίου τῆς ἡμῶν σωτηρίας. Οὐ γάρ μή πίω φησί, πρός τούς ἑαυτοῦ μαθητάς ὁ Θεός καί Λόγος, ἀπ᾽ ἄρτι ἐκ τοῦ γεννήματος τῆς ἀμπέλου, ἕως τῆς ἡμέρας ἐκείνης, ὅταν αὐτό πίνω μεθ᾽ ὑμῶν καινόν ἐν τῇ βασιλείᾳ τοῦ Πατρός ἐμοῦ.

***ΚΕΦΑΛ. ΙΖ΄.***

***Τίνος ἐστί σύμβολον ὁ θεῖος ἀσπασμός.***

Ὁ δέ πᾶσι προσφωνούμενος πνευματικός ἀσπασμός, τήν ἐσομένην πάντων πρός ἀλλήλοις ἐν τῷ καιρῷ (696) τῆς τῶν μελλόντων ἀῤῥήτων ἀγαθῶν ἀποκαλύψεως, κατά πίστιν τε καί ἀγάπην, ὁμόνοιάν τε καί ὁμογνωμοσύνην, καί ταυτότητα λογικήν· δι' ἥν τήν πρός τόν Λόγον καί Θεόν οἰκείωσιν οἱ ἄξιοι δέχονται, προτυποῖ καί προδιαγράφει. Λόγου γάρ σύμβολον τό στόμα, καθ᾽ ὅν μάλιστα πᾶσιν ἅπαντες οἱ λόγου μετειληφότες, ὡς λογικοί, καί τῷ πρώτῳ καί μόνῳ Λόγῳ, καί παντός αἰτίῳ λόγου συμφύονται.

***ΚΕΦΑΛ. ΙΗ΄.***

***Τί σημαίνει τό θεῖον τῆς πίστεως Σύμβολον.***

Ἡ δέ τοῦ θείου συμβόλου τῆς πίστεως γινομένη παρά πάντων ὁμολογία, τήν ἐφ᾽ οἷς ἐσώθημεν παραδόξοις λόγοις τε καί τρόποις τῆς πανσόφου περί ἡμᾶς τοῦ Θεοῦ προνοίας γενησομένην μυστικήν εὐχαριστίαν, κατά τόν αἰῶνα τόν μέλλοντα, προσημαίνει· δι᾽ ἧς εὐγνώμονας ἐπί τῇ θείᾳ εὐεργεσίᾳ ἑαυτούς συνιστῶσιν οἱ ἄξιοι· πλήν ταύτης τῶν περί αὐτούς ἀπείρων θείων ἀγαθῶν ἀντεισαγαγεῖν ἄλλο τι καθ᾽ ὁτιοῦν οὐκ ἔχοντες.

***ΚΕΦΑΛ. ΙΘ΄.***

***Τί σημαίνει ἡ τοῦ Τρισαγίου δοξολογία.***

Ἡ δέ γινομένη τρισσή τοῦ ἁγιασμοῦ τῆς θείας ὑμνολογίας ἐκβόησις παρά παντός τοῦ πιστοῦ λαοῦ, τήν πρός τάς ἀσωμάτους καί νοεράς δυνάμεις κατά τό μέλλον φανησομένην ἕνωσίν τε καί ἰσοτιμίαν παραδηλοῖ· καθ᾽ ἥν συμφώνως ταῖς ἄνω δυνάμεσι, διά ταυτότητα τῆς ἀτρέπτου περί Θεόν ἀεικινησίας, τρισίν ἁγιασμοῖς ὑμνεῖν τε καί ἁγιάζειν τήν τρισυπόστατον μίαν θεότητα διδαχθήσεται τῶν ἀνθρώπων ἡ φύσις.

***ΚΕΦΑΛ. Κ΄.***

***Τίνος ἐστί σύμβολον ἡ ἁγία προσευχή τοῦ, "Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς."***

Ἡ δέ παναγία τε καί σεπτή τοῦ μεγάλου καί μακαρίου Θεοῦ καί Πατρός ἐπίκλησις, τῆς δοθησομένης ἐνυποστάτου τε καί ἐνυπάρκτου κατά δωρεάν καί χάριν τοῦ ἁγίου Πνεύματος, υἱοθεσίας ἐστί σύμβολον· καθ᾿ ἥν πάσης ὑπερνικωμένης τε καί καλυπτομένης ἀνθρωπίνης ἰδιότητος, τῇ ἐπιφοιτήσει τῆς χάριτος, υἱοί Θεοῦ χρηματίσουσί τε καί ἔσονται πάντες οἱ ἅγιοι, ὅσοι δι᾿ ἀρετῶν ἀπ᾿ ἐντεῦθεν ἤδη τῷ θείῳ τῆς ἀγαθότητος κάλλει ἑαυτούς λαμπρῶς τε καί ἐπιδόξως ἐφαίδρυναν.

***ΚΕΦΑΛ. ΚΑ΄.***

***Τί σημαίνει τό τέλος τῆς μυστικῆς ἱερουργίας τῶν ἐκφωνουμένων ὕμνων· τουτέστιν, " Εἷς Ἅγιος, εἷς Κύριος, " καί τά ἑξῆς.***

Ἡ δέ κατά τό τέλος τῆς μυστικῆς ἱερουργίας παρά παντός τοῦ λαοῦ γινομένη τοῦ, Εἷς Ἅγιος, καί τῶν ἑξῆς, ὁμολογία, τήν ὑπέρ λόγον καί νοῦν πρός τό ἕν τῆς θείας ἁπλότητος κρύφιον γενησομένην τῶν μυστικῶς τε καί σοφῶς κατά Θεόν τετελεσμένων, συναγωγήν τε καί ἕνωσιν δηλοῖ, (697) ἐν τῷ ἀφθάρτῳ τῶν νοητῶν αἰῶνι· καθ᾿ ὅν τῆς ἀφανοῦς καί ὑπεραῤῥήτου δόξης τό φῶς ἐνοπτεύοντες, τῆς μακαρίας, μετά τῶν ἄνω δυνάμεων, καί αὐτοί δεκτικοί γίνονται καθαρότητος· μεθ᾿ ἥν, ὡς τέλος πάντων, ἡ τοῦ μυστηρίου μετάδοσις γίνεται· μεταποιοῦσα πρός ἑαυτήν, καί ὁμοίους τῷ κατ᾿ αἰτίαν ἀγαθῷ κατά χάριν καί μέθεξιν ἀποφαίνουσα τούς ἀξίως μεταλαμβάνοντας, ἐν μηδενί αὐτοῦ λειπομένους, κατά τό ἐφικτόν ἀνθρώποις καί ἐνδεχόμενον. Ὥστε καί αὐτούς δύνασθαι εἶναί τε καί καλεῖσθαι θέσει κατά τήν χάριν θεούς, διά τόν αὐτούς ὅλως πληρώσαντα ὅλον Θεόν, καί μηδέν αὐτῶν τῆς αὐτοῦ παρουσίας κενόν καταλείψαντα.

***ΚΕΦΑΛ. ΚΒ΄.***

***Πῶς, καί τίνι τρόπῳ καί ἡ τῆς ψυχῆς καθ᾿ ἑαυτήν νοουμένης ἐπί τοῦ καθ᾿ ἕκαστον ἰδικῶς ἐκθεωτική καί τελειοποιός διά τῶν εἰρημένων θεωρεῖται κατάστασις.***

Δεῦρο δή οὖν, διά τῶν αὐτῶν ὁδῷ καί τάξει βαίνοντες, πάλιν τά αὐτά καί περί ψυχῆς γνωστικῆς θεωρήσωμεν· καί συναναβῆναι

μικρόν κατά δύναμιν τῷ λόγῳ μετ᾽ εὐλαβείας πρός ὑψηλοτέραν θεωρίαν, σκοπῆσαί τε καί κατανοῆσαι πῶς οἱ θεῖοι τῆς ἁγίας Ἐκκλησίας θεσμοί τήν ψυχήν ἐπί τήν ἑαυτῆς τελειότητα δι᾽ ἀληθοῦς καί ἐνεργοῦς γνώσεως ἄγουσι, ποθοῦντα τόν νοῦν καί βουλόμενον, Θεοῦ χειραγωγοῦντος (εἰ δοκεῖ) μή κωλύσωμεν.

***ΚΕΦΑΛ. ΚΓ΄.***

***Ὅτι σύμβολον τῶν κατά ψυχήν ἀρετῶν ἐστιν ἡ πρώτη εἴσοδος τῆς ἁγίας συνάξεως.***

Ἄθρει τοιγαροῦν ὅστις τῆς μακαρίας τοῦ Χριστοῦ σοφίας γνήσιος καθέστηκας ἐραστής, νοός ὀφθαλμοῖς, κατά τήν πρώτης εἴσοδον τῆς ἁγίας συνάξεως ἀπό τῆς ἔξωθεν τῶν ὑλικῶν πλάνης καί ταραχῆς, κατά τό γεγραμμένον, Γυναῖκες ἐρχόμεναι ἀπό θέας, δεῦτε· τῆς ἐν εἴδει καί σχήματι, φημί κατά τήν πρόσοψιν τῶν αἰσθητῶν περιπλανήσεως· οὐ γάρ θεωρίαν εἰπεῖν ἀληθές, κατά τούς ἀσόφους τῶν παρ᾽ ' Ἕλλησι λεγομένων σοφῶν (μηδέ γάρ σοφοί κληθεῖέν ποτε πρός ἡμῶν, οἱ τόν Θεόν γνῶναι διά τῶν αὐτοῦ ποιημάτων μή δυνηθέντες, ἤ μή βουληθέντες) τῶν αἰσθητῶν λέγω τήν ἐπιφάνειαν, καθ᾽ ἥν ὁ διηνεκής τῶν αἰσθητῶν πρός ἄλληλα συνέστηκε πόλεμος, πᾶσι τήν δι᾽ ἀλλήλων φθοράν ἐνεργῶν, πάντων φθειρόντων ἄλληλα καί ἐν ἀλλήλοις φθειρομένων· καί τοῦτο μόνον πάγιον ἔχοντα, τό ἀστατεῖν καί φθείρεσθαι, μηδέποτε συμβαίνειν ἀλλήλοις κατά διαμονήν ἄμαχον δύνασθαι καί ἀστασίαστον· ἐρχομένην τε τήν ψυχήν, καί προτροπάδην φεύγουσαν, καί ὥσπερ εἰς Ἐκκλησίαν καί ἄσυλον εἰρήνης ἀνάκτορον, τήν ἐν πνεύματι φυσικήν θεωρίαν, τήν ἄμαχον καί πάσης ἐλευθέραν ταραχῆς μετά Λόγου τε καί ὑπό τοῦ Λόγου τοῦ μεγάλου καί (700) ἀληθοῦς ἡμῶν Θεοῦ καί ἀρχιερέως εἰσερχομένην· καί ὡς διά συμβόλων τῶν γινομένων θείων ἀναγνωσμάτων, τούς τῶν ὄντων διδασκομένην λόγους, καί τό θαυμαστόν καί μέγα τῆς ἐν νόμῳ καί προφήταις δηλουμένης θείας προνοίας μυστήριον· καθ᾽ ἕκαστόν τε δεξαμένην, ὑπέρ τῆς ἐν τούτοις καλῆς μαθητείας θεόθεν διά τῶν ἁγίων δυνάμεων, νοερῶς κατά διάνοιαν αὐτῇ διαλεγομένων, τάς εἰρηνοδώρους σημειώσεις, μετά τῆς ῥωστικῆς καί συντηρητικῆς θέλξεως, τῆς θείας καί διαπύρου κατά Θεόν ἐφέσεως, διά τῆς μυστικῶς ὑπᾳδομένης αὐτῇ νοητῶς τῶν θείων ᾀσμάτων ἡδονῆς.

Πάλιν ἐκ τούτων μεταβαίνουσαν, καί συναγομένην ἐπί τήν μίαν καί μόνην καί ἑνιαίως τούτους συλλαμβάνουσαν τούς λόγους κορυφήν· λέγω δέ, τό ἅγιον Εὐαγγέλιον, ἐν ᾧ πάντες τῆς τε προνοίας καί τῶν ὄντων οἱ λόγοι κατά μίαν περιοχῆς δύναμιν ἑνοειδῶς προϋφεστήκασι. Μεθ᾽ ὅ κατ᾽ αἴσθησιν θείαν αὐτόν ὁρᾷν ἔνεστι πάλιν θεμιτόν τοῖς φιλοθέοις, ἀταρβήτοις νοός ὄμμασι παραγινόμενον οὐρανόθεν αὐτῇ τόν Λόγον καί Θεόν, ὡς ἡ τοῦ ἀρχιερέως ἀπό τοῦ θρόνου τοῦ ἱερατικοῦ σημαίνει κατάβασις· καί τέλειον αὐτῆς διακρίνοντα κατηχουμένων δίκην ἔτι τήν αἴσθησιν, καί τό κατ᾽ αὐτήν μεριστόν φαντασιουμένους λογισμούς. Κἀντεῦθεν πάλιν ἔξω γενομένην τῶν αἰσθητῶν, ὡς ἡ τῶν θυρῶν τῆς ἁγίας τοῦ Θεοῦ ἐκκλησίας νοεῖν ὑποτίθεται κλεῖσις· ἐπί τήν δηλουμένην διά τῆς εἰσόδου τῶν ἀῤῥήτων μυστηρίων, ἄϋλον καί ἁπλῆν καί ἀναλλοίωτον καί θεοδειδῆ, καί παντός ἐλευθέραν εἴδους καί σχήματος ἐπιστήμην τῶν νοητῶν ἄγοντα· καθ' ἥν συναγαγούσαν πρός μέν ἑαυτῆς τάς οἰκείας δυνάμεις· πρός δέ τόν Λόγον, ἑαυτήν καταντᾶ, διά τοῦ νοεροῦ ἀσπασμοῦ ἑνώσασαν τούς περί ἑαυτήν ἀῤῥήτους τῆς σωτηρίας καί λόγους καί τρόπους, διά τοῦ συμβόλου τῆς πίστεως εὐχαρίστως ὁμολογεῖν ἐκδιδάσκοντα.

Ἐπί τούτοις δέ πάλιν, ὡς ἤδη λοιπόν κατά δύναμιν ἁπλῆν καί ἀδιαίρετον διά μαθητείας, γνώσει, περιλαβοῦσαν τούς τε τῶν αἰσθητῶν καί τῶν νοητῶν λόγους, ἐπί τήν γνῶσιν τῆς ἐκφανοῦς αὐτήν ἄγοντα θεολογίας, μετά τήν πάντων διάβασιν, καί τήν ἴσην τοῖς ἀγγέλοις κατά τό ἐφικτόν αὐτῇ παρεχόμενον νόησιν· καί τοσοῦτον διδάσκοντα σωφρόνως αὐτήν, ὅσον εἰδέναι Θεόν ἕνα, μίαν οὐσίαν, ὑποστάσεις τρεῖς· μονάδα οὐσίας τρισυπόστατον, καί τριάδα ὑποστάσεων ὁμοούσιον· μονάδα ἐν τριάδι, καί τριάδα ἐν μονάδι· οὐκ ἄλλην καί ἄλλην, οὐδ᾽ ἄλλην παρ᾽ ἄλλην, οὐδέ δι᾽ ἄλλης ἄλλην, οὐδ᾽ ἄλλην ἐν ἄλλῃ, οὐδέ ἐξ ἄλλης ἄλλην· ἀλλά τήν αὐτήν ἐν ἑαυτῇ, καί καθ᾽ ἑαυτήν ἐφ᾽ ἑαυτήν, ἑαυτῇ ταὐτήν καί μονάδα καί τριάδα ἀσύγχυτόν τε καί ἀσυγχύτως τήν ἕνωσιν ἔχουσαν, καί τήν διάκρισιν ἀδιαίρετόν τε καί ἀμέριστον· μονάδα μέν κατά τόν τῆς οὐσίας, (701) ἤτοι τόν τοῦ εἶναι λόγον· ἀλλ᾽ οὐ κατά σύνθεσιν ἤ συναίρεσιν, ἤ τήν οἱανοῦν σύγχυσιν· τριάδα δέ, κατά τόν τοῦ πῶς ὑπάρχειν καί ὑφεστάναι λόγον· ἀλλ᾽ οὐ κατά διαίρεσιν ἤ ἀλλοτρίωσιν, ἤ τόν οἱονοῦν μερισμόν. Οὐ γάρ μεμέρισται ταῖς ὑποστάσεσιν ἡ μονάς, οὐδέ σχετικῶς ἔνεστι καί ἐπιθεωρεῖται αὐταῖς· οὐδέ συντέθεινται εἰς

μονάδα αἱ ὑποστάσεις, ἤ συναιρέσει αὐτήν ἐκπληροῦσιν· ἀλλά τήν αὐτήν ἑαυτῇ ταὐτόν, ἄλλως μέντοι καί ἄλλως. Μονάς γάρ ἐστι ἀσύγχυτος τῇ οὐσίᾳ, καί τῷ κατ᾽ αὐτήν ἁπλῷ λόγῳ ἡ ἁγία τριάς τῶν ὑποστάσεων· καί τριάς ἐστι ταῖς ὑποστάσεσι καί τῷ τρόπῳ τῆς ὑπάρξεως ἡ ἁγία μονάς. Τήν αὐτήν ὅλην τοῦτο κἀκεῖνο διαφόρως, κατ᾽ ἄλλον καί ἄλλον, ὡς εἴρηται, λόγον νοουμένην· μίαν καί μόνην, ἀδιαίρετόν τε καί ἀσύγχυτον, καί ἁπλῆν καί ἀμείωτον καί ἀπαράλλακτον θεότητα· μονάδα κατά τήν οὐσίαν ὅλην ὑπάρχουσαν, καί ὅλην τριάδα τήν αὐτήν ταῖς ὑποστάσεσι, καί μίαν ἑνός τρισσοφαοῦς ἀκτῖνα φωτός μονοειδῶς ἐπιλάμπουσαν· ἐφ᾽ ᾧ καί τήν ψυχήν, ὁμοτίμως τοῖς ἁγίοις ἀγγέλοις τούς ἐκφανεῖς καί ἐφικτούς τῇ κτίσει περί θεότητος δεξαμένην λόγους, καί συμφώνως αὐτοῖς ἀσιγήτως ἀνυμνεῖν μαθοῦσαν τριαδικῶς τήν μίαν θεότητα, ἐπί τήν κατά χάριν δι᾽ ὁμοιότητος ἐμφεροῦς υἱοθεσίαν ἀχθῆναι· δι᾽ ἧς μετ᾽ εὐχάς τόν Θεόν Πατέρα, μυστικόν τε χάριτι καί μόνον ἔχουσα, πρός τό ἕν τῆς αὐτοῦ κρυφιότητος κατ᾽ ἔκστασιν πάντων συναχθήσεται· καί τοσοῦτον πείσεται μᾶλλον, ἤ γνώσεται τά θεῖα· ὅσον μή ἑαυτῆς εἶναι βούλεσθαι, μηδέ ἐξ ἑαυτῆς ὑφ᾽ ἑαυτῆς ἤ ἄλλου τινός γνωσθῆναι δύνασθαι, ἤ μόνου τοῦ ὅλην ἀγαθοπρεπῶς αὐτήν ἀνειληφότος ὅλου Θεοῦ, καί ὅλον αὐτῇ θεοπρεπως ὅλῃ (ὅλον αὐτῇ θεοπρεπῶς ὅλως) καί ἀπαθῶς ἑαυτόν ἐνιέντος, καί ὅλην θεοποιήσαντος· ὡς εἶναι, καθώς φησιν ὁ πανάγιος Ἀρεοπαγίτης Διονύσιος, εἰκόνα καί φανέρωσιν τοῦ ἀφανοῦ φωτός, ἔσοπτρον ἀκραιφνές, διειδέστατον, ἀλώβητον, ἄχραντον, ἀκηλίδωτον, εἰσδεχόμενον ὅλην, εἰ θέμις εἰπεῖν, τήν ὡραιότητα τοῦ ἀγαθοτύπου, θεοειδῶς καί ἀμειώτως ἐπιλάμπον ἐν ἀδύτοις σιγῆς.

### *ΚΕΦΑΛ. ΚΔ΄.*

***Τίνων ἐστίν ἐνεργητική τε καί ἀποτελιστική μυστηρίων, διά τῶν τελουμένων κατά τήν ἁγίαν σύναξιν θεσμῶν ἐν τοῖς πιστοῖς καί πιστῶς συναγομένοις, ἡ παραμένουσα τοῦ ἁγίου Πνεύματος χάρις.***

Τοιγαροῦν ᾤετο δεῖν ὁ μακάριος γέρων, καί παρακαλεῖν οὐκ ἐπαύετο πάντα Χριστιανόν, τῇ ἁγίᾳ τοῦ Θεοῦ Ἐκκλησίᾳ σχολάζειν, καί μή ἀπολιμπάνεσθαί ποτε τῆς ἐν αὐτῇ τελουμένης ἁγίας συνάξεως, διά τε τούς παραμένοντας αὐτῇ ἁγίους ἀγγέλους, (704) καί ἀπογραφομένους ἑκάστοτε τούς εἰσιόντας καί ἐμφανίζοντας τῷ Θεῷ, καί τάς ὑπέρ αὐτῶν δεήσεις ποιουμένους· καί διά τήν ἀοράτως ἀεί μέν

παροῦσαν τοῦ ἁγίου Πνεύματος χάριν, ἰδιοτρόπως δέ μάλιστα κατά τόν καιρόν τῆς ἁγίας συνάξεως, καί ἕκαστον τῶν εὑρισκομένων μεταποιοῦσάν τε καί μετασκευάζουσαν, καί ἀληθές μεταπλάττουσαν ἐπί τό θειότερον ἀναλόγως ἑαυτῷ, καί πρός τό δηλούμενον διά τῶν τελουμένων μυστηρίων ἄγουσαν· κἄν αὐτόν μή αἰσθάνηται, εἴπερ τῶν ἔτι κατά Χριστόν νηπίων ἐστί· καί εἰς τό βάθος τῶν γινομένων ὁρᾷν ἀδυνατεῖ, καί τήν δηλουμένην δι᾿ ἑκάστου τῶν τελουμένων θείων συμβόλων τῆς σωτηρίας ἐν αὐτῷ χάριν ἐνεργοῦσαν, καθ᾿ εἱρμόν καί τάξιν ἀπό τῶν προσεχῶν μέχρι τοῦ πάντων τέλους ὁδεύουσαν.

Κατά μέν πρώτην εἴσοδον ἀπιστίας ἀποβολήν, πίστεως αὔξησιν, κακίας μείωσιν, ἀρετῆς ἐπίδοσιν, ἀγνοίας ἀφανισμόν, γνώσεως προσθήκην. Διά δέ τῆς ἀκροάσεως τῶν θείων λογίων, τάς τῶν εἰρημένων τούτων, πίστεώς φημι καί ἀρετῆς καί γνώσεως, παγίας καί ἀμεταθέτους ἕξεις τε καί διαθέσεις. Διά δέ τῶν ἐπί τούτοις θείων ᾀσμάτων, τήν πρός τάς ἀρετάς τῆς ψυχῆς ἑκούσιον συγκατάθεσιν, καί τήν ἐπ᾿ αὐταῖς ἐγγινομένην αὐτῇ νοεράν ἡδονήν καί τερπνότητα. Διά δέ τῆς ἱερᾶς ἀναγνώσεως τοῦ ἁγίου Εὐαγγελίου, τήν τοῦ χοϊκοῦ φρονήματος, ὥσπερ αἰσυητοῦ κόσμου, συντέλειαν. Διά δέ τῆς μετά ταῦτα τῶν θυρῶν κλείσεως, τήν κατά διάθεσιν ἀπό τούτου τοῦ φθαρτοῦ κόσμου πρός τόν νοητόν κόσμον μετάβασιν τῆς ψυχῆς καί μετάθεσιν· δι᾿ ἧς τάς αἰσθήσεις, θυρῶν δίκην, μύσασα, τῶν καθ᾿ ἁμαρτίαν εἰδώλων καθαράς ἀπεργάζεται. Διά δέ τῆς εἰσόδου τῶν ἁγίων μυστηρίων, τήν τελειωτέραν καί μυστικωτέραν καί καινήν περί τήν εἰς ἡμᾶς οἰκονομίαν τοῦ Θεοῦ διδασκαλίαν καί γνῶσιν. Διά δέ τοῦ θείου ἀσπασμοῦ, τήν πάντων πρός πάντας καί πρός ἑαυτόν ἑκάστου πρότερον καί τόν Θεόν, ὁμονοίας καί ὁμογνωμοσύνης καί ἀγάπης ταυτότητα. Διά δέ τῆς τοῦ συμβόλου τῆ ς πίστεως ὁμολογίας, τήν ἐπί τοῖς παραδόξοις τρόποις τῆς σωτηρίας ἡμῶν πρόσφορον εὐχαριστίαν. Διά δέ τοῦ Τρισαγίου, τήν πρός τούς ἁγίους ἀγγέλους ἕνωσίν τε καί ἰσοτιμίαν, καί τήν ἄπαυστον τῆς ἁγιαστικῆς δοξολογίας τοῦ θεοῦ σύμφωνον εὐτονίαν. Διά δέ τῆς προσευχῆς, δι᾿ ἧς Πατέρα καλεῖν τόν Θεόν ἀξιούμεθα, τήν ἐν χάριτι τοῦ ἁγίου Πνεύματος ἀληθεστάτην υἱοθεσίαν. Διά δέ τοῦ, Εἷς Ἅγιος, καί τῶν ἑξῆς, τήν πρός αὐτόν τόν Θεόν ἑνοποιόν χάριν καί οἰκειότητα. Διά δέ τῆς ἁγίας μεταλήψεως τῶν ἀχράντων καί ζωοποιῶν μυστηρίων, τήν πρός αὐτόν κατά μέθεξιν ἐνδεχομένην δι᾿ ὁμοιότητος κοινωνίαν τε καί ταυτότητα· δι᾿

ἧς γενέσθαι θεός ἐξ ἀνθρώπου καταξιοῦται ὁ ἄνθρωπος. Ὧν γάρ ἐνταῦθα κατά τήν παροῦσαν ζωήν, διά τῆς ἐν πίστει χάριτος, πιστεύομεν μετειληφέναι δωρεῶν τοῦ ἁγίου Πνεύματος, τούτων ἐν τῷ μέλλοντι αἰῶνι κατά ἀλήθειαν ἐνυποστάτως αὐτῷ τῷ πράγματι, κατά τήν ἄπτωτον ἐλπίδα τῆς πίστεως ἡμῶν, καί τήν τοῦ ἐπαγγειλομένου (705) βεβαίαν καί ἀπαράβατον ὑπόσχεσιν, φυλάξαντες κατά δύναμιν τάς ἐντολάς, πιστεύομεν καταλήψεσθαι, μεταβαίνοντες ἀπό τῆς ἐν πίστει χάριτος, εἰς τήν κατ᾽ εἶδος χάριν· μεταποιοῦντος ἡμᾶς πρός ἑαυτόν δηλαδή τοῦ Θεοῦ καί Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ· τῇ περιαιρέσει τῶν ἐν ἡμῖν τῆς φθορᾶς γνωρισμάτων, καί τά παραδειχθέντα διά τῶν ἐνταῦθα αἰσθητῶν συμβόλων ἡμῖν ἀρχέτυπα χαριζομένου μυστήρια.

Διά δέ τό εὐμνημόνευτον, εἰ δοκεῖ, τή τῶν εἰρημένων δύναμιν κατ᾽ ἐπιτομήν ἐπιδραμόντες, οὕτω κεφαλαιώσωμεν. Ἔστι μέν οὖν ἡ ἁγία Ἐκκλησία τύπος, ὡς εἴρηται, καί εἰκών, τοῦ μέν Θεοῦ· διότι ἥν ἐργάζεται κατά τήν ἄπειρον αὐτοῦ δύναμιν καί σοφίαν, περί τάς διαφόρους τῶν ὄντων οὐσίας ἀσύγχυτον ἕνωσιν, ὡς δημιουργός κατ᾽ ἄκρον ἑαυτῷ συνέχων· καί κατά μίαν τῆς πίστεως καί χάριν καί κλῆσιν τούς πιστούς ἀλλήλοις ἑνοειδῶς συνάπτουσα· τούς δέ πρακτικούς καί ἐναρέτους, κατά μίαν γνώμης ταυτότητα· τούς δέ θεωρητικούς καί γνωστικούς πρός τούτοις καί καθ᾽ ὁμόνοιαν ἀῤῥαγῆ καί ἀδιαίρετον.

Τοῦ δέ κόσμου, τοῦ τε νοητοῦ καί τοῦ αἰσθητοῦ τύπος ἐστίν· ὡς τοῦ νοητοῦ κόσμου τό ἱερατεῖον σύμβολον ἔχουσα· τοῦ αἰσθητοῦ δέ, τόν ναόν.

Τῆς δέ τελουμένης ἐν αὐτῇ ἁγίας συνάξεως, ἡ μέν πρώτη εἴσοδος γενικῶς μέν δηλοῖ τήν πρώτην τοῦ Θεοῦ ἡμῶν παρουσίαν· ἰδικῶς δέ, τήν δι᾽ αὐτοῦ καί σύν αὐτῷ τῶν ἐξ ἀπιστίας εἰς πίστιν, καί ἀπό κακίας εἰς ἀρετήν, καί ἀπό ἀγνωσίας εἰς γνῶσιν εἰσαγομένων ἐπιστροφήν.

Τά δέ γινόμενα μετ᾽ αὐτήν ἀναγνώσματα, γενικῶς μέν, τά θεῖα θελήματά τε καί βουλήματα, καθ᾽ ἅ χρή τούς πάντας παιδεύεσθαί τε καί πολιτεύεσθαι, μηνύει· ἰδικῶς δέ, τήν κατά τήν πίστιν διδασκαλίαν καί προκοπήν τῶν πιστευσάντων· καί τῶν πρακτικῶν τήν κατ᾽ ἀρετήν παγίαν διάθεσιν· καθ᾽ ἥν τῷ θείῳ νόμῳ στοιχοῦντες τῶν ἐντολῶν ἀνδρικῶς τε καί ἀκλονήτως ἵστανται πρός τάς μεθοδείας τοῦ διαβόλου, καί τάς ἀντικειμένας ἐνεργείας διαδιδράσκουσι· καί τῶν γνωστικῶν τήν κατά θεωρίαν ἕξιν· καθ᾽ ἥν τούς τῶν αἰσθητῶν καί τῆς

ἐπ᾽ αὐτοῖς (708) προνοίας πνευματικούς κατά δύναμιν συλλεγόμενοι λόγους, ἀπλανῶς πρός τήν ἀλήθειαν φέρονται.

Τά δέ θεῖα τῶν ᾀσμάτων μελίσματα, τήν ἐγγινομένη ταῖς ἁπάντων ψυχαῖς θείαν ἡδονήν καί τερπνότητα· καθ᾽ ἥν μυστικῶς ῥώννύμεναι, τῶν μέν παρελθόντων τῆς ἀρετῆς ἐπιλανθάνονται πόνων· πρός δέ τήν τῶν λειπομένων θείων καί ἀκηράτων ἀγαθῶν, νεάζουσι εὔτονον ἔφεσιν.

Τό δέ Εὐαγγέλιον, γενικῶς μέν σύμβολόν ἐστι τῆς συντελείας τοῦ αἰῶνος τούτου· ἰδικῶς δέ, τῶν μέν πιστευσάντων δηλοῖ τόν παντελῆ τῆς ἀρχαίας πλάνης ἀφανισμόν· τῶν δέ πρακτικῶν, τήν νέκρωσιν καί συντέλειαν τοῦ κατά σάρκα νόμου τε καί φρονήματος· τῶν δέ γνωστικῶν, τήν πρός τόν συνεκτικώτατον λόγον τῶν πολλῶν καί διαφόρων λόγων συναγωγήν τε καί ἀναφοράν, συντελεσθείσης αὐτοῖς καί περατωθείσης τῆς διεξοδικωτέρας καί ποικιλωτέρας φυσικῆς θεωρίας.

Ἡ δέ τοῦ ἀρχιερέως ἀπό τοῦ θρόνου κατάβασις, καί ἡ τῶν κατηχουμένων ἐκβολή, γενικῶς μέν σημαίνει τήν ἀπ᾽ οὐρανοῦ δευτέραν τοῦ μεγάλου Θεοῦ καί Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ παρουσίαν, καί τόν ἀπό τῶν ἁγίων ἀφορισμόν τῶν ἁμαρτωλῶν· καί τήν δικαίαν πρός τήν ἑκάστου ἀξίαν ἀμοιβήν· ἰδικῶς δέ, τήν τελείαν ἐν πίστει τῶν πιστευσάντων πληροφορίαν, ἥν ποιεῖ παραγινόμενος ἀοράτως ὁ Θεός Λόγος· δι᾽ ἧς πᾶς ἔτι καθ᾽ ὁτιοῦν σκάζων κατά τήν πίστιν λογισμός κατηχουμένου τρόπον, αὐτῶν ἀπελαύνεται· τῶν δέ πρακτικῶν, τήν τελείαν ἀπάθειαν, δι᾽ ἧς πᾶς ἐμπαθής καί ἀφώτιστος λογισμός τῆς ψυχῆς ἀπογίνεται· τῶν δέ γνωστικῶν, τήν συνεκτικήν ἐπιστήμην τῶν ἐπεγνωσμένων, δι᾽ ἧς πᾶσαι τῶν ὑλικῶν αἱ εἰκόνες τῆς ψυχῆς ἐκδιώκονται.

Ἡ δέ κλεῖσις τῶν θυρῶν, καί ἡ τῶν ἁγίων μυστηρίων εἴσοδος, καί ὁ θεῖος ἀσπασμός, καί ἡ τοῦ συμβόλου τῆς πίστεως ἐκφώνησις, γενικῶς μέν δηλοῖ τήν τῶν αἰσθητῶν πάροδον, καί τήν τῶν νοητῶν φανέρωσιν, καί τήν καινήν τοῦ περί ἡμᾶς θείου μυστηρίου διδαχήν, καί τήν πρός πάντας πάντων ἑαυτούς τε καί τόν Θεόν γενησομένην ὁμονοίας και ὁμογνωμοσύνης καί ἀγάπης ταυτότητα, καί τήν ἐφ᾽ οἷς ἐσώθημεν τρόποις εὐχαριστίαν· ἰδικῶς δέ, τῶν μέν πιστῶν τήν ἀπό τῆς ἁπλῆς πίστεως εἰς τήν ἐν δόγμασι διδαχήν καί μύησιν, καί ὁμοφωνίαν καί εὐσέβειαν, προκοπήν· τό γάρ πρῶτον, ἡ τῶν θυρῶν δηλοῖ κλεῖσις. Τό δεύτερον δέ, ἡ τῶν ἁγίων εἴσοδος· τό δέ τρίτον, ὁ ἀσπασμός· καί τό

τέταρτον, ἡ ἐκφώνησις τοῦ συμβόλου· τῶν δέ πρακτικῶν, τήν ἀπό πράξεως εἰς θεωρίαν μυσάντων τάς αἰσθήσεις καί ἔξω σαρκός καί κόσμου γενομένων διά τῆς ἀποβολῆς τῶν (709) κατ᾽ αὐτάς ἐνεργειῶν, μετάθεσιν, καί τήν ἀπό τοῦ τρόπου τῶν ἐντολῶν εἰς τόν λόγον αὐτῶν ἀνάβασιν· καί τήν αὐτῶν τῶν ἐντολῶν κατά τούς οἰκείους λόγους συγγενῆ πρός τάς δυνάμεις τῆς ψυχῆς οἰκειότητά τε καί ἕνωσιν, καί τήν πρός θεολογικήν εὐχαριστίαν ἐπιτήδειον ἕξιν· τῶν δέ γνωστικῶν, τήν ἀπό φυσικῆς θεωρίας εἰς τήν τῶν νοητῶν ἁπλῆν κατανόησιν· καθ᾽ ἥν οὐδαμῶς δι᾽ αἰσθήσεως ἤ τινος τῶν φαινομένων ἔτι τόν θεῖον καί ἄῤῥητον μεταδιώκουσι λόγον· καί τήν πρός τήν ψυχήν τῶν αὐτῆς δυνάμεων ἕνωσιν, καί τήν κατά νοῦν ἑνοειδῶς συλλαμβάνουσαν τόν τῆς προνοίας λόγον ἁπλότητα.

Ἡ δέ τοῦ Τρισαγίου ἄπαυστος τῶν ἁγίων ἀγγέλων ἁγιαστική δοξολογία, γενικῶς μέν σημαίνει τήν ἅμα τε καί ἐν ταὐτῷ γενησομένην κατά τόν αἰῶνα τόν μέλλοντα τῶν οὐρανίων και ἐπιγείων δυνάμεων ἴσην καί πολιτείαν καί ἀγωγήν καί συμφωνίαν τῆς θείας δοξολογίας, ἀθανατισθέντος τοῖς ἀνθρώποις τοῦ σώματος διά τῆς ἀναστάσεως, καί μηκέτι βαροῦντος τήν ψυχήν τῇ φθορᾷ, καί βαρουμένου· ἀλλά διά τῆς εἰς ἀφθαρσίαν ἀλλαγῆς πρός ὑποδοχήν παρουσίας Θεοῦ λαβόντος καί δύναμιν καί ἐπιτηδειότητα· ἰδικῶς δέ, τῶν μέν πιστῶν τήν πρός ἀγγέλους κατά τήν πίστιν θεολογικήν ἅμιλλαν· τῶν δέ πρακτικῶν, τήν ἰσάγγελον, ὡς ἐφικτόν ἀνθρώποις, κατά τόν βίον λαμπρότητα, καί τήν εὐτονίαν τῆς θεολογικῆς ὑμνολογίας· τῶν δέ γνωστικῶν, τάς ἰσαγγέλους κατά τό δυνατόν ἀνθρώποις περί θεότητος νοήσεις τε καί ὑμνήσεις καί ἀεικινησίας.

Ἡ δέ μακαρία τοῦ μεγάλου Θεοῦ καί Πατρός ἐπίκλησις, καί ἡ τοῦ, Εἷς ἅγιος, καί τῶν ἑξῆς ἐκφώνησις· καί ἡ τῶν ἁγίων καί ζωοποιῶν μυστηρίων μετάληψις, τήν ἐπί πᾶσι καί ἐπί πάντων τῶν ἀξίων ἐσομένην διά τήν ἀγαθότητα τοῦ Θεοῦ ἡμῶν υἱοθεσίαν, ἕνωσίν τε καί οἰκειότητα, καί ὁμοιότητα θείαν καί θέωσιν δηλοῖ· δι᾽ ἧς πάντα ἐν πᾶσιν ἔσται τοῖς σωζομένοις αὐτός ὁ Θεός, ὁμοίως· ὡς κάλλος ἀρχέτυπον κατ᾽ αἰτίαν ἐμπρέπων τοῖς αὐτῷ δι᾽ ἀρετῆς καί γνώσεως κατά χάριν ὁμοίως συμπρέπουσι.

Πιστούς δέ καί ἐναρέτους καί γνωστικούς ἐκάλει, τούς εἰσαγομένους καί τούς προκόπτοντας καί τούς τελείους, ἤγουν δούλους καί μισθίους καί υἱούς· τάς τρεῖς τάξεις τῶν σωζομένων. Δοῦλοι γάρ εἰσι, πιστοί, οἱ φόβῳ τῶν ἠπειλημένων ἐκπληροῦντες τοῦ

δεσπότου τάς ἐντολάς, καί τοῖς πιστευθεῖσιν εὐνοϊκῶς ἐπεργαζόμενοι· μίσθιοι δέ, οἱ πόθῳ τῶν ἐπηγγελμένων ἀγαθῶν βαστάζοντες μεθ᾽ ὑπομονῆς τό βάρος τῆς ἡμέρας καί τόν καύσωνα· τουτέστι, τήν ἔμφυτον καί συνεζευγμένην τῇ παρούσῃ ζωῇ ἐκ τῆς προπατορικῆς καταδίκης θλῖψιν, καί τούς ἐπ᾽ αὐτῇ ὑπέρ (712) τῆς ἀρετῆς πειρασμούς· καί ζωῆς ζωήν σοφῶς κατ᾽ αὐθαίρετον γνώμην ἀνταλλάσσοντες, τῆς παρούσης τήν μέλλουσαν. Υἱοί δέ, οἱ μήτε φόβῳ τῶν ἠπειλημένων, μήτε πόθῳ τῶν ἐπηγγελμένων, ἀλλά τρόπῳ καί ἕξει τῆς πρός τό καλόν κατά γνώμην τῆς ψυχῇ ῥοπῆς τε καί διαθέσεως, μηδέποτε τοῦ Θεοῦ χωριζόμενοι· κατ᾽ ἐκεῖνον τόν υἱόν, πρός ὅν εἴρηται, Τέκνον, σύ πάντοτε μετ᾽ ἐμοῦ εἶ, καί τά ἐμά πάντα σά ἐστι· τοῦτο κατά τήν ἐν χάριτι θέσιν ἐνδεχομένως ὑπάρχοντες, ὅπερ ὁ Θεός κατά τήν φύσιν καί αἰτίαν καί ἔστι καί πιστεύεται.

Μή τοίνυν ἀπολειφθῶμεν τῆς ἁγίας τοῦ Θεοῦ Ἐκκλησίας, τοσαῦτα κατά τήν τῶν τελουμένων θείων συμβόλων ἁγίαν διάταξιν τῆς σωτηρίας ἡμῶν καλῶς μάλιστα πολιτευόμενον ἀναλόγως ἑαυτῷ κατά Χριστόν δημιουργοῦσα, τό δοθέν διά τοῦ ἁγίου βαπτίσματος ἐν Πνεύματι ἁγίῳ χάρισμα τῆς υἱοθεσίας, εἰς φανέρωσιν ἄγει κατά Χριστόν πολιτευόμενον· ἀλλά πάσῃ δυνάμει τε καί σπουδῇ παραστήσωμεν ἑαυτούς ἀξίους τῶν θείων χαρισμάτων, δι᾽ ἔργων ἀγαθῶν εὐαρεστοῦντας τῷ Θεῷ· μή ἀναστρεφόμενοι κατά τά ἔθνη, τά μή εἰδότα Θεόν, ἐν πάθει ἐπιθυμίας· ἀλλά, καθώς φησιν ὁ ἅγιος Ἀπόστολος, Νεκρώσαντες τά μέλη τά ἐπί τῆς γῆς, πορνείαν, ἀκαθαρσίαν, πάθος, ἐπιθυμίαν κακήν, καί τήν πλεονεξίαν, ἥτις ἐστίν εἰδωλολατρεία· δι᾽ ἅ ἔρχεται ἡ ὀργή ἐπί τούς υἱούς τῆς ἀπειθείας· ὀργήν τε πᾶσαν, καί θυμόν καί αἰσχρολογίαν καί ψεῦδος· καί, συντόμως εἰπεῖν, πάντα τόν παλαιόν ἄνθρωπον, τόν φθειρόμενον κατά τάς ἐπιθυμίας τῆς ἀπάτης, ἀποθέμενοι σύν ταῖς πράξεσιν αὐτοῦ και ταῖς ἐπιθυμίαις, ἀξίως τοῦ Θεοῦ περιπατήσωμεν, τοῦ καλέσαντος ἡμᾶς εἰς τήν αὐτοῦ βασιλείαν καί δόξαν· ἐνδυσάμενοι σπλάγχνα οἰκτιρμοῦ, χρηστότητα, ταπεινοφροσύνην, πραΰτητα, μακροθυμίαν· ἀνεχόμενοι ἀλλήλων ἐν ἀγάπῃ, καί χαριζόμενοι ἑαυτοῖς ἐάν τις πρός τινα ἔχῃ μομφήν, καθώς καί ὁ Κύριος ἐχαρίσατο ἡμῖν, ἐπί πᾶσί τε τόν σύνδεσμον τελειότητος, τήν ἀγάπην καί τήν εἰρήνήν, εἰς ἥν καί ἐκλήθημεν ἐν ἑνί σώματι· καί, ἵνα συνελών εἴπω, τόν νέον ἄνθρωπον, τό ἀνακαινούμενον εἰς ἐπίγνωσιν κατ᾽ εἰκόνα τοῦ κτίσαντος αὐτόν. Οὕτω γάρ ἄν βιοιοῦντες, δυνηθείημεν πρός τό τέλος ἐλθεῖν τῶν θείων

ἐπαγγελιῶν, μετ᾽ ἐλπίδος ἀγαθῆς· πληρωθῆναί τε τήν ἐπίγνωσιν τοῦ θελήματος αὐτοῦ, καί πάσῃ σοφίᾳ καί συνέσει πνευματικῇ καρποφοροῦντες, καί αὐξανόμενοι τῇ ἐπιγνώσει Κυρίου· ἐν πάσῃ δυνάμει δυναμούμενοι κατά τό κράτος τῆς δόξης αὐτοῦ, εἰς πᾶσαν οἰκοδομήν καί μακροθυμίαν μετά χαρᾶς, εὐχαριστοῦντες τῷ Πατρί, τῷ ἱκανώσαντι ἡμᾶς εἰς τήν μερίδα τοῦ κλήρου τῶν ἁγίων ἐν τῷ φωτί.

(712) Σαφής δέ τῆς χάριτος ταύτης ἐστίν ἀπόδειξις, ἡ πρός τό συγγενές δι᾽ εὐνοίας ἑκούσιος συνδιάθεσις· ἧς ἔργον ἐστίν, ὡς Θεόν, οἰκειοῦσθαι κατά δύναμιν τόν καθ᾽ ὁτιοῦν τῆς ἡμῶν ἐπικουρίας δεόμενον ἄνθρωπον· καί μή ἐᾷν ἀτημέλητον καί ἀπρονόητον· ἀλλά σπουδῇ τῇ πρεπούσῃ κατ᾽ ἐνέργειαν ἐνδείκνυσθαι ζῶσαν τήν ἐν ἡμῖν πρός τε τόν Θεόν καί τόν πλησίον διάθεσιν. Ἔργον γάρ ἀπόδειξις διαθέσεως. Οὐδέν γάρ οὔτε πρός δικαιοσύνην οὕτω ῥᾴδιόν ἐστιν, οὔτε πρός θέωσιν (ἵν᾽ οὕτως εἴπω) καί τήν πρός Θεόν ἐγγύτητα καθέστηκεν ἐπιτήδειον, ὡς ἔλεος ἐκ ψυχῆς εἰς τούς δεομένους μεθ᾽ ἡδονῆς καί χαρᾶς προσφερόμενος. Εἰ γάρ Θεόν ὁ Λόγος τόν εὖ παθεῖν δεόμενον ἔδειξεν. Ἐφ᾽ ὅσον γάρ ἐποιήσατε, φησίν, ἑνί τούτων τῶν ἐλαχίστων, ἐμοί ἐποιήσατε· Θεός δέ ὁ εἰπών, πολλῷ μᾶλλον τόν εὖ ποιεῖν δυνάμενον καί ποιοῦντα, δείξει ἀληθῶς κατά χάριν καί μέθεξιν ὄντα Θεόν, ὡς τήν αὐτοῦ τῆς εὐεργεσίας εὐμιμήτως ἀνειλημμένον ἐνέργειάν τε καί ἰδιότητα. Καί εἰ Θεός ὁ πτωχός, διά τήν τοῦ δι᾽ ἡμᾶς πτωχεύσαντος Θεοῦ συγκατάβασιν, καί εἰς ἑαυτόν ἑκάστου συμπαθῶς ἀναδεχομένου πάθη, καί μέχρι τῆς συντελείας τοῦ αἰῶνος, κατά τήν ἀναλογίαν τοῦ ἐν ἑκάστῳ πάθους, ἀεί δι᾽ ἀγαθότητα πάσχοντος μυστικῶς· πλέον δηλονότι κατά τόν εἰκότα λόγον ἔσται Θεός, ὁ κατά μίμησιν τοῦ Θεοῦ διά φιλανθρωπίαν τά τῶν παθόντων πάθη δι᾽ ἑαυτοῦ θεοπρεπῶς ἐξιώμενος· καί τήν αὐτήν τῷ Θεῷ, κατά ἀναλογίαν τῆς σωστικῆς προνοίας, κατά διάθεσιν ἔχων δεικνύμενος δύναμιν.

Τίς οὖν ἄρα πρός ἀρετήν οὕτω βραδύς ἐστι καί δυσκίνητος, ὥστε μή ἐφίεσθαι θεότητος, οὕτως εὐώνου τε καί εὐπορίστου καί ῥᾳδίας οὔσης τῆς κτήσεως; Ἀσφαλής δέ τούτων ἐστί καί ἄσυλος φυλακή, καί εὐμαρής πρός σωτηρίαν ὁδός· ἧς, οἶμαι, χωρίς κατ᾽ ἀλήθειαν οὐδέν ἔσται τῶν ἀγαθῶν ἀβλαβῶς τῷ ἔχοντι συντηρούμενον· ἡ αὐτοπραγία, εἴτουν ἰδιοπραγία, δι᾽ ἧς τά καθ᾽ ἑαυτούς σκοπεῖν τε καί διασκέπτεσθαι μόνους μανθάνοντες, τοῦ παρ᾽ ἄλλων διακενῆς βλάβην ἔχειν ἐλευθερούμεθα. Εἰ γάρ ἑαυτούς μόνους ὁρᾷν τε καί

ἐτάζειν μάθοιμεν, οὐδέποτε τοῖς τῶν ἄλλων, ὡς δ᾽ ἄν ἔχοντα τύχωσιν, ἐπιθησόμεθα· γινώσκοντες ἕνα μόνον κριτήν σοφόν τε καί δίκαιον τόν Θεόν, τό σοφῶς τε καί δικαίως πάντα τά γινόμενα κρίνοντα· καθ᾽ ὅν γεγένηται λόγον, ἀλλ᾽ οὐ καθ᾽ ὅν πεφανέρωται τρόπον· ὅν ἴσως ἄν δύναιντο καί ἄνθρωποι κρίνειν, ἀμυδρῶς εἰς τό φαινόμενον βλέποντες· περί ὅ οὐ πάντως ἐστίν ἡ ἀλήθεια, οὐδέ τῶν γινομένων ὁ λόγος. Ὁ δέ Θεός, τό ἀφανές τε κίνημα τῆς ψυχῆς, καί τήν ἀόρατον ὁρμήν, καί τόν λόγον αὐτόν, καθ᾽ ὅν ὥρμηται ἡ ψυχή, καί τόν τοῦ λόγου, σκοπόν· τουτέστι, τό παντός πράγματος προεπινοούμενον τέλος βλέπων, κρίνει (716) δικαίως, ὡς ἔφην, πάντα τά παρά τῶν ἀνθρώπων πραττόμενα· ὅπερ εἰ κατορθῶσαι σπουδάσομεν, καί ἑαυτοῖς ἑαυτούς περιορίσομεν τοῖς ἐκτός οὐκ ἐπιφυόμενοι, οὔτε ὁρᾷν, οὔτε ἀκούειν, οὔτε λαλεῖν, τόν ὀφθαλμόν, ἤ τό οὖς, ἤ τήν γλῶσσαν τά τῶν ἄλλων ἀφήσομεν, εἰ μέν οἷόν τέ ἐστι, παντελῶς· εἰ δέ μήγε, συμπαθῶς μᾶλλον, ἀλλ᾽ οὐ μή ἐμπαθῶς τούτοις ἐνεργεῖν, καί εἰς κέρδος ἡμέτερον ὁρᾷν τε, καί ἀκούειν, καί λαλεῖν ἐπιτρέποντες· καί τοσοῦτον μόνον, ὅσον τῷ ἡνιοχοῦντι ταῦτα θείῳ λόγῳ δοκεῖ. Οὐδέν γάρ τούτων τῶν ὀργάνων πρός ἁμαρτίαν ἐστίν εὐολισθότερον, μή λόγῳ παιδαγωγουμένων· καί οὐδέν πάλιν πρός σωτηρίαν αὐτῶν ἑτοιμότερον, τάσσοντος αὐτά τοῦ λόγου, καί ῥυθμίζοντος καί ἐφ᾽ ἅ δεῖ καί βούλεται ἄγοντος.

Μή τοίνυν ἀμελήσωμεν κατά δύναμιν τοῦ πείθεσθαι τῷ Θεῷ, καλοῦντι ἡμᾶς εἰς ζωήν αἰώνιον καί μακάριον τέλος, διά τῆς ἐργασίας τῶν αὐτοῦ θείων τε καί σωτηρίων ἐντολῶν· ἵνα λάβωμεν ἔλεος, καί χάριν εὕρωμεν εἰς εὔκαιρον βοήθειαν· Ἡ γάρ χάρις, φησίν ὁ θεῖος Ἀπόστολος, μετά πάντων τῶν ἀγαπώντων τόν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν ἐν ἀφθαρσίᾳ· τουτέστι, τῶν μετά τῆς κατ᾽ ἀρετήν ἀφθαρσίας, καί τῆς κατά τόν βίον καθαρᾶς τε καί ἀνυποκρίτου σεμνότητος ἀγαπώντων τόν Κύριον, ἐν τῷ ποιεῖν αὐτοῦ τά θελήματα· καί μή παραφθειρόντων τι τῶν θείων αὐτοῦ προσταγμάτων.

Ταῦτα μέν ἐγώ περί τούτων διά τόν τῆς ὑπακοῆς μισθόν, κατά δύναμιν, ὡς ἐδιδάχθην, ἐξεθέμην, τῶν μυστικωτέρων τε καί ὑψηλοτέρων ἅψασθαι μή τολμήσας· ἅπερ εἰ ποθεῖ τις γνῶναι τῶν φιλομαθῶν, τοῖς περί τούτων τῷ ἁγίῳ Διονυσίῳ τῷ Ἀρεοπαγίτῃ ἐνθέως πονηθεῖσιν ἐντύχοι, καί εὑρήσει κατ᾽ ἀλήθειαν μυστηρίων ἀῤῥήτων ἀποκάλυψιν, διά τῆς θείας αὐτοῦ καί διανοίας καί γλώττης χαρισθεῖσαν τῷ τῶν ἀνθρώπων γένει, διά τούς μέλοντας κληρονομεῖν

σωτηρίαν. Καί εἰ μέν πολύ τῆς ὑμῶν ἐπιθυμίας οὐκ ἀποπέπτωκε, τῷ Χριστῷ χάρις τῷ χορηγῷ τῶν καλῶν, καί ὑμῖν τοῖς λεχθῆναι ταῦτα βιασαμένοις. Εἰ δέ μακράν που καί πολύ τῆς ἐλπίδος ἀπολείπεται· τί πάθω, ἤ τί δράσω, περί τό λέγειν ἀσθενήσας; Συγγνωστόν γάρ, οὐ τιμωρητόν, ἡ ἀσθένεια· καί ἀποδεκτόν μᾶλλον, ἀλλ᾽ οὐ μεμπτόν τό ἐγχωροῦν καί ἐνδεχόμενον· καί μάλισθ᾽ ὑμῖν, τοῖς ἀγαπᾷν διά τόν θεόν προθεμένοις. Καί Θεῷ δέ φίλον τό κατά δύναμιν ἅπαν γνησίως ἐκ ψυχῆς προσαγόμενον, κἄν μικρόν συγκρίσει μεγάλων ὑπάρχον φανήσεται· ὅς οὐδέ τήν χήραν, τά δύο λέπτά προσκομίσασαν, ἀπεώσατο· ἥτις ποτέ ἦν ἡ χήρα αὕτη, καί τά δύο λεπτά. Εἴτε ψυχή κακίας χηρεύουσα, καί ὥσπερ ἄνδρα τόν παλαιόν μέν ἀποβαλομένη νόμον, οὔπω δέ τῆς πρός τόν Λόγον θεόν ἄκρας συναφείας ἀξία· προσάγουσα δέ ὅμως αὐτῷ ἀῤῥαβῶνος λόγῳ ὥσπερ λεπτά, τόν τέως σύμμετρον λόγον καί βίον· ἤ πίστιν καί ἀγαθήν συνείδησιν· ἤ τήν περί τῶν καλῶν ἕξιν καί ἐνέργειαν· ἤ τήν τούτοις πρόσφορον θεωρίαν καί πρᾶξιν· ἤ τήν ἀνάλογον γνῶσιν καί ἀρετήν· ἤ τούς μικρόν ὑπέρ ταῦτα, φημί δέ τούς ἐν τῷ φυσικῷ καί τῷ γραπτῷ νόμῳ λόγους, οὕς ἡ ψυχή κεκτημένη, κατ᾽ ἔκστασιν τούτων καί ἄφεσιν ὡς ὅλου βίου καί ζωῆς, μόνῳ συναφθῆναι τῷ Λόγῳ καί Θεῷ βουλομένη, προσάγει· καί τῶν κατά φύσιν καί νόμον βιαίων τρόπων τε καί θεσμῶν καί ἐθῶν, ὥσπερ ἀνδρῶν χηρεύειν δέχεται· εἴτε τι ἄλλο τούτων πνευματικώτερον, καί μόνοις θεωρητόν τοῖς καθαροῖς τήν διάνοιαν, διά τοῦ καθ᾽ ἱστορίαν πληρωθέντος γράμματος, ὁ λόγος αἰνίττεται. Πάντα γάρ τῷ κατά θεολογίαν ἐποπτικῷ συγρινόμενα λόγῳ, τά ἐν ἀνθρώποις δοκοῦντα κατ᾽ ἀρετήν εἶναι μεγάλα, μικρά τυγχάνει. Πλήν γε ὅτι κἄν μικρά, καί ἐξ ὕλης εὐτελοῦς καί οὐ πολύ τιμίας· ἀλλ οὖν τοῖς ἐκ χρυσοῦ νομίσμασι τῆς ἐν ὕλαις τιμιωτέρας, ἅ προσφέρουσιν οἱ εὐπορώτεροι, κατά τό ἴσον τόν βασιλικόν χαρακτῆρα φέροντα, κατά (καί τό) πλέον ἴσως ἔχοντα τῆς προσαγούσης τήν ἐξ ὅλης διαθέσεως πρόθεσιν.

Ταύτην κἀγώ μιμούμενος τήν χήραν Θεῷ τε καί ὑμῖν, ἠγαπημένοι, τά μικρά ταῦτα καί εὐτελῆ, καί ἐξ εὐτελοῦς καί πτωχῆς διανοίας καί γλώσσης προνηνεγμένα νοήματά τε καί ῥήματα ὥσπερ λεπτά, περί ὧν ἐκελεύσατε, προσενήνοχα· παρακαλῶν τήν εὐλογημένην ὑμῶν καί ἁγίαν ψυχήν· πρῶτον μέν, μηδενός ἔτι τῶν παρ᾽ ἐμοῦ λεγομένων ἔγγραφον ζητῆσαι σημείωσιν, δυοῖν ἕνεκεν· ἑνός μέν, ὅτι μηδέπω τόν φόβον ἐκτησάμην τοῦ Θεοῦ τόν ἁγνόν καί διαμένοντα, οὐδ᾽ ἀρετῆς ἕξιν στερέμνιον καί δικαιοσύνης ἀληθοῦς πῆξιν σταθεράν καί

ἀσάλευτον, τά μαρτυροῦντα μάλιστα τοῖς λόγοις τό βέβαιον· ἑτέρου δέ, ὅτι πολλῷ κλύδωνι παθῶν ἔτι δίκην θαλάσσης ἀγρίας περιδονούμενος, καί πολύ τοῦ θείου ἀπαθείας ἀπέχων λιμένος, καί ἄδηλον ἔχων τοῦ βίου τό πέρας, οὐ βούλομαι πρός τοῖς ἔργοις καί τόν ἐν γράμμσι λόγον ἔχειν κατήγορον. Ἔπειτα δέ τῆς εὐπειθείας χάριν, εἰ δέον ἐστίν, ἀποδεξάμενοι, Χριστῷ με δι' εὐχῶν παράθεσθε, τῷ μεγάλῳ καί μόνῳ Θεῷ καί Σωτῆρι τῶν ἡμετέρων ψυχῆν· ᾧ ἡ δόξα καί τό κράτος, σύν τῷ Πατρί καί τῷ ἁγίῳ Πνεύματι, εἰς τούς αἰῶνας. Ἀμήν.

**ΑΒΒΑ ΜΑΞΙΜΟΥ**

**ΚΕΦΑΛΑΙΑ ΘΕΟΛΟΓΙΚΑ Σελ**...722

ΗΤΟΙ ΕΚΛΟΓΑΙ ΕΚ ΔΙΑΦΟΡΩΝ ΒΙΒΛΙΩΝ ΤΩΝ ΤΕ ΚΑΘ᾽ ΗΜΑΣ ΚΑΙ ΤΩΝ ΘΥΡΑΘΕΝ.

Χάριν παράσχου, Χριστέ, τοῖς ἐμοῖς πόνοις.

***ΤΟΥ ΑΓΙΟΥ ΕΦΡΑΙΜ,***

***Πῶς χρή ἀναγινώσκειν, ἤ ἀναγινώσκοντι προσέχειν.***

Ὅταν ταῖς θείαις Βίβλοις προσομιλεῖς, μή ἁπλῶς ἔσο κατεσπουδασμένος ἐπιτρέχων ἐξ ἐπιπολῆς καί διιών παρέργως τά γεγραμμένα· ἀλλά κἄν δέοι πολλάκις, καί δίς καί τρίς τά αὐτό ἐπελθεῖν εἰς ἀκρίβειαν, μή παραιτήσῃ. Πλήν ἀλλά καί μέλλων ἀναγινώσκειν, ἤ ἀναγινώσκοντι προσέχειν ἑτέρῳ, δεήθητι πρότερον τοῦ Θεοῦ, «Κύριε, λέγων Ἰησοῦ Χριστέ, διάνοιξον τά ὦτα καί τούς ὀφθαλμούς τῆς καρδίας μου, τοῦ ἀκοῦσαι τῶν λόγων σου καί συνεῖναι, καί τό θέλημά σου ποιῆσαι. Πάροικος ἐγώ εἰμι ἐν τῇ γῇ, μή ἀποκρύψῃς ἀπ' ἐμοῦ τάς ἐντολάς σου. Ἀποκάλυψον τούς ὀφθαλμούς μου, καί κατανοήσω τά θαυμάσια ἐκ τοῦ νόμου σου.»

***ΛΟΓΟΣ Α΄.***

***Περί βίου ἀρετῆς καί κακίας.***

Σολομῶντος-- Ἀρετῆς μέν σημεῖον οὐδέν ἔχομεν δεῖξαι· ἐν δέ τῇ κακίᾳ ἡμῶν κατεδαπανήθημεν.

(724) Τοῦ αὐτοῦ.- Μή σε πλανήσωσιν ἄνδρες ἀσεβεῖς, μηδέ πορευθῇς ἐν ὁδῷ μετ᾽ αὐτῶν· ἔκκλινον δέ τόν πόδα σου ἀπό τῶν τρίβων αὐτῶν· οἱ γάρ πόδες αὐτῶν εἰς κακίαν τρέχουσιν.

Τοῦ αὐτοῦ- Ὅς καταφρονεῖ πράγματος, καταφρονηθήσεται ὑπ᾽ αὐτοῦ.

Τοῦ αὐτοῦ.-- Ὥσπερ ὄμφαξ ὀδοῦσι βλαβερόν καί καπνός ὄμμασιν, οὕτω παρανομία τοῖς χρωμένοις αὐτῇ.

Σιράχ. -- Ὁ ποιῶν πανηρά, εἰς αὐτόν κυλισθήσεται, καί οὐ μή ἐπιγνῷ πόθεν ἥκει αὐτῷ.

Βασιλείου.- Μόνη κτημάτων ἡ ἀρετή ἀναφαίρετον.

Ἀρετῆς ἄσκησις, τίμιον μέν κτῆμα τῷ ἔχοντι· ἥδιστον δέ θέαμα τοῖς ἐντυνγχάνουσιν.

Ὥσπερ γάρ τῷ πυρί αὐτομάτως ἕπεται τό φωτίζειν, καί τῷ μύρῳ τό εὐωδεῖν· οὕτω καί ταῖς ἀγαθαῖς πράξεσιν ἀναγκαίως ἀκολουθεῖ τό ὠφέλιμον.

Ἀρχή πρός τήν ἀνάληψιν τῶν καλῶν ἡ ἀναχώρησις τῶν κακῶν. Ἔκκλινον γάρ, φησίν, ἀπό κακοῦ, καί ποίησον ἀγαθόν.

Θεολόγου. -- Φύσει πρόχειρον ἡ κακία, καί πολύς ἐπί τό χεῖρον ὁ δρόμος, ἤ ῥοῦς κατά πρανοῦς ῥέων, ἤ καλάμη τις πρός σπινθῆρα καί ἄνεμον ῥαδίως ἐξαπτομένη καί γινομένη φλόξ, καί συνδαπανωμένη τῷ οἰκείῳ γεννήματι.

Οὐ πάνυ τι ῥάδιόν ἐστι τῶν ἀρετῶν τήν νικῶσαν εὑρεῖν, καί ταύτῃ δοῦναι τά πρεσβεῖα καί τά νικητήρια· ὥσπερ οὐδέν ἐν λειμῶνι πολυανθεῖ καί εὐώδε τῶν ἀνθέων τό κάλλιστον καί εὐωδέστατον, ἄλλοτε ἄλλου τήν ὄσφρησιν καί τήν ὄψιν πρός ἑαυτό μεθέλκοντος, καί πρῶτον δρέπεσθαι πείθοντος.

Χρυσοστ.-- Σπάνιον ἡ τοῦ ἀγαθοῦ κτῆσις καί πρόσαντες, κἄν εἰ πολύ τό μεθέλκον εἴη καί προκαλούμενον.

Ἄμισθος ἡ ἀρετή, ἵνα καί ἀρετή μείνῃ, πρός τό καλόν μόνον βλέπουσα.

Ποιεῖ περιβοήτους οὐ δεξιά πρᾶξις μόνον, ἀλλά κακία νικῶσα πονηράν εὐδοκίμησιν.

Οὐκ ἔστι τόν ἀρετῆς ἐπιμελούμενον, μή πολλούς ἔχειν ἐχθρούς· ἀλλ᾽ οὐδέν τοῦτο πρός τόν ἐνάρετον· διά γάρ τῶν τοιούτων λαμπρότερος ἔστι μειζόνως.

Πολλοί πολλάκις αὐτάς τάς ἀρετάς διά τούς (725) πόνους φεύγοντες, διά τήν ἐξ αὐτῶν εὐφημίαν αἱροῦνται ποιεῖν.

Ὥσπερ τό τῆς ζωῆς τέλος ἀρχή θανάτου ἐστίν, οὕτως καί τοῦ κατ' ἀρετήν δρόμου ἡ στάσις, ἀρχή τοῦ κατά κακίαν γίνεται δρόμου.

Δυσεπίτευκτον μέν εἶναι τήν ἀρετήν, μυρίοις ἱδρῶσι καί πόνοις σπουδῇ καί καμάτῳ μόγις κατορθουμένην, παρά τῆς θείας Γραφῆς ἐδιδάχθημεν.

Χρυσοστ.- Εἰ γάρ τῶν ἐπί γῆς ἀνθρώπων ὁ παραβαίνων τούς νόμους, ἀπαραίτητον ὑφίσταται τήν κόλασιν· πόσῳ μᾶλλον ἀφορήτοις ἐκδοθήσεται βασάνοις, ὁ τοῦ ἐπουρανίου Δεσπότου ἀθετῶν τά προστάγματα;

Ὥσπερ ἐπί τῆς κιθάρας οὐκ ἀρκεῖ μόνον ἐπί μιᾶς νευρᾶς τήν μελωδίαν ἐργάζεσθαι, ἀλλά πάσας ἐπιέναι δεῖ μετά ῥυθμοῦ τοῦ προσηκόντος, οὕτω καί ἐπί τῆς κατά τήν ψυχήν ἀρετῆς, οὐκ ἀρκεῖ ἡμῖν νόμος εἰς σωτηρίαν εἷς, ἀλλά δεῖ πάντας αὐτούς μετά ἀκριβείας φυλάττειν.

Μή τοίνυν λέγωμεν, ὅτι ὁ δεῖνα φύσει κακός, καί ὁ δεῖνα φύσει καλός. Εἰ γάρ φύσει ἀγαθός, οὐδέποτε δυνήσεται γενέσθαι κακός· καί εἰ φύσει κακός, οὐδέποτε γενήσεται ἀγαθός.

Οὐχ ὑπομένει τό σκότος τήν τοῦ φωτός παρουσίαν· οὐ νόσος ὑγείας ἐπιλαβούσης ἵσταται· οὐκ ἐνεργεῖ τά πάθη τῆς ἀπαθείας παρούσης.

Ἐλευθέραν εἶναι προσήκει παντός φόβου τήν ἀρετήν. Ἀδέσποτον γάρ ἀρετή καί ἑκούσιον, παντός φόβου καί ἀνάγκης ἐλεύθερον.

Οὐκ ἔστιν ἄλλην κακίας γέννησιν ἐννοῆσαι, ἤ ἀρετῆς ἀπουσίαν.

Κλήμεντος. -- Ἡ τῶν κακῶν ἀπαλλαγή σωτηρίας ἐστίν ἀρχή.

Ὡς ἔοικεν, ἡ δικαιοσύνη τετράγωνός ἐστιν, ἴση καί ὁμοία ἐν λόγῳ, ἐν ἔργῳ, ἐν ἀποχῇ κακῶν, ἐν εὐποιΐᾳ, ἐν τελειότητι γνωστικῇ· οὐδαμῇ οὐδαμῶς χωλεύουσα, ἵνα μή ἄδικος καί ἄνισος φανῇ.

Διδύμου. -- Σχηματίζου τήν ἀρετήν, οὐχ ὅπως ἀπατήσῃς, ἀλλ᾽ ὅπως ὠφελήσῃς.

Βασιλείαν Θεοῦ λεκτέον τήν κατάστασιν τῶν κατά τούς θείου νόμους τεταγμένως βιούντων.

Πᾶσα πρακτική ἀρετή ἐν τῷ γίνεσθαι, καί οὐκ ἐν τῷ γεγονέναι, τό εἶναι ἔχει.

Νείλου.- Χαῖρε τήν ἀρετήν ἡνίκα πράττεις· ἀλλά μή ἐπαίρου, μή ποτε τό ναυάγιον ἐν τῷ λιμένι γένηται.

Κυρίλλου.-Χρή τήν ἀρετήν μή χωλεύειν καθ᾽ ἑκάτερον, ἀλλ᾽ ἔργῳ καί λόγῳ ὀρθήν καί ἀπηρτισμένην κατ᾽ ἀμφότερα εἶναι.

(728) Τραχεῖα ἡ ἀρετή, καί ὀρθῶς οἶμος ἐπ᾽ αὐτήν· καί οὐκ ἄν τι ἕλοιτο ταύτην δίχα πόνου μακροῦ.

Ἐκ τῶν Πατέρων. -- Διά τεσσάρων πραγμάτων ἡ ψυχή μιαίνεται· τῷ περιπατεῖν ἐν πόλει καί μή φυλάσσειν τούς ὀφθαλμούς, καί τῷ ὅλως ἔχειν γνῶσιν μετά γυναικῶν, καί τῷ ἔχειν φιλίαν μετά τῶν ἐνδόξων τοῦ κόσμου, καί τῷ ἀγαπῆσαι τάς σαρκικάς ὁμιλίας καί ματαιολογίας.

Πλουτάρχου.-Τῆς ἀγνουμένης ἀρετῆς ὥσπερ τοῦ κατορωρυγμένου χρυσίου ἡ λαμπρότης οὐ βλέπεται.

Ἡ μέν τροφή τοῖς γυμναζομένοις, ἡ δέ ἀρετή τοῖς πεπαιδευμένοις ἡδεία φαίνεται.

Ὁ βίος καθάπερ νόμισμα διαβληθείς ἐν ἀρχαῖς, εἰς πάντα τόν κόσμον ἀδόκιμος γίνεται.

Ἅπαντα δόκει ποιεῖν, ὡς μηδένα λήσων. Καί γάρ ἄν παραυτίκα κρύψῃς, ὕστερον ὀφθήσῃ.

Ἀνθρώπου τινός αὐτόν ἀδικήσαντος, καί περιφεύγοντος καί ἀπαντᾷν αἰσχυνομένου, συντυχών ἅπαξ εἶπεν· οὐ δέ χρή ἐμέ φεύγειν, ἀλλ᾽ ἐμέ σέ, φαῦλον ὄντα.

Οὐκ ἔστι κυνός ἀντάξιος οὐδ᾽ ὄνου δειλός ἀνήρ καί ἄναλκις, ὑπό πλούτου καί μαλακίας διεῤῥυηκώς.

Οὕτως ζῆν προαιροῦ, ὡς μήτε τῶν δυνατωτέρων καταφρονεῖσθαι, μήτε τοῖς ὑποδεεστέροις φοβερός εἶναι.

Δημοσθ. -- Ὥσπερ οἰκίας, οἶμαι, καί πλοίου καί τῶν ἄλλων τῶν τοιούτων, τά κάτωθεν ἰσχυρότερα εἶναι δεῖ· οὕτω καί τῶν πράξεων τάς ἀρχάς καί τάς ὑποθείσεις, ἀληθεῖς καί δικαίας.

Κλειτάρχου.- Μή τό ἔχειν ἀρετήν καλόν νόμιζε, ἀλλά τό ὡς δεῖ καί ὑπέρ ὧν δεῖ.

Ἀρετήν μέν ἔχων, πάντα ἕξεις· κακίαν δέ, οὐδέ σεαυτόν.

Σωκράτης. -- Θεασάμενός τινα τῶν μαθητῶν αὐτοῦ, τοῦ μέν ἀγροῦ ἐπιμελούμενον, τῆς πράξεως δέ ἀμελοῦντα· Ὅρα, ὦ οὗτος, ἔφη, μή τόν ἀγρόν ἐξημερῶσαι βουλόμενος, τήν ψυχήν ἀγριώσῃς.

Καταμαθών δέ τινα τῶν γνωρίμων ἐσπουδακότα ὅπως αὐτῷ ἡ εἰκών ὁμοία γένηται, πρός αὐτόν εἶπε. Σύ ὅπως μέν σοι ὁ λίθος ὅμοιος γένηται ἐσπούδακας· ὅπως δέ μή αὐτός λίθῳ ὅμοιος γένῃ, οὐ φροντίζεις.

Δημώνακτ.- Τούς τῶν σωμάτων ἐπιμελουμένους, ἑαυτῶν δέ ἀμελοῦντας ὠνείδιζεν, ὡς τῶν μέν οἴκων ἐπιμελουμένους, τῶν δέ ἐνοίκων ἀμελοῦντας.

Δημόκριτ.- Τάς μέν γραμμάς ἀσφαλεστέρας, τάς δέ πράξεις λαμπροτέρας ἔχειν δεῖ.

(729) Θεοῦ ἄξιόν σε ποιήσει, τό μηδέν ἀνάξιον αὐτοῦ πράττειν.

Βίας. - Οὕτω πειρῶ ζῆν, ὡς καί ὀλίγον καί πολύν χρόνον βιωσόμενος.

Λάκων. - Λάκων ἐρωτηθείς, διατί ἀτείχιστός ἐστιν ἡ Σπάρτη· Μή ψεύδου, ἔφη· τετείχισται γάρ ταῖς τῶν οἰκούντων ἀρεταῖς.

Διογένης, - Ὀνειδίσαντος αὐτῷ τινος, ὡς εἰς ἀκαθάρτους τόπους εἰσέρχεται, ἔφη· Καί ὁ ἥλιος, ἀλλ' οὐ μιαίνεται.

Λινδίου. - Εὐσέβεαιν δεῖ φυλάσσειν· πολίταις τά βέλτιστα συμβουλεύειν· ἡδονῆς κρατεῖν· βίᾳ μηδέν πράττειν· τόν τοῦ δήμου ἐχθρόν πολέμιον νομίζειν· οἰκέτας μεθύοντας μή κολάζειν· εἰ δέ μή, δόξεις παροινεῖν.

Λυκούργου.--Λυκοῦργος ὁ νομοθέτης, τό μέν ἀξιόχρεων τῶν ἀνθρώπων ἔφη ἐν τῇ οὐσίᾳ κεῖσθαι· τό δέ ἀξιόπιστον, ἐν τοῖς τρόποις.

Πυθαγόρου. - Φιλήδονον, φιλοσώματον, φιλοχρήματον καί φιλόθεον τόν αὐτόν, ἀδύνατον εἶναι. Ὁ γάρ φιλήδονος πάντως καί φιλοχρήματος· ὁ δέ φιλοχρήματος, ἐξ ἀνάγκης καί ἄδικος· ὁ δέ ἄδικος, εἰς μέν Θεόν ἀνόσιος, εἰς δέ ἄνθρωπον παράνομος.

Ὧν τοῦ σώματος ἀπαλλαγείς οὐ δεήσῃ, πρός ταῦτά σοι ἀσκουμένῳ Θεόν παρακάλει γίνεσθαι συλλήπτορα.

Διοδώρου. - Πάντες ἄνθρωποι διά τήν τῆς φύσεως ἀσθένειαν, βιοῦσι μέν ἀκαριαῖόν τι μέρος τοῦ παντός αἰῶνος· τετελευτήκασι δέ πᾶν τόν ὕστερον χρόνον. Καί τοῖς μέν ἐν τῷ ζῆν μηδέν ἀξιόλογον πράξασι, ἅμα ταῖς τῶν σωμάτων τελευταῖς συναποθνήσκει καί τά ἄλλα πάντα κατά τόν βίον· τοῖς δέ δι᾽ ἀρετήν περιποιησαμένοις δόξαν, αἱ πράξεις ἅπαντα τόν αἰῶνα μνημονεύονται, διαβοώμεναι τῷ θειοτάτῳ τῆς ἱστορίας στόματι.

Ὑπερίδου. - Δεῖ τόν ἀγαθόν ἐπιδείκνυσθαι, ἐν μέν τοῖς λόγοις, ἅ φρονεῖ· ἐν δέ τοῖς ἔργοις, ἅ ποιεῖ.

Ἰττάχου φιλοσόφ. - Τούς ἀγαθούς τῶν ἀνθρώπων, Θεοῦ τι μέρος ἔχειν.

Ἀριστοτέλ. - Θεοῦ μέν ἐστι πράττειν ἅ βούλεται· ἀνθρώπου δέ, τά δέοντα προθυμεῖσθαι.

Ἀντιφάνους. - Ὅταν εὐπορῶν τις αἰσχρά πράττῃ πράγματα, τί τούτων ἀπορήσαντα πράξειν προσδοκᾷς.

***ΛΟΓΟΣ Β΄. (732)***

***Περί φρονήσεως καί βουλῆς.***

Σιράχ μ΄. - Χρυσίον καί ἀργύριον ἐπιστήσουσι πόδας, καί ὑπέρ ἀμφότερα βουλή εὐδοκιμήσει.

Σιράχ κβ΄. - Ἱμάντωσις ξυλίνη ἐνδεδεμένη εἰς οἰκοδομήν, ἐν σεισμῷ οὐ διαλυθήσεται· οὕτω καρδία ἐστηριγμένη ἐπί διανοήμασι βουλῆς, ἐν καιρῷ οὐ δειλιάσει.

Βασιλείου. - Διπλοῦν ἐστι τό τῆς φρονήσεως ὄνομα. Ἡ μέν γάρ τίς ἐστι φυλακτική τοῦ οἰκείου συμφέροντος, οἵα ἡ τοῦ ὄφεως τήν κεφαλήν ἑαυτοῦ συντηροῦντος· ἡ δέ τις ἔοικεν εἶναι κακεντρέχεια τρόπων, ὀξέως τό ἴδιον λυσιτελές ἐξευρίσκουσα καί συναρπάζουσα τούς ἀκεραιοτέρους· ὁποία ἦν ἡ τοῦ οἰκονόμου τῆς ἀδικίας. Ἡ δέ ἀληθής φρόνησις, διάγνωσίς ἐστι τῶν τε ποιητέων καί οὐ ποιητέων· ᾗ ὁ ἐπακολουθῶν, οὐδέποτε τῷ ὀλέθρῳ τῆς κακίας περιπαρήσεται. Ὁ τοίνυν νοῶν λόγους φρονήσεως, οἶδεν τίνες μέν σοφισματώδεις, τίνες δέ οἱ κατά βίον πρακτέοι καί τά βέλτιστα ἡμῖν ὑποτιθέμενοι· καί ὡς δόκιμος τραπεζίτης, τό μέν καλόν καθέξει, ἀπό δέ παντός εἴδους πονηροῦ ἀφέξεται.

Ὁ γάρ τό τοῦ ὄφεως φρόνιμον περί τό κακόν, τό τε τῆς περιστερᾶς ἀκέραιον περί τό καλόν ἀναμίξας, οὔτε τό φρόνιμον ἐάσει κακουργόν γενέσθαι, οὔτε τό ἁπλοῦν ἀνόητον.

Χρυσοστ. -- Πηγή καί μήτηρ καί ῥίζα φρονήσεως, ἡ ἀρετή· ὥσπερ καί πᾶσα πονηρία ἐξ ἀνοίας ἔχει τήν ἀρχήν, ὥσπερ δή καί ὁ Προφήτης φησίν· Οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου, ἀπό προσώπου τῆς ἀφροσύνης μου. Ὁ δέ ἐνάρετος καί φόβον Θεοῦ ἔχων, πάντων ἐστί συνετώτερος. Διό καί τίς φησιν· Ἀρχή σοφίας φόβος Κυρίου.

Ἰγνατίου. - Τέλειοι ὄντες, τέλεια φρονεῖτε. Θέλουσι γάρ ὑμῖν εὖ πράττειν, Θεός ἕτοιμος εἰς τό παρέχειν.

Πλουτάρχ. - Ἡ φρόνησις, οὐ σωμάτων, ἀλλά πραγμάτων ὄψις ἐστί, πρίν ἐν αὐτοῖς γενέσθαι τόν ἄνθρωπον· ὅπως ἄριστα χρήσεται τοῖς ἀπαντῶσι καί προστυγχάνουσι, παρέχουσα διασκοπεῖν τό μέλλον. Τό μέν οὖν σῶμα, πρόσω που μόνον ὠμμάτωται· (733) τοῖς δέ ὄπισθεν, τυφλόν ἐστιν. Ἡ δέ διάνοια, καί τά παρῳχημένα βλέπειν τῇ μνήμῃ πέφυκεν.

Ἄφρων αὐθημερόν ἐξαγγέλλει ὀργήν αὐτοῦ.

Πᾶς ἄφρων, εὐθύς καί μικρόψυχος· οὐ γάρ ἐστι πάγιος.

Εἰ ποτέ τινα ἑώρακεν ἁμαρτάνοντα, ἔλεγε· Μήποτε καί ἐγώ τοιούτῳ περιπέσω.

Μενάνδρου. - Ἅπαντα δοῦλα τοῦ φρονεῖν καθίσταται.

Βουλευόμενοι παραδείγματα ποιοῦνται παρεληλυθότα τῶν μελλόντων. Τό γάρ ἀφανές, ἐκ τοῦ φανεροῦ ταχίστην ἔχει τήν διάγνωσιν.

Ἰσοκράτ. - Ὁ κακῶς διανοηθείς περί τῶν οἰκείων, οὐδέποτε καλῶς βουλεύσεται περί τῶν ἀλλοτρίων.

Δημώνακτ. - Ἐν ἀλλοτρίοις παραδείγμασι παίδευε σεαυτόν, καί ἀπαθής τῶν κακῶν ἔσῃ.

Ἀριστείδου. - Τό μέν νικᾷν ἐν ταῖς μάχαις, καί τοῖς φαύλοις πολλάκις περιγίνεται· φρονήσει δέ καί σοφίᾳ κρατεῖν δύνασθαι, μόνον ἐστί τῶν εἰδότων βουλεύεσθαι.

Γαΐου. - Σωφρονέστερον οἶμαι τοῦ μετά τοῦ πάθους ἐγκαλεῖν, τό πρί παθεῖν φυλάξασθαι τοῦ μή παθεῖν.

Σόλωνος. - Συμβούλευε, μή τά ἥδιστα, ἀλλά τά ἄριστα.

Ἐπικτήτου. - Βουλεύου πολλά περί τοῦ λέγειν τι ἤ πράττειν· οὐ γάρ ἕξεις ἄδειαν ἀνακαλέσασθαι τά λεχθέντα ἤ πραχθέντα.

Βίας. - Τό μέν ἰσχυρόν τῷ σώματι γενέσθαι, φύσεως ἔργον· τό δέ λέγειν τά συμφέροντα τῇ πατρίδι, ψυχῆς ἴδιον καί φρονήσεως.

Ὁ αὐτός ἐρωτηθείς, τίς ἄριστος σύμβουλος, ἔφη· Ὁ καιρός.

Τούς φρονίμους ἔλεγε μᾶλλον ὑπό τῶν ἀφρόνων, ἤ τούς ἄφρονας ὑπό τῶν φρονίμων ὠφελεῖσθαι· τούτους μέν γάρ φυλάττεσθαι τάς ἐκείνων ἁμαρτίας· ἐκείνους δέ, τάς τούτων μή μιμεῖσθαι κατορθώσεις.

Δεῖ τόν ἀγαθόν ἄνδρα, μεμνῆσθαι μέν τῶν γενομένων, πράττειν δέ τά ἐνεστῶτα· περί δέ τῶν μελλόντων ἀσφαλίζεσθαι.

(736) Μία ἐστίν ἀρχή τοῦ καλῶς βουλεύεσθαι, τό γνῶναι περί ὅτου ὁ λόγος· εἰ δέ μή, τοῦ παντός ἁμαρτάνειν ἀνάγκη.

Εὐριπίδου ἐν Ἀντιόπῃ.

Ψυχῇ μέγας χαλινός ἐστιν ὁ νοῦς.

Τό δ᾽ ἀσθενές μου καί τό θῆλυ σώματος

Κακῶς ἐμέμφθης· εἰ γάρ εὖ φρονεῖν ἔχω,
Κρεῖσσον τόδε ἐστί καρτεροῦ βραχίονος.

Σοφοκλέοις ἐν Αἴαντι.
Ἐκ τῶνδε μέντοι τῶν τρόπων οὐκ ἄν ποτε
Λατάστασις γένοιτ᾽ ἄν οὐδενός νόμου·
Εἰ τούς δίκῃ νικῶντας ἐξωθήσομεν,
Καί τούς ὄπισθεν εἰς τό πρόσθεν ἄξομεν.

Ἀλλ᾽ εἰκτέον τάδ᾽ ἐστίν· οὐ γάρ οἱ πλατεῖς,
Οὐδ᾽ εὐρύνωτοι φῶτες ἀσφλέστατοι,
Ἀλλ᾽ οἱ φρονοῦντες εὖ κρατοῦσι πανταχοῦ.
Μέγας δέ πλευράς βοῦς, ὑπό σμικρᾶς ὅμως
Μάστιγος ὀρθός εἰς ὁδόν πορεύεται.
Ὁ γάρ φρονῶν εὖ, πάντα συλλαβών ἔχει.

***ΛΟΓΟΣ Γ΄.***

***Περί ἁγνείας καί σωφροσύνης.***

Ἰώβ λα΄. - Εἰ ἐξηκολούθησεν ἡ καρδία μου γυναικί ἀνδρός ἑτέρου· εἰ δέ καί ἐγκάθετος ἐγενόμην ἐπί ταῖς θύραις αὐτῆς, ἀρέσαι καί ἡ γυνή μου ἑτέρῳ.

Σοφίας. - Μακαρία στεῖρα ἀμίαντος, ἥτις οὐκ ἔγνω κοίτην ἐν παραπτώματι· ἕξει καρπόν ἐν ἐπισκοπῇ ψυχῶν.

Κρεῖσσον παρθενία μετ᾽ ἀρετῆς· ἀθάνατός ἐστιν ἡ μνήμη αὐτῆς· ὅτι καί παρά Θεῷ γινώσκεται καί παρά ἀνθρώποις. Παροῦσάν τε μιμοῦνται αὐτήν, καί ποθοῦσιν ἀπελθοῦσαν· καί ἐν τῷ αἰῶνι στεφανοφοροῦσα πομπεύει, τόν τῶν ἀμιάντων ἄθλων ἀγῶνα νικήσασα.

Σιράχ. - Ὁ ἀντοφθαλῶν ἡδοναῖς, στεφανοῖ ζωήν αὐτοῦ.

Ματθ. ιθ ΄ - Οὐ πάντες χωροῦσι τόν λόγον τοῦτον, ἀλλ᾽ οἷς δέδοται.

Εἰσίν εὐνοῦχοι, οἵτινες ἐκ κοιλίας μητρός αὐτῶν ἐγενήθησαν ούτως, κ. τ. ε

Βασιλείου. - Οὔτε οὖν ἐπί σωφροσύνῃ ἐπαινεῖσθαι προσήκει τούς ἀποκοπτομένους τά μόρια. Οὐδέ γάρ τούς ἵππους ὡς μή κερατίζοντας, οὐδέ τούς βοῦς ὡς μή λακτίζοντας ἐπαινοῦμεν· ἀλλά τούτους μέν, εἰ μή λακτίζουσιν, ἐπαινέσομεν· τοῖς δέ βουσίν, εἰ μή κερατίζουσι, τῆς ἡμερότητος ἀποδεξόμεθα. Οὐ γάρ ἐν ᾧ μή δύναταί τις, ἀλλ᾽ ἐν ᾧ δυνάμενος οὐκ εἰς ἀδικίαν κέχρηται τῇ δυνάμει, θαυμάζεται.

(737) Νεκρός οὐ στεφανοῦται. Οὐδείς δίκαιος δι᾽ ἀδυναμίαν κακοῦ.

Δεῖ οὖν τόν νοῦν ὥσπερ τινά κυβερνήτην ἄνω καθήμενον τῶν παθῶν, καί οἱονεί πλοίῳ τῆς σαρκός ἐπιβάντα· καί ἐμπείρως τούς λογισμούς ὥσπερ οἴακας περιστρέφοντα, καταπατεῖν γενναίως τά κύματα· ὑψηλότερον δέ διαμένοντα καί δυσπρόσιτον ὄντα τοῖς πάθεσιν, μηδαμοῦ τῆς ἀπ᾽ αὐτῶν πικρίας, ὥσπερ ἅλμης τινός, ἀναπίμπλασθαι.

Θεολόγου. - Σύνοικον αἱροῦ μηδ᾽ ἀδελφόν ῥᾳδίως.

Ὑπέκκαυμα γάρ τῆς νόσου τί δεῖ βλέπειν;

Κρεῖσσον κατηφές ἦθος, ἤ τεθρυμμένον.

Μύρον δοχεῖον σαπρόν οὐ πιστεύεται.

Οὔτε φλόξ μένει τῆς ὕλης δαπανηθείσης, ἀλλά τῷ ἀνάπτοντι συναπέρχεται· οὔτε λογισμός ἐμπαθής ὑφίσταται μαραινομένου τοῦ ὑπεκκαύματος.

Ὀφθαλμός πορνεύων οὐ φυλάσσει τήν παρθενίαν. Γλῶσσα πορνεύουσα τῷ πονηρῷ μίγνυται. Πόδες ἄτακτα βαίνοντες ἐκκαλοῦνται νόσον ἤ κίνδυνον τῷ νῷ. Παρθενευέτω καί ἡ διάνοια· μή ῥεμβέσθω καί πλανάσθω. Μή τύπους ἐν ἑαυτῇ φερέτω πονηρῶν πραγμάτων. Καί ὁ τύπος, μέρος πορνείας ἐστί. Μή εἰδωλοποιείτω τῇ ψυχῇ τά μισούμενα.

Χρυσοστ. - Χλεύη, τά μέν τῆς παιδοποιίας ὄργανα τηρεῖν παρθένα, τήν δέ γλῶσσαν μή τηρεῖν. ἤ γλῶσσαν μέν τηρεῖν, τήν δέ ὅρασιν ἤ τήν ἀκοήν ἤ τάς χεῖρας μή τηρεῖν· ἤ ταῦτα μέν ἔχειν καί τηρεῖν παρθένα, τήν δέ καρδίαν μή τηρεῖν, ἀλλ᾽ ἑταιρίζεσθαι τύφῳ καί θυμῷ.

Μή καταμαλάττωμεν ἡμῶν τήν ἰσχύν, μηδέ ἐκκόπτωμεν τά νεῦρα ταῖς ὁμιλίαις ταύταις. Καί γάρ ἄφατος καί πολλή ταῖς ψυχαῖς ἡμῶν ἐντεῦθεν εἰσρεῖ κακία. Τί γάρ, εἰ καί μή αἰσθανώμεθα, τῇ φιλίᾳ μεθύοντες; Τοῦτο γάρ αὐτό πάντων ἐστί δεινότατον, ὅτι οὐδέ ἴσμεν ὅπως ἐκνευριζόμεθα, καί κηροῦ παντός γινόμεθα μαλακώτεροι.

Καθάπερ γάρ τις λέοντα γαῦρον καί βλοσυρόν λαβών, εἶτα ἀποκείρας μέν τήν κόμην, ἀνελών δέ τούς ὀδόντας, καί περιελών τούς ὄνυχας, αἰσχρόν ποιεῖ καί καταγέλαστον, καί παιδίοις εὐκαταγώνιστον, τόν φοβερόν καί ἀφόρητον, καί ἀπό μόνου τοῦ βρυχήματος τά πάντα σείοντα· οὕτω δή καί αὗται, πάντας ὅσους ἐάν λάβωσιν, εὐχειρώτους τῷ διαβόλῳ ποιοῦσι· μαλακωτέρους, θερμοτέρους, ἀναισχύντους, ἀνοήτους, ἀροχόλους, θρασεῖς, ἀκαίρους, ἀγενεῖς, ἀπηνεῖς, δουλοπρεπεῖς, ἀνελευθέρους, ἰταμούς, φλύαρους· καί ἁπλῶς πάντα τά γυναικεῖα πάθη τά διεφθαρμένα φέρουσαι, εἰς τήν τύτων ἐναπομάττονται ψυχήν. Ἀμήχανον γάρ τόν γυναικί συνοικοῦντα μετά συμπαθείας τοσαύτης, καί ταῖς ἐκείνων ἐνστρεφόμενον ὁμιλίαις, μή ἀγύρτην τινά εἶναι, καί ἀγοραῖον καί συρφετώδη. Κἄν (740) γάρ φθέγγηταί τι, πάντα ἀπό τῶν ἱστῶν καί τῶν ἐρίων φθέγξεται, τῆς γλώττης αὐτοῦ τῇ ποιότητι τῶν γυναικείων ἀναχρωσθείσης ῥημάτων· κἄν ποιῇ τι, μετα πολλῆς τοῦτο ἐργάζεται δουλοπρεπείας, πόῤῥω τῆς τοῖς Χριστανοῖς πρεπούσης ἐλευθερίας ἑαυτόν ἀποικίσας, καί οὐδέ πρός οὐδέν τῶν μεγάλων κατορθωμάτων γενόμενος χρήσιμος.

Γρηγορ. Νύσσης. - Μακαρίζει ὁ Κύριος, οὐ τούς ἔξω πάθους βιοτεύοντας (οὐ γάρ δυνατόν ἐν ὑλώδει ζωῇ τόν ἄϋλον καθόλου καί ἀπαθῆ καατορθωθῆναι βίον) , ἀλλά πρός τάς τῆς φύσεως ὁρμάς βραδέως καί δυσκινήτως ἔχοντας.

Πάσης ὄντως κακίας οἷόν τι δέλεαρ ἡ ἡδονή προβληθεῖσα, εὐκόλως τάς λιχνοτέρας ψυχάς ἐπί τό ἄγκστρον τῆς ἀπωλείας ἐφέλκεται.

Κλήμεντος. - Παρθένων φθορά λέγεται, οὐ μόνον πορνεία, ἀλλά καί ἡ πρό καιροῦ ἔκδοσις· ὅταν, ὡς εἰπεῖν, ἄωρος ἐκδοθῇ τῷ ἀνδρί, ἤτοι ἀφ᾽ ἑαυτῆς , ἤ παρά τῶν γονέων.

Ἐκ τῶν Πατέρων. - Διά τεσσάρων πραγμάτων ἐγείρεται ἡ πορνεία, ἐκ τοῦ φαγεῖν καί πιεῖν εἰς πλησμονήν· καί ὁ κόρος τοῦ ὕπνου, καί τό ἀργεῖν καιί παίζειν καί ἀργολογεῖν· καί ὁ καλλωπισμός τῶν ἱματίων.

Νείλου. - Ἀπόστησον ἀπό τῆς συμβίου σου τόν εὐνοῦχον Σμάραγδον· κἄν γάρ δοκοίῃ τῶν κάτω διδύμων ἐκτετμῆσθαι, ἀλλ᾽ ἄνω ἔχει ἐν τῷ προσώπῳ πως τούς διδύμους ὀφθαλμούς, ἐμπαθῶς ἐμβλέποντας, καί ἐπισυρομένους ἤδη πονηράς μαρτυρίας.

Κυρίλλου. - Καπνοῦ δίκην, ἤ καί ὥπερ τινές ἀτμοί τῶν ἐμφύτων ἡδονῶν ἀνίσχουσιν ἐν ἡμῖν αἱ ὀρέξεις. Ἀλλ᾽ ὁ μέν σώφρων καί νεανικός, ἐπιτιμᾷ τοῖς κινήμασι, καί περαιτέρω προελθεῖν οὐκ ἐᾷ· ᾧ καί ἀδρανές ὄν ἔτι τό πάθος ἥττηται ῥᾳδίως· ὁ δέ ῥᾴθυμος καί κατημελημένος, εἰσδέχεται μέν τάς τῶν ἡδονῶν ἀρχάς ὡς ἐννοίας ἔτι ψιλάς· ἐπιτρέψας δέ προελθεῖν εἰς πλάτος, δυσχερεστάτην εὑρήσει τήν ἀντίστασιν. Ὁ γάρ προαλούς καί προηττημένος, οὐ τῶν ἰδίων ἐστίν θελημάτων Κύριος· ὑπόκειται δέ μᾶλλον καθάπερ τινί Βαρβάρῳ τῷ νικήσαντι πάθει.

Μενάνδρου.
Ταμεῖόν ἐστιν ἀρετῆς ἡ σωφροσύνη.
Ἰαμβλίχου ἐξ Ἐπιστολῶν περί σωφροσύνης.

(741) Πᾶσα μέν ἀρετήν τό θνητοειδές πᾶν ἀτιμάζει, τό δέ ἀθάνατον ἀσπάζεται. Πολύ δέ διαφερόντως ἡ σωφροσύνη ταύτην ἔχει τήν σπουδήν, ἅτε δή τάς προσηλούσας τῷ σώματι τήν ψυχήν ἡδονάς ἀτιμάζουσα, καί ἐν ἁγνοῖς βάθροις βεβῶσα, ὥς φησι Πλάτων. Πῶς γάρ ἡ σωφροσύνη τελείους ἡμᾶς οὐ ποιεῖ, τό ἀτελές καί ἐμπαθές ὅλον ἀφ᾽ ἡμῶν ἐξορίζουσα; Γνοίης δ᾽ ἄν ὡς τοῦτο οὕτως ἔχει, τόν Βελλεροφόντην ἐννοήσας, ὡς μετά τῆς κοσμιότητος συναγωνιζόμενος, τήν Χίμαιραν καί τό θηριῶδες καί ἄγριον καί ἀνήμερον φῦλον πᾶν ἀνεῖλεν. Ὅλως γάρ ἡ τῶν παθῶν ἄμετρος ἐπικράτεια οὐδέ ἀνθρώπους ἀφίησιν εἶναι τούς ἀνθρώπους, πρός δέ τήν ἀλόγιστον αὐτούς ἕλκει φύσιν καί θηριώδη καί ἄτακτον.

Μέμνησο λιμοῦ καί δίψους· ταῦτα γάρ δύνανται μεγάλως τοῖς σωφροσύνην διώκουσιν.

Ἐκ τῶν Ἀριστογνοππουμμῶν. - Κρατεῖ ἡδονῆς, οὐχ ὁ ἀπεχόμενος, ἀλλ᾽ ὁ χρώμενος μέν, μή προεκφερόμενος δέ· ὥσπερ καί νηός καί ἵππου, οὐχ ὁ μή χρώμενος, ἀλλ᾽ ὁ μετάγων ὅπου βούλεται.

Ἡσαίου. - Ἡγοῦμαι μεγίστην εἶναι τῶν λειτουργιῶν, τό καθ᾽ ἡμέραν βίον κόσμιον καί σώφρονα παρέχειν.

Σωκράτ. - τό μέν πῦρ, ὁ ἄνεμος, τόν δέ ἔρωτα, ἡ συνήθεια ἐκκαίει.

Ἀλέξανδρ. - Αἰχμαλώτους λαβών τάς Δαρείου θυγατέρας, ἐπειδή συνεβούλευον αὐτῷ οἱ φίλοι, εὐειδέσιν οὔσαις αὐταῖς συγγενέσθαι· Αἰσχρόν, ἐφη, ἐστίν, ἄνδρας νικήσαντας, ὑπό γυναικῶν ἡττηθῆναι.

Ὁ αὐτός εἰς Ἰλλυριούς παραγενόμενος, ἐν τῷ τοῦ Διός βωμῷ κατιδών γυναῖκα κάλλει διαφέρουσαν, ἐκπλαγείς αὐτῆς τήν εὐμορφίαν, πολύν χρόνον ἐθεᾶτο· τοῦ δέ Ἡφαιστίωνος εἰπόντος, ὅτι εἰκός ἐστι παραλαβεῖν αὐτήν ἐρωμένην, ἔφη, Καί πῶς οὐ δεινόν, εἰ οἱ ἄλλων ἀκρασίας κολάζειν βουλόμενοι, δουλεύοντες ἀκρασίαις ὑπό τῶν ἐκτός ἀνθρώπων φωραθῶμεν;

Κλειτάρχου. - Φιλῶν ἅ μή δεῖ, οὐ φιλήσεις ἅ δεῖ. Ἀπλήρωτον γάρ ἡ ἐπιθυμία, διά τοῦτο καί ἄπορον.

Διογένης. - Δεινόν ἔλεγεν, εἰ οἱ μέν ἀθληταί καί οἱ κιθαρῳδοί, γαστρός καί ἡδονῶν κρατοῦσιν, οἱ μέν τῆς φωνῆς χάριν· οἱ δέ, τοῦ σώματος· σωφροσύνης δέ ἕνεκα, οὐδείς τούτων καταφρονήσει.

(744) Δημώνακτ. - Ἔνιοι πόλεων μέν δεσπόζουσι, γυναιξί δέ δουλεύουσι.

Ἀντιφῶντ. - Ὅστις δέ τῶν αἰσχρῶν, ἤ τῶν κακῶν, μήτε ἐπεθύμησε, μήτε ἥψατο, οὐκ ἔστι σώφρων· οὐ γάρ ἔσθ᾽ ὅτου κρατήσας, αὐτός ἑαυτόν κόσμιον παρέχεται.

Ἐπικτήτου. - Οὐδείς ἐλεύθερος, ἑαυτοῦ μή κρατῶν.

Πυθαγόρου. - Ῥώμη ψυχῆς ἀπαθοῦς, σωφροσύνη. Αὔτη γάρ ψυχῆς ἀπαθοῦς φῶς ἐστιν.

Δουλεύειν παθεσι χαλεπώτεερον ἤ τυράννοις. Ἐλεύθερον ἀδύνατον εἶναι τόν πάθεσι δουλεύοντα, καί ὑπό παθῶν κρατούμενον.

Σοφοκλέους. - Ζῆν αἰσχρόν αἰσχρῶς τοῖς καλῶς πεφυκόσι.

Δημοσθ. - Δεῖ τον εὖ φρονοῦντα, τόν λογισμόν ἀεί τῶν ἐπιθυμιῶν κρείττω πειρᾶσθαι ποιεῖν.

Δημήτριος. - Δημήτριος ὁ Φαληρεύς, τούς ἀστείους εἶπε τῶν νέων, ἐν μέν ταῖς οἰκίαις τούς γονεῖς δεῖνα ἰδεῖσθαι· ἐν δέ τῇ ὁδῷ, τούς ἀπαντῶντας· ἐν δέ ταῖς ἐρημίαις, ἑαυτούς.

Μενέδημος. - Μενέδημος, νεανίσκου τινός εἰπόντος, Μέγα ἐστί τό τυχεῖν ὧν ἄν τις ἐπιθυμῇ, εἶπεν· Πολλῷ μεῖζόν ἐστι τό μηδέν ἐπιθυμεῖν ὧν μή δεῖ.

Βίας. - Βίας ὁ Πριηνεύς, εἶπε· Μακάριός ἐστιν ὁ πλουτῶν, καί ὧν ἐπιθυμεῖ ἀπολαύων· ὁ δέ μή ἐπιθυμῶν, μακαριώτερος.

Ξάνθου. - Ξάνθος ὁ σοφός, θεασάμενος ἐπί θύραις εὐπρεποῦς γυναικός ἄνδρα οἰκοφθόρον, ἔφη· Οὗτος ἡδονήν μικράν ὠνεῖται μεγάλῳ κινδύνῳ.

Χαρικλείας. - Ἡ γάρ τῶν ἐρωτικῶν ἀντίβλεψις, ὑπόμνησις τοῦ πάσχοντος γίνεται, καί ἀναφλέγει τήν διάνοιαν ἡ θέα, καθάπερ ὕλη πυρί γενομένη ὑπέκκαυμα. Ὑπέκκαυμα γάρ ἐπιθυμίας λόγος ἐρωτικός.

***ΛΟΓΟΣ Δ΄.***

***Περί ἀνδρείας καί ἰσχύος.***

Ματθ. ις΄. - Εἴ τις θέλῃ ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτόν, καί ἀράτω τόν σταυρόν αὐτοῦ, καί ἀκολουθείτω μοι.

Παροιμ. κα΄. - Οὐκ ἔστιν ἀνθρώπῳ σοφία, οὐδέ ἔστιν ἀνδρεία, οὐδέ ἔστι βουλή κατέναντι Κυρίου.

(745) Ἵππος ἑτοιμάζεται εἰς ἡμέραν πολέμου· παρά δέ Κυρίου βοήθεια.

Συράχ ιγ΄. - Ἰσχυροτέρῳ σου μή κοινώνει. Τί κοινωνήσει χύτρα πρός λέβητα; αὕτη προσκρούσει, καί αὕτη συντριβήσεται.

Ἐφ. στ'. - Ἐνδύσασθε τήν πανοπλίαν Θεοῦ, πρός τό δύνασθαι ὑμᾶς στῆναι πρός τάς μεθοδείας τοῦ διαβόλου, κ. τ. ἑ.

Βασιλείου. - Ὑπένεγκεν τοίνυν οὐκ ἀπαθῶς οὐδ᾽ ἀναισθήτως. Τίς γάρ μισθός ἀναλγησίας; ἀλλ᾽ ἐπιπόνως μέν καί σύν ἀλγηδόσι μυρίαις, πλήν ὑπένεγκε, ὥσπερ τις γενναῖος ἀγωνιστής, τήν ἰσχύν καί τήν ἀνδρείαν, οὐ μόνον ἐκ τοῦ τύπτειν τούς ἀντιπάλους, ἀλλά καί ἐκ τοῦ φέρειν στεῤῥῶς τάς παρ᾽αὐτῶν πληγάς ἐπιδεικνύμενος· καί ὥσπερ τις κυβερνήτης σοφός καί ἀτάραχος ὑπό τῆς ἄγαν περί τόν πλοῦν ἐμπειρίας, ὀρθήν καί ἀβάπτιστον καί παντός χειμῶνος ὑψηλοτέραν τήν ψυχήν διασώζων.

Θεολόγου. - Θάρσος καί θράσος, κἄν τοῖς ὀνόμασι πλησιάζει, πλεῖστον ἀλλήλων τῇ δυνάμει κεχώρισται· ἀνδρείαν τε εἶναί φαμεν καί ἀνανδρείαν. Τό μέν γάρ ἐν τοῖς τολμητέοις θαῤῥεῖν, ἀνδρείας ἐστίν, ὥσπερ τό ὑφίεσθαι, δειλίας. Οὗ δέ πλεῖον ὁ κίνδυνος, ὁμόσε χωρεῖν καί ὠθίζεσθαι, ἀλλά μή κατέχεσθαι, θράσεως, ὥσπερ τό ὑποχωρεῖν ἀσφαλείας.

Χρυσοστ. - Οὔτε παραιτεῖσθαι δεῖ τούς ἀγῶνας, οὔτε πρός τούτους ἐπιπηδᾶν. Οὕτω γάρ καί ἡμῖν ἡ νίκη λαμπροτέρα ἔστι, καί ἡ ἧττα τῷ διαβόλῳ καταγελαστοτέρα. Ἑλκυσθέντας μέν γάρ γενναίως ἑστάναι· μή καλουμένους δέ, ἡσυχάζειν καί τόν καιρόν ἀναμένειν, τῶν ἀγαθῶν· ἵνα καί τό ἀκενόδοξον, καί τό γενναῖον ἐπιδειξώμεθα.

Σωκράτης. - Θεασάμενος τάς τῶν Κορινθίων πόρτας ἐσχυρῶς κεκλεισμένα, ἔφη· Μή γυναῖκες ἐνθάδε κατοικοῦσιν;

Μενάνδρου, - Ἰσχύς νοῦν οὐκ ἔχουσα, τάφῳ τούς ἐμπίπτοντας παραδίδωσιν.

Ἀλέξανδρ. ὁ βασιλεύς. - Οὗτος παρακαλούμενος ὑπό τῶν φίλων νυκτός ἐπιθέσθαι τοῖς πολεμίοις, εἶπεν· Οὐ βασιλικόν ἐστι κλέπτειν τήν νίκην. Θεασάμενος δέ τινα ὁμώνυμον αὐτοῦ δειλόν ὄντα, ἔφη· Νεανίσκε, ἤ τό ὄνομα ἄλλαξον, ἤ τόν τρόπον.

(748) Παρακαλούμενος δέ ὑπό τῶν φίλων τεκνοποιῆσαι, ἔφη· Μή ἀγωνιᾶτε· καταλείπω γάρ ὑμῖν τέκνα, τάς ἐκ τῶν ἀγώνων νίκας.

Τοῦ αὐτοῦ ἐνιόντος ἐπί τόν πόλεμος, Ἀριστοτέλης ἔφη· Περίμεινον τό τέλειον τῆς ἡλικίας, καί τότε πολέμει. Ὁ δέ, Φοβοῦμαι, εἶπε, μή περιμένων τό τέλειον τῆς ἡλικίας, τήν τῆς νεότητος τόλμαν ἀπολέσω.

Λάκων ὀνειδιζόμενος ὑπό τινος, ὅτι χωλός ὤν ἔξεισιν ἐπί τόν πόλεμον, Τί τοῦτο; ἔφη· οὐ φευγόντων ἐστί χρεία, ἀλλά μενόντων καί ἀγωνιζομένων.

Λαονίδης . - Λεονίδας ὁ Λακεδαιμόνιος, ὀλίγους ἔχων στρατιώτας, εἰς τήν πρός τούς Πέρσας μάχην ἐξεπορεύετο. Εἰπόντος δέ τινος, ὅτι μετ᾽ ὀλίγων παντελῶς ἐκπορεύεται, εἶπεν· Ἀλλά μετά βουλομένων.

Λάκων ἀσθενεως τό σῶμα διακείμενος ἐπί παράταξιν προῆγε· λεγόντων δέ τινων αὐτῷ, Ποῦ τοιοῦτος ὤν πορεύῃ; ἔφη· Ὑπέρ τῆς πατρίδους ἀποθανεῖν.

Μουσωνίου. - Ἅρπαξε τό καλῶς ἀποθνήσκειν ὅτε ἔξεστι. μή μετά μικρόν τό μέν ἀποθνήσκειν σοι παρῇ, τό δέ καλῶς μηκέτι ἔξῃς.

Ἐκ τῶν Δίωνος Χρειῶν. - Λάκεινα γυνή, τοῦ υἱοῦ αὐτῆς ἐν παρατάξει χωλεύοντος, καί δυσφοροῦντος ἐπί τούτῳ, Μή λυποῦ τέκνον, εἶπε· καθ᾽ ἕκαστον γάρ βῆμα τῆς ἰδίας ἀρετῆς ὑπομνησθήσῃ.

Ἐκ τῆς Νικολάου συναγωγῆς. - Κέλτοι οἱ τῷ Ὠκεανῷ γειτνιῶντες, αἰσχρόν ἡγοῦνται τοῖχον καταπίπτοντα ἤ οἰκίαν φεύγειν· πλημμυρίδος δέ ἐκ τῆς ἔξω θαλάττης ἐπερχομένης, μεθ᾽ ὅπλων ἀπαντῶντες ὑπομένουσιν, ἕως κατακλύζωνται, ἵνα μή δοκῶσι φεύγοντες τόν θάνατον φοβεῖσθαι.

Κορίσκου. - Κορίσκος εὖ μάλα γέρων ὤν, ὡς ἀπό τινος χαλεπῆς ἀῤῥωστίας ἀνέῤῥωσεν, Ἄπαγε, ἔφη, ὡς ἀηδῶς ἀνέστροφα, ἤδη τῆς ὁδοῦ προκεκοφώς, ἥν δεῖ πάντως πορευθῆναι.

Πύῤῥου. - Πύῤῥου ἐπιστρατεύσαντος τοῖς Λακεδομονίοις, καί πολλά ἀπειλοῦντος, Κερκυλλίδας εἷς τῶν γερόντων ἀναστάς ἐν τῇ Ἐκκλησίᾳ, εἶπεν· Εἰ μέν Θεός ἐστιν ὁ ἀπειλῶν, μή φοβώμεθα· οὐδέν γάρ ἀδικοῦμεν· εἰ δ᾽ ἄνθρωπος, γνώτω ἀνδράσιν ἀπειλῶν.

Ἐκ τοῦ Πλουτάρχου Ἱστοριῶν. - Δαρεῖος ὁ τῶν Περσῶν βασιλεύς, μετά τριάκοντα μυριάδων ἐν (749) Μαραθῶνι ἐστρατοπευδεύσατο. Ἀθηναῖοι δέ χιλίους ἔπεμψαν ἐπ᾽ αὐτούς, στρατηγούς αὐτοῖς δόντες, Πολύζηλον, Καλλίμαχον, Κυναίγειρον καί Μιλτιάδην. Συμβληθείσης

δέ τῆς παρατάξεως, Πολύζηλος μέν ὑπέρ ἄνθρωπον φαντασίαν θεασάμενος, τήν ὅρασιν ἀπέβαλεν, καί τυφλός ὤν, ἀνεῖλε τεσσαράκοντα καί ὀκτώ. Καλλίμαχος δέ πολλοῖς πεπαρμένος δόρασι, καί νεκρός ἐστάθη· Κυναίγειρος δέ Περσικάς ἀγομένην ναῦν, κατέχων, ἐχειροκοπήθη· ὅθεν καί εἰς αὐτούς ὑπό Παντελείου τοιάδε γεγράφθαι λέγεται·

Ὦ κενεοῦ καμάτου καί ἀπρήκτου πολέμοιο!
Ἡμετέρῳ βασιλεῖ τί λέξομεν ἀντιάσαντες;
Ὦ βασιλεῦ, τί μ᾽ ἔπεμπες ἐπ᾽ ἀθανάτους πολεμιστάς;
Βαλοῦμεν, οὐ πίπτουσι· τιτρώσκομεν, οὐ φοβέονται.
Μοῦνος ἀνήρ σύλησεν ὅλον στρατόν· ἐν δ᾽ ἄρα μέσῳ
Ἀσματόεις [Ἀσθματ.] ἕστηκε σιδηρείαις ὑπό ῥίζαις,
Οὐδέ θέλει πεσέειν· τάχα δ᾽ ἔρχεται ἔνδοθι νηῶν.
Λέγε, κυβερνῆτα, νέκυος προφύγωμεν ἀπειλάς.

***ΛΟΓΟΣ Ε.***

***Περί δικαιοσύνης.***

Ματθ. ε΄. - Μακάριοι οἱ πεινῶντες καί διψῶντες τήν δικαιοσύνην, ὅτι αὐτοί χορτασθήσονται.

Λευϊτ. ιθ ΄. - Ζυγά δίκαια καί μέτρα δίκαια καί χοῦς δίκαιος ἔστι ὑμῖν.

Ἠσαΐ. κστ ΄. - Δικαιοσύνην μάθετε, οἱ ἐνοικοῦντες ἐπί τῆς γῆς.

Παροιμ. ιδ ΄. - Δικαιοσύνην ὑψοῖ ἔθνος, ἐλασσονοῦσι δέ φυλάς αἱ ἁμαρτίαι.

Παροιμ. ιβ .΄- Κτῆμα τίμιον ἀνήρ καθαρός πορευόμενος ἐν ὁδοῖς δικαιοσύνης.

Ὁδός δικαιοσύνης καί ἐλεημοσύνης εὑρήσει ζωήν καί δόξαν.

Παροιμ. κζ'. - Ὀρύσσων βόθρον τῷ πλησίον, ἐμπεσεῖται εἰς αὐτόν· ὁ κυλίων λίθον, ἐφ᾽ ἑαυτόν κυλίει.

Κρεῖσσον ὀλίγη λῆψις μετά δικιοσύνης, ἤ πολλά γεννήματα μετά ἀδικίας.

Σιράχ μ'. - Χρήματα ἀδίκων ὡς ποταμός ξηρανθήσεται, καί ὡς βροντή μεγάλη ἐν ὑετῷ ἐξηχήσει.

(752) Βασιλείου. - Ὁ τήν ἀληθῆ δικαισύνην μή ἔχων προεναποκειμένην τῇ ψυχῇ, ἀλλ᾽ ἤ χρήμασι διεφθαρμένος, ἤ φιλίᾳ χαριζόμενος, ἤ ἔχθρᾳ ἀμυνόμενος, ἤ δυναστείᾳ δυσωπούμενος, τό κρῖμα κατευθύνειν οὐ δύναται.

Δικαιοσύνη ἐστίν ἕξις ἀπονεμητική τοῦ κατ᾽ ἀξίαν. Δυσθήρατον δέ τοῦτο, τῶν μέν διά τό περί τήν φρόνησιν ἐλλιπές οὐχ εὑρισκόντων ἑκάστῳ διανεῖμαι τό ἴσον· τῶν δέ διά τό προκατέχεσθαι ὑπό παθῶν ἀνθρωπίνων ἀφανιζόντων τό δίκαιον.

Θεολόγου. - Θεοῦ μέν ὀργῆς τρυγίαν τινά καί πιστεύομεν, καί ἀκούομεν· τό λεῖμμα τῆς κατά τῶν ἀξίων κινήσεως, ἐπειδή Θεός ἐκδικήσεων Κύριος. Εἰ γάρ καί κλίνει διά φιλανθρωπίαν ἐκ τοῦ ἀποτόμου πρός τό ἐνδόσιμον, ἀλλ᾽ οὐ πᾶν συγχωρεῖ τοῖς ἁμαρτάνουσιν, ἵνα μή τῇ χρηστότητι χείρους γίνωνται.

Χρυσοστ. - Οὔτε πάντας ἐνταῦθα ἀπαιτεῖ δίκην ὁ Θεός, ἵνα μή ἀπογνῷς τήν ἀνάστασιν, καί ἀπελπίσῃς τήν κρίσιν, πάντων ἐνταῦθα διδόντων λόγον· οὔτε πάντα ἀφίεται ἀτιμωρητί ἀπελθεῖν, ἵνα μή πάλιν ἀπρονόητα εἶναι πάντα νομίσῃς.

Τοῦ Νύσσης. - Ἡ τοῦ Θεοῦ δικαιοκρισία, ταῖς ἡμετέραις διαθέσεσιν ἐξομοιοῦται· καί οἷά περ ἄν τά παρ᾽ ἡμῶν ᾖ, τοιαῦτα ἡμῖν ἐκ τῶν ὁμοίων ἀντιπαρέχεται.

Εὐαγρίου. - Ἄδικος δικαστής, μεμολυσμένη συνείδησις.

Κυρίλλου. - Πᾶς ὁ ἀδικούμενος, καταφλέγεται μέν ὑπό λύπης· ἀμύνασθαι δέ οὐκ ἔχων ἤ διά τῶν ἴσων ἐλθεῖν, ἔσθ᾽ ὅτε διά τό ἡττᾶσθαι τῆς τοῦ ἀδικοῦντος χειρός, τῆς ἄνωθεν μισοπονηρίας τό κέντρον καλεῖ πρός ἐπικουρίαν.

Πλάτωνος. - Τίμιος μέν δή καί ὁ μηδένα ἀδικῶν· ὁ δέ μηδ᾽ ἐπιτρέπων τοῖς ἀδικοῦσιν ἀδικεῖν, πλέον ἤ διπλασίας τιμῆς ἄξιος ἐκείνου. Ὁ μέν γάρ ἑνός, ὁ δέ πολλῶν ἀντάξιος ἑτέρων.

Ἐγώ γάρ δή οἶμαι, καί ἐμέ, καί σέ, καί τούς ἄλλους ἀνθρώπους, τό ἀδικεῖν τοῦ ἀδικεῖσθαι κάκιον ἡγεῖσθαι· καί τό μή διδόναι δίκην, τοῦ διδόναι.

(753) Ἄξιον τούτους ἐπαινεῖν τῶν ἀνθρώπων, οἵ μηδεμίαν ὠφέλειαν προαιροῦνται τοῦ δικαίου· χρήματα γάρ ἔστι κτήσασθαι, δόξαν δέ, χρημάτων οὐ ῥᾴδιον πρίασθαι.

Μοσχίωνος. - Ἄμεινον δικαίως κρίναντα, πρός τοῦ καταδικασθέντος ἀδίκως μεμφθῆναι, ἤ ἀδίκως κρίναντα, παρά τῇ φύσει δικαίως ψέγεσθαι.

Ἐκ τῶν ἑπτά φιλοσόφων. - Δοκεῖ δέ μοι πόλις ἄριστα πράττειν καί μάλιστα σώζειν δημοκρατίαν, ἐν ᾗ τόν ἀδικήσαντα τοῦ ἀδικηθέντος προβάλλονται καί κολάζουσιν.

Ὑπερίδου. - Διά δύο προφάσεις τῶν ἀδικημάτων ἄνθρωποι ἀπέχονται, ἤ διά φόβον, ἤ διά αἰσχύνην.

Σωκράτ. - Ἅ πάσχοντες παρ᾽ ἑτέροις ὀργίζεσθε, ταῦτα τοῖς ἄλλοις μή ποιεῖτε.

Ἐπικτήτου. - Ὥσπερ εὐθύς ζυγός, οὔτε πρός ἀληθοῦς εὐθύνεται ζυγοῦ, οὔθ᾽ ὑπό ψευδοῦς κρίνεται· οὕτω καί ὁ δίκαιος κριτής, οὔθ᾽ ὑπό δικαίων εὐθύνεται, οὔτε παρ᾽ ἀδίκοις δικάζεται.

Μή πρότερον ἑτέρῳ δικαστηρίῳ δικάσῃς, πρίν αὐτός παρά τῇ δίκῃ κριθῇς.

Πυθαγόρου. - Κακά μείζω πάσχει διά τοῦ συνειδότος ὁ ἀδικῶν, βασανιζόμενος, ἤ ὁ τῷ σώματι καί ταῖς πληγαῖς μαστιγούμενος.

Ζήνωνος. - Ζήνων ὁ Στοϊκός φιλόσοφος, ἐρωτηθείς ὑπό τινος τῶν γνωρίμων, πῶς ἄν μηδέν τῶν ἀδίκων πράττο[ι]μεν, εἶπεν· Ἐάν διά παντός ὑπολαμβάνητέ με συμπαρεῖναι ὑμῖν.

Ὁ αὐτός ἐρωτηθείς, εἰ δύναται λανθάνειν Θεόν ἄνθρωπος ἀδικῶν, Ἀλλ᾽ οὐδέ διανοούμενος , ἔφη.

Σωκράτης. - Καταδικασθείς ὑπό Ἀθηναίων κατακρημνισθῆναι, τῆς γυναικός Ξανθίππης κλαιούσης, καί λεγούσης· Ὦ Σώκρατες, ὡς ἀδίκως ἀποθνήσκεις! ἔφη· Σύ οὖν ἐβούλου με δικαίως ἀποθανεῖν;

Μενάνδρου. -

Χρηστοῦ πρός ἀνδρός μηδέν ὑπονόει κακόν.

Δίκαιος ἀδικεῖν οὐκ ἐπίσταται τρόπος.

Ξενοφῶντι Σωκράτης. - Ἦ οὐ δοκεῖ σοι ἀξιοτεκμαρτότερον τοῦ λόγου τό ἔργον εἶναι; Πολύ γε, νή Δία, ἔφη. Δίκαια μέν λέγοντες πολλοί, ἄδικα ποιοῦσι· δίκαια δέ πραττόντων, οὐδ᾽ ἄν εἷς ἄδικος εἴη.

### *ΛΟΓΟΣ Στ΄.*

### *Περί φίλων καί φιλαδελφίας.*

Α΄ Κορ. ιγ΄. - Ἐάν ταῖς γλῶσσαις τῶν ἀνθρώπων λαλῶ καί τῶν ἀγγέλων, ἀγάπην δέ μή ἔχω, γέγονα (756) χαλκός ἠχῶν, ἤ κύμβαλον ἀλαλάζον. Καί μετ᾽ ὀλίγον· Ἐάν ψωμίσω πάντα τά ὑπάρχοντά μοι, καί παραδῶ τό σῶμα μου ἵνα καυθήσομαι, ἀγάπην δέ μή ἔχω, οὐδέν εἰμι.

Παροιμ. κζ΄. - Ἀξιοπιστότερα τραύματα φίλου, ἤ ἑκούσια, φιλήματα τοῦ ἐχθροῦ.

Παροιμ. κθ΄. - Ὅς παρασκευάζεται ἐπί πρόσωπον τοῦ ἑαυτοῦ φίλου δίκτυον, περιβαλεῖ αὐτό τοῖς ἑαυτοῦ ποσίν.

Παροιμ. ιη'.- Προφασίζεται ἀνήρ βουλόμενος χωρισθῆναι ἀπό φίλων.

Παροιμ. ιε΄. - Κρεῖσσον ξενισμός λαχάνων πρός φιλίαν καί χάριν, ἤ παράθεσις μόσχων μετά ἔχθρας.

Σιράχ κβ΄. - Βάλλων λίθον τις ἐπί πετεινά, ἐπισοβεῖ αὐτά· καί ὀνειδίζων φίλον, διαλύσει φιλίαν.

Σιράχ στ΄. - Φίλος πιστός σκέπη κραταιά· ὁ δέ εὑρών αὐτόν, εὗρε θησαυρόν.

Σιράχ θ΄. - Μή ἐγκαταλίπῃς φίλον ἀρχαῖον· ὁ γάρ πρόσφατος οὐκ ἔστιν ἐπίσης αὐτῷ.

Σιράχ στ ΄. - Φίλου πιστοῦ οὐκ ἔστιν ἀντάλλαγμα, καί οὐκ ἔστιν σταθμός τῆς καλλονῆς αὐτοῦ.

Βασιλείου. - Οὐδείς πονηρῶν καί ἀμαθῶν φίλος. Οὐδέ γάρ πίπτει τό φιλίας καλόν, εἰς μοχθηράν διάθεσιν· διότι οὐδέν αἰσχρόν καί ἀνάρμοστον εἰς συμφωνίαν δύναται χωρῆσαι φιλίας. Τό γάρ κακόν, οὐ τῷ ἀγαθῷ ἐναντίον ἐστί μόνον, ἀλλά καί αὐτό ἑαυτῷ.

Τά παρά φίλων, κἄν ὕβρις ᾖ, φορητά.

Θεολόγου. - Ἀεί προτίμα τούς καλούς τῶν μή καλῶν.

Κακοῖς δ᾽ ὁμιλῶν, καί κἀκός πάντως ἔσῃ.

Πάντα οἴσει φιλία, καί πάσχουσα καί ἀκούουσα.

Κρείσσων ἐμπαθοῦς ὁμονοίας ἡ ὑπέρ εὐσεβείας διάστασις.

Βλαβεραί αἱ πρός τούς κακούς συνουσίαι· ἐπειδή νόμος οὗτος φιλίας δι᾽ ὁμοιότητος πέφυκεν τοῖς συναπτομένοις ἐγγίνεσθαι οἱ μῖσος ἐν τῷ βάθει κατέχοντες, ἀγάπῃ δεικνύουσι κατακεχρωσμένην τήν ἐπιφάνειαν, κατά τάς ὑφάλους πέτρας, αἵ βραχεῖ ὕδατι καλυπτόμεναι, κακόν ἀπροαίρετον τοῖς ἀφυλάκτοις γίνονται.

Κακοῦ παρ᾽ ἀνδρός μή ποτε χρηστόν πάθῃς.

Ζήτει γάρ ὧν βεβίωκε συγγνώμην ἔχειν.

Τά μέν γάρ σώματα τόπῳ συνάπτεται,

Ψυχαί δέ πνεύματι συναρμόζονται.

Ἔχθρας ὅρους γίνωσκε, φιλίας δέ μή.

Μηδείς οἰέσθω με λέγειν, ὅτι πᾶσαν εἰρήνην ἀγαπητέον (οἶδα γάρ, ὥδπερ στάσιν τινά βελτίστην, οὕτω καί βλαβερωτάτην ὁμόνοιαν), ἀλλά τήν τε καλήν καί ἐπί καλῷ, καί Θεῷ συνάπτουσαν.

(757) Χρυσοστ. - Ὥσπερ ψυχή ἄνευ σώματος οὐ καλεῖται ἄνθρωπος, οὐδέ ἦν σῶμα ἄνευ ψυχῆς· οὕτως οὐδέ ἀγάπη πρός Θεόν, ἐάν μή ἔχῃ ἀκόλουθον καί τήν πρός τόν πλησίον ἀγάπην.

Οὐδέν ὁμονοίας ἴσον. Ὁ γάρ εἷς, πολλοστός ἐστιν οὕτως. Ἄν γάρ ὁμόψυχοι ὦσι δύο ἤ δέκα, οὐκέτι εἷς ἐστιν ὁ εἷς, ἀλλά δεκαπλασίων ἕκαστος αὐτῶν γίνεται· καί εὑρήσεις ἐν τοῖς δέκα τόν ἕνα, καί ἐν τῷ ἑνί τούς δέκα. Κἄν ἐχθρούς ἔχωσιν ἐν τῷ ἑνί προσβαλών, ἐν τοῖς δέκα προσβαλών, οὕτως ἁλίσκεται. Ἠπόρησεν ὁ εἷς, ἀλλ᾽ οὐκ ἔστιν ἐν ἀπορίᾳ· τῷ γάρ μείζονι μέρει τό ἀποροῦν συσκιάζεται. Ἕκαστος τούτων εἴκοσι χεῖρας ἔχει καί εἴκοσιν ὀφθαλμούς, καί πόδας τοσούτους, καί ψυχάς δέκα. Οὐ γάρ τοῖς ἑαυτοῦ μόνον, ἀλλά καί τοῖς ἐκείνων ἐργάζεται πάντα. Εἰ δέ καί ἑκατόν γένοιτο, τό αὐτό ἔστι πάλιν. Ὁ αὐτός καί ἐν Περσίδι καί ἐν Ῥώμῃ δύναται εἶναι· καί ὅπερ φύσις οὐ δύναται, ἡ ἀγάπη δύναται. Ἐάν οὖν χιλίους ἔχῃς φίλους ἤ δισχιλίους, ἐννόησον ποῦ πάλιν ὑπερβήσεται τά τῆς δυνάμεως. Τό γάρ θαυμαστόν τοῦτό ἐστι, τό χιλιοστόν ποιῆσαι ἕνα, Βέλτιον γάρ ἡμῖν σβεσθῆναι τόν ἥλιον, ἤ φίλων ἀποστερηθῆναι. Πολλοί γάρ τόν ἥλιον, ὁρῶντες, ἐν σκότῳ εἰσί· φίλων δέ εὐποροῦντες, οὐδ᾽ ἄν ἐν θλίψει γένοιντο. Οὐδέν γάρ, οὐδέν τῆς ἀγάπης γλυκύτερον γένοιτο ἄν. Τί γάρ οὐκ ἄν ἐργάσαιτο φίλος γνήσιος; πόσην μέν οὐκ ἄν ἐμποιήσειεν ἡδονήν; πόσην δέ ὠφέλειαν; πόσην ἀσφάλειαν; κἄν μυρίους θησαυρούς εἴπῃς, οὐδέν ἀντάξιον γνησίου φίλου εὕροις. Καί καθάπερ τά λαμπρά τῶν σωμάτων ἄνθος ἀποῤῥεῖ πρός τούς πλησίον τόπους· οὕτω καί φίλοι, οἷς ἐάν παραγένωται τόποις, ἑαυτῶν χάριν ἀφιᾶσι. Κρεῖσσον γάρ ἐν σκότῳ διάγειν, ἤ φίλων εἶναι χωρίς.

Γρηγ. Νύσσης. - Ὥσπερ τά εὐώδη τῶν ἀρωμάτων, τῆς ἰδίας εὐπνοίας τόν παρακείμενον ἀέρα πλήρη ποιοῦσιν, οὕτως ἀνδρός ἀγαθοῦ παρουσία τούς πέλας ὀνίσησιν.

Εὐαγρίου. - Ἀγάπη, τά φλεγμαίνοντα μόρια τοῦ θυμοῦ θεραπεύει.

Φίλωνος. - Φίλον ἡγητέον, τόν βοηθεῖν καί ἀντωφελεῖν ἐθέλοντα, κἄν μή δύνηται.

Ἐκ χρυσοῦ ποτηρίου πίνειν φάρμακον, καί παλαιοτέρα ἀγνώμονος συμβουλίαν λαμβάνειν, ταυτόν ἐστιν.

Σκεύη μέν τά καινά, κρείττονα· φιλία δέ ἐκ τῆς φιλίας, κατά πάντα καιρόν φύονται.

Οἱ μέν ἐκ τῆς γῆς καρποί κατ᾽ ἐνιαυτόν· οἱ δέ ἐκ τῆς φιλίας, κατά πάντα καιρόν φύονται.

Πολλοί φίλους αἱροῦνται, οὐ τούς ἀρίστους, ἀλλά τούς πλουτοῦντας.

(760) Πολλοί δοκοῦντες εἶναι φίλοι, οὐκ εἰσί· καί οὐ δοκοῦντες, εἰσί· σοφοῦ οὖν ἐστι γινώσκειν ἕκαστον.

Φεύγειν δεῖ τήν φιλίαν, ὧν τινων ἀμφίβολος ἡ διάθεσις.

Ἰσοκράτ. - Φίλους κτῶ, μή πάντας τούς βουλομένους, ἀλλά τούς τῆς σῆς φύσεως ἀξίους ὄντας.

Τοῦ αὐτοῦ. - Μηδένα φίλον ποιοῦ, πρίν ἄν ἐξετάσῃς πῶς κέχρηται τοῖς πρότερον φίλοις. Ἔλπιζε γάρ αὐτόν καί περί σέ γενέσθαι τοιοῦτον, οἷος καί περί ἐκείνους γέγονεν.

Βραδέως μέν φίλος γίνου· γενόμενος δέ, πειρῶ διαμένειν. Ὁμοίως γάρ αἰσχρόν μηδένα φίλον ἔχειν, καί πολλούς ἑταίρους μεταλλάττειν.

Ἡ ἀληθινή φιλία τρία ζητοῖ μάλιστα· τήν ἀρετήν, ὡς καλόν· καί τήν συνήθειαν, ὡς ἡδύ· καί τήν χρείαν, ὡς ἀναγκαῖον. Δεῖ γάρ ἀποδέξασθαι κρίναντα, καί χαίρειν συνόντα, καί χρῆσθαι δεόμενον.

Πλουτάρχ. - Ἵππου μέν ἀρετήν ἐν πολέμῳ, φίλου δέ πίστιν ἐν ἀτυχίᾳ κρίνομεν.

Οὐ χρή τόν ἀδελφόν καθάπερ πλάστιγγα ῥέπειν εἰς τοὐναντίον, ὑψουμένου ταπεινούμενον αὐτόν.

Ἡδέως μέν ἔχε πρός ἅπαντας, χρῶ δέ τοῖς βελτίστοις. Οὕτω γάρ, τοῖς μέν οὐκ ἀπεχθής ἔσῃ, τοῖς δέ φίλος γενήσῃ.

Φίλους κτῶ, μή μεθ᾽ ὧν ἥδιστα συνδιατρίψῃς, ἀλλά μεθ᾽ ὧν ἄριστα.

Ἐκ τῶν Δίωνος Χρειῶν. - Ὁπόσους γάρ ἄν τις ᾗ κεκτημένος ἑταίρους, τοσούτοις μέν ὀφθαλμοῖς ἅ βούλεται ὁρᾷ, τοσαύταις δέ ἀκοαῖς ἅ δεῖ ἀκούει, τοσαύταις δέ διανοίαις διανοεῖται περί τῶν συμφερόντων. Διαφέρει γάρ οὐδέν, ἤ εἴ τῳ Θεός ἕν σῶμα ἔχοντι, πολλάς ψυχάς ἔδωκεν, ἁπάσας ὑπέρ ἐκείνου προνοουμένας.

Ἀριστοτέλ. - Χρήματα ποιεῖσθαι μᾶλλον τῶν φίλων ἕνεκα προσήκει, ἤ τούς φίλους τῶν χρημάτων.

Οὗτος ὀνειδιζόμενος ὅτι πομηροῖς συνδιατρίβει, Ἐκεῖνος, ἔφη, ἄριστος ἰατρός ἐστι, ὅς τούς ὑπό πάντων ἀπεγνωσμένους ἀναλαμβάνει.

Ὁ αὐτός ἔλεγεν, ὅτι τό πᾶσιν ἀρέσαι δυσχερέστατόν ἐστιν.

Σωκράτης. - Οἱ φιλίαν παραθεωροῦντες, κἄν τήν ἐκ τῶν ἠδικημένων ἐκφύγωσι τιμωρίαν· ἀλλ᾽ οὖν γε τήν ἐκ Θεοῦ τιμωρίαν οὐ διακρούονται.

Φιλεῖν ἀκαίρως, ἴσον ἐστί τοῦ μισεῖν. Φίλον γνήσιον ἐν κακοῖς μή φοβοῦ

Ὁ αὐτός ἐπερωτῶν Κροῖσον, τί παρά τῆς βασιλείας ἔσχε τιμιώτατον· εἶτα ἐκείνου εἰρηκότος, Τό τούς ἐχθρούς μετελθεῖν, καί φίλους εὐεργετεῖν· Πόσῳ μᾶλλον, ἔφη, χαριέστερον ἐποίησας, εἴ καί τούτους εἰς φιλίαν μετετρόπωσας.

Δημοκρίτ. - Τό μή δύνασθαι βοηθεῖν τοῖς φίλοις, ἀπορίας, τό δέ μή βούλεσθαι, κακίας τεκμήριον.

(761) Κλειτάρχου. - Σεαυτοῦ τά ἀτυχήματα τῶν φίλων ἡγοῦ· τῶν δέ ἰδίων εὐτυχημάτων κοινώνει.

Τελευτησάντων τῶν φίλων, θρηνεῖν μέν οὐκ εὐγενές· προνοεῖν δέ τῶν οἰκείων, ἐπιμελές.

Κάτων. - Οὐ τά χρήματα φίλοι, ἀλλ᾽ οἱ φίλοι χρήματα. Καί χρήματα μέν, φιλίαν οὐδέποτε ἄν ἐργάσαιτο, ὥσπερ οὐδέ ἡ γῆ Θεόν· φιλία δέ χρήματα ῥᾳδίως κτήσαιτο [κτίσ.], καθάπερ καί Θεός γῆν.

Ὥσπερ μέλιτταν οὐ διά τό κέντρον μισεῖς, ἀλλά διά τόν καρπόν τημελεῖς· οὕτω καί φίλον, μή δι᾽ ἐπίπληξιν ἀποστραφῇς, ἀλλά διά τήν εὔνοιαν ἀγάπα. Ὅστις φίλον λυπούμενον ἔφυγεν, οὐδέ τοῦ χαίροντος ἀπολαύειν ἄξιος.

Μενάνδρου.

Καί φιλεῖν δεῖ ὡς καί μισήσοντας.

Καί μισέειν ὡς καί φιλήσοντας.

Χρυσός μέν οἶδε δοκιμάζεσθαι πυρί,

Ἡ πρός φίλους δ᾽ εὔνοια καιρῷ κρίνεται.

Ὁ καιρῷ εὐτυχοῦντα κολακεύων φίλον,

Καιροῦ φίλος πέφυκεν, οὐχί τοῦ φίλου.

Οὐ πρότερον ἀληθινούς φίλου κτῆσαι, πρίν τούς φαύλους ἀποδιώξῃς.

Οὐδέποτε ὠρέχθην τοῖς πολλοῖς ἀρέσκειν. Ἅ μέν γάρ ἐκείνοις ἤρεσκεν, οὐκ ἔμαθον· ἅ δ᾽ ᾔδειν ἐγώ μακράν ἦν τῆς ἐκείνων διαθέσεως.

Σωκράτης. - Οἱ ἀδελφούς παριόντες, καί ἄλλους φίλους ζητοῦντες, παραπλήσιοί εἰσι τοῖς τήν ἑαυτῶν γῆς ἐῶσι, τήν δέ ἀλλοτρίαν γεωργοῦσι.

Κριτίου. - Ὅστις τοῖς φίλοις πάντα πρός χάριν πράσσων ὁμιλεῖ, τήν παραυτίκα ἡδονήν ἔχθραν καθίστησιν εἰς ὕστερον χρόνον.

Πολυαίνου. - Ὅσῳ ἄν πλεῖον εὐεργετήσεις τόν φίλον, τοσοῦτῳ μᾶλλον τό σαυτοῦ συμφέρον ποιήσεις. Ἀντεπιστρέφει γάρ πάλιν εἰς ἡμᾶς ἡ ἐξ ἐκείνων εὔνοια.

Κυψέλου. - Φίλοις εὐτυχοῦσι καί ἀτυχοῦσιν, ὁ αὐτός ἴσθι.

Ἐπικτήτου. - Φεύγειν δεῖ κακῶν φιλίαν καί ἀγαθῶν ἔχθραν.

Σέξτ. - Μή κτήσῃ φίλον, ᾧ μή πάντα πιστεύεις.

Κύρου. - Πέμψαντος αὐτῷ τινος κόσμον πολύν, δέδωκε τοῖς φίλοις. Ἐρωτηθείς δέ, διατί οὐχ ὑπελείπετο αὐτῷ, ἔφη· Ὅτι τό μέν ἐμόν σῶμα οὐκ ἄν δύναιτο πᾶσι τούτοις κοσμεῖσθαι· φίλους δέ κεκοσμημένους ὁρῶν, μέγιστον ἐμαυτῷ κόσμον ἀποκεῖσθαι δόξω.

Τίμων. - Τίμων ὁ μισάνθρωπος, ἐρωτηθείς διατί πάντας ἀνθρώπους μισεῖ, εἶπε· Διότι τούς μέν πονηρούς εὐλόγως μισῶ· τούς δέ λοιπούς, ὅτι οὐ μισοῦσι τούς πονηρούς.

Ῥωμύλ.-- Ῥωμύλος ἐγκαλούμενος ὅτι πονηροῖς ἀνθρώποις σύνεστιν, ἔφη· Καί οἱ ἰατροί τοῖς νοσοῦσιν· ἀλλ᾽ αὐτοί ὑγιαίνουσιν.

Ἀντίγονος Βασιλεύς. - Οὗτος θύων τοῖς θεοῖς, ηὔχετο φυλάττειν αὐτόν ἀπό τῶν δοκούντων εἶναι (764) φίλων. Πυνθανομένου δέ τινος, διά ποίαν αἰτίαν τοιαύτην εὐχήν ποιεῖται, ἔφη. Ὅτι τούς ἐχθρούς γινώσκων φυλάσσομαι.

Ἀλέξανδρ. - Ἐρωτηθείς ὑπό τινος, Ποῦ τούς θησαυρούς ἔχεις; δείξας τούς φίλου, ἔφη, Ἐν τούτοις.

Λιβανίου. - Συγχαίρειν χρή τοῖς φίλοις καλῶς πράττουσιν, ὡς καί συναλγεῖν λυπουμένοις.

Αἱ ἐκ φίλων εἰς φίλου γενόμεναι λύπαι, δυσθεράπευτοι λίαν τυγχάνουσι, καί μείζους τῶν ἐχθρῶν ἔχουσι τάς ἐπηρείας.

Πεισωνιανοῦ. Δίωνος. - Ὅσῳ δ᾽ ἄν τις τούς φίλους ἰσχυροτέρους ποιεῖ, οὗτος ἰσχυρότερος αὐτῶν γίνεται.

Ποία μέν συμφορά δίχα φιλίας οὐκ ἀφόρητος; ποία δέ εὐτυχία χωρίς φίλων οὐκ ἄχαρις;

Ῥᾷον ἄν τις συμφοράν χαλεπωτάτην φέρει μετά φίλων, ἤ μόνος εὐτυχίαν μεγίστην.

Ἐκεῖνον ἀθλιώτατον κρίνω δικαίως, ὅς ἐν μέν ταῖς συμφοραῖς πλείστους ἔχει τούς ἐφηδομένους, ἐν δέ ταῖς εὐτυχίαις οὐδένα τόν συνηδόμενον.

Ὁ τοῖς φίλοις χαριζόμενος, ἅμα μέν ὡς χαριζόμενος ἥδεται διδούς, ἅμα δέ ὡς αὐτός κτώμενος.

***ΛΟΓΟΣ Ζ΄.***

***Περί ἐλεημοσύνης.***

Ματθ. ε΄. - Μακάριοι οὁ ἐλεήμονες, ὅτι αὐτοί ἐλεηθήσονται.

Δευτ. ιε΄. - Οὐ μή ἐκλίπῃ ἐνδεής ἀπό τῆς γῆς. Διά τοῦτο ἐγώ σοι ἐντέλλομαι τό ῥῆμα τούτο λέγων, Ἀνοίγων ἀνοίξεις τάς χεῖράς σου τῷ ἀδελφῷ σου τῷ πένητι.

Ἰώβ κθ΄. - Ὀφθαλμός ἤμην τυφλῶν, πούς δέ χωλῶν· ἐγώ ἤμην πατήρ ἀδυνάτων.

Παροιμ. γ΄. - Ἐλεημοσύναι καί πίστις μή ἐκλειπέτωσάν σε· ἔφαψαι δέ αὐτάς ἐπί σῷ τραχήλῳ, καί εὑρήσεις χάριν.

Δαν. δ΄. - Τάς ἁμαρτίας ἐν ἐλεημοσύναις λύτρωσαι, καί τάς ἀνομίας σου ἐν οἰκτιρμοῖς πενήτων.

Σιράχ γ΄. - Πῦρ φλογιζόμενον κατασβέσει ὕδωρ, καί ἐλεημοσύνη ἐξιλάσκεται ἁμαρτίας.

Σιράχ δ΄. - Κλῖνον πτωχῷ ἀλύπως τό οὖς σου, καί ἀποκρίθητι αὐτῷ ἐν πραΰτητι εἰρηνικά.

Σιράχ ιβ΄. - Δός τῷ εὐσεβεῖ, καί μή ἀντιλαβοῦ τοῦ ἁμαρτωλοῦ· εὖ ποίησον ταπεινῷ, καί μή δῷς ἀσεβεῖ.

Σιράχ κθ΄. - Σύγκλεισον ἐλεημοσύνην ἐν τοῖς ταμείοις σου, καί αὕτη σε ἐξελεῖται ἐκ πάσης κολάσεως [κακώσεως], καί ὑπέρ δόρυ ἀλκῆς κατέναντι ἐχθροῦ πολεμήσει ὑπέρ σοῦ.

Σιράχ λε΄. - Ὡραῖον ἔλεος ἐν καιρῷ θλίψεως, ὡς νεφέλη ὑετοῦ ἐν καιρῷ ἀβροχίας.

(765) Βασιλείου.- Πλεονεξίας εἶδος τό χαλεπώτατον, μήτε τῶν φθειρομένων μεταδιδόναι τοῖς ἐνδεέσιν.

Τοσούτους ἀδικεῖς, ὅσοις παρέχειν ἠδύνασο.

Θεολόγου. - Τό εὖ ποιεῖν, τοῦ πάσχειν τιμιώτερον, καί περισπουδαστότερον κέρδους ἔλεος.

Κρεῖττον μυρίων παίδων πατέρα προσαγορεύεσθαι, ἤ μυρίους στατῆρας ἔχειν ἐν βαλαντίῳ. Τά μέν γάρ χρήματα καταλείψεις ἐνταῦθα, καί μή βουλόμενος· τήν δέ ἐπί τοῖς ἀγαθοῖς ἔργοις φιλοτιμίαν ἀποκομίσεις πρός τόν Δεσπότην· ὅταν δῆμος ὅλος ἐπί τοῦ κοινοῦ Κριτοῦ παριστάντες σε, τροφέα καί εὐεργέτην, καί πάντα τά τῆς φιλανθρωπίας ἀποκαλῶσιν ὀνόματα· Θεός ἔσται ὁ ἀποδεχόμενος· ἄγγελοι εὐφημοῦντες· οἱ ἀπό κτίσεως ἄνθρωποι μακαρίζοντες· δόξα αἰώνιος, στέφανοι δικαιοσύνης, βασιλεία τῶν οὐρανῶν ἆθλός σοι ἔσται.

Σκορπιζόμενος ὁ πλοῦτος, καθ᾽ ὅν ὁ Κύριος ἐπιτάττεται τρόπον, πέφηκε παραμένειν· συνεχόμενος δέ, ἀλλοτριοῦσθαι. Ἐάν φυλάσσεις,

οὐκ ἔχει· ἐάν δέ σκορπίσεις, οὐκ ἀπολέσεις. Ἐσκόρπισεν, ἔδωκε τοῖς πένησι.

Καλόν ἐντάφιον ἡ εὐσέβεια. Πάντας περιβαλόμενος ἄπελθε. Οἰκεῖον κόσμον τόν πλοῦτόν σου ποίησον· ἔχε αὐτόν μετά σεαυτοῦ. Πείσθητι καλῶς συμβούλῳ τῷ ἀγαπήσαντί σε Χριστῷ, τῷ δι᾽ ἡμᾶς πτωχεύσαντι, ἵν᾽ ἡμεῖς τῇ ἐκείνου πτωχείᾳ πλουτήσωμεν.

Θεολόγου. - Ἐλεημοσύνη, ἡ πάσης ἀπηλλαγμένη ἀδικίας· αὕτη πάντα καθαρά ποιεῖ. Τοῦτο καί νηστείας βέλτιον καί χαμευνίας· καίτοιγε ἐκεῖνα μοχθηρότερα καί ἐπιπονώτερα, ἀλλ᾽ αὕτη κερδαλεωτέρα, χρωτίζει ψυχήν, λεπτύνει, καλήν καί ὡραίαν ποιεῖ.

Ἐκεῖνα μόνα κερδήσομεν, ὅσα ἄν ἐκεῖ προπέμψωμεν. Ἐκεῖνα μίνα ἐστίν ἡμέτερα, ὅσα τῆς ψυχής ἐστι κατορθώματα, ἐλεημοσύνη καί φιλανθρωπία· οὐ γάρ δυνατόν χρήματα λαβόντα ἀπελθεῖν· μᾶλλον δέ καί προπέμψωμεν αὐτά, ὥστε ἑτοιμάσαι ἡμῖν σκηνήν ἐν ταὶς αἰωνίαις μοναῖς.

Ἐλεημοσύνης χωρίς, ἄκαρπος ἡ ψυχή. Πάντα ἀκάθαρτα ταύτης χωρίς, πάντα ἀνόνητα. Τοῦτό ἐστιν ᾧ ἐξισοῦσθαι δυνάμεθα τῷ Θεῷ, τό ἐλεεῖν καί οἰκτείρειν. Ὅταν οὖν τοῦτο μή ἔχωμεν, τοῦ παντός ἀπεστερήμεθα. Οὐκ εἶπεν, Ἐάν πιστεύσητε ὅμοιοί ἐστε τῷ Πατρί ὑμῶν. Οὐκ εἶπεν, Ἐάν παρθενεύσητε· ἀλλά τί; Γίνεσθε οἰκτίρμονες, ὡς ὁ Πατήρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς. Ἔλεον γάρ, φησί, θέλω, καί οὐ θυσίαν.

Ὧν βουλόμεθα τυχεῖν παρά τοῦ Θεοῦ, τούτων πρότεροι μεταδιδόναι, τοῖς πλησίον ὀφείλομεν. Ἄν δέ τούς πλησίον τούτων ἀποστερῶμεν, πῶς τούτων τυχεῖν βουλόμεθα. Μακάριοι, φησίν, οἱ ἐλεήμονες, (768) ὅτι αὐτοί ἐλεηθήσονται· ἀνίλεως δέ κρίσις τῷ μή ποιήσαντι ἔλεος.

Ἔκτεινόν σου τάς χεῖρας, μή εἰς τόν οὐρανόν, ἀλλ᾽ εἰς τάς τῶν πενήτων χεῖρας. Ἐάν εἰς τάς τῶν πενήτων ἐκτείνῃς τήν χεῖρα, αὐτῆς ἥψω τῆς κορυφῆς τοῦ οὐρανοῦ· ὁ γάρ ἐκεῖ καθήμενος λαμβάνει τήν ἐλεημοσύνην. Ἄν δέ ἀκάρπους ἀνατείνῃς, οὐδέν ὤνησας. Οὐ γάρ ἐν τῇ ἐκτάσει τῶν χειρῶν, οὐδέ ἐν τῷ πλήθει τῶν ῥημάτων, ἀλλ᾽ ἐν τοῖς ἔργοις ἐπακούεσθαι ἔστιν. Ἄκουε γάρ τοῦ Προφήτου λέγοντος· Ὅταν τάς χεῖρας ὑμων ἐκτείνητε, ἀποστρέψω τούς ὀφθαλμούς μου ἀφ᾽ ὑμῶν· καί ἐάν πληθύνητε τήν δέησιν, οὐκ εἰσακούσομαι ὑμῶν. Κρίνατε δέ μᾶλλον ὀρφανῷ καί ταπεινῷ, καί δικαιώσατε χήραν, καί μάθετε καλόν ποιεῖν.

Εἰ μή πένητες ἦσαν,οὐκ ἄν τό πολύ τῶν ἁμαρτημάτων ὑποτέμνετο. Ἰατροί τῶν τραυμάτων εἰσί τῶν ἡμετέρων οἱ πένητες· φάρμακα ἡμῖν παρέχουσι τάς αὐτῶν χεῖρας. Οὐχ οὕτως ἰατρός χεῖρας ἐκτείνων καί φάρμακα ἐπιτιθείς, τήν ἰατρείαν παρέχει, ὡς πένης χεῖρα ἐκτείνων καί τά παρ᾽ ἡμῶν λαμβάνων, ἐκμαγεῖον τῶν ἡμετέρων ἐστί κακῶν. Ἔδωκας τό ἀργύριον, συνεξῆλθε καί ἁμαρτήματα. Τοιοῦτοι γάρ οἱ ἱερεῖς, ἁμαρτίας λαοῦ μου φάγονται.

Τυφλός οἶδεν ἐλεούμενος εἰς οὐρανῶν βασιλείαν χειραγωγεῖν· καί τοίχοις προσκρούων, καί βόθροις ἐνολισθαίνων, οὗτος ὁδοποιός γίνεται τῆς εἰς οὐρανόν ἀναβάσεως.

Τί ματαιοπονεῖς, ὦ πλούσιε, τά τῶν πενήτων ἐν τοῖς σοῖς θησαυροῖς ἀποκρύπτων; τί αἰτούμενος παρ᾽ αὐτῶν ἀγανακτεῖς, ὡς οἴκοθεν ἀναλίσκων; Τά πατρῷα θέλουσιν, οὐ τά σά· τά ἐγχειρισθέντα σοι δι᾽ αὐτούς, οὐ μετά σοῦ γεννηθέντα. Ἅ ἔλαβες, δός, καί τήν χρῆσιν κέρδανον. Ἀρκεῖ σοι ὅτι διδόναι, οὐ λαμβάνειν ἐτάχθης.

Οὐδέν οὕτως εὐφραίνει τόν Θεόν, ὡς ἐλεημοσύνη. Διό οἱ ἱερεῖς κατά τό παλαιόν, ἔλαιον ἐχρίοντο, καί οἱ βασιλεῖς καί οἱ προφῆται. Τῆς γάρ τοῦ Θεοῦ φιλανθρωπίας εἶχον σύμβολον τό ἔλαιον. Ἐπειδή ὁ Θεός ἐλεεῖ τούς ἀνθρώπους καί φιλανθρωπεύεται, διά τοῦτο ἐλαίῳ ἐχρίοντο. Καί γάρ τήν ἱερωσύνην ἀπό ἐλέους ἐποίησεν· καί οἱ βασιλεῖς ἐλαίῳ ἐχρίοντο. Ἐλεήσει γάρ, φησί, πάντας, ὅτι πάντα δύναται. Τοῦτο γάρ ἀρχῆς ἴδιον, τό ἐλεεῖν. Ἐννόησον ὅτι δι᾽ ἔλεον ὁ κόσμος συνεστάθη, καί μίμησαι τόν Δεσπότην. Ἔλεος ἀνθρώπου ἐπί τόν πλησίον αὐτοῦ· Ἔλεος δέ Κυρίου ἐπί πᾶσαν σάρκα.

Μή χρήσῃ ῥῆμα γογγυσμοῦ μετά τῆς ἐπιδόσεως, ὅπερ πάσχουσιν οἱ πολλοί, διδόντες μέν, τό δέ προθύμως οὐ προστιθέντες, ὅ τοῦ παρέχειν μεῖζόν ἐστι καί τελεώτερον. Μηδέ δοκιμασίαν ζήτει τοῦ ληψομένου, ὅστις ἄξιος, καί ὅστις οὔ. Πολλῷ γάρ βέλτιον, οἶμαι, διά τούς ἀξίους ὀρέγειν καί τοῖς ἀναξίοις, ἤ τούς ἀξίους ἀποστερεῖν δά τούς ἀναξίους.

Κρεῖσσον τό κατά δύναμιν εἰσενεγκεῖν, ἤ τό πᾶν (769) ἐλλείπειν. Οὐ γάρ ὁ μή δυνηθείς, ἀλλ᾽ ὁ μή βουληθείς ὑπαίτιος.

Γενοῦ τῷ πλησίον τιμιώτερος, ἐκ τοῦ φανῆναι χρηστότερος. Γενοῦ τῷ ἀτυχοῦντι θεός, τόν ἔλεον τοῦ Θεοῦ μιμούμενος.

Συμμετρεῖσθαι δεῖ τῷ αἰτουμένῳ τήν αἴτησιν. Ὁμοίως γάρ ἄτοπον παρά μικροῦ μεγάλα ζητεῖν, κκαί παρά μεγάλου μικρά. Τό μέν γάρ ἄκαιρον· τό δέ, σμικρολόγον.

Χρυσοστ.- Ὅταν διαθρέψῃς τόν πένητα, σαυτόν νόμιζε διατρέφειν. Τοιαύτη γάρ ἡ τοῦ πράγματος φύσις, ἐξ ἡμῶν εἰς ἡμᾶς μεταχωρεῖ τά διδόμενα.

Μή φοβηθῶμεν δικαστήν, πρό τοῦ δικαστηρίου τήν χεῖρα προτείνοντα. Μή φοβηθῶμεν δικαστήν οὐκ ἀρνούμενον τό λαβεῖν.

Πολλῆς ἀλογίας, ἀγρόν μέν βουλόμενον ὠνήσασθαι, τήν εὔφορον γῆν ἐπιζητεῖν· οὐρανοῦ δέ ἀντί γῆς προκειμένου, παρόν ἐκεῖ κτήσασθαι χωρίον, μένειν ἐπί τῆς γῆς, καί τῶν ἐκ ταύτης ἀνέχεσθαι πόνων.

Γρηγ. Νύσσης, Ὁ πτωχῷ κοινωνήσας, εἰς τήν μερίδα τοῦ δι᾽ ἡμᾶς πτωχεύσαντος ἑαυτόν καταστήσει.

Νείλου. - Καθάπερ ἴδιόν ἐστι τοῦ φωτός τό φωτίζειν, οὕτως ἴδιον Θεοῦ τό ἐλεεῖν καί οἰκτείρειν τά οἰκεῖα πλάσματα.

Τοῦ ἁγίου Εἰρηναίου ἐκ τῆς πρός Βίκτωρα ἐπιστολῆς. - Ἐν ᾧ ἄν τις δύναιτο εὖ ποιεῖν τοῖς πλησίον, καί οὐ ποιεῖ, ἀλλότριος τῆς ἀγάπης τοῦ Κυρίου νομισθήσεται.

Φίλωνος. - Τοιοῦτος γίνου περί τούς σούς οἰκέτας, οἷον εὔχῃ σοί τόν Θεόν γενέσθαι. Ὡς γάρ ἀκούομεν, ἀκουσθησόμεθα ὑπό τοῦ Θεοῦ· καί ὡς ὁρῶμεν, ὁραθησόμεθα ὑπ᾽ αὐτοῦ. Προενέγκωμεν οὖν τοῦ ἐλέου τόν ἔλεον, ἵνα τῷ ὁμοίῳ τό ὅμοιον ἀντιλάβωμεν.

Δημοσθ. - Δίκαιόν ἐστιν ἐλεεῖν, οὐ τούς ἀδίκους τῶν ἀνθρώπων, ἀλλά τούς παρά λόγον δυστυχοῦντας.

Βίαντ. - Βίας θανάτῳ μέλλων καταδικάζειν τινά, ἐδάκρυσεν. Εἰπόντος δέ τινος, Τί παθών, αὐτός καταδικάζων κλαίεις ; εἶπεν· Ὅτι ἀναγκασθαῖόν ἐστι, τῇ μέν φύσει τό συμπαθές ἀποδοῦναι, τῷ δέ νόμῳ τήν ψῆφον.

Φωκίων. - Οὔτε ἐξ ἱεροῦ βωμόν, οὔτε ἐκ τῆς ἀνθρωπίνης φύσεως ἀφαιρετέον τόν ἔλεον.

Δημοκρίτ. Ἰσοκράτ. καί Ἐπικτήτου. - Ξένοις μεταδίδου, καί τοῖς δεομένοις ἐκ τῶν ὄντων· ὁ γάρ μή διδούς δεομένῳ, οὐδέ αὐτός λήψεται δεόμενος.

Πειρατῇ τινι ἐμπεσόντι εἰς τήν γῆν, καί διαφθειρομένῳ χειμῶνος, περιβόλαιόν τις ἄρας, δέδωκεν, καί εἰς τήν οἰκίαν εἰσαγαγών, τά ἑξῆς πάντα παρέσχεν. Ὀνειδισθείς δέ ὑπό τινος, ὅτι τούς πονηρούς (772) εὐεργετεῖ· Οὐ τόν ἄνθρωπον, ἔφη, ἀλλά τό ἀνθρώπινον τετίμηκα.

Χαρικλείας. - Ξένῃ ἐν γῇ, τό μέν ὤνιον, σπάνιον ταῖς ἀγνοοῦσιν· τό δέ αἰτούμενον, εὐμετάδοτον τοῖς ἐλεοῦσι.

***ΛΟΓΟΣ Η΄.***

***Περί εὐεργεσίας καί χάριτος.***

Λουκ. στ΄. - Καθώς ἐθέλετε ἵνα ποιῶσιν ὑμῖν ἄνθρωποι, καί ὑμεῖς ποιεῖτε αὐτοῖς ὁμοίως.

Α' Ἰωάνν. γ΄. - Ὁ ἀγαθοποιῶν, ἐκ τοῦ Θεοῦ ἐστιν· ὁ δέ κακοποιῶν, οὐχ ἑώρακε τόν Θεόν.

Σιράχ ιη'. - Κρεῖσσον ὁ λόγος ἀγαθός, ἤ δόσις· ἀγαθός λόγος ὑπέρ δόμα.

Σιράχ ιζ΄. - Χάριν ἀνθρώπου, ὡς κόρην ὀφθαλμοῦ συντήρησον.

Σιράχ λγ΄. - Ὁ ἀναποδιδούς χάριτας, μέμνηται καί εἰς τά μετά ταῦτα· καί ἐν καιρῷ πτώσεως αὐτοῦ εὑρήσει στήριγμα.

Βασιλείου. - Ὥσπερ γάρ οἱ ὀφθαλμοί, τό ἄγαν προσκείμενον οὐχ ὁρῶσιν, ἀλλά δέονται συμμέτρου τινός ἀποστάσεως· οὕτω καί αἱ ἀχάριστοι ψυχαί ἐοίκασιν ἐν τῇ ἀπαλλοτριώσει τῶν ἀγαθῶν τῆς παρελθούσης χάριτος ἐπαισθάνεσθαι.

Θεολόγου. - Ἕως πλεῖς ἐξ οὐρίας, τῷ ναυαγοῦντι δός χεῖρα· ἕως δέ εὐεκτεῖς καί πλουτεῖς, τῷ κακοπαθοῦντι βοήθησον.

Οὐδέν οὕτως ὡς τό εὖ ποιεῖν ἄνθρωπος ἔχει Θεοῦ, κἄν ὁ μέν μείζω, ὁ δέ ἐλάττω εὐεργετῇ, ἑκάτερος, οἶμαι , κατά τήν ἑαυτοῦ δύναμιν.

Χρυσοστ. - Ευεργετῶν, νόμιζε μιμεῖσθαι Θεόν.

Ὁρῶμεν πολλούς τῶν ἀνθρώπων, μετά τάς εὐεργεσίας, καθάπερ ἀνδραπόδων οὕτως ὑπερορῶντας τῶν εὐεργετησάντων, καί τά ὀφρῦς ἀνασπώντων κατ᾽ αὐτῶν.

Εὐεργετῶμεν τούς μηδέ αἰσθανομένους ὅτι εὐεργετοῦνται, ἵνα μή ἀντιδιδόντες ἡμῖν ἔπαινον, ἤ ὅ τι δήποτε, ἐλαττώσωσιν ἡμῖν τόν μισθόν. Ὅταν γάρ μηδέν παρά ἀνθρώπων λάβωμεν, τότε μείζοντα παρά Θεοῦ ληψόμεθα.

Ἀρκεῖ πολλαχοῦ καί προαίρεσις μέγα ποιῆσαι ἀγαθόν.

Οὐκ εὖ ποιεῖ ὁ εὖ ποιῶν, ἀλλ᾽ εὖ πάσχει αὐτός, καί εὐεργετεῖται μᾶλλον, οὐκ εὐεργετεῖ. Μείζονα γάρ λαμβάνει ἤ δίδωσι. Θεῷ γάρ δανείζει, οὐκ ἀνθρώποις· αὔξει τόν πλοῦτον οὐ μειοῖ· μειοῖ δέ, ἐάν μή ἐλαττώσῃ, ἐάν μή δῷ.

(773) Χρυσοστ. - Ὁ μέν πρῶτον εὐεργετῶν, φανεράν ἐπιδείκνυται τήν χρηστότητα· ὁ δέ εὐεργετηθείς, ὅ τι ἄν ἀποδῷ, ὀφείλημα ἀποδίδωσιν, οὐ χάριν ἀποτίθεται.

Κλήμεντος Ῥώμης. - Οὐ δίκαιόν ἐστι τοῦ δεδωκότος ἐγκαταλειφθέντος, τά δοθέντα παραμένειν τοῖς ἀγνώμοσιν

Τοῦ Νύσσης. - Ὁ θελήσαας τό ἀγαθόν μόνον, κωλυθείς δέ πρός τό καλόν τῷ μή δύνασθαι, κατ᾽ οὐδέν ἐλαττοῦται τῆς ψυχῆς διαθέσει, τοῦ διά τῶν ἔργων τήν γνώμην δείξαντος.

Φίλων. - Οὐδέν οὕτω εὐάγωγον εἰς εὔνοιαν, ὡς ἡ τῶν εὐεργετημάτων εὐφημία.

Πλέον ἀγάπα βασιλεῦ, τούς λαμβάνειν παρά σοῦ χάριτας ἱκετεύοντας, ἤπερ τούς σπουδάζοντας δωρεάς σοι προσφέρειν. Τοῖς μέν γάρ ὀφειλέτης ἀμοιβῆς καθίσταται· οἱ δέ σου τόν ὀφειλέτην ποιήσουσι τόν οἰκειούμενον τά εἰς αὐτούς γινόμενα, και ἀμειβόμενον ἀγαθαῖς ἀντιδόσεσιν τόν φιλάνθρωπόν σου σκοπόν.

Τοῦ αὐτοῦ, ἄλλ. Πλουτ. - Ἡ χάρις ὥσπερ ἡ σελήνη, ὅταν τελεία γένηται, τότε καλή φαίνεται.

Δημοκρίτ. - Θεῷ ὅμοιον ἔχει ὁ ἄνθρωπος, ὅταν τό εὖ ποιεῖν μή καπηλεύηται· καί τό εὐεργετεῖν καί τό ἀληθεύειν.

Ὁ αὐτός ἰδών τινα προχείρως πᾶσι χαριζόμενον, καί ἀνεξετάστως ὑπηρετούμενον, Κακῶς, εἶπεν, ἀπόλοιο, ὅτι τάς Χάριτας παρθένους οὔσας, πόρνας ἐποίησας.

Μοσχίωνος. - Τό μέν εἰς ἀχάριστον ἀναλῶσαι, ἐπιζήμιον· τό δέ εἰς εὐχάριστον μή ἀναλῶσαι, βλαβερόν.

Κάτωνος. - Οἱ πολλοί τῶν ἀνθρώπων, πρός μέν τάς τιμωρίας ἑτοιμοτέρως ἔχουσι· πρός δέ τάς εὐεργεσίας καί φιλίας, ὑπτίως.

Ἀλέξανδρ. - Ξενοκράτει τῷ φιλοσόφῳ πεντήκοντα τάλαντα πέμψας, ὡς οὐκ ἐδέξατο, μή δεῖσθαι φήσας, ἐρώτησεν, εἰ μηδέ φίλον ἔχει Ξενοκράτης· Ἐμοί γάρ, ἔφη, μόλις ὁ Δαρείου πλοῦτος εἰς τούς φίλους ἤρκεσεν.

Τινός δέ τῶν αὐτοῦ φίλων αἰτήσαντος αὐτόν εἰς προῖκα τῆς θυγατρός, ἐκέλευσε πεντήκοντα τάλαντα λαβεῖν· αὐτοῦ δέ φήσαντος, ἱκανά εἶναι δέκα, Σοί μέν, ἔφη, λαβεῖν, ἐμοί δέ οὐχ ἱκανά εἶναι δέκα δοῦναι.

Ὁ αὐτός πληρώσας ποτέ ὀστέων πίνακα, ἔπεμψε Διογένει τῷ Κυνικῷ φιλοσόφῳ· ὁ δέ λαβών, εἶπεν, Κυνικόν μέν τό βρῶμα, οὐ βασιλικόν δέ τό δῶρον.

Ὁ αὐτός εἶπεν, τῆς αὐτῆς ἁμαρτίας εἶναι, τό διδόναι οἷς μή δεῖ, καί τό μή διδόναι οἷς δεῖ.

Διογένης ἐρωτηθείς ὑπό τινος, διά τίνα αἰτίαν οἱ ἄνθρωποι, τοῖς μέν προσαιτοῦσι, διδόασι· τοῖς δέ φιλοσοφοῦσιν, οὐδαμῶς, εἶπεν, Ὅτι χωλοί μέν καί τυφλοί ἴσως ἐλπίζουσι γενέσθαι, φιλόσοφοι δέ οὔ.

Φιλιστίων.

Τῇ γῇ δανείζειν κρεῖττόν ἐστιν ἤ βροτοῖς,
Ἥτις τόκους δίδουσι μή λυπουμένη.

(776) Λυσάνδρ. - Λύσανδρος, Διονυσίου τοῦ τυράννου πέμψαντος ἱμάτια ταῖς θυγατράσιν αὐτοῦ τῶν πολυτελῶν, οὐκ ἔλαβεν, εἰπών, δεδιέναι μή διά ταῦτα μᾶλλον αἰσχραί φανῶσιν.

Ἡ χάρις, ὡς οὐδέν ἄλλο ἐν βίῳ, τοῖς πολλοῖς τάχιστα γηράσκει.

Δημοσθ. - Οἱ μή χρησάμενοι τοῖς καιροῖς [κακοῖς] ὀρθῶς, οὐδέ εἰ συνέβη τι αὐτοῖς παρά τοῦ Θεοῦ χρηστόν, μνημονεύουσιν.

Ὁ αὐτός ἔλεγεν, Τόν μέν διδόντα χάριν, χρή παραχρῆμα ἐπιλανθάνεσθαι· τόν δέ λαμβάνοντα, διά παντός μεμνῆσθαι.

Ἡρακλείτου Φυσικοῦ. - Ἡ εὔκαιρος χάρις, λιμῷ καθάπερ τροφή ἁρμόττουσα, τήν τῆς ψυχῆς ἔνδειαν ἰᾶται.

Μενάνδρου.

Ὅταν ἑτερός σοι μηδέν πλεῖον διδῷ,
Δέξαι τό μόριον· τοῦ λαβεῖν γάρ μηδέν,
Τό λαβεῖν ἔλαττον, πλεῖον ἔσται σοι πολύ.

***ΛΟΓΟΣ Θ΄.***

***Περί ἀρχῆς καί ἐξουσίας.***

Σιράχ λη΄. - Μή δῷς μῶμον ἐν τῇ δόξῃ σου, καί ἐν ἡμέρα δόξης μή ἐπαίρου.

Βασιλείου. - Βασιλεία ἐστίν ἔννομος ἐπιστασία.

Αἱ οὖν παρά βασιλέως διδόμεναι ὑποθῆκαι, τοῦ γε ἀληθῶς τῆς προσηγορίας ταύτης ἀξίου, πολύ τό νόμιμον ἔχουσι, τό κοινῇ πᾶσι λυσιτελές σκοποῦσαι, καί οὐχί πρός τόν σκοπόν τῆς ἰδίας ὠφελείας συντεταγμέναι. Τοῦτο γάρ διαφέρει τύραννος βασιλέως, ὅτι ὁ μέν τό ἑαυτοῦ πανταχόθεν σκοπεῖ· ὁ δέ, τό τοῖς ἀρχομένοις ὠφέλιμον ἐκπορίζει.

Παροιμ. κα΄. - Εἰ καρδία βασιλέως ἐν χειρί Θεοῦ, οὐ σώζεται διά ὁπλιτικήν δύναμιν, ἀλλά διά τήν θείαν χειραγωγίαν. Ἐν χειρί δέ Θεοῦ ἐστιν, οὐχ ὁ τυχών, ἀλλ᾽ ὁ ἄξιος τῆς τοῦ βασιλέως προσηγορίας.

Πρός τό τοῦ ἄρχοντος ἦθος πλάττεσθαι πέφυκεν ὡς τά πολλά τό ἀρχόμενον· ὥστε ὁποῖοί ποτε οἱ ἄγοντες ὦσι, τοιοῦτον ἀνάγκη καί τό ἀ(να)γόμενον εἶναι.

Παλαιός ἐστι λόγος, τούς ἀρετῆς μεταποιουμένους, μεθ᾽ ἡδονῆς αὐτούς μή ἐπιβάλλειν ἀρχαῖς.

Θεολόγου. - Ἀνθρώπῳ χαλεποῦ ὄντος τό (777) εἰδέναι ἄρχεσθαι, κινδυνεύει πολλῷ χαλεπώτερον εἶναι τό εἰδέναι ἄρχειν ἀνθρώπων.

Ἡ μέν ἀταξία, ἀναρχίας ἐστί γνώρισμα· ἡ δέ τάξις, τόν ἡγεμονεύοντα δείκνυσι. Τί γάρ ὄφελος κυβερνήτῃ εἶναι χρηστόν, πονηροῖς χρώμενον ἐρέταις;

Μή τις ἑνόν ἀκινδύνως ἕπεσθαι, ἄρχειν ἐπικινδύνως ἐπιθυμείσθω· μηδ᾽ ὁ τῆς ὑποταγῆς νόμος καταλυέσθω, ἡ καί τά ἐπίγεια συνέχει καί τά οὐράνια.

Οἱ βασιλεῖς, αἰδεῖσθε τήν ἁλουργίδα· νομοθετήσει γάρ καί νομοθέταις ὁ λόγος. Γινώσκετε τί τό πιστευθέν ὑμῖν, καί τί τό περί ὑμᾶς μυστήριον. Κόσμος ὅλος ὑπό χεῖρα τήν ἡμετέραν διαδήματι μικρῷ καί βραχεῖ ῥακίῳ κρατούμενος. Τά μέν ἄνω, μόνου Θεοῦ· τά δέ κάτω, καί ὑμῶν. Θεοί γίνεσθε τοῖς ὑφ᾽ ὑμᾶς· ἵνα εἴπω τι καί τολμηρότερον· Καρδία βασιλέως ἐν χειρί Θεοῦ, καί εἴρηται καί πεπίστευται. Ἐνταῦθα ἔσω τό κράτος ὑμῶν, ἀλλά μή ἐν τῷ χρυσῷ καί ταῖς φάλαγξι.

Τό δραστήριον δείκνυε μή τῷ δρᾷν κακῶς, τῷ δ᾽ εὖ τι ποιεῖν, εἰ θέλεις εἶναι θεός. Τό δέ ἔστιν ἀνδρός εἰδότος συγγενεῖς· κτείνει δέ ῥᾷστα καί τρυγών καί σκορπίος.

Χρυσπστ. - Τιμῆς μέγεθος, τοῖς οὐκ ἀξίως ζῆν προαιρουμένοις, προσθήκη τιμωρίας ἐστίν.

Βασιλείας τοῦ Θεοῦ δύο οἶδεν ἡ Γραφή, τήν μέν κατ᾽ οἰκείωσιν, τήν δέ κατά δημιουργίαν, Βασιλεύει μέν γάρ ἁπάντων, καί Ἑλλήνων, καί Ἰουδαίων, καί δαιμόνων, καί τῶν ἀντιτεταγμένων, κατά τόν τῆς δημιουργίας λόγον.

Ὅταν ἄρχων ἀνεπίληπτος ᾖ πᾶσι, τότε δύναται μεθ᾽ ὅσης βούλεται ἐξουσίας καί κολάζειν καί συγχωρεῖν, τούς ὑπ᾽ αὐτῷ ταττομένους ἅπαντας.

Οὐδέν οὕτω δείκνυσι τόν τήν ἀρχήν ἔχοντα ὡς ἡ φιλοστοργία περί τούς ἀρχομένους. Καί γάρ πατέρα οὐ τό γεννῆσαι μόνον ποιεῖ, ἀλλά καί τό φιλεῖν μετά τό γεννῆσαι. Εἰ δέ ἔνθα φύσις, ἀγάπης χρεία, πολλῷ μᾶλλον ἔνθα ἡ χάρις.

Οὐκ ἐν τῇ χλανίδι καί τῇ ζώνῃ, οὐδέ ἐν τῇ φωνῇ τοῦ κήρυκος ἄρχων, ἀλλ᾽ ἐν τῷ τά πεπονηκότα ἀνακτᾶσθαι, καί τά κακῶς ἔχοντα

διορθοῦν· καί κολάζειν μέν ἀδικίαν· μή συγχωρεῖν δέ ὑπό δυναστείας τό δίκαιον ἀπελαύνεσθαι.

Φίλων. - Ὁ μέν Θεός οὐδενός δεῖται· ὁ βασιλεύς δέ, μόνου Θεοῦ. Μιμοῦ τοίνυν τόν οὐδενός δεόμενον, καί δαψιλεύου τοῖς αἰτοῦσι τόν ἔλεον, μή ἀκριβολογούμενος περί τούς σούς ἱκέτας, ἀλλά πᾶσι παρέχων τάς πρός τό ζῆν ἀφορμάς. Πολύ γάρ κρεῖττόν ἐστι διά τούς ἀξίου ἐλεεῖν καί τούς ἀναξίους, (780) καί μή τούς ἀξίους ἀποστερεῖν διά τούς ἀναξίους.

Ἀριστοτέλ. - Ὁ πολλοῖς φοβερός ὤν, πολλούς φοβεῖται.

Δεῖ τούς νοῦν ἔχοντας τῶν δυναστευόντων, μή διά τάς ἀρχάς, ἀλλά διά τάς ἀρετάς θαυμάζεσθαι, ἵνα τύχης μεταπεσούσης, τῶν αὐτῶν ἐγκωμίων ἀξιῶνται.

Ἰσοκράτ. - Ζήλου μή τούς μεγίστην ἀρχήν κτησαμένους, ἀλλά τούς ἄριστα τῇ παρούσῃ χρησαμένους.

Κάκιστον ἔλεγεν ἄρχοντα εἶναι, τόν ἄρχειν ἑαυτοῦ μή δυνάμενον.

Δημοκρίτ. - Ποθητός εἶναι μᾶλλον ἤ φοβερός κατά τόν βίον προαιροῦ· ὅν γάρ πάντες φοβοῦνται, πάντας φοβεῖται.

Τόν ἄρχοντα δεῖ ἔχειν, πρός μέν τούς καιρούς λογισμόν· πρός δέ τούς ἐναντίους τόλμαν· πρός δέ τούς ὑποτεταγμένους εὔνοιαν.

Δεῖ τόν ἑτέρων μέλλοντα ἄρξειν, αὐτόν ἑαυτοῦ πρότερον ἄρχειν.

Κλειτάρχ. - Κρεῖσσον ἄρχεσθαι τοῖσιν ἀνοήτοις, ἤ ἄρχειν.

Διογένης. - Ἐρωτηθείς πῶς ἄν τις πολιτεύηται ἐξουσίᾳ, ἔφη· Καθάπερ πυρί, μήτε λίαν ἐγγύς εἶναι, ἵνα μή κατακαῇ· μήτε πόῤῥω, ἵνα μή ῥιγώσῃ.

Κύρου. - Ἄρχειν οὐδενί προσήκει, ὅς οὐ κρείττων ἐστί τῶν ἀρχομένων.

Σολ. - Ἄρχε πρῶτον μαθών ἄρχεσθαι· ἄρχεσθαι γάρ μαθών, ἄρχειν ἐπιστήσῃ.

Εἰς ἀρχήν κατασταθείς, μηδενί χρῶ πονηρῷ πρός τάς διοικήσεις. Ὧν γάρ ἄν ἐκεῖνος ἁμάρτοι, σοί τάς αἰτίας τῷ ἄρχοντι ἐπιθήσουσιν.

Ὥσπερ τόν ἐν δημοκρατίᾳ πολιτευόμενον, τό πλῆθος δεῖ θεραπεύειν· οὕτω καί τόν ἐν μοναρχίᾳ κατοικοῦντα, τόν βασιλέα προσήκει θαυμάζειν.

Χαιρέμον. - Ὅλως κρεῖσσον, οὐκ ἐᾷ φρονεῖν μέγα.

Ἀντίγον. - Ἀντίγονος ὁ βασιλεύς, πρός τινα μακαρίζουσαν αὐτόν γραῦν· Εἰ ᾔδεις, ἔφη, ὦ μῆτερ, ὅσων κακῶν ἐστι τοῦτο τό ῥάκος, δείξας τό διάδημα, οὐκ ἄν ἐπί κοπρίας κείμενον ἐβάστασας.

Ἐπαμιν. - Ἐπαμινώνδας ὁ Θηβαῖος ἰδών (781) στρατόπεδον μέγα καί καλόν, στρατηγόν οὐκ ἔχον· Ἡλίκον, ἔφη, θηρίον κεφαλήν οὐκ ἔχει.

Φιλίππου. - Τόν βασιλέαν δεῖ μνημονεύειν, ὅτι ἄνθρωπος ὤν ἐξουσίαν εἴληφεν [ἔλαβεν] ἰσόθεον, ἵνα προαιρῆται μέν τά καλά καί θεῖα, φρονήσει δέ ἀνθρωπίνῃ χρῆται.

Εἰ βούλει τήν οἰκίαν εὖ οἰκεῖσθαι, μιμοῦ τόν Σπαρτιάτην Λυκοῦργον. Ὅν γάρ τρόπον οὐ τείχεσι τήν πόλιν ἔφραξεν, ἀλλ᾽ ἀρετῇ τούς ἐνοικοῦντας ὠχύρωσεν, καί διαπαντός ἐτήρησεν ἐλευθέραν τήν πόλιν· οὕτως καί σύ, μή μεγάλην αὐτήν περίβαλε καί τοίχους ὑψηλούς ἀνίστα, ἀλλά τούς ἐνοικοῦντας εὐνοίᾳ, καί πίστει, καί φιλία στήριζε, καί οὐδέν εἰς αὐτήν εἰσελεύσεται βλαβερόν, οὐδ᾽ ἄν τό σύμπαν τῆς κακίας παρατάξηται στίφος.

Μηδείς τῶν φρονίμων τοῦ ἄρχειν ἀλλοτριούσθω. Καί γάρ ἀσεβές τό ἀποσπᾷν ἑαυτόν τῆς τῶν δεομένων εὐχρηστίας [εὐχαριστ.] καί ἀγενές τό τοῖς φαύλοις παραχωρεῖν. Ἀνόητον γάρ τό αἱρεῖσθαι κακῶς ἄρχεσθαι μᾶλλον, ἤ καλῶς ἄρχειν.

Δεινόν καί χαλεπώτατον τούς χείρους τῶν βελτιόνων ἄρχειν, καί τούς ἀνοητέρους τοῖς φρονιμωτέροις προστάττειν.

Εὐμένης. - Εὐμένης ὁ βασιλεύς ἔλεγε τοῖς ἀδελφοῖς διαπαντός· Ἐάν μέν ὡς βασιλεῖ προσφέρησθε, ὡς ἀδελφοῖς ὑμῖν χαρίσομαι· ἐάν δέ ὡς ἀδελφῷ, ἐγώ ὑμῖν ὡς βασιλεύς.

Κότυς. - Κότυς ὁ τῶν Θρακῶν βασιλεύς, Θηβαίων σεμνυνομένων ὅτι Λακεδαιμονίων ἡγήσαντο· Ἐγώ, φησίν, ἑώρακα χειμάῤῥους ποταμῶν μείζους τῶν ἀεννάων γινομένους, ἀλλ᾽ ὀλίγον χρόνον.

Ὁ αὐτός ἐρωτηθείς, Τίνι καταλιμπάνεις τό βασίλειον; ἔφη· Τῷ δυναμένῳ.

Φίλων. - Τῇ μέν οὐσίᾳ τοῦ σώματος, ἴσος παντός ἀνθρώπου ὁ βασιλεύς· τῇ ἐξουσίᾳ δέ τοῦ ἀξιώματος, ὅμοιός ἐστι τό ἐπί πάντων Θεῷ. Οὐκ ἔχει γάρ ἐπί γῆς αὐτοῦ ὑψηλότερον. Χρή τοίνυν καί ὡς θνητόν μή ἐπαίρεσθαι, καί ὡς Θεόν μή ὀργίζεσθαι. Εἰ γάρ καί εἰκόνι θεϊκῇ τετίμηται, ἀλλά καί κόνει χοϊκῇ συμπέπλεκται, δι᾽ ἧς ἐκδιδάσκεται τήν πρός πάντας ἁπλότητα [ὁμοιότητα].

Μουσωνίου. - Πειρατέον καταπληκτικόν μᾶλλον τοῖς ὑπηκόοις, ἤ φοβερόν θεωρεῖσθαι· τῷ μέν γάρ σεμνότης [τό σεμνότητος], τῷ δέ ἀπήνεια παρακολουθεῖ.

Δημοκρίτ. - Πονηρά φύσις ἐξουσίας ἐπιλαβομένη, δημοσίας ἀπεργάζεται συμφοράς.

Ἀντισθέν. - Τότε τάς πόλεις ἀπόλλυσθαι συμβαίνει, ὅταν μή δύνανται οἱ κρατοῦντες τούς φαύλους ἐκ τῶν σπουδαίων διακρίνειν.

Ἐπισφαλές μαινομένῳ δοῦναι μάχαιραν, καί μοχθηρῷ δύναμιν.

Μενάνδρου. - Πλοῦτος ἀλόγιστος προσλαβών ἐξουσίαν, καί τούς φρονεῖν δοκοῦντας ἀνοήτους ποιεῖ.

Δημοσθ. - Τό γάρ εὖ πράττειν παρά τήν ἀξίαν, (784) ἀφορμήν τοῦ κακῶς φρονεῖν παρά τήν ἀξίαν γίνεται.

***ΛΟΓΟΣ Ι΄.***

***Περί ψόγου καί διαβολῆς.***

Ματθ. Ε΄. - Μακάριοί ἐστε, ὅταν ὀνειδίσωσιν ὑμᾶς καί διώξωσιν, καί εἴπωσι πᾶν πονηρόν ῥῆμα καθ᾽ ὑμῶν ψευδόμενοι ἕνεκεν ἐμοῦ.

Κορινθ. Δ΄.- Λοιδορούμενοι, εὐλογοῦμεν· βλασφημούμενοι, παρακαλοῦμεν.

Παροιμ. Ι΄. - Καλύπτουσιν ἔχθραν χείλη δίκαια· οἱ δέ ἐκφέροντες λοιδορίας, ἀφρονέστατοί εἰσι.

Σιράχ ΚΗ΄. - Ἀνήρ ἁμαρτωλός ταράξει φίλους, καί ἀναμέσον εἰρηνευόντων βαλεῖ διαβολήν· κατά τήν ὕλην τοῦ πυρός οὕτως ἐκκαυθήσεται.

Ἐκκλησ. ΙΑ΄. - Οὐ τά ρήματα πέφυκε τάς λύπας κινεῖν· ἀλλ᾽ ἡ κατά τοῦ λοιδορήσαντος ἡμᾶς ὑπεροψία, καί ἡ ἑκάστου αὐτῶν ὑπεροψία.

Πεφύκασί πως ταῖς μεγάλαις δυναστείαις αἱ ἀνελεύθεροι αὗται παραφύεσθαι θεραπεῖαι, αἱ διά τό ἀπορεῖν οἰκείου ἀγαθοῦ δι᾽ οὗ γνωρισθῶσιν, ἐκ τῶν ἀλλοτρίων κακῶν ἑαυτούς συνιστῶσιν.

Θεολόγου. - Τό μέν γάρ ἐπιτιμᾷν, οὐ μέγα· ῥᾷστον γάρ καί τοῦ βουλομένου παντός· τό δέ ἀντεισάγειν τήν ἑαυτοῦ γνώμην, ἀνδρός εὐσεβοῦς καί νοῦν ἔχοντος.

Κακῶς ἀκούειν κρεῖσσον, ἤ λέγειν κακῶς.

Ἅπτεται οὐ τῶν πολλῶν μόνον, ἀλλά καί τῶν ἀρίστων ὁ μῶμος.

Χρυσοστ. - Ὥσπερ τό καλῶς λέγειν καί ἐγκωμιάζειν ἀρχή φιλίας ἐστίν· οὕτω τό κακῶς λέγειν καί διαβάλλειν, ἔχθρας, καί ἀπεχθείας, καί μηρίων κακῶν ἀρχή καί ὑπόθεσις γέγονεν.

Οὐ δυνατόν τούς ἐν ἀρετῇ ὄντας παρά πάντων ἀκούειν καλῶς.

Εἰ δέ παραδεχόμενοι ἀκοήν ματαίαν οὐκ ἄν τύχοιεν συγγνώμης· οἱ διαβάλλοντες καί λοιδοροῦντες ποίαν ἕξουσιν ἀπολογίαν;

Μή τό κακῶς ἀκούειν ἀλγῶμεν, ἀλλά τῷ δικαίως ἀκούειν κακῶς.

Οἱ πολλοί τῶν ἀνθρώπων, τῶν μέν ἰδίων ἁμαρτημάτων συνήγοροι γίνονται· τῶν δέ ἀλλοτρίων κατήγοροι.

Πλουτάρχου. - Γλῶσσα βλάσφημος, διανοίας κακῆς ἔλεγχος.

Ἰσοκράτ. - Εὐλαβοῦ τάς διαβολάς, κἄν ψευδεῖς (785) ὦσιν. Οἱ γάρ πολλοί, τήν μέν ἀλήθειαν ἀγνοοῦσι, πρός δέ τήν δόξαν ἀποβλέπουσιν.

Οὗτος ἀκούσας παρά τινος, ὅτι Ὁ δεῖνα ἐπ᾽ ἐμοῦ τάδε κατά σοῦ ἐλοιδόρει· Εἰ μή σύ, εἶπεν, ἡδέως ἤκουσας, οὐκ ἄν ἐκεῖνος ἐλοιδόρει.

Δημοκρίτ. - Ἡ μέν μάχαιρα τέμνει· ἡ δέ διαβολή χωρίζει φίλους.

Σωκράτης. - Ἀπαγγείλαντός τινος αὐτῷ, ὅτι Ὁ δεῖνά σε κακῶς λέγει, Καί τυπτέτω με, ἔφη, μή παρόντα.

Ψίθυρον καί διάβολον ἄνδρα, μή παραδέχου. Οὐ γάρ ἕνεκεν εὐνοίας τοῦτο ποιεῖ. Ὡς γάρ τά τῶν ἄλλων ἀπόῤῥητα ἀπεκάλυψέ σοι, ὡσαύτως καί τά ὑπό σοῦ λεγόμενα ἑτέροις ἀναθήσεται.

Μοσχίωνος. - Ὑπό πολλῶν διαβάλλεσθαι κακῶν, οὔτε ἀληθές, οὔτε βλαβερόν· τό δέ ὑφ᾽ ἑνός ἀγαθοῦ ψέγεσθαι, καί ἀληθές καί λυσιτελές.

Δημώνακτ. - Τινός σοφιστοῦ αἰτιωμένου αὐτόν, καί λέγοντος, Διατί με κακῶς λέγεις; Ὅτι μή καταφρονεῖς, ἔφην, τόν κακῶς λέγοντα.

Διογένης. - Λοιδορούμενος ὑπό τινος φαλακροῦ, ἔφη· Σέ μέν οὐχ ὑβρίζω, τάς δέ τρίχας σου ἐπαινῶ, ὅτι κακόν ἐξέφυγον κρανίον.

Προδότου δέ τινος κακῶς αὐτόν λέγοντος, ἔφη· Χαίρω ἐχθρός σου γενόμενος· σύ γάρ οὐ τούς ἐχθρούς, ἀλλά τούς φίλους κακῶς ποιεῖς.

Ἀρίστιππ.- Ἀρίστιππος ὑβριζόμενος ὑπό τινος, ἀνεχώρει· τοῦ δέ ἐπιδιώκοντος καί λέγοντος, Φεύγεις; Ναί, ἔφη· τοῦ μέν γάρ κακῶς λέγειν σύ τήν ἐξουσίαν ἔχεις, τοῦ δέ μή ἀκούειν, ἐγώ.

Πελοπίδ. - Πελοπίδας ἀνδρείου στρατιώτου δαβληθέντος αὐτῷ, ὡς βλασφημοῦντος αὐτόν· Ἐγώ τά μέν ἔργα, ἔφη, αὐτοῦ βλέπω, τῶν δέ λόγων οὐκ ἤκουσα.

Φιλήμον.

Ἥδιον οὐδέν οὐδέ μουσικώτερον<br>
Ἔς' ἤ δύνασθαι λοιδορούμεον φέρειν.<br>
Καί γάρ ὁ λοιδορῶν, ἄν ὁ λοιδορούμενος<br>
Μή προσποιῆται, λοιδορεῖται ὁ λοιδορῶν.

Δημοσθ. - Δημοσθένης, λοιδορουμένου τινός αὐτόν· Οὐ συγκαταβαίνω, εἶπεν, εἰς ἀγῶνα ἐν ᾧ ὁ νικώμενος τοῦ νικῶντός ἐστι κρείττων.

Μενάνδρου.

Οὐδέν διαβολῆς ἐστιν ἐπιπονώτερον,
τήν ἐν ἑτέρῳ γάρ κειμένην ἁμαρτίαν,
Ἀεί μέμψιν ἰδίαν αὐτόν ἐπανάγκες λαβεῖν.
Ὅστις δέ διαβολαῖς πείθεται ταχύ,
Ἤτοι πονηρός αὐτός ἐστι τοῖς τρόποις,
Ἤ παντάπασι παιδαρίου γνώμην ἔχει.

Ῥηγίν.- Πολλοί γοῦν ἤδη μείζω κακά πεπόνθασι ὑπό τῶν διαβολῶν, ἤ τῶν πολεμίων· καί πολλοί ἤδη (788) μείζω ἠδίκηνται ὑπό τῆς τῶν ὤτων ἀσθενείας, ἤ ὑπό τῆς τῶν ἐχθρῶν ἐπιβουλῆς.

Κλεάνθ.

Κακουργότερον οὐδέν διαβολῆς ἐστί που.
Λάθρα γάρ ἀπατήσασα τόν πεπεισμένον.
Μῖσος ἀναπλάττει πρός τόν οὐδέν αἴτιον.

Σέξτ. - Ὁ ἐνδιαβάλλων φίλον, μή εὐδοκιμείτω, κἄν ἀληθῆ λέγῃ.

Χρυσίππ. - Εἰπόντος αὐτῷ τινος, Ὁ φίλος δε λάθρα λοιδορεῖ, ἔφη· Μή ἔλεγχε αὐτόν, ἐπεί φανερῶς αὐτό ἔχει [μέλλει] ποιεῖν.

Ὁ αὐτός ὑπό τινος πονηροῦ πολλά λοιδορηθείς, ἔφη· Κάλλιστα ἐποίησας, μηδέν σοι τῶν προσόντων παραλιπών.

Ὁ αὐτός, τινός λέγοντος ὅτι Σέ τινες λοιδοροῦσιν, ἔφη· Ἀλλ᾽ ἐγώ οὕτως διάξω, ὥστε ἀπιστεῖσθαι αὐτούς.

Λικιαν. - Τίς γάρ οὐκ ἄν ὁμολογήσειε, τήν μέν ἰσότητα ἐν ἅπασι, καί τό μηδέν πλέον, διακιοσύνης ἔργα εἶναι· τό δέ ἄνισόν τε καί πλεονεκτόν, ἀδικίας; Ὁ δέ τῇ διαβολῇ κατά τῶν ἀπάντων λάθρα χρώμενος, πῶς οὐ πλεονέκτης ἐστίν; ὅλον τόν ἀκροατήν σφετεριζόμενος, καί προκαταλαμβάνων αὐτοῦ τά ὦτα, καί ἀποφράττων, καί τῷ δευτέρῳ λόγῳ παντελῶς ἄβατα κατασκευάζων αὐτά ὑπό τῆς διαβολῆς προπεπλησμένα.

***ΛΟΓΟΣ ΙΑ΄.***

***Περί κολακείας.***

Λουκ. στ΄. - Οὐαί ὅταν καλῶς εἴπωσιν ὑμᾶς οἱ ἄνθρωποι.

Ἰουδ. - Οὗτοί εἰσι γογγυσταί, μεμψίμοιροι, κατά ἐπιθυμίας αὐτῶν πορευόμενοι, καί τό στόμα αὐτῶν λαλεῖ ὑπέρογκα, θαυμάζοντες πρόσωπα ὠφελείας χάριν.

Παροιμ. Κστ΄. - Λόγοι κερκώπων μαλακοί· οὗτοι δέ τύπτουσιν εἰς ταμεῖα σπλάχνων.

Κρεῖσσον ἀνδρός ἐλέγχοντος, ὑπέρ ἄλλου κολακεύοντος.

Ἡσαι. Γ΄. - Οἱ μακαρίζοντες ὑμᾶς, πλανῶσιν ὑμᾶς, καί τήν τρίβον τῶν ὁδῶν ταράττουσιν.

Βασιλείου. - Φύγωμεν κολακείας καί θωπείας, καί τῆς ἀρχιλόχου ἀλώπεκος τί κερδαλέον καί ποικίλον.

Οὐδέν γάρ χαλεπώτερον τοῖς εὖ φρονοῦσι, τοῦ πρός δόξαν ζῆν, καί τά τοῖς πολλοῖς δοκοῦντα περισκοπειν, καί μή τόν ὀρθόν λόγον ἡγεμόνα ποιεῖσθαι τοῦ βίου.

Θεολόγου. - Εἰ μέ ὄντα κακόν, ἄριστον ὑπελάμβανες, τί με ποιεῖν ἐχρῆν; εἶναι μᾶλλον κακόν, ἵνα πλέον ἀρέσκω σοι; οὐκ ἄν τοῦτο ἐναυτῷ συνεβούλευσα. Οὕτως οὐδέ εἰ κατορθοῦντά με πταίειν ὑπολαμβάνεις, τό κατορθοῦν διά σέ μεταθήσομαι. Οὐ ζῶ γάρ σοί μᾶλλον ἤ ἐμαυτῷ.

(789) Ἔστι γάρ ἀνδρός μεγαλόφρονος φίλων ἀποδέχεσθαι μᾶλλον ἐλευθερίαν, ἤ ἐχθρῶν κολακείαν.

Πολλῷ βέλτιον βραχέα λυπήσαντα μέγιστα ὠφελῆσαι, ἤ τό πρός ἡδονήν διώκοντα, ζημιῶσαι τῷ κεφαλαίῳ.

Χρυσοστ. - Ὅταν μεταβολή τις γένηται πρός τό χεῖρον, τότε τῶν κολάκων ἀφαιρεῖται τά προσωπεῖα. Τότε ὁ χορός ἐλέγχεται τῶν ὑποκριτῶν, καί ἡ σκῆψις τοῦ πράγματος. Ἀνοίγονται πάντων τά στόματα, Ὁ μιαρός, λέγοντες, ὁ πονηρός, ὁ παμπόνηρος. Οὐ χθές αὐτόν ἐκολάκευες; οὐ τάς χεῖρας αὐτοῦ κατεφίλεις; Προσωπεῖον ἦν ἐκεῖνα. Ἦλθεν ὁ καιρός, καί ἔῤῥιψα τό προσωπεῖον, καί ἀπεφηνάμην τῇ διανοίᾳ.

Κλήμεντος. - Νόσος φιλίας ἡ κολακεία· τάς τῶν ἀρχόντων εὐπραγίας μᾶλλον, ἤ τούς ἄρχοντας αὐτούς εἰώθασι θεραπεύειν οἱ πλεῖστοι.

Πλουτάρχ. - Ἔοικεν ἡ κολακεία γραπτῇ πανοπλίᾳ. Διό τέρψιν μέν ἔχει· χρείαν δέ οὐδεμίαν παρέχει.

Τά μέν ξύλα τό πῦρ αὐξάνοντα, ὑπ᾽ αὐτοῦ τοῦ πυρός καταναλίσκεται· ὁ δέ πλοῦτος τρέφων τούς κόλακας, ὑπ᾽ αὐτῶν τούτων διαφθείρεται.

Ὥσπερ οἱ κόρακες παρεδρεύοντες ἐξορύσσουσι τούς τῶν νεκρῶν ὀφθαλμούς· οὕτως οἱ κόλακες τοῖς ἐπαίνοις τούς λογισμούς διαφθείρουσι τῶν ἀνθρώπων

Λαγῷ μέν κύνα, φίλῳ δέ κόλακα φύσει πολέμιον ἡγητέον.

Οὔτε τῆς γαμετῆς τήν ἑταίραν, οὔτε τῆς φιλίας τήν κολακείαν δεῖ προτιμᾶν.

Χαίρειν χρή τοῖς ἐλέγχουσιν, οὐ τοῖς κολακεύουσιν. Οἱ μέν γάρ ἡμᾶς λυποῦντες, διεφείρουσιν· οἱ δέ χαριζόμενοι, ἐκλύουσι καί σκελίζουσιν.

Ἰσοκράτ. - Διόρα καί τούς τέχνῃ κολακεύοντας, καί τούς μετ᾽ εὐνοίας θεραπεύοντας, ἵνα μή πλεῖον οἱ πονηροί τῶν χρηστῶν ἔχωσιν.

Μίσει τούς κολακεύοντας ὥσπερ τούς ἐξαπατοῦντας· ἀφμότεροι γάρ πιστευθέντες, τούς πιστεύσαντας ἀδικοῦσι.

Κράτης. - Κράτης πρός νέον πλούσιον πολλούς κόλακας ἐπισυρόμενον, εἶπε, Νεανίσκε, ἐλεῶ σου τήν ἐρημίαν.

Ἐπικτήτου. - Οἱ μέν κόρακες, τῶν τετελευτηκότων τούς ὀφθαλμούς λυναίνονται, ὅτα οὐδέν αὐτῶν ἐστι χρεία· οἱ δέ κόλακες, τῶν ζώντων τάς ψυχάς διαφθείρουσι, καί ταύτης ὄμματα τυφλώττουσιν.

Πιθήκου ὀργήν, καί κόλακος ἀπειλήν, ἐν ἴσῳ θετέον.

Ἀποδέχου τούς τά χρηστά συμβουλεύειν ἐθέλοντας, ἀλλά μή τούς κολακεύειν ἑκάστοτε σπεύδοντας. Οἱ μέν γάρ τό συμφέρον ἐν ἀληθείᾳ ὁρῶσιν· οἱ δέ, πρός τά δοκοῦντα τοῖς κρατοῦσιν ἀφορῶσι· καί τῶν σωμάτων τάς σκιάς μιμούμενοι, τοῖς παρ᾽ αὐτῶν λεγομένοις συννεύουσιν.

(792) Δίωνος τοῦ Χρυσοστ. - Πασῶν γάρ, ὡς ἔπος εἰπεῖν, τῶν κακιῶν, ἐσχάτην ἄν τις εὕροι τήν κολακείαν. Πρῶτον μέν γάρ τό κάλλιστον καί δικαιότατον διαφθείρει τόν ἔπαινον, ὥστε μηκέτι δοκεῖν πιστόν μηδ᾽ ἀληθῶς γινόμενον· καί τό γε πάντων δεινότατον, τά τῆς ἀρετῆς ἔπαθλα τῇ κακίᾳ δίδωσιν· ὥστε πολύ χεῖρον δρῶσι τῶν διαφθειρόντων τό νόμισμα. Οἱ μέν γάρ ὕποπτον αὐτό ποιοῦσιν· οἱ δέ τήν ἀρετήν ἄπιστον.

Διογέν. - Ἐπί τῆς κολακείας, ὥσπερ ἐπί μνήματος, αὐτό μόνον τό ὄνομα τῆς φιλίας ἐπιγέγραπται.

Ὁ αὐτός ἐρωτηθείς, Τί τῶν θηρίων κάκιστα δάκνει; ἔφη· Τῶν μέν ἀγρίων, συκοφάντης· τῶν δέ ἡμέρων, κόλαξ.

Δημοσθ. - Δημοσθένης ἔφη, τόν κόλακα τοῦτο διαφέρειν τοῦ κόρακος, ὅτι ὁ μέν ζῶντας, ὁ δέ νεκρούς ἐσθίει.

Ἀντισθέν. -Ἀντισθένης φησίν· Αἱρετώτερον εἰς κόρακας ἐμπεσεῖν, ἤ εἰς κόλακας· οἱ μέν γάρ ἀποθανόντος τό σῶμα, οἱ δέ ζῶντος τήν ψυχήν λυμαίνονται.

Φαβωρίν. - Ὥσπερ ὁ Ἀκταίων ὑπό τῶν τρεφομένων ὑπ᾽ αὐτοῦ κυνῶν ἀπέθανεν, οὕτως οἱ κόλακες τούς τρέφοντας κατεσθίουσιν.

Ζήνωνος. - Ἔλεγχε σαυτόν, ὅστις εἶ, καί μή πρός χάριν.

Ἀκου· ἀφαιροῦ δέ κολάκων παῤῥησίαν.

Πυθαγόρ. - Χαῖρε τοῖς ἐλέγχουσί σε μᾶλλον, ἤ τοῖς κολακεύουσιν· ὡς δ᾽ ἐχθρῶν χείρονας ἐκτρέπου τούς κολακεύοντας.

Σωκράτης. - Ἡ τῶν κολάκων εὔνοια καθάπερ ἐκ τροπῆς, φεύγει τάς ἀτυχίας.

Φίλωνος. - Ἀποστρέφου τῶν κολάκων τούς ἀπατηλούς λόγους. Ἐξαμβλύνοντες γάρ τούς τῆς ψυχῆς λογισμούς, οὐ συγχωροῦσι [ἰδεῖν] τῶν πραγμάτων τήν ἀλήθειαν. Ἤ γάρ ἐπαινοῦσι τά ψόγου ἄξια, ἤ ψέγουσι πολλάκις τά ἐπαίνων κρείττονα.

Σωτιώνου ἐκ τοῦ περί ὀργῆς. - Οἱ δελφῖνες μέχρι τοῦ κλύδωνος συνδιανήχονται τοῖς κολυμβῶσι· πρός δέ τό ξηρόν οὐκ ἐξοκείλουσι· οὕτως οἱ κόλακες ἐν εὐδίᾳ περιμένουσι, καί τούς φίλους εἰς ἀποδημίαν προπέμποντες μέχρι τῆς λείας συμπαρακολουθοῦσιν· ἐπειδάν δέ εἰς τραχεῖαν ἔλθωσιν, ἀπίασιν.

Φωτίων. - Φωτίων εἰώθει λέγειν πρός Ἀντίπατρον· Οὐ δύνασαί μοι καί φίλῳ καί κόλακι χρήσασθαι.

### *ΛΟΓΟΣ ΙΒ΄.*

### ***Περί πλούτου, καί πενίας, καί φιλαργυρίας.***

Ματθ. ιθ΄. -Εὐκοπώτερόν ἐστι κάμηλον διά τρυπήματος ῥαφίδος διελθεῖν, ἤ πλούσιον εἰσελθεῖν εἰς τήν βασιλείαν τῶν οὐρανῶν.

Α΄ Τιμ. στ'. -Τοῖς πλουσίοις ἐν τῷ νῦν αἰῶνι παράγγελλε μή ὑψηλοφρονεῖν, μηδέ ἠλπικέναι ἐπί (793) πλούτου ἀδηλότητι, ἐλλ' ἐπί τῷ Θεῷ, τῷ παρέχοντι ἡμῖν πάντα πλουσίως εἰς ἀπόλαυσιν.

Ἰακώβ κ΄.-Πλοῦτος ἀδίκως συναγόμενος ἐξεμεθήσεται.

Παροιμ. ιθ΄. - Κρεῖσσον πτωχός δίκαιος, ἤ πλούσιος ψεύστης.

Ἐκκλη. ι΄. - Τῷ ἀργυρίῳ ὑπακούσεται τά σύμπαντα.

Σιράχ λα΄. - Ἀγρυπνία πλούτου ἐκτήσει σάρκας, καί ἡ μέριμνα αὐτοῦ ἀφιστᾷ ὕπνον.

Σιράχ λγ΄. - Πλούτου σφαλέντος πολλοί ἀντιλήπτορες · ἐλάλησεν ἀπόῤῥητα, καί ἐδικαίωσαν αὐτόν.

Πλούσιος ἐλάλησε, καί πάντες ἐσίγησαν, καί τόν λόγον αὐτοῦ ἀνύψωσαν ἕως τῶν νεφελῶν.

Βασιλ. - Πενία μετ᾽ ἀληθείας, πάσης ἀπολαύσεως τοῖς σωφρονοῦσι προτιμοτέρα.

Οὐ τό πένεσθαι ἐπονείδιστον, ἀλλά τό μή φέρειν εὐγνωμόνως τήν πενίαν.

Λογισμός γάρ φυλαργυρίᾳ προειλημμένος, τρυτάνη ἐστίν ἐπί τό βαρύ τοῦ κανόνος τήν ῥοπήν καταφέρουσα.

Θεολόγου.

Πένητος ἀνδρός οὐδέν ἀσφαλέστερον.

Πρός τόν Θεόν νένευκε, καί μόνον βλέπει.

Ὡς ἀπόλοιτο πλοῦτος, εἰ μή βοηθεῖ πένησιν·

Κρεῖσσον πενία, μή δικαίας κτήσεως,

Καί γάρ νόσος γε, τῆς κακῆς εὐεξίας.

Δεινόν πένεσθαι, χεῖρον δ' εὐπορεῖν κακῶς.

Χρυσόστ. Ὦ πηλίκον ἀξίωμα τῆς πενίας. Θεοῦ γίνεται προσωπεῖον. Κρύπτεται ἐν πενίᾳ Θεός· καί πένης μέν, ὁ τήν χεῖρα προτείνων· Θεός δέ, ὁ δεχόμενος.

Ὥσπερ γάρ ἐπί τῶν σωμάτων φλεγμονή, ἐκ δέ φλεγμονῆς τίκτεται πυρετός, εἶτα θάνατος ἐκεῖθεν πολλάκις· οὕτω καί ἀπό τῆς τῶν πραγμάτων καί ἀπό τῆς τοῦ πλούτου ὑπερβολῆς, ἀπόνοια γίνεται. Ὥσπερ γάρ ἐπί τῶν σωμάτων φλεγμονή, οὕτω καί ἐπί τῆς ψυχῆς ἀπόνοια. Εἶτα ἐξ ἀπονοίας ἐπιθυμία τῶν οὐ προσηκόντων ἐπακολουθεῖν εἴωθεν.

Γρηγ. Νύσσης. - Τό καλῶς ἔχειν ὀλίγα πολύ τιμιώτερον, τοῦ κακῶς ἔχειν πολλά. Οὐδείς ποτε, τοῦ κερδαίνειν γίνεται κόρος· ἀλλά τό ἀεί λαμβανόμενον, ὕλη καί ὑπέκκαυμα τῆς τοῦ πλείονος ἐπιθυμίας καθίσταται.

Βαρύ χρῆμα τό χρυσίον ἐστί· κοῦφον δέ καί ἀνωφερές πρᾶγμα ἡ ἀρετή. Εἰ οὖν χρή τῶν ἄνω προσβαίνειν, τῶν κατελθόντων [καθελκ.] πτωχεύσωμεν, ἵνα ἐν οὐρανοῖς ἄνω γινώμεθα.

Πλούτου κάλλος οὐκ ἐν βαλαντίοις, ἀλλ᾽ ἐν τῇ τῶν χρῃζόντων ἐπικουρίᾳ.

(796) Φίλων. - Αἱ μέν χρημάτων καί κτημάτων ἐπιθυμίαι τούς χρόνους ἀναλίσκουσι· χρόνου δέ φείδεσθαι, καλόν.

Μείζονα καί σπουδαιοτέραν ἐπιμέλειαν ποιοῦ εἰς τούς δι᾽ ἀρετήν καί θεοσέβειαν πτωχεύσαντας, ἤ πενομένους· ἄλλως τε ὁμοίως καί εἰς τούς ἐκ νόσων καί συμπτωμάτων ἀποροῦντας, παρά τούς ἐκ κακοπραγμονίας ἤ ἀσωτίας πτωχεύσαντας.

Νείλου. - Μή βούλου πλουτεῖν φιλοπτωχείας ἕνεκα· ἀπό γάρ τῶν ὄντων τοῦ ἐλεεῖν ὁ Θεός νομοθετεῖ τό δίκαιον.

Πλουτάρχ. - Ἐν πολέμῳ μέν πρός ἀσφάλειαν σίδηρος χρυσοῦ κρείσσων· ἐν δέ τῷ ζῆν, ὁ λόγος τοῦ πλούτου.

Οὔτε ἵππῳ χωρίς χαλινοῦ, οὔτε πλούτῳ χωρίς λογισμοῦ, δυνατόν ἀσφαλῶς χρήσασθαι.

Οὔτε συμπόσιον ἄνευ ὁμιλίας, οὔτε πλοῦτος χωρίς ἀρετῆς ἡδονήν ἔχει.

Ἔοικεν ὁ τῶν φιλαργύρων βίος νεκροῦ δείπνῳ. Πάντα γάρ ἔχων, τόν εὐφρανθησόμενον οὐκ ἔχει. Οὔτε παρά νεκροῦ ὁμιλίαν, οὔτε παρά φιλαργύρου δεῖ χάριν ἐπιζητεῖν. Τοῦ μέλιτος μέλιτται τάχιον ἔρχονται ἐπ᾽ αἴσθησιν· τοῦ κέρδους δέ, οἱ φιλάργυροι.

Σφαγή ἐστι τοῦ φιλαργύρου ἡ τοῦ χρήματος ἡ πρός τό κέρδος ἐπιθυμία· ὅθεν ἡ τοῦ χρήματος ἀφαίρεσις, ὥσπερ αἵματος, ἐπιφέρει τόν θάνατον αὐτῷ.

Ἑτοιμάζονταί τινες διά τοῦ βίου τά πρός τόν βίον, ὡς βιωσόμενοι μετά τόν βίον.

Τούς πλουσίους δέ καί ἀπλήστους ὑδρωπιῶσιν ἐοικέναι ἔλεγεν· οἱ μέν γάρ πεπλησμένοι ὑδάτων διψῶσιν, οἱ δέ χρημάτων.

Οὔτε ἵππος εὐγενής κρίνοιτ᾽ ἄν πολυτελῆς σκευήν ἔχων· ἀλλ᾽ ὁ τῇ φύσει λαμπρός· οὔτε ἀνήρ σπουδαῖος ὁ πολύτιμον οὐσίαν κεκτημένος, ἀλλ᾽ ὁ τήν ψυχήν γενναῖος.

Καταφρόνει τῶν περί τόν πλοῦτον σπουδαζόντων, χρῆσθαι δέ τοῖς ὑπάρχουσι μή δυναμένων. Παραπλήσιον γάρ οἱ τοιοῦτοι πάχουσιν, ὥσπερ ἄν εἴ τις ἵππον κτήσαιτο καλόν, κακῶς ἱππεύειν ἐπιστάμενος.

Μεγαλόφρονας νόμιζε, μή τούς μείζονα περιβαλλομένους, ὧν οἷοί τέ εἰσι κατασχεῖν, ἀλλά τούς μετρίων μέν ἐφιεμένους, ἐργάζεσθαι δέ δυναμένους, οἷς ἄν ἐπιχειρῶσι.

Ἀριστοτέλ.- Ἡ πενία πολλῶν ἐστιν ἐνδεής· ἡ δέ ἀπληστία πάντων.

Μηδέποτε μακαρίσεις ἄνθρωπον ἐπί πλούτῳ καί δόξῃ· πάντα γάρ τά τοιαῦτα τῶν ἀγαθῶν ἐλάττονι πίστει δέδεται.

Οὐχ ὁ πλουτῶν, ἀλλ᾽ ὁ μή χρήζων πλούτου μακάριος.

(797) Μέγιστόν ἐστι πλούτου, τό γινώσκειν ὅτι περιττός, ἐστιν.

Ἄν μή πολλῶν ἐπιθυμεῖς, τά ὀλίγα πολλά δόξει. Μικρά γάρ ὄρεξις πενίαν ἰσοσθενῆ πλούτου ποιήσει.

Ὁ κατά φύσιν πλοῦτος, ἄρτῳ καί ὕδατι καί τῇ τυχούσῃ τοῦ σώματος σκέπῃ, συμπεπλήρωται. Ὁ δέ περιττός, κατά ψυχήν ἀπέραντος, ἔχειν καί τήν τῆς ἐπιθυμίας βάσανον.

Ὁ αὐτός ἐρωτηθείς, πῶς ἄν τις γένηται πλούσιος· Ἐάν τῶν ἐπιθυμιῶν ἔσται πένης, φησίν.

Ὅσα μέν ἐπί τῇ φύσει, πάντες ἐσμέν πλούσιοι· ὅσα δ᾽ ἐφ᾽ ἡμῖν, πάντες ἐσμέν πένητες.

Ὁ τῷ κατά φύσιν ἀρκούμενος πλούτῳ, τοῦ πολλά κεκτημένου, πλείονα δέ ἐπιθυμοῦντος, πολύ ἐστι πλουσιώτερος. Τῷ μέν γάρ οὐδέν ἐλλείπει· τῷ δέ, καί ὧν κέκτηται πολλῷ πλείονα.

Ἡ τέκνοις ἄγαν χρημάτων συναγωγή, πρόφασίς ἐστι φιλαργυρίας, τρόπον ἴδιον ἐλέγχουσα.

Τά μέγιστα τῶν κακῶν οἱ πενητες ἐκπεφεύγασι· ἐπιβουλήν, φθόνον καί μῖσος· οἷς οἱ πλούσιοι καθ᾽ ἡμέραν συνοικοῦσιν.

Διογένης. - Διογένης ὁ Κυνικός φιλόσοφος, ἐρωτηθείς ὑπό τινος, διά τί τό χρυσίον χλωρόν ἐστιν, εἶπεν· Ὅτι πολλούς ἐπιβούλους ἔχει.

Ὁ αὐτός ἰδών τούς Ἀναξιμένους οἰκέτας πολλά σκεύη περιφέροντας, ἤρετο· Τίνος ταῦτα; Τῶν δέ εἰπόντων, Ἀναξιμένους, οὐκ αἰδεῖται, φησί, ταῦτα ἔχων ἅπαντα, αὐτός ἑαυτόν μή ἔχων;

Σωκράτης. - Ὁ μέν οἶνος συμμεταβάλλεται τοῖς ἀγγείοις· ὁ δέ πλοῦτος, τοῖς τῶν κεκτημένων τρόποις.

Ἵδρως μέν ἐκ τῶν γυμνασίων εὐσχημονέστερον· πλοῦτος δέ, ἐκ τῶν ἰδίων πόνων.

Τά τῶν πλουσίων καί ἀσώτων χρήματα, ταῖς ἐπί τῶν κρημνῶν συκέαις εἴκαζεν, ἀφ᾽ ὧν ἄνθρωπον μέν μή λαμβάνειν, κόρακας δέ καί ἰκτίνους, ὥσπερ παρά τούτων ἑταίρας καί κόλακας.

Ὁ αὐτός ἐρωτηθείς, τίνες οἱ φιλοχρήματοι, ἔφη· Οἱ τά αἰσχρά κέρδη θηρώμενοι, καί τούς ἀναγκαίους τῶν φίλων ὑπερορῶντες.

Ὁ τῶν φιλαργύρων πλοῦτος, ὥσπερ ὁ ἥλιος καταδύς εἰς τήν γῆν, οὐδένα τῶν ζώντων εὐφραίνει.

Εὐριπίδου ἐν Δαναῇ.

Ὦ χρυσέ δεξίωμα κάλλιστον βροτοῖς,

Ὡς οὐδέ μήτηρ ἡδονάς τοίας ἔχει,

Οὐ παῖδες ἀνθρώποισιν, οὐ φίλος πατήρ.
Εἰ δ' ἡ Κύπρις τοσοῦτον ὀφθαλμοῖς ὁρᾷ,
Οὐ θαῦμ᾽ ἔρωτας μυρίους αὐτήν τρέφειν.

Μοσχίων. - Ὥσπερ οὐ τῷ ἵππῳ κόσμος, οὐδέ τοῖς ὄρνεσι καλιά ὑψοῦσθαι καί γαυριᾷν δίδωσιν· ἀλλά τῷ μέν τοῦ ποδός ἡ ὠκύτης, τοῖς δέ τῶν πτερῶν· οὕτως οὐδ᾽ ἀνθρώπῳ καλλωπισμός καί τρυφή, ἀλλά χρηστότης καί εὐποιία.

(800) Ἐν Πέρσαις μέν γεννηθείς, οὐκ ἔσπευδες οἰκεῖν τήν Ἑλλάδα, ἀλλ᾽ αὐτόθι διάγων εὐτυχεῖν. Ἐν πενίᾳ δέ γεννηθείς, τί σπεύδεις πλουτεῖν, ἀλλ᾽ οὐκ αὐτόθι μένων εὐτυχεῖν;

Τήν πενίαν ὁ σώφρων καρτερίᾳ καί γενναιότητι τιμῶν, πλούτου τιμιωτέραν ἀποφαίνει.

Προίξ πολλή τέκνα βελτίονα οὐ ποιεῖ.

Κλειτάρχ. - Ἐγράτεια κρηπίς εὐσεβείας· ὄρεξις κτήσεως, ἀρχή πλεονεξίας. Ἐκ γάρ φιλαργυρίας ἀδικία φύεται.

Κάτωνος. - Δόξα καί πλοῦτος ἄνευ φρονήσεως, οὐκ ἀσφαλῆ κτήματα.

Ἀπολλωνίου. - Οὐ τό πένεσθαι κατά φύσιν αἰσχρόν, ἀλλά τό δι᾽ αἰσχράν αἰτίαν πένεσθαι, ὄνειδος.

Εὐσεβίου. - Οἱ μάταιοι τῶν ἀνθρώπων, τούς μέν μεγάλα χρήματα ἔχοντας καί φαύλους ὄντας, τιμῶσί τε καί τεθαυμάκασι· τῶν δέ σπουδαίων, ἐπειδάν ἀχρηματείαν καταγνῶσιν, ὑπερφρονέουσιν.

Μενάνδρου.
Ψυχήν ἔχειν δεῖ πλουσίαν· τά δέ χρήματα
Ταῦτ᾽ ἔστιν ὄψις παραπέτασμα βίου.
Μακάριος ὅστις οὐσίαν καί νοῦν ἔχει.
Χρῆται γάρ οὗτος εἰς ἅ δεῖ ταῦτα καλῶς.
Ὅστις ὑπέχει χρυσίῳ τήν χεῖρα,
Κἄν μή φησί, πονηρά βουλεύεται.
Οὐ πώποτε ἐζήλωσα πλουτοῦντα σφόδρα
Ἄνθρωπον ἀπολαύοντα μηδέν ὧν ἔχει.
Λέγεις, ἅ δέ λέγεις, ἕνεκα τοῦ λαβεῖν λέγεις.

Κράτωνος.
Οὐ ἔστι πενίας μεῖζον οὐδέν ἐν βίῳ
Σύμπτωμα· καί γάρ ἄν φύσει σπουδαῖος ᾖς,
Καταγέλαστος ἔσῃ.

Καλῶς πένεσθαι μᾶλλον ἤ πλουτεῖν κακῶς·
Τό μέν γάρ ἔλεον, τό δ᾽ ἐπιτίμησιν φέρει.

Ἐκ τῶν Φαυωρίνου. - Βοιωτός ἐντυχών θησαυρῷ μετά ἑβδομήκοντα ἔτη, ἐπάρας τό σκέλος ἀπεματάϊσε καί παρῆλθεν, ὡς οὐκέτι ὄντα πρός αὐτόν.

Ὥσπερ τόν αὐτόν οἶνον πίνοντες, οἱ μέν παροινοῦσιν, οἱ δέ πραΰνονται· οὕτω καί τόν πλοῦτον.

Βίωνος. - Βίων καταγελάστους ἔλεγεν τούς σπουδάζοντας περί τόν πλοῦτον, ὅν τύχη μέν παρέχει, ἀνελευθερία δέ φυλάττει, χρηστότης δέ ἀφαιρεῖται.

Θεόγνιδος.
Οὐ δέ μάτην, ὦ Πλοῦτε, θεοί τιμῶσι μάλιστα,
Ἡ γάρ ῥηιδίως τήν κακότητα φέρεις.
Οὐκ ἔραμαι πλουτεῖν, οὔτ᾽ εὔχομαι, ἀλλά μοι εἴη
Ζῆν ἀπό τῶν ὀλίγων οὐδέν ἔχοντι κακόν.

Λουκιανοῦ.
Γῆς ἐπέβην γυμνός, γυμνός δ᾽ ἐπί γαῖαν ἄπειμι,
Καί τί μάτην μοχθῶ, γυμνόν ὁρῶν τό τέλος;

Σιμωνίδου. - Σιμωνίδης ἐρωτηθείς, πότερο αἱρετώτερον πλοῦτος, ἤ σοφία· οὐκ οἶδα, ἔφη· ὁρῶ μέντοιγε τούς σοφούς ἐπί τάς τῶν πλουσίων θύρας φοιτῶντας.

Ἀριστείδου. - Ἀριστείδης ὁ δίκαιος, ὀνειδιζόμενος ἐπί πενίᾳ ὑπό τινος πλουσίου, εἶπεν· Ἐμοί μέν (801) ἡ πενία οὐδέν ἱστορήσει κακόν· σοί δέ ὁ πλοῦτος ταραχάς οὐκ ὀλίγας.

Ἱέρωνος. - Ὀνειδιζόμενος ὅτι πολλούς ῥητορεύειν διδάξας, ἐπένετο, εἶπεν· Οὔτε γάρ ἐδίδαξα φιλαργυρεῖν.

Μουσωνίου. - Τῶν μέν Κροίσου καί Κύρου θησαυρῶν πενίαν ἐσχάτην καταψηφιούμεθα· ἕνα δέ καί μόνον πιστεύομεν πλούσιον, σοφόν, τόν δυνάμενον κτήσασθαι τό ἀνενδεές πανταχοῦ.

Ξενοφῶντ. φιλοσόφ.- Τήν πενίαν ἔλεγεν αὐτοδίδακτον φιλοσοφίαν εἶναι· ἅ γάρ ἐκείνη τοῖς λόγοις πείθει, αὕτη τοῖς ἔργοις ἀναγκάζει.

Πολλῶν κακῶν ἐπικάλυμμά ἐστιν ὁ πλοῦτος.

Ὁ αὐτός, τόν πλούσιον καί ἀπαίδευτον ἔφησε, ῥύπον εἶναι περιηργυρωμένον..

Φιλιστίων. - Κἂν μυρίων πηχῶν γῆς κύριος ὑπάρχεις, θανών γενήσῃ τριῶν ἤ τεσσάρων.

Δημώνακτ. - Εἰσί τινες, οἱ τόν μέν παρόντα βίον οὐ ζῶσιν, ἀλλά παρασκευάζοντες πολλῇ σπουδῇ ὡς ἕτερον βίον βιωσόμενοι, οὐ τόν παρόντα.

Ἐκ τῶν Ἀριστίππου γνωμῶν. - Οὐχ ὥσπερ ὑπόδημα τό μεῖζον ἄχρηστον, καί ἡ πλείων κτῆσις. Τοῦ μέν γάρ ἐν τῇ χρήσει τό περιττόν ἐμποδίζει· τῇ δέ, καί ὅλῃ χρῆσθαι κατά καιρόν ἔξεστι, καί μέρει.

Δημοσθ. - Δημοσθένης ὁ ῥήτωρ, θεσάμενός τινα ἐκφερόμενον φιλάργυρον, ἔφη· Οὗτος βίον ἀβίωτον βιώσας, ἑτέροις βίον κατέλιπεν.

Ζημίαν αἱροῦ μᾶλλον, ἤ κέρδος αἰσχρόν· τό μέν γάρ ἅπαξ σέ λυπήσει· τό δέ, διαπαντός.

Δημοκρίτ. ἀλ. Θεοκ. - Τούς πολλούς τῶν πλουσίων ἔλεγεν ἐπιτρόπους εἶναι, ἀλλά μή δεσπότας τῶν χρημάτων.

Πλάτωνος. - Ὅστις σῶμα θεραπεύει τό ἑαυτοῦ, οὐχ ἑαυτόν θεραπεύει· ὅστις δέ χρήματα, οὐθ᾿ ἑαυτόν, οὔτε τά ἑαυτοῦ, ἀλλ᾿ ἔστι πόῤῥωτέρω τῶν ἑαυτοῦ.

Διφίλου.

Εἰ μή τό λαβεῖν ἦν οὐδ᾿ εἷς πονηρός ἦν.

Φιλαργυρία τοῦτ᾿ ἔστιν, ὅταν ἀφείς σκοπεῖν.

Τά δίκαια, τοῦ κέρδους διαπαντός δοῦλος ᾖς.

Ἀνακρέοντ. - Ἀνακρέων δωρεάν παρά Πολυκράτους λαβών πέντε τάλαντα, ὡς ἐφρόντισεν ἐπ᾿ αὐτοῖς δυοῖν νυκτοῖν, ἀπέδωκεν αὐτά, εἰπών, οὐ τιμᾶσθαι αὐτά τῆς ἐπ᾿ αὐτοῖς φροντίδος.

Ἰσοκράτ. - Τίμα τήν ὑπάρχουσαν οὐσίαν δυοῖν ἕνεκα, τοῦ τε ζημίαν μεγάλην ῥᾳδίως ἐκτῖσαι, καί τῷ φίλῳ σπουδαίῳ δυστυχοῦντι βοηθῆσαι· πρός δέ (804) τόν ἄδηλον βίον μηδέν ὑπερβαλλόντως, ἀλλά μετρίως αὐτήν ἀγάπα.

Στέργε μέν τά παρόντα· ζήτει δέ τά μέλλοντα.

***ΛΟΓΟΣ ΙΓ΄.***

***Περί αὐταρκείας.***

Λουκ. ιβ΄. - Εἶπεν ὁ Κύριος Μή μεριμνήσητε τῇ ψυχῇ ὑμῶν τί φάγητε, μηδέ τῷ σώματι ὑμῶν τί ἐνδύσησθε.

Φιλιππησ. δ΄. - Ἐγώ ἄμαθον, ἐν οἷς εἰμί, αὐτάρκης εἶναι. Οἶδα καί ταπεινοῦσθαι, οἶδα καί περισσεύειν· ἐν παντί καί ἐν πᾶσι μεμύημαι·

καί χορτάζεσθαι, καί πεινᾶν· καί περισσεύειν, καί ὑστερεῖσθαι. Πάντα ἰσχύω ἐν τῷ ἐνδυναμοῦντί με Χριστῷ.

Παροιμ. λ΄. - Πλοῦτον καί πενίαν μή μοι δός, Κύριε· σύνταξον δέ μοι τά δέοντα καί τά αὐτάρκη, ἵνα μή πλησθείς ψευδής γένωμαι, καί εἴπω· Τίς με ὁρᾷ, ἤ πενηθείς κλέψω καί ὀμόσω τό ὄνομα τοῦ Θεοῦ.

Σιράχ μ΄. - Ζωή αὐταρκείας ἐργάτου γλυκανθήσεται.

Σιράχ λ΄. - Ὕπνος ὑγείας ἐπί ἐντέρων μετρίων.

Βασιλείου. - Ἡ οἰκονομοῦσα τό ζῶον δύναμις, αὐταρκείαν μέν καί λιτότητα ῥᾳδίως κατεργάσατο καί ᾠκείωσε τῷ τρεφομένῳ· πολυτέλειαν δέ καί ποικιλίαν βρωμάτων παραλαβοῦσα, εἶτα ἀντισχεῖν πρός τό πέρας οὐκ ἐπαρκέσασα, τά ποικίλα γένη τῶν νοσημάτων πεποίηκεν.

Θεολόγου. - Τό καλῶς ἔχειν ὀλίγα, πολύ τιμιώτερον τοῦ κακῶς ἔχειν πολλά.

Χρυσοστ. - Οὐ πλούσιός ἐστιν ἐκεῖνος, ὁ πολλά κεκτημένος, ἀλλ᾽ ὁ μή πολλῶν δεόμενος.

Πρός χρείαν, ἀδελφοί, οὐ πρός ἡδονήν ἡ ζωή συμμετρεῖται. Τό οὖν περιττόν τῆς φύσεως ἀποθέμενοι, τό ἀναγκαῖον μόνον ἀσπασώμεθα.

Νείλου. - Καλόν τοῖς ὅροις τῆς χρείας ἐμμένειν, καί φιλονεικεῖν πάσῃ δυνάμει τούτους μή ὑπερβαίνειν. Ἐάν γάρ ὀλίγον παρενεχθῇ τις ἀπό τῆς ἐπιθυμίας ἐπί τά ἡδέα τοῦ βίου, οὐδείς λοιπόν ἵστησι τήν ἐπί τά πρόσω φοράν.

Μέτρον κτήσεώς ἐστιν ἡ χρεία τοῦ σώματος· τό δέ ταύτην ὑπερβαίνειν ἀκοσμία λοιπόν, καί οὐκέτι χρεία ἐστίν. Ὡς γάρ ὁ συμμεμετρημένος, τῷ σώματι χιτών, καί χρεία ἐστί καί κόσμος· ὁ δέ πάντοθεν περιῤῥέων καί τοῖς ποσίν ἐμπλεκόμενος, καί τῇ γῇ μετά τοῦ ἀπρεποῦς ἐπισυρόμενος, ἐμπόδιον πρός πᾶσαν ἐργασίαν γίνεται· οὕτως ἡ ὑπερβαίνουσα τήν τοῦ σώματος χρείαν χρῆσις, καί πρός τήν ἀρετήν ἐστιν ἐμπόδιον, καί πολλήν ἔχει κατάγνωσιν παρά (805) τοῖς τήν φύσιν τῶν πραγμάτων ἐρευνᾷν δυναμένοις.

Κλήμεντ. - Ὀλιγοδεΐας μέν ἐρασταί, πολυτέλειαν δέ, ὡς ψυχῆς καί σώματος νόσον ἐκτρεπόμενοι.

Ἡ τῶν ἀναγκαίων κτῆσις καί χρῆσις, οὐ τήν ποιότητα βλαβεράν ἔχει, ἀλλά τήν παρά τό μέτρον ποσότητα.

Φίλωνος. - Ὁ σπουδαῖος καί ὀλιγοδεής, ἀθανάτου καί θνητῆς φύσεως μεθόριον· τό μέν ἐπιδεές ἔχων διά τό σῶμα θνητόν· τό δέ μή πολυδεές, διά ψυχήν ἐφιεμένην ἀθανασίας.

Δημοκρ. - Αὐταρκίη τροφῆς, μικρά νύξ οὐδέποτε γίνεται.

Κλειτάρχ. - Ὀφείλομεν ἑαυτούς ἐθίζειν ἀπό ὀλίγων ζῆν, ἵνα μηδέν αἰσχρόν ἕνεκεν χρημάτων μάθωμεν.

Σωκράτ. - Σωκράτης ἐρωτηθείς ὑπό τινος, Τίς σοι πλουσιώτερος εἶναι δοκεῖ, εἶπεν· Ὁ ἐλαχίστοις ἀρκούμενος· αὐτάρκεια γάρ ἐστι φύσεως πλοῦτος.

Ὥσπερ εἰς ὁδόν τόν βίον, οὐ τά πολλοῦ ἄξια συντίθει ἐφόδια, ἀλλά ἀναγκαιότερα.

Βέλτιόν ἐστιν ἐν μιᾷ περιουσίᾳ συστελλόμενον εὐθυμεῖν, ἤ μεγάλης τυγχάνοντα δυστυχεῖν.

Ἀλέξανδρ. - Εἰπόντος αὐτῷ τινος τῶν δοκούντων εὐνοεῖν, ὅτι Δύνανται αἱ πόλεις σου πλεῖον παρέχειν ἐξόδους, ἔφη· κηπουρόν μισῶ τόν ἐκ ῥιζῶν ἐκτέμνοντα τά λάχανα.

Δημοκρίτ. - Τράπεζαν πολυτελέα μέν τύχη παρατίθησιν, αὐταρκέα δέ σωφροσύνη.

Ἐκ τῶν Ἐπικτήτου καί Ἰσοκράτ. - Αὐτάκρεια, καθάπερ ὁδός βραχεῖα καί ἐπιτερπής, χάριν μέν ἔχει μεγάλην πόνον δέ μικρόν.

Ὀχύρωσον σαὐτόν τῇ αὐταρκείᾳ· τοῦτο γάρ δισάλωτόν ἐστιν χωρίον.

Σωκράτ. - Ξανθίππης Σωκράτει τῷ ἀνδρί ἐπιτιμώσης, διότι λιτῶς παρεσκευάζετο ὑποδέξασθαι φίλους, εἶπεν· Εἰ μέν ἡμέτεροί εἰσιν, οὐδέν ἐκείνοις μελήσει· εἰ δέ ἀλλότριοι, ἡμῖν περί αὐτῶν οὐδέν μελήσει.

***ΛΟΓΟΣ ΙΔ΄.***

***Περί προσευχῆς.***

Ματθ. στ΄. - Προσευχόμενοι μή βαττολογήσητε, (808) ὥσπερ οἱ ἐθνικοί· δοκοῦσι γάρ, ὅτι ἐν τῇ πολυλογία αὐτῶν εἰσακουσθήσονται. Μή οὖν ὁμοιωθῆτε αὐτοῖς· οἶδε γάρ ὁ Πατήρ ὑμῶν ὧν χρείαν ἔχετε, πρό τοῦ ὑμᾶς αἰτῆσαι αὐτόν.

Ἰακ. ε΄. - Κακοπαθεῖς τις ἐν ὑμῖν; προσευχέσθω. Εὐθυμεῖς τις; ψαλλέτω. Ἀσθενεῖ τις ἐν ὑμῖν; προσκαλεσάσθω τούς πρεσβυτέρους τῆς Ἐκκλησίας, καί προσευξάσθωσαν ἐπ᾽ αὐτόν, ἀλείψαντες αὐτόν ἐλαίῳ ἐν τῷ ὀνόματι Κυρίου· καί ἡ εὐχή τῆς πίστεως σώσει τόν

κάμνοντα, καί ἐγερεῖ αὐτόν ὁ Κύριος· κἄν ἁμαρτίας ᾖ πεποιηκώς, ἀφεθήσεται αὐτῷ.

Σολομ. - Θυσίαι ἀσεβῶν βδέλυγμα Κυρίῳ· προσευχαί δέ κατευθυνόντων, δεκταί παρ᾽ αὐτῷ.

Σιράχ ζ΄. - Μή ὀλιγοψυχήσῃς ἐν τῇ προσευχῇ σου.

Σιράχ ιη΄. - Μή ἐμποδίσῃς τοῦ ἀποδοῦναι εὐχήν εὐκαίρως.

Βασιλείου. - Ἡ θεία ἀκοή, οὐ φωνῆς δεῖται πρός αἴσθησιν. Οἶδε γάρ καί ἐν τῷ κινήματι τῆς καρδίας γνωρίσαι τά ἐπιζητούμενα. Ἤ οὐκ ἀκούεις ὅτι Μωϋσῆς μηδέν φθεγγόμενος, τοῖς ἀλαλήτοις ἑαυτοῦ στεναγμοῖς ἐντυγχάνων τῷ Κυρίῳ, ἠκούετο παρά τοῦ Κυρίου, λέγοντος· Τί βοᾷς πρός με;

Ἔργων γάρ δικαίων παρουσία, μεγαλοφωνία ἐστί παρά Θεῷ.

Θεολόγου. - Μή μικρολογίαν καταγνωσθῶμεν, ἐν τῷ μικρά αἰτεῖν ἡμᾶς καί τοῦ διδόντος ἀνάξια.

Χρυσοστ. - Μέγα ἀγαθόν εὐχή, ἐάν μετά διανοίας εὐχαρίστου γένηται· ἐάν παιδεύσωμεν ἑαυτοῦ μή μόνον λαμβάνοντες, ἀλλά καί ἀποτυγχάνοντες, εὐχαριστεῖν τῷ Θεῷ. Καί γάρ ποτέ μέν δίδωσι, ἀμφότερα χρησίμως. Ὥστε κἄν λάβῃς, κἄν μή λάβῃς, ἔλαβες ἐν τῷ μή ἀπολαβεῖν. Κἄν ἐπιτύχῃς, κἄν μή ἐπιτύχῃς, ἔτυχες ἐν τῷ ἀπολαβεῖν. Κἄν ἐπιτύχῃς, κἄν μή ἐπιτύχῃς, ἔτυχες ἐν τῷ μή ἐπιτυχεῖν. Ἔστι γάρ ὅτι τό μή λαβεῖν λυσιτελέστερον. Εἰ γάρ μή συμφέρον ἡμῖν ἦν πολλάκις τό μή λαβεῖν, πάντως ἔδωκεν ἄν. Τό δέ συμφερόντως ἀποτυχεῖν, ἐπιτυχεῖν ἐστιν.

Ὅταν ἐκ καθαρῶν χειλέων ἐξέρχηται δέησις, (809) καί ἐκ καρδίας ἀνυποκρίτου, οἶδε φθάσαι τό ἀκολάκευτον οὖς τοῦ Δεσπότου.

Ὅταν δι᾽ εὐχῆς αἰτησώμεθά τι τόν Δεσπότην, μή ταχέως ἐξατονήσωμεν· ἀλλά τό συνεχές τῆς ἀποτυχίας, τῇ συνεχείᾳ τῆς αἰτήσεως ἐκνικήσωμεν.

Ἐν ταῖς ἀναβολαῖς καί ἐν ταῖς ὑπεθέσεσι τῶν δωρεῶν τοῦ Θεοῦ, μή προκάμνωμεν, μηδέ προαναπίπτωμεν. Πολλάκις γάρ ὁ Δεσπότης τήν δοκοῦσαν ἀναβολήν, εἰς τήν τῆς πίστεως γυμνασίαν παρέλκει.

Καλόν πάντοτε διά προσευχῆς ὁμιλεῖν τῷ Θεῷ. Εἰ γάρ συντυχία ἀνδρός ἀγαθοῦ βελτιοῖ τόν ἐντυγχάνοντα, πόσῳ μᾶλλον τό καί ἐν ἡμέρᾳ καί ἐν νυκτί καθομιλεῖν τῷ Θεῷ ;

Πολλάκις ὁ Θεός ἀναβάλλεται τήν αἴτησιν, οὐ βουλόμενος ἡμᾶς παρελκῦσαι, ἀλλά τῇ μελλήσει τῆς δόσεως τήν διηνεκῆ προσεδρείαν ἡμῖν σοφιζόμενος. Οὕτω γάρ καί φιλόστοργοι πατέρες ποιοῦσι, τά

ῥάθυμα τῶν παίδων, καί πρός τά παιδικά παίγνια τρέχοντα, πολλάκις ὑποσχέσει δόσεως καί δώρου μεγίστου κατέχουσι παρ' ἑαυτοῖς.

Ἀνθρώπων μέν γάρ δεόμενοι, καί δαπάνης χρημάτων δεόμεθα καί κολακείας δουλοπρεποῦς, καί πολλῆς περιόδου καί πραγματείας χρεία. Οὐ γάρ ἐξ εὐθείας αὐτοῖς τοῖς κυρίοις δοῦναι τήν χάριν ἔνι καί διαλεχθῆναι πολλάκις, ἀλλ᾽ ἀνάγκη πρότερον διακόνους καί οἰκονόμους αὐτῶν καί ἐπιτρόπους, καί χρήμασι καί ῥήμασι καί παντί θεραπεῦσαι τρόπῳ, καί τότε δι᾽ ἐκείνων τήν αἴτησιν λαβεῖν. Ἐπί δέ τοῦ Θεοῦ οὐκ ἔστιν οὕτως. Οὐ γάρ δεῖται μεσιτῶν ἐπί τῶν ἀξιούντων· οὐδ᾽οὕτως δι᾽ ἑτέρων παρακαλούμενος, ὡς δι' ἡμῶν αὐτῶν δεομένων ἐπινεύει τῇ χάριτι.

Εὔηχός ἐστιν ἐκείνη ἡ φωνή, καί μέχρι τῆς θείας ἀναβαίνουσα ἀκοῆς· οὐχ ἡ μετά τινος διατάσεως γινομένη κραυγή· ἀλλ᾽ ἡ ἀπό καθαρᾶς συνειδήσεως ἀναπτομένη ἐνθύμησις.

Γρηγ. Νύσσης. - Ὁ ἐν καιρῷ προσευχῆς ἡ πρός τά λυσιτελοῦντα τῇ ψυχῇ τεταμένος, ἀλλά πρός τάς ἐμπαθεῖς τῆς διανοίας κινήσεις, συνδιατίθεσθαι τόν Θεόν ἀξιῶν, λῆρός τίς ἐστιν, ὡς ἀληθῶς, καί βαττολόγος καί φλήναφος καί φλύαρος, καί εἴ τι ἄλλο τῆς τοιαύτης σημασίας ἐστίν.

Εὐσεβίου. - Ὑπέρ τῆς κοινῆς χρή εὔχεσθαι πρότερον σωτηρίας, εἶθ᾽ οὕτως ὑπέρ αὐτῶν.

Νείλου. - Ὥσπερ τά στρουθία διά τῆς τῶν πτερῶν κινήσεως μετάρσια γίνεται, οὕτω καί ὁ θεοσεβής ἄνθρωπος ἀπό τῶν ἐπιγείων πρός τά οὐράνια διά προσευχῶν μετατίθησιν ἑαυτόν.

Ἐάν κακῶς καί ἀσυμφόρως αἰτεῖς, καθάπερ (812) ὁ πυρέττων ἄνθρωπος παρακαλεῖ παρασχεῖν αὐτῷ οἶνον, προβλέπων ὁ Θεός τά μέλλοντα οὐ ποιεῖ τό θέλημά σου, οὐδέ παρέχειν τήν ἀλόγιστον δέησιν.

Μή πλοῦτον ἐν δεήσει ζητήσῃς, μή ὑγείαν, ἤ τῶν ἐχθρῶν ἄμυναν· μή δόξα ἀνθρωπινην· ἀλλά μόνον τά συντελοῦντα πρός σωτηρίαν ψυχῆς.

Ὥσπερ τό ἀναπνεῖν οὐδέποτε ἄκαιρον, οὕτως οὔτε τό αἰτεῖσθαι παρά Κυρίου αἰτήματα μυστικά μέχρις ἐσχάτης ἀναπνοῆς.

Ὅταν περί τινος ἀγαθοῦ παρακαλέσῃς τόν Θεόν, καί μή εἰσακούσῃ σου παραυτίκα, μή ὀλιγωρήσῃς, μηδέ ὀλιγοψυχήσῃς· πολλάκις γάρ πρός τό παρόν οὐ συμφέρει σοι τό αἴτημα.

Ἀριστοτ. - Τόν εὐχόμενον δεῖ φρόνιμον εἶναι· μή λάθῃ τι κακόν εὐξάμενος ἑαυτῷ.

Ἀλέξανδρ. - Ἀλέξανδρος ὁ βασιλεύς, ἐπεί Ἀντίπατρος αὐτῷ πολλά κατά τῆς μητρός ἔγραφεν, Ἀγνοεῖς, ἔφη, Ἀντίπατρε, ὅτι μητρός ἕν δάκρυον, πολλῶν διαβολῶν ἐπιστολάς ἀπαλείφει;

Ἐπικούρ. - Εἰ ταῖς τῶν ἀνθρώπων εὐχαῖς ὁ Θεός κατηκολούθει, θᾶττον ἄν ἀπόλοιντο πάντες ἄνθρωποι, συνεχῶς πολλά καί χαλεπά κατ᾿ ἀλλήλων εὐχόμενοι.

Ἰσοκράτ. - Οἱ ἄνθρωποι τότε γίνονται βελτίους, ὅταν Θεῷ προσέρχονται· ὅμοιον δέ ἔχουσι Θεῷ, τό εὐεργετεῖν καί ἀληθεύειν.

Βίας. - Οὗτος συμπλέων ποτέ ἐσεβέσι, χειμαζομένης τῆς νεώς, κἀκείνων Θεούς ἐπικαλουμένων, Σιγᾶτε, ἔφη, μή αἴσθωνται ἡμᾶς ἐνθάδε πλέοντας.

Τούς αἰτουμένους παρά τῶν Θεῶν φρένας ἀγαθάς, καί μή ἑαυτούς παιδεύοντας, ἀναισθήτους ἔφασκεν εἶναι. Οὔτε γάρ ζωγράφον εὐχόμενον τοῖς θεοῖς δοῦναι αὐτῷ γραμμήν καί εὔχροιαν λαβεῖν ἄν, εἰ μή μάθοι τέχνην· οὔτε μουσικόν γενέσθαι ποτ᾿ ἄν ἕνεκεν εὐχῆς, εἰ μή ἄν τά μουσικά μάθοι. Τόν δέ αὐτόν τρόπον, οὐδ᾿ ἄν φρόνιμόν τινα μάθοι. τόν δέ αὐτόν τρόπον, οὐδ᾿ ἄν φρόνιμόν τινα γενέσθαι εὐχόμενον, εἰ μή τούτων τήν μάθησιν λάβοι.

***ΛΟΓΟΣ ΙΕ΄.***

***Περί διδαχῆς καί λόγων.***

Ματθ. ι΄. - Ἀμήν λέγω ὑμῖν, ὅς ἄν ποιήσῃ καί διδάξῃ, οὗτος μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.

813) Ἰακ. *α΄*. - Ἔστω πᾶς ἄνθρωπος ταχύς εἰς τό ἀκοῦσαι, καί βραδύς εἰς τό λαλῆσαι. Καί, Εἴ τις ἐν λόγῳ οὐ πταίσει, οὗτος τέλειός ἐστι, δυνάμενος χαλιναγωγῆσαι καί ὅλον τό σῶμα.

Σολομ. - Εἰς ὦτα ἄφρονος μηδέν λέγε, μή ποτε μυκτηρίσῃ τούς συνετούς σου λόγους.

Σιράχ ΚΑ΄. - Ἐξήγησις μωροῦ, ὡς ἐν ὁδῷ φορτίον· ἐπί δέ χείλη συνετοῦ εὑρεθήσεται χάρις.

Βασιλείου. - Μήποτε τῇ ἀμετρίᾳ τοῦ λόγου ἄχρηστα ποιήσωμεν ἡμῖν τά φιλοπόνως συνειλεγμένα. Ἀτονοῦσα μέν ἡ διάνοια πάντων ὁμοῦ περιδράξασθαι, ὅμοιον πάσχει γαστρί, διά τήν ὑπερβολήν τοῦ κόρου, εἰς πέψιν ἀγαγεῖν τά παραπεμφθέντα μή δυναμένη.

Βέλτιον τάς ἑαυτῶν ἡνίας ἐνδιδόναι τεχνικωτέροις, ἤ ἄλλων ἡνιόχους εἶναι ἀνεπιστήμονας· καί ἀκοήν ὑποτιθέναι μᾶλλον εὐγνώμονα, ἤ γλῶσσαν κινεῖν ἀπαίδευτον.

Θεολόγου.

Ἄφωνον ἔργον κρεῖττον ἀπράκτου λόγου.

Βίου μέν οὐδείς πώποτε ὑψώθη δίχα,

Λόγου δέ πολλοί τοῦ κενῶς ψοφουμένου.

Ἤ μή διδάσκειν, ἤ διδάσκειν τῷ τρόπῳ.

Τοῦ λαλεῖν αἰσχρά, τό ἀκούειν ἀτιμότερον.

Χρυσοστ. - Τότε μάλιστα οἱ μαθηταί εἰς τόν ἀγαθόν ἀγωνίζονται ζῆλον, ὅταν παρά τῶν διδασκάλων ἔχωσι τά παραδείγματα.

Οὐκ ἀκίνδυνον ἡ ἀκρόασις, ὅταν ἡ διά τῶν ἔργων προσθήκη μή γένηται.

Ἔστις γνῶσις λόγου χωρίς, καί ἔστι γνῶσις μετά λόγου. Καί γάρ εἰσί πολλοί γνῶσιν μέν ἔχοντες, λόγον δέ οὐκ ἔχοντες.

Νείλου. - Περισσός πᾶς λόγος πρός διόρθωσιν, ὅταν ἡ τῶν ἀκουόντων πρός τό χεῖρον νεύουσα σπουδή, τοῖς κατά συμβουλήν λεγομένοις ἐναντίως διάκειται.

Διδύμου. - Τότε ἀνύει διδάσκαλος καί πιστεύεται λέγων, ὅταν ἀφ᾽ ὧν πράττει, παιδεύει, κατά τό, Ὧν ἤρξατο ὁ Ἰησοῦς ποιεῖν τε καί διδάσκειν.

Μοσχίωνος. - Τόν προσομιλοῦντα τριχῇ διασκοποῦ, ὡς ἀμείνονα, ἤ ὡς ἥττονα, ἤ ὡς ἴσον· καί εἰ μέν ἀμείνονα, ἀκούειν χρή καί πείθεσθαι αὐτῷ· εἰ δέ ἥττω, ἀπειθεῖν· εἰ δέ ἴσον, συμφωνεῖν.

Δημώνακτ. - Ὁ λόγος, ὥσπερ πλάστης ἀγαθός τῆς ψυχῆς περιτίθεται σχῆμα.

(816) Σόλωνος. - Ὅσον ἐν πολέμῳ δύναται σίδηρος, τοσοῦτον ἐν πολιτείᾳ λόγος εὖ ἔχων ἰσχύει.

Ὁ αὐτός ἔφασκε, τόν λόγον, εἴδωλον εἶναι τῶν ἔργων.

Διογέν. - Τούς ῥήτορας τά δίκαια μέν ἔφη ἐσπουδακέναι λέγειν, πράττειν δέ, οὐδαμῶς.

Ἀττικοῦ τινος ἐγκαλοῦντος αὐτῷ, διατί Λακεδαιμονίους μᾶλλον ἐπαινῶν, παρ᾽ ἐκείνοις οὐ διατρίβει, Οὐδέ γάρ ἰατρός, ἔφη, ὑγείας ὤν ποιητικός ἐν τοῖς ὑγιαίνουσι τήν διατριβήν ποιεῖται.

Ἐτεοκλέους. - Μή τάς τῶν λεγόντων, ἔφη, δυνάμεις, ἀλλά τάς τῶν πραγμάτων φύσεις δοκιμάζειν.

Σωκράτης. - Ὡς ἥκιστα τοῖς δυνάσταις, ἤ ὡς ἥδιστα ὁμιλεῖν.

Οὐκ ἐκ τῶν λόγων τά πράγματα, ἀλλ᾽ ἐκ τῶν πραγμάτων τούς λόγους δεῖ κρατεῖν. Οὐ γάρ ἕνεκα τῶν λόγων τά πράγματα συντελεῖται, ἀλλ᾽ ἐκ τῶν πραγμάτων οἱ λόγοι.

Τρόπος ἔστω πείθων τοῦ λέγοντος, οὐ λόγος.

Τό γάρ λέγειν εὖ, δεινόν ἐστιν, εἰ φέροι

Τινά βλάβην.

Ἀνταγόρας. - Ἀνταγόρας ἐπεί ἐνεγίνωσκε παρά Βοιωτοῖς τό τῆς Θηβαΐδος σύγγραμμα, καί οὐδείς ὑπεσημήνετο, κλείσας τό βιβλίον, Δικαίως εἶπε, καλεῖσθε Βοιωτοί· βοῶν γάρ ὦτα ἔχετε.

Ἱέρων. - Οὗτος ἀκρόασιν ποιούμενος, εἶπε τριῶν ἐστοχάσθαι, τούς συνετούς ὠφελῆσαι, τούς ἀπείρους διδάξαι, καί τούς φθονερούς λυπῆσαι.

Οἰνοπίδ. - Οὗτος, ὁποία ἡ φύσις τοῦ ἀνθρώπου ἐστί, τοιοῦτον ἔφασκεν εἶναι καί τόν λόγον.

Ῥωμύλ. - Οὗτος, τόν μέν κέραμον ἐκ τοῦ κοπτοῦ ἔφη δοκιμάζεσθαι· τόν δέ ἄνθρωπον ἐκ τοῦ λόγου.

***ΛΟΓΟΣ Ιστ΄.***

***Περί νουθεσίας.***

Ἰωανν. ε΄. - Εἶπεν ὁ Κύριος τῷ παραλυτικῷ, Ἰδέ ὑγιής γέγονας, μηκέτι ἁμάρτανε, ἵνα μή χεῖρόν τί σοι γένοιτο.

Α΄ Θεσσ. ε΄. - Παρακαλοῦμεν ὑμᾶς, ἀδελφοί, νουθετεῖτε ὀλιγοψύχους καί ἀτάκτους· καί ἀντέχετε τῶν ἀσθενῶν, καί πάντοτε τό ἀγαθόν διώκετε.

Σολομῶντος ιβ΄. - Διά τοῦτο τούς παραπίπτοντας κατ᾽ ὀλίγον ἐλέγχεις, Κύριε, καί ἐν οἷς ἁμαρτάνουσιν ὑπομιμνήσκων νουθετεῖς, ἵνα ἀπαλλαγέντες τῆς κακίας αὐτῶν πιστεύσωσιν ἐπί σέ.

Σιράχ ιη΄. - Ἔλεος Κυρίου ἐπί πᾶσαν σάρκα, ἐλέγχων καί νουθετῶν καί ἐπιστρέφων ὡς ποιμήν τό ποίμνιον αὐτοῦ.

Βασιλ. - Βίαιον γάρ μάθημα οὐ πέφυκε παραμένειν· τό δέ μετά τέρψεως καί χάριτος εἰσδυόμενον, μονιμώτερόν πως ψυχαῖς ἐνιζάνει.

Ὁ τόν κείμενον ἐγείρειν βουλόμενος, ὑψηλότερος (817) εἶναι τοῦ πεπτωκότος πάντως ὀφείλει· ὁ δέ ἐξ ἴσου καταπεσών, ἑτέρου καί αὐτός ἀνιστῶντος κεῖται.

Θεολ. - Μήτε τό ἀλγεῖν ἀπαραμύθητον, μήτε τό εὖ πράττειν ἀπαιδαγώγητον.

Χρυσοστ. - Μή ἄλλους ἰατρεύειν ἐπιχειρήσωμεν, αὐτοί βρύοντες ἕλκεσιν.

Συμφέρει δάκνεσθαι διά τῆς τῶν ῥημάτων ἀλγηδόνος τούς ἁμαρτάνοντας, ἵνα τῆς διά τῶν πραγμάτων ἀσχημοσύνης ἀπαλλαγῶσιν.

Μή δεῖ βαρύνεσθαι τήν παραίνεσιν. Εἰ γάρ βαρύνεσθαι ἔδει, ἐμέ τόν πολλάκις λέγοντα καί οὐκ ἀκουόμενον· οὐχ ὑμᾶς, τούς ἀεί μέν ἀκούοντας, ἀεί δέ παρακούοντας.

Ἀριστοτ. - Μή ἔλαττον ἡγοῦ τοῦ ἐπαινεῖσθαι τό νουθετεῖσθαι.

Διογένης. - Νεκρόν ἰατρεύειν καί γέροντα νουθετεῖν, ταυτόν ἐστιν.

Δημοσθ. - Πυνθανομένου τινός, πῶς ἄν τις ἑαυτοῦ διδάσκαλος γένηται, εἴπερ ὧν ἐπιτιμᾷ τοῖς ἄλλοις, ἔφη, καί ἑαυτῷ ἐπιτιμῴη μάλιστα.

Δημητρίου Φαληρέως. - Ἅ γάρ οἱ φίλοι τοῖς βασιλεύουσιν οὐ θαῤῥοῦσι παραινεῖν, ταῦτα ἐν τοῖς βιβλίοις γέγραπται.

Ὥσπερ τό μέλι τά ἡλκωμένα δάκνει, τοῖς δέ κατά φύσιν ἡδύ ἐστιν· οὕτω καί οἱ ἐκ φιλοσοφίας λόγοι.

Εὐριπίδ. -

Ἅπαντές ἐσμεν εἰς τό νουθετεῖν σοφοί.

Αὐτοί δ᾽ ὅταν ποιῶμεν, οὐ γινώσκομεν.

Αἰσώπ. - Αἴσωπος ἔφη, δύο πήρας ἕκαστος ἡμῶν φέρειν· τήν μέν, ἔμπροσθεν· τήν δέ, ὄπισθεν· καί εἰς μέν τήν ἔμπροσθεν, ἀποτιθέναι τά τῶν ἄλλων ἁμαρτήματα· εἰς δέ τήν ὄπισθεν, τά ἑαυτῶν· διό οὔτε καθορῶμεν αὐτά.

Ἰσοκράτ. - Μηδενί πονηρῷ πράγματι μήτε παρίστασο, μήτε συνηγόρει· δόξεις γάρ καί αὐτός τοιαῦτα πράττειν, εἰ τοῖς ἄλλοις πράττουσι βοηθεῖς.

Ἐπικτήτου. - Τόν νουθετοῦντα δεῖ πρῶτον τῆς τῶν νουθετουμένων αἰδοῦς τε καί αἰσχύνης ἐπιμελεῖσθαι· οἱ γάρ ἀπερυθριάσαντες ἀδιόρθωτοι.

Κρεῖττον τό νουθετεῖν τοῦ ὀνειδίζειν· τό μέν γάρ, ἤπιόν τε καί φίλον· τό δέ, σκληρόν καί ὑβριστικόν· καί τό μέν διορθοῖ τούς ἁμαρτάνοντας, τό δέ, μόνον ἐξελέγχει.

Ἐμπεδοκλ. - Ἐρωτηθείς, διατί σφόδρα ἀνανακτεῖς κακῶς ἀκούων, ἔφη. Ὅτι οὐδέ ἐπαινούμενος αἰσθήσομαι, εἰ μή κακῶς ἀκούων ἀχθήσομαι.

***ΛΟΓΟΣ ΙΖ΄.***

***Περί παιδείς καί φιλοσοφίας.***

Ἰωάν. ζ΄. - Ἀνέβη ὁ Ἰησοῦς εἰς τό ἱερόν, (820) καί ἐδίδασκε τούς ὄχλους. Ἐθαύμαζον δέ οἱ Ἰουδαῖοι, λέγοντες, Πῶς οὗτος οἶδε γράμματα, μή μεμαθηκώς;

Α΄ Κορ. γ΄. - Εἴ τις δοκεῖ σοφός εἶναι ἐν ὑμῖν, ἐν τῷ αἰῶνι τούτῳ, μωρός γινέσθω, ἵνα γένηται σοφός. Ἡ γάρ σοφία τοῦ κόσμου τούτου, μωρία παρά τῷ Θεῷ ἐστιν.

Παροιμ. α' .- Σοφία ἐν ἐξόδοις ὑμνεῖται, ἐν δέ πλατείαις παῤῥησίαν ἄγει.

Σιράχ κς΄. - Οὐκ ἔστιν ἀντάλλαγμα οὐδέν πεπαιδευμένης ψυχῆς.

Σιράχ στ΄. - Τέκνον ἐν νεότητί σου ἐπίλεξαι παιδείαν· καί ὡς ἀῤῥοτριῶν καί σπείρων πρόσελθε αὐτῇ, καί ἀνάμενε τούς ἀγαθούς καρπούς αὐτῆς.

Βασιλείου. - Ἄμεινον καί συμφερώτερον ἰδιώτας καί ὀλιγομαθεῖς ὑπάρχειν, καί διά τῆς ἀγάπης πλησίον γενέσθαι τοῦ Θεοῦ, ἤ πολυμαθεῖς καί ἐμπείρους δοκοῦντας εἶναι, βλασφήμους εἰς τόν ἑαυτῶν εὑρίσκεσθαι Δεσπότην.

Τοῦ αὐτοῦ. - Ἐοίκασι τοῦς ὀφθαλμοῖς τῆς γλαύκης, οἱ περί τήν ματαίαν σοφίαν ἠσχοληκότες. Καί γάρ ἐκείνης αἱ ὄψεις νυκτός μέν ἔῤῥωνται· ἡλίου δέ λάμψαντος, ἀμαυροῦνται. Καί τούτων ἡ διάνοια, ὀξυτάτη μέν πρός τήν τῆς ματαιότητος θεωρίαν· πρός δέ τήν τοῦ ἀληθινοῦ φωτός κατανόησιν, ἐξαμαυροῦται.

Θεολόγου. - Οἶμαι δέ πᾶσιν ἄν ὁμολογεῖσθαι τῶν νοῦν ἐχόντων, τήν παίδευσιν τῶν παρ᾽ ἡμῶν ἀγαθῶν εἶναι τό πρῶτον.

Οἱ περί λόγους, μή σφόδρα τοῖς λόγοις θαῤῥεῖτε, μηδέ σοφίζεσθε περισσά καί ὑπέρ λόγον· μηδέ νικᾷν ἐπιθυμεῖτε πάντα κακῶς· ἀλλ᾽ ἔστιν ἅ καί ἡττᾶσθαι καλῶς ἀνέχεσθε.

Σοφία πρώτη, βίος ἐπαινετός καί Θεῷ κεκαθαρμένος.

Σοφία πρώτη σοφίας ὑπερορᾷν, τῆς ἐν λόγῳ κειμένης καί στροφαῖς λέξεων, καί ταῖς κιβδήλαις καί περιτταῖς ἀντιθέσεσιν. Ἐμοί δέ γένοιτο πέντε λόγους ἐν ἐκκλησίᾳ λαλεῖν μετά συνέσεως ἤ μυρίους ἐν γλώσσῃ.

Οὐ γάρ ὁ ἐν λόγοις σοφός, οὗτός μοι σοφός, οὐδ᾽ ὅστις γλῶσσαν μέν εὔστροφον ἔχει, ψυχήν δέ ἄστατον καί ἀπαίδευτον· ἀλλ᾽ ὅστις ὀλίγα μέν περί ἀρετῆς φθέγγεται, πολλά δέ οἷς ἐνεργεῖ πραδείκνυσι καί τό ἀξιόπιστον τῷ λόγῳ διά τοῦ βίου προστίθησιν. Κρείσσων γάρ

εὐμορφία θεωρουμένη, τῆς λόγῳ ζωγραφουμένης· καί πλοῦτος ὅν αἱ χεῖρες κατέχουσιν, ἤ ὄνειροι πλάττουσι. Καί σοφία, οὐχ ἡ τῷ λόγῳ λαμπρυνομένη, ἀλλ᾽ ἡ διά τῶν ἔργων ἐλεγχομένη. Σύνεσις γάρ ἀγαθή πᾶσι τοῖς ποιοῦσιν αὐτήν, φησίν, ἀλλ' οὐ τοῖς κηρύττουσιν.

Ἤ γάρ φιλοσοφητέον, ἤ τιμητέον φιλοσοφίαν, εἴπερ μή μέλοιμεν παντελῶς ἔξω τοῦ καλοῦ πίπτειν, (821) μηδέ ἀλογίαν κατακριθήσεσθαι λογικοί γεγονότες, καί διά λόγου πρός λόγον σπεύδοντες.

Σοφώτεροι γάρ τῶν πολλῶν οἱ κόσμου χωρίσαντες αὐτούς, καί τῷ Θεῷ τόν βίον καθιερώσαντες.

Οὐδέν ἀναλωτότερον φιλοσοφίας, οὐδέν ἀλυπότερον. Πάντα ἐνδώσει πρότερον ἤ φιλόσοφος. Δύο ταῦτα δυσκράτητα, Θεός καί ἄγγελος, καί τό τρίτον, φιλοσοφία. [Ἔστι γάρ φιλόσοφος] ἄυλος ἐν ὕλῃ, ἐν σώματι ἀπερίγραπτος, ἐπί γῆς οὐράνιος, ἐν πάθεσιν ἀπαθής, πάντων ἡττώμενος πλήν φρονήματος· νικῶν τῷ νικᾶσθαι τούς κρατεῖν νομίζοντας.

Ἐγώ μίαν σοφίαν οἶδα, τό φοβεῖσθαι Θεόν. Ἀρχή τε γάρ σοφίας, φόβος Κυρίου. Καί, Τέλος λόγου τό πᾶν ἄκουε, τόν Θεόν φοβοῦ, καί τάς ἐντολάς φύλασσε.

Ποιήσατε δικαιοσύνης ὅπλον, καί μή θανάτου, τήν παίδευσιν.

Χρυσοστ. - Ὥσπερ γῆν μή βρεχομένην οὐκ ἔστι κἄν μυρία λάβῃ σπέρματα στάχυας ἐξενεγκεῖν· οὕτω ψυχήν οὐκ ἔστιν μή ταῖς θείαις Γραφαῖς φωτισθεῖσαν, κἄν μυρία τις ἐκχέῃ ῥήματα, καρπόν τινα ἐπιδείξασθαι.

Διδύμ. - Ἐντυγχάνειν δεῖ ταῖς θείαις Γραφαῖς. Ὥσπερ γάρ ὁ οἶνος πινόμενος ἀναπαύει λύπην, καί μεταβάλλει καρδίαν εἰς εὐφροσύνην· οὕτως ὁ πνευματικός οἶνος εἰς χαράν μεταβάλλει τήν ψυχήν.

Τό εἰδέναι τινά ὅτι ἀγνοεῖ, σοφίας ἐστίν· ὡς καί τό εἰδέναι ὅτι ἠδίκησε, δικαιοσύνης.

Τόν γνωστικόν οὐδέποτε τό πλουτεῖν γήθειν ποιεῖ, οὐδέ τό χρημάτων ἀπορεῖν εἰς ταπείνωσιν ἄγει· τῆς ἀρετῆς καί σοφίας αὐτόν ὑπερυψούσης, καί ὑπεράνω αὐτῶν ἵστασθαι παρασκευαζούσης.

Φίλωνος. - Ἀνάγκη ἀπειρίᾳ καί κακίᾳ ἡνιόχου, τά ὑποζευγμένα κατά κρημνῶν φέρεσθαι καί βαράθρων· ὥσπερ ἐμπειρίᾳ καί ἀρετῇ διασώζεσθαι. Ἀμήχανον τά μεγάλα πρό τῶν μικρῶν παιδευθῆναι.

Κλήμεντ. - Ἕπεται τῇ γνώσει τά ἔργα, ὡς τῷ σώματι ἡ σκιά.

Πλουτάρχου. - Ὀνείρῳ ἔοικεν ὁ τῶν ἀπαιδεύτων βίος, κενάς ἔχων φαντασίας.

Οὔτε ἐν ἰχθύσι φωνήν, οὔτε ἐν ἀπαιδεύτοις ἀρετήν δεῖ ζητεῖν.

Οὔτε ὕδωρ θολερόν, οὔτε ἀπαίδευτον ψυχήν ταράσσειν δεῖ.

Δυσάρεστοι ὄντες οἱ ἀπαίδευτοι, καθάπερ ἐξ οἰκιῶν, τῶν προαιρέσεων καθ᾽ ἡμέραν μετοικίζονται.

Οἱ μέν ξένοι, ἐν ταῖς ὁδοῖς, οἱ δέ ἀπαίδευτοι, ἐν τοῖς πράγμασι διαπλανῶνται.

(824) Πλάτωνος. - Πᾶσα ἐπιστήμη χωριζομένη δικαιοσύνης καί τῆς ἄλλης ἀρετῆς, πανουργία, ἀλλ᾽ οὐ σοφία φαίνεται.

Ἰσοκράτ. - Ὥσπερ τήν μέλιτταν ὁρῶμεν, ἐφ᾽ ἅπαντα μέν τά βλαστήματα καθιζάνουσαν, ἀφ᾽ ἑκάστου δέ τά χρήσιμα λαμβάνουσαν· οὕτω δεῖ καί τούς παιδείας ὀρεγομένους, μηδενός μέν ἀπείρως ἔχειν, πανταχόθεν δέ τά χρήσιμα συλλέγειν.

Μᾶλλον τήρει τάς τῶν λόγων, ἤ τάς τῶν χρημάτων παρακαταθήκας.

Ἀριστοτ. - Νομίζομεν δέ τήν εὐδαιμονίαν οὐκ ἐν τῷ πολλά κεκτῆσθαι γίνεσθαι· μᾶλλον δέ, ἐν τῷ τῇ ψυχῇ εὖ διακεῖσθαι. Καί γάρ τό σῶμα οὐ τό λαμπρᾷ ἐσθῆτι κεκοσμημένον, φαίη τις ἄν εἶναι μακάριον, ἀλλά τό τήν ὑγείαν ἔχον καί σπουδαίως διακείμενον, κἄν μηδέν τῶν παρακειμένων αὐτῷ παρῇ. Τόν αὐτόν δύ τρόπον καί ψυχήν, ἐάν ᾖ πεπαιδευμένη, τήν τοιαύτην καί τόν ἄνθρωπον εὐδαίμονα προσαγορευτέον ἐστίν· οὐκ ἄν τις ἐκτός ᾖ λαμπρῶς κεκοσμημένος, αὐτός δέ μηδενός ἄξιος. Οὔτε γάρ ἵππον ἐάν ψέλλια χρυσᾶ καί σκεύν ἔχει πολυτελῆ, φαῦλος ὤν, τόν τοιοῦτον ἄξιόν τινος νομίζομεν εἶναι· ἀλλ᾽ ὅς ἄν διακείμενος ᾖ σπουδαίως, τοῦτον μᾶλλον ἐπαινοῦμεν. Ὥσπερ γάρ εἴ τις τῶν οἰκετῶν αὐτοῦ χείρων εἴη, καταγέλαστος ἄν γένοιτο· τόν αὐτόν τρόπον, οἷς πλείονος ἀξίαν τήν κτῆσιν εἶναι συμβέβηκεν τῆς ἰδίας φύσεως, ἀθλίου τούτους εἶναι δεῖ νομίζειν.

Δημοσθ. - Οὗτος, τήν μέν ῥίζαν τῆς παιδείας ἔφη εἶναι πικράν· τούς δέ καρπούς, γλυκεῖς.

Δημοκρίτ. - Ἡ παιδεία, εὐτυχοῦσα μέν ἐστι κόσμος, ἀτυχοῦσα δέ, καταφύγιον.

Τάς μέν πόλεις ἀναθήμασι· τάς δέ ψυχάς, μαθήμασι δεῖ κοσμεῖν.

Σωκράτ. Ἰδών πλούσιον ἀπαίδευτον, ἔφη, Ἰδού καί τό χρυσοῦν ἀνδράποδον.

Ὁ αὐτός ἐρωτηθείς, τί τῶν ζώων κάλλιστόν ἐστι, ἔφη, Ἄνθρωπος παιδείᾳ κοσμούμενος.

Ὀνειδιζόμενος ὑπό τινος ὅτι βαρβαρίζει, ἔφη, Ἐγώ μέν τῷ λόγῳ, ὑμεῖς δέ τῷ τρόπῳ.

Ὁ αὐτός ἐρωτηθείς, τί ἄριστόν ἐστι μάθημα, ἔφη, Τό ἀπομαθεῖν τά κακά.

Δημώνακτ. - Οἱ ἀπαίδευτοι, καθάπερ οἱ ἁλιευόμενοι ἰχθύες, ἑλκόμενοι σιγῶσι.

Διογένης. - Ἐρωτηθείς, τί γῆ βαρύτερον βαστάζει, ἔφη, Ἄνθρωπον ἀπαίδευτον.

Ἐρίστιππος ὁ Κυρηναϊκός φιλόσοφος, παρακελεύετο τοῖς νέοις τοιαῦτα ἐφόδια κτᾶσθαι, ἅτινα αὐτοῖς καί ναυαγήσασι συνεκκολυμβήσει.

Σόλ. - Ὀνειδιζόμενός ποτε, ὅτι δίκην ἔχων ἐμισθώσατο ῥήτορα, Καί γάρ, ἔφη, ὅταν δεῖπνον ἔχω μάγειρον μισθοῦμαι.

Κλεάνθ. - Κλεάνθης, τούς ἀπαιδεύτους, μόνῃ τῇ μορφῇ τῶν θηρίων διαφέρειν.

(825) Γλύκων. - Γλύκων ὁ σοφός, τήν παιδείαν ἔλεγεν ἱερόν ἄσυλον εἶναι.

Ἐμπεδοκλ. - Ἐμπεδοκλῆς ὁ φυσικός πρός τόν λέγοντα, ὅτι Οὐδένα σοφόν δύναμαι εὑρεῖν κατά λόγον, εἶπε, Τόν γάρ ζητοῦντα σοφόν, αὐτόν πρότερον εἶναι δεῖ σοφόν.

Ἱέρων. - Ἱέρων ὁ Σικελός τύραννος, Ξενοφάνους τοῦ Κολοφωνίου ποιητοῦ ψέγοντος Ὅμηρον, ἠρώτησεν αὐτόν, πόσους οἰκέτας ἔχεις; τοῦ δέ εἰπόντος, Δύο, καί τούτους μόγις τρέφειν· Οὐκ αἰσχύνῃ, φησίν, Ὅμηρος ψέγων, ὅς μετηλλαχώς πλείονας ἤ μυρίους τρέφει;

Καπιόνου φιλοσόφ. - Φιλόσοφος ἔχων δύο μαθητάς, ἕνα μέν ἀφυῆ, φιλόπονον δέ· ἕτερον δέ εὐφυῆ, ἀργόν δέ, εἶπεν, Ἀμφότεροι ἀπόλλυσθε, ὅτι σύ μέν θέλων, οὐ δυνήσῃ· σύ δέ δυνάμενος, οὐ θέλεις.

Ὁ αὐτός ἔλεγε, μεγάλους δεῖ λαμβάνειν μισθούς μαθητῶν τούς διδασκάλους· παρά μέν τῶν εὐφυῶν, ὅτι πολλά μανθάνουσι· παρά δέ τῶν ἀφυῶν, ὅτι πολύν κόπον παρέχουσιν.

Ὁ αὐτός ἐφωτηθείς, τί αὐτῷ γέγονεν ἐκ φιλοσοφίας, ἔφη, Τό ἀνεπιτάκτως ποιεῖν, ἅ τινες διά τόν ἐκ τῶν νόμων φόβον ποιοῦσι.

Φιλιστίων.

Μαθημάτων φρόντιζε μᾶλλον, ἤ χρημάτων.

Τά γάρ μαθήματ᾿ εὐπορεῖ τά χρήματα.

Ἐκ τοῦ παθεῖν γίνωσκε καί τό συμπαθεῖν.
Καί σοί γάρ ἄλλος συμπαθήσεται παθών.
Τά σπουδαῖα μελέτα καί τόν νόμον.
Ἐάν τι παρηκμακώς μανθάνῃς, μή αἰσχύνου,
Βέλτιον γάρ ὀψιμαθῆ καλεῖσθαι ἤ ἀμαθῆ.

Θεόκριτ. - Θεόκριτος ὁ Χίος ἀφυοῦς ποιητοῦ ἀκρόασιν ποιούμενος, ἐρωτώμενος ὑπ᾽ αὐτοῦ, ποιά ἐστι καλῶς εἰρημένα, ἔφη, Ἅ παρέλιπες.

Τοῦ αὐτοῦ. - Ὁ μέν γεωργός, τήν γῆν· ὁ δέ φιλόσοφος τήν ψυχήν ἐξημεροῖ.

Ἐκ τοῦ Δημοκράτ. Ἰσοκράτ. καί Ἐπικτήτου. - Τῆς παιδείας ὥσπερ χρυσοῦ τό καλόν ἐν παντί τόπῳ τίμιον.

Σοφίαν ὁ ἀσκῶν, ἐπιστήμην τήν περί Θεοῦ ἀσκεῖ.

Τοῦ αὐτοῦ. - Οὐδέν ἐν ζώοις κάλλιστόν ἐστιν, ὡς ἄνθρωπος παιδείᾳ κεκοσμημένος.

Ἀριστοτ. - Ταῖς μέν πόλεσι τά τείχη, ταῖς δέ ψυχαῖς ὁ ἐκ παιδείας νοῦς, κόσμον καί ἀσφάλειαν παρέχεται.

Δημοκρίτ. - Νεανίσκου ἐν θεάτρῳ ἐναβρυνομένου, καί λέγοντος σοφόν εἶναι, πολλοῖς ὁμιλήσας σοφοῖς, εἶπέ τις, Κἀγώ πολλοῖς πλουσίοις, ἀλλά πλούσιος οὐκ εἰμί.

(828) Ὁ αὐτός ἔφη, οὐ καλόν πεπαιδευμένον ἐν ἀπαιδεύτοις διαλέγεσθαι, ὥσπερ οὐδέ νήφοντα μεθύουσιν.

Τοῦ αὐτοῦ. - Ὁ αὐτός ἔλεγεν, ὅτι ὁ παιδευόμενος τριῶν τούτων χρήζει, φύσεως, μελέτης, χρόνου.

Οἰνοπίδ. - Οἰνοπίδης ὁρῶν μειράκιον πολλά βιβλία κτώμενον, ἔφη, Μή τῇ κιβωτῷ ἀλλά τῷ στήθει.

Ὁ αὐτός ἔλεγε, τά βιβλία, τῶν μέν μεμαθηκότων ὑπομνήματα εἶναι, τῶν δέ ἀμαθῶν μνήματα.

Ὁ αὐτός εἶπε, τόν νοῦν παραίτιον δαίμονα, τοῖς μέν πεπαιδευμένοις, ἀγαθῶν· τοῖς δέ ἀπαιδεύτοις, κακῶν εἶναι.

Σωκράτ. Σωκράτης ὁ φιλόσοφος ἐρωτηθείς, Τί ἥδιστον ἐν τῷ βίῳ; ἔφη, Παιδεία καί ἀρετή καί ἱστορία τῶν ἀγνουμένων.

Στίλπων. - Στίλπων ὁ Μεγαρικός φιλόσοφος, ἁλύσης αὐτοῦ τῆς πατρίδος ὑπό Δημητρίου τοῦ τυράννου καί διαρπαγείσης, ἀναχθείς ἐπί τόν βασιλέα, καί ἐρωτώμενος, εἴ τι δή αὐτός ἀπώλεσε, Τῶν ἐμῶν μέν οὐδέν, ἔφη· τόν γάρ λόγον καί τήν παιδείαν ἔχω· τά δέ λοιπά, διατί μᾶλλον ἐμά, ἤ οὐχί τῶν πολιορκούντων;

Ὁ αὐτός ἐρωτηθείς τῆς πόλεως αὐτοῦ διαρπαζομένης ὑπό Δημητρίου, Μή καί τῶν σῶν, Στίλπων, τί ἀφαιρεῖται; εἶπεν, Οὐδέν.

Οὐ γάρ πώποτ᾽ ἐμάς βοῦς ἤλασαν, οὐδέ μέν ἵππους· ἄλλως τε δέ, οὐδένα στρατιωτῶν ἀρετήν ἐπ ὤμων ἐκφέροντα εἶδον

Λάσος. - Λάσος ὁ Ἑρμηνεύς ἐρωτηθείς ὑπό τινος, τί εἴη σοφώτατον, Πεῖρα, ἔφη.

Ὁ αὐτός, ἀφυοῦς ζωγράφου λέγοντος αὐτῷ, Κονίασόν σου τήν οἰκίαν, ἵνα αὐτήν ζωγραφήσω, ἔφη, Οὔμενουν, ἀλλά πρότερον αὐτήν ζωγράφησον, ἵνα μετά ταῦτα ἐγώ αὐτήν κονιάσω.

Προταγ. - Προταγόρας ἔλεγε, μηδέν εἶναι , μήτε τέχνην ἄνευ μελέτης, μήτε μελέτην ἄνευ τέχνης.

Ἐπικούρ. - Οὐ προσποιεῖσθαι δεῖ φιλοσοφεῖν, ἀλλ᾽ ὄντως φιλοσοφεῖν. Οὐ γάρ προσδεόμεθα τοῦ δοκεῖν ὑγιαίνειν, ἀλλά τοῦ κατ᾽ ἀλήθειαν ὑγιαίνειν.

Δημώνακτ. - Ὁ αὐτός ἐφωτηθείς, τίς αὐτοῦ διδάσκαλος γεγονώς εἴη, Τό τῶν Ἀθηναίων, ἔφη, βῆμα, ἐμφαίνων ὅτι ἡ διά τῶν πραγμάτων ἐμπειρία, κρείττων πάσης σοφιστικῆς διδασκαλίας ἐστίν.

***(829) ΛΟΓΟΣ ΙΗ΄.***

***Περί εὐτυχίας καί δυστυχίας.***

Λουκ. στς΄. - Ἀπέλαβες σύ τά ἀγαθά σου ἐν τῇ ζωῇ σου, καί Λάζαρος ὁμοίως τά κακά· νῦν δέ, ὅδε παρακαλεῖται, σύ δέ ὀδυνᾶσαι.

Κορινθ. δ΄. - Ἄχρι τῆς ἄρτι ὥρας καί πεινῶμεν καί διψῶμεν καί γυμνητεύομεν, καί κολαφιζόμεθα, καί ἀστατοῦμεν ἐργαζόμενοι ταῖς ἰδίαις χερσίν.

Σιράχ ιβ. - Ἐν ἀγαθοῖς ἀνδρός, οἱ ἐχθροί αὐτοῦ ἐν λύπῃ, καί ἐν κακίᾳ αὐτοῦ καί ὁ φίλος διαχωρισθήσεται.

Σιράχ ιη΄. - Μνήσθητι καιρόν λιμοῦ ἐν καιρῷ πλησμονῆς· πτωχείαν καί ἔνδειαν ἐν ἡμέρᾳ πλούτου. Ἀπό πρωΐ ἕως ἑσπέρας μεταβάλλει ὁ καιρός.

Σιράχ θ΄. - Μή ζηλώσῃς δόξαν ἁμαρτωλῶν.

Ἐξ Ἐπιγρ.

Ὥς κε [ώς δέ] φέρει τό φέρων σε φέρειν, φέρου· εἰ δ᾽ ἀπειθήσεις,

Καί σαυτόν βλάψεις, καί τό φέρον σε φέρειν.

Θεολόγου. - Ὅταν εὐπλοεῖς, μάλιστα μέμνησο ζάλης.

Τίς οἶδεν εἰ ὁ μέν διά κακίαν κολάζεται, ὁ δέ ὡς ἐπαιρόμενος, αἴρεται· ἀλλά μή τοὐναντίον, ὁ μέν διά πονηρίαν ὑψοῦται, ὁ δέ δι᾽ ἀρετήν δοκιμάζεται;

Χρυσοστ. - Ἕν μόνον πεισθῆναι χρή, ὅτι συμφερόντως ἡμῖν ἅπαντα οἰκονομεῖται παρά Θεοῦ. τόν δέ τρόπον μηκέτι ζητεῖν, μήτε ἀγνοοῦντας ἀσχάλλειν ἤ ἀθυμεῖν. Οὔτε γάρ δυνατόν ταῦτα εἰδέναι, οὔτε συμφέρον· τό μέν, διά τό θνητούς εἶναι· τό δέ, διά τό ταχέως εἰς ἀπόνοιαν αἴρεσθαι.

Νείλου. - Οὐ χρή ἐπί παντί πτώματι καί πάσῃ ἁμαρτίᾳ ἀνθρώπου ἐπαίρεσθαι, οὐδ᾽ ἐπιχαίρειν ποτέ τῷ ὑποσκελισθέντι, κἄν εἰ δοκεῖ ὁ τοιοῦτος ἐχθρός φόνιος εἶναι.Θρήνει τόν ἁμαρτωλόν εὐθηνοῦντα· τό ξίφος γάρ αὐτῷ τῆς δίκης ἐπιτείνεται.

Διατί δίκαιοι ἀσθενοῦσι καί πένονται, ἄδικοι δέ αἴρονται καί πλουτοῦσι; Φημί, ἵνα οἱ μέν στεφανωθῶσιν, οἱ δέ αἰωνίως τιμωρηθῶσιν.

Πάντων σου τῶν πραγμάτων κατευοδουμένων, ἐκδέχου μεταβολήν· καί πάλιν ποτέ ὑπό ἀπροσδοκήτων (832) συμφορῶν κυκλούμενος, φαντάζου τά χρηστά καί κρείττονα.

Φίλων. - Χαίρειν ἐπί ταῖς ἑτέρων ἀτυχίαις, εἰ καί δίκαιόν ποτε, ἀλλ᾽ οὐκ ἀνθρώπινον.

Οὐ μή τό ἀλγεῖν ἀπαραμύθητον, εἰ μήτε τό εὖ πράττειν ἀπαιδαγώγητον.

Μεγίστη γάρ ἐπικουρία τοῦ ἀτυχοῦσι, μεταβολῆς ἐλπίς, καί τό κρεῖττον ἐν ὀφθαλμοῖς κείμενον.

Πληγή τοῖς εὖ φρονοῦσι παίδευμα γίνεται, καί κρείττων εὐημερίας πολλάκις κακοπάθεια.

Μεγίστη συμφορά ἀνθρώπῳ δυσπραγοῦντι, καί ἡ ἐρημία τοῦ ἀνακτησομένου.

Μέγα τῷ ἀτυχοῦντι φάρμακον ἔλεος ἀπό ψυχῆς εἰσφερόμενος· καί τό συναλγεῖν γνησίως, πολύ τι κουφίζει τῆς συμφορᾶς.

Εὐαγρίου. - Πᾶσα συμφορά κούφη ἐστίν ἀνδρί μή κούφῳ.

Πλουτάρχ. - Οὔτε τόν ἀῤῥωστοῦντα ἡ χρυσόπους ὠφελεῖ κλίνη, οὔτε τόν ἀνόητον ἡ ἐπίσημος εὐτυχία.

Τοῖς μέν νοσοῦσιν ἰατρούς· τοῖς δέ ἀτυχοῦσι, φίλους δεῖ παρεῖναι.

Ἐν μέν ταῖς μέθαις παροινοῦσιν· ἐν δέ ταῖς ἀτυχίαις παρανοοῦσιν οἱ πλεῖστοι.

Ἀῤῥωστοῦντι φορτίον ἐπιθεῖναι, ἤ ἀπαιδεύτῳ ψυχῇ εὐτυχίαν, ταυτόν ἐστιν.

Αἱ ἐπιφανεῖς τύχαι, καθάπερ οἱ σφοδροί τῶν ἀνέμων, μεγάλα ποιοῦσι ναυάγια.

Ὥσπερ οἱ ἐν εὐδίᾳ πλέοντες, καί τά πρός τόν χειμῶνα ἔχουσιν ἕτοιμα· οὕτως οἱ ἐν εὐτυχίᾳ φρονοῦντες, εὖ, καί τά πρός τήν ἀτυχίαν ἡτοιμάκασι βοηθήματα.

Νοσοῦντος δίαιτα, καί ἄφρονος εὐτυχία, τό δυσάρεστον.

Ἔοικεν ἡ τύχη φαύλῳ ἀγωνοθέτῃ· πολλάκις γάρ τόν μηδέν πράσσοντα στεφανοῖ.

Ἡ τύχη καθάπερ τοξότης, ποτέ μέν ἐπιτυγχάνει βάλλουσα ἐφ᾽ ἡμᾶς, ὥσπερ ἐπί τινα σκοπόν· ποτέ δέ ἐπί τά σύνεγγυς παρακείμενα ἡμῖν.

Ἀτυχίαν κρύπτε, ἵνα μή τούς ἐχθρούς σου εὐφράνῃς.

Ἰσοκρ. - Μηδενί συμφοράν ὀνειδίσῃς· κοινή γάρ ἡ τύχη, καί τό μέλλον ἀόρατον.

Νόμιζε μηδέν εἶναι τῶν ἀνθρωπίνων βέβαιον. Οὕτω γάρ οὔτε εὐτυχῶν ἔσῃ περιχαρής, οὔτε δυστυχῶν περίλυπος.

Καί κυβερνήτης ἀγαθός ἐνίοτε ναυαγεῖ· καί ἀνήρ σπουδαῖος ἀτυχεῖ.

Δημοκρίτ. - Γαμβρόν ὁ μέν ἐπιτυχών, εὗρεν (833) υἱόν· ὁ δέ ἀποτυχών, ἀπώλεσε καί θυγατέρα.

Σωκράτ. - Καλόν μέν ἐπί τῆς ἑστίας φαίνεσθαι τό πῦρ λαμπρόν· ἐπί δέ τῆς ἀτυχίας, τόν νοῦν.

Σωκράτης. - Οἱ μέν ἀκρατεῖς ἐν ταῖς ἀῤῥωστίαις, οἱ δέ ἄφρονες ἐν ταῖς εὐτυχίαις εἰσί συσθεράπευτοι.

Ὁ αὐτός ἐρωτηθείς, Τί λυπεῖ τούς ἀγαθούς; ἔφη, Εὐτυχία πονηρῶν· φιλεῖ γάρ εὐημερία παράλογος, ὕβρεως ἔργα προκαλεῖσθαι.

Ὅν ἡ τύχη προπηλακίζει, καί παρά τῶν πράων οὕτως μάστιγας εὑρίσκει.

Δημώνακτ. - Οὔτε οἱ ἄμουσοι τοῖς ὀργάνοις, οὔτε οἱ ἀπαίδευτοι ταῖς τύχαις δύνανται συναρμόσασθαι.

Δείκνυσιν ἡ μέν τροπή, τόν κατά ἀλήθειαν ἀνδρεῖον· ἡ δέ ἀτυχία, τόν φρόνιμον.

Ἐκ τῶν Φαυωρίνου. - Εὐτυχών μή ἔσο ὑπερήφανος· ἀπορήσας, μή ταπεινοῦ· τάς μεταβολάς τῆς τύχης γενναίως ἐπίστασο φέρειν.

Ἀλέξανδρ. - Ἀλέξανδρος ὁ βασιλεύς ἰδών Διογένην κοιμώμενον ἐν πίθῳ, ἔφη· Ὦ πίθε μεστέ φρενῶν· ὁ δέ φιλόσοφος ἀναστάς, ἔφη · Ὦ βασιλεῦ μέγιστε.

Θέλω τύχης σταλαγμόν, ἤ φρενῶν πίθον,
Ἧς μή παρούσης δυστυχοῦσιν αἱ φρένες.
Πρός ὅν τις ἀντέφησε τῶν φιλοφρόνων,
Ῥανίς φρενῶν μοι μᾶλλον, ἤ βυθός τύχης,
Ἧς μή παρούσης δυστυχοῦσιν αἱ φρένες.

Ἐπικούρου. - Ἡ ταπεινή ψυχή, τοῖς μέν εὐημερήμασιν ἐχαυνώθη· ταῖς δέ συμφοραῖς καθηρέθη.

Δημοσθ. - Τόν μή βουλόμενον γενναίως φέρειν ἀτυχίαν, μηδ᾽ εὐτυχίαν ἔφη δύνασθαι.

Κυψέλου. Κορινθ. - Εὐτυχών μέτριος ἴσθι· ἀτυχών δέ, φρόνιμος.

Ἐκ τοῦ Ἐπικτήτου καί Ἰσοκράτ. - Οἱ πεπαιδευμένοι καθάπερ οἱ ἐκ παλαίστρας, κἄν πέσωσι, ταχέως καί ἐπιδεξίως ἐκ τῆς ἀτυχίας ἐξανίστανται.

Τόν λογισμόν ὥσπερ ἰατρόν ἀγαθόν, ἐπικαλεῖσθαι δεῖ ἐν ἀτυχίᾳ βοηθόν.

Εὐτυχίας ὥσπερ μέθης ἄφρων ἐπί πλεῖον ἀπολαύσας, ἀνοητότερος γίνεται.

Τῶν εὐτυχούντων ἀνταγωνιστής ὁ φθόνος.

Ὁ μεμνημένος τί ἐστιν ἄνθρωπος, ἐπ᾽ οὐδενί τῶν συμβάντων δυσχερανεῖ.

Εἰς μέν τό εὐπλοῆσαι, κυβερνήτου καί πνεύματος· (836) εἰς δέ τό εὐδαιμονῆσαι, λογισμοῦ δεῖ καί τέχνης.

Τῆς εὐτυχίας ὥσπερ ὀπώρας παρούσης ἀπολαύειν δεῖ.

Ἀλόγιστός ἐστιν, ὁ ἐν τοῖς συμβαίνουσι κατά φυσικήν ἀνάγκην ἀχθόμενος.

Βίας. - Ἀτυχῆ ἔφη εἶναι τόν ἀτυχίαν μή φέροντα.

Ὁ αὐτός ἐρωτηθείς, Τί δυσχερές; Τήν ἐπί τό χεῖρον, ἔφη, μεταβολήν εὐγενῶς ὑπενεγκεῖν.

Ζήνων. - Ζήνων ὁ Κιτιεύς περιπεσών ναυαγίῳ καί τά ὄντα ἀπολέσας, οὐδέν ἀγεννές ἐφθέγξατο· ἀλλ᾽ Εὖγε, εἶπεν, ὦ τύχη, ὅτι συνέστειλας ἡμᾶς εἰς τό τριβώνιον τοῦτο.

Ἱέρωνος. - Ὁ αὐτός ἐρωτηθείς, Τίς ὁ εὐδαίμων; ἔφη, Ὁ τό μέν σῶμα ὑγιής, τήν δέ ψυχήν εὔπορος, τήν δέ φύσιν εὐπαίδευτος.

Θαλῆς. - Ὁ Θαλῆς ἐρωτηθείς, Πῶς ἄν τις ἀτυχίαν ἄριστα φέροι; ἔφη, Εἰ τούς ἐχθρούς χείρονα πράττοντας βλέποι.

Ῥωμήλ. - Ῥαδίως μή μακαρίσῃς ἄνθρωπον σαλεύοντα ἐπί φίλοις ἤ τέκνοις, ἤ τισι τῶν ἐφήμερον σωτηρίαν ἐχόντων. - Ἐπισφαλῆ γάρ τοιαῦτα· τό δέ ἐφ᾽ ἑαυτοῦ ὀχεῖσθαι, τοῦ Θεοῦ μόνου βέβαιον.

Ὁ αὐτός ἔφη, τά παθήματα τοῖς ἀνθρώποις, μαθήματα εἶναι περί τόν βίον. Πολλοί γάρ οὐ δυνάμενοι τό μέλλον προορᾷν τῷ λόγῳ τῷ πάσχειν ᾔσθοντο τά πράγματα.

Χαῖρε ἐπί τοῖς συμβαίνουσι τῶν ἀγαθῶν, καί λυποῦ μετρίως ἐπί τοῖς συμβαίνουσι τῶν κακῶν.

Φιλιστίων. -

Λύουσιν ἡμῶν συμφοραί τάς συμφοράς,
Παρηγοροῦσι τά κακά δι᾽ ἑτέρων κακῶν.

Εὐριπίδ. -

Ἐν τοῖς κακοῖς δέ τούς φίλους εὐεργετεῖν.
Ὅταν γάρ ἡ τύχη διδῷ, τί χρή φίλου
Ἀρκεῖ γάρ ὁ Θεός αὐτός ὠφελεῖν θέλων.

Ἰωσήππου. - Ὥσπερ ἀπειροκάλων τό λίαν ἐπαίρεσθαι ταῖς εὐπραγίαις· οὕτως ἀνάνδρων τό καταπτήσσειν ἐν τοῖς πταίσμασι· ὀξεῖα γάρ ἀμφοτέροις ἡ μεταβολή.

***ΛΟΓΟΣ ΙΘ΄.***

***Περί ὀργῆς καί θυμοῦ.***

Ματθ. ε΄. - Πᾶς ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ εἰκῆ, ἔνοχος ἔστι τῇ κρίσει.

(837) Ἐφ. δ΄. - Ὁ ἥλιος μή ἐπιδυέτω ἐπί τῷ παροργισμῷ ὑμῶν· μηδέ δίδοτε τόπον τῷ διαβόλῳ.

Πᾶσα πικρία καί ὀργή ἀρθήτω ἀφ᾽ ὑμῶν, σύν πάσῃ κακίᾳ.

Παροιμ. κζ΄. - Βαρύ λίθος, καί δυσβάστακτον ἄμμος· ὀργή δέ ἄφρονος βαρυτέρα ἀμφοτέρων.

Παροιμ. ις΄. - Κρεῖσσον ἀνήρ μακρόθυμος ἰσχυροῦ· ὁ δέ κρατῶν ὀργῆς, ὡς καταλαμβάνων πόλιν.

Θυμός βασιλέως, ἄγγελος θανάτου· ἀνήρ δέ σοφς ἐξιλάσει αὐτόν.

Σιράχ λ΄. - Ὀργή καί θυμός ἐλαττοῦσιν ἡμέρας.

Βασιλ. ΄- Ἀμυνόμενος δέ καί εἰς ἴσον ἀντικαθιστάμενος τῷ λοιδόρῳ, τί καί ἀπολογήσῃ; Ὅτι παρώξυνε κατάρξας; Καί ποίας τοῦτο συγγνώμης ἄξιον; Οὐδέ γάρ ὁ πόρνος ἐπί τήν ἑταίραν μετατιθείς τήν αἰτίαν, ὡς πρός τήν ἁμαρτίαν διερεθίσασαν, ἧττον τῆς κατακρίσεως ἀξιοῦται.

Τί ὀργῆς ἀφρονέστερον; Ἐάν μείνῃς ἀόργητος, ᾔσχυνας τά ὑβρίσαντα, ἔργῳ τήν σωφροσύνην ἐπιδειξάμενος.

Θυμός ἐγείρει μάχην, μάχη δέ γεννᾷ λοιδορίας· αἱ δέ λοιδορίαι, πληγάς· πληγαί δέ τραύματα· ἐκ δέ τραυμάτων, πολλάκις θάνατος.

Θεολόγου. - Οὔτε στέφανοι χωρίς ἀνταγωνιστῶν· οὔτε πτῶμα χωρίς ἀντιπάλου.

Τυφλόν ὁ θυμός καί ἐπίλυπον, καί μάλιστα ὅταν τό δικαίως ἀγανακτεῖν παρῇ.

Χρυσοστ. - Ὅταν δέ τις ὑβρίσῃ, ἐννόησον τήν κόλασιν ἥν κολάζεται· καί οὐ μόνον οὐχ ἕξεις ὀργήν, ἀλλά καί δάκρυα ἀφήσεις. Οὐδέ γάρ πρός πυρέττοντά τις παροξύνεται, οὔτε πρός τόν φλεγμαίνοντα ἀλλ᾽ ἐλεεῖ πάντως καί δακρύει. Εἰ δέ καί ἀνύνασθαι βούλει, σίγησον, καί καιρίαν ἔδωκας αὐτῷ τήν πληγήν. Ἄν δέ δηχθείς ὑβρίσῃς, ἀναγκάζεις ἀληθῆ νομίζεσθαι τά λεγόμενα. Διατί γάρ ὁ πλούσιος ἀκούων ὅτι πένης ἐστί, γελᾷ; ὅτι μή σύνοιδεν ἑαυτῷ πενίαν. Εἰ τοίνυν μέλλομεν γελᾷν· ἐπί ταῖς ὕβρεσι, μεγίστην ἀπόδειξιν παρεξόμεθα, τό μή συνειδέναι τοῖς λεγομένοις.

Οὐδέν οὕτω καθαρότητα νοῦ καί τό διειδές θολοῖ τό τῶν φρενῶν, ὡς θυμός ἄτακτος, καί μετά πολλῆς τῆς ῥύμης φερόμενος.

Εὐτονωτέρας ἐπί τῆς ὀργῆς χρῃήζομεν τῆς σπουδῆς. Τυραννικόν γάρ τό πάθος, καί πολλάκις παρασύρει τούς μή νήφοντας, καί πρό τό βάραθρον αὐτό κατάγει τῆς ἀπωλείας.

Ὀργίλος εἶ; ἔσο κατά τήν τῶν ἁμαρτημάτων τῶν σαυτοῦ τοιοῦτος· ἐπίπληττε τῇ ψυχῇ· μάστιζε τῇ συνειδήσει σου. Σφοδρός ἔσο κριτής καί (840) πικρός δικαστής τοῖς οἰκείοις ἁμαρτήμασι. Τοῦτο τῆς ὀργῆς τό κέρδος ἐστί· διά τοῦτο ἡμῖν αὐτήν ἐνέθηκεν ὁ Θεός.

Εὐαγρίου. - Βρωμάτων ἤ πομάτων ἀπεχόμενος, θυμόν δέ ἀλόγως κινῶν, οὗτος ἔοικε ποντοπορούσῃ νηΐ, καί ἐχούσῃ δαίμονα κυβερνήτην.

Κυρίλλου. - Ποῖον οὕτω θηρίον ὠμόν καί ἀνήμερον, ὡς δύσοργος ἀνήρ, καί ἀκράτῳ θυμῷ τυραννούμενος;

Ἐκ τῶν Πατέρων. - Διά τεσσάρων πραγμάτων ἡ ὀργή ἐγγίνεται, τοῦ δοῦναι καί λαβεῖν, καί τοῦ ποιῆσαι τό ἴδιον θέλημα, καί τοῦ ἀγαπᾷν δίκας, καί τοῦ νομίζειν φρόνιμον εἶναι ἑαυτόν.

Διονυσίου Ἁλικαρν. - Τό ὀργίζεσθαι παρ᾽ ἡμῖν ἄχρι τοῦ παύειν τά ἁμαρτήματα περιορισθήσεται. " Ὀργίζεσθε γάρ, φησί, καί μή ἁμαρτάνετε. "

Ἀπολλωνίου. - Τό τῆς ὀργῆς πάθος μή καθομιλούμενον μηδέ θεραπευόμενον, φυσική νόσος γίνεται.

Πλουτάρχ. - Οἱ θυμοί, καθάπερ οἱ κύνες, τυφλά τίκτουσιν ἐγκλήματα.

Οἱ μέν τραχεῖς ἵπποι τοῖς χαλινοῖς· οἱ δέ ὀξεῖς θυμοί, μετάγονται τοῖς λογισμοῖς.

Τό μέν εὔκρατον ὕδωρ τάς φλεγμονάς· ὁ δέ ἐπιεικής λόγος, τάς ὁρμάς διαλύει.

Ὡς γάρ ὁ κακίας τά νέφη, καί ὁ φαῦλος βίος ἐφ᾽ ἑαυτόν ἕλκει λοιδορίας.

Ἀριστοτ. - Ὥσπερ καπνός ἐπιδάκνων τάς ὄψεις, οὐκ ἐᾷ προβλέπειν τό κείμενον ἐν τοῖς ποσίν, οὕτως ὁ θυμός ἐπερχόμενος, τῷ λογισμῷ ἐπισκοτεῖ, καί τό συμβησόμενον ἐξ αὐτοῦ ἄτοπον οὐκ ἀφίησι τῇ διανοίᾳ προβλέπειν.

Οὐχ ὁρᾷς ὅτι τῶν ἐν ὀργῇ διαπραττομένων ἁπάντων ὁ λογισμός ἀποδημεῖ, φεύγων τόν θυμόν ὡς πικρόν τύραννον;

Ὁ θυμός ἐστι πάθος, θηριῶδες μέν τῇ διαθέσει, συνεχές τῇ θλίψει, σκληρόν δέ καί βίαιον τῇ δυνάμει, φόνου αἴτιον, συμφορᾶς σύμμαχον, βλάβης συνεργόν καί ἀτιμίας, καί χρημάτων ἀπώλεια· ἔτι δέ καί φθορᾶς ἀρχηγόν.

(841) Εὐήνου.

Πολλάκις ἀνθρώπων ὀργή νόον ἐξεκάλυψε
Κρυπτόμενον, μανίας πολύ χεῖρον.

Φιλήμον.

Μαινόμεθα πάντες ὅταν ὀργιζόμεθα,
Τό γάρ κατασχεῖν ἐπί τῆς ὀργῆς, πόνος μέγας.

Εὐριπίδ.

Αἰδώς γάρ ὀργῆς πλεῖον ὠφελεῖ βροτοῖς.
Ὥσπερ δέ θνητόν καί τό σῶμ᾽ ἡμῶν ἔφυ,
Οὕτω προσήκει μηδέ τήν ὀργήν ἔχειν
Ἀθάνατον, ὅστις σωφρονεῖν ἐπίσταται.

Ἡροδότ. - Ὡς ἐν τοῖς ὠσί τῶν ἀνθρώπων οὐκ αἰεί ὁ θυμός. Χρηστά μέν γάρ ἀκούσας, τέρψεως ἐμπιπλᾷ τό σῶμα· ὑπεναντία δέ τοῖς τουτέοισιν ἀκούσας, ἀνοιδαίνει.

Ἀῤῥιανοῦ. - Μεγαλόθυμοι πράως εἰσι τινες, ἡσυχῇ καί οἷον ἀοργήτως πράττοντες, ὅσα καί οἱ σφόδρα τῷ θυμῷ φερόμενοι. Φυλακτέον οὖν καί τό τούτων ἀγλέπτημα, ὡς πολύ χεῖρον ὄν τοῦ διατεινόμενον ὀργίζεσθαι. Οὗτοι μέν γάρ ταχύ κόρον τῆς τιμωρίας λαμβάνουσιν· οἱ δέ εἰς μακρόν προτείνουσιν, ὡς οἱ λεπτῶς πυρέττοντες.

Ἀπολλώνοις Δημοκράτ. - Ὁ ὑπέρ μικρῶν ἁμαρτημάτων ἀνυπερβλήτως ὀργιζόμενος, οὐκ ἐᾷ διαγνῶναι τόν ἁμαρτάνοντα, πότε ἔλαττον, πότε μεῖζον ἠδίκησεν.

Σωτίων ἐκ τοῦ Περί ὀργῆς. - Τοῖς σοφοῖς ἀντί ὀργῆς, Ἡρακλείτῳ μέν, δάκρυα· Δημοκρίτῳ δέ γέλως ἐπῄει.

Ὥσπερ πλοῖα γενναῖα, οὐχ ὅσα ἐν εὐδίᾳ πλεῖ, ἀλλ᾽ ὅσα πρός χειμῶνα ἀντέχει καί σώζεται· οὕτω καί ἄνθρωποι ὀργῇ καί κινήσει ἀντέχοντες, μεγάλοι καί ἀνδρεῖοι.

Δημοκρίτ. - Θυμῷ μάχεσθαι μέν χαλεπόν· ἀνδρός δέ τό κρατέειν εὐλογίστου.

Πλάτων. - Ὀργιζόμενός ποτε τῷ οἰκέτῃ, ἐπιστάντος Ξενοκράτους, Λαβών τοῦτον, ἔφη, μαστίγωσον· ἐγώ γάρ ὀργίζομαι.

Φασί δέ αὐτόν καί ἐπανατεινόμενον τῷ παιδί βακτηρίαν, ἑστάναι χρόνον πολύν μετέωρον ταύτην ἔχοντα· καί τήν αἰτίαν ἐρωτώμενον, φῆσαι κολάζειν τόν ἐξ αὐτοῦ προορμήσαντα θυμόν.

Ναυκράτ. - Ναυκράτης ὁ σοφός, τούς ὀξυθύμους ἔφη παραπλήσιον τοῖς λύχνοις πάσχειν· καί γάρ τούτους πλείονι ἐλαίῳ ἐκκαίεσθαι.

844) Δημώνακτ. - Κόλαζε κρίνων, ἀλλά μή θυμούμενος.

Μενάνδρου.

Ἀνήρ κακοῦργος πρᾶον ὑπεισελθών σχῆμα,<br>
Κεκρυμμένη πρόκειται παγίς τοῖς πλησίον.<br>
Οὐκ ἔστιν ὀργῆς, ὡς ἔοικε, φάρμακον,<br>
Ἀλλ' ἤ λόγος σπουδαῖος ἀνθρώπου φίλου,<br>
Εἰ καί σφόδρα ἀλγεῖς, μηδέν ἠρεθισμένος,<br>
Πράξεις προπετῶς· ὀργῆς καί ἀλογίστου κρατεῖν,<br>
Ἐν ταῖς ταραχαῖς μάλιστα τόν φρονοῦντα δεῖ.

Θεόγνιδος.

Οὐ δύναμαί σοι, θυμέ, παρέχειν ἄρμενα πάντα.

Μή ἐπί μικροῖς αὐτός ἑαυτόν ὀξύθυμον δείκνυε.

Ἀριστίππ. - Τούς ἀδικήσαντας, μή πράττε δίκας· ἀρκεῖ γάρ αὐτούς ὑπό τῆς ἰδίας ταπεινοῦσθαι κακίας.

Καλόν ἐστι συζῆν γυναικί θυμώδει χάριν ἀσκήσεως. Καί γάρ τούς ἱππέας ἐθίζεσθαι δεῖ τραχέσιν ἵπποις κεχρῆσθαι· τούτων γάρ κρατήσαντες, καί τῶν ἄλλων ῥᾳδίως κρατήσουσιν.

***ΛΟΓΟΣ Κ΄.***

***Περί σιωπῆς καί ἀποῤῥήτων.***

Ματθ. ιβ΄. - Πᾶν ῥῆμα ἀργόν, ὅ ἐάν λαλήσωσιν οἱ ἄνθρωποι, ἀποδώσουσι περί αὐτοῦ λόγον ἐν ἡμέρᾳ κρίσως.

Ἰακ. α'. - Ἔστω πᾶς ἄνθρωπος ταχύς εἰς τό ἀκοῦσαι, καί βραδύς εἰς τό λαλῆσαι.

Παροιμ. κα΄. - Ὅς φυλάσσει τό ἑαυτοῦ στόμα, διατηρεῖ ἐκ τῆς θλίψεως τήν ψυχήν αὐτοῦ.

Σιράχ κ' . - Σοφία κεκρυμμένη καί θησαυρός ἀφανής, τίς ὠφέλεια ἐν ἀμφοτέροις;

Σολομ. ιη΄. - Ἀντιλογίαν πραΰνει σιγηρός· ἀγαπῶν δέ ζωήν αὐτοῦ, φείδεται στόματος αὐτοῦ.

Βασιλείου. - Εἰδέναι, ὀφείλομεν ἅ χρή λαλεῖν, καί ἅ χρή σιωπᾶν. Οὐ γάρ πάντα ῥητά τῇ γλώσσῃ τά τοῦ Θεοῦ, ἵνα μή ὁ νοῦς καθάπερ ὀφθαλμός ὅλον τόν ἥλιον θέλων ἀποβλέπειν, ἀπολέσῃ καί ὅ ἔχει φῶς.

Θεολόγου. - Φθέγγου μέν, εἴ τι κρεῖττον σιωπῆς ἔχεις· ἀγάπα δέ ἡσυχίαν, ἔνθα κρεῖττον λόγου σιωπᾷν.

(845) Λέγε σιγῆς τι κρεῖσσον, ἤ σιγήν ἔχε.

Χρυσοστ. - Οἱ πολλοί τῶν ἀνθρώπων, ἐπειδάν εἴπωσί τι τῶν ἀποῤῥήτων, παρακαλοῦσι τόν ἀκούοντα καί ὁρκοῦσι μηδενί λοιπόν εἰπεῖν ἑτέρῳ· αὐτόθεν δηλοῦντες, ὅτι πρᾶγμα ἄξιον κατηγορίας ἐποίησαν. Εἰ γάρ ἐκεῖνον μηδενί εἰπεῖν ἑτέρῳ παρακαλεῖς, πολλῷ μᾶλλον σέ πρότερον τούτῳ ταῦτα εἰπεῖν οὐκ ἐχρῆν.

Ἐκ τῶν Γερόντων. - Ἀγάπα τό σιγᾷν ὑπέρ τό λαλεῖν· ἡ σιωπή γάρ θησαυρίζει· τό δέ λαλεῖν διασκορπίζει.

Πρό πασῶν τῶν ἐντολῶν τήν ἡσυχίαν ἐξελέξατο ὁ Θεός· γέγραπται γάρ, Ἐπί τίνα ἐπιβλέψω, ἀλλ᾽ ἤ ἐπί τόν ταπεινόν καί ἡσύχιον;

Ὁ θέλων σωθῆναι, διωξάτω τήν ἀκτημοσύνην καί τήν σιωπήν.

Ἀπολλων. - Πολλήν ἐπιμέλειαν ποιεῖσθαι χρή, περί τοῦ μή λέγειν ἅ μή δεῖ. Παντελῶς γάρ ἀπαιδεύτου τινός ἐστι τό μή δύνασθαι σιωπᾷν, ἀλλ᾿ ἐκλαλεῖν τά μή καλῶς ἔχοντα.

Σοφός ἀνήρ καί σιγῶν τόν Θεόν τιμᾷ, εἰδώς καί διατί σιγᾷ.

Πλουτάρχ. - Ἅπερ ἄν σιωπᾶσθαι βούλει, μηδενί εἴπῃς· ἤ πῶς παρά τινος ἀπαιτεῖς τό πιστόν τῆς σιωπῆς, ὅ μή παρέσχρς σεαυτῷ;

Τό σιωπᾷν οὐ μόνον ἄδιψον, ὥς φησιν Ἱπποκράτης, ἀλλά καί ἄλυπον καί ἀνώδυνον.

Ζήνων. - Ὅτε ξένοι τινές ἐν συμποσίῳ παρόντες φιλοφρονούμενοι Ζήνωνα, προπιόντες αὐτῷ, ἤροντο ἡσυχίαν ἄγοντα, Περί σοῦ δέ τί χρή λέγειν, ὦ Ζήνων, τῷ βασιλεῖ; κἀκεῖνος ἔφη, Ἄλλο μηδέν, ἤ ὅτι πρεσβύτης ἐστίν ἐν Ἀθήναις παρά πότον σιωπᾷν δυνάμενος.

Ἀνάχαρσις. - Οὗτος ἑστιαθείς παρά Σόλωνι, καί κοιμώμενος ὤφθη, τήν μέν ἀριστεράν χεῖρα τοῖς μορίοις, τήν δέ δεξιάν τῷ στόματι προσκειμένην ἔχων. Ἐγκρατεστέρου γάρ ᾤετο χαλινοῦ δεῖσθαι τήν γλῶτταν.

(848) Ἀριστοτέλ. - Ὁ μή εἰδώς σιωπᾶν, οὐκ οἶδε διαλέγεσθαι.

Ὁ αὐτός ἐρωτηθείς, Τί δυσκολώτατόν ἐστιν ἐν τῷ βίῳ, εἶπε, Τῷ σιωπᾷν ἅ μή δεῖ λαλεῖν.

Ἐρωτηθείς, Διά ποίαν αἰτίαν τούς ἄλλους διδάσκων λέγειν, αὐτός σιωπᾷς; ἔφη, Καί γάρ ἡ ἀκόνη αὐτή μέν οὐ τέμνει, τά δέ ξίφη ὀξέα ποιεῖ.

Ἰσοκράτ. - Δύο ποιοῦ καιρούς τοῦ λεγειν, ἤ περί ὧν οἶσθα σαφῶς, ἤ περί ὧν ἀναγκαῖον εἰπεῖν. Ἐν τούτοις γάρ μόνοις ὁ λόγος τῆς σιγῆς κρείττων· ἐν δέ τοῖς ἄλλοις, ἄμεινον σιγᾷν ἤ λέγειν.

Ἀλλ. Ἀριστ. - Φαύλου ἀνδρός, καθάπερ κυνός σιγηροῦ δεῖ τήν σιγήν, ἤ τήν φωνήν εὐλαβεῖσθαι.

Θεόφραστ. - Θεόφραστος ὁ Περιπατητικός φιλόσοφος, ἐν συμποσίῳ νεανίσκον τινά βλέπων ἡσυχίαν ἔχοντα, εἶπεν· Εἰ μέν ἀπαίδευτος ὤν σιωπᾷς, πεπαιδευμένος ὑπάρχεις· εἰ δέ πεπαιδευμένος, ἀπαιδεύτως σιωπᾷς.

Χάρητ.

Γλώσσης μάλιστα πανταχοῦ πειρῶ κρατεῖν,<br>
Ὅ γάρ γέροντι καί νέῳ τιμήν φέρει,<br>
Ἡ γλῶσσα, σιγήν καιρίαν κεκτημένη.

Ἱέρων. - Τούς ἀπόῤῥητον λόγον ἐκφέροντες ἀδικεῖν ᾤετο, καί πρός οὕς ἐκφέρουσιν. Μισοῦμεν γάρ οὐ μόνον τούς ἐκλαλήσαντας, ἀλλά καί τούς ἀκούσαντας, ἅ μή βουλόμεθα.

Πιττακοῦ. - Ὅ μέλλεις ποιεῖν, μή λέγε· ἀποτυχών γάρ γελασθήσῃ.

Σοφοκλ.

Κλέπτων δ᾽ ὅταν τις ἐμφανῶς ἐφευρεθῇ,

Σιγᾷν ἀνάγκη, κἄν καλόν φέρῃ στόμα.

Αἰδώς γάρ ἐν κακοῖσιν οὐδέν ὠφελεῖ.

Ἡ γάρ σιωπή τῷ λαλοῦντι σύμμαχος.

Ξενοκράτ. - Ξενοκράτης διαιρῶν ἕκαστον μέρος τῆς ἡμέρας εἰς πρᾶξίν τινα, καί τῇ σιωπῇ μέρος ἀπένειμεν.

Ἀλεξάνδρ.

Ὅστις λόγους παρακαταθήκην λαβών

Ἐξεῖπεν, ἄδικός ἐστι, ἤ ἀκροατής ἄγαν·

Ὁ μέν διά κέρδος, ἄδικος· ὁ δέ τούτου δίχα,

Ἀκροατής· ἴσως δέ γ᾽ εἰσίν ἀμφότεροι κακοί.

Λυκούργου. - Οὗτος πρός τόν εἰπόντα, Διατί Λακεδαιμόνιοι τήν βραχυλογίαν ἀσκοῦσιν; εἶπεν, Ὅτι ἐγγύς ἐστι τοῦ σιγᾷν.

Φιλονίδου. - Κρεῖττον σιωπᾷν ἐστιν, ἤ λαλεῖν μάτην.

Δημοκρ. - Θεασάμενός τινα, πολλά μέν, ἀπαίδευτα δέ διαλεγόμενον, Οὗτος, ἔφη οὐ έγειν μοι δοκεῖ δυνατός, ἀλλά σιωπᾷν ἀδύνατος.

Σόλων. - Σφραγίζου, τούς μέν λόγους, σιγῇ· τήν δέ σιγήν, καιρῷ.

Σιμωνίδου. - Ἤ σιγήν καίριον ἔχειν δεῖ, ἤ λόγον ὠφέλιμον.

Δημοσθ. - Οὗτος μηδέποτε ἑαυτῷ ἔλεγε μεταμελῆσαι σιγήσαντι· φθεγξαμένῳ δέ, πολλάκις.

(849) Ὀνειδίζοντος αὐτῷ τινος, ὅτι τό στόμα δυσῶδες εἶχε· Πολλά γάρ, εἶπεν, αὐτῷ τῶν ἀποῤῥήτων ἐγκατεσάπη.

***ΛΟΓΟΣ ΚΑ΄.***

***Περί πολυπραγματοσύνης καί ἡσυχίας.***

Λουκ. ι΄. - Μάρθα, Μάρθα, μεριμνᾷς καί τυρβάζῃ περί πολλά. Ἑνός δέ ἐστι χρεία· Μαρία δέ τήν ἀγαθήν μερίδα ἐξελέξατο, ἥτις οὐκ ἀφαιρεθήσεται ἀπ᾽ αὐτῆς.

Α΄Θεσσ.δ΄. - Παρακαλῶ οὖν ὑμᾶς ἀδελφοί, περισσεύειν μᾶλλον καί φιλοτιμεῖσθαι ἡσυχάζειν, καί πράσσειν τά ἴδια, καί ἐργάζεσθαι ταῖς χερσίν ὑμῶν.

Ἰώβ, ια' .- Ἡσυχάσεις, καί οὐκ ἔσται ὁ πολεμῶν σε.

Ἰώβ, λθ΄. - Καταγελῶν πολυοχλίαν πόλεως, μέμψιν φορολόγου οὐκ ἀκούει.

Σιράχ ια΄. - Τέκνον, μή περί πολλά ἔστωσαν αἱ πράξεις σου· ἐάν γάρ πληθύνῃς, οὐκ ἀθῶος ἔσῃ.

Βασιλείου. - Ὥσπερ γάρ τά θηρία εὐκαταγώνιστά εἰσι καταψηχθέντα· οὕτως ἐπιθυμίαι καί ὀργαί καί φόβοι καί λύπαι, τά ἰοβόλα τῆς ψυχῆς κακά, κατευνασθέντα διά τῆς ἡσυχίας, καί μή ἐξαγριαινόμενα τῷ συνεχεῖ ἐρεθισμῷ, εὐκαταγωνιστότερα τῇ δυνάμει τοῦ λόγου γίνεται.

Ἡσυχία οὖν ἀρχή καθάρσεως τῇ ψυχῇ, μήτε γλώσσης λαλούσης τά τῶν ἀνθρώπων, μήτε ὀφθαλμῶν εὐχροίας σωμάτων καί συμμετρίας περισκοπούντων, μήτε ἀκοῆς τόν τόνον τῆς ψυχῆς ἐκλυούσης ἐν ἀκροάσει μελῶν πρός ἡδονήν πεποιημένων· μήτε ῥήμασιν εὐτραπέλων καί γελοιαστῶν ἀνθρώπων, ὅ μαλιστα λύειν τῆς ψυχῆς τόν τόνον πέφυκεν.

Νοῦς μέν γάρ μή σκεδαννύμενος ἐπί τά ἔξω, μηδέ ὑπό τῶν αἰσθητηρίων ἐπί τόν κόσμον διαχεόμενος, ἐπάνεισι μέν πρός ἑαυτόν· δι᾽ ἑαυτοῦ δέ πρός τήν περί Θεοῦ ἔννοιαν ἀναβαίνει· κἀκείνῳ τῷ κάλλει περιλαμπόμενός τε καί ἐλλαμπόμενος, καί αὐτῆς τῆς φύσεως λήθην λαμβάνει, μήτε πρός τροφῆς φροντίδα, μήτε πρός περιβολαίων μέριμναν, τήν ψυχήν καθελκόμενος· ἀλλά σχολήν ἀπό τῶν γηΐνων φροντίδων ἄγων, τήν πᾶσαν ἑαυτοῦ σπουδήν ἐπί τήν κτῆσιν τῶν αἰωνίων ἀγαθῶν μετατίθησι, πῶς κατορθωθῇ αὐτῷ ἡ σωφροσύνη καί ἡ ἀνδρεία· πῶς δέ ἡ δικαιοσύνη καί ἡ φρόνησις, καί αἱ λοιπαί ἀρεταί.

Ἐν τοῖς ἕλκουσι τήν ψυχήν καί ἀσχολίας βιωτικάς ἐμποιοῦσιν, περιγενέσθαι τῆς ἐπιπόνου μελέτης, ἀμήχανον.

Θεολόγου. - Χρή τι καί ἡσυχάζειν, ὥστε ἀθολώττως προσομιλεῖν τῷ Θεῷ· καί μικρόν τι συνάγειν τόν νοῦν ἀπό τῶν πλανώντων.

Τηροῦμεν τάς ἀλλήλων ἁμαρτίας, οὐχ ἵνα θρηνήσωμεν, ἀλλ᾽ ἵν᾽ ὀνειδίσωμεν· οὐδέ ἵνα θεραπεύσωμεν, (852) ἀλλ᾽ ἵνα προσπλήξωμεν, καί ἀπολογίαν ἔχωμεν τῶν ἡμετέρων κακῶν τά τῶν πλησίον τραύματα.

Ἡ ἀπράγμων ἡσυχία, τῆς ἐν πράγμασι περιφανείας τιμιωτέρα.

Χρυσοστ. - Κρεῖσσον γάρ ψωμός ἐν ἅλατι μεθ᾽ ἡσυχίας καί ἀμεριμνίας, ἤ παράθεσις ἐδεσμάτων πολυτελῶν ἐν περισπασμοῖς καί μερίμναις.

Οὐ γάρ ἔστιν ἄνθρωπον τούς ἀλλοτρίους πολυπραγμονοῦντα βίους, τῆς οἰκείας ἐπιμεληθῆναί ποτε ζωῆς. Τῆς γάρ σπουδῆς αὐτῷ πάσης εἰς τήν τῶν ἑτέρων πολυπραγμοσύνην ἀναλισκομένης, ἀνάγκη τά αὐτοῦ ἁπλῶς κεῖσθαι καί ἠμελημένως.

Φίλωνος. - Ὁ σοφός ἠρεμίαν καί ἀπραγμοσύνην διώκει, ἵνα τοῖς θείοις θεωρήμασιν ἐν ἡσυχίᾳ ἐπιτύχῃ.

Σοφός μέτοικος καί μετανάστης ἐστίν ἐκ τοῦ πεφυρμένου βίου, πρός τήν εἰρηναίοις πρέπουσαν καί μακαρίαν ζωήν.

Εὐαγρίου. - Ζᾶν ἄμεινον ἐπί στιβάδος κατακείμενον καί θαῤῥεῖν, ἤ ταράσσεσθαι χρυσῆν ἔχοντα κλίνην.

Διά τεσσάρων πραγμάτων ἡ ψυχή ἔρημος γίνεται, τοῦ μή ἡσυχάσαι, καί διά τοῦ ἀγαπᾷν τόν περισπασμόν, καί τοῦ ἐπιποθεῖν τήν ὕλην, καί τοῦ κνιπεύσθαι.

Νείλου. - Βίος ἡσύχιος, χρημάτων πολλῶν περιφανέστερος.

Ἐπίπονος τοῖς νεωστί ἀποτασσομένοις ἡ ἡσυχία. Τότε γάρ καιρόν λαβοῦσα ἡ μνήμη, πᾶσαν ἀνακινεῖ τήν ἐγκειμένην ἀκαθαρσίαν, οὐ σχολάζουσα πρότερον τοῦτο ποιεῖν διά τό πλῆθος τῶν περισπώντων πραγμάτων.

Κυρίλλου. - Ἐν θορυβουμένῳ καί ἀγωνίαν ἔχοντι νῷ, οὔτε ἔννοιά τις τῶν καλῶν, οὔτε Θεοῦ χάρις ἐγγίνεται.

Ἀθανασ. - Βέλτιον ἀποροῦντας σιωπᾷν καί πιστεύειν, ἤ ἀπιστεῖν διά τό ἀπορεῖν.

Σωκράτης. - Ἐρωτηθείς, Τίνες ἀταράχως ζῶσιν; Οἱ μηδέν ἑαυτοῖς, εἶπεν, ἄτοπον συνειδότες.

Μοσχίωνος. - Ἀπαλλαγείς ἕνεκα ὀχλήσεως, κέρδος ἡγεῖται ὁ ἄνθρωπος τήν ζημίαν.

Ἀριστίππ. - Λέγοντος αὐτῷ τινος, Διά σέ ἀπόλωλεν ὁ ἀγρός· Οὐκοῦν, ἔφη, κάλλιον δι᾿ ἐμέ τόν ἀγρόν, ἤ διά τόν ἀγρόν ἐμέ.

Δημοσθ. - Λέγοντος αὐτῷ τινος, ὅτι Τοῦ ἀγροῦ ἀμελεῖς, ἑαυτῷ δέ σχολάζεις· Τούτου γάρ, ἔφη, ἐπιμελοῦμαι, δι᾿ ὅν καί τόν ἀγρόν ἐκτησάμην.

(853) Σερίνου. - Θαλῆν εἰς τόν οὐρανόν ὁρῶντα, καί ἐμπεσόντα εἰς βάραθρον ἡ θεράπαινα θεωροῦσα, δικαίως παθεῖν ἔφη, Ὡς γάρ τά παρά ποσίν ἀγνοῶν, τά ἐν οὐρανῷ ἐσκόπει.

Ἀριστοτ.- Ἀριστοτέλης τούς τά ἐναργῆ πράγματα πειρωμένους δεικνύναι, ὅμοιον ἔφη ποιεῖν τοῖς λύχνῳ τόν ἥλιον φιλοτιμουμένοις δεικνύναι.

Εὐκλείδης. - Εὐκλείδης ὁ φιλόσοφος, ἐρωτηθείς ὑπό τινος, Ὁποῖοί τινές εἰσιν οἱ Θεοί, καί τίνι χαίρουσι; Τά μέν ἄλλα οὐκ οἶδα, εἶπεν· τούς μέντοι φιλοπράγμονας ὅτι μισοῦσιν, ἀσφαλῶς οἶδα.

Δημόνακτ. - Ὑγιαίνων νοσεῖ πᾶς περίεργος, ὁ τά ἀλλότρια πολυπραγμονῶν.

Ἄλλων ἐξεταζόντων εἰ ὁ κόσμος ἔμψυχος, καί αὖθις εἰ σφραιροειδής, Ὑμεῖς, εἶπεν, περί μέν τοῦ κόσμου πολυπραγμονεῖτε· περί δέ τῆς αὐτῶν ἀκοσμίας οὐ φροντίζετε.

***ΛΟΓΟΣ ΚΒ΄.***

***Περί πλεονεξίας.***

Λουκ. ιβ΄. - Ὁρᾶτε καί φυλάσσεσθε ἀπό τῆς πλεονεξίας· ὅτι οὐκ ἐν τῷ περισσεύειν τινί ἡ ζωή αὐτῷ ἐστιν ἐκ τῶν ὑπαρχόντων αὐτῷ.

Α΄ Κορ. στ΄. - Διατί οὐχί μᾶλλον ἀδικεῖσθε; Διατί οὐχί μᾶλλον ἀποστερεῖσθε; Ἀλλ᾿ ὑμεῖς ἀδικεῖτε καί ἀποστερεῖτε, καί ταῦτα ἀδελφούς· ἤ οὐκ οἴδατε ὅτι ἄδικοι βασιλείαν Θεοῦ οὐ κληρονομήσουσιν;

Σολμ. α΄. - Οὐκ ἐμπλησθήσεται ὀφθαλμός τοῦ ὁρᾷν, καί οὐ πληρωθήσεται οὖς ἀπό ἀκροάσεως.

Σιράχ δ΄. - Μή ἔστω ἡ χείρ σου ἐκτεταμένη εἰς τό λαβεῖν, καί ἐν τῷ ἀποδιδόναι συνεσταλμένη.

Σιράχ μ΄. - Χρήματα ἀδίκων, ὡς ποταμός ξηρανθήσονται, καί ὡς βροντή μεγάλη ἐν ὑετῷ ἐξηχήσει.

Σιράχ ε. - Μή ἐπίχαιρε ἐπί χρήμασιν ἀδίκοις· οὐδέν γάρ ὠφελήσουσιν ἐν ἡμέρα ἐπαγωγῆς.

Σιράχ ιδ' . - Πλεονέκτου ὀφθαλμός οὐκ ἐμπιπλᾶται ἐν μερίδι.

Σιράχ κα΄. - Ὁ οἰκοδομῶν τήν οἰκίαν αὐτοῦ ἐν χρήμασιν ἀλλοτρίοις, ὡς ὁ συνάγων τούς λίθους αὐτοῦ εἰς τόν χειμάῤῥουν.

(856) Βασιλείου. - Ὁ τῶν ἀλλοτρίων ἐρῶν, μετ᾿ οὐ πολύ θρηνήσει τῶν ἰδίων ἀποστερούμενος.

Ὅσα βλέπει ὀφθαλμός, τοσαῦτα ἐπιθυμεῖ ὁ πλεονέκτης. Ὁ ᾄδης οὐκ εἶπεν, Ἀρκεῖ· οὐδέ ὁ πλεονέκτης εἶπέ ποτε, Ἀρκεῖ. Πονηρός ἐν πόλει σύνοικος, πονηρός ἐν ἀγροῖς. Ἡ θάλασσα οἶδεν τά ὅρια αὐτῆς· ἡ νῦξ οὐχ ὑπερβαίνει ὁροθεσίας ἀρχαίας. Ὁ πλεονέκτης οὐκ αἰδεῖται χρόνον, οὐ γνωρίζει ὅρον, οὐ συγχωρεῖ ἀκολουθίᾳ διαδοχῆς· ἀλλά μιμεῖται τοῦ πυρός τήν βίαν· πάντα ἐπιλαμβάνεται, πάντα ἐπινέμεται. Τί εἶναι μετά ταῦτα; Οὐχί τρεῖς σε πήχεις ἀναμένουσιν οἱ πάντες; οὐχί

λίθων ὀλίγων βάρος ἀρκέσει πρός φυλακήν δυστήνῳ σαρκί; ὑπέρ τίνος οὖν μοχθεῖς; ὑπέρ τίνος παρανομεῖς;

Βέλτιον ταῖς κατά μικρόν ἐπινοίαις τήν χρείαν παραμυθήσασθαι, ἤ ἀθρόως ἐπαρθέντα τοῖς ἀλλοτρίοις ὕστερον πάντων ὁμοῦ προσόντων ἀπογυμνοῦσθαι.

Ὁ τά εταίρου λαμβάνων, καί ετέροις διδούς, οὐκ ἠλέησεν, ἀλλ᾽ ἠδίκησεν ἀδικίαν τήν ἐσχάτην. Εἰ μέν γάρ ἐλεεῖς ἐξ ὧν ἀδικεῖς, ἐλέησον οὕς ἀδικεῖς. Εὐσεβής γάρ ἐκεῖνος, οὐχ ὁ πολλούς ἐλεῶν, ἀλλ᾽ ὁ μηδένα ἀδικῶν.

Θεολόγου. - Μίσθωμα πόρνης ἁγνῶς οὐ μερίζεται. Ἔστι γάρ τῆς ἄκρας κακοδαιμονίας, μή ἐν τοῖς ἰδίοις ἰσχυροῖς τό ἀσφαλές ἔχειν, ἀλλ᾽ ἐν τοῖς ἀλλοτρίων σαθροῖς.

Χρυσοστ. - Ὁ γάρ μή δεόμενος τῶν ἀλλοτρίων, ἀλλ᾽ ἐν αὐταρκείᾳ νομίζων εἶναι, πάντων ἐστίν εὐπορώτερος.

Ὁ τήν εαυτοῦ μή δυνάμενος στῆσαι ἐπιθυμίαν, κἄν τά πάντων περιβέβληται, πῶς οὗτος ἔστι ἐν εὐπορίᾳ ποτέ;

Πλουτάρχου. - Οἱ ἀπό τῶν αἰσχρῶν κερδῶν εἰς τάς καλάς ἀναλίσκοντες λειτουργίας, ὅμοιόν τι ποιοῦσι, τοῖς ἀπό τῆς ἱεροσυλίας θεοσεβοῦσιν.

Δημοκρίτ. - Πλοῦτος ἀπό κακῆς ἐργασίας ἐπιγινόμενος, ἐπί φανερώτερον ὄνειδος, κέκτηται.

Χρήματα πορίζειν μέν, οὐκ ἀχρεῖον· ἐξ ἀδικίας δέ πάντων κάκιον.

Σωκράτης. - Τούς πλεονέκτας εἴκαζε ταῖς ὄρνισιν· ὧν ἡ μέν καταπίνει, ὅ τι ἄν προστύχῃ, καί ἔστιν ὅταν πνίγεται· αἱ δ᾽ ἄλλαι παρακολουθοῦσιν ἀφελεῖν αὐτό σπεύδουσαι, ἵνα παρά μέρος πνιγῶσιν.

Διογένης. - Ἐρωτηθείς, ποῖα εἴη θηρία χαλεπώτερα, εἶπεν, Ἐν μέν τοῖς ὄρεσιν, ἄρκοι καί λέοντες· ἐν δέ ταῖς πόλεσι, τελῶναι καί συκοφάνται.

Ἀντιφάνους. - Τά μέν πονηρά κέρδη, τάς μέν ἡδονάς ἔχει μικράς, τάς δέ λύπας μακράς.

Εὐριπίδ. -

Ὅστις γάρ ἐπί τό πλεῖον ἔχει πέφυκ' ἀνήρ,
Οὐδέν φρονεῖ δίκαιον οὐδέ βούλεται.
Φίλοις τ' ἄμικτός ἐστι, καί πάσῃ πόλει.

(857) Καταλαβών τίς τινα λίθου αὐτοῦ κλέπτοντα, κἀκείνου λέγοντος, ὅτι Οὐκ ἐγίνωσκον ὅτι σοί εἰσιν, ἔφη, Ἀλλ᾽ ᾔδεις ὅτι οὐδέ σοί.

Μεάνδρου.

Πλεονεξία μέγιστον ἀνθρώποις κακόν.
Οἱ μέν θέλοντες προσλαβεῖν τά τῶν πέλας,
Ἀποτυγχάνουσι πολλάκις νικώμενοι·
Τά δ᾽ ἴδια προστιθέασι τοῖς ἀλλοτρίοις.

Πλάτωνος. - Κλοπή μέν χρημάτων, ἀνελεύθερον· ἁρπαγή δέ, ἀναίσχυντον.

Φιλήμ.

Ἐάν οἷς ἔχωμεν, τούτοις μηδέ χρώμεθα,
Ἅ δ᾽ οὐκ ἔχομεν ταῦτα ζητοῦμεν,
Ὧν μέν διά τύχην, ὧν δέ δι᾽ ἑαυτούς ἐσόμεθα ἐστερημένοι.

Εὐριπίδ.

Εἰ δ᾽ εὐτυχῶν τις, καί βίον κεκτημένος,
Μηδέν δ᾽ ὅμως τι τῶν καλῶν πειράσεται·
Ἐγώ μέν αὐτόν οὔποτ᾽ ὄλβιον καλῶ,
Φύλακα δέ μᾶλλον χρημάτων εὐδαίμονα.

## *ΛΟΓΟΣ ΚΓ΄.*
## *Περί τιμῆς γονέων καί φιλοτεκνίας.*

Δευτ. ε΄στ΄. - Τίμα τόν πατέρα σου καί τήν μητέρα· καί· Ἀγάπα τόν πλησίον σου ὡς ἑαυτόν.

Κολ. γ΄. - Τά τέκνα ὑπακούετε τοῖς γονεῦσιν ὑμῶν κατά πάντα· τοῦτο γάρ ἐστιν εὐάρεστον ἐν Κυρίῳ.

Σιράχ γ΄. - Τέκνον, ἀντιλαβοῦ ἐν γήρᾳ πατρός σου, καί ἐάν ἀπολίπῃ σύνεσιν, συγγνώμην ἔχε· καί μή ἀτιμάσῃς αὐτόν ἐν πάσῃ ἰσχύϊ σου. Ἐλεημοσύνη γάρ πατρός, οὐκ ἐπιλησθήσεται· καί ὡς εὐδία ἐν παγετῷ, οὕτως ἀναλυθήσονταί σου αἱ ἁμαρτίαι.

Σιράχ ζ΄. - Ἐν ὅλῃ καρδίᾳ σου δόξασον τόν πατέρα σου, καίμητρός ὠδῖνας μή ἐπιλάθῃ. Μνήσθητι ὅτι δι᾽ αὐτῶν ἐγεννήθης, καί τί ἀνταποδώσεις αὐτοῖς, καθώς αὐτοί σοί;

Βασιλείου. - Εὐγνώμονες παῖδες μεγάλα ποιοῦσι τά τῶν πατέρων ἐγκώμια.

Θεολόγου. - Ἔργασαι τό καλόν, ὅτι καλόν τῷ πατρί πείθεσθαι· καί εἴ σοι μηδέν ἔσεσθαι μέλοι, τοῦτο αὐτό μισθός, τῷ πατρί χαρίσασθαι.

Ὥς οἰκέτης δούλευσον τοῖς γεννήσασί σε· τί γάρ ἀνταποδώσεις αὐτοῖς, οἷα αὐτοί σοί; ἀντιγεννῆσαι γάρ αὐτούς οὐκ ἔνι.

Οἱ τῆς τῶν παίδων κοσμιότητός τε καί σωφροσύνης ἀμελοῦντες πατέρες, παιδοκτόνοι τυγχάνουσι, καί χαλεπώτερον ἤ ἐκεῖνοι, ὅσῳ καί πρός ψυχήν ἡ ἀπώλεια καί ὁ θάνατος.

(860) Κυρίλλου. - Χριστιανῶν ἐνάρετος εὐσέβεια πρώτη τό τιμᾷν τούς γεννήσαντας· τό τούς πόνους ἀμείψασθαι τῶν φύντων, καί πάσῃ δυνάμει τά πρός ἀνάπαυσιν αὐτοῖς ἐνεγκεῖν. Κἄν γάρ τά πλεῖστα τούτοις ἀποδῶμεν, ἀλλ᾽ ἀντιγεννῆσαι τούτους οὔπω δυνησόμεθα.

Εἴκειν ἀναγκαῖον πατράσι τούς παῖδας· ἀλλ᾽ ἔνθαπερ ἄν ὁ τῆς ἀληθείας ἐλαύνῃ λόγος, τιμάσθω Θεός καί νικάτω τά αὐτοῦ καί φιλοστοργίας δύναμιν φυσικήν.

Φίλων. - Ἀξίως οὐδείς τόν Θεόν τιμᾷ, ἀλλά δικαίως μόνον, ὁπότε οὐδέ τοῖς γονεῦσιν ἴσας ἀποδοῦναι χάριτας ἐνδέχεται· ἀντιγεννῆσαι γάρ οὐχ οἷόν τε τούτους.

Ἀριστοτ. - Χρή τόν υἱόν δοῦλον εἰναι τοῦ πατρός ἤ τόν οἰκέτην· ὁ μέν γάρ φύσει τοῦ πατρός δοῦλός ἐστιν· ὁ δέ νόμῳ.

Ἰσοκράτ. - Τοιοῦτος γίνου περί τούς γονεῖς, οἵους ἄν εὔξαι περί σευτόν γενέσθαι τούς σαυτοῦ παῖδας.

Ἀλεξάνδρ. - Ἀλέξανδρος ὁ βασιλεύς ἐρωτηθείς, τίνα μᾶλλον ποθεῖ, τόν πατέρα Φίλιππον, ἤ Ἀριστοτέλην τόν διδάσκαλον, ἔφη, Ὁ μέν γάρ τοῦ γενέσθαι, ὁ δέ τοῦ καλῶς γενέσθαι αἴτιος.

Ὁ αὐτός βαρύ τι ἐπιταττούσης αὐτῷ τῆς μητρός Ὀλυμπιάδος, ἔφη, Ὦ μήτερ, πικρόν γε ἐνοίκιον τῆς ἐνναμηναίου με ἀπαιτεῖς.

Σωκράτης. - Μεμφομένης αὐτῷ τῆς γυναικός αὐτοῦ, ὅτι τόν υἱόν αὐτοῦ οὐ προσίεται ἄχρηστον ὄντα, καί λεγούσης ὅτι ἐξ αὐτοῦ εἴη, ἀποπτύσας· Καί γάρ τοῦτο, εἶπεν, ἐξ ἐμοῦ, ἀλλ' οὐ χρήσιμον.

Μελεσίου. - Οἵους ἄν ἐράνους ἐνέκγῃς τοῖς γονεῦσι, τοιούτους αὐτούς ἐν τῷ γήρᾳ παρά τῶν τέκνων προσδέχου.

Εὐριπίδ. -

Ὅστις δέ τούς τεκόντας ἐν βίῳ σέβει,
Ὅδ᾽ ἐστί καί ζῶν καί θανών Θεοῦ φίλος.
Οὐκ ἔστι παισί τούτου κάλλιον γέρας,

Ἤ πατρός ἐσθλοῦ κἀγαθοῦ πεφυκέναι,
Καί τοῖς τεκοῦσιν ἀξίαν τιμήν νέμειν.

Σόλωνος. - Σόλων ἐφωτηθείς, διατί κατά τῶν τυπτόντων τούς πατέρας ἐπιτίμιον οὐχ ὥρισεν, εἶπεν, ὅτι Οὐχ ὑπέλαβον τοιούτους τινάς ἔσεσθαι.

Πλάτωνος. - Πλάτων θρασυνόμενον ἰδών ινα πρός τόν ἑαυτοῦ πατέρα, Οὐ παύσῃ, μειράκιον, εἶπε, τούτου καταφρονεῖν, δι᾽ ὅν μέγα φρονεῖν ἀξιοῖς;

Ἐκ τῆς Αἰλιανοῦ ἱστορίας. - Πρώτῃ καί ὀγδοηκοστῇ Ὀλυμπιάδι φασί τήν Αἴτνην ῥυῆναι, ὅτε καί Φιλόνομος καί Καλλίας οἱ Καταναῖοι, τούς ἑαυτῶν πατέρας ἀράμενοι, διά μέσης τῆς φλογός ἐκόμισαν τῶν ἄλλων κτημάτων καταφρονήσαντες· ἀνθ᾽ ὧν καί ἀμοιβῆς ἔτυχον τῆς ἐκ τοῦ θείου. Τό γάρ τοι πῦρ (861) θεόντων αὐτῶν διέστη, καθ᾽ ὅ μέρος ἐκεῖνοι παραγένοντο.

Ἐκ τῶν Ἐπικτήτου Ἐγχειριδίου καί Ἰσοκρ. - Τούς υἱούς σπούδαζε πεπαιδευμένους μᾶλλον, ἤ πλουσίους καταλιπεῖν.

Θυγάτηρ ἀλλότριον κτῆμα ὑπάρχει τῷ πατρί.

Ὁ αὐτός τοῖς παισί συνεβούλευσεν αἰδῶ δεῖν καταλιπεῖν , ἤ χρυσόν.

Πατρός ὕβρις, ἡδύ φάρμακον· πλέον γάρ ἔχει τό ὠφελοῦν τοῦ δάκνοντος.

Υἱῷ καί θυγατρί μή προσμειδιάσῃς, να μή ὕστερον δακρύσῃς.

***ΛΟΓΟΣ ΚΔ΄.***

***Περί φόβου.***

Ματθ. κς΄. - Τό μέν πνεῦμα πρόθυμον· ἡ δέ σάρξ ἀσθενής.

Πράξ. ι΄. - Ἐπ᾽ ἀληθείας καταλαμβάνω, ὅτι οὐκ ἔστι προσωπολήπτης ὁ Θεός, ἀλλ᾽ ἐν παντί ἔθνει ὁ φοβούμενος αὐτόν καί ἐργαζόμενος δικαιοσύνην, δεκτός αὐτῷ ἐστιν.

Παροιμ. ιδ' . - Φόβος Κυρίου πηγή ζωῆς· ποιεῖ δέ ἀκκλίνειν ἐκ παγίδος θανάτου.

Σολομ. ιβ΄. - Τέλος λόγου, τό πᾶν ἄκουε, τόν Θεόν φοβοῦ, καί τάς ἐντολάς αὐτοῦ φύλασσε, ὅτι τοῦτο πᾶς ἄνθρωπος.

Σιράχ μ΄. - Χρήματα καί ἰσχύς ἀνυψοῦσι καρδίαν· καί ὑπέρ ἀμφότερα φόβος Κυρίου.

Βασιλείου. - Ὡς γάρ ὁ ἐμπεπηγότας ἔχων ἐν ἑαυτῷ τούς σωματικούς ἥλους, ἀνενέργητός ἐστιν, ὑπό τῶν ὀδύνων κατεχόμενος·

οὕτως ὁ τῷ φόβῳ τοῦ Θεοῦ κατειλημμένος, οὐκ ὀφθαλμῷ χρήσασθαι πρός ἅ μή δεῖ, οὐ χεῖρας κινῆσαι πρός ἀπηγορευμένας πράξεις, οὐχ ὅλως μικρόν ἤ μεῖζον ἐνεργῆσαι παρά τό καθῆκον δύναται, οἷον ὀδύνῃ τινί τῇ προσδοκίᾳ τῶν ἀπειληθέντων συμπεπαρμένος.

Θεολόγου. - Οὐκ ἀπό θεωρίας ἀρξαμένους, εἰς φόβον χρή καταλήγειν. Θεωρία γάρ ἀχαλίνωτος, τάχα ἄν καί κατά κρημνῶν ὤσειεν· ἀλλά φόβῳ στοιχειωμένους καί καθαιρομένους, καί, ἵνα οὕτως εἴπω, λεπτυνομένους, εἰς ὕψος αἴρεσθαι.

Ἕν φοβηθῶμεν μόνον, τό φοβηθῆναι Θεοῦ τι πλέον.

Φύλλων λαγωούς ἐκφοβοῦσιν οἱ κτύποι.

Ἄνδρας δ᾿ ἀνάνδρους αἱ σκιαί τῶν πραγμάτων.

Χρυσοστ. - Οὐ τοσοῦτον ἐργάσασθαι δυνήσεται λόγος, ὅσον ἐργάζεται φόβος. Ὁ γάρ τῆς γεέννης φόβος τόν τῆς βασιλείας ἡμῖν κοσμιεῖ στέφανον. (864) Αἰτία ἡμῖν πολλῶν ἀγαθῶν, εἴ βουλοίμεθα, ὁ διάβολος· δεδοικότες γάρ αὐτοῦ τάς ἐπιβουλάς, μήφομεν καί μεμνήμεθα τοῦ Θεοῦ. Ὁ γάρ ἐφεστῶτα τόν ἐχθρόν ὁρῶν, τῷ δυναμένῳ προστρέχει βοηθεῖν.

Καθάπερ ἐν οἰκίᾳ στρατιώτου διηνεκῶς ὡπλισμένου, οὐ ληστής, οὐ τυχωρύχος, οὐκ ἄλλος τις τῶν τά τοιαῦτα κακουργούντων τολμήσει φανῆναι· οὕτω φόβου κατέχοντος ψυχάς, οὐδέν τῶν ἀνελευθέρων παθῶν ἐπεισέρχεται ῥᾳδίως ἡμῖν.

Διδύμου. - Οὐ δυνατόν τόν ἀληθῶς φοβούμενον τόν Θεόν δειλίαν ἔχειν, εἰρημένου τοῦ, Πλήν αὐτοῦ μή φοβοῦ ἄλλον.

Κλίμακος. - Ὥσπερ ἀκτίς ἡλίου δι᾿ ὀπῆς εἰσελθοῦσα ἐν οἴκῳ πάντα φωτίζει, ὡς καί τό λεπτότατον ὁρᾶν, τόν τε κονιορτόν πετόμενον· οὕτω καί φόβος Θεοῦ μετά διακρίσεως ἐν καρδίᾳ γενόμενος, πάντα αὐτῇ τά ἁμαρτήματα ὑποδείκνυσιν.

Σευηριανοῦ. - Ἀρχή σωτηρίας ἀνθρώπων ὁ τοῦ Θεοῦ φόβος, καί ῥίζα πάντων ἐν ἡμῖν ἀγαθῶν ὁ τοῦ Θεοῦ νόμος. Οὔτε δέ Θεοῦ νόμος ἄνευ φόβου, οὔτε φόβος ἄνευ νόμου. Ὁ μέν γάρ νόμος τῶν ἐπιτεταγμένων ὑπηρέτην ἔχει τόν φόβον· ὁ δέ φόβος τῶν προστεταγμένων δικαστήν ἔχει τόν νόμον.

Βίας. - Βίας ἐρωτηθείς, τί ἄν εἴη τῶν κατά τόν βίον ἄφοβον, εἶπεν, Ὀρθή συνείδησις.

Ἐπικούρ. - Οὐκ ἔστιν ἄφοβον εἶναι, φοβερόν φαινόμενον.

Δημοκρ. - Οὐ διά φόβον, ἀλλά διά τό δέον, ἀπέχεσθαι χρεών ἁμαρτημάτων.

Εὐριπίδου.

Ἀσύνετος, ὅστις ἐν φόβῳ μέν ἀσθενής,
Λαβών δέ μικρόν τι ψυχῆς φρονεῖ μέγα.

Μενάνδρ.

Εὐήθειά μοι φαίνεται δηλουμένη,
Τό νοεῖν μέν ὅσα δεῖ, μή φυλάττεσθαι δ᾽ ἅ δεῖ.

***ΛΟΓΟΣ ΚΕ΄.***

***Περί τῶν ταχέως μεταβαλλομένων, καί περί μετανοίας.***

Λουκ. θ΄. - Οὐδείς βαλών τήν χεῖρα αὐτοῦ ἐπ᾽ ἄροτρον, καί βλέπων εἰς τά ὀπίσω, εὔθετός ἐστιν εἰς τήν βασιλείαν τῶν οὐρανῶν.

Β΄. Πετ. β΄. - Κρεῖσσόν ἐστι μή ἐπεγνωκέναι τήν ὁδόν τῆς διακαιοσύνης, ἤ ἐπιγνόντα ἐπιστρέψαι ἐκ τῆς παραδοθείσης αὐτῷ ἁγίας ἐντολῆς. Συμβέβηκε δέ αὐτοῖς τό τῆς ἀληθοῦς παροιμίας, Κύων ἐπιστρέψας ἐπί τόν ἴδιον ἔμετον, καί, Ὗς λουσαμένη εἰς κύλισμα βορβόρου.

Παροιμ. ιζ' . - Ἀνήρ εὐμετάβολος γλώσσῃ ἐκπεσεῖται εἰς κακά.

Παροιμ. κστ΄. - Ὥσπερ κύων ὅταν ἐπέλθῃ ἐπί τόν ἑαυτοῦ ἔμετον καί μισητός γένηται, οὕτως (865) ἄφρων τῇ ἑαυτοῦ κακίᾳ ἀναστρέψας ἐπί τήν ἑαυτοῦ ἁμαρτίαν.

Σιράχ λδ΄. - Ἄνθρωπος νηστεύων ἐπί τῶν ἁμαρτιῶν αὐτοῦ, καί πάλιν πορευόμενος και τά αὐτά ποιῶν, τῆς προσευχῆς αὐτοῦ τίς εἰσακούεται; καί τί ὠφέλησεν ἐν τῷ ταπεινωθῆναι αὐτόν;

Βασιλ. - Ὁ ἐν προκοπῇ γενόμενος ἀγαθῶν ἔργων, εἶτα παλινδρομήσας πρός τήν ἀρχαίαν συνήθειαν, οὐ μόνον τόν ἐπι τοῖς πεπονημένοις μισθόν ἐζημιώθη, ἀλλά καί βαρυτέρας ἀξιοῦται τῆς κατακρίσεως.

Οἷς εὔκολος πρός μεταβολήν ἡ διάνοια, τούτοις οὐδέν ἀπεικός καί τόν βίον εἶναι μή τεταγμένον.

Μηδείς ἐν κακίᾳ διάγων, ἑαυτόν ἀπογινωσκέτω, εἰδώς ὅτι γεωργία μέν τῶν φυτῶν τάς ποιότητας μεταβάλλει· ἡ δέ κατ᾽ ἀρετήν τῆς ψυχῆς ἐπιμέλεια δυνατή ἐστι παντοδαπῶν ἀῤῥωστημάτων ἐπικρατῆσαι.

Ἄνθρωποι ταῖς νεφέλαις ἐοίκασι, πρός τάς τῶν πνευμάτων μεταβολάς ἄλλοτε κατ᾽ ἄλλο μέρος τοῦ ἀέρος ἐμφερομέναις.

Οὐ χρόνου ποσότητι, διαθέσει δέ ψυχῆς ἡ μετάνοια κρίνεται.

Θεολόγου. - Δέον αὐμετακινήτους μέν εἶναι πρός τό κρεῖττον ἀπό τοῦ χείρονος, ἀκινήτους δέ πρός τό χεῖρον ἀπό τοῦ βελτίονος.

Οὐχ ἡ μετάθεσις τοῦ κακοῦ τό αἰσχρόν ἔχει· ἀλλ᾽ ἡ τούτου τήρησις τήν ἀπώλειαν.

Τό μή ἁμαρτάνειν ἀναισθήτως, ἀλλ᾽ ἐπιγινώσκειν καί συνορᾶν τό πλημμεληθέν, οὐκ ἔστι μικρόν· ἀλλ᾽ ὁδός τίς ἐστι καί ἀρχή πρός διόρθωσιν ἄγουσα, καί ἐπί τό κρεῖττον μεταβολήν.

Κούφους καί ἀνοήτους τούτους ὑπολαβάνομεν, τούς ῥᾳδίως ἐπ᾽ ἀμφότερα φερομένους, καί μεταῤῥέοντας, καθάπερ αὔρας μεταπιπτούσας, ἤ μεταβολάς καί παλιῤῥοίας Εὐρίπου, ἤ θαλάσσης ἄστατα κύματα.

Χρυσοστ. - Ὁ μετανοήσας ἐφ᾽ οἷς ἔπραξε δεινοῖς, κἄν μή τῶν ἁμαρτημάτων ἀξίαν ἀποδείξηται τήν μετάνοιαν, καί αὐτῆς ταύτης ὅμως ἕξει τήν ἀντίδοσιν.

Εὐαγρίου. - Φυτόν μεταφερόμενον συνεχῶς, καρπόν οὐ ποιεῖ.

Σωκράτ. - Ἀνδριάς μέν ἐπί βάσεως, σπουδαῖος δέ ἀνήρ ἐπί καλῆς προαιρέσεως ἑστώς, ἀμετακίνητος ὀφείλει εἶναι .

***ΛΟΓΟΣ κστ΄.***

***Περί ἁμαρτίας καί ἐξαγορεύσεως.***

Ἰωαν.η΄. - Πᾶς ὁ ποιῶν ἁμαρτίαν, δοῦλός ἐστι τῆς ἁμαρτίας.

Σιράχ. κα΄. - Ὡς ἀπό προσώπου ὄφεως, φεῦγε ἀπό ἁμαρτίας ἐάν γάρ προσέλθῃς, δήξεταί σε. Ὀδόντες λέοντος οἱ ὀδόντες αὐτῆς, καί ἀναιροῦντες ψυχάς ἀνθρώπων.

Πρός Ῥωμ. στ΄. - Μή οὖν βασιλευέτω ἡ ἁμαρτία ἐν τῷ θνητῷ ὑμῶν σώματι, εἰς τό ὑπακούειν ταῖς (868) ἐπιθυμίαις αὐτοῦ· μήτε παριστάνετε τά μέλη ὑμῶν ὅπλα ἀδικίας τῇ ἁμαρτίᾳ.

Σιράχ κζ' . - Λέων θήρᾳ ἐνεδρεύει, οὕτως ἁμαρτία τούς ἐργαζομένους ἄδικα.

Σιράχ λθ΄. - Ἀγαθά τοῖς ἀγαθοῖς ἐκτίσθη ἀπ᾽ ἀρχῆς, οὕτω καί τοῖς ἁμαρτωλοῖς κακά.

Βασιλ. - Ὥσπερ τῆς τομῆς ἤ τοῦ καυτῆρος, οὐχ ὁ ἰατρός αἴτιος, ἀλλ᾽ ἡ νόσος· οὕτω καί οἱ τῶν πόλεων ἀφανισμοί ἐκ τῆς ἀμετρίας τῶν ἁμαρτανομένων τήν ἀρχήν ἔχοντες, τόν Θεόν ἁπάσης μέμψεως ἀπολύουσιν.

Ἡ ἁμαρτία ὡς μέν ὠδίνεται, ἔχει τινά αἰσχύνην· ἐπειδάν δέ τελεσθῇ, τότε ἀναισχυντοτέρους ποιεῖ τούς ἐργαζομένους αὐτήν.

Ὡς γάρ τάς μελίσσας καπνός φυγαδεύει καί τάς περιστεράς δυσωδία· οὕτω καί τόν φύλακα τῆς ζωῆς ἡμῶν ἄγγελον ἡ πολύδακρυς καί δυσώδης ἀφίστησιν ἁμαρτία.

Ὥσπερ ἡ σκιά τῷ σώματι, οὕτω ταῖς ψυχαῖς αἱ ἁμαρτίαι παρέπονται, ἐναργεῖς τάς πράξεις εἰκονίζουσαι.

Φύσει πρόχειρον ἡ κακία, καί πολύς ἐπί τό χεῖρον ὁ δρόμος.

Εὐζήλωτον μέντοι καί πρόχειρον πρᾶγμα ἡ μοχθηρία· καί οὐδέν οὕτω ῥᾴδιον ὡς τό γενέσθαι κακόν.

Μή ἀπαξιώσῃς ἐξαγορεῦσαί σου τήν ἁμαρτίαν, ἵνα τῇ ἐντεῦθεν αἰσχύνῃ τήν ἐκεῖθεν φύγῃς (ἐπειδή μέρος καί τοῦτο τῆς ἐκεῖσε κολάσεως) καί δείξῃς ὅτι τήν ἁμαρτίαν ὄντως μεμίσηκας, παραδειγματίσας αὐτήν καί θριαμβεύσας, ὡς ἀξίαν ὕβρεως.

Περιβαλοῦ κόπρια, δάκρυα, στεναγμούς, τήν δι᾽ ἐξαγορεύσεως καί ἀτιμοτέρας ἀγωγῆς ἐπανόρθωσιν.

Οὐκ ἔστι τοῖς ἀπελθοῦσιν ἐν ᾅδῃ ἐξομολόγησις καί διόρθωσις. Συνέκλεισε γάρ ὁ Θεός, ἐνταῦθα μέν βίον καί πρᾶξιν· ἐκεῖ δέ, τήν τῶν πεπραγμένων ἐξέτασιν.

Κακία σιωπηθεῖσα, νόσος ὕπουλός ἐστιν ἐν τῇ ψυχῇ.

Θεολόγου. - Θᾶττον γάρ ἄν τις ὀλίγης κακίας μεταλάβοι πλουσίως, ἤ ἀρετῆς βαθείας κατά μικρόν. Ἐπεί καί μέλιτι μέν ἀψίνθιον τάχιστα μεταδίδωσι τοῦ πικροῦ, μέλι δέ οὐδέ τό διπλάσιον ἀψινθίῳ τῆς ἑαυτοῦ γλυκύτητος.

Χρυσοστ. - Τοιοῦτον ἡ ἁμαρτία· πρίν ἤ μέν ἀπαρτισθῆναι, μεθύειν ποιεῖ τόν ἁλόντα· ἐπειδάν δέ πληρωθῇ καί ἀπαρτισθῇ, τότε τά μέν τῆς ἡδονῆς ταύτης ὑπεξίσταται καί σβέννυται· γυμνός δέ ἕστηκε λοιπόν ὁ κατήγορος, τοῦ συνειδότος δημίου τάξιν ἐπέχων (869) [ἐπέχοντος] καί καταξαίνων τόν πλημμεληκότα, καί τήν ἐσχάτων ἀπαιτῶν δίκην, καί μολίβδου παντός βαρύτερον ἐπικείμενος.

Ἀπόστηθι τῆς πονηρίας, παῦσαι τῆς κακίας, ἐπιλαβοῦ τῆς ἀρετῆς, καί ὑπόσχου μηκέτι αὐτά ποιεῖν· καί ἀρκεῖ τοῦτο εἰς ἀπολογίαν. Ἐγώ διαμαρτύρομαι καί ἐγγυῶμαι, ὅτι τῶν ἁμαρτανομένων ὑμῶν ἕκαστος, ἄν ἀποστάς τῶν προτέρων κακῶν ὑπόσχηται τῷ Θεῷ μετά ἀληθείας μηκέτι αὐτῶν ἅψασθαι, οὐδέν ἕτερον ὁ Θεός ζητεῖ πρός ἀπολογίαν μείζοντα. Φιλάνθρωπος γάρ ἐστι καί ἐλεήμων· καί καθάπερ ἡ ὠδίνουσα ἐπιθυμεῖ τεκεῖν, οὕτω καί αὐτός ἐπιθυμεῖ τόν ἔλεον ἐκχεῖν τόν ἑαυτοῦ.

Ὥσπερ γάρ σπινθήρ ἐάν φθάσῃ ἐπιλαβέσθαι τινός, πάντα λοιπόν κατανέμεται· οὕτω τῆς ἁμαρτίας φύσις, ἐπειδάν τῶν τῆς ψυχῆς λογισμῶν ἐπιλάβηται, καί μηδείς ᾖ ὁ σβέσων, χαλεπωτέρα λοιπόν καί δυσχείρωτος γίνεται, τῇ τῶν δευτέρων προσθήκῃ εἰς μείζονα καταφρόνησιν ἐπαιρομένη.

Ὥσπερ γάρ ὁ ἐν ἁμαρτήμασιν ὤν, ἑτέρων κατηγορῶν, ἑαυτοῦ πρό ἐκείνων κατηγορεῖ· οὕτω καί ὁ ἐν συμφορᾷ ὤν καί ὀνειδίζων ἑτέρου συμφοράς, ἑαυτόν πρό ἐκείνου ὀνειδίζει.

Καθάπερ οἱ διά νυκτός ἀσελήνου βαδίζοντες τρέμουσι, κἄν μηδείς ὁ φοβῶν παρῇ· οὕτω καί οἱ τήν ἁμαρτάν ἐργαζόμενοι, θαῤῥεῖν οὐκ ἔχουσι, κἄν μηδείς ὁ ἐλέγχων ᾖ.

Ἐπί ἑνός οὐ θέλομεν ἀσχημονῆσαι ἐνταῦθα· ἐπί δέ μυριάδων ἐκεῖ τί ποιήσομεν;

Γρηγ. Νύσσης. - Πολλή πρός τήν κακίαν ἐστίν ἡ εὐκολία, καί ὀξύῤῥοπος ἐπί τό χεῖρον ἡ φύσις.

Κυρίλλου. - Πολλά πταίομεν ἅπαντες. Νοσεῖ γάρ ἡ φύσις τό εἰς ἁμαρτίαν εὔκολον, διά τῶν ἐξ ἀρχῆς εἰσοικισαμένων τό πάθος.

Φίλωνος. - Τῷ μέν ἀγνοίᾳ τοῦ κρείττοντος διαμαρτάνοντι συγγνώμη παρεισέρχεται· ὁ δέ ἐξεπίτηδες ἀδικῶν, ἀπολογίαν οὐκ ἔχει.

Κλήμεντος. - Φοβηθῶμεν οὐχί νόσον τήν ἔξωθεν, (872) ἀλλ᾿ ἁμαρτήματα, δι᾿ ἅ ἡ νόσος· καί νόσον ψυχῆς, οὐχί σώματος.

Θεοτίμου. - Ἔοικεν ἡ ἁμαρτία παραβλήματι κωλύοντι τήν εὔνοιαν τοῦ Θεοῦ ἐν ἡμῖν γενέσθαι.

Ἰωσήππου. - Οὐκ ἐκριζωτής τῶν παθῶν, ἀλλ᾿ ἀνταγωνιστής ἐστιν ὁ λογισμός.

Οὔτε πῦρ ἱματίῳ περιστεῖλαι δυνατόν, οὔτε αἰσχρόν ἁμάρτημα χρόνῳ.

Ἀριστοτ. - Οὐ πόῤῥω τοῦ ἀναμάρτητου καθίστησιν ἑαυτόν, ὁ τό ἁμαρτηθέν ἐπιεικῶς ὁμολογήσας.

Πυθαγόρου. - Τά ἁμαρτήματά σου πειρῶ, μή λόγοις ἐπικαλύπτειν, ἀλλά θεραπεύειν ἐλέγχοις.

Δημοσθ. - Ὥσπερ σωματικόν πάθος οὐ κρυπτόμενον οὐδέ ἐπαινούμενον ὑγιάζεται· οὕτως οὐδέ ψυχή κακῶς φρουρουμένη θεραπεύεται.

Μοσχίωνος. - Βέλτιον ὀλιγάκις ὁμολογοῦντα κατορθοῦν, σωφρονεῖν πολλάκις, ἤ ὀλιγάκις ἁμαρτάνειν λέγοντα, πλημμελεῖν πολλάκις.

Ζήνω. - Ζῆθι, ὦ ἄνθρωπε , μή μόνον ἵνα φάγῃς καί πίῃς, ἀλλ᾽ ἵνα τῷ ζῆν πρός τό εὖ ζῆν καταχρήσῃ.

Φαυωρίνου. - Πάθος τί μου προσέπεσε τῇ ψυχῇ, καί τί μέν ἐστιν οὐκ οἶδα. Ἔρωτα δέ αὐτό λέγουσι οἱ μεμυημένοι. Βάσκανε δαῖμον καί ἀλόγιστε, ἀσθενεῖ προσελήλυθας σώματι, φέρειν σε μή δυναμένῳ. Ἐξίσταμαί σου, δαῖμον· παραχωρῶ σου τῆς μάχης· οὐκ εἰμί σου στρατιώτης.

Θεοφράστ. - Ἔρως ἐστίν ἀλογίστου τινός ἐπιθυμίας ὑπερβολή, ταχεῖαν μέν ἔχουσα τήν πρόσοδον, βραδεῖαν δέ τήν ἀπόλυσιν.

***ΛΟΓΟΣ ΚΖ΄.***

***Περί ἀκρασίας καί γαστριμαργίας.***

Λουκ. ς΄. - Οὐαί οἱ ἐμπεπλησμένοι, ὅτι πεινάσετε· οὐαί οἱ γελῶντες, ὅτι πενθήσετε καί κλαύσετε.

Ἰακ. ε΄. - Ἐτρυφήσατε ἐπί τῆς γῆς καί ἐσπαταλήσατε· ἐτρέψατε τάς καρδίας ὑμῶν ὡς ἐν ἡμέρᾳ σφαγῆς.

Παροιμ. κδ' . - Μή ἀπατηθῇς ἐν χορτασίᾳ κοιλίας σου.

Παροιμ. κε΄. - Μέλι εὑρών, τί ἱκανόν φάγε, μή ποτε πλησθείς ἐξεμέσῃς.

Σιράχ. μ΄. - Ἀνήρ βλέπων εἰς τράπεζαν ἀλλοτρίαν, οὐκ ἔστιν ὁ βίος αὐτοῦ ἐν λογισμῷ ζωῆς.

Βασιλείου. - Γαστήρ συναλλάκτης ἐστίν ἀπιστότατος, (873) ταμεῖον ἀφύλακτον· πολλῶν ἀποτεθέντων, τήν μέν βλάβην παρακατέχουσα, τά δέ παραδοθέντα οὐ κατέχουσα.

Λίχνη γαστήρ, ἡ ἀεί ἀπαιτοῦσα καί μηδέποτε λήγουσα. Ἡ λαμβάνουσα σήμερον, καί αὔριον λανθανομένη. Ὅταν ἐμπλησθῇ, περί ἐγκρατείας φιλοσοφεῖ· ὅταν διαπνευσθῇ, ἐπιλανθάνεται τῶν δογμάτων.

Φοβήθητι τό ὑπόδειγμα τοῦ πλουσίου. Ἐκεῖνον παρέδωκε τῷ πυρί ἡ διά βίου τρυφή. Οὐ γάρ ἀδικίαν, ἀλλά τό ἁβροδίαιτον ἐγκληθείς, ἀπετηγανίζετο ἐν τῇ φλογί τῆς καμίνου.

Ἐκ γάρ τῆς παχείας τροφῆς καί οἴνου, αἰθαλώδεις τινές ἀναθυμιάσεις ἀναπεμπόμεναι, νεφέλης δίκην πυκνῆς, τάς ἀπό τοῦ ἁγίου Πνεύματος ἐλλάμψεις ἐπί τόν νοῦν διακόπτουσι. Διό καί Μωϋσῆς πρός θεωρίαν Θεοῦ ἀναβαίνων διά τοῦ νοῦ, ἄσιτος καί

ἄποτος ἡμερῶν τεσσαράκοντα διετέλεσεν, ἀθόλωτον διαμένειν αὐτῷ τό ἡγεμονικόν διοικούμενος.

Θεολ. - Ἀϋπνός ἐστι καί ἀκοίμητος πρός τήν τοῦ πλείονος ἐπιθυμίαν ἡ ἀνθρωπίνη φύσις.

Δός εἶπε γαστήρ. Ἥν λαβοῦσα φωφρονεῖς,

Δώσω προθύμως· ἥν δέ τοῖς κάτω δίδως

Κόπρον· λάβοις μέν, ἀλλ᾽ ὅμως μή πλουσίαν. Εἰ δ᾽ οὖν κατάσχοις, δώσωμεν καί πλουσίαν.

Ἀκρασία γάρ ἐμοί, πᾶν τό περιττόν καί ὑπέρ τήν χεῖαν καί ταῦτα, πεινόντων ἄλλων καί δεομένων, τῶν ἐκ τοῦ αὐτοῦ πηλοῦ καί κράματος.

Οὐδέν οὕτω ἐπίμαχόν τε καί φιλόνεικον, ὡς ἡ γαστήρ.

Χρυσοσ. - Φαγών καί πιών καί ἐμπλησθείς, πρόσεχε σεαυτῷ. Ἀπόκρημνος γάρ ἐστιν ὁ τόπος τῆς τρυφῆς.

Ἰω. Κλίμ. - Θλιβομένης κοιλίας ταπεινοῦται καρδία· θεραπευομένης δέ, γαυριᾷ λογισμός.

Νύσσ. - Ὄψον σοι γενέσθω ἔνδεια· καί τό μή ἐπιβάλλειν κόρον τῷ κόρῳ, μηδέ ἀμβλύνειν τῇ κραιπάλῃ ὄρεξιν.

Ῥίζα τῶν περί τόν βίον πλημμελημάτων ἐστίν, ἡ περί τόν λαιμόν ἀσχολία.

Μέχρι τῆς ὑπερώας ἡ τῶν ἡδυσμάτων αἴσθησις τόν ὅρον ἔχει· ἀπό δέ ὑπερώας, ἀδιάκριτος ἡ τῶν ἐμβαλλομένων διαφορά, ὁμοτίμως τά πάντα τῆς φύσεως πρός δυσωδίαν ἀλλοιούσης.

Φίλωνος. - Ἐγκρατείας μέν ἴδιον, ὑγίεια (876) καί ἰσχύς· ἀκρασίας δέ, ἀσθένεια καί νόσος γειτνιῶσα θανάτῳ.

Πλουτάρχ. - Ὑγείαν ἔχειν παρά Θεοῦ αἰτοῦνται οἱ ἄνθρωποι· τήν δέ ταύτης δύναμιν παρ᾽ ἑαυτοῖς ἔχοντες, οὐκ ἴσασιν. Ἀκρασίᾳ γάρ τά ἐναντία πράσσοντες, αὐτοί προδόται τῆς ὑγείας γίνονται.

Ὥσπερ ἄλειμμα οὐ τό ἡδύ καλόν, οὐδέ τό μακρόν, ἀλλά τό ὑγιεινόν· οὕτω καί τροφή, οὐχ ἡ ἡδεῖα καλή, οὐδέ ἡ πολλή, ἀλλ᾽ ἡ ὑγιεινή.

Τάχος καί ἔπειξις ἀπέστω τοῦ ἐσθίειν· κυνῶδες γάρ τοῦτο, καί θηρίῳ μᾶλλον ἤ ἀνθρώπῳ πρέπον.

Κάτωνος. - Οὗτος τῆς πολυτελείας καθαπτόμενος, εἶπεν, Ὡς χαλεπόν ἐστι λέγειν πρός γαστέρα, ὦτα μή ἔχουσαν.

Ἀντισθέν. -Ἀντισθένης ἐρωτηθείς, Τί ἐστιν ἑορτή, εἶπε, Γαστριμαργίας ἀφορμή.

Ἐπικτήτου. - Φρόντιζε ὅπως σε μή τά ἐν τῇ γαστρί σιτία πιαίνει, ἀλλ᾽ ἡ ἐν τῇ ψυχῇ εὐφρασία. Ἐπεί τά μέν ἀποσκυβαλίζεται, καί συνεκρεῖ ὁ ἔπαινος· ἡ δέ ψυχή χωρισθεῖσα, διαπαντός ἀκήρατος μένει.

Ἐν ταῖς ἑστιάσεσι, μέμνησο ὅτι δύο ὑποδέχονται· τό τε σῶμα καί ἡ ψυχή· καί ὅ τι ἄν τῷ σώματι δῷς, τοῦτο εὐθύ ἐξέχεας· ὅ τι δ᾽ ἄν τῇ ψυχῇ διαπαντός τηρεῖς.

Διογένης. - Τῶν οἰκιῶν ἔνθα πλείστη τροφή, πολλούς μῦς εἶναι καί γαλᾶς· καί σώματα δέ τά πολλήν τροφήν δεχόμενα, καί νόσους ἴσας ἐφέλκεσθαι.

Κράτης. - Κράτης ἰδών χρυσῆν εἰκόνα Φρύνης τῆς ἑταίρας ἐν Δελφοῖς ἑστῶσαν, ἀνέκραγεν, ὅτι Τοῦτο τῆς Ἑλλήνων ἀκρασίας τρόπαιον ἕστηκεν.

Ὁ αὐτός νεανίσκον ἰδών ἀθλητικόν οἴνῳ καί κρεοφαγίᾳ καί ἀσκήσει σάρκα πολλήν ὑποτρέφοντα, εἶπεν, Ὦ δαιμόνιε, παῦσαι καθ᾽ ἑαυτοῦ ποιῶν τό δεσμωτήριον ἰσχυρόν.

Θεόγνιδος. -

Πολλῷ τοι πλέονας λιμοῦ κόρος ὤλεσεν ἤδη
Ἄνδρας, ὅσοι μοίρης πλεῖον ἔχειν ἔθελον.

Σωκράτης. - Οὗτος τούς μέν ἀνθρώπους ἔλεγε ζῆν ἵνα ἐσθίωσιν· ἐγώ δέ ἐσθίω ἵνα ζῶ.

***ΛΟΓΟΣ ΚΗ΄.***

***Περί λύπης καί ἀθυμίας.***

Ματθ. ε΄. - Μακάριοι οἱ πενθοῦντες, ὅτι αὐτοί παρακληθήσονται.

β΄. Κορ. β. ΄- Τίς ἐστιν ὁ εὐφραίνων με, εἰ μή ὁ λυπούμενος ἐξ ἐμοῦ;

(877) Σολομ. - Ὥσπερ σής ἱματίῳ καί σκώληξ ξύλῳ, οὕτω λύπη ἀνδρός βλάπτει καρδίαν.

Σιράχ λη΄. - Ἀπό λύπης ἐκβαίνει θάνατος· καί λύπη καρδίας κάμψει ἰσχύν.

Βασιλείου. - Ὥσπερ οἱ σκώληκες τοῖς ἁπαλωτέροις τῶν ξύλων ἐντίκτονται μάλιστα, οὕτως αἱ λῦπαι τοῖς μαλακωτέροις ἤθεσι τῶν ἀνθρώπων ἐμφύονται.

Ὁ λέγων μή πρέπειν τῷ δικαίῳ τήν θλίψιν, οὐδέν ἕτερον λέγει, ἤ μή ἁρμόζειν τῷ ἀθλητῇ τόν ἀνταγωνιστήν.

Θεολόγου. - Φέρει παραμυθίαν ὀδυνομένῳ κοινωνία τῶν στεναγμῶν.

Ἔστι ποτέ ἡδονῆς λύπη τιμιωτέρα, καί κατήφεια πανηγύρεως· καί γέλωτος οὐ καλοῦ, δάκρυον ἐπαινετόν.

Μέγα γάρ τό παρά συναλγούντων φάρμακον. Οἱ γάρ τό ἴσον τοῦ πάθους ἔχοντες, πλέον εἰσίν εἰς παραμυθίαν τοῖς πάσχουσιν.

Χρυσόστ. - καιρός ἀθυμίας, οὐχ ὅταν πάσχωμεν κακῶς, ἀλλ᾽ ὅταν δρῶμεν κακῶς.

Πλουτάρχ. - Ὁδόν μέν τήν λειοτάτην ἐκλέγεσθαι· βίον δέ, τόν ἀλυπότατον.

Ἐπενδύεσθαι δεῖ, τῷ μέν θώρακι, χιτῶνα· τῇ δέ λύπῃ νοῦν.

Σωκράτης. - Ἐρωτηθείς, Τί λύπει τούς ἀγαθούς, εἶπεν, Εὐτυχία πονηρῶν.

Ὁ αὐτός ἐρωτηθείς, Πῶς ἄν τις ἀλύπως διάγει, Τοῦτο ἀδύνατον, εἶπεν· οὐ γάρ ἐστι πόλιν ἤ οἰκίαν οἰκοῦντα καί ἀνθρώπους ὁμιλοῦντα μή λυπεῖσθαι.

Λευκίπ. - Τοῦτο γάρ ἴδιον τῶν ὀφθαλμῶν, ἐν τοῖς μεγάλοις κακοῖς μή ἐκχέειν δάκρυον· ἐν δέ ταῖς μετρίαις συμφοραῖς, ἀφθόνως τά δάκρυα καταῤῥεῖ.

Χαρακλ. Πολλάκις γάρ τό χαρᾶς ὑπερβάλλον, εἰς ἀλγεινόν περιίστησι· καί τῆς ἡδονῆς τό ἄμετρον, ἐπίσπαστον λύπην ἐγέννησε.

Μοσχίων. - Ἕπεσθαι τοῖς τερπνοῖς εἴωθε καί τά λυπηρά.

Δημώνακτ. - Δεῖ ὥσπερ φορτίον τήν λύπην ἀνθέμενον, μή στέοντα (στένοντα) φέρειν.

Χαρικλ. - Οἱ ἄνθρωποι τάφους μέν κατασκευάζουσι καί ἐντάφια ὥσπερ μέλλοντες αὐτοῖς χρῆσθαι· ἀφοβίαν δέ καί ἀλυπίαν τήν περί τοῦ θανάτου ᾗ χρήσονται, οὐ παρασκευάζονται.

Θεοπόμπ. - Εἴ τις πλεῖστα τῶν ἀγαθῶν κεκτημένος μετά τοῦ λυπεῖσθαι διάγει τόν βίον, ἁπάντων ἄν εἴη καί τῶν ὄντων καί τῶν ἐσομένων ἀθλιώτερος.

(880) Ἐκ τῶν Ἐπικτήτου, Ἰσοκράτ, Δημοκρ. - Εἰ βούλει ἄλυπον βίον ζῇν, τά μέλλοντα συμβαίνειν ὡς ἤδη συμβεβηκότα λογίζου.

Ἄλυπος ἴσθι, μή τήν ἀπάθειαν, ὡς τά ἀλόγια τῶν ζώων· μηδέ τήν ἀλογίαν, ὡς οἱ ἄφρονες· ἀλλ᾽ ὡς ἐνάρετος, τόν λόγον τῆς λύπης ἔχων παραμύθιον.

Εὐγνώμων ὁ μή λυπούμενος ἐν οἷς οὐκ ἔχει, ἀλλά χαίρων ἐφ᾽ οἷς ἔχει.

Ὅσοι τινές πρός τάς συμφοράς, γνώμῃ μέν ἥκιστα λυποῦνται, ἔργῳ δέ μάλιστα ἀντέχουσιν, οὗτοι καί τῶν πόλεων καί ἰδιωτῶν κράτιστοί εἰσιν,

Ἐπικτήτου. - Ἐρωτηθείς πῶς ἄν τις τόν ἐχθρόν λυπήσῃ, ἔφη, Ἑαυτόν παρασκευάζων βέλτιστα πράττειν.

Τούς ἄφρονας ὁ χρόνος· τούς δέ φρονίμους ὁ λόγος τῆς λύπης ἀπαλλάττει.

Ποσσιδιπ. - Οὐδείς ἄλυπος τόν βίον διήγαγεν, ἄνθρωπος ὤν· οὐδ᾽ ἄχρι τοῦ τέλους ἔμεινεν εὐτυχῶν.

Εὐριπίδ. - Οὐκ ἔστιν εὑρεῖν βίον ἄλυπον ἐν οὐδενί.

***ΛΟΓΟΣ ΚΘ΄.***

***Περί ὕπνου.***

Ματθ. κς΄. Μαρ. ιδ΄. Λουκ. κδ΄. - Ἐλθών ὁ Ἰησοῦς, εὗρε τούς μαθητάς αὐτοῦ καθεύδοντας· ἦσαν γάρ οἱ ὀφθαλμοί αὐτῶν βεβαρημένοι, καί λέγει αὐτοῖς, Οὕτως οὐκ ἰσχύσατε μίαν ὥραν γρηγορῆσαι μετ᾽ ἐμοῦ. Κἄν τόν Ἰούδαν θεάσαθε πῶς οὐ καθεύδει. Γρηγορεῖτε οὖν καί προσεύχεσθε.

Α' . Θεσ. ε΄. - Ἄρα οὖν μή καθεύδωμεν ὡς καί οἱ λοιποί, ἀλλά γρηγορῶμεν καί νήφωμεν. Οἱ γάρ καθεύδοντες, νυκτός καθεύδουσι· καί οἱ μεθυσκόμενοι, νυκτός μεθύουσιν· ἡμεῖς δέ ἡμέρας ὄντες, νήφωμεν.

Παροιμ. κγ'.- Ἐνδύεται διεῤῥηγμένα καί ῥακώδη,πᾶς ὑπνώδης.

Σιράχ. λα΄. - Μέριμνα ἀγρυπνίας ἀπαιτήσει νυσταγμόν.

Βασιλείου. -Εὐχαρίστει, ἄνθρωπε, τῷ ἀκουσίως ἡμᾶς διά τοῦ ὕπνου τῆς συνεχείας τῶν πόνων λύοντι, καί ἐκ μικρᾶς ἀναπαύσεως, πάλιν πρός τήν ἀκμήν τῆς δυνάμεως ἐπανάγοντι.

Θεολόγου. - Ἀνήρ ὑπνώδης, εὑρετῆς ὀνειράτων· μύστης γάρ ὕπνος φασμάτων, οὐ πραγμάτων.

Χρυσόστ. - Ὕπνος οὐδέν ἐστιν, ἤ θάνατος πρόσκαιρος, καί ἐφήμερος τελευτή.

(881) Γρηγ. Νύσσης. - Ὥσπερ ἐπί τῆς καθύγρου γῆς, ἐπειδάν θερμοτέραις ἀκτῖσιν ἐπιλάμψαι ὁ ἥλιος, ἀτμοί τινες ὀμιχλώδεις ἀπό τοῦ βάθους ἀνέλκονται· ὅμοιόν τι γίνεται καί ἐν τῇ καθ᾽ ἡμᾶς γῇ, τῆς τροφῆς ὑπό τῆς φυσικῆς θερμότητος ἀναζεούσης· ἀνωφερεῖς δέ ὄντες οἱ ἀτμοί κατά φύσιν καί ἀερώδεις, καί πρός τό ὑπερκείμενον ἀναπνέοντες, ἐν τοῖς κατά τήν καεφαλήν γίνονται χώροις.

Φίλων. - Εἰκότως μελέτην θανάτου· σκιάν δέ καί ὑπογραμμόν τῆς αὖθις ἐσομένης ἀναβιώσεως, τόν ὕπνον οἱ τἀληθῆ πεφρονηκότες ἀπεφήνατο· ἑκατέρων γάρ ἐναργεῖς φέρει τάς εἰκόνας, καί μεθιστᾷ τόν αὐτόν ἐξ ὁλοκλήρου.

Κλήμεντ. - Ὅσα περί ὕπνου λέγουσι, τά αὐτά χρή καί περί θανάτου ἐξακούειν. Ἑκάτερος γάρ δηλοῖ τήν ἀποστασίαν τῆς ψυχῆς· ὁ δέ μᾶλλον, ὁ δέ ἧττον.

Πᾶσι δέ, ὡς ἔπος εἶπειν, διαμαχητέον ὑμῖν πρός τόν ὕπνον, ὡς πλείονα χρόνον τοῦ ζῆν διά τήν ἐγρήγορσιν μεταλαμβανειν.

Ὁ γάρ ὕπνος ὥσπερ τελώνης τόν ἥμισυν ἡμῖν τοῦ βίου συνδιαιρεῖται χρόνον.

Πολλοῦ γε δεῖ μεθ᾽ ἡμέραν καθεύδειν, τοῖς καί τῆς νυκτός τό πλεῖστον εἰς ἐγρήγορσιν ἀποτεμνομένοις.

Δημοκρίτ. - Ἄγρυπνος ἔσο κατά τόν νοῦν· συγγενής γάρ τοῦ ἀληθινοῦ θανάτου ὁ περί τοῦτον ὕπνος.

Οἱ ἡμερήσιοι ὕπνοι σώματος ὄχλησιν, ἤ ψυχῆς ἀδημοσύνην, ἤ ἀργίην ἤ ἀπαιδευσίαν σημαίνουσιν.

Φιλοστράτ. - Οὐδέ γάρ οἱ σώφρονες καί σπουδαῖοι νυστάζουσι, κἄν πόῤῥω τῶν νυκτῶν σπουδάζουσιν. Οὐ γάρ ἔξωθεν αὐτούς ὁ ὕπνος ὥσπερ δεσπότης, ὑβρίσας εἰς τόν αὐχένα δεδουλωμένον ὑπό τοῦ οἴνου· ἀλλ᾽ ἐλεύθεροί τε καί ὀρθοί φαίνονται. Καταδαρθέντες δέ καθαρᾷ τῇ ψυχῇ δέχονται τόν ὕπνον, οὔτε ὑπό τῶν εὐπραγιῶν ἀνακουφιζόμενοι, οὔτε ὑπό κακοπραγίας τινός ἐκτρώσκοντες. Σύμμετρος γάρ πρός ἄμφω ταῦτα ψυχή νήφουσα, καί οὐδετέρου τῶν παθῶν ἥττων· ὅθεν καί καθεύδει ἥδιστα καί ἀλυπότατα, μή ἐξισταμένη τοῦ ὕπνου.

***ΛΟΓΟΣ Λ΄.***

***Περί μέθης.***

Λουκ. κα΄. - Προσέχετε ἑαυτοῖς, μήποτε βαρυνθῶσιν αἱ καρδίαι ὑμῶν ἐν κραιπάλῃ καί μέθῃ καί μερίμναις βιοτικαῖς· καί αἰφνιδίως ὑμῖν ἐπιστῇ ἡ ἡμέρα ἐκείνη.

Ῥωμ. ιγ΄. - Ὡς ἐν ἡμέρᾳ εὐσχημόνως περιπατήσωμεν· μή κώμαις καί μέθαις, μή κοίταις καί ἀσελγείαις.

Σολ. ζ' . - Ἀγαθόν πορευθῆναι εἰς οἶκον πένθους, ἤ εἰς οἶκον πότου.

Παροιμ. κγ΄. - Μή ἴσθι οἰνοπότης· πᾶς γάρ μέθυσος πτωχεύσει.

(884) Ὅστις ἐστιν ἡδύς ἐν οἴνων διατριβαῖς, ἐν τοῖς ἑαυτοῦ ὀχυρώμασι καταλείψει ἀτιμίαν.

Σιράχ, λα΄. - Ἐν συμποσίῳ οἴνου μή ἔλεγχε τόν πλησίον, καί μή ἐξουδενώσῃς αὐτόν ἐν εὐφροσύνῃ αὐτοῦ.

Βασιλ. - Ὥσπερ γάρ ὕδωρ πολέμιόν ἐστι πυρί, οὕτως ἀμετρία οἴνου λογισμόν κατασβέννυσι σώφρονα.

Μέτρον ἄριστον τῆς τοῦ οἴνου χρήσεως, ἡ χρεία τοῦ σώματος.

Μέθη, Κύριον οὐχ ὑποδέχεται. Πνεῦμα ἅγιον ἀποδιώκει. Καπνός μέν γάρ, φυγαδεύει μελίσσας· χαρίσματα δέ πνευματικά ἀποδιώκει κραιπάλη.

Θεολόγου. - Καί οἱ μέν πένητες, οὕτως· ἡμεῖς δέ ἀνακεισόμεθα λαμπροί λαμπρῶς, ἐπί στιβάδος ὑψηλῆς τε καί μετεώρου, καί τῶν περιττῶν καί ἀψαύστων ἐπιβλημάτων. Καί τοῖς μέν πολύς κόρος καί ὕδατος· ἡμῖν δέ καί μέχρι μέθης οἱ τοῦ οἴνου κρατῆρες· μᾶλλον δέ καί ὑπέρ μέθην τοῖς ἀκολαστοτέροις· καί τόν μέν ἀποπεμψόμεθα τῶν οἴνων, τόν δέ ἐκκρινοῦμεν ὡς ἀνθοσμίαν· περί δέ τοῦ φιλοσοφήσομεν· ζημίαν δέ, εἰ μή προσέσται τῶν ἐγχωρίῳ, καί τῶν ὁμαζομένων ξένων τις, ὥσπερ τύραννος. Δεῖ γάρ ἡμᾶς ἀβρούς καί τῆς χρείας περιττοτέρους εἶναι· ὥσπερ αἰσχυνομένους, εἰ μή κακοί νομιζόμεθα καί δοῦλοι γαστρός, καί τῶν ὑπό γαστέρα.

Χρυσόστ. - Τοῖς ἐν μέθῃ καί ἀκολασίᾳ βιοῦσιν, ἡ ἡμέρα πρός τό τῆς νυκτός μεταστρέφεται σκότος· οὐ τοῦ ἡλίου σβεννυμένου, ἀλλά τῆς ἐκείνων διανοίας σκοτιζομένης τῇ μέθῃ.

Εὐαγρίου. - Ῥώννυσι μέν οἶνος σῶμα· τήν δέ ψυχήν λόγος Θεοῦ.

Πλουτάρχ. - Φθείρεται μέν κόσμος πυρί καί ὕδατ ὁ δέ τῶν ἀκολάστων πλοῦτος, ἔρωτι καί μέθῃ.

Διογέν. - Ἐν συμποσίῳ τινί, πολλοῦ αὐτῷ οἴνου διδομένου, τοῦτο ἐξέχεεν· ἐπεί δέ τινες αὐτόν ἐμέμφοντο, Ἐάν γάρ αὐτόν, ἔφη, ἐκπίω, οὐ μόνον αὐτός ἀπόλλυται, ἀλλά κἀμέ προσαπόλλυσιν.

Μενάνδρ. - Ὕβρις καί οἶνος ἀποκαλύπτειν εἰώθασιν φίλοις τά ἤθη τῶν φίλων.

Ὁ πολύς ἄκρατος, ὀλίγ᾽ ἀναγκάζει φρονεῖν·

Οὐ γάρ τό πλῆθος, ἄν σκοπῇ τις, τοῦ πότου

Ποιεῖ παροινεῖν, τοῦ πιόντος δ᾽ ἡ φύσις.

Χαλεπόν ὅταν τις ὤν πίνῃ πλέον λαλῇ,

Μηδέν κατιδών, ἀλλά προσποιούμενος.

Πυθαγ. - Οὗτος ἔλεγε, Τήν μέθην, μανίας εἶναι μελέτην.

Κλεόστρατ. - Κλεόστρατος πρός τόν εἰπόντα αὐτῷ, Οὐκ αἰσχύνῃ μεθύων, ἔφη, Σύ δέ οὐκ αἰσχύνῃ μεθύοντα νουθετῶν;

Ἐπικτήτου. - Οἱ τέττιγες μουσικοί · οἱ δέ κοχλίαι, ἄφωνοι· χαίρουσι δέ, οἱ μέν ὑγραινόμενοι· οἱ δέ ἀλεαινώμενοι. Ἔπειτα προκαλεῖται, τούς μέν, ἡ δρόσος· καί ἐπί ταύτῃ ἐκδύνουσι· τούς δ᾽ αὖ διεγείρει ἀκμάζων ὁ ἥλιος, καί ἐν αὐτῷ ᾄδουσι. (885) Τοιγαροῦν, εἰ βούλει μουσικός καί εὐάρμοστος ὑπάρχειν ἀνήρ, ἡνίκα μέν ἐν τοῖς πότοις ὑπό τοῦ οἴνου δροσισθῇ ἡ ψυχή, τότε αὐτήν μή ἔα προϊοῦσαν μολύνεσθαι· ἀλλ᾽ ἡνίκα ἐν τοῖς συνεδρίοις ὑπό τοῦ λόγου διαπυρωθῇ, τότε θεσπίζειν καί ᾄδειν τά τῇ δικαιοσύνης κέλευε λόγια.

Αἰσχίν. - Κάτοπτρον εἴδους χαλκός ἐστ᾽, οἶνος δέ νοῦ.

Ἀνάχαρσις. - Κιρναμένου κρατῆρος ἐφεστίου, τόν μέν πρῶτον ὑγείας· τόν δέ δεύτερον ἡδονῆς· τόν δέ τρίτον, ὕβρεως· τόν δέ τελευταῖον, μανίας.

Πλάτων. - Μεθύων κυβερνήτης, καί πᾶς παντός ἄρχων, ἀνατρέπει πάντα, εἴτε πλοῖον, εἴτε ἅρμα, εἴτε στρατόπεδον, εἴτε ὅ τί ποτε εἴη τό κυβερνώμενον ὑπ᾽ αὐτοῦ.

Σοφοκλέους. - Σοφοκλῆς ἐμέμφετο Αἰσχύλῳ, ὅτι μεθύων ἔγραφε. Καί γάρ εἰ τά δέοντα ποιεῖ, φησίν, ἀλλ᾽ οὐκ εἰδώς γε.

Ἐπικτήτ. - Ἡ ἄμπελος τρεῖς βότρυας φέρει, τόν μέν πρῶτον ἡδονῆς· τόν δέ δεύτερον μέθης· τόν τρίτον ὕβρεως

Ἐν οἴνῳ μή πολυλόγει, ἐοιδεικνύμενος παιδείαν· χολερά γάρ ἀποφθέγξῃ.

Μέθυσός ἐστιν ὁ τριῶν πίνων πλέον,
Κἄν μή μεθύσῃ, ὑπερέβης τό μέτρον.

***ΛΟΓΟΣ ΛΑ΄.***

***Περί παῤῥησίας καί τοῦ ἐλέγχου.***

Ἰωάν. ζ΄. - Οὐδείς ἐν κρυπτῷ τί ποιεῖ, καί ζητεῖ αὐτός ἐν παῤῥησίᾳ εἶναι.

Ἐάν ἡ καρδία ἡμῶν μή καταγινώσκει ἡμῶν, παῤῥησίαν ἔχομεν πρός τόν Θεόν· καί ὅ μέν αἰτοῦμεν, λαμβάνομεν, παρ᾽ αὐτοῦ, ὅτι τάς ἐντολάς αὐτοῦ τηρῶμεν, καί τά ἀρεστά ἐνώπιον αὐτοῦ πιῶμεν.

Σιράχ η΄. - Μή ἐκκαίης, ἄνθρακας ἁμαρτωλούς ἐλέγχων, μή ἐμπρησθῇς ἐν φλογί πυρός ἁμαρτιῶν αὐτῶν.

Παροιμ. ιζ' . - Ἐξουσίαν δίδωσι λόγοις, ἀρχή δικαιοσύνης.

Βασιλείου. - Ἔοικεν ὁ μέν ἔλγχος τέλος ἔχειν τήν διόρθωσιν τῦ ἁμαρτάνοντος· ὁ δέ ὀνειδισμός, ἐπί ἀσχημοσύνῃ τοῦ ἐπταικότος γίνεται.

Ὁ ἐφησυχάζων, καί μή ἐλέγχων τήν ἁμαρτίαν τοῦ ἀδελφοῦ, ἄσπλαγχνός ἐστιν, ὥσπερ ὁ τόν ἰόν ἐναφείς τῷ δηχθέντι ὑπό τοῦ ἰοβόλου.

Θεολόγου. - Πολλῷ βέλτιον βραχέα λυπήσαντα μέγιστα ὠφελῆσαι, ἤ τό πρός ἡδονήν διώκοντα ζημιῶσαι τῷ κεφαλαίῳ.

Μεῖζον γάρ ἀγαθόν τό ἐλεγχθῆναι, τοῦ ἐλέγξαι (888) νομίζω· ὅσῳ μεῖζόν ἐστιν, τό αὐτόν ἀπαλλαγῆναι κακοῦ, τοῦ ἄλλον ἀπαλλάξαι.

Χρυσόστ. - Τό μέν ἁπλῶς παῤῥησιάζεσθαι, καί τῶν τυχόντων πολλάκις· τό δέ εἰς τό δέον καί καιρῷ τῷ προσηκόντι, καί μετά τῆς ἁρμοττούσης συμμετρίας καί συνέσεως τῷ πράγματι χρήσασθαι, μεγάλης λίαν καί θαυμαστῆς δεῖται ψυχῆς.

Ἔννομος ζωή, παῤῥησίας δημιουργός.

Μεγίστη παῤῥησία, τό μή νομίζειν ἔχειν παῤῥησίαν· ὥσπερ οὖν αἰσχύνη μεγίστη, τό δικαιοῦν ἑαυτόν ἐνώπιον Κυρίου· καί μάρτυς τῶν λεγομένων, ὁ Φαρισαῖος καί ὁ Τελώνης.

Φωκίων. - Φωκίωνος ποτέ τοῦ Ἀθηναίου δημηγοροῦντος, οὐ τά πρός χάριν, ἀλλά τά πρός ὠφέλειαν τοῖς Ἀθηναίοις· Δαμάδου δέ τοῦ ῥήτορος εἰρηκότος αὐτῷ, Ἀποκτενοῦσί σε, ὦ Φωκίων, ὁ Δῆμος, ἤν μανῶσι· Σύ δέ, εἶπεν, ἄν σωφρονῶσιν.

Πλουτ. - Οὔτε ἐκ τοῦ κόσμου τόν ἥλιον, οὔτε ἐκ τῆς ὁμιλίας τήν παῤῥησίαν.

Ξεόχαρ. - Ξενόχαρις ὁ φιλόσοφος, ἐρωτηθείς ὑπό τινος περί τινων αἰσχρῶν, καί μή ἀποκρινόμενος· ἐκείνου δέ εἰπόντος, Τί σιωπᾷς; Περί τοιούτων, ἔφη, σοί μέν ἐρωτᾷν, ἐμοί δέ μή ἀποκρίνασθαι πρέπει.

Ἰσοκράτ. - Δίδου παῤῥησίαν τοῖς εὖ φρονοῦσιν, ἵνα περί ὧν ἀμφιγνοίῃς, ἔχῃς τούς συνδοκιμάσοντας.

Δημοκρίτ. - Δημοκρίτου πρεσβεύοντός ποτε ὑπέρ Ἀθημαίων πρός Φίλιππον, καί παῤῥησίᾳ διαλεγομένου· ὁ Φίλιππος, Οὐ φοβοῦ μή τήν κεφαλήν σου, ἔφη, προστάξω ἀφαιρεθῆναι; Οὐ, φησίν· ἐάν γάρ σύ μου ταύτην ἀφέλῃς, ἡ πατρίς μοι αὐτήν ἀθάνατον ἀναθήσει.

Πυθαγ. - Φήσαντός τινος, Λίαν μοι ἐπισκώπτεις, ἔφη; Καί γάρ τοῖς σπληνικοῖς τά μέν δριμαῖα καί πικρά, ὠφέλιμα· τά δέ γλυκαῖα, βλαβερά.

Ἐκ τῶν Ἐπικτ. καί Ἰσοκρ. - Οὔτε μάχαιραν ἀμβλείαν· οὔτε παῤῥησίαν ἄτακτον ἔχειν δεῖ.

Ἐκ τῶν Ἀριστονύμου. - Ὥσπερ τό μέλι τά ἡλκωμένα δάκνει· τοῖς δέ κατά φύσιν ἡδύ ἐστιν· οὕτω καί οἱ ἐκ φιλοσοφίας λόγοι.

Ὅμοιον ἀψινθίου δριμύ, καί λόγου τήν παῤῥησίαν ἐκκόψαι, ὅμοιον.

Ἑρμοῦ καί Ἰσιδώρ. - Ἔλεγχος ἐπιγνωσθείς, ὦ μέγιστε Βασιλεῦ, εἰς ἐπιθυμίαν φέρει τόν ἐλεγχθέντα, ὧν πρότερον οὐκ ᾔδει.

Σωκράτ. - Τῆς παῤῥησίας ὥσπερ ὀπώρας ἐν καιρῷ ἡ χάρις ἡδεῖα.

(889) Εὐσεβίου. - Ἐχθρός τά ἀληθῆ εἰπών, τοῦ προσποιουμένου φίλου πρός χάριν, ἐστί πάντως αἱρετώτερος.

***ΛΟΓΟΣ ΛΒ΄.***

***Περί φιλοπονίας.***

Ἰωάν. ε΄. - Ὁ Πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγώ ἐργάζομαι.

Πράξ. κ΄. - Αὐτοί γινώσκετε, ὅτι ταῖς χρείαις μου καί τοῖς οὖσι μετ᾽ ἐμοῦ, ὑπηρέτησαν αἱ χεῖρες αὗται. Πάντα ὑπέδειξα ὑμῖν, ὅτι οὕτω κοπιῶντας δεῖ ἀντιλαμβάνεσθαι τῶν ἀσθενούντων.

Σολ. γ' .- Ἀγθῶν πόνων, καρπός εὐκλεής.

Σιράχ να΄. - Ἐργάζεσθε τό ἔργον ἡμῶν πρό καιροῦ, καί δώσει τόν μισθόν ὑμῶν ἐν καιρῷ αὐτοῦ.

Βασιλ. - Τό γάρ πόνῳ κτηθέν περιχαρῶς ὑπεδέχθη, καί φιλοπόνως διεφυλάχθη. Ὧν μέντοι πρόχειρος ὁ πορισμός, τούτων ἡ κτῆσις εὐκαταφρόνητος.

Τί τῶν ἀγαθῶν εὔκολον; Τίς καθεύδων τρόπαιον ἔστησε; Τίς τρυφῶν καί καταυλούμενος τοῖς τῆς εὐσεβείας στεφάνοις κατεκοσμήθη; Οὐδείς μή δραμών ἀνείλετο βραβεῖον. Πόνοι γεννῶσι δόξαν, κάματοι προξενοῦσι στεφάνους.

Θεολ. - Γενναιότερον ἐκ τοῦ παθεῖν τό φιλόσοφον, ὥσπερ ψυχρῷ σίδηρος, οὕτω τοῖς κινδύνοις στομούμενον.

Χρυσόστ. - Πανταχοῦ διά δισκολίας καί πόνων τοῖς ἀνθρώποις πέφυκε τά χρήσιμα παραγίνεσθαι.

Φίλωνος. - Ὁ μέν τόν πόνον φεύγων, φεύγει τά ἀγαθά· ὁ δέ τλητικῶς καί ἀνδρείως ὑπομένων τά δυσκαρτέρητα, σπεύδει πρός μακαριότητα.

Ἰσοκρ. - Γύμναζε σαυτόν πόνοις ἑκουσίοις, ἵνα δόξῃς καί τούς ἀκουσίους ὑπομένειν.

Καρκίν. -

Οὐδείς ἔπαινον ἡδοναῖς ἐκτήσατο·

Οὐδείς ῥάθυμος εὐκλεής ἀνήρ·

Ἀλλ᾽ οἱ πόνοι τίκτουσι τήν εὐανδρίαν.

Φιλίσκ. - Οὐκ ἔστιν, ὦ μάταιε, σύν ῥαθυμίᾳ τά τῶν πονούντων μή πονήσαντας λαβεῖν.

Εὐαγρίου. - Ἄτοπόν ἐστιν διώκοντα τάς τιμάς, φεύγειν τούς πόνους, δι᾽ ὧν αἱ τιμαί.

Πλουτ. - Ὥσπερ ὄργανον ἄνεσιν καί ἐπίτασιν λαμβάνον ἡδύ γίνεται, οὕτω καί βίος.

Νικίου. - Οὗτος φιλόπονος ἦν, ὥστε πολλάκις ἐρωτᾷν τούς οἰκέτας εἰ λέλουται, ἤ εἰ ἠρίστηκεν.

Ἀρχιμήδ. - Ἀρχιμήδην τῇ σανίδι προσκείμενον ἀποσπῶντες βίᾳ οἱ θεράποντες, εἵληφον· ὁ δέ, καί ἐπί τοῦ σώματος ἀληλιμμένου διέγραφε τά σχήματα.

(892) Δημοσθ. - Ἐρωτηθείς ὑπό τινος, Πῶς τῆς ῥητορικῆς περιεγένετο, ἔφη, Πλέον ἔλαιον οἴνου δαπανήσας.

Ἐκ τῶν Δημοκρίτ. καί Ἰσοκράτ' . - Γύμναζε τοῖς μέν πόνοις, τό σῶμα, τήν δέ ψυχήν γενναίως ὑπομένειν τούς κινδύνους.

Ὁ αὐτός ἐρωτηθείς ὑπό τινος, τίνι οἱ φιλόπονοι τῶν ῥᾳθύμων διαφέρουσιν, εἶπεν, ὡς οἱ εὐσεβεῖς τῶν ἀσεβῶν, ἐλπίσιν ἀγαθαῖς.

Ὁ αὐτός ἰδών νεανίαν φιλοπονοῦντα, ἔφη, Κάλλιστον ὄψον τῷ γήρατι ἀρτύεις.

Δημοκρίτ. - Οἱ ἑκούσιοι πόνοι, τήν τῶν ἀκουσίων ὑπομονήν ἐλαφροτέραν παρασκευάζουσιν.

***ΛΟΓΟΣ ΛΓ΄.***

***Περί ὅρκου.***

Ματθ. ε΄. - Λέγω ὑμῖν μή ὀμόσαι ὅλως, μήτε ἐν τῷ οὐρανῷ, ὅτι θρόνος ἐστί τοῦ Θεοῦ, μήτε ἐν τῇ γῇ, ὅτι ὑποπόδιόν ἐστι τῶν ποδῶν αὐτοῦ.

Ἰακ. ε΄. - Πρό πάντων δέ, ἀδελφοί μου, μή ὀμνύετε· μήτε τόν οὐρανόν μήτε τήν γῆν, μήτε ἄλλον τινά ὅρκον· ἔστω δέ ὑμῶν τό, Ναί, ναί, καί τό, Οὔ, οὔ.

Σολομ. ιδ΄. - Ἀδίκως ὤμοσαν ἐν δόλῳ καταφρονήσαντες ὁσιότητος. Οὐ γάρ ἡ τῶν ὀμνυομένων δύναμις, ἀλλ᾽ ἡ τῶν ἁμαρτανόντων δίκη, ἐπεξέρχεται ἀεί τήν τῶν ἀδίκων παράβασιν.

Σιράχ κγ΄. - Ὥσπερ οἰκέτης ἐξεταζόμενος ἐνδελεχῶς, ἀπό μώλωπος οὐκ ἐλαττωθήσεται· οὕτως ὁ ὀμνύων καί ὀνομάζων Θεόν διαπαντός ἄνθρωπος, ἀπό ἁμαρτίας οὐ καθαρισθήσεται.

Σιράχ κγ΄. - Ἀνήρ πολύορκος πλησθήσεται ἀνομίας, καί οὐκ ἀποστήσεται ἀπό τοῦ οἴκου αὐτοῦ μάστιξ.

Πιστούμενος τό ψεῦδος διά τῶν ὅρκων, κακόν ἐμπόρευμα τῆς ἀπανθρωπίας τήν ἐπιορκίαν προσκτᾶται.

Βασιλ. - Αἰσχρόν γάρ παντελῶς καί ἀνόητον ἑαυτοῦ κατηγορεῖν, ὡς ἀναξίου πίστεως, καί τήν τῶν ὅρκων ἀσφάλειαν ἐπιφέρεσθαι.

(893) Θεολ. -- Ὁ μέν γάρ εὐορκῶν, τυχόν ἄν ποτε καί παρασφαλείη· ὁ δέ μή ὀμνύων, τόν τῆς ἐπιορκίας κίνδυνον διαπέφευγε.

Ὁ νόμος φησίν, Οὐκ ἐπιορκήσῃς· σύ δέ Οὐδέ ὀμῇ τήν ἀρχήν, οὐ μικρόν οὐ μεῖζον· ὡς τοῦ ὅρκου τήν ἐπιορκίαν τίκτοντος.

Χρυσόστ. - Οἱ συκοφάνται τό ψεῦδος πιπράσκουσιν· ἀλλήλους ψευδόμενοι τούς ὅρκους ἀνήλωσαν, εἰς τό ὀμνύειν, καί μόνον, τόν Θεόν ἐπιστάμενοι.

Σωκράτης. - Δεῖ γάρ τούς ἀγαθούς ἄνδρας, τρόπον ὅρκου πιστότερον φαίνεσθαι παρεχομένους.

Ὅρκον ἐπακτόν προσδέχου διά δύο προφάσεις· ἤ σεαυτόν αἰτίας ἀπολύων, ἤ φίλους ἐκ μεγάλων κινδύνων διασώζων.

Ἕνεκεν χρημάτων μηδαμῶς Θεόν ὀμόσῃς· μηδ᾽ ἄν εὐορκεῖν μέλλεις· δόξεις γάρ, τοῖς μέν ἐπιορκεῖν, τοῖς δέ φιλοχρημάτως ἔχειν.

Ἀμφίδος.

Ὅστις γάρ ὀμνύοντι μηδέν πείθεται,
Αὐτός ἐπιορκεῖν ῥαδίως ἐπίσταται.

Οἱ πολλοί τοῖς ἀνθρώποις τό εὐόρκους εἶναι παραινοῦσιν· ἐγώ δέ καί τήν ἀρχήν μηδ᾽ εὐπετῶς ὀμνῦναι ὅσιον ἀποφαίνομαι.

Εὐσεβίου. - Τρόπου καλοκαγαθίαν, ὅρκου δεῖ. Πιστοτέραν ἔχειν.

***ΛΟΓΟΣ ΛΔ΄.***

***Περί κενοδοξίας·***

Ἰωάν. ι΄. - Δόξαν παρ᾽ ἀλλήλων λαμβάνοντες, τήν δόξαν τήν παρά μόνου Θεοῦ οὐ ζητεῖτε.

Γαλ. ε' . - Μή γενώμεθα κενόδοξοι, ἀλλήλους προκαλούμενοι.

Παροιμ. ιβ΄. - Κρείσσων ἀνήρ ἐν ἀτιμίᾳ δουλεύων ἑαυτῷ, ἤ ὁ τιμήν ἑαυτῷ περιθείς καί προσδεόμενος ἄρτου.

Σιράχ α' . - Μή ἐξύψου σεαυτόν, ἵνα μή πέσῃς, καί ἐπάγῃς τῇ ψυχῇ σου ἀτιμίαν.

Σιράχ ι΄. - Μισητή ἐναντίον Κυρίου καί ἀνθρώπων ἡ κενοδοξία.

Κενόδοξοί εἰσιν οἱ πλουτίζοντες ἑαυτούς, μηδέν ἔχοντες.

Βασιλ. - Κενόδοξός ἐστιν, ὁ ψιλῆς ἕνεκεν τῆς ἐν κόσμῳ δόξης ποιῶν τι ἤ λέγων.

Τῷ ὄντι θεραπευόμενα τά ὑπερήφανα ἤθη, ἑαυτῶν ὑπεροπτικώτερα πέφυκε γίνεσθαι.

Ὁμοίως γάρ ἐστι χαλεπόν ἔν τε δυσκολίαις πραγμάτων ἀταπείνωτον τήν ψυχήν διασώσασθαι, καί ἐν ταῖς ὑπερηφανείαις μή ἐπαρθῆναι.

Θεολ. - Μέγα τοῖς ἀνθρώποις ἡ κενοδοξία πρός ἀρετήν ἐμπόδιον.

(896) Τό οἴεσθαι, τοῦ εἶναι τό πλεῖστον ἀφαιρεῖται.

Ῥᾷστον ἑαυτόν ἀπατᾷν καί οἴεσθαι εἶναί τι, οὐδέν ὄντα, ὑπό τῆς κενῆς δόξης φυσώμενον.

Αἰσχρόν μικρῶν κρατοῦντα, φυσᾶσθαι μέγα.

Μή φρόνει τῶν κακῶν φαίνεσθαι κρείττων·

Λυποῦ δέ τῶν ἀγαθῶν ἡττώμενος.

Χρυσόστ. - Εἰκότως ἄρα εἴρηται παρά τῶν παλαιῶν κενοδοξία. Διάκενος γάρ ἐστιν, ἔνδον οὐδέν ἔχουσά τι χρήσιμον· ἀλλ᾽ ὥσπερ τά προσωπεῖα, δοκεῖ μέν εἶναι λαμπρά καί ἐπέραστα, κενά δέ ἔνδοθέν ἐστι· Διό καί τῶν σωματικῶν ὄψεων εὐπρεπέστερα ὄντα, οὐδένα οὐδέποτε πρός τόν ἔρωτα ἰδεῖν ἔπεισε τόν ἑαυτῶν· οὕτω, μᾶλλον δέ ἀθλιώτερον, καί ἡ παρά τῶν πολλῶν δόξα.

Γρηγ. Νύσ. - τό ἐπί πλούτῳ κομπάζειν, ἤ γενέσει σεμνύνεσθαι, ἤ πρός δόξαν ὁρᾷν, ἤ δοκεῖν ὑπέρ τόν πέλας εἶναι, δι᾽ ὧν αἱ ἀνθρώπιναι πληροῦνται τιμαί, ταῦτα πάντα καθαίρεσις τῆς ἀνθρωπίνης τιμῆς καί ὄνειδος γίνεται.

Φίλων. - Τῶν πολιτικῶν ἐάν τάς ὕλας ἀφέλῃς, κενόν τύφον εὑρήσεις νοῦν οὐκ ἔχοντα.

Εὐαγρ. - Χαλεπόν διαφυγεῖν τόν τῆς κενοδοξίας δαίμονα· ὅ γάρ ποιήσῃς καθαιρήσων αὐτήν, τοῦτο ἀρχή σοι κενοδοξίας γενήσεται.

Ἰωάν. Κλίμ. - Βδελύττεται ἥλιον κλέπτης· ὑπερήφανος δέ, πρᾳεῖς ἐξουδενώσει.

Σωκράτ. - Τούς μέν κενούς ἀσκούς, τό πνεῦμα διΐστησι· τούς δέ ἀνοήτους ἀνθρώπους τό οἴημα.

Διογένης. - Ὁ τύφος ὥσπερ ποιμήν, οὗ θέλει τούς πολλούς ἄγει.

Ἀλεξάνδρ. - Ἀλέξανδρος νοσήσας μακράν νόσον, ὡς ἀνέῤῥωσεν, οὐδέν, ἔφη, διατιθέναι χεῖρον· ὑπέμνησε γάρ ἡμᾶς ἡ νόσος, μή μέγα φρονεῖν θνητούς ὄντας.

Φιλιστίων.

Ἐάν ἴδῃς πονηρόν εἰς ὕψος αἰρόμενον,

Λαμπρῷ τε πλούτῳ καί τύχῃ γαυρούμενον,
Ὀφρῦν τε μείζω τῆς τύχης καθηρκότα,
Τούτου τάχιον μεταβολήν προσδόκα.
Ἐπαίρεται γάρ μεῖζον, ἵνα καί μεῖζον πέσῃ.

Μενάνδρου. - Ὦ τρισάθλιοι ἅπαντες οἱ φυσῶντες ἐφ᾽ ἑαυτούς μεγάλα· αὐτοί γάρ οὐκ ἴσασιν ἀνθρώπου φύσιν.

Ἀριστοτ. - Ἀριστοτέλης θεασάμενος νεανίσκον κατωφρυωμένον, Νεανίσκε, ἔφη, οἷος μέν δοκεῖς αὐτός εἶναι, ἐγώ γενοίμην· οἷος δέ τῇ ἀληθείᾳ ὑπάρχεις, τοιοῦτοί μου οἱ ἐχθροί γένοιντο.

Ὁ αὐτός κατανοήσας μειράκιον ἐπί πολυτελείᾳ τῆς χλαμύδος σεμνυνόμενον, Οὐ παύσῃ , ἔφη μειράκιον ἐπί προβάτου σεμνυνόμενος ἀρετῇ.

(897) Ἡρακλ. - Ἡράκλειτος ὁ φυσικός, οἴησιν ἔλεγεν ἐγκοπήν προκοπῆς.

### ***ΛΟΓΟΣ ΛΕ΄.***

### ***Περί ἀληθείας καί ψεύδους.***

Ἰωαν. γ΄. - Ὁ ποιῶν τήν ἀλήθειαν, ἔρχεται πρός τό φῶς, ἵνα φανερωθῇ τά ἔργα αὐτοῦ, ὅτι ἐν Θεῷ εἰσιν εἰργασμένα.

Ἐφ. δ΄. - Ἀποθέμενοι ψεῦδος, λαλεῖτε ἀλήθειαν ἕκαστος μετά τοῦ πλησίον αὐτοῦ, ὅτι ἐσμέν ἀλλήλων μέλη.

Παροιμ. ι΄. - Ὅς ἐρείδεται ἐπί ψεύδεσιν, οὗτος ποιμανεῖ ἀνέμους· ὁ δ᾽ αὐτός διώξεται ὄρνεα πτερωτά.

Σιράχ κζ΄. - Πετεινά πρός τά ὅμοια αὐτοῖς καταλύει. Καί ἀλήθεια εἰς τούς ἐργαζομένους αὐτήν ἐπανήξει.

Σιράχ κζ' . - Πετεινά πρός τά ὅμοια αὐτοῖς καταλύει. Καί ἀλήθεια εἰς τούς ἐργαζομένους ὄρνεα πτερωτά.

Βασιλείου. - Οὔτε ἐν δικαστηρίοις, οὔτε ἐν ταῖς ἄλλαις πράξεσιν, ἐπιτήδειον τό ψεῦδος, τοῖς τήν ὀρθήν ὁδόν καί ἀληθῆ προελομένοις τοῦ βίου.

Τοῦ Θεολόγου. - Τό μέν ἀληθές ἕν, τό δέ ψεῦδος, πολυσχιδές.

Χρυσόστ. - Οὐδεμιᾶς δεῖται βοηθείας ἡ τῆς ἀληθείας ἰσχύς· ἀλλά κἄν μυρίους ἔχῃ τούς σβεννύντας αὐτήν, οὐ μόνον ἀφανίζεται, ἀλλά καί (900) δι᾽ αὐτῶν τῶν ἐπηρεάζειν ἐπιχειρούντων, φαιδροτέρα καί ὑψηλοτέρα ἄν εἴη, τῶν εἰκῆ κοπτόντων ἑαυτούς καγελῶσα.

Εὐαγρίου. - Τό σιγᾷν τήν ἀλήθειαν, χρυσόν ἐστι θάπτειν.

Ἰσιδώρου Πηλουσ. - Τό ψευδές ἐν πρώτοις λεχθέν πλείονα πίστιν ἔχει παρά τήν ἐν δευτέρῳ λόγῳ δεικνυμένην ἀλήθειαν.

Σευηριανοῦ. - Τό ψεῦδος ὅταν θέλῃ πιστευθῆναι, ἐάν μή πήξῃ θεμέλιον δοκούσης ἀληθείας, οὐ πιστεύεται.

Θαλῆς. - Θάλης ὁ Μελήσιος ἐρωτηθείς ὑπό τινος, Πόσον ἀπέχει τό ψεῦδος τοῦ ἀληθοῦς, Ὅσον, ἔφη, ὀφθαλμοί τῶν ὤτων.

Πλουτάρχου. - Τό μέν ἴσον ζυγῷ· τό δέ ἀληθές, τῷ ἐκ φιλοσοφίας λόγῳ κρίνεται.

Ὁδοῦ καί ἀληθείας χαλεπόν ἀποπλανηθῆναι.

Χαρικλ. - Καλόν γάρ ποτε καί τό ψεῦδος, ὅταν ὠφελοῦν τούς λέγοντας, μηδέν καταβλάπτει τούς ἀκούοντας.

Γηρίνου. - Καθάπερ τό τοῦ ἡλίου φῶς οὐκ ἔστι θεάσασθαι ἀσθενεῖ καί ἀδυνάτῳ τῇ ὄψει, οὕτω, καί ἔτι μᾶλλον τήν ἀλήθειαν οὐκ ἔστιν ἰδεῖν ἀσθενεῖ καί ἀδυνάτῳ τῇ διανοίᾳ.

Ἐκ τῶν Ἐπικτήτου καί Ἰσοκράτους. - Μηδέν τῆς ἀληθείας τιμιώτερον ἔστω· μηδέ φιλίας ἐκλογή ἐκτός παθῶν διακειμένη, οἷς τό δίκαιον συγχέεται καί σκοτίζεται.

Αἰσώπ. - Αἴσωπος ἐρωτηθείς, Τί ὄφελος τοῖς ψευδομένοις ἐκ τοῦ ψεύδους, ἔφη, Τό κἄν ἀληθῆ λέγουσι μή πιστεύεσθαι.

Πλάτων. - Πλάτων μέν ἥδιστον εἶναι τῶν ἀκουσμάτων τήν ἀλήθειαν ἔλεγε· Πολέμων δέ πολύ ἥδιον τοῦ ἀκούειν τό λέγειν εἶναι τ᾿ ἀληθῆ.

Μενάνδρου. - Κρεῖσσον ἑλέσθαι ψεῦδος, ἤ ἀληθές κακόν.

***ΛΟΓΟΣ Λστ΄.***

***Περί θανάτου.***

Ἰωαν. ια΄. - Ὁ πιστεύων εἰς ἐμέ, κἄν ἀποθάνῃ, ζήσεται· καί πᾶς ὁ ζῶν καί πιστεύων εἰς ἐμέ, οὐκ ἀποθάνῃ εἰς τόν αἰῶνα.

Α΄. Θεσ. δ΄. - Οὐ θέλω ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, περί τῶν κεκοιμημένων, ἵνα μή λυπεῖσθε, καθώς καί οἱ λοιποί οἱ μή ἔχοντες ἐλπίδα.

Σολομ. δ΄. - Τελειωθείς ἐν ὀλίγῳ, ἐπλήρωσε (901) χρόνους μακρούς· ἀρεστή γάρ ἐν Κυρίῳ ἡ ψυχή αὐτοῦ, διά τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας.

Σιράαχ λ' . - Κρείσσων θάνατος ὑπέρ ζωήν πικράν, ἤ ἀῤῥώστημα ἔμμονον.

Σιράχ λη΄. - Τέκνον, ἐπί νεκρῷ κατάγαγε δάκρυα, καί ποίησον πένθος κατά τήν τάξιν αὐτοῦ ἡμέραν μίαν καί δύο, χάριν διαβολῆς, καί παρακλήθητι λύπης ἕνεκα. Γνῶθι γάρ ὅτι οὐκ ἔστιν ἐπάνοδος, καί

τοῦτον γάρ οὐκ ὠφελήσεις, καί σαυτόν κακώκεις. Ἀπό γάρ λύπης ἐκβαίνει θάνατος.

Βασιλείου. - Ὥσπερ γάρ οἱ ἐν τοῖς πλοίοις καθεύδοντες, αὐτομάτως ὑπό τοῦ πνεύματος ἄγονται, κἄν αὐτοί μή αἰσθάνωνται· ἀλλ᾿ ὁ δρόμος αὐτούς πρός τό τέλος ἐπείγει· οὕτω καί ὑμεῖς τοῦ χρόνου τῆς ζωῆς ἡμῶν παραῤῥέοντος, οἱονεί τινι κινήσει συνεχεῖ, καί ἀπαύστῳ, πρός τό οἰκεῖον ἕκαστος πέρας τῷ λανθάνοντι δρόμῳ τῆς ζωῆς ἡμῶν κατεπειγόμεθα.

Ὁ μέν ἐν τῷ βίῳ τυγχάνων, οὔπω μακαριστός διά τό ἄδηλον τῆς ἐκβάσεως· ὁ δέ συμπληρώσας τά ἐπιβάλλοντα, καί ἀναντιῤῥήτῳ τέλει τήν ζωήν κατακλείσας, οὗτος ἤδη ἀσφαλῶς μακαρίζεται

Οὐδείς μετά τό λυθῆναι τήν πανήγυριν πραγματεύεται, οὐδέ μετά τούς ἀγῶνας παρελθών στεφανοῦνται· οὐδέ μετά τούς πολέμους ἀνδραγαθεῖ.

Θεολόγου.

Παντί βροτῷ θνήσκοντι πᾶσα γῆ τάφος.

Πᾶν γάρ τό ἐκ γῆς γῆ τε καί εἰς γῆν πάλιν.

Χρυσόστ. - Εἰ πόλιν ἐκ πόλεως ἀμειβοῦντες, τοῦ χειραγωγοῦντος δεόμεθα· πολλῷ μᾶλλον ἡ ψυχή, τῆς σαρκός ἀπάρασα, καί πρός τήν μέλλουσαν μεθισταμένη ζωήν, τῶν ὁδηγησόντων δεήσεται.

Καθάπερ σῶμα ψυχοῤῥαγοῦν καί ἐγγύς ὤν τελευτῆς, μυρίας ἀπιστᾶται κακώσεις· καί οἰκίας μελλούσης καταπίπτειν, πολλά προπίπτειν εἴωθεν, καί ἀπό τῆς ὀροφῆς, καί ἀπό τῶν τοίχων· οὕτω καί τῆς οἰκουμένης ἐγγύς καί ἐν θύραις ἐστίν ἡ συντέλεια, καί διά τοῦτο τά μυρία διέσπαρται πανταχοῦ κακά.

Ἀριστοτ. - Ἐκ τοῦ βίου κράτιστόν ἐστιν ὑπεξελθεῖν ὡς ἐκ συμποσίου, μήτε διψῶντα, μήτε μεθύοντα.

Ὁ ἐν νόσῳ διαθήκας γράφων, παραπλήσια πάσχει, τοῖς χειμῶνι θαλαττίῳ εὐτρεπίζειν ἀρχομένοις τά τῆς νηός ὅπλα

Σωκράτ. - Αἱροῦ καλῶς τεθνάναι μᾶλλον, ἤ ζῆν αἰσχρῶς.

(904) Κλητάρχου. - Κρεῖττον ἀποθανεῖν, ἤ δι᾿ ἀκρασίας ψυχήν ἀμαυρῶσαι.

Μοσχίωνος. - Ταῖς νόσοις ὁ θάνατος ἀλλήλαις ἐπικαταλαμβανούσαις, οὐδ᾿ αὐτός παρεῖναι ἀναβάλλεται.

Ἐκ τῶν Φαβωρίν. - Ἀριστείδης ὁ δίκαιος ἐρωτηθείς, Πόσον ἐστί χρόνον ἄνθρωπον καλόν ζῆν, ἔφη, Ἕως ἄν ὑπολάβῃ τό τεθνάναι τοῦ ζῆν κρεῖττον εἶναι.

Ἄμασις. - Ἄμασις ὁ τῶν Αἰγυπτίων βασιλεύς, φίλῳ ἀποβαλόντι υἱόν, φράφων παραμυθητικόν, εἶπεν, Εἰ ὅτε οὐδέπω ἦν οὐκ ἐλύπου, μηδέ νῦν ὅτι οὐκ ἔτι ἔστι λυπηθῇς.

Διογένης. - Διογένης ὁ Κυνικός ὀδυρομένου τινός ἐπειδή ἐπί ξένης ἤμελλε τελευτᾷν, εἶπε , Τί ὀδύρῃ, ὦ μάταιε, πανταχόθεν γάρ ὁδός ἡ αὐτή εἰς ᾅδου.

Ἐχρῆν μέν ἡμᾶς σύλλογον ποιουμένους, τόν φῦντα θρηνεῖν εἰς ὅσ᾽ ἔρχεται κακά· τόν δ᾽ αὖ θανόντα καί πόνων πεπαυμένον, χαίροντας, εὐφημοῦντας, ἐκπέμπειν δόμων.

Ἐπικούρ. - Πρός μέν τ᾽ ἄλλα δυνατόν ἀσφάλειαν πορίσασθαι· χάριν δέ θανάτου πάντες ἄνθρωποι πόλιν ἀτείχιστον οἰκοῦμεν.

Μουσωνίου. - Οὐκ ἔστι τήν ἐνεστηκυῖαν ἡμέραν καλῶς βιῶναι, μή προθέμενον αὐτήν ὡς ἐσχάτην βιῶσαι.

Πολυαίνου. - Ἐπί τοῖς ἀποθνήσκουσι μή λυποῦ· ἀναγκαῖον γάρ· ἀλλ᾽ ἐπί τοῖς αἰσχρῶς τελευτῶσιν.

Δημοκρίτ. - Οὗτος νοσήσας καί ληθαργῷ περιπεσών, ὡς ἀνένηψεν, Οὐδέν με, ἔφη, ἐξαπατήσει ἡ φιλοζωΐα· καί ἐξήγαγεν ἑαυτόν τοῦ βίου.

Μενάνδρου.

Τρισάθλιόν γε καί ταλαίπωρον φύσει.

Πολλῶν τε μεστόν ἐστι τό ζῆν φροντίδων.

Ψυχήν σώματος ἀναγκαιότερον ἰᾶσθαι. Τοῦ γάρ κακῶς ζῇν, τό τεθνάναι κρεῖσσον.

Σοφοκλ.

Τύμβῳ γάρ οὐδείς πιστός ἀνθρώπων φίλος.

Φεῦ τοῦ θανόντος, ὡς ταχεῖα τοῖς βροτοῖς

Χάρις διαῤῥεῖ, καί προδοῦσ᾽ ἁλίσκεται.

Βίας. - Βίας ἐπικαλουμένου τινός τόν θάνατον ἐπί τέκνων ἀπωλείᾳ, ἔφη, Τί καλόν καλεῖς, ἄνθρωπε; οὐκ ἄν μή καλέσῃς ἥξει;

Οὗτος θεασάμενος μάχαιραν ἐῤῥιμμένην, ἔφη, Τίς σε ἀπώλεσεν, ἤ τίνα σύ.

Ὁ αὐτός ἐρωτηθείς, Ποῖος τῶν θανάτων κακός, ἔφη, Ὁ ἀπό τῶν νόμων ἐπαγόμενος.

Σωκράτης. - Σωκράτης καταδικασθείς ὑπό τῶν Ἀθηναίων κατακριμνησθῆναι, τῆς γυναικός Ξανθίππης κλαιούσης καί λεγούσης, Ὦ Σώκρατες, ὡς ἀδίκως ἀποθνήσκεις, εἶπε, Σύ οὖν ἐβούλου με δικαίως ἀποθανεῖν;

Ὁ αὐτός εἰπόντος αὐτῷ τινός, Οἱ Ἀθηναῖοί σου θάνατον ἐψηφίσαντο, ἔφη, Πρό αὐτῶν δέ ἡ φύσις.

(905) Ὁ αὐτός ἐρωτηθείς, Τίνα ἐστίν ἐν ᾅδου; εἶπεν· Οὔτε ἐγώ πεπόρευμαι, οὔτε τῶν ἐκεῖσέ τινι συντετύχηκα.

Σέξτου. - Οἰκείων, ζώντων μέν, ποιοῦ ἐπιμέλειαν· ἀπογενομένων δέ, δεῖ τά σώματα τῇ γῇ συμμεμίχθαι· τοῦτο γάρ καί ὅσιον· οὐ γάρ συνθάπτεται ψυχή τῷ σώματι. Μάτην οὖν ὁ πολύς πόνος περί τάς ταφάς.

Ἀναξαγ. - Δύο διδασκαλίας εἶναι οἶμαι θανάτου, τόν τε πρό τοῦ γενέσθαι χρόνον, καί τόν ὕπνον.

Ἐκ τῶν Φιλιστίωνος γνωμῶν. - Καυσιανοί τούς μέν γεννωμένους θρηνοῦσι, τούς δέ τελευτήσαντας μακαρίζουσι.

***ΛΟΓΟΣ ΛΖ΄.***

***Περί εἰρήνης καί πολέμου.***

Λουκ. ι΄. - Εἰς ἥν δ᾽ ἄν οἰκείαν εἰσέρχησθε, πρῶτον λέγετε· Εἰρήνη τῷ οἴκῳ τούτῳ· καί ἐάν ᾖ ἐκεῖ υἱός εἰρήνης, ἐπαναπαύσεται ἐπ᾽ αὐτόν ἡ εἰρήνη ὑμῶν.

β΄Κορ. ιγ΄. - Εἰρηνεύετε, ἀδελφοί, καί ὁ Θεός τῆς εἰρήνης καί τῆς ἀγάπης ἔσται μεθ᾽ ὑμῶν.

Παροιμ. ιζ΄. - Κρεῖσσον ψωμός μεθ᾽ ἡδονῆς ἐν εἰρήνῃ, ἤ οἶκος πολλῶν ἀγαθῶν μετά μάχης.

Σιρ. κε΄. - Ἐν τρισίν ὡραΐσθην καί ἀνέστην ὡραία ἐναντίον Κυρίου καί ἀνθρώπων· ὁμόνοια ἀδελφῶν, καί εἰρήνη τοῦ πλησίον, καί γυνή καί ἀνήρ ἑαυτοῖς συμπεριφερόμενοι.

Βασιλείου. - Ὅσον ἐστί τό τῆς εἰρήνης ἀγαθόν, τί χρή λέγειν πρός ἄνδρας υἱούς τῆς εἰρήνης; Οὐδέν γάρ οὕτως ἴδιον Χριστιανοῦ, ὡς το εἰρηνοποιεῖν· διότι καί τόν ἐπ᾽ αὐτῷ μισθόν μέγιστον ἡμῖν ὁ Κύριος ἐπηγγείλατο.

Θεολόγου. - Κρείσσων ἐπαινετός πόλεμος, εἰρήνης χωριζούσης Θεοῦ.

Χρυσοστ. - Ὁ ἐπαυξάμενος εἰρήνην ἅπασι, τόν πόλεμον τῶν παθῶν ἐξέβαλε, καί λιμένος εὐδιωτέραν τήν ψυχήν κατεσκεύασεν.

Νύσσης. - Ὥσπερ γάρ ὑγείας ἐπιλαβούσης νόσος ἐξαφανίζεται, καί φωτός φανέντος οὐχ ὑπολείπεται σκότος· οὕτως καί τῆς εἰρήνης ἐπιφανείσης, λύεται πάντα τά ἐκ τοῦ ἐναντίου συνιστάμενα πάθη.

Δημοσθ. - Δεῖ τούς ὀρθῶς πολέμῳ χρωμένους, οὐκ ἀκολουθεῖν τοῖς πράγμασιν, ἀλλ᾽ αὐτούς ἔμπροσθεν εἶναι τῶν πραγμάτων.

Πόλεμος ἔνδοξος, εἰρήνης αἰσχρᾶς αἱρετώτερος.

Ἡροδότ. - Οὐδείς γάρ οὕτως ἀνόητός ἐστιν (ἤ) ὅστις πόλεμον πρό εἰρήνης αἱρέεται.

Μενάνδρου.

Εἰρήνη γεωργόν κἀν πέτραις τρέφει καλῶς.

Πόλεμος δέ, εἰ κἀν πεδίῳ, κακῶς ἔφυ.

Ἀριστοφ.

Εἰρήνη βαθύπλουτε καί ζευγάριον βοϊκόν!

Εἰ γάρ ἐμοί παυσαμένῳ τοῦ πολέμου γένοιτο

(908) Σκάψαντ᾽ ἀποκλᾶσαι, καί λουσαμένῳ διελκύσαι

Τῆς τρυγός, ἄρτον λιπαρόν καί ῥάφανον φέροντι.

Εὐριπίδ.

Σοφόν γάρ εὐβούλευμα τάς πολλάς χέρας·

Νικᾷ γάρ· σύν ὄχλῳ δ᾽ ἀμαθία πλέον κακόν.

***ΛΟΓΟΣ ΛΗ΄.***

***Περί ἐλπίδος.***

Ἐμβλέψατε εἰς τά πετεινά τοῦ οὐρανοῦ, ὅτι οὐ σπείρουσιν, οὐδέ θερίζουσιν, οὐδέ συνάγουσιν εἰς ἀποθήκας, καί ὁ Πατήρ ὑμῶν ὁ οὐράνιος τρέφει αὐτά.

Ῥωμ. η΄. - Ἐλπίς βλεπομένη, οὐκ ἔστιν ἐλπίς· ὅ γάρ βλέπει τις, οὐκ ἐλπίζει. Εἰ δέ ὅ οὐ βλέπομεν, ἐλπίζομεν, δι᾽ ὑπομονῆς ἀπεκδεχόμεθα.

Σολ. ιστ΄. - Ἀχαρίστου ἐλπίς, ὡς χειμέριος πάχνη τακήσεται, καί ῥυήσεται ὡς ὕδωρ ἄχρηστον.

Σολ. ε΄. - Ἐλπίς ἀσεβοῦς, ὡς φερόμενος χνοῦς ὑπό ἀνέμου, καί ὡς καπνός ὑπό ἀνέμου διαλυθείς, καί ὡς μνεία καταλύτου μονοημέρου διωδεύθη.

Σιράχ β΄. - Ἐμβλέψατε εἰς τάς ἀρχαίας γενεάς, καί ἴδετε, τίς ἤλπισεν ἐπί Κύριον καί κατησχύνθη, ἤ τίς ἐνέμεινεν ἐν τῷ φόβῳ αὐτοῦ, καί ὑπερεῖδεν αὐτόν.

Βασιλείου. - Ὁ ἐπ᾽ ἄνθρωπον ἐλπίζων, ἤ ἐπ᾽ ἄλλο τι τῶν κατά τόν βίον μετεωριζόμενος, οὐ δύνατι εἶπεῖν· Ἐπί σέ, Κύριε, ἤλπισα, Παράγγελμα γάρ ἐστι μή ἐλπίζειν ἐπ᾽ ἄρχοντας.

Ἐπαινῶ τόν εἰπόντα, τάς ἐλπίδας εἶναι γρηγορούντων ἐνύπνια.

Θεολόγου. - Ὅταν μεγάλα ἐλπίσαντες ἀθρόως τοῖς ἐλπισθεῖσιν ἐντύχωμεν, ἐλάττω τῆς δόξης ὁρᾶται τά φαινόμενα.

Μή σφόδρα θαῤῥεῖν, μηδ᾽ ἀπελπίζειν ἄγαν.

Τό μέν γάρ ἐκλύει· τό δέ ἀνατρέπει.

Ἅ γάρ τις ὡς πεισόμενος δέδοικε, ταῦτα πέπονθε κἄν μή πάθῃ.

Πολλοῖς πρός ὅρμοις εὐπλοοῦν ἔδυ σκάφος.

Πολλοί προσωρμίσθησαν ἐκ τρικυμίας.

Μήτε ἀθυμῶν ἀπελπίσῃς, εὐημερίαν, μήτε καλῶς πράττων ἀθυμίαν.

Ἕν ἐστιν ἐν τοῖς οὖσι τό μόνιμον, ἡ πρός Θεόν ἐλπίς· τά δέ ἄλλα πάντα, οὐχί ἐστι τῇ φύσει, ἀλλά νομίζεται.

Χρυσοστ. - Ἀμήχανον τοῦ τέλους ἐκπεσεῖν, τόν ὅλῃ διανοίᾳ ἐπί τόν Θεόν ἐλπίζοντα, καί τά παρ᾽ ἑαυτοῦ πάντα εἰσφέροντα.

Γρηγ. Νύσ. - Τῶν προδοκωμένων ἀγαθῶν ἡ θλίψις ἄνθος ἐστί. Διά οὖν τό καρπόν, καί τό ἄνθος δρεψώμεθα.

Νείλου. - Τό ἀπροσδόκητον κακόν θορυβεῖ πάντως ἐπελθόν· τό δέ προδοκηθέν εὐτρεπῆ πρός τήν πεῖραν εὑρόν τόν λογισμόν, κουφότερον ποιεῖ τό δεινόν.

(909) Προκοπίου σοφιστοῦ. - Τό ἐλπισθέν ἀγαθόν εἰς τοὐναντίον περιπεσόν, ἀπαραμύθητον ἔχει τό πάθος.

Πλουτάρχ. - Οὔτε ναῦν ἐξ ἑνός ἀγκυρίου, οὔτε βίον ἐκ μιᾶς ἐλπίδος ὁρμιστέον.

Στάσιμοί εἰσιν αἱ τῶν πεπαιδευμένων ἐλπίδες, ὡς ἐν κιμένι τῷ λογισμῷ ὁρμοῦσαι.

Αἱ μέν τῆς ἀρετῆς ἐλπίδες, ἴδιαί εἰσι τῆς ψυχῆς· αἱ δέ τῆς κακίας, νόθοι.

Ταυτόν ἐστιν ἐξ ἀσθενοῦς ἀγκυρίου σκάφος ὁρμεῖν, καί ἐκ φαύλης γνώμης ἐλπίδα.

Σωκράτ. - Αἱ πονηραί ἐλπίδες, ὥσπερ οἱ κακοί ὁδηγοί, ἐπί ἁμαρτήματα ἄγουσιν.

Οὔτε γυνή χωρίς ἀνδρός, οὔτε ἐλπίς ἀγαθή χωρίς πόνου γεννᾷ τι χρήσιμον.

Λευκίππ. - Τά γάρ ἡδέα, κἄν μή παρῇ, τέρπει ταῖς ἐλπίσιν

Τό γάρ ἐλπισθέν, ἅπαξ ἐξήρηται τῆς ψυχῆς· καί τό μηδαμόθεν ἔτι προσδοκώμενον, ἀπαλλαγήν παρασκευάζει τοῖς κάμνουσιν.

Χαρικλ. - Ἡ γάρ εἰς τό μήπω λεχθέν ἔπειξις τοῦ λόγου, τό ὁλόκληρον τῶν ἤδη λεχθέντων παραιρεῖται.

Λευκίππης. - Ὁ μέν γάρ τοῦ κινδύνου φόβος, ἐθορύβει τάς τῆς ψυχῆς ἐλπίδας· ἡ δέ ἐλπίς τοῦ τυχεῖν, ἐκάλυπτεν ἡδονῇ τόν φόβον· οὕτω καί ἐλπίζον ἐφοβεῖτο, καί ἔχαιρε τό λυπούμενον.

***ΛΟΓΟΣ ΛΘ΄.***

***Περί γυναικῶν.***

Ἰωαν. δ΄. - Λέγει αὐτῇ ὁ Ἰησοῦς· Ἐγώ εἰμι ὁ λαλῶν σοι. Καί ἐπί τοῦτο ἦλθον οἱ μαθηταί αὐτοῦ, καί ἐθαύμασαν ὅτι μετά γυναικός ἐλάλει.

Α΄ Τιμ. β΄. - Γυνή ἐν ἡσυχίᾳ μανθανέτω ἐν πάσῃ ὑποταγῇ· γυναικί δέ διδάσκειν οὐκ ἐπιτρέπω, οὐδέ αὐθεντεῖν ἀνδρός.

Παροιμ. ε΄. - Μή πρόσεχε φαύλῃ γυναικί· μέλι γάρ ἀποστάζει ἀπό χειλέων γυναικός πόρνης, ἥ πρός καιρόν λιπαίνει σοι φάρυγγα· ὕστερον μέντοι πικρότερον χολῆς εὑρήσεις.

Παροιμ. κε' . Ὥσπερ σκώληξ ἐν ξύλῳ, οὕτως ἄνδρα ἀπόλλυσι γυνή κακοποιός.

Παροιμ. κα΄. - Κρεῖσσον οἰκεῖν ἐν ἐρήμῳ, ἤ μετά γυναικός μαχίμου καί γλωσσώδους καί ὀργίλου.

Σιρ. κε΄. - Συνοικῆσαι λέοντι καί δράκοντι εὐδόκησαι, ἤ συνοικῆσαι μετά γυναικός πονηρᾶς.

(912) Βασιλ. - Αἱ πονηραί τῶν γυναικῶν διαθέσεις, τάς ἀσθενεῖς ψυχάς τῶν συνοικούντων καταβαπτίζουσιν.

Θεολόγου. - Αἱ τῶν γυναικῶν ἀφρονέσταται, ἀποροῦσαι κάλλους οἰκείου, πρός τά χρώματα φεύγουσι· καί εἰσίν, ὡς ἄν εἴποιμι, κοσμίως θεατριζόμεναι, δι᾿ εὐσχημοσύνην ἀσχήμονες, καί δι᾿ αἶσχος αἰσχρότεραι.

Χρυσοστ. - Ὁ ἔχων γυναῖκα πονηράν, γινωσκέτω ὅτι ἤδη τούς μισθούς τῶν ἀνομιῶν αὐτοῦ ἐκομίσατο.

Δεινόν πενιχροτέραν λαβεῖν γυναῖκα, δεινόν εὐπορωτέραν. Τό μέν γάρ εἰς τήν οὐσίαν ἔβλαψε, τό δέ, εἰς αὐθεντίαν καί ἐλευθερίαν, τόν ἄνδρα.

Κλήμεντ. - Ἀνύποπτον εἰς διαβολήν δείκνυσι γυναῖκα, τό μή καλλωπίζεσθαι, μηδέ μήν κοσμεῖσθαι, παρά τοῦ πρέποντος.

Σέξτου. - Ἐπί γυναικί πονηρᾷ καλόν σφραγίς.

Δημοκρίτ. - Ὑπό γυναικός ἄρχεσθαι, ὕβρις ἄν εἴη ἔσχατα.

Σόλωνος. - Σόλων ἐρωτηθείς ὑπό τινος, εἰ γήμῃ, ἔφη· Ἐάν μέν αἰσχράν γήμῃς, ἕξεις ποινήν· εἰ δ᾿ ὡραίαν, ἕξεις κοινήν.

Διογένης. - Κοινολογουμένας γυναῖκας θεασάμενος, ἔφη, Ἀσπίς παρ᾿ ἐχίδνης φάρμακον δανείζεται.

Πουλχερία. - Αὔτη ἐρωτηθεῖσα ὑπό τινος ἐν συνόδῳ πλειόνων γυναικῶν, διατί μόνη τῶν ἄλλων γυναικῶν οὐ φορεῖ κόσμον, ἔφη· Αὐτάρκης κόσμος ἐστί γυναικί, ἡ τοῦ ἀνδρός ἀρετή.

Πυθαγόρ. - Τό εἰς πῦρ καί γυναῖκα ἐμπεσειν, ἴσον ὑπάρχει.

Σεκοῦνδος. - Σεκοῦνδος ὁ σοφός ἐρωτηθείς, Τί ἐστι γυνή; εἶπεν· Ἀνδρός ναυάγιον, οἴκου ζάλη, ἀμεριμνίας ἐμπόδιον, βίου ἅλωσις, καθημερινή ζημία, αὐθαίρετος μάχη, πολυτελής πόλεμος, συνεσθιόμενον θηρίον, συγκαθημένη μέριμνα, συμπλεκομένη λέαινα, κεκοσμημένη σκύλλα, ζῶον πονηρόν, ἀναγκαῖον κακόν.

Ὁ αὐτός ἔφη, Τριῶν κακῶν τέτευγμαι· γραμματικῆς, πενίης, καί οὐλομένης γυναικός ἐκφυγεῖν οὐκ ἴσχυσα.

Φιλόξενος. - Φιλόξενος ὁ ποιητής, (913) εἰπόντος τινος, Διατί Σοφοκλῆς χρηστάς παρεισάγει τάς γυναῖκας , αὐτός δέ φαύλας, εἶπεν, Ὅτι Σοφοκλῆς μέν, οἵας δεῖ εἶναι τάς γυναῖκας λέγει· ἐγώ δέ, οἷαί εἰσιν.

***ΛΟΓΟΣ Μ΄.***

***Περί ἀντιλογίας καί θρασύτητος καί ἔριδος.***

Ματθ. ε΄. - Ἠκούσατε ὅτι ἐῤῥέθη, ὀφθαλμόν ἀντί ὀφθαλμοῦ, καί ὀδόντα ἀντί ὀδόντος; Ἐγώ δέ λέγω ὑμῖν· Μή ἀντιστῆναι τῷ πονηρῷ· ἀλλ᾽ ὅστις σε ῥαπίσει εἰς τήν δεξιάν σιαγόνα, στρέψον αὐτῷ καί τήν ἄλλην.

Ῥωμ. θ΄. - Ὦ ἄνθρωπε, μενοῦν γε, σύ τίς εἶ ὁ ἀνταποκρινόμενος τῷ Θεῷ; Μή ἐρεῖ τό πλάσμα τῷ πλάσαντι, Τί με ἐποίησας οὕτως; ἤ οὐκ ἔχει ἐξουσίαν ὁ κεραμεύς τοῦ πηλοῦ ἐκ τοῦ αὐτοῦ φυράματος ποιῆσαι, ὅ μέν εἰς τιμήν σκεῦος, ὅ δέ εἰς ἀτιμίαν;

Παροιμ. κζ' . - Σίδηρος σίδηρον ὀξύνει·

Παροιμ. κε΄. - Ἄνεμος Βοῤῥᾶς ἐξεγείρει νέφη· πρόσωπον δέ ἀναιδές, γλῶσσαν ἐρεθίζει.

Σιράχ δ΄. - Μή γίνου θρασύς ἐν τῇ γλώσσῃ σου, καί νωθρός καί παρειμένος ἐν τοῖς ἔργοις σου.

Σιράχ κβ' . - Πρό πυρός, ἀτμίς καμίνου καί καπνός·οὕτω πρό αἱμάτων, λοιδορίαι.

Ἄνθρωπος συνεθιζόμενος λόγοις ὀνειδισμοῦ, ἐν πάσαις ταῖς ἡμέραις αὐτοῦ μή παιδευθῇ.

Ἔρις κατασπευδομένη ἐκκαίει πῦρ· καί μάχη κατασπεύδουσα ἐκχέει αἷμα.

Βασιλ. - Ἡ ἀντιλογία τό αὐτοκρατορικόν καί ἀνυπότακτον δείκνυσι, κἄν ἐν σχήματι ταπεινώσεως γίνηται.

Θεολόγου. - Φιλεῖ γάρ τά γενναῖα φρονήματα πρό τό βίᾳ κρατοῦ αὐθαδίζεσθαι, καί καθάπερ φλόξ ὑπ᾽ ἀνέμου ῥιπιζομένη, τοσούτῳ μᾶλλον ἀνάπτεσθαι, ὅσῳπερ ἄν σφοδρότερον καταπνέηται.

Χρυσοστ. - Μή πρός τούς παραινοῦντας σιγᾷν ἀντίτεινε λέγων, Οὐκ ἀνέξομαι ἵνα μου καταγελάσας ὁ δεῖνα ἀπέλθῃ. Οὐ γάρ δή τότε σου καταγελᾷ, ἀλλ᾽ ὅταν ἐπεξέλθῃς. Εἰ δέ καί τότε γελάσεται, ὡς ἀνόητος καί τοῦτο πείσεται. Σύ δέ μή ζήτει νικῶν τήν παρά τῶν ἀνοήτων μαρτυρίαν, ἀλλ᾽ ἀποχρώσας (916) νόμιζε τήν παρά τῶν συνετῶν. Μᾶλλον δέ πρός τόν Θεόν ἀνάβλεψον, κἀκεῖνός σε ἐπαινέσει· τόν δέ παρ᾽ ἐκείνου θαυμαζόμενον, οὐ δεῖ τήν παρά τῶν ἀνθρώπων τιμήν ὅλως ἐπιζητεῖν.

Γρηγ. Νύσσ. - Τά μέν γάρ λοιπά τῶν ἁμαρτημάτων, καί χρόνου καί πραγμάτων καί τῶν ἔξωθεν συνεργίας πρός τό γενέσθαι δέονται· ἡ δέ τοῦ λόγου φύσις, κατ᾽ ἐξουσίαν ἔχει τό πλημμελεῖν.

Φίλωνος. - Ἀναισχυντία μέν ἴδιον φαύλου· αἰδώς δέ, σπουδαίου· τό δέ μήτε αἰσχύνεσθαι μήτε ἀναισχυντεῖν, τοῦ ἀκαταλήπτως ἔχοντος καί ἀσυνκαθέτως.

Ἀναιδές βλέμμα καί μετέωρος αὐχήν, καί συνεχής κίνησις ὀφρύων, καί βάδισμα σεσοβημένον, καί τό ἐπί μηδενί τῶν φαύλων ἐρυθριᾷν, σημεῖα ψυχῆς ἐστιν αἰσχίστης, τούς ἀφανεῖς τῶν οἰκείων ὀνειδῶν τύπους ἐγγραφούσης τῷ φανερῷ σώματι.

Φιλιστίων.

Ὅστις γάρ αὐτός αὐτόν οὐκ αἰσχύνεται,
Συνειδώς αὐτῷ φαῦλα διαπεπραγμένῳ,
Πῶς τόν δε μηδέν εἰδότ᾽ αἰσχυνθήσεται;

Ἀριστοτέλ. - Τό μή αἰσχύνεσθαι κακόν ὄντα, κακίας ὑπερβολή.

Σωκράτης. - Γλώσσῃ θρασείᾳ μή χρῆσθαι· πολλάκις γάρ τό θράσος, καί αὐτήν διώλεσε τήν κεφαλήν.

Εὐριπίδ. - Θράσει μέν οὐδείς οὐδέπω, πόνῳ δέ καί γενναιότητι καί ἐπιεικείᾳ ἀρετήν ἐπεκτήσατο.

Μενάνδρου. - Οὐκ ἔστιν ἀνοίας οὐδέν ὡς ἐμοί δοκεῖ, τολμηρότερον.

Μουσωνίου. - Αἰδοῦς παρά πᾶσιν ἄξιος ἔσῃ, ἐάν πρῶτον ἄρξῃ σαυτόν αἰδεῖσθαι.

Θεόφραστ. - Αἰδοῦς παρά πᾶσιν ἄξιος ἔσῃ, ἐάν πρῶτον ἄρξῃ σαυτόν αἰδεῖσθαι.

Κάτωνος. - Ὁ αὐτός ἰδών μειράκιον ἐρυθριάσαν, ἔφη. Θάῤῥει· τοιοῦτον γάρ ἔχει ἡ ἀρετή τό χρῶμα.

Μάλιστα νόμιζε δεῖν ἕκαστον αἰδεῖσθαι ἑαυτόν· μηδένα γάρ ἑαυτοῦ μηδέποτε χωρίς εἶναι.

***ΛΟΓΟΣ ΜΑ΄.***

***Περί γήρως καί νεότητος.***

Ἰωάν. κα΄. - Ὅτε ἦς νεώτερος, ἐζώννυες ἑαυτόν καί περιεπάτεις ὅπου ἤθελες· ὅταν δέ γηράσῃς, ἐκτενεῖς τάς χεῖράς σου, καί ἄλλος δε ζώσει, καί οἴσει ὅπου οὐ θέλεις.

Ἑβραί. ιβ΄. - Διό τάς παρειμένας χεῖρας καί παραλελυμένα γόνατα ἀνορθώσατε· καί τροχιάς ὀρθάς ποιήσατε τοῖς ποσίν ὑμῶν.

Σιράχ στ' . - Μῆκος βίου, ὁδοί δικαιοσύνης.

Ἐν πλήθει πρεσβυτέρων, στῆθι· καί εἴ τις σοφός, προσκολλήθητι αὐτῷ.

Σιράχ η΄. - Μή ἀτιμάσῃς ἄνδρα ἐν γήρει αὐτοῦ· καί γάρ καί ἐξ ἡμῶν γηράσκουσιν.

(917) Σιράχ κε' . - Ὡς ὡραῖον πολιαῖς κρίσις, καί πρεσβύτερος ἐπιγνῶναι βουλήν.

Ὡς ὡραία γερόντων σοφία, καί δεδοξασμένοις διανοήματα βουλῆς!

Ἐμίσησεν ἡ ψυχή μου γέροντα μοιχόν, ἐλαττούμενον συνέσει.

Βασιλ. - Πλέον τῷ ὄντι τῆς ἐν θριξί λευκότητος εἰς πρεσβυτέρου σύστασιν, τό ἐν φρονήσει πρεσβυτερικόν.

Διαφέρει τοῦ νηπίου καθ᾽ ἡλικίαν οὐδέν, ὁ ἐν ταῖς φρεσί μηπιάζων.

Θεολόγου. - Αἰσχρόν τήν μέν ἡλικίαν παρακμάσαι, μή παρακμάσαι δέ τήν ἀσέλγειαν.

Παιδεύεταί τι καί πολιά, καί οὐ πάντη τό γῆρας, ὡς ἔοικεν, εἰς σύνεσιν ἀξιόπιστον.

Χρυσοστόμ. - Πολιά οὐ τρίχες λευκαί, ἀλλά ψυχῆς ἀρεταί.

Μή τόν νέον διάβαλλε· μηδέ τόν γεγηρακότα ἐπαίνει· οὔτε γάρ ἐν τῇ διαφορᾷ τῆς ἡλικίας ἀρετή καί κακία, ἀλλ᾽ ἐν τῇ διαφορᾷ τῆς γνώμης.

Γρηγ. Νύσσ. - Ἐπί παντός ὡς ἐπί πολύ πράγματος, ἐπισφαλής σύμβουλος ἡ νεότης· καί οὐκ ἄν τις ῥαδίως κατώρθωσέ τι τῶν σπουδῆς ἀξίων, ᾧ μή καί πολιά συμπαρελήφθη πρός κοινωνίαν τοῦ σκέμματος.

Φίλων. - Ὁ ἀληθείᾳ πρεσβύτερος, οὐκ ἐν μήκει χρόνου, ἀλλ' ἐπαινετῷ καί τελείῳ βίῳ θεωρεῖται.

Εὐαγρίου. - Τό ἔντιμον ἐν γήρᾳ εἶναι, ἀπόδειξις τοῦ φιλόπονον πρό γήρως γεγονέναι· τό δέ σπουδαῖον ἐν νέῳ, ἐχέγγυον τοῦ ἔντιμον ἐν γήρᾳ ἔσεσθαι.

Ἀνθεῖ πρός ἐπιστήμην ψυχή, ὁπότε ὁ τοῦ σώματος ἀκμαί χρόνου μήκει περαίνονται.

Νείλου. - Θρίξ λελευκαμένη, τήν ἐντεῦθεν τῆς ψυχῆς ἀποδημίαν βοᾷ καί διαμαρτύρεται.

Πλουτάρχ. - Ὁ μέν χειμών, σκέπης· τό δέ γῆρας, ἀλυπίας δεῖται.

Πλουτάρχ. - Ἡδύ ἐστιν ὥσπερ φίλῳ σπουδαίῳ, οὕτω καί λόγῳ καλῷ συγγηράσκειν.

Παρεκελεύετο τοῖς νέοις τρία ταῦτα ἔχειν, ἐπί μέν τῆς γνώμης, σωφροσύνην· ἐπί δέ τῆς γλώττης, σιγήν· ἐπί δέ τοῦ προσώπου, αἰδῶ.

Ἐκ τῶν Φαυωρίνου. - Ἐρατοσθένης ὁ Κυρηναῖος, τῆς ἡλικίας ἔφη, τό μέν ἀκμάζον, ἔαρ εἶναι· θέρος δέ καί μετόπωρον, τό μετά τήν ἀκμήν· χειμῶνα δέ, τό γῆρας.

Σόλωνος. - Γῆρας, ἔλεγεν ὅρμον εἶναι κακόν· εἰς αὐτό γάρ πάντα καταφεύγει.

Διογένης. - Ἐρομένου τινός αὐτόν, Τί νομίζεις τό γῆρας; ἀπεκρίνατο, Τοῦ ζῆν χειμῶνα.

Διογένης. - Ἰδών δέ γραῦν καλλωπιζομένην, εἶπεν, (920) Εἰ μέν πρός τούς ζῶντας, πεπλάνησαι· εἰ δέ πρός τούς νεκρούς μή βράδυνε.

Ἀλεξάνδρ. - Ἀλέξανδρος ἰδών τινα τῶν γερόντων βαπτόμενον τάς τρίχας, εἶπε. Μή τάς τρίχας βάπτου, ἀλλά τά γόνατα.

Ὀργίας ἐρωτηθείς, ποίᾳ διαίτῃ χρώμενος, εἰς μακρόν γῆρας ἦλθες; Οὐδέν οὐδέποτε, ἔφη, πρός ἡδονήν οὔτε φαγών οὔτε δράσας.

Προκόπιος. - Βίου μῆκος, προσδοκηθέν μέν, πολύ· παραδραμόν δέ, πέφυκεν ὀνείρου καί σκιᾶς ἀμυδρότερον εἶναι.

Φιλήμον.

Σύρα, Σύρα, τί ἐστι; πῶς ἡμῖν ἔχεις;
Μηδέποτ᾽ ἐρώτα τοῦτ᾽ ἐπάν γέροντ᾽ ἴδῃς,
Ἤ γραῦν τινα· ἴσθι δ᾽ εὐθύς ὅτι κακῶς ἔχει.

Ἡρώδου.

Ἐπήν τόν ἑξηκοστόν ἥλιον κάμψῃς,
Ὦ Γρύλλε, Γρύλλε, θνῆσκε, τέφρα γίνου.
Ὡς τυφλός ὁ ὑπέρ κεῖνο τοῦ βίου καμπτήρ.

Φιλήμον. - Ἔστι που σύνεσις νέων, καί γερόντων ἀσυνεσία· χρόνος γάρ οὐ διδάσκει φρόνησιν, ἀλλά φύσις ὀρθή καί δίαιτα.

Δημοκρίτ. - Γῆρας καί πενία, δύο τραύματα δυσθεράπευτα.

Παλαιός αἶνος, ἔργα μέν νεωτέρων,

Βουλαί δ' ἔχουσιν τῶν γεραιτέρων κράτος.

Γῆρας λεόντων κρεῖσσον ἀκμάτων νεβρῶν.

Ἰσχύς καί εὐμορφίη, νεότητος ἀγαθόν· γῆρας δέ, σωφροσύνης ἄνθος.

***ΛΟΓΟΣ ΜΒ΄.***

***Περί ὑπομονῆς καί μακροθυμίας.***

Λουκ. κα΄. - Ἐν δέ τῇ ὑπομονῇ κτήσασθε τάς ψυχάς ὑμῶν.

Ἰακ. ε΄. - Ἀδελφοί, ὑπόδειγμα λάβετε τῆς κακοπαθείας καί τῆς μακροθυμίας τούς προφήτας, οἵ ἐλάλησαν τῷ ὀνόματι Κυρίου. Ἰδού μακαρίζομεν τούς ὑπομένοντας. Τήν ὑπομονήν Ἰώβ ἠκούσατε, καί τό τέλος Κυρίου ἴδετε.

Παροιμ. ιε' . - Μακρόθυμος ἀνήρ, κατασβέσει κρίσεις· ὁ δέ ἀσεβής, ἐγείρει μᾶλλον.

Σιραχ β΄. - Πᾶν ὅ ἐάν ἐπαχθῇ σοι, δέξαι, καί ἐν ἀλλάγματι ταπεινώσεώς σου, μακροθύμησον, ὅτι ἐν πυρί δοκιμάζεται χρυσός, καί ἄνθρωποι δεκτοί ἐν καμίνῳ ταπεινώσεως.

Σιράχ κβ΄. - Ὑπόμεινον ἐν καιρῷ θλίψεως, καί διάμενε ἐπί τόν πλησίον, ἵνα ἐν τῇ κληρονομίᾳ αὐτοῦ συγκληρονομήσῃς.

Βασιλείου. - Ἔστω σοι ἡ ἐντολή τοῦ Θεοῦ σύνοικος (921) οἷόν τι φῶς καί διαύγεια πρός τήν τῶν πραγμάτων διάκρισιν ἀδιαλείπτως παρεχομένη· ἥτις πόῤῥωθεν τήν τῆς ψυχῆς σου ἐπιστασίαν προκατασχοῦσα, καί τάς ἀληθεῖς περί ἑκάστου δόξας προευτρεπίζουσα, ὑπ᾽ οὐδενός ἐάσει σε τῶν προσπιπτόντων ἀλλοιωθῆναι· ἀλλά προευτρεπισμένον τῇ διανοίᾳ, ὥσπερ τινά σκόπελον θαλάσσης γείτονα, ἀσφαλῶς καί ἀσείστως τῶν τε βιαίων πνευμάτων καί τῶν κυμάτων τάς προσβολάς ὑπομένειν.

Θεολ. - Βέλτιον τοῦ τάχους ἡ μακροθυμία, καί τῆς αὐθαδείας ἡ συγκατάβασις.

Ἀγαθόν χρηστότητι νικᾶν θρασύτητα, καί βελτίους ποιεῖν τούς ἀδικοῦντας, οἷς καρτεροῦμεν πάσχοντες.

Ἀλγοῦσιν καί οἱ τῷ κόσμῳ προστετηκότες, καί πολλῷ πλέον τῷ Θεῷ δουλευόντων· ἀλλά μισθός αὐτοῖς τό ἀλγεῖν· ἡμῖν δέ καί τό πάσχειν ἔμμισθον, ὅταν διά τόν Θεόν καρτερῶμεν.

Μή γενώμεθα δοῦλοι κακοί, ἀγαθύνοντι μέν ἐξομολογούμενοι τῷ Δεσπότῃ· παιδευόμενοι δέ, μή προστιθέμενοι· καίτοι ποτέ κρεῖσσον ὑγείας πόνος, καί ὑπομονή ἀνέσεως, καί ἐπίσκεψις ἀμελείας.

Χρυσοστ. - Οὐδέν οὕτως αἰδεσίμους ποιεῖ, ὡς τούς ὑβριζομένους φέρειν.

Καθάπερ τοῖς μετανοοῦσιν ἡ τοῦ Θεοῦ μακροθυμία ὠφέλιμος, οὕτως τοῖς ἀνενδότοις καί σκληροῖς μειζόνων γίνεται κολάσεων πρόφασις.

Ὅταν τις ἐπηρεάζῃ, μή πρός αὐτόν ἴδῃς, ἀλλά πρός τόν κινοῦντα δαίμονα· καί τήν ὀργήν ἅπασαν κατ᾽ ἐκείνου κένωσον· αὐτόν δέ καί ἐλέει τόν ὑπ᾽ ἐκείνου κινούμενον.

Οὐδέν γάρ οὕτω λαμπρούς ποιεῖ καί ζηλωτούς, καί μυρίων ἐμπίπλησι ἀγαθῶν, ὡς πειρασμῶν πλῆθος, καί κίνδυνοι καί πόνοι καί ἀθυμίαι· καί τό διηνεκῶς ἐπιβουλεύεσθαι, καί παρ᾽ ὧν οὐδαμῶς ἐχρῆν, καί πάντα πράως φέρειν.

Ὅπερ γάρ ἄν πάθωμεν ἀδίκως παρ᾽ ὁτοοῦν, ἤ εἰς ἁμαρτημάτων διάλυσιν ὁ Θεός ἡμῖν λογίζεται τήν ἀδικίαν ἐκείνην, ἤ εἰς μισθοῦ ἀντίδοσιν.

Νείλου. - Τό ὀλιγωρεῖν, καί μή θέλειν ὑπομένειν συμφοράς, μεγάλης καί ποικίλης ἀφροσύνης ἴδιον.

Γλύκωνος. - Γνῶσις θεοῦ διά μακροθυμίας καί πραότητος εἰς ἄνδρα γνωρίζεται.

Γρηγ. Νύσσ. - Ἡ τοῦ λοιδορεῖσθαι καί ὑβρίζειν ἀκολουθία, διά μακροθυμίας ἵσταται τῆς ἐπί τά πρόσω φορᾶς· ὡς εἴ γέ τις ὕβρει τήν ὕβριν καί λοιδορίᾳ τήν λοιδορίαν ἀμύνοιτο, πλεονάσει πάντως, τρέφων διά τῶν ὁμοίων τό ἄτοπον.

(924) Τό πιστόν καί ἀναμφίβολον τῆς ἐλπιζομένης χάριτος, ἀπόλαυσις τοῖς δι᾽ ὑπομονῆς ἀπεκδεχομένοις γίνεται.

Δημοκρίτ. - Εἰ μέν ἦν μαθεῖν ἅ δεῖ παθεῖν, καί μή παθεῖν, καλόν τό μαθεῖν· εἰ δέ παθεῖν, τί δεῖ μαθεῖν; παθεῖν γάρ χρή.

Σόλων. - Σόλων, προσπτύσαντος αὐτῷ τινος, ἠνέσχετο· μεμψαμένου δέ αὐτῷ ἑτέρου ἐπί τούτῳ, Εἶτα οἱ μέν ἁλιεῖς, εἶπεν, ὑπομένουσι ῥαίνεσθαι τῇ θαλάσσῃ, ἵνα κωβίον θηράσωσιν· ἐγώ δέ μή ἀνάσχωμαι τό αὐτό παθεῖν ἵνα ἄνθρωπον ἁλιεύσω;

Μητροδώρου. - Μή ζήτει γίνεσθαι τά γινόμενα ὡς θέλεις, ἀλλά θέλε ὡς ἄν τά γινόμενα γίνηται.

***ΛΟΓΟΣ ΜΓ΄.***

***Περί ἐπαίνου.***

Λουκ. στ΄. - Οὐαί ὑμῖν, ὅταν καλῶς ὑμᾶς εἴπωσιν οἱ ἄνθρωποι· κατά ταῦτα γάρ ἐποίουν τούς ψευδοπροφήτας οἱ πατέρες αὐτῶν.

Ἰακ. γ΄. - Ἐκ τοῦ αὐτοῦ στόματος ἐξέρχεται εὐλογία καί κατάρα. Οὐ χρή, ἀδελφοί μου, ταῦτα οὕτω γίνεσθαι. Μή τι ἡ πηγή ἐκ τῆς αὐτῆς ὀπῆς βρύει τό γλυκύ καί τό πικρόν;

Δοκίμιον ἀργυρίου καί χρυσίου, πύρωσις· ἀνήρ δέ δοκιμάζεται διά στόματος ἐγκωμιαζόντων αὐτόν.

Σιράχ κζ' . - Πρό λογισμοῦ μή ἐπαινέσῃς ἄνδρα· οὗτος γάρ πειρασμός ἀνθρώπων.

Βασιλ. - Μή πρός ἐπαίνους χαυνωθῶμεν τούς ὑπέρ τήν ἀλήθειαν.

Θεολ. - Αἱ τῶν τιμῶν ὑπερβολαί, παρασκευάζουσί τινας καί τοῦ δέοντος καταφρονῆσαι· ὧν γάρ τούς ἐπαίνους οἶδα, τούτων σαφῶς καί τάς ἐπιδόσεις.

Μήτε τό ἀλλότριον ἐπαινείσθω πᾶν, ὅ μή δίκαιον· μήτε ἀτιμαζέσθω τό οἰκεῖον εἰ τίμιον· ἵνα μή τῷ μέν κέρδος ἡ ἀλλοτριότης ᾖ· τῷ δ᾽ εἰς ζημίαν περιστῇ τό τῆς οἰκειότητος. Ἀμφοτέρως γάρ ἄν ὁ τοῦ δικαίου βλάπτοιτο λόγος, κἀκείνων ἐπαινουμένων, καί τούτων σιωπωμένων.

Χρυσοστ. - Ὁ γάρ ἐπαινῶν πονηρίαν, τῆς ἐκ τοῦ μετανοῆσαι θεραπείας αὐτήν ἀπεστέρησε.

Οὐχ οἱ τά φαῦλα πράττοντες μόνον, ἀλλά καί οἱ τούτους ἐγκωμιάζοντες, τῆς αὐτῆς, ἤ καί χαλεπωτέρας ἐκείνοις κοινωνήσουσι κολάσεως.

Τοῦ ἁγίου Ἰγνατίου. - Κἄν ἐῤῥωμένος ὦ κατά Θεόν, πλέον με δεῖ φοβεῖσθαι καί προσέχειν τοῖς εἰκῆ φυσιοῦσί με. Ἐπαινοῦντες γάρ με μαστιγοῦσιν.

(925) Κλήμεντος. - Θηρεύουσι τοῖς μέν κυσί, τούς λαγωούς, οἱ κυνηγοί· τοῖς δέ ἐπαίνοις τούς ἀνοήτους οἱ πολλοί.

Τό μέν λαβανωτόν, τοῖς θεοῖς· τόν δέ ἔπαινον τοῖς ἀγαθοῖς ἀπονέμειν χρή.

Ἰσοκράτ. - Πιστούς ἡγοῦ, μή τούς πᾶν ὅ τι ἄν ποιῇς καί λέγῃς ἐπαινοῦντας, ἀλλά τοῖς ἁμαρτανομένοις ἐπιτιμῶντας.

Μοσχίων. - Εἰ θέλεις καλῶς ἀκούειν, μάνθανε καλῶς λέγειν. Πειρῶ καλῶς πράττειν, καί οὕτω καρπώσῃ τό καλῶς ἀκούειν.

Πολυαίνου. - Παρόντα μήτε ψέγε, μήτ᾽ ἐπαίνει· τό μέν γάρ ἔχθραν φέρει· τό δέ κολακείαν.

Κυψέλλου. - Ζῶν μέν, ἐπαινοῦ· ἀποθανών δέ, μακαρίζου.

Ἀνταγένης. - Οὗτος εἶπεν, ὅταν ἐπαινῶσί με πολλοί , τότε νομίζω μηδενός ἄξιος εἶναι· ὅτα δέ ὀλίγοι, σπουδαῖον ἄνθρωπον.

***ΛΟΓΟΣ ΜΔ΄.***

***Περί κάλλους.***

Ματθ. στ΄. - Καταμάθετε τά κρίνα τοῦ ἀγροῦ πῶς αὐξάνει· οὐ κοπιᾷ οὐδέ νήθει. Λέγω γάρ ὑμῖν, ὅτι οὐδέ Σολομών ἐν πάσῃ τῇ δόξῃ αὐτοῦ περιεβάλετο ὡς ἕν τούτων.

Α΄ Τιμ. β΄. - Βούλομαι τάς γυναῖκας ἐν καταστολῇ κοσμίῳ, μετά αἰδοῦς καί σωφροσύνης, κοσμεῖν ἑαυτάς· μή ἐν πλέγμασιν ἤ χρυσῷ ἤ μαργαρίταις, ἤ ἱματισμῷ πολυτελεῖ.

Παροιμ. στ' . - Μή σε νικήσῃ κάλλους ἐπιθυμία· μηδέ ἀγρευθῇς σοῖς ὀφθαλμοῖς.

Σιράχ ια΄. - Μή αἰνέσῃς ἄνδρα ἐν κάλλει αὐτοῦ.

Σιράχ κς΄. - Κάλλος προσώπου ἐπί ἡλικίᾳ στασίμῃ.

Βασιλείου. - Ὁ σήμερον εὐθαλής τῷ σώματι κατασεσαρκωμένος ὑπό τρυφῆς, ἐπανθοῦσαν ἔχων τήν εὔχροιαν, ὑπό τῆς κατά τήν ἡλικίαν ἀκμῆς σφριγῶν καί σύντονος καί ἀνυπόστατος τήν ὁρμήν, αὔριον ὁ αὐτός οὗτος ἐλεεινός, ἤ τῷ χρόνῳ μαρανθείς, ἤ νόσῳ διαλυθείς.

Θεολόγου. - Χρυσός καί λίθοι, καί τά τέχνης καί χειρός ὡραΐσματα, τήν μέν αἰσχράν ἐλέγχει τῇ παραθέσει, τῇ καλῇ δ'οὐ προσθήκη, κάλλους ἡττώμενα.

Κάλλος νόμιζε τήν φρενῶν εὐκοσμίαν.

Οὔτε φλόξ μένει τῆς ὕλης δαπανηθείσης, ἀλλά τῷ ἀνάπτοντι συναπέρχεται· οὔτε λογισμός ἐμπαθής ὑφίσταται μαραινομένου τοῦ ὑπεκκαύματος.

Μή σε νικησάτω κάλλους ἐπιθυμία, νηδέ συναρπασθῇς σοῖς βλεφάροις, εἰ δυνατόν, μέχρι καί παροράματος.

(928) Χρυσοστ. - Τίς ἀρετή ὀφθαλμῶν; ἆρα τό ὑγρούς εἶναι καί εὐτρόφους καί στρογγύλους καί κυανούς ἤ τό ὀξεῖς καί διορατικούς; Καί τίς ἀρετή λύχνου; τό λαμπρῶς φαίνειν καί πᾶσαν καταυγάζειν τήν οἰκείαν, ἤ τό καλῶς πεπλᾶσθαι καί στρογγύλον εἶναι; Οὐ γάρ ἀπό τῆς διαπλάσεως, ἀλλ᾽ ἀπό τῶν τρόπων καί τῆς κοσμιότητος τό κάλλος χαρακτηρίζεται.

Πλουτάρχ. - Εἰς κάτοπτρον κύψας, θεώρει· καί εἰ μέν καλός φαίνει, ἄξιον τούτου πρᾶττε· εἰ δέ αἰσχρός, τό τῆς ὄψεως ἐλλιπές ὡράϊζε καλοκαγαθίᾳ.

Λαυκίππης. - Ὀφθαλμός γάρ φιλίας πρόξενος· καί τό σύνηθες τῆς κοινωνίας εἰς χάριν αἰδεσιμώτερον.

Ὀφθαλμοί γάρ ἀλλήλοις ἀντανακλώμενοι, ἀπομάττουσιν ὡς ἐν κατόπτρῳ τῶν σωμάτων τά εἴδωλα.

Διογένης. - Τούς εὐειδεῖς καί ἀπαιδεύτους, ὁμοίους ἔφη εἶναι ἀλαβάστροις ἔχουσιν ὄξος.

Ἐτεοκλέους. - Σεμνυνομένου τινός ἐπί τῷ κάλλει, Οὐκ αἰσχήνῃ, ἔφησεν, ἐπί τῇ ὥρᾳ μέγα φρονῶν, ἥν παρακαταθήκην τοῦ μικροῦ χρόνου ἔχεις;

Αἰσώπου. - Αἴσωπος πρός τόν κάλλει κακῶς κεχρημένον, εἶπεν· Ὁποίῳ ἱματίῳ ἠμφιεσμένος, κακῶς αὐτό ἀποδύῃ;

Ὁ αὐτός θεασάμενος μειράκιον εὔμορφον, καί διά ταῦτα φιλούμενον, ἔφη, Ὦ μειράκιον, σπούδασον τούς τοῦ σώματος ἐραστάς ἐπί τήν ψυχήν μεταγαγεῖν.

Μενάνδρου.

Ὅταν φύσει τό κάλλος ἐπικοσμεῖ τρόπος

Χρηστός, διπλασίως ὁ προσιών ἁλίσκεται.

Σωκράτ. - Τά καλά τε καί ἀγαθά, ἔφην ἐγώ, οὐ διά τάς ὡραιότητας τῶν ὄψεων, ἀλλά διά τάς ἐν τῷ βίῳ ἀρετάς τοῖς ἀνθρώποις ἐπαύξεσθαι.

Τά τῶν καλῶν φιλήματα φυλάττεσθαι δεῖ, ὡς τά τῶν ἰοβόλων δήγματα.

***ΛΟΓΟΣ ΜΕ΄.***

***Περί μελλούσης κρίσεως.***

Ματθ. ιστ΄. - Μέλλει ὁ υἱός τοῦ ἀνθρώπου ἔρχεσθαι ἐν δόξῃ τοῦ Πατρός αὐτοῦ μετά τῶν ἀγγέλων αὐτοῦ· καί τότε ἀποδώσει ἑκάστῳ κατά τά ἔργα αὐτοῦ.

Α΄ Κορ. γ΄. - Ἑκάστου τό ἔργον φανερόν γενήσεται. (929) Ἡ ἡμέρα δηλώσει ὅτι ἐν πυρί ἀποκαλύπτεται· καί ἑκάστου τό ἔργον ὁποῖόν ἐστι, τό πῦρ δοκιμάσει.

Σολομ. ιβ΄. - Σύμπαν τό ποίημα ἄξει ὁ Θεός εἰς κρίσιν, ἐν παντί παρεωραμένῳ, ἐάν ἀγαθόν, ἐάν πονηρόν.

Σιράχ ιζ΄. - Ἐξαναστήσεται Κύριος καί ἀνταποδώσει πᾶσι, καί τό ἀνταπόδομα αὐτῶν εἰς κεφαλάς αὐτῶν ἀνταποδώσεις.

Βασιλείου. - Μή με νομίσῃς, ὥσπερ μητέρα τινά τροφόν, ψευφῆ σοι μορμολύκεια ἐπισείειν, ὥσπερ ἐκεῖναι ποιεῖν περί τούς νηπίους τῶν παίδων εἰώθασιν, ὅταν θρηνῶσιν ἄτακτα καί ἀπέραντα, δι᾽ ἐπιπλάσεως τῶν διηγημάτων κατασιγάζουσι. Ταῦτα γάρ οὐ μύθος, ἀλλά λόγος ἀψευδής προκεκηρυγμένος φωνεῖ. Καί ἴσθι ἀκριβῶς ὅτι γενήσεται τῶν βεβιωμένων ἔλεγχος ἀκριβής.

Κατά γάρ τόν Ὠσηέ, Κυκλώσει ἕκαστον τά διαβούλια αὐτοῦ. Ὀψόμεθα γάρ ἅμα πάντα οἱονεί παρεστῶτα ἡμῖν τά ἔργα, καί φαινόμενα ἀντιπρόσωπα τῇ διανοίᾳ ἡμῶν, κατά τῶν ἰδίων τύπων, ὡς ἕκαστον ἰδεῖν ἑαυτόν μετά τῶν ἑαυτοῦ πράξεων, καί τόν Κριτήν, καί τά ἀκόλουθα τῷ θείῳ δικαστηρίῳ· ἀφάτῳ δέ δυνάμει ἐν ῥοπῇ καιροῦ φαντασιουμένου τοῦ νοῦ, καί πάντα ἀναζωγραφοῦντος ἑαυτῷ, καί οἱονεί ἐν κατόπτρῳ, τῷ ἡγεμονικῷ, ἐνορῶντος τούς τύπους τῶν πεπραγμένων.

Θεολόγου. - Ὦ βέλτιον εἶναι νῦν παιδευθῆναι καί καθαρθῆναι, ἤ τῇ ἐκεῖθεν βασάνῳ παραπεμφθῆναι, ἡνίκα κρίσεως καιρός, οὐ καθάρσεως.

Χρυσοστ. - Καθάπερ ἡμεῖς τοῖς οἰκέταις τοῖς ἡμετέροις, οὐχί τῆς ἐξόδου μόνον, ἀλλά καί τῆς εἰσόδου ποιοῦμεν τόν λόγον, ἐξετάζοντες πόθεν ὑπεδέξαντο τάδε καί τάδε· παρά τίνων καί πότε καί πῶς, καί ποῖα καί πόσα οὕτω καί ὁ Θεός, οὐχί τῆς δαπάνης μόνον, ἀλλά καί τῆς κτήσεως ἀπαιτεῖ τάς εὐθύνας.

Οὐδέν ὅλως τῶν ἀγαθῶν, κἄν μικρόν εἴη, παροφθήσεται ἐκεῖ παρά τοῦ Κριτοῦ. Εἰ γάρ ἁμαρτημάτων καί ῥημάτων καί ἐνθυμημάτων τιννύειν μέλομεν τιμωρίας, πολλῷ μᾶλλον τιμωρίας, πολλῷ μᾶλλον τά κατορθώματα, κἄν μεγάλα ᾖ, κἄν μικρά, λογισθήσεται.

Οἱ τά πολλά πταίοντες, καί μή κολαζόμενοι, φοβεῖσθαι καί δεδοικέναι ὀφείλουσιν. Αὔξεται γάρ (932) αὐτοῖς τά τῆς τιμωρίας διά τῆς ἀτιμωρησίας καί τῆς μακροθυμιάς τοῦ Θεοῦ.

Εἰ γάρ οἱ τό φῶς τό ἡλιακόν μή θεώμενοι, παντός θανάτου πικροτέραν ὑπομένουσι ζωήν, τί παθεῖν εἰκός τούς τοῦ φωτός ἀποστερηθέντας ἐκείνου.

Γρηγ. Νύσσ. - Ἄξιόν σοι τῆς σπορᾶς τό θέρος. Πικρίαν ἔσπειρας; δρέπου τά δράγματα; Τό ἀνηλεές ἐτίμησας; ἔχε ὅπερ ἠγάπησας. Ἔφυγες τόν ἔλεον; Φεύξεταί σε ὁ ἔλεος. Ἐβδελύξω πτωχόν; βδελύξεταί σε ὁ δι᾽ ἡμᾶς πτωχεύσας.

Φίλωνος. - Οὐκ ἔστι παρά Θεοῦ, οὔτε πονηρόν ὄντα ἀπολέσαι τόν ἀγαθόν μισθόν περί ἑνός ἀγαθοῦ, μετ᾽ οὐ πλειόνων ἀγαθῶν πεπραγμένου· οὔτε πάλιν ἀγαθόν ὄντα ἀπολέσαι τήν κόλασιν καί μή λαβεῖν αὐτήν, καί κατά πλειόνων ἀγαθῶν, ἐάν τι γένηται πονηρόν. Ἀνάγκη γάρ ζυγῷ καί σταθμῷ πάντα ἀποδιδόναι τόν Θεόν.

Οὐ τό κολάζεσθαι ἐνταῦθα κακόν, ἀλλά τό ἄξιον τῆς ἐκεῖσε γενέσθαι κολάσεως.

Ζαλεύκου. - Ὧδ᾽ ἡμῖν παρηγγέλθω πᾶσι τοῖς τοιούτοις πολίταις καί πολίτισι καί συνοίκοις· μεμνῆσθαι Θεόν ὡς ὄντα, καί δίκας ἐπιπέμπτοντα τοῖς ἀδίκοις· καί τίθεσθαι πρό ὀμμάτων τόν καιρόν τοῦτον, ἐν ᾧ γίνεται τό τέλος ἑκάστου τῆς ἀπαλλαγῆς τοῦ ζῆν. Πᾶσι γάρ ἐμπίπτει μεταμέλεια τῖς μέλλουσι τελευτᾷν, μεμνημένοις ὧν ἠδικήσασι, καί ὁρμή τοῦ βούλεσθαι πάντα πεπράχθαι δικαίως αὐτοῖς.

Ἀπολλωνίου. - Εἰ δ᾽ ἔστιν αἴσθησις ἐν ᾅδου, καί ἐπιμέλεια τῶν οἰχομένων παρά τοῦ δαιμονίου, ὥσπερ ὑπολαμβανόμεν, εἴη τούς ταῖς τιμαῖς τῶν Θεῶν καταλυομέναις βοηθήσαντας, πλείστης ἐπιμελείας ὑπό τοῦ δαιμονίου τυγχάνειν.

Πλουτάρχου. - Ἅιδου τινός ἀνοίγονται πύλαι βαθεῖαι, καί ποταμοί πυρός καί στηγός ἀπῤῥῶγες ἀνακεράννυνται καί σκότος ἐμπίπλαται πολυφαντάστων εἰδώλων, χαλεπάς μέν ὄψεις, οἰκτράς δέ φωνάς ἐπιφερόντων. Δικασταί δέ καί κολασταί καί χάσματα, καί μυχοί μυρίων κακῶν γέμοντες.

***ΛΟΓΟΣ Στ΄.***

***Περί δόξης.***

Ματθ. ς΄. - Ζητεῖτε τήν βασιλείαν τοῦ Θεοῦ, καί τήν δόξαν αὐτοῦ, καί ταῦτα πάντα πάντα προστεθήσεται ὑμῖν.

(933) Ῥωμ. η΄. - Οὐκ ἄξια τά παθήματα τοῦ νῦν καιροῦ πρός τήν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς.

Παροιμ. γ' . - Δόξαν σοφοί κληρονομήσουσι· οἱ δέ ἀσεβεῖς, ὑψώσουσιν ἀτιμίαν.

Παροιμ. κα΄. - Ὁδός δικαιοσύνης καί ἐλεημοσύνης εὑρήσει ζωήν καί δόξαν.

Παροιμ. κα' . - Ὁδός δικαιοσύνης καί ἐλεημοσύνης εὑρήσει ζωήν καί δόξαν.

Παροιμ. κβ' . - Γενεᾷ σοφῇ φόβος Κυρίου, καί πλοῦτος καί δόξα καί ζωή.

Σιράχ λδ΄. - Μή δῷς μῶμον ἐν τῇ δόξῃ σου, καί ἐν ἡμέρᾳ δόξης μή ἐπαίρου.

Σιράχ ζ΄. - Μή ζήτει παρά Κυρίου ἡγεμονίαν, μηδέ παρά βασιλέως καθέδραν δόξης.

Σιράχ ια΄. - Πολλοί δυνάσται ἠτιμάσθησαν σφόδρα, καί ἔνδοξοι παρεδόθησαν εἰς χεῖρας ἑτέρων.

Σιράχ θ΄.- Μή ζηλώσῃς δόξαν ἁμαρτωλῶν.

Σιράχ δ΄. - Μεγιστᾶνι ταπείνου τήν κεφαλήν σου.

Σιράχ η΄. - Μή διαμάχου μετ᾽ ἀνθρώπου δυνάστου, μήποτε ἐμπέσῃς εἰς τάς χεῖρας αὐτοῦ.

Σιράχ ιγ΄. - Προσκαλουμένου δε δυνάστου, ὑποχωρῶν γίνου, καί τότε μάλιστα προσκαλέσεται.

Σιράχ λβ' . - Ἐν μέσῳ μεγιστάνων μή ἐξισάζου.

Σιράχ μβ΄. - Οὐκ ἐποίησεν οὐδέν ἐλλεῖπον· ἕν τοῦ ἑνός ἐστερέωσε τά ἀγαθά· καί τίς πλησθήσεται ὁρῶν δόξαν αὐτοῦ;

Βασιλ. - Εἰ δόξης ἐποθυμεῖς, καί βούλει τῶν πολλῶν ὑπερβαίνεσθαι, καί εὐδόκιμος ἐν τοῖς κοσμικοῖς πράγμασι γίνεσθαι, ἔσο δίκαιος, σώφρων, φρόνιμος, ἀνδρεῖος, ὑπομονητικός ἐν τοῖς ὑπέρ εὐσεβείας παθήμασιν. Οὕτω γάρ καί σεαυτόν σώσεις, καί ἐπί μεῖζον ἀγαθοῖς μείζονα ἕξεις τήν περηφάνειαν.

Τόν προεστῶτα μή ἐπαιρέτω τό ἀξίωμα, ἵνα μή ἐκπέσῃ τοῦ μακαρισμοῦ τῆς παπεινοφροσύνης.

Ὤφειλεν ἄνθρωπον ἐν τῇ παρά Θεῷ δόξῃ μεμενηκέναι, καί εἶχεν ἄν ὕψος οὐκ ἐπίπλαστον, ἀλλ᾽ ἀληθινόν, δυνάμει Θεοῦ μεγαλυνόμενος. Ἐπειδή δέ τήν τῆς θείας δόξης ἐπιθυμίαν μετέθηκε, καί μείζονα προσδοκήσας, σπεύσας ὅπερ οὐκ ἠδύνατο λαβεῖν, ἀπώλεσεν ὅπερ ἔχειν ἠδύνατο.

Βούλομαί σοι σφοδρότερον τῆς κτίσεως ἐνιδρυνθῆναι τό θαῦμα. Πρῶτον μέν οὖν, ὅταν ἴδῃς βοτάνην χόρτου καί ἄνθος, εἰς ἔννοιαν ἔρχου τῆς ἀνθρωπίνης φύσεως, μεμνημένος τῆς εἰκόνος τοῦ σοφοῦ Ἡσαΐου, Ὅτι πᾶσα σάρξ χόρτος, καί πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου. Τό γάρ ὀλιγοχρόνιον τῆς ζωῆς, καί τό ἐν ὀλίγῳ περιχαρές καί ἱλαρόν τῆς ἀνθρωπίνης εὐημερίας, καιριωτάτης παρά τοῦ προφήτου τετύχηκε τῆς εἰκόνος. Σήμερον εὐθαλής τῷ σώματι, κατασαρκωμένος ὑπό τρυφῆς, ἐπανθοῦσαν ἔχων τήν εὔχροιαν, ὑπό τῆς κατά τήν ἡλικίαν ἀκμῆς σφριγῶν καί σύντονος, καί ἀνυπόστατος τήν ὁρμήν· αὔριον ὁ αὐτός οὗτος ἐλεεινός, (936) ἤ τῷ χρόνῳ μαρανθείς, ἤ νόσῳ

διαλυθείς. Ὁ δεῖνα περίβλεπτος ἐπί χρημάτων περιουσίᾳ, καί πλῆθος περί αὐτόν κολάκων, δορυφορία φίλων προσποιητῶν, τήν ἐπ᾽ αὐτοῦ χάριν θεραπευόντων· πλῆθος συγγενείας, καί ταύτης κατεσχηματισμένης· ἐσμός τῶν ἐφεπομένων μυρίος, τῶν τε ἐπισιτίων, καί τῶν κατά τάς ἄλλας χρείας αὐτῷ προσδευόντων· οὕς καί προϊών, καί πάλιν ἐπανιών ἐπισυρόμενος, ἐπίφθονός ἐστιν τοῖς ἐντυγχάνουσιν. Πρός δέ τῷ πλούτῳ εὕροις καί πολιτικήν τινα δύναμιν, ἤ καί τάς ἐκ τῶν βασιλέων τιμάς, ἐθνῶν ἐπιμέλειαν, ἤ καί στρατοπέδων ἡγεμονίαν, καί τόν κήρυκα μέγα βοῶντα προϊόντα πρό αὐτοῦ· τούς ῥαβδοφόρους ἔνθεν καί ἔνθεν βαρυτάτην κατάπληξιν τοῖς ἀρχομένοις ἐμβάλλοντας· τάς πληγάς, τάς δεσμεύσεις, ἐπαγωγάς, τά δεσμωτήρια, ἐξ ὧν ἀφόρητος ὁ παρά τῶν ὑποχειρίων συναθροίζεται φόβος. Καί τί μετά τοῦτο; μία νύξ, ἤ πυρετός, ἤ πλευρῖτις, ἤ περιπνευμονία, ἀνάρπαστον ἐν ἀνθρώπων ἀπάγουσα τόν ἄνθρωπον οἴχεται, πᾶσαν τήν κατ᾽ αὐτόν σκηνήν ἐξαπίνης ἀπογυμνώσασα· καί ἡ δόξα ἐκείνη ὥσπερ ἐνύπνιον ἀπηνέχθη. Ὥστε ἐπιτετεῦχθαι τῷ προφήτῃ, ἡ πρός τό ἀδρανέστατον ἄνθος ὁμοίωσις τῆς ἀνθρωπίνης δόξης.

Θεολόγου.

Δόξης ἀεί φρόντιζε τῆς αἰωνίου.
Ἡ γάρ παροῦσα φεύδεται καθ᾽ ἡμέραν.
Δόξαν δίωκε, μήτε πᾶσαν, μήτ᾽ ἄγαν.
Κρεῖσσον γάρ εἶναι τοῦ δοκεῖν. Εἰ δ᾽ ἄμετρος εἶ,
Μή τήν κενήν θήρευε, μηδέ τήν νέαν.

Χρυσοστ. - Εἰ γάρ ὑπέρ ἀξιώματός τις βιωτικοῦ ὅλην πολλάκις τήν οὐσίαν ἐπέδωκεν· ὑπέρ τῆς μελλούσης δόξης καί ἀναφαιρέτου, τί γένοιτ᾽ ἄν ἡμῶν ἀθλιώτερον, μηδέ ὀλίγα προϊεμένων;

Ἡ μέν γάρ παρά τῶν ἀνθρώπων δόξα τῶν δοξαζόντων μιμεῖται τήν εὐτέλειαν, ὅθεν καί μεταπίπτει ῥᾳδίως. Ἡ δέ τοῦ Θεοῦ, οὐχ οὕτως· ἀλλ᾽ ἀκίνητος μένει διηνεκῶς. Καί ταῦτ᾽ ἀμφότερα δηλῶν ὁ προφήτης, κἀκείνης τό εὐμετάπτωτον, καί ταύτης τό μόνιμον, οὕτως ἔλεγεν, Πᾶσα σάρξ χόρτος, καί πᾶσα δόξα ἀνθρώπου ὡς δόξα χόρτου. Ἅπασαν τήν ἀνθρωπίνην εὐημερίαν, οὐδέ πρός χόρτον, ἀλλ᾽ ἑτέραν ὕλην εὐτελεστέραν ὁ προφήτης παρέβαλεν, ἄνθος αὐτήν ὀνομάσας χόρτου. Οὐδέν γάρ μέρος αὐτῶν προέθηκεν, οἷον πλοῦτον, ἤ τρυφήν, ἤ δυναστείαν, ἤ τιμήν, ἤ τι τοιοῦτον· ἀλλά πάντα τά ἐν ἀνθρώποις λαμπρά, μιᾷ προσηγορίᾳ τῇ τῆς δόξης περιβαλών, οὕτως ἐπήγαγεν

τήν εἰκόνα τοῦ χόρτου, εἰπών, Πᾶσαν δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου· ἐξηράνθη χόρτος, καί τό ἄνθος ἐξέπεσεν.

Κυρίλλου. - Φύσει μέν γάρ χόρτου, φησίν, ἔοικε τῶν ἀνθρώπων τό γένος· ἄνθη δέ χόρτου, (937) ἡ ἐπιγενομένη δόξα καί δυναστεία. Καί καθάπερ τοῦ χόρτου ξηραινομένου, τό ἄνθος ἐκπίπτει· οὕτω τοῦ θανάτου τοῖς ἀνθρώποις ἐπιόντος, ἡ δυναστεία καί ἡ ὑπερηφάνει σβέννυται.

Πλουτάρχ. - Τά μέν φυτά ἀπό τῆς ῥίζης, ἡ δέ δόξα, ἀπό τῆς πρώτης λήψεως αὔξει.

Οὐδείς φροντίζων δόξης ἀγαθῆς, γένοιτ᾽ ἄν ἀνήρ φαῦλος· καλόν δέ, ἀντί βραχείας ἀπολαύσεως ἀλλάξασθαι δόξαν αἰώνιον.

Ἀριστοτέλ. - Ἀξίωμα μέγιστόν ἐστιν, οὐ τό κεχρῆσθαι τιμαῖς, ἀλλά τό ἄξιον ἑαυτόν[ἴσ. αὐτῶν] εἶναι νομίζεσθαι.

Ἰσοκράτ. - Ὧν τάς δόξας ζηλοῖς, τούτων καί τά ἀγαθά πράξῃς.

Ἴνδος τοξευτής. - Τόν Ἴνδον τόν μέγιστα δοκοῦντα, καί λεγόμενον διά δακτυλίου τόν ὀϊστόν ἀφιέναι, ἐκέλευσεν ἐπιδείξασθαι· καί μή βουλόμενον, ὀργισθείς ἀνελεῖν προσέταξεν. Ἐπεί δέ ἀπαγόμενος ὁ ἄνθρωπος ἔλεγε πρός τούς ἄγοντας, ὅτι Πολύς χρόνος ἐστίν ἀφ᾽ οὗ ἐπί χεῖρας τόξον οὐκ ἔλαβον, καί τό ἀποτυχεῖν ἐφοβήθην. Ἀκούσας ταῦτα Ἀλέξανδρος, ἐθαύμασε καί ἀπέλυσε μετά δώρων αὐτόν, ὅτι μᾶλλον ἀποθανεῖν ὑπέμεινεν, ἤ τῆς δόξης ἀνάξιος φανῆναι.

Θεοφράστ. - Οὐ γάρ ἐξ ὁμιλίας δεῖ καί χάριτος τάς τιμάς, ἐλλ᾽ ἐκ τῶν πράξεων λαμβάνειν.

Ἡρακλ. - Συντομωτάτην ὁδόν ὁ αὐτός ἔλεγεν εἰς εὐδοξίαν, τό γενέσθαι ἀγαθόν.

Φίλωνος. - Ὁ μαθών ἄρχεσθαι, καί ἄρχειν εὐθύς μανθάνει. Οὐδέ γάρ εἰ πάσης γῆς καί θαλάσσης τό κράτος ἀνάψαιτό τις, ἄρχων ἄν εἴη πρός ἀλήθειαν, εἰ μή μάθῃ καί προπαιδευθείη τό ἄρχεσθαι.

Ἰωσήππου Ἀρχαιολ. - Πάντες οἱ ἄρχεσθαι καλῶς μεμαθηκότες, καί ἄρχειν εἴσονται παρελθόντες εἰς ἐξουσίαν.

***ΛΟΓΟΣ ΜΖ΄.***

***Περί γλωσσαλγίας.***

Ματθ. ιβ΄. - Λέγω δέ ὑμῖν, ὅτι πᾶν ῥῆμα, ὅ ἐάν λαλήσωσιν οἱ ἄνθρωποι, ἀποδώσουσι λόγον περί αὐτοῦ. Ἐκ γάρ τῶν λόγων σου δικαιωθήσῃ, καί ἐκ τῶν λόγων σου κατακριθήσῃ.

Ἰάκ. ια' . - Ἔστω πᾶς ἄνθρωπος ταχύς εἰς τό ἀκοῦσαι, καί βραδύς εἰς τό λαλῆσαι.

Σιράχ η΄. - Γλωσσώδει ἀνθρώπῳ μή διαμάχου μηδέ ἐπιστοίβαζε ἐπί τό πῦρ αὐτοῦ ξύλα.

Παροιμ. ιγ' . - Ὅς φυλάσσει τό ἑαυτοῦ στόμα, τηρεῖ τήν ἑαυτοῦ ψυχήν.

Παροιμ. στ΄. - Παγίς ἀνδρί ἰσχυρά, τά ἴδια χείλη· ἁλίσκεται δέ ῥήμασιν ἰδίου στόματος.

Παροιμ. ι' . - Ὁ ἄστεγος χείλεσιν, σκολιάζων ὑποσκελισθήσεται.

(940) Παροιμ. κβ΄. - Βόθρος βαθύς στόμα παρανόμου· ὁ δέ μισηθείς ὑπό Θεοῦ, ἐμπεσεῖται εἰς αὐτόν.

Παροιμ. κ΄. - Ἐν πολλοῖς ξύλοις θάλλει πῦρ· στόμα δέ ἄστεγον ποιεῖ ἀκαταστασίαν.

Σιράχ κβ΄. - Τίς δώσει ἐπί τοῦ στόματός μου φυλακήν, καί ἐπί τῶν χειλέων μου σφραγίδα; ἵνα μή ἐμπέσω ἀπ᾿ αὐτῆς, καί ἡ γλῶσσά μου ἀπολέσῃ με.

Σιράχ λ' . - Ἀγαθά κεχυμένα ἐπί στόματι κεκλεισμένῳ.

Βασιλ. ΄- Μή πάντα θάῤῥει τῇ γλώσσῃ, ἵνα μή πάθῃς ἀκαίρως, καθάπερ ὀφθαλμός ὅλον τόν ἥλιον θέλων ἀποβλέψαι, ἀπόλλει καί ὅ ἔχει φῶς.

Θεολόγου. - Ὄλισθος ἀνθρώποις, γλῶσσα λόγῳ μή κυβερνωμένη.

Χρυσόστ. - Λόγος ἁπλῶς προενεχθείς, ὁλοκλήρους ἀνέτρεψεν οἰκίας· καί ψυχάς ἀνέστρεψε καί κατέδυσε· καί τῶν μέν χρημάτων τήν ζημίαν διορθοῦσθαι πάλιν εἴη· λόγον δέ ἐκπηδήσαντα ἅπαξ, ἀνακτῆσαι πάλιν οὐκ εἴη.

Κυρίλλου. - Μή χελιδόνας οἰκίαις δέχεσθαι· τουτέστι λάλους ἀνθρώπους καί περί γλῶσσαν ἀκρατεῖς ὁμοροφίους μή ποιεῖσθαι.

Εὐαγρίου. - Λάλει ἅ δεῖ, καί ὅτι δεῖ, καί περί ὧν δεῖ, καί οὐκ ἀκούσεις ἅ μή δεῖ.

Νείλου. - Εἰ κρατεῖς γαστρός, κράτει καί γλώσσης· ἵνα μή τῆς μέν ὑπάρχῃς δοῦλος, τῆς δέ τυγχάνῃς ἀνοήτως ἐλεύθερος.

Ἰσοκράτ. - Πᾶν ὅ τι ἄν μέλλεις ἐρεῖν, πρότερον ἐπισκόπει τῇ γνώμῃ· πολλοῖς γάρ ἡ γλῶσσα προτρέχει τῆς διανοίας.

Ἰσοκράτης ὁ ῥήτωρ, Καρεῶνος ὄντος λάλου, καί σχολάζειν παρ᾿ αὐτῷ βουλομένου, διττούς ᾔτησε μισθούς. Τοῦ δέ τήν αἰτίαν πυθομένου, Ἕνα μέν, ἔφη, ἵνα λαλεῖν μάθῃς· τό δέ ἕτερον, ἵνα σιγᾷν.

Κλειτάρχ. - Ὅ μή θέλῃς ἀκούειν, μηδέ εἴπῃς· ὅ μή θέλῃς λέγειν, μηδέ ἄκουε· ὤτων καί γλώττης μέγας ὁ κίνδυνος.

Σωκράτης. - Κρεῖττον εἶναι τῷ ποδί ὀλισθαίνειν, ἤ τῇ γώσσῃ.

Δημόνακτ. - Τοῖς ὠσί πλέον, ἤ τῇ γλώττῃ χρῷ.

Δημοσθ. - Ἐν συμποσίῳ πρός τόν πολλά λαλοῦντα, Εἰ τοσαῦτα, ἔφη, ἐφρόνεις, οὐκ ἄν τοσαῦτα ἐλάλεις.

Ἐρωτηθείς δέ, Διατί μίαν γλῶσσαν ἔχομεν, ὦτα δέ δύο; εἶπεν, Ὅτι διπλάσιον δεῖ ἀκούειν τοῦ λέγειν.

(941) Πλάτων. - Πλάτων, Ἀντισθένους ἐν τῇ διατριβῇ ποτε μακρολογολήαντος, Ἀγνοεῖς, εἶπεν, ὅτι τοῦ λόγου μέτρον ἐστίν, οὐχ ὁ λέγων, ἀλλ᾽ ὁ ἀκούων;

Νικοστράτ. - Εἰ ἐπί τῷ συνεχῶς καί πολλά καί ταχέως λαλεῖν ἦν τοῦ φρονεῖν παράσημον, αἱ χελιδόνες ἐλέγοντ᾽ ἄν ἡμῶν φρονιμώτεραι.

Ἐκ τῶν Ἐπικτήτου καί Ἰσοκράτ. - Γλῶσσαν μίαν τοῖς ἀνθρώποις ἡ φύσις δέδωκεν, δύο δέ ὦτα, ἵνα διπλασίονα ὧν λέγομεν, παρ᾽ ἑτέρων ἀκούωμεν.

Πυθαγόρ. - Ξίφους πληγή κουφοτέρα γλώσσης· τό μέν γάρ, σῶμα, ἡ δέ ψυχήν τιτρώσκει.

Αἴσωπος. - Οὗτος ἐρωτηθείς, Τί ἐστιν ἐν ἀνθρώποις ἀγαθόν τε καί φαῦλον; ἔφη, Γλῶσσα.

Δημοκρίτ. - Πλεονεξίη τά πάντα λέγειν, καί μηδέν ἐθέλειν ἀκούειν.

Ἀπολλονίου. - Πολυλογία πολλά σφάλματα ἔχει· τό δέ σιγᾷν, ἀσφαλές.

Ὁ αὐτός τούς ῥήτορας ἔφη ὁμοίους εἶναι τοῖς βατράχοις· τούς μέν γάρ ἐν ὕδασι κελαδεῖν, τούς δέ πρός κλεψύδραν.

Λύκωνος. - Καθάπερ αἱ χελιδόνες τῇ συνεχεῖ τῆςλαλιᾶς, τήν ἡδονήν τῆς ὁμιλίας ἀποβάλλουσιν· οὕτω οἱ ἀδολέσχαι ὀχλήσεις συνεχεῖς ποιούμενοι, ἀηδεῖς ἀποφαίνονται τοῖς ἀκροωμένοις.

Νομικῷ φλυάρῳ ἔφη τις, Οὐ δεῖ ἐν πολλοῖς λέγειν ὀλίγα, ἀλλ᾽ ἐν ὀλίγοις πολλά.

***ΛΟΓΟΣ ΜΗ΄.***

***Περί προνοίας.***

Ματθ. ι΄. - Οὐχί δύο στρουθία ἀσσαρίου πωλεῖται; καί ἕν ἐξ αὐτῶν οὐ πεσεῖται ἐπι τήν γῆν ἄνευ τοῦ Πατρός ὑμῶν. Ὑμῶν δέ καί αἱ τρίχες τῆς κεφαλῆς πᾶσαι ἠριθμημέναι εἰσίν.

Ῥωμ. ια' . - Ὦ βάθος πλούτου καί σοφίας καί γνώσεως Θεοῦ! Ὡς ἀνεξερεύνητα τά κρίματα αὐτοῦ, καί ἀνεξεχνίαστοι αἱ ὁδοί αὐτοῦ.

Σολομ. ιβ΄. - Σύ δεσπόζων ἰσχύος ἐν ἐπιεικεία κρίνεις, καί μετά πολλῆς φειδοῦς διοικεῖς ἡμᾶς.

Σιρ. ιστ΄. - Μή εἴπης, Ἀποκρυβήσομαι, καί ἐξ ὕψους τίς μου μνησθήσεται; Ἰδού ὁ οὐρανός καί ὁ οὐρανός τοῦ οὐρανοῦ· ἄβυσσος καί γῆ καί τά ἐν αὐτοῖς, τῇ ἐπισκοπῇ αὐτοῦ σαλευθήσεται. Τάς ὁδούς αὐτοῦ τίς ἐνθυμηθήσεται; καταιγίς ἥν οὐκ ὄψεται ἄνθρωπος· καί τά πλείονα τῶν ἔργων αὐτοῦ ἐν ἀποκρύφοις.

Βασιλ. - Πᾶν ὅπερ εἰς ἡμᾶς ἐκ θείας δυνάμεως ἀγαθόν φθάσῃ, τῆς πάντα ἐνεργούσης χάριτος ἐνέργειαν εἶναί φαμεν.

Οὐδέν ἀπρονόητον οὐδέ ἠμελημένον παρά τῷ Θ.εῶ. Πάντα σκοπεύει ὁ ἀκοίμητος ὀφθαλμός· πᾶσι πάρεστι, πορίζων ἑκάστῳ τήν σωτηρίαν.

Θεολ. - Πολλάκις παραδόξους σωτηρίας οἶδε τό Θεῖον καινοτομεῖν, νεῦον πρός τό φιλάνθρωπον τῇ ἑαυτοῦ προνοίᾳ.

Χρυσοστ. - Οὐδείς οὕτως ἑαυτοῦ φείδεται, (944) ὡς πάντων ἡμῶν ὁ Θεός· πολλῷ γάρ ἡμῶν αὐτός βούλεται μᾶλλον, μηδέν ἡμᾶς πάσχειν κακόν.

Οὐκ οἶδας σύ τά συμφέροντα, ἄνθρωπε. Πολλάκις αἰτεῖς ἐπιβλαβῆ καί σφαλερά· ἀλλ᾿ ἐκεῖνος ὁ μᾶλλον κηδόμενός σου τῆς σωτηρίας, οὐ τῇ αἰτήσει σου προσέχει· ἀλλά πρό τῆς αἰτήσεως τό συμφέρον σοι πανταχοῦ προνοεῖται. Εἰ γάρ οἱ πατέρες αἱ σαρκικοί οὐ πάντα αἰτοῦσι τοῖς παισί διδόασιν, οὐκ ἐπειδή καταφρονοῦσι τῶν αἰτούντων, ἀλλ᾿ ἐπειδή αὐτῶν μᾶλλον κήδονται· πολλῷ μᾶλλον ὁ Θεός, ὁ καί μᾶλλον φιλῶν καί πλέον ἁπάντων εἰδώς, τό συμφέρον ἡμῖν ποιεῖ.

Διδύμ. - Πάντων τῶν λογικῶν ἐπιστάμενος τό κρυπτόν ὁ Δημιουργός, προνοεῖται τῶν ὅλων, οὐ μόνον ἐξ ὧν διάκεινται καί πράττουσιν, ἀλλά καί ἐξ ὧν προγινώσκει ἄγων τήν βελτίωσιν.

Τοῦ μακαρίου Ἐφραίμ. - Τόν κόσμον ὁ Θεός ἀνεξικακίᾳ ἐπισκοπεῖ, τό μέλλον αἰνιττόμενος, καί τό παρόν κακόν ὅροις στοιχίζων· ἐκ μέν τῆς ἀποφάσεως χαλινῶν τήν πονηρίαν· διά δέ τῆς συνειδήσεως τάς ἐναγεῖς καί πονηράς διανοίας τιμωρούμενος.

Ἐπικούρου. - Χάρις τῇ μακαρίᾳ φύσει, ὅτι τά ἀναγκαῖα ἐποίησεν εὐπόριστα· τά δέ δυσπόριστα, οὐκ ἀναγκαῖα.

Σωκράτης.

Εἰ τό μέλλειν δύνανταί τι, μέριμνα καί μελέτω σοι.

Εἰ δέ μέλει περί σοῦ δαίμονι, σοί τί μέλει;

Πλάτων. - Ὅταν βούληται Θεός εὖ πρᾶξαι πόλιν, ἄνδρας ἀγαθούς ἐποίησεν· ὅταν δέ μέλλῃ κακῶς πράξειν πόλις, ἐξεῖλε τούς ἄνδρας

τούς ἀγαθούς ἐκ ταύτης τῆς πόλεως. Οὕτως ἔοικεν οὔτε διδακτόν εἶναι, οὔτε φύσει, ἀρετή· ἀλλά θεία μοίρᾳ παραγίνεται κτωμένοις.

Ὁ Θεός πάντα, καί μετά Θεοῦ τύχη καί καιρός, τά ἀνθρώπινα διακυβερνῶσι συμπάντα.

***ΛΟΓΟΣ ΜΘ΄.***

***Περί ταπεινοφροσύνης.***

Λουκ. ιδ΄. - Πᾶς ὁ ὑψῶν ἑαυτόν, ταπεινωθήσεται· καί ὁ ταπεινῶν ἑαυτόν, ὑψωθήσεται.

Ῥωμ. ιβ' . - Μή τά ὑψηλά φρονοῦντες, ἀλλά τοῖς ταπεινοῖς συναπαγόμενοι.

Παροιμ. κθ΄. - Τούς ταπεινοφονοῦντας ἐγερεῖ δόξῃ Κύριος.

Σιράχ γ΄. - Ὅσον μέγας εἶ, τοσοῦτον ταπείνωσον σαυτόν, καί ἔναντι Κυρίου εὑρήσεις χάριν· ὅτι μεγάλη ἡ δύναμις Κυρίου, καί ὑπό τῶν ταπεινῶν δοξασθήσεται.

Βασιλείου. - Ἀμήχανον τόν μή καταδεξάμενον (945) τό πρός πάντας ὑποδείς καί ἔσχατον, δυνηθῆναί ποτε, ἤ λοιδορούμενον, θυμοῦ κρατῆσαι· ἤ θλιβόμενον, διά μακροθυμίας περιγένεσθαι τῶν πειρασμῶν.

Γυμνάσιον ταπεινοφροσύνης ἐστίν ἡ ἐν τοῖς εὐτελελεστέροις πράγμασι διατριβή, τό πάθος τῆς φιλοδοξίας θεραπεύουσα.

Θεολόγου. - Κρεῖσσον ὄντα σοφόν ὑφίεσθαι δι᾽ ἐπιείκειαν, ἤ ἀμαθῶς ἔχοντα διά θράσος ὑπερεκτείνεσθαι.

Μή ἐν ἐσθῆτι τό ταπεινόν ἔχωμεν μόνον, ἀλλά ἐν ψυχῆς καταστήματι· μηδέ θρύψις αὐχένος, ἤ φωνῆς ὕφεσις, ἤ προσώπου νεῦσις, ἤ βάθος ὑπήνης, ἤ βαδίσματος ἦθος τό ταπεινόν ὑποκρίνοιτο, τά πρός ὀλίγον τυπούμενα καί τάχιστα ἐλεγχόμενα. Πᾶν γάρ ὅ προσποιητόν, οὐδέ μόνιμον· ἀλλ᾽ ὦμεν ὑψηλοί μέν τῷ βίῳ, ταπεινοί δέ τῷ φρονήματι· καί τήν μέν ἀρετήν ἀπρόσιτοι, τήν συνουσίαν δέ καί λίαν εὐπρόσοδοι. Πολιτικοῦ μέν γάρ ἔργον εἶναι πάντα ποιεῖν καί λέγειν, ἐξ ὧν εὐδοκιμήσει παρά τῶν ἔξωθεν· τοῦ πνευματικοῦ δέ καί καθ᾽ ἡμᾶς, πρός ἕν μόνον βλέπειν, τήν σωτηρίαν· ἥ τε ἁπλότης καί τό τοῦ ἤθους ἄδολόν τε καί ἀμνησίκακον.

Χρυσοστ. - Οὐδέν οὕτω τῷ Θεῷ φίλον, ὡς μετά τῶν ἐσχάτων ἑαυτόν ἀριθμῆσαι.

Μηδείς ἄπονον οἰέσθω καί μετά ῥαστώνης ἐκποριζόμενον τό τῆς ταπεινοφοσύνης κατόρθωμα. Ἐμπέφυκε γάρ τό κατά τήν ἔπαρσιν

πάθος παντί σχεδόν τῷ κοινωνοῦντι τῆς ἀνθρωπίνης φύσεως· διό πάντων τῶν κατ' ἀρετήν ἐπιτηδευμένων τοῦτό ἐστιν ἐπιπονώτερον.

Κλήμεντ. - Τοσοῦτόν τις μᾶλλον ὀφείλει ταπεινοφρονεῖν, ὅσον δοκεῖ μᾶλλον εἶναι· καλόν γάρ ἀεί τῷ κρείττονι τό χεῖρον ἀκολουθεῖν διά βελτιώσεως ἐλπίδα.

Νείλου. - Μακάριος ὁ τόν βίον ὑψηλόν ἔχων, ταπεινόν δέ τό φρόνημα.

Ἐκ τῶν Πατέρων. - Συναναστρέφου τοῖς ἔχουσι ταπείνωσιν, καί μαθήσει τούς τρόπους αὐτῶν. Εἰ γάρ ἡ θεωρία τῶν εἰρημένων ὠφέλιμος, πόσῳ μᾶλλον ἡ διδασκαλία τοῦ στόματος αὐτῶν;

Ἰσοκράτ. - Νόμῳ καί ἄρχοντι, καί τῷ σοφοτέρῳ εἴκειν κόσμιον.

(948) Σωκράτης. - Ἐν μέν τῷ πλεῖν, πείθεσθαι δεῖ τῷ κυβερνήτῃ· ἐν δέ τῷ ζῆν, τῷ λογίζεσθαι δυναμένῳ βέλτιον.

***ΛΟΓΟΣ Ν΄.***

***Περί ἰατρῶν.***

Ματθ. θ΄. - Οὐ χρείαν ἔχουσιν οἱ ὑγιαίνοντες ἰατροῦ, ἀλλ᾽ οἱ κακῶς ἔχοντες.

Ἐβραί. ιβ΄. - Τροχίας ὀρθάς ποιήσατε τοῖς ποσίν ὑμῶν, ἵνα μή τό χωλόν ἐκτραπῇ, ἰαθῇ δέ μᾶλλον.

Σιράχ λη΄. - Ἐπιστήμη ἰατροῦ ἀνυψώσει καφαλήν αὐτοῦ· καί ἔναντι μεγιστάνων θαυμαστωθήσεται.

Παροιμ. ιδ' . - Πραΰθυμος ἀνήρ, καρδίας ἰατρός.

Βασιλείου. - Οὔτε φευκτέον πάντη τήν τέχνην, οὔτε ἐπ᾽ αὐτῇ πάσας τάς ἐλπίδας ἔχειν ἀκόλουθον· ἀλλ᾽ ὡς κεχρήμεθα μέν τῇ γεωργικῇ· αἰτούμεθα δέ παρά τῷ Θεῷ τούς καρπούς· καί τῷ κυβερνήτῃ μέν τό πηδάλιον ἐπιτρέπομεν, τῷ Θεῷ δέ προσευχόμεθα ἐκ τοῦ πελάγους ἀποσωθῆναι, οὕτω καί τόν ἰατρόν εἰσάγοντες, τῆς πρός Θεόν ἐλπίδος οὐκ ἀφιστάμεθα.

Ἀνεπιστήμων ἰατρός πρός κάμνοντας εἰσιών, ἀντί τοῦ εἰς ὑγείαν αὐτούς ἐπαναγαγεῖν, καί τό μικρόν λείψανον τῆς δυνάμεως ἀφαιρεῖται.

Θεολόγ. - Τήν καθ᾽ ἡμᾶς ἰατρικήν τῆς περί τά σώματα ἐργωδεστέραν τίθεμαι μακρῷ, καί διά τοῦτο τιμιωτέραν· καί ὅτι ἐκείνους ὀλίγα τῶν ἐν τῷ βάθει κατοπτεύουσι, περί τό φαινόμενον ἧ πλεῖον τῆς πραγματείας· ἡμῖν δέ περί τόν κρυπτόν τῆς καρδίας ἄνθρωπον ἡ πᾶσα θεραπεία τε καί σπουδή.

Χρηΐζων παθέεσσ' ἀκορέστως, ἥν κακά κεύθῃ,

Οὔποτε σηπεδόνα φεύξεται ἀργαλέην.

Χρυσοστ. - Οἶμαι τούς ἀρχαίους τῶν ἰατρῶν οὐχ ἁπλῶς οὐδέ ἀλόγως νομοθετῆσαι δημοσιεύεσθαι τήν τῶν ποικίλων ἐργαλείων ἐπίδειξιν· ἀλλ᾽ ἵνα τούς ὑγιαίνοντας ἀσφαλίζωνται, προδεικνύντες αὐτοῖς ὁπόσων ἀτακτοῦντες δεήσονται.

Γρηγ. Νύσσης. - Ὅσον κρεῖσσον ψυχή τοῦ σώματος, τοσούτῳ τιμιώτερον τῶν τά σώματα θεραπευόντων, ὁ τάς ψυχάς ἐξιώμενος.

Διδύμου. -Τέλειον ἰατρόν λέγομεν, οὐ τόν θεραπεύοντα πάντας, ἀλλά τόν μηδέν τῶν εἰς ὠφέλειαν ἡκόντων καί θεραπείαν παραλείποντα.

Τρόφιλος. - Τρόφιλος ἰατρός ἐρωτηθείς ὑπό τινος, Τίς ἄν γένοιτο τέλειος ἰατρός, Ὁ τά δυνατά, ἔφη, καί τά μή δυνατά δυνάμενος διαγινώσκειν.

Νικοκλέους. - Νικοκλῆς κακοῦ τινος ἰατροῦ λέγοντος, ὅτι μεγάλην ἔχει δύναμιν, ἔφη, Πῶς γάρ οὐ μέλλεις λέγειν, ὅς τοσούτου ἀνηρηκώς ἀνεύθυνος γέγονας;

Ὁ αὐτός τούς ἰατρούς εὐτυχεῖς ἔλεγεν, ὅτι τάς (949) μέν ἐπιτυχίας αὐτῶν ὁ ἥλιος ὁρᾷ· τάς δέ ἀποτυχίας ἡ γῆ καλύπτει.

Στρατονικ. - Στρατόνικος ἰατρόν κολακεύων, ἔλεγεν, Ἐπαινῶ σου τήν ἐμπειρίαν, ὅτι οὐκ ἐᾷς τούς ἀῤῥώστους κατασαπῆναι· τάχιον αὐτούς τοῦ ζῆν ἀπαλλάσων.

Δημονάκτ. - Τοῖς Ἀσκληπιάδαις μείζων ὀφείλεται χάρις ἐπερχομένην ἀναστέλλουσι· νόσον, ἤ παραπεσοῦσαν ἰασαμένοις, τοῦ γάρ ἀπηλλάχθαι κακοῦ τό μή πάσχειν εἱρετώτερον.

***ΛΟΓΟΣ ΝΑ΄.***

***Περί πίστεως.***

Ματθ. ιζ΄. - Ἀμήν λέγω ὑμῖν, ἐάν ἔχετε πίστιν ὡς κόκκον σινάπεως, ἐρεῖτε τῷ ὄρει τούτῳ, Μετάβηθι ἐντεῦθεν ἐκεῖ, καί μεταβήσεται· καί οὐδέν ἀδυνατήσει ὑμῖν.

Ἐφ. β΄. - Χάριτί ἐστε σεσωσμένοι διά τῆς πίστεως, καί τοῦτο οὐκ ἐξ ὑμῶν· Θεοῦ τό δῶρον, οὐκ ἐξ ἔργων, ἵνα μή τις καυχήσηται.

Ἑβρ. ια΄. - Πίστις ἐστίν ἐλπιζομένων ὑπόστασις, πραγμάτων ἔλεγχος οὐ βλεπομένων.

Παροιμ. ιβ'. - Ἐπιδεικνυμένην πίστιν ἀναγγελεῖα δίκαιος.

Σιράχ ια΄. - Πίστευε τῷ Κυρίῳ, καί ἔμμενε τῷ πόνῳ σου· ὅτι κοῦφον ἐν ὀφθαλμοῖς Κυρίου ἐξάπινα πλουτίσαι πένητα.

Σιράχ β' . - Δόσις Κυρίου παραμενεῖ εὐσεβέσι· πίστευσον αὐτῷ, καί ἀντιλήψεταί σου.

Βασιλ. - Πίστις ἡγείσθω τῶν περί Θεοῦ λόγων. Πίστις, καί μή ἀπόδειξις. Πίστις ἡ ὑπέρ τάς λογικάς μεθοδείας τήν ψυχήν εἰς συγκατάθεσιν ἕλκουσα· πίστις, οὐχ ἡ γεωμετρικαῖς ἀνάγκαις, ἀλλά ταῖς τοῦ Πνεύματος ἐνεργείαις ἐγγινομένη.

Πίστις ἐστί συγκατάθεσις ἀδιάκριτος τῶν ἀκουσθένων ἐν πληροφορίᾳ τῆς ἀληθείας τῶν κηρυχθέντων, Θεοῦ χάριτι, ἥντινα ἐπεδείξατο Ἀβράαμ, μαρτυρηθείς, ὅτι Οὐ διεκρίθη τῇ ἀπιστίᾳ, ἀλλ᾽ ἐνεδυναμώθη τῇ πίστει, δούς δόξαν τῷ Θεῷ, καί πληροφορηθείς ὅτι ὅ ἐπήγγελται Θεός, δυνατός ἐστι καί ποιῆσαι.

Θεολ. - Τό γάρ οὐκ ἐφικτόν, οὐδέ πιστόν πως διά τόν φθόνον. Ψυχαῖς γάρ βεβήλοις οὐδέν τῶν καλῶν ἀξιόπιστον.

Χρυσοστ. - Τοῦτο μάλιστα πίστεως, μή ζητεῖν εὐθύνας τῶν πραττομένων, ἀλλά πείθεσθαι τοῖς ἐπιταττομένοις.

(952) Τόν εὐσεβῆ καί πιστόν ἄνδρα οὕτω βεβαίως διακεῖσθαι χρή πρός τάς ἐπαγγελίας τοῦ Θεοῦ, ὥστε κἄν ἐναντία αὐτοῖς φαίνεται τά γινόμενα, μηδέ οὕτως ταράττεσθαι, μηδέ ἀπογινώσκειν τήν ἔκβασιν. Ὅρα γοῦν ὁ πιστός Ἀβραάμ τίνα μέν ὑπόσχεσιν ἐδέξατο, τίνα δέ πράττειν ἠναγκάζετο.

Πίστις μήτηρ καί στεφάνη καί συμπεραίωσις τῶν ἀρετῶν ὑπάρχει.

Καθάπερ γάρ ῥίζης μή πεφυτευμένης, οὐκ ἄν βλαστήσειε καρπός· οὕτω πίστεως μή προκαταβεβλημένης, οὐκ ἄν προέλθοι διδασκαλίας λόγος.

Γρηγορ. Νύσ. - Πίστις μόνη κρατεῖ τόν ἀκράτητον· πίστις μόνη κατανοεῖ τόν ἀθέατον· πίστις μόνη προσπελάζει τῷ ἀπροσπελάστῳ, ὅσον ἐγχωρεῖ καί ὅσον ἐνδέχεται.

Κυρίλλου. - Τό πίστει παραδεκτόν, ἀπολυπραγμόνητον εἶναι χρή. Τό γάρ βασανοζόμενον πῶς ἔτι πεπίστευται;

Ἀριστοτ. - Ὥσπερ γασίν ἐν ἰατρικῇ, τά μή καθαρά τῶν σωμάτων ὁπόσῳ ἀν θρέψῃς, μᾶλλον βλάψεις ὕλην ἀποβαλών τῇ κακοχυμίᾳ· οὕτω καί ψυχήν μοχθηροῖς δόγμασι προκατειλημμένην, ὁπόσῳ ἄν διδάξῃς, μᾶλλον βλάψεις μείζονας ἀρχάς αὐτῇ τῆς ψευδοδοξίας παρέχων.

### *ΛΟΓΟΣ ΝΒ΄.*

### *Περί μνήμης*

Λουκ. κβ΄. - Τοῦτό ἐστι τό σῶμα μου, τό ὑπέρ ὑμῶν διδόμενον· τοῦτο ποιεῖτε εἰς τήν ἐμήν ἀνάμνησιν.

Α΄Τιμ. β΄. - Μνημόνευε Ἰησοῦν Χριστόν ἐγηγερμένον ἐκ νεκρῶν.

Παροιμ. ι' . - Μνήμη δικαίου μετ᾽ ἐγκωμίων· ὄνομα δέ ἀσεβῶν σβέννυται.

Σιράχ ζ΄. - Ἐν πᾶσι τοῖς ἔργοις σου μιμνήσκου τά ἔσχατά σου, καί οὐχ ἁμαρτήσεις.

Βασιλείου. - Ἀμήχανον ἐκτραπῆναι τῆς δικαίας ὁδοῦ, μή λήθην Θεοῦ ταῖς ψυχαῖς νοσήσαντας.

Μνήμη ἐστίν ἡ τοῦ γνωσθέντος τήρησις· ἀνάμνησις, ἡ τοῦ ἀπελθόντος ἀνάληψις.

Θεολόγου. - Μνημονευτέον Θεοῦ μᾶλλον, ἤ ἀναπνευστέον.

Τόν Θεόν ἔργοις μέν σέβου, λόγοις δέ ὕμνει, ἐννοίᾳ δέ τίμα.

Κλήμεντ. - Μνήμη θανάτου ἐναργής περιέκοψε βρώματα· βρωμάτων δέ ἐν ταπεινώσει κοπέντων, συνεξεκόπησαν πάθη.

Χρυσοστ. - Εὐσεβείας σημεῖον, τό συνεκῆ μνήμην ποιεῖσθαι τῶν θειοτέρων, καί τό πυκναῖς ἐντεύξεσιν ἐξιλεοῦσθαι τόν Θεόν.

(953) Εἰ εἰκόνα τις ἄψυχον ἀναθείς, παιδός ἤ φίλου ἤ συγγενοῦς, νομίζει παρεῖναι ἐκεῖνον τόν ἀπελθόντα, καί διά τῆς εἰκόνος αὐτόν φαντάζεται τῆς ἀψύχου· πολλῷ μᾶλλον ἡμεῖς διά τῶν θείων Γραφῶν, τῆς τῶν ἁγίων παρουσίας ἀπολαύομεν, οὐχί τῶν σωμάτων αὐτῶν, ἀλλά τῶν ψυχῶν τάς εἰκόνας ἔχοντες. Τά γάρ παρ᾽ αὐτῶν εἰρημένα τῶν ψυχῶν αὐτῶν εἰκόνες εἰσίν.

Πλωτίνου. - Πλάτων ἔλεγε, τούς μέν νέους σφόδρα καί τούς γέροντας, ἀμνήμονας εἶναι· ὑποῤῥεῖν γάρ, τῶν μέν, διά τήν αὔξησιν, τῶν δέ, διά τήν φθίσιν. Ὁμοίως δέ καί τούς λίαν ταχεῖς ἤ βραδεῖς· τούς γάρ ὑγροτέρους εἶναι τοῦ δέοντος, τούς δέ, σκληροτέρους· καί τοῖς μέν οὐ μένειν ἐν τῇ ψυχῇ τά φαντάσματα, τῶν δέ οὐχ ἅπτεσθαι τό παράπαν.

Πλάτωνος ἐν Κρατύλ. - Μνήμη πάντη που μηνύει, ὅτι μονή ἐστιν ἐν τῇ ψυχῇ, ἀλλ᾽ οὐ φορά.

Τήν κατοχήν τῶν φαντασμάτων μνήμην ὀνομάζεσθαι· τήν δέ ἀναπόληψιν τούτων, ἀνάμνησιν· καί ὡς ἐπί πολύ, μνημονευτέρους μέν ὑπάρχειν τούς βραδεῖς· ἀναμνηστικωτέρους δέ, τούς ταχεῖς καί εὐμαθεῖς.

Χαρικλ. - Μέγα γάρ εἰς λήθην κακῶν, ἡ δι᾽ ὀφθαλμῶν τῆς ψυχῆς ὑπόμνησις ἀμαυρουμένη.

Ἐκ τῶν Ἐπικτήτου. - Ἀνανεούσθω ὁ περί Θεοῦ λόγος καθ᾽ ἡμέραν, μᾶλλον ἤ τά σιτία.

Συνεχέστερον νόει τόν Θεόν, ἤ ἀνάπνει.

Ἐάν ἀεί μνημονεύῃς, ὅτι ᾧ ἐργάζῃ κατά ψυχήν ἤ σῶμα Θεός παρέστηκεν ἔφορος, ἐν πάσαις σου ταῖς προσευχαῖς καί ταῖς πράξεσιν, οὐ μή ἁμάρτῃς· ἕξεις δέ τόν Θεόν σύνοικον.

Ὡς ἡδύ τήν θάλασσαν ἀπό γῆς ὁρᾷν, οὕτως ἡδύ τῷ σωθέντι μεμνῆσθαι τῶν πόνων.

***ΛΟΓΟΣ Ν Γ΄.***

***Περί ψυχῆς.***

Ματθ. ι΄. - Ὁ εὑρών τήν ψυχήν αὐτοῦ ἀπολέσει αὐτήν· καί ὁ ἀπολέσας αὐτήν ἕνεκεν ἐμοῦ, εὑρήσει αὐτήν.

Β΄ Κορ. δ΄. - Εἰ καί ὁ ἔξω ἡμῶν ἄνθρωπος διαφθείρεται· ἀλλ' ὁ ἔσωθεν ἀνακαινοῦται ἡμέρᾳ καί ἡμέρᾳ.

Σιράχ λζ΄. - Τέκνον, ἐν πραΰτητι δόξασον τήν ψυχήν σου, καί ἴδε τί πονηρόν αὐτῇ, καί μή δῷς αὐτῇ. Οὐ γάρ πάντα πᾶσι συμφέρει· καί οὐ πᾶσα ψυχή ἐν παντί εὐδοκεῖ.

Ἡ καταστροφή τῶν παρανόμων κακή· τῇ γάρ ἀσεβείᾳ τήν αὐτῶν ψυχήν ἀφαιροῦνται.

(956) Παροιμ. ια΄ . - Ψυχή εὐλογημένη, πᾶσα ἁπλῆ.

Βασιλείου. - Ψυχῆς θησαύρισμα, σώματος ἔνδεια. Τούτου καλόν ἡγεῖσθαι χρή, τό τῆς ψυχῆς ἀγαθόν.

Οὐδείς περιορᾷ τό ἑαυτοῦ τέκνον μέλλον καταπίπτειν εἰς βόθυνον, ἤ ἐμπεσόν ἐναφίησι τῷ πτώματι· πόσῳ δέ δεινότερον ψυχήν εἰς βάθος κακῶν ἐμπίπτουσαν ἐναφεῖναι τῇ ἀπωλείᾳ;

Θεολόγου. - Τί σοι θέλεις γενέσθαι; ψυχήν ἐμήν ἐρωτῶ. Τί σοι μέγα ἤ τί μικρόν τῶν τιμίων βροτοῖσι; Ζήτει μόνον προθύμως τι λαμπρόν, καί δώσω σοι.

Ψυχῇ θύε τῷ Θεῷ μᾶλλον, ἤ εὐχῆς τρόπῳ.

Πείθομαι σοφῶν λόγοις, ὅτι ψυχή πᾶσα καλή τε καί θεοφιλής, ἐπειδάν τοῦ συνδεδεμένου λυθεῖσα σώματος ἐνθένδε ἀπαλλαγῇ, εὐθύς μέν ἐν συναισθήσει ἐν θεωρίᾳ τοῦ μέλλοντος αὐτῇ καλοῦ γενομένη, ἅτε τοῦ ἐπισκοτοῦντος ἀνακαθαρθέντος, ἤ ἀποτεθέντος, ἤ οὐκ οἶδ᾽ ὅ τι καί λέγειν χρή, θαυμασίαν τινά ἡδονήν ἥδεται καί ἀγάλλεται, καί ἵλεως χωρεῖ πρός τόν ἑαυτῆς Δεσπότην· ὥσπερ τι δεσμωτήριον χαλεπόν τόν ἐντεῦθεν βίον ἀποφυγοῦσα, καί τάς περικειμένας ἀποσεισαμένη πέδας, ὑφ᾽ ὧν τό τῆς διανοίας πτερόν

καθείλκετο· καί οἷον ἤδη τῇ φαντασίᾳ καρποῦται τήν ἀποκειμένην μακαριότητα.

Χρυσοστ. - Πάντα διπλᾶ δέδωκεν ἡμῶν ὁ Θεός τῇ φύσει, δύο ὀφθαλμούς, δύο ὦτα, δύο χεῖρας, δύο πόδας· ἐάν ὁπότερον τούτων βλαβῇ, διά τοῦ ἑτέρου τήν χρείαν παραμυθούμεθα· ψυχήν δέ μίαν δέδωκεν ἡμῖν· ἄν ταύτην ἀπολέσωμεν, μετά τίνος ἐμβιοτεύσωμεν;

Ψυχή ἐστιν οὐσία τις ἀσώματος καί ἀθάνατος.

Ψυχή ἐστιν οὐσία γεννητή, οὐσία ζῶσα νοερά.

Κλήμεντ. - Πάντων ἀναπνέουσαι αἱ ψυχαί, τό ζῆν ἔχουσι, κἄν χωρισθῶσι τοῦ σώματος, καί τόν εἰς αὐτό εὑρεθῶσι πόθον ἔχουσαι, εἰς τόν τοῦ Θεοῦ κόλπον φέρονται ἀθάνατοι· ὡς ἐν χειμῶνος ὥρᾳ οἱ ἀτμοί τῆς γῆς ὑπό τῶν τοῦ ἡλίου ἀκτίνων ἐφελκόμενοι φέρονται πρός αὐτόν.

Ἀθάνατοι πᾶσαι αἱ ψυχαί, καί τῶν ἀσεβῶν, αἷς ἄμεινον ἦν μή ἀφθάρτους εἶναι. Κολαζόμεναι γάρ ὑπό τοῦ ἀσβέστου πυρός ἀπεράντῳ τιμωρίᾳ καί μή θνήσκουσαι, ἐπί κακῷ τῷ ἑαυτῶν τέλος λαβεῖν οὐκ ἔχουσιν.

(957) Μοσχίωνος. - Αἱροῦ πάντα τά θνητά καί γήϊνα ἀπολέσας, ἕνα ἀθάνατον καί οὐράνιον κτήσασθαι.

Δημοκρίτ. Ἀνθρώπους ἁρμόδιον ψυχῆς μᾶλλον ἤ σώματος λόγον ποιεῖσθαι. Ψυχή μέν γάρ τελειοτάτη σκήνεος μοχθηρίην ὀρθοῖ· σκήνεος δέ ἰσχύς ἄνευ λογισμοῦ ψυχήν οὐδέν τι ἀμείνω τίθησιν.

Κλητάρχου. - Τῆς ψυχῆς ὡς ἡγεμόνος ἐπιμελοῦ· τοῦ δέ σώματος ὡς στρατιώτου προνόει.

Φιλιστίων. - Ψυχή σοφοῦ ἁρμόζεται πρός Θεόν. Ψυχήν θάνατος οὐκ ἀπόλλυσιν, ἀλλά κακός βίος.

Ζαλεύκου. - Ἕκαστον οὖν ἔχειν καί παρασκευάζειν δεῖ τήν ἑαυτοῦ ψυχήν πάντων καθαράν τῶν κακῶν. Ὡς γάρ οὐ τιμᾶται Θεός ὑπ᾿ ἀνθρώπου φαύλου, οὐδέ θεραπεύεται δαπάναις, οὐδέ τραγῳδίαις τῶν ἁλισκομένων, ἀλλ᾿ ἀγαθῇ προαιρέσει τῶν καλῶν ἔργων καί δικαίων.

Ἐπικτήτου. - Ψυχήν σώματος ἀναγκαιότερον ἰᾶσθαι· τοῦ γάρ κακῶς ζῆν τό τεθνᾶναι κρεῖσσον.

***ΛΟΓΟΣ ΝΔ΄.***

***Περί φθόνου.***

Ματθ. κ΄. - Ἐλθόντες δέ καί οἱ πρῶτοι, ἐνόμισαν ὅτι πλείονα λήψονται, καί ἔλαβον καί αὐτοί ἀνά δηνάριον. Λαβόντες δέ ἐγόγγυζον, κ. τ. ἑ.

Ἰακ. γ' . - Ὅπου ζῆλος καί ἐριθεία, ἐκεῖ ἀκαταστασία καί πᾶν φαῦλον πρᾶγμα.

Παροιμ. κγ΄. - Μή συνδείπνει ἀνδρί βασκάνῳ, μηδέ ἐπιθυμήσῃς τῶν ἐδεσμάτων αὐτοῦ.

Φθόνος οὐκ οἶδε προτιμᾷν τό συμφέρον.

Σιράχ λζ΄. - Μή συμβουλεύου μετά ὑποβλεπομένου σου· ἀπό τῶν ζηλούντων σε κρύψον βουλήν σου.

Βασιλ. - Οὐχ ὁρᾷς ἡλίκον ἐστίν ἡ ὑπόκρισις; καί αὕτη καρπός ἐστι τοῦ φθόνου. Τό γάρ διπλοῦν τοῦ ἤθους, ἐκ φθόνου μάλιστα τοῖς ἀνθρώποις γίνεται.

Τί στενάζεις, φθονερέ; τό ἴδιον κακόν, ἤ τό ἀλλότριον ἀγαθόν;

Φθόνου γάρ πάθος οὐδέν ὀλεθριώτερον ψυχαῖς ἀνθρώπων ἐμφύεται.

Ὥσπερ γάρ ἰός τόν σίδηρον, οὕτως ὁ φθόνος τήν ἔχουσαν αὐτόν ψυχήν ἐξαναλίσκει.

Οἱ κύνες τρεφόμενοι ἡμεροῦνται, καί οἱ λέοντες χειροήθεις θεραπευόμενοι γίνονται· οἱ δέ βάσκανοι ταῖς θεραπείαις πλέον ἐξαγριαίνονται.

Ἔθος τῇ Γραφῇ πολλαχοῦ μετά τοῦ φόνου τάσσειν τόν φθόνον.

Ὥσπερ ἡ ἐρυσίβη ἴδιόν ἐστι τοῦ σίτου νόσημα· οὕτως ὁ φθόνος φιλίας ἐστίν ἀῤῥώστημα.

Οἱ μισόκαλοι δαίμονες, ἐπειδάν οἰκείας ἑαυτοῖς εὕρωσι προαιρέσεις, παντοίως αὐταῖς ἀποκέχρηνται (960) πρός τό ἴδιον βούλημα, ὥστε καί τοῖς ὀφθαλμοῖς τῶν βασκάνων εἰς ὑπηρεσίαν χρήσασθαι τοῦ ἰδίου θελήματος.

Ὥσπερ ἕπεται τῷ ἀγαθῷ ἡ ἀφθονία, οὕτως ἀκολουθεῖ τῷ διαβόλῳ ἡ βασκανία.

Ὥσπερ δέ αἱ γῦπες πρός τά δυσώδη φέρονται, πολλούς μέν λειμῶνας, πολλούς δέ ἡδεῖς καί εὐώδεις τόπους ὑπεριπτάμενοι· καί αἱ μυῖαι, τό μέν ὑγιαίνον παρατρέχουσι, πρός δέ τό ἕλκος ἐπείγονται· οὕτως οἱ βάσκανοι, τάς μέν τοῦ βίου λαμπρότητας καί τά μεγέθη τῶν κατορθουμένων οὐδέ προσβλέπουσι, τοῖς δέ σαθροῖς ἐπιτίθενται.

Θεολ. - Μή φθονήσεις τῷ κατορθοῦντι ὡς φθονηθείς, καί φθονεῖσθαι πεισθείς, καί διά τοῦτο κατενεχθείς.

Ὡς ἀπόλοιτο ἐξ ἀνθρώπων ὁ φθόνος, ἡ δαπάνη τῶν ἐχόντων, ὁ τῶν πασχόντων ἰός· τό μόνον τῶν παθῶν ἀδικώτατόν τε ἅμα καί

δικαιότατον· τό μέν, ὅτι πᾶσι διοχλεῖ καλοῖς, τό δέ, ὅτι ἀδικεῖ τούς ἔχοντας.

Χρυσοστ. - Ὦ φθόνε ῥίζα θανάτου, ἡ πολύπλοκος νόσος, καρδίας ὀξύτατε ἧλε! Ποῖος γάρ ἧλος ὀξύτατος οὕτως κεντᾷ, ὡς ὁ φθόνος τήν ἔχουσαν αὐτόν καρδίαν τιτρώσκει;

Ὁ δαίμων φθονεῖ μέν, ἀνθρώποις δέ· δαίμονι δέ οὐδενί. Σύ δέ ἄνθρωπος ὤν, ἀνθρώποις φθονεῖς· καί ποίας τεύξῃ συγνώμης;

Γρηγ. Νύσ. - Φθόνῳ ἀτύχημα μέν ἐστιν οὐ τό ἴδιον κακόν, ἀλλά τό ἀλλότριον ἀγαθόν· κατόρθωμα δέ πάλιν, οὐ τό οἰκεῖον καλόν, ἀλλά τό τοῦ πέλας κακόν.

Φθείρεσθαι τούς νεκροβόρους γῦπας τῷ μύρῳ λέγουσι. Πρός γάρ τό δυσῶδες καί διεφθορός αὐτῶν ἡ φύσις ᾠκείεται. Καί ὁ τῇ νόσῳ ταύτῃ κρατούμενος, τῇ μέν εὐημερίᾳ τῶν φίλων, οἷόν τινος μύρου προσβολῇ καταφθείρεται. Εἰ δέ τι πάθος ἐκ συμφορῶν ἴδοι, πρός τοῦτο καθίπταται, καί τό ἄγκυλον ἐπάγει στόμα, τά κεκρυμμένα ἐξέλκων τοῦ δυστυχήματος.

Φίλωνος. - Τά καλά, κἄν φθόνῳ πρός ὀλίγον ἐπισκιασθῇ χρόνον, ἐπί καιρῷ λυθέντα, αὖθις ἀναλάμπει.

Πλουτάρχου. - Τοῖς μέν διά τοῦ ἡλίου πορευομένοις ἕπεται κατ᾽ ἀνάγκην σκιά· τοῖς δέ διά τῆς δόξης βαδίζουσιν ἀκολουθεῖ φθόνος.

Τό τῆς δόξης κάλλος ὥσπερ ὑπό νόσου τοῦ φθόνου ταχύ καταφθείρεται.

(961) Ἀνάχαρσις. - Ἀνάχαρσις ὁ Σκύθης ἐρωτηθείς, Διά τίνα αἰτίαν ἄνθρωποι λυποῦνται πάντοτε; ἔφη, ὅτι οὐ μόνον αὐτούς τά ἴδια κακά λυπεῖ, ἀλλά καί τά ἀλλότρια ἀγαθά.

Ἀριστοτ. - Φθόνος, φησίν, ἀνταγωνιστής ἐστι τῶν εὐτυχόντων.

Δημοκρίτ. - Ἡ τῶν ἀγαθῶν ἔρις ὠφελεῖ τόν ζηλοῦντα, μή βλάπτουσα τόν ζηλούμενον.

Οὐκ ἄν ἐκώλυον οἱ νόμοι ζῆν ἕκαστον κατ᾽ ἰδίαν ἐξουσίαν, εἰ μή ἕτερος ἕτερον ἐλυμαίνετο. Φθόνος γάρ στάσιος ἀρχήν ἀπεργάζεται.

Ὁ αὐτός τόν φθόνον εἶπεν ἕλκος εἶναι τῆς ἀληθείας

Κλειτάρχου. - Ὥσπερ ὑπό τοῦ ἰοῦ τόν σίδηρον, οὕτω τούς φθονερούς ὑπό τοῦ ἰδίου ἤθους κατεσθίεσθαι.

Σωκράτης. - Πολλοί θανόντας ἀμείβουσι τοῖς τάφοις, οὕς τῷ φθόνῳ πρότερον ἤλγυναν ζῶντας.

Ὁ αὐτός τόν φθόνον ἔφη τῆς ψυχῆς εἶναι πρίονα.

Λευκίπ. - Ζηλοτυπία γάρ ἅπαξ ἐμπεσοῦσα ψυχῇ, δυσέκλειπτον ἐστί

Κλεόβουλ. - Κλεόβουλος ὁ Λίνδιος, ἐρωτηθείς ὑπό τινος, Τίνα δεῖ μάλιστα φυλάττεσθαι; εἶπεν, Τῶν μέν φίλων τόν φθόνον, τῶν δέ ἐχθρῶν τήν ἐπιβουλήν.

Βίωνος. - Βίων ὁ σοφιστής, ἰδών τινα φθονερόν σφόδρα κεκυφότα, εἶπεν, Ἤ τούτῳ μέγα κακόν συμβέβηκεν, ἤ ἄλλῳ μέγα ἀγαθόν.

Ἀγάθωνος.

Οὐκ ἦν ἄν ἀνθρώποισιν ἐν βίῳ φθόνος,

Εἰ πάντες ἦμεν ἐξ ἴσου πεφυκότες.

Θεοφράστ.. - Θεόφραστος εἶπε, τούς μοχθηρούς τῶν ἀνθρώπων, οὐχ οὕτως ἥδεσθαι ἐπί τοῖς ἰδίοις ἀγαθοῖς, ὡς ἐπί τοῖς ἀλλοτρίοις κακοῖς.

Πλάτων. - Ἀγαθός ἦν· ἀγαθῷ δέ οὐδείς περί οὐδενός οὐδέποτε γίνεται φθόνος.

Ἀριστονύμ. - Ὁ φθόνος, ὥσπερ φαῦλος δημαγωγός, ταῖς καλαῖς ἀντιπολιτεύεται πράξεσιν.

Θουκιδίδου. - Φθόνος τοῖς ζῶσι πρός τό ἀντίπαλον· τό δέ μή ἐμποδών, ἀνανταγωνίστῳ εὐνοίᾳ τετίμηται.

Ἀναξιμέν. - Ὅσοι γάρ τά καλῶς ῥηθέντα ἤ πραχθέντα διά φθόνον οὐκ ἐπαινοῦσι, πῶς οὗτοι ἄν τοῖς ἔργοις ὠφελήσειαν;

Κάτωνος. - Ἥκιστα φθονεῖσθαι ἔλεγε τούς τῇ τύχῃ χρωμένους ἐπιεικῶς καί μετρίως. Οὐ γάρ ἡμῖν, ἀλλά τοῖς περί ἡμᾶς φθονοῦσιν.

Ἀνωνύμου. - Οὐδενί φθονητέον· ἀγαθοί μέν γάρ ἄξιοι· κακοί δ᾽ ἄν εὐτυχῶσιν, κακῶς ζῶσιν.

Θεμιστοκλῆς μειράκιον ὤν, οὐδέν ἔφη πράττειν λαμπρόν· οὔπω γάρ φθονεῖσθαι. Καθάπερ γάρ αἱ κανθαρίδες ἐμφύονται μάλιστα τῷ ἀκμάζοντι σίτῳ, καί τοῖς εὐθαλέσι ῥόδοις· οὕτω ὁ φθόνος ἅπτεται (964) μάλιστα τῶν χρηστῶν καί αὐξανομένων πρός ἀρετήν, καί δόξαν ἠθῶν καί προσώπων κεκτημένων.

***ΛΟΓΟΣ ΝΕ΄.***

***Περί ἑκουσίου καί ἀκουσίου.***

Λουκ. ιβ΄. - Ἐκεῖνος ὁ δοῦλος, ὁ γνούς τό θέλημα τοῦ κυρίου αὐτοῦ καί μή ποιήσας, δαρήσεται πολλάς· ὁ δέ μή γνούς, δαρήσεται ὀλίγας.

Α΄ Κορ. θ΄. - Οὐαί δέ μοί ἐστιν, ἐαν μή εὐαγγελίζωμαι. Εἰ γάρ ἑκών τοῦτο πράττω, μισθόν ἔχω· εἰ δέ ἄκων, οἰκονομίαν πεπίστευμαι.

Σολομ. ι' . - Ἀκούσιον ἐξῆλθεν ἀπό προσώπου ἐξουσιάζοντος.

Παροιμ. λ΄. - Ἄμελγε γάλα, καί ἔσται βούτυρον. Ἐάν δέ ἐκπιέζῃς μυκτῆρα, ἐξελεύσεται αἷμα.

Σιράχ ιη΄. - Ὀπίσω τῶν ἐπιθυμιῶν σου μή πορεύου, καί ἀπό τῶν ὀρέξεών σου κωλύου. Ἐάν γάρ χορηγήσῃς τῇ ψυχῇ σου εὐδοκίαν ἐπιθυμίας, ποιήσεις ἐπίχαρμα ἐχθρῶν.

Βασιλείου. - Τά ἐν ᾅδου κακά οὐ Θεόν ἔχει τόν αἴτιον, ἀλλ᾽ ἡμᾶς αὐτούς. Ἀρχή γάρ καί ῥίζα τῆς ἁμαρτίας, τό ἐφ᾽ ἡμῖν καί τό αὐτεξούσιον.

Ἐπαινοῦμεν τούς κατά προαίρεσιν ἀγαθούς, οὐ τούς ὑπό τινος ἀνάγκης εἰς τοῦτο ἥκοντας. Ὅπου γάρ προαίρεσις ἑτοίμη, τό κωλύον οὐδέν.

Βία γάρ ἤ φόβος, ἀρετῆς οὐκ ἄν ποτε γένοιτο δημιουργός. Ἐθελούσια γάρ, καί οὐκ ἀνάγκης τά καλά.

Τό ἑκούσιον λυπηρόν, τοῦ ἀκουσίου τερπνοῦ τιμιώτερον.

Θεολόγου. - Τό μέν γάρ ἑκούσιον, μονιμώτερόν τε καί ἀσφαλέστερον· καί τοῦ μέν τοῦ βιασαμένου, τό δέ ἡμέτερον· καί τό μέν ἐπιεικείας Θεοῦ, τό δέ τυραννικῶς ἐξουσίας.

Φιλεῖ τό βίᾳ κρατούμενον ἐλευθεριάζειν καιροῦ λαβόμενον.

Ποιμήν ἀμέλγει, εἰ θέλει, καί τούς τράγους,

Ἀλλ᾽ ἀντί γάλακτος, αἱμάτων πηγάς οἴσει.

Χρυσοστ. - Οὐ τούς ἀνάγκῃ τῆς κακίας ἀπεχομένους, ἀλλά τούς προαιρέσει, στεφανοῖ ὁ θεός.

Οὐκ ἀνάγκῃ καί βίᾳ, ἀλλά βουλήσει καί γνώμῃ προσάγεται ἡμᾶς ὁ Θεός.

Οὐδείς καρπός ἀνάγκης, ἀλλά πᾶς μισθός προαιρέσεως. Οὐ λογίζεται ὁ Θεός τά ἐξ ἀνάγκης, ἀλλά τά ἐκ προαιρέσεως κατορθούμενα.

(965) Ὥσπερ τῷ στρουθῷ τῶν πτερῶν ὄφελος οὐδέν, ὑπό τῆς παγίδος ἁλόντι, ἀλλ᾽ εἰκῇ καί μάτην πτερύσσεται· οὕτω καί σοί τῶν λογισμῶν οὐδέν ὄφελος, ἐάν κατακράτος ὑπό τῆς πονηρᾶς ἐπιθυμίας ἁλῷς.

Διονυσίου. - Οὐκ ἠναγκασμένην ζωήν ἔχομεν οἱ ἄνθρωποι. Οὔτε γάρ διά τήν τῶν προνοουμένων αὐτεξουσιότητα τά θεῖα φῶτα τῆς προνοητικῆς ἐλλάμψεως ἀπαμβλύνεται.

Διδύμου. - Τά μέν ἀκούσια ἁμαρτήματα καί νόμος συγχωρεῖ, καί Θεός παρορᾷ φιλάνθρωπος ὤν, καί οὐκ ἀπηνής καί τῶν ἑκουσίων.

Φίλων. - Οὐχ ὡς τό ἑκουσίως ἁμαρτάνειν ἐστίν ἄδικον, οὕτω καί ἀκουσίως καί κατά ἄγνοιαν, εὐθύς δίκαιον· ἀλλά τάχα που μεθόριον ἀμφοῖν, δικαίου καί ἀδίκου, τό ὑπό τινων καλούμενον ἀδιάφορον. Ἁμάρτημα γάρ οὐδέν ἔργον δικαιοσύνης.

Κλήμεντος. - Μάλιστα πάντων Χριστιανοῖς οὐκ ἐφίεται τό πρός βίαν ἐπανορθοῦν τά τῶν ἁμαρτημάτων πταίσματα. Οὐ γάρ τούς ἀνάγκῃ τῆς κακίας ἀπεχομένους, ἀλλά τούς προαιρέσει στεφανοῖ ὁ Θεός.

Οὐ δυνατόν τινα ἀγαθόν εἶναι βεβαίως, εἰ μή κατά προαίρεσιν οἰκείαν. Ὁ γάρ ὑφ᾽ ἑτέρου ἀνάγκης ἀγαθός γινόμενος, οὐκ ἀγαθός· ὅτι μή ἰδίᾳ προαιρέσει ἐστίν ὅ ἔστιν. Τό γάρ ἑκάστου ἐλεύθερον, ἀποτελεῖ τό ὄντως ἀγαθόν, καί δεικνύει τό ὄντως κακόν. Ὅθεν διά τῶν ὑποθέσεων τούτων ἐμηχανήσατο ὁ Θεός φανερῶσαι τήν ἑκάστου διάθεσιν.

Χορικίου. - Τό ἐκ φύσεως καλόν, ἀδόκιμον· τό δέ ἐκ προαιρέσεως, ἐπαινετόν.

Ἐπικτήτου. - Εἰ βούλει ἀταράχως καί εὐαρέστως ζῆν, πειρῶ τούς συνοικοῦντάς σοι σύμπαντας ἀγαθούς ἔχειν. Ἕξεις δέ ἀγαθούς, εἰ τούς μή ἑκόντας παιδεύεις, τούς δέ ἄκοντας [ἔπειτα κεχειρωμένους] ἀπολύεις. Συμφεύξεται γάρ τοῖς φεύγουσιν ἡ μοχθηρία ἅμα καί ἡ δουλεία· συναπολειφθήσεται δέ τοῖς συμβαίνουσί σοι ἡ χρηστότης καί ἡ ἐλευθερία.

Σωκράτ. - Ὁ μέν ἑκουσίως ταλαιπωρῶν, ἐπ᾽ ἀγαθῇ ἐλπίδι πονῶν εὐφραίνεται· αἱ δέ ῥᾳδιουργίαι καί ἐκ τοῦ παραχρῆμα ἡδοναί, οὔτε σώματος εὐεξίαν ἱκαναί εἰσίν ἐργάζεσθαι, οὔτε ψυχῆς ἐπιστήμην ἀξιόλογον οὐδεμίαν ἐμποιοῦσιν.

Θεαγοῦς Πυθαγορείου. - Τό μέν ἀκούσιον, οὐκ ἄνευ λύπης καί φόβου· τό δέ ἑκούσιον, οὐκ ἄνευ ἡδονῆς καί φιλοφροσύνης.

(968) Ἐκ τῶν Νικολάου ἐθῶν. - Θύνοι τούς ναυαγούς φιλανθρώπως δεχόμενοι φίλους ποιοῦνται· τῶν δέ ξένων, τούς μέν ἑκουσίως ἐλθόντας, σφόδρα τιμῶσι· τούς δέ ἀκουσίως, κολάζουσιν.

***ΛΟΓΟΣ Στ΄.***

***Περί τοῦ " Γνῶθι σαυτόν."***

Λουκ. στ΄. - Τί βλέπεις τό κάρφος τό ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου, τήν δέ ἐν τῷ σῷ ὀφθαλμῷ δοκόν οὐ κατανοεῖς;

Ῥωμ. ιδ΄. - Σύ τίς εἶ ὁ κρίνων ἀλλότριον οἰκέτην; τῷ ἰδίῳ κυρίῳ στήκει ἤ πίπτει· σταθήσεται δέ· δυνατός γάρ ἐστιν ὁ Θεός στῆσαι αὐτόν.

Σολομ. ια΄. - Περιπάτει ἐν ὁδοῖς καρδίας σου ἄμωμος, καί γνῶθι σαυτόν· ὅτι ἐν πᾶσι τούτοις ἄξει σε ὁ Θεός εἰς κρίσιν.

Παροιμ. ιγ'. - Οἱ ἑαυτῶν ἐπιγνώμονες, σοφοί.

Σιρ. ιγ΄. - Συντήρησον καί πρόσεχε σφοδρῶς, ὅτι μετά τῆς πτώσεώς σου περιπατεῖς.

Βασιλείου. - Ἡ ἀκριβής σαυτοῦ κατανόησις αὐτάρκη σοι παρέχει χειραγωγίαν πρός τήν ἔννοιαν τοῦ Θεοῦ.

Μεμνημένος τῆς φύσεως, οὐκ ἐπαρθήσῃ ποτέ· μεμνήσῃ δέ ἑαυτοῦ ἐάν προσέχῃς σαυτόν.

Ἔπαθες, ἄνθρωπε, ὅ ἐγκαλεῖς· καί τό μέν ἀλλότριον κακόν ἐπιμελῶς βλέπεις, τό δέ σαυτοῦ αἰσχρόν οὐδαμοῦ τιθεῖς.

Τῷ ὄντι γάρ ἔοικε πάντων εἶναι χαλεπώτατον, ἑαυτόν ἐπιγνῶναι. Οὐ γάρ μόνος ὀφθαλμός τά ἔξω βλέπων ἐφ᾽ ἑαυτόν οὐ κέχρηται τῷ ὁρᾷν· ἀλλά καί αὐτός ἡμῶν ὁ νοῦς, ὀξέως τό ἀλλότριον ἁμάρτημα καταβλέπων, βραδύς ἐστι πρός τήν τῶν οἰκείων ἐλαττωμάτων ἐπίγνωσιν.

Θεολογ.

Ἐρεύνα σαυτόν πλεῖον, ἤ τά τῶν πέλας.

Τῷ μέν γάρ αὐτός κερδανεῖς, τῷ δ᾽ οἱ πέλας.

Γνῶθι σεαυτόν, ἄριστε, πόθεν καί ὅστις ἐτύχθης.

Ῥεῖα κεν ὧδε τύχῃς κάλλεος ἀρχετύπου.

Διδύμου. - Τό εἰδέναι τινά ὅτι ἀγνοεῖ, σοφίας ἐστίν· ὡς καί τό εἰδέναι ὅτι ἠδίκησε, δικαιοσύνης.

Χρυσοστ. - Οὗτος μάλιστα ἐστιν ὁ ἑαυτόν εἰδώς, ὁ μηδέν ἑαυτόν εἶναι νομίζων.

(969) Κλήμεντ.

Εἰ βούλει γνῶναι Θεόν, προλαβών γνῶθι σαυτόν.

Ἀντιφάνους.

Εἰ θνητός εἶ, βέλτιστε, θνητά καί φρόνει.

Δημοσθ.

Οἶμαι τό μέλλον ἅπασιν ἀνθρώποις ἄδηλον· καί μικροί καιροί, μεγάλων πραγμάτων αἴτιοι γίνονται. Διό δεῖ μετριάζειν ἐν ταῖς εὐπραξίαις, καί προορωμένους τό μέλλον φαίνεσθαι.

Ἡρακλείτου. - Ἡράκλειτος νέος ὤν, πάντων γέγονεν σοφώτερος, ὅτι ᾔδει ἑαυτόν μηδέν ὄντα.

Σωκράτ. - Σωκράτης ᾤετο μηδέν εἰδέναι, πλήν αὐτό τοῦτο, ὅτι μηδέν οἶδεν· τούς δέ λοιπούς, μηδέ τοῦτο εἰδέναι.

Οἱ μέν σφοδρῶς πυρέττοντες, τήν ὄρεξιν καί τήν ῥώμην· οἱ δ᾽ ἐν τοῖς βασιλείοις παροικοῦντες, τόν νοῦν καί τά ἤθη πεφύκασι διαφείρεσθαι, εἰ μή τό, Γνῶθι σαυτόν, συχνῶς ἑαυτοῖς ἐπιλέγουσιν.

Φιλήμον.

Ἄνθρωπος ὤν, τοῦτ᾽ ἴσθι, καί μενεῖς ἀεί.

Σωτάτου.

Εἰ καί βασιλεύς πέφυκας, ὡς θνητός ἄκουσον.

Ἄν μακρά πτύῃς, φλεγματίῳ κρατῇ περισσῷ.

Ἄν εὐϊματῇς, ταῦτα πρό σοῦ προβάτιον εἶχεν·

Ἄν χρυσοφορῇς, τοῦτο τύχης ἐστίν ἔπαρμα.

Ἄν πλούσιος ᾖς, τοῦτο χρόνων ἄδηλον ἰσχύς.

Ἄν ἀλαζονεύῃ, τοῦτο ἀνοίας ἐστί φρύαγμα.

Ἄν δέ σωφρονῇς, τοῦτο Θεοῦ δῶρον ὑπάρχει.

Ἡ δέ σωφροσύνη πάρεστιν, ἐάν μετρῇς σεαυτόν.

Θαλῆς. - Χαλεπό δέ ἑαυτόν γνῶναι, ἀλλά μακάριον· ζῆν γάρ κατά φύσιν.

Πλάτωνος. - Οἱ οὐκ εἰδότες, ὡς ἔπος εἰπεῖν οὐδέν, οἰόμεθα τά πάντα εἰδέναι· οὐκ ἐπιτρέποντες δέ ἀλλήλοις, ἅ μή ἐπιστάμεθα πράττειν, ἀναγκαζόμεθα ἁμαρτάνειν αὐτοί πράττοντες.

Μενάνδρ. -

Κατά πολλῶν ἐστιν οὐ καλῶν εἰρημένον,

Τό Γνῶθι σεαυτόν, χρησιμώτερον γάρ ἦν,

Τό, Γνῶθι τούς ἄλλους.

Ξενοφῶντ. - Οἱ μέν γάρ εἰδότες ἑαυτούς, τά ἐπιτήδεια ἑαυτοῖς ἴσασι, καί διαγινώσκουσιν ἅ τε δύνανται, καί ἅ μή. Καί ἅ μέν ἐπίστανται πράττοντες, πορίζονταί τε ὧν δέονται, καί εὖ πράττουσιν· ὧν δέ μή ἐπίστανται ἀπεχόμενοι, ἀναμάρτητοι γίνονται καί διαφεύγουσι τό κακῶς πράττειν.

Οὗτος ἔμοιγε δοκεῖ, ὅ μή εἰδώς τήν ἑαυτοῦ δύναμιν, ἀγνοεῖν ἑαυτόν. Ἐκεῖνο δέ οὐ φανερόν, ἔφη, ὅτι μέν διά τό εἰδέναι ἑαυτούς πλεῖστα ἀγαθά ἰσχύουσιν ἄνθρωποι· διά δέ τό ἐψεῦσθαι ἑαυτῶν, πλεῖστα κακά;

Ἐπί μηδενί ἐπαρθῇς ἀλλοτρίῳ προτερήματι. Εἰ ὁ ἵππος ἔλεγεν ἐπαιρόμενος, ὅτι Καλός εἰμι, ἀνεκτόν ἦν· σύ δέ ὅταν λέγεις, ὅτι Ἵππον καλόν ἔχω, ἴσθι ὅτι ἐφ᾽ ἵππῳ ἀγαθῷ μέγα φρονεῖς. Τί οὖν ἔστι σόν; Χρῆσις φαντασιῶν, ἥν ὅταν κατά φύσιν ἔχῃς, τότε (972) ἐπάρθητι· τότε γάρ ἐπί τῷ σῷ πλεονεκτήματι ἐπαρθήσῃ.

Χείλων. - Χείλων ἐρωτηθείς, τί τό χαλεπώτατον, Τό γινώσκειν ἑαυτόν, ἔφη. Χρήσιμον γάρ εἰς νουθεσίαν τῶν ἀλαζόνων, οἵ ὑπέρ τήν ἑαυτῶν δύναμιν φλυαροῦσιν.

***ΛΟΓΟΣ ΝΖ΄.***

***Περί χρηστότητος.***

Λουκ. στ΄. - Ἀγαθοποιεῖτε καί δανείζετε, μηδέν ἀπελπίζοντες, καί ἔσται ὁ μισθός ὑμῶν πολύς, καί ἔσεσθε υἱοί Ὑψίστου, ὅτι αὐτός χρηστός ἐστι ἐπί τούς ἀχαρίστους καί πονηρούς.

Ἐφ. δ΄. - Γίνεσθε εἰς ἀλλήλους χρηστοί καί εὔσπλαχνοι, χαριζόμενοι ἑαυτοῖς, καθώς καί ὁ Θεός ἐν Χριστῷ ἐχαρίσατο ὑμῖν.

Κολοσσ. γ΄. - Ἐνδύσασθε σπλάγχνα οἰκτιρμοῦ, χρηστότητα, ταπεινοφροσύνην, μακροθυμίαν, πραότητα.

Παροιμ. β'. - Χρηστοί ἔσονται οἰκήτορες γῆς· ἄκακοι δέ ὑπολειφθήσονται ἐν αὐτῇ.

Χριστός χρηστός ὤν, καί ἰδών τό πλάσμα αὐτοῦ, οὔτε ἀνῆκεν αὐτούς, οὔτε κατέλιπε φειδόμενος αὐτῶν.

Βασιλ. - Τό κατ᾽ εἰκόνα ἔχω, ἐν τῷ λογικός εἶναι· τό δέ καθ᾽ ὁμοίωσιν γίνομαι, ἐν τῷ χρηστός γενέσθαι.

Τό μέν γάρ τούς ἀντιτείνοντας ὑπό χεῖρα λαμβάνειν, ἀνδρείου τε καί ἄρχοντος ὡς ἀληθῶς· τοῖς δέ ὑποπεπτωκόσι χρηστόν εἶναι καί πρᾶον, μεγαλοφροσύνῃ πάντων καί ἡμερότητος διαφέροντος.

Διονυσίου τοῦ Ἀρεωπαγίτου. - Τό κατά πάντα τρόπον τοῦ ἀγαθοῦ ἐστερημένον, οὐδαμῇ οὐδαμῶς οὔτε ἦν, οὔτε ἔστιν, οὔτε ἔσται, οὔτε εἶναι δύναται.

Θεολόγου. - Ἀγαθόν χρηστότητι νικᾷν θρασύτητα, καί βελτίου ποιεῖν τούς ἀδικοῦντας, οἷς καρτεροῦμεν πάσχοντες.

Πᾶσι μέν ἴσθι χρηστός, πλέον δέ τοῖς ἔγγιστα.

Ζήτει Θεοῦ σοι χρηστότητα, χρηστός ὤν.

Τί χρηστότητος δόγμα συντομώτερον;

Τοιοῦτος ἴσθι τοῖς φίλοις καί τοῖς πέλας,

Οἵους σεαυτῷ τούσδε τυγχάνειν θέλεις.

Χρυσοστ. - Οὐκ εὐεργετῶν μόνον, ἀλλά καί κολάζων ἀγαθός ἐστι καί φιλάνθρωπος ὁ Θεός. Καί γάρ αἱ κολάσεις αὐτοῦ καί αἱ τιμωρίαι, μέγιστον εὐεργεσίας μέρος εἰσίν· ἐπεί καί ἰατρός, οὐχ ὅταν εἰς παραδείσους καί λειμῶνας ἐξάγῃ τόν κάμνοντα μόνον, οὐδ᾽ ὅταν εἰς βαλανεῖα καί κολυμβήθρας ὑδάτων, ἀλλά καί ὅταν ἄσιτον κελεύῃ διαμεῖναι, ὅταν τέμνῃ, ὅταν πικρά προσάγει φάρμακα, τότε καί ἰατρός ἐστιν (973) ὁμοίως, καί τήν αὐτοῦ φιλανθρωπίαν ἐπιδείκνυσιν πλέον.

Γρηγ. Νύσσ. - Ὁ τῇ φύσει ἀγαθός, καί ἀγαθῶν πάντων παρεκτικός.

Ἴδιον πάντως ἀγαθοῦ, τό ὠφελεῖν.

Δημοσθ. - Οὐ τοσοῦτον ὁ λόγος, ὅσον χρηστός τρόπος πείθειν δύναται.

Ποσιδίππου.

Οἷσιν ὁ τρόπος ἐστίν εὔτακτος, τουτέοισι καί βίος συντέκταται.

Τέχνῃ μέν γνωρίμους ἐκτησάμην
Πολλούς· διά τό τρόπον δέ, τούς πλείστους φίλους.

Θεμιστοκλ. - Θεμιστοκλῆς χωρίον πωλῶν ἐκέλευσε κηρύττειν, ὅτι καί γείτονα χρηστόν ἔχει.

Μενάνδρου.

Σύ μέν παραινεῖς ταῦτα ὅσα σοι πρέπει,
Ἐμέ δέ ποιεῖν τό καθῆκον, οὐχ ὁ σός λόγος,
Εὖ ἴσθι ἀκριβῶς· ὁ δ᾽ ἴδιος πείθει τρόπος.

Οὐδείς πονηρόν πρᾶγμα χρηστός ὤν ποιεῖ.

Οὐ παντελῶς δεῖ τοῖς πονηροῖς ἐπιτρέπειν.
Ἀλλ᾽ ἀντιτάττεσθαι· εἰ δέ μή, τ᾽ ἄνω κάτω
Ἡμῶν ὁ βίος λήσει μεταστραφείς ὅλος.

Λευκίππης. - Χρηστότης, τυγχάνουσα μέν χάριτος, ἔτι μᾶλλον αὔξεται· προπηλακισθεῖσα δέ, εἰς ὀργήν ἐρεθίζεται.

Περίθου.

Πολλῶν χρημάτων, τό χρηστόν εἶναι λυσιτελέστερόν ἐστι.

Τρόπος ἐστί χρηστός ἀσφαλέστερος νόμου.
Τόν μέν γάρ οὐδείς ἄν διαστρέψαι ποτέ
Ῥήτωρ δύναιτο· τόν δ᾽ ἄνω τε καί κάτω
Λόγος ταράσσων πολλάκις λυμαίνεται.

***ΛΟΓΟΣ ΝΗ΄.***

***Περί νόμου.***

Ἰωάν. η΄. - Ἡ κρίσις ἡ ἐμή δικαία ἐστίν, ὅτι μόνος οὐκ εἰμί, ἀλλ᾽ ἐγώ καί ὁ πέμψας με. Καί ἐν τῷ νόμῳ τῷ ὑμετέρῳ γέγραπται, Ὅτι δύο ἀνθρώπων μαρτυρία ἀληθής ἐστιν.

Ῥωμ. β΄. - Ὅσοι ἀνόμως ἥμαρτον, ἀνόμως καί ἀπολοῦνται· καί ὅσοι ἐν νόμῳ ἥμαρτον, διά νόμου κριθήσονται.

Παροιμ. κθ'. - Τό νόμον γνῶναι, διανοίας ἐστίν ἀγαθῆς.

Σιράχ κα΄. - Ὁ φυλάσσων νόμον Κυρίου, κρατεῖ τοῦ ἐννοήματος αὐτοῦ.

(976) Βασιλ. - Εἰ τά ἄλογα ἐπινοητικά καί φυλακτικά τῆς αὐτῶν σωτηρίας εἰσί, καί οἶδε τό αἱρετόν αὐτοῦ καί τό φευκτόν ἰχθύς· τί ἐροῦμεν ἡμεῖς οἱ λόγοις τετιμημένοι, καί νόμοις πεπαιδευμένοι, ἐπαγγελίαις προτραπέντες, Πνεύματι σοφισθέντες· εἶτα τῶν ἀλόγων ἰχθύων ἀλογώτερον τά καθ᾽ ἑαυτούς διατιθέμενοι, μή πειθόμενοι τῷ νόμῳ ὑπείκειν;

Οὐ δυνατόν σωθῆναι μή ποιοῦντα τά κατ᾽ ἐντολήν τοῦ Θεοῦ ἔργα· οὔτε τό παριδεῖν τι τῶν προστεταγμένων ἀκίνδυνον. Δεινή γάρ ἡ ἔπαρσις, κριτάς ἡμᾶς τοῦ νομοθέτου καθέζεσθαι, καί τούς μέν ἐγκρίνειν τῶν νόμων, τούς δέ παραπέμπεσθαι. Εἰ γάρ δεῖ τέλειον εἶναι τόν τοῦ Θεοῦ ἄνθρωπον, ἀνάγκη πᾶσα διά πάσης ἐντολῆς καταρτισθῆναι, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ· ἐπεί κατά τόν θεῖον νόμον κἄν καθαρόν ᾖ τόν τελούμενον, [ἄν μή τέλειον καί ὁλόκληρον,] ἀπρόσδεκτον εἰς θυσίαν τῷ Θεῷ.

Θεολόγου. - Εἰ μέν οὖν ἐμείναμεν ὅπερ ἦμεν, καί τήν ἐντολήν ἐφυλάξαμεν, ἐγενόμεθα ἄν ὅπερ οὐκ ἦμεν.

Ὡς ἥδιόν τι μανθάνειν, ἤ διδάσκειν περί Θεοῦ.

Λόγῳ μέν εὐσεβοῦντες ὀλίγα, ἔργῳ δέ πλείονα· καί τῇ τηρήσει τῶν νομων μᾶλλον, ἤ τῷ θαυμάζειν τόν νομοθέντην, τό περί αὐτόν φίλτρον ἐπιδεικνύμενοι.

Νόμοις ὑπόκεισαι καί κανόσι Δεσποτικοῖς, καθ᾽ οὕς σε προσήκει ζῇν. Καί τοῦτο ἀπό σαυτοῦ πρῶτον κατανόησον, ὅτι καί ἡ ψυχή σου πανταχόθεν τοῖς τῆς ἀρετῆς ὑπόκειται παραγγέλμασιν. Ἔλαβες καί σῶμα παρά τοῦ Κτίσαντος, πέντε αἰσθήσεσιν εἰς τάς τῆς ζωῆς χρείας οἰκονομούμενον. Εἰσί δέ οὐδέ αὗται ἐλεύθεροι καί αὐτόνομοι· ἀλλ᾽ ἑκάστη δούλη νόμων ἐστί. Καί πρῶτος ἀκούει ὁ ὀφθαλμός. Βλέπε, φησίν, καί θεώρει ἅ βλέπειν καλόν· καί, βέλτιον ἐκκόπτειν αὐτόν, ὅταν ἄτακτα βλέπῃ καί ἐπιζήμια. Ἔχει καί ἡ ἀκοή παράγγελμα, καί ἡ γλῶσσα καί αἱ λοιπαί ὁμοίως.

Οὔτε πλέοντας παρά τόπον ὁρμεῖν ἀσφαλές, οὔτε ζῶντας παρά νόμον βιοῦν ἀκίνδυνον.

Νόμους φυλάττων, τούς φόβους ἔξω βαλείς·

Φόβου γάρ ἔξω πᾶς ὁ τοῦ νόμου φύλαξ.

Δύο μέν τά διάγοντα ἡμᾶς ἐστι· φύσις καί νόμος· κρατεῖ δέ τοῦ νόμου ἡ φύσις.

Χρυσοστ. - Ἴσασι καί οἱ νόμοι τά ἐξ ἀνάγκης συγγινώσκειν ἁμαρτήματα.

Εἴδη τῶν νόμων τρία· νόμος ὁ τῆς φύσεως, νόμος ὁ τοῦ γράμματος, ὁ τῷ Μωϋσεῖ δοθείς, νόμος ὁ τῆς χάριτος.

(977) Ζαλεύκου. - Ζάλευκος ὁ τῶν Λοκρῶν νομοθέτης, τούς νόμους τοῖς ἀραχνίοις εἶπεν ὁμοίους εἶναι. Καί γάρ εἰς ἐκεῖνα ἐάν ἐμπέσῃ μυῖα ἤ κώνωψ, κατέχεται· ἐάν δέ σφήξ ἤ μέλισσα, διαῤῥήξασα ἀφίσταται. Ἐν τοῖς νόμοις ἐάν ἐμπέσῃ πένης, συνέχεται· ἐάν δέ πλούσιος ἤ δυνατός λέγειν, διαῤῥήξας ἀποτρέχει.

Σόλων. - Σόλων ἐρωτηθείς ὑπό τινος, πῶς ἄριστα αἱ πόλεις οἰκοῦνται, ἔφη· Ἐάν μέν οἱ πολῖται τοῖς ἄρχουσι πείθωνται, οἱ δέ ἄρχοντες τοῖς νόμοις.

Δημάδους. - Τοῖς μέν δούλοις, ἡ ἀνάγκη νόμος· τοῖς δέ ἐλευθέροις, ὁ νόμος ἀνάγκη.

Ἐπικτήτου. - Νόμος βούλεται μέν εὐεργετεῖν βίον ἀνθρώπων· οὐ δύναται δέ τοῖς πειθομένοις ἐνδείκνυται τήν ἰδίαν ἀρετήν.

Ὥσπερ τοῖς νοσοῦσιν ἰατροί σωτῆρες, οὕτω καί τοῖς ἀδικουμένοις οἱ νόμοι.

Νόμοι ἀληθέστατοι οἱ δικαιότατοι.

Νόμῳ καί ἄρχοντι καί τῷ σοφωτέρῳ εἴκειν κόσμιον.

Τά παρά νόμον γινόμενα, ἀντί μή γινομένων εἰσίν.

Δημοσθ. - Δημοσθένης ὁ ῥήτωρ ἔφη, πόλεως εἶναι τήν ψυχήν, τούς νόμους. Ὥσπερ γάρ σῶμα στερηθέν ψυχῆς πίπτει, οὕτω καί πόλις, μή ὄντων νόμων καταλύεται.

Κύρου. - Ὁ αὐτός ἐρωτηθείς, Τίνας ἀδίκους νομίζεις εἶναι; Τούς μή χρωμένους, εἶπε, τῷ νόμῳ.

Θεοφράστ. - Ὀλίγων οἱ ἀγαθοί νόμων δέονται· οὐ γάρ τά πράγματα πρός τούς νόμους, ἀλλ᾽ οἱ νόμοι πρός τά πράγματα τίθενται.

Ἀνωνύμου. - Κρατίστην εἶναι δημοκρατίαν, ἐν ᾗ οἱ πάντες ὡς τύραννον φοβοῦνται τόν νόμον.

Ἀρκεσίλαος. - Ἀρκεσίλαος ἔλεγεν· Ὥσπερ ὅπου φάρμακα πολλά καί ἰατροί πολλοί, ἐνταῦθα νόσοι πλεῖσται· οὕτω δή καί ὅπου νόμοι πλεῖστοι, ἐκεῖ εἶναι καί ἀδικίαν μεγίστην.

***ΛΟΓΟΣ ΝΘ΄.***

***Περί λογικοῦ καί λογισμοῦ.***

Λουκ. στ΄. - Ὁ ἀγαθός ἄνθρωπος, ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ τῆς καρδίας ἐκβάλλει ἀγαθά· καί ὁ πονηρός ἄνθρωπος ἐκ τοῦ πονηροῦ θησαυροῦ ἐκβάλλει πονηρά

Β΄ Κορινθ. ι΄. - Τά γάρ ὅπλα τῆς στρατείας ἡμῶν οὐ σαρκικά, ἀλλά δυνατά τῷ Θεῷ πρός καθαίρεσιν (980) ὀχυρωμάτων· λογισμούς καθαιροῦντες, καί πᾶν ὕψωμα ἐπαιρόμενον κατά τῆς γνώσεως τοῦ Θεοῦ, καί αἰχμαλωτίζοντες πᾶν νόημα εἰς τήν ὑπακοήν τοῦ Χριστοῦ.

Παροιμ. ιε'. - Ὁδοί ζωῆς διανοήματα συνετοῦ· ἀπό τῶν διανοημάτων αὐτοῦ πλησθήσεται ἀνήρ ἀγαθῶν.

Παροιμ. ιβ'. - Λογισμοί δικαίων κρίματα.

Παροιμ. ιθ΄. - Πολλοί λογισμοί ἐν καρδίᾳ ἀνδρός· ἡ δέ βουλή τοῦ Θεοῦ κρατήσει εἰς τόν αἰῶνα.

Σιράχ κζ΄. - Ἐν σείσματι κοσκίνου διαμείνει κοπρία· οὕτως σκύβαλα ἀνθρώπου ἐν λογισμῷ αὐτοῦ.

Βασιλ. - Ἐκ λογικοῦ γάρ καί ἀλόγου, κατά τό Ἑλληνικόν πρός φυσιολογίαν πλάσμα, ὥσπερ τινά κένταυρον, συνθείς ὁ Δημιουργός ὅλον τόν ἄνθρωπον τῷ ἀνθρωπομόρφῳ ἀπό κεφαλῆς ἕως στέρνων ἄνωθεν μέρει, τό ἀπό ὀμφαλοῦ ἕως ὀσφύος καθάπερ ἵππου, φύσιν [πρός τε τάς γαστρός ἡδονάς κτηνῶδες ὑπάρχον, καί πρός τάς μίξεις ἀλόγως κινούμενον] κάτωθεν φέρον προσήρμοσεν· οὐχ ὑπό τοῦ ἀλόγου μέρους τό λογικόν ἐξαρπάζεσθαι βουληθείς, ἀλλά τῷ λογικῷ ὑποβεβλημένον ἔχοντι τό ἄλογον μέρος, ἡνιοχεῖσθαι πρός τάς τῆς φύσεως ἀνάγκας, πανσόφως ἐνθείς.

Τοῦ αὐτοῦ. - Ὁ τήν θείαν ἀπάθειαν κατορθῶσαι σπουδάζων, ἀδούλωτον παντί πάθει ὀφείλει φυλάξαι τόν ἑαυτοῦ λογισμόν.

Θεολόγου. - Κρείσσων λογισμός πράξεων ἤ χρημάτων· τά μέν γάρ τῆς φθορᾶς ἐστιν, ὁ δέ ἵσταται.

Χρυσοστ. - Διά τοῦτο πτερά τοῖς στρουθίοις, ἵνα φύγῃ παγίδα· καί διά τοῦτο λογισμός τοῖς ἀνθρώποις ἵνα ἐκφύγωσιν ἁμαρτήματα.

Οὐ παύεται λογισμούς ἡ διάνοια τίκτουσα· σύ δέ, τούς μέν φαύλους ἔκτιλλε, τούς δέ ἀγαθούς γεώργει.

Κλήμεντ. - Οὐχ ἡ τῶν πράξεων ἀποχή δικαιοῖ τόν πιστόν, ἀλλ ἡ τῶν ἐννοιῶν ἁγνεία καί εἰλικρίνεια.

Πλουτάρχ. - Ἐπισκοτεῖ τῷ μέν ἡλίῳ πολλάκις τά νέφη· τῷ δέ λογισμῶ, τά πάθη.

(981) Ἐκ μέν τοῦ ποδός τήν ἄκανθαν, ἐκ δέ τῆς ἀλόγου ψυχῆς, τήν ἄγνοιαν ὑπεξελέσθαι δεῖ.

Φιλήμονος. - Ὁ τῷ λογισμῷ πάντα παρ᾿ ἑαυτῷ σκοπῶν, τό κακόν ἀφαιρεῖ, τἀγαθόν δέ λαμβάνει.

Ἰσοκράτους. - Ἅ ἄν σοι λογιζομένῳ βέλτιστα, ταῦτα τοῖς ἔργοις ἐπιτέλει.

Δεῖ ὥσπερ ἐξ εὐνομουμένης πόλεως φυγαδεύειν στασιαστήν ἄνθρωπον, οὕτως ἐκ τῆς ψυχῆς τόν πρός τά φαῦλα κεκλικότα λογισμόν.

Τῷ γάρ πάθει τοῦ σώματος, καί τό νοερόν τῆς ψυχῆς συνομολογεῖν ἀνέχεται.

Πυθαγόρου. - Αἰσχρόν τοῖς τῶν μελιττῶν δωρήμασι γλυκάζοντα τήν κατάποσιν, τό τοῦ Θεοῦ δῶρον πικράζειν τόν λόγον, τῇ κακίᾳ.

Θεάγους. - Τό γάρ ἀντέχειν μή δύνασθαι τοῖς πόνοις, ἐπικρατεῖν δέ τήν ἡδονήν, οἰκεῖόν ἐστι τῷ ἀλόγῳ μέρει τᾶς ψυχᾶς· ἅ δέ προαίρεσις ἐν ἀμφοτέροις αὐτοῖς γίνεται, καί τῷ λόγον ἔχοντι μέρει τᾶς ψυχᾶς, καί τῷ ἀλόγῳ.

***ΛΟΓΟΣ Ξ΄.***

***Περί ἀφροσύνης, ἄφρονος καί ἀνοήτου, καί ἀπαιδεύτου καί μωροῦ.***

Ματθ. ζ΄. - Πᾶς ὁ ἀκούων μου τούς λόγους, καί μή ποιῶν αὐτούς, ὁμοιωθήσεται ἀνδρί μωρῷ.

Α΄ Κορ. ιδ΄. - Μή παιδία γίνεσθε ταῖς φρεσίν, ἀλλά τῇ κακίᾳ νηπιάζετε· ταῖς δέ φεσί, τέλειοι γίνεσθε.

Καρδία ἄφρονος, ὀδύνη τῷ κτησαμένῳ αὐτήν.

Σολομ. ι΄. - Χείλη ἄφρονος καταποντιοῦσιν αὐτόν. Ἀρχή λόγων στόματος αὐτοῦ, ἀφροσύνη, καί ἐσχάτη στόματος αὐτοῦ περιφέρεια πονηρά.

Παροιμ. ιστ΄. - Ἀνήρ ἄφρων ὀρύσσει ἑαυτῷ κακά· ἐπί δέ τῶν ἑαυτοῦ χειλέων θησαυρίζει πῦρ.

Παροιμ. ιη'. - Οὐ χρείαν ἔχει σοφίας ἐνδεής φρενῶν· μᾶλλον γάρ ἄγεται ἀφροσύνῃ.

Σιράχ κβ΄. - Μετά ἄφρονος μή πληθύνῃς λόγους, καί πρός ἀσύνετον μή πορεύου.

Σιράχ κβ΄. - Ἐπί νεκρῷ κλαῦσον, ἐξέλιπε γάρ φῶς· καί ἐπί μωρῷ κλαῦσον, ἐξέλιπε γάρ σύνεσις.

Σιράχ κβ΄. - Ἄμμον καί ἅλας καί βῶλον σιδηροῦν, ἀκοπώτερον ὑπενεγκεῖν, ἤ ἄνθρωπον ἄφρονα.

Σιράχ δ΄. -Μή ὑποστρώσῃς ἀνθρώπῳ μωρῷ σεαυτόν.

Σιράχ η΄. - Μετά μωροῦ μή συμβουλεύου.

Σιράχ κβ΄. - Συγκολλῶν ὄστρακον, ὁ διδάσκων μωρόν.

Αἶσχος νόμιζε τήν φρενῶν ἀκοσμίαν.

Βασιλείου. - Ὥσπερ οἱ ἀσθενοῦντες χρήζουσιν ἰατρικῆς, οὕτω σοφίας ἄφρονες ἐπιδέονται.

(984) Θεολόγου.

Αἰσχρόν νέον γέροντος ἀσθενέστερον
Εἶναι, γέροντα δ᾽ ἀφρονέστερον νέου.
Ἦχοι θαλάσσης ἀνδρός ἄφρονος λόγοι,
Θλίβοντες ἀκτάς, οὐ πιαίνουσι χλόαν.

Χρυσοστ. - Οὐδέν οὕτω ποιεῖ μωρούς ὡς πονηρία. Ὅταν γάρ ὕπουλος ᾖ, ὅταν ἀχάριστος, ὅταν οὐδέν ἠδικημένος λυπῇ, πῶς οὐκ ἐσχάτης ἀνοίας ἐξοίσει δεῖγμα;

Φίλωνος. - Πέφυκεν ἄφρων ἐπί μηδενός αἰσθάνεσθαι πράγματος ἤ ἑστάναι· καί ἔστιν αὐτῶν ζωή πᾶσα κρεμαμένη, βάσιν ἀκράδαντον οὐκ ἔχουσα.

Μεῖζον ἀνθρώπῳ κακόν ἀφροσύνης, οὐδέν ἐστι, τῷ ἴδιον τοῦ λογιστικοῦ γένους τόν νοῦν ζημιωθέντι.

Πέφυκεν ὁ ἄφρων ἀεί ἐπί τόν ἀρθόν [ἀργόν] λόγον κινούμενος, ἠρεμίᾳ καί ἀναπαύσει δυσμενής εἶναι.

Οὔτε ἀῤῥώστου πληγήν, οὔτε ἀνοήτου ἀπειλήν δεῖ εὐλαβεῖσθαι.

Πλουτάρχ. - Ὁδηγόν τυφλόν λαβεῖν καί σύμβουλον ἀνόητον, ἴσον ἐστίν.

Οὐχ οὕτω τοῖς ὀρφανοῖς παισίν, ὡς τοῖς νοήτοις ἀνδράσιν ἐπιτρόπους δεῖ παρεῖναι.

Οἱ ἐλαφροί τῶν ἀνθρώπων, ὥσπερ τά κενά τῶν ἀγγείων, εὐβάστακτοι τοῖς ὠτίοις εἰσίν.

Κακόσιτός ἐστι πρός τόν συμφέροντα λόγον ἡ τῶν ἀνοήτων ψυχή, οὐ παραδεχομένη τόν σώζοντα νοῦν, ὥσπερ φάρμακον.

Κράτης. - Κράτης ἀπείκαζε τούς ἀνοήτους τῶν ἀνθρώπων τοῖς τρυπάνοις· ἄνευ γάρ δεσμοῦ καί ἀνάγκης, μηδέν ἐθέλειν τῶν δεόντων ποιεῖν.

Σέξτον. - Οὔτε ἐν ἰχθύσι φωνήν, οὔτε ἐν ἀπαιδεύτοις ἀρετήν δεῖ ἐπιζητεῖν.

Ζήνων. - Τῶν τις ἐν ἀκαδημίᾳ νεανίσκων περί ἐπιτηδευμάτων διαλέγετο ἀφρονῶν. Ὁ δέ Ζήνων, Ἐάν μή τήν γλῶσσαν, ἔφη, εἰς νοῦν ἀποβρέξας διαλέγῃς, πολύ πλείω ἔτι καί ἐν τοῖς λόγοις πλημελήσεις.

Δημάδης. - Δημάδης τούς Ἀθηναίους εἴκαζεν αὐλοῖς, ὧν εἴ τις ἀφέλοι τήν γλῶτταν, τό λοιπόν οὐδέν ἐστιν.

***ΛΟΓΟΣ ΞΑ΄.***

***Περί ἀσωτίας.***

Λουκ. ιε΄. - Καί μετ᾽ οὐ πολλάς ἡμέρας συναγαγών ἅπαντα ὁ νεώτερος υἱός ἀπεδήμησεν εἰς χώραν μακράν, καί ἐκεῖ διεσκόρπισε τήν οὐσίαν αὐτοῦ, ζῶν ἀσώτως.

Ἐφεσ. ε'. - Μή μεθύσκεσθε οἴνῳ, ἐν ᾧ ἐστιν ἀσωτία.

(985) Παροι. κθ΄. - Ὅς κατασπαταλᾷ ἐκ παιδός ἀσώτως, οἰκέτης ἔσται· ἔσχατον δέ ὀδυνηθήσεται ἐφ᾽ ἑαυτῷ.

Σιράχ στ΄. - Τά φύλλα σου καταφάγεσαι ἀσώτως, καί τούς καρπούς σου ἀπολέσεις, καί ἀφήσεις σεαυτῷ ὡς φύλλον ξηρόν.

Βασιλείου. - Οὐδέ γάρ φειδόμενα καθάπαξ πλούτου, ἐῤῥιμένους χαμαί παρατρέχομεν ἀδελφούς, οὐδέ τοῖς παισίν ἤ τοῖς ἄλλοις οἰκείοις τήν εὐπορίαν φυλάττοντες, ἀποκλείομεν τοῖς δεομένοις τάς ἀκοάς· ἀλλά τήν δαπάνην μετατιθέντες ἐπί τοῖς χείρουσι, καί τό φιλότιμον ἀκόμην πονηρίας ποιούμενοι τοῖς ταύτην ἐπιτηδεύουσι. Πόσαι γάρ ἤ πόσοι τῶν ἐνίων περιεστήκασι τράπεζαν; Οἱ μέν αἰσχροῖς ῥήμασι τόν ἑστιάτορα θέλγοντες, οἱ δέ ἀτόποις βλέμμασί τε καί σχήμασι τό τῆς ἀκρασίας ἐκκαίουσι πῦρ· οἱ δέ τοῖς εἰς ἀλλήλους σκώμμασι γέλωτα τῷ κεκληκότι κατασκευάζειν ἐθέλοντες· καί οὗτοι δέ, οὐ τό ἑστιαθῆναι λαμπρῶς μόνον κερδαίνουσιν, ἀλλά καί τάς χεῖρας πεπληρωμένας πολυτελῶν δώρων κατάγουσιν.

Θεολόγου. - Τῆς αὐτῆς δυσχερείας ἐστί, καί κτήσασθαί τι τῶν ἀγαθῶν οὐχ ὑπάρχον, καί κτηθέν διασώσασθαι.

Τοῦ μέν γάρ δαπανᾶν ἡ φιλοδοξία τοῖς πολλοῖς παρέχει τό πρόθυμον· οὗ δέ ἀφανής ἡ ἐπίδοσις, καί τό παρέχειν ἀμβλύτερον.

Χρυσόστ. - Εἰ παιδός ἐπιτρόπευες, καί λαβών τά αὐτοῦ περιεώρας αὐτόν ἐν τοῖς ἐσχάτοις ὄντα, μυρίους ἄν εἶχες κατηγόρους, καί τήν

ἀπό τῶν νόμων ἔδωκας ἄν δίκην· τά δέ τοῦ Χριστοῦ λαβών, καί οὕτως μάτην ἀναλίσκων, οὐχ ἡ γῆ δώσειν εὐθύνας.

Δίωνος. - Μηδέποτε μάτην χρήματα σπούδαζε ἀναλίσκειν, ἐξ οὗ οὐδεμία προσγίνεται εὔκλεια. Πλοῦτος γάρ ἀκριβής, οὐχ οὕτως ἐκ τοῦ πολλά λαμβάνειν, ὡς ἐκ τοῦ μή πολλά ἀναλίσκειν ἀθροίζεται.

Μενάνδρου.

Τούς τόν ἴδιον δαπανῶντες ἀλογίστως βίον,

Τό καλῶς ἀκούειν, ταχύ ποιεῖ πᾶσι κακῶς.

Χίλωνος. - Δαπανώμενος ἐφ᾽ ἅ μή δεῖ, ὀλίγος ἔσῃ ἐφ᾽ ἅ δεῖ.

Τό μή κεκτῆσθαι πλοῦτον, βλάβην οὐ κομίζει τοσαύτην· τό δέ τοῖς οὖσι κακῶς κεκχρῆσθαι, ἀπόλλυσιν τόν οὕτως, φασί, κεχρημένου βίον.

(968) Πλουτάρχ. - Ὁ τῶν ἀσώτων βίος, ὥσπερ καθ᾽ ἡμέραν ἀποθνήσκων ἐκφέρεται.

Πλούσιον δέ ἄσωτον θεασάμενος ἐλαίας ἐσθίοντα καί ὕδωρ πίνοντα, ἔφη· Εἰ οὕτως ἠρίστας, οὐκ ἄν οὕτως ἐδείπνεις.

Κυψέλλου. - Φειδόμενον κρεῖττον ἀποθανεῖν, ἤ ζῶντα ἐνδεῖσθαι.

Πλάτων. - Πλάτων ὁ σοφός, ἰδών μειράκιον εὐγενές ἀσώτως τήν γονικήν οὐσίαν ἀναλώσαντα, καί ἐπί θύραις πανδοχείου ἄρτον ἐσθίοντα καί ὕδωρ πίνοντα, πρός αὐτόν ἔφη· Εἰ οὕτως κατά γνώμην ἠρίστας, οὐκ ἄν οὕτως ἐδείπνεις.

Διογένης. - Ὁ αὐτός προσελθών τινι μειρακίῳ, καταβεβρωκότι τά πατρῷα, ᾔτει αὐτόν δέκα δραχμάς. Τοῦ δέ τήν αἰτίαν ἐρομένου, δι᾽ ἥν παρά μέν τῶν ἄλλων ὀβολόν λαμβάνει, παρά δέ αὐτοῦ δραχμάς δέκα αἰτεῖ, εἶπεν, ὅτι Παρά μέν τῶν ἄλλων ἐλπίζω λήψεσθαι πολλάκις· παρά σοῦ δέ οὐκέτι.

Ξενοφῶντ. - Οὐ γάρ μή λαβεῖν τά ἀγαθά οὕτω χαλεπόν, ὡς τό λαβόντα στερηθῆναι.

Διφίλου.

Ἔργον συναγαγεῖν σωρόν ἐν πολλῷ χρόνῳ,

Ἐν ἡμέρα δέ διαφορῆσαι ῥᾴδιον.

Ζήνων. - Ζήνων πρός τούς ἀπολογουμένους ὑπέρ τῆς αὐτῶν ἀσωτίας, καί λέγοντας, ἐκ πολλοῦ περιόντος ἀναλίσκειν, ἔλεγεν· Εἴ που καί τοῖς μαγείροις συγνώσεσθι, ἐάν ἁλμυρά λέγωσι πεποιηκέναι τά ὄψα, ὅτι πλῆθος ἁλῶν αὐτοῖς ὑπάρχει.

***ΛΟΓΟΣ Ξ Β΄.***

***Περί συνηθείας καί ἔθους.***

Ῥωμ. ζ΄. - Συνήδομαι τῷ νόμῳ τοῦ Θεοῦ κατά τόν ἔσω ἄνθρωπον· βλέπω δέ ἕτερον νόμον ἐν τοῖς μέλεσί μου, ἀντιστρατευόμενον τῷ νόμῳ τοῦ νοός μου, καί αἰχμαλωτίζοντά με ἐν τῷ νόμῳ τῆς ἁμαρτίας, τῷ ὄντι ἐν τοῖς μέλεσί μου.

Σολομ. ιδ'. - Χρόνῳ κρατυνθέν τό ἀσεβές ἔθνος, ὡς νόμος διεφυλάχθη

Σιράχ ιδ΄. - Ἄνθρωπος συνεθιζόμενος λόγοις ὀνειδισμοῦ, εἰς τόν αἰῶνα οὐ μή παιδευθῇ.

Βασιλ. - Οὔτε ἐν κηρῷ γράψαι δυνατόν, μή προκαταλεάναντα τούς ἐναποκειμένους χαρακτῆρας· οὔτε ψυχῇ θεῖα παραθέσθαι, μή τάς ἐκ τοῦ ἔθους προλήψεις ἐξελόντα.

Οὐδέν οὕτως ἐπιθυμητόν, ὡς μή τῇ συνεχείᾳ τῆς ἀπολαύσεως εὐκαταφρόνητον γίνεσθαι· ὧν δέ σπανία ἡ κτῆσις, περισπούδαστος ἡ ἀπόλαυσις.

Παλαιωθέν γάρ τραῦμα ψυχῆς, καί κακοῦ μελέτη χρόνῳ βεβαιωθεῖσα, δυσίατός ἐστιν, ἤ καί παντελῶς (989) ἀνίατος, ὡς τά πολλά τῆς ἕξεως εἰς φύσιν μεθισταμένης.

Ἔθους χωρισμός, καί τοῖς ἀλόγοις ἐστί δυσφορώτατος. Καί ποτε εἶδον ἐγώ βοῦν ἐπί φάτνης δακρύοντα, τοῦ συνόμου αὐτοῦ ὁμοζύγου τελευτήσαντος.

Θεολόγου. - Ῥᾷον γάρ ἀπ᾽ ἀρχῆς μή ἐνδοῦναι κακίᾳ, καί προσιοῦσαν διαφυγεῖν, ἤ προβαίνουσαν ἀνακόψαι καί φανῆναι ταύτης ἀνώτερος.

Δικτύῳ κομίζειν ὕδωρ καί πλίνθον πλύνειν εὐπετές, ἤ κακίαν φυτευθεῖσαν χρόνῳ πολλῷ ἐν ἀνθρώπου ψυχῇ ἐξελεῖν δυνατόν.

Χυσοστ. - Οὐδέν οὕτως ἰσχυρόν παρά ἀνθρώποις, ὡς συνηθείας παλαιᾶς τυραννίς.

Τινές τῶν ἔξωθεν, δυτέραν φύσιν τήν συνήθειαν ἐκάλεσαν.

Δεινόν ἡ συνήθεια κατασχεῖν πρός ἑαυτήν, καί μή συγχωρῆσαι πάλιν διαναστῆναι ἐπί τήν πρώτην ἕξιν τῆς ἀρετῆς.

Ψυχή ἅπαξ ἁμαρτίᾳ σπεισαμένη, καί ἀναλγήτως διατεθεῖσα, πολλήν παρέχει τῷ νοσήματι τήν προσθήκην.

Πολλάκις τήν φλόγα περί τήν ἀρχήν μή σβεννύντες, εἰς μέγα ναυάγιον κατήντησαν. Μή ἔχουσα γάρ ἁμαρτία τόν εἰς πρόσω προβῆναι κωλύοντα, ἵππῳ ἔοικε τόν χαλινόν ἀποῤῥίψαντι καί τόν ἀναβάτην κρημνίζοντι.

Κλήμεντος Ῥώμης. - Ὅ γάρ μισεῖ τις διά τήν ἐπιοῦσαν τῇ ἡλικίᾳ σύνεσιν, τοῦτο διά τήν πολυχρόνιον τῶν κακῶν συνήθειαν πράττειν συναγκάζεται, δεινήν σύνοικον τήν ἁμαρτίαν παρειληφώς.

Βοιωτῶν ἔνιοι τούς χρεώστας οὐκ ἀποδιδόντας, εἰς ἀγοράν ἄγοντες, καθῆσ[θ]αι κελεύουσιν· εἶτα κόφινον ἐπιβάλλουσιν αὐτῷ· ὅς δ᾽ ἄν κοφινωθῇ, ἄτιμος γίνεται. Δοκεῖ δέ τοῦτο πεπονθέναι καί ὁ Εὐριπίδου πατήρ Βοιωτός ὤν τό γένος.

Πέρσαις ὅ μή ποιεῖν ἔξεστιν, οὐδέ λέγουσιν. Ἐάν δέ τις πατέρα κτείνῃ, λιτόν αὐτόν οἴονται· ἐάν δέ τινα προστάξῃ βασιλεύς μαστιγῶσαι, εὐχαριστεῖ ὡς ἀγαθοῦ τυχών, ὅτι αὐτοῦ ἐμνήσθη ὁ βασιλεύς. Ἆθλα δέ λαμβάνουσι παρά βασιλέως πολυτεκνίας· οἱ δέ παῖδες παρ᾽ αὐτοῖς ὥσπερ μαθήματα τό ἀληθεύειν διδάσκονται.

Φίλων. - Ἐγχρονίζον ἦθος φύσεως κραταιότερόν ἐστι· καί μικρά μή κωλυόμενα ἁμαρτήματα, φύεται καί ἐπιδίδοται πρός μέγεθος συναυξάνοντα.

Μηδαμῶς τήν φύσιν αἰτιώμεθα· πάντα γάρ βίον ἡδύν ἤ ἀηδῆ ἡ συνήθεια ποιεῖ.

Χαρικλ. - Πάθος γάρ ἅπαν, τό μέν ὀξέως γινωσκόμενον, (992) εὐβοήθητον· τό δέ χρόνῳ παραπεμπόμενον, ἐγγύς ἀνιάτου.

Χορικίου. - Λαβομένη ἅπαξ ἡδυπαθείας ἡ φύσις, μόλις ἐθέλει πρός πόνους χωρεῖν.

Σωκράτ. - Οὐδέν ὄντως ἡδύ ἤ ἀηδές τῇ φύσει ὑφέστηκεν· πάντα δέ τῇ συνηθείᾳ γίνεται.

Βίον αἱροῦ τόν ἄριστον· τοῦτον γάρ ἡδύν ἡ συνήθεια ποιήσει.

Μεάνδρ.

. . . . . . . . . . . . . . . . . . . .Ἀμήχανον

Μακράν συνήθειαν ἐν βραχεῖ λύσαι χρόνῳ.

Τό γάρ σύνηθες οὐδαμοῦ παροπτέον.

Πολυαίνου. - Ἔθος ἄρχεται μέν ἀπό μικρῶν· ἀμελούμενον δέ, τήν ἰσχύν μείζονα λαμβάνει.

Θεοκρίτ. - Ἐπίβουλον ἦθος καί κακομηχανώτατον διαπαντός ἔχειν καί κατά πάντων, οὐχί τῇ τοῦ ἀγχινόου, ὥς τινες οἴονται, τῇ δέ τοῦ πονηροτάτου μερίδι προστίθημι.

Ῥᾴδιον μέν ἐπαινεῖν, ἅ μή χρή, καί ψέγειν· ἑκάτερον δέ, πονηροῦ τινος ἤθους.

Ἐκ τῶν Σερίνου. - Οἱ Περσῶν βασιλεῖς, πρό μέν τῶν θυσιῶν, περί εὐσεβείας διαλέγονται· πρό δέ τοῦ πίνειν, περί σωφροσύνης· πολεμεῖν δέ μέλλοντες, περί ἀνδρείας.

Ἡροδότ. - Ἀγάθυρσοι, ἀβρότατοι ἄνδρες εἰσί καί χρυσοφόροι τά μάλιστα. Ἐπίκοινον δέ γυναικῶν τήν μίξιν ποιοῦντα, ἵνα κασίγνητοί τε ἀλλήλων ἐῶσι, καί οἰκεῖοι ἐόντες, μήτε φθόνῳ, μήτε ἔχθει χρέωνται ἐς ἀλλήλους.

***ΛΟΓΟΣ Ξ Γ΄.***

***Περί εὐγενείας καί δυσγενείας.***

Ἰωαν. γ΄. - Τό γεγεννημένον ἐκ τῆς σαρκός, σάρξ ἐστι· καί τό γεγεννημένον ἐκ τοῦ πνεύματος, πνεῦμα ἐστιν.

Ῥωμ. θ΄. - Οὐ τά τέκνα τῆς σαρκός, ταῦτα τέκνα Θεοῦ· ἀλλά τά τέκνα τῆς ἐπαγγελίας, λογίζεται εἰς σπέρμα.

Σολ. γ΄. - Γενεᾶς ἀδίκου, χαλεπά τά τέλη.

Τέκνα ἐν καταφρονήσει καί ἀπαιδευσίᾳ γαυριώμενα, συγγενείας ἑαυτῶν μολύνουσι τήν εὐγένειαν.

Τέκνα ἐν ἀγαθῇ ζωῇ τήν ἀναστροφήν ἔχοντα, τῶν ἰδίων γεννητόρων κρύψουσι δυσγένειαν.

Βασιλείου. - Οὐκ ἔχομεν πατέρας λέγειν καί προγόνους περιφανεῖς. Ὁ γάρ τῆς ἀληθείας νόμος, ἴδια ἑκάστου ἀπαιτεῖ τά ἐγκώμια. Οὐδέ γάρ ἵππον ταχύν ποιεῖ τό ἐκ ταχυτάτων φῦναι. Ἀλλ᾽ ὥσπερ τῶν ἄλλων ζώων ἡ ἀρετή ἐν ἑαυτῷ θεωρεῖται ἑκάστου, οὕτω καί ἀνδρός ἔπαινος, ὁ ἐκ τῶν ὑπαρχόντων αὐτῷ κατορθωμάτων ἐκμαρτυρούμενος.

(993) Θεολόγ.

Κακός δ᾽ ἀκούων αἰσχύνου, μή δυσγενής.

Γένος γάρ εἰσιν, οἱ πάλαι σεσηπότες.

Γένους προάρχειν, ἤ λύειν γένος θέλε,

Ὡς καλόν εἶναι σ᾽, ἤ καλῶν πεφυκέναι

Γρηγορ. Νύσσ. - Ἡ εὐγένεια καί ἡ σεμνότης τοῦ ὑπερηφάνου τό συγγενές πρός τήν πλίνθον ἔχει.

Χρυσοστ. - Λαμπρόν καί ἐπίσημον, οὐ περιφάνεια προγόνων, ἀλλά ψυχῆς ἀρετήν ποιεῖν εἴωθε.

Εὐριπίδ.

Οὐδέν ἡ εὐγένεια πρός τά χρήματα.

Τόν γάρ κάκιστον πλοῦτος εἰς πρώτους ἄγει.

Ὅταν δέ κρηπίς μή καταβληθῇ γένους

Ὀρθῶς, ἀνάγκη δυστυχεῖν τούς ἐκγόνους·

Φεῦ, φεῦ, παλαιός αἶνος οὐ καλῶς ἔχει,

Οὐκ ἄν γένοιτο χρηστός ἐκ κακοῦ πατρός.

Θεοπόμπ. - Εὐγενεῖς εἶναι νόμιζε, μή τούς ἐκ τῶν καλῶν καί ἀγαθῶν γεγενημένους· ἀλλά τούς καλά καί ἀγαθά προαιρουμένους.

Θεσπίδου. - Ἐπί προγόνων εὐγενείᾳ μηδείς ἐγκαυχάσθω· πηλόν γάρ ἔχουσι πάντες τοῦ γένους προπάτορα, καί οἱ ἐν πορφύρᾳ καί βύσσῳ τρεφόμενοι, καί οἱ ἐν πενίᾳ ἀβύσσῳ δαπανώμενοι.

Σκληρίου.

Πολλοῖς, θνητῶν ἡ μέν ὄψις εὐγενής·

Ὁ νοῦς δ᾽ ἐν αὐτῇ δυσγενής εὑρίσκεται.

Σώστρατος. - Σώστρατος ὁ αὐλητής ὀνειδιζόμενος ὑπό τινος ἐπί τῷ γονέων ἀσήμων εἶναι, εἶπεν· Καί μή διά τοῦτο μᾶλλον ὤφειλον θαυμάζεσθαι, ὅτι ἀπ᾽ ἐμοῦ γένος ἄρχεται.

Φαλάριδος. - Σεμνύνεσθαι μέν ὥσπερ ἄλλῳ τινί τῶν καλῶν ἐπ᾽ εὐγενείᾳ, οὐκ ἀπεικός ἐστιν. Ἐγώ δέ μίαν ἀρετήν οἶδα, τά δ᾽ ἄλλα πάντα τύχην. Καί γένοιτ᾽ ἄν, ὁ μέν ἐκ φαύλων ἀγαθός, καί βασιλέων καί πάντων εὐγενέστατος· ὁ δέ ἐξ ἀγαθῶν φαῦλος, αὐτός αὐτοῦ καί τῶν ταπεινοτάτων δυσγενέστατος. Ὥστε ψυχῆς ἔπαινον αὔχει, μή προγόνων τεθνηκυῖαν εἰς ἀδοξοτέρους εὐγένειαν.

Ὁ ἐξ ἀρετῆς γεννηθείς, ἐκεῖνος εὐγενής εἰκονίζεται.

Δημοσθ. - Οὔτε σῖτον ἄριστον ἐκ τοῦ καλλίστου πεδίου κρίνομεν, ἀλλά τόν εὔθετον πρός τροφήν· οὔτε ἄνδρα σπουδαῖον ἤ φίλον εὔνουν, τόν ἐξ ἐπιφανοῦς ὄντα γένους, ἀλλά τόν ὑπάρχοντα τῷ τρόπῳ κρείττονα.

Τοῖς εὐγενέσι καί καλοῖς μάλιστα κατεπείγει, κάλλος μέν ἐπί τῆς ὄψεως, σωφροσύνην δέ ἐπί τῆς ψυχῆς, ἀνδρείαν δέ ἐπ᾽ ἀμφοτέρων τούτων· χάριν δέ ἐπί τῶν λόγων διατελεῖν ἔχουσι.

Διογένης. - Πυνθανομένου τινός, Τίνες τῶν ἀνθρώπων εὐγενέστατοι; Οἱ καταφρονοῦντες, εἶπε, πλούτου, δόξης, ἡδονῆς, ζωῆς· τῶν δέ ἐναντίων ὑπεράνων ὄντες, πενίας, ἀδοξίας, πόνου, θανάτου.

Ζήνων. - Ὁ αὐτός ἔφη, μή δεῖν ζητεῖν τούς (996) ἀνθρώπους, εἴ τινες ἐκ μεγάλων πόλεών εἰσιν, ἀλλ᾽ εἰ μεγάλων πόλεων ἄξιοι.

Ἐπιχάρμου.

Πνίγομ᾽ ὅταν εὐγένειαν οὐδέν ὤν κακῶς

Λέγει τις, αὐτός δυσγενής ὤν τῷ τρόπῳ.

Τίς γάρ κατόπτρῳ καί τυφλῷ κοινωνία;

Χαρικλείου. - Εὐγενείας γάρ ἔμφασις καί κάλλους καί ὄψις, ληστρικόν ἦθος· οὐδέν· οὐδέν ὑποτάττειν καί κρατεῖν, καί τῶν αὐχμηροτάτων, δύναται.

Σωκράτ. - Σωκράτης ὁ φιλόσοφος, θεασάμενός τινα τῶν μαθητῶν, τοῦ μέν ἀγροῦ ἐπιμελούμενον, τῆς δέ πράξεως ἀμελοῦντα, Ὅρα, ὦ οὗτος, ἔφη, μή τόν ἀγρόν ἐξημερῶσαι βουλόμενος, τήν ψυχήν ἀγριώσῃ.

Πλουτάρχ. - Τί γάρ ἄλλο νομίζομεν εἶναι τήν εὐγένειαν, εἰ μή παλαιόν πλοῦτον, ἤ παλαιάν δόξαν; οὐδέτερον ἐφ᾽ ἡμῖν ὄν, ἀλλά τά μέν τύχης ἀδήλου, τά δέ ἀκρασίας χάριν ἀνθρωπίνης. Ὥστε ἐκ δυοῖν ἀλλοτρίων κρέμαται τό πεφυσωμένον ὄνομα, ἡ εὐγένεια. Καί ὁ πλοῦτος μέν, οὐχ ὁμοίους αὐτῷ τούς γεννηθέντας ποιεῖ· ἀλλ' ὁ ἐξ ἀρετῆς γεννηθείς, ἐκεῖνος εὐγενής εἰκονίζεται.

***ΛΟΓΟΣ ΞΔ΄.***

***Περί γέλωτος.***

Λουκ. στ΄. - Οὐαί ὑμῖν, οἱ γελῶντες, ὅτι πενθήσετε καί κλαύσετε.

Ἐφ. ε΄. - Αἰσχρότης καί μωρολογία καί εὐτραπελία, καί τά οὐκ ἀνήκοντα, μηδέ ὀναμαζέσθω ἐν ὑμῖν· ἀλλά μᾶλλον εὐχαριστία.

Σολομ. ζ'. - Ὥσπερ φωνή ἀκανθῶν ὑπό τόν λέβητα, οὕτως ὁ γέλως τῶν ἀφρόνων.

Σιράχ κζ΄. - Διήγησις μωρῶν προσόχθισμα, καί ὁ γέλως αὐτῶν ἐν σπατάλῃ ἁμαρτίας.

Βασιλείου. - Ἄχρι μέν γάρ μειδιάματος φαιδροῦ τήν διάθεσιν τῆς ψυχῆς ὑποφαίνειν, οὐκ ἀπρεπές, ὅσον δεῖξαι μόνον τό γεγραμμένον, Καρδίας εὐφραινομένης, πρόσωπον θάλλει. Ἐκκαχλάζειν δέ τῇ φωνῇ, καί ἀναβράσσεσθαι τό σῶμα, οὐ τοῦ κατεσταλμένου τήν ψυχήν οὐδέ τοῦ περικρατῶς ἔχοντος ἑαυτοῦ. Βεβαιοῖ γάρ τόν λόγον ὁ σοφώτατος Σολομών, ὅτι Ὁ μωρός ἐν γέλωτι, ἀνυψοῖ φωνήν αὐτοῦ· ἀνήρ δέ σοφός μόλις ἡσυχῇ μειδιάζει.

(997) Θεολ.

Γέλως γέλωτος εὖ φρονοῦσιν ἄξιος,

Μάλιστα μέν πᾶς, τό πλέον δ᾽ ὁ πορνικός.

Γέλως ἄτακτος, συλλέγει καί δάκρυον.

Γέλωτος θυμός ἔμφρων προτιμώτερος· αὐστηρᾷ γάρ διαθέσει προσώπου, κατορθοῦται ψυχή.

Αἱ μέν τοίνυν τῶν σοφῶν ψυχαί σκυθρωπάζουσι καί συστέλλονται· αἱ δέ τῶν ἀφρόνων ἐπαιρόμεναι διαχέονται.

Χρυσοστ. - Εἰ βούλει δεῖξαι σαφῶς ἡμῖν, ὅτι οὐ χαίρεις αἰσχρά φθεγγόμενος, μηδέ ἀκούειν ἀνέχου. Νῦν δέ πότε δυνήσῃ τούς ὑπέρ τῆς σωφροσύνης ἱδρῶτας ἐνεγκεῖν, κατά μικρόν ὑποῤῥέων ὑπό τοῦ γέλωτος, καί τῶν αἰσχρῶν τούτων ῥημάτων; καί ἀγαπητόν, ἁπάντων τούτων καθαρεύουσαν ψυχήν δυνηθῆναι γενέσθαι σεμνήν καί σώφρονα.

Οὐ δεῖ φιλογέλωτα εἶναι. Σχεδόν γάρ ὅταν τις ἐφηδυνθείη τῷ πολλῷ γέλωτι, ἰσχυράν καί μεταβολήν τόν τοιοῦτον.

Ἐκ τῶν Ἐπικτήτου. - Τά πολλά δέ τό γελᾷν ἀπέστω καί τό γέλωτα κινεῖν. Ὀλισθηρός γάρ ὁ τόπος εἰς ἰδιωτισμόν.

Ὁ γέλως μή πολύς ἔστω, μηδέ ἐπί πολλοῖς. Δείπνοις τοῖς ἔξω καί ἰδιωτικοῖς τό πολύ ἀπόταξαι· ἄν δέ γένηται καιρός, φυλάσσου. Ἴσθι γάρ ὅτι ἄν ἕτερος ᾖ μεμολυσμένος, καί τόν ἕτερον ἐμπλησθῆναι ἀνάγκη.

Ἰσοκράτ. - Μή παρά γέλοια σπούδαζε, μηδέ παρά τά σπουδαῖα τοῖς γελοίοις χαῖρε. Τό γάρ ἄκαιρον, πανταχοῦ λυπηρόν.

Μοσχίωνος. - Γελᾷν ὁ θέλων μετά μειρακίου, αἰσχράς ὕβρεις κερδήσει καί μέμψιν.

Κάτωνος. - Οἱ σπουδάζοντες ἐν τοῖς γελοίοις, ἐν τοῖς σπουδαίοις γίνονται καταγέλαστοι.

Στρατόνικ. - Στρατόνικος ὁ κιθαριστής θεασάμενός τινα ἀφυῶς τοξεύοντα, ἀπελθών ἔστη παρά τόν σκοπόν. Πυνθανομένου δέ τινος τήν αἰτίαν, Ὅπως, ἔφη, μή πληγῶ.

## *ΛΟΓΟΣ ΞΕ΄.*

## *Περί ἐνυπνίων.*

Ματθ. κζ΄. - Μηδέν σοί καί τῷ δικαίῳ ἐκείνῳ· πολλά γάρ ἔπαθον σήμερον κατ᾽ ὄναρ δι᾽ αὐτόν.

Πράξ. θ΄. - Ἦν δέ τις μαθητής ἐν Δαμασκῷ, ὀνόματι Ἀνανίας, καί εἶπε πρός αὐτόν ὁ Κύριος ἐν ὁράματι· Ἀνανία. Ὁ δέ εἶπεν· Ἰδού ἐγώ, Κύριε. Ὁ δέ Κύριος πρός αὐτόν· Ἀναστάς πορεύθητι ἐπί τήν ῥύμην τήν καλουμένην Εὐθεῖαν, καί ζήτησον ἐν οἰκίᾳ Ἰούδα, Σαῦλον ὀνόματι Ταρσέα. Ἰδού γάρ προσεύχεται, καί εἶδεν ἐν ὁράματι ἄνδρα ὀνόματι Ἀνανίαν εἰσελθόντα, καί ἐπιθέντα αὐτῷ τάς χεῖρας ὅπως ἀναβλέψῃ.

Σολομ. λδ'. - Παραγίνεται ἐνύπνιον ἐν πλήθει πειρασμοῦ.

Σιράχ ε΄. - Ὡς ὁ δρασσόμενος σκιᾶς καί διώκων ἀνέμους, οὕτως ὁ προσέχων ἐνυπνίοις.

(1000) Βασιλείου. - Ὡς γάρ ἐπί πολύ, τά καθ᾽ ὕπνον φαντάσματα, τῶν μεθημερινῶν ἐννοιῶν εἰσιν ἀπηχήματα.

Πεφύκασι γάρ πως αἱ καθ᾽ ὕπνον φαντασίαι, ὡς τά πολλά, ἀπηχήματα εἶναι τῶν μεθημερινῶν φροντίδων. Ὁποῖα γάρ ἄν ᾖ τά κατά τόν βίον ἡμῶν ἐπιτηδεύματα, τοιαῦτα ἀνάγκη εἶναι καί τά ἐνύπνια.

Αἱ νύκτες τάς μεθημερινάς φροντίδας παραλαβοῦσαι, ἐν ταῖς αὐτῶν φαντασίαις ἐξαπατῶσι τόν νοῦν.

Τό κατ᾽ ὄναρ ἰδεῖν τά ποθούμενα, φέρει τοῖς ἀγαπῶσι παραμυθίαν.

Οἱ μέθῃ καί ἀδηφαγίᾳ δεδουλωμένοι, οὔτε ὕπνον αἱροῦνται γνήσιον καί εἰλικρινῆ, οὔτε ὀνειράτων ἀπαλλάττονται φοβερῶν.

Θεολόγου.

Μή σφόδρ᾽ ἕπεσθαι παιγνίοις ἐνυπνίων<br>
Μηδ᾽ εὐπτόητον εἰς ἅπαντ᾽ ἔχειν φρένα<br>
Μηδέ πτεροῦ μοι δεξιοῖς φαντάσμασι·<br>
Λόχος τάδ᾽ ἐστί πολλάκις τοῦ δυσμενοῦς.<br>
Πλουτοῦσι μωροί τοῖς ὀνείρασι πλέον,<br>
Ἤ χρημάτων ἄβυσσον οἱ κεκτημένοι.

Χρυσοστ. - Ὁ τοῖς ὀνείροις προσέχων, εἰς ἅπαν ἀδόκιμος.

Ἰων. Κλίμ. - Φιλεῖ γάρ τό δαιμόνιον πολλάκις ἀνθρώποις τό μέλλον νύκτωρ λαλεῖν, οὐχ ἵνα φυλάξωνται μή παθεῖν [οὐ γάρ εἱμαρμένης δύνανται κρατεῖν,] ἀλλ᾽ ἵνα κουφότερον πάσχοντες φέρωσιν.

Νείλου. - Ὁ τοῖς ὀνείροις προσέχων, ἔοικε τῷ τήν σκιάν αὐτοῦ καταδιώκοντι.

Ὁπόταν ἐν τοῖς ὕπνοις τοῖς δαίμοσι πείθεσθαι ἀρξώμεθα, τότε λοιπόν καί ἐγρηγορότας ἐμπαίζουσιν.

Αἰσχίν. - Τό πέρα καθεύδειν τοῦ πρέποντος, τοῖς τεθνηκόσι μᾶλλον ἤπερ τοῖς ζῶσιν ἁρμόδιον.

***ΛΟΓΟΣ Ξ στ΄.***

***Περί ἀκακίας καί μνησικακίας.***

Ματθ. ιη΄. - Ἀμήν, λέγω ὑμῖν, ἐάν μή στραφῆτε καί γένησθε ὡς τά παιδία, οὐ μή εἰσέλθητε εἰς τήν βασιλείαν τῶν οὐρανῶν.

Ματθ. ε΄. - Ἐάν προσενέγκῃς τό δῶρόν σου εἰς τό θυσιαστήριον, κἀκεῖ μνησθῇς ὅτι ἔχει τι ὁ ἀδελφός σου κατά σοῦ, ἄφες τό δῶρόν σου,

καί ὕπαγε πρῶτον διαλλάγηθι τῷ ἀδελφῷ σου, καί τότε προσφέρῃς τό δῶρόν σου.

Α΄ Θεσσ. ε΄. - Ὁρᾶτε μή τις κακόν ἀντί κακοῦ ἀποδῷ τινι, ἀλλά πάντοτε τό δίκαιον διώκετε.

Ἐφ'. - Ὁ ἥλιος μή ἐπιδυέτω ἐπί τῷ παροργισμῷ ὑμῶν.

Γαλ. ε΄. - Εἰ ἀλλήλους δάκνετε καί κατεσθίετε, βλέπετε μή ὑπ' ἀλλήλων ἀναλωθῆτε.

(1001) Παροιμ. κδ΄. - Ἐάν πέσῃ ὁ ἐχθρός σου, μή ἐπιχαρῇς αὐτῷ· ἐν δέ τῷ ὑποσκελίσματι αὐτοῦ, μή ἐπαίρου, ὅτι ὄψεται Κύριος, καί οὐκ ἀρέσει αὐτῷ, καί ἀποστρέψει τόν θυμὸν αὐτοῦ ἀπ᾽ αὐτοῦ.

Παροιμ. ιβ΄. - Ὁδοί μνησικάκων εἰς θάνατον.

Παροιμ. κα΄. - Ὁ μνησικακῶν, παράνομος.

Παροιμ. ιδ΄. - Ὁ ἄκακος πιστεύει παντί λόγῳ.

Παροιμ. α΄. - Ὅσον χρόνον ἔχονται ἄκακοι τῆς δικαιοσύνης, οὐκ αἰσχυνθήσονται.

Σιράχ κη΄. - Ἄφες ἀδίκημα τῷ πλησίον σου, καί τότε δεηθέντος σου, αἱ ἁμαρτίαι σου λυθήσονται.

Βασιλ. - Οὐ δεῖ ἐπί παροργισμῷ ἀδελφοῦ δῦναι τόν ἥλιον, μήποτε ἡ νύξ μεταστήσῃ μεταξύ ἀμφοτέρων, καί καταλίπῃ ἐν ἡμέρᾳ κρίσεως ἔγκλημα ἀπαραίτητον.

Ἥκιστα κακίαν οὐχ ὑφορᾶται, τό κακίας ἐλεύθερον.

Θεολόγου. - Ὁ μέν γάρ κακός τάχιστα ἄν καταγνοίη καί τοῦ ἀγαθοῦ· ὁ ἀγαθός δέ, οὐδέ τοῦ κακοῦ ῥᾳδίως. Τό γάρ εἰς κακίαν οὐχ ἕτοιμον, οὐδ᾽ εἰς ὑπόνοιαν εὐχερές.

Οὐδείς κακῷ κακόν ἰᾶται, ἀλλ᾽ ἀγαθῷ τό κακόν.

Χρυσοστ. - Ὅταν ἐννοήσωμεν ἅπερ ἐπάθομεν παρά τῶν συνδούλων, λογισώμεθα καί ἅπερ ἐποιήσαμεν εἰς τόν Δεσπότην, καί τῷ φόβῳ τῶν οἰκείων ἁμαρτημάτων, τόν θυμόν τόν ἐπί τοῖς ἀλλοτρίοις πλημμελήμασι ταχέως ἀπώσασθαι δυνησόμεθα.

Εἰ γάρ δεῖ μεμνῆσθαι ἁμαρτημάτων, τῶν οἰκείων δεῖ μεμνῆσθαι μόνον. Ἄν τῶν οἰκείων μνημονεύσωμεν, οὐδέποτε τά ἀλλότρια λογιούμεθα.

Ἄν ἀφῆτε τοῖς ἐχθροῖς ὑμῶν, ἀφεθήσεται ὑμῖν. Ἄφες δουλικά ἁμαρτήματα, ἵνα λάβῃς συγχώρησιν δεσποτικήν ἁμαρτημάτων. Εἰ δέ μεγάλα ἠδίκησεν, ὅσῳπερ ἄν μείζονα ἀφῇς, τοσούτῳ λήψῃ τήν συγχώρησιν. Διά γάρ τοῦτο ἐδειδάχθημεν λέγειν, Ἄφες ἡμῖν καθώς ἀφίεμεν· ἵνα μάθωμεν, ὅτι τό μέτρον τῆς ἀφέσεως παρ᾽ ἡμῶν πρῶτον

λαμβάνει τήν ἀρχήν. Ὥστε ὅσωπερ ἄν ὁ ἐχθρός ἐργάζηται, καί τοσούτῳ μείζονως εὐεργετεῖ. Σπεύδωμεν τοίνυν καί ἐπειγώμεθα καταλλάττεσθαι πρός τούς λελυπηκότας, ἄν τε δικαίως ἄν τε ἀδίκως ὀργίζωνται. Ἄν μέν γάρ ἐνταῦθα καταλλαγῇς, ἀπηλλάγης τῆς ἐκεῖ κρίσεως· ἄν δέ μεταξύ μενούσης τῆς ἔχθρας, θάνατος ἐπιστάς ἀπάγῃ, τήν ἀπέχθειαν μεσολαβήσας, εἰς τό δικαστήριον λοιπόν ἐκεῖνο τό φοβερόν εἰσαχθῆναι τήν δίκην ἀνάγκη· καί τήν ἐσχάτην δώσεις δίκην ἐπί τῇ ψήφῳ τοῦ δικαστοῦ πάντων ἐκείνων· καί ἀμφότεροι τιμωρίαν ὑποστήσεσθε ἀπαραίτητον, ὁ μέν δικαίως ὀργιζόμενος, διά τοῦτο ὅτι ἀδίκως, ὁ δέ δικαίως, διά τοῦτο αὐτό, ὅτι δικαίως ἐμνησικάκησεν

(1004) Ὅ τοίνυν διά νηστείας, διά ὀδυρμῶν καί εὐχῶν, καί σάκκου καί σποδοῦ καί μυρίας ἐξομολογήσεως μόλις ἕτεροι κατορθοῦσι, τό τά ἁμαρτήματα ἐξαλείφειν λέγω τά ἑαυτῶν· τοῦτο ἔξεστιν ἡμῖν ῥᾳδίως ποιεῖν χωρίς σάκκου καί σποδοῦ καί νηστείας, ἄν μόνον ἀπό τῆς διανοίας ἐξαλείψωμεν τήν ὀργήν, καί μετά εἰλικρινείας ἀφῶμεν τοῖς ἠδικηκόσιν ἡμᾶς.

Παντός ἁμαρτήματος τό μνησικακεῖν χεῖρον.

Τό κακίας ἐλεύθερον, καί ὑφορᾶσθαι κακίαν ἀργότερον.

Ὅταν ἴδῃς τόν ἐχθρόν ἐμπεσόντα εἰς τάς χεῖρας τάς σάς, μή νόμιζε τιμωρίας, ἀλλά σωτηρίας ἐκεῖνον εἶναι τόν καιρόν. Διά τοῦτο τότε μάλιστα δεῖ φείδεσθαι τῶν ἐχθρῶν, ὅταν αὐτῶν γενώμεθα κύριοι.

Ἐλύπησέ τις; μή ἀντιλυπήσῃς· ἐπεί γέγονας ἐκείνῳ πάλιν ἴσος. Οὐδείς γάρ κακόν κακῷ ἰᾶται, ἀλλ᾽ ἀγαθῷ τό κακόν.

Νείλου. - Ὅς ἀνταδίδωσι κακά ἀντί ἀγαθῶν, οὐκ ἐξενεχθῇ κακά ἐκ τοῦ οἴκου αὐτοῦ.

Φίλωνος. - Συγνώμην αἰτούμενος ἁμαρτημάτων, συγγίνωσκε καί αὐτός τοῖς εἰς σέ πλημμελοῦσιν· ὅτι ἀφέσει ἀντιδίδοται ἄφεσις, καί ἡ πρός τούς ὁμοδούλους ἡμῶν καταλλαγή, τῆς θείας ὀργῆς γίνεται ἀπαλλαγή.

Εὐαγρ. - Μνησικακίαν σβέννυσι δῶρα· καί πειθέτω σε Ἰακώβ τόν Ἡσαῦ δόμασιν ὑπελθών μετά τριακοσίων εἰς ἀπάντησιν ἐξελθόντα. Ἀλλ᾽ ἡμεῖς πένητες ὄντες τραπέζῃ τήν χρείαν πληρώσωμεν.

Μαρτίνου ἀναχωρητοῦ. - Ὁ δαίμοσι μνησικακῶν, ἀνθρώποις οὐ μνησικακεῖ· εἰρηνεύει δέ μετά δαιμόνων, ὁ τῷ ἀδελφῷ μηνιῶν.

Κροῖσος. - Κροῖσος τῷ παιδοφόνῳ τήν ὀργήν ἀφεῖναι λέγεται, ἑαυτόν παραδόντι εἰς τιμωρίαν· καί Κῦρος ὁ μέγας αὐτῷ τῷ Κροίσῳ φίλος γενέσθαι μετά νίκην.

Μοσχίωνος. - Ἐν οἷς πλήττειν ἄλλους ἐθέλεις, ἐν τούτοις βλάβην ἔλπιζε τήν μείζονα.

Ἐπικούρου. - Ἐχθροῦ δεηθέντος μή ἀποστραφῇς τήν ἀξίωσιν· πλήν ἀσφαλίζου σεαυτόν. Οὐδέν γάρ κυνός διαφέρει.

Θεοπόμπου.- Σπούδαζε τάς μέν ἔχθρας, ὀλιγοχρονίους ποιεῖσθαι· τάς δέ ἀγάπας, πολυχρονίους.

Αἰσχίνης. - Αἰσχίνης ὁ ῥήτωρ, μετά τό Ἀθηναίους αὐτοῦ καταψηφίσασθαι, Δημοσθένους αὐτῷ μυρίας Ἀττικάς πέμψαντος, καί γενναίως τήν περίστασιν φέρειν παρακαλοῦντος, καί πῶς, ἔφη, δύναμαι μή λυπεῖσθαι τοιαύτης ἐκβαλλόμενος πατρίδος, ἐν ᾗ οἱ ἀδικηθέντες καί προσωφελοῦσι τούς ἀδικοῦντας;

***ΛΟΓΟΣ Ξ Ζ΄.***

***Περί βίου ἀνωμαλίας.***

Ἰωάν. ιστ΄. - Ἀμήν, ἀμήν λέγω ὑμῖν, (10050 ὅτι κλαύσετε καί θρηνήσετε ὑμεῖς, ὁ δέ κόσμος χαρήσεται· ἀλλ᾽ ἡ λύπη ὑμῶν εἰς χαράν γενήσεται. Ἡ γυνή ὅταν τίκτῃ, λύπην ἔχει, ὅτι ἦλθεν ἡ ὥρα αὐτῆς· ὅταν δέ γεννήσῃ τό παιδίον, οὐκ ἔτι μνημονεύει τῆς θλίψεως διά τήν χαράν, ὅτι ἐγεννήθη ἄνθρωπος εἰς τόν κόσμον.

Α΄. Τιμ. στ΄. - τοῖς πλουσίοις ἐν τῷ νῦν αἰῶνι παράγγελε μή ὑψηλοφρονεῖν, μηδέ ἠλπικέναι ἐπί πλούτου ἀδηλότητι, ἀλλ᾽ ἐν τῷ Θεῷ τῷ ζῶντι.

Σολομ. β΄. - Καπνός ἡ πνοή ἐν ῥίσιν ἡμῶν· καί παρελεύεται ὁ βίος ἡμῶν ὡς ἴχνη νεφέλης. Σκιᾶς γάρ πάροδος ὁ βίος ἡμῶν.

Σολομ. ε΄. - Τί ὠφέλησεν ἡμᾶς ἡ ὑπερηφανία ἡμῶν; Τί ὁ πλοῦτος μετά ἀλαζονείας συμβέβληται ἡμῖν; Παρῆλθε πάντα ἐκεῖνα ὡς σκιά, καί ὡς ἀγγελία διατρέχουσα· ὡς ναῦς διερχομένη κυμαινόμενον ὕδωρ, ἧς διαβάσης οὐκ ἔστιν ἴχνος εὑρεῖν, οὐδέ ἀτραπόν πορείας αὐτῆς ἐν κύμασιν, ὡς ὀρνέου διαπαντός ἀέρα οὐδέν εὑρίσκεται τεκμήριον πορείας.

Σιράχ ια΄. - Πολλοί τύραννοι ἐκάθισαν ἐπί ἐδάφους· ὁ δέ ἀνυπονόητος ἐφόρεσε διάδημα·

Βασιλείου. - Ὥσπερ οὖν θάλασσαν ἀμήχανον ἐπί πολύ τήν αὐτήν διαρκέσαι· ἥν γάρ νῦν λείαν καί σταθηράν, μικρόν ὕστερον ὄψει βίαις ἀνέμων τραχυνομένην· καί πάλιν τήν ἀγριαίνουσαν καί βρασσομένην τῷ κλύδωνι, βαβεῖα γαλήνη κατεστόρεσεν, οὕτω καί τά τοῦ βίου πράγματα ῥᾳδίως λαμβάνει περιστροφάς ἐφ᾽ ἑκάτερα.

Θεολόγου. - φύσει μέν οὐδέν τῶν ἀνθρωπίνων βέβαιον οὐδέ ὁμαλόν οὐδέ αὔταρκες· ἀλλά κύκλος τις τῶν ἡμετέρων περιτρέχει πραγμάτων, ἄλλοτε ἄλλας ἐπί μιᾶς ἡμέρας πολλάκις, ἔστι δέ ὅτε καί ὥρας, φέρων μεταβολάς· καί αὔραις μᾶλλόν ἐστι πιστεύειν οὐχ ἱσταμέναις, καί νηός ποντοπορούσης ἴχνεσιν, καί νυκτός ἀπατηλοῖς ὀνείρασιν, ὧν πρός ὀλίγον ἡ χάρις, καί ὅσα κατά ψάμμον παῖδες τυποῦσι παίζοντες, ἤ ἀνθρώπων εὐημερίαις.

Χρυσοστ. - Ὥσπερ γάρ ἡ τῶν πλουσίων ὑδάτων φορά, δεξαμένη τό ἐπιῤῥέον, πομφόλυγας διανίστησι· καί αἱ μέν αὐτῶν ἅμα τῷ γενέσθαι ἐῤῥάγησαν, αἱ δέ πλεῖον ὀγκωθεῖσαι, μετέπειτα καί αὐταί ἐῤῥάγησαν· τόν αὐτόν τρόπον ἡ θάλασσα τοῦ βίου τούτου, τούς μέν ὀλίγον φανέντας ἐκάλυψε, τούς δέ ἐπιπλεῖον διαρκέσαντας καί αὐτούς κατεπόντισεν.

(1008) Πάντων σου τῶν πραγμάτων κατευοδουμένων, ἐκδέχου μεταβολήν· καί πάλιν ὑπό τῶν ἀπροσδοκήτων συμφορῶν κυκλούμενος, ἔλπιζε τά χρηστά καί κρείττονα.

Νεκρῶν ἀχρηστότερα τά λαμπρά τοῦ παρόντος βίου.

Ἐν τῇ εὐδίᾳ ὢν τοῦ βίου, ἐκδέχου ποτέ καί χειμῶνα πραγμάτων.

Τό περί τά φαινόμενα τήν σπουδήν ἔχειν, ἴδιόν ἐστιν τοῖς μηδεμίαν τοῦ μέλλοντος αἰῶνος ἑαυτοῖς ὑποτιθεμένοις ἐλπίδα.

Νείλου. - Μή ἐξαπάτω ἡμᾶς ἐν τῷ κόσμῳ τούτῳ περιφανῆ καί λαμπρά δεικνύμενα πράγματα. Παρέρχεται γάρ πάντως, καί οὐδέν τῶν φαινομένων στάσιμον.

Πάντων σου τῶν πραγμάτων κατευοδουμένων, ἐκδέχου ζημίαν.

Δίωνος Ῥωμαίου. - Πολλοί μέν ἐπί τοῖς ἀμείνοσιν ἀλγοῦσι, πολλοί δέ καί ἐπί τοῖς χείροσι χαίρουσι. Πόσοι μέν γάρ πλουτοῦντες ἄχθονται! Πόσοι δέ πενόμενοι ἥδονται! Ἄλλους κάλλος καί ἰσχύς ἔβλαψεν, ἄλλους αἶσχος καί ἀσθένεια ὠφέλησεν. Ἕτεροι τήν εἰρήνην πρό τοῦ πολέμου τιμῶσιν, ἕτεροι πολεμεῖν μᾶλλον ἤ εἰρήνην ἐθέλουσι. Τί δ᾽ οὐκ ἀεί τυραννοῦντές τινες ὀλοφύρονται; Καί τό μέγιστον, πλεῖστοι μέν ὅσοι ἀηδῶς ζῶσιν· πλεῖστοι δέ ἡδέως ἀποθνήσκουσιν.

Σωκράτης. - Ταυτόν ἐστιν ἐπι εὐτυχίᾳ μέγα φρονεῖν, καί ἐπί ὀλισθηρᾶς ὁδοῦ σταδιοδρομεῖν.

Ἀριστωνύμ. - Ἔοικεν ὁ βίος θεάτρῳ. Διό πολλάκις χείριστοι τόν κάλλιστον ἐν ἑαυτοῖς κατέχουσι τόπον.

Δημοκρίτ. - Ταίς τῶν καιρῶν μεταβολαῖς, καί οἱ σφόδρα δυνατοί τῶν ἀσθενεστέρων ἐνδεεῖς γίνονται.

Ἱπποθοούντ. - Ἄνθρωπος ὤν, μέμνησο τῆς κοινῆς τύχης.

Ἰσιδώρου. - Θνητός πεφυκώς, τά ὀπίσω πειρῶ βλέπειν.

Εὐριπίδου.

Βέβαιον οὐδέν ἐστιν ἐν θνητῷ γένει,

Βιοῖ γάρ οὐδείς ὅν προαιρεῖται τρόπον.

Ἀνωνύμου.

Οὐκ ἔστιν ὅστις πάντ᾽ ἀνήρ εὐδοκιμεῖ.

Εἶναι δ᾽ ὑπόλαβε καί σέ τῶν πολλῶν ἕνα.

Διογένης.

Ὁ θνητόν ἀνδρῶν καί ταλαίπωρον γένος,

Ὡς οὐδέν ἐσμεν πλήν σκιαῖς ἐοικότες,

Βάρος περισσόν γῆς ἀναστροφώμενοι.

Ὁ Ἀπελλῆς ὁ ζωγράφος ἐρωτηθείς, διατί τήν Τύχην καθημένην ἔγραψεν, εἶπεν, Οὐχ ἕστηκε γάρ.

Βίας. - Ὁ αὐτός ἔλεγε, τόν βίον οὕτω μετρεῖν, ὡς καί πολύν, καί ὀλίγον χρόνον βιωσόμενος.

(1009) Σοφοκλ. ἐν Αἴαντι.

Ὡς ἡμέρα κλίνει τε κἀνάγει πάλιν,

Οὕτως ἅπαντα τά ἀνθρώπινα.

***ΛΟΓΟΣ Ξ Η΄.***

***Περί τοῦ, ὅτι δεῖ τιμᾶν ἀρετήν καί κολάζειν κακίαν.***

Ἰωάν. ε΄. - Ἐκπορεύσονται οἱ τά ἀγαθά ποιήσαντες, εἰς ἀνάστασιν ζωῆς· οἱ δέ τά φαῦλα πράξαντες, εἰς ἀνάστασιν κρίσεως.

Β΄ Πέτρ. β΄. - Οἶδεν Κύριος εὐσεβεῖς ἐκ πειρασμοῦ ῥύεσθαι· ἀδίκους δέ εἰς ἡμέραν κρίσεως κολαζομένους τηρεῖν.

Παροιμ. κβ΄. - Πανοῦργος, ἰδών πονηρόν τιμωρούμενον, κραταιῶς αὐτός παιδεύεται.

Σιράχ ι΄. - Οὐ δίκαιον ἀτιμάσαι πτωχόν συνετόν, καί οὐ καθῆκον δοξάσαι ἁμαρτωλόν.

Βασιλείου. - Ἐάν οἱ σωφρονοῦντες τούς φαύλους ἴδωσιν ἀτιμαζομένους, πολύ προθυμότερον τῆς ἀρετῆς ἀνθέξονται.

Ἄλλος μέν οὖν εἴη περί ταῦτα τολμηρός καί γεννάδας· μᾶλλον δέ εἴη μηδείς. Ἐγώ δέ ὀκνῶ κακίᾳ δοῦναι πάντων τήν ἐντεῦθεν κόλασιν, ἤ εὐσεβείᾳ τήν ἄνεσιν. Ἀλλ᾽ ἔστι μέν ὅτε καί πρός τι χρήσιμον, ἤ κακίας ἐγκοπτομένης, δυσπάθεια τῶν πονηρῶν· ἤ ἀρετῆς

ὁδοποιουμένης, εὐπάθεια τῶν βελτιόνων· οὐκ ἀεί δέ, οὐδέ πάντως· ἀλλ᾽ εἶναι τοῦτο μόνον καιροῦ τοῦ μέλλοντος, καθ᾽ ὅν οἱ μέν τά τῆς ἀρετῆς ἆθλα, οἱ δέ τά τῆς κακίας ἐπιτίμια δέξονται.

Χρυσοστ. - Δός τῷ δεομένῳ, καί μή δῷς τῷ ὀρχουμένῳ, ἵνα μή μετά τῶν σῶν χρημάτων καί τήν ψυχήν ἀπολέσῃς τήν ἐκείνου. Σύ γάρ αἴτιος εἶ τῆς ἐκείνου ἀπωλείας, διά τῆς ἀκαίρου φιλοτιμίας. Εἰ γάρ οἱ ἐπί τῆς ὀρχήστρας ᾔδεσαν, ὅτι τό ἐπιτήδευμα αὐτοῖς ἀκερδές ἔμελλεν ἔσεσθαι, πάλαι ἄν ἐπαύσαντο ταῦτα ἐπιτηδεύοντες.

Ἠσαΐ. γ΄. - Ἀδικεῖ τούς ἀγαθούς, ὁ φειδόμενος τῶν κακῶν.

Ὅσοι τούς ἀδικοῦντας κολάζουσιν, οὗτοι τούς ἄλλους ἀδικεῖσθαι κωλύουσιν.

Ὁ ἀρετήν τιμῶν, πρώτην ἀλήθειαν τιμᾷ, καί μάλιστα ὡς ἀγαθοῦ παντός ἡγεμονεύουσαν.

Σόλων.- Σόλων ὁ σοφός, ἐκείνην εἶπεν ἄριστα οἰκεῖσθαι τήν πόλιν, ἐν ᾗ τούς ἀγαθούς συμβαίνει τιμᾶσθαι· κάκιστα δέ οἰκεῖσθαι, ἐν ᾗ τούς κακούς.

Σέξτου. - Δύο ἀφορμαί κινοῦσιν ἄνθρωπον εἰς Θεοῦ ἐπιμέλειαν· τιμωρία δυσσεβείας, καί γνώμης εὐσεβοῦς ἀμοιβαί.

Ἀφόρητος γίνεται κακία ἐπαινουμένη.

Προκοπίου ῥήτορος. - Μή τιμωμένης ἀρετῆς, ἡ κακία παῤῥησιάζεται.

(1012) Φίλωνος. - Εἰ βούλει διττῶς εὐδοκιμεῖν, καί τούς κάλλιστα ποιοῦντας προτίμα, καί τούς τά χείρονα πράττοντας ἐπιτίμα.

Σωκράτης. - Ἐρωτηθείς ποία πόλις ἄριστα οἰκεῖται, ἔφη, Ἡ μετά νόμου ζῶσα, καί τοῖς ἀδικοῦσιν ἐπεξιοῦσα.

### *ΛΟΓΟΣ ΞΘ΄.*

### *Περί φιλαυτίας.*

Ἰωάν. ιβ΄. - Ὁ φιλῶν τήν ψυχήν αὐτοῦ, ἀπολέσει αὐτήν· καί ὁ μισῶν αὐτήν ἐν τῷ κόσμῳ τούτῳ, εἰς ζωήν αἰώνιον φυλάξει αὐτήν.

Β΄. Κορινθ. ι΄. - Οὐχ ὁ ἑαυτόν συνιστῶν, ἐκεῖνός ἐστι δόκιμος, ἀλλ᾽ ὅν ὁ Κύριος συνίστησιν.

Φιλιππ. β΄. - Οἱ πάντες τά ἑαυτῶν ζητοῦσιν, οὐ τά τοῦ Χριστοῦ.

Σιράχ λξ΄. - Τέκνον, ἐν τῇ ζωῇ σου πείρασον τήν ψυχήν σου, καί ἴδε τί πονηρόν αὐτῇ, καί μή δῷς αὐτῇ· οὐ γάρ πάντα πᾶσι συμφέρει.

Παροιμ. κα΄. - Πᾶς ἀνήρ φαίνεται ἑαυτῷ δίκαιος· κατευθύνει δέ καρδίας Κύριος.

Παροιμ. κζ΄. - Ἐγκωμιαζέτω σε ὁ πέλας, καί μή τό σόν στόμα· ἀλλότρια, καί μή τά σά χείλη.

Βασιλ. - Ὄνειδος γάρ ἀνδρί, τῷ γε ὡς ἀληθῶς τῆς προσηγορίας ταύτης ἀξίῳ, καλλωπιστήν καί φιλοσώματον εἶναι, ἤ πρός ἄλλο τι τῶν παθῶν ἀγεννῶς διακεῖσθαι. Τό γάρ τήν πᾶσαν σπουδήν εἰσφέρεσθαι, ὅπως ὡς κάλλιστα αὐτοῦ τό σῶμα ἕξοι,οὐ διαγινώσκοντος ἑαυτόν ἐστιν, οὐδέ συνιέντος τοῦ σοφοῦ παραγγέλματος.

Χρυσοστ. - Οὐδείς φίλος, οὐδείς ἀδελφός. Τά ἑαυτῶν σκοποῦμεν ἕκαστος. Διά τοῦτο καί τά ἑαυτῶν κολοβοῦμεν, καί ἀσθενεῖς καί εὐκαταγώνιστοι καί ἀνθρώποις καί διαβόλῳ ἐσμέν, ἐκ τοῦ μή συνασπίζειν ἀλλήλους. Καί γάρ ἐν πολέμῳ καί παρατάξει, ὁ πρός τοῦτο μόνον ὁρῶν στρατιώτης, ὅπως ἑαυτόν διασώσῃ φυγών, καί τούς ἄλλους μεθ᾽ ἑαυτοῦ συναπόλλυσιν· ὥσπερ οὖν ὁ γενναῖος, καί ὑπέρ τῶν ἄλλων τά ὅπλα τιθέμενος, μετά τῶν ἄλλων καί ἑαυτόν διασώζει.

Ὁ μή καταδεχόμενος τήν παρά τοῦ ἀδελφοῦ θεραπείαν προσαγομένην αὐτῷ, ἀσύμφωνός ἐστι καί αὐτός ἑαυτῷ.

Θεολόγου. - Πάντες μέν εὐσεβεῖς ἐξ ἑνός τοῦ καταγινώσκειν ἀλλήλων ἀσέβειαν· τῶν μέν ἰδίων πρᾶοι κριταί, τῶν δέ ἀλλοτρίων ἀκριβεῖς ἐξετασταί.

Συνῶμεν ἀλλήλοις πνευματικῶς· γενώμεθα φιλάδελφοι μᾶλλον ἤ φίλαυτοι.

Φίλων. - Οἱ ἑαυτῶν μόνον ἕνεκα πάντα πράττοντες, φιλαυτίας μέγιστον κακόν ἐπιτηδεύουσιν.

Κριτίου.

Δεινόν δ᾽ ὅταν τις μή φρονῶν δοκῇ φρονεῖν.

Ἀγαθοί δέ τό κακόν ἐσμεν ἐφ᾽ ἑτέρων ἰδεῖν·

Αὐτοί δ᾽ ὅταν ποιῶμεν, οὐ γινώσκομεν.

(1013) Οὐδείς ἐπ᾽ αὐτοῦ τό κακόν συνορᾷ, Πάμφιλε,

Ἑτέρου δ᾽ ἀσχημονοῦντος, σοφῶς ὄψεται.

Διογένης. - Διογένης ἐρωτηθείς, Τί χαλεπώτατον; Τό γινώσκειν ἑαυτόν, ἔφη. Πολλά γάρ ὑπό φιλαυτίας ἕκαστον ἑαυτῷ προστιθέναι.

Ὁ αὐτός, τῶν ἀνθρώπων ἐνίους ἔφη τά δέοντα λέγοντας, ἑαυτῶν οὐκ ἀκούειν· ὥσπερ καί τάς λύρας καλόν φθεγγομένας οὐκ αἰσθάνεσθαι.

Πλάτων. - Τό ἐξαπατᾶσθαι αὐτόν ὑφ᾽ αὑτοῦ πάντων χαλεπώτατον. Ὅταν γάρ μή μικρόν [μακρόν] ἀποσταθῇ, ἀλλ᾽ ἀεί παρῇ ὁ ἐξαπατήσων, πῶς οὐ δεινόν;

***ΛΟΓΟΣ Ο΄.***

***Περί τοῦ, ὅτι εὔκολος ἡ κακία, καί δυσπόριστος ἀρετή.***

Ματθ. ζ΄. - Εἰσέλθετε διά τῆς στενῆς πύλης, ὅτι πλατεῖα ἡ πύλη, καί εὐρύχωρος ἡ ὁδός ἡ ἀπάγουσα εἰς τήν ἀπώλειαν.

Ἑβρ. ιβ΄. - Πᾶσα παιδεία, πρός μέν τό παρόν οὐ δοκεῖ χαρᾶς εἶναι, ἀλλά λύπης· ὕστερον δέ, καρπόν εἰρηνικόν τοῖς δι᾽ αὐτῆς ἐγγεγυμνασμένοις ἀποδίδωσιν.

Παροιμ. ιστ΄. - Ἔστιν ὁδός, ἥ δοκεῖ παρά ἀνθρώποις ὀρθή εἶναι, τά δέ τελευταῖα αὐτῆς ἔρχεται εἰς πυθμένα ᾅδου.

Βασιλείου. - Τί τῶν ἀγαθῶν εὔκολον; Τίς καθεύδων τρόπαιον ἔστησεν; Τίς τρυφων καί καταυλούμενος, τοῖς τῆς καρτερίας στεφάνοις κατεκοσμήθη; Οὐδείς μή δραμῶν ἀνείλετο βραβεῖον. Πόνοι γεννῶσι δόξαν· κάματοι δέ προξενοῦσι στεφάνους.

Πολλοί πολλά συναθροίσαντες ἐκ νεότητος, περί τά μέσα τοῦ βίου γενόμενοι, ἐπαναστάντων αὐτοῖς πειρασμῶν ἐκ τῶν πνευμάτων τῆς πονηρίας, οὐκ ἤνεγκαν τοῦ χειμῶνος τό βάρος, διά τό τήν κυβέρνησιν αὐτοῖς μή παρεῖναι· ἀλλά πάντων ἐκείνων τήν ζημίαν ὑπέμειναν.

Οὔτε γάρ πῦρ εὐκαταπρήστου ὕλης ἁψάμενον, δυνατόν μή οὐχί ἐπί πᾶσαν αὐτήν διαβῆναι, ἄλλως τε κἄν ἐπιτύχῃ πνεύματος ἐπιφόρου τήν φλόγα διακομίζοντος· οὔτε τήν ἁμαρτίαν ἑνός ἁψαμένην, μή οὐχί ἐπί πάντας τούς ἐγγίζοντας διελθεῖν, ἐξαπτόντων αὐτήν τῶν πνευμάτων τῆς πονηρίας.

Θεολόγ. - Δυσκατόρθωτος ἡ ἀρετή, καί οὐ μικροῖς ἁλίσκεται πόνοις.

Σπάνιον ἡ τοῦ ἀγαθοῦ κτῆσις καί πρόσαντες, κἄν εἰ πολύ τό μεθέλκον εἴη καί προκαλούμενον.

Πρόχειρον πρᾶγμα ἡ μοχθηρία, καί οὐδέν οὕτω ῥᾴδιον ὡς τό γενέσθαι κακόν.

Τῆς αὐτῆς ἐστι δυσχερείας, καί κτήσασθαί τι τῶν ἀγαθῶν οὐχ ὑπάρχον, καί κτηθέν διασώσαθαι. (1016) Πολλάκις γάρ ὅ μέν σπουδή προσέλαβε ῥᾳθυμία διέφθειρεν· ὅ δέ ὄκνος ἀπώλεσεν, ἀνεκαλέσατο ἐπιμέλεια.

Κακίας ῥᾷον μεταλαβεῖν, ἤ ἀρετῆς μεταδοῦναι.

Δύσληπτον μέν τό ἀγαθόν τῇ ἀνθρωπίνῃ φύσει, ὥσπερ καί τό πῦρ ὕλῃ τῇ ὑγροτέρα· ἕτοιμοι δέ πρός τήν τοῦ κακοῦ ἐργασίαν οἱ πλεῖστοι καί ἐπιτήδειοι.

Τό ἐν κακίᾳ περίβλεπτον, πολλούς εἰς τόν ὅμοιον ζῆλον τῶν εὐολισθήτων ἐφέλκεται.

Πρόχειρον ἡ πονηρία τῷ κακῷ μᾶλλον ἀκολουθεῖν, ἤ ὑπό τοῦ κρείττονος ἀνακόπτεσθαι.

Ῥᾶον γάρ ἀπ᾽ ἀρχῆς μή ἐνδοῦναι κακίᾳ καί προ«οῦσαν διαφυγεῖν, ἤ προβαίνουσαν ἀνακόψαι καί φανῆναι ταύτης ἀνώτερον· ὥσπερ καί πέτραν ἀπ᾽ ἀρχῆς αἱρῆσαι καί κατασχεῖν, ἤ φερομένην ἀνώσασθαι.

Πολλή μέν ἡδονή τῇ κακίᾳ, πολύς δέ τῇ ἀρετῇ συνέζευκται πόνος καί ἱδρώς. Καί ποία σοι χάρις ἦν; Τίνα δ᾽ ἄν ἔλαβες μισθόν, εἰ μή ἐπίπονον τό πρᾶγμα ἦν; Καί γάρ πολλούς ἔχω δεῖξαι, φύσει τό μίγνυσθαι γυναικί μισοῦντας. Τούτους οὖν σώφρονας καλέσομεν ἤ στεφανώσομεν; Οὐδαμῶς. Σωφροσύνη ἐστιν ἐγκράτεια, καί τό μαχόμενον περιγενέσθαι τῶν ἡδονῶν.

Γρηγ. Νύσσ. - Πολλή πρός τήν κακίαν ἐστίν ἡ εὐκολία, καί ὀξύῤῥοπος ἐπί τό χεῖρον ἡ φύσις.

Ἰων. Κλίμ. - Κόπῳ πολλῷ καί μόχθῳ καί ἱδρῶτι κατορθοῦται ἐν ἡμῖν ἦθος χρηστόν καί εὐκατάστατον· καί τά πολλῷ μόχθῳ κατορθούμενα, δυνατόν ἐν μιᾷ καιροῦ ῥοπῇ ἀπολέσαι.

Διογένης. - Ἡμέρας ποτέ λύχνος ἅψας πειήει· πυνθανομένων δέ τινων πρός τί τοῦτο, ἔλεγεν ἄνθρωπον ζητεῖν.

### *ΛΟΓΟΣ ΟΑ΄.*

### *Περί τοῦ, ὅτι οὐκ ἀεί τό πλεῖστον ἄριστον.*

Λουκ. κα΄. - Ἀναβλέψας δέ ὁ Ἰησοῦς, εἶδεν τούς βάλλοντας τά δῶρα αὐτῶν εἰς τό γαζοφυλάκιον πλουσίους. Εἶδε δέ καί τινα χήραν πενιχράν, βαλοῦσαν ἐκεῖ δύο λεπτά, καί εἶπεν, Ἀληθῶς λέγω ὑμῖν, ἡ χήρα ἡ πτωχή αὕτη πλείω πάντων ἔβαλεν. Ἅπαντες γάρ οὗτοι ἐκ τοῦ περισσεύοντος αὐτοῖς ἔβαλον εἰς τά δῶρα τοῦ Θεοῦ· αὕτη δέ ἐκ τοῦ ὑστερήματος αὐτῆς ἅπαντα τόν βίον, ὅν εἶχεν, ἔβαλεν.

Α΄ Κορινθ. ιδ΄. - Ἐν ἐκκλησίᾳ θέλω πέντε λόγους διά τοῦ νοός μου λαλῆσαι, ἤ μυρίους λόγους ἐν γλώσσῃ.

(1017) Σολομ. δ΄. - Ἀγαθόν πλήρωμα δρακός ἀναπαύσεως, ὑπέρ πληρώματος δύο δρακῶν ἐν μόχθῳ.

Σιράχ ις΄. - Κρεῖσσον εἷς δίκαιος , ἤ μύριοι παράνομοι· καί ἀποθανεῖν ἄτεκνον, ἤ ἀσεβῆ τέκνα ἔχειν.

Ἀπό ἑνός συνετοῦ συνοικισθήσεται πόλις· φυλή δέ ἀνόμων ἐρημωθήσεται ἐν τάχει.

Βασιλείου. - Πολλάκις γάρ ὁ ἐν τῷ μέσῳ μικρόν τι κατορθώσας, μείζων ἐστί τοῦ ἐν ἀφθονίᾳ τό πᾶν κατορθώσαντος.

Εἰ γάρ ἄρτος τήν καρδίαν ἀνθρώπου στηρίζει, οὐ δεῖ πλέον τοῦ ἀναγκαίου τῆς τροφῆς τό προσόψημα ἀλόγως προσφέρεσθαι.

Θεολόγου. - Κρείσσων ὀλιγοχρόνιος βασιλεία μακρᾶς τυραννίδος, καί ὀλίγη μερίς τιμία, πολλῆς κτήσεως ἀτίμου καί σφαλερᾶς, καί πολλοῦ σκότους ὀλίγον φῶς.

Χρυσοστ. - Οὐ τῷ μέτρῳ τῶν διδομένων ἐλεημοσύνη κρίνεται, ἀλλά τῇ δαψιλείᾳ τῆς γνώμης.

Ἐν ἁμίλλαις πονηραῖς ἀθλιώτερος ὁ νικήσας, διότι ἀπέρχεται τό πλέον ἔχων τῆς ἁμαρτίας.

Πλάτωνος. - Τοῦ πλείονος βίου καί φαυλοτέρου, τόν ἐλάσσω καί ἀμείνονα ὄντα παντί πάντως προαιρετέον.

Ἰσοκράτ. - Προαιρετέον μέτριον μετά δικαιοσύνης μᾶλλον, ἤ μέγαν πλοῦτον μετ᾽ ἀδικίας.

Δημοσθ. - Οὗτος θεασάμενός τινα δημαγωγόν ἀφυῆ μέγα βοῶντα, ἔφη, Ἀλλ᾽ οὐ τό μέγα, εὖ ἐστι· τό δέ εὖ, μέγα.

Ἐπικτήτου. - Τῶν ἡδέων τά σπανιώτατα γινόμενα μάλιστα τέρπει.

Ἀλέξανδρ. - Ἀλέξανδρος ἀκούσας ὅτι Δαρεῖος τριάκοντα μυριάδας εἰς παράταξιν ἄγει, ἔφη· εἷς μάγειρος οὐ φοβεῖται πολλά πρόβατα.

Ὁ αὐτός, κατασκόπου λέγοντος αὐτῷ, πλείους εἶναι τούς Δαρείου, ἔφη· Καί τά πρόβατα πλείονα ὄντα, ἑνός ἤ δευτέρου λύκου χειροῦνται.

## ΕΚΘΕΣΙΣ ΤΗΣ ΟΜΟΛΟΓΙΑΣ ΤΩΝ ΛΑΤΙΝΩΝ, Σελ. 1018

***Συγγραφεῖσα καί ἀποσταλεῖσα παρά Γρηγορίου Πάπα Ῥώμης, πρός Γερμανόν τόν ἁγιώτατον πατριάρχην Κωνσταντινουπόλεως.***

Πατήρ ἐστί πλήρης Θεός ἐν ἑαυτῷ· ὁ Υἱός, πλήρης Θεός, ἀπό τοῦ Πατρός γεννητός· τό Πνεῦμα τό ἅγιον, πλήρης Θεός, ἀπό τοῦ Πατρός καί τοῦ Υἱοῦ ἐκπορευόμενον. Καί τό Πνεῦμα μέν, ἀπό τοῦ Υἱοῦ ἐκπορεύεται ἀμέσως· ἀπό τοῦ Πατρός δέ, μεσιτεύοντος τοῦ Υἱοῦ. Τό δέ, ὅτι τό Πνεῦμα τό ἅγιον ἐκπορεύεται ἀπό τοῦ Υἱοῦ, τοῦτο ἔχει ὁ Υἱός ἀπό τοῦ Πατρός. Διά τοῦτο, ὅστις πιστεύει ὅτι τό Πνεῦμα τό ἅγιον οὐκ ἐκπορεύεται ἀπό τοῦ Υἱοῦ, ἐν ὁδῷ ἀπωλείας ἐστίν. Ὅθεν ὁ ἅγιος Ἀθανάσιος, ὅταν ἐν τοῖς μέρεσι δυτικοῖς ἐξόριστος ἦν, ἐν τῇ ἐκθέσει τῆς πίστεως, ἥν τοῖς Λατινικοῖς ῥήμασι διεσάφησεν, οὕτως

ἔφη· Ὁ Πατήρ ἀπ᾽ οὐδενός ἐστι ποιητός, οὔτε κτιστός, οὔτε γεννητός. Ὁ Υἱός ἀπό τοῦ Πατρός μόνου ἐστίν, οὐ ποιητός, οὐδέ κτιστός, ἀλλά γεννητός. Τό Πνεῦμα τό ἅγιον, ἀπό τοῦ Πατρός καί τοῦ Υἱοῦ, οὐ ποιητόν, οὐδέ κτιστόν,[οὐδέ γεννητόν] ἀλλ᾽ ἐκπορευτόν. Καί ὁ αὐτός ἅγιος Ἀθανάσιος, ἐν τῇ ἐκθέσει τῆς πίστεως, ἥν ῥήμασι Γραικοῖς ἐξηγήσατο, κατά ῥῆμα οὕτως ἔφη· Τό Πνεῦμα δέ τό ἅγιον ἐκπόρευμα ὄν τοῦ Πατρός καί τοῦ φέροντος Υἱοῦ, δι᾽ οὗ ἐπλήρωσε τά πάντα. Ὅθεν καί ὁ μακάριος Γρηγόριος, ὅστις δικαίως Θαυματουργός λέγεται, τῆς Νεοκαισαρείας ἐπίσκοπος, ἐν τῇ ἐκθέσει τῆς πίστεως, ἥν δι᾽ ἀποκαλύψεως παρά τοῦ μακαρίου Ἰωάννου τοῦ εὐαγγελιστοῦ, μεσιτευούσης τῆς θεογεννητρίας ἔσχεν, ἀριδήλως οὕτως κέκραγε, λέγων· Εἷς Θεός, Πατήρ τοῦ Λόγου τοῦ ζῶντος, Σοφίας ὑφεστώσης καί Δυνάμεως καί Χαρακτῆρος αἰωνίου· τέλειος τελείου γεννήτωρ· Πατήρ Υἱοῦ μονογενοῦς. Εἷς Κύριος, μόνος ἐκ μόνου, Θεός ἐκ Θεοῦ, χαρακτήρ καί εἰκών τῆς θεότητος, Λόγος ἐνεργής, καί τά λοιπά. Ὁ δέ περί τοῦ Υἱοῦ λαλῶν λέγει, ὅτι μόνος ἐκ μόνου, οὐχί τοίνυν τό Πνεῦμα τό ἅγιον ἐκ μόνου· ἐκ τοῦ Πατρός οὐκοῦν καί ἄλλου, ἐπειδή ἐστιν ἀπό τινος. Ὅταν δέ λέγωμεν, ἐκ τοῦ Πατρός καί ἄλλου, οὐ λέγομεν ἐξ ἄλλου κατά τήν οὐσίαν, ἀλλά κατά τήν ὑπόστασιν.

Ὅτι δέ τό Πνεῦμα τό ἅγιον ἐκ τοῦ Υἱοῦ ἐστιν ἀμέσως, ἀπό δέ τοῦ Πατρός μεσιτεύοντος τοῦ Υἱοῦ, διαμαρτύρεται ὁ μακάριος Γρηγόριος ὁ Νυσσαέων, οὕτω λέγων· Τό ἀπαράλλακτον τῆς φύσεως ὁμολογοῦντες, τήν κατά τό αἴτιον καί αἰτιατόν διαφοράν οὐκ ἀρνούμεθα· ἐν ᾧ μόνῳ διακρίνεσθαι τό ἕτερον ἀπό τοῦ ἑτέρου καταλαμβάνομεν· τό μέν αἴτιον πιστεύειν εἶναι· τό δέ, ἐξ αἰτίου. Καί τοῦ ἐξ αἰτίας ὄντος πάλιν ἄλλην διαφοράν ἐννοοῦμεν, ὅτι τό μέν, προσεχῶς ἐκ τοῦ πρώτου, ἤ μόνον τῷ Υἱῷ, ἤ μόνον τῷ Πνεύματι τῷ ἁγίῳ ἁρμόζειν ἀναγκαῖόν ἐστι. Λέγουσιν οἱ ἅγιοι, ὅτι μεταξύ τοῦ Πατρός καί τοῦ Υἱοῦ, οὐδέν ἐστι μέσον· μόνος οὐκοῦν ὁ Υἱός ἐκ τοῦ Πατρός προσεχῶς ἐστιν. Οὐκοῦν τό Πνεῦμα τό ἅγιον ἐκ τοῦ Πατρός οὐκ ἔστι προσεχῶς. Ἔστι δέ καί κοινή ἔννοια, ὅτι ὅπερ οὖν ἐστιν ἀπό τινος, ἀπό τινός ἐστι προσεχῶς. Ἐπειδή οὖν τό Πνεῦμα τό ἅγιον ἀπό τινός ἐστι προσεχῶς· ἀλλ᾽ οὐκ ἔστιν ἀπό τοῦ Πατρός προσεχῶς, ὡς ἤδη ἐδείχθη· οὐκοῦν ἀπό τοῦ Υἱοῦ προσεχῶς.

Τούτοις τοίνυν τοῖς ἁγίοις Πατράσιν, οὐ μήν ἀλλά (1021) καί τῷ μακαρίῳ Ἀμβροσίῳ, τῷ Μεδιολάνων ἐπισκόπῳ, καί τῷ μακαρίῳ Αὐγουστίνῳ τῆς τοῦ Ἱππῶνος πόλεως ἐπισκόπῳ· τῷ ἁγιωτάτῳ τε

Ἱερωνύμῳ τῷ ἰσχυροτάτῳ τῆς τῶν αἱρετικῶν στρεβλότητος καταμαχητῇ, ἀκολουθήσας ὁ μακάριος Κύριλλος, καί σύν αὐτῷ ὅλη ἡ ἁγία οἰκουμενική τρίτη σύνοδος, γεγραμμένον ἡμῖν κατέλιπον ἐμφανῶς, τό Πνεῦμα εἶναι ἐκ τοῦ Υἱοῦ. Ὅθεν καί ὀρθόδοξος οὐκ ἔστιν, ἀλλ᾽ ἐκ τῆς πίστεως ἐξοδεύει, ὅστις τοῖς ῥήμασιν αὐτοῦ καταμάχεται. Λέγει γάρ φανερώτατα, ἐν τῷ ἑαυτοῦ πρός τόν βασιλέα Θεοδόσιον περί τῆς ὀρθοδόξου πίστεως Προσφωνητικῷ, τό Πνεῦμα εἶναι ἐκ τοῦ Υἱοῦ, διά τούτων τῶν ῥημάτων· Καί μήν ἄνδρα λέγων, τόν ὅσον οὔπω παρεσόμενον καί ὀφθησόμενον, αὐτόν ἔφη βαπτίζειν ἐν πυρί καί ἁγίῳ Πνεύματι· οὐκ ἀλλότριον τοῖς βαπτιζομένοις ἐνιέντα Πνεῦμα, δουλοπρεπῶς καί ὑπουργικῶς· ἀλλ᾽ ὡς Θεόν κατά φύσιν, μετ᾽ ἐξουσίας τῆς ἀνωτάτω, τό ἐξ αὐτοῦ καί ἴδιον αὐτοῦ. Τί ταύτης τῆς μαρτυρίας φανερώτερον; ὧδε γάρ φανερώτατα περί τοῦ Υἱοῦ λέγει, ὅτι Τό Πνεῦμα τό ἅγιον τοῖς βαπτιζομένοις ἐνίησι, τό ἐξ αὐτοῦ, καί ἴδιον αὐτού. Καί τοῦτο αὐτό τῷ Ἑρμείᾳ γράφει ὁ αὐτός μακάριος Κύριλλος, ἐν τῇ ἑρμηνείᾳ τοῦ ἐνάτου ἀναθεματισμοῦ τοῦτο αὐτό λέγων. Ἐν τῷ ἐνάτῳ γάρ ἀναθεματισμῷ, ἴδιον εἶναι τοῦ Υἱοῦ τό Πνεῦμα εἰπών, τόν αὐτόν ἔνατον ἀναθεματισμόν ἑρμημεύων, τίνι ἐννοίᾳ ἴδιον αὐτοῦ εἶναι τό Πνεῦμα ἀνέῳξε, λέγων· Ἄνθρωπος γεγονώς ὁ Μονογενής τοῦ Θεοῦ Λόγος, ἀπομεμένηκε καί οὕτω Θεός· πάντα ὑπάρχων ὅσα καί ὁ Πατήρ, δίχα μόνου τοῦ εἶναι Πατήρ· καί ἴδιον ἔχων τό ἐξ αὐτοῦ καί οὐσιωδῶς ἐμπεφυκός αὐτῷ ἅγιον Πνεῦμα, καί τά λοιπά. Ὧδε πάλιν φανερώτατα τό Πνεῦμα τό ἅγιον ἐκ τοῦ Υἱοῦ εἶναι λέγει ὁ ἅγιος Πατήρ. Οὐκ ὀφείλει δέ τινι εἶναι ἀμφίβολον, ὅτι τήν ἔννοιαν ἐκείνην, ὧδε ἀνέῳξεν ὁ ἅγιος, ἥντινα εἶχεν ὅτε τόν ἀναθεματισμόν ἐξέθετο. Τόν ἀναθεματισμόν δέ ἐκεῖνον, σύν πᾶσι ἄλλοις ἀναθεματισμοῖς ἐδέξατο ἡ ἁγία καί οἰκουμενική γ΄σύνοδος, ἐν ἐκείνῃ τῇ ἐννοίᾳ, ἐν ᾗ ὁ ἅγιος ἐξέθετο. Ἀρίδηλον γάρ ἐστι, τούς ἁγίου Πατέρας ἐν τῇ ἁγίᾳ προειρημένῃ συναχθέντας, ὅλην τήν τρίτην τοῦ προειρημένου Πατρός ἐπιστολήν πρός τόν ἀσεβῆ Νεστόριον τόν Κωνσταντινουπόλεως ἐπίσκοπον γεγραμμένην χωρίς τινος δισταγμοῦ ἀναξάνεως [ἀναξετάστως] δεδέχθαι. Γινώσκομεν δέ, ὅτι τῆς προειρημένης ἐπιστολῆς τό ἔσχατον μέρος, τούς προειρημένους περιέχει ἀναθεματισμούς ιβ΄. Εἰ δέ τις νομίμως ἐπιχειροίη τά τοῦ Θεοδωρίτου ἐπισκόπου Κύρου ῥήματα τά ἀσεβέστατα, ἅτινα κατά τοῦ προειρημένου Πατρός διά ιβ΄. κεφαλαίων ἐξήμεσεν ἀναίδην, γινωσκέτω τήν πέμπτην ἁγίαν καί οἰκουμενικήν σύνοδον,

ἀναθεματίσασαν τούς τοῦ προειρημένου Θεοδωρίτου βαβισμούς· ὅστις κατά τοῦ μακαρίου Κυρίλλου ῥήματα, ἐν οἷς καί αὐτῷ ἀπεκρίνατο, μόνον οἶδε κατηγορεῖν. Λέγει γάρ ἡ πέμπτη ἁγία καί καθολική σύνοδος ἐν πράξει ὀγδόῃ, οὕτως· Κατακρίνομεν καί ἀναθεματίζομεν πρός τοῖς ἄλλοις ἅπασιν αἱρετικοῖς τοῖς κατακριθεῖσι καί ἀναθεματισθεῖσι, παρά τε τῶν εἰρημένων ἁγίων (1024) τεσσάρων συνόδων, καί ἀπό τῆς ἁγίας καί καθολικῆς Ἐκκλησίας, καί Θεόδωρον τόν γενόμενον ἐπίσκοπον Μομψουεστίας, καί τά ἀσεβῆ αὐτοῦ συγγράμματα καί τά ἀσεβῶς συγγραφέντα παρά Θεοδωρίτου, κατά τε τῆς ὀρθοδόξου πίστεως καί τῶν ιβ΄. κεφαλαίων τοῦ ἐν ἁγίοις Κυρίλλου, καί τῆς ἐν Ἐφέσῳ ἁγίας γ΄ συνόδου· καί ὅσα ὑπέρ συνηγορίας Θεοδώρου καί Νεστορίου αὐτῷ γέγραπται.

Ἐκ τούτων ἀρίδηλόν ἐστιν, ὅτι ἐκεῖνα ἅπερ Θεοδώριτος κατά τῶν ιβ΄ τοῦ ἁγίου Κυρίλλου κεφαλαίων ἔγραψεν, ἀθέμιτά εἰσι καί ἀσεβείας γέμοντα, καί ὅς τοιαῦτα ὡς ἀληθῆ, νομικήν ὑπερηγορίαν ἔχει, ἐχθρός ἐστι τῆς πίστεως. Γράφει γάρ ὁ μακάριος Κύριλλος πρός Ἀκάκιον ἐπίσκοπον Μελιτηνῆς μετά τήν ἕνωσιν τῶν Ἐκκλησιῶν, οὑτωσί λέγων· Ἅ δέ γεγράφαμεν ὀρθῶς κατά τῶν Νεστορίου δυσφημιῶν, οὐδείς ἡμᾶς ἀναπείσει λόγος, ὡς οὐκ εὖ γεγόνασιν εἰπεῖν. Καί πρός Δονάτον ἐπίσκοπον, ὡσαύτως γράφει, λέγων· Γεγράφαμεν ὀρθῶς ἅ γεγράφαμεν, τῇ ὀρθῇ καί ἀμωμήτῳ πίστει συνηγοροῦντες, καί οὐδέν τό παράπαν τῶν ἰδίων ἀρνούμεθα. Οὐ γάρ εἴρηκά τι, καθάπερ αὐτοί φασιν, ἀτημελῶς· ἀλλά τῆς ὀρθότητος ἐχόμενα πανταχοῦ, καί τῆς ἀληθείας δυνάμει συντρέχοντα.

Ἐκ τούτων φανερώτατόν ἐστι, τόν μακάριον Κύριλλον οὐδέν ἐκείνων ἀρνήσασθαι, ὧν εἶπεν· ἀλλ᾽ ἐν τῇ αὐτῇ ἐννοίᾳ, ἐν ᾗ αὐτός εἶπε, χωρίς σημειώσεώς τινος καί διορθώσεως κεκρατηκέναι. Οὐδέ αὐτός μόνος διορθώσασθαι ἠδύνατο, κἄν, ὅπερ ἀπείη ἀπό τοῦ ἁγίου, ἤθελεν, ὅπερ ἡ ἁγία σύνοδος, χωρίς τινος ἀμφιβολίας ἀναξάνσεως [ἀνεξετάστως] , θαῤῥούντως ἐδέξατο. Ἐδέξατο δέ ἐν ἐκείνῃ τῇ ἐννοίᾳ, ἐν ᾗ αὐτός ἐξέθετο, μετά τῆς ἁγίας συνόδου, καί δέξασθαι ἀπαιτεῖ. Ταύτην γάρ τήν σύνοδον πάντες οἱ ἅγιοι Πατέρες, οἱ ἐν ταῖς μετακολουθούσαις συνόδοις σέβονται. καί ταῦτα πιστεύουσιν ἅπερ καί αὐτήν. Ἀλλά, καί οἱ ἅγιοι Πατέρες ἐκείνην φθάσαντες, τά αὐτά ἐφρόνησαν, ἅπερ καί αὐτή. Ταύτην τήν πίστιν ἔχομεν, καί οὕτως ὁμολογοῦμεν καί φρονοῦμεν καί πιστεύομεν.

Ὑπογραφαί τῶν ἀποκρισιαρίων.

Ταύτην τήν πίστιν, ὁ ἀπό τῆς τάξεως τῶν ἀδελφῶν τῶν Κηρύκων, τοῦ κυρίου Πάπα Γρηγορίου τῆς πρεσβυτέρας Ῥώμης ἐπισκόπου ἀποκρισιάριος ὑπογράφω, καί οὕτως πιστεύω.

Ταύτην τήν πίστιν, ἐγώ Ἀμμώνιος, καί τά ἑξῆς.

Ταύτην τήν πίστιν ἐγώ Ῥαδοῦλφος, ἀπό τῆς τάξεως, καί τά ἑξῆς, ὑπογράφω, καί οὕτως πιστεύω.

**ΜΑΞΙΜΟΥ ΠΕΡΙ ΔΙΑΦΟΡΩΝ ΑΠΟΡΙΩΝ ΤΩΝ ΑΓΙΩΝ ΔΙΟΝΥΣΙΟΥ ΚΑΙ ΓΡΗΓΟΡΙΟΥ**
**ΠΡΟΣ ΘΩΜΑΝ ΤΟΝ ΗΓΙΑΣΜΕΝΟΝ. Σελ.** 1032.

Τῷ ἡγιασμένῳ δούλῳ τοῦ Θεοῦ, Πατρί πνευματικῷ καί διδασκάλῳ κυρίῳ Θωμᾷ, Μάξιμος ταπεινός καί ἁμαρτωλός, ἀνάξιος δοῦλος καί μαθητής.

Ἀπλανοῦς θεωρίας ἐξ ἐμμελοῦς περί τά θεῖα σπουδῆς ἕξιν λαβών ἀναλλοίωτον, οὐχ ἁπλῶς σοφίας, ἀλλά τοῦ κάλλους αὐτῆς, Θεῷ λίαν ἠγαπημένε, γέγονας ἐραστής σωφρονέστατος. Σοφίας δέ κάλλος ἐστί γνῶσις ἔμπρακτος, ἤ πρᾶξις ἔνσοφος, ὧν ἐστι χαρακτήρ ὡς δι᾽ ἀμφοῖν συμπληρούμενος, ὁ τῆς θείας προνοίας καί κρίσεως λόγος. Καθ᾽ ὅν αἰσθήσει τόν νοῦν συμπλέξας διά τοῦ πνεύματος, ἔδειξας ὡς ἀληθῶς πῶς ὁ Θεός κατ᾽ εἰκόνα Θεοῦ ποιεῖν πέφυκε τόν ἄνθρωπον, τόν τε πλοῦτον τῆς ἀγαθότητος κατέστησας γνώριμον, πολυτελῶς τῇ καλῇ μίξει τῶν ἐναντίων ἐν σεαυτῷ δεικνύς τόν Θεόν ταῖς ἀρεταῖς σωματούμενον, οὗ τῷ ὕψει συμμετρήσας μιμήσει τήν κένωσιν ἕως ἐμοῦ κατελθεῖν οὐκ ἀπηξίωσας, ἐκεῖνα ζητῶν ὧν πεπονθώς ἔχει τήν εἴδησιν. Εἰσί δέ Διονυσίου καί Γρηγορίου κεφάλαια τῶν ἁγίων ἐκείνων ὑπερευφήμων τε (1033) καί μακαρίων ἀνδρῶν, τῆς ὄντως ἐκλογῆς τῶν ἀνέκαθεν κατά πρόθεσιν τῶν αἰώνων τῷ Θεῷ προσθεμένων, τῶν πᾶσαν ὡς ἀληθῶς τήν ἐφικτήν τοῖς ἁγίοις χύσιν τῆς σοφίας εἰσδεξαμένων, καί τῇ ἀποθέσει τῆς κατά φύσιν ζωῆς ψυχῆς οὐσίαν πεποιημένων, καί διά τοῦτο ζῶντα μονώτατον τόν Χριστόν ἐσχηκότων, καί τό δή μεῖζον εἰπεῖν, ψυχήν αὐτοῖς τῆς ψυχῆς γεγενημένον καί διά πάντων ἔργων τε καί λόγων καί νοημάτων πᾶσιν ἐμφανιζόμενον ὡς ἐντεῦθεν ἐκείνων μέν οὐκ εἶναι πεπεῖσθαι τά

προτεθέντα, Χριστοῦ δέ κατά χάριν αὐτοῖς ἑαυτόν ὑπαλλάξαντος. Ἀλλά πῶς εἴπω Κύριον Ἰησοῦν, μήπω πνεῦμα λαβών ἁγιότητος; Πῶς λαλήσω τάς δυναστείας τοῦ Κυρίου, ὁ μογίλαλος, καί τόν νοῦν τῇ σχέσει προσηλώσας τῶν φθειρομένων; Πῶς ἀκουστάς ποιήσω κἄν τινας αἰνέσεις αὐτοῦ, ὁ κωφός, καί τό τῆς ψυχῆς ἀκουστικόν διά τήν πρός τά πάθη φιλίαν ἔχων παντελῶς ἀπεστραμμένον τοῦ λόγου τήν μακαρίαν φωνήν; Πῶς ἐμφανής ὁ λόγος γενήσεταί μοι, τῷ ἡττημένῳ τῷ κόσμῳ, νικᾷν τόν κόσμον, ἀλλ' οὐκ ἐμφανίζεσθαι τῷ κόσμῳ πεφυκώς, εἴπερ φιλύλῳ διαθέσει κατά φύσιν ἐστίν ἀνεπίγνωστος; Πῶς οὐ τολμηρόν, τοῖς ἁγίοις τόν ἐναγῆ, καί τοῖς καθαροῖς ἐγχειρεῖν τόν ἀκάθαρτον; Διό παρῃτησάμην ἄν τήν ἐπί τοῖς κεκελευσμένοις ἐγχείρησιν, τόν τῆς προπετείας ψόγον φοβούμενος, εἰ μή πλέον ἐδεδοίκειν τῆς ἀπειθείας τόν κίνδυνον. Δυοῖν οὖν τούτων μέσος ληφθείς τῆς προπετείας αἱροῦμαι μᾶλλον ψόγον ὡς ἀνεκτότερον, φεύγων ὡς ἀσύγγνωστον τῆς ἀπειθείας τόν κίνδυνον. Καί τῇ μεσιτείᾳ τῶν ἁγίων καί βοηθείᾳ τῶν ὑμετέρων εὐχῶν, Χριστοῦ τοῦ μεγάλου Θεοῦ καί Σωτῆρος ἡμῶν χορηγοῦντος τό νοεῖν εὐσεβῶς καί λέγειν δεόντως, περί ἑκάστου κεφαλαίου τήν ἀπόκρισιν ὡς οἷόν τε ποιήσομαι σύντομον [πρός διδάσκαλον ὁ λόγος] μικροῖς πορίζεσθαι μεγάλα δυνάμενον), ἀρχόμενος ἀπό Γρηγορίου τοῦ θεόφρονος, ὡς μᾶλλον ἡμῖν ὄντος τῷ χρόνῳ προσεχεστέρου.

***Τοῦ ἁγίου Γρηγορίου τοῦ Θεολόγου, ἐκ τοῦ περί Υἱοῦ πρώτου Λόγου εἰς τό· "Διά τοῦτο μονάς ἀπ᾽ ἀρχῆς εἰς δυάδα κινηθεῖσα μέχρι Τριάδος ἔστη." Καί πάλιν τοῦ αὐτοῦ ἐκ τοῦ δευτέρου (1036) Εἰρηνικοῦ εἰς τό· "Μονάδος μέν κινηθείσης, διά τό πλούσιον, δυάδος δέ ὑπερβαθείσης· ὑπέρ γάρ τήν ὕλην καί τό εἶδος, ἐξ ὧν τά σώματα, Τριάδος δέ ὁρισθείσης, διά τό τέλειον."***

Εἰ μέν τήν δοκοῦσαν εἶναι διαφωνίαν, δοῦλε Θεοῦ, σκοπήσας τήν ἀληθῆ συμφωνίαν ἠπόρησας, οὐκ ἔστι κατ᾽ ἔννοιαν τούτων τῶν φωνῶν ἑνικωτέραν εὑρεῖν. Ταυτόν γάρ ἐστιν ὑπερβαθῆναι δυάδα καί μή στῆναι μέχρι δυάδος, καί πάλιν ὁρισθῆναι Τριάδα καί μέχρι Τριάδος στῆναι τῆς μονάδος τήν κίνησιν, εἴπερ μοναρχίαν πρεσβεύομεν οὐκ ἀφιλότιμον, ὡς ἑνί προσώπῳ περιγεγραμμένην, ἤ πάλιν ἄτακτον, ὡς εἰς ἄπειρον χεομένην, ἀλλ᾽ ἥν ὁμότιμος φύσει Τριάς Πατήρ καί Υἱός καί Πνεῦμα συνίστησιν ἅγιον, ὧν πλοῦτος ἡ

συμφυΐα καί τό ἕν ἔξαλμα τῆς λαμπρότητος, οὔτε ὑπέρ ταῦτα τῆς θεότητος χεομένης, ἵνα μή δῆμον θεῶν εἰσαγάγωμεν, οὔτε ἐντός τούτων ὁριζομένης, ἵνα μή πενίαν θεότητος κατακριθῶμεν. Οὐκ ἔστιν οὖν αἰτιολογία τοῦτο τῆς ὑπερουσίου τῶν ὄντων αἰτίας, ἀλλ᾽ εὐσεβοῦς περί αὐτῆς δόξης ἀπόδειξις, εἴπερ μονάς, ἀλλ᾽ οὐ δυάς, καί Τριάς, ἀλλ᾽ οὐ πλῆθος, ἡ θεότης, ὡς ἄναρχος, ἀσώματός τε καί ἀστασίαστος. Μονάς γάρ ἀληθῶς ἡ μονάς· οὐ γάρ ἐστιν ἀρχή τῶν μετ᾽ αὐτήν, κατά διαστολῆς συστολήν, ἵνα χεθῇ φυσικῶς εἰς πλῆθος ὁδεύουσα, ἀλλ᾽ ἐνυπόστατος ὀντότης ὁμοουσίου Τριάδος. Καί Τριάς ἀληθῶς ἡ Τριάς, οὐκ ἀριθμῷ λυομένῳ συμπληρουμένη (οὐ γάρ ἐστι μονάδων σύνθεσις, ἵνα πάθῃ διαίρεσιν) , ἀλλ᾽ ἐνούσιος ὕπαρξις τρισυποστάτου μονάδος. Μονάς γάρ ἀληθῶς ἡ Τριάς, ὅτι οὕτως ἐστί, καί Τριάς ἀληθῶς ἡ μονάς, ὅτι οὕτως ὑφέστηκεν· ἐπειδή καί μία θεότης οὖσά τε μοναδικῶς, καί ὑφισταμένη τριαδικῶς. Εἰ δέ κίνησιν ἀκούσας ἐθαύμασας πῶς ὑπεράπειρος κινεῖται θεότης, ἡμῶν, οὐκ ἐκείνης τό πάθος, πρῶτον τόν τοῦ εἶναι λόγον αὐτῆς ἐλλαμπομένων, καί οὕτω τόν τοῦ πῶς αὐτήν ὑφεστάναι τρόπον φωτιζομένων, εἴπερ τό εἶναι τοῦ πῶς εἶναι πάντως προεπινοεῖται. Κίνησις οὖν θεότητος ἡ δι᾽ ἐκφάνσεως γινομένη περί τε τοῦ εἶναι αὐτήν καί τοῦ πῶς αὐτήν ὑφεστάναι τοῖς αὐτῆς δεκτικοῖς καθέστηκε γνῶσις.

***Τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ πρώτου λόγου εἰς τό· " Ἑνί δέ κεφαλαίῳ, τά μέν ὑψηλότερα πρόσαγε τῇ θεότητι καί τῇ κρείττονι φύσει (1037) παθῶν καί σώματος, τά δέ ταπεινοτερα τῷ συνθέτῳ καί διά σέ κενωθέντι καί σαρκωθέντι, οὐδέν δέ χεῖρον εἰπεῖν καί ἀνθρωπισθέντι. "***

Ὁ τοῦ Θεοῦ Λόγος ὅλος οὐσία πλήρης ὑπάρχων, Θεός γάρ, καί ὑπόστασις ὅλος ἀνελλιπής, Υἱός γάρ, κενωθείς μέν σπορά γέγονε τῆς οἰκείας σαρκός, ἀῤῥήτῳ δέ συλλήψει συντεθείς αὐτῆς ὑπόστασις γέγονε τῆς προσληφθείσης σαρκός. Καί τούτῳ τῷ καινῷ μυστηρίῳ κατ᾽ ἀλήθειαν ἀτρέπτως ὅλος γενόμενος ἄνθρωπος, δύο φύσεων ἀκτίστου τε καί κτιστῆς, ἀπαθοῦς τε καί παθητῆς, ὁ αὐτός ὑπόστασις ἦν, πάντας ἀνελλιπῶς τούς φυσικούς, ὧν ὑπόστασις, ἦν λόγους ἐπιδεχόμενος. Εἰ δέ πάντας οὐσιωδῶς ὧν ὑπόστασις ἦν τούς φυσικούς ἐπεδέχετο λόγους, αὐτῷ συνθέτῳ γενομένῳ τῇ προσλήψει τῆς σαρκός κατά τήν ὑπόστασιν πάνυ ὁ διδάσκαλος, ἵνα μή ψιλά νομισθῇ, τά τῆς οἰκείας σαρκός ὑπαρχούσης καί κατ᾽ αὐτήν ἀληθῶς ὄντι Θεῷ παθητῷ

κατά τῆς ἁμαρτίας. Οὐσίας τοίνυν, καθ᾽ ἥν καί σαρκωθείς ἁπλοῦς ὁ Λόγος μεμένηκε, καί ὑποστάσεως, καθ᾽ ἥν προσλήψει σαρκός γέγονε σύνθετος, καί Θεός παθητός οἰκονομικῶς ἐχρημάτισε, δεικνύς τήν διαφοράν ὁ διδάσκαλος ταῦτά φησιν· " Ἵνα μή τά τῆς ὑποστάσεως κατηγοροῦντες ἐξ ἀγνοίας τῆς φύσεως λάθωμεν κατά τούς Ἀρειανούς Θεῷ φύσει παθητῷ προσκυνοῦντες." - " Οὐδέν δέ χεῖρον εἰπεῖν καί ἀνθρωπισθέντι," προσέθηκεν, οὐ μόνον διά τούς Ἀρειανούς ἀντί ψυχῆς τήν θεότητα, καί τούς Ἀπολιναριστάς ἄνουν τήν ψυχή δογματίζοντας, καί τούτῳ τῷ τρόπῳ τό τέλειον τῆς καθ᾽ ἡμᾶς τοῦ Λόγου περιτέμνοντας φύσεως, καί φύσει θεότητος παθητόν αὐτόν ποιουμένου, ἀλλ᾽ ἵνα καί δειχθῇ τέλειος ἡμῖν γεγονώς κατά ἀλήθειαν ἄνθρωπος ὁ μονογενής Θεός, ὡς δι᾽ ἐνεργοῦς φύσει σαρκός νοερῶς τε καί λογικῶς ἐψυχωμένης, αὐτουργῶν τήν ἡμῶν σωτηρίαν, εἴπερ κατά πάντα χωρίς μόνης ἁμαρτίας, ἧς οὐδείς τῇ φύσει παντελῶς ἐνέσπαρται λόγος, ἀλλ᾽ οὐ χωρίς φυσικῆς ἐνεργείας, ἀληθῶς γέγονεν ἄνθρωπος, ἧς ὁ λόγος, ὅρος τῆς οὐσίας ἐστί, πάντας χαρακτηρίζων φυσικῶς οἷς κατ᾽ οὐσίαν ἐμπέφυκε. Τό γάρ κοινῶς τε καί γενικῶς τινων κατηγορούμενον ὅρος τῆς αὐτῶν οὐσίας ἐστίν, οὗ πάντως ἡ στέρησις φθοράν ἐργάζεται φύσεως, εἴπερ οὐδέν τῶν ὄντων τοῦ φύσει πεφυκότος στερούμενον ὅπερ ἦν μένει σωζόμενον.

***Τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ λόγου εἰς τό· " Οὗτος γάρ ὁ νῦν σοι καταφρονούμενος ἦν ὅτε καί ὑπέρ σέ ἦν· ὁ νῦν ἄνθρωπος καί ἀσύνθετος ἦν· (1040) ὁ μέν ἦν, διέμεινεν, ὁ δέ οὐκ ἦν, προσέλαβεν· ἐν ἀρχῇ ἦν ἀναιτίως (τίς γάρ αἰτία Θεοῦ;) · ἀλλά καί ὕστερον γέγονε δι᾽ αἰτίαν· ἡ δέ ἦν τό σέ σωθῆναι τόν ὑβριστήν, ὅς διά τοῦτο περιφρονεῖς θεότητα ὅτι τήν σήν παχύτητα κατεδέξατο, διά μέσου νούς ὁμιλήσας σαρκί καί γενόμενος ἄνθρωπος ὁ κάτω Θεός, ἐπειδή συνακεκράθη Θεῷ καί γέγονεν εἷς, τοῦ κρείττονος ἐκνικήσαντος, ἵνα γένωμαι τοσοῦτον Θεός ὅσον ἐκεῖνος ἄνθρωπος. "***

Οὗτος γάρ ὁ νῦν σοι καταφρονούμενος, φησίν, ἦν ὅτε καί ὑπέρ σέ ἦν, παντός αἰῶνος δηλονότι καί πάσης δι᾽ ἑαυτόν ὑπάρχων ἐπέκεινα φύσεως, κἄν ὑπ᾽ ἄμφω νῦν διά σέ γεγένηται θέλων. Ὁ νῦν ἄνθρωπος καί ἀσύνθετος ἦν, τήν τε φύσιν ἁπλοῦς καί τήν ὑπόστασιν, ἅτε δή μόνον Θεός, γυμνός σώματος καί τῶν ὅσα σώματος, κἄν νῦν προσλήψει σαρκός ψυχήν ἐχούσης νοεράν, ὅπερ οὐκ ἦν γέγονε, τήν ὑπόστασιν σύνθετος, διαμείνας ὅπερ ἦν, τήν φύσιν ἁπλοῦς, ἵνα σέ

σώσῃ τόν ἄνθρωπον. Ταύτην γάρ τῆς σαρκικῆς αὐτοῦ μόνην αἰτίαν ἔσχε γεννήσεως, τήν σωτηρίαν τῆς φύσεως, ἧς ὑπελθών, καθάπερ τι πᾶχος, τό παθητόν διά μέσου νοός ὡμίλησε σαρκί, γενόμενος ἄνθρωπος ὁ κάτω Θεός, πάντα ὑπέρ πάντων γενόμενος ὅσα ἡμεῖς, πλήν τῆς ἁμαρτίας, σῶμα, ψυχή, νοῦς, δι᾿ ὅσων ὁ θάνατος, τό κοινόν ἐκ τούτων, ἄνθρωπος, Θεός ὁρώμενος διά τό νοούμενον. Αὐτός οὖν δίχα τροπῆς κυρίως πρός τό καθ᾿ ἡμᾶς φύσει παθητόν κενωθείς ὁ Λόγος, καί ὑπό τήν φυσικήν ἀληθῶς διά σαρκώσεως γενόμενος αἴσθησιν, Θεός ὁρατός καί κάτω Θεός προσηγορεύθη, διά σαρκός φύσει παθητῆς τήν ὑπεράπειρον ἐμφανῆ ποιησάμενος δύναμιν, ἐπειδή συνανεκράθη Θεῷ προδήλως ἡ σάρξ καί γέγονεν εἷς, τοῦ κρείττονος ἐκνικήσαντος, ὑποστατικῇ ταυτότητι κυρίως αὐτήν τοῦ προσλαβόντος Λόγου θεώσαντος. Εἷς δέ γέγονεν, ἀλλ᾿ οὐχ ἕν, ὁ διδάσκαλος εἶπεν, δεικνύς ὅτι κἄν τῇ ταυτότητι τῆς μιᾶς ὑποστάσεως μεμένηκεν ἡ φυσική τῶν ἡνωμένων ἑτερότης ἀσύγχυτος· εἴπερ τό μέν ὑποστάσεως, τό δέ φύσεως ὑπάρχει δηλωτικόν. Τό γάρ, " Ἵνα γένωμαι τοσοῦτον θεός ὅσον ἐκεῖνος ἄνθρωπος," οὐκ ἐμόν λέγειν, τοῦ ῥυπωθέντος τῇ ἁμαρτίᾳ καί τελείως τῆς ὄντως οὔσης ἀνορεκτοῦντος ζωῆς, ἀλλ᾿ ὑμῶν, τῶν ἀπολήψει τελείᾳ τῆς φύσεως ἐκ μόνης γνωριζομένων τῆς χάριτος, καί μελλόντων ἐκ τῆς κατ᾿ αὐτήν τοσοῦτον διαδειχθῆναι δυνάμεως ὅσον ὁ φύσει Θεός τῆς ἡμῶν σαρκωθείς ἀσθενείας μετείληφεν, ἀντιμετρουμένης, ὡς οἶδεν αὐτός, τῇ αὐτοῦ κενώσει, τῆς τῶν χάριτι σωζομένων θεώσεως, ὅλων θεοειδῶν καί ὅλου Θεοῦ χωρητικῶν, καί μόνου γενησομένων. Τοῦτο γάρ ἡ τελείωσις πρός ἥν σπεύδουσιν οἱ ταύτην ἀληθῶς ἔσεσθαι τήν ἐπαγγελίαν πιστεύσαντες.

(1041) **Τοῦ αὐτοῦ ἐκ τοῦ δευτέρου περί Υἱοῦ Λόγου, εἰς τό· " Ὡς μέν γάρ Λόγος, οὔτε ὑπήκοος ἦν, οὔτε ἀνήκοος· τῶν γάρ ὑπό χεῖρα ταῦτα καί τῶν *δευτέρων· τό μέν τῶν εὐγνωμονεστέρων, τό δέ τῶν ἀξίων κολάσεως. Ὡς δέ δούλου μορφή, συγκαταβαίνει τοῖς ὁμοδούλοις καί δούλοις, καί μορφοῦται τό ἀλλότριον, ὅλον ἐν ἑαυτῷ φέρων μετά τῶν ἐμῶν, ἵνα ἐν ἑαυτῷ δαπανήσῃ τό χεῖρον, ὡς κηρόν πῦρ, ἤ ὡς ἀτμίδα γῆς ἥλιος, κἀγώ μεταλάβω τῶν ἐκείνου διά τήν σύγκρασιν. Διά τοῦτο ἔργῳ τιμᾷ τήν ὑπακοήν καί πειρᾶται ταύτης ἐκ τοῦ παθεῖν. Οὐ γάρ ἱκανόν ἡ διάθεσις, ὥσπερ οὐδέ ἡμῖν, εἰ μή καί διά τῶν πραγμάτων χωρήσαιμεν. Ἔργον γάρ ἀπόδειξις διαθέσεως. Οὐ*

***χεῖρον δέ ἴσως κἀκεῖνο ὑπολαβεῖν, ὅτι δοκιμάζει τήν ἡμετέραν ὑπακοήν, καί πάντα μετρεῖ τοῖς ἑαυτοῦ πάθεσι τά ἡμέτερα, τέχνη φιλανθρωπίας, ὥστε ἔχειν εἰδέναι τοῖς ἑαυτοῦ τά ἡμέτερα, καί πόσον μέν ἀπαιτούμεθα, πόσον δέ συγχωρούμεθα, λογιζομένης μετά τοῦ πάσχειν καί τῆς ἀσθενείας."***

Ὡς μέν γάρ φύσει Θεός Λόγος, ὑπακοῆς, φησί, καί παρακοῆς πάντως ἐλεύθερος, ὅτι καί φύσει πάσης ἐντολῆς ὡς Κύριος ὑπάρχει δοτήρ, ἧς ἡ μέν ὑπακοή τήρησίς ἐστιν, ἡ δέ παρακοή παράβασις. Τῶν γάρ φύσει κινουμένων ὁ κατ᾽ ἐντολήν νόμος καί ἡ κατ᾽ αὐτόν πλήρωσίς ἐστι καί παράβασις, οὐχί οὗ φύσει τό εἶναι στάσις ἐστίν.

Ὡς δέ δούλου μορφῇ, τουτέστιν ἄνθρωπος φύσει γενόμενος, συγκατέβη τοῖς ὁμοδούλοις καί δούλοις, φορφωθείς τό ἀλλότριον, ἅμα τῇ φύσει καί τό καθ᾽ ἡμᾶς τῆς φύσεως ὑποδύς παθητόν. Ἀλλότριον γάρ τοῦ κατά φύσιν ἀναμαρτήτου τό τοῦ ἁμαρτήσαντος ἐπιτίμιον, ὅπερ ἐστί τό διά τήν παράβασιν κατακριθέν τῆς ὅλης φύσεως παθητόν.

Εἰ δέ κενωθείς μέν δούλου μορφῇ, τουτέστιν ἄνθρωπος συγκαταβάς δέ μορφοῦται τό ἀλλότριον, τουτέστιν ἄνθρωπος φύσει γίνεται παθητός, κένωσις ἄρα περί αὐτόν ὡς ἀγαθόν ὁμοῦ καί φιλάνθρωπον θεωρεῖται καί συγκατάβασις, ἡ μέν ἄνθρωπον ἀληθῶς, ἡ δέ φύσει παθητόν ἄνθρωπον ἀληθῶς ὄντα δεικνῦσα γεγενημένον. Διό φησιν ὁ διδάσκαλος· (1044) " Ὅλον ἐν ἑαυτῷ ἐμέ φέρων μετά τῶν ἐμῶν, " τουτέστι τήν ἀνθρωπείαν φύσιν ὁλόκληρον, ἑνώσει τῇ καθ᾽ ὑπόστασιν μετά τῶν αὐτῆς ἀδιαβλήτων παθῶν. Οἷς ἡμῶν δαπανήσας τό χεῖρον, διό τῇ φύσει τό παθητόν ἐπεισεκρίθη, λέγω δέ τόν ἐκ τῆς παρακοῆς νόμον τῆς ἁμαρτίας, οὗ κράτος ἐστίν ἡ παρά φύσιν τῆς ἡμετέρας γνώμης διάθεσις, ἐμπάθειαν τῷ παθητῷ τῆς φύσεως ἐπεισάγουσα κατ᾽ ἄνεσιν καί ἐπίτασιν, οὐ μόνον σέσωκεν ὑπό τῆς ἁμαρτίας κατεχομένους, ἀλλά καί θείας δυνάμεως μεταδέδωκεν ἐν ἑαυτῷ λύσας ἡμῶν τό ἐπιτίμιον, ψυχῆς ἀτρεψίαν καί σώματος ἀφθαρσίαν ἐργαζομένης ἐν τῇ περί τό φύσει καλόν τῆς γνώμης ταυτότητι, τοῖς ἔργῳ τιμᾷν τήν χάριν σπουδάζουσιν. Ὅπερ οἶμαι διδάσκων ὁ ἅγιός φησιν· " Ἵνα ἐν ἑαυτῷ δαπανήσῃ τό χεῖρον, ὡς κηρόν πῦρ, ἤ ὡς ἀτμίδα γῆς ἥλιος, κἀγώ μεταλάβω τῶν ἐκείνου διά τήν σύγκρασιν·" καθαρός δηλαδή τῇ χάριτι πάθους ἴσως ἐκείνῳ γενόμενος. Οἶδα δέ καί λόγον ἕτερον περί τοῦ, "Μορφοῦται τό ἀλλότριον," παρά τινος ἁγίου σοφοῦ καί λόγον καί βίον μαθών. Ἔλεγε

γάρ ἐρωτηθείς ἐκεῖνος ἀλλότριον εἶναι τοῦ Λόγου φύσει τήν ὑπακοήν, ὥσπερ καί τήν ὑποταγήν, ἥν ὑπέρ ἡμῶν παραβάντων τήν ἐντολήν ἐκτίσας ὅλην εἰργάσατο τοῦ γένους τήν σωτηρίαν, ἑαυτοῦ ποιούμενος τό ἡμέτερον. Διά τοῦτο ἔργῳ τιμᾷ τήν ὑπακοήν, νέος Ἀδάμ ὑπέρ τοῦ παλαιοῦ φύσει γενόμενος, καί πειρᾶται ταύτης ἐκ τοῦ παθεῖν, διά τῶν αὐτῶν ἑκουσίως ἡμῖν ἐνεχθείς παθημάτων. Εἴπερ κατά τοῦτον ἀληθῶς τόν μέγαν διδάσκαλον, " Ἐκοπίασε, καί ἐπείνασε, καί ἐδίψησε, καί ἠγωνίασε, καί ἐδάκρυσε " νόμῳ σώματος, ὅ δή σαφής ἐνεργοῦς ἐστιν ἀπόδειξις διαθέσεως, καί τῆς προς τούς ὁμοδόλους τε καί δούλους τεκμήριον συγκαταβάσεως. Δεσπότης γάρ φύσει μεμένηκε, καί δοῦλος δ᾽ ἐμέ τόν φύσει δοῦλον γενόμενος, ἵνα ποιήσῃ δεσπότην τοῦ δι᾽ ἀπάτης τυραννικῶς κυριεύσαντος, διά τοῦτο τά μέν δουλικά δεσποτικῶς ἐνεργῶν, τουτέστι τά σαρκικά θεϊκῶς, τήν ἀπαθῆ καί φύσει δεσπόζουσαν ἐν τοῖς σαρκικοῖς ἐπεδείκνυτο δύναμιν, διά πάθους, τήν φθοράν ἀφανίζουσαν, καί διά θανάτου ζωήν δημιουργοῦσαν ἀνώλεθρον, τά δεσποτικά δέ πράττων δουλικῶς, τουτέστι τά θεῖα σαρκικῶς, τήν ἄφατον ἐνεδείκνυτο κένωσιν, διά σαρκός παθητῆς τό γένος ἅπαν τῇ φθορᾷ γεωθέν θεουργοῦσαν. Τῇ γάρ τούτων ἐπαλλαγῇ σαφῶς ἐπιστοῦτο τάς τε φύσεις ὧν αὐτός ὑπόστασις ἦν, καί τάς αὐτῶν οὐσιώδεις ἐνεργείας, ἤγουν κινήσεις, ὧν αὐτός ἕνωσις ἦν ἀσύγχυτος, μή δεχομένη διαίρεσιν κατ᾽ ἄμφω τάς φύσεις ὧν αὐτός ὑπόστασις ἦν, εἴπερ ἑαυτῷ προσφυῶς μοναδικῶς, τουτέστιν ἑνοειδῶς ἐνεργῶν, καί δι᾽ ἑκάστου τῶν ὑπ' αὐτοῦ γινομένων τῇ δυνάμει τῆς ἑαυτοῦ θεότητος ἀχωρίστως συνεκφαίνων τῆς οἰκείας σαρκός τήν ἐνέργειαν. Αὐτοῦ γάρ ἑνός ὄντος οὐδέν ἑνικώτερον, (1045) οὐδ᾽ αὐτοῦ πάλιν τῶν ἑαυτοῦ παντελῶς ἑνικώτερον ἤ σωστικώτερον. Διά τοῦτο καί πάσχω Θεός ἦν ἀληθῶς, καί θαυματουργῶν ἄνθρωπος ἦν ὁ αὐτός ἀληθῶς, ὅτι καί φύσεων ἀληθῶν καθ᾽ ἕνωσιν ἄῤῥητον ὑπόστασις ἦν ἀληθής. Αἷς καταλλήλως τε καί προσφυῶς ἐνεργῶν ἐδείκνυτο σώζων αὐτάς ἀληθῶς ἀσυγχύτους σωζόμενος· εἴπερ ἀπαθής μεμένηκε φύσει καί παθητός, ἀθάνατος καί θνητός, ὁρατός καί νοούμενος, ὡς φύσει Θεός καί φύσει ἄνθρωπος ὁ αὐτός. Οὕτω μέν οὖν, κατ᾽ ἐμέ φάναι, τιμᾷ τήν ὑπακοήν ὁ φύσει Δεσπότης, καί πειρᾶται ταύτης ἐκ τοῦ παθεῖν, οὐχ ἵνα σώσῃ μόνον τοῖς ἑαυτοῦ τήν ἅπασαν φύσιν ἀποκαθάρας τοῦ χείρονος, ἀλλ᾽ ἵνα καί τήν ἡμετέραν ὑπακοήν δοκιμάσῃ μανθάνων τῇ πείρᾳ τῶν ἡμετέρων τά καθ᾽ ἡμᾶς, ὁ πᾶσαν γνῶσιν τῇ φύσει περιγράφων, πόσον μέν ἀπαιτούμεθα, πόσον

δέ συγχωρούμεθα πρός τήν τελείαν ὑποταγήν, δι᾽ ἧς προσάγειν πέφυκε τῷ Πατρί τούς σωζομένους, κατ᾽ αὐτόν φανέντας τῇ δυνάμει τῆς χάριτος. Ὡς μέγα καί φρικτόν ὄντως τό τῆς ἡμῶν σωτηρίας μυστήριον. Ἀπαιτούμεθα γάρ ὅσον ἐκεῖνος φύσει τό καθ᾽ ἡμᾶς, συγχωρούμεθα δέ ὅσον αὐτός ὑπέρ ἡμᾶς ἑνώσει τό καθ᾽ ἡμᾶς. Εἰ μήπου γνώμης φιλαμαρτήμονος ἕξις ποιεῖται κακίας ὕλην τῆς φύσεως τήν ἀσθένειαν. Καί δῆλός ἐστι ταύτης ὑπάρχων τῆς ἐννοίας ὁ πολύς οὗτος διδάσκαλος, τοῖς ἑξῆς αὐτήν βεβαιῶν. Φησί γάρ· " Εἰ γάρ τό φῶς ἐδιώχθη διά τό πρόβλημα, φαῖνον ἐν τῇ σκοτίᾳ, τῷ βίῳ τούτῳ, ὑπό τῆς ἄλλης σκοτίας, τοῦ πονηροῦ λέγω καί τοῦ πειραστοῦ, τό σκότος πόσον, ὡς ἀσθενέστερον; Καί τί θαυμαστόν, εἰ ἐκείνου διαφυγόντος παντάπασιν ἡμεῖς ποσῶς καταληφθείημεν; Μεῖζον γάρ ἐκείνῳ τό διωχθῆναι, ἤπερ ἡμῖν τό καταληφθῆναι, παρά τοῖς ὀρθῶς ταῦτα λογιζομένοις."

***Εἰς τήν πρός Γάϊον τόν θεραπευτήν ἐπιστολήν τοῦ Διονυσίου τοῦ Ἀρεοπαγίτου, ἐπισκόπου Ἀθηνῶν· " Πῶς, φής, Ἰησοῦς, ὁ πάντων ἐπέκεινα, πᾶσιν ἀνθρώποις ἐστίν οὐσιωδῶς συντεταγμένος; Οὐδέ γάρ ὡς αἴτιος ἀνθρώπων ἐνθάδε λέγεται ἄνθρωπος, ἀλλ᾽ ὡς αὐτός κατ᾽ οὐσίαν ὅλην ἀληθῶςἄνθρωπος ὤν."***

Ἐπειδή κατά τήν ἁπλῆν ἐκδοχήν τῆς ἁγίας Γραφῆς, ὡς πάντων αἴτιος ὁ Θεός πᾶσι σημαίνεται τοῖς (1048) τῶν ἐξ αὐτοῦ παρηγμένων ὀνόμασιν, οἰόμενον, τυχόν, καί μετά τήν σάρκωσιν τούτῳ μόνῳ τῷ τρόπῳ πάλιν ἄνθρωπον τόν Θεόν ὀνομάζεσθαι τούτοις τόν θεραπευτήν Γάϊον ἐπανορθοῦται τοῖς ῥήμασιν ὁ πολύς Διονύσιος, διδάσκων ὡς οὐχ ἁπλῶς ὁ τῶν ὅλων Θεός σαρκωθείς λέγεται ἄνθρωπος ἀλλ᾽ ὡς αὐτό κατ᾽ οὐσίαν ὅλην ἀληθῶς ἄνθρωπος ὤν. Ἧς μόνη τε καί ἀληθής ἐστιν ἀπόδειξις ἡ κατά φύσιν αὐτῆς συστατική δύναμις, ἥν οὐκ ἄν τις ἁμάρτοι τῆς ἀληθείας φυσικήν φήσας ἐνέργειαν, κυρίως τε καί πρώτως χαρακτηριστικήν αὐτῆς, ὡς εἰδοποιόν ὑπάρχουσαν κίνησιν, γενικωτάτην πάσης τῆς φυσικῶς αὐτῇ προσούσης περιεκτικῆς ἰδιότητος, ἧς χωρίς μόνον ἐστί τό μή ὄν, ὡς μόνου τοῦ μηδαμῶς ὄντος, κατά τοῦτον τόν μέγαν διδάσκαλον, οὔτε κίνησιν οὔτε ὕπαρξιν ἔχοντος. Τρανότατα γοῦν διδάσκει μηδέν ἠρνῆσθαι παντάπασι τῶν ἡμετέρων τόν Θεόν σαρκωθέντα, πλήν τῆς ἁμαρτίας, ἐπεί μηδέ τῆς φύσεως ἦν, οὐχ ἁπλῶς ἄνθρωπον, ἀλλ᾽ αὐτό

κατ᾽ οὐσίαν ὅλην ἀληθῶς ἄνθρωπον ὄντα διαῤῥήδην ἀποφηνάμενος. Οὗ κυρίως εἶναι διά τῶν ἐπαγομένων καί τήν κλῆσιν ἀνθρωπικῶς οὐσιωθέντος διατεινόμενός φησιν· " Ἡμεῖς δέ τόν Ἰησοῦν οὐκ ἀνθρωπικῶς ἀφορίζομεν." Ἐπεί μή ψιλόν ἄνθρωπον αὐτόν δογματίζομεν, τέμνοντες τήν ὑπέρ ἔννοιαν ἕνωσιν. Οὐσιωδῶς γάρ, ἀλλ᾽ οὐχ ὡς ἀνθρώπων αἰτίου ἐπ᾽ αὐτοῦ τοῦ φύσει Θεοῦ καθ᾽ ἡμᾶς ἀληθῶς οὐσιωθέντος τό ἄνθρωπος ὄνομα λέγομεν. Οὐδέ γάρ ἄνθρωπος μόνον, ὅτι καί Θεός ὁ αὐτός, εἴπερ μή ψιλός ἄνθρωπος μήτε γυμνός ὑπάρχει Θεός, "ἀλλ᾽ ἄνθρωπος ἀληθῶς ὁ διαφερόντως φιλάνθρωπος." Ἀπείρῳ γάρ πόθῳ τῷ πρός ἀνθρώπους ὅπερ ἐστίν ἀληθῶς αὐτό φύσει τό ποθούμενον γέγονε, μήτε τι πεπονθώς εἰς τήν ἰδίαν οὐσίαν πρός τῆς ἀφθέγκτου κενώσεως, μήτε τι τῆς ἀνθρωπίνης διά τήν ἀπόρρητον πρόσληψιν ἀμείψας, ἤ μειώσας τό σύνολον φύσεως, ὧν ὁ λόγος κυρίως αὐτῆς καθέστηκε σύστασις. " Ὑπέρ ἀνθρώπους," ὅτι θεϊκῶς ἀνδρός χωρίς "καί κατά ἀνθρώπους," ἀνθρωπικῶς ὅτι νόμῳ κυήσεως. " Ἐκ τῆς ἀνθρώπων οὐσίας ὁ ὑπερούσιος οὐσιωμένος· " οὐ γάρ ψιλήν μόνην ἐφάντασεν ἡμῖν ἐν ἑαυτῷ τήν ἐν εἴδει σαρκός διαμόρφωσιν, κατά τούς τῶν Μανιχαίων λήρους, ἤ σάρκα συνουσιωμένην οὐρανόθεν ἑαυτῷ συγκατήγαγε, κατά τούς Ἀπολιναρίου μύθους, ἀλλ᾽ αὐτό κατ᾽ οὐσίαν ὅλην ἀληθῶς ἄνθρωπος γεγονώς, προσλήψει δηλονότι σαρκός νοερῶς ἐψυχωμένης, ἑνωθείσης αὐτῷ καθ᾽ ὑπόστασιν.

" Ἔστι δέ οὐδέν ἧττον ὑπερουσιότητος ὑπερπλήρης ὁ ἀεί ὑπερούσιος." Οὐ γάρ ὑπεζεύχθη τῇ φύσει γενόμενος ἄνθρωπος, τοὐναντίον δέ μᾶλλον (1049) συνεπῆρεν ἑαυτῷ τήν φύσιν, ἕτερον αὐτήν ποιήσας μυστήριον, αὐτός δέ μείνας παντάπασιν ἄληπτος, καί τήν οἰκείαν σάρκωσιν λαχοῦσαν γένεσιν ὑπερούσιον μυστηρίου παντός δείξας ἀληπτοτέραν, τοσοῦτον καταληπτός δι᾽ αὐτήν γεγονώς ὅσον πλέον ἐγνώσθη δι' αὐτῆς ἀληπτότερος. " Κρύφιος γάρ ἐστι καί μετά τήν ἔκφανσιν," φησίν ὁ διδάσκαλος, " ἤ, ἵνα τό θειότερον εἴπω, καί ἐν τῇ ἐκφάνσει. Καί τοῦτο γάρ Ἰησοῦ κέκρυπται, καί οὐδενί λόγῳ, οὐδέ νῷ τό κατ᾽ αὐτόν ἐξῆκται μυστήριον, ἀλλά καί λεγόμενον ἄῤῥητον μένει, καί νοούμενον, ἄγνωστον." Τί τούτου πρός ἀπόδειξιν θείας ὑπερουσιότητος γένοιτ᾽ ἄν ἀποδεικτικώτερον, ἐκφάνσει τό κρύφιον καί λόγῳ τήν ἀφασίαν καί νῷ δηλούσης τήν καθ᾽ ὑπεροχήν ἀγνωσίαν, καί τό δή μεῖζον εἰπεῖν, οὐσιώσει τό ὑπερούσιον; "Ἀμέλει τῇ ταύτης περιουσίᾳ καί εἰς οὐσίαν ἀληθῶς ἐλθών ὑπέρ οὐσίαν

οὐσιώθη·" τούς νόμους δηλαδή καινοτομήσας τῆς κατά φύσιν γενέσεως, καί δίχα τῆς ἐξ ἀνδρός ἐν εἴδει σπορᾶς ἀληθῶς γενόμενος ἄνθρωπος. Καί δηλοῖ Παρθένος αὐτόν ὑπερφυῶς κύουσα τόν ὑπερούσιον Λόγον χωρίς ἀνδρός ἐκ τῶν αὐτῆς παρθενικῶν αἱμάτων ἀνθρωπικῶς, ξένῳ παρά τήν φύσιν θεσμῷ, διαπλαττόμενον. " Καί ὑπέρ ἄνθρωπον ἐνήργει τά ἀνθρώπου·" τήν τῶν στοιχείων ἀπαθῶς καινοτομήσας φύσιν ταῖς βάσεσι. Καί δηλοῖ σαφῶς ὕδωρ ἄστατον, ὑλικῶν καί γεηρῶν ποδῶν ἀνέχον βάρος καί μή ὑπεῖκον, ἀλλ᾽ ὑπερφυεῖ δυνάμει πρός τό ἀδιάχυτον συνιστάμενον· εἴπερ ἀληθῶς ἀβρόχοις ποσί, σωματικόν ὄγκον ἔχουσι, καί ὕλης βάρος, τήν ὑγράν καί ἄστατον οὐσίαν μεταβατικῶς ἐπεπόρευτο, περιπατῶν ἐπί θαλάσσης ὡς ἐπ᾽ ἐδάφους, καί τῇ δυνάμει τῆς ἑαυτοῦ θεότητος ἀχωρίστως διά τῆς μεταβάσεως συνεκφαίνων τῆς οἰκείας σαρκός τήν κατά φύσιν ἐνέργειαν· εἴπερ φύσει ταύτης ἡ μεταβατική καθέστηκε κίνησις, ἀλλ᾽ οὐ τῆς ἡνωμένης αὐτῇ καθ᾽ ὑπόστασιν ὑπεραπείρου καί ὑπερουσίου θεότητος. Ἅπαξ γάρ ἀνθρωπικῶς οὐσιωθείς ὁ ὑπερούσιος Λόγος μετά τῆς ἀνθρωπίνης οὐσίας ἀμείωτον εἶχεν, ὡς ἰδίαν αὐτοῦ, καί τήν γενικῶς αὐτόν ὡς ἄνθρωπον χαρακτηρίζουσαν τῆς οὐσίας κίνησιν πᾶσιν οἷς ὡς ἄνθρωπος ἐνήργει φυσικῶς εἰδοποιουμένην· εἴπερ ἀληθῶς γέγονεν ἄνθρωπος, ἀναπνέων, λαλῶν, βαδίζων, χεῖρας κινῶν, προσφυῶς ταῖς αἰσθήσεσι χρώμενος εἰς ἀντίληψιν τῶν αἰσθητῶν, πεινῶν, διψῶν, ἐσθίων, ὑπνῶν, κοπιῶν, δακρύων, ἀγωνιῶν, καίτοι δύναμις ὤν αὐθυπόστατος, καί τά λοιπά πάντα οἷς αὐτουργικῶς ψυχῆς δίκην φυσικῶς τό συμφυές σῶμα κινούσης, τήν προσληφθεῖσαν φύσιν κινῶν ὡς αὐτοῦ καί γενομένην ἀληθῶς καί λεγομένην, ἤ κυρίως εἰπεῖν, αὐτός δίχα τροπῆς τοῦθ᾽ ὅπερ ἐστί πραγματικῶς ἡ φύσις γενόμενος ἀφαντάστως τήν ὑπέρ ἡμῶν οἰκονομίαν πεπλήρωκεν. Οὐκ ἀνεῖλεν οὖν τήν συστατικήν (1049) τῆς προσληφθείσης οὐσίας ἐνέργειαν, ὥσπερ οὐδ᾽ αὐτήν τήν οὐσίαν ὁ διδάσκαλος, εἰπών· " Ὑπέρ οὐσίαν οὐσιώθη, καί ὑπέρ ἄνθρωπον ἐνήργει τά ἀνθρώπου· " ἀλλ᾽ ἔδειξεν ἐπ᾽ ἀμφοῖν τήν καινότητα τῶν τρόπων ἐν τῇ μονιμότητι τῶν φυσικῶν σωζομένην λόγων, ὧν χωρίς οὐδέν τῶν ὄντων ἐστίν ὅπερ ἐστίν. Εἰ δέ φῶμεν, ὡς τῆς μέν προσληφθείσης οὐσίας θέσις, τῆς δέ συστατικῆς αὐτῆς ἐνεργείας ἀφαίρεσις, ἡ καθ᾽ ὑπεροχήν ἐστιν ἀπόφασις, τίνι λόγῳ τήν αὐτήν ἐπ᾽ ἀμφοῖν ἴσως τεθεῖσαν, τῆς μέν ὕπαρξιν, τῆς δέ πάντως ἀναίρεσιν σημαίνουσαν δείξομεν; Ἤ πάλιν ἐπείπερ οὐκ αὐτοκίνητος ἡ

προσληφθεῖσα φύσις ἐστίν, ὑπό τῆς ἡνωμένης αὐτῇ καθ᾽ ὑπόστασιν ἀληθῶς κινουμένη θεότητος, καί τήν συστατικήν αὐτῆς ἀφαιρούμεθα κίνησιν, μηδ᾽ αὐτήν τήν οὐσίαν ὁμολογήσομεν, οὐκ αὐθυπόστατον φανεῖσαν, τουτέστι καθ᾽ ἑαυτήν, ἀλλ᾽ ἐν αὐτῷ τῷ κατ᾽ ἀλήθειαν αὐτήν οὐσιωθέντι Θεῷ Λόγῳ τό εἶναι λαβοῦσαν, ἴσην ἐπ᾽ ἀμφοῖν τήν αἰτίαν ἔχοντες τῆς παραιτήσεως, ἤ καί τήν κίνησιν τῇ φύσει συνομολογήσομεν, ἧς χωρίς οὐδέ φύσις ἐστί, γινώσκοντες ὡς ἕτερος μέν ὁ τοῦ εἶναι λόγος ἐστίν, ἕτερος δέ ὁ τοῦ πῶς εἶναι τρόπος, ὁ μέν τήν φύσιν, ὁ δέ τήν οἰκονομίαν πιστούμενος. Ὧν ἡ σύνοδος τό μέγα τῆς ὑπερφυοῦς Ἰησοῦ φυσιολογίας ποιησαμένη μυστήριον σωζομένην ἔδειξεν ἐν ταυτῷ τήν διαφοράν τῶν ἐνεργειῶν καί τήν ἕνωσιν, τήν μέν ἀδιαιρέτως ἐν τῷ φυσικῷ θεωρουμένην λόγῳ τῶν ἡνωμένων, τήν δέ ἀσυγχύτως ἐν τῷ μοναδικῷ γνωριζομένην τρόπῳ τῶν γινομένων. Τί γάρ καί τίς, ποῦ τε καί πῶς φύσις ἔσται συστατικῆς ἔρημος γενομένη δυνάμεως; Τό γάρ καθόλου μηδέ μίαν ἔχον δύναμιν οὔτε ἔστιν, οὔτε τί ἐστίν, οὔτε ἔστι τις αὐτοῦ παντελῶς θέσις, φησίν ὁ πολύς οὗτος διδάσκαλος. Εἰ δέ τούτων λόγος οὐδείς, εὐσεβῶς ὁμολογεῖσθαι χρή τάς τε τοῦ Χριστοῦ φύσεις ὧν αὐτός ὑπόστασις ἦν, καί τάς αὐτοῦ φυσικάς ἐνεργείας, ὧν αὐτός ἕνωσις ἦν ἀληθής, κατ᾽ ἄμφω τάς φύσεις· εἴπερ ἑαυτῷ προσφυῶς, μοναδικῶς, ἤγουν ἑνοδειδῶς, ἐνεργῶν, καί διά πάντων ἀχωρίστως τῇ θεϊκῇ δυνάμει συνεκφαίνων τῆς οἰκείας σαρκός τήν ἐνέργειαν. Πῶς γάρ ἔσται φύσει Θεός, καί φύσει πάλιν ἄνθρωπος ὁ αὐτός, οὐκ ἔχων ἀνελλιπῶς τό φύσει κατ᾽ ἄμφω πεφυκός; Τί τε καί τίς ὑπάρχων γνωσθήσεται, μή πιστούμενος οἷς ἐνήργει φυσικῶς ὅπερ ἐστί μή τρεπόμενον; πῶς δέ πιστώσεται καθ᾽ ἕν τῶν ἐξ ὧν , ἐν οἷς τε καί ἅπερ ἐστίν ἀκίνητος μένων καί ἀνενέργητος; Ὑπέρ οὐσίαν οὖν οὐσιώθη, γενέσεως ἀρχήν καί γεννήσεως ἑτέραν τῇ φύσει δημιουργήσας, συλληφθείς μέν σπορᾷ τῆς οἰκείας σαρκός, τεχθείς δέ σφραγίς τῆς παρθενίας τῇ τεκούσῃ γενόμενος, καί τῶν ἀμίκτων ἐπ᾽ αὐτῆς τήν ἀντίφασιν δείξας συναληθεύουσαν. Ἡ γάρ αὐτή καί παρθένος καί μήτηρ, καινοτομοῦσα τήν φύσιν τῇ συνόδῳ τῶν (1053) ἀντικειμένων, εἴπερ τῶν ἀντικειμένων παρθενία καί γέννησις, ὧν ἐκ φύσεως οὐκ ἄν τις ἐπινοηθήσεται σύμβασις. Διό καί θεοτόκος ἀληθῶς ἡ Παρθένος, ὑπερφυῶς δίκην σπορᾶς συλλαβοῦσά τε καί τεκοῦσα τόν ὑπερούσιον Λόγον· ἐπείπερ τοῦ σπαρέντος τε καί συλληφθέντος κυρίως ἡ τίκτουσα μήτηρ.

Καί ὑπέρ ἄνθρωπον ἐνήργει τά ἀνθρώπου, κατ᾽ ἄκραν ἕνωσιν δίχα τροπῆς συμφυεῖσαν δεικνύς τῇ θεϊκῇ δυνάμει τήν ἀνθρωπίνην ἐνέργειαν· ἐπειδή καί ἡ φύσις ἀσυγχύτως ἑνωθεῖσα τῇ φύσει δι᾽ ὅλου περικεχώρηκε, μηδέν ἀπόλυτον παντάπασιν ἔχουσα, καί τῆς ἡνωμένης αὐτῇ καθ᾽ ὑπόστασιν κεχωρισμένον θεότητος. Ὑπέρ ἡμᾶς γάρ ἀληθῶς τήν ἡμῶν οὐσίαν οὐσιωθείς ὁ ὑπερούσιος Λόγος συνῆψε τῇ καταφάσει τῆς φύσεως καί τῶν αὐτῆς φυσικῶν καθ᾽ ὑπεροχήν τήν ἀπόφασιν, καί γέγονεν ἄνθρωπος, τόν ὑπέρ φύσιν τοῦ πῶς εἶναι τρόπον ἔχον συνημμένον τῷ τοῦ εἶναι λόγῳ τῆς φύσεως, ἵνα καί τήν φύσιν πιστώσηται τῇ τῶν τρόπων καινότητι, μή δεχομένην κατά τόν λόγον ἀλλοίωσιν, καί δείξῃ τήν ὑπεράπειρον δύναμιν ὡσαύτως κἀν τῇ τῶν ἐναντίων γενέσει γνωριζομένην· ἀμέλει ἐξουσίᾳ γνώμης ἔργα πεποιηκώς τά πάθη τῆς φύσεως, ἀλλ᾽ οὐχ ὡς ἡμεῖς ἀνάγκης ἀποτελέσματα φυσικῆς, ἔμπαλιν ἤ ἐφ' ἡμῶν ἔχει, τό καθ᾽ ἡμᾶς φύσει παθητόν διεξῆλθεν, ἐξουσίᾳ γνώμῃ κινητόν δείξας ἐφ᾽ ἑαυτοῦ τό πεφυκός ἐφ᾽ ἡμῶν εἶναι γνώμης κινητικόν. Ὅπερ τοῖς ἑξῆς σαφηνίζων φησίν ὁ διδάσκαλος· "Τί ἄν τις τά λοιπά πάμπολλα ὄντα διέλθοι; δι᾽ ὧν ὁ θείως ὁρῶν ὑπέρ νοῦν γνώσεται καί τά ἐπί τῇ φιλανθρωπίᾳ τοῦ Ἰησοῦ καταφασκόμενα, δύναμιν ὑπεροχικῆς ἀποφάσεως ἔχοντα." Τά γάρ τῆς φύσεως πάντα μετά τῆς φύσεως κατά σύλληψιν ἄῤῥητον ὑποδύς ὁ ὑπερούσιος λόγος οὐδέν εἶχεν ἀνθρώπινον φυσικῷ λόγῳ καταφασκόμενον, ὅ μή καί θεῖον ἦν, τρόπῳ τῷ ὑπέρ φύσιν ἀποφασκόμενον. Ὧν ὑπέρ νοῦν ὡς ἀναπόδεικτος ὑπῆρχεν ἡ γνῶσις, μόνην κατάληψιν ἔχουσα τήν πίστιν τῶν γνωσίως τό τοῦ Χριστοῦ σεβαζομένων μυστήριον. Οὗτινος ὥσπερ συνοπτικόν τόν λόγον ἀποδιδούς φησι· " Καί γάρ, ἵνα συνελόντες εἴπωμεν, οὐδέ ἄνθρωπος ἦν," ὅτι φύσει τῆς κατά φύσιν ἀνάγκης ἄνετος ἦν, τῷ καθ᾽ ἡμᾶς οὐχ ὑπαχθείς θεσμῷ γενέσεως. "Οὐχ ὡς μή ἄνθρωπος," ὅτι κατ᾽ οὐσίαν ὅλην ἀληθῶς ἄνθρωπος ἦν, φύσει τῶν καθ᾽ ἡμᾶς φυσικῶν ἀνεχόμενος, "ἀλλ᾽ ὡς ἐξ ἀνθρώπων·" ἐπείπερ ἡμῖν ὁμοούσιος ἦν, ὅπερ ἡμεῖς κατά φύσιν ἄνθρωπος ὤν, "ἀνθρώπων ἐπέκεινα," (1056) καινότητι τρόπων, ὅπερ οὐχ ἡμεῖς, τήν φύσιν περιγράφων. " Καί ὑπέρ ἄνθρωπον ἀληθῶς ἄνθρωπος γεγονώς," τούς ὑπέρ φύσιν τρόπους καί τούς κατά φύσιν λόγους ἀλυμάντως ἔχων ἀλλήλοις συνημμένους, ὧν ἀμήχανος ἡ σύμβασις ἦν, αὐτός ᾧ μηδέν ἐστιν ἀμήχανον ἀληθής γενόμενος ἕνωσις μηδετέρῳ τό παράπαν ὧν ὑπόστασις ἦν θατέρου κεχωρισμένως ἐνεργῶν, δι᾽ ἑκατέρου δέ μᾶλλον πιστούμενος θάτερον·

εἴπερ ἄμφω κατ᾽ ἀλήθειαν ὤν ὡς μέν Θεός τῆς ἰδίας ἦν κινητικός ἀνθρωπότητος, ὡς ἄνθρωπος δέ τῆς οἰκείας ἐκφαντικός ὑπῆρχε θεότητος. Θεϊκῶς μέν, ἵν᾽ οὕτως εἴπω, τό πάσχειν ἔχων, ἑκούσιον γάρ, ἐπεί μή ψιλός ἄνθρωπος ἦν, ἀνθρωπικῶς δέ τό θαυματουργεῖν, διά σαρκός γάρ, ἐπεί μή γυμνός ὑπῆρχε Θεός. Ὡς εἶναι τά μέν πάθη θαυμαστά τῇ κατά φύσιν θε«κῇ δυνάμει τοῦ πάσχοντος καινιζόμενα, τά δέ θαύματα παθητά, τῇ κατά φύσιν τοῦ αὐτά θαυματουργοῦντος παθητικῇ δυνάμει συμπληρούμενα τῆς σαρκός. Ὅπερ εἰδώς ὁ διδάσκαλός φησι· " Καί τό λοιπόν οὐ κατά Θεόν τά θεῖα δράσας," ὅτι μή μόνον θεϊκῶς κεχωρισμένα σαρκός, οὐ γάρ ὑπερούσιος μόνον, οὔτε τά ἀνθρώπινα κατά ἄνθρωπον, ὅτι μή μονον σαρκικῶς κεχωρισμένα θεότητος, οὐ γάρ ἄνθρωπος μόνον, "ἀλλ᾽ ἀνδρωθέντος Θεοῦ καινήν τινα τήν " θεανδρικήν" ἐνέργειαν ἡμῖν πεπολετευμένος." Καί γάρ προσλήψει σαρκός νοερῶς ἐψυχωμένης ἀληθῶς ἄνθρωπος γεγονώς, ὁ διαφερόντως φιλάνθρωπος, τήν δέ θεϊκήν ἐνέργειαν καθ᾽ ἕνωσιν ἀῤῥήτος τῇ συμφυΐα τῆς σαρκικῆς ἐσχηκώς ἀνδρωθεῖσαν, τήν ὑπέρ ἡμῶν οἰκονομίαν πεπλήρωκε θεανδρικῶς, ἤγουν θεϊκῶς ἅμα καί ἀνδρικῶς τά τε θεῖα καί τά ἀνθρώπινα δράσας, ἤ σαφέστερον εἰπεῖν, θεϊκήν ἐν ταυτῷ καί ἀνδρικήν ἐνέργειαν πεπολιτευμένος.

Οὐκοῦν ἀποφάσει τῆς τῶν θείων καί ἀνθρωπίνων πρός ἄλληλα διαιρέσεως τήν τῆς ἑνώσεως κατάφασιν ὁ σοφός ποιησάμενος τήν φυσικήν τῶν ἡνωμένων διαφοράν οὐκ ἠγνόησεν· ἡ γάρ ἕνωσις τήν διαίρεσιν ἀπωσαμένη τήν διαφοράν οὐκ ἐλώβησεν. Εἰ δέ τῆς διαφορᾶς τόν λόγον ὁ τῆς ἑνώσεως τρόπος ἔχει σωζόμενον, ἄρα περίφρασίς ἐστιν ἡ τοῦ ἁγίου φωνή, καταλλήλῳ κλήσει τοῦ διττοῦ τήν φύσιν Χριστοῦ τήν διττήν παραδηλοῦντος ἐνέργειαν· εἴπερ φύσει τε καί ποιότητι κατ᾽ οὐδένα τρόπον ἐκ τῆς ἑνώσεως ὁ τῶν ἡνωμένων οὐσιώδης μεμείωται λόγος. Ἀλλ᾽ οὐχ ὥς τινι, ἀποφάσει τῶν ἄκρων τινός μέσου ποιουμένου κατάφασιν. Οὐκ ἔστι γάρ τι μέσον ἐπί Χριστοῦ, τῇ τῶν ἄκρων ἀποφάσει καταφασκόμενον. " Καινήν μέν," ὡς κοινοῦ μυστηρίου χαρακτηριστικήν, οὗ λόγος ἐστίν ὁ ἀπόῤῥητος τρόπος (1057) τῆς συμφυΐας. Τίς γάρ ἔγνω πῶς σαρκοῦται Θεός, καί μένει Θεός; πῶς μένων Θεός ἀληθής, ἄνθρωπός ἐστιν ἀληθής; ἄμφω δεικνύς ἑαυτόν ἀληθῶς ὑπάρξει φυσικῇ, καί δι' ἑκατέρου θάτερον, καί μηδετέρῳ τρεπόμενος. Ταῦτα μόνη πίστις χωρεῖ, σιγῇ τιμῶσα τόν Λόγον, οὗτινος τῇ φύσει τῶν ὄντων ἐμπέφυκε λόγος οὐδείς. "Θεανδρικήν" δέ, οὐχ ὡς ἁπλῆν, οὐδέ πρᾶγμά τι σύνθετον, καί ἤ μόνης

γυμνῆς κατά φύσιν θεότητος, ἤ μόνης ψιλῆς ὑπάρχουσαν ἀνθρωπότητος, ἤ συνθέτῳ φύσει τινῶν ἄκρων μεταιχμίῳ προσήκουσαν, ἀλλ᾽ ἀνδρωθέντι Θεῷ, τουτέστι τελείως ἐνανθρωπήσαντι, προσφυεστάτην. Οὐδ᾽ αὖ πάλιν μίαν, ὡς οὐκ ἄν ἄλλως νοηθῆναι "τῆς καινῆς" καθά τισιν ἔδοξεν, ἤ "μιᾶς δυναμένης·" ποιότητος γάρ, ἀλλ᾽ οὐ ποσότητος ἡ "καινότης·" ἐπεί καί φύσιν ἐξ ἀνάγκης ἑαυτῇ συνεισάξει τοιαύτην· εἴπερ πάσης φύσεως ὅρος ὁ τῆς οὐσιώδους αὐτῆς ἐνεργείας καθέστηκε λόγος, ἥν οὐ διπλῆν εἴποι ποτ᾽ ἄν τραγελάφων μύθοις φιλοτιμούμενος. Πῶς δέ καί τούτου δοθέντος ὁ τοῦτο πεφυκώς μίαν ἔχων ἐνέργειαν, καί ταύτην φυσικήν, ἐπιτελέσει τῇ αὐτῇ τά θαύματα καί τά πάθη, λόγῳ φύσεως ἀλλήλων διαφέροντα, δίχα στερήσεως ἐπισυμβαινούσης τῇ ἀπογενέσει τῆς ἕξεως; Οὐδέν γάρ τῶν ὄντων μιᾷ καί τῇ αὐτῇ ἐνεργείᾳ τἀναντία πέφυκε δρᾶν, ὅρῳ τε καί λόγῳ συνεχόμενον φύσεως. Διό μίαν ἁπλῶς ἤ φυσικήν ἐπί Χριστοῦ θεότητος καί σαρκός ἐνέργειαν λέγειν οὐ θέμις, εἴπερ μή ταυτόν ποιότητι φυσικῇ θεότης καί σάρξ, ἐπί καί φύσιν, καί γενήσεται τετράς ἡ τριάς.

Οὔτε γάρ κατά φύσιν, οὔτε κατά δύναμιν, οὔτε κατ᾽ ἐνέργειαν, γέγονε ταυτόν, φησί, τῇ σαρκί. Οὐδενί γάρ ᾧ πέφυκεν εἶναι διά τήν μίαν οὐσίαν Πατρί καί Πνεύματι ταυτόν ὁ Υἱός, γέγονε ταυτόν τῇ σαρκί διά τήν ἕνωσιν, κἄν πεποίηκεν αὐτήν ζωοποιόν ἑνώσει τῇ πρός αὐτόν, ἔχουσαν τό φύσει θνητόν. Ἐπεί καί τρεπτῆς ὑπάρχων δειχθήσεται φύσεως, καί τήν οὐσίαν τῆς σαρκός εἰς ὅπερ οὐκ ἦν ἀλλοιώσας, καί ταυτόν πεποιηκώς τῇ φύσει τήν ἕνωσιν. Τήν γάρ θεανδρικήν ἐνέργειαν, ὡς ἀπεδόθη νοήσωμεν· ἥν ἡμῖν οὐχ ἑαυτῷ πολιτευσάμενος τήν φύσιν τοῖς ὑπέρ φύσιν ἐκαίνισε. Πολιτεία γάρ ἐστι βίος κατά νόμον φύσεως διεξαγόμενος. Διπλοῦς δέ ὤν τήν φύσιν ὁ Κύριος, εἰκότως βίον ἔχων ἐφάνη κατάλληλον, νόμῳ τε θείῳ καί ἀνθρωπίνῳ, κατά ταυτόν ἀσυγχύτως συγκεκροτημένον· καινόν καί αὐτόν, οὐχ ὡς μόνον ξένον τοῖς ἐπί γῆς καί παράδοξον, καί οὕτω τῇ φύσει τῶν ὄντων διεγνωσμένον, ἀλλά καί χαρακτῆρα καινῆς τοῦ καινῶς βιώσαντος ἐνεργείας. Ἥν θεανδρικήν τυχόν προσηγόρευσεν ὁ τῷ μυστηρίῳ τούτῳ κλῆσιν ἐπινοήσας ἁρμόδιον, ἵνα δείξῃ τόν κατά τήν ἀπόῤῥητον ἕνωσιν τῆς ἀντιδόσεως τρόπον, κατ᾽ ἐπαλλαγήν τά φυσικῶς ἑκατέρῳ μέρει τοῦ Χριστοῦ προσόντα θατέρῳ πεποιημένον, χωρίς τῆς ἑκατέρου μέρους πρός θάτερον κατά τόν φύσει (1060) λόγον μεταβολῆς καί συμφύρσεως. Ὥσπερ γάρ τοῦ πυρακτωθέντος ξίφους

τό τμητικόν γέγονε καυστικόν, καί τό καυστικόν τμητικόν (ἡνώθη γάρ ὥσπερ σιδήρῳ τό πῦρ), οὕτω καί τῷ τοῦ σιδήρου τμητικῷ τό τοῦ πυρός καυστικόν, καί γέγονε μέν καυστικός ὁ σίδηρος ἑνώσει τῇ πρός τό πῦρ, καί τμητικόν τό πῦρ ἑνώσει τῇ πρός τόν σίδηρον· οὐδέτερον δέ τρόπον τῇ καθ᾽ ἕνωσιν ἀντιδύσει πρός θάτερον πέπονθεν, ἀλλ᾽ ἑκάτερον κἀν τῇ τοῦ συγκειμένου καθ᾽ ἕνωσιν ἰδιότητι μεμένηκε τῆς κατά φύσιν οἰκείας ἀνέκπτωτον· οὕτω κἀν τῷ μυστηρίῳ τῆς θείας σαρκώσεως θεότης καί ἀνθρωπότης ἡνώθη καθ᾽ ὑπόστασιν, μηδετέρας τῆς φυσικῆς ἐκστάσης ἐνεργείας διά τήν ἕνωσιν, μήτε μήν ἄσχετον αὐτήν κεκτημένης μετά τήν ἕνωσιν, καί τῆς συγκειμένης καί συνυφεστώσης διακεκριμμένην. Ὅλῃ γάρ τῇ δραστικῇ δυνάμει τῆς οἰκείας θεότητος ὁ σαρκωθείς Λόγος ὅλην ἐσχηκώς συμφυεῖσαν καθ᾽ ἕνωσιν ἄλυτον τήν παθητικήν τῆς ἰδίας ἀνθρωπότητος δύναμιν ἀνθρωπίνως Θεός ὤν ἐνήργει τά θαύματα, διά σαρκός φύσει παθητῆς συμπληρούμενα, καί θεϊκῶς ἄνθρωπος ὤν διεξῄει τά πάθη τῆς φύσεως, κατ᾽ ἐξουσίαν ἐπιτελούμενα θεϊκήν· ἄμφω δέ μᾶλλον θεανδρικῶς, ὡς Θεός ὁμοῦ καί ἄνθρωπος ὤν τοῖς μέν ἡμᾶς ἑαυτοῖς ἀποδιδούς, φανέντας ὅπερ γεγόναμεν, τοῖς δέ διδούς ἡμᾶς ἑαυτῷ, γενομένους ὅπερ παρέδειξε, καί δι᾽ ἀμφοτέρων πιστούμενος τήν τῶν ἐξ ὧν, ἐν οἷς τε καί ἅπερ ὑπῆρχεν ἀλήθειαν, ὡς μόνος ἀληθής και πιστός, καί ὅπερ ἐστι παρ᾽ ἡμῶν ὁμολογεῖσθαι βουλόμενος. Ὅν ἔχοντες, ἡγιασμένοι λόγῳ τε καί βίῳ, μορφούμενον μιμήσασθε τήν μακροθυμίαν, καί τήν παροῦσαν δεχόμενοι γραφήν, φάνητέ μοι τῶν ἐμφερομένων φιλάνθρωποι κριταί νικῶντες συμπαθείᾳ τά τοῦ παιδός ὑμῶν ὀλισθήματα, μόνην ταύτην ἐκδεχομένῳ τῆς εὐπειθείας ἀντίδοσιν, καί γένεσθέ μοι μεσῖται τῆς πρός αὐτόν καταλλαγῆς εἰρήνην δημιουργοῦντες τήν πάντα νοῦν ὑπερέχουσαν, ἧς αὐτός ἄρχων ἐστίν ὁ Σωτήρ, ἕξει πρακτικῇ τῆς τῶν παθῶν ταραχῆς ἐλευθερῶν τούς φοβουμένους αὐτόν, καί Πατήρ τοῦ μέλλοντος αἰῶνος, Πνεύματι γεννῶν δι᾽ ἀγάπης καί γνώσεως τούς τόν ἄνω κόσμον πληρώσαντας. Αὐτῷ δόξα, μεγαλωσύνη, κράτος, σύν τῷ Πατρί καί τῷ ἁγίῳ Πνεύματι εἰς τούς αἰῶνας. Ἀμήν.

***ΕΚ ΤΟΥ ΑΥΤΟΥ. (1061)***
***Πρός Ἰωάννην ἀρχιεπίσκοπον Κυζίκου Μάξιμος ἐν Κυρίῳ χαίρειν.***

Ἐπαινοῦνται μέν, καί τυχόν δικαίως, παρά πάντων τῆς φιλομαθείας ἕνεκεν οἱ προθυμότεροι τῶν καλῶν ἐρασταί καί τῆς ἐπ᾽

αὐτοῖς ἐπιστήμης ἐπιμεληταί σπουδαιότεροι τοῖς κρείττοσι καί τῶν κρειττόνων διδασκάλοις προσιόντες, ὅτι δι᾽ ἐρωτήσεως τήν γνῶσιν τῶν ἠγνοημένων καί τήν ἐπιστήμην ἀνεπαισχύντως λαμβάνοντες σφᾶς αὐτούς ἀγνοίας (1064) καί ἀπειρίας καί τοῦ κατ᾽ αὐτάς ὀνείδους ἐλευθεροῦσιν. Ὑμᾶς δέ τίς ἄν ἀξίως ἐπαινέσειε λόγος; ἤ τίς ἀνθρώπων κἄν διανοίᾳ περιλαβεῖν ὑμῶν τό τῆς ἀρετῆς μέγεθος ἱκανός εὑρεθήσεται; Ὅτι δόκιμοι λογικῶν προβάτων ποιμένες ὑπάρχοντες, καί πρός τήν ἄνω μάνδραν φωναῖς σύριγγος πνευματικῆς ἀνάγειν τε και ἀπάγειν εἰδότες, οἷα δή τῆς ἀνεφίκτου τοῖς ἄλλοις τῶν θείων μυστικῆς γνώσεως τήν ἕξιν προειληφότες· καθ᾽ ἥν τῆς Χριστοῦ Ἐκκλησίας ἀξίως πεπιστωμένοι τούς οἴακας νηός τρόπον ἐπιστημόνως ἰθύνετε, μετά τοῦ φόρτου τῆς πίστεως καί τῆς τοῦ κατά Θεόν βίου εὐπρεπείας, πρός τόν λιμένα τοῦ θείου θελήματος, μηδέν τῶν κατά τήν θάλασσαν τοῦ βίου πειρασμῶν παραβλαβεῖσαν.

Περί τῶν ἐγνωσμένων ὑμῖν, ὧν καί ἐξηγητάς ὑμᾶς κατέστησεν ὁ Θεός, οὐ μόνον τούς σοφωτέρους, εἴπερ τις ὑμῶν ἐστιν ὅλως κατά τήν γνῶσιν ἀνώτερος, ἀλλά καί τούς μηδενός ἀξίους καί παντελῶς παντός ἀπείρους μαθήματος, πίστει τοῦ εὑρεῖν τι, καθώς εἰώθατε, καί παρά τοῖς ἀσήμοις ἐπίσημον ἐρωτᾷν οὐχ ἡγεῖσθε ἀνάξιον. Διό κἀγώ δεξάμενος τήν τιμίαν ὑμῶν ἐπιστολήν τόν περί ἑκάστου τῶν ἀπορηθέντων ὑμῖν κεφαλαίων ἐν τοῖς τοῦ ἁγίου Γρηγορίου τοῦ Θεολόγου λόγοις, περί ὧν ἐφιλοπονοῦμεν ἡνίκα σύν ἀλλήλοις ἦμεν, ἀποδοθέντα τό τηνικαῦτα λόγου γραφῇ καταθεμένῳ στεῖλαι ὑμῖν κελεύουσαν, ὑμᾶς μέν εἰκότως τῆς ἀρετῆς ἐθαύμασα καί τῆς κατ᾽ αὐτήν χριστοπρεποῦς ὑμῶν πτωχείας τό παμφαές καί ὑψηλόν ἀνύμνησα, μᾶλλον δέ τόν κατά πάντα τρόπον δι᾽ ὑμῶν τε καί ἐν ὑμῖν δοξαζόμενον Κύριον, τόν καί ποιήσαντα ὑμᾶς καί τήν πρός τό ἀξίους αὐτοῦ γενέσθαι χαρισθεῖσαν ὑμῖν δύναμιν τοῖς ἑαυτοῦ ἰδιώμασι δι᾽ αὐτῶν τῶν ἔργων καί τῆς ἀληθείας ἀριδήλως ὡραϊσμένην ἐκφαίνοντα, μέχρις ἐμοῦ τοῦ μικροῦ καί μηδενός ἀξίου καί ἀμαθοῦς καί πάσης γυμνοῦ παντάπασιν ἀρετῆς καί γνώσεως. Περί τούτου ταπεινωθέντας θεώμενος ἐμαυτόν δέ καταδέξασθαι ὑμῶν τό ἐπίταγμα κατά δύναμιν ἐβιασάμην, μηδένα τοῦ προπετής νομισθῆναι τοῖς πολλοῖς ὑμῶν χάριν ποιησάμενος λόγον· ἀλλά καί ὑμεῖς τόν προσφιλῆ καί ἐράσμιον τῆς εὐπειθείας μισθόν ἀντιλαβεῖν ἐκδεχομένῳ τάς ὑμετέρας ἐκτενεῖς εὐχάς συνήθως χαρίσασθε, ὅπως Χριστός ὁ

Θεός, ἡ ἑτοίμη τῶν φοβουμένων αὐτόν βοήθεια, ἔλθοι μοι τῷ λόγῳ σύμμαχος, μᾶλλον δέ τόν τοῦ λέγειν ὅλον εὐσεβῶς ὡς Λόγος χορηγήσοι λόγον. Ἀξιῶ δέ ὑμᾶς ἐντυγχάνοντας, μή τήν κεκομψευμένην ἐπιζητεῖν πρός ἐμοῦ λέξιν, τούς περικομποῦντας τήν ἀκοήν λόγους οὐκ ἔχοντος, καί ταῖς περιέργοις τομαῖς ἐμπεριηχήτους ποιεῖν ἀγνοοῦντος. Ἀτριβής γάρ ὤν τῶν τοιούτων μαθημάτων, καί τῆς ἐπ᾽ αὐτοῖς μελέτης ἄπειρος τυγχάνων, ἀγαπητόν ἡγοῦμαι καί (1065) ἐπευκτόν, εἰ τῆς διανοίας τοῦ ἁγίου τούτου καί μεγάλου διδασκάλου, κἄν ἐν χυδαίᾳ φράσει, καί τοῦτο ποσῶς, καταστοχάσαιμι, μήτι δέ τῷ πολυστίχῳ τῶν ἐξηγήσεων ἐπισκήπτειν. Ὁ Θεολόγος γάρ οὗτος ἀνήρ, ὡς ἴστε, βραχυλόγος ὑπάρχων καί πολύνους ἀνάγκην δίδωσι τῷ ἐξαπλοῦν βουλομένῳ τόν αὐτοῦ σκοπόν, κἄν ὁ ῥητορικώτατος ᾖ καί φιλοσοφώτατος, διά πολλῶν ἰέναι, καί μάλιστα ἐμοί τῷ ἰδιώτῃ· εἰ δ᾽ ὑμᾶς συνήθως ὁ θεοφιλής ἀνακινήσοι ζῆλος πρός τό σύντομον ἅμα καί εὐφραδές τά γραφόμενα μετακομίσαι, ἤ καί τόν νοῦν ὅλον διορθώσασθαι πρός τό ὑψηλότερον, μισθόν αὐτοτελῆ λήψεσθε, τάς τοῦ θεοφόρου πρός τόν Δεσπότην τῶν ὅλων εὐχάς, ἅτε μή συγχωρήσαντες αὐτοῦ τά θεῖα καί ὑπερφυῆ νοήματα ταῖς ἀποτεύκτοις καί χαμαιπετέσιν ἐπιβολαῖς παρασύρεσθαι. Ἀκολούθως δέ τῇ ὑμετέρᾳ ἐπιστολῇ τήν περί ἑκάστου κεφαλαίου ποιησάμενος ζήτησιν κατεθέμην τῷ γράμματι, χρηστούς καί φιλανθρώπους ὑμᾶς τῶν λεγομένων κριτάς γενέσθαι παρακαλῶν.

***Ἐκ τοῦ περί φιλοπτωχίας λόγου, εἰς τό, "Φείδομαι ὡς συνεργοῦ, καί οὐκ ἔχω πῶς φύγω τήν ἐπανάστασιν, ἤ πῶς μή ἀπό Θεοῦ πέσω βαρηθείς ταῖς πέδαις κατασπώσαις ἤ κατεχούσαις εἰς ἔδαφος."***

Οὐ ταυτόν τῷ κατασπᾶσθαι τό κατέχεσθαι νενόηται τῷ μακαρίῳ τούτῳ ἀνδρί, μή οὕτω νομίσῃς, δοκιμώτατε, εἴπερ τί σοι νοεῖν τῆς αὐτοῦ μεγαλονοίας ἄξιον διεσπούδασται· ἐπεί περιττός οὕτω τοῖς λόγοις καί τόν νοῦν τῷ λόγῳ μή ἐφιστάμενον ἔχων ἀναφανήσεται, εἴπερ μή πάσῃ συλλαβῇ σχεδόν τήν πρέπουσαν ἐνθέμενος ἔννοιαν πρός τά κάλλιστά τε καί χρήσιμα τούς ὀπαδούς ὁδηγεῖν παντί τρόπῳ διεγνωκέναι ὑποληφθῇ. Οὐχ οὕτω δέ ταῦτ᾽ ἔχει, πόθεν; ἀλλά καί νῷ λόγον σοφῷ συνίστησι, καί λόγῳ ὑψηλῷ νοῦν ἐφίστησιν ὑψηλότερον, ἵν᾽ ὑψηλός ὑψηλῷ διαγγέλληται, καί τῆς ἀληθείας ποσῶς δι᾽ ἀμφοῖν τό τέως τοῖς πολλοῖς ἤ καί πᾶσιν ἀνεπίβατον μέγεθος διαδειχθῇ. Ἵνα δέ φανερόν ἅπαν ἡμῖν γένηται τῶν λεγομένων τό αἴνιγμα, αὐτά ὡς

ἔχει τοῦ μακαρίου σκοπήσωμεν τά ῥητά. Φείδομαι, φησίν, ὡς συνεργοῦ, καί οὐκ ἔχω πῶς φύγω τήν ἐπανάστασιν, ἤ πῶς μή ἀπό Θεοῦ πέσω βαρηθείς ταῖς πέδαις, κατασπώσαις ἤ κατεχούσαις εἰς ἔδαφος. Ταῦτ᾽ εἰπών οὐχ ἑαυτῷ πάντως, ἀλλά δι᾽ ἑαυτοῦ τῷ κοινῷ τῆς ἀνθρωπότητος διαλέγεται, εἰδώς ὅτι πᾶς τις ὁ σωτηρίας ἐρῶν ἤ πράξει ἤ θεωρίᾳ πάντως προσανέχει. Ἀρετῆς γάρ καί γνώσεως χωρίς οὐδαμῶς οὐδείς πώποτε τυχεῖν σωτηρίας δεδύνηται. Εἴπερ οὖν τῶν διά θεωρίας, φησί, Θεῷ προσεδρευόντων καί τοῦ μακαρίου κάλλους κατατρυφώντων καθέστηκα εἷς, εἰρήνην ἔχων παντάπασι καί ἁγιασμόν, (1068) ὡς ἐμαυτόν ἁπλώσας Θεῷ, ἀδιαιρέτῳ κατά τήν γνώμην ταυτότητι, τῷ τάς ἀλόγους δυνάμεις τῆς ψυχῆς λογίσαι τε πρεπόντως καί νῷ διά λόγου προσαγαγεῖν καί οἰκειώσασθαι, θυμόν λέγω καί ἐπιθυμίαν, τόν μέν εἰς ἀγάπην, τήν δέ εἰς χαράν μεταβαλών, εἴπερ χαρᾶς ἴδιον τό σκιρτᾷν θεοπρεπῶς καί ἀγάλλεσθαι κατά τόν ἐκ μήτρας προσκιτρήσαντα Ἰωάννην, τόν μέγαν τῆς ἀληθείας πρόδρομόν τε καί κήρυκα, ἤ τόν ἐπί τῇ καταπαύσει τῆς κιβωτοῦ τοῦ Ἰσραήλ βασιλέα Δαβίδ. Ἐν μήτρᾳ γάρ (κἄν εἰ τραχύς ὁ λόγος ὡς ἀτριβής τοῖς πολλοῖς, ἀλλ᾽ οὖν ἀληθής) καί ἡμεῖς καί ὁ Θεός Λόγος ἐσμέν ὁ τοῦ παντός Ποιητής καί Δεσπότης, ἐν τῇ παρούσῃ τῆς ζωῆς καταστάσει, ὁ μέν ἀμυδρῶς ὡς ἐν μήτρᾳ, καί μόγις τῷ αἰσθητῷ τούτῳ κόσμῳ διαφαινόμενος, καί τοῦτο τοῖς κατά Ἰωάννην τῷ πνεύματι, οἱ δ᾽ ἄνθρωποι, ὡς ἐκ μήτρας τῆς ὑλικῆς περιστάσεως, κἄν ποσῶς τόν ἐν τοῖς οὖσιν ἐγκρυπτόμενον διαβλέποντες Λόγον. Καί τοῦτ᾽ ἄνπερ ὦσι ταῖς Ἰωάννου αὐχοῦντες χάρισι. Πρός γάρ τήν ἄφατον τοῦ μέλλοντος αἰῶνος δόξαν τε καί λαμπρότητα καί τήν τῆς κατ᾽ αὐτόν ζωῆς ἰδιότητα μήτρας οὐδέν διαφέρει ζόφῳ περικεχυμένης συγκρινομένη ἡ παροῦσα ζωή, ἐν ᾗ δι᾽ ἡμᾶς τούς νηπιάσαντας ταῖς φρεσί καί ὁ Θεός Λόγος τέλειος ὤν καί ὑπερτελής, ὡς φιλάνθρωπος, ἐνηπίασεν. Εἴπερ οὖν, ὡς εἴρηται, τοιοῦτός τις ὑπάρχω, καί τῆς ἐφικτῆς ἀνθρώποις κατά τήν παροῦσαν ζωήν ἐπέβην θείας ἀκρότητος, ἀμελήσω δέ τῆς θεοειδοῦς ἕξεως, ἑμαυτόν πρός τήν τοῦ σώματος ἑκουσίως ἐπικλίνας στοργήν, κατεσπάσθην βαρηθείς ταῖς πέδαις, ἤτοι ταῖς φροντίσι, καί ἀπό θεοῦ ἔπεσον, ὡς τήν περί μόνης τῆς βασιλείας τῶν οὐρανῶν μέριμνάν τε καί ζήτησιν ᾧ μή θέμις ἦν, τῇ γηΐνῃ λέγω ζωῇ, προσνείμας, καί ταῖς αἰσθήσεσι συμφέρεσθαι μᾶλλον, ἤ πρός Θεόν φέρεσθαι τήν διάνοιαν ἀνασχόμενος. Εἰ δέ τῶν ἔτι διά τῆς πρακτικῆς πολεμικῶς κατά τῶν παθῶν ὡπλισμένος εἰμί, μήπω τῶν δι᾽ αὐτῶν ἑλεῖν βουλομένων

ἐχθρῶν καθαρῶς ὑπαλύξας τούς δόλους, καί στέρξω ἀδιακρίτως τό σῶμα, κατεσχέθην ὑπ᾽ αὐτοῦ δῆλον, ὡς τήν πρός αὐτό σχέσιν τοῦ δι᾽ ἀρετῆς χωρισμοῦ προελόμενος. Κατασπᾶται οὖν ἄρα ὁ θεωρητικός ἄσχετος ἤδη κατά τήν ἕξιν γινόμενος τῷ σώματι, τῶν θείων ἀμελῶν θεαμάτων. Κατέχεται δέ ὁ πρακτικός ὁ τῷ σώματι μαχόμενος, ἐνδιδούς τῇ πρός αὐτό πάλῃ, καί τοῦ πονεῖν ὑπέρ ἀρετῆς, ἥτις ἐστί ψυχῆς ἐλευθερία, τό δοῦλον εἶναι παθῶν ἐπιλεγόμενος.

***Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό, "Τίς ἡ περί ἐμέ σοφία, καί τί τό μέγα τοῦτο μυστήριον; ἤ βούλεται μοῖραν ἡμᾶς ὄντας Θεοῦ, καί ἄνωθεν ῥεύσαντας, ἵνα μή διά τήν ἀξίαν ἐπαιρόμενοι καί μετεωριζόμενοι καταφρονῶμεν τοῦ Κτίσαντος, ἐν τῇ πρός τό σῶμα πάλῃ καί μάχῃ πρός αὐτόν ἀεί βλέπειν, καί τήν συνεζευγμένην ἀσθένειαν παιδαγωγίαν εἶναι τοῦ ἀξιώματος; "***

(1069) Τούτοις τινές ἐντυγχάνοντες τοῖς λόγοις, μηδένα, ὡς ἔοικεν, ὑπέρ τοῦ πονεῖν τῆς ζητήσεως ἕνεκεν τοῦ ἀληθοῦς μισθόν ἐκδεχόμενοι, πρός τό εὔκολον καί πολλάς ἔχον ἤδη ἐκ τῶν Ἑλληνικῶν δογμάτων τάς ἀφορμάς καταφεύγουσι, φάσκοντες τήν τέ ποτε οὖσαν κατά τό δόξαν αὐτοῖς τῶν λογικῶν ἑνάδα καθ᾽ ἥν συμφυεῖς ὄντες Θεῷ τήν ἐν αὐτῷ μόνην ἔχομεν καί ἵδρυσιν, προσέτι γε καί τήν γενομένην κίνησιν, ἐξ ἧς σκεδασθέντα διαφόρως τά λογικά πρός γένεσιν τοῦ σωματικοῦ τούτου κόσμου τόν Θεόν ἰδεῖν παρεσκεύασαν, χάριν τοῦ ἐνδῆσαι αὐτά σώμασιν ἐπί τιμωρίᾳ τῶν προημαρτημένων, διά τούτων αἰνίττεσθαι τῶν λόγων νομίζοντες τόν διδάσκαλον. Ἀλλ᾽ ἠγνόησαν ὡς ἀδύνατα ὑποτίθενται καί τῶν ἀμηχάνων καταστοχάζονται, καθώς προϊών μετά τοῦ εἰκότος ὁ ἀληθής ἀποδείξει λόγος. Εἰ γάρ τό θεῶν (leg. θεῖον) ἀκίνητον, ὡς πάντων πληρωτικόν, πᾶν δέ τό ἐκ μή ὄντων τό εἶναι λαβόν καί κινητόν, ὡς πρός τινα πάντως φερόμενον αἰτίαν, οὔπω δέ οὐδέν κινούμεον ἔστη, ὡς τῆς κατ᾽ ἔφεσιν κινήσεως τήν δύναμιν μήπω τῷ ἐσχάτῳ προσαναπαῦσαν ὀρεκτῷ (οὐδέν γάρ ἱστᾷν ἄλλο τό φερόμενον κατά φύσιν πέφυκεν ἤ ἐκεῖνο δεικνύμενον), οὐδέν ἄρα κινούμενον ἔστη, ὡς τοῦ ἐσχάτου μήπω τυχόν ὀρεκτοῦ· ἐπεί μηδ᾽ ἐκεῖνό πω φανέν τῶν περί αὐτό φερομένων τήν κίνησιν ἔστησεν. Εἰ δέ τοῦτό ποτε γεγενῆσθαι ἐξ ἐπιτάγματος κελεύουσι, καί τῆς ἐν ἐσχάτῳ καί μόνῳ ὀρεκτῷ ἱδρύσεώς τε καί μονῆς παρακινηθέντα τά λογικά τόν σκεδασμόν ἔλαβεν, ἵνα μή λέγων ἐρεσχελῶ, τίς ἡ ἀπόδειξις, τάς αὐτάς ἐπί τοῖς αὐτοῖς ἐπ᾽ ἄπειρον ἕξειν τά λογικά μετεμπτώσεις ἐξ ἀνάγκης

εἰκότως ὑποθήσονται. Οὗτινος γάρ διά τῆς πείρας καταφρονεῖν ἅπαξ δεδύνηνται, καί εἰς ἀεί δυνήσεσθαι οὐδείς ὁ κωλύσων ἔστι λόγος. Τοῦ δέ οὕτω φέρεσθαι τά λογικά καί μηδεμίαν ἔχειν ἤ ἐλπίζειν βάσιν ἀμετάθετον τῆς ἐν τῷ καλῷ παγιότητος, τί ἄλλο γένοιτ' ἄν ἐλεινότερον; Εἰ δέ δύνασθαι μέν φαῖεν, μή βούλεσθαι δέ, διά τήν γενομένην πεῖραν τοῦ ἐναντίου, καί οὕτως οὐ δι᾽ ἑαυτό, ὡς καλόν, ἀλλά διά τό ἐναντίον τό καλόν αὐτοῖς ἔσται ἐξ ἀνάγκης στεργόμενον, ὡς οὐ φύσει ἤ κυρίων ὄν ἐραστόν. Πᾶν γάρ ὅ μή δι᾽ ἑαυτό ἀγαθόν ἐστι καί ἐραστόν καί πάσης ἑλκτικόν κινήσεως οὐ κυρίως καλόν. Καί διά τοῦτο οὐδέ καθεκτικόν εἰκότως τῆς τῶν ἐπ᾽ αὐτῷ ἡδομένων ἐφέσεως, ἀλλά καί χάριν λοιπόν ὁμολογήσαιεν ἄν τῷ κακῷ (1072) οἱ τοῦτο περιέποντες τό φρόνημα, ὡς δι᾽ αὐτοῦ τό δέον διδαχθέντες καί τήν ἐν τῷ καλῷ πῆξιν πῶς ἔχειν μεταμαθόντες καί γένεσιν αὐτό ἀναγκαίως εἴποιεν ἄν, εἴπερ ἑαυτοῖς στοιχεῖν διέγνωσαν, καί τῆς φύσεως αὐτῆς χρησιμωτέραν, ὡς τοῦ συμφέροντος κατ᾽ αὐτούς οὖσαν διδακτικήν, καί τοῦ πάντων τιμιωτέρου κτήματος, τῆς ἀγάπης λέγω, γεννητικήν, καθ᾽ ἥν πέφυκε πάντα τά ἐκ Θεοῦ γινόμενα εἰς Θεόν συνάγεσθαι μονίμως τε καί ἀπαρατρέπτως.

Καί πάλιν, τῶν ἐκ Θεοῦ γενομένων νοητῶν τε καί αἰσθητῶν ἡ γένεσις τῆς κινήσεως προεπινοεῖται. Οὐ γάρ οἷόν τε πρό γενέσεως εἶναι κίνησιν. Τῶν γάρ γενομένων ἡ κίνησις, ἤτε νοητῶν, νοητή, ἤ τε αἰσθητῶν, αἰσθητή. Οὐδέν γάρ τῶν γενομένων ἐστί τό παράπαν τῷ καθ᾽ αὐτό λόγῳ ἀκίνητον, οὐδ᾽αὐτῶν τῶν ἀψύχων καί αἰσθητῶν, ὡς τοῖς ἐπιμελεστέροις τῶν ὄντων θεάμοσιν ἔδοξε. Κινεῖσθαι γάρ πάντα ἔφασαν, ἤ κατ᾽ εὐθεῖαν, ἤ κατά κύκλον, ἤ ἑλικοειδῶς. Πᾶσα γάρ κίνησις τῷ ἁπλῷ καί τῷ συνθέτῳ περιέχεται τρόπῳ. Εἰ τοίνυν προεπονοεῖται τῶν ὧν ἐστι κινήσεως ἡ γένεσις, ἐπιθεωρεῖται δή τῆς ὧν ἐστι γενέσεως ἡ κίνησις, ὡς μετ᾽ αὐτήν κατεπίνοιαν οὖσα. Ταύτην δέ τήν κίνησιν δύναμιν καλοῦσιν φυσικήν, πρός τό κατ᾽ αὐτήν τέλος ἐπειγομένην, ἤ πάθος, ἤτοι κίνησιν, ἐξ ἑτέρου πρός ἕτερον γινομένην, τέλος ἔχουσαν τό ἀπαθές, ἤ ἐνέργειαν δραστικήν, τέλος ἔχουσαν τό αὐτοτελές. Οὐδέν δέ τῶν γενητῶν ἑαυτοῦ τέλος ἐστίν, ἐπειδή οὔτε αὐταίτιον, ἐπεί καί ἀγένητον καί ἄναρχον καί ἀκίνητον, ὡς πρός μηδέν πῶς ἔχον κινηθῆναι. Ἐκβαίνει γάρ τῶν ὄντων τήν φύσιν, ὡς οὐδενός ἕνεκεν ὄν, εἴπερ ἀληθής ὁ περί αὐτοῦ ὁρισμός, κἄν ἀλλότριος ᾖ ὁ λέγων. Τέλος ἐστίν οὗ ἕνεκεν τά πάντα, αὐτό δέ οὐδενός ἕνεκεν. Οὐδέ αὐτοτελές, ἐπεί καί ἀνενέργητον, ὡς πλῆρες, καί ὡσαύτως καί

μηδαμόθεν τό εἶναι ἔχον. Τό αὐτοτελές γάρ πως καί ἀναίτιον. Οὐδ᾽ ἀπαθές, ἐπεί καί μόνον καί ἄπειρον καί ἐπερίγραφον. Οὐ γάρ πάσχειν πέφυκε καθόλου τό ἀπαθές, τῷ μητ᾽ ἐρᾷν ἄλλου, ἤ κινεῖσθαι πρός ἄλλο τι κατ᾽ ἔφεσιν. Οὐδέν ἄρα τῶν γενητῶν κινούμενον ἔστη, ὡς τῆς πρώτης καί μόνης αἰτίας, ἐξ ἧς τό εἶναι τοῦς οὖσι περίεστι, μήπω τυχόν, ἤ τοῦ ἐσχάτου ἐντός γενόμενον ὀρεκτοῦ, ἵν' ἐκ προγεγενημένης ἑνάδος ὁ τῶν λογικῶν σκεδασμός ἑαυτῷ τήν τῶν σωμάτων γένεσιν ἀκολούθως συνεισκομίσας νομισθῇ. Καί μαρτυροῦσι Μωϋσῆς καί Δαβίδ καί Παῦλος οἱ ἅγιοι, καί ὁ τούτων Δεσπότης Χριστός, ὁ μέν, Μή γεύσασθαι τοῦ ξύλου τῆς ζωῆς τόν προπάτορα ἱστορήσας, καί ἄλλοθι εἰπών Οὐ γάρ ἥκατε ἕως τοῦ νῦν εἰς τήν κατάπαυσιν καί εἰς τήν κληρονομίαν, ἥν Κύριος ὁ θεός ἡμῶν δίδωσιν ὑμῖν. Ὁ δέ, (1073) Χορτασθήσομαι βοῶν ἐν τῷ ὀφθῆναί μοι τήν δόξαν σου· καί, Ἐδίψησεν ἡ ψυχή μου πρός τόν Θεόν τόν ἰσχυρόν τόν ζῶντα, πότε ἥξω καί ὀφθήσομαι τῷ προσώπῳ τόν Θεόν. Ὁ δέ Φιλιππησίοις μέν γράφων, Εἴ πως καταντήσω εἰς τήν ἐξανάστασιν τῶν νεκρῶν, οὐχ ὅτι ἤδη ἔλαβον ἤ τετελείωμαι, διώκω δέ εἴ γε καταλάβω, ἐφ᾽ ᾧ καί κατελήφθην ὑπό Ἰησοῦ Χριστοῦ. Ἑβραίοις δέ, Ὁ γάρ εἰσελθών εἰς τήν κατάπαυσιν αὐτοῦ καί αὐτός κατέπαυσεν ἀπό τῶν ἔργων αὐτοῦ, ὥσπερ ἀπό τῶν ἰδίων, ὁ Θεός· Καί πάλιν ἐν τῇ αὐτῇ Ἐπιστολῇ μηδένα κομίσασθαι τάς ἐπαγγελίας διαβεβαιούμενος. Ὁ δέ, Δεῦτε πρός με, πάντες οἱ κοπιῶντες και πεφορτισμένοι, κἀγώ ἀναπαύσω ὑμᾶς. Οὔπω οὖν οὐδαμῶς οὐδέν τῶν γενητῶν τήν φυσικήν δύναμιν πρός τό κατ᾽ αὐτήν τέλος κινουμένην ἔστησεν, οὐδέ τῆς ἐνεργείας ἐπαύσατο τῷ κατ᾽ αὐτήν τέλει προσερεῖσαν αὐτήν, οὐδέ τοῦ κατά κίνησιν πάθους τόν καρπόν ἐδρέψατο, τό ἀπαθές, φημί, καί ἀκίνητον. Μόνου γάρ Θεοῦ τό τέλος εἶναι καί τό τέλειον καί τό ἀπαθές, ὡς ἀκινήτου καί πλήρους καί ἀπαθοῦς, τῶν γενητῶν δέ τό πρός τέλος ἄναρχον κινηθῆναι καί ἀπόσῳ τέλει παῦσαι τήν ἐνέργειαν, καί παθεῖν, ἀλλ᾽ οὐκ εἶναι ἤ γενέσθαι κατ᾽ οὐσίαν τό ἄποιον· πᾶν γάρ γενητόν καί κτιστόν οὐκ ἄσχετον δηλονότι. Εὐγνωμόνως δέ τοῦ πάθους ἀκουστέον· οὐ γάρ τό κατά τροπήν ἤ φθοράν δυνάμεως ἐνταῦθα δηλοῦται πάθος, ἀλλά τό φύσει συνυπάρχον τοῖς οὖσι. Πάντα γάρ ὅσα γέγονε πάσχει τί κινεῖσθαι, ὡς μή ὄντα αὐτοκίνησις ἤ αὐτοδύναμις. Εἰ τοίνυν γενητά ὑπάρχει τά λογικά καί κινεῖται πάντως, ὡς ἐξ ἀρχῆς κατά φύσιν διά τό εἶναι πρός τέλος κατά γνώμην διά τό εὖ εἶναι κινούμενα. Τέλος γάρ τῆς τῶν

κινουμένων κινήσεως αὐητό τό ἐν τῷ ἀεί εὖ εἶναί ἐστιν, ὥσπερ καί ἀρχή αὐτό τό εἶναι ὅπερ ἐστίν ὁ Θεός, ὁ καί τοῦ εἶναι δοτήρ καί τοῦ εὖ εἶναι χαριστικός, ὡς ἀρχή καί τέλος· ἐξ αὐτοῦ γάρ καί τό ἁπλῶς κινεῖσθαι ἡμᾶς, ὡς ἀρχῆς, καί τό πῶς κινεῖσθαι πρός αὐτόν ὡς τέλος ἐστίν. Εἰ δέ κινεῖται ἀναλόγως ἑαυτῷ νοερῶς τό νοερόν, καί νοεῖ πάντως· εἰ δέ νοεῖ, καί ἐρᾷ πάντως τοῦ νοηθέντος· εἰ δ᾿ ἐρᾷ, καί πάσχει πάντως τήν πρός αὐτό ὡς ἐραστόν ἔκστασιν· εἰ δέ πάσχει, δηλονότι καί ἐπείγεται· εἰ δέ ἐπείγεται, καί ἐπιτείνει πάντως τό σφοδρόν τῆς κινήσεως· εἰ δέ ἐπιτείνει σφοδρῶς τήν κίνησιν, οὐχ ἵσταται μέχρις ἄν γένηται ὅλον ἐν τῷ ἐραστῷ ὅλῳ καί ὑφ᾿ ὅλου περιληφθῇ, ἑκουσίως ὅλον κατά προαίρεσιν τήν σωτήριον περιγραφήν δεχόμενον, ἵν᾿ ὅλον ὅλῳ ποιωθῇ τῷ περιγραφόντι, ὡς μηδ' ὅλως λοιπόν βούλεσθαι ἐξ (1076) ἑαυτοῦ αὐτό ἐκεῖνο ὅλον γνωρίζεσθαι δύνασθαι τό περιγραφόμενον, ἀλλ᾿ ἐκ τοῦ περιγράφοντος· ὡς ἀήρ δι᾿ ὅλου πεφωτισμένος φωτί, καί πυρί σίδηρος, ὅλος ὅλῳ πεπυρακτωμένος, ἤ εἴ τι ἄλλο τῶν τοιούτων ἐστίν. Ἐξ ὧν στοχαστικῶς τήν ἐσομένην, ἀλλ᾿ οὐ τήν γεγενημένην καί παραφθαρεῖσαν, τοῖς ἀξίοις τῆς ἀγαθότητος μετουσίαν κατ᾿ εἰκασίαν μόνον λαμβάνομεν, ἐπειδή καί ὑπέρ ταῦτα πάντα τά ἐλπιζόμενά ἐστιν, ὡς ὄψεως ὄντα κατά τό γεγραμμένον, καί ἀκοῆς καί διανοίας ἐπέκεινα. Καί τοῦτό ἐστιν ἴσως ἡ ὑποταγή ἥν ὁ θεῖος Ἀπόστολός φησι τῷ Πατρί τόν Υἱόν ὑποτάσσειν, τούς ἑνουσίως δεχομένους τό ὑποτάσσεσθαι, μεθ᾿ ἥν, ὁ ἔσχατος ἐχθρός καταργεῖται ὁ θάνατος, ὡς τοῦ ἐφ᾿ ἡμῖν, ἤγουν τοῦ αὐτεξουσίου, δι᾿οὗ πρός ἡμᾶς ποιούμενος τήν εἴσοδον ἐπεκύρου καθ᾿ ἡμῶν τό τῆς φθορᾶς κράτος, ἑκουσίως καθ᾿ ὅλου ἐκχωρηθέντος Θεῷ καί καλῶς βασιλεύοντος τό βασιλεύεσθαι, τῷ ἀργεῖν τοῦ τι ἐθέλειν παρ᾿ ὅ θέλει Θεός· ὥσπερ φησίν αὐτόν ἐν ἑαυτῷ τυπῶν τό ἡμέτερον ὁ Σωτήρ πρός τόν Πατέρα· Πλήν οὐχ ὡς ἐγώ θέλω, ἀλλ᾿ ὡς σύ. Καί μετ᾿ αὐτόν ὁ θεσπέσιος Παῦλος, ὥσπερ ἑαυτόν ἀρνησάμενος καί ἰδίαν ἔχειν ἔτι ζωήν μή εἰδώς· Ζῶ γάρ οὐκ ἔτι ἐγώ· ζῇ γάρ ἐν ἐμοί Χριστός. Μή ταραττέτω δέ ὑμᾶς τό λεγόμενον. Οὐ γάρ ἀναίρεσιν τοῦ αὐτεξουσίου γένεσθαί φημι, ἀλά θέσιν μᾶλλον τήν κατά φύσιν παγίαν τε καί ἀμετάθετον, ἤγουν ἐκχώρησιν γνωμικήν, ἵν᾿ ὅθεν ἡμῖν ὑπάρχει τό εἶναι καί τό κινεῖσθαι λαβεῖν ποθήσωμεν, ὡς τῆς εἰκόνος ἐνελθούσης πρός τό ἀρχέτυπον, καί σφραγίδος δίκην ἐκτυπώματι καλῶς ἡρμοσμένης τῷ ἀρχετύπῳ, καί ἄλλοθι φέρεσθαι μήτ᾿ ἐχούσης λοιπόν μήτε δυναμένης, ἤ σαφέστερον εἰπεῖν καί ἀληθέστερον, μήτε

βούλεσθαι δυναμένης, ὡς τῆς θείας ἐπειλημμένης ἐνεργείας, μᾶλλον δέ Θεός τῇ θεώσει γεγενημένης, καί πλέον ἡδομένης τῇ ἐκστάσει τῶν φυσικῶς ἐπ᾽ αὐτῆς καί ὄντων καί νοουμένων, διά τήν ἐκνικήσασαν αὐτήν χάριν τοῦ Πνεύματος, καί μόνον ἔχουσαν ἐνργοῦντα τόν Θεόν δείξασαν, ὥστε εἶναι μίαν καί μόνην διά πάντων ἐνέργειαν, τοῦ Θεοῦ καί τῶν ἀξίων Θεοῦ, μᾶλλον δέ μόνου Θεοῦ, ὡς ὅλον ὅλοις τοῖς ἀξίοις ἀγαθοπρεπῶς περιχωρήσαντος. Ἀνάγκη γάρ πᾶσα τῆς κατ᾽ ἔφεσιν τά πάντα περί τι ἄλλο παύσασθαι ἐξουσιαστικῆς κινήσεως, τοῦ ἐσχάτου φανέντος ὀρεκτοῦ καί μετεχομένου, καί ἀναλόγως τῇ τῶν μετεχόντων δυνάμει ἀχωρήτως, ἵν᾽ οὕτως εἴπω, χωρουμένου· πρός ὅ πᾶσα σπεύδει πολιτεία τοῦ ὑψηλοῦ καί διάνοια, "καί εἰς ὅ πᾶσα ἔφεσις ἵσταται, καί ὑπέρ ὅ οὐδαμῶς φέρεται· οὔτε γάρ ἔχει, καί πρός ὅ τείνει πᾶσα σπουδαίου κίνησις, καί οὗ γενομένοις πάσης θεωρίας ἀνάπαυσις," φησίν ὁ μακάριος οὗτος διδάσκαλος. (1077) Οὔτε γάρ ἔστι τι ἐκτός Θεοῦ τότε δεικνύμενον, ἤ Θεῷ ἀντισηκοῦσθαι δοκοῦν, ἵνα τινός ἔφεσιν πρός αὐτό ῥέψαι δελεάσῃ, πάντων περιληφθέντων αὐτῷ νοητῶν τε καί αἰσθητῶν κατά τήν ἄφραστον αὐτοῦ ἔκφανσιν καί παρουσίαν, ὡς οὐδ᾽ ἐν ἡμέρᾳ τά ἀστρῷα φῶτα καί αὐτά καλυπτόμενα, καί οὐδ᾽ ὅτι εἰσίν ὅσον αἰσθήσει γνωριζόμενα. Ἐπί Θεοῦ δέ καί πλέον, ὅσον ἀκτίστου καί κτιστῶν ἄπειρον τό μέσον ἐστί καί διάφορον. Τότε γάρ καί τήν κατ᾽ οὐσίαν ὕπαρξιν τῶν ὄντων κατά τό τί καί πῶς καί ἐπί τίνι εἶναι, ὡς οἶμαι, μανθάνοντες πρός τι ἐφετῶς ἔστι κατά γνῶσιν οὐ κινηθησόμεθα, τῆς ἑκάστου καί ἐφ᾽ ἑκάστου τῶν μετά Θεόν γνώσεως ἡμῖν περατωθείσης, καί τῆς ἀπείρου καί θείας καί ἀπεριλήπτου ἀπολαυστικῶς ἡμῖν ἀναλόγως ὑποκειμένης τε μόνης καί μετεχομένης. Καί τοῦτό ἐστι τό πάνυ φιλοσοφούμενον κατά τοῦτον τόν θεοφόρον διδάσκαλον, "ἐπιγνώσεσθαι ἡμᾶς ποτε ὅσον ἐγνώσμεθα, ἐπειδάν τό θεοειδές τοῦτο καί θεῖον φάσκοντος τόν ἡμέτερον νοῦν τε καί λόγον τῷ οἰκείῳ προσμίξωμεν, καί ἡ εἰκών ἀνέλθῃ πρός τό ἀρχέτυπον, οὗ νῦν ἔχει τήν ἔφεσιν." Περί μέν οὖν τοῦ μή εἶναι τήν θρυλουμένην ἑνάδα, καί τοῦ πῶς κατ᾽ ἔμφασιν ἐκ τῶν νῦν ἡμῖν ἐφικτῶν τῆς Γραφῆς νοημάτων τε καί λογισμῶν ἔσται ἡ τῶν μελλόντων κατάστασις, εἰρήσθω ταῦτα. Περί δέ τοῦ πῶς μοῖρα ὄντες θεοῦ ἀπεῤῥύημεν Θεοῦ ἡγουμένου ἐντεῦθεν τόν λόγον ποιήσομαι.

Τίς γάρ λόγῳ εἰδώς καί σοφίᾳ τά ὄντα ἐκ τοῦ μή ὄντος παρά Θεοῦ εἰς τό εἶναι παρῆχθαι, εἰ τῇ φυσικῶν τῶν ὄντων ἀπείρῳ διαφορᾷ τε καί ποικιλίᾳ ἐμφρόνως τό τῆς ψυχῆς θεωρητικόν προσαγάγοι, καί τῷ

ἐξεταστικῷ συνδιακρίνοι λόγῳ κατ᾿ ἐπίνοιαν τόν καθ᾿ ὅν ἐκτίσθησαν λόγον, τῇ τῶν γεγονότων ἀδιαιρέτῳ συνδιακρινόμενον διαφορᾷ, διά τήν αὐτῶν πρός ἄλληλά τε καί ἑαυτά ἀσύγχυτον ἰδιότητα; Καί πάλιν ἕνα τούς πολλούς, τῇ πρός αὐτόν τῶν πάντων ἀναφορᾷ δι᾿ ἑαυτόν ἀσυγχύτως ὑπάρχοντα, ἐνούσιόν τε καί ἐνυπόστατον τοῦ Θεοῦ καί Πατρός Θεόν Λόγον, ὡς ἀρχήν καί αἰτίαν τῶν ὅλων, ἐν ᾧ ἐκτίσθη τά πάντα τά ἐν τοῖς οὐρανοῖς καί τά ἐπί τῆς γῆς, εἴτε ὁρατά, εἴτε ἀόρατα, εἴτε θρόνοι, εἴτε κυριότητες, εἴτε ἀρχαί, (1080) εἴτε ἐξουσίαι, πάντα ἐξ αὐτοῦ καί δι᾿ αὐτοῦ καί εἰς αὐτόν ἔκτισται. Τούς γάρ λόγους τῶν γεγονότων ἔχων πρό τῶν αἰώνων ὑφεστῶτας βουλήσει ἀγαθῇ κατ᾿ αὐτούς τήν τε ὁρατήν καί ἀόρατον ἐκ τοῦ μή ὄντος ὑπεστήσατο κτίσιν, λόγῳ καί σοφίᾳ τά πάντα κατά τόν δέοντα χρόνον ποιήσας τε καί ποιῶν, τά καθόλου τε καί τά καθ᾿ ἕκαστον. Λόγον γάρ ἀγγέλων δημιουργίας προκαθηγεῖσθαι πιστεύομεν, λόγον ἑκάστης τῶν συμπληρουσῶν τόν ἄνω κόσμον οὐσιῶν καί δυνάμεων, λόγον ἀνθρώπων, λόγον παντός τῶν ἐκ Θεοῦ τό εἶναι λαβόντων, ἵνα μή τά καθ᾿ ἕκαστον λέγω, τόν αὐτόν μέν ἀπείρῳ δι᾿ ἑαυτόν ὑπεροχῇ ἄφραστον ὄντα καί ἀκατανόητον, καί πάσης ἐπέκεινα κτίσεως, καί τῆς κατ᾿ αὐτήν οὔσης καί νοουμένης διαφορᾶς καί διακρίσεως, καί τόν αὐτόν ἐν πᾶσι τοῖς ἐξ αὐτοῦ κατά τήν ἑκάστου ἀναλογίαν ἀγαθοπρεπῶς δεικνύμενόν τε καί πληθυνόμενον, καί εἰς ἑαυτόν τά πάντα ἀνακεφαλαιούμενον, καθ᾿ ὅν τό τε εἶναι καί τό διαμένειν, καί ἐξ οὗ τά γεγονότα ὡς γέγονε, καί ἐφ᾿ ᾧ γέγονε, καί μένοντα καί κινούμενα μετέχει Θεοῦ. Πάντα γάρ μετέχει διά τό ἐκ Θεοῦ γεγενῆσθαι, ἀναλόγως Θεοῦ, ἤ κατά νοῦν, ἤ λόγον, ἤ αἴσθησιν, ἤ κίνησιν ζωτικήν, ἤ οὐσιώδη καί ἑκτικήν ἐπιτηδειότητα, ὡς τῷ μεγάλῳ καί θεοφάντορι Διονυσίῳ δοκεῖ τῷ Ἀρεοπαγίτῃ. Ἕκαστον οὖν τῶν νοερῶν τε καί λογικῶν ἀγγέλων τε καί ἀνθρώπων αὐτῷ τῷ καθ᾿ ὅν ἐκτίσθη λόγῳ τῷ ἐν τῷ Θεῷ ὄντι, καί πρός τόν Θεόν ὄντι, μοῖρα καί λέγεται καί ἔστι Θεοῦ, διά τόν αὐτοῦ προόντα ἐν τῷ Θεῷ , καθώς εἴρηται, λόγον. Ἀμέλει τοι, καί εἰ κατ᾿ αὐτόν κινηθείη, ἐν τῷ Θεῷ γενήσεται, ἐν ᾧ ὁ τοῦ εἶναι αὐτοῦ λόγος προένεστιν, ὡς ἀρχή καί αἰτία, κἄν μηδενός ἄλλου πρό τῆς ἰδίας ἀρχῆς κατά πόθον ἐπιλαβέσθαι θελήσοι, οὐκ ἀπορρέει Θεοῦ, ἀλλά μᾶλλον τῇ πρός αὐτόν ἀνατάσει Θεός γίνεται καί μοῖρα Θεοῦ λέγεται τῷ μετέχειν προσηκόντως Θεοῦ, ὡς κατά φύσιν σοφῶς τε καί λελογισμένως δι᾿ εὐπρεποῦς κινήσεως τῆς οἰκείας ἐπιλαβόμενος ἀρχῆς καί αἰτίας, οὐκ

ἔχων λοιπόν ἄλλοθί ποι μετά τήν ἰδίαν ἀρχήν καί τήν πρός τόν καθ᾽ ὅν ἐκτίσθη λόγον ἄνοδόν τε καί ἀποκατάστασιν κινηθῆναι, ἤ πῶς κινηθῆναι, τῆς ἐπί τῷ θείῳ δηλονότι σκοπῷ κινήσεως αὐτοῦ αὐτόν πέρας λαβούσης τόν θεῖον σκοπόν. Ὡς δηλοῖ καί ὁ ἅγιος Βασίλειος, ἐν τῇ εἰς τόν ἅγιον προφήτητν Ἡσαΐαν ἑρμηνείᾳ, λέγων οὕτως· "Σάββατα δέ ἀληθῆ ἡ ἀποκειμένη ἀνάπαυσις τῷ λαῷ τοῦ Θεοῦ, ἅπερ διά τό ἀληθῆ εἶναι ἀνέχεται ὁ Θεός καί φθάνει γε ἐπ᾽ ἐκεῖνα τά Σάββατα τῆς ἀναπαύσεως, παρ᾽ ᾧ ὁ κόσμος ἐσταύρωται, ἀποστάς δηλονότι τῶν κοσμικῶν, καί ἐπί τόν ἴδιον τόπον τῆς πνευματικῆς ἀναπαύσεως καταντήσας, ἐν ᾧ ὁ γενόμενος οὐκ ἔτι κινηθήσεται ἀπό τοῦ ἰδίου τόπου, ἡσυχίας καί ἀταραξίας (1081) περί τήν κατάστασιν ἐκείνην ὑπαρχούσης· πάντων οὖν τόπος τῶν ἀξιουμένων τῆς τοιαύτης μακαριότητος ἐστιν ὁ Θεός κατά τό γεγραμμένον· Γενοῦ μοι εἰς Θεόν ὑπερασπιστήν καί εἰς τόπον ὀχυρόν τοῦ σῶσαί με." Παρ᾽ ᾧ βεβαίως πάντων οἱ λόγοι πεπήγασι καθ᾽ οὕς καί γινώσκειν τά πάντα πρίν γενέσεως αὐτῶν λέγεται, ὡς ἐν αὐτῷ καί παρ᾽ αὐτῷ ὄντων, αὐτῇ τῇ ἀληθείᾳ τῶν πάντων. Κἄν εἰ αὐτά τά πάντα, τά τε ὄντα καί τά ἐσόμενα, οὐχ ἅμα τοῖς ἑαυτῶν λόγοις, ἤ τῷ γνωσθῆναι ὑπό Θεοῦ, εἰς τό εἶναι παρήχθησαν, ἀλλ᾽ ἕκαστα τῷ ἐπιτηδείῳ καιρῷ κατά τήν τοῦ Δημιουργοῦ σοφίαν πρεπόντως κατά τούς ἑαυτῶν λόγους δημιουργούμενα καί καθ᾽ ἑαυτά εἶναι τῇ ἐνεργείᾳ λαμβάνη. Ἐπειδή ὁ μέν ἀεί κατ᾽ ἐνέργειάν ἐστι Δημιουργός, τά δέ δυνάμει μέν ἐστιν, ἐνεργείᾳ δέ οὐκ ἔτι· ὅτι μηδέ οἷόν τε τῶν ἅμα εἶναι τό ἄπειρον καί τά πεπερασμένα, οὐδέ τις δεῖξαι λόγος ἀναφανήσεται τῶν ἅμα εἶναι δύνασθαι τήν οὐσίαν καί τό ὑπερούσιον, καί εἰς ταυτόν ἀγαγεῖν τῷ ἐν μέτρῳ τό ἄμετρον, καί τῷ ἐν σχέσει τό ἄσχετον, καί τό μηδέν ἔχον ἐπ᾽ αὐτοῦ κατηγορίας εἶδος καταφασκόμενον τῷ διά πάντων τούτων συνισταμένῳ. Πάντα γάρ τά κτιστά κατ᾽ οὐσίαν τε καί γένεσιν παντάπασι καταφάσεκται τοῖς ἰδίοις καί τοῖς περί αὐτά οὖσι τῶν ἐκτός λόγοις περιεχόμενα. Ὑπεξῃρημένης οὖν τῆς ἄκρας καί ἀποφατικῆς τοῦ λόγου θεολογίας, καθ᾽ ἥν οὔτε λέγεται, οὔτε νοεῖται, οὔτε ἔστι τό σύνολόν τι τῶν ἄλλῳ συνεγνωσμένων, ὡς ὑπερούσιος, οὐδέ ὑπό τινος οὐδαμῶς καθ᾽ ὁτιοῦν μετέχεται, πολλοί λόγοι ὁ εἷς λόγος ἐστί, καί εἷς οἱ πολλοί· κατά μέν τήν ἀγαθοπρεπῆ εἰς τά ὄντα τοῦ ἑνός ποιητικήν τε καί συνεκτικήν πρόοδον πολλοί ὁ εἷς, κατά δέ τήν εἰς τόν ἕνα τῶν πολλῶν ἐπιστρεπτικήν τε καί χειραγωγικήν ἀναφοράν τε καί πρόνοιαν, ὥσπερ εἰς ἀρχήν παντοκρατορικήν ἤ κέντρον τῶν ἐξ αὐτοῦ

εὐθειῶν τάς ἀρχάς προειληφός καί ὡς πάντων συναγωγός, εἷς οἱ πολλοί. Μοῖρα οὖν ἐσμεν καί λεγόμεθα Θεοῦ διά τό τούς τοῦ εἶναι ἡμῶν λόγους ἐν τῷ Θεῷ προϋφεστάναι· ρεύσαντες δέ ἄνωθεν πάλιν λεγόμεθα διότι μή καθ᾽ ὅν γεγενήμεθα λόγον τόν ἐν τῷ Θεῷ προόντα κεκινήμεθα. Καί καθ᾽ ἕτερον δέ τρόπον ἐστίν εὐμαρές τῷ εὐσεβῶς ἐπιβάλλειν τοῖς τῶν ὄντων λόγοις δεδιδαγμένῳ τόν περί τούτου λόγον διεξελθεῖν. Εἰ γάρ οὐσία τῆς ἐν ἑκάστῳ ἀρετῆς ὁ εἷς ὑπάρχειν Λόγος τοῦ Θεοῦ μή ἀμφιβέβληται- οὐσία γάρ πάντων τῶν ἀρετῶν αὐτός ἐστιν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, ὡς γέγραπται· Ὅς ἐγενήθη ἡμῖν ἀπό Θεοῦ σοφία, διακαιοσύνη τε καί ἁγιασμός καί ἀπολύτρωσις, ἀπολύτως ταῦτα δηλαδή ἐπ' αὐτοῦ λεγόμενα ἔχων, ὡς αὐτοσοφία καί δικαιοσύνη καί ἁγιότης ὤν, καί οὐχ ὡς ἐφ᾽ ἡμῶν προσδιωρισμένως, οἷον ὡς σοφός ἄνθρωπος, ἤ δίκαιος ἄνθρωπος, - πᾶς δηλονότι ἄνθρωπος ἀρετῆς καθ᾽ ἕξιν παγίαν μετέχων ἀναμφηρίστως Θεοῦ μετέχει τῆς οὐσίας τῶν ἀρετῶν, ὡς τήν κατά (1084) φύσιν σποράν τοῦ ἀγαθοῦ γνησίως κατά προαίρεσιν γεωργήσας καί ταυτόν δείξας τῇ ἀρχῇ τό τέλος, και τήν ἀρχήν τῷ τέλει, μᾶλλον δέ ταυτόν ἀρχήν οὖσαν καί τέλος, ὡς ἀνόθευτος Θεοῦ τυγχάνων συνήγορος, εἴπερ παντός πράγματος ἀρχή καί τέλος ὁ ἐπ᾽ αὐτῷ σκοπός ὑπάρχειν πεπίστευται, τήν μέν ὡς ἐκεῖθεν εἰληφώς προς τῷ εἶναι καί τό κατά μέθεξιν φύσει ἀγαθόν, τό δέ ὡς κατ᾽ αὐτήν γνώμῃ τε καί προαιρέσει τόν ἐπαινετόν καί πρός αὐτήν ἀπλανῶς ἄγοντα ἐξανύσας δρόμον διά σπουδῆς, καθ᾽ ὅν γίνεται Θεός, ἐκ τοῦ Θεοῦ τό Θεός εἶναι λαμβάνων, ὡς τῷ κατ᾽ εἰκόνα φύσει καλῷ καί προαιρέσει τήν δι᾽ ἀρετῶν προσθείς ἐξομοίωσιν, διά τῆς ἐμφύτου πρός τήν ἰδίαν ἀρχήν ἀναβάσεώς τε καί οἰκειότητος. Καί πληροῦται λοιπόν καί ἐπ᾽ αὐτῷ τό ἀποστολικόν ῥητόν τό φάσκον· Ἐν αὐτῷ γάρ ζῶμεν καί κινούμεθα καί ἐσμέν. Γίνεται γάρ ἐν τῷ Θεῷ διά προσοχῆς, τόν ἐν τῷ Θεῷ προόντα τοῦ εἶναι λόγον μή παραφθείρας, καί κινεῖται ἐν τῷ Θεῷ κατά τόν προόντα ἐν τῷ Θεῷ τοῦ εὖ εἶναι λόγον, διά τῶν ἀρετῶν ἐνεργούμενος, καί ζῇ ἐν τῷ Θεῷ κατά τόν προόντα ἐν τῷ Θεῷ τοῦ ἀεί εἶναι λόγον. Ἐντεῦθεν μέν ἤδη κατά τήν ἀπαθεστάτην ἕξιν ταυτόν ἑαυτῷ καί ἀκίνητος ὤν, ἐν δέ τῷ μέλλοντι αἰῶνι κατα΄τήν δοθησομένην θέωσιν τούς εἰρημένους καί ἐν τῷ Θεῷ πρόντας λόγους, μᾶλλον δέ τόν Θεόν, ἐν ᾧ οἱ λόγοι τῶν καλῶν πεπήγασιν, ἀγαπητικῶς στέργων καί ἀσπαζόμενος· καί ἔστι μοῖρα Θεοῦ, ὡς ὤν, διά τόν ἐν τῷ Θεῷ τοῦ εἶναι αὐτοῦ λόγον, καί ὡς ἀγαθός, διά τόν ἐν τῷ Θεῷ τοῦ ἀεί εἶναι αὐτοῦ

λόγον, καί ὡς Θεός, διά τόν ἐν τῷ Θεῷ τοῦ ἀεί εἶναι αὐτοῦ λόγον, ὡς τούτους τιμήσας καί κατ᾽ αὐτούς ἐνεργήσας, καί δι᾽ αὐτῶν ἑαυτόν μέν τῷ Θεῷ μόνῳ δι᾽ ὅλου ἐνθέμενος, τόν δέ Θεόν μόνον ἑαυτῷ δι᾽ ὅλου ἐντυπώσας τε καί μορφώσας, ὥστε καί αὐτόν εἶναί τε χάριτι κκακί καλεῖσθαι Θεόν, καί τόν Θεόν εἶναι συγκαταβάσει καί καλεῖσθαι δι᾽ αὐτόν ἄνθρωπον, καί τῆς ἀντιδιδομένης ἐπί τούτῳ διαθέσεως δειχθῆναι τήν δύναμιν, τήν καί τόν ἄνθρωπον τῷ Θεῷ θεοῦσαν διά τό φιλόθεον, καί τόν Θεόν τῷ ἀνθρώπῳ διά τό φιλάνθρωπον ἀνθρωπίζουσαν καί ποιοῦσαν κατά τήν καλήν ἀντιστροφήν, τόν μέν Θεόν ἄνθρωπον, διά τήν τοῦ ἀνθρώπου θέωσιν, τόν δέ ἄνθρωπον Θεόν, διά τήν τοῦ Θεοῦ ἀνθρώπησιν. Βούλεται γάρ ἀεί καί ἐν πᾶσιν ὁ τοῦ Θεοῦ Λόγος καί Θεός τῆς αὐτοῦ ἐνσωματώσεως ἐνεργεῖσθαι τό μυστήριον. Ὅστις δέ τῆς ἰδίας ἀφέμενος ἀρχῆς μοῖρα τυγχάνων Θεοῦ διά τόν ἐν αὐτῷ τῆς ἀρετῆς ὄντα λόγον κατά τήν ἀποδοθεῖσαν αἰτίαν πρός τό μή ὄν παραλόγως φέρεται, εἰκότως ἄνωθεν ῥεῦσαι λέγεται, μή πρός τήν ἰδίαν ἀρχήν τε καί αἰτίαν καθ᾽ ἥν καί ἐφ᾽ ᾗ καί δι᾽ ἥν γεγένηται κινηθείς, καί ἔστιν ἐν ἀστάτῳ περιφορᾷ καί ἀταξίᾳ δεινῇ ψυχῆς τε καί σώματος, τῆς ἀπλανοῦς καί ὡσαύτως ἐχούσης αἰτίας τῇ πρός τό χεῖρον (1085) ἑκουσίῳ ῥοπῇ τήν ἀποτυχίαν ἑαυτοῦ καταπραξάμενος. Ἐφ᾽ οὗ καί τό ῥεῦσαι κυρίως λεχθείη ἄν ὅτι ἐπ᾽ αὐτῷ κειμένης τῆς πρός Θεόν ἀδηρίτως τάς τῆς ψυχῆς βάσεις ποιεῖσθαι δυναμένης ἐξουσίας, τό χεῖρον καί μή τοῦ κρείττονος καί ὄντος ἑκών ἀντηλλάξατο.

Τούτους δέ οὕς ἔφην τούς λόγους ὁ μέν Ἀρεοπαγίτης ἅγιος Διονύσιος προορισμούς καί θεῖα θελήματα καλεῖσθαι ὑπό τῆς Γραφῆς ἡμᾶς ἐκδιδάσκει. Ὁμοίως δέ καί οἱ περί Πάνταινον τόν γενόμενον καθηγητήν τοῦ Στρωματέως μεγάλου Κλήμενος θεῖα θελήματα τῇ Γραφῇ φίλον καλεῖσθαί φασι. Ὅθεν ἐρωτηθέντες ὑπό τινων τῶν ἔξω παίδευσιν γαύρων, πῶς γινώσκειν τά ὄντα τόν Θεόν δοξάζουσιν οἱ Χριστιανοί, ὑπειληφότων ἐκείνων, νοερῶς τά νοητά, καί αἰσθητικῶς τά αἰσθητά, γινώσκειν αὐτόν τά ὄντα ἀπεκρίναντο, μήτε αἰσθητικῶς τά αἰσθητά, μήτε νοερῶς τά νοητά. Οὐ γάρ εἶναι δυνατόν τόν ὑπέρ τά ὄντα κατά τά ὄντα τῶν ὄντων ἀντιλαμβάνεσθαι· ἀλλ᾽ ὡς ἴδια θελήματα γινώσκειν αὐτόν τά ὄντα φαμέν, προσθέντες καί τοῦ λόγου τό εὔλογον. Εἰ γάρ θελήματι τά πάντα πεποίηκε, καί οὐδείς ἀντερεῖ λόγος, γινώσκειν δέ τό ἴδιον θέλημα τόν Θεόν εὐσεβές τε λέγειν ἀεί καί δίκαιόν ἐστιν, ἕκαστον δέ τῶν γεγονότων θέλων πεποίηκεν, ἄρα

ὡς ἴδια θελήματα ὁ Θεός τά ὄντα γινώσκει, ἐπειδή καί θέλων τά ὄντα πεποίηκεν. Ἐντεῦθεν δέ ὁρμώμενος ἔγωγε οἶμαι κατά τούτους εἰρῆσθαι τῇ Γραφῇ τούς λόγους, τό, Ἔγνων σε παρά πάντας, πρός Μωϋσῆν, καί περί τινων τό, Ἔγνω Κύριος τούς ὄντας αὐτοῦ, "καί πάλιν πρός τινας τό, Οὐκ οἶδα ὑμᾶς· ὡς ἕκαστον δηλονότι ἤ κατά τό θέλημα καί τόν λόγον, ἤ παρά τό θέλημα καί τόν λόγον τοῦ Θεοῦ προαιρετική κίνησις τῆς θείας ἀκοῦσαι φωνῆς παρεσκεύασε.

Ταῦτα καί τά τοιαῦτα τόν θεοφόρον τοῦτον ἄνδρα οἶμαι νοήσαντα εἰπεῖν, "ἐπειδάν τό θεοειδές τοῦτο καί θεῖον, τόν ἡμέτερον νοῦν τε καί λόγον, τῷ οἰκείῳ προσμίξωμεν, καί ἡ εἰκών ἀνέλθῃ πρός τό ἀρχέτυπον, οὗ νῦν ἔχει τήν ἔφεσιν·" ὁμοῦ τε καί κατά ταυτόν διά τῶν μικρῶν τούτων ῥημάτων τοῦ ποτε τοῦτό τι τῶν ὄντων ἐφθακέναι τό μέτρον οἴεσθαι διδασκαλικῶς ἀπάγοντα τούς νομίζοντας, καί τόν τοῦ πῶς μοῖρά ἐσμεν Θεοῦ λόγον παραδηλοῦντα, καί τήν μέλλουσαν τῆς μακαρίας λήξεως ἰδιότητα αἰνιττόμενον, καί πρός τήν ἄσειστον αὐτῆς καί ἀκλόνητον καί οὐδαμοῦ μεταπίπτουσαν ἀπόλαυσιν παρορμῶντα τούς ἐπί τούτῳ δι᾿ ἐλπίδος καθαιρομένους καί σπεύδοντας. Ἤδει γάρ, ὡσεί πρός ὅ ἔχομεν οὐσίᾳ τε καί λόγῳ τάς ἐμφάσεις κατά λόγον καί φύσιν εὐθυπορήσαιμεν (1088) ἁπλῇ προσβολῇ, καί ἡμεῖς, πάσης τῆς οἱασοῦν ζητήσεως χωρίς, περί ἥν μόνην ἐστί τό πταίειν καί σφάλλεσθαι, θεοειδῶς κατά τό ἐφικτόν τά πάντα εἰσόμεθα, μηκέτι δι᾿ ἄγνοιαν τῆς περί αὐτά κινήσεως ἀντεχόμενοι, ὡς νοΐ τῷ μεγάλῳ καί λόγῳ καί πνεύματι τόν ἡμέτερον νοῦν τε καί λόγον καί πνεῦμα, μᾶλλον δέ ὅλῳ Θεῷ ὅλους ἑαυτούς ὡς ἀρχετύπῳ εἰκόνι προσχωρήσαντες. Καθώς καί ἐν τῷ περί χαλάζης λόγῳ διέξεισιν, οὑτωσί φάσκων· φυσική θεωρία Καί τούς μέν τό ἄφραστον φῶς διαδέξεται, καί ἡ τῆς ἁγίας καί βασιλικῆς θεωρίας Τριάδος ἐλλαμπούσης τρανότερόν τε καί καθαρώτερον, καί ὅλης ὅλῳ νοΐ μιγνυμένης, ἥν δή καί μόνην βασιλείαν οὐρανῶν ἐγώ τίθημι," ἡνίκα ἡδονῇ ἥδεται καί ἀγάλλεται, ἵνα τοῖς αὐτοῦ τολμήσας συνάψω τά ἐμαυτοῦ, πᾶσα κτίσις λογική ἀγγέλων τε καί ἀνθρώπων, ὅσοι μηδένα τῶν πρός τό τέλος κατά τήν κίνησιν φυσικῶς συνηρμοσμένων αὐτοῖς θείων λόγων παρά τοῦ Δημιουργοῦ ἐξ ἀπροσεξίας παρέφθειραν, διεσώσαντο δέ μᾶλλον σωφρόνως ἑαυτούς ὅλους καί ἀπαρατρέπτους, ὡς θείας ὄργανα φύσεως, καί ὄντας καί γενησομένους εἰδότες, οὕς δι᾿ ὅλου ὅλος περιφύς ὁ Θεός τρόπον ψυχῆς, ὥσπερ μέλη σώματος ἄρτια καί εὔχρηστα τῷ Δεσπότῃ γενησομένους, πρός τό δοκοῦν

μεταχειρίζεται, καί τῆς οἰκείας πληροῖ δόξης τε καί μακαριότητος, ζωήν διδούς καί χαριζόμενος τήν ἀΐδιόν τε καί ἀνεκλάλητον, καί παντάπασι παντός ἐλευθέραν γνωρίσματος συστατικῆς ἰδιότητος τῆς παρούσης καί διά φθορᾶς συνισταμένης ζωῆς, ἥν οὐκ ἀήρ εἰσπνεόμενος, οὐδ᾽ αἵματος ὀχετοί τοῦ ἥπατος ἀποῤῥέοντες συνιστῶσιν, ἀλλά Θεός ὅλος ὅλοις μετεχόμενος, καί ψυχῆς τρόπον πρός σῶμα τῇ ψυχῇ, καί διά μέσης ψυχῆς πρός σῶμα γινόμενος, ὡς οἶδεν αὐτός, ἵν᾽ ἡ μέν ἀτρεψίαν δέξηται, τό δέ ἀθανασίαν, καί ὅλος ἄνθρωπος θεωθῇ τῇ τοῦ ἐνανθρωπήσαντος Θεοῦ χάριτι θεουργούμενος, ὅλος μέν ἄνθρωπος μένων κατά ψυχήν καί σῶμα διά τήν φύσιν, καί ὅλος γενόμενος Θεός κατά ψυχήν κκαί σῶμα διά τήν χάριν καί τήν ἐμπρέπουσαν αὐτῷ διόλου θείαν τῆς μακαρίας δόξης λαμπρότητα, μεθ᾽ ἥν οὐκ ἔστι τι ἐπινοῆσαι λαμπρότερον ἤ ὑψηλότερον. Τί γάρ θεώσεως τοῖς ἀξίοις ἐρασμιώτερον, καθ᾽ ἥν ὁ Θεός θεοῖς γενομένοις ἑνούμενος τό πᾶν ἑαυτοῦ ποιεῖται δι᾽ ἀγαθότητα; Διό καί ἡδονήν καί πεῖσιν καί χαράν καλῶς ὠνόμασαν τήν τοιαύτην κατάστασιν, τήν τῇ θείᾳ κατανοήσει καί τῇ ἑπομένῃ αὐτῇ τῆς εὐφροσύνης ἀπολαύσει, ἡδονήν μέν, ὡς τέλος οὖσαν τῶν κατά φύσιν ἐνεργειῶν (οὕτω γάρ τήν ἡδονήν ὁρίζονται), πεῖσιν δέ ὡς ἐκστατικήν δύναμιν, πρός τό ποιοῦν τό πάσχον ἐνάγουσαν, κατά τήν ἀποδοθεῖσαν τοῦ ἀέρος πρός τό φῶς καί τοῦ πυρός πρός τόν σίδηρον παραδειγματικήν αἰτίαν, καί πείθουσαν φυσικῶς καί ἀληθῶς μή ἄλλο τι εἶναι (1089) παρά τοῦτο τῶν ὄντων κεφάλαιον, ᾗ τό ἀπαθές δεόντως ἀκολουθεῖ, χαράν δέ ὡς μηδέν ἔχουσαν ἀντικείμενον μήτε παρελθόν μήτε μέλλον. Τήν χαράν γάρ φασι μήτε λύπην ἐπίστασθαι παρελθοῦσαν, μήτε τόν ἐκ φόβου κόρον ἐπιδέχεσθαι προσδοκώμενον, ὥσπερ ἡ ἡδονή. Ὅθεν καί ὡς ἐνδεικτικήν προσηγορίαν τῆς μελλούσης ἀληθείας ὑπάρχουσαν τήν χαράν ἐκύρωσαν πανταχοῦ οἵ τε θεόπνευστοι λόγοι καί οἱ ἐξ αὐτῶν τά θεῖα σοφισθέντες μυστήρια Πατέρες ἡμῶν. Εἰ τοίνυν ὡς ἐν ἐπιδρομῇ, κατ᾽ ἐμέ φάναι τόν μικρόν, φυσικῶς τε καί Γραφικῶς καί Πατρικῶς δέδεικται, ὡς οὐδέν τῶν γενητῶν πώποτε κινούμενον ἔστη, οὐδέ τῆς ἐπ᾽ αὐτό κατά τόν θεῖον σκοπόν ἐπελάβετο λήξεως, πρός δέ τούτοις καί ὡς ἀμήχανον τῆς ἐν τῷ Θεῷ μονιμότητος τῶν ἀξιουμένων παρεγκλιθῆναι τό βάσιμον. Πῶς γάρ ἐστι δυνατόν, ἵνα τοῖς εἰρημένοις μικράν τινα πρός βεβαίωσιν τήν ἐκ λογισμῶν δῶμεν βοήθειαν, τούς ἅπαξ ἐν τῷ Θεῷ ὑπαρκτικῶς γενομένους τόν ὑβριστήν κατά τήν ἔφεσιν ὑποδέξασθαι κόρον,

παντός κόρου κατά τόν ἴδιον λόγον τε καί ὅρον ὀρέξεως τυγχάνοντος σβεστικοῦ, καί κατά δύο συνισταμένου τρόπους. Ἤ γάρ τά ὑποκείμενα ὡς μικρά περιγράφουσα ἡ ὄρεξις σβέννυται, ἤ ἀτιμάζουσα ὡς αἰσχρά τε καί εἰδεχθῆ βδελύσσεται, ὑφ᾽ ὧν ὁ κόρος γίνεσθαι πέφυκεν. Ὁ δέ Θεός φύσει ὑπάρχων ἄπειρός τε καί τίμιος ἐπιτείνειν μᾶλλον τῶν ἀπαλαυόντων αὐτοῦ διά τῆς μετοχῆς πρός τό ἀόριστον τήν ὄρεξιν πέφυκεν. Εἰ δέ τοῦτ᾽ ἀληθές, ὥσπερ οὖν καί ἔστιν, οὐκ ἦν ἄρα ἡ λεγομένη ἑνάς τῶν λογικῶν, ἥτις κόρον λαβοῦσα τῆς ἐν τῷ Θεῷ μονιμότητος ἐμερίσθη, καί τῷ οἰκείῳ σκεδασμῷ τήν τοῦ κόσμου τούτου γένεσιν συνεισήγαγεν, ἵνα μή τό ἀγαθόν ἐμπερίγραπτον ποιώμεθα καί ἄτιμον, ὡς κόρῳ τινί περιοριζόμενον καί στάσεως αἴτιον γινόμενον ἐκείνοις, ὧν τήν ἔφεσιν ἀκίνητον κρατεῖν οὐ δεδύνηται. Καί μάτην λοιπόν τινες ταύτην θεσπίζουσιν, ὡς ἔμοιγε δοκεῖ, τά μή ὄντα πλαττόμενοι, καί τό δή τούτου βαρύτερον, καί τοῦ μακαρίου τούτου πατρός ὡς ταῦτα φρονοῦντος καταψευδόμενοι, ἐφ᾽ ᾧ μή μόνον αὐτούς ἐκ προτέρου εἴδους ζωῆς τάς ψυχάς εἰς σώματα ἐλθεῖν ἐπί τιμωρίᾳ τῶν προγεγονότων κακῶν φρονεῖν ἐπ᾽ ἀδείας δύνασθαι, ἀλλά καί ἄλλους ἀπατᾷν οὕτως ἔχειν εὐλόγως ἐπιχειρεῖν διά τῆς τῶν προσώπων ἀξιοπιστίας, οὐ καλῶς οὐδ᾽ ὁσίως πράττοντας, ἀλλ᾽ ἐκείνους ἔχοντας ἀφέντες ὡς ἔχουσιν αὐτοί εὐσεβῶς ἡμεῖς τόν νοῦν τοῦ διδασκάλου πρός τοῖς εἰρημένοις καί κατ᾽ ἄλλον σκοπήσομεν τρόπον.

Οὐκ οἶμαι τῆς ἀνθρωπίνης αὐτόν γενέσεως ἐνταῦθα, (1092) ἀλλά τῆς ἐπιγενομένης αὐτῇ ταλαιπωρίας τήν αἰτίαν ἀφηγεῖσθαι βούλεσθαι. Θρηνήσας γάρ τοῦ σώματος ἡμῶν τήν ἐλεεινότητα διά τοῦ εἰπεῖν, " Ὦ τῆς συζυγίας καί τῆς ἀλλοτριώσεως ! ὅ φοβοῦμαι, περιέπω, καί ὅ στέργω, δέδοικα," καί τά ἑξῆς, καί οἷον πρός ἑαυτόν διαπορήσας περί τῆς αἰτίας τῶν οἷς ἐνισχήμεθα κακῶν καί τῆς κατ᾽ αὐτήν σοφωτάτης προνοίας διά τοῦ φάναι. " Τίς ἡ περί ἐμέ σοφία, καί τί τό μέγα τοῦτο μυστήριον; " ἐπάγει τήν λύσιν τρανῶς ποιούμενος οὕτως· " Ἡ βούλεται μοῖραν ἡμᾶς ὄντας Θεοῦ καί ἄνωθεν ῥεύσαντας, ἵνα μή διά τήν ἀξίαν ἐπαιρόμενοι καί μετεωριζόμενοι καταφρονῶμεν τοῦ Κτίσαντος, ἐν τῇ πρός τό σῶμα πάλῃ καί μάχῃ πρός αὐτόν ἀεί βλέπειν, καί τήν συνεζευγμένην ἀσθένειαν παιδαγωγίαν εἶναι τοῦ ἀξιώματος." Ὡσανεί ἔλεγεν, ἐπειδήπερ ἐκ ψυχῆς καί σώματος δι᾽ ἀγαθότητα ὁ ἄνθρωπος γέγονε παρά τοῦ Θεοῦ, ἐφ᾽ ᾧ τήν δοθεῖσαν αὐτῷ λογικήν τε καί νοεράν ψυχήν, ἅτε δή κατ᾽ εἰκόνα τοῦ

ποιήσαντος αὐτήν ὑπάρχουσαν, κατά μέν τήν ἔφεσιν καί τήν ἐξ ὅλης δυνάμεως ὁλικήν ἀγάπην ἀπρίξ Θεοῦ γνωστικῶς ἐχομένην, καί τό καθ᾽ ὁμοίωσιν προσλαβοῦσαν θεωθῆναι, κατά δέ τήν ἐπιστημονικήν πρός τό ὑφείμενον πρόνοιαν, καί τήν περί τό ἀγαπᾷν τόν πλησίον ὡς ἑαυτόν κελεύουσαν ἐντολήν, ἐμφρόνως τοῦ σώματος ἀντεχομένην, λογίσαι τε δι᾽ ἀρετῶν αὐτό καί οἰκειῶσαι Θεῷ ὡς ὁμόδουλον δι᾽ ἑαυτῆς μεσιτευούσης τόν ποιητήν ἔνοικον, καί τῆς δοθείσης ἀθανασίας ἄλυτον δεσμόν αὐτόν ποιησομένην αὐτῷ τόν συνδήσαντα, ἵν᾽ ὅπερ ἐστί Θεός ψυχῇ, τοῦτο ψυχή σώματι γένηται, καί εἷς ἀποδειχθῇ τῶν ὅλων Δημιουργός, ἀναλόγως διά τῆς ἀνθρωπότητος πᾶσιν ἐπιβατεύων τοῖς οὖσι, καί εἰς ἕν ἔλθῃ τά πολλά ἀλλήλων κατά τήν φύσιν διεστηκότα περί τήν μίαν τοῦ ἀνθρώπου φύσιν ἀλλήλοις συννεύοντα, καί γένηται τά πάντα ἐν πᾶσιν αὐτός ὁ Θεός, πάντα παραλαβών καί ἐνυποστήσας ἑαυτῷ, διά τοῦ μηδέν ἔτι τῶν ὄντων κεκτῆσθαι τήν κίνησιν, καί τῆς αὐτοῦ ἄμοιρον παρουσίας, καθ᾽ ἥν καί θεοί καί τέκνα καί σῶμα καί μέλη καί μοῖρα Θεοῦ καί τά τοιαῦτά ἐσμεν καί λεγόμεθα τῇ πρός τό τέλος ἀναφορᾷ τοῦ θείου σκοποῦ.

Ἐπειδή τοίνυν τοῦτο καί ἐπί τούτῳ ὁ ἄνθρωπος γέγονεν, ἐν δέ τῷ προπάτορι τῷ ἑτοίμῳ πρός ἐξουσίαν ἐπί χεῖρον ἐχρήσατο, μετενεγκών ἐκ τοῦ ἐπιτετραμμένου πρός τό κεκωλυμένον τήν ὄρεξιν (καί γάρ ἦν αὐτεξούσιος, καί τοῦ κολληθῆναι τῷ Κυρίῳ καί ἕν πνεῦμα γεγέσθαι, καί τοῦ κολληθῆναι τῇ πόρνῃ καί ἕν σῶμα γενέσθαι, ἀπατηθείς προείλετο, καί τοῦ θείου καί μακαρίου σκοποῦ ἑκών ἑαυτόν ἀπεξένωσε, τοῦ Θεός εἶναι, χάριτι τό χοῦς γενέσθαι καθ᾽ αἵρεσιν προτιμήσας) , σοφῶς ἅμα καί φιλανθρώπως (1093) καί τῇ αὐτοῦ πρεπόντως ἀγαθότητι ὁ τήν ἡμετέραν σωτηρίαν οἰκονομῶν Θεός τῇ παραλόγῳ κινήσει τῆς ἐν ἡμῖν νοερᾶς δυνάμεως παρεπομένην δεόντως τήν τιμωρίαν παρέπηξεν, αὐτό ἐκεῖνο τυχόν κατά τόν εἰκότα λόγον κολάσας θανάτῳ, περί ὅ τήν κατά νοῦν μόνῳ Θεῷ χρεωστούμενην τῆς ἀγάπης δύναμιν κατεῤῥήξαμεν, ἵνα τοῦ μηδενός ἐρῶντες διά τοῦ πάσχειν ποτέ μαθόντες πρός τό ὄν πάλιν ταύτην ἐπανάγειν διδαχθῶμεν τήν δύναμιν. Ὅπερ προϊών ἐμφανέστερον ποιεῖται λέγων, " Ἀλλ᾽ ἐμοί μέν καί διά τοῦτο δοκεῖ μηδέν τῶν ἐνταῦθα ἀγαθῶν εἶναι πιστόν τοῖς ἀνθρώποις, μηδέ πολυχρόνιον, ἀλλ᾽ εἴπερ τι ἄλλο, καί τοῦτο καλῶς τῷ τεχνίτῃ λόγῳ καί τῇ πάντα νοῦν ὑπερεχούσῃ σοφίᾳ μεμηχανῆσθαι, παίζεσθαι ἡμᾶς ἐν τοῖς ὁρωμένοις, ἄλλοτε ἄλλως μεταβαλλομένοις καί μεταβάλλουσι, καί

ἄνω καί κάτω φερομένοις τε καί περιτρεπομένοις, καί πρίν ληφθῆναι ἀπιοῦσι καί φεύγουσιν, ἵνα τό ἐν τούτοις ἄστατον καί ἀνώμαλον θεωρήσαντες πρός τό μέλλον μεθορμισώμεθα. Τί γάρ ἄν ἐποιήσαμεν ἑστῶτος τοῦ εὖ πράττειν ἡμῖν, ὁποτε οὐ μένοντος τοσοῦτον αὐτῷ προσδεδέμεθα, καί οὕτως ἡμᾶς ἡ περί τοῦτο ἡδονή καί ἀπάτη ἔχει δουλώσασα, ὥστε μηδέν κρεῖττον μηδέ ὑψηλότερον τῶν παρόντων διανοεῖσθαι δύνασθαι, καί ταῦτα κατ᾽ εἰκόνα Θεοῦ γεγονέναι, καί ἀκούοντας καί πιστεύοντας τήν ἄνω τε οὖσαν καί πρός ἑαυτήν ἕλκουσαν; " Καί πάλιν ἐν τῷ πρός τούς πολετευομένους λόγῳ φάσκων, " Ἵν᾽ εἰδῶμεν τό μηδέν ὄντες πρός τήν ἀληθινήν σοφίαν καί πρώτην, ἀλλά πρός αὐτόν ἀεί νεύωμεν μόνον, καί ζητῶμεν ταῖς ἐκεῖθεν αὐταῖς ἐναστράπτεσθαι, εἴτε διά τῆς ἀνωμαλίας τῶν ὁρωμένων καί περιτρεπομένων, μετάγοντος ἡμᾶς ἐπί τά ἑστῶτα καί μένοντα. Οὐ τοίνυν, ὡς οἶμαι, τῆς κατά τήν γένεσιν τῆς ἀνθρωπότητος αἰτίας ἐν τούτοις, ὡς εἴρηται, ὁ διδάσκαλος ποιεῖται τήν δήλωσιν, ἀλλά τῆς κατά τήν γένεσιν ἐπεισαχθείσης τῇ ἡμετέρᾳ ζωῇ διά τήν παράβασιν ταλαιπωρίας, ὡς τοῖς σπουδαιοτέρως καί ἐμμελεστέρως τοῖς θείοις αὐτοῦ γράμμασιν ἐμμελετῶσίν ἐστι καταφανές. Ταύτης μέν γάρ τήν ὅθεν, καί δι᾽ ὅ, καί ἐφ᾽ ᾧ, καί οὗ ἕνεκεν αἰτίαν, διά τούτων ἡμῖν παρατίθεται τῶν λόγων δι᾽ αὐτῆς τήν οἰκονομουμένην ἡμῶν σοφῶς παρά τοῦ Θεοῦ σωτηρίαν δηλῶν· ἐκείνης δέ τήν ἐφ᾽ ᾧ γεγένηται μυστηρίῳ ὑπεμφαίνων δύναμιν ἑτέρῳ λόγων κέχρηται τρόπῳ, ὅλον αὐτοῦ περί τούτου τόν εὐσεβῆ σκοπόν φανερόν ποιούμενος, ὡς ἐν τῷ Εἰς τά γενέθλια λόγῳ δείκνυται λέγων, " Νοῦς μέν οὖν ἤδη καί αἴσθησις οὕτως ἀπ᾽ ἀλλήλων διακριθέντα τῶν ἰδίων ὅρων ἐντός εἱστήκεισαν, καί τό τοῦ Δημιουργοῦ λόγου μεγαλεῖον ἐν ἑαυτοῖς ἔφερον, σιγῶντες ἐπαινέται τῆς μεγαλουργίας και διαπρύσιοι κήρυκες· οὔπω δέ ἦν κρᾶμα ἐξ ἀμφοτέρων, οὐδέ τις μίξις τῶν ἐναντίων, σοφίας μείζονος γνώρισμα καί τῆς περί τάς φύσεις πολυτελείας, οὐδέ ὁ πᾶς πλοῦτος τῆς ἀγαθότητος γνώριμος. Τοῦτο δή βουληθείς ὁ τεχνίτης ἐπιδείξασθαι λόγος, καί ζῶον ἕν ἐξ ἀμφοτέρων, (1096) ἀοράτου λέγω καί ὁρατῆς φύσεως, δημιουργεῖ τόν ἄνθρωπον, καί παρά μέν τῆς ὕλης λαβών τό σῶμα ἤδη προϋποστάσης, παρ᾽ ἑαυτοῦ δέ ζωήν ἐνθείς (ὅ δή νοεράν ψυχήν καί εἰκόνα Θεοῦ οἶδεν ὁ Λόγος), οἷόν τινα κόσμον δεύτερον ἐν μικρῷ μέγαν ἐπί τῆς γῆς ἵστησιν, ἄγγελον ἄλλον, προσκυνητήν μικτόν," καί τά ἑξῆς. Ἐν δέ τῷ Εἰς τά Φῶτα λόγῳ· " Ἐπεί δέ οὕτω ταῦτα ἤ τοῦτο·

ἔδει δέ μή τοῖς ἄνω μόνον τήν προσκύνησιν περιγράφεσθαι, ἀλλ᾽ εἶναί τινας καί κάτω προσκυνητάς, ἵνα πληρωθῇ τά πάντα δόξης Θεοῦ, ἐπεί καί Θεοῦ· καί διά τοῦτο κτίζεται ἄνθρωπος χειρί Θεοῦ τιμηθείς καί εἰκόνι." Ἀρκεῖν μέν καί ταῦτα ὑπολαμβάνω, κἄν εἰ μικρά τυγχάνοι, τῷ μή πάντη φιλονείκως διακειμένῳ, καί μόνον τό μάχεσθαι ἐπίδοξον κρίνοντι, πρός τό ἐνδείξασθαι τήν ὅλην τοῦ διδασκάλου περί τῶν εἰρημένων διάνοιαν. Εἰ δέ ἔτι περί τοῦ πῶς Θεοῦ μοῖραν ὁ διδάσκαλος ἡμᾶς ἐκάλεσεν ἀπομάχεται, πολλαχῶς μέν ἤδη ἀνωτέρω ὁ περί τούτου ἀποδέδοται λόγος. Ἵνα δέ πιστότερος γένηται τοῖς τοῦ πνεύματος ἐρειδόμενος λόγοις, ὁ ἅγιος καί μακάριος ἀπόστολος Παῦλος, ὁ τήν ἀποκεκρυμμένην ἐν τῷ Θεῷ πρό τῶν αἰώνων κομισάμενος σοφίαν, καί πάντα τόν ἀφεγγῆ τῶν ἀνθρώπων βίον καταφωτίσας, καί τῆς ἀγνοίας τόν ζόφον τῶν ψυχῶν ἀπελάσας, ἀρκέσει περί τούτου Ἐφεσίοις διεξιών τάδε, Ἵνα ὁ Θεός τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ὁ Πατήρ τῆς δόξης δῴη ὑμῖν Πνεῦμα σοφίας καί ἀποκαλύψεως ἐν ἐπιγνώσει αὐτοῦ, πεφωτισμένους τούς ὀφθαλμούς τῆς καρδίας ὑμῶν, εἰς τό εἰδέναι ὑμᾶς τίς ἐστιν ἡ ἐλπίς τῆς κλήσεως αὐτοῦ, καί τίς ὁ πλοῦτος τῆς δόξης τῆς κληρονομίας αὐτοῦ ἐν τοῖς ἁγίοις, καί τί τό ὑπερβάλλον μέγεθος τῆς δυνάμεως αὐτοῦ εἰς ἡμᾶς τούς πιστεύοντας, κατά τήν ἐνέργειαν τοῦ κράτους τῆς ἰσχύος αὐτοῦ, ἥν ἐνήργησεν ἐν Χριστῷ, ἐγείρας αὐτόν ἐκ νεκρῶν, καί καθίσας αὐτόν ἐν δεξιᾷ αὐτοῦ ἐν τοῖς οὐρανοῖς, ὑπεράνω πάσης ἀρχῆς καί ἐξουσίας καί δυνάμεως καί κυριότητος, καί παντός ὀνόματος ὀνομαζομένου, οὐ μόνον ἐν τῷ αἰῶνι τούτῳ, ἀλλά καί ἐν τῷ μέλλοντι, καί πάντα ἔδωκεν ὑπό τούς πόδας αὐτοῦ, καί αὐτόν ἔδωκε κεφαλήν ὑπέρ πάντα τῇ Ἐκκλησίᾳ, ἥτις ἐστί τό σῶμα αὐτοῦ, τό πλήρωμα τοῦ τά πάντα ἐν πᾶσι πληρουμένου. Καί μεθ᾽ ἕτερα πάλιν· Καί αὐτός ἔδωκε τούς μέν ἀποστόλους, τούς δέ προφήτας, τούς δέ εὐαγγελιστάς, τούς δέ ποιμένας καί διδασκάλους, πρός τόν καταρτισμόν τῶν ἁγίων εἰς ἔργον διακονίας, εἰς οἰκοδομήν τοῦ σώματος τοῦ Χριστοῦ, μέχρι καταντήσομεν οἱ πάντες εἰς τήν ἑνότητα τῆς πίστεως καί τῆς ἐπιγνώσεως τοῦ Υἱοῦ τοῦ Θεοῦ, εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ, ἵνα μηκέτι ὦμεν νήπιοι κλυδωνιζόμενοι καί περιφερόμενοι παντί ἀνέμῳ τῆς διδασκαλίας, ἐν τῇ κυβείᾳ τῶν ἀνθρώπων, (1097) ἐν πανουργίᾳ, πρός τήν μεθοδείαν τῆς πλάνης, ἀληθεύοντες δέ ἐν ἀγάπῃ αὐξήσωμεν εἰς αὐτόν τά πάντα, ὅς ἐστιν ἡκεφαλή ὁ Χριστός, ἐξ οὗ πᾶν τό σῶμα συναρμολογούμενον καί

συμβιβαζόμενον διά πάσης ἁφῆς τῆς ἐπιχορηγίας κατ᾽ ἐνέργειαν ἑνός ἑκάστου μέλους τήν αὔξησιν τοῦ σώματος ποιεῖται εἰς οἰκοδομήν ἑαυτοῦ ἐν ἀγάπῃ.

Οὐκ οἶμαι λοιπόν ἄλλης ἐπιδεῖσθαι μαρτυρίας τόν εὐσεβεῖν ἐγνωκότα πρός φανέρωσιν τῆς κατά Χριστιανούς ἀληθῶς πεπιστευμένης ἀληθείας, σαφῶς μαθόντες δι᾽ αὐτῆς Ὅτι καί μέλη καί σῶμα καί πλήρωμά ἐσμεν τοῦ τά πάντα ἐν πᾶσι πληρουμένου Χριστοῦ τοῦ Θεοῦ, κατά τόν πρό τῶν αἰώνων ἐν τῷ Θεῷ καί Πατρί ἀποκεκρυμμένον σκοπόν ἀνακεφαλαιούμενοι εἰς αὐτόν διά τοῦ Υἱοῦ αὐτοῦ καί Κυρίου Ἰησοῦ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν.Τό γάρ μυστήριον τό ἀποκεκρυμμένον μέν ἀπό τῶν αἰώνων καί ἀπό τῶν γενεῶν, νῦν δέ φανερωθέν διά τῆς τοῦ Υἱοῦ καί Θεοῦ ἀληθινῆς καί τελείας ἐνανθρωπήσεως, τοῦ ἑνώσαντος ἑαυτῷ καθ' ὑπόστασιν ἀδιαιρέτως τε καί ἀσυγχύτως τήν ἡμετέραν φύσιν, καί ἡμᾶς διά τῆς ἐξ ἡμῶν καί ἡμετέρας νοερῶς τε καί λογικῶς ἐψυχωμένης ἁγίας αὐτοῦ σαρκός, ὥσπερ δι᾽ ἀπαρχῆς ἑαυτῷ συμπηξαμένου, καί ἕν καί ταὐτόν ἑαυτῷ εἶναι κατά τήν αὐτοῦ ἀνθρωπότητα καταξιώσαντος, καθώς προωρίσθημεν πρό τῶν αἰώνων ἐν αὐτῷ εἶναι μέλη τοῦ σώματος αὐτοῦ, ψυχῆς τρόπον πρός σῶμα ἐν πνεύματι συναρμολογοῦντος ἑαυτῷ καί συμβιβάζοντος, καί εἰς μέτρον ἄγοντος ἡλικίας πνευματικῆς τοῦ κατ᾽ αὐτόν πληρώματος, ἔδειξε καί ἡμᾶς ἐπί τούτῳ γεγενῆσθαι, καί τόν πρό τῶν αἰώνων περί ἡμᾶς παντάγαθον τοῦ Θεοῦ σκοπόν, μή δεξάμενον καθοτιοῦν καινισμόν κατά τόν ἴδιον λόγον, εἰς πλήρωσιν δέ ἐλθόντα δι᾽ ἄλλου δηλαδή ἐπεισαχθέντος καινοτέρου τρόπου. Ἔδει γάρ τοῦ μέν Θεοῦ ἑαυτῷ ὁμοίους ἡμᾶς ποιήσαντος (τῷ ἔχειν τῆς αὐτοῦ ἀγαθότητος μεθεκτῶς ἀκριβῆ γνωρίσματα, καί ἐν αὐτῷ εἶναι πρό τῶν αἰώνων σκοπήσαντος, καί τόν εἰς τοῦτο τό παμμακάριστον ἄγοντα τέλος, δόντος ἡμῖν τρόπον διά τῆς τῶν φυσικῶν δυνάμεων εὐχρηστίας, τοῦ δέ ἀνθρώπου ἑκουσίως τοῦτον παρωσαμένου τόν τρόπον τῇ παραχρήσει τῶν φυσικῶν δυνάμεων) ἵνα μή πόῤῥῳ τοῦ Θεοῦ γένηται ξενωθείς ὁ ἄνθρωπος, ἄλλον ἀντεισαχθῆναι τοῦ προτέρου παραδοξότερόν τε καί θεοπρεπέστερον, ὅσον τοῦ κατά φύσιν ἐστί τό ὑπέρ φύσιν ἀνώτερον. Καί τοῦτό ἐστι τῆς πρός ἀνθρώπους τοῦ μυστικωτάτης ἐπιδημίας, ὡς πάντες πιστεύομεν, τό μυστήριον. Εἰ γάρ, φυσίν ὁ θεῖος Ἀπόστολος, ἡ πρώτη διαθήκη ἔμεινεν ἄμεμπτος, οὐκ ἄν δευτέρας ἐζητεῖτο τόπος. Καί γάρ πᾶσι κατάδηλόν ἐστιν, ὡς τό ἐν Χριστῷ γενόμενον ἐπί τέλει τοῦ αἰῶνος

μυστήριον ἀναμφιβόλως τοῦ ἐν ἀρχῇ τοῦ αἰῶνος ἐν τῷ προπάτορι παρεθέντος ἀπόδειξις καί ἀποπλήρωσίς ἐστιν. Ἄρ᾿ οὖν χρησίμως εἴρηται τῷ διδασκάλῳ ἡ τῆς μοίρας φωνή, κατά τούς ἀποδοθέντας τρόπους, καί πᾶς εὐγενής καί ψυχήν καί τρόπον δέξαιτο ἄν οὕτω λεγομένην (1100) τήν φωνήν, μηδεμίαν ἑαυτῷ κυβείαν λογισμῶν παραγεννῶν, εἰδώς ταὐτόν εἶναι τῷ μέλει τήν μοῖραν ἐν τοῖς τοιούτοις. Εἰ γάρ μέρος τοῦ σώματος ὑπάρχει τό μέλος, τό δέ μέλος ταὐτόν ἐστι τῇ μοίρᾳ, ταὐτόν ἄρα τό μέλος τῇ μοίρᾳ ἔσται. Εἰ δέ ταὐτόν τῷ μέλει ἐστίν ἡ μοῖρα, μελῶν δέ ἀθροισμός καί σύνθεσις σῶμα ποιεῖ ὀργανικόν, σῶμα δέ ὀργανικόν ψυχῇ ἑνωθέν νοερᾷ ἄνθρωπον τέλειον δείκνυσιν, ἄρα μέρος ἀνθρώπου ὁ λέγων εἶναι ψυχήν ἤ τό σῶμα ἤ μέλος αὐτοῦ τῆς ἀληθείας οὐχ ἁμαρτήσεται. Εἰ δέ τῆς νοερᾶς ψυχῆς ὡς ἀνθρώπου ὑπάρχει τό σῶμα ὄργανον, δι᾿ ὅλου δέ τοῦ σώματος ὅλη χωροῦσα ἡ ψυχή τό ζῇν αὐτῷ κινεῖσθαι δίδωσιν, ὡς ἁπλῆ τήν φύσιν καί ἀσώματος, μή συνδιατεμνομένη ἤ συναποκλειομένη αὐτῷ, ἀλλ᾿ ὅλῳ καί ἑκάστῳ τῶν αὐτοῦ μελῶν, ὡς πέφυκεν αὐτήν ὑποδέχεσθαι κατά τήν φυσικῶς ὑποκειμένην αὐτῷ δεκτικήν τῆς ἐνεργείας αὐτῆς δύναμιν, ὅλη παροῦσα τά διαφόρως αὐτῆς δεκτικά μέλη ἀναλόγως πρός τήν τοῦ ἕν εἶναι σῶμα συντήρησιν ἐπισφίγγει, ὁδηγείσθω ἐπί τό μέγα καί ἄῤῥητον τῆς τῶν Χριστανῶν μακαρίας ἐλπίδος μυστήριον, ἐκ τῶν μικρῶν καί καθ᾿ ἡμᾶς τῶν μεγάλων καί ὑπέρ ἡμᾶς οὐκ ἀγεννῆ λαβών τά εἰκάσματα, ὅστις ἀπαγῆ καί εὐκράδαντον περί τούτων ἔτι τήν διάνοιαν κέκτηται. καί τήν περί τοῦ προϋπάρχειν τῶν σωμάτων τάς ψυχάς οὐκ εὔλογον δόξαν ἀφείς μεθ᾿ ἡμῶν πιστεύσει τῷ κυρίῳ λέγοντι περί τῶν εἰς τήν ἀνάστασιν ἐγειρομένων μή δύνασθαι ἀποθνήσκειν, διά τήν αὐτοῦ δηλαδή καθαρωτέραν ἐσχάτου ὀρεκτοῦ φανέρωσίν τε καί μετουσίαν. Καί πάλιν, Πᾶς ὁ ζῶν καί πιστεύων εἰς ἐμέ, οὐ μή ἀποθάνῃ εἰς τόν αἰῶνα. Ὅπερ εἰ προεγεγόνει ποτέ, ἀδύνατον ἦν, ὡς προαποδέδεικται, τόν κατά τροπήν τινα οἷον δήποτε δέξασθαι θάνατον. Καί τῶν φυσικῶν ἔξω μή βαινέτω λογισμῶν διακενῆς τήν οὐκ οὖσαν περί ψυχῆς δόξαν θεσπίζων. Εἰ γάρ ἀνθρώπου μέρη, καθώς προαποδέδοται τό σῶμα καί ἡ ψυχή τυγχάνουσι, τά δέ μέρη τήν εἰς τό πρός τι ἐξ ἀνάγκης ἀναφοράν δέχεται (ὅλον γάρ ἔχει πάντως κατηγορούμενον) , τά δέ οὕτω λεγόμενα πρός τι τῶν ἅμα πάντη τε καί πάντως κατά τήν γένεσίν ἐστιν, ὡς μέρη εἶδος ὅλον τῇ συνόδῳ ἀποτελοῦντα, ἐπινοίᾳ μόνῃ τῇ πρός διάγνωσιν τοῦ τί κατ᾿ οὐσίαν ἕκαστον ἀλλήλων

διαιρούμενα, - ψυχήν ἄρα καί σῶμα, ὡς μέρη ἀνθρώπου, ἀλλήλων προϋπάρχειν χρονικῶς ἤ μεθυπάρχειν ἀμήχανον, ἐπεί ὁ τοῦ πρός τι οὕτω λεγόμενος λυθήσεται λόγος. Καί πάλιν· Εἰ γάρ καθ᾽ αὐτό εἶδος πρό τοῦ σώματός ἐστιν ἡ ψυχή ἤ τό σῶμα, εἶδος δέ ἄλλο τούτων ἑκάτερον κατά τήν ψυχῆς πρός τό σῶμα σύνθεσιν, ἤ σώματος πρός ψυχήν, ἀποτελεῖ, ἤ πάσχοντα πάντως τοῦτο ποιεῖ, ἤ πεφυκότα. Καί εἰ μέν πάσχοντα, πεπόνθασιν εἰς ὅπερ οὐκ ἦν ἐξιστάμενα, καί φθείρεται, εἰ δέ πεφυκότα, ἀεί τοῦτο διά τό πεφυκός ἐργάσεται δηλονότι, καί οὐδέποτε παύσεται ἡ ψυχή τοῦ μετενσωματοῦσθαι, οὐδέ τοῦ μετεμψυχοῦσθαι τό σῶμα. Ἀλλ᾽ οὐκ ἔστιν, (1001) ὡς οἶμαι, τοῦ πάθους ἤ τῆς τῶν μερῶν φυσικῆς δυνάμεως κατά τήν πρός θάτερον θατέρου σύνοδον ἡ τοῦ ὅλου κατ᾽ εἶδος ἐκπλήρωσις, ἀλλά τῆς ἐπ᾽ αὐτοῖς ἅμα κατ᾽ εἶδος ὅλον γενέσεως. Οὐκ ἔστιν οὖν δυνατόν ἄνευ φθορᾶς ἐξ εἴδους εἰς εἶδος μεταβάλλειν τό οἱονοῦν εἶδος. Εἰ δέ ὅτι μετά τόν θάνατον καί τήν λύσιν τοῦ σώματος ἔστιν ἡ ψυχή καί ὑφέστηκε φήσουσι καί πρό τοῦ σώματος εἶναι αὐτήν δύνασθαι καί ὑφεστάναι, οὐκ ἐστοχασμένως, ἔμοιγε δοκεῖ, ὁ λόγος αὐτοῖς προέρχεται. Οὐχ ὁ αὐτός γάρ γενέσεως καί οὐσίας λόγος. Ὁ μέν γάρ τοῦ ποτε καί που εἶναι καί πρός τι ἐστίν, ὁ δέ τοῦ εἶναι καί τι καί πως εἶναί ἐστι δηλωτικός. Εἰ δέ τοῦτο, ἐστί μέν ἀεί μετά τό γενέσθαι διά τήν οὐσίαν ἡ ψυχή, οὐκ ἄφετος δέ διά τήν γένεσιν, ἀλλά μετά τῆς σχέσεως τοῦ ποτε καί που καί πρός τι . Οὐχ ἁπλῶς γάρ λέγεται ψυχή μετά τόν τοῦ σώματος θάνατον ἡ ψυχή, ἀλλά ἀνθρώπου ψυχή, καί τοῦ τινος ἀνθρώπου ψυχή. Ἔχει γάρ καί μετά τό σῶμα ὡς εἶδος αὐτῆς τό ὅλον κατά τήν σχέσιν ὡς μέρους κατηγορούμενον τό ἀνθρώπινον. Ὡσαύτως δέ καί τό σῶμα, θνητόν μέν διά τήν φύσιν, οὐκ ἄφετον δέ διά τήν γένεσιν. Οὐ γάρ ἁπλῶς λέγεται σῶμα μετά τόν χωρισμόν τῆς ψυχῆς τό σῶμα, ἀλλ᾽ ἀνθρώπου σῶμα, καί τοῦ τινος ἀνθρώπου σῶμα, κἄν εἰ φθείρεται καί εἰς τά ἐξ ὧν ἐστιν ἀναλύεσθαι στοιχεῖα πέφυκεν. Ἔχει γάρ καί οὕτως ὡς εἶδος τό ὅλον αὐτοῦ κατά τήν σχέσιν ὡς μέρους κατηγορούμενον τό ἀνθρώπινον. Ἐπ᾽ ἀμφοῖν τοιγαροῦν ἡ σχέσις, ψυχῆς λέγω καί σώματος, ὡς καί ὅλου εἴδους ἀνθρωπίνου μερῶν ἀναφαιρέτως νουμένη, παρίστησι καί τήν ἅμα τούτων γένεσιν, καί τήν κατ᾽ οὐσίαν πρός ἄλληλα διαφοράν ἀποδείκνυσιν, οὐδέν καθ᾽ οἷον δήποτε τρόπον τούς κατ'οὐσίαν αὐτοῖς ἐμπεφυκότας παραβλάπτουσα λόγους. Οὐκ ἔστιν οὖν ὅλως σῶμα δυνατόν ἤ ψυχήν εὑρεῖν ἤ λέγειν ἄσχετον. Θατέρῳ γάρ ἅμα συνεισάγεται τό τινος εἶναι

θάτερον· ὥστε εἰ προϋπάρχει θατέρου θάτερον, τινός προσυπακουστέον. Ἡ γάρ σχέσις ἀκίνητος. Καί ταῦτα μέν περί τούτων. Καί εἰ μέν τῆς ἀληθείας ὁ λόγος οὐκ ἀποπέπτωκε, τῷ Θεῷ χάρις, τῷ διά τῶν ὑμετέρων εὐχῶν πρός τό καλῶς νοεῖν ὁδηγήσαντι. Εἰ δέ πού τι τῆς ἀληθείας ἐλλέλοιπεν, ὑμεῖς ἄν εἰδείητε τοῦ λόγου τό ἀκριβές, ὡς ἐκ Θεοῦ τήν τῶν τοιούτων ἐμπνεόμενοι γνῶσιν.

***Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό, " Ἕως ἄν καί παρ᾽ ἑαυτῆς ἡ ὕλη φέρῃ τό ἄτακτον ὥσπερ ἐν ῥεύματι."***

Οἶμαι καί τόν παρόντα τοῦ λόγου σκοπόν τῆς τοῦ προτέρου διανοίας ἔχεσθαι κεφαλαίου. Διεξελθών γάρ ὅτι πλεῖστα πρός τούς φιλύλους τε καί φιλοσωμάτους ταῦτα ἐπάγει, ὡς ἐντεῦθεν δύνασθαι (1104) τόν εὐσεβῶς τόν σκοπόν τοῦ ἁγίου διερευνώμενον ἐπιβάλλειν οὕτως. Ἐπειδή τῷ τῆς ἀφθαρσίας τε καί ἀθανασίας κάλλει παρά θεοῦ κατηγλαϊσμένος ὁ ἄνθρωπος γέγονε, τό δέ τῆς περί αὐτόν ὑλικῆς φύσεως αἶσχος τοῦ νοεροῦ κάλλους προτιμήσας λήθην τοῦ κατά ψυχήν ἐκπρεποῦς ἀξιώματος, μᾶλλον δέ θεοῦ τοῦ καί τήν ψυχήν θεοειδῶς καλλωπίσαντος πάμπαν ἐπεποίητο, τῆς γνώμης ἄξιον κατά θείαν ψῆφον τήν σοφῶς τήν ἡμῶν σωτηρίαν οἰκονομοῦσαν ἐδρέψατο καρπόν, οὐ μόνον τοῦ σώματος τήν φθοράν καί τό θάνατον, καί τήν πρός πᾶν πάθος εὐέμπτωτον κίνησίν τε καί ἐπιτηδειότητα, ἀλλά καί τῆς ἐκτός καί περί αὐτόν ὑλικῆς οὐσίας τό ἄστατον καί ἀνώμαλον, καί πρός τό ἀλλοιοῦσθαι εὔφορόν τε καί εὐχερές, εἴτε τότε αὐτήν τοῦ Θεοῦ διά τήν παράβασιν τῷ ἡμετέρῳ σώματι συμμετακεράσαντος, καί τήν πρός τό ἀλλοιοῦσθαι καί αὐτῇ, ὥσπερ τῷ σώματι, τήν πρός τό πάσχειν τε καί φθείρεσθαι καί ὅλως λύεσθαι· ὡς δηλοῖ ἡ τῶν νεκρῶν σωμάτων περιβολή, ἐνθεμένου δύναμιν κατά τό γεγραμμένον, ὅτι Καί αὐτή ἡ κτίσις ὑπετάγη τῇ φθορᾷ οὐχ ἑκοῦσα, ἀλλά διά τόν ὑποτάξαντα ἐπ᾽ ἐλπίδι, εἴ τε ἐξ ἀρχῆς κατά πρόγνωσιν οὕτως αὐτήν δημιουργήσαντος διά τήν προορaθεῖσαν παράβασιν· ὥστε τῷ πάσχειν καί κακοῦσθαι δι᾽ αὐτῆς, εἰς συναίσθησιν ἑαυτοῦ καί τοῦ οἰκείου ἀξιώματος ἐλθεῖν, καί ἀσπασίως καταδέξασθαι τήν πρός τό σῶμα καί αὐτήν ἀποδιάθεσιν. Συγχωρεῖ γάρ ὁ πάνσοφος τῆς ἡμετέρας ζωῆς προνοητής φυσικῶς χρῆσθαι πολλάκις τά πράγματα ταῖς οἰκείαις ὁρμαῖς πρός σωφρονισμόν ἡμῶν, ἔσθ᾽ ὅπη τῶν ἐμμανῶς αὐτά μεταχειριζομένων διά τῆς περί αὐτά καί ἐξ αὐτῶν συγχύσεώς τε καί ταραχῆς, πρός τό κατά φύσιν ἐραστόν ἐπανάγων τόν τέως ἀλόγιστον

ἡμῶν πρός τά παρόντα ἔρωτα. Τριῶν γάρ ὄντων καθολικῶν τρόπων, καθ᾽ οὕς φασι παιδευτικῶς τά ἡμέτερα ἐξιᾶσθαι πάθη, δι᾽ ἑκάστου τρόπου σοφῶς τό τῆς ὕλης ἄτακτον εὐτάκτως κατά τόν ὑπέρ ἡμᾶς καί κρείττονα λόγον πρός τό ἐγνωσμένον τῷ Θεῷ ἀγαθοπρεπές ἀποτέλεσμα κυβερνωμένης τῆς κακῆς τῶν παθῶν ἀχθηδόνος ἴαμα τίθεται. Ἤ γάρ τῶν προγεγονότων ἁμαρτημάτων ποινήν ἀπαιτούμενοι, ὧν ἴσως οὐδ᾽ ἴχνος τῇ μνήμῃ παρακατέχομεν διά τήν ἄγνοιαν, τυχόν δέ καί μνημονεύοντες τήν δέουσαν τοῖς πλημμεληθεῖσιν ἀντισηκῶσαι διόρθωσιν οὐκ ἀνεχόμεθα, ἤ μή θέλοντες, ἤ μή ἰσχύοντες, διά τήν ἐγγενομένην ἕξιν τῆς κακίας, ἤ τήν ἀσθένειαν καθαιρόμεθα, ἤ παροῦσάν τε καί νεμομένην κακίαν ἀποβαλλόμεθα, καί πρός ἀναστολήν τῆς μελλούσης ἰδεῖν προδιδασκόμεθα, ἤ καρτερίας ἀρίστης καί εὐσεβοῦς ἀνδρείας ὑπόδειγμα θαυμαστόν τοῖς ἄλλοις ἀνθρώποις ἄλλος προτίθεται ἄνθρωπος, ἄνπερ ὑψηλής ᾖ τήν διάνοιαν καί τήν (1105) ἀρετήν ἐπίδοξος, καί ἱκανός δι᾽ ἑαυτοῦ τῇ ἀκλονήτῳ πρός τά δεινά συμπλοκῇ φανερῶσαι τήν τέως κεκρυμμένην ἀλήθειαν. Παραινεῖ οὖν τοῖς μηδέν ὑπέρ τήν παροῦσαν ζωήν διανοεῖσθαι δυναμένοις, μή θαῤῥοῦσι τῇ τοῦ σώματος ὑγείᾳ, καί τῷ κατά ῥοῦν φερομένῳ τῶν πραγμάτων δρόμῳ κατά τῶν τούτων ἐστερημένων ἐπαίρεσθαι, ἕως ἡ παροῦσα ἐνέστηκε ζωή, καί τήν φθοράν περίκεινται ταύτην, περί ἥν ἡ τροπή καί ἡ ἀλλοίωσις, ἀδήλου ὄντος τοῦ τί ἐκ τῆς τοῦ σώματος καί τῶν ἐκτός πραγμάτων ἀνωμαλίας τε καί ταραχῆς καί αὐτοῖς συμβήσεται. Τοῦτο γάρ οἶμαι λέγειν αὐτόν διά τοῦ, " Ἕως ἄν καί παρ᾽ ἑαυτῆς ἡ ὕλη φέρῃ τό ἄτακτον," ἀντί τοῦ, Ἕως ἄν ὑπό φθοράν καί ἀλλοίωσίν ἐστι τοῦτο τό πᾶν, καί τό σῶμα τῆς ταπεινώσεως περικείμεθα, καί ἴσως τοῖς ἐξ αὐτοῦ διά τήν ἔμφυτον ἀσθένειαν πολυτρόποις κακοῖς ὑποκείμεθα· μή κατ᾽ ἀλλήλων ἐπαιρώμεθα διά τήν περί ἡμᾶς ἀνισότητα, ἀλλά μᾶλλον σώφρονι λογισμῷ τήν τῆς ὁμοτίμου φύσεως ἀνωμαλίαν ἐξομαλίσωμεν, τάς τῶν ἄλλων ἐλλείψεις ταῖς ἡμῶν αὐτῶν ἀναπληροῦντες ὑπερβολαῖς. Διό τυχόν καί ἡ παροῦσα συνεχωρήθη πολιτεύεσθαι ἀνωμαλία, ἵνα δειχθῇ ἡ τοῦ ἐν ἡμῖν λόγου δύναμις προτιμῶσα πάντων τήν ἀρετήν. Πάντων γάρ ἀνθρώπων ἡ αὐτή ἐστι τοῦ τε σώματος καί τῶν ἐκτός τροπή καί ἀλλοίωσις, φέρουσά τε καί φερομένη, καί μόνον τοῦτο φερόμενον.

***Τοῦ αὐτοῦ ἐκ τοῦ εἰς τόν ἅγιον Ἀθανάσιον λόγου, εἰς τό, "Οὐ γάρ ἔχει τι ὑψηλότερον ἤ ὅλως ἕξει."***

Δοκεῖ μοι διά τούτων ἀπολῦσαι πάσης συγκριτικῆς τε καί διακριτικῆς καί ἄλλως πως λεγομένης σχέσεως τόν διδασκόμενον ὁ θεόφρων οὗτος διδάσκαλος. Ἄσχετον γάρ το τοιοῦτον εἶδος τοῦ λόγου φασίν οἱ περί ταῦτα δεινοί, καί ταὐτόν δύνασθαι τῷ ἀσυγκρίτως ὑπέρ πάντα εἶναι λέγειν, ὡς δύναμιν ἔχον ὑπεροχικῆς ἀποφάσεως.

***Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό, " Ὧιτινι μέν οὖν ἐξεγένετο διά λόγου καί θεωρίας διασχόντι τήν ὕλην καί τό σαρκικόν τοῦτο, εἴτε νέφος χρή λέγειν, εἴτε προκάλυμμα, Θεῷ συγγενέσθαι, καί τῷ ἀκραιφνεστάτῳ φωτί κραθῆναι, καθ᾽ ὅσον ἐφικτόν ἀνθρωπίνῃ φύσει μακάριος οὗτος τῆς ἐντεῦθεν ἀναβάσεως καί τῆς ἐκεῖσε θεώσεως, ἥν τό γνησίως φιλοσοφῆσαι χαρίζεσθαι, καί τό ὑπέρ τήν ὑλικήν δυάδα γενέσθαι διά τήν ἐν Τριάδι νοουμένην ἑνότητα."***

Ἐγώ μέν οὐκ οἶμαι ἐλλιπῶς ἔχειν τόν (1108) ἀποδοθέντα περί τῆς ἀρετῆς τῶν ἁγίων τοῦ διδασκάλου λόγον, κἄν τινες, ὡς γεγράφατε, τοῦτο νομίζωσι, διά τοῦ λόγῳ καί θεωρίᾳ μόνον πρακτικῆς δίχα τήν κατά Θεόν τῶν μετελθόντων αὐτήν φιλοσοφίαν εἰπεῖν, τοὐναντίον δέ διῃρμένην τῇ πράξει τήν ἀληθῆ περί τά ὄντα κρίσιν αὐτῶν καί ἐνέργειαν, ἥν δή φιλοσοφίαν ὄντως πληρεστάτην ἔγωγε τολμήσας μόνην ὁρίζομαι, μάλα σαφῶς εἰσηγεῖσθαι αὐτόν ὑπολαμβάνω, λόγῳ καί θεωρίᾳ κατορθοῦσθαι αὐτήν ἀποφηνάμενον, ὡς τῷ λόγῳ συνημμένης πάντως τῆς πράξεως, καί τῆς ἐπ᾽ αὐτῇ κρίσεως τῇ θεωρίᾳ περιεχομένης, εἴπερ λόγου μέν τό τάσσειν τήν τοῦ σώματος κίνησιν, οἷον χαλινῷ τινι τῷ ὀρθῷ λογισμῷ τῆς πρός ἀτοπίαν φορᾶς ἐπιστημόνων ἀναχαιτίζοντος, θεωρίας δέ τό τά καλῶς νοηθέντα τε καί κριθέντα ἐμφρόνως αἱρεῖσθαι ψηφίζεσθαι, οἱονεί φῶς παμφαέστατον δι᾽ ἀληθοῦς γνώσεως τήν ἀλήθειαν αὐτήν δεικνυούσης· οἷς ἀμφοτέροις μάλιστα καί δημιουργεῖται πᾶσα φιλόσοφος ἀρετή καί φυλάττεται, ὑφ᾽ ὧν καί ἐκφαίνεται διά σώματος οὐχ ὅλη. Οὐ γάρ χωρεῖται σώματι, χαρακτήρ ὑπάρχουσα θείας δυνάμεως, ἀλλά τινα τῶν αὐτῆς σκιάσματα, καί τοῦτο οὐ δι᾽ ἑαυτήν, διά δέ τό τούς γυμνούς τῆς κατ' αὐτήν χάριτος εἰς μίμησιν ἐλθεῖν τῆς θεοειδοῦς τῶν φιλοθέων ἀνδρῶν ἀναστροφῆς, ἐφ' ᾧ τῇ μετοχῇ τοῦ καλοῦ καί αὐτούς τό τῆς κακίας αἶσχος ἀποθεμένους τῆς τῶν ἀξίων Θεοῦ γενέσθαι μοίρας, ἤ τούς δεομένους ἐπικουρίας τινός ὑπό τῶν

δυναμένων τυχεῖν, ἐφ᾽ ᾧ τήν κρυπτομένην τῷ βάθει τῆς ψυχῆς τῶν ἐναρέτων διάθεσιν διά τοῦ σώματος κατά τήν πρᾶξιν φανεῖσαν ἀποδεξαμένους, τήν πᾶσι πάντα γινομένην καί διά πάντων πᾶσι παροῦσαν τοῦ Θεοῦ πρόνοιαν, καί αὐτούς ἀνυμνῆσαι. Ὡς εἴγε μηδείς ἦν ὁ εὖ παθεῖν δεόμενος, ἤ ὁ πρός ἀρετήν παραδείγματι τυπωθῆναι ὀφείλων, αὐτόν ἕκαστον ἀρκεῖν ἑαυτῷ πάντως, ταῖς κατά ψυχήν τῶν ἀρετῶν χάρισιν ἀβρυνόμενον. Καί δίχα τῆς τούτων διά τοῦ σώματος πρός τό ἐμφανές ἀποδείξεως λέγειν οὐκ ἄτοπον. Ὁ τοίνυν εὐσεβῶς διά θεωρίας κατανοήσας ὡς ἔχει τά ὄντα, καί διά βουλῆς λογικῆς ἐστοχασμένως τε καί ὀρθῶς τόν περί αὐτῶν ὁρισάμενος λόγον, καί φυλάττων ἑαυτῷ τήν κρίσιν, μᾶλλον δέ ἑαυτόν τῇ κρίσει ἀπαρέγκλιτον, πᾶσαν ὁμοῦ συλλαβών ἔχει τήν ἀρετήν, πρός οὐδέν ἄλλο μετά τήν ἐγνωσμένην ἀλήθειαν ἔτι κινούμενος, καί πάντα παρῆλθε διά σπουδῆς, οὐδενός τό παράπαν λόγον ποιούμενος τῶν ὅσα σαρκός καί κόσμου ἐστί καί λέγεται, ἐνδιαθέτως ἔχων ἤδη τῷ λόγῳ περιεχομένην ἀμάχως τήν πρᾶξιν, οἷα τοῦ ἐφ' ἡμῖν πάντας ἑαυτῷ τοῦ διανοητικοῦ τούς κρατίστους ἀπαθεῖς ἐπικομιζομένους λόγους, καθ᾽ οὕς πᾶσα ἀρετή καί γνῶσίς ἐστι καί ὑφέστηκεν, ὡς δυνάμεις ὄντας ψυχῆς λογικῆς, πρός μέν τό εἶναι σώματος οὐδ᾽ ὅλως χρῄζοντας, πρός δέ τό φανῆναι (1109) διά τάς εἰρημένας αἰτίας κατά καιρόν αὐτῷ χρῆσθαι οὐκ ἀναινομένους. Φασί γάρ τοῦ διανοητικοῦ εἶναι, ἰδικῶς μέν τάς νοήσεις τῶν νοητῶν, τάς ἀρετάς, τάς ἐπιστήμας τούς τῶν τεχνῶν λόγους, τό προαιρετικόν, τό βουλευτικόν, γενικῶς δέ τάς κρίσεις, τάς συγκαταθέσεις, τάς ἀποφυγάς, τάς ὁρμάς, καί τάς μέν εἶναι μόνης τῆς κατά νοῦν θεωρίας, τάς δέ τῆς κατά τόν λόγον ἐπιστημονικῆς δυνάμεως. Εἰ δέ τούτοις φρουρουμένην οἱ ἅγιοι τήν οἰκείαν ζωήν συνετήρησαν, ἄρα περιληπτικῶς διά τοῦ λόγου καί τῆς θεωρίας ὁ μακάριος οὗτος ἀνήρ πάντας τούς κατ᾽ ἀρετήν καί γνῶσιν εἰσηγήσατο λόγους τοῖς ἁγίοις συνηνειλημμένους, δι᾽ ὧν τῇ κατανοήσει τοῦ Θεοῦ κατά θεωρίαν γνωστικῶς προσανέχοντες ἐμφρόνως κατά λόγον διά τῶν ἀρετῶν τήν θείαν ἑαυτοῖς μορφήν ἐντυπώσαντο, πάντως οὐκ εἶναι ἀναγκαῖον οἰηθείς τήν διά τοῦ σώματος ὀνομάσαι πρᾶξιν, γινώσκων μή ἀρετῆς αὐτήν εἶναι ποιητικήν, ἀλλ᾽ ἐκφαντικήν, καί μόνων τῶν θείων νοημάτων τε καί λογισμῶν ὑπουργόν. Ὡς ἄν δέ καί δι᾽ ἑτέρου τρόπου φανερόν γένηται τό λεγόμενον, φασίν οἱ τῶν καθ᾽ ἡμᾶς πραγμάτων δι᾽ ἀκριβείας μετελθόντες τούς λόγους τοῦ λογικοῦ τό μέν εἶναι θεωρητικόν, τό δέ

πρακτικόν· καί θεωρητικόν μέν τό κατά νοῦν, ὡς ἔχει τά ὄντα, πρακτικόν δέ τό βουλευτικόν, τό ὁρίζον τοῖς πρακτικοῖς τόν ὀρθόν λόγον. Καί καλοῦσι τό μέν θεωρητικόν νοῦν, τό δέ πρακτικόν λόγον, καί τό μέν σοφίαν, τό δέ φρόνησιν. Εἰ δέ τοῦτο ἀληθές, ἐκ τῆς αἰτίας ἄρα τήν πρᾶξιν κατά τό εἰκός, ἀλλ᾽ οὐκ ἐκ τῆς ὕλης ὠνόμασεν ὁ διδάσκαλος λόγον, τήν μηδέν ἔχουσαν ἀντικείμενον ἕξιν προσαγορεύσας. Λιογικῶς γάρ καί γνωστικῶς, ἀλλ᾽ οὐ πολεμικῶς καί ἀγωνιστικῶς ἐμμέναι τοῖς ἀληθέσιν ὁ θεωρητικός, καί πλήν αὐτῶν ἄλλο τι ὁρᾶν διά τήν πρός αὐτά ἡδονήν οὐκ ἀνέχεται. Εἰ δέ χρή καί ἄλλως σαφέστερον τοῦτο ποιήσαθαι, πάλιν οἱ τῆς κατ᾽ ἀρετήν τελειότητος τούς λόγους γυμνάσαντές φασι τούς μήπω τῆς πρός τήν ὕλην κατά τήν σχέσιν κοινωνίας καθαρούς γεγονότας περί τά πρακτικά καταγίνεσθαι, μικτῆς οὔσης αὐτοῖς ἔτι τῆς περί τά ὄντα κρίσεως, καί εἰσί τρεπτοί, μήπω τήν περί τά τρεπτά σχέσιν ἀποθέμενοι· τούς δέ δι᾽ ἀκρότητα τῷ Θεῷ κατά σχέσιν πλησιάζοντας, καί τῇ τούτου κατανοήσει τό μακάριον καρπουμένους, πρός ἑαυτούς μόνον καί τόν Θεόν ἐστραμμένους τῷ ῥῆξαι γνησίως τῆς ὑλικῆς σχέσεως τά δεσμά τῶν μέν πρακτικῶν καί τῆς ὕλης παντελῶς ἠλλοτριῶσθαι, τῇ δέ θεωρίᾳ καί τῷ Θεῷ προσῳκειῶσθαι. Διό, φασί, καί μένουσιν ἄτρεπτοι, μή ἔχοντες ἔτι τήν πρός τήν ὕλην σχέσιν, καθ᾽ ἥν τῇ ὕλῃ φυσικῶς ἀλλοιουμένῃ παρά φύσιν συνεξαλλοιοῦσθαι ἐξ ἀνάγκης πέφυκεν ὁ τῇ ὕλῃ κατά τήν σχέσιν κεκρατημένος, καί μεγίστης εἰδώς δεῖσθαι δυνάμεως (1112) πρός ἀπόθεσιν τῆς ὑλικῆς προσπαθείας τόν αὐτῆς ἐλευθερωθῆναι βουλόμενόν φησιν ὁ διδάσκαλος, " Ὧ τινι μέν οὖν ἐξεγένετο διά λόγου καί θεωρίας διασχόντι τήν ὕλην καί τό σαρκικόν τοῦτο, εἴτε νέφος χρή λέγειν εἴτε προκάλυμμα, Θεῷ συγγενέσθαι, καί τά ἑξῆς."

***Πῶς ἐστι νέφος καί προκάλυμμα ἡ σάρξ.***

Διά τί δέ νέφος εἶναι καί προκάλυμμα τήν σάρκα φησίν ὁ διδάσκαλος; ὡς εἰδώς ὅτι πᾶς ἀνθρώπινος νοῦς πλανώμενος, καί τῆς κατά φύσιν ἀπονεύων κινήσεως, περί πάθος καί αἴσθησιν καί αἰσθητά ποιεῖται τήν κίνησιν, οὐκ ἔχων ἄλλοθί ποι κινηθῆναι, τῆς πρός Θεόν φυσικῶς φερούσης κινήσεως διαμαρτήσας, καί διεῖλε τήν σάρκα εἰς πάθος καί αἴσθησιν, σαρκός γάρ ἐμψύχου ἀμφότερα διά τοῦ νέφους καί τοῦ προκαλύμματος ταῦτα δηλώσας. Νέφος γάρ ἐστι τῷ ἡγεμονικῷ τῆς ψυχῆς ἐπισκοτοῦν τό σαρκικόν παθος, καί προκάλυμμά ἐστιν ἡ κατ᾽ αἴσθησιν ἀπάτη, ταῖς ἐπιφανείαις τῶν

αἰσθητῶν αὐτήν ἐπερείδουσα καί τῆς πρός τά νοητά διαβάσεως ἀποτειχίζουσα, δι᾽ ὧν λήθην τῶν φυσικῶν ἀγαθῶν λαμβάνουσα περί τά αἰσθητά τήν ὅλην αὐτῆς ἐνέργειαν καταστρέφει, θυμούς καί ἐπιθυμίας καί ἡδονάς διά τῶν εἰρημένων ἀπρεπεῖς ἐφευρίσκουσα.

***Πῶς ἡδονή γίνεται.***

Πᾶσα γάρ ἡδονή τῶν ἀπηγορευμένων ἐκ πάθους διά μέσης αἰσθήσεως πρός τι πάντως γίνεσθαι πέφυκεν αἰσθητόν. Οὐδέ γάρ ἄλλο τί ἐστι ἡδονή ἤ εἶδος αἰσθήσεως ἐν τῷ αἰσθητικῷ διά τινος αἰσθητοῦ μορφουμένης, ἤ τρόπος αἰσθητικῆς ἐνεργείας κατ᾽ ἐπιθυμίαν ἄλογον συνιστάμενος. Ἐπιθυμία γάρ αἰσθήσει προστεθεῖσα εἰς ἡδονήν μεταπίπτει, εἶδος αὐτῇ ἐπάγουσα, καί αἴσθησις κατ᾽ ἐπιθυμίαν κινηθεῖσα ἡδονήν ἀπεργάζεται τό αἰσθητόν προσλαβοῦσα. Γνόντες οὖν οἱ ἅγιοι, ὅτι διά μέσης σαρκός πρός τήν ὕλην ἡ ψυχή παρά φύσιν κινουμένη τήν χο«κήν μορφήν ὑποδύεται, διά μέσης μᾶλλον ψυχῆς κατά φύσιν αὐτοί πρός τόν Θεόν κινουμένης καί τήν σάρκα τῷ Θεῷ πρεπόντως οἰκειῶσαι διενοήθησαν, δι᾽ ἀσκήσεως ἀρετῶν ἐνδεχομένως αὐτήν ταῖς θείαις ἐμφάσεσι καλλωπίσαντες.

***Πῶς καί πόσαι κινήσεις εἰσί ψυχῆς.***

Τρεῖς γάρ καθολικάς κινήσεις ἔχουσαν τήν ψυχήν εἰς μίαν συναγομένας, ὑπό τῆς χάριτος φωτισθέντες, τήν κατά νοῦν, τήν κατά λόγον, τήν κατά αἴσθησιν, καί τήν μήν ἁπλῆν καί ἀνερμήνευτον, καθ᾽ ἥν ἀγνώστως περί Θεόν κινουμένη κατ᾽ οὐδένα τρόπον (1113) ἐξ οὐδενός τῶν ὄντων αὐτόν διά τήν ὑπεροχήν ἐπιγινώσκει, τήν δέ κατ᾽ αἰτίαν ὁριστικήν τοῦ ἀγνώστου καθ᾽ ἥν φυσικῶς κινουμένη τούς ἐπ᾽ αὐτῇ φυσικούς πάντας λόγους τοῦ κατ᾽ αἰτίαν μόνον ἐγνωσμένου φορφωτικούς ὄντας ἑαυτῇ δι᾽ ἐνεργείας κατ᾽ ἐπιστήμην ἐπιτίθεται, τήν δέ σύνθετον, καθ᾽ ἥν τῶν ἐκτός ἐφαπτομένη ὡς ἔκ τινων συμβόλων τῶν ὁρατῶν τούς λόγους πρός ἑαυτήν ἀναμμάσσεται, μεγαλοφυῶς διά τούτων κατά τόν ἀληθῆ καί ἄπταιστον τῆς κατά φύσιν κινήσεως τρόπον τόν παρόντα τῶν σκαμμάτων αἰῶνα διέβησαν, τήν μέν αἴσθησιν, ἁπλοῦς διά μέσου τοῦ λόγου πρός τόν νοῦν τούς τῶν αἰσθητῶν πνευματικούς λόγους ἔχουσαν μόνους ἀναβιβάσαντες, τόν δέ λόγον ἑνοειδῶς κατά μίαν ἁπλῆν τε καί ἀδιαίρετον φρόνησιν πρός τόν νοῦν τούς τῶν ὄντων ἔχοντα λόγους ἑνώσαντες, τόν δέ νοῦν τῆς περί τά ὄντα πάντα κινήσεως καθαρῶς

ἀπολυθέντα καί αὐτῆς τῆς καθ᾽ αὐτόν φυσικῆς ἐνεργείας ἠρεμοῦντα τῷ Θεῷ προσκομίσαντες, καθ᾽ ὅν ὁλικῶς πρός Θεόν συναχθέντες, ὅλοι ὅλω Θεῷ ἐγκραθῆναι διά τοῦ πνεύματος ἠξιώθησαν, ὅλην τοῦ ἐπουρανίου κατά τό δυνατόν ἀνθρώποις τήν εἰκόνα φορέσαντες, καί τοσοῦτο ἕλξαντες τῆς θείας ἐμφάσεως, εἰ θέμις τοῦτο εἰπεῖν, ὅσον ἑλχθέντες αὐτοί τῷ Θεῷ συνετέθησαν. Φασί γάρ ἀλλήλων εἶναι παραδείγματα τόν Θεόν καί τόν ἄνθρωπον, καί τοσοῦτον τῷ ἀνθρώπῳ τόν Θεόν διά φιλανθρωπίαν ἀνθρωπίζεσθαι, ὅσον ὁ ἄνθρωπος ἑαυτόν τῷ Θεῷ δι᾽ ἀγάπης δυνηθείς ἀπεθέωσε, καί τοσοῦτον ὑπό Θεοῦ τόν ἄνθρωπον κατά νοῦν ἁρπάζεσθαι πρός τό γνωστόν, ὅσον ὁ ἄνθρωπος τόν ἀόρατον φύσει Θεόν διά τῶν ἀρετῶν ἐφανέρωσεν. Ὑπό ταύτης τοίνυν τῆς κατά λόγον καί θεωρίαν συνισταμένης φιλοσοφίας, καθ᾽ ἥν καί ἡ τοῦ σώματος ἐξ ἀνάγκης εὐγενίζεται φύσις, ἀπλανῶς πρός τόν τοῦ Θεοῦ πόθον τρωθέντες οἱ ἅγιοι διά τῶν ἐνουσῶν αὐτοῖς πρός τά θεῖα φυσικῶν ἐμφάσεων ἀξιοπρεπῶς πρός τόν Θεόν παρεγένοντο, σῶμα καί κόσμον ἀθλητικῶς διασχόντες, ἀλλήλοις ταῦτα περιεχόμενα θεώμενοι, τόν μέν φύσει, τό δέ αἰσθήσει, καί θατέρῳ θάτερον ὑποπίπτον, τῇ κατ᾽ ἐπαλλαγήν θατέρου πρός τό ἕτερον ποιᾷ ἰδιότητι, καί μηδέν τούτων τῷ καθ᾽ ἑαυτόν λόγῳ περιγραφῆς ὑπάρχον ἐλεύθερον, καί αἰσχρόν ἡγησάμενοι τοῖς θνητοῖς καί περιγραπτοῖς ἐμφθείρεσθαί τε καί περιγράφεσθαι τῆς ψυχῆς ἐᾶν τό ἀθάνατον καί ἀεικίνητον μόνῳ Θεῷ τῷ ἀθανάτῳ καί πάσης ἀπειρίας ἀνωτέρω ἀλύτως ἑαυτούς ἀνέδησαν, οὐδαμῶς ταῖς κόσμου καί σαρκός ἀνθολκαῖς ἐνδίδοντες, ὅπερ ἐστί πάσης ἀρετῆς τε καί γνώσεως πλήρωσις, οἶμαι δέ ὅτι καί τέλος. Ἀλλά κἄν εἴποτε περί τά τῶν ὄντων θεάματα κεκίνηνται οἱ ἅγιοι, οὐκ ἐπί τῷ αὐτά ἐκεῖνα προηγουμένως θεάσασθαί τε καί γνῶναι καθ' ἡμᾶς ὑλικῶς κεκίνηνται, ἀλλ᾽ ἵνα τόν διά (1116) πάντων καί ἐν πᾶσιν ὄντα τε καί φαινόμενον Θεόν πολυτρόπως ὑμνήσωσι καί πολλήν ἑαυτοῖς συναγείρωσι θαύματος δύναμιν καί δοξολογίας ὑπόθεσιν. Ψυχήν γάρ εἰληφότες παρά Θεοῦ νοῦν καί λόγον καί αἴσθησιν ἔχουσαν πρός τῇ νοητῇ καί ταύτην τήν αἰσθητήν, ὥσπερ καί λόγον πρός τῷ ἐνδιαθέτῳ τόν κατά προφοράν καί νοῦν πρός τῷ νοητῷ τόν παθητικόν (ὅν καί φαντασίαν καλοῦσι τοῦ ζώου, καθ᾽ ὅν καί τά λοιπά ζῶα καί ἄλληλα καί ἡμᾶς καί τούς τόπους οὕς διώδευσαν ἐπιγινώσκουσι, περί ἥν συνίστασθαι τήν αἴσθησίν φασιν οἱ σοφοί τά τοιαῦτα, ὄργανον αὐτῆς οὖσαν ἀντιληπτικόν τῶν αὐτῇ φαντασθέντων), δεῖν ᾠήθησαν τούτων

τας ἐνεργείας, εἰκότως οὐχ ἑαυτοῖς, ἀλλά τῷ δεδωκότι Θεῷ, δι᾽ ὅν καί ἐξ οὗ πάντα, προσενέγκαι. Τρεῖς γάρ ὄντας καθολικούς τρόπους, ὡς ἀνθρώποις ἐστίν ἐφικτόν, ἐκ τῆς περί τά ὄντα ἀκριβοῦς κατανοήσεως παιδευθέντες, ἐφ᾽ οἷς Ὁ Θεός τά πάντα πεποίηκεν (ἐφ᾽ ᾧ τε γάρ εἶναι, καί εὖ εἶναι, οὐσιώσας ἡμᾶς ὑπεστήσατο), καί τούς μέν δύο ἄκρους ὄντας, καί μόνου Θεοῦ ἐχομένους, ὡς αἰτίου, τόν δέ ἕτερον μέσον, καί τῆς ἡμετέρας ἠρτημένον γνώμης τε καί κινήσεως, καί δι᾽ ἑαυτοῦ τοῖς ἄκροις τό κυρίως λέγεσθαι παρέχοντα, καί οὗ μή παρόντος ἄχρηστος αὐτοῖς ἡ προσηγορία καθίσταται, τό εὖ συνημμένον οὐκ ἔχουσιν, οὐκ ἄλλως δύνασθαι καί προσγενέσθαι αὐτοῖς καί φυλαχθῆναι τήν ἐν τοῖς ἄκροις ἀλήθειαν, ἥν ποιεῖν πέφυκεν τό εὖ εἶναι κατά τό μέσον τοῖς ἄκροις ἐπικιρνώμενον, ἤ τῇ πρός Θεόν ἀεικινησίᾳ διενοήθησαν· καί λοιπόν τῷ κατά φύσιν ἐντεῦθεν τό ὀπτικόν τῆς ψυχῆς συνεπιτείναντες λόγῳ, καί τρόπον τινά μή δεῖν ἀντιστρόφως χρῆσθαι ταῖς φυσικαῖς ἐνεργείαις, διά τήν ἐξ ἀνάγκης ἐπισημαίνουσαν ταῖς φυσικαῖς δυνάμεσιν ἐκ τοῦ κατά παράχρησιν τρόπου φθοράν, αὐτοῦ βοῶντος τοῦ λόγου διαῤῥήδην ἀκούσαντες, ὁμαλῶς κατά τόν πρέποντα λόγον τῆς φύσεως πρός τόν αὐτῆς αἴτιον φέρεσθαι ἐδιδάχθησαν, ἵν᾽ ὅθεν ἁπλῶς αὐτοῖς ἐστι τό εἶναι, καί τό ὄντως εἶναί ποτε προστεθέν ὑποδέξωνται. Τί γάρ ἄν καί ἔσται τῇ μή ἑαυτοῦ κατά τό εἶναι αἰτίῳ πρός ἑαυτούς ἴσως λογισάμενοι εἶπον, πρός ἑαυτόν ἤ ἄλλο τι παρά τόν Θεόν κινουμένῳ τό κέρδος, ὁπότε εἰς τόν τοῦ εἶναι λόγον οὐδέν ἑαυτῷ ἀφ᾽ ἑαυτοῦ, ἤ ἄλλου τινός παρά τόν Θεόν περιποιῆσαι δυνήσεται; Διά τοῦτο τόν μέν νοῦν περί μόνου Θεοῦ καί τῶν αὐτοῦ ἀρετῶν διανοεῖσθαι, καί τῇ ἀῤῥήτῳ δόξῃ τῆς αὐτοῦ μακαριότητος, ἀγνώστως ἐπιβάλλειν, τόν δέ λόγον ἑρμηνευτήν τῶν νοηθένων γίνεσθαι καί ὑμνωδόν, καί τούς πρός αὐτά ἑνοποιούς ὀρθῶς διαλέγεσθαι τρόπους, τήν δέ αἴσθησιν κατά λόγον εὐγενισθεῖσαν τάς ἐν τῷ παντί διαφόρους δυνάμεις τε καί ἐνεργείας φαντασιουμένην τούς ἐν τοῖς οὖσιν ὡς ἐφικτόν τῇ ψυχῇ διαγγέλλειν λόγους διδάξαντες, καί διά τοῦ νοῦ καί τοῦ λόγου, ὥσπερ νοῦν, τήν ψυχήν σοφῶς οἰακίσαντες, τήν ὑγράν ταύτην καί ἄστατον καί ἄλλοτε ἄλλως φερομένην καί διώδευσαν ἴχνεσιν.

***(1117) Θεωρία τῆς διά τῆς θαλάσσης διαβάσεως διά Μωσέως.***

Οὕτω τάχα καί Μωϋσῆς ἐκεῖνος ὁ μέγας τῇ πληγῇ τοῦ παντοδυνάμου λόγου, οὗ σύμβολον ἦν ἴσως ἡ ῥάβδος, θαλάσσης

τρόπον τῶν αἰσθητῶν διελών τήν ἀπάτην, ἤ περιελών εἰπεῖν οἰκειότερον, στεῤῥάν καί ἀσάλευτον, τῷ πρός τάς θείας ἐπαγγελίας ἐπειγομένῳ λαῷ τήν ὑπίχνιον παρέσχετο γῆν, τήν ὑπό αἴσθησιν, φημί, φύσιν ὀρθῷ λόγῳ εἶναι θεατήν καί εὐπερίγραπτον καί βίῳ ἀρεταῖς ἠγλαϊσμένῳ βατήν δείξας καί εὐπαρόδευτον, καί μηδένα κίνδυνον ἐκ τῆς ἑκατέρωθεν παφλαζούσης τῶν διακριθένων ὑδάτων, οἷς τέως κεκάλυπτο, ὁρμῆς τοῖς οὕτως αὐτήν διαπερῶσιν ἐπάγουσαν· εἴπερ τῷ κατ᾽ ἀναγωγήν λόγῳ διάκρισις ὑδάτων νοητῆς θαλάττης ἐστίν ἡ τῶν κατ᾽ ἔλλειψιν καί πλεονασμόν ἀντικειμένων ταῖς ἀρεταῖς κακιῶν τῆς πρός ἀλλήλας συνεχείας διάστασις, ἥν πέφυκε λόγος ποιεῖν, καρδίως αὐτῶν καθαψάμενος, καί τοῖς ἐπί Θεόν προτροπάδην ἐπειγομένοις οὐδαμῶς ἀλλήλαις αὐτάς συναφθῆναι συγχωρῶν.

***Θεωρία τῆς εἰς τό ὄρος ἀναβάσεως τοῦ Μωσέως.***

Οὕτω πάλιν τῷ καλοῦντι ἑπόμενος Θεῷ, ὑπερσχών πάντα τά τῇδε, εἰς τόν γνόφον εἰσῆλθεν, οὗ ἦν ὁ Θεός, τουτέστιν, εἰς τήν ἀειδῆ καί ἀόρατον καί ἀσώματον διατριβήν, νῷ πάσης ἐλευθέρῳ τῆς πρόος ὁτιοῦν πάρεξ Θεοῦ σχέσεως, ἐν ᾗ γενόμενος, ὡς ἐνῆν μάλιστα ἀνθρωπίνην ἀξιωθῆναι φύσιν, οἷον ἔπαθλον τῆς μακαρίας ἐκείνης ἀναβάσεως ἄξιον τήν χρόνου καί φύσεως τήν γένεσιν περιγράφουσαν κομίζεται γνῶσιν, καί τύπον καί παράδειγμα τῶν ἀρετῶν αὐτόν ποιησάμενος τόν Θεόν, πρός ὅν καθάπερ γραφήν εὐφυῶς τοῦ ἀρχετύπου τήν μίμησιν σώζουσαν ἑαυτόν ἀποτυπώσας κάτεισι τοῦ ὄρους, ἧς μετείληφε δόξης κατά τό πρόσωπον ἐπισημαίνων τήν χάριν καί τοῖς ἄλλοις ἀνθρώποις, ὥσπερ θεοειδοῦς τύπου τύπον ἑαυτόν γενόμενον ἀφθόνως διδούς καί προτιθέμενος, καί δηλοῖ τοῦτο ποιῶν περί ὧν εἶδέ τε καί ἤκουσε τῷ λαῷ ἐξηγούμενος, καί γραφῇ τοῖς μετ᾽ αὐτόν οἷόν τινα κλῆρον θεόσδοτον παραδιδούς τοῦ Θεοῦ τά μυστήρια.

***Θεωρία τῆς Ἰησοῦ ἡγεμονίας, καί τῆς διαβάσεως τοῦ Ἰορδάνου, καί τῆς δευτέρας δι᾽ αὐτοῦ περιτομῆς τοῖς ἐκ πέτρας ξίφεσιν.***

Οὕτως Ἰησοῦ ὁ Μωσέως διάδοχος, ἵνα τά πολλά τῶν περί αὐτοῦ ἱστορουμένων παραδράμω διά τό πλῆθος, παραλαβών τόν λαόν πολλοῖς πρότερον πρός εὐσέβειαν παιδευθέντα κατά τήν ἔρημον τρόποις, μετά τήν ἐν τῷ ὄρει Μωϋσέως τελευτήν, καί ξένῳ περιτομῆς εἴδει καθαγνίσας αὐτόν ταῖς ἐκ πέτρας μαχαίραις, καί τόν Ἰορδάνην ξηραθέντα τῇ προπομπῇ τῆς θείας κιβωτοῦ τούς τοῦ λαοῦ πάντας

(1120) ἀτεγγεῖς διαβιβάσας, τόν δι᾽ αὐτοῦ τυπικῶς μηνυόμενον Σωτῆρα λόγον παρεδήλου, μετά τήν τελευτήν τοῦ γράμματος τῶν νομικῶν διατάξεων τήν ἐν τῷ ὕψει τῶν νοημάτων γινομένην τοῦ ἀληθινοῦ Ἰσραήλ καί ὁρῶντος Θεόν ἡγεμονίαν παραλαβόντα, καί παντός μέν ψυχῆς καί σώματος μολυσμοῦ τῷ τομωτάτῳ λόγῳ τῆς εἰς αὐτόν πίστεως περιτέμνοντα, παντός δέ ὀνειδισμοῦ τῶν πρός ἁμαρτίαν ἐρεθιζόντων ἐλευθεροῦντα, καί τήν ῥέουσαν τοῦ χρόνου φύσιν καί τῶν κινουμένων διαβιβάζοντα πρός τήν τῶν ἀσωμάτων κατάστασιν, τοῖς ὤμοις ἀρετῶν ἐπαιωρουμένην ἔχοντα τήν δεικτικήν τῶν θείων μυστηρίων γνῶσιν.

***Θεωρία τῆς Ἰεριχοῦς καί τῶν ἑπτά περιόδων, καί τῆς κιβωτοῦ καί τῶν σαλπίγγων καί τοῦ ἀναθέματος.***

Οὕτω πάλιν περιόδοις ἑπτά καί σάλπιγξι τοσαύταις σύν ἀλαλαγμῷ μυστικῷ τήν δυσάλωτον ἤ καί ἀνάλωτον εἶναι δόξασαν πόλιν Ἱεριχώ κατασείσας τόν αὐτόν τοῦ Θεοῦ Λόγον μυστικῶς ἐνέφαινεν ὡς νικητήν τοῦ κόσμου καί συντελεστήν τοῦ αἰῶνος, νῷ καί λόγῳ, ἤτοι γνώσει καί ἀρετῇ. Ὧν ἡ κιβωτός καί αἱ σάλπιγγες τύπος ὑπῆρχον, τοῖς ἑπομένοις αὐτῷ τόν αἰσθητόν αἰῶνα εὐάλωτον δεικνύοντα και εὐκαθαίρετον, καί μηδέν τῶν ἐν αὐτῷ πρός ἀπόλαυσιν ἐπιτήδειον τοῖς τῶν θείων ἐρασταῖς ἀγαθῶν, ὡς θανάτῳ καί φθορᾷ συνημμένον καί θείας ἀνανακτήσεως αἴτιον. Καί δηλοῖ Ἄχαρ ὁ τοῦ Χαρμί, ὅπερ τοῦ εἰσοικίσασθαί τι τῶν αἰσθητῶν, τόν οἴκτιστον ἐκεῖνον κατά θείαν ψῆφον ἀπενεγκάμενος θάνατον, ὅν ἐργάζεται λόγος τῷ βάθει τῆς πονηρᾶς συνειδήσεως ἐναποπνίγων τόν οὕτω τιμωρηθῆναι ἄξιον.

***Θεωρία Τύρου καί τοῦ αὐτῆς βασιλέως, καί τῆς ἁλώσεως αὐτῆς.***

Οὕτω πάλιν καθώς γέγραπται, Ἐν τῷ καιρῷ ἐκείνῳ καταλαβόμενονς τήν Ἀσσώρ, καί τόν βασιλέα αὐτῆς ἀποκτείνας ἐν ῥομφαίᾳ, καί πᾶν ἐμπνέον ἐξολοθρεύσας ἐν αὐτῇ, ἥτις ἦν πρότερον ἄρχουσα πασῶν τῶν χωρῶν, ἐδιδάσκετο, ὧν μυστηρίων τύπος προβέβλητο τούς λόγους, ὅτι ὁ ἀληθινός Σωτήρ ἡμῶν Ἰησοῦς Χριστός, ὁ Υἱός τοῦ Θεοῦ, ὁ τῶν πονηρῶν καθαιρέτης δυνάμεων, καί κληροδότης τῶν ἀξίων τῆς χάριτος, κατά τόν καιρόν τῆς αὐτοῦ ἐνανθρωπήσεως διά σταυροῦ καταλαβόμενος τήν ἁμαρτίαν καί τόν βασιλέα αὐτῆς τόν διάβολον (ἦρχε γάρ πάντων ποτέ βασιλεύουσα ἡ ἁμαρτία) ἀπέκτεινε τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ, καί

ἐξωλόθρευσεν αὐτῆς πᾶν ἐμπνέον, τουτέστι τά πάθη τά ἐν ἡμῖν, καί τά ἐπ᾽ αὐτοῖς αἰσχρά καί πονηρά ἐνθυμήματα, ἵνα μηδέ τό ὁπωσοῦν ἐν τοῖς τοῦ Χριστοῦ καί κατά Χριστόν ζῶσιν ἐμπνέοντος δίκην καθ᾽ ὁτιοῦν ἔχῃ λοιπόν τό κινεῖσθαι καί ζῆν ἡ ἁμαρτία.

***(1121) Θεωρία εἰς τό, "Οἱ οὐρανοί διηγοῦνται δόξαν Θεοῦ."***

Οὕτω Δαβίδ ὁ μετ᾽ ἐκείνους μέν τῷ χρόνῳ, κατ᾽ ἐκείνους δέ τῷ πνεύματι, ἵνα τούς Κριτάς παραδράμω πολλά ἔχοντας ἐν τῷ βίῳ μυστήρια, τήν δόξαν τοῦ Θεοῦ διηγουμένων τῶν οὐρανῶν ἀκούων, καί τήν ποίησιν τῶν χειρῶν αὐτοῦ ἀναγγέλλοντος τοῦ στερεώματος (τό θαυμάσιον, οἷς ψυχήν ὁ Δημιουργός οὐκ ἐνέθηκε), τούς περί θεολογίας νοός ἀκοαῖς παρά τῶν ἀψύχων ὑποδέχετο λόγους, καί τούς τῆς προνοίας καί κρίσεως ἐξ ἀποτελέσματος, κατά τό ἀνθρώποις ἐφικτόν, ἐδιδάσκετο τρόπους, τῶν, οἷς δηλονότι κατά μέρος ποικίλλεται ἡ τοῦ παντός διεξαγωγή, οὐκ ἐφικνούμενος λόγων.

***Θεωρία εἰς τό, " Ὁ πατήρ μου καί ἡ μήτηρ μου ἐγκατέλιπόν με. "***

Οὕτω πάλιν· Ὁ πατήρ μου καί ἡ μήτηρ μου ἐγκατέλιπόν με, ὁ δέ Κύριος προσελάβετό με, φάσκων τήν τοῦ κατά φύσιν τῆς σαρκός περί γένεσιν καί φθοράν νόμου, καθ᾽ ὅν πάντες διά τήν παράβασιν καί γεννώμεθα καί συνιστάμεθα, καί τῆς τιθηνούσης ἡμᾶς μητρός δίκην αἰσθήσεως ἀπόλειψίν τε καί ἀποφυγήν ἀναγκαίαν εἶναι τοῖς τῶν ἀφθάρτων ἐπιθυμηταῖς ἐπικεκρυμμένως, οἶμαι, διηγόρευε· δι᾽ ὧν ὁ μέν ὁρώμενος κόσμος ἀφίεται καί ἀφίησιν, ὁ δέ Κύριος προσλαμβάνεται, καί τῷ πνευματικῷ υἱοθετῶν νόμῳ τούς ἀξίους, καί τοῖς ἀξίοις πατροθετούμενος, δι᾽ ἀρετῆς καί γνώσεως, ὅλον ἑαυτόν ὅλοις αὐτοῖς καθ᾽ ὁμοίωσιν, ὡς ἀγαθός, ἐνδίδωσιν. Ἤ τάχα διά τοῦ πατρός καί τῆς μητρός τόν γραπτόν νόμον καί τήν κατ᾽ αὐτόν σωματικήν λατρείαν αἰνίττεται, ὧν τῇ ὑποχωρήσει τό φῶς τοῦ πνευματικοῦ νόμου ταῖς καρδίαις τῶν ἀξίων ἀνατέλλειν πέφυκε, καί τῆς κατά σάρκα δουλείας ἐλευθερίαν χαρίζεσθαι.

***Θεωρία εἰς τήν ὀπτασίαν Ἠλίου τήν ἐν τῷ σπηλαίῳ Χωρήβ.***

Οὕτως Ἠλίας ὁ περινόητος μετά τό πῦρ ἐκεῖνο, μετά τόν συσσεισμόν, μετά τόν συσσεισμόν, μετά τό μέγα καί κραταιόν πνεῦμα τό διαλύον ὄρη, ἅ δή ζῆλον καί διάκρισιν εἶναι καί τήν ἐν πληροφορίᾳ πρόθυμον πίστιν ὑπολαμβάνω (ἡ μέν γάρ διάκρισις, ὥσπερ σεισμός τά

συνεχῆ, τήν μοχθηρίᾳ πυκνωθεῖσαν ἕξιν διά τῆς ἀρετῆς ἐπισείουσα τῆς κακίας ἐξίστησιν, ὁ δέ ζῆλος πυρός δίκην ἀνάπτων τούς ἔχοντας τῇ ζέσει τοῦ πνεύματος παιδεύειν πείθει τούς ἀσεβεῖς, ἡ δέ πίστις, πνεύματος βιαίου τρόπον, δόξης ἕνεκεν Θεοῦ πρός καθαίρεσιν ὀχυρωμάτων δι᾿ ἐπιδείξεως θαυμάτων ὠθοῦσα τούς ἀπαθεῖς ὕδατος γνωστικοῦ καί πυρός θεοποιοῦ χορηγόν τόν ὄντως πιστόν ἄνθρωπον καθίστησι, καί τῷ μέν τόν δι᾿ ἀγνοίας λιμόν (1124) θεραπεύουσα, τῷ δέ τοῖς θύουσι δι᾿ οἰκειότητος τόν Θεόν εὐμενίζουσα, καί τούς τῆς κακίας διδασκάλους λογισμούς τε καί δαίμονας λογοσοφίας κτιννῦσα τῆς τῶν παθῶν δουλείας τούς κεκρατημένους ἐλευθεροῖ) μετά ταῦτα πάντα φωνῆς τῆς ἐν ᾗ ὁ Θεός ὑπῆρχε λεπτῆς αὔρας αἰσθόμενος τήν προφορᾷ λόγου καί τρόποις βίου καί ἤθεσι θείαν καί ἀτάραχον καί εἰρηνικήν καί παντελῶς ἄϋλον καί ἁπλῆν καί παντός εἴδους ἐλευθέραν καί σχήματος κατάστασιν, λεχθῆναι ἤ δειχθῆναι μή δυναμένην, μυστικῶς ἐδιδάσκετο. Ἧς καταπλαγείς τε τήν δόξαν καί τῷ κάλλει τρωθείς, τοῦ ζηλωτής εἶναι τό πρός αὐτήν εἶναι μᾶλλον ποθήσας, τουτέστι τοῦ ὑπέρ ἀληθείας μάχεσθαι τό μετά τῆς ἀληθείας δι᾿ ὅλου γενέσθαι, καί μηδέν ἀντικείμενον ὁρᾷν ἤ γινώσκειν τῷ μόνον τόν Θεόν ὅλον δι᾿ ὅλου ἐν πᾶσιν ὄντα ἐπίστασθαι πολλῷ τιμιώτερον κρίνας, ἔτι ὤν ἐν σαρκί πρός αὐτήν ὑπάρχων φυλάττεται, θείῳ ἀρετῶν ἅρματι τήν ὕλην διαπεράσας, ὡς προκατάλυμμα τῆς καθαρᾶς τοῦ νοῦ πρός τά νοητά διαβάσεως, καί τῆς σαρκός τό νέφος τό ἐπισκοτοῦν τῷ ἡγεμονικῷ τῆς ψυχῆς διά τῶν αὐτῆς παθημάτων, ἵνα καί αὐτός ὧν ἐπόθησεν ἀῤῥήτων ἀγαθῶν μέτοχος γένηται, ὡς ἐφικτόν τῷ ἔτι μετά σαρκός τῆς ὑπό φθοράν, καί ἡμῖν τάχα τῶν ἐπηγγελμένων βεβαία γένηται πίστωσις. Τοῦτο γάρ αὐτῷ καί ὁ Θεός ὑπετίθετο διά τῶν οὕτω μυστικῶς δεδραματουργημένων ἀλαλήτως βοῶν, ὅτι παντός ἄλλου ἀγαθοῦ τό μετά Θεοῦ μόνου διά τῆς εἰρήνης εἶναι λυσιτελέστερον.

***Θεωρία εἰς τόν Ἐλισσαῖον, τόν αὐτοῦ μαθητήν.***

Οὕτως ὁ τούτου μαθητής καί κληρονόμος τοῦ πνεύματος Ἐλισσαῖος μηκέτι ταῖς ὑλικαῖς φαντασίαις ἐχομένην ἔχων δι᾿ ἐνεργείας τήν αἴσθησιν, ἅτε διαβαθεῖσαν ἤδη ταῖς κατά νοῦν τοῦ πνεύματος χάρισι, τάς ταῖς πονηραῖς ἀντιθέτους θείας δυνάμεις περί αὐτόν οὔσας δι᾿ ἄλλης ὀμμάτων ἐνεργείας αὐτός τε ὁρῶν καί τῷ φοιτητῇ τό ὁρᾷν χαριζόμενος ἰσχυροτέραν τῆς ἀσθενείας τήν δύναμιν, λέγω δή τῆς σαρκός, περί ἥν τῆς πονηρίας τά πνεύματα τόν διορατικόν νοῦν ἐνδρεύουσι, πλέον ἔχειν τήν ψυχήν, περί ἥν τῶν

ἀγγέλων αἱ φάλαγγες παρεμβάλλουσιν, οἷον βασιλικήν εἰκόνα περιϊστάμενοι, καί ἐδιδάσκετο καί ἐδίδασκεν.

***Θεωρία εἰς τήν Ἄνναν καί τόν Σαμουήλ.***

Οὕτω καί ἡ μακαρία Ἄννα ἡ τοῦ μεγάλου μήτηρ Σαμουήλ, στεῖρα οὖσα καί ἄτεκνος, παρά τοῦ Θεοῦ καρπόν αἰτησαμένη κοιλίας, καί ἀντιδώσειν καί ἀντιχαρίζεσθαι τό δοθησόμενον τῷ διδόντι καί χαριζομένῳ Θεῷ διά τῆς ἐν τῷ ναῷ προσεδρείας θερμῶς ὑποσχομένη, ἐδίδασκε μυστικῶς τό δεῖν πᾶσαν ψυχήν ἡδονῶν σαρκικῶς στειρεύουσαν, διά τῆς τοῦ Θεοῦ, τῶν ἀρετῶν τά σπέρματα, ἵνα τό βλέπειν τά ἔμπροσθεν γνωστικῶς δυνάμενον κατά διάνοιαν συλλαβοῦσα ὑπήκοον τοῦ Θεοῦ λόγον καί τεκοῦσα (1125) προσενέγκαι δυνηθῇ, διά τῆς κατά τήν θεωρίαν εὐσεβοῦς προσεδρείας, ὡς μέγα χρέος καί τίμιον, μηδέν ἴδιον ἔχειν κρίνουσα, ὥστε δεῖξαι τόν Θεόν μόνον διδόντα τε καί δεχόμενον· καθά πού φησιν ὁ νόμος, Τά δῶρά μου, δόματά μου, καρπώματά μου, διατηρήσετε προσφέρειν μοι, ὡς ἐξ αὐτοῦ τε καί εἰς αὐτόν παντός ἀγαθοῦ καί ἀρχομένου καί λήγοντος. Πέφηκε γάρ ὁ τοῦ Θεοῦ λόγος οἷς ἄν ἐγγένηται τῆς τε σαρκός ἀθετεῖν τά κινήματα καί τῆς πρός αὐτά τήν ψυχήν ἀναστέλλειν ῥοπῆς, καί πάσης πληροῦν ἀληθοῦς διαγνώσεως.

***Θεωρία εἰς τόν ἀφορίζοντα τήν ἀκάθαρτον οἰκίαν.***

Καί γάρ τόν ἱερέα κατά τήν νομικήν διαταγήν εἰσιόντα εἰς τήν καθ᾽ ὁντιναοῦν τρόπον ἀκάθαρτον οἰκίαν, καί ἀφορίζοντα αὐτήν, καί τά πρός κάθαρσιν διαστέλλοντα τοῖς κεκτημένοις ἀκούων τόν ἀρχιερέα λόγον δι᾽ αὐτοῦ παραδηλοῦσθαι νοῶ, φωτός δίκην καθαρωτάτου εἰσιόντα εἰς τήν ψυχήν, καί τά ἐναγῆ βουλεύματα καί διανοήματα μετά τῶν ὑπαιτίων πράξεων ἐκκαλύπτοντα, καί τούς τῆς ἐπιστροφῆς καί καθάρσεως τρόπους σοφῶς ὑποτιθέμενον. Ὅπερ, οἶμαι, σαφέστερον ἡ τόν μέγαν προφήτην Ἠλίαν ὑποδεξαμένη παραδηλοῦσα ἔλεγεν, Ἄνθρωπε τοῦ Θεοῦ, εἰσῆλθες πρός ἐμέ τοῦ ἀναμνῆσαί με τάς ἀδικίας μου.

***Θεωρία εἰς τόν ἅγιον Ἠλίαν, καί εἰς τήν Σαραφθίαν χήραν.***

Πᾶσα γάρ ψυχή χηρεύουσά τε καλῶν καί ἀρετῆς ἔρημος καί γνώσεως Θεοῦ ἐπειδάν τόν θεῖον καί διαγνωστικόν ὑποδέξηται λόγον, εἰς μνήμην ἐρχομένη τῶν αὐτῆς ἁμαρτημάτων διδάσκεταί πως ἀρετῶν ἄρτοις τόν διατρέφοντα τρέφειν λόγον, καί ποτίζειν ἀληθείας

δόγμασι τήν πηγήν τῆς ζωῆς, καί αὐτῆς τῆς φύσεως τήν εἰς αὐτήν προκρίνειν θεραπείαν, δι᾿ ἧς τε ὑδρία σάρξ τήν ἐπί ταῖς ἀρεταῖς πρακτικήν συντομίαν χορηγήσει, καί ὁ καμψάκης νοῦς τήν τό φῶς συντηροῦσαν τῆς γνώσεως θεωρίαν διηνεκῶς πηγάσεις, καί ὁ ἔμφυτος λογισμός, ὥσπερ ἐκεῖ τῆς χήρας ὁ υἱός, τήν ἐμπαθῆ προτέραν ἀποθέμενος ζωήν τῆς παρά τοῦ λόγου διδομένης θείας καί ἀληθοῦς γενέσθαι μέτοχος ἀξιωθήσεται ζωῆς.

***Θεωρία εἰς τήν μεταμόρφωσιν τοῦ Κυρίου.***

Οὕτω καί τῶν Χριστοῦ μαθητῶν πρός τοῖς εἰρημένοις τινές, οἷς συναναβῆναί τε καί συνεπαρθῆναι αὐτῷ πρός τό ὄρος τῆς αὐτοῦ φανερώσεως δι᾿ ἀρετῆς ἐπιμέλειαν ἐξεγένετο μεταμορφωθέντα θεασάμενοι, τῷ τε φωτί τοῦ προσώπου ἀπρόσιτον, καί τῇ τῶν αἰσθημάτων λαμπρότητι κατάπληκτοι, καί τῇ τῶν ἑκατέρωθεν συνόντων τιμῇ Μωσέως καί Ἠλίου γεγενημένον αἰδεσιμώτερον ἐπεγνωκότες, (1128) ἀπό τῆς σαρκός εἰς τό πνεῦμα μετέβησαν, πρίν τήν διά σαρκός ἀποθέσθαι ζωήν, τῇ ἐναλλαγῇ τῶν κατ᾿ αἴσθησιν ἐνεργειῶν ἥν αὐτούς τό πνεῦμα ἐνήργησε, περιελόν τῆς ἐν αὐτοῖς νοερᾶς δυνάμεως τῶν παθῶν τά καλύμματα, δι᾿ οὗ καθαρθέντες τά τῆς ψυχῆς καί σώματος αἰσθητήρια τῶν παραδειχθέντων αὐτοῖς μυστηρίων τούς πνευματικούς ἐκπαιδεύονται λόγους. Τήν μέν ἀκτινοφανῶς ἐκλάμπουσαν τοῦ προσώπου πανόλβιον αἴγλην, ὡς πᾶσαν ὀφθαλμῶν νικῶσαν ἐνέργειαν, τῆς ὑπέρ νοῦν καί αἴσθησιν καί οὐσίαν καί γνῶσιν θεότητος αὐτοῦ σύμβολον εἶναι μυστικῶς ἐδιδάσκοντο, ἀπό τοῦ μή ἔχειν αὐτοῦ εἶδος μήτε κάλλος καί τοῦ σάρκα τόν λόγον γεγενημένον γινώσκειν ἐπί τόν ὡραῖον κάλλει παρά τούς υἱούς τῶν ἀνθρώπων καί τήν ἐν ἀρχῇ αὐτόν εἶναι καί πρός τόν Θεόν εἶναι καί Θεόν εἶναι, ἔννοιαν χειραγωγούμενοι, καί πρός τήν ὡς Μονογενοῦς παρά Πατρός πλήρη χάριτος καί ἐληθείας δόξαν διά τῆς παντελῶς πᾶσιν ἀχώρητον αὐτόν ἀνυμνούσης θεολογικῆς ἀποφάσεως γνωστικῶς ἀναγόμενοι· τά δέ λευκανθέντα ἱμάτια τῶν ῥημάτων τῆς ἁγίας Γραφῆς φέρειν σύμβολον, ὡς τηνικαῦτα λαμπρῶν καί τρανῶν καί σαφῶν αὐτοῖς γενομένων, καί παντός γριφώδους αἰνίγματος καί συμβολικοῦ σκιάσματος χωρίς νοουμένων, καί τόν ἐν αὐτοῖς ὄντα τε καί καλυπτόμενον παραδηλούντων λόγον, ὁπηνίκα τήν τε λείαν καί ὀρθήν περί Θεοῦ γνῶσιν ἔλαυνον, καί τῆς πρός τόν κόσμον καί τήν σάρκα προσπαθείας ἠλευθερώθησαν· ἤ τῆς κτίσεως

αὐτῆς κατά περιαίρεσιν τῆς δοκούσης τέως ἐμφαίνεσθαι αὐτῇ τῶν ἠπατημένων καί μόνῃ αἰσθήσει προσδεδεμένων ῥυπαρᾶς ὑπολήψεως, διά τῆς τῶν αὐτήν συμπληρούντων διαφόρων εἰδῶν σοφῆς ποικιλίας, ἀναλόγως ἱματίου τρόπον τήν ἀξίαν τοῦ φοροῦντος τήν τοῦ γενεσιουργοῦ λόγου δύναμιν μηνυούσης. Ἄμφω γάρ ἐπί τοῦ λόγου ἁρμόσει τά λεγόμενα, ἐπεί καί ἀμφοῖν δι᾽ ἀσαφείας κεκάλυπται δι᾽ ἡμᾶς εἰκότως, πρός τό μή τολμᾶν τοῖς ἀχωρήτοις ἀναξίως προσβάλλειν, τῷ μέν ῥητῷ τῆς ἁγίας Γραφῆς, ὡς λόγος, τῇ δέ κτίσει, ὡς κτίστης καί ποιητής καί τεχνίτης. Ὅθεν ἀναγκαίως ἀμφοτέρων ἐπιδεῖσθαί φημι τόν πρός Θεόν ἀμέπτως εὐθυπορεῖν βουλόμενον, τῆς τε γραφικῆς ἐν πνεύματι γνώσεως, καί τῆς τῶν ὄντων κατά πνεῦμα φυσικῆς θεωρίας· ὥστε ἰσοτίμους καί τά αὐτά ἀλλήλοις παιδεύοντας τούς δύο νόμους, τόν τε φυσικόν καί τόν γραπτόν, καί μηδέτερον θατέρου ἔχοντα πλέον ἤ ἔλαττον, δύνασθαι δεῖξαι, ὡς εἰκός, τόν τελείας ἐραστήν γενέσθαι τῆς σοφίας τέλειον ἐπιθυμοῦντα.

***Θεωρία τοῦ τε φυσικοῦ καί τοῦ γραπτοῦ νόμου, καί τῆς αὐτῶν κατ᾽ ἐπαλλαγήν εἰς ἀλλήλους συνδρομῆς.***

Νοῶ τόν μέν ὁμαλῶς ὅτι μάλιστα κατά λόγον διευθυνόμενον διά τῶν ἐν αὐτῷ συμφυῶν θεαμάτων βίβλου τρόπον τό ἐναρμόνιον τοῦ παντός ὕφασμα (1129) ἔχοντα, γράμματα μέν καί συλλαβάς ἐχούσης, τά πρός ἡμᾶς πρῶτα, προσεχῆ τε καί μερικά, καί πολλαῖς παχυνόμενα κατά σύνοδον ποιότησι σώματα, ῥήματα δέ, τά τούτων καθολικώτερα, πόῤῥω τε ὄντα καί λεπτότερα, ἐξ ὧν σοφῶς ὁ διαχαράξας καί ἀῤῥήτως αὐτοῖς ἐγκεχαραγμένος λόγος ἐναγινωσκόμενος ἀπαρτίζεται, τήν ὅτι μόνον ἐστίν, οὐχ ὅτι ποτέ δέ ἐστιν οἱανοῦν παρεχόμενος ἔννοιαν, καί διά τῆς εὐσεβοῦς τῶν διαφόρων φαντασιῶν συλλογῆς εἰς μίαν τοῦ ἀληθοῦς εἰκασίαν ἐνάγων, ἀναλόγως ἑαυτόν διά τῶν ὁρατῶν ὡς γενεσιουργός ἐνορᾶσθαι, διδούς· τόν δέ μαθήσει κατορθούμεον, διά τῶν αὐτῷ σοφῶς ὑπηγορευμένων ὥσπερ κόσμον ἄλλον ἐξ οὐρανοῦ καί γῆς καί τῶν ἐν μέσῳ, τῆς ἠθικῆς φημι καί φυσικῆς καί θεολογικῆς φιλοσοφίας συνιστάμενον, τήν ἄφατον καταμηνύειν τοῦ ὑπαγορεύσαντος δύναμιν, καί ταὐτόν ἀλλήλοις κατ᾽ ἐπαλλαγήν ὄντας δεικνύοντα τόν μέν γραπτόν τῷ φυσικῷ κατά τήν δύναμιν, τόν δέ φυσικόν ἔμπαλιν τῷ γραπτῷ κατά τήν ἕξιν, καί τόν αὐτόν μηνύοντας καί καλύπτοντας λόγον, τόν μέν τῇ λέξει καί τῷ φαινομένῳ, τό δέ τῇ νοήσει καί τῷ κρυπτομένῳ. Ὡς γάρ τῆς ἁγίας Γραφῆς τά μέν ῥήματα ἱμάτια λέγοντες, τά δέ νοήματα σάρκας τοῦ

λόγου νοοῦντες, τοῖς μέν καλύπτομεν, τοῖς δέ ἀπακαλύπτομεν, οὕτω καί τῶν γεγονότων τά πρός τό ὁρᾶσθαι προβεβλημένα εἴδη τε καί σχήματα ἱμάτια λέγοντες, τούς δέ καθ᾽ οὕς ἔκτισται ταῦτα λόγους σάρκας νοοῦντας, ὡσαύτως τοῖς μέν καλύπτομεν, τοῖς δέ ἀποκαλύπτομεν. Κρύπτεται γάρ φαινόμενος ὁ τοῦ παντός δημιουργός καί νομοθέτης λόγος, κατά φύσιν ὑπάρχων ἀόρατος, καί ἐκφαίνεται κρυπτόμενος, μή λεπτός εἶναι φύσει τοῖς σοφοῖς πιστευόμενος. Εἴη δέ ἡμῖν τοῦτο δι᾽ ἀποφάσεως ἐκφαίνειν κρυπτόμενον, καί πᾶσαν σχημάτων τε καί αἰνιγμάτων τό ἀληθές εἰκονίζουσαν δύναμιν παρελθεῖν μᾶλλον καί πρός αὐτόν τόν λόγον ἀπό τοῦ γράμματος καί τῶν φαινομένων κατά τήν τοῦ πνεύματος δύναμιν ἀῤῥήτως ἀναβιβάζεσθαι, ἤ τοῦτο φαινόμενον κρύπτειν διά τῆς θέσεως γίνεσθαι ἵνα μή καί ἡμεῖς φονευταί τοῦ λόγου γενόμενοι Ἑλληνικῶς τῇ κτίσει λατρεύσωμεν παρά τόν κτίσαντα, μηδέν ἀνώτερον τῶν ὁρωμένων εἶναι πιστεύοντες καί τῶν αἰσθητῶν μεγαλοπρεπέστερον, ἤ μέχρι μόνου τοῦ γράμματος διαβλέποντες τό σῶμα μόνον Ἰουδαϊκῶς περί πολλοῦ ποιησώμεθα, τήν κοιλίαν θεοποιήσαντες, καί τήν αἰσχύνην ἡγησάμενοι δόξαν, τόν αὐτόν τοῖς θεοκτόνοις κλῆρον ἀπενεγκώμεθα, ὡς τόν καθ᾽ ἡμᾶς δι᾽ ἡμᾶς πρός ἡμᾶς γενόμενον διά σώματος καί συλλαβαῖς καί γράμμασι παχυθέντα διά τήν αἴσθησιν, ὅλην τοῦ ἐν ἡμῖν νοεροῦ τήν δύναμιν πρός ἑαυτήν ἐπικλίνασαν, οὐ διαγινώσκοντες λόγον. Φησί γάρ ὁ θεῖος Ἀπόστολος, Τό γράμμα ἀποκτείνει, τό δέ πνεῦμα ζωοποιεῖ. Καί γάρ καθ᾽ αὐτό μόνον τό γράμμα στεργόμενον τόν ἐν αὐτῷ ἀποκτείνειν λόγον τοῖς στέργουσιν εἴωθεν, ὥσπερ καί τό κάλλος τῶν κτισμάτων μή πρός δόξαν τοῦ πεποιηκότος (1132) ὁρώμενον τῆς κατά λόγον εὐσεβείας ἀποστερεῖν τούς θεωμένους πέφυκε. Καί πάλιν τό Εὐαγγέλιον, Εἰ μή ἐκολοβώθησαν αἱ ἡμέραι ἐκεῖναι, δηλαδή τῆς κακίας, οὐκ ἄν ἐσώθη πᾶσα σάρξ, τουτέστι πᾶσα περί Θεοῦ εὐσεβής ἔννοια. Κολοβοῦνται γάρ κακίας ἡμέραι, τῆς κατ᾽ αἴσθησιν δημιουργούσης αὐτάς ἐσφαλμένης κρίσεως τῷ λόγῳ περιγραφείσης, καί τοῦ κατ᾽ αὐτόν εὐσεβοῦς δικαιώματος κατόπιν γεγενημένης. Ἀντιχρίστου γάρ οὐδέν διενήνοχεν ὁ τῆς σαρκός νόμος, ἀεί παλαίων τῷ πνεύματι καί τῷ αὐτοῦ θείῳ νόμῳ ἀντιτασσόμενος, ἕως ἡ παροῦσα ζωή τοῖς ἡττημένοις αὐτῇ προσφιλής ἐστι καί ἐράσμιος, καί οὔπω φανείς ὁ λόγος τῷ ῥήματι τῆς δυνηάμεως ἀνεῖλε, διακρίνας τοῦ ἀθανάτου τό θνητόν, καί τῆς ἐλευθερίας τήν διοχλοῦσαν ἔξω ποιησάμενος

δουλείαν, καί τήν ἀλήθειαν αὐτήν καθ᾽ ἑαυτήν ψεύδους καθαράν ἀποδείξας, καί τῶν θείων καί αἰωνίων τά ὑλικά καί πρόσκαιρα ἀποδιορίσας, πρός ἅ πέφυκεν ὁ νοῦς διά τῆς κατ᾽ αἴσθησιν πρός αὐτά οἰκειότητος πλανώμενος ἐπικλίνεσθαι καί τῇ ἀλόγῳ θανατοῦσθαι στοργῇ· πρός ὅν μάλιστα προηγουμένως θεοπρεπής τοῦ λόγου κατάβασις γίνεται, τοῦ θανάτου τῆς ἀγνοίας αὐτόν ἀνεγείρουσα, καί τῆς πρός τά ὑλικά ἐμπαθοῦς διαθέσεως ἀναστέλλουσα καί πρός τό κατά φύσιν ἐραστόν τήν ἔφεσιν αὐτοῦ ἐπανάγουσα. Διό ἀναγκαίως οἶμαι δεῖν τοῦ ὑπέρ τά ἐνδύματα μακρῷ κρείσσονος σώματος, τουτέστι τῶν θείων καί ὑψηλῶν νοημάτων, τῆς τε ἁγίας Γραφῆς καί τῶν κατά τήν κτίσιν θεαμάτων, φροντίζειν λογικούς ὄντας, καί διά λόγου πρός λόγον σπεύδοντας (καθώς φησιν ὁ λόγος αὐτός, Οὐχί πλέον ἐστίν ἡ ψυχή τῆς τροφῆς, καί τό σῶμα τοῦ ἐνδύματος;) μήπως ἐν καιρῷ διαλεγχθῶμεν μηδέν ἔχοντες τούτων ἐπειλημμένοι, τοῦ ὑφεστῶτος καί ὑφιστῶντος τά πάντα λόγου οὐ περιδραξάμενοι, κατά τήν Αἰγυπτίαν ἐκείνην, ἥτις μόνων τῶν ἱματίων τοῦ Ἰωσήφ ἐπιλαβομένη τῆς τοῦ ἐραστοῦ παντελῶς διήμαρτεν ὁμιλίας. Οὕτω γάρ ἄν τά τε ἐνδύματα τοῦ λόγου, φημί δή τά ῥήματα τῆς Γραφῆς, καί τά φαινόμενα κτίσματα, λαμπρά τε καί ἐπίδοξα τῇ ἐναλλαγῇ τῶν περί αὐτόν δογμάτων, καί τῷ θείῳ λόγῳ ἐμπρέποντα διά τῆς ὑψηλῆς θεωρίας, καί ἡμεῖς ἐπί τό ὄρος ἀναβάντες τῆς θείας μεταμορφώσεως θεασόμεθα, οὐδαμῶς πληκτικῶς εἰργόμενοι τῆς μακαρίας τοῦ λόγου ἁφῆς κατά τήν Μαγδαληνήν Μαρίαν, κηπουρόν εἶναι δόξασαν τόν Κύριον Ἰησοῦ, καί μόνων τῶν ὑπό γένεσιν καί φθοράν δημιουργόν οὕτω μηδέν ὑπέρ τήν αἴσθησιν εἶναι νομίζουσαν, ἀλλά καί ὀψόμεθα καί προσκυνήσομεν ζῶντα ἐκ νεκρῶν πρός ἡμᾶς τῶν θυρῶν κεκλεισμένων, γενόμενον, τῆς κατ᾽ αἴσθησιν παντελῶς ἐν ἡμῖν ἐνεργείας ἀποσβεσθείσης, τόν τε λόγον αὐτόν καί Θεόν πάντα ἐν πᾶσιν ὄντα, καί πάντα ἑαυτοῦ δι᾽ ἀγαθότητα τά μέν νοητά σῶμα, τά δέ αἰσθητά ἱμάτιον πεποιηκότα γνωσόμεθα. Περί ὧν εἰρῆσθαι δοκεῖν οὐκ ἀπεικός τό, (1123) Πάντες ὡς ἱμάτιον παλαιωθήσονται, διά τήν ἐπικρατοῦσαν νοῦ τῶν ὁρωμένων φθοράν, καί ὡσεί περιβόλαιον ἑλίξεις αὐτούς, καί ἀλλαγήσονται, διά τήν προσδοκωμένην τῆς ἀφθαρσίας χάριν.

***Περί τῶν πέντε τρόπων τῆς φυσικῆς θεωρίας σύντομος ἐξήγησις.***

Πρός τούτοις δέ καί τούς λόγους εἰσόμεθα, τούς τελευταίους δηλαδή καί ἡμῖν ἐφικτούς, ὧν προβέβληται ἡ κτίσις διδάσκαλος, καί

τούς αὐτοῖς συνημμένους πέντε τῆς θεωρίας τρόπους, οἷς διαιροῦντες τήν κτίσιν οἱ ἅγιοι τούς ἐπ' αὐτῇ μυστικούς μετ᾽ εὐσεβείας συνελέξαντο λόγους, εἰς οὐσίαν, καί κίνησιν, καί διαφοράν, κράσιν τε καί θέσιν, αὐτήν ἐπιμερίσαντες. Ὧν τρεῖς μέν ἔφασαν εἶναί τε πρός ἐπίγνωσιν τοῦ Θεοῦ προηγουμένως καί προβεβλῆσθαι χειραγωγικούς, τόν κατ᾽ οὐσίαν, τόν κατά κίνησιν, τόν κατά διαφοράν, δι᾽ ὧν ὁ Θεός γνωστός τοῖς ἀνθρώποις γίνεται ἐν τῶν ὄντων τάς περί αὐτοῦ ἐμφάσεις συλλεγομένοις ὡς δημιουργοῦ καί προνοητοῦ καί κριτοῦ· δύο δέ παιδαγωγικούς πρός ἀρετήν καί τήν πρός Θεόν οἰκείωσιν, τόν κατά κράσιν καί τόν κατά θέσιν, δι᾽ ὧν τυπούμενος, ὁ ἄνθρωπος Θεός γίνηται, τό Θεός εἶναι παθών ἐκ τῶν ὄντων, ὅλην τοῦ Θεοῦ τήν κατ᾽ ἀγαθότητα ἔμφασιν κατά νοῦν ὥσπερ ὁρῶν, καί ἑαυτῷ κατά λόγον ταύτην εἰλικρινεστάτην μορφούμενος. Ὅ γάρ δι᾽ εὐσεβοῦς γνώσεως, φασίν, ὁ καθαρός ὁρᾷν πέφυκε νοῦς, τοῦτο καί παθεῖν δύναται, αὐτό ἐκεῖνο κατά τήν ἕξιν δι᾽ ἀρετῆς γινόμενος. Οἷον, τήν μέν οὐσίαν θεολογίας εἶναι διδάσκαλον, δι᾽ ἧς τῶν ὄντων τό αἴτιον ἐπιζητοῦντες δι᾽ αὐτῶν ὅτι ἔστι διδασκόμεθα, τό τίποτε εἶναι τοῦτο κατ᾽ οὐσίαν γνῶναι μή ἐπιχειροῦντες, ὅτι μηδέ ἔστιν ἐμφάσεως ἐν τοῖς οὖσι τούτου προβολή, δι᾽ ἧς κἄν ποσῶς ὡς δι᾽ αἰτιατοῦ πρός τό αἴτιον ἀνανεύσωμεν· τήν δέ κίνησιν τῆς τῶν ὄντων προνοίας εἶναι ἐμφαντικήν, δι᾽ ἧς τῶν γεγονότων τήν κατ᾽ οὐσίαν ἑκάστου κατ᾽ εἶδος ἀπαράλλακτον ταυτότητα καί ὡσαύτως ἀπαραγχείρητον διεξαγωγήν θεωροῦντες, τόν συνέχοντα καί φυλάττοντα καθ᾽ ἕνωσιν ἄῤῥητον ἀλλήλων εὐκρινῶς ἀφωρισμένα τά πάντα καθ᾽ οὕς ὑπέστησαν ἕκαστα λόγους ἐννοοῦμεν· τήν διαφοράν δέ τῆς κρίσεως εἶναι μηνυτικήν, καθ᾽ ἥν διανομέα σοφόν ἐκ τῆς ἐν ἑκάστῳ τῶν ὄντων συμμέτρου τῷ ὑποκειμένῳ τῆς οὐσίας φυσικῆς δυνάμεως τῶν καθ᾽ ἕκαστα λόγων εἶναι τόν Θεόν παιδευόμεθα· πρόνοιαν δέ φημι νοῦ, οὐ τήν ἐπιστρεπτικήν, καί οἷον οἰκονομικήν τῆς τῶν προνοουμένων ἀφ᾽ ὧν οὐ δεῖ ἐφ᾽ ἅ δεῖ ἐπαναγωγῆς, ἀλλά τήν συνεκτικήν τοῦ παντός, καί καθ᾽ οὕς τό πᾶν προηγουμένως ὑπέστη λόγους συντηρητικήν· καί κρίσιν, οὐ τήν παιδευτικήν καί οἷον κολαστικήν τῶν ἁμαρτανόντων, ἀλλά τήν σωστικήν καί ἀφοριστικήν τῶν ὄντων διανομήν, καθ᾽ ἥν τῶν γεγονότων ἕκαστα τοῖς καθ᾽ οὕς γεγένηται συνημμένα λόγοις ἀπαράβατον ἔχει (1136) τήν ἐν τῇ φυσικῇ ταυτότητι ἀναλλοίωτον νομιμότητα, καθώς ἐξ ἀρχῆς ὁ δημιουργός περί τοῦ εἶναι καί τί εἶναι καί πῶς καί ὁποῖον ἕκαστον ἔκρινέ τε καί ὑπεστήσατο· ἐπεί τοιγε ἡ

ἄλλως λεγομένη πρόνοια καί κρίσις ταῖς ἡμῶν προαιρετικαῖς ὁρμαῖς παραπεπήγασι, τῶν μέν φαύλων πολυτρόπως ἀπείργουσαι, πρός δέ τά καλά σοφῶς ἐπιστρέφουσαι, καί τῷ διευθύνειν τά οὐκ ἐφ᾽ ἡμῖν ἐναντίως τοῖς ἐφ᾽ ἡμῖν καί παροῦσαν καί μέλλουσαν καί παρελθοῦσαν κακίαν ἐκτέμνουσαι. Οὐκ ἄλλην δέ καί ἄλλην πρόνοιαν διά τούτων εἶναι λέγω καί κρίσιν. Μίαν γάρ καί τήν αὐτήν οἶδα κατά τήν δύναμιν, διάφορον δέ ὡς πρός ἡμᾶς καί πολύτροπον τήν ἐνέργειαν ἔχουσαν. Τήν δέ κράσιν τῶν ὄντων ἤτοι σύνθεσιν τῆς ἡμετέρας γνώμης εἶναι σύμβολον. Κραθεῖσα γάρ αὕτη ταῖς ἀρεταῖς, καί ἑαυτῇ ταύτας κεράσασα, τόν κατά διάνοιαν θεοπρεπέστατον καί αὐτήν συνίστησι κόσμον. Τήν δέ θέσιν τοῦ κατά γνώμην ἤθους εἶναι διδάσκαλον, ὡς παγίως ἔχειν περί τό εὖ δόξαν τῷ ῥυθμίζειν ἀντιλόγῳ ὀφείλοντος, ἥκιστα τοῖς συμπίπτουσιν ἐκ τῆς κατά λόγον βάσεως ἀλλοίωσιν τήν οἱανοῦν δεχομένου. Συνάψαντες δέ πάλιν τῇ κινήσει τήν θέσιν, καί τήν κράσιν τῇ διαφορᾷ, εἰς οὐσίαν καί διαφοράν καί κίνησιν τήν τοῦ παντός ἀδιαιρέτως διέκριναν ὑπόστασιν, καί τῷ κατ᾽ ἐπίνοιαν λόγῳ τεχνικῶς ἐνθεωρεῖσθαι τοῖς αἰτιατοῖς διαφόρως τό αἴτιον κατανοήσαντες καί εἶναι καί σοφόν εἶναι καί ζῶν εἶναι εὐσεβῶς τοῦτο κατέλαβον. Καί τόν περί Πατρός καί Υἱοῦ καί ἁγίου Πνεύματος θεοτελῆ καί σωτήριον ἐντεῦθεν ἐδιδάχθησαν λόγον, καθ᾽ ὅν οὐ τόν τοῦ εἶναι μόνον ἁπλῶς τοῦ αἰτίου λόγον μυστικῶς ἐφωτίσθησαν, ἀλλά καί τόν τῆς ὑπάρξεως τρόπον εὐσεβῶς ἐμυήθησαν. Καί πάλιν κατά μόνην τήν θέσιν πᾶσαν τήν κτίσιν περιαθρήσαντες τούς εἰρημένους πέντε εἰς τρεῖς συνέστειλαν θεωρίας τρόπους, ἐξ οὐρανοῦ καί γῆς καί τῶν ἐν μέσῳ ἠθικῆς καί φυσικῆς καί θεολογικῆς φιλοσοφίας διδάσκαλον τήν κτίσιν εἶναι τῷ καθ᾽ ἑαυτήν λόγῳ ἐπεγνωκότες. Πάλιν δέ ἐκ μόνης τῆς διαφορᾶς τήν κτίσιν θεωρήσαντες, τουτέστιν ἐν τῶν περιεχόντων καί περιεχομένων, λέγω δέ τοῦ οὐρανοῦ καί τῶν ἐντός εἰς δύο τούς τρεῖς συνήγαγον τρόπους, σοφίαν φημί καί φιλοσοφίαν, τήν μέν ὡς περιεκτικήν καί πάντας θεοπρεπῶς τούς εὐσεβεῖς ἐπ᾽ αὐτῆς λεγομένους ἐπιδεχομένην τρόπους, καί τούς περί τῶν ἄλλων ἐντός ἑαυτῆς μυστικούς τε καί φυσικούς περικλείουσαν λόγους, τήν δέ ὡς ἤθους καί γνώμης, πράξεώς τε καί θεωρίας, καί ἀρετῆς καί γνώσεως συνεκτικήν, καί οἰκειότητι σχετικῇ πρός τήν σοφίαν ὡς αἰτίαν ἀναφερομένην. Καί πάλιν κατά μόνην τήν κράσιν ἤτοι τήν ἐναρμόνιον τοῦ παντός σύνθεσιν, τήν κτίσιν κατανοήσαντες, καί διά πάντων τῶν ἀλλήλοις ἀῤῥήτως εἰς ἑνός συμπλήρωσιν κόσμου

συνδεδεμένων μόνον τόν συνδέοντα καί ἐπισφίγγοντα τῷ ὅλῳ τά μέρη καί ἀλλήλοις δημιουργόν (1137) ἐννοήσαντες λόγον τούς δύο εἰς ἕνα θεωρίας συνέκλεισαν τρόπον, καθ᾿ ὅν ἁπλῇ προσβολῇ διά τῶν ἐν τοῖς οὖσι λόγων πρός τό αἴτιον νοῦν διαπορθεύσαντες, καί μόνῳ αὐτῷ ὡς συναγωγῷ τῶν ἐξ αὐτοῦ πάντων καί ἑλκτικῷ προδήσαντες, τοῖς καθ᾿ ἕκαστα τῶν ὅλων τῷ ὑπερβαθῆναι οὐκέτι διαχεόμενοι λόγοις, διά τοῦ πεπεῖσθαι σαφῶς μόνον τόν Θεόν κυρίως εἶναι λοιπόν ἐκ τῆς πρός τά ὄντα ἀκριβοῦς ἐνατενίσεως, καί οὐσίαν τῶν ὄντων καί κίνησιν καί τῶν διαφερόντων εὐκρίνειαν, καί συνοχήν ἀδιάλυτον τῶν κεκραμμένων, καί ἵδρυσιν ἀμετάθετον τῶν τεθειμένων, καί πάσης ἁπλῶς τῆς ὁπωσοῦν νοουμένης οὐσίας, καί κινήσεως καί διαφορᾶς, κράσεώς τε καί θέσεως αἴτιον, σοφῶς δι᾿ ἐμφεροῦς ὁμοιότητος τήν κατά τόν αἰσθητόν αἰῶνα μυστικήν θεωρίαν ἐπί τόν κατά διάνοιαν ἐν πνεύματι διά τῶν ἀρετῶν συμπληρούμενον κόσμον μετήνεγκαν· καθ᾿ ἥν τούς εἰρημένους τρόπους εἰς ἕνα συναγαγόντες τόν διαφόροις ἀρετῶν εἴδεσι τήν τοῦ κατά διάνοιαν γνωμικοῦ κόσμου οὐσίαν ἐκπληροῦντα δι᾿ ὅλου λόγον μονιότατον ἑαυτοῖς, ὡς ἐφικτόν ἐναπωμόρξαντο, πάντας δηλαδή περάσαντες τούς τῶν ὄντων καί αὐτούς τούς τῶν ἀρετῶν λόγους, μᾶλλον δέ μετά τούτων πρός τόν ὑπέρ τούτους, καί εἰς ὅν οὗτοι καί ἐξ οὗ τό εἶναι τούτοις ἐστίν ὑπερούσιον καί ὑπεράγαθον λόγον ἀγνώστως ἀναδραμόντες· καί ὅλοι ὅλῳ κατά τό ἐφικτόν τῆς ἐνούσης αὐτοῖς φυσικῆς δυνάμεως ἑνωθέντες τοσοῦτον ἐνδεχομένως ὑπ᾿ αὐτοῦ ἐποιώθησαν, ὥστε καί ἀπό μόνου γνωρίζεσθαι, οἷον ἔσοπτρα διειδέστατα, ὅλου τοῦ ἐνορῶντος Θεοῦ λόγου τό εἶδος ἀπαραλείπτως διά τῶν θείων αὐτοῦ γνωρισμάτων φαινόμενον ἔχοντες, τῷ ἐλλειφθῆναι μηδένα τῶν παλαιῶν χαρακτήρων, οἷς μηνύεσθαι πέφυκε τό ἀνθρώπινον, πάντων εἰξάντων τοῖς ἀμείνοσιν, οἷον ἀήρ ἀφεγγής φωτί δι᾿ ὅλου μετεγκραθείς.

***Θεωρία εἰς τόν Μελχισεδέκ.***

Ὅπερ, οἶμαι, γνούς καί παθών ὁ θαυμαστός ἐκεῖνος καί μέγας Μελχισεδέκ, περί ὅν τά μεγάλα καί θαυμαστά παρά τῇ Γραφῇ ὁ θεῖος διεξέρχεται λόγος, χρόνου καί φύσεως ὑπεράνω γενέσθαι, καί ὁμοιωθῆναι τῷ Υἱῷ τοῦ Θεοῦ κατηξιώθη, τοιοῦτος ἕξει δηλαδή κατά τήν χάριν ὡς ἐφικτόν γενόμενος, οἷς αὐτός ὁ δοτήρ τῆς χάριτος κατά τήν οὐσίαν ὑπάρχων πιστεύεται. Τί γάρ Ἀπάτωρ καί ἀμήτωρ καί

ἀγενεαλόγητος περί αὐτοῦ λεγόμενον, οὐκ ἄλλο μηνύειν ὑπονοῶ ἤ τήν ἐγγενομένην αὐτῷ ἐκ τῆς κατ᾿ ἀρετήν ἀκροτάτης χάριτος τελείαν τῶν φυσικῶν γνωρισμάτων ἀπόθεσιν· τό δέ μήτε ἀρχήν ἡμερῶν, μήτε ζωῆς τέλος ἔχειν, τήν χρόνου παντός καί αἰῶνος ἰδιότητα περιγράφουσα γνῶσιν, (1140) καί πάσης ὑλικῆς καί ἀΰλου οὐσίας τήν ὕπαρξιν ὑπερβαίνουσαν θεωρίαν μαρτυρεῖ· τό δέ Ἀφωμοιωμένος τῷ Υἱῷ τοῦ Θεοῦ μένει εἰς τό διηνηκές ἱερεύς, τάχα μέχρι τέλους καθ᾿ ἕξιν ἄτρεπτον τῆς θεοειδεστάτης ἀρετῆς καί τῆς θείας καί πρός τόν Θεόν ἐνατενίσεως τό νοερόν ὄμμα ἀνεπίμυστον δυνηθῆναι φυλάξαι παραδηλοῖ. Τῇ φύσει γάρ ἡ ἀρετή μάχεσθαι πέφυκε, καί χρόνῳ καί αἰῶνι ἡ ἀληθής θεωρία, ἵνα ἡ μέν ἀδούλωτος μένοι τοῖς ἄλλοις ὅσα μετά Θεόν εἶναι πιστεύεται, καί ἀκράτητος, ὡς Θεόν μόνον εἰδυῖα γεννήτορα, ἡ δέ ἀπερίγραφος, οὐδενί τῶν ἀρχήν ἤ τέλος ἐχόντων ἐναπομένουσα, ὡς Θεόν δι᾿ ἑαυτῆς εἰκονίζουσα, τόν πάσης ἀρχῆς καί τέλους ὁριστικόν, καί πᾶσαν νόησιν τῶν νοούντων κατ᾿ ἔκστασιν ἄῤῥητον πρός ἑαυτόν ἕλκοντα. Ἐξ ὧν ἡ θεῖα ὁμοίωσις δείκνυται, γνώσεώς τέ φημι καί ἀρετῆς, καί δι' ὧν ἡ εἰς μόνον τόν Θεόν ἀκλόνητος ἀγάπη τοῖς ἀξίοις φυλάττεται, καθ᾿ ἥν τό τῆς υἱοθεσίας ἀξίωμα θεοπρεπῶς διδόμενον διηνεκῶς ἐντυγχάνειν Θεῷ καί παρεστάναι χαρίζεται, πρός δυσώπησιν αὐτήν τοῦ ἐντυγχάνοντος τήν θείαν ὁμοίωσιν παρεχόμενον. Ὅθεν εἰκότως ὑπολαμβάνω μή διά χρόνου καί φύσεως, ὑφ᾿ ἅ φυσικῶς ἐτέλει ὁ μέγας Μελχισεδέκ, βίῳ καί λόγῳ ὑπερβαθέντων ἤδη καί παντελῶς καταλελειμμένων προσαγορευθῆναι δεῖν, Ὁ θεῖος αὐτόν ἐδικαίωσε λόγος, ἀλλ᾿ ἐξ ὧν καί δι᾿ ὧν ἑαυτόν μετεποίησε γνωμικῶς, ἀρετῆς· λέγω καί γνώσεως, ὀνομασθῆναι. Ἐφ᾿ ὧν γάρ ἡ γνώμη γενναίως διά τῶν ἀρετῶν τόν δυσμαχώτατον τῆς φύσεως κατηγωνίσατο νόμον, καί τήν χρόνου καί αἰῶνος ἰδιότητα διά γνώσως ἀχράντως ἡ τοῦ νοῦ ὑπερίπταται κίνησις, τούτοις οὐκ ἔστιν ἐπιφημίσαι δίκαιον τῶν ἀπολειφθέντων ὡς γνώρισμα τήν ἰδιότητα, ἀλλά μᾶλλον τήν τῶν προσληφθέντων μεγαλοπρέπειαν, ἐξ ὧν καί ἐν οἷς μόνον εἰσί λοιπόν καί ἐπιγινώσκονται. Επεί καί ἡμεῖς φυσικῶς τοῖς ὁρατοῖς ἐπιβάλλοντες ἐκ τῶν χρωμάτων τά σώματα καί γνωρίζομεν καί ὀνομάζομεν, οἷον ὡς φῶς τόν πεφωτισμένον ἀέρα, καί πῦρ τήν οἱανοῦν πυρός ἐξημμένην ὕλην, καί λευκόν τό λευκασμένον σῶμα, καί ὅσα ἄλλα τοιουτότροπα. Εἰ τοίνυν γνωμικῶς τήν ἀρετήν τῆς φύσεως καί τῶν κατ᾿ αὐτήν ἁπάντων προετίμησε, διά τήν καλήν τοῦ ἐφ᾿ ἡμῖν ἀξιώματος αἵρεσιν,

κα πάντα χρόνον καί αἰῶνα κατά τήν γνῶσιν ὑπερηκόντισε, πάντα ὅσα μετά Θεόν κατόπιν ἑαυτοῦ γνωστικῶς κατά τήν θεωρίαν ποιησάμενος, οὐδενί τῶν ὄντων ἐμμείνας ᾧ ἐπιθεωρεῖται τό οἱανοῦν πέρα ὁ θεῖος Μελχισεδέκ, πρός δέ τάς θείας καί ἀνάρχους καί ἀθανάτους [οὐσίας] τοῦ Θεοῦ διά τοῦ λόγου κατά χάριν ἐν πνεύματι γεγέννηται, καί σῶαν καί ἀληθῆ ἐν ἑαυτῷ φέρει τοῦ γεννήσαντος Θεοῦ τήν ὁμοίωσιν (ἐπεί καί πᾶσα γέννησις ταὐτόν τῷ γεννῶντι πέφυκεν ἀποτελεῖν τό γεννώμενον· Τό γάρ γεγεννημένον, φησίν, ἐκ τῆς σαρκός, σάρξ ἐστι, τό δέ γεγεννημένον ἐκ τοῦ πνεύματος πνεῦμά ἐστιν), εἰκότως (1141) οὐκ ἐκ τῶν φυσικῶν καί χρονικῶν ἰδωμάτων, οἷς πατήρ τε καί μήτηρ καί γενεαλογία, ἀρχή τε καί τέλος ἡμερῶν περιέχεται, ἅπερ φθάσας ἑαυτοῦ παντελῶς ἐπελύσατο, ἀλλ᾽ ἐκ τῶν θείων καί μακαρίων γνωρισμάτων, οἷς τό εἶδος ἑαυτῷ μετεποίησεν, ὠνομάσθη, ὧν οὐκ ἐφικνεῖται οὐ χρόνος, οὐ φύσις, οὐ λόγος, οὐ νοῦς, οὐδ᾽ ἄλλο τι κατά περιγραφήν φάναι τῶν ὄντων οὐδέν. Ἀπάτωρ οὖν καί ἀμήτωρ καί ἀνενεαλόγητος, μήτε ἀρχήν ἡμερῶν, μήτε τέλος ζωῆς ἔχων, ἀναγέγραπται ὁ μέγας Μελχισεδέκ, ὡς ὁ ἀληθής τῶν θεοφόρων ἀνδρῶν τά περί αὐτοῦ διεσάφησε λόγος, οὐ διά τήν φύσιν τήν κτιστήν καί ἐξ οὐκ ὄντων, καθ᾽ ἥν τοῦ εἶναι ἤρξατό τε καί ἔληξεν, ἀλλά διά τήν χάριν τήν θείαν καί ἄκτιστον, καί ἀεί οὖσαν ὑπέρ πᾶσαν φύσιν καί πάντα χρόνον, ἐκ τοῦ ἀεί ὄντος Θεοῦ, καθ᾽ ἥν δι᾽ ὅλου μόνην ὅλος γνωμικῶς γεννηθείς ἐπιγινώσκεται. Μόνος δέ τοῦτο ὤν τῇ Γραφῇ τετήρηται, ὡς πρῶτος ἴσως ὑπέρ τήν ὕλην καί τό εἶδος κατά τήν ἀρετήν γενόμενος, ἅπερ διά τοῦ ἀπάτωρ καί ἀμήτωρ καί ἀγενεαλόγητος δηλοῦσθαι δύναται, καί ὡς πάντα τά ὑπό χρόνον καί αἰῶνα κατά τήν γνῶσιν παρελθών, ὧν τό εἶναι χρονικῶς τῆς γενέσεως ἤρξατο τό ποτέ εἶναι οὐκ ἠρνημένης, οὐδ᾽ ὁτιοῦν τῷ κατά διάνοιαν θείῳ δρόμῳ ἐνσκάσας ὅπερ σημαίνει τυχόν τό μήτε ἀρχήν ἡμερῶν μήτε τέλος ζωῆς ἔχειν· καί ὡς ἐξῃρημένως, κρυφίως τε καί σεσιγημένως, καί συνελόντα εἰπεῖν, ἀγνώστως, μετά πᾶσαν τῶν ὄντων πάντων ἀφαίρεσιν κατά νοῦν εἰς αὐτόν εἰσδύς τόν Θεόν, καί ὅλος ὅλῳ ποιωθείς τε καί μεταποιωθείς, ὅπερ τό, Ἀφωμοιωμένος δέ τῷ Υἱῷ τοῦ Θεοῦ μένει ἱερεύς εἰς τό διηνεκές ὑπεμφαίνειν δύναται. Πᾶς γάρ τις τῶν ἁγίων, οὗτινος κατ᾽ ἐξαίρετον ἀπήρξατο καλοῦ, κατ᾽ αὐτό καί τύπος εἶναι τοῦ δοτῆρος Θεοῦ ἀνηγόρευται. Καθ᾽ ὅ σημαινόμενον καί οὗτος ὁ μέγας Μελχισεδέκ διά τήν ἐμποιηθεῖσαν αὐτῷ θείαν ἀρετήν εἰκών εἶναι κατηξίωται Χριστοῦ τοῦ Θεοῦ, καί τῶν ἀποῤῥήτων

αὐτοῦ μυστηρίων, εἰς ὅν πάντες μέν οἱ ἅγιοι συνάγονται ὡς ἀρχέτυπον καί τῆς ἐν ἑκάστῳ αὐτῶν τοῦ καλοῦ ἐμφάσεως αἴτιον, μάλιστα δέ οὗτος, ὡς τῶν ἄλλων ἁπάντων πλείους ἐν ἑαυτῷ φέρων τοῦ Χριστοῦ τάς ὑποτυπώσεις.

***Ἐξήγησις εἰς τόν Κύριον, περί τῶν λεγομένων εἰς τόν Μελχισεδέκ.***

Μονώτατος γάρ ὁ Κύριος ἡμῶν καί Θεός Ἰησοῦς Χριστός φύσει καί ἀληθείᾳ ἀπάτωρ ἐστί καί ἀμήτωρ καί ἀγενεαλόγητος, καί μήτε ἀρχήν ἡμερῶν μήτε ζωῆς τέλος ἔχων· ἀμήτωρ μέν διά τό ἄυλον καί ἀσώματον καί παντελῶς ἄγνωστον τῆς ἄνω ἐκ τοῦ Πατρός προαιωνίου γεννήσεως· ἀπάτωρ δέ κατά τήν κάτω καί χρονικήν ἐκ τῆς μητρός καί ἐνσώματον γέννησιν, ἧς κατά τήν σύλληψιν τό διά σπορᾶς εἶδος οὐ κατεστήσατο· ἀγενεαλόγητος δέ ὡς (1144) ἀμφοῖν αὐτοῦ τῶν γεννήσεων τόν τρόπον ἔχων καθόλου τοῖς πᾶσιν ἄβατον καί ἀκατάληπτον. Τό δέ μήτε ἀρχήν ἡμερῶν μήτε ζωῆς τέλος ἔχων, ὡς ἄναρχος καί ἀτελεύτητος καί παντελῶς ἄπειρος, οἷα φύσει Θεός· μένει δέ ἱερεύς εἰς τόν αἰῶνα, ὡς μηδενί θανάτῳ κακίας ἤ φύσεως τοῦ εἶναι παυόμενος, ὅτι Θεός καί πάσης τῆς κατά φύσιν καί ἀρετήν ζωῆς χωρηγός. Μή νόμιζε δέ ταύτης τινά ἀμοιρεῖν τῆς χάριτος, ἐπειδή περί μόνου τοῦ μεγάλου Μελχισεδέκ ὁ λόγος αὐτήν διωρίσατο. Πᾶσι γάρ ἴσως ὁ Θεός τήν πρός σωτηρίαν φυσικῶς ἐνέθηκε δύναμιν, ἵνα ἕκαστος βουλόμενος τῆς θείας μεταποιεῖσθαι χάριτος δύνηται· καί θέλων Μελχισεδέκ γενέσθαι, καί Ἀβραάμ, καί Μωϋσῆς, καί ἁπλῶς πάντας μεταφέρειν εἰς ἑαυτόν τούς ἁγίους, μή κωλύηται, οὐκ ὀνόματα καί τόπους ἀμείβων, ἀλλά τρόπους καί πολιτείαν μιμούμενος.

***Θεωρία ἄλλη εἰς τόν Μελχισεδέκ.***

Πᾶς τοιγαροῦν τά μέλη νεκρώσας τά ἐπί τῆς γῆς, καί ὅλον ἑαυτοῦ τῆς σαρκός ἀποσβέσας τό φρόνημα, καί τήν πρός αὐτήν δι᾽ ὅλου σχέσιν ἀποσεισάμενος, δι᾽ ἧς ἡ τῷ Θεῷ μόνῳ χρεωστουμένη παρ᾽ ἡμῶν ἀγάπη μερίζεται, καί ἀρνησάμενος πάντα τά τῆς σαρκός καί τοῦ κόσμου γνωρίσματα, τῆς θείας ἕνεκεν χάριτος, ὥστε καί λέγειν δύνασθαι μετά τοῦ μακαρίου Παύλου τοῦ ἀποστόλου, Τίς ἡμᾶς χωρίσει ἀπό τῆς ἀγάπης τοῦ Χριστοῦ; καί τά ἑξῆς, ὁ τοιοῦτος ἀπάτωρ καί ἀμήτωρ καί ἀγενεαλόγητος κατά τόν μέγα Μελχισεδέκ γέγονεν, οὐκ ἔχων ὅπως ὑπό σαρκός κρατηθῇ καί φύσεως, διά τήν γεγενημένην πρός τό πνεῦμα συνάφειαν.

***Θεωρία εἰς τό μήτε ἀρχήν ἡμερῶν ἔχειν, μήτε τέλος ζωῆς.***

Εἰ δέ καί ἑαυτόν πρός τούτοις ἠρνήσατο, τήν ἰδίαν ἀπολέσας τήν ψυχήν αὐτοῦ ἕνεκεν ἐμοῦ, εὑρήσει αὐτήν, τουτέστι τήν παροῦσαν ζωήν μετά τῶν αὐτῆς θελημάτων τῆς κρείττονος ἕνεκεν προϊέμενος ζῶντά τε ἐνεργοῦντα μονώτατον τόν τοῦ Θεοῦ Λόγον κέκτηται, διϊκνούμενον κατ᾽ ἀρετήν καί γνῶσιν ἄχρι μερισμοῦ ψυχῆς καί πνεύματος, καί μηδέν τό παράπαν τῆς αὐτοῦ παρουσίας ἄμοιρον ἔχει, γέγονε καί ἄναρχος καί ἀτελεύτητος, τήν χρονικήν μηκέτι φέρων ἐν ἑαυτῷ κινουμένην ζωήν, τήν ἀρχήν καί τέλος ἔχουσαν, καί πολλοῖς δονουμένην παθήμασι, μόνην δέ τήν θείαν τοῦ ἐνοικήσαντος λόγου καί ἀΐδιον καί μηδενί θανάτῳ περατουμένην.

***Θεωρία εἰς τό, " Μένει ἱερεύς εἰς τόν αἰῶνα. "***

Εἰ δέ καί προσοχῇ πολλῇ τῷ ἰδίῳ ἐπαγρυπνεῖν οἶδε χαρίσματι, διά πράξεως καί θεωρίας τῶν ὑπέρ φύσιν καί χρόνον ἐπιμελόμενος ἀγαθῶν, γέγονε καί (1145) ἱερεύς διηνεκής καί αἰώνιος, νοερῶς ἀεί τῆς θείας ἀπολαύων ὁμιλίας, καί διά τό μιμεῖσθαι τῇ περί τό καλόν κατά τήν γνώμην ἀτρεψία τό κατά φύσιν ἄτρεπτον μή κωλυόμενος Ἰουδαϊκῶς ἁμαρτίας θανάτῳ εἰς τό διηνεκές παραμένειν, καί θυσίαν προσφέρειν αἰνέσεως καί ἐξομολογήσεως, ἐνδόξως θεολογῶν ὡς δημιουργόν τῶν ἁπάντων, καί εὐγνωμόνως εὐχαριστῶν ὡς προνοητῇ καί κριτῇ τῶν ὅλων δικαίῳ, ἐν τῷ κατά διάνοιαν θείῳ θυσιαστηρίῳ, ἐξ οὗ φαγεῖν οὐκ ἔχουσα ἐξουσίαν οἱ τῇ σκηνῇ λατρεύοντες. Οὐ γάρ οἷόν τε μυστικῶν θείας γνώσεως ἄρτων καί κρατῆρος ζωτικοῦ σοφίας μεταλαχεῖν τούς μονοστοιχοῦντας τῷ γράμματι, καί ἀλόγων θυσίαις παθῶν πρός σωτηρίαν ἀρκουμένους, καί τόν μέν θάνατον τοῦ Ἰησοῦ, διά τῆς καθ᾽ ἁμαρτίαν ἀργίας καταγγέλοντας, τήν δέ ἀνάστασιν αὐτοῦ, ὑπέρ ἧς καί δι᾽ ἥν ὁ θάνατος γέγονε, διά τῆς κατά νοῦν θεωρίας, τῆς ἐν δικαιοσύνῃ ἔργων ἀγαθῶν πεφωτισμένης, οὐχ ὁμολογοῦντας, καί τό μέν θανατωθῆναι σαρκί εὖ μάλα προθύμως ὁλομένους, τό δέ ζωοποιηθῆναι καί πνεύματι οὐδ᾽ ὁπωσοῦν ἀναρχομένους, ἔτι τῆς κατ᾽ αὐτούς σκηνῆς ἐχούσης στάσιν διά τό μήπω πεφανερῶσθαι αὐτοῖς τήν διά λόγου καί γνώσεως τῶν ἁγίων ὁδόν, ἥτις ἐστίν ὁ λόγος τοῦ Θεοῦ ὁ εἰπών, Ἐγώ εἰμι ἡ ὁδός, καί ἀπό τοῦ σάρκα λόγον εἰδέναι διά πρακτικῆς τόν Κύριον ἐπί τήν ὡς μονογενοῦς παρά Πατρός δόξαν, τήν πλήρη χάριτος καί ἀληθείας, διά θεωρίας ἐλθεῖν οὐκ ἐφιεμένους.

***Θεωρία εἰς τόν Ἀβραάμ.***

Ἀβραάμ πάλιν πνευματικός γίνεται τῆς γῆς καί τῆς συγγενείας καί τοῦ οἴκου τοῦ πατρός ἐξερχόμενος καί εἰς τήν ὑπό Θεοῦ δεικνυμένην ἐρχόμενος γῆν, ὁ τῆς σαρκός κατά διάθεσιν ἀποῤῥήξας, καί ἐκτός αὐτῆς γενόμενος τῷ χωρισμῷ τῶν παθῶν, καί τάς αἰσθήσεις ἀπολιπών, καί μηδεμίαν δι᾿ αὐτῶν ἁμαρτίας ἔτι παραδεχόμενος πλάνην, καί τά αἰσθητά πάντα παρελθών, ἐξ ὧν τῇ ψυχῇ διά τῶν αἰσθήσεων τό ἀπατᾶσθαι καί παίειν προσγίνεται, καί μόνῳ τῷ νῷ παντός ὑλικοῦ ἐλευθέρῳ δεσμοῦ εἰς τήν θείαν καί μακαρίαν τῆς γνώσεως ἐρχόμενος γῆν, καί εἰς μῆκος καί πλάτος αὐτήν μυστικῶς διοδεύων, ἐν ᾗ τόν Κύριον ἡμῶν εὑρήσει καί Θεόν Ἰησοῦν Χριστόν, τήν ἀγαθήν τῶν φοβουμένων αὐτόν κληρονομίαν, εἰς μῆκος μέν ἀνείκαστον δι᾿ ἑαυτόν ὑπό τῶν ἀξίων κατά τό ἐφικτόν ἀνθρώποις θεολογούμενον, δι᾿ ἡμᾶς δέ εἰς πλάτος δοξολογούμενον, διά τῆς συνεκτικῆς τοῦ παντός σοφωτάτης αὐτοῦ προνοίας, καί τῆς ὑπέρ ἡμῶν μάλιστα θαυμαστῆς καί ὑπεραῤῥήτου οἰκονομίας, καί μέτοχος τῶν οἷς γεραίρειν τόν Κύριον ἐξεπαιδεύθη τρόπων κατά πρᾶξιν τέως καί θεωρίαν γενόμενος, δι᾿ ὧν ἡ πρός Θεός βεβαίως κυροῦσθαι πέφυκε φιλία τε καί ἀφομοίωσις. Καί συντόμως περί τούτων εἰπεῖν, ὁ σάρκα καί αἴσθησιν καί κόσμον, περί ἅ τοῦ νοῦ ἡ πρός τά νοητά κατά (1148) τήν σχέσιν δάλυσις γίνεται, πρακτικῶς καταπαλαίσας, καί μόνῃ διανοίᾳ δι᾿ ἀγάπης Θεῷ γνωστικῶς προσχωρήσας, ὁ τοιοῦτος ἄλλος Ἀβραάμ ὑπάρχει, διά τῆς ἴσης χάριτος τόν αὐτόν τῷ πατριάρχῃ τῆς ἀρετῆς καί τῆς γνώσεως ἔχων χαρακτῆρα δεικνύμενος.

***Θεωρία εἰς τόν Μωϋσῆν.***

Καί Μωϋσῆς πάλιν ἄλλος ἐκφαίνεται, ὁ ἐν τῷ καιρῷ τῆς τῶν παθῶν δυναστείας, ὁπηνίκα τοῦ διαβόλου τοῦ νοητοῦ Φαραώ τυραννοῦντος τό χεῖρον ἐπικρατεῖν τοῦ ἀμείνονος, καί τοῦ πνευματικοῦ τό σαρκικόν ἐπανίστασθαι, καί πᾶς εὐσεβής ἀναιρεῖσθαι πέφυκε λογισμός, κατά Θεόν γνωμικῶς γεννώμενος, καί θήκῃ ἀσκήσεως ἀληθοῦς ἐμβληθείς, ἠθικοῖς ἔξωθεν κατά σάρκα τρόποις καί ἔσωθεν κατά ψυχῆς θείοις ἠσφαλισμένος νοήμασι, καί μέχρι νόμου τῆς ἀναλήψεως τῶν φυσικῶν θεωρημάτων ἀνεχόμενος εἶναι ὑπό τήν αἴσθησιν, τήν τοῦ νοητοῦ Φαραώ θυγατέρα, ζήλῳ δέ γνησίῳ τῶν θείων ἀγαθῶν τό Αἰγυπτιάζον τῆς σαρκός ἀποκτείνας φρόνημα, καί ὑπό τήν ψάμμον, τήν τῶν κακῶν ἄγονον ἕξιν φημί, καταθέμενος, ἐν ᾗ κἄν ὑπό τοῦ ἐχθροῦ σπαρῇ τό τῆς κακίας ζιζάνιον, οὐ πέφυκε

φύεσθαι διά τήν ἑνοῦσαν ἐνδιαθέτως πτωχείαν τοῦ πνεύματος, τήν τό ἀπαθές γεννῶσάν τε καί φυλάττουσαν καί θείῳ προστάγματι τήν ἀγριουμένην τοῖς πνεύμασι τῆς πονηρίας καί τοῖς ἀλλεπαλλήλοις τῶν πειρασμῶν κύμασι δενδρουμένην, τῆς πικρᾶς καί ὄντως ἁλμώδους κακίας ὁρίζουσαν θάλασσαν, καθώς γέγραπται, Ὁ τιθείς ἄμμον ὅριον τῇ θαλάσσῃ, καί λέγων αὐτῇ, Μέχρι τούτου διελεύσῃ, καί οὐχ ὑπερβήσῃ, καί ἐν σοί συντριβήσονταί σου τά κύματα· τούς δέ εἰς γῆν ἔτι κατανεύνοντας λογισμούς καί τήν ἐξ αὐτῆς ἐπιζητοῦντας ἀπόλαυσιν, ὑπέρ ἧς τό θυμικόν διαμάχεσθαι καί τόν διαγνωστικόν τυραννεῖν καί ἀπωθεῖσθαι πέφυκε λόγον, προβάτων δίκην διά τῆς ἐρήμου παθῶν καί ὑλῶν ἐστερημένης καί ἡδονῶν καταστάσεως ἄγων ὡς ἐπιστήμων ποιμήν πρός τό ὄρος τῆς γνώσεως τοῦ Θεοῦ τό ἐν τῷ ὕψει τῆς διανοίας ὁρώμενον. Ὦ φιλοπόνως ἐνδιατρίβων διά τῶν προσφυῶν κατά πνεῦμα θεωρημάτων μετά τήν ἀπόλειψιν τῆς κατά νοῦν πρός τά αἰσθητά σχέσεως (τοῦτο γάρ οἶμαι δηλοῦν τήν τοῦ τεσσαρακονταετοῦς χρόνου πάροδον,) καί τοῦ ἀῤῥήτου καί ὑπερφυοῦς ὥσπερ θάμνῳ τῇ οὐσίᾳ τῶν ὄντων ἐνυπάρχοντος θείου πυρός κατ᾿ ἔννοιαν θεατής γενέσθαι καί ἀκροατής ἀξιωθήσεται, τοῦ ἐκ τῆς βάτου τῆς ἁγίας Παρθένου φημί ἐπ᾿ ἐσχάτων τῶν χρόνων ἐκλάμψαντος καί διά σαρκός ἡμῖν ὁμιλήσαντος Θεοῦ Λόγου, γυμνόν τό τῆς διανοίας ἴχνος τῷ τοιούτῳ μυστηρίῳ προσάγων, καί λογισμῶν ἀνθρωπίνων ὡς νεκρῶν ὑποδημάτων παντελῶς ἐλεύθερον, καί πρός μέν ζήτησιν, ὥσπερ πρόσωπον, τό τῆς διανοίας ὀπτικόν ἀποστρέφων, πίστει δέ μόνῃ πρός ὑποδοχήν τοῦ μυστηρίου, ἀκοῆς τρόπον, τό τῆς ψυχῆς εὐπειθές διανοίγων, παρ᾿ οὗ τήν ἰσχυράν καί ἀήττητον κατά τῶν πονηρῶν δυνάμεων (1149) κομίσαντος δύναμιν τῶν παρά φύσιν τά κατά φύσιν, καί τῶν σαρκικῶν τά ψυχικά, καί τῶν ὑλικῶν τε καί αἰσθητῶν τά νοητά καί ἄϋλα κατά πολλήν ἀφορίζει ἐξουσίαν, τῆς δοῦλον ποιεῖν τό ἐλεύθερον πειρωμένης πολύ ὑπερέχων δυνάμεως.

***Ἄλλη θεωρία εἰς τόν αὐτόν σύντομος.***

Καί ἵνα συνελών εἴπω, ὁ μή ὑπελθών τόν τῆς ἁμαρτίας ζυγόν, μήτε τῷ θολερῷ τῶν παθῶν ῥεύματι διά τῆς κακῆς ἐπιθυμίας ἑαυτόν ἐμπνίξας, καί αἰσθήσει τρέφεσθαι τῇ πηγῇ τῶν ἡδονῶν ἀνασχόμενος, ἀποκτείνας δέ μᾶλλον τό φρόνημα τῆς σαρκός, τό τυραννοῦν τῆς ψυχῆς τήν εὐγένειαν, καί πάντων τῶν φθειρομένων ὑπεράνω γενόμενος τόν πλάνον τοῦτον κόσμον ὥσπερ Αἴγυπτόν τινα φυγών, τόν ἐκθλίβοντα ταῖς σωματικαῖς φροντίσι τόν διορατικώτατον νοῦν,

καί καθ᾽ ἡσυχίαν ἑαυτῷ συγγενόμενος καί φιλοπόνῳ σχολῇ τῆς διεπούσης θείως τό πᾶν θείας προνοίας τήν σοφήν οἰκονομίαν διά τῆς ἐπιστημονικῆς τῶν ὄντων θεωρίας ἀῤῥήτως διδαχθείς, κἀντεῦθεν διά μυστικῆς θεολογίας, ἥν κατ᾽ ἔκστασιν ἄῤῥητον νοῦς καθαρός διά προσευχῆς πιστεύεται μόνος, ὡς ἐν γνόφῳ τῇ ἀγνωσίᾳ ἀφθέγκτως Θεῷ συγγενόμενος, καί ἑαυτόν ἔσωθεν κατά νοῦν εὐσεβείας δόγμασι καί ἔξωθεν, ὡς τάς πλάκας ὁ Μωϋσῆς, ἀρετῶν χάρισι δακτύλῳ Θεοῦ τῷ ἁγίῳ Πνεύματι ἐγχαράξας, ἤ γραφικῶς εἰπεῖν, ὁ ἑλόμενος συγκακουχεῖσθαι τῷ λαῷ τοῦ Θεοῦ μᾶλλον ἤ πρόσκαιρον ἔχειν ἁμαρτίας ἀπόλαυσιν, καί τῶν ἐν Αἰγύπτῳ θησαυρῶν τόν ὀνειδισμόν τοῦ Χριστοῦ τιμιώτεν κρίνας, τουτέστι πλούτου καί δόξης, τῶν προσκαίρων καί φθειρομένων, τούς ὑπέρ ἀρετῆς ἑκουσίως ἀνθαιρούμενος πόνους, οὗτος Μωϋσῆς πνευματικός γέγονεν, οὐχ ὁρατῷ διαλεγόμενος Φαραώ, ἀλλά ἀοράτῳ τυράννῳ ψυχῶν φονευτῇ καί κακίας ἀρχηγῷ τῷ διαβόλῳ καί ταῖς ἀμφ᾽ αὐτόν πονηραῖς δυνάμεσι μεθ᾽ ἧς διά χειρός ἐπιφέρεται ῥάβδου, τῆς κατά τό πρακτικόν φημι τοῦ λόγου δυνάμεως, νοητῶς παρατασσόμενος.

***Θεωρία περί τοῦ, Πῶς τούς πρό νόμου καί μετά νόμον ἁγίους τις μιμήσασθαι δύναται, καί τίς ἡ τοῦ φυσικοῦ νόμου καί τοῦ γραπτοῦ κατά τήν εἰς ἀλλήλους μεταχώρησιν ταυτότης.***

Ὡσαύτως δέ καί πάντας τούς ἁγίους ἕκαστος ἡμῶν θέλων εἰς ἑαυτόν μεταθεῖναι δύναται, πρός ἕκαστον πνευματικῶς ἐκ τῶν περί αὐτοῦ καθ᾽ ἱστορίαν τυπικῶς γεγραμμένων μορφούμενος (Συνέβαινε γάρ ἐκείνοις τυπικῶς, φησίν ὁ θεῖος Ἀπόστολος, ἐγράφη δέ πρός νουθεσίαν ἡμῶν, εἰς οὕς τά τέλη τῶν αἰώνων κατήντησε), πρός μέν τούς πάλαι πρό νόμου ἁγίους, ἀπό μέν κτίσεως κόσμου τήν περί Θεοῦ γνῶσιν εὐσεβῶς πoριζόμενος, ἀπό δέ τῆς τό πᾶν σοφῶς διοικούσης Προνοίας τάς ἀρετάς κατορθοῦν διδασκόμενος, κατ᾽ αὐτούς ἐκείνους τούς πρό τοῦ νόμου ἁγίους, οἵ διά πάντων φυσικῶς ἐν ἑαυτοῖς τόν γραπτόν ἐν πνεύματι προχαράξαντες νόμον (1152) εὐσεβείας καί ἀρετῆς τοῖς κατά νόμον εἰκότως προεβλήθησαν ἐξεμπλάριον ( Ἐμβλέψατε γάρ, φησί, πρός Ἀβραάμ τόν πατέρα ὑμῶν, καί Σάῤῥαν τήν ὠδίνουσαν ὑμᾶς) πρός δέ τούς κατά νόμον διά τῶν ἐντολῶν εἰς ἐπίγνωσιν τοῦ ἐν αὐταῖς ὑπηγορευμένου Θεοῦ δι᾽ εὐσεβοῦς ἐννοίας ἀναγόμενος, καί τοῖς καθήκουσι τῶν ἀρετῶν τρόποις δι᾽ εὐγενοῦς πράξεως καλλωπιζόμενος, καί ταὐτόν τῷ γραπτῷ νόμῳ τόν φυικόν ὄντα παιδευόμενος, ὅταν σοφῶς διά συμβόλων κατά τήν πρᾶξιν

ποικίλληται, καί ἔμπαλιν τῷ φυσικῷ τόν γραπτόν, ὅταν ἑνοειδής καί ἁπλοῦς καί συμβόλων ἐν τοῖς ἀξίοις κατ᾽ ἀρετήν τε καί γνῶσιν διά λόγου καί θεωρίας ἐλεύθερος γένηται, κατ᾽ αὐτούς ἐκείνους τούς ἐν νόμῳ ἁγίους, οἵ τό γράμμα ὥσπερ κάλυμμα περιελόντος τοῦ πνεύματος τόν φυσικόν νόμον ἔχοντος πνευματικῶς διεδείχθησαν.

***Ὅτι καί οἱ κατά νόμον ἅγιοι πνευματικῶς τόν νόμον ἐκδεχόμενοι τήν δι᾽ αὐτοῦ μηνυομένην χάριν προέβλεπον.***

Πάντες γάρ διαῤῥήδην ἑτέραν παρά τήν νομικήν ἔσεσθαι λατρείαν προθεωρήσαντες τό κατ᾽ αὐτήν φανησόμενον τῆς θεοπρεπεστάτης ζωῆς τέλειον προεξήρυξαν, καί τῇ φύσει πρόσφορόν τε καί οἰκειότατον, ὡς μηδενός τῶν ἐκτός πρός τελείωσιν ἐπιδεόμενοι, καθώς πᾶσι δῆλον καθέστηκε τοῖς μή ἀγνοοῦσι τά διά τοῦ νόμου καί τῶν προφητῶν θεῖα θεσπίσματα. Ὅπερ μάλιστα Δαβίδ καί Ἐζεκίας καί τῷ καθ᾽ ἑαυτόν πρός τοῖς ἄλλοις ἑκάτερος δράματι παρηνίττετο, ὁ μέν ὑπέρ τῆς ἁμαρτίας νομικῶς τόν Θεόν ἐξιλεούμενος, ὁ δέ προσθήκῃ ζωῆς ἑτέρῳ παρά τόν νόμον θεσμῷ παρά τοῦ Θεοῦ σεμνυνόμενος.

***Ὅτι καί ὑπέρ τόν γραπτόν καί ὑπέρ τόν φυσικόν νόμον γίνεται ὁ τῷ Χριστῷ γνησίως διά τῶν ἀρετῶν κατά διάθεσιν ἀκολουθῶν.***

Οὐδέν δέ τό κωλύον, ὡς οἶμαι, ἐστί τόν ἐν τούτοις προπαιδευθέντα τοῖς νόμοις, τῷ φυσικῷ τέ φημι καί τῷ γραπτῷ, θεοφιλῶς, ἤπερ τούτοις γενέσθαι θεοπρεπῶς, καί τούτων χωρίς δι᾽ εἰλικρινοῦς πίστεως μόνῳ τῷ ἐπί τό ἀκρότατον ἀγαθόν ἄγοντι λόγῳ γνησίως ἀκολουθήσαντα, καί μηδενός κατ᾽ ἔννοιαν τό παράπαν ἁπτόμενον πράγματος ἤ λογισμοῦ ἤ νοήματος οἷς ἡ ὁπωσοῦν οὖσα παντός τοῦ ὁπωσοῦν νοουμένου τε καί ὄντος φύσις τε καί γνῶσις ὑποπίπτει καί ἐμφαίνεται, ὥσπερ εἰκός τόν ἕπεσθαι γνησίως προθέμενον τῷ διεληλυθότι τούς οὐρανούς Ἰησοῦ, καί τῇ παραδείξει τοῦ θείου φωτός δυνηθῆναι τήν ἀληθῆ τῶν ὄντων, ὡς ἔστιν ἀνθρώπῳ δυνατόν, συνεκδοχικῶς ὑποδέξασθαι γνῶσιν.

***(1153) Θεωρία τοῦ τρόπου καθ᾽ ὅν ὑπέρ τόν φυσικόν καί τόν γραπτόν νόμον γίνεται ὁ διά πάντων τῷ θεῷ γενόμενος εὐπειθής.***

Εἰ γάρ πᾶσα ἡ τῶν ὄντων φύσις εἰς τά νοητά καί τά αἰσθητά διῄρηται, καί τά μέν λέγεται καί ἔστιν αἰώνια, ὡς ἐν αἰῶνι τοῦ εἶναι λαβόντων ἀρχήν, τά δέ χρονικά, ὡς ἐν χρόνῳ πεποιημένα, καί τά μέν ὑποπίπτει νοήσει, τά δέ αἰσθήσει, διά τήν ταῦτα ἀλλήλοις ἐπισφίγγουσαν τοῦ κατά φύσιν σχετικοῦ ἰδιώματος ἄλυτον δύναμιν

(πολλή γάρ ἡ πρός τά νοούμενα τῶν νοούντων καί πρός τά αἰσθητά τῶν αἰσθανομένων ἡ σχέσις, ὁ δέ ἄνθρωπος ἐκ ψυχῆς καί σώματος τυγχάνων αἰσθητικοῦ διά τῆς κατ᾿ ἐπαλλαγήν πρός ἑκάτερα τά τῆς κτίσεως τμήματα φυσικῆς σχέσεώς τε καί ἰδιότητος καί περιγράφεται καί περιγράφει, τό μέν τῇ οὐσίᾳ, τό δέ τῇ δυνάμει, ὡς τοῖς ἑαυτοῦ πρός ταῦτα διαιρούμενος μέρεσι, καί ταῦτα διά τῶν οἰκείων μερῶν ἑαυτῷ καθ᾿ ἕνωσιν ἐπισπώμενος· περιγράφεσθαι γάρ τοῖς νοητοῖς καί αἰσθητοῖς, ὡς ψυχή τυγχάνων καί σῶμα, καί περιγράφειν ταῦτα κατά δύναμιν πέφυκεν, ὡς νοῶν καί αἰσθανόμενος· ὁ δέ Θεός ἁπλῶς καί ἀορίστως ὑπέρ πάντα τά ὄντα ἐστί, τά περιέχοντά τε καί περιεχόμενα καί τήν, ὧν οὐκ ἄνευ ταῦτα, χρόνου φημί καί αἰῶνος καί τόπου φύσιν, οἷς τό πᾶν περικλείεται, ὡς πᾶσι παντελῶς ἄσχετος ὤν), ἄρα σωφρόνως ὁ διαγνούς πῶς ἐρᾷν τοῦ Θεοῦ δεῖ, τοῦ ὑπέρ λόγον καί γνῶσιν καί πάσης ἁπλῶς τῆς οἱασδήποτε παντάπασι σχέσεως, ἐξῃρημένου καί φύσεως, πάντα τά αἰσθητά καί νοητά καί πάντα χρόνον καί αἰῶνα καί τόπον ἀσχέτως παρελεύσεται, καί πάσης τελευταῖον ὅλης τῆς κατ᾿ αἴσθησιν καί λόγον καί νοῦν ἐνεργείας ἑαυτόν ὑπερφυῶς ἀπογυμνώσας ἀῤῥήτως τε καί ἀγνώστως τῆς ὑπέρ λόγον καί νοῦν θείας τερπνότητος ἐπιτεύξεται, καθ᾿ ὅν οἶδε τρόπον τε καί λόγον ὁ τήν τοιαύτην δωρούμενος χάριν Θεός καί οἱ ταύτην παρά Θεοῦ λαβεῖν ἀξιωθέντες, οὐκέτι οὐδέν φυσικόν ἤ γραπτόν ἑαυτῷ συνεπικομιζόμενος, πάντων αὐτῷ τῶν λεχθῆναι ἤ γνωσθῆναι δυναμένων παντελῶς ὑπερβαθένων καί κατασιγασθέντων.

***Θεωρία εἰς τό περί τοῦ ἐμπεσόντος εἰς τούς λῃστάς ῥητόν τοῦ Εὐαγγελίου.***

Καί τάχα τοῦτό ἐστι τό τοῖς δοθεῖσιν ἐπί θεραπείᾳ τοῦ λῃσταῖς περιπεσόντος δυσί δηναρίοις ἐν τῷ πανδοχείῳ παρά τοῦ Κυρίου τῷ ἐπιμελεῖσθαι κελευομένῳ προσδαπανώμενον, ὅπερ καί φιλοτίμως ἐπανερχόμενος ὁ Κύριος δώσειν ὑπέσχετο, ἡ διά πίστεως γινομένη παντελής τῶν ὄντων ἐν τοῖς ττελείοις ἀφαίρεσις (φησί γάρ ὁ Κύριος Ὅστις οὐκ ἀποτάσσεται πᾶσι τοῖς ὑπάρχουσιν αὐτοῦ, οὐ δύναταί μου εἶναι μαθητής) , καθ᾿ ἥν πάνθ᾿ ἑαυτοῦ ἤ ἑαυτόν πάντων ἀφαιρούμενος εἰπεῖν οἰκειότερον, ὁ τῆς σοφίας ἑαυτόν ἐραστήν (1156) καταστήσας μόνῳ Θεῷ συνεῖναι καταξιοῦται, τήν εὐαγγελικῶς ὑποδειχθεῖσαν υἱοθεσίαν δεξάμενος, κατά τούς ἁγίους καί μακαρίους ἀποστόλους, οἱ τό πᾶν ἑαυτῶν ὁλοσχερῶς περιελόμενοι καί μόνῳ δι᾿

ὅλου τῷ Θεῷ καί Λόγῳ προσφύντες, Ἰδού πάντα, ἔφασαν, ἀφήκαμεν καί ἠκολουθήσαμέν σοι, τῷ καί τῆς φύσεως Ποιητῇ καί δοτῆρι τῆς κατά νόμον βοηθείας, καί ὅν, Κύριον δηλονότι, ὥσπερ ἀληθείας φῶς μονώτατον κτησάμενοι ἀντί νόμου καί φύσεως πάντων εἰκότως τῶν μετά Θεόν ἄπταιστον τήν γνῶσιν παρέλαβον. Αὐτῷ γάρ πέφυκε συνεκφαίνεσθαι κυρίως ἡ τῶν ὑπ᾽ αὐτοῦ γεγενημένων γνῶσις. Ὥς γάρ τῷ αἰσθητῷ ἡλίῳ ἀνατέλλοντι πάντα καθαρῶς συνεκφαίνονται τά σώματα, οὕτω καί Θεός ὁ νοητός τῆς διακαιοσύνης ἥλιος ἀνατέλλων τῷ νῷ, καθώς χωρεῖσθαι ὑπό τῆς κτίσεως οἶδεν αὐτός, πάντων ἑαυτῷ νοητῶν τε καί αἰσθητῶν τούς ἀληθεῖς βούλεται συνεκφανίζεσθαι λόγους. Καί δηλοῖ τοῦτο τῆς ἐπί τοῦ ὄρους μεταμορφώσεως τοῦ Κυρίου ἡ λαμπρά τῶν ἐσθημάτων τῷ φωτί τοῦ προσώπου αὐτοῦ γενομένη συνένδειξις, τῷ Θεῷ τήν τῶν μετ᾽ αὐτόν, ὡς οἶμαι, καί περί αὐτόν συνάγουσα γνῶσιν. Οὔτε γάρ δίχα φωτός τῶν αἰσθητῶν ὀφθαλμός ἀντιλαμβάνεσθαι δύναται, οὔτε νοῦς χωρίς γνώσεως Θεοῦ θεωρίαν δέξασθαι πνευματικήν. Ἐκεῖ τε γάρ τῇ ὄψει τό φῶς τῶν ὁρατῶν τήν ἀντίληψιν δίδωσι, καί ἐνταῦθα τῷ νῷ τήν γνῶσιν τῶν νοητῶν ἡ τοῦ Θεοῦ ἐπιστήμη χαρίζεται.

***Θεωρία τοῦ τρόπου καθ᾽ ὅν γέγονεν τοῦ Ἀδάμ παράβασις.***

Ἀμέλει τούτῳ μή ἐπερείσας τῷ Θεῷ φωτί τόν τῆς ψυχῆς ὀφθαλμόν ὁ πραπάτωρ Ἀδάμ τυφλοῦ δίκην εἰκότως ἐν σκότει τῆς ἀγνωσίας ἄμφω τώ χεῖρε τόν τῆς ὕλης φορυτόν ἑκουσίως ἀφάσσων μόνῃ αἰσθήσει ἑαυτόν ὅλον ἐπικλίνας ἐκδέδωκε, δι᾽ ἧς τοῦ πικροτάτου θηρός τόν φθαρτικόν ἰόν εἰσδεξάμενος οὐδ᾽ αὐτῆς, ὡς ἠβουλήθη, ἀπήλαυσε τῆς αἰσθήσεως, δίχα Θεοῦ, καί πρό Θεοῦ, καί οὐ κατά Θεόν, ὡς οὐκ ἔδει, ὅπερ ἀμήχανον ἦν, τά τοῦ Θεοῦ ἔχειν ἐπιτηδεύσας. Τήν γάρ σύμβουλον παραδεξαμένην τόν ὄφιν Θεοῦ πλέον παραδεξάμενος αἴσθησιν καί τοῦ ἀπηγορευμένου ξύλου, ᾧ καί θάνατον συνεῖναι προεδιδάχθην τόν καρπόν ὀρέγουσαν, βρώσεως ἀπαρχήν ποιησάμενος πρόσφορον τῷ καρπῷ τήν ζωήν μετηλλάξατο, ζῶντα τόν θάνατον ἑαυτῷ κατά πάντα τόν χρόνον τοῦ παρόντος καιροῦ δημιουργήσας. Εἰ γάρ φθορά γενέσεως ὑπάρχει ὁ θάνατος, ἀεί δέ τό δι᾽ ἐπιῤῥοῆς τροφῶν γινόμενον φυσικῶς φθείρεται σῶμα τῇ ῥοῇ διαπνεόμενον, ἀεί ἄρα δι᾽ ὧν εἶναι τήν ζωήν ἐπίστευσεν ἀκμάζοντα ἑαυτῷ τε καί ἡμῖν τόν θάνατον ὁ Ἀδάμ συνετήρησεν. Ὡς εἴγε τῷ Θεῷ μᾶλλον ἤ τῇ συνοίκῳ πεισθείς τῷ ξύλῳ τῆς ζωῆς διετράφη, οὐκ ἄν τήν

δοθεῖσαν ἀπέθετο ἀθανασίαν ἀεί συντηρουμένην τῇ μετοχῇ τῆς ζωῆς, (1157) ἐπειδή πᾶσα ζωή οἰκεία τε και καταλλήλῳ πέφυκε συντηρεῖσθαι τροφῇ. Τροφή δέ τῆς μακαρίας ἐκείνης ζωῆς ἐστιν ὁ ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς καί ζωήν διδούς τῷ κόσμῳ, καθώς αὐτός περί ἑαυτοῦ ἐν τοῖς εὐαγγελίοις ὁ ἀψευδής ἀπεφήνατο λόγος, ᾧ διατραφῆναι μή βουληθείς ὁ πρῶτος ἄνθρωπος τῆς μέν θείας εἰκότως ἀπεγένετο ζωῆς, ἄλλης δέ θανάτου γεννήτορος ἐπελάβετο, καθ᾽ ἥν τήν μέν ἄλογον ἑαυτῷ μορφήν ἐπιθέμενος, τῆς θείας δέ τό ἀμήχανον ἀμαυρώσας κάλλος, βοράν τῷ θανάτῳ τήν ἅπασαν φύσιν παρέδωκε. Δι᾽ ἧς ὁ μέν θάνατος ζῇ δι᾽ ὅλου τοῦ χρονικοῦ τούτου διαστήματος, ἡμᾶς βρῶσιν ὑπ᾽ αὐτοῦ κατεσθιόμενοι.

***Ὅτι ἐκ τῆς ἀστάτου περιφορᾶς τῆς παρούσης ζωῆς ἄλλην εἶναι τήν ἀληθῆ καί θείαν καί ὡσαύτως ἔχουσαν ζωήν ἐπαιδεύθησαν οἱ ἅγιοι.***

Ἧς τό ἀδρανές καί ἀλλεπάλληλον σοφῶς κατανοήσαντες οἱ ἅγιοι τήν ἀνθρώποις προηγουμένως ἐκ Θεοῦ δεδωρημένην ταύτην μή εἶναι τήν ζωήν, ὡς εἰκός, ἐπαιδεύθησαν, ἄλλην δέ θείαν καί ὡσαύτως ἔχουσαν, ἥν μάλιστα δεῖν ὑπέλαβον ἑαυτῷ πρεπόντως ἀγαθόν ὄντα τόν Θεόν προηγουμένως δημιουργῆσαι, μυστικῶς ἐδιδάχθησαν, πρός ἥν διά σοφίας κατά τήν χάριν τοῦ πνεύματος, ὡς ἐφικτόν ἀνθρώποις τοῖς ὑπό θάνατον, τό ὄμμα τῆς ψυχῆς ἀνανεύσαντες, καί ἐνδιαθέτως τόν αὐτῆς θεῶν ὑποδεξάμενοι πόθον, ἀποθέσθαι δεῖν ταύτην τήν παροῦσαν ζωήν εἰκότως ᾠήθησαν, εἰ μέλλοιεν καθαρῶς ἐκείνης κατά τόν δέοντα λόγον ἐπιλήψεσθαι. Καί ἐπειδή ζωῆς ἀπόθεσις θανάτου χωρίς οὐ γίνεται, θάνατον αὐτῆς ἐπενόησαν τήν ἀποβολήν τῆς κατά σάρκα στοργῆς, δι᾽ ἧς εἰς τόν βίον ἡ τοῦ θανάτου γέγονεν εἴσοδος, ἵνα θανάτῳ θάνατον ἐπινοήσαντες τοῦ ζῆν τῷ θανάτῳ παύσωνται, τόν τίμιον ἐναντίον Κυρίου θάνατον ἀποθανόντες, τόν ὄντως θανάτου θάνατον, τόν τήν φθοράν μέν φθείρειν δυνάμενον, τῇ δέ μακαρίᾳ ζωῇ καί ἀφθαρσίᾳ παρεχόμενον ἐν τοῖς ἀξίοις εἴσοδον. Τό γάρ πέρας τῆς παρούσης ταύτης ζωῆς οὐδέ θάνατον οἶμαι δίκαιον ὀνομάζειν, ἀλλά θανάτου ἀπαλλαγήν, καί φθορᾶς χωρισμόν, καί δουλείας ἐλευθερίαν, καί ταραχῆς παύλαν, καί πολέμων ἀναίρεσειν, καί συγχύσεως πάροδον, καί σκότους ὑποχώρησιν, καί πόνων ἄνεσιν, καί βομβήσεως ἀσήμου σιγήν, καί βράσματος ἠρεμίαν, καί αἰσχύνης συγκάλυμμα, καί παθῶν ἀποφυγήν, καί ἁμαρτίας ἀφανισμόν, καί πάντων, ἵνα συνελών

εἴπω, τῶν κακῶν περιγραφήν· ἅπερ δι᾽ ἑκουσίου νεκρώσεως οἱ ἅγιοι κατορθώσαντες ξένους ἑαυτούς τοῦ βίου καί παρεπιδήμους παρέστησαν. Κόσμῳ τε γάρ καί σώματι καί ταῖς ἐξ αὐτῶν ἐπαναστάσεσι γενναίως μαχόμενοι, καί τήν ἐξ ἀμφοῖν κατά τήν τῶν αἰσθήσεων πρός τά αἰσθητά συμπλοκήν παραγεγομένην ἀπάτην ἀποπνίξαντες, ἀδούλωτον ἑαυτοῖς ἐφύλαξαν τῆς ψυχῆς τό ἀξίωμα· μάλα γε εἰκότως, ἔννομον κρίναντες εἶναι καί δίκαιον τό ἧττον ἄγεσθαι (1160) μᾶλλον τῷ κρείττονι, ἤ τό κρεῖττον τῷ χείρονι συμποδίζεσθαι. Ὅσπερ δή νόμος θεῖος καί τοῖς προαιρουμένοις τήν λογικοῖς προηγουμένως πρέπουσαν ἀσπαζεσθαι ζωήν ἐμπεφυκώς, τήν ἐμφερῶς δι' ὀλιγαρκείας τό ἀπροσδεές τῶν ἀγγέλων μιμουμένην καί ἄνετον.

***Ὅτι μή καθ᾽ ἡμᾶς ἤ τήν φυσικήν θεωρίαν, ἤ τήν γραφικήν μυσταγωγίαν ἐποίουν οἱ ἅγιοι.***

Ἀλλ᾽ ἐπανελθόντες καθ᾽ εἱρμόν τά λείποντα τῆς μεταμορφώσεως τοῖς προθεωρηθεῖσι κατά δύναμιν διασκοπήσαντες προσαρμόσωμεν, ἵνα θεωρηθῇ τῶν ἁγίων ἡ ἐν πᾶσιν ἀκρότης καί ἡ γνησία πρός τήν σάρκα καί τήν ὕλην ἀποδιάθεσις, καί ὅτι μή καθ᾽ ἡμᾶς καί αὐτοί ἤ τήν κτίσιν ἤ τήν ἁγίαν Γραφήν ὑλικῶς τε καί χαμερπῶς ἐθεώρουν, αἰσθήσει μόνον καί ἐπιφανείαις καί σχήμασι πρός ἀνάληψιν τῆς μακαρίας γνώσεως τοῦ Θεοῦ, γράμμασί τε καί συλλαβαῖς χρώμενοι, ἐξ ὧν τό πταίειν ἔστι περί τήν κρίσιν τῆς ἀληθείας καί σφάλλεσθαι, ἀλλά νῷ μόνῳ καθαρωτάτῳ καί πάσης ὑλικῆς ἀπηλλαγμένῳ ἀχλύος. Εἴπερ οὖν εὐσεβῶς κρίνειν βουλόμεθα τούς τῶν αἰσθητῶν νοητῶς διασκοποῦντες λόγους, εἰς τήν περί θεοῦ καί τῶν θείων αὐτούς ἄπταιστον γνῶσιν ὀρθῶς δι' εὐθείας τρίβου βαίνοντας κατίδοιμεν.

***Θεωρία εἰς τήν Μεταμόρφωσιν πλατυτέρα.***

Εἴρηται τοίνυν ἀνωτέρω ὅτι διά μέν τῆς γενομένης ἐπί τοῦ ὄρους τοῦ προσώπου τοῦ Κυρίου φωτοειδοῦς λαμπρότητος πρός τήν πᾶσι καθόλου τοῖς οὖσιν ἄληπτον τοῦ Θεοῦ μυστικῶς οἱ τρισμακάριοι ἀπόστολοι κατά τό ἄῤῥητόν τε καί ἄγνωστον ἐχειραγωγοῦντο δύναμίν τε καί δόξαν, τῆς ἀφανοῦς κρυφιότητος τό φανέν αὐτοῖς πρός τήν αἴσθησιν φῶς σύμβολον εἶναι μανθάνοντες. Ὡς γάρ ἐνταῦθα τοῦ γενομένου φωτός τήν τῶν ὀφθαλμῶν νικᾷ ἐνέργειαν ἡ ἀκτίς, ἀχώρητος αὐτοῖς διαμένουσα, οὕτω κἀκεῖ Θεός πᾶσαν νοός δύναμιν

ὑπερβαίνει καί ἐνέργειαν, οὐδ᾽ ὅλως ἐν τῷ νοεῖσθαι τῷ νοεῖν πειρωμένῳ τόν οἱονοῦν τύπον ἀφείς. Διά δέ τῶν λευκῶν ἱματίων τήν τε ἐν τοῖς κτίσμασιν ἀναλόγως τοῖς καθ᾽ οὕς γεγένηνται λόγοις μεγαλουργίαν καί τήν ἐν τοῖς ῥήμασι τῆς ἁγίας Γραφῆς κατά τό νοούμενον μυσταγωγίαν ἐν ταὐτῷ καί ἅμα θεοπρεπῶς ἐδιδάσκοντο, οἷα τῇ ἐπιγνώσει τοῦ Θεοῦ συναναφαινομένης τῆς τε γραφικῆς κατά τό πνεῦμα δυνάμεως καί τῆς ἐν τοῖς κτίσμασι κατ᾽ αὐτό σοφίας καί γνώσεως, δι᾽ ὧν πάλιν αὐτός ἀναλόγως ἐκφαίνεται. Διά δέ Μωϋσέως καί Ἠλίου τῶν ἑκατέρωθεν αὐτῷ συνόντων (τοῦτο γάρ εἰς τήν ἐξέτασιν τῆς θεωρίας λείπεται), πολλούς κατά πολλάς ἐπινοίας, ὧν τύποι προεβέβληντο μυστηρίων δι᾽ ἀληθοῦς θεωρίας γνωστικούς ὑπεδέχοντο τρόπους.

***(1161) Θεωρία εἰς τόν Μωϋσῆν καί τόν Ἠλίαν.***

Α΄. Καί πρῶτον μέν τήν περί τοῦ δεῖν πάντως συνεῖναι τῷ Λόγῳ καί Θεῷ τόν τε νομικόν καί τόν προφητικόν λόγον διά Μωϋσέως καί Ἠλίου εὐσεβεστάτην ἐλάμβανον ἔννοιαν, ὡς ἐξ αὐτοῦ καί περί αὐτοῦ καί ὄντας καί ἀπαγγέλοντας, καί περί αὐτόν ἱδρυμένους.

Β΄. Εἶτα σοφίαν καί χρηστότητα συνοῦσαν αὐτῷ διά τῶν αὐτῶν ἐπαιδεύοντο, τήν μέν ὅτι κατ᾽ αὐτήν διαγορευτικός ἐστι τῶν ποιητέων ὁ λόγος, καί ἀπαγορευτικός τῶν οὐ ποιητέων, ἧς τύπος ὑπῆρχε Μωϋσῆς (σοφίας γάρ τήν τῆς νομοθεσίας εἶναι πιστεύομεν χάριν), τήν δέ ὅτι κατ᾽ αὐτήν προτρεπτικός ἐστι καί ἐπιστρεπτικός πρός τήν θείαν ζωήν τῶν αὐτῆς ἀπολισθησάντων, ἧς τύπος ὑπῆρχεν Ἠλίας, δι᾽ ἑαυτοῦ ὅλον τό προφητικόν δηλῶν χάρισμα. Χρηστότητος γάρ θείας ἴδιον γνώρισμα, τῶν πεπλανημένων ἡ μετά φιλανθρωπίας ἐπιστροφή, ἧς κήρυκας τούς προφήτας γινώσκομεν.

Γ΄. Ἤ γνῶσιν καί παιδείαν, τήν μέν ὅτι καλοῦ τε καί κακοῦ τῆς εἰδήσεως τοῖς ἀνθρώποις ὑπάρχει παρεκτικός. Δέδωκα γάρ, φησί, πρό προσώπου σου τήν ζωήν καί τόν θάνατον, ἐφ᾽ ᾧ τήν μέν ἑλεῖν αἱρεῖσθαι, τόν δέ φυγεῖν, καί μή ὡς καλῷ περιπεσεῖν ἐξ ἀγνοίας τῷ χείρονι, ὅπερ Μωϋσῆς πεπραχώς ἀνηγόρευται, προτυπῶν ἐν ἑαυτῷ τῆς ἀληθείας τά σύμβολα· τήν δέ ὅτι τῶν τοῖς ἐναντίοις ἀνέδην χρωμένων κατά τόν Ἰσραήλ, οὗ παιδευτήν Ἠλίας ὁ μέγας ἐγένετο, καί μιγνύντων ἀδιακρίτως τά ἄμικτα, τῆς ἀδιαφορίας ἐστί κολαστικός, καί τῶν παντελῶς τῷ κακῷ προστεθειμένων τήν ἄνοιαν καί τήν πώρωσιν εἰς ἔννοιαν ἄγων, ὡς λόγος, καί αἴσθησιν.

Δ΄. Ἤ πρᾶξιν καί θεωρίαν, τήν μέν ὡς κακίας ἀναιρετικήν, καί κόσμου δι᾽ ἐπιδείξεως ἀρετῶν τούς δι᾽ αὐτῆς ἀγομένους παντελῶς κατά διάθεσιν τέμνουσαν, ὡς Μωϋσῆς τῆς Αἰγύπτου τόν Ἰσραήλ, καί θείοις νόμοις τοῦ Πνεύματος εὐπειθῶς παιδεύουσαν ἄγεσθαι· τήν δέ ὡς ὕλης καί εἴδους ἁρπάζουσαν, ὡς τόν Ἠλίαν τό ἐκ πυρός ἅρμα, καί Θεῷ διά γνώσεως προσάγουσάν τε καί συνάπτουσαν ὑπό σαρκός μηδ᾽ ὁτιοῦν βαρουμένους, διά τήν τοῦ κατ᾽ αὐτήν νόμου ἀθέτησιν, ἤ ἐπάρσει καθ᾽ ὁτιοῦν ἐπί τοῖς κατορθώμασι φλεγομένους, διά τήν συνημμένην ταῖς ὄντως ἀρεταῖς δρόσον τῆς πτωχείας τοῦ πνεύματος.

Ε΄. Ἤ πάλιν τά κατά τόν γάμον καί τήν ἀγαμίαν μυστήρια παρά τῷ Λόγῳ εἶναι μανθάνοντες διά Μωϋσέως, τοῦ διά τόν γάμον τῆς θείας ἐραστοῦ γενέσθαι δόξης μή κωλυθέντος, καί διά ἡλίου, τοῦ παντελῶς γαμικῆς συναφείας καθαροῦ διαμείναντος, οἷα τοῦ Λόγου καί Θεοῦ τούς λόγῳ ταῦτα ἰθύνοντας, κατά τούς θειωδῶς περί αὐτῶν κειμένους νόμους, ἑαυτῷ μυστικῶς εἰσποιεῖσθαι κηρύττοντος.

Στ΄. Ἤ ζωῆς καί θανάτου διά τῶν αὐτῶν κύριον πιστῶς ὄντα τόν Λόγον πληροφορούμενοι.

(1164) Ζ΄. Ἤ καί τό πάντας ζῇν τῷ Θεῷ καί μηδένα παντελῶς παρ᾽ αὐτῷ νεκρόν εἶναι διά τῶν αὐτῶν μανθάνοντες, πλήν τοῦ ἑαυτόν τῇ ἁμαρτίᾳ νεκρώσαντος, καί τῇ ἑκουσίῳ πρός τά πάθη ῥοπῇ τοῦ Λόγου ἑαυτόν ἀποκόψαντος.

Η΄. Ἤ πάλιν τόν Λόγον ὡς ἀλήθειαν ὄντα κατ᾽ ἀναφοράν εἶναί τε καί ὑπάρχειν τούς τύπους τῶν μυστηρίων, καί εἰς αὐτόν συνάγεσθαι, τῆς τε νομικῆς καί τῆς προφητικῆς πραγματείας ὡς ἀρχήν καί τέλος, ἐφωταγωγοῦντο.

Θ΄. Ἤ τά μετά Θεόν πάντα καί ἐκ Θεοῦ γεγονότα, τουτέστι τήν φύσιν τῶν ὄντων καί τόν χρόνον, παρά τῷ Θεῷ ὄντα συνεκφαίνεσθαι ἀληθῶς φαινομένῳ, κατά τό ἐφικτόν, ὡς αἰτίῳ καί ποιητῇ. Ὧν τοῦ μέν χρόνου τύπος ἄν εἴη Μωϋσῆς, οὐ μόνον ὡς χρόνου καί τοῦ κατ᾽ αὐτόν ἀριθμοῦ διάσκαλος (οὗτος γάρ πρῶτος τόν κατά τήν γένεσιν τοῦ κόσμου χρόνον ἠρίθμησε), καί ὡς χρονικῆς γενόμενος λατρείας καθηγητής, ἀλλά καί ὡς μή συνεισερχόμενος ἐκείνοις σωματικῶς εἰς τήν κατάπαυσιν ὧν πρός τῆς θείας καθηγήσατο εὐαγγελίας· τοιοῦτον γάρ ἔχει ὁ χρόνος, οὐ φθάνων ἤ συνερχόμενος κατά τήν κίνησιν ἐκείνοις οὕς πρός τήν θείαν τοῦ μέλλοντος αἰῶνος ζωήν πέφυκε παραπέμπειν. Ἰησοῦν γάρ ἔχει τόν παντός ὄντα κάι χρόνου καί αἰῶνος διάδοχον· κἄν εἰ ἄλλως οἱ λόγοι τοῦ χρόνου ἐν τῷ Θεῷ

διαμένωσιν, ὡς δηλοῖ μυστικῶς ἡ τοῦ ἐν ἐρήμῳ δοθέντος νόμου διά Μωϋσέως τοῖς τήν γῆς λαβοῦσι τῆς κατασχέσεως συνείσοδος. Αἰών γάρ ἐστιν ὁ χρόνος, ὅταν στῇ τῆς κινήσεως, τόν δέ χρόνος ἐστίν ὁ αἰών, ὅταν μετρῆται κινήσει φερόμενος, ὡς εἶναι τόν μέν αἰῶνα, ἵνα ὡς ἐν ὅρῳ περιλαβών εἴπω, χρόνον ἐστερημένου κινήσεως, τόν δέ χρόνον αἰῶνα κινήσει μετρούμενον. Τῆς δέ φύσεως Ἠλίας, οὐ μόνον ὡς τούς καθ᾽ ἑαυτόν ἀλωβήτους φυλάξας λόγους, καί τό ἐπ᾽ αὐτοῖς κατά γνώμην φρόνημα τροπῆς τῆς ἐκ πάθους ἐλεύθερον, ἀλλά καί ὡς ἐν κρίσει παιδεύων, οἷόν τις φυσικός νόμος, τούς παρά φύσιν τῇ φύσει χρωμένους. Τοιοῦτον γάρ καί ἡ φύσις, τούς αὐτήν παραφθείρειν ἐπιχειροῦντας τοσοῦτον καλάζουσα, ὅσον τοῦ παρά φύσιν ζῆν ἐπιτηδεύουσι, τῷ μή ὅλην αὐτῆς φυσικῶς ἔτι κεκτῆσθαι τῆς φύσεως τήν δύναμιν, μειωθέντας ἤδη τῆς κατ᾽ αὐτήν ἀρτιότητος καί διά τοῦτο κολαζομένους, ὡς ἑαυτοῖς ἀβούλως τε καί ἀφρόνως διά τῆς πρός τό μή ὄν νεύσεως τοῦ εἶναι παρεχομενους τήν ἔλλειψιν.

Ι΄. Ἴσως δέ καί τήν νοητήν καί τήν αἰσθητήν κτίσιν ἔχεσθαι τοῦ Δημιουργοῦ Λόγου τις εἰπών διά τοῦ Μωϋσέως καί Ἠλίου, τῆς ἀληθείας οὐ διαμαρτάνει. Ὧν τῆς μέν αἰσθητῆς Μωϋσῆς λόγον ἐπέχει, ὡς ὑπό γένεσιν καί φθοράν γενόμενος, καθώς ἡ περί αὐτοῦ ἱστορία δηλοῖ, τήν γένεσιν καί τόν θάνατον αὐτοῦ καταγγέλλουσα. Τοιοῦτον γάρ καί αἰσθητή κτίσις, ἀρχήν ἐγνωσμένην γενέσεως ἔχουσα (1165) καί διαφθορᾶς ὡρισμένον τέλος ἐλπίζουσα. Τῆς δέ νοητῆς Ἠλίας, ὡς οὔτε γένεσιν αὐτοῦ τῆς περί αὐτοῦ μηνυούσης ἱστορίας, κἄν εἰ γεγέννηται, οὔτε μήν τήν διά θανάτου φθοράν ἐλπίζεσθαι ὁριζομένης, κἄν εἰ τεθνήξεται. Τοιοῦτον γάρ καί ἡ νοητή κτίσις, οὔτε ἀρχήν γενέσεως ἀνθρώποις κατάδηλον ἔχουσα, κἄν εἰ γεγένηται καί ἦρκται καί ἐκ τοῦ μή ὄντος εἰς τό εἶναι παρῆκται, οὔτε τέλος τοῦ εἶναι διά φθορᾶς ὡρισμένον ἐκδέχεται. Τό γάρ ἀνώλεθρον φυσικῶς ἔχει λαβοῦσα παρά Θεοῦ, τοῦ οὕτως αὐτήν δημιουργῆσαι θελήσαντος.

***Ἄλλη συνεκτική θεωρία εἰς τήν μεταμόρφωσιν.***

Εἰ δέ τῷ μή περιεργότερος τοῦ δέοντος εἶναι δοκῶ, καί ἕτερον μέγα τε καί θεῖον, ὡς οἶμαι, ἐκ τῆς θείας μεταμορφώσεως μυστήριον ἡμῖν ἀναφαίνεται, καί τῶν εἰρημένων λαμπρότερον. Οἶμαι γάρ τούς καθόλου δύο τῆς θεολογίας τρόπους μυστικῶς ὑφηγεῖσθαι τά ἐπί τοῦ ὄρους κατά τήν μεταμόρφωσιν, θεοπρεπῆ δραματουργήματα, τόν τε προηγούμενόν φημι καί καί ἁπλοῦν καί ἀναίτιον, καί διά μόνης καί παντελοῦς ἀποφάσεως τό θεῖον ὡς ἀληθῶς καταφάσκοντα, καί τήν

ὑπεροχήν αὐτοῦ δι᾽ ἀφασίας δεόντως σεμνύνοντα, καί τόν ἑπόμενον τούτῳ καί σύνθετον, διά καταφάσεως μεγαλοπρεπῶς ἐκ τῶν αἰτιατῶν ὑπογράφοντα· οἷς, κατά τό δυνατόν ἀνθρώπους εἰδέναι, ἡ περί Θεοῦ τε καί τῶν θείων ἐπαιωρουμένη γνῶσις διά τῶν προσφυῶν ἡμῖν συμβόλων πρός ἀμφοτέρους ἡμᾶς ἄγει τούς τρόπους, δι᾽ εὐσεβοῦς τῶν ὄντων κατανοήσεως ἀμφοτέρων ἡμῖν ἐφιστῶσα τούς λόγους, καί τοῦ μέν προτέρου πᾶν τό ὑπέρ αἴσθησιν σύμβολον εἶναι διδάσκουσα, τοῦ δέ δευτέρου τά κατ᾽ αἴσθησιν ἀθροιστικά εἶναι παιδεύοντα μεγαλουργήματα. Ἐκ γάρ τῶν ὑπέρ αἴσθησιν συμβόλων τήν ὑπέρ λόγον καί νοῦν ἀλήθειαν εἶναι μόνον πιστεύομεν, περί τοῦ τί καί πῶς καί ὁποίαν εἶναι καί ποῦ καί πότε μηδ᾽ ὅλως τολμῶντες σκοπεῖν ἤ ἐννοεῖν ἐνεχόμενοι, τῆς ἐγχειρήσεως τό ἀσεβές παραιτούμενοι· ἐκ δέ τῶν κατ᾽ αἴσθησιν, ὡς ἡμῖν ἐστι δυνατόν, κατ᾽ ἔννοιαν μόνον ἰσχνῶς τῆς περί Θεοῦ γνώσεως τάς εἰκασίας λαμβάνοντες πάντα αὐτόν εἶναί φαμεν ὅσα ἐκ τῶν αὐτοῦ ποιημάτων ὡς αἴτιον ἐγνωρίσαμεν.

***Ὅτι καί ἑαυτοῦ τύπος ὁ Κύριος γέγονεν κατά τήν ἑαυτοῦ διά σαρκός οἰκονομίαν.***

Σκοπήσωμεν δέ εἰ μή καλῶς ἑκάστῳ τῶν εἰρημένων τρόπων κατά τήν θείαν ἐκείνην τοῦ Κυρίου μεταμόρφωσιν καί σοφῶς ἐνυπάρχει τό σύμβολον.

Εἴδει γάρ αὐτόν καθ᾽ ἡμᾶς ἀτρέπτως κτισθῆναι δι᾽ ἄμετρον φιλανθρωπίαν καταδεξάμενον ἑαυτοῦ γενέσθαι τύπον καί σύμβολον, καί παραδεῖξαι ἐξ ἑαυτοῦ συμβολικῶς ἑαυτόν, καί δι᾽ ἑαυτοῦ φαινομένου πρός ἑαυτόν ἀφανῶς πάντη κρυπτόμενον χειραγωγῆσαι τήν ἅπασαν κτίσιν καί τῆς ἀφανοῦς καί πάντων ἐπέκεινα κρυφιομύστου καί ὑπ᾽ οὐδενός τῶν ὄντων οὐδενί τό σύνολον τρόπῳ νοηθῆναι ἤ λεχθῆναι (1168) δυναμένης ἀπειρίας τάς ἐκφανεῖς διά σαρκός θεουργίας ἀνθρώποις παρέχειν φιλανθρώπως μηνύματα.

***Θεωρία τοῦ ἀστράψαντος προσώπου τοῦ Κυρίου.***

Τό τοίνυν φῶς τοῦ προσώπου τοῦ Κυρίου τό νικῆσαν τῆς ἀνθρωπίνης μακαρίας ἀποστόλοις τῆς κατ᾽ ἀπόφασιν μυστικῆς θεολογίας, καθ᾽ ὅ ἡ μακαρία καί ἁγία θεότης κατ᾽ οὐσίαν ἐστίν ὑπεράῤῥητος καί ὑπεράγνωστος καί πάσης ἀπειρίας ἀπειράκις ἐξῃρημένη, οὐδ᾽ ἴχνος ὅλως καταλήψεως κἄν ψιλόν τοῖς μετ᾽ αὐτήν καταλείψασα, οὐδέ τήν πῶς κἄν πόσως ἡ αὐτή καί μονάς ἐστι καί

τριάς ἔννοιαν ἐφιεῖσά τινι τῶν ὄντων , ἐπειδή μηδέ χωρεῖσθαι κτίσει τό ἄκτιστον πέφυκε, μηδέ πεοινοεῖσθαι τοῖς πεπερασμένοις τό ἄπειρον.

***Θεωρία εἰς τά φανά τοῦ Κυρίου ἐνδύματα.***

Τόν δέ καταφατικόν τρόπον εἴς τε τόν κατ᾽ ἐνέργειαν πρόνοιάν τε καί κρίσιν διαιρούμενον· τόν μέν κατ᾽ ἐνέργειαν, τόν ἐκ καλλονῆς κάι μεγέθους τῶν κτισμάτων τήν περί τοῦ δημιουργόν εἶναι τῶν ὅλων τόν Θεόν εἰσηγούμενον δήλωσιν, διά τῶν λαμπρῶν ἐσθημάτων τοῦ Κυρίου δηλοῦσθαι, ἅπερ εἰς τά φαινόμενα κτίσματα προεκλαβών ὁ Λόγος ἀπέδειξεν.

***Θεωρία ἄλλη εἰς τόν Μωϋσῆν.***

Τόν δέ κατά πρόνοιαν τρόπον διά τοῦ Μωϋσέως σημαίνεσθαι, ὡς πλάνης φιλανθρώπως ἐξαιρουμένην τούς κακίᾳ συνειλημμένους, καί τούς τρόπους σοφῶς τοῖς ἀνθρώποις διαποικίλλουσαν τῆς πρός τά θεῖα καί ἄϋλα καί ἀσώματα ἀπό τῶν ὑλικῶν καί φθαρτῶν καί σωματικῶν ἐκδημίας, καί τοῖς θείοις νόμοις ἐπιστημόνως ἐρείδουσα.

***Θεωρία ἄλλη εἰς τόν Ἠλίαν.***

Τόν δέ τῆς κρίσεως τρόπον διά τοῦ Ἠλίου μηνύεσθαι, ὡς λόγῳ τε καί ἔργῳ τούς μέν κατ᾽ ἀξίαν τιμωρουμένης, τούς δέ περιεπούσης διά τοῦ κατά τήν ὑποκειμένην ὕλην τε καί ποιότητα τῆς ἀρετῆς ἤ τῆς κακίας ἑκάστῳ προσφόρως αὐτήν ἁρμόζεσθαι. Ταῦτα γάρ πάντα τά προθεωρηθέντα κατά τόν παρόντα τῆς ἁγίας Γραφῆς τόπον Μωϋσῆς τε καί Ἠλίας, ὡς ἐνῆν μάλιστα τούς τά θεῖα τυπικῶς δι᾽ ἑαυτῶν ὑπογράφοντας πράγματα, ἐν τοῖς καθ᾽ ἑαυτόν ἑκάτερος χρόνοις καθ᾽ ἱστορίαν εἰργάσαντο, ἐμφερῶς ἔχοντα πρός τά εἰρημένα κατά τόν τῆς θεωρίας τρόπον.

***Θεωρία περί τῆς πρός τόν Κύριον κατά τήν μεταμόρφωσιν διαλέξεως Μωϋσέως καί Ἠλίου.***

Ἐκ δέ τοῦ συλλαλεῖν αὐτούς τῷ Κυρίῳ, καί τήν (1169) ἔξοδον λέγειν ἥν ἔμελλε πληροῦν ἐν Ἱερουσαλήμ, οὐ μόνον τήν ἐπ᾽ αὐτῷ διά νόμου καί προφητῶν προκεκηρυγμένην τῶν μυστηρίων ἔκβασιν ἐδιδάσκοντο, ἀλλ᾽ ἴσως καί τό μή ληπτόν εἶναι μηδενί καθόλου τῶν ὄντων τό πέρας τῆς ἀῤῥήτου περί τό πᾶν βουλῆς τοῦ Θεοῦ καί τῶν ἐπ᾽ αὐτῇ θείων οἰκονομιῶν, πλήν τῆς μεγάλης αὐτοῦ προνοίας καί κρίσεως, δι᾽ ὧν εἰς τό μόνῳ τῷ Θεῷ προεγνωσμένον τέλος τό πᾶν εὐτάκτως ἐπείγεται, ὅπερ πάντες μέν ὁμοίως ἠγνόησαν κατά τό τί

ποτε εἶναι καί πῶς καί ποῖον καί πότε, μόνοι δέ ἀληθῶς μόνον ἐπέγνωσαν ἔσεσθαι οἱ τήν ψυχήν ἀρεταῖς ἐκκαθάραντες ἅγιοι, καί πρός τά θεῖα τήν ῥοπήν αὐτῆς ὅλην τήν νοεράν ὁλικῶς μετεγκλίναντες, αὐτῆς, ὡς εἰπεῖν, τῆς καθόλου τῶν ὁρατῶν φύσεως, δι᾽ ὧν συνίστασθαι πέφυκε τρόπων, τό τέλος τῆς παρούσης αὐτῆς εὐκοσμίας, μονονουχί διαῤῥήδην βοώσης, ἀκούσαντες.

***Θεωρία φυσική περί τοῦ τέλος ἐξ ἀνάγκης ἔχειν τόν κόσμον.***

Περιαθρήσαντες γάρ, ὡς ἐνῆν μάλιστα, ἐπιστημόνως τόν παρόντα κόσμον, καί τῶν ἐν αὐτῷ ποικίλως ἀλλήλοις συνηρμοσμένων σωμάτων, τόν συνεπτυγμένον κατ᾽ ἔννοιαν σοφῶς ἐξαπλώσαντες λόγον εὗρον τά μέν αὐτῶν αἰσθητά καί ἀντιληπτικά καί καθολικά, πάντα δέ πᾶσι περιεχόμενά τε καί περιτρεπόμενα τῇ ἐπαλλαγῇ τῆς περί ἕκαστον ποιᾶς ἰδιότητος. Τοῖς μέν γάρ αἰσθητοῖς περιέχεται κατά φύσιν τά αἰσθητικά, τά δέ αἰσθητά τοῖς αἰσθητικοῖς κατ᾽ αἴσθησιν, ὡς ἀντιληπτά. Καί πάλιν τά μέν καθόλου τοῖς μερικοῖς κατά ἀλλοίωσιν, τά δέ μερικά τοῖς καθόλου κατά ἀνάλυσιν περιτρεπόμενα φθείρεται. Καί τῶν μέν διά τῆς τῶν ἄλλων γενέσεως ἡ φθορά ἐπιγίνεται. Τῶν γάρ καθόλου ἡ πρός ἄλληλα σύνοδος τῶν μερικῶν ποιουμένη τήν γένεσιν ἀλλήλων τῇ ἀλλοιώσει ἐστί φθορά, καί τῶν αὖ μερικῶν ἡ κατά διάλυσιν τῆς συνδέσεως πρός τά καθόλου ἀνάλυσις τήν φθοράν ἐπεισάγουσα τῶν καθόλου ἐστί διαμονή καί γένεσις. Καί ταύτην εἶναι μαθόντες τοῦ αἰσθητοῦ κόσμου τήν σύστασιν, τήν εἰς ἄλληλα τῶν ἐν αὐτῷ σωμάτων ἐξ ὧν καί ἐν οἷς ὑφέστηκε δι᾽ ἀλλήλων φθοράν καί ἀλλοίωσιν, ἀκολούθως διά τῆς κατά φύσιν ἀστάτου καί ἀλλοιωτῆς καί ἄλλοτε ἄλλως φερομένης τε καί περιτρεπομένης καθόλου τῶν ἐξ ὧν συνέστηκε σωμάτων ἰδιότητος τήν ἐξ ἀνάγκης καθ᾽ εἱρμόν γενησομένην αὐτοῦ συντέλειαν ἐπαιδεύθησαν οὐκ εἶναι δυνατόν, οὔτε μήν λογικῆς συνέσεως ἀΐδιον φάναι τό μή ὡσαύτως ἔχον ἀεί, δίχα τροπῆς καί τῆς οἱασοῦν ἀλλοιώσεως, ἀλλά μυρίοις σκεδαννύμενον τρόποις καί περιτρεπόμενον, ὀρθῶς λογισάμενοι.

***Θεωρία σύντομος περί τοῦ μέλλοντος, αἰῶνος, καί τί τό χάσμα ἐστί τό μεταξύ Θεοῦ καί ἀνθρώπων, καί τί ὁ Λάζαρος καί ὁ κόλπος τοῦ πατριάρχου.***

Ἐντεῦθεν τῶν ὁρωμένων ὑπεράνω γενόμενοι (1172) μεγαλοφυῶς τοῦ πάντως ἐσομένου τῶν ὅλων κατεστοχάσαντο πέρατος, ἐν ᾧ τι τῶν ὄντων οὐκέτι φέρον ἐστί καί φερόμενον, οὐδέ τις οὐδενός τό σύνολον

κίνησις παγιότητος ἀῤῥήτου, τήν τῶν φερομένων τε καί κινουμένων φοράν τε ὁρισαμένης και κίνησιν. Πρός ὅ γενέσθαι κατά νοῦν ἐπιθυμήσαντες, ἔτι τήν ὑπό φθοράν περικείμενοι σάρκα ἐμφρόνως τό μεταξύ Θεοῦ καί ἀνθρώπων χάσμα διέβησαν, σαρκός καί κόσμου κατά τήν σχέσιν ἑκουσίως ἀπογενόμενοι. Χάσμα γάρ ὡς ἀληθῶς φοβερόν τε καί μέγα μεταξύ Θεοῦ καί ἀνθρώπων ἐστίν ἡ πρός τό σῶμα καί τόν κόσμον τοῦτον στοργή καί διάθεσις. Ὧν γενναίως τήν στέρησιν χαίρων στέρξας ὁ Λάζαρος (ὡς δηλοῖ ἥ τε νόσος καί ἡ πενία, ἡ μέν τήν πρός τόν κόσμον, ἡ δέ τήν πρός τό σῶμα ποιουμένη αὐτῷ ἀλλοτρίωσιν) τήν ἐν κόλποις Ἀβράαμ κατηξιώθη λαβεῖν ἀνάπαυσιν, τόν τούτοις προστετηκότα πλούσιον ἔξω ἀφείς τῆς ἀνέσεως, μηδέν ἄλλο τῆς διά σαρκός ὠφεληθέντα ζωῆς, πλήν τοῦ ἐπ᾽ αὐτῇ ἀπεράντως κολάζεσθαι, ὡς οὔτε τήν παροῦσαν ζωήν ἔχοντα, ἥν ποθήσας μόνην ἠσπάζετο, ἀκράτητον φύσει κατά τήν ῥεῦσιν ὑπάρχουσαν, οὔτε τῆς μελλούσης μεταλαχεῖν δυνάμενον, πρός ἥν ἀργός παντάπασι διέμεινε καί ἀνέραστος, μόνοις ἐκείνοις συμφύεσθαι τοῖς αὐτήν ὁλοσχερῶς ἀγαπήσασι πεφυκυίας, καί τοῦ πρός αὐτήν εἵνεκα πόθου πάντα τά ἀλγεινά προθύμως μεθ᾽ ἡδονῆς ὑπομείνασι. Κόλπου δέ Ἀβράαμ ἀκούοντας τόν ἐκ σπέρματος Ἀβράαμ τόν κατά σάρκα ἡμῖν ἐπιφανέντα νοήσομεν Θεόν, τόν ὄντως πάντων χορηγικόν καί πᾶσι τοῖς ἀξίοις τῆς χάριτος ἀναλόγως τῇ κατ᾽ ἀρετήν ἑκάστου ποιότητί τε καί ποσότητι, οἱόν τινας διαφόρως νομάς ἀμερῶς ἑαυτόν ἐπιμερίζοντα καί τοῖς μετάχουσιν οὐδ᾽ ὁπωσοῦν συνδιατεμνόμενον, διά τήν κατά φύσιν ἄτμητον ὀντότητα τῆς ἑνότητος, κἄμπαλιν διά τήν διάφορον ἀξίαν τῶν μετεχόντων ταῖς μετοχαῖς παραδόξως καθ᾽ ἕνωσιν ἄῤῥητον ἀφοριστικῶς ἐπιφαινόμενον (οἶδεν ὁ λόγος) , πρός ὅν οὐδείς διαβῆναι δυνήσεται θρύψει χαίρων σαρκός, καί τῆς αὐτοῦ μακαρίας δόξης τῇ τοῦ κόσμου ἀπάτῃ πλέον ἡδόμενος, οὐδέ στήσεται μετά τοῦ τόν κόσμον νικήσαντος ὁ τῷ κόσμῳ ἡττηθείς και ἐπ᾽ αὐτῷ κακῶς εἰδώς ἀγαλλόμενος. Οὐκ εἶναι γάρ ἄξιον ἔκρινεν ἡ θεία δικαιοσύνη, τούς τῇ ζωῇ ταύτῃ τά κατά τόν ἄνθρωπον περιγράφοντας, καί πλούτῳ καί ὑγείᾳ σώματος καί τοῖς ἄλλοις ἀξιώμασιν ἁβρυνομένους, καί τοῦτο μόνον μακάριον κρίνοντας, τά δέ τῆς ψυχῆς ἀγαθά παρ᾽ οὐδέν τιθεμένους, τῶν θείων καί αἰωνίων μεταλαχεῖν ἀγαθῶν, ὧν οὐδ᾽ ὅλως ἐφρόντισαν, διά τήν πολλήν περί τά ὑλικά σπουδήν ἀγνοήσαντας ὅσον πλούτου καί ὑγείας καί τῶν ἄλλων προσκαίρων ἀγαθῶν αἱ ἀρεταί ὑπερέχουσιν.

***Θεωρία περί ἀρετῶν.***

Μόναι γάρ καί σύν τοῖς ἄλλοις αἱ ἀρεταί μακάριον ποιοῦσιν τόν ἄνθρωπον. Μετά μέν τῶν ἄλλων, κατά πλάτος, ὥς τις ἔφη τῶν τά θεῖα σοφῶν, μόναι δέ καί καθ' ἑαυτάς, κατά περιγραφήν νοεῖται, ὡς δίπηχυ, τά δέ κατά πλάτος, ὡς σωρός. Σωροῦ γάρ κἄν δύο μεδίμνους ἀφέλῃς, τό λειπόμενον μένει σωρός· καί τῆς δέ κατά πλάτος μακαριότητος ἄν ἀφέλῃς τά τοῦ σώματος καί τῶν ἐκτός ἀγαθά, καταλίπῃς δέ μόνας τάς ἀρετάς, μένει καί οὕτως ἀνελλιπές τό μακάριον. Αὐτάρκης γάρ καθ᾽ ἑαυτήν τῷ ἔχοντι πρός εὐδαιμονίαν ἡ ἀρετή. Πᾶς οὖν κακός ἄθλιος, κἄν πάντα συλήβδην ἔχῃ τά λεγόμενα τῆς γῆς ἀγαθά, τῶν ἀρετῶν ἐστερημένος· καί πᾶς ἀγαθός μακάριος, κἄν πάντων ἐστέρηται τῶν ἐπί γῆς ἀγαθῶν, ἔχων τῆς ἀρετῆς τήν λαμπρότητα, μεθ᾽ ἧς λάζαρος τήν ἐν κόλποις Ἀβραάμ ἀνάπαυσιν ἔχων ἀγάλλεται.

***Ἄλλη θεωρία εἰς τό, "Ἐάν σταυρωθῇς ὡς ληστής."***

Κἄν αὖθις ληστής ἐστιν εὐγνώμων ὁ καταξιωθείς συσταυρωθῆναι Χριστῷ διά τῆς παντελοῦς καί ὁλοκλήρου τῶν παθῶν ἐκκρούσεως, καί δεξιῶς αὐτῷ συσταυρούμενος, τουτέστι μετά λόγου καί γνώσεως πᾶσαν διεξιών ἀρετήν, καί ἀπρόσκοπον πᾶσιν ἀνθρώποις τόν βίον διατηρῶν, καί μηδεμίαν ἔχων τό παράπαν τῆς τοῦ λόγου πραότητος ἀπᾴδουσαν δι᾽αὐστηρότητα κίνησιν, ἀγνώμων δέ ληστής ἐστιν ὁ δόξης ἕνεκεν ἤ λημμάτων ἁδροτέρων τοῖς φαινομένοις τρόποις ὑπούλως τόν κατ' ἀρετήν βίον ὑποκρινόμενος, καί ἕνα καί μόνον πρός τούς ἔξω τόν κόλακα λόγον ἀντί πάσης ἀρετῆς τε καί γνώσεως μετερχόμενος, πρός δέ τούς συνήθεις σκολιός τις τήν γνώμην τῶν παντάπασιν ὤν καί δυσάντητος, ὅν δεῖ μάλα γε τήν ὁδόν τοῦ Θεοῦ βλασφημοῦντα μετά συνέσεως ἐπιστομίζειν. Ἴσως γάρ παύσεται τοῦ διαβάλλειν διά τῆς οἰκείας ἀναστροφῆς τόν λόγον, τῇ παραινέσει τοῦ ἐπιπλήσσοντος, ὥσπερ ἐπί τοῦ σταυροῦ πέπονθεν ὁ τήν βλασφημίαν ἀδεῶς προσενέγκας ληστής. Τό γάρ μή ἀντιφθέγξασθαι τῷ ἐπιπλήξαντι σημεῖον ἔχει τῆς τοῦ ῥηθέντος ἀποδοχῆς λόγου τήν σιωπήν. Καθ᾽ ἥντινα γοῦν τῶν εἰρημένων τῷ Χριστῷ συσταυρούμεθα, σπουδάσωμεν, ὥς ἐσμεν ἐνταῦθα, τόν συσταυρούμενον ἡμῖν ἱλεώσασθαι λόγον, καί τήν ἀψευδῆ δέξασθαι κατά συνείδησιν καταρθεῖσαν τῶν πλησσόντων αὐτήν νοημάτων τῆς ἀναπαύσεως

ἐπαγγελίαν, εἴπερ ἡ σήμερον τήν ἐνεστῶσαν τούτου τοῦ αἰῶνος ἡμέραν ἐνδείκνυται (Σήμερον γάρ, φησίν, ἔσῃ μετ᾽ ἐμοῦ ἐν τῷ παραδείσῳ), ἡ δέ αὔριον τήν τοῦ μέλλοντος, καθ᾽ ἥν οὐδεμίαν μέν ἄφεσιν ἁμαρτημάτων ἐκδέχεσθαι χρή μόνην δέ τῆς ἑκάστῳ πρεπούσης κατ᾽ ἀξίαν ἀμοιβῆς τῶν βεβιωμένων ἀντίδοσιν.

***(1176) Ἄλλη θεωρία πρός τούς ἀποροῦντας περί τοῦ ῥητοῦ τοῦ ἐν τῷ λόγῳ τῶν. Ἐγκαινίων τοῦ λέγοντος, " Ὑψηλῆς ὑψηλοτέρα, καί θαυμασίας θαυμασιωτέρα."***

Καί αὖθις τήν μέν πρώτην Κυριακήν τῆς μελλούσης φυσικῆς ἀναστάσεως καί ἀφθαρσίας εἶναι σύμβολον, τήν δέ δευτέραν τῆς κατά χάριν μελλούσης θεώσεως φέρειν εἰκόνα. Εἰ τοίνυν τῆς μέν καθαρευούσης κακῶν ἕξεως ἡ τῶν ἀγαθῶν ἀπόλαυσίς ἐστι τιμιωτέρα, τῆς δέ κατ᾽ ἀρετήν ὑγιοῦς προαιρέσεως ἡ ἕξις τῆς κατά τήν ἀληθῆ γνῶσιν τελειότητος, καί τῆς φυσικῆς ἀφθαρσίας ἡ ἐν χάριτι πρός τόν Θεόν κατά τήν θέωσιν ματαποίησις, ὧν ἡ μέν πρώτη Κυρικάη φέρει τύπον, ἡ δέ δευτέρα τυγχάνει σύμβολον, εἰκότως ὑψηλῆς ὑψηλοτέραν ἀγόμενος πνεύματι τήν καινήν ὁ διδάσκαλος ἔφη Κυριακήν.

***Θεωρία φυσική, δι᾽ ἧς τόν Θεόν ἐκ τῶν κτισμάτων οἱ ἅγιοι ἐδιδάσκοντο.***

Οὕτω μέν οὖν τήν κτίσιν κατανοήσαντες θεωρίᾳ οἱ ἅγιοι, καί τήν εὐκοσμίαν αὐτῆς καί τήν ἀναλογίαν καί τήν χρείαν, ἥν ἕκαστον παρέχεται τῷ παντί, καί ὡς τέλεια πάντα σοφῶς τε καί προνοητικῶς καθ᾽ ὅν δεδημιούργηνται λόγον δεδημιουργημένα, καί ὡς οὐχ οἷόντε ἄλλως γε καλῶς ἔχειν τά γενόμενα παρ᾽ ὅ νῦν ἔχει, προσθήκης ἤ ἀφαιρέσεως πρός τό καλῶς ἄλλως ἔχειν μή δεόμενα τόν Δημιουργόν ἐκ τῶν αὐτοῦ ποιημάτων ἐδιδάχθησαν· οὕτω δέ τήν διαμονήν, τήν τε τάξιν καί τήν θέσιν τῶν γεγονότων, καί τήν διεξαγωγήν, καθ᾽ ἥν πάντα κατά τό οἰκεῖον ἕκαστα εἶδος ἕστηκεν ἀσύγχυτα καί παντός ἐλεύθερα φυρμοῦ, τήν τε τῶν ἄστρων φοράν κατά τόν αὐτόν τρόπον γινομένην, μηδέν μηδέποτε διαλλάττουσαν, καί τόν κύκλον τοῦ ἐνιαυτοῦ κατά τήν τῶν αὐτῶν ἀπό τοῦ αὐτοῦ εἰς τόν αὐτόν τόπον ἀποκατάστασιν εὐτάκτως γινόμενον, τῶν τε νυκτῶν καί τῶν ἡμερῶν τήν κατ᾽ ἔτος ἰσότητα, παρά μέρος ἑκατέρας αὐξανομένης τε καί μειουμένης, οὔτε πλείονι οὔτε ἐλάττονι μέτρῳ τῆς αὐξήσεως αὐταῖς ἤ

τῆς μειώσεως ἐπιγινομένης, προνοητήν ἠπίστασαν εἶναι τῶν ὄντων, ὅν καί Θεόν καί Δημιουργόν τῶν ὅλων ἐπέγνωσαν.

***Θεωρία φυσική περί τοῦ ἀρχήν ἔχειν τόν κόσμον καί γένεσιν, καί πᾶν ἄλλο μετά Θεόν.***

Τίς γάρ τό κάλλος καί τό μέγεθος τῶν τοῦ Θεοῦ κτισμάτων θεώμενος οὐκ εὐθύς αὐτόν γενεσιουργόν ἐννοήσει, ὡς ἀρχήν καί αἰτίαν τῶν ὄντων καί Ποιητήν, καί πρός αὐτόν μόνον ἀναδραμεῖται τῇ διανοίᾳ, ταῦτα ἀφείς κάτω, ὅτι μηδέ πέφυκε τῆς διανοίας χωρεῖν τόν ὅλην διάβασιν, λαβεῖν παθῶν ἀμέσως ὅν διά μέσων τῶν ἔργων ἐγνώρισε, καί τήν περί τοῦ ἄναρχον εἶναι τόν κόσμον ἑαυτοῦ πλάνην (1177) ἑτοίμως ἀπώσεται, λογιζόμενος ἀληθῶς ὅτι πᾶν κινούμενον πάντως καί ἤρξατο τῆς κινήσεως. Πᾶσα δέ κίνησις οὐκ ἄναρχος, ἐπειδή οὐδέ ἀναίτιος. Ἀρχήν γάρ ἔχει τό κινοῦν, καί αἰτίαν ἔχει τό καλοῦν τε καί ἕλκον πρός ὅ καί κινεῖται τέλος. Εἰ δέ πάσης κινήσεως παντός κινουμένου τό κινοῦν ἐστιν ἀρχή, καί τέλος ἡ πρός ἥν φέρεται τό κινούμενον αἰτία (οὐδέν γάρ ἀναιτίως κινεῖται), οὐδέν δέ τῶν ὄντων ἀκίνητον, εἰ μή τό πρώτως κινοῦν (τό γάρ πρώτως κινοῦν πάντως ἀκίνητον, ὅτι καί ἄναρχον), οὐδέν ἄρα τῶν ὄντων ἐστίν ἄναρχον, ὅτι μή καί ἀκίνητον. Πάντα γάρ κινεῖται τά ὁπωσοῦν ὄντα, δίχα τῆς μόνης καί ἀκινήτου καί ὑπέρ πάντα αἰτίας, τά μέν νοερά τε καί λογικά, γνωστικῶς τε καί ἐπιστημονικῶς, ὅτι μή αὐτογνῶσις ἤ αὐτοεπιστήμη ἐστίν. Οὔτε γάρ οὐσία αὐτῶν ἡ γνῶσις αὐτῶν ἐστι καί ἡ ἐπιστήμη, ἀλλ᾽ ἕξεις τῇ αὐτῶν οὐσίᾳ ἐπιθεωρούμεναι, ἐκ τῆς κατά νοῦν καί λόγον (τάς συστατικάς αὐτῶν λέγω δυνάμεις) ὀρθῆς κρίσεως ἐπιγενόμεναι.

***Θεωρία περί συστολῆς καί διαστολῆς οὐσίας, ποιότητός τε καί ποσότητος, καθ᾽ ἥν ἄναρχοι εἶναι οὐ δύνανται.***

Ἀλλά καί αὐτή ἡ ἁπλῶς λεγομένη οὐσία οὐ μόνον ἡ τῶν ἐν γενέσει καί φθορᾷ κατά γένεσιν κινεῖται καί φθοράν, ἀλλά καί ἡ τῶν ὄντων ἁπάντων καί κεκίνηται καί κινεῖται τῷ κατά διαστολήν καί συστολήν λόγῳ τε καί τρόπῳ. Κινεῖται γάρ ἀπό τοῦ γενικωτάτου γένους διά τῶν γενικωτέρων γενῶν εἰς τά εἴδη δι᾽ ὧν καί εἰς ἅ διαιρεῖσθαι πέφυκε, προ«οῦσα μέχρι τῶν εἰδικωτάτων εἰδῶν οἷς περατοῦται ἡ κατ᾽ αὐτήν διαστολή, τό εἶναι αὐτῆς πρός τά κάτω περιγράφουσα, καί συνάγεται πάλιν ἀπό τῶν εἰδικωτάτων εἰδῶν διά τῶν γενικωτέρων

ἀναποδίζουσα μέχρι τοῦ γενικωτάτου γένους, ᾧ περατοῦται ἡ κατ᾽ αὐτήν συστολή, πρός τό ἄνω τό εἶναι αὐτῆς ὁρίζουσα, καί λοιπόν διχόθεν περιγραφομένη, ἄνωθέν τε λέγω καί κάτωθεν, ἀρχήν καί τέλος ἔχουσα δείκνυται, τόν τῆς ἀπειρίας οὐδ᾽ ὅλως ἐπιδέξασθαι δυναμένη λόγον. Ὡσαύτως δέ καί ἡ ποσότης, οὐ μόνον ἡ τῶν ἐν γενέσει καί φθορᾷ παντί τρόπῳ ᾧ πέφυκε θεωρεῖσθαι κατ᾽ αὔξησιν κινεῖται καί μείωσιν, ἀλλά καί ἡ πᾶσα καί πάντων τῷ κατ' ἄνεσιν καί ἐπίτασιν λόγῳ κινουμένη καί ταῖς κατά μέρος διαφοραῖς κατά διαστολήν εἰδοποιουμένη περιγράφεται, τό ἄπειρον χεῖσθαι οὐκ ἔχουσα, καί συνάγεται πάλιν ἀναποδίζουσα, τό κατ' αὐτάς, ἀλλ᾽ οὐ τό συμφυές εἶδος ἀπολύουσα. Ὁμοίως δέ καί ἡ ποιότης, οὐ μόνον ἡ τῶν ἐν γενέσει καί φθορᾷ κινεῖται κατ᾽ ἀλλοίωσιν, ἀλλά καί ἡ πᾶσα καί πάντων, τῷ τρεπτῷ τε καί σκεδαστῷ τῆς κατ᾽ αὐτήν διαφορᾶς κινουμένη, διαστολήν καί συστολήν ἐπιδέχεται. Οὐδείς δέ (1180) τό πεφυκός σκεδάννυσθαί τε καί συνάγεσθαι λόγῳ ἤ ἐνεργείᾳ εἴποι ἄν εὐφρονῶν ἀκίνητον εἶναι παντάπασιν. Εἰ δέ μή ἀκίνητον, οὐδέ ἄναρχον· εἰ δέ μή ἄναρχον, οὐδέ ἀγένητον δηλονότι, ἀλλ᾽ ὥσπερ οἶδεν ἠργμένον κινήσεως τό κινούμενον, οὕτως καί τῆς πρός τό εἶναι γενέσεως ἦρχθαι τό γεγενημένον ἐπίσταται, καί ἐκ τοῦ νόμου καί ἑνός ἀγενήτου τε καί ἀκινήτου τό εἶναί τε καί τό κινεῖσθαι λαβόν. Τό δέ κατά τήν τοῦ εἶναι γένεσιν ἠργμένον οὐδαμῶς ἄναρχον εἶναι δύναται.

***Ἀπόδειξις τοῦ, Πᾶν ὁτιοῦν ἄνευ Θεοῦ πάντως ἐν τόπῳ, καί διά τοῦτο ἐξ ἀνάγκης καί ἐν χρόνῳ, καί ὅτι τό ἐν τόπῳ πάντως κατά χρόνον καί ἦρκται τοῦ εἶναι.***

Ἵνα δέ ἐάσω λέγειν ὅτι καί αὐτό τό εἶναι τῶν ὄντων, τό πῶς εἶναι ἔχον, ἀλλ᾽ οὐχ ἁπλῶς, ὅπερ ἐστί πρῶτον εἶδος περιγραφῆς, ἰσχυρόν τε καί μέγα πρός ἀπόδειξιν τοῦ ἦρχθαι κατ᾽ οὐσίαν καί γένεσιν τά ὄντα, τίς ἀγνοεῖ ὅτι παντός τοῦ ὁπωσοῦν ὄντος, πλήν τοῦ θείου καί μόνου, τοῦ καί ὑπέρ αὐτό τό εἶναι κυρίως ὑπάρχοντος, προεπινοεῖται τό ποῦ, ᾧ πάντη τε καί πάντως ἐξ ἀνάγκης συνεπινοεῖται τό πότε. Οὐ γάρ τοῦ ποτέ διωρισμένον κατά στέρησιν δυνατόν ἐστιν ἐπινοῆσαι τό ποῦ (τῶν γάρ ἅμα ταῦτά ἐστιν, ἐπειδή καί τῶν οὐκ ἄνευ τυγχάνουσιν) ἤ δέ τοῦ ποῦ τό ποτέ, ᾧ συνεπινοεῖσθαι πέφυκεν, οὐδαμῶς διώρισται κατά στέρησιν. Ὑπό τό ποῦ δέ πάντα, ὡς ἐν τόπῳ ὄντα, δείκνυται. Οὐ γάρ ὑπέρ τό πᾶν αὐτό τό πᾶν τοῦ παντός (τοῦτο γάρ πως καί ἄλογον καί ἀδύνατον αὐτό τό πᾶν ὑπέρ τό ἑαυτοῦ πᾶν θεσπίζειν), ἀλλ᾽ ὑφ᾽

ἑαυτοῦ ἐν ἑαυτῷ τήν περιγραφήν ἔχον, μετά τήν πάντα περιγράφουσαν τοῦ παναιτίου ἄπειρον δύναμιν, αὐτό τό πέρας ἑαυτοῦ τό ἐξώτερον. Ὅπερ καί τόπος ἐστί τοῦ παντός, καθώς καί ὁρίζονταί τινες τόν τόπον λέγοντες, Τόπος ἐστίν ἡ ἔξω τοῦ παντός περιφέρεια, ἤ ἡ ἔξω τοῦ παντός θέσις, ἤ τό πέρας τοῦ περιέχοντος ἐν ᾧ περιέχεται τό περιεχόμενον. Καί ὑπό τό ποτέ, ὡς ἐν χρόνῳ πάντως ὄντα, συναποδειχθήσεται, ἐπειδή μή ἁπλῶς, ἀλλά πῶς τό εἶναι ἔχουσι, πάντα ὅσα μετά Θεόν τό εἶναι ἔχει. Καί διά τοῦτο οὐκ ἄναρχα. Πᾶν γάρ ὅπερ καθ᾽ ὁτιοῦν τόν τοῦ πῶς ἐπιδέχεται λόγον, κἄν εἰ ἔστιν, ἀλλ᾽ οὐκ ἦν. Ὅθεν τό Θεῖον εἶναι λέγοντες οὐ τό πῶς εἶναι λέγομεν· καί διά τοῦτο καί τό " Ἔστι" καί τό " Ἦν" ἁπλῶς καί ἀορίστως καί ἀπολελυμένως ἐπ᾽ αὐτοῦ λέγομεν. Ἀνεπίδεκτον γάρ παντός λόγου καί νοήματος τό Θεῖόν ἐστι, καθ᾽ ὅ οὔτε κατηγοροῦντες αὐτοῦ τό εἶναι λέγομεν αὐτό εἶναι. Ἐξ αὐτοῦ γάρ τό εἶναι, ἀλλ᾽ οὐκ αὐτό τό εἶναι. Ὑπέρ γάρ ἐστι καί αὐτοῦ τοῦ εἶναι, τοῦ τε πῶς καί ἁπλῶς λεγομένου τε καί νοουμένου. Εἰ δέ πῶς, ἀλλ᾽ οὐχ ἁπλῶς, ἔχει τά ὄντα τό εἶναι, ὥσπερ ὑπό τοῦ ποῦ εἶναι διά τήν θέσιν καί τό πέρας (1181) τῶν ἐπ᾽ αὐτοῖς κατά φύσιν λόγων, καί ὑπό τό ποτέ πάντως εἶναι διά τήν ἀρχήν ἐπιδέξεται.

***Ἀπόδειξις τοῦ μή δύνασθαι ἄπειρον εἶναι, καί διά τοῦτο οὔτε ἄναρχον πᾶν, εἴ τι κατά τήν ἐν πλήθει ποσότητα ἔχει τό εἶναι.***

Καί πάλιν εἰ ἡ πάντων οὐσία πολλῶν ὄντων τῶν πάντως ἄπειρος εἶναι οὐ δύναται (πέρας γάρ ἔχει αὐτῶν τῶν πολλῶν ὄντων τήν ἐν πλήθει ποσότητα, περιγράφουσαν αὐτῆς τόν τε τοῦ εἶναι καί τοῦ πῶς εἶναι λόγον, οὐ γάρ ἄφετος ἡ πάντων οὐσία), οὐδέ ἡ τοῦ καθ᾽ ἕκαστον δῆλον ὑπόστασις ἔσται δίχα περιγραφῆς, ἀλλήλαις τῷ ἀριθμῷ καί τῇ οὐσίᾳ κατά λόγον περιγεγραμμέναι. Εἰ δέ περιγραφῆς οὐδέν τῶν ὄντων ἐλεύθερον, πάντα τά ὄντα δηλονότι ἀναλόγως ἑαυτοῖς καί τό ποτέ εἶναι καί τό "ποῦ εἶναι" εἴληφε. Τούτων γάρ ἄνευ τό παράπαν οὐδέν εἶναι δυνήσεται, οὐκ οὐσία, οὐ ποσότης, οὐ ποιότης, οὐ σχέσις, οὐ ποίησις, οὐ πάθος, οὐ κίνησις, οὐχ ἕξις, οὐχ ἕτερόν τι τῶν οἷς τό πᾶν περικλείουσιν οἱ περί ταῦτα δεινοί. Οὐδέν οὖν τῶν ὄντων ἄναρχον, ᾧ τι ἕτερον προεπινοεῖσθαι, οὐδέ ἀπερίγραφον ᾧ τι ἕτερον συνεπινοεῖσθαι δύναται. Εἰ δέ τῶν ὄντων οὐδέν ἄναρχον ἤ ἀπερίγραφον, ὡς ἔδειξε ἀκολούθως τῇ φύσει τῶν ὄντων ἑπόμενος ὁ λόγος, ἦν πάντως ποτέ ὅτε τι τῶν ὄντων οὐκ ἦν· εἰ δέ οὐκ ἦν, πάντως

γέγονεν, εἴπερ οὐκ ἦν. Οὐ γάρ ἄμφω ἐνδέχεται καί εἶναι καί γίνεσθαι χωρίς τροπῆς καί ἀλλοιώσεως. Εἰ γάρ ἦν καί γέγονεν, ἐτράπη, εἰς ὅπερ οὐκ ἦν μεταχωρῆσαν κατά τήν γένεσιν, ἤ ἠλλοιώθη, προσθήκην οὗ ἐστέρητο κάλλους ἐπιδεξάμενον. Πᾶν δέ τρεπόμενον, ἤ ἀλλοιούμενον, ἤ ἐλλιπές εἴδους, αὐτοτελές εἶναι οὐ δύναται. Τό δέ μή ὄν αὐτοτελές, ἑτέρου πάντως προσδεηθήσεται, τοῦ παρέχοντος αὐτῷ τήν τελειότητα, καί ἔστι τέλειον μέν τό τοιοῦτον, ἀλλ᾿ οὐκ αὐτοτελές, διά τό μή φύσει, μεθέξει δέ τό τέλειον ἔχειν. Τό δέ ἑτέρου προσδεόμενον πρός τελείωσιν καί πρός αὐτό τό εἶναι πολλῷ μᾶλλον προσδεηθήσεται. Εἰ γάρ εἴδους κρείττων, ὥς φασιν, ἡ οὐσία καθέστηκε, ταύτην δέ ἑαυτῷ παρασχεῖν ἤ ἁπλῶς ἔχειν δεδύνηται ἐκεῖνο τό ὄν, ὅπερ αὐτοί φάναι βούλονται, πῶς πρός τό ἔχειν ἁπλῶς ἤ παρασχεῖν ἑαυτῷ τό ἧττον, φημί δέ τό εἶδος, οὐκ ἐπήρκεσε; Εἰ δέ πρός τό παρασχεῖν ἑαυτῷ τό ἧττον, ἤ ἁπλῶς ἔχειν ἐκεῖνο τό ὄν, ὅπερ εἴ τε οὐσίαν, εἴ τε ὕλην καλεῖν βούλονται οἱ τό ἄναρχον τοῖς μετά Θεόν καί ἐκ Θεοῦ προσάπτειν τολμῶντες (οὐ γάρ περί τούτου διαφερόμεθα ) οὐκ ἐπήρκεσε, πῶς τό κρεῖττον, αὐτό τό εἶναί φημι, ἤ ἁπλῶς ἤ παρ᾿ ἑαυτοῦ ἔχειν δεδύνηται, τό πρός τό ἔχειν τό ἧττον ἀδυνατῆσαν; Εἰ δέ παρ᾿ ἑαυτῆς ἤ ἁπλῶς ἔχειν τό ἧττον οὐδαμῶς ἡ ὕλη δεδύνηται, πολλῷ μᾶλλον (1184) αὐτό τό εἶναι ἁπλῶς, ἤ πῶς παρ᾿ ἑαυτῆς ἔχειν οὐ δυνηθήσεται. Ἆρ᾿ οὖν ἡ πρός τό ἔχειν, ὡς δέδεικται, τό ἧττον, λέγω δέ τό εἶδος, ἀτονήσασα οὐδέ τό κρεῖττον, αὐτό τό εἶναί φημι, κἄν ὁπωσοῦν ἔχειν δυνηθείη ποτέ. Εἰ δέ τοῦτο, πάντως ἐκ Θεοῦ τό εἶναι τοῖς οὖσι καί τό εἶδος δεδώρηται, ἐπείπερ εἰσίν· εἰ δέ ἐκ Θεοῦ πᾶσα οὐσία, καί ὕλη καί εἶδος ἅπαν ἐστίν, οὐδείς ἄν μή πάντη σώφρονος λογισμοῦ ἐστερημένος εἰπεῖν ἀνάσχοιτο ἄναρχον ἤ ἀγένητον τήν ὕλην, Θεόν εἰδώς τῶν ὄντων ποιητήν καί δημιουργόν.

***Ἀπόδειξις ὅτι πᾶν κινούμενον, ἤ ἄλλῳ διαφόρῳ κατά τήν οὐσίαν ἐξ ἀϊδίου συνθεωρούμενον, ἄπειρον εἶναι οὐ δύναται, καί ὅτι ἡ δυάς οὔτε ἀρχή ἐστιν, οὔτε ἄναρχος, καί ὅτι ἡ μονάς μόνη κυρίως ἀρχή καί ἄναρχος.***

Καί πάλιν, εἰ ἦν, ὥς τινές φασιν, ἡ ὕλη, οὐ γέγονε δηλονότι, εἰ δέ μή γέγονεν, οὐδέ κινεῖται, εἰ δέ μή κινεῖται, οὔτε τοῦ εἶναι ἤρξατο, εἰ δέ τοῦ εἶναι μή ἤρξατο, πάντως ἄναρχον, εἰ δέ ἄναρχον, καί ἄπειρον, εἰ δέ ἄπειρον, πάντως καί ἀκίνητον (ἀκίνητον γάρ πάντως τό ἄπειρον, οὐ γάρ ἔχει ποῦ κινηθῆναι τό μή ὁριζόμενον), εἰ δέ τοῦτο, δύο πάντως

τά ἄπειρα καί ἄναρχα καί ἀκίνητα, Θεός καί ὕλη, ὅπερ εἶναι ἀμήχανον. Δυάς γάρ οὔτε ἄπειρος, οὔτε ἄναρχος, οὔτε ἀκίνητος, οὔτε μή ἀρχή καθόλου τινός εἶναι δυνήσεται, καθ᾽ ἕνωσίν τε καί διαίρεσιν περιγραφομένη, καθ᾽ ἕνωσιν μέν ὡς ὕπαρξιν ἔχουσα τῶν μονάδων τήν σύνθεσιν, ὑφ᾽ ὧν ὡς μερῶν περιέχεται καί εἰς ἅς ὡς μέρη τέμνεσθαι δύναται (οὐδέν δέ διαιρετόν ἤ διαιρούμενον, ἤ σύνθετον ἤ συντιθέμενον, κατά φύσιν ἤ θέσιν ἤ ἄλλον τινά ἐπινοηθῆναι δυνάμενον τρόπον, ἀλλ᾽ οὐδέ αὐτή ἡ ἁπλῶς λεγομένη διαίρεσις ἤ σύνθεσις, ἄπειρον εἶναι δυνήσεται, ὅτι μή καί ἁπλοῦν καί μόνον, καί μή ἀριθμητόν ἤ ἀριθμούμενον ἤ συναριθμούμενον, ἤ πάσης ἁπλῶς ἐλεύθερον τῆς οἱασδήποτε σχέσεως· πάντα γάρ ταῦτα ἐν σχέσει θεωρεῖται, τό δέ ἄπειρον ἄσχετον, οὐ γάρ ἔχει τι κατά σχέσιν συνημμένον παντάπασι), κατά διαίρεσιν δέ ὡς ἀριθμῷ κινουμένη, ἐξ οὗπερ ἤρξατό τε καί ὑφ᾽ οὗ περιέχεται, ἐπείπερ οὐ φύσει τό εἶναι καί ἄσχετον ἔχει. Ἀριθμῷ γάρ πᾶσα δυάς καί πᾶσα μονάς εἰς μέρος αὐτῆς συντελοῦσα εἶναι καθέστηκε, καθ᾽ ὅν ἀλλήλων αἱ κατ᾽ αὐτήν μονάδες, ἀφαιροῦνται τό ἀπερίγραφον. Οὐδείς δέ μεμοιραμένος καί ὁπωσοῦν τοῦ λογίζεσθαι εἴποι ἄν ἄπειρον εἶναι ᾧ ἐξ ἀϊδίου συνθεωρεῖταί τι ἤ συνεπιθεωρεῖται κατ᾽ οὐσίαν διάφορον, εἰδώς διαπεσεῖσθαι πάντως αὐτῷ τόν περί τοῦ ἀπείρου λόγον οὕτω φρονοῦντι. Τό γάρ ἄπειρον κατά πάντα καί λόγον καί τρόπον ἐστίν ἄπειρον, κατ᾽ οὐσίαν, κατά δύναμιν, κατ᾽ ἐνέργειαν, κατ᾽ ἄμφω τά πέρατα, τό ἄνω τε λέγω καί τό κάτω, τουτέστι κατά τήν ἀρχήν καί τό τέλος. Ἀχώρητον γάρ κατά τήν οὐσίαν, καί ἀπερινόητον κατά τήν δύναμιν, καί κατά τήν (1185) ἐνέργειαν ἀπερίγραφον, καί ἄναρχον ἄνωθεν, καί ἀτελεύτητον κάτωθέν ἐστι τό ἄπειρον, καί ἁπλῶς εἰπεῖν ἀληθέστερον, καί πάντα ἀόριστον, ὡς οὐδενός τό παράπαν καθ᾽ ἕνα τῶν ἀπηριθμημένων τρόπων συνεπινοηθῆναι αὐτῷ δυναμένου. Καθ᾽ ὅν γάρ ἄν εἴποιμεν λόγον ἤ τρόπον δύνασθαί τι ἕτερον αὐτῷ κατ᾽ οὐσίαν διάφορον παραβάλλεσθαι, τόν ὅλον τῆς ὅλης ἀπειρίας αὐτῷ συναφαιρούμεθα λόγον. Εἰ δέ ἄπειρόν τι εἶναι οὐ δύναται ᾧ ἐξ ἀϊδίου συνυπάρχει ἕτερόν τι κατ᾽ οὐσίαν διάφορον, ἄπειρον εἶναι οὐδαμῶς ἐνδέχεται δυάδα. Αἱ γάρ κατ᾽ αὐτήν μονάδες ἀλλήλαις κατά παράθεσιν συνυπάρχουσαι ἀλλήλας ὁρίζουσιν, οὐδετέρας τήν ἑτέραν ἀορίστως ὁρᾶσθαι συγχωρούσης, παρακειμένην, ἀλλ᾽ οὐχ ὑπερβαίνουσαν ἐχούσης, καί τόν τῆς ἀπειρίας εἰκότως ἀλλήλων συναφαιροῦνται λόγον. Εἰ δέ ἄπειρον, ὡς δέδεικται, μή ἐνδέχεται εἶναι

δυάδα, οὔτε ἄναρχον δηλονότι, ἀρχή γάρ πάσης δυάδος μονάς· εἰ δέ μή ἄναρχον οὐδέ ἀκίνητον, κινεῖται γάρ τῷ ἀριθμῷ ἐκ μονάδων κατ᾿ ἕνωσιν, καί εἰς αὐτά κατά διαίρεσιν τό εἶναι λαμβάνουσα· εἰ δέ μή ἀκίνητον, οὐδέ ἄλλου τινός ἀρχήν εἶναι. Τό γάρ κινούμενον οὐκ ἀρχή, ἀλλ᾿ ἐξ ἀρχῆς, δηλαδή τοῦ κινοῦντος. Μονάς δέ μόνη κυρίως ἀκίνητος, ὅτι μήτε ἀριθμός ἐστι, μήτε ἀριθμητόν ἤ ἀριθμούμενον (οὔτε γάρ μέρος ἤ ὅλον ἤ σχέσις ἐστίν ἡ μονάς), καί κυρίως ἄναρχος, ὅτι μηδέτερον ἑαυτῆς ἔχει πρεσβύτερον, ἐξ οὗ κινουμένη δέχεται τό εἶναι μονάς, καί ἄπειρον κυρίως, ὅτι μηδέν ἔχει συνυπάρχον ἤ συναριθμούμενον, καί ἀρχή κυρίως, ὅτι παντός καί ἀριθμοῦ καί ἀριθμουμένου καί ἀριθμητοῦ αἰτία τυγχάνει, ὡς πάσης σχέσεως καί παντός μέρους καί ὅλου ἐξῃρημένη, καί κυρίως καί ἀληθῶς, πρώτως δέ καί μόνως καί ἁπλῶς, ἀλλ᾿ οὕπως, πρώτη τε μονάς ὑπάρχουσα καί μόνη. Καί τοῦτο λέγοντες οὐκ αὐτήν ὡς ἔστι σημαίνομεν τήν μακαρίαν θεότητα, ἀπείρως κατά πάντα καί λόγον καί τρόπον καί νῷ καί λόγῳ παντί καί ὀνόματι ἀπρόσιτον οὖσαν παντελῶς καί ἀπροσπέλαστον, ἀλλ᾿ ἑαυτοῖς ὅρον τῆς εἰς αὐτήν πίστεως παρέχομεν βάσιμον καί ἡμῖν ἐφικτόν τε καί πρόσφορον. Οὐ γάρ ὡς παραστατικόν πάντως τοῦτο, φημί δέ τό τῆς μονάδος ὄνομα, τῆς θείας καί μακαρίας οὐσίας ὁ θεῖος διαγορεύει λόγος, ἀλλ᾿ ὡς ἐνδεικτικόν τῆς παντελοῦς αὐτῆς ἁπλότητος τῆς ἐπέκεινα πάσης ποσότητός τε καί ποιότητος, καί τῆς οἱασδήποτε σχέσεως, ἵνα γνῶμεν ὅτι μή ὅλον τί ἐστιν ὡς ἐκ μερῶν τινων, μηδέ τι μέρος ἐστίν ἐξ ὅλου τινός. Ὑπεράνω γάρ πάσης διαιρέσεώς τε καί συνθέσεως καί μέρους καί ὅλου ἡ θεότητς, ὅτι ἄποσον, καί πάσης τῆς κατά θέσιν ὑπάρξεως καί τῆς πῶς εἶναι αὐτήν ὁριζομένης ἐννοίας ἀπῳκισμένη, ὅτι ἄποιον, καί τῆς πρός ἄλλο πᾶν πάσης συναφείας τε καί οἰκειότητος ἐλευθέρα καί ἄφετος, ἄσχετον γάρ τό πρό αὐτῆς ἤ μετ᾿ αὐτῆς ἤ μετ᾿ αὐτήν οὐκ ἔχουσα, ὡς πάντων ἐπέκεινα, καί μηδενί τῶν ὄντων (1188) κατ᾿ οὐδένα λόγον ἤ τρόπον συντεταγμένη. Καί τοῦττο τυχόν ἐννοήσας ὁ μέγας καί θεῖος Διονύσιός φησι· "Διό καί μονάς ὑμνουμένη καί τριάς, ἡ ὑπέρ πάντα θεότης, οὐκ ἔστιν οὔτε μονάς, οὔτε τριάς, ἤ πρός ἡμῶν ἤ ἄλλου τινός διεγνωσμένη, ἀλλ᾿ ἵνα καί τό ὑπερηνωμένον αὐτῆς καί τό θεογόνον ἀληθῶς ὑμνήσωμεν, τῇ τριαδικῇ καί ἑνιαία θεονυμίᾳ τήν ὑπερώνυμον ὠνομάσαμεν, καί τοῖς οὖσι τήν ὑπερούσιον. " Οὐδαμῶς οὖν τις δυάδα ἤ πλῆθος ἄναρχον, ἤ ἀρχήν τό σύνολόν τινος εἶναι λέγειν δυνήσεται, ζῆν εὐσεβῶς δι᾿ ἀληθείας βεβουλημένος. Εἷς γάρ διά πάσης τῆς κατά

λόγον καί νοῦν θεωρητικῆς δυνάμεως καί ἐπιστήμης αὐτῷ Θεός ἀναφανήσεται, πάσης ἀπειρίας ὑπάρχων ἐπέκεινα, καί μηδενί καθόλου τῶν ὄντων καθ᾽ ότιοῦν, πλήν τοῦ διά πίστεως μόνον γινώσκεσθαι, καί τοῦτο ἐκ τῶν αὐτοῦ ποιημάτων ὅτι ἐστίν, οὐχ ὅτι ποτέ ἐστι διεγνωσμένος, καί παντός αἰῶνος καί χρόνου καί πάντων τῶν ἐν αἰῶνι καί χρόνῳ ποιητής τε καί δημιουργός, οὐδέν τό παράπαν ἐξ ἀϊδίου καθ᾽ όντιναοῦν τρόπον αὐτῷ συνεπινοῶν, εἰδώς ὅτι μηδέτερον τῶν ἅμα κατά τήν ὕπαρξιν ἀλλήλοις ἐξ ἀϊδίου συνόντων εἶναι δύναται τοῦ ἑτέρου ποιητικόν. Ἀσυλλόγιστον γάρ τοῦτο παντάπασι καί ἀνένδεκτον, καί τοῖς νοῦν ἔχουσι καταγέλαστον ἐπί τῶν ἐχόντων ἅμα τό εἶναι ποιεῖσθαι ἄλλο ἄλλου ποιητικόν. Ἀλλ᾽ ἐκ Θεοῦ τοῦ ἀεί ὄντος τά πάντα ἐκ τοῦ μή ὄντος γενέσθαι παντελῶς τε καί ὁλικῶς, ἀλλ᾽ οὐ μερικῶς τε καί ἀτελῶς, ὡς ἐξ αἰτίας ἀπειρογνώστου καί ἀπειροδυνάμου σοφῶς παρηγμένα, δέξηται, καί ἐν αὐτῷ συνεστηκέναι τά πάντα, ὡς ἐν παντοκρατορικῷ πυθμένι φρουρούμενά τε καί διακρατούμενα, καί εἰς αὐτόν τά πάντα ἐπιστρέφεσθαι, καθάπερ εἰς οἰκεῖον ἕκαστα πέρας, ὡς που φησιν ὁ μέγας Ἀρεοπαγίτης Διονύσιος.

***Θεωρία ἀποδεικτική τοῦ εἶναι κατά φύσιν ἐπί πάντων τήν τοῦ Θεοῦ πρόνοιαν.***

Καί προνοητήν αὐτόν εἶναι πεισθήσεται τῶν ὄντων, δι᾽ ὧν ὅτι καί Θεός ἐστιν ἐδιδάχθη, δίκαιον εἶναι κρίνων καί εὔλογον, μή ἄλλον εἶναι φύλακα καί ἐπιμελητήν τῶν ὄντων ἤ μόνον τόν τῶν ὄντων δημιουργόν. Αὐτή γάρ ἡ τῶν ὄντων διαμονή καί ἡ τάξις καί ἡ θέσις καί ἡ κίνησις, καί ἡ ἐν ἀλλήλοις τῶν ἄκρων διά τῶν μέσων συνοχή, μηδέν κατά τήν ἐναντιότητα λυμαινομένων ἀλλήλοις, ἤ τε τῶν μερῶν πρός τά ὅλα σύννευσις, καί τῶν ὅλων πρός τά μέρη δι᾽ ὅλου ἕνωσις, καί αὐτῶν πρός ἄλληλα τῶν μερῶν (1189) ἡ ἄμικτος διάκρισις κατά τήν ἰδιάζουσαν ἑκάστου διαφοράν, καί ἀσύγχυτος ἕνωσις κατά τήν ἀπαράλλακτον ἐν ὅλοις ταυτότητα, καί ἡ πάντων πρός πάντα, ἵνα μή τά καθ᾽ ἕκαστον λέγω, σύγκρισίς τε καί διάκρισις, καί ἡ πάντων καί ἑκάστου κατ᾽ εἶδος διαδοχή ἀεί φυλαττομένη, μηδενός τό παράπαν τοῦ οἰκείου τῆς φύσεως λόγου παραφθειρομένου καί πρός ἄλλο συγχεομένου τε καί συγχέοντος, δείκνυσι σαφῶς τά πάντα τῇ προνοίᾳ συνέχεσθαι τοῦ πεποιηκότος Θεοῦ. Οὐ γάρ οἷόν τέ ἐστιν ἀγαθόν ὄντα τόν Θεόν μή καί εὐεργετικόν πάντως εἶναι, μηδέ εὐεργετικόν ὄντα μή

καί προνοητικόν πάντως εἶναι, καί διά τοῦτο τῶν ὄντων θεοπρεπῶς ἐπιμελούμενον σοφῶς αὐτοῖς ὥσπερ τό εἶναι καί τήν κηδεμονίαν χαρίζεσθαι. Πρόνοια γάρ ἐστι κατά τούς θεοφόρους Πατέρας ἡ ἐκ Θεοῦ εἰς τά ὄντα γινομένη ἐπιμέλεια. Ὁρίζονται δέ αὐτήν καί οὕτως, Πρόνοιά ἐστι βούλησις Θεοῦ δι᾿ ἥν πάντα τά ὄντα τήν πρόσφορον διεξαγωγήν λαμβάνει. Εἰ δέ Θεοῦ βούλησίς ἐστιν, ἵνα αὐτοῖς τῶν διδασκάλων χρήσωμαι τοῖς λόγοις, πᾶσα ἀνάγκη κατά τόν ὀρθόν λόγον γίνεσθαι τά γινόμενα, τήν κρείττω μή ἐπιδεχόμεα τάξιν, αὐτόν οὖν εἶναι προνοητήν ἐκ παντός τρόπου εἰπεῖν ἐναχθήσεται ὁ τήν ἀλήθειαν ὁδηγόν ἔχειν ἑλόμενος, ὅν καί ποιητήν ἔγνω τῶν ὄντων ἀληθῶς, ἤ τοῦ πεποιηκότος τά ὄντα, εἴπερ κἀν τοῖς ζώοις, ὅταν ταῖς κατά λόγον ἐφόδοις τοῖς οὖσιν ἐμβαλόντες ἡμῶν τό νοερόν εὑρίσκομεν ἔμφασιν, οὐκ ἀγενῶς τά ὑπέρ λόγον εἰκάζουσαν. Ἐκεῖνά τε γάρ ὁρῶντες κατά γένος τῶν ἐξ αὐτῶν φυσικῶς ἐπιμελούμενα, θαῤῥοῦντες καί ἡμεῖς τόν περί τοῦ προνοητήν μονώτατον εἶναι τόν Θεόν πάντων τῶν ὄντων μετ᾿ εὐσεβοῦς παῤῥησίας εὐσεβῶς ἑαυτοῖς λόγον διοριζόμεθα, καί οὐ τῶν μέν, τῶν δέ οὔ, καθάπερ τινές τῶν τά ἔξω φιλοσοφησάντων, ἀλλά πάντων ὁμοῦ, κατά μίαν τῆς ἀγαθότητος καί ἀπαράλλακτον βούλησιν, τῶν τε καθόλου καί τῶν καθ᾿ ἕκαστον, εἰδότες ὡς τῶν κατά μέρος πάντων τῷ μή προνοίας τυγχάνειν καί φυλακῆς τῆς πρεπούσης διαφθειρομένων καί τά καθόλου συνδιαφθαρήσεται (ἐκ γάρ τῶν κατα μέρος τά καθόλου συνίστασθαι πέφυκε), τήν περί τούτου λογικήν ἀπόδειξιν, διά τῆς εὐλόγου ἀντιστροφῆς πρός τήν ἀλήθειαν ὀρθῶς ποδηγοῦσαν, ἑαυτοῖς προβαλλόμενοι. Εἰ γάρ τά καθόλου ἐν τοῖς κατά μέρος ὑφέστηκεν, οὐδαμῶς τό παράπαν τόν τοῦ καθ᾿ αὐτά εἶναί τε καί ὑφεστάναι λόγον ἐπιδεχόμενα τῶν κατά μέρος διαφθειρομένων παντί που δῆλόν ἐστιν ὡς οὐδέ τά καθόλου στήσεται. Τά μέρη γάρ ἐν ταῖς ὁλόγησι, καί αἱ ὁλότητες ἐν τοῖς μέρεσι καί εἰσί καί ὑφεστήκασι. Καί οὐδείς ἀντερεῖ λόγος· πλήν ὅτι ὑπό τῆς ἀληθείας ὥσπερ δεσμούμενοι ἄκοντες καί αὐτοί τῆς προνοίας τήν δύναμιν ἐξαγγέλλουσι καί διά πάντων διήκειν κατασκευάζουσι δι᾿ ὧν αὐτοῖς κατεσπούδασαν. Λέγοντες γάρ ὑπό τῆς προνοίας ἄγεσθαι μόνα τά καθόλου, λελήθασιν ἑαυτούς καί τῶν κατα μέρος εἶναι πρόνοιαν λέγοντες, ἐξ ἀνάγκης πρός τήν ἀλήθειαν, ἥν φεύγειν σπουδάζουσιν, ὑπαγόμενοι. Εἰ γάρ χάριν (1192) διαμονῆς τά καθόλου προνοίας ἀξιοῦσθαί φασι, ταύτης πολλῷ πρότερον ἀξιοῦσθαι τά κατά μέρος εἰσάγουσιν, ἐν οἷς ἡ τῶν καθόλου διαμονή

καί ὑπόστασις. Συνεισάγεται γάρ ἀλλήλοις ταῦτα διά τήν κατά φύσιν ἀδιάλυτον πρός ἄλληλα σχέσιν, καί θατέρου πρός διαμονήν συντητουμένου, μηδέ τό ἕτερον ταύτης εἶναι τῆς φυλακῆς ἀλλότριον, καί ἑνός πάλιν τῆς πρός διαμονήν φυλακῆς διαπίπτοντες μηδέ τό ἄλλο ταύτης τυγχάνειν λέγει ἀκόλουθον. Ἄλλως τε δέ κατά τρεῖς τρόπους τό μή πάντων τῶν ὄντων προνοεῖν τόν Θεόν λέγεται. Ἤ γάρ ἀγνοεῖν αὐτόν λέγουσι τῆς προνοίας τήν μέθοδον, ἤ μή βούλεσθαι, ἤ μή δύνασθαι. Ἀλλά μήν κατά τάς κοινάς πάντων ἐννοίας ἀγαθός ὤν καί ὑπεράγαθος ὁ Θεός ἀεί πάντως τά καλά βούλεται καί πᾶσι, καί σοφός ὑπάρχων καί ὑπέρσοφος, μᾶλλον δέ πάσης σοφίας πηγή, γινώσκει πάντως τά συμφέροντα, καί δυνατός ὤν, μᾶλλον δέ ἀπειροδύναμος, ἐνεργεῖ πάντως θεοπρεπῶς ἐν πᾶσι τά ἐγνωσμένα αὐτῷ καί βεβουλημένα καλῶς καί συμφέροντα, ὡς ἀγαθός καί σοφός καί δυνατός, δεικνούμενος διά πάντων τῶν τε ὁρατῶν καί τῶν ἀοράτων, καί τῶν καθόλου καί τῶν μερικῶν, καί τῶν μικρῶν καί τῶν μεγάλων, καί πάντων τῶν κατά πᾶσαν τήν οἱανοῦν οὐσίαν τό εἶναι ἐχόντων, μηδέν ὑφιείς τῆς κατά τήν ἀγαθότητα καί τήν σοφίαν καί τήν δύναμιν ἀπειρίας, καί πάντα κατά τόν ἑκάστων τοῦ εἶναι λόγον πρός τε ἑαυτά καί ἄλληλα κατά τήν ἀδιάλυτον πάντων σχετικήν ἁρμονίαν τε καί διαμονήν συντηρῶν. Τί δέ, αὐτήν καθ᾿ ἑαυτήν οὐ κατανοοῦμεν τήν φύσιν περί τοῦ εἶναι τήν ἐπί πάντα τοῦ Θεοῦ πρόνοιαν σαφῶς οὖσαν διδάσκαλον; Τεκμήριον γάρ οὐ μικρόν τοῦ φυσικῶς ἡμῖν ἐνεσπάρθαι τήν τῆς προνοίας γνῶσιν ἡ φύσις αὐτή δίδωσιν, ὁπηνίκα ἄν ἡμᾶς ἀδιδάκτως ὥσπερ ὠθοῦσα πρός τόν Θεόν διά τῶν εὐχῶν ἐν ταῖς ἐξαίφνης περιστάσεσιν ἐκεῖθεν ζητεῖν τήν σωτηρίαν παρασκευάζει. Ὑπ᾿ ἀνάγκης γάρ ἄφνω συλληφθέντες ἀπροαιρέτως, πρίς τινα καί σκέψασθαι, τόν Θεόν ἐπιβοώμεθα, ὡς ἄν τῆς προνοίας αὐτῆς πρός ἑαυτήν καί λογισμῶν χωρίς ἑλκούσης ἡμᾶς, καί τό τάχος τῆς ἐν ἡμῖν νοερᾶς νικώσης δυνάμεως, καί πάντων ἰσχυροτέραν τήν θείαν προδεικνυούσης βοήθειαν. Οὐκ ἄν δέ ἡμᾶς ἦγεν ἀπροαιρέτως ἡ φύσις ἐπί τό μή φύσιν ἔχον γίνεσθαι. Πᾶν δέ τό ὁτῳοῦν φυσικῶς ἑπόμενον, ὡς πᾶσιν ἄδηλον, ἰσχυράν ἔχει καί ἀκαταμάχητον κατά τήν ἀπόδειξιν τῆς ἀληθείας τήν δύναμιν. Εἰ δέ ὅτι ἀκατάληπτος ἡμῖν τῆς τῶν κατά μέρος προνοίας ὁ λόγος, ὥσπερ οὖν καί ἔστι κατά τό, Ὦ ἀνεξερεύνητα τά κρίματα αὐτοῦ καί ἀνεξιχνίαστοι αἱ ὁδοί αὐτοῦ, διά τοῦτο φαῖεν μηδέ πρόνοιαν εἶναι, οὐκ ὀρθῶς ἐροῦσι κατά τόν ἐμόν λόγον. Εἰ γάρ πολλή τίς ἐστιν ἡ διαφορά καί

ἀκατάληπτος τῶν ἀνθρώπων ἑκάστου πρός ἕκαστον καί ἡ πρός ἑαυτόν ἑκάστου ἐναλλαγή, ἔν τε βίοις καί ἤθεσι καί γνώμαις καί προαιρέσεσι καί ἐπιθυμίαις, ἐπιστήμαις τε καί (1193) χρείαις καί ἐπιτηδεύμασι καί αὐτοῖς τοῖς κατά ψυχήν λογισμοῖς ἀπείροις οὖσι σχεδόν, καί πᾶσι τοῖς καθ᾽ ἑκάστην ἡμέραν καί ὥραν ἐπισυμβαίνουσι συμμεταβαλλομένου (ἀγχίστροφον γάρ τοῦτο τό ζῶον ὁ ἄνθρωπος, ὀξέως τοῖς καιροῖς καί ταῖς χρείαις συμμεταβαλλόμενον), ἀνάγκη πᾶσα καί τήν πρόνοιαν, προγνωστικῶς πάντα συνειληφυῖαν κατά περιγραφήν τά καθ᾽ ἕκαστα, διάφορόν τε καί ποικίλην φαίνεσθαι καί πολυσχιδῆ, καί τῇ τῶν πεπληθυσμένων ἀκαταληψίᾳ συνεκτεινομένην ἑκάστῳ προσφόρως καθ᾽ ἕκαστον καί πρᾶγμα καί νόημα, μέχρι καί τῶν ψιλῶν κινημάτων τῶν κατά ψυχήν καί σῶμα συνισταμένων, ἁρμόζεσθαι. Εἰ οὖν τῶν κατά μέρος ἀκατάληπτός ἐστιν ἡ διαφορά, καί τῆς ἁρμοζούσης αὐτοῖς εἰκότως προνοίας ἄπειρος ὁ λόγος, ἀλλ᾽ οὐκ, ἐπειδή ἄπειρός τε καί ἄγνωστος ἡμῖν τῆς τῶν κατά μέρος προνοίας ὁ λόγος τυγχάνει, τήν ἰδίαν ἄγνοιαν ἀναίρεσιν ποιεῖσθαι τῆς πανσόφου τῶν ὄντων κηδημονίας ὀφείλομεν, πάντα δέ καί ἀνεξετάστως, θεοπρεπῶς τε καί συμφερόντως, τά τῆς προνοίας ἐφυμνεῖν ἔργα καί ἀποδέχεσθαι, καί καλῶς γίνεσθαι τά γινόμενα πιστεύειν, κἄν ἡμῖν ὁ λόγος ἐστίν ἀνέφικτος. Πάντα δέ λέγων τά τῆς προνοίας φημί, οὐ γάρ τά κακῶς ὑφ᾽ ἡμῶν κατά τόν τοῦ ἐφ᾽ ἡμῖν λόγον γινόμενα· ταῦτα γάρ τοῦ κατά τήν πρόνοιαν λόγου παντελῶς ἀλλότρια. Τόν μέν οὖν σημαινόμενον τρόπον περί τῆς τῶν ἁγίων κατά τόν λόγον καί τήν θεωρίαν δυνάμεώς τε καί χάριτος ὑπό τοῦ μεγάλου τούτου διδασκάλου κατά τό δυνατόν στοχαστικῶς, ἀλλ᾽ οὐκ ἀποφαντικῶς (πολλῷ γάρ ἀπολείπεται τῷ μέτρῳ τῆς κατ᾽ αὐτόν ἀληθείας ὁ ἡμέτερος νοῦς), διά τῶν εἰρημένων ὑποδραμών τῷ λόγῳ, καί ὥσπερ ἰχνηλατήσας, τοιόνδε καθ᾽ ὑπόνοιαν μόνον φημί.

***Θεωρία διάφορος τῆς διαβαθείσης ὑπό τῶν ἁγίων ὑλικῆς δυάδος, καί τίς ἡ ἐν τῇ Τριάδι νοουμένη ἑνότης.***

Διά δέ τοῦ ὑπέρ τήν ὑλικήν δυάδα γενέσθαι, διά τήν ἐν τῇ Τριάδι νοουμένην ἑνότητα, τό ὑπέρ τήν ὕλην γενέσθαι καί τό εἶδος, ἐξ ὧν τά σώματα, τούς ἁγίους λέγειν ὑπονοῶ αὐτόν, ἤ τήν σάρκα καί τήν ὕλην, ἅσπερ διασχόντας ἔφη Θεῷ συγγενέσθαι καί τῷ ἀκραιφνεστάτῳ κραθῆναι φωτί καταξιωθῆναι, τουτέστι τήν πρός τήν σάρκα τῆς ψυχῆς σχέσιν, καί διά τῆς σαρκός πρός τήν ὕλην, ἤ καθόλου εἰπεῖν, πάσης τῆς αἰσθητικῆς οὐσίας πρός τήν αἰσθητήν ἀποθεμένους φυσικήν

οἰκειότητα, τῆς δέ θείας μόνης γνησίως ἐπιλαβομένους ἐφέσεως, διά τήν, ὡς ἔφην, νοουμένην ἐν Τριάδι ἑνότητα. Μέσην γάρ κειμένην Θεοῦ καί ὕλης τήν ψυχήν ἐγνωκότες, καί τάς πρός ἄμφω ἑνοποιούς δυνάμεις ἔχουσαν, τόν νοῦν λέγω πρός τόν Θεόν καί πρός τήν ὕλην αἴσθησιν, τήν μέν αἴσθησιν μετά τῶν αἰσθητῶν παντελῶς ἀπετινάξαντο, κατά τήν ἐν διαθέσει σχετικήν ἐνέργειαν, κατά δέ τόν νοῦν μονώτατον ἀῤῥήτως (1196) αὐτήν τῷ Θεῷ προσῳκείωσαν, πρός ὅν ὅλον ἀγνώστως ἑνωθεῖσαν ὅλην ὡς ἀρχετύπου εἰκόνα κατά νοῦν καί λόγον καί πνεῦμα, ὡς ἐφικτόν καθ᾽ ὁμοίωσιν ἔχουσαν τό ἐμφερές θεασάμενοι, τήν ἐν τῇ Τριάδι νοουμένην ἑνότητα μυστικῶς ἐδιδάχθησαν. Τυχόν δέ καί τόν θυμόν καί τήν ἐπιθυμίαν ὑλικήν δυάδα προσηγόρευσεν ὁ διδάσκαλος, διά τό προσύλους καί τοῦ παθητικοῦ τῆς ψυχῆς μέρους αὐτάς εἶναι δυνάμεις, καί πρός τόν λόγον στασιαζούσας, καί εἰς πολλά σκεδάσαι τόν νοῦν δυναμένας, εἰ μή ἐξ ἀρχῆς ἐπιστημόνως ἄγχων ἑαυτῷ ὑποζεύξειεν. Ὧν εἴ τις κρατήσειε καί ἐφ᾽ ἅ δεῖ πρεπόντως φέρεσθαι πείσειε, δουλικῶς ὑποζευγμένας τῇ δυναστείᾳ τοῦ λόγου, ἤ καί παντελῶς αὐτάς ἀπολιπών ἀπολίποι, καί μόνος τῆς ἀῤῥεποῦς κατ᾽ ἀγάπην γνωστικῆς διά λόγου καί θεωρίας ἔχεται θέλξεως, καί πρός μίαν καί μόνην ἐκ τῶν πολλῶν καθαράν τε καί ἁπλῆν καί ἀδιαίρετον τῆς κατ᾽ ἔφεσιν ἀῤῥενωτάτης δυνάμεως κίνησιν συνεστάλη, καθ᾽ ἥν περί Θεόν ἀκαταλήκτως ἐν ταυτότητι τῆς κατ᾽ ἔφεσιν ἀεικινησίας ἑαυτῷ φιλοσόφως ἐπήξατο τήν μονιμότητα, μακάριος ὄντως ἐστί τῆς ἀληθοῦς τε καί μακαρίας τυχών οὐ μόνον ἑνώσεως τῆς πρός τήν ἁγίαν Τριάδα, ἀλλά καί ἑνότητος τῆς ἐν τῇ ἁγίᾳ Τριάδι νοουμένης, ὡς ἁπλοῦς καί ἀδιαίρετος καί μονοειδής κατά τήν δύναμιν πρός τήν ἁπλῆν καί ἀδιαίρετον κατά τήν οὐσίαν γεγενημένος, καί κατά τήν ἕξιν τῶν ἀρετῶν τήν ὡσαύτως ἔχουσαν ἀγαθότητα κατά τό ἐφικτόν ἐκμιμούμενος, καί τήν ἰδιότητα τῶν κατά φύσιν μεριστῶν δυνάμεων διά τήν τοῦ ἑνωθέντος Θεοῦ χάριν ἀποθέμενος.

***Ἐξήγησις περί τοῦ παθητικοῦ τῆς ψυχῆς, καί τῶν αὐτοῦ καθολικῶν διαιρέσεών τε καί ὑποδιαιρέσεων.***

Διαιρεῖται γάρ, ὡς φασι, τό παθητικόν τῆς ψυχῆς εἴς τε τό ἐπιπειθές λόγῳ, καί τό μή πειθόμενον λόγῳ. Καί τό μέν λόγῳ μή πειθόμενον διαιροῦσιν εἰς τό θρεπτικόν, ὅ καλοῦσι φυσικόν, καί εἰς τό φυσικόν, ὅ καλοῦσι ζωτικόν, ὧν οὐδέτερον λόγῳ πειθόμενον ἄγεται·

οὐκ ἐπιπειθές δέ λόγῳ καλεῖται, ἐπειδή μή πέφυκεν ἄγεσθαι λόγῳ. Τό γάρ αὐξάνειν, ἤ ὑγιαίνειν, ἤ ζῆν, οὐκ ἔστιν ἐν ἡμῖν. Τό δέ ἐπιπειθές λόγῳ διαιρεῖται εἰς δύο, τό τε ἐπιθυμητικόν καί τό θυμικόν. Ἐπιπειθές δέ λόγῳ καλοῦσιν αὐτό, διότι λόγῳ πέφυκεν ἐν τοῖς σπουδαίοις ἄγεσθαί τε καί ὑποτάσσεσθαι. Πάλιν δέ τό ἐπιθυμητικόν διαιροῦσιν εἰς ἡδονήν καί λύπην. Ἐπιτυγχάνουσα γάρ ἐπιθυμία ἡδονήν ἐργάζεται, ἀποτυγχάνουσα δέ λύπην. Καί πάλιν καθ᾽ ἕτερον τρόπον φασί τήν ἐπιθυμίαν διαιρουμένην τέσσαρα σύν ἑαυτῇ τά πάντα εἴδη ποιεῖν, ἐπιθυμίαν, ἡδονήν, φόβον, καί λύπην. Καί ἐπειδή τῶν ὄντων τά μέν ἐστιν ἀγαθά, τά δέ φαῦλα, ταῦτα δέ ἤ παρόντα ἤ μέλλοντά ἐστι, προσδοκώμενον μέν ἀγαθόν ἐπιθυμίαν ἐκάλεσε, παρόν δέ ἡδονήν, καί πάλιν προσδοκώμενον κακόν φόβον, παρόν δέ λύπην· ὡς εἶναί τε καί θεωρεῖσθαι (1197) περί μέν τά καλά, εἴτε τά ὄντως ὄντα, εἴτε τά νομιζόμενα, τήν ἡδονήν καί τήν ἐπιθυμίαν, περί δέ τά φαῦλα τήν λύπην καί τό φόβον. Πάλιν δέ τήν λύπην διαιροῦσιν εἰς τέσσαρα, εἰς ἄχος, εἰς ἄχθος, εἰς φθόνον, εἰς ἔλεον. Καί τό μέν ἄχος εἶναί φασι λύπην ἀφωνίαν ἐμποιοῦσαν οἷς ἄν ἐγγένηται, διά τήν εἰς βάθος πάροδον τοῦ λογιστικοῦ· τό δέ ἄχθος λύπην βαροῦσάν τε καί διοχλοῦσαν ἐπ᾽ ἀβουλήτοις συμβάσεσι· τόν δέ φθόνον λύπην ἐπ᾽ ἀλλοτρίοις κακοῖς. Κακόν δέ πᾶσαν λύπην ἔφασαν τῇ ἑαυτῆς φύσει. Κἄν γάρ ὁ σπουδαῖος ἐπ᾽ ἀλλοτρίοις λυπῆται κακοῖς, ὡς ἐλεήμων, ἀλλ᾽ οὐ προηγουμένως κατά πρόθεσιν, ἀλλ᾽ ἐφεπομένως κατά περίστασιν. Ὁ δέ θεωρητικός κἄν τούτοις ἀπαθής διαμένει, συνάψας ἑαυτόν τῷ Θεῷ, καί τῶν τῇδε παρόντων ἀλλοτριώσας. Τόν δέ φόβον πάλιν διαιροῦσιν εἰς ἕξ, εἰς ὄκνον, εἰς αἰδώ, εἰς αἰσχύνην, εἰς κατάπληξιν, εἰς ἔκπληξιν, εἰς ἀγωνίαν. Καί τόν μέν ὄκνον εἶναί φασι, φόβον μελλούσης ἐνεργείας, τήν αἰδώ δέ φόβον ἐπί ἐπί προσδοκίᾳ ψόγου, τήν δέ αἰσχύνην φόβον ἐπ᾽ αἰσχρῷ πεπραγμένῳ, τήν δέ κατάπληξιν, φόβον μεγάλης φαντασίας, τήν δέ ἔκπληξιν φόβον ἐκ μεγάλων ἀκουσμάτων τήν αἴσθησιν ἀφαιρούμενον, τήν ἀγωνίαν δέ φόβον διαπτώσεως, τουτέστιν ἀποτυχίας. Φοβούμενοι γάρ ἀποτυχεῖν ἀγωνιῶμεν. Καλοῦσι δέ τινες αὐτήν καί δειλίαν. Τόν δέ θυμόν πάλιν εἶναι λέγουσι ζέσιν τοῦ περικαρδίου αἵματος δι᾽ ὄρεξιν ἀντιλυπήσεως. Διαιροῦσι δέ καί τοῦτον εἰς τρία, εἰς ὀργήν, ἥν τινες ἐκάλεσαν χολήν καί χόλον, καί εἰς μῆνιν, καί εἰς κότον. Καί τήν μέν ὀργήν εἶναί φασι θυμόν πρός ἐνέργειαν ἀρχήν καί κίνησιν ἔχοντα, ἤ θυμόν ἐνεργούμενον· τήν δέ χολήν τήν δι᾽ ἄλλου ἄμυναν τοῦ λυπήσαντος·

τό δέ χόλον τήν δι᾽ ἑαυτοῦ τοῦ λυπηθέντος ἐπεξέλευσιν εἰς τόν λυπήσαντα· τήν δέ μῆνιν θυμόν εἰς παλαίωσιν (εἴρηται δέ παρά τό μένειν καί τῇ μνήμῃ παρακατέχεσθαι), τόν δέ κότον θυμόν ἐπιτηροῦντα καιρόν εἰς τιμωρίαν· εἴρηται δέ παρά τό κεῖσθαι καί οὗτος. Διαιροῦσι δέ καί τούτων ἕκαστον εἰς ἄλλα πολλά. Ἅπερ εἰ βουληθείη τις δι᾽ ἀκριβοῦς ἐξετάσεως παραδοῦναι γραφῇ, πολύν ἀθροίσει λόγον καί χρόνον δαπανήσει, ὡς μηδέ ἀνεκτόν εἶναι τοῖς ἐντυγχάνουσι διά τό πλῆθος. Μέγα οὖν καί θαυμαστόν ὄντως ἐστί καί πολλῆς δεόμενον προσοχῆς τε καί σπουδῆς, καί πρό τούτων τῆς θείας ἐπικουρίας, τό δυνηθῆναι πρῶτον μέν τῆς ὑλικῆς δυάδος τῶν ἐμφύτων κρατῆσαι δυνάμεων, θυμοῦ λέγω καί ἐπιθυμίας, καί τοῦ κατ᾽ αὐτάς μερισμοῦ, καί μακάριος ὅς ἄγειν ἑτοίμως ταύτας ὅποι τῷ λόγῳ δοκεῖ δεδύνηται, μέχρις ἄν τοῖς πρακτικοῖς διά τῆς ἠθικῆς φιλοσοφίας τῶν προτέρων καθαίρηται λογισμῶν.

***Θεωρία ἐκ τῆς Γραφῆς περί τοῦ μή δεῖν τόν γνωστικόν τῷ τῆς φύσεως νόμῳ τόν τῆς σοφίας λόγον συνάπτειν, καί τίς ἡ προσθήκη τοῦ ἄλφα στοιχείου εἰς τό ὄνομα τοῦ Ἀβραάμ.***

Ἔπειτα δέ καί ὑπέρ αὐτάς γενέσθαι καί παντελῶς ἀπώσασθαι, ὡς τήν Ἄγαρ καί τόν Ἰσμαήλ, ὁ Ἀβραάμ ἐκεῖνος ὁ μέγας, τοῦ λογιστικοῦ ἤδη περί τά θεῖα κατά τόν Ἰσαάκ ἐκεῖνον γυμνασθῆναι δυναμένου θεάματα, ὑπό τῆς κατά τήν γνῶσιν φερομένης θείας φωνῆς διδασκόμενος, μή δύνασθαι τό κατά νοῦν θεῖον τῆς ἐλευθέρας κατά πνεῦμα γνώσεως γέννημα, τῷ δουλικῷ τῆς σαρκός ἐπισυνημμένον σπέρματι, τῆς μακαρίας τυχεῖν ἐπαγγελίας, ἥτις ἐστίν ἡ κατ᾽ ἐλπίδας προκειμένη τοῖς ἀγαπῶσι τόν Κύριον τῆς θεώσεως χάρις, ἥν ἤδη τυπικῶς ὑπῆρχε ποειληφώς, τῷ περί μονάδος λόγῳ διά πίστεως μυστικῶς συναφθείς, καθ᾽ ὅν ἑνοειδής γενόμενος, μᾶλλον δέ ἐκ πολλῶν εἷς, μόνος πρός μόνον δ᾽ ὅλου τόν Θεόν μεγαλοπρεπῶς συνήχθη, μηδένα τό παράπαν τῆς οἱασοῦν περί τι ἄλλο τῶν σκεδαστῶν γνώσεως τύπον ἑαυτῷ συνεπιφερόμενος, ὅπερ οἶμαι δηλοῦν τήν τοῦ δοθέντος εἰς προσθήκην τοῦ ὀνόματος ἄλφα γράμματος δύναμιν. Διό καί πατήρ τῶν διά πίστεως προσαγομένων Θεῷ κατά στέρησιν πάντων τῶν μετά Θεόν ἐχρημάτισεν, ὡς τούς αὐτούς κατά πίστιν ἐν πνεύματι τύπους τῷ πατρί τῶν τέκνων ἐμφερῶς ἔχειν δυμαμένων.

***Θεωρία εἰς τόν Μωϋσῆν περί τῶν ἀφαιρουμένων ὑποδημάτων.***

Τοῦτο τυχόν ἐν ἀρχῇ τῆς γνωστικῆς ἀγωγῆς καί ὁ μέγας Μωϋσῆς ἐκεῖνος διδασκόμενος ὑπό τῆς θείας φωνῆς ἐπαιδεύετο, ἡνίκα προσῆγεν ἰδεῖν τό ἐν τῇ βάτῳ μυστικῶς φανταζόμενον φῶς φασκούσης, Λύσον τά ὑποδήματα ἀπό τῶν ποδῶν σου, ὁ γάρ τόπος ἐν ᾧ ἕστηκας γῆ ἁγία ἐστί, τό δεινῶς, οἶμαι, τῶν σωματικῶν ἁπάντων ἀπολελύσθαι κατά διάθεσιν τήν ψυχήν, μέλλουσαν τήν διά θεωρίας πρός τήν τῶν ὑπερκοσμίων νόησιν γνωστικήν ποιεῖσθαι πορείαν καί τελείαν τοῦ ἐν σχέσι σαρκός προτέρου βίου ἀλλοτρίωσιν διά τῆς τῶν ὑποδημάτων ἔχειν ἀποθέσεως.

***Θεωρία εἰς μέρη τῶν θυσιῶν.***

Τοῦτο πάλιν ἴσως ὁ αὐτός θειότατος Μωϋσῆς ἐν ταῖς τῶν θυσιῶν διατάξεσι παρεδήλου τῶν ἱερείων ἀφαιρεῖν τό στέαρ, καί τούς νεφρούς, καί τό στηθύνιον, καί τόν λοβόν τοῦ ἥπατος, ἐπιτάσσων, τό δεῖν αὐτάς τε τάς γενικάς τῶν ἐν ἡμῖν παθῶν δυνάμεις, τόν θυμόν λέγω καί τήν ἐπιθυμίαν, τήν ὄντως ὑλικήν δυάδα, καί τάς ἐνεργείας αὐτῶν ἀφαιρεῖν, καί τῷ θείῳ πυρί τῆς κατά γνῶσιν μυστικῆς ἐκτῆξαι δυνάμεως, τῆς μέν ἐπιθυμίας διά τῶν νεφρῶν, τῆς δέ ἐνεργείας αὐτῆς, τουτέστι τῆς ἡδονῆς, διά τοῦ λίπους, ἤτοι τοῦ στέατος δηλουμένης, καί τοῦ θυμοῦ (1201) διά τοῦ στηθυνίου, τῆς δέ κατ᾽ αὐτόν ἐνεργείας, διά τοῦ λοβοῦ τοῦ ἥπατος, ἐν ᾧ ἡ πικρά καί δριμυτάτη πέπηγε χολή, σημαινομένων.

***Θεωρία σύντομος εἰς τήν κατά νόμον διάφορον λέπραν.***

Τοῦτο πάλιν κἀν τῷ περί λέπρας τόπῳ σοφῶς οἶμαι παρεμφαίνειν δι᾽ αἰνιγμάτων συμβολικῶν, τήν ἀφήν τῆς λέπρας εἰς τέσσαρα γένη μερίσαντα, εἰς λευκόν καί χλωρόν καί ξανθόν καί ἀμαυτόν, δι᾽ ὧν τό τε θυμικόν καί τό ἐπιθυμητικόν εἰς τά ὑπ᾽ αὐτά εἴδη διαιρούμενα δείκνυται, τῆς μέν ἐπιθυμίας διά τοῦ λευκοῦ καί χλωροῦ, εἰς ἡδονήν καί λύπην μερίζεσθαι δηλουμένης, τοῦ δέ θυμοῦ διά τοῦ ξανθοῦ καί τοῦ ἀμαυροῦ εἰς ὀργήν καί μῆνιν καί τήν κεκρυμμένην κακουργίαν τῆς ὑποκρίσεως τεμνομένου. Ταῦτα γάρ πρῶτα γένη τῶν ὑπ᾽ αὐτά παθῶν, ὥς φασι, καί πάντων ἀρχηγικώτερα τῶν τοῦ θυμοῦ καί τῆς ἐπιθυμίας γεννήματα, οἷς τήν νοσηλευομένην ψυχήν οὐχ οἷόν τε, ἕως ὑπό τούτων κατέστικται, τοῖς τῆς θείας ἠξιωμένοις παρεμβολῆς ἐναρίθμιον εἶναι.

***Θεωρία εἰς τόν Φινεές καί τοῦ ἀναιρεθέντας ὑπ᾽ αὐτοῦ.***

Τοῦτο καί τόν θαυμαστόν οἶναι Φινεές ἐκεῖνον τῷ καθ᾿ ἑαυτόν ζήλῳ παραινίττεσθαι. Τήν γάρ Μαδιανίτιν τῷ Ἰσραηλίτη συγκαταιχμάσας, μυστικῶς διά τοῦ δόρατος τήν ὕλην τῷ εἴδει, καί τῷ θυμῷ τήν ἐπιθυμίαν, καί τήν ἀλλόφυλον ἡδονήν τῷ ἐμπαθεῖ λογισμῷ δά τῆς τοῦ ἀρχιερέως λόγου δυνάμεως συναπωθεῖσθαι χρῆν παντάπασι τῆς ψυχῆς ἐνέφαινεν. Εἶδος γάρ πρός ὕλην τρόπον ἐπέχει, ὅ τε θυμός πρός τήν ἐπιθυμίαν, τῷ προσεγγισμῷ διδούς αὐτῇ κίνησιν, καθ᾿ ἑαυτήν οὖσαν ἀκίνητον, ὅ τε λογισμός πρός τήν ἡδονήν, εἰδοποιεῖν αὐτήν πεφυκώς, ἀνείδεον καί ἄμορφον κατά τόν ἴδιον λόγον ὑπάρχουσαν. Δηλοῖ δέ τοῦτο καί αὐτή τῶν ὀνομάτων ἡ δύναμις. Χασβή γάρ ἡ Μαδιανίτις ὀνομάζεται, ὅπερ ἐστί Γαργαλισμός λου, καί Ζαμβρί ὁ Ἰσραηλίτης, ὅπερ ἐστίν Ἆσμα μου, τουτέστι μετεωρισμός μου. Ἐπειδάν οὖν τῆς θείας ἀπονεῦσαν μελέτης τε καί ἐνατενίσεως τό λογιστικόν τῆς ψυχῆς καί μετεωρισθέν τῷ ὑλικῷ τῆς σαρκός γαργαλισμῷ συμπλακῇ κατά τήν κάμινον τῆς ἁμαρτίας, τοῦ ζηλωτοῦ πάντως δεῖται ἀρχιερέως λόγου, πρός ἀναίρεσιν μέν τῶν οὕτω κακῶς ἀλλήλοις συμπεπλεγμένων, ἀποστροφήν δέ τῆς φερομένης θείας ἀναγακτήσεως.

***Θεωρία εἰς τό, "Μή δῶτε τά ἅγια τοῖς κυσί, καί εἰς τό, μήτε ῥάβδον μήτε πήραν μήτε ὑποδήματα χρῆναι τούς ἀποστόλους βαστάζειν."***

Τοῦτο καί ὁ Κύριος αὐτός, ὡς ἔμοιγε δοκεῖ, τυχόν παρεδήλου, τοῦτο μέν ἐν οἷς φησι, Μή δῶτε (1204) τό ἅγιον τοῖς κυσί, μηδέ βάλλετε τούς μαργαρίτας ἔμπροσθεν τῶν χοίρων, ἅγιον ἴσως καλῶν τό ἐν ἡμῖν νοερόν, ὡς θείας ἀπεικόνισμα δόξης, ὅπερ μή κακῶς ἐᾶν ὑπό τῶν θυμικῶν κινημάτων καθυλακτούμενον ἐκταράσσεσθαι παρηγγύησε, μαργαρίτας δέ τά θεῖα καί λαμπρά τούτου νοήματα, οἷς τίμιον ἅπαν κοσμεῖσθαι πέφυκεν, ἅπερ διαφυλάττειν ἀμόλυντα καί τῶν ἀκαθάρτων τῆς ὑλικῆς ἐπιθυμίας παθῶν ἐλεύθερα δεῖν παρεκελεύσατο· τοῦτο δέ ἐν οἷς πρός τούς ἁγίους αὐτοῦ μαθητάς ἀποστελλομένους ἐπί τό κήρυγμα περί τοῦ πῶς εὐσταλεῖς αὐτούς εἶναι καί ἀπερίττους διατυπῶν καί τοῦτο πρός τοῖς ἄλλοις φησί, Μή δέ πήραν αἴρετε εἰς τήν ὁδόν, μήτε ῥάβδον, μήτε ὑποδήματα εἰς τούς πόδας ὑμῶν, ὡς δέον τόν τῆς ὑψηλῆς κατά τήν γνῶσιν πορείας ἐπειλημμένον παντός μέν ὑλικοῦ βάρους ἐλεύθερον εἶναι, πάσης δέ τῆς κατ᾿ ἐπιθυμίαν καί θυμόν ἐμπαθοῦς διαθέσεως καθαρόν, ὡς δηλοῖ ἥ τε πήρα καί ἡ ῥάβδος, ἡ μέν τήν ἐπιθυμίαν, ἡ δέ τό θυμόν ἐπισημαίνουσα, μάλιστα δέ τῆς καθ᾿ ὑπόκρισιν γυμνόν κακουργίας,

τῆς οἷον ὑποδήματος δίκην τοῦ βίου τό ἴχνος ἐπικαλυπτούσης, καί τό ἐμπαθές τῆς ψυχῆς ἐπικρυπτούσης ἐπιεικείας πλάσματι· ἥν ὑποδησάμενοι ἀφρόνως οἱ Φαρισαῖοι, μόρφωσιν εὐσεβείας, ἀλλ᾽ οὐκ εὐσέβειαν ἔχοντες, καί εἰ λαθεῖν ἐνόμιζον, ὑπό τοῦ λόγου ἐλεγχθέντες ἐδιδάχθησαν.

***Θεωρία περί τοῦ σεληνιαζομένου.***

Ταύτης τῆς ὑλικῆς δυάδος, τῆς κατά θυμόν λέγω καί ἐπιθυμίαν, πάλιν ὁ Κύριος ἐλευθέρωσεν, ὡς οἶμαι, τόν σεληνιαζόμενον, μᾶλλον δέ τοῦ πυρί τῷ θυμῷ καί ὕδατι τῇ ἐπιθυμίᾳ αὐτόν βουληθέντος ἀπολέσαι πονηροῦ δαίμονος, ἐπέσχε τε καί κατήργησε τήν μανιώδη λύσσαν (σελήνης γάρ οὐδέν διενήνοχεν ἡ πρός τά γινόμενα καί ἀπογινόμενα σχέσις τῶν ἡττημένων τοῖς ὑλικοῖς ἀνθρώπων)· ἧς ἐπιλαβόμενος ὁ τά πάθη διεγείρων δαίμων ὥσπερ ὕδατι καί πυρί τῇ ἐπιθυμίᾳ καί τῷ θυμῷ ἐμβάλλων τόν νοῦν καί ἐναποπνίγων οὐ παύεται, ἕως τοῦ Θεοῦ Λόγος παραγενόμενος τό μέν ὑλικόν καί πονηρόν ἀπελάσει πνεῦμα (δι᾽ οὗ ὁ παλαιός τε καί χοϊκός χαρακτηρίζεται ἄνθρωπος), τόν δέ ἐνεργούμενον τῆς πονηρᾶς ἐλευθερώσει τυραννίδος, τήν φυσικήν αὐτῷ σωφροσύνην ἀποδούς καί χαρισάμενος, δι᾽ ἧς ὁ νέος καί κατά Θεόν κτιζόμενος ἄνθρωπος διαδείκνυται. Οὕτω μέν οὖν πάντες οἱ ἅγιοι τοῦ θείου καί ἀπλανοῦς Λόγου γνησίως ἐπειλημμένοι τόν αἰῶνα τοῦτον διέβησαν, οὐδενί τῶν ἐν αὐτῷ τερπνῶν τό τῆς ψυχῆς ἴχνος ἐπαπερείσαντες. Πρός γάρ τούς ἄκρους τῶν ἀνθρώποις ἐφικτῶν περί Θεοῦ λόγους, τῆς ἀγαθότητός τέ φημι καί τῆς ἀγάπης, μάλα γε εἰκότως ἐνατενίσαντες, οἷς κινηθέντα τόν Θεόν τό εἶναί τε δοῦναι τοῖς οὖσι καί τό εὖ εἶναι χαρίσασθαι ἐπαιδεύθησαν (εἴπερ κίνησιν ἐπί Θεοῦ τοῦ μόνον ἀκινήτου (1205) θέμις εἰπεῖν, ἀλλά μή μᾶλλον βούλησιν, τήν πάντα κινοῦσάν τε καί εἰς τό εἶναι καί παράγουσαν καί συνέχουσαν, κινουμένην δέ οὐδαμῶς οὐδέποτε), τούτοις καί αὐτοί σοφῶς ἑαυτούς ἀπετύπωσαν, τοῦ ἀφανοῦς καί ἀοράτου κάλλους τῆς θείας μεγαλοπρεπείας εὐμιμήτως φέροντες φαινομένην διά τῶν ἀρετῶν τήν ἰδιότητα. Διά τοῦτο ἀγαθοί καί φιλόθεοι καί φιλάνθρωποι, εὔσπλαγχνοί τε καί οἰκτίρμονες γεγόνασι, καί μίαν πρός ἅπαν τό γένος διάθεσιν ἔχοντες ἀγάπης ἐδείχθησαν, ὑφ᾽ ἧς τό πάντων ἐξαίρετον εἶδος τῶν ἀρετῶν, τήν ταπείνωσιν λέγω, διά πάσης αὐτῶν τῆς ζωῆς βεβαίαν κατασχόντες τήν φυλακτικήν μέν τῶν ἀγαθῶν, φθαρτικήν δέ τῶν ἐναντίων, οὐδενί τό παράπαν ἁλώσιμοι τῶν διοχλούντων γεγόνασι πειρασμῶν, τῶν τε

ἑκουσίων καί τοῦ ἐφ᾽ ἡμῖν λόγου, καί τῶν ἀκουσίων καί οὐκ ἐφ᾽ ἡμῶν, τῷ τοῖς μέν δι᾽ ἐγκρατείας ἀπομαραίνειν τάς ἐπαναστάσεις, τῶν δέ δι᾽ ὑπομονῆς τάς προσβολάς ἀποσείεσθαι. Διχόθεν γάρ βαλλόμενοι, ὑπό τε δόξης καί ἀτιμίας, διέμενον ἄσειστοι, πρός ἄμφω ἀκινήτως ἔχοντες, μήτε ὕβρεσι τιτρωσκόμενοι διά τήν ἑκουσίαν ὕφεσιν, μήτε δόξαν προσιέμενοι, δι᾽ ὑπερβάλλουσαν πτωχείας οἰκείωσιν, ὅθεν οὐ θυμός, οὐ φθόνος, οὐκ ἔρις, οὐχ ὑπόκρισις, οὐ δόλος, οὐκ εἰρωνευτική τις καί ἐπίκλοπος τῷ φαινομένῳ πλάσματι δι᾽ ἀπάτης ὑποσύρουσα πρός ἄλλο στοργή, τό πάντων παθῶν ὀλεθριώτατον, οὐκ ἐπιθυμία τῶν κατά τόν βίον δοκούντων εἶναι λαμπρῶν, οὔτε τι ἕτερον τῆς πονηρᾶς τῶν παθῶν πληθύος, οὐκ ἀπειλαί παρ᾽ ἐχθρῶν ἐπανατεινόμεναι, οὐδέ τις θανάτου τρόπος αὐτῶν ἐκυρίευσε. Διό καί μακάριοι δικαίως παρά τε Θεῷ καί ἀνθρώποις ἐκρίθησαν, ὅτι τῆς φανησομένης ἀῤῥήτου καί περιφανοῦς δόξης κατά τήν χάριν τοῦ μεγάλου δώρου Θεοῦ ἐμφανεῖς εἰκόνας ἑαυτούς κατέστησαν, ἵνα χαίροντες ὡς γνωρίμοις τοῖς λόγοις τῶν ἀρετῶν, μᾶλλον δέ Θεῷ, ὑπέρ οὗ καί καθ᾽ ἑκάστην ἡμέραν ἀποθνήσκοντες διεκαρτέρησαν, ἑνωθῶσιν, ἐν ᾧ πάντων οἱ λόγοι τῶν ἀγαθῶν, ὥσπερ πηγῇ ἀειβλύστῳ, προϋφεστήκασί τε κατά μίαν, ἁπλῆν καί ἑνιαίαν τῶν πάντων περιοχήν, καί πρός ὅν ἕλκουσι πάντας τούς καλῶς καί κατά φύσιν ταῖς ἐπί τούτῳ δοθείσαις χρωμένους δυνάμεσι.

***Ἐκ τοῦ μβ΄ λόγου τοῦ Θεολόγου περί ὧν ἐμνήσθη τοῦ μακαρίου Ἰώβ, εἰς τό, · "Τά δέ ἑξῆς μικρά, καί μικρῶν ἕνεκεν οἰκονομηθέντα. "***

Τῇ γενομένῃ παρά τοῦ Θεοῦ τῷ Ἰώβ ἀναῤῥήσει, ὡς οἶμαι, συγκρίνων τά μετά τούς ἀγῶνας τῶν πειρασμῶν δοθέντα σωματικά μικρά προσηγόρευσεν, ὡς κατ᾽ οὐδένα τρόπον ταῖς αἰωνίοις δυνάμενα παραβάλλεσθαι. Μικρῶν δέ ἕνεκεν οἰκονομηθέντα φησί, τῶν περί διάνοιαν γνωστικήν δηλονότι μικρῶν τῶν εὐχερῶς ἐν τοῖς περί προνοίας καί κρίσεως λόγοις σκανδαλιζομένων, καί περί αὐτήν τήν(1208) εὐσέβειαν σαλευομένων. Περί ὧν οἶμαι τόν Κύριον ἐν τοῖς Εὐαγγελίοις φάναι, Ὁ σκανδαλίζων ἕνα τῶν μικρῶν τούτων· οἵ ὅταν ἴδωσι δίκαιον ἀσθενοῦντα, ἤ πτωχεύοντα, ἤ ἄλλως κακουχούμενον (καί σχεδόν οἵγε ἀσθενέστεροι ἄδειαν τοῦ παντός κατακρίνουσι, πόσῳ μᾶλλον ἐν τῇ ἀθρόᾳ μεταβολῇ τοῦ Ἰώβ, ὡμολογημένως δίκαιον πᾶσιν ὑπειλημμένου;) εἶχον τοῦτο παθεῖν, εἰ μή πρός τό ἀρχαῖον αὐτῷ σωματικῶς κατά τό διπλάσιον ἐπανῆλθε τό περιφανές καί ἐπίδοξον.

Περί τούτων οὖν εἴρηται τῷ διδασκάλῳ, Μικρῶν ἕνεκεν οἰκονομηθέντα.

***Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό, " Καθαίρει μέν τό ἱερόν τῶν θεοκαπήλων καί χριστεμπόρων, πλήν ὅσον οὐ φραγελλίῳ πλεκτῷ, λόγῳ δέ πιθανῷ τοῦτο ἐργάζεται."***

Οὔτε στυπτικώτερον ἐν τούτοις, ὥς τινες ὑπειλήφασι, τοῦ μακαρίου πατρός Ἀθανασίου τόν Κύριον ἡμῶν καί Θεόν ἀποδείκνυσιν ὁ ἀοίδιμος οὗτος διδάσκαλος, μή γένοιτο, οὔτε μήν καταχαρίζεται τῷ ἁγίῳ Ἀθανασίῳ τῷ τόν μέν φραγελλίῳ, τόν δέ λόγῳ χρησάμενον, καθαίρειν τό ἱερόν τῶν θεοκαπήλων εἰπεῖν. Ὡς ἀνάγκην ἐκ τούτων εἶναι, κατά τούς λέγοντας, δυοῖν θάτερον ὑποληφθῆναι, ἤ τόν Κύριον ἡμῶν καί Θεόν τήν προσηνεστέραν ἠγνοηκέναι μέθοδον τῆς ἰατρείας, ἤ τόν ἅγιον Ἀθανάσιον μή γινώσκοντα τῆς πνευματικῆς ἐπιμελείας τούς τρόπους φιλανθρωπίαν ἄκαιρον μετιέναι. Ἀλλ᾽ ἐπειδή ὁ διαγνωστικός λόγος ὧν πεπράχαμεν ἐν ἡμῖν ἀνακινούμενος, οἷον ἱερῷ τινι ἐμψύχῳ τε καί ζῶντι, ἀναλογοῦσαν τοῖς πλημμεληθεῖσι μεταμέλειαν ἐργάζεται, δι᾽ ἧς Χριστός ὁ Θεός καί Λόγος ἀεί τύπτει ἡμᾶς ἁμαρτάνοντας, πλεκτόν ὥσπερ ἔχων φραγέλλιον, αὐτήν ἡμῶν τήν ἐξ ἀτόπων ἐννοιῶν συμπεπλεγμένην καί ἔργων συνείδησιν, ὁ δέ ἅγιος Ἀθανάσιος ἠπίως τούς πταίοντας ἐνῆγε πρός διόρθωσιν, ὡς καί αὐτός ἀσθενείας σάρκα περικείμενος, τούτου χάριν τῷ τρόπῳ τούτῳ τῷ λόγῷ χρῆσθαι τόν θεόφρονα τοῦτον οἶμαι διδάσκαλον.

***Τοῦ αὐτοῦ ἐκ τοῦ σχεδιασθέντος πρός Εὐνομιανούς λόγου, εἰς τό, " Εἰσί τινες οἱ τήν ἀκοήν κνηθόμενοι καί τήν γλῶτταν."***

Φασίν οἱ περί λόγους ἐσχολακότες καί τάς αὐτῶν ἀκριβεῖς σημασίας γινώσκειν, κλέος οὐ τό τυχόν ποιησάμενοι, καί ἑκάστῳ πράγματι φωνήν πρόσφορον δεῖν ἀπονέμεσθαι, παραστατικήν τῆς πρός ὁτιοῦν ἄλλου τοῦ σημαινομένου, καθ᾽ ὅντινα τρόπον τύχοι λεγόμενον, ἀμιγοῦς ἰδιότητος, καλῶς ἔχειν ἀποφηνάμενοι, κνηθομένους δέ τήν ἀκοήν καί τήν γλῶσσαν εἶναι τούς καινότερόν τι μανθάνειν ἤ λέγειν ἐθέλοντας, καί ἀεί ταῖς καινοτομίαις χαίροντας, καί ὅρια μετατιθεμένους, γραφικῶς εἰπεῖν, ἅ ἔθεντο οἱ πατέρες αὐτῶν καί τοῖς προσφάτοις καί ξένοις ἡδομένους, καί τῶν συνήθων (1209) καί πάλαι γνωρίμων καί ὡσαύτως ἐχόντων ὡς ἑώλων καί πεπατημένων καί μηδενός ἀξίων, κατεξανισταμένους, καί μᾶλλον τά νεαρώτερα προσδεχομένους ἀσπασίως, κἄν ψευδῆ τύχοιεν ὄντα, καί μηδεμίαν εἰς ψυχήν διαβαίνουσαν ὠφέλειαν ἔχοντα. Ὑπέρ ἧς μάλιστα πᾶς εὐσεβής

λόγος καί πόνος σωτήριος ᾄδεταί τε καί γράφεται καί ἐπιτηδεύεται, ὁ μέν κατά τῆς ἀγνωσίας, ὁ δέ κατά τῆς ἡδονῆς ὁπλιζόμενος, ὁ μέν ἵνα τῆς ἀγνοίας ἐκτεμών τά πηρώματα τῆς ψυχῆς οἰκειώσῃ Θεῷ διά γνώσεως τήν ἀλήθειαν ἔχοντας, τούς διά τοῦτο τοῖς μαθήμασι χαίροντας, καί τῶν ὁρωμένων τε καί νοουμένων ὑπεράνω τόν νοῦν παραπέμψας θέλξῃ τῷ ἀῤῥήτῳ τῆς θείας καλλονῆς ἔρωτι, καί προσηλώσῃ τῷ πόθῳ μηδαμοῦ φέρεσθαι δυνάμενον, μᾶλλον δέ δυνηθῆναι μή ἀνεχόμενον· ὁ δέ ἵνα τῆς καθ᾿ ἡδονήν σχέσεως τούς ἥλους ἐκκρούσηται οἷς ὁ περί Θεόν τῆς ψυχῆς πόθος τε καί τόνος ἐκ τῆς ἀρχαίας παρακοῆς πρός τήν ὕλην ἐνεπάγη καί τά φθειρόμενα, καί ἀπαλλάξῃ κακίας τούς ἐνεσχημένους, καί ἀρετῆς ποιήσειε φοιτητάς γνησίους, καί ἄσειστον πρός πάντα τά κωλύειν δοκοῦντα τῆς ψυχῆς τήν πρός τό καλόν οἰκείωσιν ἀπεργάσηται, διδάξας πρός μέν ἀποστροφήν ἡδονῆς, διά τῶν ἐφ᾿ ἡμῖν ἀτόπων ἀπατηλῶς σαινούσης καί μαλασσούσης τό στεῤῥόν τῆς γνώμης, καί πειθούσης προαιρεῖσθαι τά παρόντα τῶν μελλόντων, καί τά ὁρώμενα τῶν νοουμένων, ἐγκράτειαν, πρός δέ φόβου καί δειλίας ἀπόθεσιν, δι᾿ αὐτῶν οὐκ ἐφ᾿ ἡμῖν τά ἀνήκεστα καί ἀνθρωπίνης εἶναι δοκοῦντα κρείττονα δυνάμεως ὑποτιθεμένων, καί βίᾳ κραττεῖν διά τῆς τῶν φοβερῶν ἐπαγωγῆς τοῦ σώφρονος λογισμοῦ μηχανωμένων, ὑπομονήν καί τήν ἐκ τούτων συμπληρουμένην ἀνδρείαν, τήν πρός πᾶσαν ἡδονήν τῶν ἐφ᾿ ἡμῖν καί ὀδύνην τῶν οὐκ ἐφ᾿ ἡμῖν ἀνένδοτον καί ἀήττητον ἕξιν. Κνηθομένους δέ τήν ἀκοήν καί τήν γλῶσσαν ἐκάλεσεν ὁ διδάσκαλος τούς περί ὧν ὁ λόγος, ἐπειδή πᾶς λόγος διά γλώσσης καλεῖσθαί τε καί προφέρεσθαι καί δι᾿ ἀκοῆς ἀκούσεθαί τε καί μανθάνεσθαι πέφυκεν. Εἰ δέ καί κατ᾿ ἄλλην ἐπιβολήν ἐκδέχεσθαι θελήσομεν τό λεγόμενον, Κνηθόμενοι τήν ἀκοήν καί τήν γλῶσσαν, τυχόν οἱ μόνον πρός ψόγον καί τῆς κατ᾿ ἄλλων διαβολῆς ἤ λοιδορίας ἀκούειν τε καί καλεῖν προθυμούμενοι, καί τό κατά παντός ἀμαθῶς ἐπαίρεσθαι λόγου τε καί ἀνδρός σεμνολόγημα κρίνοντες, καί πρό τοῦ τι φάναι τόν ὕποπτον αὐτοῖς καί φθονούμενον σφαδάζοντες τῷ πνεύματι καί οἷον τήν ψυχήν προωθοῦντες καί τήν ἀκοήν ἑτοιμάζοντες καί τήν γλῶσσαν πρός θήραν τινός συλλαβῆς ἤ λέξεως, οὐχ ἵνα εὐθύμωσιν, ἀλλ᾿ ἵνα κακίσωσι καί ὕλην ἔχωσι τῆς κατ᾿ αὐτοῦ γλωσσαλγίας. Ὅπερ ἐποιοῦντο τῷ ἁγίῳ τούτῳ ἀνδρί οἱ κατ᾿ ἐκεῖνο καιροῦ τῆς ἀληθείας ἐχθροί, προπηδῶντες, καί προεξανιστάμενοι, καί πρίν λεχθῆναι, τῶν λεγομένων· καθάπερ τῶν ἵππων τούς πολεμιστηρίους τε καί

ἀμιλλητηρίους, οἵ καί πρό τῶν ἀγώνων καί τῆς σάλπιγγος εὐθυτενῆ τά ὦτα (1212) ποιοῦσι, καί τούς πόδας τῇ γῇ προσαράσσουσι, καί προσκνήθονται ταύτην ταῖς ὁπλαῖς, καί πρός δρόμον ἑαυτούς διεγείρουσι, καί τήν ὠθοῦσαν πολλάκις προλαμβάνοντες μάστιγα· πλήν ὅτι τῶν ἵππων οὐδείς ἅπτεται ψόγος ὑπό τῆς φυσικῆς ἀλογίας, μή ἀναμενόντων τούς εὐθέτους τῶν ἀγώνων καιρού, οὕς διασημαίνει ἥ τε φωνή τῆς σάλπιγγος καί ἡ τῆς μάστιγος πληγή, τοῖς δέ τοιούτοις ἀνδράσιν οὐδείς ἐστιν ὁ πρός ἀξίαν τῶν αὐτῶν κακίας ἐπινοηθῆναι δυνάμενος ψόγος. Ἔργον ἔχουσι καί σπούδασμα τήν μελέτην τοῦ ψεύδους, καί τήν κατά τῆς ἀληθείας ἔνστασιν. Εἰκότως οἱ τοιοῦτοι κνηθόμενοι τήν ἀκοήν καί τήν γλῶτταν λεγέσθωσαν, διότι καθάπερ τις χυμός δριμύτατός τε καί παχύτατος, τῷ βάθει τοῦ σώματος ἐμφωλεύων, πολλάκις διά τοῦ κνήθεσθαι πρός τήν ἐπιφάνειαν ἐρεθιζόμενος ἐκδίδοται, οὕτως καί τούς ἐπηρεστάς τῶν καλῶς λεγομένων ἐρεθίζει λαβομένους ἀφορμῆς μάλιστα δημοσιεύειν τήν κατά ψυχήν κακουργίαν ἡ κεκρυμμένη διάθεσις, ἥτις τοσοῦτον τό βάθος κατέχειν πέφυκε μᾶλλον, ὅσον κενοῦσθαι τῇ προόδῳ κατά τό εἰκός ἔδοξεν. Οὐ γάρ ἐξίσταται τοῦ βάθους πρφερομένη διά τῶν ἔργων ἡ τῶν μοχθηρῶν ἀνθρώπων διάθεσις, ἀλλά καί τά ἐκτός πάντα μανικῶς ἐπινέμεται, καί τῆς κατά ψυχήν οὐδαμῶς ἐξίσταται χώρας.

***Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό, " Ὥσπερ ἄνθος ἐν χειμῶνι παντελῶς ἄωρον, καί γυναιξί κόσμος ἀνδρεῖος ἤ ἀνδράσι γυναικεῖος, ἤ πένθει γεωμετρία. "***

Τήν ἐπί παντός λόγου τε καί πράγματος εὐταξίαν, καθ᾽ ἥν τῆς ἑκάστου καί πάντων εὐπρεπείας ὁ λόγος ἀναφαίνεσθαι πέφυκεν ἀκραιφνής, διά τῆς τῶν ἀπεμφαινόντων ἀπαριθμήσεως εἰσηγούμενος, ταῦτά φησιν ὁ διδάσκαλος, ἵνα διά τούτων εὐτάκτους εἶναι καί εὐλαβεῖς τούς θρασεῖς καί ἀτάκτους καί μηδεμίαν τάξιν εἰδότας, οὐδενός μέν, μάλιστα δέ τῆς περί Θεοῦ διαλέξεως, ἀλλά πάντα τολμηρῶς ἀλλήλοις παμμιγῶς τά διεστῶτα φύροντάς τε καί συγχέοντας διδάξειεν. Εἰ γάρ τῶν οὐκ ἐχόντων φύσιν ἐστί, καί διά τοῦτο οὐδέ τάξιν, τό τε ἄνθος ἐν χειμῶνι ὁρώμενον, καί γυναιξί κόσμος ἀνδρεῖος ἐπιβεβλημένος, καί ἀνδράσι γυναικεῖος, καί πένθει συνημμένην γεωμετρίαν λέγειν (τό μέν γάρ καινοτομεῖ τόν χρόνον καί τῆς ἰδίας ἐξίσταται θέσεως, ὁ δέ παραχαράττειν τήν φύσιν ἐναλλάξ, ἀνδρί τε καί γυναικί ἐπιφαινόμενος, καί τήν αὐτοῖς προσοῦσαν ἐκ φύσεως τάξιν ἐξίστησιν, ἡ δέ τά μηδέπω συνυπάρχειν

ἀλλήλοις δυνάμενα, χαράν τέ φημι καί πένθος, εἰς ἕν ἀγαγεῖν βιαζομένη φύρει πάντως καί ἀφανίζει) , οὐ πολλῷ μᾶλλον ὁ περί Θεοῦ λόγος, ὡς ἔτυχε καί ὑπό τοῦ τυχόντος, καί ἡνίκα καί οὗ μή καθῆκον ἔτι προφερόμενος, ἀειδής ἔσται καί ἀπρεπής, καί οὐδ᾽ ὅλως ἀκουσθῆναι περί Θεοῦ ἄξιος, ἐφ᾽ οὗ μᾶλλον τοσοῦτον τιθέναι δεῖν οἶμαι τό εὔκαιρον τούς νοῦν ἔχοντας, ὅσον πάντων ἀσυγκρίτως προβεβλημένων, πένθει δέ γεωμετρίαν ἀνάρμοστόν φησιν (1213) ὁ διδάσκαλος. Ὁ δέ μᾶλλον ἀπορεῖν ὑμᾶς πεποίηκεν, ὡς οἶμαι, κατά τοιούσδε τρόπους, ἤ ὅτιπερ οἱ χώρας τινός διά στρατιωτικῆς κρατήσαντες χειρός γεωμετρίᾳ ταύτην καταδιαιροῦνται, ἡνίκα βασιλείας νόμῳ κρατεῖν ἐθέλωσι, χαρᾶς δέ καί χρῆμα μέγιστον, χαρᾶς, τοῖς μόνα τά παρόντα μεταδιώξουσιν ἀγαθά, καί τό νικητάς αὐτούς γενέσθαι, καί πλοῦτον ἀθρόον κτήσασθαι, οἷς τό οἱονοῦν πένθος συνεῖναι ἀμήχανον· ἤ ἐπειδή φασιν οἱ περί ταῦτα δεινοί τούς ἀναγκαστικούς ἰδίως συλλογισμούς ἀνῆφθαι τῇ γεωμετρίᾳ, φορτικός τις εἰκότως ὀφθήσεται, καί τό καθῆκον μή συνορῶν, τόν πενθοῦντα συλλογιζόμενος καί ἀλόγως αὐτόν πενθοῦντα δεῖξαι πειρώμενος· ἤ τυχόν καί αὐτῷ τῷ πενθοῦντι φαίη τις ἀνάρμοστον εἶναι τό συλλογίζεσθαι, πιθανότητι λόγων ἑαυτόν μηχανώμενος πείθειν ὡς οὐ πέπονθε τήν ἔργῳ καί πράγματι συμβᾶσαν αὐτῷ συμφοράν, ἤ καί αὐτῷ τῷ πένθει, ἤτοι τῇ τούτου φύσει, παντελῶς ἐναντίον. Ἐκκρούεται γάρ ὥσπερ τό πένθος ὁ πενθῶν συσυλλογιζόμενος, οὕτω καί τό πένθος τοῦ εἶναι πένθος ἐκπίπτει, πρός συλλογισμόν μετατιθέμενος. Ἀπολαβών γάρ τις τόν εἰς ὅν τάς ἐλπίδας εἶχε τῆς διαδοχῆς, περιττά λοιπόν ἡγεῖται τά τῇδε πάντα. Καί κατά τοῦτον ἴσως τόν τρόπον οὐκ ἔξω λόγου φαίη τις εἶναι τά θεωρηθέντα, γνούς μή δύνασθαι συμβαίνειν ἀλλήλοις κατά τό αὐτό τήν χαράν καί τό πένθος, τῆς ἑκατέρου ποιητικῆς αἰτίας οὐκ ἐκ τῶν αὐτῶν ἀρχῶν ἐχούσης δηλονότι τάς ἀφορμάς. Καί τούτων μάρτυς ἐχέγγυος ὁ ἅγιος καί θεόφρων Διονύσιος ὁ Ἀρεοπαγίτης, οὑτωσί διεξιών περί τῆς ἀγγελικῆς εἰκονογραφίας· "Τά δέ γεωμετρικά καί τεκτονικά σκεύη, τό θεμελιωτικόν καί οἰκοδομικόν καί τελειωτικόν, καί ὅσα ἀλλα τῆς ἀναγωγοῦ καί ἐπιστρεπτικῆς ἐστι τῶν δευτέρων προνοίας." Ταῦτα δέ πάντα φαιδράν ἐνδείκνυται διαγωγήν, ἥτινι πάντως τό πένθος ἐναντίον, καί διά τοῦτο ἀνάρμοστον. Εἰ δέ καί ἄλλως ἔστιν ἐκλαβεῖν τόν τόπον, οὐκ ἄκαιρον εἶναι νομίζω, καί τό τοῦ Σιράχ Ἰησοῦ προσθεῖναι τοῖς εἰρημένοις. Ἔστι δέ τοῦτο· Μουσικά ἐν πένθει,

ἄκαιρος διήγησις. Ὡς οὖν τῆς μουσικῆς πάσας περιεχούσης τάς παιδεύσεις, ὧν μίαν φασί τήν γεωμετρίαν οἱ περί ταῦτα τήν σπουδήν ἐσχηκότες, τούτου χάριν, ὡς οἶμαι, συμφερόμενος τῷ τήν προῤῥηθεῖσαν ἐκθεμένῳ ῥῆσιν ὁ διδάσκαλος ἀνάρμοστον ἔφη τῷ πένθει τήν γεωμετρίαν. Εἰ δέ τις φαίη. Τί δήποτε τάς λοιπάς παρείς παιδεύσεις ταύτην μόνην ὡς ἀνάρμοστον τῷ πένθει παρείληφε; φαμέν ὅτι ταύτην ἐσκόπησε κατάλληλον εἶναι πάσαις ταῖς προλεχθείσαις ἐπιβολαῖς. Ἔπειτα δέ καί διά ταύτης τῆς μιᾶς καί αἱ λοιπαί συνεκδοχικῶς συμπαρελήφθησαν. Ταῦτα μέν, κατ᾽ ἐμέ φάναι, λελέχθω. Εἰ δέ τις τό κρεῖττον ἐξεύροι, ὁμολογήσω χάριν τῶν ἠγνοημένων παρ᾽ αὐτοῦ τήν γνῶσιν λαβών.

***(1216) Τοῦ αὐτοῦ, ἐκ τοῦ μεγάλου θεολογικοῦ, εἰς τό, "τοῦ μέν γάρ εἶναι Θεόν καί τῶν πάντων ποιητικήν τε καί συνεκτικήν αἰτίαν, καί ὄψις διδάσκαλος καί ὁ φυσικός νόμος, ἡ μέν τοῖς ὁρωμένοις προσβάλλουσα καί πεπηγόσι καλῶς καί ὁδεύουσι, καί ἀκινήτως, ἵν᾽ οὕτως εἴπω, κινουμένοις τε καί φερομένοις, ὁ δέ διά τῶν ὁρωμένων καί τεταγμένων τόν ἀρχηγόν τούτων συλλογιζόμενος."***

Ὁ τό μέγεθος τῶν ὁρωμένων ὡς ἔχει κάλλους καί φύσεως, σύν λόγῳ κατά τήν αἴσθησιν ἐπελθών, μή συγχωρῶν αὐτῇ παντελῶς καθ᾽ ἑαυτήν γενομένην ἐνεργεῖν τοῦ ἡνιοχοῦντος αὐτήν λόγου ἐχωρισμένην οὐδέν, μηδέ τόν λόγον αὐτόν τῆς τοῦ νοῦ ἁπλότητος ἄφετον, καθ᾽ ὅν τῆς μέν αἰσθήσεως τά τε εἴδη καί τά σχήματα διά μέσης τῆς κατά τόν λόγον δυνάμεως εἰς λόγους παντοδαπούς ἄγεσθαι πέφυκε, τῆς δέ τοῦ λόγου δυνάμεως ἡ κατά τήν διαφοράν ποικιλία τῶν ἐν τοῖς οὖσι παντοδαπῶν λόγων εἰς ἑνοειδῆ καί ἁπλῆν καί ἀδιάφορον συνάγεσθαι νόησιν, καθ᾽ ἥν ἡ ἀμερής λεγομένη καί ἄποσος καί ἑνιαία γνῶσις συνέστηκεν, οὗτος ἀληθῶς διά τῶν ὁρωμένων καί τῆς ἐν αὐτοῖς εὐταξίας τόν ποιητήν τούτων καί συνοχέα καί ἀρχηγόν, ὡς ἀνθρώπῳ δυνατόν, ἀνετυπώσατο, καί ἔγνω Θεόν, οὐ κατά τό τί ποτε τήν οὐσίαν εἶναι καί τήν ὑπόστασιν (τοῦτο γάρ ἀμήχανον καί ἀνεπιχείρητον), ἀλλά κατ᾽ αὐτό τό μόνον εἶναι μαθών. Καί ταῦτα μετά πᾶσαν τήν κατ᾽ αἴσθησιν ἐν σχήματι θέσεώς τε καί μορφῆς καί τυπώσεως καί φαντασίας διάβασιν, καί εἰ μή τῷ περιττός εἶναι δοκῶ, καί αὐτῆς ἔξω παντελῶς τῆς ἐν τοῖς λόγοις τῶν ὄντων διαφορᾶς γενόμενος, καί οἷον μεθόριον ἑαυτόν παρενθείς Θεοῦ τε καί πάντων τῶν μετά Θεόν, τόν μέν ὡς ὑπερέχοντος καί ἀψαύστου δι᾽ ὅλου μένοντος καί μηδεμίαν φθάνουσαν αὐτόν ἔχοντος νόησιν, τῶν

δέ καταλελειμμένων καί τῇ περιουσίᾳ τῆς κατά νοῦν γνώσεως διαβαθέντων καί κατωτέρων ἐννοίας φανέντων τῷ τί ποτε εἶναι βεβαίως ὑπέρ αὐτά καί ἀληθῶς ἐννοῆσαι, ταῦτά μοι δοκεῖ διά τῆς ὄψεως καί τοῦ φυσικοῦ νόμου κατά τήν ἀποδοθεῖσαν αἰτίαν ὁ διδάσκαλος παραινίττεσθαι, ἀλλ᾽ οὐ ταὐτόν τίθεσθαι, καθώς τινες ᾠήθησαν, τήν ὄψιν τε καί τόν φυσικόν νόμον. Ἄμφω γάρ περί τά αὐτά τήν ἐνέργειαν ἔχοντα τήν ἀπ᾽ ἀλλήλων δύναται κατ᾽ ἐπίνοιαν δέχεσθαι διάκρισιν, τῷ τήν μέν ἀλόγως τῇ προσψαύσει τῶν ὁρατῶν μόνον στηρίζεσθαι περαιτέρω βαίνειν οὐκ ἔχουσαν, τόν δέ τῷ τε συνημμένῳ λόγῳ ταῦτα πολυπραγμονεῖν καί τῷ νῷ καλῶς τε καί σοφῶς ὑπερβαίνειν, καθ᾽ ὅ μάλιστα τήν περί τοῦ εἶναι Θεόν ἔννοιάν τε καί πίστιν ὁ φυσικός διά τῆς ὄψεως εἰσαγήοχε νόμος. Ὄψιν οὖν ἐκάλεσε τήν ἁπλῶς, ἀλλ᾽ οὐ τήν πῶς, πρός τά αἰσθητά τῆς αἰσθήσεως προσβολήν (οὐ γάρ αἰσθήσεως ἁπλῶς τό ἔκ τινος ἕτερόν τι συλλογίζεσθαι καθέστηκεν ἴδιον) , νόμον δέ φυσικόν τήν διά τῆς αἰσθήσεως γινομένην κατά νοῦν καί λόγον φυσικήν ἐνέργειαν, (1217) καθ᾽ ἥν ἡ πρός τό κρεῖττον μετ᾽ ἐμμελοῦς ἐξετάσεως καθ᾽ ὁδόν ἀπό τῶν ἡττόνων ἀνάβασις γίνεται. Ἀκινήτως δέ κινεῖσθαί τε καί φέρεσθαι τά ὁρώμενα εἴρηται τῷ διδασκάλῳ τῷ μέν λόγῳ, ᾧ γέγονε ταῦτα, κατά τε φύσιν καί δύναμιν καί ἐνέργειαν, τάξιν τε καί διαμονήν ἀμεταστάτως ἔχειν, καί μή ἐξίστασθαι καθ᾽ ὁτιοῦν τῆς φυσικῆς ἰδιότητος καί μεταβάλλειν εἰς ἄλλο καί φύρεσθαι, κινεῖσθαι δέ πάλιν τῷ κατά ῥοήν καί ἀποῤῥοήν λόγῳ, αὐξήσει τε τῇ περί τό ποσόν καί μειώσει καί τῇ περί τό ποιόν ἀλλοιώσει, καί κυρίως εἰπεῖν, τῇ ἐξ ἀλλήλων διαδοχῇ, ὑπεξισταμένων ἀεί τοῖς ἐπιγνομένοις τῶν προειληφότων. Καί ἁπλῶς ἵνα συνελών εἴπω, πάντα τά ὄντα καθ᾽ ὅν μέν ὑπέστησάν τε καί εἰσί λόγον, στάσιμά τε παντελῶς εἰσι καί ἀκίνητα, τῷ δέ τῶν περί αὐτά θεωρουμένων λόγῳ, καθ᾽ ὅν ἡ τοῦ παντός τούτου σαφῶς οἰκονομία συνέστηκέ τε καί διεξάγεται, πάντα κινεῖται δηλονότι καί ἀστατεῖ. Οὐ ταὐτόν δέ φασιν εἶναι τῇ φορᾷ τήν κίνησιν. Τήν μέν γάρ κίνησιν μᾶλλον εἶναί φασι τῶν ὑπό γένεσιν καί φθοράν, ὡς ἐπιδεχομένων τοῖς περί αὐτά θεωρουμένοις τό μᾶλλον καί τό ἧττον (κἄν ἐπί πάντων ὁμοῦ τῶν γενητῶν κυρίως λέγεσθαι δυνατόν), τήν δέ φοράν τῆς κατά κύκλον κινουμένης οὐσίας καί ἀκαμάτως τήν περιδίνησιν. Οὐκ οἶδα πότερον θαῤῥήσαντι περί τό πᾶν φυσικῶς ἐνεργούσης λέγειν ἐστίν ἀσφαλές ἤ ἐνεργουμένης, πλήν ὅτι κυρίως εἰπεῖν ἐστιν ἐνεργουμένης τό φέρεσθαι. Οὐδέν γάρ τῶν ὄντων

παντελῶς ἐστιν αὐτενέργητον, ὅτι μηδέ ἀναίτιον, τό δέ μή ἀναίτιον, κινεῖται πάντως δι᾽ αἰτίαν, ἐνεργούμενον δηλονότι τό κινεῖσθαι φυσικῶς ὑπό τῆς αἰτίας, δι᾽ ἥν καί πρός ἥν ποιεῖται τήν κίνησιν. Ἀναιτίως γάρ οὐδαμῶς κινεῖται καθ᾽ οἱονδήτινα τρόπον τῶν κινουμένων οὐδέν. Ἀρχή δέ πάσης κινήσεως φυσικῆς ἐστιν ἡ τῶν κινουμένων γένεσις, ἀρχή δέ τῆς τῶν κινουμένων γενέσεως ὁ Θεός, ὡς γενεσιουργός. Τῆς δέ τῶν γεγενημένων φυσικῆς γενέσεως τέλος ἡ στάσις ἐστίν, ἥν ποιεῖ πάντως μετά τήν διάβασιν τῶν πεπερασμένων ἡ ἀπειρία, ἐν ᾗ διά τό μή εἶναι διάστημα πᾶσα ποιεῖται κίνησις τῶν φυσικῶν κινουμένων, οὐκ ἔχουσα λοιπόν ὅποι τε καί πῶς καί πρός τί κινηθῆναι, ὡς τόν ὁρίζοντα καί αὐτήν τήν πάσης ὁριστικήν κινήσεως ἀπειρίαν Θεόν τέλος ὡς αἴτιον ἔχουσα. Πάσης οὖν γενέσεώς τε καί κινήσεως τῶν ὄντων, ἀρχή καί τέλος ἐστίν ὁ Θεός, ὡς ἐξ αὐτοῦ γεγενημένων καί δι᾽ αὐτοῦ κινουμένων, καί εἰς αὐτόν τήν στάσιν ποιησομένων. Πάσης δέ φυσικῆς τῶν ὄντων κινήσεως προεπινοεῖται ἡ γένεσις, πάσης δέ στάσεως προεπινοεῖται κατά φύσιν ἡ κίνησις. Εἰ οὖν κινήσεως προεπινοεῖται κατά φύσιν ἡ γένεσις, κινήσεως δέ μετεπινοεῖται κατά φύσιν ἡ στάσις, γένεσις δηλονότι καί στάσις εἶναι τῶν ἅμα κατά τήν ὕπαρξιν ἀμήχανον, ἀλλήλων αὐτάς φυσικῶς διείργουσαν ἔχουσαι κατά τό μέσον τήν κίνησιν. Οὐ γάρ φυσική ἐνέργεια τῆς γενέσεως τῶν κινουμένων ἡ στάσις ἐστίν, ἀλλά τέλος τῆς κατ᾽ αὐτήν δυνάμεως ἤ ἐνεργείας, ἤ ὅπως ἄν τις ἐθέλει τοῦτο λέγειν.

(1220) Ἐπ᾽ ἐνεργείᾳ γάρ τά γενόμενα γέγονε, πᾶσα δέ ἐνέργεια πρός τι τέλος ἐστίν, ἵνα μή ἀτελής. Τό γάρ τέλος μή ἔχον τῶν κατά φύσιν ἐνεργειῶν οὐδέ τέλειόν ἐστι, τέλος δέ τῶν κατά φύσιν ἐνεργειῶν, ἡ τῆς πρός τό αἴτιον τῶν γεγενημένων κινήσεως στάσις. Οἷον ἵνα ἐξ ἑνός τόν ἐπί πάντων τῶν ὄντων κατανοήσωμεν τῆς κινήσεως τρόπον, ἡ ψυχή, οὐσία νοερά τε καί λογική ὑπάρχουσα, καί νοεῖ καί λογίζεται, δύναμιν ἔχουσα τόν νοῦν, κίνησιν δέ τήν νόησιν, ἐνέργειαν δέ τό νόημα. Πέρας γάρ τοῦτο τῆς τε τοῦ νοοῦντος καί τοῦ νουμένου νοησεώς ἐστιν, ὡς περιοριστικόν τῆς πρός ἄλληλα τῶν ἄκρων ὑπάρχον σχέσεως. Νοοῦσα γάρ ἡ ψυχή ἵσταται τοῦ νοεῖν ἐκεῖνο τό νοηθέν μετά τήν αὐτοῦ νόησιν. Τό γάρ νοηθέν κυρίως ἅπαξ, οὐκ ἔτι τήν πρός τό νοηθῆναι πάλιν ἐκκαλεῖται τῆς ψυχῆς δύναμιν, καί καθ᾽ ἕκαστον νόημα οὕτω στάσιν δέχεται τῆς ποίας ἐπί τῷ νοήματι τοῦ νοηθέντος νοήσεως. Ἡνίκα οὖν πάντα τά νοήματα τῶν

νοουμένων πάντων αἰσθητῶν τε καί νοητῶν κατά τήν νόησιν παρέλθῃ, παύεται, ὥσπερ τῶν νοουμένων ἁπάντων, οὕτω καί τῆς ὅλης νοήσεώς τε καί σχέσεως πρός τά σχετά πάντα καί νοητά, οὐκ ἔχουσα λοιπόν τί νοῆσαι τό παράπαν, μετά τήν τῶν νοηθῆναι φυσικῶς δυναμένων νόησιν, μεθ᾽ ἥν ὑπέρ νοῦν καί λόγον καί γνῶσιν ἀνοήτως, ἀγνώστως τε καί ἀφράστως κατά ἁπλῆν προσβολήν ἑνωθήσεται τῷ Θεῷ, οὐ νοοῦσα παντάπασιν, οὔτε μήν τόν Θεόν λογιζομένη. Οὐ γάρ ἐστί τι τῶν νοουμένων, ἵνα κατά τινα σχέσιν ἡ ψυχή τήν αὐτοῦ δύνηται νόησιν ἔχειν, ἀλλά κατά τήν ἁπλῆν, ὡς ἄσχετον, καί ὑπέρ νόησιν ἕνωσιν, καί τινα λόγον ἄῤῥητόν τε καί ἀνερμήνευτον, ὅν μόνος οἶδεν ὁ τήν ἄφατον ταύτην χάριν τοῖς ἀξίοις δωρούμενος Θεός, καί οἱ ταύτην ὕστερον πείσεσθαι μέλλοντες, ἡνίκα πάντα τροπῆς ἐλεύθερα καί ἀλλοιώσεως ἔσται πάσης, τῆς καθ᾽ ὁτιοῦν περί τι κινήσεως τῶν ὄντων παντελῶς πέρας λαβούσης τήν περί Θεόν ἀπειρίαν, ἐν ᾗ τά κινούμενα πάντα δέχεται στάσιν. Περί Θεόν γάρ, ἀλλ᾽ οὐ Θεός, ἡ ἀπειρία, ὅστις καί ταύτης ἀσυγκρίτως ὑπέρκειται. Δικαίως γοῦν, οἶμαι, μέμψεως ἄξιος πλείστης ὁ τήν προΰπαρξιν τῶν ψυχῶν δογματίζων ἐστί, καί τήν ἀκίνητον καθόλου τῶν λογικῶν ἑνάδα θεσπίζων, φύρων Ἑλληνικῶς τά μή φυρόμενα, καί λέγων ἅμα κατά τήν ὕπαρξιν εἶναι τῇ γενέσει τῶν λογικῶν τήν στάσιν. Οὐ γάρ συμβαίνει τῷ ἀληθεῖ λόγῳ τήν γένεσιν προεπινοεῖσθαι τῆς στάσεως, ἀκίνητον φύσει κατ᾽ αὐτόν ὑπάρχουσαν, οὔτε μετεπινοεῖσθαι στάσιν ἀκινήτου γενέσεως, οὔτε μήν συνεπινοεῖσθαι τῇ γενέσει τήν στάσιν. Οὐ γάρ δύναμις τῆς γενέσεως ἡ στάσις ἐστίν, ἵνα συνεπινοηθῇ τῇ γενέσει τῶν γεγενημένων, ἀλλά τῆς κατά δύναμιν ἐνεργείας τῆς τῶν γεγενημένων γενέσεως τέλος ὑπάρχει, καί ἁπλῶς, ἵνα συνελών εἴπω, τῶν πρός τι οὖσα ἡ στάσις, οὐ πρός γένεσιν, ἀλλά πρός κίνησιν λέγεται, πρός ἥν και ἀντιδιαστολήν ἐπιδέχεται, οὐδαμῶς τήν πρός γένεσιν ἀναφοράν ἔχουσα, πρός ἥν διαστολήν οὐκ ἐπιδέχεται. Ἕως δ᾽ ἄν οὖν στάσιν ἀκούω, παῦλαν μόνον μανθάνω κινήσεως. Εἰ δέ τῶν ἅμα κατά τήν ὕπαρξιν οὐκ ἔστι (1221)γένεσις καί στάσις, ἄρα παραχαράττει, σαφῶς τόν τῆς ἀληθείας λόγον ὁ τοῦτο θεσπίζων, καί τήν ἀκίνητον ἅμα τῇ γενέσει προϋπάρχουσαν ἑνάδα τῶν λογικῶν δογματίζων. Εἰ δέ τις λέγοι, Καί πῶς ἐπί Θεοῦ λέγεται στάσις, μή ἔχουσα προεπινοουμένην κίνησιν; φημί πρῶτον μέν, Οὐ ταὐτόν Κτίστης και κτίσις, ἵν᾽ ὅπερ ἐνί δυνατόν προσεῖναι, κατ᾽ ἀνάγκην τῷ ἑτέρῳ ὡσαύτως ἐπιθεωρηθῆναι δύνηται, ἐπεί οὕτωγε οὐδαμῶς το

κατά φύσιν διάφορον τούτων ἔσται καταφανές· ἔπειτα κυρίως εἰπεῖν, ὁ Θεός οὔτε κινεῖται παντελῶς οὔτε ἵσταται (τοῦτο γάρ τῶν κατά φύσιν πεπερασμένων καί ἀρχήν τοῦ εἶναι ἐχόντων ἐστίν ἴδιον), οὔτε μήν τι ποιεῖ παντάπασιν, οὔτε πάσχει τῶν ὅσα ἐπ᾽ αὐτοῦ δι᾽ ἡμᾶς καί νοεῖται καί λέγεται, διά τό κατά φύσιν ὑπέρ πᾶσαν εἶναι κίνησίν τε καί στάσιν, καί μηδενί λόγῳ τοῖς καθ᾽ ἡμᾶς ὑποβάλλεσθαι τρόποις. Ταῦτα παρεκβατικῶς εἰρήσθω περί τοῦ μηδέν χρῆναι λέγειν τῶν ὄντων κατά φύσιν ἀπολελυμένως ἐνεργεῖν, ἵνα μή ἀναίτιόν τι τῶν μετά Θεόν ἀφρόνως εἰσάγωμεν, ἐνεργεῖσθαι δέ φυσικῶς τό ἐνεργεῖν τοῦθ᾽ ὅπερ ἐνεργούμενον πέφυκεν ἐνεργεῖν.

***Τοῦ αὐτοῦ λόγου εἰς τό, " Ἀλλ' εἰ ἀσώματον, οὔπω μέν οὐδέ τοῦτο τῆς οὐσίας παραστατικόν, ὥσπερ οὐδέ τό ἀγέννητον, καί τό ἄναρχον, καί τό ἀναλλοίωτον, καί ἄφθαρτον, καί ὅσα περί Θεοῦ ἤ περί Θεόν εἶναι λέγεται. "***

Πρός τούς ἀνόμοιον μάλιστα τῷ Πατρί τόν Υἱόν κακούργως εἰσάγοντας, διά τοῦ νομίζειν οὐσίαν εἶναι τοῦ Πατρός τό ἀγέννητον, ὡς οἶμαι, τόν λόγον ποιούμενος, καί ἐκ τῶν ὁμοίων τό δέον αὐτούς ἐπιγνῶναι διδάσκων, ταῦτά φησιν ὁ διδάσκαλος, ἵν' ὑπό τῆς ἀληθείας πρός τήν εὐσέβειαν συνελαυνόμενοι εὐπειθῶς σύν ἡμῖν τό μή ἔχειν γένεσιν τόν Πατέρα μόνον δηλοῦν τό ἀγέννητον ὁμολογήσωσι, συνειδότες ὡς εἴπερ οὐσίαν Θεοῦ τό ἀγέννητον εἶναι βιάσαιντο, οὐσίαν Θεοῦ καί τό ἀσώματον ἐξ ἀνάγκης, καί τό ἄναρχον, καί τό ἀθάνατον, καί τό ἀναλλοίωτον, καί τό ἄφθαρτον, καί ὅσα διά τῆς στερητικῆς ἀναιρέσεως διά τήν ὑπεροχήν ὁ Θεός εἶναι λέγεται, λέγειν εἰκότως, ἑαυτοῖς γοῦν στοιχοῦντες, ἐκβιασθήσονται, καί οὕτω πολλάς οὐσίας Θεοῦ, καί οὐ μίαν, μᾶλλον δέ, κυριώτερον εἰπεῖν καί ἀληθέστερον, πολυθεΐαν Ἑλληνικήν νοσοῦντες ἐλεγχθήσονται, ὅπερ ὡς ἀσεβές εἰπεῖν αἰσχυνόμενοι τῆς ἀπονοίας πάντως ἀφέξονται καί μή βουλόμενοι. Τά γάρ στερητικά ἤ ἀναιρετικά περί τι θεωρούμενα οὐκ αὐτό ἐκεῖνο τυγχάνει ὄντα τό περί ὅ θεωροῦνται, ἐπεί πάντως ἔσονται τῶν σημαινόντων τό τί ἐστιν, ὡς ἐκεῖνο αὐτό ὄντα, ἀλλ᾽ οὐ τό τί οὐκ ἔστιν αὐτό ἐκεῖνο σημαίνοντα· εἰ δέ τοῦτο, ὅρος ἐκείνου τοῦ (1224) περί ὅ λέγονται εἶναι ταῦτα δειχθήσεται, ὅπερ ἄτοπον καί ἀδύνατον. Οὐ γάρ ἐκ τῶν ὧν οὐκ ἔστι τῶν πραγμάτων οἱ ὅροι συνάγονται, ἀλλ᾽ ἐκ τῶν ὧν ἅ ἔστιν, ἐξαπλοῦντα τήν σύντομον τῶν πραγμάτων περίληψιν, ἥτις ὀνομασία τούτων ὑπάρχει. Οὐδέν οὖν τό σύνολον τῶν περί Θεοῦ ἤ περί Θεόν εἶναι λεγομένων οὐσία εἶναι Θεοῦ

πώποτε δύναται, ὅτι μηδέ θέσιν, μόνην καί μόνῳ Θεῷ ἁρμόζουσαν, ἄσχετον, καί τῆς περί τι παντάπασιν ἐνεργείας ἄφετον αὐτό ἐκεῖνο κατά τό τί ποτε εἶναι ἐμφῆναι δύναται.

***Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό, "Ὡς γάρ οὐκ ἀρκεῖ τό σῶμα εἰπεῖν, ἤ τό γεγεννῆσθαι, πρός τό καί περί ὅ ταῦτα παραστῆσαί τε καί δηλῶσαι, ἀλλά δεῖ καί τό ὑποκείμενον τούτοις εἰπεῖν, εἰ μέλλοι τελείως καί ἀποχρώντως τό νοούμενον παραστήσασθαι· ἤ γάρ ἄνθρωπος ἤ βοῦς ἤ ἵππος τοῦτο τό ἐν σώματι καί φθειρόμενον. "***

Ἐπείπερ ἑώρα τούς αἱρετικούς ὁ ἅγιος ἕνα μόνον ἔχοντας ἀγῶνα, τήν ὑπερούσιον ἑαυτοῖς ἀνοήτως συγκαταβάλλειν φύσιν, καί τεχνικαίς μεθόδοις περιλήψει τῆς κατ᾽ αὐτούς γνώσεως κρατεῖν ἐπιχειροῦντας, ὡς ᾤοντο, τήν ἀκράτητον δύναμιν, καί πάσῃ τῇ κτίσει κατά τό ἴσον ἀχώρητον, δι᾽ ὅλου τοῦ λόγου τάς στερήσεις τε καί τάς ἀποφάσεις προὐτίμησεν ἐπί Θεοῦ λέγειν, μηδεμίας παντελῶς ἀνασχόμενος θέσεως ἤ καταφάσεως, ἵνα μή ταύτης λαβόμενοι ὡς ἀναιδεῖς κύνες δήγματι τούς ἰοβόλους ὀδόντας μανικῶς τῷ λόγῳ τῆς ἀληθείας ἐμβάλλωσιν, ἀφορμήν τοῦ ὁπωσοῦν προτείνειν καί παραλογίζεσθαι, καί τό οἰκεῖον εἰς πέρας ἀγαγεῖν δυνηθῆναι σπούδασμα, τήν ὁποιανοῦν περί Θεοῦ δοθεῖσαν αὐτοῖς τοῦ λόγου θέσιν ποιούμενοι. Διά τοῦτο οὔτε σῶμα, οὔτε ἄϋλον σῶμα, οὔτε ἀσώματον παντελῶς, οὔτε ἐν τῷ παντί, οὔτε ἔν τινι τοῦ παντός, οὔτε ὑπέρ τό πᾶν, καί ἁπλῶς εἰπεῖν, οὐδέν τό παράπαν καί ἐν οὐδενί καθ᾽ οἱονδήποτε τρόπον, ὡς ἔστιν ἀληθές, τῶν ὁρομένων ἤ χωρουμένων ἤ λεγομένων ἤ νοουμένων ἤ γνωσθεῖναι καθ᾽ ὁτιοῦν δυναμένων, εἶναι τόν Θεόν ἀποφαίνεται, πάσης αὐτούς τῆς περί Θεοῦ καταληπτικῆς κατά τό τί ποτε εἶναι τήν οὐσίαν ἐννοίας ἀποῤῥαπίζων. Ἔπειτα δυσωπητικώτερον αὐτούς ἐνάγων πρός εὐσέβειαν, καί ἐκ τῆς περί τά δεύτερα καί μακράν ἀσυγκρίτως ἀπό Θεοῦ ἐρεύνης τό καθόλου περί Θεοῦ τολμηρῶς μηδέ ἐννοεῖν, μήτιγε λέγειν, εἶναί τινι θεμιτόν δεῖξαι βουλόμενος, ταῦτά φησι. Καί μήν καί πρός σύστασιν τῶν ἤδη πρός αὐτούς κατά στέρησίν τε καί ἀπόφασιν εἰρημένων, ὥστε αὐτούς συνειδότας ἐντεῦθεν, ὡς καί ἡ τῶν ἐσχάτων ἐν τοῖς ποιήμασιν ἀκριβής κατάληψις τῆς καθ᾽ ἡμᾶς λογικῆς ἐνεργείας ὑπερβαίνει τήν δύναμιν, τῆς περί τά πολλῷ μείζω θρασύτητος τόν ἀλόγιστον δυνηθῆναι φοράν ἐπισχεῖν, ἐν τοῖς μικροῖς τό ἀσθενές μαθόντας τῆς φύσεως.

(1225) Εἰ γάρ ἐξετάζουσιν ἡμῖν στοιχεῖόν τι, φέρε εἰπεῖν ἤ ἄνθρωπον ἤ ἵππον ἤ βοῦν, οὐκ ἀρκεῖ πρός τελείαν κατάληψιν τό

σῶμα λέγειν τό στοιχεῖον, ἤ γεννητόν μόνον ἤ φθαρτόν τόν ἄνθρωπον ἤ τόν βοῦν ἤ τόν ἵππον, ἀλλά δεῖ παραστῆσαι καί τό τούτοις ὑποκείμενον, ὅπερ γεννᾶται καί φθείρεται καί πεποίωται. Σῶμα δέ ἤ γέννησις ἤ φθορά, οὐδαμῶς ὑπάρχον, ἐπεί ἔσται κατά τοῦτο ἀνάγκης ἀκολουθία, εἴ τι σῶμα, καί στοιχεῖον εἶναι, καί εἴ τι γεννητόν ἤ φθαρτόν, ἤ ἄνθρωπος εἶναι ἤ βοῦς ἤ ἵππος. Οὐ γάρ εἴ τι σῶμα, πάντως ἐξ ἀνάγκης καί στοιχεῖον ἤ ἄνθρωπος ἤ βοῦς ἤ ἵππος. Εἴ τι μέν γάρ στοιχεῖον, πάντως ἐξ ἀνάγκης καί σῶμα, οὐκ εἴ τι δέ σῶμα, πάντως ἐξ ἀνάγκης καί στοιχεῖον. Οὔτε εἴ τι σῶμα ἤ γεννητόν ἤ φθαρτόν, πάντως ἐξ ἀνάγκης καί ἄνθρωπος, ἐπεί οὕτω γε καί ἄνθρωπος ἔσται πάντως ἐξ ἀνάγκης πᾶν εἴ τι σῶμα, καί πᾶν εἴ τι γεννώμενόν ἐστιν ἤ φθειρόμενον. Εἴ τι μέν γάρ ἄνθρωπος, πάντως ἐξ ἀνάγκης καί σῶμα καί γεννώμενον καί φθειρόμενον, οὐκ εἴ τι δέ σῶμα ἤ γεννητόν ἤ φθαρτόν, πάντως ἐξ ἀνάγκης καί ἄνθρωπος. Οὔτε γάρ ἕπεται πάντως, ἐπεί ἔσται ὁ ἄνθρωπος, ἐξ ἀνάγκης καί στοιχεῖον καί βοῦς καί ἵππος, καί πᾶν εἴ τι ἄλλο ἐνσώματον καί γεννώμενον καί φθειρόμενον. Οὐ γάρ κατηγορεῖταί ποτε τά μερικά κατά τῶν καθόλου, οὔτε τά εἴδη τῶν γενῶν, οὔτε τῶν περιεχόντων τά περιεχόμενα, καί διά τοῦτο οὐδέ ἀντιστρέφει τά καθόλου τοῖς ἐπί μέρους, οὐδέ τά γένη τοῖς εἴδεσιν, οὐδέ τά κοινά τοῖς ἰδιάζουσιν, οὐδέ συνελόντα φάναι, τοῖς περιεχομένοις τά περιέχοντα. Οὕτως οὖν κατά τόν ἀποδοθέντα λόγον καί ἐπί βοός καί ἵππου καί παντός τοῦ ὁτιοῦν ἑτέρου ληπτέον. Εἰ τοίνυν οὐκ ἀρκεῖ πρός τελείαν γνῶσιν τῶν πραγμάτων τό πλῆθος τῶν περί αὐτά θεωρουμένων εἰπεῖν, λέγω δή τό σῶμα καί τό γεννᾶσθαι καί τό φθείρεσθαι, καί ὅσα τοιαῦτα περί τό ὑποκείμενόν ἐστιν, ἀλλά δεῖ πάντως καί τό ὑποκείμενον τούτοις, θεμελίου τρόπον ἐφ᾽ ᾧ ταῦτα βέβηκε, τί ἐστιν ἐνδείξασθαι, εἰ μέλλοιμεν τελείως καί ἀπαραλείπτως τό νοούμενον παριστάναι. Ἤ γάρ ἄνθρωπον ἔχομεν εἰπεῖν ἤ βοῦν ἤ ἵππον, ταῦτα δή τά μή ὄντα αὐτό τοῦτο σῶμα, ἀλλ᾽ ἐνσώματα, καί μή ὄντα αὐτό τοῦτο γεννήσεις καί φθοράς, ἀλλά γεννώμενα καί φθειρόμενα, ὡς εἶναι ταῦτα, σῶμά φημι καί γέννησιν καί φθοράν, δηλαδή περί τά ζῶα, ἀλλ᾽ οὐ τά ζῶα ταῦτα ὑπάρχειν, σῶμα λέγω καί γέννησιν καί φθοράν.

Εἰ τοίνυν οὐδέν τό σύνολον τῶν ὄντων ἐστί κατ᾽ αὐτό τό εἶναι ὅπερ ἐστί καί λέγεται τό ἄθροισμα τῶν ἡμῖν περί αὐτό νοουμένων τε καί λεγομένων, ἀλλ᾽ ἕτερόν τι παρά ταῦτα, τό περί ὅ ταῦτά ἐστι, συνεκτικόν μέν τούτων, αὐτό δέ τούτοις οὐδαμῶς συνεχόμενον (οὐδέ

γάρ ἐστιν ἐκ τούτων, ἤ ταῦτα, ἤ τι τούτων, ἤ ἔκ τινων, ἤ τινος αὐτῶν, ἤ ἐν τούτοις, ἤ τισιν, ἤ τινι τούτων, τό περί ὅ ταῦτα καί ἔστι καί λέγεται), παυσάσθω πάσα ψυχή παντί λόγῳ τῶν περί Θεοῦ θρασέως ἐπιπηδᾷν εἰθισμένη τοῦ διακενῆς ἀσεβεῖν, καί ἐν τοῖς μικροῖς μαθοῦσα τήν οἰκείαν (1228) ἀσθένειαν, καί σιγῇ σεβέσθω μόνον τήν ἄῤῥητόν τε καί ὑπέρ νόησιν καί πάσης ἐπέκεινα γνώσεως τῆς θείας οὐσίας ὀντότητα. "Οὐδέ αὐτή γάρ κατά μικρόν, ὡς προλαβών ἐδίδαξεν ὁ ἅγιος, ἡ τῆς κτίσεως ἀκριβής κατανόησις" κατά τόν ἀληθῆ λόγον ὑπό τῆς ἡμῶν περιέχεται γνώσεως, ἵνα κἀγώ μικρόν τι προσδιατρίψω τῷ λόγῳ, καί τῆς ὑπέρ πάντα σοφίας θαυμάσω τό ἀνεξιχνίαστον. Τίς γάρ τῶν ἄγαν σοφῶν ταῖς λογικαῖς πιστεύων ἐφόδοις καί ταῖς οὐκ οὔσαις θαῤῥῶν ἀποδείξεσι μετά λόγου τήν τῶν ὄντων ἐπελθών μεγαλειότητα δυνήσεται γνῶναι, εἰπεῖν τε καί παραστῆσαι; Τίνες οἱ ἑκάστῳ τῶν ὄντων τῇ ὑπάρξει πρώτως ἐγκαταβληθέντες λόγοι, καθ᾽ οὕς καί ἔστι καί πέφυκε τῶν ὄντων ἕκαστον, καί εἰδοπεποίηται, καί ἐσχημάτισται, καί συντέθειται, καί δύναται, καί ἐνεργεῖ, καί πάσχει, ἵνα μή λέγω τήν ἐν τῷ ποσῷ τε καί τῷ ποιῷ, καί τῇ σχέσει, καί τῷ τόπῳ, καί τῷ χρόνῳ, καί τῇ θέσει, τῇ τε κινήσει καί ἕξει, διαφοράν καί ἰδιότητα, πρός ἅ καί ἡ καθ᾽ ἡμᾶς μεγαλοφυῶς λογική πέφυκεν ἰσαρίθμως πλατύνεσθαι δύναμις εἰς νοῦν, καί νόησιν, καί ἔννοιαν, καί διάνοιαν, καί σύννοιαν, καί τόν ἐνδιάθετον λόγον, τόν τε κατά προφοράν καί τόν γεγωνότα, τουτέστι φωνήν καί κραυγήν, καί αὖθις συνάγεσθαι, χωρίς τῆς κατ' ἐπιστήμην καί τέχνην, ὥσπερ ἐν ποσῷ τε καί ποιῷ καί τοῖς λοιποῖς, καθώς ἀπηρίθμηται, τούτου διαφορᾶς τε καί ἰδιότητος ; Τίς ὁ γινώσκων τούς λόγους τῶν ὄντων καθώς καί εἰσίν, ὡς εἶπον, καί διαφέρουσι, καί στάσιν ἔχουσιν ἀκίνητον τήν κατά φύσιν καί πρός ἄλληλα μηδαμῶς μεταπίπτουσαν κίνησιν, ἐν τῇ κινήσει τήν στάσιν, καί ἐν τῇ στάσει τό παραδοξότατον τήν κίνησιν ἔχοντα ; τίς πρός ἄλληλα τῶν ἐναντίων εἰς ἑνός κόσμου σύστασιν ὁ δεσμός, καί τῆς εὐτάκτου τε καί ἀφύρτου κινήσεώς τε καί διοικήσεως ὁ τρόπος; τίς πάλιν τῶν καθ᾽ ἡμᾶς σωμάτων ἡ τῶν ἐναντίων κατά τήν κρᾶσιν διά συνθέσεως συμπλοκή, τά διεστῶτα κατά τήν φύσιν εἰς φιλικήν συνοικίαν ἐνάγουσα καί τῇ μεσότητι τό ἐν τοῖς ἄκροις αὐστηρόν τιθασσεύουσα, καί χωρεῖν δι᾽ ἀλλήλων ἀλυμάντως παρασκευάζουσα καί ταύτην ποιουμένη τῶν συνθέτων συντήρησιν, τήν τῶν ἄκρων κατά τήν κρᾶσιν εἰς ἄλληλα περιχώρησιν, καί πῶς ἕκαστον τούτων ἐστί, καί τί ἐστι, καί ποῦ φέρον ἤ φερόμενον καί ἐπί τίνι γεγένηται ἤ

φέρει ἤ φέρεται, οὐ μόνον, ὡς εἴρηται, οἷς προηγουμένως ὑπάρχουσι ταῦτα λόγοις, ἀλλά καί οἷς πρός ἑαυτά τε καί πρός ἄλληλα μυρίοις κατ᾽ ἐπίνοιάν τε καί ἐνέργειαν διαιροῦνταί τε καί ἑνοῦνται τρόποις; καί αὖθις τίς ὁ λόγος τῆς τοῦ καθ᾽ ἕκαστον οὐσίας, φύσεως, εἴδους, σχήματος, συνθέσεως, δυνάμεως, ἐνεργείας, πάθους; τίς δέ πάλιν ὁ καθόλου τοῖς ἄκροις κατά τό ἑκάστου πέρας διά τοῦ μέσου τήν πρός ἄλληλα συνάφειαν ἐνεργῶν λόγος, ἵνα τόν τε νοῦν καί τό νοούμενον διά τῆς μέσης νοήσεως, σχέσεως οὔσης ἑνωτικῆς τῶν διῃρημένων περί τό ἐξ ἀμφοῖν νόημα, συναφθῇ καί περιληφθῇ ἀλλήλοις ἑκάτερα, καί μηδέν τό παράπαν (1229) κατά τοῦτο δειχθῇ τῶν μετά Θεόν περιγραφῆς ὑπάρχον ἐλεύθερον; ὥσπερ καί τά αἰσθητά πάντα καί τά αἰσθανόμενα, ἤγουν αἰσθητικά, διά τῆς μέσης αἰσθήσεως, σχέσεως οὔσης κοινῆς τῶν διῃρημένων ἄκρων, τῶν μέν ὡς δι᾽ αὐτῆς ἀντιλαμβανομένων τῶν αἰσθητῶν, τῶν δέ δι᾽ αὐτῆς ὑποπιπτόντων τοῖς αἰσθανομένοις, περί τό αἰσθητήριον, ἐν ᾧ τό πέρας τῆς ἑκάστου κατά τήν σχέσιν δυνάμεως ὑπάρχον καθέστηκε, καί περί ὅ ἀλλήλοις τά ἄκρα διά τῆς μέσης σχέσεως ἑνοῦσθαι πέφυκε.

Τούτων, ἤ τινος τούτων ἐρευνᾷν ἐπιχειροῦντες τούς λόγους, ἄτονοι παντελῶς καί ἄφωνοι περί τόν λόγον μένομεν, οὐκ ἔχοντες ᾧ τινι τόν νοῦν ἀκριβῶς ἐπερεισόμεθα, πλήν τῆς θείας δυνάμεως. Καί τοῦτό ἐστι τό εἰρημένον, ὡς οἶμαι, τῷ ἁγίῳ, γυμνάζοντι τόν ἡμέτερον νοῦν πρός εὐσέβειαν, " Κατά μικρόν γοῦν, οὐδέ ἡ τῆς κτίσεως ἀκριβής κατανόησις." Τό δέ, " Ἀλλά πολύ πρό τούτων ἡ ὑπέρ ταῦτα καί ἐξ ἧς ταῦτα φύσις, ἄληπτός τε καί ἀπερίληπτος," κατά κοινοῦ θετέον τῆς κτίσεως καί τῆς ὑπέρ ταῦτα καί ἀφ᾽ ἧστινος ταῦτα, δηλαδή τά κτίσματα, φύσεως τό " Ἄληπτός τε καί ἀπερίληπτος." Τό δέ, "Οὐχ ὅτι ἔστιν, ἀλλ᾽ ἥτις" ἐστίν, ἐνεχθέν προκατάληψίς ἐστιν ἀνθυποφορᾶς. Ἵνα γάρ μή καταδράμῃ αὐτοῦ πρός ὅν ὁ λόγος, φάσκων, Οὐκοῦν εἰ ἄληπτον πάντη τό σέβας ἡμῶν, κενόν ἄρα τό Χτιστιανῶν κήρυγμα, κενή δέ καί ἡ πίστις, κατ᾽ οὐδενός στηριζομένη, ταῦτά φησι προλαμβάνων τόν ἐπηρεαστήν λόγον ἤ ἄνθρωπον. Οὐκ ἔφην ἄληπτον εἶναι ταύτην τήν φύσιν, περί ἧς ὁ λόγος, ὅτιπερ ὑπάρχει, ἀλλά τί ὑπάρχει, καί προσεπάγει πρός τήν τοῦ λόγου βεβαίωσιν τό, "Πολύ γάρ διαφέρει τοῦ εἶναί τι πεπεῖσθαι τό τί ποτέ ἐστι τοῦτο εἰδέναι," τουτέστι, πολλή πρόσεστιν ἡ διαφορά τοῦ πεπεῖσθαι περί τινος ὅτιπερ ὑπάρχει πρός τό εἰδέναι τήν ἀκριβῆ τῆς οὐσίας τούτου κατάληψιν. Μή οὖν, φησίν, εὐγνωμόνως ἡμῶν εἰπόντων ἄληπτον

εἶναι τήν θείαν οὐσίαν, κακούργως τόν λόγον μεταβιβάσης, εἰς τό δῆθεν εἰσάγειν ἡμᾶς ἄληπτον αὐτήν, εἰς αὐτήν τήν ὕπαρξιν, κἀκ τούτου συνάξῃς ἀθεΐαν ἡμᾶς πάντη πρεσβεύειν. Καί μετά τινά φησιν, Τί γάρ ὑπολήψῃ τό Θεῖον, εἴπερ ὅλως ταῖς λογικαῖς πιστεύσεις ἐφόδοις (τουτέστιν, εἰ οἴει τῷ λόγῳ περιτρέχων ἐναποκλείειν γνώσει τινί δύνασθαι τό ζητούμενον); " Πότερον σῶμα (τουτέστιν, Ἆρα σῶμα); Καί πῶς τό ἄπειρον καί ἀόριστον καί ἀσχημάτιστον καί ἀναφές καί ἀόρατον;" ἵνα σαφηνιζόμενον νοηθῇ, οὕτως τῶν κοινῶν ἐννοιῶν κεκτρατηκυιῶν, ἄπειρον εἶναι τό Θεῖον, ὅπερ ἐστί πέρας μή ἔχειν. Τοῦτο γάρ τοῦ τέτρασι διειλημμένου πέρασιν ἴδιον, κέντρῳ καί γραμμῇ, ἐπιφανείᾳ καί στερῷ, (1229) προσέτι δέ καί διαστήμασι τρισί, μήκει καί πλάτει καί βάθει, καί αὐτοῖς ἕξ διειλημμένοις πέρασιν, ἑκάστου δηλονότι δυσί περιγραφομένου, οἷον τό μέν μῆκος τῷ ἄνῳ τε καί τῷ κάτῳ, τό δέ πλάτος τῷ δεξιῷ καί τῷ ἀριστερῷ, τό δέ βάθος τῷ ἐμπρός πέρατι καί τῷ ὀπίσῳ. Καί πάλιν, τῶν αὐτῶν κοινῶν ἐννοιῶν ἀόριστον τόν Θεόν εἰσαγουσῶν, τουτέστι μή ἐπιδεχόμενον διεξοδεύουσαν ἀνάπτυξιν, ἐκ τίνων συνέστηκε τό ὑποκείμενον, μήτε μήν τήν ἐν τόπῳ θέσιν, ἤ τήν ἐν χρόνῳ ἀρχήν ἤ τέλος, προσέτι καί ἀσχημάτιστον, οἷον ὅτι οὐ σφαιροειδές ἤ τετράγωνον ἤ ὄρθιον ἤ κάτω νενευκός, ναί μήν καί ἀναφές καί ἀόρατον, ὡς αἰσθήσει μή ὑποπίπτον (ταῦτα γάρ σωμάτων ἴδια), παράλογον ἐκ τῶν ἀνασκευασθέντων ὑπειληφέναι τό θεῖον εἶναι σῶμα καί ἀνάγκην ἔχειν εἰς τοσαῦτα μερίζεσθαι εἰς ὅσα πάλιν ὡς σῶμα συνάγεται. Ἀμερές γάρ πάντη τό Θεῖόν ἐστιν, ὅτι καί παντελῶς ἄποσον, ἄποσον δέ παντελῶς, ὅτι καί πάντη ἁπλοῦν, ἁπλοῦν δέ πάντη, ὅτι καί ἀδιάστατον πάντη, ἀδιάστατον δέ πάντη ὅτι καί πάντη ἄπειρον, ἄπειρον δέ πάντη, ὅτι καί πάντη ἀκίνητον (οὐ κινεῖται γάρ πάντη πώποτε τό μή ἔχον τοῦ κινηθῆναι), ἀκίνητον δέ πάντη, ὅτι καί παντελῶς ἄναρχον (οὐ γάρ ἔχει τι πρό αὐτοῦ καί μεῖζον, οὔτε τι σύν αὐτῷ καί ἴσον, οὔτε τι μετ᾽ αὐτό, καί παραμετρεῖσθαι καί χωρεῖν αὐτό δυνάμενον), ἄναρχον δέ πάντη, ὅτι καί ἀγέννητον πάντη, ἀγέννητον δέ πάντη, ὅτι καί παντελῶς ἕν καί μονώτατον, ἕν δέ πάντη καί μονώτατον, ὅτι καί παντελῶς ἄσχετον, καί διά τοῦτο παντάπασιν ἄῤῥητόν τε καί ἄγνωστον, καί πάσης τῆς τῶν ἐπ᾽ αὐτό καλῶς τε καί ἄγνωστον, καί πάσης τῆς τῶν ἐπ᾽ αὐτό καλῶς τε καί θεοπρεπῶς κινουμένων γνώσεως πέρας μονώτατον, μονωτάτην γνῶσιν ἔχον ἀληθῆ τό μή γινώσκεσθαι.

***Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό, " Εἰ γάρ τό μή ὄν οὐδαμοῦ, τό μηδαμοῦ τυχόν οὐδέ ὄν, εἰ δέ ἔστι που, πάντως, ἐπείπερ ἔστιν, ἤ ἐν τῷ παντί, ἤ ὑπέρ τό πᾶν."***

Δι᾽ ἥν αἰτίαν, ἴσως ὁ ἀκούων ἐρεῖ, Τήν ἀντιστροφήν ἀμφίβολον ὁ διδάσκαλος ἔθετο, προσθείς τό "τυχόν" ἐπίῤῥημα, πᾶσι δήλου ὄντος, κατά τάς λογικάς ὑποθέσεις, τοῦ, τό μηδαμοῦ ὄν μηδέν εἶναι, δικαίως παντάπασιν ὁμολογεῖσθαι. Πρός ὅν κατά τό τῆς πτωχῆς ἡμῶν διανοίας ἐπιδεές ἐροῦμεν, ὅτι Εὐνόμιον καί τούς ἀμφ᾽ αὐτόν, λέγοντες εἰδέναι τόν Θεόν ὡς αὐτός ἑαυτόν, τῆς πολλῆς ἐπισχεῖν μανίας βουλόμενος εἰς ἄτοπον δόξαν διά τῶν τοιούτων ἀπήγαγε λόγων. Ἤ γάρ λέγοντας εἰδέναι τόν Θεόν ὡς αὐτός ἑαυτόν, καί τό ποῦ χρή τόν γινωσκόμενον εἶναι προσεπάγειν αὐτούς πάντως ἀνάγκη, πρός τελείαν τοῦ γινωσκομένου κατάληψιν, καί οὐδέν οὐδενός τῶν ὄντων τό παράπαν οὕτω γε διενήνοχε (1233) κατ᾽ αὐτούς ὁ Θεός, τόπῳ καί αὐτός περιγραφόμενος, οὗ τί γένοιτ᾽ ἄν ἀτοπώτερον; ἤ μή λέγοντας ποῦ, ἤ μηδέ εἶναι τό σύνολον λέγειν, κατά τήν αὐτοῦ τοῦ λόγου ὑπόθεσιν, οὗ τί γένοιτ᾽ ἄν ἀθεώτερον; (πῶς γάρ καί τί ἄν εἴη τό μή πάντως ποῦ τό εἶναι ἔχον;) ἤ πάντως εἶναι ἐξ ἀνάγκης αὐτούς ἡ ἀκολουθία τοῦ λόγου λέγειν βιάζεται καί μηδαμοῦ εἶναι, καί διά τοῦτο εἶναι μέν καί ὑπάρχειν τό Θεῖον, τί δέ εἶναι καί ὑπάρχειν μή εἰδέναι. Εἰ γάρ τό ποῦ τό Θεῖον εἶναι κατ᾽ αὐτούς ἄγνωστον, πολλῷ μᾶλλον αὐτό τό Θεῖον, ὅ τί ποτε κατ᾽ οὐσίαν ἐστίν, ἀγνωστότερον ἔσται. Διό μηδέ που εἶναι τό μή γινωσκόμενον εὐσεβοῦντας αὐτούς ἀνάγκη πάντως ὁμολογεῖν. Διά ταύτην, ὡς οἶμαι, τήν αἰτίαν συμπεριφερόμενος μέν τοῖς περί Εὐνόμιον ἀμφέβαλε τήν ἀντιστροφήν ὁ διδάσκαλος, τό "τυχόν" ἐπίῤῥημα θέμενος, καί ἡμῖν καταλαμπάνων νοεῖν ὅτιπερ οὐ πάντως τό μηδαμοῦ τό μηδαμῇ μηδαμῶς ὄν εἰσάγει. Θεόν γάρ ἡμεῖς εἶναί φαμεν, καί μηδαμοῦ τυγχάνειν, τῷ μή ὡς ἐν τόπῳ οὐσιωδῶς κατά τήν ὕπαρξιν περιγράφεσθαι, καί πάντως εἶναι, τῷ δεῖσθαι παντελῶς τοῦ παντός τῶν ὄντων πρός τό εἶναι, ὧν χωρίς καί ἦν καί ἔστι, καί ἀεί εἶναι δυνήσεται, μᾶλλον δέ ἔστιν ἀεί. Οὐ γάρ θέσειν ἔχει τά ὄντα ὁ καί πρίν εἶναι τά ὄντα ὑπάρχων. Εἰ γάρ παρ᾽ ἡμῖν οὐκ ἐν τοῖς τεχνητοῖς πάντως τό εἶναι κατά τήν ὕπαρξιν ὑποστατικῶς ἔχουσιν οἱ τεχνῖται περιγεγραμμένον τό φθειρόμενον τοῦτο πρᾶγμα, καί ἀληθέστερον κυρίως εἰπεῖν μηδέποτε ὄν, τί ἄν τις φαίη περί τῆς ἀῤῥήτου καί ἀγνώστου καί ἀχωρήτου πᾶσιν ὁμοίως καί ἀεί ὡσαύτως ἐχούσης δυνάμεως;

***Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό, "Εἴτε φαντασία τις ἦν ἡμερινή, εἴτε νυκτός ἀψευδής ὄψις, εἴτε τοῦ ἡγεμονικοῦ τύπωσις, συγγινομένου τοῖς μέλλουσιν ὡς παροῦσιν."***

Ἄκρως καθαρθείς τῶν οἷς μολύνεσθαι πέφυκε τῶν ἀνθρώπων ἡ φύσις ὁ μακάριος οὗτος Πατήρ διά τῆς πρακτικῆς φιλοσοφίας, καί τόν νοῦν δι᾽ ὅλου ποιωθείς τῷ ἁγίῳ Πνεύματι ταῖς ἐπιβολαῖς τῶν θείων θεωρημάτων, διά τῆς ἀληθοῦς κατά τήν γνῶσιν μυσταγωγίας, οἷα δή τά ἴσα τοῖς ἁγίοις προφήταις παθών, τά εἴδη τῆς προφητείας ἐν τούτοις ἡμῖν ἀπηρίθμησεν. Οἷς εἴπερ τό δεῖν ὅλως τολμᾷν οὕτω μεγαλοφυῶς τε καί ἐνθεαστικῶς εἰρημένοις, καί πάντων τῶν μή τοιούτων οἷος αὐτός ἦν ὁ διδάσκαλος τήν δύναμιν ὑπερβαίνουσιν, ἐπιβάλλειν οἰόμεθα χρήσιμον, στοχαστικῶς, ἀλλ᾽ οὐκ ἀποφαντικῶς τοῦτο ποιητέον. Οἶμαι τοίνυν στοχαστικῶς εἰπεῖν κατά τήν ἐμήν ἀμβλυωπίαν, "φαντασίαν ἡμερινήν" αὐτόν εἰρηκέναι τήν τῶν ἀπροσώπως τοῖς ἁγίοις ὡς δι᾽ αἰσθήσεως ἀκουομένων πνευματικῶς καί φαινομένων λόγων καί πραγμάτων ὄψιν τε καί ἐνήχησιν. Οὐ γάρ δή λέγειν θέμις ἐπί τῶν θείων τό θαυμαστόν πάντως δεῖν παρεῖναι πρός διατύπωσιν (1236) τῆς φαντασίας, ἀλλά παραδόξως τε καί ὑπερφυῶς καί μή παρόντος προσώπου καί φωνῶν αἰσθητῶν μή κτυπουμένων δι᾽ ἀέρος τήν φαντασίαν ἐνεργεῖν, ὥστε ἀληθῶς ἀκούειν καί ὁρᾷν τόν τά θεῖα μυσταγωγούμενον. Ἐπειδή γάρ πᾶσα φαντασία ἤ τῶν παρόντων, ἤ τῶν παρελθόντων· τῶν δέ μήπω γενομένων παντάπασίν ἐστιν οὐδαμῶς. Σχέσις γάρ ἐστι τοῖς ἄκροις δι᾽ ἑαυτῆς μεσιτεύουσα. Ἄκρα δέ φημι τό τε φανταστικόν, καί τό φανταστόν, ἐξ ὧν διά μέσης τῆς φαντασίας, σχέσεως οὔσης τῶν ἄκρων, τό φάντασμα γίνεται, πέρας ὑπάρχον ἐνεργείας καί πάθους, ἐνεργείας μέν τοῦ φανταστικοῦ, πάθους δέ τοῦ φανταστοῦ, τῶν διά μέσης τῆς φαντασίας, σχέσεως αὐτῶν ὑπαρχούσης περί αὐτό, ἀλλήλοις συναπτομένων ἄκρων. Πάντα γάρ τά κατά τί τινων ἀντιλαμβανόμενα ἐνεργεῖν λέγεται, πάντα δέ κατά τι ἄλλοις ὑποπίπτοντα πάσχειν. Τά οὖν καταλαμβάνοντα φυσικῶς ἐνεργοῦσι, τά δέ καταλαμβανόμενα φυσικῶς πάσχουσι, πέρας ἔχοντα πάθους καί ἐνεργείας τήν πρός ἄλληλα κατά τό μέσον συνάφειαν. Διά τοῦτο δεῖν ἐπί τῶν θείων τό φανταστόν οἴεσθαι μή παρεῖναι νομίζω πρόσφορον, ἐπεί οὐκ ἔτι μέλλει παρεῖναι τό καθ᾽ ὑπόστασιν ἰδίαν πραγματειωδῶς ἤδη παρόν, καί ἅμα μηδέ θεῖον εἶναι πιστεύεται, τῆς

κατά φύσιν ἀκολουθίας πλέον ἔχον οὐδέν. Εἰ γάρ ἡμεῖς καθ᾽ ὕπνον νύκτωρ φανταζόμενοι καί ὁρῶμεν καί ἀκούομεν, πολλάκις μηδενός ὄντος τοῦ λαλοῦντος ἤ ὁρωμένου, πολλῷ μᾶλλον γρηγοροῦντες ἀληθῶς οἱ ἅγιοι πείσονται τοῦτο, τοῦ Θεοῦ ἐνεργοῦντος αὐτοῖς γρηγοροῦσι κατά παράδοξον χάρις, ὅπερ ἡμεῖς πάσχειν νόμῳ φύσεως κατά τόν ὕπνον εἰώθαμεν. "Ἀψευδῆ δέ νυκτός ὄψιν" αὐτόν ὑπολαμβάνω λέγειν ἤ τήν ἐν τοῖς ὕπνοις κατά ψυχήν ἀκριβῆ γινομένην τῶν μελλόντων πραγμάτων κατάληψιν, ὡς ἐπ᾽ Ἰωσήφ καί Δανιήλ, ἤ ὀπτασίαν τινά θείων πραγμάτων διά τήν ἐκ πολλῆς καθαρότητος ἄκραν ἀπάθειαν καί σαρκός ὀφθαλμοῖς ἁγίων ὑποπτίσουσαν. "Τήν δέ τοῦ ἡγεμονικοῦ τύπωσιν: οἶμαι κατ᾽ ἔμφασιν αὐτόν λέγειν τούς μονοτρόπως, ὡς ἐν εἰκόνι, κατά τήν ἁπλῆν καί ἀδιάστατον τοῦ νοεροῦ προσβολήν τοῖς ἁγίοις προσφαινομένους τῶν μελλόντων τύπους. Κἀγώ μέν ταῦτα στοχαστικῶς περί τούτων θαῤῥήσας εἶπον, τῆς κατ᾽ αὐτά πείρας τήν χάριν οὐκ εἰληφώς, διά τήν τοῦ ἐπιτάξαντος κέλευσιν. Εἰ δέ τις τῶν εἰληφότων τήν χάριν τούτοις ἐντύχοι, μή με τῆς προπετείας μέμψαιτο, ἀλλά μᾶλλον τῆς εὐπειθείας ἀποδείξατο, κἄν οὐδεμίαν ἐμφαντικήν δύναμιν τοῦ σκοποῦ τῶν προτεθέντων ὁ παρών ἔχῃ λόγος.

***Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό, " Παύλῳ δέ εἰ μέν ἐκφορά ἦν ἅ παρέσχεν ὁ τρίτος οὐρανός, καί ἡ μέχρις ἐκείνου πρόοδος, ἤ ἀνάβασις, ἤ ἀνάληψις."***

Φασίν οἱ τοῖς θείοις σοφῶς ἐμμελετήσαντες λόγοις (1237) τῶν ὀνομάτων κατά περίληψιν τά μέν οὐσίας εἶναι, τά δέ σχέσεως, τά δέ χάριτος ἤ ἀπωλείας. Οἷον οὐσίας μέν, ὡς ὅταν λέγωσιν " ἄνθρωπος·" σχέσεως δέ, ὡς ὅταν λέγωσιν "ἀγαθός, " ἤ ἅγιος, " ἤ σοφός ἄνθρωπος," ἤ τό ἐναντίον " πονηρός ἄνθρωπος," ἤ "ἄφρων, " ἤ " ἀκάθαρτος· " (τό γάρ πρός τί πως ἔχειν τῶν ἐκ διαμέτρου τοῖς ἐναντίοις διειλημμένων ἕκαστον ἡ σχέσις παριστῶσα δικαίως ἐξ ὧν ἔχει τήν προαιρετικήν ἕξιν ἐνδιάθετον προσαγορεύει) χάριτος δέ, ὅταν Θεός ὁ ἄνθρωπος τοῖς λόγοις ὀνομάζηται, ὁ διά πάντων ὑπήκοος Θεῷ γενόμενος ἄνθρωπος, κατά τό, Ἐγώ εἶπα, Θεοί ἐστε, οὔτε κατά φύσιν οὔτε κατά σχέσιν ἔχων τό εἶναι καλεῖσθαι Θεός, ἀλλά κατά θέσιν καί χάριν γενόμενός τε καί ὀνομαζόμενος· ἡ γάρ χάρις τῆς θέσεως ἄσχετός ἐστι παντάπασιν, οὐκ ἔχουσα τήν οἱανοῦν δεκτικήν ἑαυτῆς ἐν τῇ φύσει δύναμιν, ἐπεί οὐκ ἔτι χάρις ἐστίν, ἀλλά τῆς κατά τήν φυσικήν δύναμιν ἐνεργείας φανέρωσις. Καί οὕτω γε πάλιν οὐκ ἔσται παράδοξον τό γινόμενον, εἰ

κατά δεκτικήν φύσεως δύναμιν ἡ θέωσις ἦν. Φύσεως γάρ ἄν εἰκότως ἔργον, ἀλλ᾽ οὐ Θεοῦ δῶρον ἡ θέωσις ἔσται, καί δυνήσεται καί φύσει Θεός ὁ τοιοῦτος εἶναι καί κυρίως προσαγορεύεσθαι. Οὐδέν γάρ ἄλλο καθέστηκεν ἡ κατά φύσιν τῶν ὄντων ἑκάστου δύναμις ἤ φύσεως πρός ἐνέργειαν ἀπαράβατος κίνησις. Πῶς δέ καί ἐξίστησιν ἑαυτοῦ τόν θεούμενον ἡ θέωσις, εἰ τοῖς ὅροις τῆς φύσεως αὐτή περιείληπτο, συνιδεῖν οὐκ ἔχω. Ὡσαύτως δέ καί ἐκ τοῦ ἐναντίου ἀπώλειαν καί ᾅδην, καί υἱούς ἀπωλείας, καί τά τοιαῦτα προσαγορεύουσι τούς τό μή ὄν κατά διάθεσιν ἑαυτοῖς ὑποστήσαντας, καί τοῖς τρόποις αὐτῷ διά πάντων γενομένους παρεμφερεῖς. Οἶμαι τοίνυν τόν ἅγιον τοῦτον καί μέγα διδάσκαλον ἐπί νοῦν τά προειρημένα λαβόντα τήν ἐν τούτοις ἁρπαγήν τοῦ ἁγίου Ἀποστόλου διασκευάσαι, προσφυῶς ἑκάστῳ τήν ἁρμόζουσαν φωνήν ἀπονείμαντα. Διό " πρόοδον" μέν αὐτόν ὑπονοῶ λέγειν τήν ἔξω τῆς φυσικῆς ἀνάγκης τόν ἅγιον Ἀπόστολον καταστήσασαν τῆς ἀρετῆς κατά τήν ἕξιν ἀπάθειαν, καθ᾽ ἥν οὐδεμίαν εἵλετο πρός τήν φύσιν ἔχειν προαιρέσεως σχέσιν, ὡς καί αὐτῆς τῆς κατ᾽ αἴσθησιν φυσικῆς ἐνεργείας ἔξω γενόμενον μᾶλλον δέ καί ταύτην πρός πνευματικήν ἕξιν μεταβαλόντα· "ἀνάβασιν" δέ τήν τε τῶν αἰσθητῶν πάντων ἀπόλειψιν, οὐκ ἔτι ἐνεργούντων ἤ ἐνεργουμένων παρ᾽ αὐτῷ κατά τήν αἴσθησιν, καί τῆς περί αὐτά κατά φύσιν ἐν πνεύματι γνωστικῆς θεωρίας ὑπέρβασιν· "ἀνάληψις" δέ τήν ἐν τῷ Θεῷ γενομένην αὐτῷ μετά ταῦτα μονήν τε καί ἵδρυσιν, ἥν προσφόρως "ἀνάληψιν" ὁ διδάσκαλος εἶπεν, ὡς παθόντα μᾶλλον ἤ δράσαντα τόν Ἀπόστολον τήν ἀνάληψιν ἐνδεικνύμενος. Ἡ ἀνάληψις γάρ πάθος ἐστί τοῦ ἀναλαμβανομένου, ἐνέργεια δέ τοῦ ἀναλαμβάνοντος. Ὧν τοιγαροῦν φυσικῶν τε καί σχετικῶν ὀνομάτων ὑπῆρχε Κύριος ὁ Ἀπόστολος, κατά τε φύσιν καί σχέσιν ὑπερέβη τήν κλῆσιν, ὑπέρ φύσιν καί ἀρετήν καί γνῶσιν ἀνθρωπίνην γενόμενος.

(1240) Οὗ δέ μᾶλλον ἀπείρως ἀπέδει θείου ὀνόματος, τούτου κατά χάριν μετέσχε τῆς κλήσεως, Θεός ἀντί παντός ἄλλου προσόντος ὀνόματος φυσικοῦ τε καί σχετικοῦ τῇ ἀναλήψει καί γενόμενος καί καλούμενος. Ἤ καί πάλιν οὕτω· "Πρόοδος" μέν ἐστιν ἡ παντελής κατ᾽ ἀρετήν τῆς φύσεως ἄρνησις, "ἀνάβασις" δέ ἡ τῶν ἐν οἷς ἐστιν ἡ φύσις ὑπέρβασις, λέγω δέ τόπον καί χρόνον, ἐν οἷς ἡ τῶν ὄντων ἐστίν ὑπόστασις, "ἀνάληψις" δέ ἡ πρός τόν ἐξ οὗ τά πάντα καί δι᾽ οὗ καί εἰς ὅν, ὡς πρός πέρας τῶν ὅλων κατά χάριν ἀποκατάστασις. Καί ἄλλως δέ φάναι, " πρόοδός" ἐστιν ἡ διά τῆς πρακτικῆς φιλοσοφίας ὡς

διδασκάλου τοῦ Ἀποστόλου τῶν αὐτοῦ μαθητῶν εἰς ἀρετήν προκαθήγησις· δεῖ γάρ ἐν παντί προπορεύεσθαι τῶν μαθητῶν τόν διδάσκαλον, πρός τήν τῶν καθηκόντων ἐνέργειαν· "ἀνάβασις" δέ ἡ διά τῆς φυσικῆς θεωρίας ἐπιστημονική τῶν ἐν τοῖς οὖσι λόγων περίληψις, "ἀνάληψις" δέ ἡ εὐσεβής τῆς ἀληθοῦς καί θεολογικῆς σοφίας ἄῤῥητος μύησις. Τρίτον δέ οὐρανόν κατά στοχασμόν εἶναι νομίζω τούς περιγράφοντα, ὅρους τῆς τε πρακτικῆς φιλοσοφίας καί τῆς φυσικῆς θεωρίας, καί τῆς θεολογικῆς μυσταγωγίας τούς ὑψηλοτάτους λόγους, ἤτοι τά τούτων πέρατα, ἐπειδή μέτρον ἐστί τι καταλήψεως ἀρετῆς καί φύσεως καί τῆς ἐπ' ἀμφοῖν θεολογίας, ἀναλόγως κατά φύσιν ἑκάστῳ τῶν ὄντων παρά Θεοῦ προσηρμοσμένον, ἐν οἷς ὅροις καί πέρασιν ὁ μακάριος Ἀπόστολος τούς τῶν εἰρημένων κατα τό ἐφικτόν παρελθών λόγους ἐγένετο. Εἰ γάρ περιγραφή τῶν ἐντός διειλημμένων κατά φύσιν ἐστίν ὁ οὐρανός, καί ὅρος πάντων τῶν ὑπό αἴσθησιν, δηλονότι κατά τόν τῆς ἀναγωγῆς λόγον καί πᾶσα περιγράφουσα τούς περί τινος ἀρετῆς ἤ γνώσεως λόγους λῆξις, ὡς ὅρος τῶν ὁριζομένων, καί πέρας τῶν περιγεγραμμένων, τροπικῶς οὐρανός ὀνομάζεται. Ἤ πάλιν "τρίτον οὐρανόν" εἶναι τυχόν φησιν ἡ Γραφή τάς ὑπέρ ἡμᾶς πρός τό ἄνω καθ᾽ εἱρμόν τρεῖς τῶν ἁγίων ἀγγέλων τάξεις, ἅσπερ ἔφθασεν ἴσως ὁ ἅγιος Παῦλος, ταῖς τῶν κατ᾽ αὐτόν γνώσεων ἀποφάσεσι τῶν κατ᾽ ἐκείνους τάς καταφάσεις μυούμενος, καί ταῖς καθ᾽ ὑπεροχήν τῶν οἰκείων στερήσεσι τάς ἐκείνων ἕξεις μιμούμενος. Πᾶσα γάρ φύσις τῶν λογικῶν κατά τήν ἑαυτῆς τάξιν καί δύναμιν τῆς ὑπέρ αὐτήν οὐσίας καί τάξεως τάς γνωστικάς ἕξεις τε καί θέσεις καταφάσεις στερητικῶς ταῖς κατ᾽ αὐτήν ἀφαιρετικαῖς ἀποφάσεσι μυεῖταί τε καί μιμεῖται, καί ἔστιν ἡ κατά τήν γνῶσιν τῶν ὑπερκειμένων κατάφασις τῶν ὑποβεβληκότων ἀπόφασις, καί ἔμπαλιν τῶν ὑποβεβληκυιῶν ἡ κατά τήν γνῶσιν ἀπόφασις τῶν ὑπερεχουσῶν κατάφασις, μέχρι τῆς πασῶν καθ᾽ ὑπεροχήν ἀνωτάτης φύσεώς τε καί τάξεως ἀποφατικῶς προοδεύουσα, ἥν μετά πάσας τάξεις τε καί δυνάμεις ἡ ἄμεσος περί Θεόν διαδέχεται κατά τήν γνῶσιν ἀπόφασις, ὑπ᾽ οὐδενός παντελῶς καταφασκομένη τῶν ὄντων, μή ὄντος λοιπόν ὅρου τινός ἤ πέρατος τοῦ ταύτην περιλαμβάνοντος τόν ἀπόφασιν. Ὥσπερ γάρ τῶν αἰσθητῶν κατά φύσιν ἀπόφασίς ἐστι τά νοητά, οὕτω καί ἐν ταῖς συμπληρούσαις τόν ἄνων κόσμον οὐσίαις τε καί δυνάμεσιν αἱ τῶν πρώτων κατά τήν περί Θεόν γνῶσιν ὑπεροχαί διά τήν ὕφεσιν ταῖς με᾽ αὐτάς ἀποφάσκονται.

(241) Ὡς γάρ ἅπερ ἡμεῖς νοεῖν οὐ δυνάμεθα, τοῖς ὑπέρ ἡμᾶς ἁγίοις ἀγγέλοις εἰσί νοητά, οὕτω καί τοῖς ὑπέρ αὐτούς ἁγίοις ἀγγέλοις τά μή νοούμενα τοῖς ὑπέρ αὐτούς ἁγίοις ἀγγέλοις εἰσί νοητά, καί οὕτω καθ᾽ ἑξῆς ἀπό δυνάμεως εἰς δύναμιν ἀναβαίνων ὁ λόγος καί ὑψούμενος, καί πάσας τάξεις τε καί δυνάμεις διαβαίνων, εἰς τό ἄῤῥητόν τε καί ἀνόητον λήγει καί παντελῶς ἄγνωστον. Εἰ τοίνυν κατά τόν Ἀρεοπαγίτην Διονύσιον αἱ μέν ἀποφάσεις ἐπί τῶν θείων ἀληθεῖς, αἱ δέ καταφάσεις ἀνάρμοστοι τῇ κρυφιότητι τῶν ἀποῤῥήτων, εἰκότως ὁ θεσπέσιος Ἀπόστολος πασῶν τῶν κατ᾽ αὐτόν γνώσεως ἀποφήσας τήν νόησιν, καί πάσης ὑπεράνων γενόμενος τῶν ὄντων σχέσεως, οὔτε ἐν σώματι, καθώς εἶπεν, εἰκότως ἦν, ἐνεργοῦσαν οὐκ ἔχων τήν αἴσθησιν, οὔτε ἐκτός αὖθις τοῦ σώματος, ἀργοῦσαν ἔχων τήν νόησιν κατά τόν καιρόν τῆς αὐτῷ γενομένης ἁρπαγῆς, καθ᾽ ἥν ἀφράστως τε καί ἀγνώστως τινά δεξάμενος κατά μύησιν ὑπερκόσμιον ῥήματα σιγῇ ταῦτα τιμήσας ἐφύλαξε παντελῶς ἀνέκφορα, ὡς μήτε νοῦ νοῆσαι, μήτε γλώσσης λαλῆσαι, μήτε ἀκοῆς αὐτά δέξασθαι δυναμένων. Ποιεῖ δέ, καθώς οἱ πεπειραμένοι φασί, τήν μέν ἐν τῇ λεχθείσῃ "προόδῳ" τῆς ἀρετῆς τελείαν πρᾶξιν πίστις ὀρθή καί φόβος εἰς Θεόν ἀνόθευτος, τήν δέ κατά τήν ἀνάβασιν ἄπταιστον φυσικήν θεωρίαν ἐλπίς βεβαία καί ἀλώβητος σύνεσις, τήν δέ κατά τήν "ἀνάληψιν" θέωσιν ἀγάπη τελεία, καί νοῦς τοῖς οὖσι καθ᾽ ὑπεροχήν πάμπαν ἑκουσίως πεπηρωμένος. Καί τῆς μέν πρακτικῆς φιλοσοφίας πάλιν ἔργον εἶναί φασι πάσης τόν νοῦν ἐμπαθῆ φαντασίας καθαρόν καταστῆσαι, τῆς δέ φυσικῆς θεωρίας τῆς ἐν τοῖς οὖσι καθ᾽ ἥν αἰτίαν ὑπάρχουσιν ἀληθοῦς γνώσεως αὐτόν ἐπιστήμονα δεῖται, τῆς δέ θεολογικῆς μυσταγωγίας ὅμοιον Θεῷ καί ἴσον, ὡς ἐφικτόν, τῇ χάριτι κατά τήν ἕξιν ποιῆσαι, μηδενός τό σύνολον ἔτι τῶν μετά Θεόν διά τήν ὑπεροχήν ὄντα νοήμονα.

***Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό, " Οὐδ᾽ ἄν αὐτόν δυνηθῆναι χωρῆσαι τόν κάτω κόσμον, Ἰωάννης ὁ τοῦ Λόγου πρόδρομος, ἡ μεγάλη τῆς ἀληθείας φωνή, διωρίζετο. "***

Εὔκαιρον ἦν κἀμέ πρός τόν ἅγιον τοῦτον καί μέγαν τῆς ἀληθείας διδάσκαλον, τό μέγεθος ὁρῶντα τῆς αὐτῷ παρά Θεοῦ δοθείσης σοφίας, εἰπεῖν ὅπερ Δαβίδ, ὁ τῶν προφητῶν καί βασιλέων ἐπισημότατος, πρός τόν Θεόν, τό ἄπειρον τῆς ἐν πᾶσιν αὐτοῦ μεγαλειότητος καταπλαγείς, ἐνθεαστικῶς ἀπεφθέγξατο, λέγων· Ἐθαυμαστώθη ἡ γνῶσίς σου ἐξ ἐμοῦ, (1244) ἐκραταιώθη, οὐ μή

δύνωμαι πρός αὐτήν, ὡς ἦν δίκαιον, μάλιστα θαύματι μόνῳ περιγράψας τήν ἀπερίγραφον δύναμιν, οὐκ ἔχων ἄλλοθί ποι περί τῶν ἀνεφίκτων τῆς ψυχῆς ἐρεῖσαι τήν πολυκίνητον βάσιν· κἀμέ, ὡς εἶπον, ἀρκεῖσθαι τόν ἐκ τοῦ θαυμάζειν σοφοῦ διδασκάλου σύνεσιν ἁγιασμόν κομίσασθαι, καί μή πολυπραγμονεῖν, πῶς καί τίνι λόγῳ παρ᾽ ἱστορίαν, ἅπερ θεία φωνή τοῖς ἁγίοις μυστικῶς ὀνόματα τέθεικεν, ἀλλήλοις ὁ διδάσκαλος περιτρέπει, τόν υἱόν τῆς βροντῆς Ἰωάννην πρόδρομον ἐνταῦθα προσαγορεύων. Ἐπειδή δέ καί τῆς εὐπειθείας πολύς ἐστι ὁ μισθός, ἐντολῆς μάλιστα τοῖς ἡγουμένοις πείθεσθαι κελευούσης, καί σχολάσαι καί γνῶναι καί ἐρευνᾷν τάς Γραφάς, καί μελετᾷν τόν θεῖον νόμον ἡμέρας καί νυκτός, ἐν τοῖς εὖ ἔχουσι μάλιστα κείμενον ἔγνων, τοῦ τε ὄκνου καί τῆς ἀπειθείας τόν κίνδυνον ὑφορώμενος, στοχαστικῶς περί τούτων κατά δύναμιν ἐρῶ, ταῖς ὑμῶν θαῤῥῶν τῶν ἐπιταξάντων εὐχαῖς. Οἶμαι τοίνυν τό παρ᾽ ἱστορίαν εἰρημένον τῷ θεοφόρῳ τούτῳ διδασκάλῳ, παρατιθεμένῳ τόν τοῦ Χριστοῦ πρόδρομον ἀντί τοῦ τῆς βροντῆς υἱοῦ, μή δύνασθαι ἄλλως ἤ κατά θεωρίαν ὁμαλίζεσθαι. Μόνη γάρ αὕτη τῶν κατά τήν ἱστορίαν ἀλλήλοις ἀντικεῖσθαι δοκούντων ἐστίν ὁμαλισμός, ὡς τήν ἐν ὅλοις ἀλήθειαν ἁπλῆν οὖσαν κατά τήν φύσιν ἀσωμάτως ἐμφαίνουσα, μή συμπαχυνομένην ταῖς φωναῖς ἤ τοῖς σώμασιν. Ὥσπερ οὖν ὁ μέγας Βαπτιστής Ἰωάννης ἐῤῥέθη πρόδρομος, ὡς πρός τόν ἀληθῶς προσδοκώμενον, καί φωνή πρός λόγον, ὡς τούτου μηνυτικῶς προηγουμένη, καί λύχνος πρός ἥλιον, ὡς τεχνικόν τε καί θετικόν καί πρόσκαιρον φῶς πρός φυσικόν τε καί οὐσιῶδες καί ἀτέχναστον καί αἰώνιον φῶς καί ἄσβεστον, οἶμαι δέ ὅτι καί ὡς μετάνοια, τήν πρό αὐτῆς κατά φύσιν ὑπάρχουσαν δικαιοσύνην μετ᾽ αὐτήν κατ᾽ οἰκονομίαν γενομένην κηρύττουσα, - οὕτως οἶμαι κἀνταῦθα τόν θεόφρονα τοῦτον διδάσκαλον διά τοῦ παρ᾽ ἱστορίαν εἰπεῖν πρόδρομον τόν μέγαν ἀπόστολον Ἰωάννην παραινίξασθαι, θέλειν, ὅτιπερ καί Ἰωάννης ὁ μέγας εὐαγγελιστής ἐν τῷ κατ᾽ αὐτόν Εὐαγγελίῳ πρόδρομός ἐστι τοῦ δι᾽ αὐτοῦ μηνυομένου μυστικωτέρου καί μείζονος Λόγου, καί γράμμασι τυπωθῆναι καί φωνῇ γλώσσης σαρκίνης ῥηθῆναι μή δυναμένου. Στοιχείωσις γάρ ὡς πρός τήν ἐπιγινομένην ἑκάστοτε τοῖς δι᾽ αὐτῶν ὑψουμένοις, καί τό πάχος τοῦ σωματικοῦ φρονήματος πνευματικῶς ἑαυτῶν ἀποξέουσιν, ἤ καί ἐπιγενησομένην ἐς ὕστερον γνῶσιν, μετά τήν τῶν κινουμένων συντέλειαν, ἡ τῶν ἁγίων εὐαγγελίων ἐστί συγγραφή. Ὥσπερ γάρ ὁ νόμος στοιχείωσις ἦν,

κατά τήν τέως ἐμφαινομένην αὐτῷ γνῶσιν, τῶν δι᾿ αὐτοῦ εἰς Χριστόν τόν ἐν σαρκί λόγον παιδαγωγουμένων, καί τῷ Εὐαγγελίῳ κατά τήν αὐτοῦ πρώτην παρουσίαν συναγομένων· οὕτω καί τό ἅγιον Εὐαγγέλιον στοιχείωσίς ἐστι τῶν δι᾿ αὐτοῦ εἰς Χριστόν τόν ἐν πνεύματι Λόγον παιδαγωγουμένων, καί τῷ μέλλοντι κόσμῳ κατά τήν δευτέραν αὐτοῦ παρουσίαν συναγομένων· ἐπειδή γάρ σάρξ καί πνεῦμά (1245) ἐστιν ὁ αὐτός κατά τήν ἑκάστῳ τῆς γνώσεως ἀναλογίαν τοῦτο ἤ ἐκεῖνο γινόμενος, πᾶς γάρ λόγος φωναῖς ὑποπίπτων καί γράμμασι.

Θαῤῥῶ δέ εἰπεῖν ὅτι καί πᾶν νόημα, νῷ τυπωθῆναι δυνάμενον, στοιχειώσεως οὐδέν διενήνοχε τά ὑπέρ αὐτήν μηνυούσης. Διό καί τέσσαρα τόν ἀριθμόν ὑπάρχει τά Εὐαγγέλια, ὡς τοῖς ὑπό αἴσθησιν ἔτι καί φθοράν οὖσι τέως χωρητά. Τοσαῦτα γάρ καί τά στοιχεῖα τυγχάνει τοῦ κόσμου τούτου, καί τέσσαρες πάλιν ἀρεταί, ἐξ ὧν ὁ κατά διάνοιαν πνευματικός συνέστηκε κόσμος, ἵνα τόν τέως ἐν ἡμῖν νοητόν κόσμον, καί τόν ἐν ᾧ ἐσμεν, περιγράφῃ τῆς ἀληθείας ὁ λόγος, καί ἀλλήλοις αὐτούς ἀσυγχύτως καθ᾿ ἕνωσιν συμβάλλῃ, καί ἀλλήλων πάλιν ἀδιαιρέτως διακρίνῃ, ταῖς τῶν συνιστώντων αὐτούς στοιχείων ὁμοιότησιν. Ὅπερ γάρ ἐστιν, ὥς φασιν, ὁ αἰθήρ, ἤγουν τό πύρινον στοιχεῖον ἐν τῷ κατ᾿ αἴσθησιν κόσμῳ, τό τε ἐν τῷ κόσμῳ τῆς διανοίας ἐστίν ἡ φρόνησις, ὡς ἕξις φωτιστική καί τῶν ἐφ᾿ ἑκάστου τῶν ὄντων ἰδίως πνευματικῶν λόγων ἀποδεικτική, τήν ἐν ὅλοις ἀπλανῶς δι᾿ αὐτῶν αἰτίαν ἐκφαίνουσα, καί τῆς κατά ψυχήν περί τό Θεῖον ἐφέσεως ἑλκτική· καί ὅπερ ἐν τῷ αἰσθητῷ κόσμῳ ὁ ἀήρ, τοῦτο ἐν τῷ κατά διάνοιαν κόσμῳ ἐστί ἡ ἀνδρεία, ὡς ἕξις κινητική, καί τῆς ἐμφύτου κατά πνεῦμα ζωῆς συνεκτική τε ἅμα καί δραστική, καί τῆς κατα ψυχήν περί τό Θεῖον ἀεικινησίας τομωτική· καί ὅπερ ἐν τῷ αἰσθητῷ κόσμῳ ἐστί τό ὕδωρ, τοῦτο ἐν τῷ τῆς διανοίας κόσμῳ ἐστίν ἡ σωφροσύνη, ἕξις ὑπάρχουσα τῆς ἐν Πνεύματι ζωτικῆς γονιμότητος ποιητική, καί τῆς ἀειβλύστου κατά τήν ἔφεσιν περί τό Θεῖον ἐρωτικῆς θέλξεως γεννητική· καί ὅπερ ἐν τῷ αἰσθητῷ κόσμῳ ἐστίν ἡ δικαιοσύνη, ἕξις ὑπάρχουσα κατ᾿ εἶδος γεννητική πάντων τῶν ἐν τοῖς οὖσι λόγων, καί τῆς ἐν Πνεύματι κατά τό ἴσον ἑκάστῳ ζωτικῆς διαδόσεως ἀπονεμητική, καί τῆς οἰκείας ἐν τῷ καλῷ κατά τήν θέσιν βάσεως ἀμετάθετος ἵδρυσις. Γῆς οὖν καί δικαιοσύνης μυστικῶς λόγον ἐπέχει, τό κατά Ματθαῖον Εὐαγγέλιον, ὡς φυσικώτερον τόν λόγον ποιούμενον, ὕδατος δέ καί σωφροσύνην τό κατά Μᾶρκον, ὡς ἐκ τοῦ

βαπτίσματος Ἰωάννου καί τῆς κηρυττομένης ὑπ᾽ αὐτοῦ μετανοίας, καθ᾽ ἥν ἡ σωφροσύνη συνέστηκεν, ἀρχόμενον, ἀέρος δέ καί ἀνδρείας τό κατά Λουκᾶν, ὡς περιοδικώτερον καί πλείονι ἱστορίαις πυκνούμενον, αἰθέρος δέ καί φρονήσεως τό κατά Ἰωάννην, ὡς πάντων ἀνώτατον, καί ἁπλῆν μυστικῶς τήν περί Θεοῦ πίστιν εἰσάγον, καί ἔννοιαν. Φασί δέ καί ἄλλως σύμβουλον εἶναι τήν τῶν ἁγίων Εὐαγγελίων τετράδα, πίστεως, καί πρακτικῆς, καί φυσικῆς, καί θεολογικῆς φιλοσοφίας· καί τῆς μέν πίστεως σύμβολον εἶναι τό κατά Ματθαῖον, ὡς ἀπίστους μετά δώρων προσκυνοῦντας εἰσάγον τούς Μάγους, τῆς δέ πρακτικῆς τό κατά Μάρκον, ὡς ἐκ τῆς μετανοίας, καθ᾽ ἥν πᾶσα πρᾶξίς ἐστιν ἐνάρετος, τῆς διδασκαλίας ἀρχόμενον, τῆς δέ φυσικῆς τό κατά Λουκᾶν, ὡς περιοδικωτέραν τοῦ λόγου τήν ἐξήγησιν ἔχον, καί τήν τῆς διδασκαλίας (1248) ἱστορίαν τοῖς τρόποις κατάλληλον, τῆς δέ θεολογίας τό κατά Ἰωάννην, ἐξ ἧς καί εἰς ἥν θεοπρεπῶς ἤρξατό τε καί ἔληξε.

Καί πάλιν ὥσπερ ὁ αἰσθητός κόσμος στοιχειωτικός ἐστι κατά φύσιν τῶν πέντε αἰσθήσεων ὑποπίπτων αὐταῖς καί πρός τήν ἑαυτοῦ κατάληψιν ὁδηγῶν, οὕτω καί ὁ κατά διάνοιαν κόσμος τῶν ἀρετῶν, ταῖς τῆς ψυχῆς ὑποπίπτων δυνάμεσι στοιχειοῖ αὐτά πρός τό πνεῦμα, ἑνοειδεῖς ἐργαζόμενος τῷ περί αὐτό μόνον αὐτάς κινεῖσθαι, καί ταῖς αὐτοῦ ἀντιλήψεσιν ἐπερείδεσθαι. Καί αὐτάς δέ τάς αἰσθήσεις τοῦ σώματος, κατά τόν αὐταῖς ἐμπρέποντα θειότερον λόγον, στοιχειωτικάς εἶναί φασι τῶν τῆς ψυχῆς δυνάμεων, στοιχειούσας αὐτάς ἠρέμα πρός ἐνέργειαν, ταῖς δή ἑαυτῶν ἀντιλήψεσι τῶν ἐν τοῖς οὖσι λόγων, δι᾽ ὧν ὡς διά γραμμάτων τινῶν τοῖς ὀξυωποῦσι πρός τήν ἀλήθειαν ὁ Θεός Λόγος ἀναγινώσκεται. Ὅθεν καί παραδειγματικάς τῶν ψυχικῶν δυνάμεων εἰκόνας τάς αἰσθήσεις ἐκάλεσαν, ὡς ἑκάστης αἰσθήσεως μετά τοῦ αὐτῆς ὀργάνου, ἤγουν αἰσθητηρίου, προηγουμένως ἑκάστῃ δυνάμει τῆς ψυχῆς ἀναλόγως μυστικωτέρῳ τινί λόγῳ κατά φύσιν νενεμημένης. Καί φασιν εἶναι τῆς μέν νοερᾶς δυνάμεως ἤτοι τοῦ λόγου τήν ἀκουστικήν, τῆς δέ θυμικῆς τήν ὀσφραντικήν, τῆς ἐπιθυμητικῆς δέ τήν γευστικήν, τῆς δέ ζωτικῆς τήν ἁπτικήν, καί ἁπλῶς ἵνα σαφέστερον εἴπω, τοῦ μέν νοῦ ἐστιν εἰκών ἡ ὄψις, ἤγουν ὁ ὀφθαλμός, τοῦ δέ λόγου ἐστίν ἡ ἀκοή, ἤγουν τό οὖς, τοῦ δέ θυμοῦ ἐστιν ἡ ὄσφρησις, ἤγουν ἡ ῥίς, τῆς δέ ἐπιθυμίας ἐστίν ἡ γεῦσις, καί τῆς ζωῆς ἡ ἁφή· αἷς ἡ ψυχή κατά τόν νόμον τοῦ τά πάντα σοφῶς δημιουργήσαντος Θεοῦ κατά φύσιν ἐποχουμένη διά τῶν αὐτῆς

δυνάμεων, καί πρός τά αἰσθητά ποικίλως διαβιβαζομένη, εἰ μέν καλῶς χρήσαιτο τάς αἰσθήσεσι διά τῶν οἰκείων δυνάμεων τούς παντοδαπούς τῶν ὄντων λόγους ἀναλεγομένη, καί δυνηθῇ μεταβιβάσαι πρός ἑαυτήν σοφῶς πᾶν τό ὁρώμενον, ἐν ᾧ κέκρυπται Θεός σιωπῇ κηρυττόμενος, κάλλιστον καί αὐτή κατά προαίρεσιν ἐν τῇ διανοίᾳ καί πνευματικόν κόσμον ἐδημιούργησε, τάς γενικάς τέσσαρας ἀρετάς στοιχείων δίκην ἀλλήλαις συνθεῖσα πρός σύμπηξιν τοῦ ἐξ αὐτῶν νοητῶς κατά πνεῦμα συμπληρουμένου κόσμου, κατά συμπλοκήν μέντοι τῆς πρός τάς αἰσθήσεις τῶν αὐτῆς δυνάμεων ἐνεργείας ἑκάστην ἀρετήν ὑποστήσασα· οἷον τήν μέν φρόνησιν ἐκ τῆς κατά συμπλοκήν τῆς τε νοερᾶς καί λογικῆς δυνάμεως πρός τήν ὀπτικήν τε καί ἀκουστικήν αἴσθησιν, περί τά αὐτῶν αἰσθητά, γνωστικῆς τε καί ἐπιστημονικῆς ἐνεργείας, τήν δέ ἀνδρείαν ἐκ τῆς κατά συμπλοκήν τοῦ θυμικοῦ πρός τήν ὄσφρησιν, ἤγουν τόν μυκτῆρα, ἐν ᾧ τό θυμικόν, ὥς φασιν, αὐλίζεται πνεῦμα, περί τό συμφυές αἰσθητόν ἄκρας κατά τήν ἐνέργειαν ὁμαλότητος, τήν δέ σωφροσύνην ἐκ τῆς κατά συμπλοκήν τῆς (1249) κατ᾽ ἐπιθυμίαν δυνάμεως πρός τήν γευστικήν αἴσθησιν περί τό οἰκεῖον αἰσθητόν μεμετρημένης χρήσεως, τήν δέ δικαιοσύνην ἐκ τῆς ἐν ὅλοις διά τῆς ἁπτικῆς καί περί ὅλα σχεδόν τά αἰσθητά τῆς ζωτικῆς δυνάμεως κατά τήν ἐνέργειαν ἴσης καί εὐτάκτου καί ἁρμονικῆς διανεμήσεως. Ἐκ δέ τούτων αὖθις τῶν γενικῶν τεσσάρων ἀρετῶν δύο γενικωτέρας κατά σύνθεσιν ἀρετάς ποιεῖν ἐκδιδάσκεται, τήν σοφίαν φημί καί τήν πραότητα, τήν μέν σοφίαν, ὡς πέρας οὖσαν τῶν γνωστῶν, τῶν δέ πρακτῶν, τήν πραότητα· οἷον ἐκ μέν τῆς φρονήσεως καί τῆς δικαιοσύνης ποιεῖ τήν σοφίαν, ὡς γνώσεως τῆς κατά τήν φρόνησιν καί τῆς κατά τήν δικαιοσύνην ἐπιστήμης ὑπάρχουσαν συνεκτικήν αἰτίαν, καί διά τοῦτο πέρας τῶν γνωστῶν, ὡς εἶπον, τυγχάνουσαν· ἐκ δέ τῆς ἀνδρείας καί τῆς σωφροσύνης τήν πραότητα, μηδέν ἄλλο τυγχάνουσαν ἤ θυμοῦ καί ἐπιθυμίας παντελῆ πρός τά παρά φύσιν ἀκινησίαν, ἥν τινες ἐκάλεσαν ἀπάθειαν, καί διά τοῦτο τῶν πρακτῶν τέλος ὑπάρχουσαν. Ταύτας δέ πάλιν εἰς τήν τῶν πασῶν γενικωτάτην ἀρετήν, φημί δέ τήν ἀγάπην, συνάγει, ἐκστατικήν οὖσαν τῶν ἐξ αὐτῆς καί προσαγωγικήν τῶν δι᾽ αὐτῆς καί ἑνοποιητικήν τῶν εἰς αὐτήν ἀρξαμένων τε καί κινηθέντων καί ληξάντων, καί διαφερόντως ἐπί πᾶσι θεοποιητικήν. Οὕτω μέν οὖν ἡ ψυχή κινουμένη τε σοφῶς καί ἐνεργοῦσα καθ᾽ ὅν καί ἔστι καί γεγένηται θεοτελῆ λόγον τῶν μέν αἰσθητῶν χρησίμως διά τῶν

αἰσθήσεων ἀντιλαμβάνεται, τούς ἐν αὐτοῖς πνευματική λόγους οἰκειουμένη, τάς δέ αἰσθήσεις αὐτάς, λογισθείσας ἤδη τῇ τοῦ λόγου περιουσίᾳ, ὥσπερ ὀχήματι λογικά προσίεται τῶν αὐτῆς δυνάμεων, αὐτάς δέ τάς δυνάμεις ταῖς ἀρεταῖς συνάπτει, καί ἑαυτήν διά τῶν ἀρετῶν τοῖς ἐν αὐταῖς θειοτέροις λόγοις, οἱ δέ θειότεροι τῶν ἀρετῶν λόγοι τῷ ἐν αὐτοῖς ἀφανῶς κεκρυμμένῳ πνευματικῷ νῷ, ὁ δέ πνευματικός νοῦς τῶν ἐν ἀρεταῖς θειοτέρων λόγων, πᾶσαν τῆς ψυχῆς ἥν ἔχει πρός τά παρόντα φυσικήν τε καί προαιρετικήν σχέσιν διωθούμενος, ἁπλῆν ὅλην ὅλῳ δίδωσι τῷ Θεῷ, ὁ δέ Θεός ταύτην δι᾿ ὅλου περιλαβών μετά τοῦ συμπεφυκότος αὐτῇ σώματος ἀναλόγως αὐτά ἐξομοιοῖ ἑαυτῷ, ὥστε δι᾿ αὐτῆς ὅλης ἀπεριγράφως ὅλον φαίνεσθαι δύνασθαι, τόν μηδαμῶς τινι τῶν ὄντων καθ᾿ ὁτιοῦν ἐξ αὐτοῦ φαίνεσθαι φύσιν ἔχοντα. Καί τοῦτο τυχόν ἐστιν ὅπερ νοήσας ὁ μακάριος οὗτος καί μέγας διδάσκαλος ἐν τῷ εἰς Καισάριον τόν ἀδελφόν Ἐπιταφίῳ ἀναστάσεως ἔφη, "Μικρόν δέ ὕστερον καί τό συγγενές σαρκίον ἀπολαβοῦσα (περί τῆς φυχῆς δηλονότι φάσκων) ᾧ τά ἐκεῖθεν συνεφιλοσόφησε, παρά τῆς καί δούσης καί πιστευθείσης γῆς, τρόπον ὅν οἶδεν ὁ ταῦτα συνδήσας καί διαλύσας Θεός, τούτῳ συγκληρονομεῖ τῆς ἐκεῖθεν δόξης, καί καθάπερ τῶν μοχθηρῶν αὐτοῦ μετέσχε διά τήν συμφυΐαν, οὕτω καί τῶν τερπνῶν ἑαυτῆς μεταδίδωσιν, ὅλον εἰς ἑαυτήν ἀναλώσασα, καί γενομένη σύν τούτῳ ἕν, καί πνεῦμα, καί νοῦς, καί Θεός, καταποθέντος ὑπό τῆς ζωῆς τοῦ θνητοῦ τε (1252) καί ῥέοντος." Ὡς γάρ κατεπόθη διά τήν ἁμαρτίαν ἡ σάρξ ὑπό τῆς φθορᾶς, ὑπό δέ τῆς σαρκός ἡ ψυχή γνωσθεῖσα ταῖς ἐνεργείαις, ὑπό δέ τῆς ψυχῆς διά τῆς παντελοῦς ἀγνωσίας ἡ ἐπίγνωσις τοῦ Θεοῦ, ὡς μηδέ εἰ ἔστι Θεός γινώσκεσθαι, οὕτω δή πάντως τῷ καιρῷ τῆς ἀναστάσεως κατά τήν καλῶς γενησομένην ἀντιστροφήν ἐν Πνεύματι ἁγίω διά τήν χάριν τοῦ σαρκωθέντος Θεοῦ καταποθήσεται ἡ σάρξ ὑπό τῆς ψυχῆς ἐν πνεύματι, ἡ δέ ψυχή ὑπό τοῦ Θεοῦ, τῆς ὄντως οὔσης ζωῆς, ὡς αὐτόν μονώτατον διά πάντων ὅλον ὅλη προφαινόμενον ἔχουσα, καί ἁπλῶς εἰπεῖν, ἀντιστρόφως τοῖς παροῦσι, περί ἅ νῦν ἐσμέν τε καί διεξαγόμεθα, πάντα κατά τό μέλλον δείξει τά ἡμέτερα ἡ θεοπρεπής τῆς ἀναστάσεως χάρις, ἵνα ὥσπερ διά τήν ἁμαρτίαν ἐνταῦθα κατέπιεν ὁ θάνατος ἰσχύσας, οὕτω καταποθήσεται δικαίως ἀσθενήσας ἐκεῖ διά τήν χάριν. Ταῦτα μέν εἰ καλῶς, ὡς εἴρηται, χρήσαιτο ταῖς αὐτῆς δυνάμεσι, καί κατά τόν σκοπόν τοῦ Θεοῦ, τόν αἰσθητόν κόσμον διά τῶν ἐν αὐτῷ πνευματικῶν λόγων ἡ ψυχή σοφῶς

διοδεύσασα πρός Θεόν ἔλθῃ μετά συνέσεως· εἰ δέ κακῶς χρήσαιτο, παρά τόν δέοντα λόγον τόν παρόντα διαθρήσασα κόσμον, οὐκ ἄδηλόν πῶς εἰς πάθη ἀτιμίας ἐκπίπτουσα, καί τῆς θείας δόξης εἰκότως κατά τό μέλλον ἀποριφήσεται, φοβεράν ἐπ᾿ αἰῶσιν ἀπείροις λαβοῦσα κατάκρισιν τήν πρός τόν Θεόν σχετικήν ἀλλοτρίωσιν, ἐφ᾿ ᾗ τρεχομένη οὐκ ἔχει λέγειν ὡς οὐ δικαίως, τήν ὑποστήσασαν τό μή ὄν διάθεσις κατήγορον ἔχουσα, ἥν ἀγνοῆσαι οὐδέποτε δύναται. Ἀλλ᾿ ἐπί τό προκείμενον ἡμῖν ἐπανακτέον τόν λόγον.

Εἰπών γάρ ὁ εὐαγγελιστής· Ἔστι δέ καί ἄλλα πολλά ὅσα ἐποίησεν ὁ Ἰησοῦς, ἅτινα ἐάν γράφηται καθ᾿ ἕν, οὐδέ αὐτόν οἶναι τόν κόσμον χωρῆσαι τά γραφόμενα βιβλία, ἐνέφηνεν ἡμῖν διά τούτων, ὅτι τά φραφέντα πρός αὐτοῦ προομαλισμός τίς ἐστι τοῦ τελεωτέρου καί τέως ἀχωρήτου λόγου. Κατά ταύτην οὖν ἔννοιαν εἰπών τις τόν ἅγιον εὐαγγελιστήν Ἰωάννην πρόδρομον, ἐν ᾧ συνέταξεν Εὐαγγελίῳ προοδοποιοῦντι τήν διάνοιαν πρός παραδοχήν τοῦ τελεωτέρου λόγου, τῆς ἀληθείας οὐχ ἁμαρτήσεται. Ταύτῃ τοι καί μεγάλην τῆς ἀληθείας ἀποκαλεῖ φωνήν ὁ διδάσκαλος τά πνευματικά βροντήσαντα. Βροντή δέ ἐστι φωνή μόνον κατάπληξιν τοῖς ἀκούουσιν ἐμποιοῦσα, μηδέν μέντοι τρανοῦσα, οἷόσπερ ἐστιν ὁ στοιχειώδης λόγος. Πᾶς γάρ λόγος θεόθεν τοῖς ἀνθρώποις κατά τόν αἰῶνα τοῦτον γραφείς πρόδρομός ἐστι τοῦ δι᾿ αὐτοῦ ἀγράφως ἐν πνεύματι κατά νοῦ μηνυομένου καί ἐς ὕστερον φανησομένου τελεωτέρου λόγου, ὡς ἀλήθειαν μέν ἔχων ἐν ἑαυτῷ μηνυομένην, οὐ μήν δέ αὐτήν εὐπερικαλύπτως γυμνήν δεικνύς τήν ἀλήθειαν. Οὕτω μέν οὖν, ὡς οἶμαι, τῆς θείας ὅλης Γραφῆς ὁ νοῦς εὐσεβῶς ὁμαλιζόμενος οὐδέν δυσχερές ἤ ἀνώμαλον διά τῶν καθ᾿ ἱστορίαν δοκουσῶν ἐναντιώσεων ἔχων δειχθήσεται. Πᾶς γάρ τῶν ἀνέκαθεν ἁγίων (1253) κατά τόν ἀληθῆ λόγον τοῦ δι᾿ αὐτοῦ μηνυομένου τε καί προτυπουμένου μυστηρίου πρόδρομος ἦν, δι᾿ ὧν ἔπασχέ τε καί ἔδρα καί ἔλεγε τά τούτων προκηρύττων ἀρχέτυπα. Διό καί ἀντι᾿ ἀλλήλων ἀμέπττως παραλαμβάνονται, καί πάντων ἅπαντες, καί ἕκαστος ἑκάστου, καί ἀντί τῶν ὑπ᾿ αὐτῶν συγγραφεισῶν βίβλων, καί ἀντι᾿ αὐτῶν αἱ βίβλοι παρά τῇ συνηθείᾳ τῆς Γραφῆς προσαγορεύονται. Καί δηλοῖ τοῦτο σαφῶς τόν Βαπτιστήν Ἰωάννην Ἠλίαν καί ποιῶν καί λέγων ὁ Κύριος, εἴτε διά τήν ἴσην τῆς ἀρετῆς ἕξιν, ὥς φασιν οἱ διδάσκαλοι, καί τήν κατά νοῦν διά πάντων καθαρότητα, καί τό τῆς πολειτείας σύντονον, εἴτε διά τήν ἐν ἀμφοτέροις ταυτότητα τῆς ἐν τῇ χάριτι δυνάμεως, εἴτε καθ᾿ ἕτερον

λόγον ἀπόκρυφον, αὐτός ἄν εἰδείη ὁ λέγων ὡς Θεός, καί οἱ παρ᾽ αὐτοῦ τά τοιαῦτα μυστήρια σοφιζόμενοι. Καί πάλιν Μωϋσέα τόν νόμον, καί προφήτας τάς αὐτῶν προφητικάς βίβλους, καλέσας, ἐν οἷς πρός τόν ἐν γῇ γεένῃ βασανιζόμενον πλούσιον φήσαντα τόν πατριάρχην εἰσήγαγεν Ἀβραάμ· Ἔχουσι Μωϋσέα καί τούς προφήτας, ἀκουσάτωσαν αὐτῶν, ἀντί τῶν ὑπ᾽ αὐτῶν συγγραφεισῶν θείων βίβλων αὐτούς ἐκείνους παραθέμενος, Μωϋσέα φημί καί τούς προφήτας. Καί θαυμαστόν οὐδέν. Εἰ γάρ εἷς ἐστιν ὁ δι᾽ αὐτῶν καταγγελλόμενος, οἱ πάντες ὡς εἷς ὅν καταγγέλλουσι νοεῖσθαι δύναται, καί ἀντί πάντων ἕκαστος καί πάντες πάντων εὐσεβῶς ἀντιπαραλαμβάνεσθαι, τῶν τε διακονησαμένων τῷ κατά τήν Παλαιάν Διαθήκην μυστηρίῳ καί τῶν πιστευθέντων τό κήρυγμα τῆς κατά τό Εὐαγγέλιον χάριτος. Οὐκοῦν ὥσπερ εἰς ὅλην οὖσαν τῆς Καινῆς Διαθήκης καί τῆς κατ᾽ αὐτήν λατρείας ὁ μέγας Βαπτιστής Ἰωάννης εὐσεβῶς παραλαμβάνεσθαι δύναται, οὕτω δικαίως εἰς ὅλην τήν Καινήν Διαθήκην καί τήν κατ᾽ αὐτήν λατρείαν, πρόδρομον οὖσαν τῆς ἐν μέλλοντι αἰῶνι μυστικῆς τῶν ἀῤῥήτων ἀγαθῶν κρυφιότητος, καί Ἰωάννης ὁ μέγας ἀληθῶς εὐαγγελιστής ληφθῆναι δύναται, ὡς πρόδρομος φωνή τοῦ μέλλοντος τρανῶς λαλεῖσθαι θειοτέρου λόγου, και εἰκών τῆς δειχθησομένης ἀληθείας. Σκιᾷ γάρ καί εἰκόνι καί ἀληθείᾳ τό καθ᾽ ἡμᾶς ὅλον τῆς σωτηρίας σοφῶς ᾠκονομήθη μυστήριον. Σκιάν γάρ εἶχεν ὁ νόμος, ὥς φησιν ὁ θεῖος Ἀπόστολος, τῶν μελλόντων ἀγαθῶν, οὐκ αὐτήν τήν εἰκόνα τῶν πραγμάτων, δι᾽ ἧς τούς κατά νόμον οἰκείως ἑαυτοῖς κατ᾽ ἀμυδράν τινα τῶν ἀληθῶν ἔμφασιν πρός τήν τοῦ Εὐαγγελίου παραδοχήν ὁ λόγος ἐπαιδαγώγει. Τό δέ Εὐαγγέλιον εἰκόνα κέκτηται τῶν ἀληθῶν, ὅλους ἔχον τρανῶς ἀπεντεῦθεν ἤδη τούς τῶν μελλόντων ἀγαθῶν ὁμοιότητα κτησαμένους. Ἑτοίμους ὁ λόγος δι᾽ ἐλπίδος καθίστησι τῇ παραδοχῇ τῆς τῶν ἀληθῶν ἀρχετυπίας ψυχωθῆναι καί γενέσθαι ζῶσας εἰκόνας Χριστοῦ, καί ταυτόν αὐτῷ μᾶλλον κατά τήν χάριν ἤ ἀφομοίωμα, τυχόν δέ καί αὐτός ὁ κύριος, εἰ μή φορτικός ὁ λόγος τισίν εἶναι δοκεῖ. Ὡς Πρόδρομος ἑαυτοῦ πρός τοῦ θεοφόρου διδασκάλου προσηγόρευται νῦν, ὡς ἑαυτόν ἀναλόγως τοῖς ὑποδεχομένοις κατά (1256) τε τήν Παλαιάν κατά τε τήν Νέαν Διαθήκην ἐκφαίνων, δι᾽ αἰνιγμάτων τε καί φωνῶν καί τύπων προτρέχων αὐτός ἑαυτοῦ, καί διά τούτων πρός τήν χωρίς τούτων ἄγων ἀλήθειαν, τοῖς αὐτοῦ Κυρίου λόγοις τοῦτο τεκμαιρομένου, δι᾽ ὧν ἔλεγεν, Ἔτι πολλά ἔχω λέγειν ὑμῖν, ἀλλ᾽ οὐ

δύνασθε βαστάζειν ἄρτι· σημαίνων τήν ὑψηλοτέραν μέν τῆς προλαβούσης, χθαμαλοτέραν δέ καί αὐτήν τῆς μετ᾽ αὐτήν διά τοῦ θείου Πνεύματος περί αὐτοῦ μέλλουσαν ἔσεσθαι, πρός αὐτούς διδασκαλίαν. Ὅθεν εἰκότως ἐπήγαγεν· Ὅταν δέ ἔλθῃ ἐκεῖνος, τό Πνεῦμα τῆς ἀληθείας, ὁδηγήσει ὑμᾶς ἐν τῇ ἀληθείᾳ πάσῃ· ἤ καί δι᾽ ὧν ἑτέρωθί φησιν· Ἰδού, ἐγώ μεθ᾽ ὑμῶν εἰμι πάσας τάς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος· οὐχ ὡς μετά τοῦτο παντελῶς οὐκ ἐσομένου μετ᾽ αὐτῶν, ἀλλ' ὡς ὑψηλοτέρου δηλονότι παρ᾽ ὅν τέως ἠπίσταντο χθαμαλώτερον, ὡς πρός τήν ἑαυτῶν δύναμιν γινώσκεσθαι μέλλοντος. Ὡσαύτως γάρ ὑπάρχων ἀεί δι᾽ ἑαυτόν, καί μηδεμίαν παραδεχόμενος ἐξ ἀλλοιώσεως μεταβολήν, οὔτε τό μᾶλλον καί ἧττον, πᾶσι πάντα γένεται δι᾽ ὑπερβολήν ἀγαθότητος, ταπεινός τοῖς ταπεινοῖς, ·ὑψηλός τοῖς ὑψηλοῖς, καί τοῖς δι᾽ αὐτόν θεουμένοις ὁ φύσει Θεός, ὡς εἶναι τά τοῦ παρόντος αἰῶνος πάντα τῆς περί τόν ἄνθρωπον προνοίας εἴδη τε καί μυστήρια, κἄν μεγάλα ᾖ, προοδοποίησίν τινα καί προδιατύπωσιν τῶν μελλόντων. Συγκρινόμενος οὖν καί αὐτός ὁ τέως τοῦ Κυρίου χωρητός λόγος πρός τόν μέλλοντα τοῖς μαθηταῖς μυστικώτερον ἐπιχορηγεῖσθαι, ἥ τε προτέρα πάλιν αὐτοῦ παρουσία τῇ δευτέρᾳ, πρόδρομός ἐστιν ἑαυτοῦ, παραδείξας μέν ἀμυδρῶς ἐν ἑαυτῷ πρός τήν τῶν ὑποδεχομένων δύναμιν, οὐ φανερώσας δέ νῦν ἅπερ ἔχει σεσιγημένως παρ᾽ ἑαυτῷ ἐν ἀποκρύφῳ μυστήρια, διά τό τῇ κτίσει τέως εἶναι παντελῶς ἀχώρητα. Πᾶν γάρ ὅ γράμμασιν ὑποπίπτει, καθώς εἴρηται, καί φωναῖς πάντως ὅτι καί τόν νούμενον ἐξ αὐτοῦ, κἄν πνευματικόν ᾖ, ὅσον πρός τό μηδόλως γράμμασι, καί ἐκφωνήσει προσπίπτον, φωνῆς λόγον ὡς πρός τρανόν λόγον ἐπέχει, καί διά τοῦτο πάντα τά διά Χριστοῦ τοῦ Θεοῦ τοῖς μαθηταῖς λαληθέντα πρός τόν ἀλάλητον νοῦν ἤτοι νόησιν Ἰωάννην ἴσως ὁ θεσπέσιος οὗτος διδάσκαλος προσηγόρευσε, τήν πρόδρομον χάριν ἐκ τοῦ δεκτικοῦ καλῶς τε καί σοφῶς ὀνομάσας.

***Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό, " Ὁ δέ περί Θεοῦ λόγος, ὅσῳ τελεώτερος, τοσούτῳ δυσεφικτότερος, καί πλείους τάς ἀντιλήψεις ἔχων, καί τάς λύσεις ἐργωδεστέρας. "***

Εἰ πολλά τά γεγονότα ἐστί, καί διάφορα πάντως τά γεγονότα ἐστίν, εἴπερ πολλά. Οὐ γάρ δυνατόν τά πολλά μή καί διάφορα εἶναι. Καί εἰ διάφορα ἐστι τά πολλά μή καί διαφόρους καί τούς οἷς κατ᾽ οὐσίαν ὑπάρχουσι λόγους νοητέον, οἷς μᾶλλον δι᾽ οὕς διαφέρουσι τά

διαφέροντα· οὐ γάρ ἄν διέφερεν ἀλλήλων τά διαφέροντα, μή τῶν λόγων οἷς γεγόνασιν ἐχόντων διαφοράν. Εἰ τοίνυν ὥσπερ αἱ αἰσθήσεις φυσικῶς (1257) ἀντιλαμβανόμεναι τῶν αἰσθητῶν ἐξ ἀνάγκης κατά παραδοχήν πολλάς ποιοῦνται καί διαφόρους τῶν ὑποκειμένων καί ὑποπιπτόντων αὐταῖς τάς ἀντιλήψεις, οὕτω καί ὁ νοῦς πάντων φυσικῶς ἀντιλαμβανόμενος τῶν ἐν τοῖς οὖσι λόγων, οἷς ἀπείροις ἐνθεωρῶν ἐνεργείας Θεοῦ πολλάς ποιεῖται καί ἀπείρους, εἰπεῖν ἀληθές, τῶν ὧν ἀντιλαμβάνεται θείων ἐνεργειῶν διαφοράς, ἄτονον εἰκότως ἕξει τήν δύναμιν καί τήν μέθοδον ἄπορον τῆς ἐπιστημονικῆς ἐρεύνης τοῦ ὄντως ὄντος ἀληθοῦς, οὐκ ἔχων νοῆσαι πῶς ἐν ἑκάστῳ τῶν καθ᾽ ἑαυτό ἑκάστων λόγῳ καί ἐν πᾶσιν ὁμοῦ καθ᾽ οὕς ὑπάρχουσι τά πάντα λόγοις ὁ μηδέν ὤν τῶν ὄντων ἀληθῶς καί πάντα κυρίως ὤν καί ὑπέρ πάντα Θεός. Εἰ γοῦν πᾶσα θεία κατά τόν ἀληθῆ λόγον ἐνέργεια τόν Θεόν ἀμερῶς ὅλον δι᾽ ἑαυτῆς ἐν ἑκάστῳ καθ᾽ ὅνπερ τινά λόγον ἐστίν ἰδικῶς ὑποσημαίνει, τίς ἀκριβῶς ἐστιν ὁ νοῆσαί τε καί εἰπεῖν δυνάμενος, πῶς ἐν πᾶσί τε κοινῶς ὅλος καί ἐν ἑκάστῳ τῶν ὄντων ἰδιαζόντως, ἀμερῶς τε καί ἀμερίστως ἐστίν ὁ Θεός, μήτε ποικίλως συνδιαστελλόμενος ταῖς τῶν ὄντων οἷς ἔνεστιν ὡς ὤν ἀπείροις διαφοραῖς, μήτε οὖν συστελλόμενος κατά τήν τοῦ ἑνός ἰδιάζουσαν ὕπαρξιν, μήτε συστέλλων κατά τήν μίαν πάντων ἑνικήν ὁλότητα τάς τῶν ὄντων διαφοράς, ἀλλά πάντα ἐν πᾶσίν ἐστιν ἀληθῶς, μηδέποτε τῆς οἰκείας ἀμεροῦς ἁπλότητος ἐξιστάμενος; Καλῶς οὖν ὁ διδάσκαλος ἔφη τάς ἀντιλήψεις τοῦ περί θεότητος λόγου πολλάς εἶναι, ἐξ ὧν ὅτι ἐστί μόνον Θεός διδασκόμεθα, καί τάς λύσεις ἐργωδεστέρας, ἐξ ὧν πάλιν τί οὐκ ἔστι μανθάνομεν· πρός τό παῦσαι περιεργίας ἀνωφελοῦς καί βλαβερᾶς τούς ληπτόν οἰομένους τό θεῖον τοῖς διακένοις ἀναπλασμοῖς τῆς αὐτῶν διανοίας, ἧ οὐδέ τό ἔσχατον τῶν ἐν τοῖς οὖσι καθ᾽ ὅν ἐστι καί ὑπάρχει λόγον ἀληθῶς ἐστι ληπτόν.

***Ἐκ τοῦ περί Υἱοῦ πρώτου λόγου, εἰς τό, " Διά τοῦτο μονάς ἀπ᾽ ἀρχῆς εἰς δυάδα κινηθεῖσα μέχρι Τριάδος ἔστη. "***

Πᾶν κατά φύσιν κινούμενον δι᾽ αἰτίαν πάντως κινεῖται, καί πᾶν τό δι᾽ αἰτίαν κινούμενον δι᾽ αἰτίαν πάντως καί ἔστι, πᾶν δέ τό δι᾽ αἰτίαν ὄν καί δι᾽ αἰτίαν κινούμενον ἀρχήν μέν εἶχε πάντως τοῦ εἶναι τήν δι᾽ ἥν ἔστι καί ἐξ ἧς πρός τό εἶναι ἤχθη αἰτίαν, τέλος δέ τοῦ κινεῖσθαι τήν αὐτήν δι᾽ ἥν κινεῖται καί πρός ἥν ἐπείγεται αἰτίαν. Πᾶν δέ τό δι᾽ αἰτίαν καί ὄν καί κινούμενον καί γενητόν πάντως. Εἰ δέ τοῦ κινουμένου

τέλος ἐστίν ἡ δι᾽ ἥν κινεῖται αἰτία, ἡ αὐτή πάντως ἐστί τῇ δι᾽ ἥν γεγένηται καί ἔστιν αἰτίᾳ. Μία οὖν ἄρα πάντως τοῦ ὁπωσοῦν ὄντος καί καινουμένου κατά φύσιν ὡς ἀρχή καί τέλος αἰτία δι᾽ ἥν καί ἔστι καί κινεῖται πᾶν τό ὄν καί κινούμενον. Δραστήριος γάρ ὑπάρχουσα δύναμις καί ποιεῖ τά (1260) γινόμενα θεοπρεπῶς ὡς ἀρχή καί προβάλλεται, καί ἕλκει τά κινούμενα προνοητικῶς ὡς τέλος καί ὁρίζει. Εἰ δέ πᾶν κινούμενον καί γενητόν δι᾽ αἰτίαν ἔστι τε καί κινεῖται καί γεγένηται, πᾶν ὅ μή δι᾽ αἰτίαν ἐστίν οὐδέ ποιητόν ἐστιν, οὐδέ κινητόν δηλονότι. Οὐ γάρ κινεῖται τό παντάπασι μή ἔχον τοῦ εἶναι αἰτίαν. Εἰ δέ τό ἀναίτιον πάντως καί ἀκίνητον, ἀκίνητον ἄρα τό Θεῖον, ὡς τοῦ εἶναι μηδεμίαν ἔχον αἰτίαν, καί πάντων τῶν ὄντων ὑπάρχον αἰτίαν. Πῶς οὖν, ἴσως ἐρεῖ τις, ὁ θαυμαστός οὗτος διδάσκαλος κινούμενον εἰσάγει τό Θεῖον ἐν τοῖς προτεθεῖσι; Πρός ὅν ἐροῦμεν ὅτι παντός μᾶλλον ᾔδει, τό, Ἑκάστης τέχνης συνεκτικός λόγος, ἀκίνητος μένων παντάπασιν ἐφ᾽ ἑαυτόν, ἵνα παραδείγματι χρήσωμαι, καθ᾽ ἕκαστον εἶδος τῶν ὑπό τήν αὐτήν τέχνην μορφούμενος, κινεῖσθαι λέγεται τῷ κινεῖν μᾶλλον καθ’ ἑαυτόν τό τεχνούμενον ἤ τῷ κινεῖσθαι προφαινόμενος· ἤ, ὡς φῶς πρός τό ὁρᾷν τήν ὄψιν κινῶν λέγεται κινεῖσθαι, κινητικόν ὑπάρχον πάσης ὄψεως κυρίως ἤπερ κινητόν, οὕτω καί τό Θεῖον ἀκίνητον πάντη καθ᾽ οὐσίαν καί φύσιν ὑπάρχον, ὡς ἄπειρον καί ἄσχετον καί ἀόριστον, οἱονεί τις ἐπιστημονικός λόγος ἐνυπάρχων ταῖς τῶν ὄντων οὐσίαις λέγεται κινεῖσθαι, τῷ κινεῖν προνοητικῶς ἕκαστον τῶν ὄντων καθ᾽ ὅν κινεῖσθαι πέφυκε λόγον, καί ὡς αἴτιον πάντα τά κατηγορούμενα κατά τῶν ὧν ἐστιν αἴτιον ἀπαθῶς ἀναδεχόμενον. Ἀνελεῖται τοῦτο ζητήσας ὁ θεοφάντωρ καί μέγας Ἀρεοπαγίτης ἅγιος Διονύσιος ἐν οἷς φησι· "Τί δήποτε τό Θεῖον οἱ θεολόγοι ποτέ μέν ἔρωτα, ποτέ δέ ἀγάπην, ποτέ δέ ἐραστόν καί ἀγαπητόν ἀποκαλοῦσι; " Συμπεραίνει τόν λόγον οὑτωσί φάσκων· " Ὅτιπερ τῷ μέν κινεῖται, τῷ δέ κινεῖ·" καί σαφέστερον εἰπεῖν, Ὡς μέν ἔρως ὑπάρχον τό Θεῖον καί ἀγάπη κινεῖται, ὡς δέ ἐραστόν καί ἀγαπητόν κινεῖ πρός ἑαυτό πάντα τά ἔρωτος καί ἀγάπης δεκτικά· καί τρανότερον αὖθις φάναι· Κινεῖται μέν ὡς σχέσιν ἐμποιοῦν ἐνδιάθετον ἔρωτος καί ἀγάπης τοῖς τούτων δεκτικοῖς, κινεῖ δέ ὡς ἑλκτικόν φύσει τῆς τῶν ἐπ᾽ αὐτῷ κινουμένων ἐφέσεως· καί πάλιν· Κινεῖ καί κινεῖται, ὡς διψῶν τό διψᾶσθαι, καί ἐρῶν τό ἐρᾶσθαι, καί ἀγαπῶν τό ἀγαπᾶσθαι. Κατά τοῦτον τρόπον καί ὁ θεόφρων Γρηγόριός φησι· "Μονάς ἀπ’ ἀρχῆς εἰς δυάδα κινηθεῖσα μέχρι Τριάδος ἔστη." Κινεῖται γάρ ἐν τῷ ταύτης δεκτικῷ νῷ, εἴτε

ἀγγελικῷ, εἴτε ἀνθρωπίνῳ, δι᾽ αὐτῆς καί ἐν αὐτῇ τάς περί αὐτῆς ἐξετάσεις ποιουμένῳ, σαφέστερον εἰπεῖν, διδάσκει αὐτόν ἀμερίστως ἐν τῇ πρώτῃ προσβολῇ τόν περί μονάδος λόγον, ἵνα μή διαίρεσις τῷ πρώτῳ αἰτίῳ ἐπεισαχθῇ, προβιβάζει δέ αὐτόν καί τήν θείαν καί ἀπόῤῥητον τούτου γονιμότητα δέξασθαι, λέγουσα μυστικῶς τε καί κρυφίως αὐτῷ μή δεῖν ἄγονον εἶναι πώποτε φρονεῖν τοῦτο τό ἀγαθόν λόγου καί σοφίας, ἤ ἁγιαστικῆς δυνάμεως, ὁμοουσίων τε καί ἐνυποστάτων, ἵνα μή σύνθετον ἐκ τούτων ὑποληφθῇ τό Θεῖον ὡς συμβεβηκότων, καί οὐχί ταῦτα ὑπάρχον ἀεί πιστευθῇ. Κινεῖσθαι οὖν ἡ Θεότης λέγεται ὡς αἰτία τῆς καθ᾽ ὅν ὑπάρχει τρόπον ἐξετάσεως. Ἄνευ γάρ ἐλλάμψεως (1261) ἐπιβάλλειν θεότητι τῶν ἀμηχάνων ἐστί. Λέγεται δέ κινεῖσθαι πάλιν καί διά τήν κατά μέρος φανέρωσιν τοῦ περί αὐτῆς τελεωτέρου λόγου κατά τήν ἁγίαν Γραφήν, ἀπό τοῦ Πατέρα ὁμολογεῖν ἀρχομένου, καί εἰς Υἱόν συνομολογεῖν Πατρί προβαίνοντος, καί Πατρί καί Υἱῷ συμπαραδέχεσθαι τό Πνεῦμα τό ἅγιον, καί συμπροσκυνεῖν τούς διδασκομένους ἐνάγοντος τριάδα τελείαν μονάδι τελείᾳ, ἤγουν μίαν οὐσίαν καί θεότητα καί δύναμιν καί ἐνέργειαν ἐν τρισίν ὑποστάσεσιν.

***Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό· " Ἀλλ᾽ ἕτερον, οἶμαι, θέλων καί θέλησις, γεννῶν καί γέννησις, λέγων καί λόγος, εἰ μή μεθύομεν· τά μέν ὁ κινούμενος, τά δέ οἷον ἡ κίνησις. Οὔκουν θελήσεως τό θεληθέν, οὐδέ τό γεννηθέν γεννήσεως ( οὐδέ γάρ ἕπεται πάντως ), οὐ δέ τό ἀκουσθέν ἐκφωνήσεως, ἀλλά τοῦ θέλοντος καί τοῦ γεννῶντος καί τοῦ λέγοντος. Τά τοῦ Θεοῦ δέ καί ὑπέρ πάντα ταῦτα, ᾧ γέννησίς ἐστιν ἴσως ἡ τοῦ γεννᾷν θέλησις."***

Πρός τούς Ἀρειανούς πάντα κινοῦντας τρόπον πρός τό εὐεπίβατον αὐτοῖς εἶναι τήν κατά τοῦ Μονογενοῦς βλασφημίαν, καί λέγοντος θελήσεως, ἀλλ᾽ οὐ Πατρός Υἱόν εἶναι τόν μονογενῆ Υἱόν, ταῦτα φησιν ὁ σοφός διδάσκαλος, εὐδιάλυτον οὖσαν δεικνύς πᾶσαν αὐτῶν ἐντεῦθεν τήν κατά τῆς ἀληθείας μηχανήν. Εἰ γάρ τάς τῆς ψυχῆς δυνάμεις, ἅς ἴσως φαίη τις εἶναι συμπληρωτικάς τῆς οὐσίας αὐτῆς, δύνασθαι μέν ταύτας ἐνεργεῖν λέγομεν ἐν ᾗ σύνεισιν οὐσίᾳ, μή μέντοι καί κινεῖσθαι πάντως κατ᾽ ἐνέργειαν ἀποτελεσματικήν χωρίς τῆς τοῦ θέλοντος ἐπινεύσεως δύνασθαι. Εἰ δέ καί δοθείη καθ᾽ ὑπόθεσιν το ἴδιον ἐθέλειν αὐτάς ἐνεργεῖν ἐκ τῆς φυσικῆς κινήσεως, χωρίς τῆς τοῦ ταύτας, ἵν᾽ οὕτως εἴπω, κεκτημένου ῥοπῆς μηδέν ἰσχεῖν αὐτάς

καθάπαξ ἀποτελεσματικῶς ἐνεργεῖν τῆς ἰδίας ὁρμῆς. Οὐ γάρ ἀκολουθεῖ πάντως τῇ δυνάμει το ἔργον, μή ἐχούσῃ τήν τοῦ οὗ ἐστι δύναμις ῥοπήν, σηνεισφέρουσαν αὐτῇ τό κατ᾽ ἐνέργειαν ἐν πράγματι τέλος, καθ᾽ ἑαυτήν οὔσῃ ἀνυποστάτῳ. Μάτην τήν θέλησιν προεβάλοντο, μή οὖσάν τινος ἀποτελεστικήν, χωρίς τοῦ αὐτήν ἔχοντός τε και θέλοντος. Καί τοῦτό ἐστιν ὅ φησιν ὁ διδάσκαλος. Οὐδέ γάρ ἕπεται πάντως δηλονότι τῇ θελήσει το θεληθέν, καί ταῖς λοιπαῖς ὡσαύτως τά λοιπά, χωρίς τῆς τοῦ ταύταις ὑποκειμένου ἐν ᾧ καί εἰσί συνεισφορᾶς. Εἰ τοίνυν ἐκ τῶν καθ᾽ ἡμᾶς παραδειγμάτων τεκμαίρεσθε τά θεῖα, ὦ οὗτοι, δέξασθε ταῖς ὑμῶν γοῦν αὐτῶν στοιχοῦντες ὑποθέσεσι τῶν ἅμα πάντως εἶναι τά κατά τήν μέσην σχέσιν ἀλλήλοις συνόντα, λέγω δή τόν θέλοντα καί τό θεληθέν, τόν γεννῶντα καί τό γεννηθέν, κατά τήν σχέσιν, (1264) φημί δέ τήν θέλησιν καί τήν γέννησιν, ἀλλήλοις συνόντα. Ὡς γάρ τοῦ ὁρῶντος καί τοῦ ὁρωμένου χωρίς οὐκ ἔστιν ὅρασις, οὔτε τοῦ νοοῦντος καί τοῦ νοουμένου νόησις, οὕτως οὐδέ τοῦ γεννῶντος καί τοῦ γεννωμένου γέννησις, οὐδέ τοῦ θέλοντος καί τοῦ θελομένου θέλησις, ὅτι μηδέ ἕπεται θελήσει τό θεληθέν, ὡς ἐδείχθη, χωρίς τῆς τοῦ θέλοντος συνεισφορᾶς. Εἰ δέ τῶν ἅμα ταῦτά ἐστι κατά τήν σχέσιν, ἀκίνητος γάρ ἡ ἐπ᾽ ἀμφοῖν σχέσις, ἅμα ἦν ἄρα τῷ γεννῶντι Πατρί, ἀεί ὄντι Πατρί, διά γεννήσεως, καί καθ᾽ ὑμᾶς ὁ γεννώμενος Υἱός, μή παραδεχόμεος καθ᾽ οἱονδήποτε τρόπον μεταξύ αὐτοῦ καί τοῦ γεννῶντος Πατρός παρενθήκην χρόνου, καί οὐκ ἔτι θελήσεως ἐστιν Υἱός ὁ Υἱός, ἀλλά τοῦ γεννῶντος Πατρός. Καί ταῦτα, φησίν, ἐκ τῶν καθ᾽ ἡμᾶς παραδειγμάτων εἰρήσθω, τά δέ τοῦ Θεοῦ καί ὑπέρ πάντα ταῦτα, ᾧ γέννησις ἴσως ἐστίν ἡ τοῦ γεννᾷν θέλησις. Ἀμφέβαλε δέ τοῦτο διά τοῦ " Ἴσως" ἐπιῤῥήματος διά τό καί ὑπέρ θέλησιν εἶναι τήν ἐκ τοῦ Πατρός τοῦ Υἱοῦ γέννησιν. Οὐ γάρ μεσάζεται θελήσει ἐκ τοῦ Πατρός ὁ Υἱός, οὐδέ προεπινοεῖται τοῦ Υἱοῦ καθ᾽ ὁτιοῦν ἡ τοῦ Πατρός θέλησις, ὅτι μηδέ προϋπῆν ὁ Πατήρ τοῦ Υἱοῦ, ὥσπερ οὐδέ νοῦς λόγου τοῦ ἐξ αὐτοῦ, οὔτε φῶς τοῦ ἀπαυγάσματος. Ἅμα γάρ τό εἶναι ἔχοντες καί θέλησιν μίαν ἔχουσιν ὅ τι Πατήρ καί ὁ ἐξ αὐτοῦ ἀνάρχως γεννηθείς Υἱός, ἁπλῆν τε καί ἀδιαίρετον, ὥσπερ οὖν καί οὐσίαν μίαν καί φύσιν.

***Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό· "Ἐπεί τί κωλύει κἀμέ ταύτην πρότασιν ποιησάμενον τήν ὅτι, Ὁ Πατήρ μείζων τῇ φύσει, ἔπειτα προσλαβόντα***

***τό, Φύσει δέ οὐ πάντως μεῖζον, οὐδέ Πατήρ, συναγαγεῖν, Τό μεῖζον οὐ πάντως μεῖζον, ἤ, Ὁ Πατήρ οὐ πάντως Πατήρ."***

Ἐπειδήπερ μείζονα τῷ αἰτίῳ τοῦ Υἱοῦ τον Πατέρα σοφῶς ὁ διδάσκαλος, ὡς τοῦ Πατρός ὄντος τοῦ Υἱοῦ, ἀλλ᾽ οὐκ ἐκ τοῦ Υἱοῦ τοῦ Πατρός ὑπάρχοντος, διωρίζετο, προσλαβόντες οἱ Ἀρειανοί τήν τό αἴτιον φύσει πρότασιν συνῆγον αὐτῷ κακούργως τό φύσει μεῖζον. Πρῶτον μέν ἐπιλύεται γενναίως τό παραλελογισμένως ὑπ᾽ αὐτῶν συναχθέν εἰπών· " Οὐκ οἶδα πότερον ἑαυτούς παραλογίζονται, ἤ τούς πρός οὕς ὁ λόγος." Οὐ γάρ ἁπλῶς ὅσα κατά τινος λέγεται, ταῦτα καί κατά τοῦ ἀποκειμένου τούτῳ ῥηθήσεται· ἀλλά δῆλον κατά τίνος καί τίνα τοῦτ᾽ ἔστιν. Οὐ γάρ ὅσα κατά τοῦ αἰτίου ὡς αἰτίου, φησί, λέγεται, ταῦτα καί κατά τοῦ φύσει ῥηθήσεται. Οὐκ ἔστι γάρ λόγου τά κατά τινος φέρε εἰπεῖν σοφοῦ ἤ βασιλέως ὡς σοφοῦ ἤ ὡς βασιλέως λεγόμενα καί κατά τοῦ ὑποκειμένου τούτοις ῥηθῆναι, ὡς ἀνθρώπων, καί συμπαραλαμβάνειν ἀθέσμως τῷ τῆς οὐσίας ὅρῳ τῶν ὑποκειμένων τά κατά τῆς σοφίας ὡς σοφίας, καί τά κατά τῆς βασιλείας ὡς βασιλείας λεγόμενα, τά μηδέν καθόλου τῷ λόγῳ τῆς οὐσίας ἐπικοινωνοῦντα ὡς συστατικάς διαφοράς αὐτῆς καί συμπληρωτικάς (1265) τοῦ κατ᾽ αὐτήν ὅρου παραλαμβάνειν. Ἔπειτα σοφώτερον συμπλέξας αὐτοῖς ἐκ τῆς αὐτῶν προτάσεως συλλογισμόν περιτρέπει αὐτούς ἑαυτοῖς. Ἔχει δέ οὕτως· Ἐπεί τί κωλύει κἀμέ ταύτην πρότασιν ποιησάμενον τήν ὅτι, Ὁ Πατήρ μείζων τῇ φύσει, ἔπειτα προσλαβόντα τό, Φύσει δέ οὐ πάντως μεῖζον οὐδέ Πατήρ, ἐντεῦθεν συναγαγεῖν, Τό μεῖζον οὐ πάντως μεῖζον, ἤ, Ὁ Πατήρ οὐ πάντως Πατήρ. Πρός δέ τό σαφέστερον ἡμῖν γενέσθαι καί συνεκτικώτερον διαγράψωμεν, εἰ δοκεῖ, σχήματι τό λεγόμενον, ἐκ μέν τῆς τῶν ἐναντίων ἐπιχειρήσεως ἀρχόμενοι, εἰς δέ τήν τοῦ Πατρός καταπαύοντες διδασκαλίαν.

Πρότασις Ἀρειανῶν, ἤγουν Εὐνομιανῶν· " Εἰ φύσει αἴτιος ὁ Πατήρ τοῦ Υἱοῦ, μείζων δέ ὁ Πατήρ του Υἱοῦ, μείζων ἄρα τῇ φύσει ὁ Πατήρ τοῦ Υἱοῦ." Ἐπίλυσις τοῦ ἁγίου Πατρός ἡμῶν Γρηγορίου διά τῆς εἰς ἄτοπον ἀπαγωγῆς περιτρέποντος τούς ἐναντίου· " Εἰ φύσει μείζων καθ’ ὑμᾶς ὁ Πατήρ τοῦ Υἱοῦ, τό δέ φύσει οὐ πάντως μείζων ἤ Πατήρ. τό μεῖζον ἄρα οὐ μεῖζον, ἤ ὁ Πατήρ οὐ πάντως Πατήρ."

Οὕτω περιτρέπονται τοῖς οἰκείοις ἑαλακότες μηχανήμασιν οἱ τήν ἀλήθειαν ἀπαναινόμενοι, κενοί κενῶς τῆς εὐσεβείας ἐκτιναχθέντες. Ἐπί γάρ τῶν τοιούτων λόγων τά συμπεράσματα τῶν προτάσεών εἰσι συστατικά, τῶν δέ συμπερασμάτων αἱ προτάσεις ὑπάρχουσιν

ὁριστικαί, οἷς περιπτώκασιν ἐκ πολλῆς ἀμαθίας οἱ ἑαυτούς οἰόμενοι σοφούς.

***Ἔστω δέ καί ἐνεργείας, εἰ δοκεῖ, οὐδέ οὕτως ἡμᾶς αἱρήσετε. Αὐτό δέ τοῦτο ἐνεργηκώς ἄν εἴη τό ὁμούσιον, εἰ καί ἄτοπος ἄλλως ἡ τῆς περί τοῦτο ἐνεργείας ὑπόληψις."***

Ἐπειδή οἱ τήν γλῶσσαν ὡσεί ξυρόν κατά τῆς ἀληθείας ἠκονημένην ἔχοντες ἔλεγον δῆθεν ἐρωτῶντες· Ὁ Πατήρ οὐσίας ἐστίν, ἤ ἐνεργείας ὄνομα εἶναι τό, Πατήρ, ἐντεῦθεν συναγάγωσι τό ἑτερούσιον εἶναι τῷ Πατρί τόν Υἱόν, ὡς τῆς αὐτῆς οὐσίας δύο μή ἐπιδεχομένης καί διάφορα κυρίως ὀνόματα (εἰ γάρ τό Πατήρ οὐσίας ἐστίν ὄνομα, οὐκ ἄν ποτε τῆς αὐτῆς ὄνομα εἴη τό Υἱός)· εἰ δέ ἐνεργείας, σαφῶς τοῦ Πατρός ποιήμα τόν Υἱόν ὁμολογοῦντας δείξωσιν, ὡς ἐνέργημα, μετά τό τήν κυριολεξίαν ἀντιθετικῶς διελθεῖν εὐθέως πρός αὐτούς τόν διδάσκαλον εἰρηκότα οὔτε οὐσίας εἶναι τό πατήρ ὄνομα, οὔτε ἐνεργείας, ἀλλά σχέσεως, καί τοῦ πῶς ἔχει πρός τόν Υἱόν ὁ Πατήρ, ἤ ὁ Υἱός πρός τόν Πατέρα, συμπεριφορικῶς ἐνήγαγεν εἰπών· " Ἔστω καί ἐνεργείας, εἰ τοῦτο δοκεῖ," καί ἐπιφέρει· "Αὐτό δέ τοῦτο ἐνηργηκώς ἄν εἴη τό ὁμοούσιον." Πῶς οὖν ἐνεργεῖ τό ὁμοούσιον; ζητήσαι τις ἄν τυχόν τῶν ἄγαν ἐξεταστικῶν καί μηδέν τῶν συμφερόντων ἀγνοεῖν ἀνεχομένων. Τοῦτο δέ κατά τοιόνδε τρόπον ὁμαλισθήσεται. Δύο καθόλου τάς ἐνεργείας εἶναί φασιν ἐν τοῖς οὖσι, 1268) μίαν μέν τήν προάγουσαν ἐκ τῶν ὄντων φυσικῶς τά ὁμογενῆ καί ὁμοούσια καί ἑαυτοῖς πάντη ταὐτά. Καθ᾽ ἥν συμπεριενεχθείς τοῖς λογολέσχαις ἐπιεικῶς πρός τό μικρόν γοῦν ἐπισχεῖν αὐτούς τοῦ βλασφημεῖν φησιν ὁ διδάσκαλος. " Ἔστω δέ καθ᾽ ὑμᾶς," κατά τόν ἀποδοθέντα σκοπόν τοῦ λόγου, " καί ἐνεργείας ὄνομα ὁ Πατήρ. Οἷς ἐπάγει· "Αὐτό δέ τοῦτο ἐνηργηκώς ἄν εἴη ὁ Πατήρ," δηλονότι τό ὁμοούσιον, ὡς ἐνέργειαν οὐσιωδῶς ὑφεστῶσαν καί ζῶσαν,ὥσπερ οὖν ἀμέλει καί λόγον ζῶντα καί δύναμιν καί σοφίαν αὐθυπόστατον τόν μονογενῆ Θεοῦ Λόγον καί Υἱόν τοῦ Πατρός εἰρήκασιν οἱ θεόφρονες τῆς ἀληθείας διδάσκαλοι. Τήν δέ ἑτέραν ἐνέργειάν φασιν εἶναι τῶν ἐκτός ἀπεργαστικήν, καθ᾽ ἥν περί τι τῶν ἔξωθεν καί ἑτερούσιων ἐνεργῶν τις ἕτερόν τι τῆς ἰδίας οὐσίας ἀλλότριον ἐκ προϋποκειμένη ὕλης τινός κατασκευάζει. Ταύτην δέ τήν ἐνέργειαν ταῖς τέχναις ἐπιστημονικῶς συγκεῖσθαί φασι. Περί ἧς ὁ θεόφρων διδάσκαλός φησι, "Εἰ καί ἄτοπος ἄλλως," παρ᾽ ὅν ἐλήφθη δηλονότι τρόπον, " Ἡ τῆς περί τοῦτο ἐνεργείας ὑπόληψις," καί

μάλιστα ἐπί Πατρός καί Υἱοῦ λαμβανομένης, ἐφ᾽ ὧν οὐδέ τήν πρώτην κυρίως δέξασθε ὁ εὐσεβής ἀνέχεται νοῦς, διά το καί ὑπέρ ταύτην εἶναι τήν ἐκ τοῦ Πατρός καί ἅμα τῷ Πατρί καί ἐν τῷ Πατρί ἄφραστον καί ἀπερινόητον ὕπαρξιν τοῦ Μονογενοῦς.

***Ἐκ τοῦ β΄ περί Υἱοῦ λόγου, εἰς τό· " Θεός δέ λέγοιτο ἄν οὐ τοῦ Λόγου, τοῦ ὁρωμένου δέ. Πῶς γάρ εἴη τοῦ κυρίως Θεοῦ Θεός; ὥσπερ καί Πατήρ οὐ τοῦ ὁρωμένου, τοῦ Λόγου δέ. Καί γάρ ἦν διπλοῦς, ὥστε τό μέν κυρίως ἐπ᾽ ἀμφοῖν, τό δέ οὐ κυρίως· ἐναντίως δέ ἐφ᾽ ἡμῶν ἔχει. Ἡμῶν γάρ κυρίως Θεός ὁ Θεός, οὐ κυρίως δέ Πατήρ."***

Τό μέν κυρίως ἐπ᾽ ἀμφοῖν θετέον, τοῦ, Πατήρ, καί τοῦ, Θεός, ὡς ἀμφοῖν ἐπί Χριστοῦ κυρίως λέγεσθαι δυναμένων διά τήν μίαν ὑπόστασιν. Χριστοῦ γάρ Πατήρ κυρίως ἐστίν ὁ Θεός, ὡς Υἱοῦ καί Θεοῦ Λόγου καί ἑνός τῆς ἁγίας Τριάδος ὑπάρχοντος καί μετά τήν σάρκωσιν, καί Θεοῦ τοῦ αὐτοῦ Χριστοῦ πάλιν κυρίως ἐστίν, ὡς ἀνθρώπου κατά ἀλήθειαν ὄντος διά τήν σάρκα, καί ἑνός τῶν ἀνθρώπων χρηματίζοντος· τά γάρ τῶν μερῶν τοῦ ἐξ αὐτῶν ὅλου κυρίως κατηγορεῖται, ὡς ἐπιδεχομένου πάντα κυρίως τά φυσικῶς προσόντα τοῖς μέρεσιν, ἐξ ὧν καί ὑφέστηκε. "Τό δέ οὐ κυρίως ὡσαύτως ἐπ᾽ ἀμφοῖν" ληπτέον, τοῦ, Θεός, καί τοῦ, Πατήρ ὡς ἀμφοῖν ἐπί Χριστοῦ κυρίως λεχθῆναι μή δυναμένων, διά τήν φυσικήν διαφοράν τῶν ἐξ ὧν καί ἐν αἷς συνέστηκε φύσεων. Τά γάρ τῷ κατά σύνθεσιν ὅλῳ προσόντα θατέρου τῶν ἑαυτοῦ μερῶν οὐδέποτε κυρίως κατηγορηθήσεται. " Ἐναντίως" δέ " ἤ ἐφ᾽ ἡμῶν ἔχει," τουτέστιν ἔμπαλιν καθώς ἐφ᾽ ἡμῶν ἔχει. Ἡνίκα γάρ τήν (1269) διαφοράν θεωρῶ τῶν φύσεων, καί τήν αὐτῶν κατ᾽ ἐπίνοιαν ποιοῦμαι διάκρισιν, οὐ δύναμαι τό ἐπ᾽ ἀμφοῖν κυρίως τιθέναι, τοῦ, Πατήρ, φημί καί τοῦ, Θεός. Οὐ γάρ κυρίως τοῦ Λόγου Θεός ἐστιν ὁ Πατήρ, οὐ δέ κυρίως Πατήρ τῆς σαρκός ἐστιν ὁ Θεός. " Ἐναντίως δέ," τουτέστιν ἔμπαλιν δέ, ἤ ἀντιστρόφως δέ, τοῦ τε "κυρίως" δηλονότι καί "οὐ κυρίως," ἐπί τε τῆς ἑνώσεως καί τῆς μίας ὑποστάσεως, ἐπί τε τῆς διαφορᾶς τῶν φύσεων καί τῆς κατ᾽ ἐπίνοιαν αὐτῶν διακρίσεως λαμβανομένων, ὡς τῆς μέν μίαν ὑποστάσεως κυρίως Θεόν καί Πατέρα λεγόμενον, ὡς ἑνός Χριστοῦ, τόν Θεόν ἐπιδεχομένης, κατά τήν ἀποδοθεῖσαν αἰτίαν, τῆς δέ κατ᾽ οὐσίαν διαφορᾶς τῶν φύσεων ἔμπαλιν τό μή κυρίως ἐπιδεχομένης, καθώς ἐφ᾽ ἡμῶν ἔχει. Ἡμῶν γάρ κυρίως μέν Θεός ὁ Θεός, ὥσπερ καί τῆς τοῦ Λόγου σαρκός, οὐ κυρίως δέ Πατήρ, ὥσπερ

οὐδέ τῆς τοῦ Λόγου σαρκός. Ἐνηλλαγμένως οὖν τά τοῦ ὅλου τοῖς μέρεσι, καί τῷ ὅλῳ τά τῶν οἰκείων μερῶν ἐκφωτητέον, καί ἔσται ῥαδία καί σαφή ἡ τοῦ προκειμένου κατάληψις. Καί ἵνα σαφέστερον γένηται τό λεγόμενον, ἡνίκα μέν ὡς ὑπόσταστις ὁ Χριστός θεωρεῖται, τό " κυρίως ἐπ᾽ ἀμφοῖν," τοῦ, Θεός, λέγω καί τοῦ, Πατήρ, θετέον, ἡνίκα δέ διά τήν ἀσύγχυτον ὕπαρξιν τῶν ἐν οἷς καί ἐξ ὧν ἐστιν αἱ τοῦ Χριστοῦ φύσεις θεωροῦνται, τό " ἔμπαλιν" θετέον, ὅπερ ἐστί τό μή κυρίως, καθώς ἐφ᾽ ἡμῶν ἔχει. Καί δηλοῖ τοῦτο σαφῶς λέγων ὁ διδάσκαλος διά τοῦ ἐπαγαγεῖν, " Καί τοῦτο ποιεῖ τοῖς αἱρετικοῖς τήν πλάνην, ἡ τῶν ὀνομάτων ἐπίζευξις, ἐπαλλατομένων τῶν ὀνομάτων διά τήν σύγκρασιν." Σημεῖον δέ, ἡνίκα αἱ φύσεις διίστανται ταῖς ἐπινοίαις, συνδιῄρηνται καί τά ὀνόματα. Τουτέστιν, ἕως ὑπόστασιν μίαν σκοπεῖς τόν Χριστόν, ἡ κατ᾽ ἐπαλλαγήν τῶν ὀνομάτων ἐπίζευξίς ἐστιν ἀδιαίρετος, ἐπειδάν δέ ταῖς ἐπινοίαις διαστήσῃς τάς συμπλούσας τήν μίαν ὑπόστασιν τοῦ Χριστοῦ φύσεις, συνδιεῖλε ταῖς φύσεσι καί τά ὀνόματα· ἤ πάλιν, ἐπείπερ τήν φύσιν διπλοῦς ὁ Χριστός, ἄμφω κατηγορεῖται αὐτοῦ, τό Θεός καί Πατήρ, κυρίως μέν ἡνίκα συνεκφωνεῖται καταλλήλως ταῖς φύσεσι τά ὀνόματα, οὐ κυρίως δέ ὅταν ἡ κατά φύσιν ἑκατέρου τῶν ἐξ ὧν ἐν οἷς τε καί ἅπερ ἐστί θατέρῳ διά τήν μίαν ὑπόστασιν ἐπηλλαγμένως ἀντιδίδοται κτῆσις. Ὅπερ ποιεῖν μή γινώσκοντες, ἤ κυρίωτερος εἰπεῖν μή ἀνεχόμενοι, οἱ τότε καί οἱ νῦν αἱρετικοί τόν μονογενῆ Θεόν Λόγον βλασφημεῖν οὐ παραιτοῦνται, οἱ μέν εἰς κτίσμα κατάγοντες διά τά ἀνθρώπινα, οἱ δέ τήν οἰκονομίαν συγχέοντες διά τήν ἄρνησιν τῶν ἐξ ὧν ἐστι φύσεων. Ἄλλος δέ πάνυ τά θεῖα σοφός τοῦτον ἐρωτηθείς παρ᾽ ἐμοῦ τόν τόπον ἔφη· Τό μέν "κυρίως," τό δέ "οὐ κυρίως ἐπ᾽ ἀμφοῖν," τῆς αὐτῆς ἐστι κατηγορίας τῆς σχετικῆς, εἴτε τῆς Πατήρ, εἴτε τῆς Θεός, ἤ καί ἑκατέρας, ὡς ἐφ᾽ ἑνός Χριστοῦ τιθεμένης, τοῦ συνεστῶτος ἐκ δυοῖν τῶν ἐναντίων, "κυρίως" καί "οὐ κυρίως". Εἰ μέν Θεός ὁ Πατήρ τοῦ Χριστοῦ λεχθείη κατά τήν ἐπίνοιαν τῶν δύο φύσεων, "κυρίως" μέν τοῦ κτίσματος ἄν λέγοιτο, "οὐ κυρίως" δέ τοῦ Θεοῦ Λόγου. Ὁμοίως δέ καί ἐκ τῶν ἐναντίων Πατήρ " κυρίως" τοῦ Λόγου, (1272) τοῦ δέ κτίσματος "οὐ κυρίως," καθά καί ἐφ᾽ ἡμῶν ἔχει ταῦτα λεγόμενα. Ἡμῶν γάρ " κυρίως " μέν Θεός, "οὐ κυρίως" δέ Πατήρ. Ταύτην ἀποδεξάμενος ἐγώ τοῦ σοφοῦ τήν ἐπιβολήν ὡς καλῶς ἔχουσαν συνεῖδον ἐνταγῆναι τῷ γράμματι.

***Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό, " Λαμβάνειν αὐτόν, δηλαδή τόν Χριστόν, ζωήν, ἤ κρίσιν, ἤ κληρονομίαν ἐθνῶν, ἤ ἐξουσίαν πάσης σαρκός, ἤ δόξαν, ἤ μαθητάς, ἤ ὅσα λέγεται," καί τούτοις ἐπαγαγεῖν τόν διδάσκαλον ὅτι, " Καί τοῦτο τῆς ἀνθρωπότητος, εἶτα προσεπαγαγεῖν," " Εἰ δέ καί τῷ Θεῷ δοίης, οὐκ ἄτοπον. Οὐ γάρ ὡς ἐπίκτητα δώσεις, ἀλλ᾽ ὡς ἐξαρχῆς συνυπάρχοντα, καί λόγῳ φύσεως, ἀλλ᾽ οὐ χάριτος."***

Πρός ἐμαυτόν περί τούτου πολλάκις διαπορήσας, πῶς καί τίνι λόγῳ, καθώς φησιν ὁ διδάσκαλος, ὅ κατά φύσιν ἔχει λαμβάνειν ὁ Θεός λέγεται, καί μή δυνηθείς ἐμαυτόν πληροφορῆσαι, τέλος καλῶς ἔχειν ἔρεσθαι γέροντα σοφόν διέγνων, ὅστις τόν περί τούτου λόγον ἐπιστημόνως μάλα διΐθυνεν οὑτωσί λέγων, ὅτιπερ καθ᾽ ὑπόθεσιν εἰδῶμέν τινα σαφηνίζοντά τισι τάς τῶν ὄντων φύσεις, ἐρεῖν πρός αὐτούς· Δῶμεν τῷ Θεῷ τῷ παντοδύναμον, τό σοφόν, τό ἀγαθόν, τό δίκαιον· ὡσαύτως τῇ κτίσει τό δοῦλον, τό ὑπήκοον, τό περιγραπτόν, τό ἐκ μή ὄντων ὑποστῆναι, καί τά τούτοις ἀκόλουθα, ὡς τῆς φύσεως ἑκάστου ἐν ταῖς κοιναῖς ἐννοίαις ἀπαιτούσης τά ἴδια. Φάσκων οὖν ὁ τυχών τό· "Δῶμεν τῷ Θεῷ," οὐχί τό μή προσόν αὐτῷ παρεῖχεν, ἀλλ᾽ ὅπερ ἡ φύσις ἔχει. Τοῦτο γάρ τό "Δῶμεν" σημαίνει οἷον τό διορίζειν τήν φύσιν διά τῶν αὐτῇ προσόντων ἀπό τῶν μή τοιούτων. Τόν αὐτόν τρόπον κἀνταῦθα λέγοντα τόν διδάσκαλον εὐσεβῶς ἐκδέχου, "Εἰ δέ καί τῷ Θεῷ δῶμεν," τουτέστι τῆς φύσεως τό προσόν αὐτῇ πρός τῶν διευκρινούντων τά πράγματα λαμβανούσης.

***Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό· " Ὡς γάρ ἀδύνατον εἶναι λέγομεν πονηρόν εἶναι Θεόν, ἤ μή εἶναι."***

Καί τοῦτο τόν προλεχθέντα σοφόν ἐρωτήσας γέροντα ἔφη μή ἠρτῆσθαι τό "μή εἶναι" τῷ προλεχθέντι, ἵνα μή συναχθῇ τό εἶναι τόν Θεόν πονηρόν· " Ὡς γάρ ἀδύνατον εἶναι λέγομεν πονηρόν εἶναι Θεόν, ἤ μή εἶναι" πονηρόν, ἀλλ᾽ εἶναι πονηρόν, κατά κοινοῦ τοῦ " πονηρόν" κειμένου. Δύο γάρ ἀρνήσεις μίαν συγκατάθεσιν ἐπάγουσιν. Ἔστιν οὖν ἀρνητικόν τό "ἀδύνατον," συμπλεκόμενον δέ τῷ "μή εἶναι πονηρόν," συνάγει τό πονηρόν εἶναι. Ὅπερ οὐχ οὕτως ἔχει, μή γένοιτο. Ἀλλ᾽ ἕκαστον (1273) ἀπό ἰδίας ἀρχῆς ἔχει τόν εἱρμόν, ἵνα ᾖ τό κῶλον οὕτως ὁμαλιζόμενον, " Ὡς γάρ ἀδύνατον εἶναι λέγομεν πονηρόν εἶναι Θεόν," καί στίξαι καί πάλιν ἄρξασθαι νοήματος ἑτέρου καί προσεπαγαγεῖν, " Ἤ μή εἶναι," ἀντί τοῦ ἀνυπάρκτου εἶναι.

***Ἐκ τοῦ αὐτοῦ λόγους, εἰς τό, "Ἔχεις τάς τοῦ υἱοῦ προσηγορίας, βάδιζε δι᾽ αὐτῶν, ὅσαι ὑψηλαί, θεϊκῶς, καί ὅσαι σωματικαί, συμπαθῶς, μᾶλλον δέ ὅλον θεϊκῶς, ἵνα γένῃ Θεός κάτωθεν ἀνελθών διά τόν κατελθόντα δι᾽ ἡμᾶς ἄνωθεν."***

Ὁ τόν νοῦν διά τῆς ὑψηλῆς θεωρίας κατά τήν ἑκάστου τῶν θείων ὀνομάτων ἐπίνοιαν καταφωτίσας καί πρός τόν ἀρχικόν ἑκάστου καί πνευματικόν λόγον ἀναγαγών τε καί μεταποιήσας, καί τοῖς ὑπέρ ἀρετῆς πόνοις τό φρόνημα τῆς σαρκός καθυποτάξας τῷ πνεύματι, ὑπήκοός τε μέχρι θανάτου γενόμενος, οὗτος ἀληθῶς βάδιζε "διά τῶν θείων προσηγοριῶν" ἀμέπτως κατά τε πνεῦμα καί σάρκα, τήν θείαν καί πρός Θεόν ἄγουσαν πορείαν ποιούμενος, "ὑψηλῶς" μέν κατά τήν μυστικήν θεωρίαν διά τῶν ὑψηλῶν ὀνομάτων, "συμπαθῶς" δέ κατά τήν πρακτικήν φιλοσοφίαν, διά τῶν σωματικῶν πρός τήν ἄνω λῆξιν ἐπειγόμενος, "μᾶλλον δέ τό ὅλον θεϊκῶς," ὡς θεωρητικῆς οὔσης καί τῆς πράξεως καί λογικῆς χάριτος μή ἀμοιρούσης· ἀλλ᾽ ὅτου χάριν τήν πρός τήν σάρκα γνωμικήν ἀλλοτρίωσιν διά τῆς τελείας περιτομῆς τῶν αὐτῶν φυσικῶν κινημάτων εἵλετο σαφῶς ὑπαγορεύων ὅτιπερ, ἵνα γένηται καί αὐτός χάριτι Θεός, ὑπέρ τήν ὕλην κατά σάρκα διά τῆς πράξεως, καί κατά νοῦν διά θεωρίας ὑπέρ τό εἶδος, ἐξ ὧν ἡ τῶν ὄντων ὕπαρξις ὑφέστηκεν, ἑαυτόν καταστήσας, καί τό ὅλον εἰπεῖν, κατά τήν ἕξιν τῆς ἀρετῆς καί τῆς γνώσεως ἄϋλος καί ἀνείδεος πάντῃ γενόμενος, διά τόν δι᾽ ἡμᾶς ἐν ὕλῃ καί εἴδει καθ᾽ ἡμᾶς ἀληθῶς ἐξ ἡμῶν γενόμενον Θεόν Λόγον, τόν κατά φύσιν κυρίως ἄϋλον καί ἀνείδεον. Ἢ καί πάλιν τό· "Μᾶλλον δέ ὅλον θεϊκῶς," διά τήν ἐγγενομένην αὐτῷ κατορθώσαντι τήν ἐφικτήν ἀνθρώποις ἀρετήν καί γνῶσιν, ἐκ τῆς πρός τόν Θεόν καί τόν πλησίον συμπαθείας, ἀπάθειαν, ὑπέρ τῆς τῶν ἄλλων ὀφειλῆς πάσχειν καί τήν ψυχήν ἑτοίμως προϊέσθαι, ὡς κηλίδων παντάπασιν ὑπάρχων ἐλεύθερος.

***Τοῦ αὐτοῦ, ἐκ τοῦ εἰς τά Γενέθλια λόγου, εἰς τό, " Νόμοι φύσεως καταλύονται· πληρωθῆναι δεῖ τόν ἄνω κόσμον. Χριστός κελεύει· μή ἀντιτείνωμεν. "***

Κατά ἀλήθειαν οἱ νόμοι τῆς φύσεως καταλυθέντες τήν τοῦ ἄνω κόσμου πλήρωσιν εἰργάσαντο. (1276) Δηλονότι μή καταλυθέντων ἐλλιπής ἄν ὁ ἄνω κόσμος διέμεινε καί ἀπλήρωτος. Τίνες δέ οἱ

καταλυόμενοι νόμοι τῆς φύσεως εἰσιν; Ἡ διά σπορᾶς σύλληψις καί ἡ διά φθορᾶς ἐστιν, ὡς οἶμαι, γέννησις, ὧν οὐδέτερον τήν ἀληθινήν τοῦ Θεοῦ σάρκωσιν καί τελείαν ἐνανθρώπησιν παντελῶς ἐχαρακτήρισε. Σπορᾶς γάρ ἀληθῶς ἡ σύλληψις, καί φθορᾶς γέγονε πάμπαν ἡ γέννησις, καθαρά καί ἀνέπαφος, καί διά τοῦτο Παρθένος καί μετά τόν τόκον τοῦ γεννηθέντος ἡ Μήτηρ, διά τοῦ τοκετοῦ μᾶλλον ἀπαθής διαμείνασα, ὅ καί παράδοξον καί πάντα φύσεως νόμον τε καί λόγον ἐκβεβηκός, καί Θεός ὁ ἐξ αὐτῆς σαρκί γεννηθῆναι καταξιώσας, διασφίγξας αὐτῇ μᾶλλον ὡς μητρί τά τῆς παρθενίας δεσμά διά τῆς γεννήσεως. Τό θαυμαστόν ὄντως καί πρᾶγμα καί ἄκουσμα, γέννησιν γενέσθαι βρέφους καί πρόοδον, τῶν γεννητικῶν κλείθρων τῆς τεκούσης μή ἀνοιγέντων. Ἔδει γάρ ὄντως, ἔδει τόν ποιητήν τῆς φύσεως δι᾽ ἑαυτοῦ τήν φύσιν ἐπανορθούμενον πρώτους καταλῦσαι τούς νόμους τῆς φύσεως, οἷς ἡ ἁμαρτία διά τῆς παρακοῆς τήν αὐτήν τοῖς ἀλόγοις ζώοις τούς ἀνθρώπους ἔχειν τῆς ἐξ ἀλλήλων διαδοχῆς ἰδιότητα κατεδίκασε, καί οὕτω τῆς πρώτης καί ὄντως θείας δημιουργίας τούς νόμους ἀνανεώσασθαι, ἵνα ὅπερ ὁ ἄνθρωπος ἐξ ἀπροσεξίας ὡς ἀσθενής ἠφάνισε, τοῦτο διά φιλανθρωπίαν ὁ Θεός ὡς δυνατός ἐπανορθώσηται.

Εἰ τοίνυν οἱ διά τήν ἁμαρτίαν νόμοι τῆς φύσεως ἐν Χριστῷ κατελύθησαν, καί πᾶσα δουλοπρεπής τῶν παθῶν ἐπανάστασις διά τῆς παρουσίας τοῦ λόγου παντελῶς ἀπεγένετο, πληρωθῆναι δεῖ πάντως τόν ἄνων κόσμον, ὥς φησιν ὁ διδάσκαλος. Καί πρός τοῦτο μή ἀντιτείνωμεν. Εἰ γάρ ὁ παλαιός ὑπό τήν ἁμαρτίαν Ἀδάμ ψιλός ἄνθρωπος ὤν τούς πρώτους ἐν πνεύματι νόμους τῆς φύσεως διά τῆς παρακοῆς καταλύσας τόν κάτω κόσμον ἐπλήρωσε τῶν κατ᾽ αὐτόν σαρκί γεννηθέντων εἰς φθοράν, τῷ ὁμοιώματι τῆς αὐτοῦ παραβάσεως γενόμενος ἀρχηγός, καί οὐδείς ἀντερεῖ, πολλῷ μᾶλλον ὁ ἀναμάρτητος νέος, ὁ Ἀδάμ Χριστός ὁ Θεός τούς διά τήν ἁμαρτίαν ἐπεισαχθέντας τῇ φύσει νόμους τῆς ἀλογίας καταλύσας, ὡς λόγος, τόν ἄνων κόσμον πληρώσειεν ἄν δικαίως τῶν κατ᾽ αὐτόν εἰς ἀφθαρσίαν πνεύματι γεννωμένων, τῷ ὁμοιώματι τῆς αὐτοῦ ὑπακοῆς γενόμενος ἀρχηγός. Καί ἀπιστείτω μηδείς τῶν κἄν μικρός ἐπησθημένων τῆς τοῦ Θεοῦ δυναστείας καί τό μέγεθος αὐτῆς μή ἀγνοούντων. Οὕτω μέν οὖν ὁ ἄνω κόσμος πληροῦται τῶν κατά Χριστόν ἐν πνεύματι γεννωμένων, καί οὕτω πέρας δέχεται πρόσφορον ὁ κατά σάρκα νόμος καί τῆς κάτω γεννήσεως, καί πρός τόν ἄνω κόσμον πάντα ἀναῤῥυθμίζεται.

*Ἄλλη ἐπιβολή εἰς τό αὐτό.*

Ἐπειδή δέ καί ἄλλον νοῦν πρός τούτοις ὁ τοῦ διδασκάλου λόγος ἔχων μοι φαίνεται, λεκτέον καί τοῦτον ὡς καθ᾿ ἡμᾶς ἐστι δυνατόν, Θεοῦ τόν λόγον ἰθύνοντος ἐν τοῖς Εὐαγγελίοις. Ἡ μόνη τῶν ὅλων αἰτία (1277) καί Θεός Ἰησοῦς ὁ ἐμός ἐν παραβολαῖς κρυφίως διδάσκων πρόβατον θείας ἑκατοντάδος ἀποφοιτῆσαν, καί δραχμήν θείας δεκάδος παραπολομένην, καί υἱόν ἄσωτον ἀφραδῶς τοῦ πατρός ἀποπηδήσαντα καί ἀδελφικῆς θείας δυάδος τήν ὁμόνοιαν λύσαντα τόν ἄνθρωπον ἐκάλεσε πρόβατον μέν ὡς προνοητόν, οἶμαι, καί ἀγόμενον, καί ταττόμενον, καί τριῶν χρειωδῶν τῷ κεκτημένῳ παρεκτικόν, μαλοῦ καί ἀμνοῦ γάλακτος, ὡς τρεφόμενόν τε καί τρέφοντα, τῷ λόγῳ τε καί τῷ τρόπῳ τῆς φυσικῆς θεωρίας, καί ἐνδυόμενον καί ἐνδύοντα τῷ τρόπῳ τῆς ἠθικῆς φιλοσοφίας, καί πλουτοῦντα καί πλουτίζοντα κατά τήν τοῦ ὁμοίου γέννησιν τῷ μυστηρίῳ τῆς ἀληθοῦς ἐποψίας· δραχμήν δέ, ὡς λαμπρόν καί βασιλικόν, καί τῷ τῆς εἰκόνος λόγῳ χαρακτηριστικόν τῆς θείας ἀρχετυπίας, καί ὅλης ὑπάρχοντα τῆς θεϊκῆς ὡραιότητος ὡς ἐφικτόν δεκτικόν· υἱόν δέ, ὡς κληρονόμον τῶν πατρικῶν ἀγαθῶν καί ἰσότιμον τῷ πατρί κατά τήν ἐκ χάριτος δωρεάν. Τοῦτον δέ τόν ἄνθρωπον ὡς μέν πρόβατον πλανηθέντα ὁ προνοητής Θεός ζητήσας ὡς ποιμήν εὗρε, καί τοῖς οἰκείοις ὤμοις ἐπιθείς πρός τήν τῶν συννόμων ἐπανήγαγε μάνδραν· ὡς δέ εἰκόνα συγχωσθεῖσαν τοῖς πάθεσι καί τό ἀρχικόν κάλλος ἀχρειώσαντα ὡς σοφία τήν ἑαυτοῦ σάρκα λύχνου τρόπον ἐξάψας τῷ φωτί τῆς ἑαυτοῦ θεότητος ὁ Λόγος εὗρε, καί χαρᾶς ὑπόθεσιν μεγάλης ποιεῖται τήν εὕρεσιν, δι᾿ ἧς τῆς θείας δεκάδος τήν ἔλλειψιν ἀνεπλήρωσεν. Ὡς δέ υἱόν νεκρωθέντα τῇ ἁμαρτίᾳ καί ἀπολόμενον τῇ περί τόν Θεόν ἀγνωσίᾳ ὡς πατήρ ἀγαθός ἐπιστρέφοντα προσήκατο, καί τῆς προτέρας ἀξίας ἐπιτίθησι πάλιν ἀνελλιπῶς τά γνωρίσματα, καί τό δή μέγιστον πάντων καί μυστικώτατον, τόν μόσχον θύει τόν σιτευτόν, ὅστις ποτέ ἦν ὁ μόσχος οὗτος καί ἡ τούτου παράδοξος θυσία (οἶμαι δέ ὅτι ὁ ἀκρότατός ἐστι τοῦ κατά τήν θείαν καί ἄῤῥητον πρόνοιαν ἀπερινοήτου καί ἀγνώστου τρόπου κρυφιώτατός τε καί ἀγνωστότατος Λόγος, καί ἡ τούτου θεοπρεπής τοῖς οὖσι μετάδοσις), καί χαρᾶς ἀῤῥήτου ποιεῖται κεφάλαιον τοῦ υἱοῦ τήν ἐπάνοδον, πληρώσασαν μεγαλοφυῶς τῶν υἱῶν τήν διάδα, ἥτις ποτέ ἐστιν αὕτη, καί ἡ πρό αὐτῆς δεκάς τῶν

δραχμῶν, καί ἡ πρό ἐκείνης τῶν προβάτων ἑκατοντάς. Περί ὧν νῦν λέγειν, εἰ δοκεῖ, παραλείψωμεν, εὐκαιρότερον ἐν ἄλλοις μετ᾽ ἐμμελοῦς ἐξεργασίας τόν ἐφ᾽ ἑκάστῳ ἀριθμῷ μυστικῶς Θεοῦ διδόντος συνοψόμενοι λόγον. Εἰ τοίνυν ὡς μέν πρόβατον ὁ καλός ποιμήν τοῖς ὤμοις ἐπιθείς πρός τά σύννομα τόν ἄνθρωπον ἐπανήγαγε, καί ὡς δραχμήν διά τῆς εἰκόνος τήν βασιλικήν ἐκτύπωσιν ἔχοντα τόν ἄνθρωπον ὡς σοφία τοῦ Θεοῦ καί Πατρός καί δύναμις διά τῆς σαρκώσεως εὗρεν ὁ Κύριος καί Σωτήρ, καί ὡς υἱόν ἐπιστρέφοντα προσήκατο ὁ ἀγαθός καί πανοικτίρμων Πατήρ, καί ταῖς κατ᾽ οὐρανόν δυνάμεσι συναριθμήσας ἐγκατέταξεν, ἑκάστου τῶν ἐν τοῖς οὐρανοῖς ἀριθμοῦ πληρώσας τήν ἔλλειψιν διά τοῦ σωθέντος (1280) ἀνθρώπου, δῆλον ὡς τόν ἄνω κόσμον ἐπλήρωσε Χριστός ὁ Θεός, τήν πάντων ἐν ἑαυτῷ θεοπρεπῶς αὐτουργήσας σωτηρίαν.

***Ἄλλη θεωρία εἰς τό αὐτό.***

Καί ἄλλως δέ, εἰ δοκεῖ, θεωρήσωμεν τό προκείμενον ἄπορον. Φασίν οἱ τῶν ὄντων τήν φύσιν ἀκριβῶς διαθρήσαντες νόμον εἶναι φύσεως ἑκάστης τήν τοῦ καθ᾽ ὅν ἐστι καί γεγένηται λόγου ἀῤῥεπῆ καί ἀναλλοίωτον μονιμότητα, καί καλῶς ἄν ἔχειν οὕτω τόν ὅρον τοῦ νόμου τῆς φύσεως, ὡς οἶμαι, πᾶς λόγου μετειληφώς ἀκούων συνθήσεται. Εἰ δέ τοῦτό ἐστιν ἀληθές, δηλονότι ὁ νόμος τῆς φύσεως ἐξ ἀνάγκης ὥσπερ τόν λόγον ἀπαράβατον φυλάττει τῆς φύσεως, οὕτω καί τόν αὐτῆς κατά τήν θέσιν πάντως διατηρεί τόπον ἀμετάθετον. Ἀλλ᾽ ὁ νόμῳ καί λόγῳ καί φύσει σοφῶς διορίσας καθ᾽ ἕκαστον εἶδος τήν τῶν ὄντων ὑπόστασιν, ὑπέρ φύσιν καί νόμον καί νοῦν καί λόγον καί τόπον καί κίνησιν ὑπάρχων, κατ᾽ οὐδέν τῶν κατά φύσιν ἐνεργεῖ τοῖς ὑπό φύσιν, ἀλλ᾽ ἑαυτῷ προσφυῶς ὑπέρ φύσιν τά κατά φύσιν τῶν ὑπό φύσιν μετερχόμενος δρᾷ τε καί πάσχει, ἀμφοῖν φυλάττων ἑαυτῷ τε πάσχοντι καί τοῖς δρωμένοις παραδόξως κατά φύσιν ἀκραιφνές τό ἀμετάβολον. Οὕτω τε κάτω πρός ἡμᾶς αὐτός κινηθείς ἀληθῶς τῇ καθ᾽ ἡμᾶς ἐκφάνσει ἄνθρωπος γέγονε τέλειος, μή κινηθείς ἑαυτοῦ τό παράπαν καί τῆς ἐν τόπῳ περιγραφῆς μηδαμῶς πεῖραν λαβών, καί ἡμᾶς ἐθέωσε τελείως, μηδέν ἡμῶν τῆς φύσεως παντάπασι κατ᾽ ἀλλοίωσιν ὑφελόμενος, ὅλον τε δούς ἀνελλιπῶς ἑαυτόν καί ὅλον κατά τήν ἄφραστον καί ἀλώβητον ἕνωσιν πλήρη τόν ἄνθρωπον εἰληφώς οὐδέν τῆς κατ᾽ ἕτερον ἐμείωσε τελειότητος, καί ἔστιν ἀληθῶς ὅλος Θεός ὁ αὐτός, καί ὅλος ἄνθρωπος ὁ αὐτός, τῇ κατ᾽ ἄμφω τῶν ἐν οἷς

ἀληθῶς ἐστι τελειότητι μαρτυρῶν ἑαυτῷ τό κατ᾽ ἄμφω ἄτρεπτόν τε καί ἀναλλοίωττον. Οὕτω λύει τούς νόμους τῆς φύσεως, ὑπέρ φύσιν ἐν τοῖς κατά φύσιν τῇ φύσει χρώμενος, ὁ Θεός.

***Ἄλλη θεωρία, εἰς τό· " Πληρωθῆναι δεῖ τόν ἄνω κόσμον."***

Εἰ τοίνυν ἀπαρχή τῆς καθ' ἡμᾶς φύσεως, ὡς ἄνθρωπος, ἐστίν ὁ Χριστός πρός τόν Θεόν καί Πατέρα, καί οἷον ζύμη τοῦ ὅλου φυράματος, ἔστι δέ πρός τόν θεόν καί Πατέρα κατά τήν ἐπίνοιαν τῆς ἀνθρωπότητος ὁ μηδέποτε τῆς ἐν τῷ Πατρί ἐκστάς μονιμότητος, ὡς Λόγος, μή ἀπιστήσωμεν ἔσεσθαι, κατά τήν αὐτοῦ πρός τόν Πατέρα αἴτησιν, ἔνθα αὐτός ἐστιν ἡ ἀπαρχή τοῦ ἡμετέρου γένους. Ὡς γάρ γέγονε κάτω δι᾽ ἡμᾶς ἀναλλοιώτως καί ἄνθρωπος καθ᾽ ἡμᾶς χωρίς μόνης ἁμαρτίας, λύσας ὑπερφυῶς τούς νόμους τῆς φύσεως, οὕτω καί ἡμεῖς κατά τό ἀκόλουθον ἄνω δι᾽ αὐτόν γενησόμεθα, καί θεοί κατ᾽ αὐτόν τῷ τῆς χάριτος μυστηρίῳ, μηδέν τό παράπαν ἀλλοιοῦντες τῆς φύσεως. Καί οὕτω πληροῦται πάλιν κατά τόν σοφόν διδάσκαλον ὁ ἄνω κόσμος, πρός τήν κεφαλήν τῶν μελῶν τοῦ σώματος κατ᾽ ἀξίαν συναγομένων, ἑκάστου δηλονότι μέλους (1281) τῇ κατ᾽ ἀρετήν ἐγγύτητι τήν πρέπουσαν αὐτῷ θέσιν διά τῆς ἀρχιτεκτονίας τοῦ πνεύματος ἐναρμονίως λαμβάνοντος καί συμπληροῦντος τοῦ τά πάντα ἐν πᾶσι πληρουμένου τό σῶμα τό πάντα πληροῦν ἐκ πάντων πληρούμενον. Εἴτε οὖν, ὡς εἴρηται, κατά τήν πνευματικήν ἀναγέννησιν τῶν κατά Χριστόν γεννωμένων, εἴτε κατά τήν ἐν Χριστῷ καί διά Χριστοῦ γεγενημένην τῶν τοῖς οὐρανοῖς μυστικῶν ἀριθμῶν ἀναπλήρωσιν, τῆς τε θείας φημί τῶν λογικῶν προβάτων ἑκατοντάδος, καί τῆς τῶν νοερῶν δραχμῶν μυστικῆς δεκάδος, καί τῆς τῶν υἱῶν τιμίας δυάδος, εἴτε κατά τήν τῶν μελῶν τοῦ σώματος πρός τήν οἰκείαν κεφαλήν καί πρός τήν ἰδίαν ἀπαρχήν τοῦ φυράματος ἐπισυναγωγήν, ὁ ἄνων κόσμος πληρωθήσεται πάντως κατά τόν διδάσκαλον, πληρωθείς μέν ἤδη ἐν Χριστῷ, πληρωθησόμενος δέ ἐν τοῖς κατά Χριστόν αὖθις ὕστερον, ἡνίκα σύμφυτοι γενήσονται καί τῆς ἀναστάσεως αὐτοῦ οἵγε τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ διά τῶν αὐτῶν παθημάτων ἤδη γεγονότες.

***Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό· " Παιδίον ἐγεννήθη ἡμῖν Υἱός καί ἐδόθη ἡμῖν, οὗ ἡ ἀρχή ἐπί τοῦ ὤμου αὐτοῦ· τῷ γάρ σταυρῷ συνεπαίρεται."***

Ὅλος διά τοῦ λόγου τῷ πρώτῳ λόγῳ προσθέμενος κατά λόγον τόν περί τοῦ Λόγου λόγον ὅν μέγας προφήτης Ἡσαΐας ποιεῖται περί τοῦ σαρκωθέντος Λόγου, μυστικῶς φήσας, Οὗ ἡ ἀρχή ἐπί τοῦ ὤμου αὐτοῦ, συνοπτικῶς, ὡς ἔθος αὐτῷ ἐστι, τίνα τήν ἀρχήν ταύτην δεῖν οἴεσθαι θέμις διετράνωσεν ὁ μέγας οὗτος διδάσκαλος, εἰπών· "Τῷ γάρ σταυρῷ συνεπαίρεται." Ἀλλ᾽ ἐπειδή πολλάς ὁ σταυρός ταῖς περί αὐτόν ἐπινοίαις ἐπιδέχεται θεωρίας, ἄξιόν ἐστι ζητῆσαι κατά ποίαν ἐπίνοιαν τόν σταυρόν ἐπί τοῦ παρόντος ἀρχήν ὁ διδάσκαλος εἶπε. Θεωρεῖται γάρ ὁ σταυρός κατά σχῆμα, κατά σύνθεσιν, κατά τήν τῶν μερῶν ἰδιότητα, καί κατ᾽ ἐνέργειαν καί κατ᾽ ἄλλας πολλάς ἐπινοίας, αἱ τοῖς τῶν θείων φιλοθεάμοσίν εἰσιν ὁραταί. Κατά σχῆμα μέν, ὡς ὅταν τήν τά ὅλα, τά τε ἄνω καί τά κάτω ἐφ᾽ ἑκάτερα, τοῖς καθ᾽ αὐτά πέρασι διαλαμβάνουσαν ὁ σταυρός θεωρούμενος, ὑποσημαίνῃ δύναμιν· κατά σύνθεσιν δέ, ὡς ὅταν οὐσίαν καί πρόνοιαν καί κρίσιν, ἤγουν τάς τούτων ἐκφάνσεις, σοφίαν φημί καί γνῶσιν καί ἀρετήν τῆς τό πᾶν διεπούσης ἐμφαίνῃ δυνάμεως, τήν μέν οὐσίαν καί τήν σοφίαν ὡς ποιητικήν διά τῆς ὑψιτενοῦς γραμμῆς, τήν δέ πρόνοιαν καί τήν γνῶσιν ὡς περιποιητικήν διά τῆς ἐγκαρσίας, τήν δέ κρίσιν καί τήν ἀρετήν ὡς κακίας ἀναιτερικήν, καί τῆς τῶν πεποιημένων καί περιποιημένων πρός τήν ἰδίαν ἀρχήν καί αἰτίαν συνδετικήν διά τοῦ ὅλου· κατά δέ τήν τῶν μερῶν ἰδιότητα, ὅταν διά μέν τῆς (1284) ὑψιτενοῦς γραμμῆς τόν ἀεί ὡσαύτως ἔχοντα καί τῆς οἰκείας μονιμότητος οὐδαμῶς ἐξιστάμενον διά τήν σταθηράν καί ἀμετακίνητον ἵδρυσιν Θεόν ὁ σταυρός δηλοῖ, διά δέ τῆς ἐγκαρσίας τήν ἅπασαν κτίσιν Θεοῦ παντελῶς ἠρτημένην ὑποφαίνῃ, ἄλλας ἀρχάς τοῦ εἶναι Θεοῦ χωρίς ἤ βάσιν οὐκ ἔχουσαν· κατ᾽ ἐνέργειαν δέ, ὅταν τῶν ὑπ᾽ αὐτῷ πηγνυμένων τήν ἀπραξίαν δηλοῖ καί τήν νέκρωσιν, καθ᾽ ὅντινα τρόπον θεωρίας νῦν, ὡς οἶμαι, τον προφητικόν ὁ διδάσκαλος ἐξείληφε λόγον. Ὥσπερ οὖν ἑκάστης ἀρχῆς (καλόν γάρ τοῖς καθ᾽ ἡμᾶς παραδείγμασι τῶν ὑπέρ ἡμᾶς πραγμάτων ἐνδείξασθαι τήν ἀλήθειαν) εἰσί σήμαντρά τινά δι ὧν οἱ λαμβάνοντες ἔκδηλοι πᾶσι γίνονται ὅτι ὁ μέν τήνδε ἀρχήν παρά τοῦ βασιλέως εἴληφεν, οἷον ὁ ἄρχων τούς λεγομένους κωδικίλλους, ὁ δέ διά τοῦ ξίφους τήν λεγομένην δοκιανήν, καί ἄλλος ἄλλην διά τινος ἑτέρου συνθήματος, καί παρά μέν τοῦ βασιλέως αὐτοί δέχονται καί φέρουσι τοῦτο ταῖς ἰδίαις χερσίν, ἐξελθόντες δέ τοῖς οἰκείοις διδόασι τοῦτο κομίζειν, τοῦτον τόν τρόπον καί ὁ Δεσπότης ἡμῶν Ἰησοῦς Χριστός κατά τήν ἐπίνοιαν τῆς

ἀνθρωπότητος τά σύμβολα τῖς ἰδίας ἀρχῆς τόν αὐτοῦ σταυρόν δεξάμενος ἐπί τῶν ὤμων ἐξῆλθεν ἔχων, πρῶτος αὐτός βαστάσας, ἔπειτα τοῦτο ἑτέρῳ δούς, διά τούτων ἐμφαίνων ὅτι δεῖ τόν ἀρχήν ἐγχειριζόμενον πρῶτον καθηγεῖσθαι τῶν δι᾽ αὐτῆς ἀγομένων καί ἀντέχεσθαι τῶν ὑπ᾽ αὐτῆς ὑπαγορευμένων (οὕτω γάρ ἄν εὐπαράδεκτος ἐν ταῖς ὑποθῆκαις γενήσεται), καί τότε προστάσσειν τοῖς ἐγχειρισθεῖσιν αὐτῷ τήν ταυτότητα δρᾷν. Εἰ δέ τό σήμαντρον τῆς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἀρχῆς ἐστιν ὁ σταυρός, ὅν ἐπί τῶν ὤμων φέρων ἐκόμισε, γνῶναι προσῆκε τί διά τούτων ἐμφῆναι βουλόμενος μυστικῶς οὕτω ταῦτα διέθηκέ τε καί ὑπέμεινεν. Φασίν οἱ τῶν συμβόλων ἐπιστήμονες τόν μέν ὦμον πράξεως εἶναι τεκμήριον, τόν δέ σταυρόν ἀπαθείας, οἷα νέκρωσιν ἐμποιοῦντα. Διά τούτων οὖν αἰνιγμάτων ὁ Κύριος ἡμῶν καί Θεός, ἀμφότερα διεξελθών τῶν ὧν εἰσι τά αἰνίγματα (πράξεώς τέ φημι καί τελείας ἀπαθείας), ὥστε μή παραφθείρεσθαι διά κενοδοξίας τήν πρᾶξιν, ἔδειξε δι᾽ ὧν αὐτός κατεπράξατο, τοῖς ὑπηκόοις, μονονουχί διαπρυσίως βοῶν ὅτι, "Τοῦτο σύμβολον ὑπάρχει τῆς ἀρχῆς μου· " πᾶς οὖν ὅστις ἐξ ὑμῶν ἐπιθυμητικῶς ἔχει πρός ταύτην τήν ἀρχήν, ἀπαρνησάσθω ἑαυτόν, καί ἀράτω τόν σταυρόν αὐτοῦ, καί ἀκολουθείτω μοι, τουτέστιν τήν νέκρωσιν τῶν παθῶν πράξιν, τήν ἀγαθότητα καί τό τῆς ἀφθονίας καλόν, διά τούτων ἐμφαίνων ὅτι γλίχεται πάντας ὁμοίως ἑαυτῷ ταύτην μεταχειρίζεσθαι τήν ἀρχήν. Τό γάρ εἰπεῖν τόν θεοφόρον διδάσκαλον ὅτι "Τῷ σταυρῷ συνεπαίρεται," οἶμαι διά τούτων ἔμφασιν ἡμῖν τοιάνδε παρέχειν, ὅτι τῆς λογικῆς φύσεως τῶν ἀνθρώπων διά πράξεως καί τῆς αὐτῇ συνεζευγμένης ἀπαθείας ὑψουμένης αὐτός (1285) ὁ Χριστός δηλονότι συνυψοῦσθαι λέγεται, τουτέστιν ἡ ἐν ἀνθρώποις Χριστοειδής κατάστασις, καθ᾽ εἱρμόν καί τάξιν ὑψουμένη, διά πράξεως ἀπαθοῦς εἰς θεωρίαν τῆς φύσεως γνωστικήν καί ἀπό ταύτης εἰς θεολογικήν μυσταγωγίαν κινουμένη. Ὅπερ μάλιστά μοι φαίνεται δηλῶν ὁ ἅγιος Ἀρεοπαγίτης μέγας Διονύσιος ἐν οἷς φησιν· " Ἀλλ᾽ ἐπείπερ εὐταξίας ἐστίν ἀρχή τό θεῖον ἱερᾶς, καθ᾽ ἥν ἑαυτῶν ἐπιγνώμονες οἱ ἱεροί γίνονται νόες, ὁ πρός τό οἰκεῖον τῆς φύσεως ὁρατόν ἀνατρέχων ἐν ἀρχῇ μέν ὅστις ποτέ ἐστιν αὐτός ὄψεται, καί λήψεται πρῶτον ἐκ τῆς πρός τό φῶς ἀνανεύσεως ἱερόν δῶρον· ὁ δέ τά οἰκεῖα καλῶς ἀποσπαθέσιν ὀφθαλμοῖς ἐπισκοπήσας, τῶν ἀλαμπῶν μέν ἀποφοιτήσει τῆς ἀγνοίας μυχῶν, τῆς δέ Θεοῦ τελεωτάτης ἐλλάμψεως καί μεθέξεως ἀτελής ὤν αὐτός οὐκ αὐτόθεν ἐπιθυμήσει,

κατά βραχύ δέ διά τῶν αὐτοῦ πρώτων ἐπί τά ἔτι πρότερα, καί τελειωθείς ἐπί τήν ἀκροτάτην θεαρχικήν ἐν τάξει καί ἱερῶς ἀναχθήσεται κοινωνίαν." Οὕτω μέν οὖν συνεπαίρεται τῷ σταυρῷ κατά τόν μέγαν καί θεόφρονα τοῦτον διδάσκαλον δι᾽ ἡμῶν ἐν πνεύματι κατ᾽ αὐτόν ὑψουμένων ὁ μόνον ὕψιστος, διά πράξεως καί τῆς αὐτῇ συνημμένης ἀπαθείας εἰς γνῶσιν ἐναγομένων, καί δι᾽ ἐκείνης ἐν ἀΰλῳ τῷ νῷ πρός τήν μυστικήν ὑψουμένων τῶν θείων θεωρίαν τε καί μύησιν, προσθήσω δέ θαῤῥῶν ὅτι καί μετουσίαν.

***Ἐκ τοῦ αὐτοῦ λόγου εἰς τό· " Ὁ λόγος παχύνεται."***

Παχύνεσθαι ὁ λόγος εἴρηται τῷ θεοφόρῳ διδασκάλῳ κατά τήνδε, ὡς οἶμαι, τήν ἔννοιαν, ἤ ὅτι λόγος ὤν ἁπλοῦς τε καί ἀσώματος, καί πάσας καθεξῆς πνευματικῶς τρέφων τάς ἐν οὐρανῷ θείας δυνάμεις, κατηξίωσε καί διά τῆς ἐνσάρκου αὐτοῦ παρουσίας ἐξ ἡμῶν δι᾽ ἡμᾶς καθ᾽ ἡμᾶς ἁμαρτίας χωρίς παχυνθῆναι, καί ἡμῖν προσφυῶς φωναῖς τε καί παραδείγμασι τήν περί τῶν ἀποῤῥήτων καί παντός λόγου δύναμιν ὑπερβαίνουσαν ἐκθέσθαι διδασκαλίαν (διά παραβολῶν γάρ εἴρηται πάντα λελαληκέναι, καί χωρίς παραβολῆς μηδέν διεξιέναι· φίλον οὕτω τοῖς διδασκάλοις χρῆσθαι, ἐπάν οἱ ἀκροαταί μή παρακολουθῶσι τοῖς πρωτοτύπως λεγομένοις, καί εἰς συναίσθησιν αὐτούς ἄγειν τῶν λεγομένων)· ἤ ὅτι τοῖς τῶν ὄντων ἑαυτόν δι᾽ ἡμᾶς ἀποῤῥήτως ἐγκρύψας λόγοις ἀναλόγως δι᾽ ἑκάστου τῶν ὁρωμένων ὡς διά τινων γραμμάτων ὑποσημαίνεται, ὅλος ἐν ὅλοις ἅμα πληρέστατος, καί τό καθ᾽ ἕκαστον ὁλόκληρος, ὅλος καί ἀνελάττωτος, ἐν τοῖς διαφόροις ὁ ἀδιάφορος καί ὡσαύτως ἀεί ἔχων, ἐν τοῖς συνθέτοις ὁ ἁπλοῦς καί ἀσύνθετος, καί ἐν τοῖς ὑπό ἀρχήν ὁ ἄναρχος, καί ὁ ἀόρατος ἐν τοῖς ὁρωμένοις καί ἐν τοῖς ἁπτοῖς ὁ ἀναφής· ἤ ὅτι δι᾽ ἡμᾶς, τούς παχεῖς τήν διάνοιαν, σωματωθῆναί τε δι᾽ ἡμᾶς καί γράμμασι καί (1288) συλλαβαῖς καί φωναῖς τυπωθῆναι κατεδέξατο, ἵνα ἐκ πάντων τούτων ἡμᾶς ἑπομένους αὐτῷ κατά βραχύ πρός ἑαυτόν συναγάγῃ, ἑνοποιηθέντος τῷ πνεύματι, καί εἰς τήν ἁπλῆν περί αὐτοῦ καί ἄσχετον ἔννοιαν ἀναγάγοι, τοσοῦτον ἡμᾶς δι᾽ ἑαυτόν πρός ἕνωσιν ἑαυτοῦ συστείλας, ὅσον αὐτός δι᾽ ἡμᾶς ἑαυτόν συγκαταβάσεως λόγῳ διέστειλεν.

***Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό· " Οὐκ ἐκ τῶν κατ' αὐτόν, ἀλλ᾽ ἐκ τῶν περί αὐτόν, ἄλλης ἐξ ἄλλου φαντασίας συλλεγομένης, εἰς ἕν τι τῆς ἀληθείας ἴνδαλμα."***

Ἐκ τῶν κατά τήν οὐσίαν, τουτέστι ἐκ τῆς οὐσίας αὐτῆς, ὁ Θεός οὐδέποτέ τι ὑπάρχων γινώσκεται. Ἀμήχανος γάρ καί παντελῶς ἄβατος πάσῃ τῇ κτίσει, ὁρατῇ τε καί ἀοράτῳ κατά τό ἴσον, ἡ περί τοῦ τί καθέστηκεν ἔννοια, ἀλλ᾽ ἐκ τῶν περί τήν οὐσίαν μόνον ὅτι ἔστι, καί ταῦτα καλῶς τε καί εὐσεβῶς θεωρουμένων, τοῖς ὁρῶσιν ὁ Θεός ἑαυτόν ὑπενδίδωσι. Πάντα δέ τά περί τήν οὐσίαν οὐ τό τί ἐστιν, ἀλλά τί οὐκ ἔστιν ὑποδηλοῖ, οἷον τό ἀγένητον, τό ἄναρχον, τό ἄπειρον, τό ἀσώματον, καί ὅσα τοιαῦτα περί τήν οὐσίαν εἰσί, καί τό τι μή εἶναι, οὐχ ὅτι δέ τό τι εἶναι αὐτήν παριστῶσιν· ἀλλά καί οἱ τῆς προνοίας καί τῆς κρίσεως λόγοι, καθ᾽ οὕς τό πᾶν σοφῶς διεξάγεται, μεθ᾽ ὧν καί ἡ ἐναρμόνιος τῆς φύσεως θεωρία περί Θεοῦ εἶναι λέγεται, τόν δημιουργόν ἑαυτῆς ὅτι ἔστι μόνον ἀναλόγως δεικνύουσα. Ἐναντίως οὖν ταῖς καταφάσεσι κειμένων τῶν ἀποφάσεων, ἐναλλάξ ἀλλήλαις περί Θεόν φιλικῶς συμπλέκονται καί ἀλλήλων ἀντιπαραλαμβάνονται· οἷον αἱ μέν ἀποφάσεις τό μή τι εἶναι, ἀλλά τι μή εἶναι σημαίνουσαι τό Θεῖον, περί τό τί εἶναι τό τοῦτο μή ὄν, ἑνοῦνται ταῖς καταφάσεσιν, αἱ δέ καταφάσεις τό μόνον ὅτι ἔστι, τίποτε δέ τοῦτό ἐστι μή δηλοῦσαι, περί τό τι μή εἶναι τό τοῦτο ὄν ἑνοῦνται ταῖς ἀποφάσεσι, πρός μέν ἀλλήλας δεικνύουσαι τήν ἐξ ἀντιθέσεως ἐναντιότητα, περί δέ τόν Θεόν τῷ εἰς ἄλληλα τῶν ἄκρων κατά περίπτωσιν τρόπῳ τήν οἰκειότητα.

***Ἐκ τοῦ αὐτοῦ λόγου· " Ἐπεί δέ οὐκ ἤρκει τῇ ἀγαθότητι τοῦτο τό κεινεῖσθαι μόνον τῇ ἑαυτῆς θεωρίᾳ, ἀλλ᾽ ἔδει χεθῆναι τό ἀγαθόν καί ὁδεῦσαι ὡς πλέονα εἶναι τά εὐεργετούμενα."***

Τόν πολλάκις εἰρημένον ἐρωτήσας περί τούτου μέγαν καί σοφόν γέροντα δηλοῦν ἔφη διά τούτων τόν μέγαν καί θεοφόρον Γρηγόριον τό τόν αὐτόν Θεόν ἐν ἑαυτῷ μόνον, οἷα δή ἕνα κυρίως ὄντα, μηδέν ἑαυτῷ τό παράπαν συνεπινοούμενον ἔχοντα κατά τήν φύσιν διάφορον, ἐν ἑαυτῷ τε μόνον ἔχοντα τήν ἀπερινόητον ἄναρχόν τε καί ἄπειρον καί ἀκατάληπτον μονιμότητα, ἐξ ἧς κατα ἀπειρόδωρον χύσιν ἀγαθότητος τά ὄντα ἐκ τοῦ μή ὄντος παραγαγεῖν τε καί (1289) ὑποστήσασθαι, θελῆσαι καί ἑαυτόν ἀναλόγως τοῖς ὅλοις καί τῷ καθ᾽ ἕκαστον ἀχράντως μεταδοῦναι τήν πρός τό εἶναι καί διαμένειν ἑκάστῳ

χαριζόμενον δύναμιν, κατά τόν ἅγιον καί θεοείκελον μέγαν Διονύσιον τόν Ἀρεοπαγίτην φάσκοντα, τό ἕν ὑμνητέον ὑπό Θεοῦ, τῷ πάντων ὑπεξαιρεῖσθαι, εἰς τό εἶναι ἀγαθότητι παραγαγόντα τήν τε τῶν νοητῶν πᾶσαν διακόσμησιν καί τήν τῶν ὁρατῶν εὐπρέπειαν, ἀναλόγως ἑκάστῳ τῶν κτισμάτων κατά τινα λόγον ἀπόῤῥητον σοφίας ἀμειώτως ἐνυπάρχειν, καί μηδενί λόγῳ ἤ τρόπῳ τό σύνολον πάλιν κατέχεσθαι, τοῖς μέν κατά περιττήν ἀγαθόδωρον χύσιν, τοῖς δέ μέσως, τοῖς δέ τό κατά τι γοῦν ἐξεικονίζειν αὐτόν δύνασθαι. Καί τοῦτο ἄν εἴη τυχόν, κατά τήν ἐμήν ἀφροσύνην, τό χεῖσθαι τό ἀγαθόν καί ὁδεύειν, τό τόν ἕνα Θεόν ἀναλόγως πρός τά δεκτικά τῇ μεταδόσει τῶν ἀγαθῶν πληθύνεσθαι."

***Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό, "Δευτέραν κοινωνεῖ κοινωνίαν, πολύ τῆς προτέρας παραδοξοτέραν."***

Οὐκ ἦν θαυμαστόν, ὡς οἶμαι, τοσοῦτο, καίπερ ὄν τηλικοῦτο, τό κατά τήν πρώτην πλάσιν καθαράν οὖσαν τήν φύσιν τῶν ἀνθρώπων, ἅτε δή χειρί Θεοῦ τιμηθεῖσαν, πρός κοινωνίαν ἑαυτοῦ διά τῆς ἐμπνεύσεως ἀγαγεῖν τόν Θεόν, τῷ ὁμοίῳ μεταδιδόντα τῆς κατ᾽ εἰκόνα θείας ὡραιότητος, ὅσον τό ῥυπωθεῖσαν ταύτην καί Θεοῦ δραπετεύσασαν, δι᾽ ὧν ἀνεμάξατο παθῶν, ταύτῃ προσομιλῆσαι καταδέξασθαι, καί τοῦ χείρονος μετασχεῖν, καί τῷ πάντη τῶν πραγμάτων ἀμίκτῳ τῇ παραδόξῳ ἑνώσει προσεπιτεῖναι τό θαῦμα. Πρότερον μέν γάρ κατ᾽ οὐδέν τρόπον ἤ λόγον οὐσίας ἤ ὑποστάσεως, τῶν ἐν οἷς τά ὄντα πάντα καθολικῶς θεωρεῖται, τό ἕν πρός τόν Θεόν ἡ φύσις εἰλήφει, νῦν δέ τό καθ᾽ ὑπόστασιν ἕν πρός αὐτόν διά τῆς ἀφράστου ἑνώσεως ἔλαβε, τόν οἰκεῖον δηλαδή κατά τήν οὐσίαν ἀναλλοιώτως πρός τήν θείαν οὐσίαν διάφορον διαφυλάττουσαν λόγον, πρός ἥν ἔχει διά τῆς ἑνώσεως τό καθ᾽ ὑπόστασιν ἕν καί διάφορον, ἵνα τῷ μέν τοῦ εἶναι λόγῳ, καθ᾽ ὅν γεγένηται καί ἔστι, διαμένοι τό ἑαυτῆς ὄν κυρίως ἔχουσα κατά πάντα τρόπον ἀμείωτον, τῷ δέ τοῦ πως εἶναι λόγῳ τό ὑφεστάναι θεϊκῶς λαβοῦσα τῆς περί τι ἄλλο κινήσεως τήν ῥοπήν παντελῶς μήτε γινώσκῃ, μήτε προσίηται. Ταύτῃ γοῦν πολύ τῆς προτέρας παραδοξοτέραν τήν πρός τήν φύσιν τῶν ἀνθρώπων ὁ λόγος ἐποιήσατο κοινωνίαν, αὐτήν τήν φύσιν οὐσιωδῶς ἑαυτῷ καθ᾽ ὑπόστασιν ἑνώσας.

***Ἐκ τοῦ αὐτοῦ, εἰς τό, " Νυνί δέ μοι δέξαι τήν κύησιν, καί προσκίρτησον, καί εἰ μή ὡς Ἰωάννης ἀπό γαστρός, ἀλλ᾽ ὡς Δαβίδ ἐπί τῇ καταπαύσει τῆς κιβωτοῦ."***

Ἰωάννης ὁ μέγας οὐ μόνον μετανοίας καί τῆς (1292) κατά τήν πρακτικήν φιλοσοφίαν ἀπαθείας καί γνωστικῆς θεωρίας ἐστίν εἰκών, τῆς μέν ὡς κῆρυξ καί βαπτιστής, τῆς δέ ὡς ἐρημίτης καί τοῦ κόσμου πάντη κεχωρισμένος, τῆς δέ ὡς Λευίτης καί ἱερεύς καί Θεοῦ Λόγου πρόδρομος, ἀλλά καί τῆς ἐν τούτοις κατά τήν ἕξιν ἀτρεψίας σύμβολον, ὡς ἀπό γαστρός καί μέχρι θανάτου τόν ἐν τούτοις τῆς ψυχῆς τόνον ἐμείλικτον διατηρήσας. Ὁ δέ Δαβίδ ἐξομολογήσεως πράξεώς τε καί θεωρίας καί αὐτός ἐστιν εἰκών, ὡς τῆς Ἰουδαϊκῆς φυλῆς καί ποιμήν πρότερον καί ὕστερον βασιλεύς, καί τῶν ἀλλοφύλων ἀναιρέτης, οὐ μήν δέ καί τῆς τούτων κατά τήν ἕξιν ἀτρεψίας σύμβολον. Παρέπεσε γάρ μετά τήν ἐπίγνωσιν, ἀνθρώπινόν τι παθῶν, καί τήν ἕξιν τῆς ἀρετῆς καί τῆς γνώσεως οὐκ ἐφύλαξεν ἄτρεπτον. Διό τυχόν οὐδέ ἀπό γαστρός τοῦ λόγου προσκιρτῆσαι γέγραπται κατά τόν μέγαν Ἰωάννην, ἀλλά μετά τήν τῶν ἀλλοφύλων τελείαν ἀναίρεσιν καί τήν τῆς κιβωτοῦ ἀποκατάστασιν, τουτέστι μετά τήν τῶν παθῶν ὑποχώρησιν καί τήν τῆς γνώσεως αὖθις ἐπάνοδον. Τύπος οὖν ἐστιν ὁ μέν Ἰωάννης πάντων τῶν κατ᾽ ἀρετήν καί γνῶσιν διά μετανοίας ἐν πνεύματι γεννωμένων, καί μέχρι τέλους διά προκοπῆς τήν ἐν τούτοις ἕξιν ἄτρεπτον διατηρούντων, ὁ δέ Δαβίδ πάντων τῶν μετά τήν ἐπίγνωσιν παραπιπτόντων, καί πάλιν διά μετανοίας τό κατ᾽ ἀρετήν καί γνῶσιν ἐπαναγόντων τῆς ψυχῆς τῆς θείας χαρᾶς ἀγαλλίαμα. Σύντομος οὖν ὑπάρχων, καί τῷ πνεύματι τήν εἰς πλάτος τοῦ λόγου δύναμιν νοερῶς συστείλας ὁ μέγας διδάσκαλος, Ἰωάννῃ καί Δαβίδ τοῖς μεγάλοις παρείκασε διά τῆς καθ᾽ ἑκάτερον ἕξεως τούς τῶν θείων λογίων ἀκροατάς, ὡς ἑνί πάντως τούτων, καθάπερ οἶμαι, κατά τόν ἐφ᾽ ἑκάστῳ καλῶς ἀποδοθέντα τρόπον, ἑκάστου τῶν κατ᾽ εὐσέβειαν ζώντων ἐνισχημένου, οἱονεί διαῤῥήδην βοῶν ὅτιπερ Πάντες ὅσοι τόν θεῖον τῆς ἀρετῆς καί τῆς γνώσεως ἐν ἑαυτοῖς διά μετανοίας κυϊσκόμενον ἐδέξασθε Λόγον, ἤ κατά τόν μέγαν Ἰωάννην ἐξ ἀρχῆς μέχρι τέλους διά προκοπῆς τό ἐπ' αὐτῷ τῆς ψυχῆς κατά τήν ἕξιν ἀτρέπτως θεῖον διατηρήσατε σκίρτημα, μηδενί τό παράπαν ὑπαγόμενοι κακίας εἴδει καί ἀγνωσίᾳ, ἤ κατά τόν μακάριον Δαβίδ, κἄν εἰ συμβέβηκέ τι κατά τόν θεῖον δρόμον ὑμῖν ἀβούλητον, φιλοπόνως διά μετανοίας σπουδάζεται πρός ἑαυτούς τήν ἀρετήν

ἐπαναγαγεῖν καί τήν γνῶσιν ὑπομονῆς τόνοις καί λόγων θείων ἀσκήμασι, καί μή τῇ ῥαθυμίᾳ τοῖς πάθεσιν ἔκδοτον ταύτην τήν ἐν ὑμῖν θείαν, τῆς ἀρετῆς λέγω καί τῆς γνώσεως, ἐάσαντες κιβωτόν τό τοῦ ἱερέως Ἤλει ὑπομένητε πάθος, καί ὀπισθίως πεσόντες περί τάς πύλας τοῦ ναοῦ τοῦ ἐν Σηλώμ ἀποθάνητε, τόν ὦμον τῆς πράξεως συντριβέντες.

Ὅπερ, ὡς οἶμαι, σαφέστερον διδάσκων ὁ μακάριος οὗτος Πατήρ ἐν τῷ εἰς τήν Καινήν Κυριακήν λόγῳ φησί " Ἄιδειν δέ τῷ Κυρίῳ ᾆσμα καινόν κελευόμεθα, εἴτε οἱ εἰς Βαβυλῶνα καί τήν πονηράν (1293) σύγχυσιν κατασυρέντες ὑπό τῆς ἁμαρτίας, ἔπειτα πρός Ἱερουσαλήμ ἀνασωθέντες, κἀκεῖ μέν οὐ δυνάμενοι τήν θείαν ᾄδειν ᾠδήν ὡς ἐπί γῆς ἀλλοτρίας, ἐνταῦθα δέ νέαν ᾠδήν καί πολιτείαν ἱστάμενοι, εἴτε οἱ μείναντες ἐν τῷ καλῷ καί προκόπτοντες, καί τό μέν κατωρθωκότες ἤδη, τό δέ κατορθοῦντες παρά τοῦ καινοποιοῦ Πνεύματος. "Ταῦτα στοχαστικῶς κατά τήν ἐμήν ἀφροσύνην νενοηκότα τόν διδάσκαλον φάναι νομίζω·" Νυνί δέ μοι δέξαι τήν κύησιν καί προσκίρτησον, εἰ καί μή ὡς Ἰωάννης ἀπό γαστρός, ἀλλ᾽ ὡς Δαβίδ ἐπί τῇ καταπαύσει τῆς κιβωτοῦ, τῷ κατ᾽ ἀξίαν καί γένος τῆς θεωρίας τρόπῳ συνῃρηκότα τήν τῶν εἰρημένων θεωρίαν. Φασί γάρ οἱ τῶν τοιούτων ἀκριβεῖς ἐπιμεληταί μυστηρίων καί τῶν ἐπ᾽ αὐτοῖς πνευματικῶν λόγων ἐρασταί καί φιλοθεάμονες, τόν καθόλου τῆς Γραφικῆς θεωρίας λόγον, ἕνα τυγχάνοντα, δεκαχῶς πλατυνόμενον θεωρεῖσθαι, τόπῳ, χρόνῳ, γένει, προσώπῳ, ἀξίᾳ, ἤγουν ἐπιτηδεύματι, πρακτικῇ, φυσικῇ, θεολογικῇ, φιλοσοφίᾳ, ἐνεστῶτι, καί μέλλοντι, ἤγουν τύπῳ καί ἀληθείᾳ, καί αὖθις συναγόμενον τούς πέντε τρισί περιγράφειν τρόποις, καί πάλιν δυσί τούς τρεῖς, καί τούς δύο ἑνί συγκλείειν παντελῶς μή ἀριθμουμένῳ λόγῳ· οἷον τούς κατά χρόνον καί τόπον καί γένος καί πρόσωπον καί ἀξίαν, πέντε τυγχάνοντες, εἰς τρεῖς συνάγειν τούς τῆς πρακτικῆς καί φυσικῆς καί θεολογικῆς, τούτους δέ πάλιν τρεῖς ὄντας, εἰς δύο, τούς τό παρόν τε καί τό μέλλον σημαίνοντας, καί τούτους εἰς τόν τελεοτικόν καί ἁπλοῦν, ὥς φασι, καί πάντων περιεκτικόν ἄῤῥητον λόγον, ἐξ οὗ κατά πρόοδον γέγονεν ἡ καθολική τῶν ὑπό θεωρίαν τῆς Γραφῆς τρόπων δεκάς, καί εἰς ὅν ὡς ἀρχήν κατά περιγραφήν ἡ αὐτή δεκάς ἀνατατικῶς εἰς μονάδα πάλιν συνάγεται. Καί κατά μέν χρόνον ὁ τῆς Γραφῆς θεωρεῖται λόγος, ἡνίκα τό Ποτέ, τό Ἦν, τό Ἔστι, τό Ἔσται, τό Πρό τοῦδε, τό Παρόν, τό Μετά τόδε, καί Ἐπί τοῦδε, καί Ἀπ᾽ ἀρχῆς, τό Παρελθόν, τό Μέλλον,

ἐνιαυτούς τε καί καιρούς καί μῆνας καί ἑβδομάδας καί ἡμέρας καί νύκτας καί τά τούτων μέρη, καί ἁπλῶς ὅσα ἐμφαντικά χρόνου, δηλοῖ· κατά δέ τόπον, ὅταν οὐρανόν καί γῆν καί ἀέρα καί θάλασσαν, οἰκουμένην, πέρατα, χώρας, νήσους, πόλεις, ναούς, κώμας, ἀγρούς, ὄρη, φάραγγας, ὁδούς, ποταμούς, ἐρήμους, ληνούς, ἅλωνας, ἀμπελῶνας, καί ἁπλῶς ὅσα τόπον χαρακτηρίζειν δύναται, σημαίνῃ· κατά γένος δέ, καθολικῶς μέν ὁπόταν ἀγγέλους, ἤ ὅσα τῆς ἐν οὐρανοῖς ἔστι τῶν νοερῶν οὐσιῶν διακοσμήσεως, πρός δέ καί ἥλιον καί σελήνην, ἀστέρας, πῦρ, καί ὅσα ἐν ἀέρι, ἐν γῇ, ἐν θαλάσσῃ τυγχάνει ὄντα, ἤ ζῶα, ἤ ζωόφυτα, ἤ φυτά, καί ὅσα ἐκ γῆς μεταλλεύεται καί τέχναις ἀνθρώπων ὑποπίπτει, καί ὅσα ἕτερα τοιαῦτα, δηλοῖ, ἰδιοτρόπως δέ πάλιν, ὅταν ἀνθρώπους, ἔθνη, λαούς, γλώσσας, φυλάς, πατριάς, καί ὅσα τοιαῦτα, σύν ἀριθμῷ ἤ ἀριθμοῦ χωρίς ὀνομάζῃ· κατά πρόσωπον δέ, ὅταν τόνδε τόν ἄγγελον, ἤ τόνδε τόν ἀρχάγγελον, ἤ Σεραφίμ, ἤ ὅσα τῶν ἐν οὐρανοῖς διαιτωμένων νοερῶν οὐσιῶν, ἐξ ὀνόματος καλῇ, ἤ Ἀβραάμ, ἤ Ἰσαάκ, ἤ Ἰακώβ, ἤ ἕτερόν τινα τῶν ἐν ἐπαίνῳ ἤ ψόγῳ τῇ Γραφῇ κειμένων, δι᾿ ὀνόματος (1296) παραδηλοῖ· κατ᾿ ἀξίαν δέ, ἡνίκα βασιλείαν, ἤ βασιλέα, ἤ ποιμένα, ἤ ποίμνην, ἤ ἱερέα, ἤ ἱερωσύνην, ἤ γεωργόν, ἤ στρατηγόν, ἤ ἀρχιτέκτονα, καί ἁπλῶς εἴ τι ἄλλο τῶν οἷς διῄρηται τό ἀνθρώπινον γένος ἐπιτηδεύμασι. Ταῦτα γάρ πάντα ὅσα τοῖς πέντε περιεχόμενα τρόποις ἔδειξεν ὁ λόγος, οὐσίᾳ καί δυνάμει καί ἐνεργείᾳ, ταῖς περί αὐτά πρώταις διαιρέσεσι, συνιστάμενα, ἤ κινεῖ πάντως ἤ κινεῖται, ἤ ἐνεργεῖται ἤ ἐνεργεῖ, ἤ θεωρεῖ ἤ θεωρεῖται, ἤ λαλεῖ ἤ λαλεῖται, ἤ διδάσκει ἤ διδάσκεται, ἤ ἐπιτροπήν ἤ ἀποτροπήν δέχεται, καί ἁπλῶς ἵνα συνελών εἴπω, ἤ ποιοῦντα ἤ πάσχοντα τήν πρακτικήν καί τήν φυσικήν καί τήν θεολογικήν κατά συμπλοκήν δι᾿ ἀλλήλων ποικίλως ἡμῖν εἰσηγοῦνται φιλοσοφίαν, ἑκάστου δηλαδή τῶν ὠνομασμένων πολυτρόπως ταῖς περί αὐτό κατά τήν θεωρίαν ἐπινοίαις ἐπαινετῶς ἤ ψεκτῶς λαμβανομένου, καί τούς ἐπ᾿ αὐτῷ ποιητέους ἤ οὐ ποιητέους, ἤ φυσικούς ἤ ἀφύσικους, ἤ νοητούς ἤ ἀνοήτους λόγους ἐκφαίνοντος. Διττός γάρ, ὡς ἔφην, ὁ ἐφ᾿ ἑκάστῳ λόγῳ τρόπος ἐστί, κατά τό δυνατόν τῷ ποιουμένῳ τήν ἐπ᾿ αὐτοῖς συνετῶς τῆς θεωρίας ἐξέτασιν, ἵνα ἔκ τε τῆς τῶν ποιητέων καί φυσικῶν καί νοητῶν λόγων θέσεως, καί ἐκ τῆς τῶν οὐ ποιητέων καί ἀφυσίκων καί ἀνοήτων φαντασιῶν ἀφαιρέσεως, ἡ πρακτική καί ἡ φυσική καί ἡ θεολογική περιποιηθῇ τοῖς εὐσεβέσι φιλοσοφία, ταὐτόν δέ ἐστιν εἰπεῖν, φιλοθεΐα. Καί αὗται δέ πάλιν τῷ τε

παρόντι καί τῷ μέλλοντι διαιροῦνται, ὡς σκιάν ἔχουσαι καί ἀλήθειαν, καί τύπον καί ἀρχετυπίαν. Ὡς δ᾽ ἄν ὑπερφυῶς τε καί ὑψηλῶς δυνατόν ἐστι κατά τόν αἰῶνα τοῦτον τῷ ἀνθρώπῳ τό ἀκρότατον φθάσαντες μέτρον τῆς ἀρετῆς καί τῆς γνώσεως καί τῆς σοφίας περιγενέσθαι τήν τῶν θείων ἐπιστήμην, ἐν τύπῳ καί εἰκόνι τῶν ἀρχετύπων ἐστί. Τύπος γάρ ἐστιν ὡς ἀληθῶς πᾶσα παρ᾽ ἡμῶν νῦν εἶναι νομιζομένη ἀλήθεια, καί σκιά τοῦ μείζονος λόγου καί εἰκών. Ὁ ἐν ὅλοις κατά τό παρόν πρός τό μέλλον καί τῶν ὅλων ποιητικός λόγος κατανοούμενός ἐστιν ὡς ἐν τύπῳ καί ἀληθείᾳ, καί ὤν καί φαινόμενος, ὡς ὑπέρ τό παρόν καί τό μέλλον ὤν, καί ὑπέρ τύπον καί ἀλήθειαν, τῷ μηδέν ἔχειν ἀντικείμενον συνθεωρούμενον. Ἀντίκειται δέ τῇ ἀληθείᾳ τό ψεῦδος. Ὑπέρ ἀλήθειαν ἄρα ὁ πρός ὅν τά πάντα συνάγεται λόγος, καί αὖθις, ὡς ἄνθρωπος καί Θεός ὑπάρχων, καί ὑπέρ πᾶσαν ὤν ἀληθῶς ἀνθρωπότητά τε καί θεότητα.

Συνάγονται τοίνυν οἱ μέν πρότεροι πέντε τρόποι κατά τήν ἐπ᾽ αὐτοῖς πολύτροπον θεωρίαν εἰς πρακτικήν καί φυσικήν καί θεολογικήν φιλοσοφίαν, αὗται δέ πάλιν εἰς τό παρόν καί εἰς τό μέλλον, ἤτοι τύπον καί ἀλήθειαν, τό παρόν δέ καί τό μέλλον εἰς τό ἀρχικόν, ἤγουν τόν ἐν ἀρχῇ Λόγον, τόν ποιοῦντα παθεῖν αὐτόν καί ἰδεῖν τούς ἀξίους αὐτοῦ γενομένους, καί διά τῶν εἰρημένων φιλοπόνως τήν πρός αὐτόν ποιησαμένους πορείαν, καί τήν δι᾽ αὐτούς γενομένην δεκάδα δι᾽ αὐτόν ποιησαμένους μονάδα, τήν αὐτούς ἐκτινάξαν παντός ἐμπαθοῦς τε καί φυσικοῦ καί (1297) νοητοῦ κινήματος, καί τήν ἐν χάριτι θείαν αὐτοῖς κατά τήν ὁλόκληρον ἕξιν ἐμμορφώσασαν τῆς κατά φύσιν θείας ἁπλότητος ἰδιότητα. Ἰστέον δέ καί τοῦτο, ὅτι τῆς μέν προνοίας ὁ λόγος τῇ φυσικῇ, καί ὁ τῆς κρίσεως λόγος τῇ πρακτικῇ κατέσπαρται φιλοσοφίᾳ, κατά τούς αὐτοῖς πρέποντας τρόπους, οἷς διά τῆς θεωρίαν τῶν ὄντων τε καί γινομένων ἐμφαίνονται. Ταῦτα, καθώς εἴρηται, νενοηκότα τόν θεόφρονα τοῦτον διδάσκαλον οἶμαι προσφόρως τούς ὀνομασθέντας ἁγίους ἐκ τοῦ κατά γένος καί ἀξίαν τρόπου τῆς ἐπ᾽ αὐτοῖς θεωρίας καλέσαι, τόν δέ μέγαν Ἰωάννην καί ἐκ τοῦ τόπου. Διόπερ ὁ μέγας ἅγιος Ἰωάννης, ὡς μέν κῆρυξ μετανοίας, πράξεώς ἐστιν εἰκών, ὡς δέ ἐρημίτης, ἀπαθείας, ὡς Λευΐτης δέ καί ἱερεύς, γνωστικῆς θεωρίας, ὡς δέ τοῦ λόγου προσκιρτήσας ἀπό γαστρός, ἀτρεψίας καί τῆς κατ᾽ ἀρετήν καί γνῶσιν ἕξεώς ἐστι σύμβολον· ὁ δέ ἅγιος Δαβίδ, ὡς μέν Ἰουδαῖος καί ποιμήν, τήν δι᾽ ἐξομολογήσεως πρακτικήν φιλοσοφίαν εἰκονίζεται, ὡς δέ

βασιλεύς Ἰσραήλ, τήν θεωρητικήν εἰσηγεῖται μυσταγωγίαν. Γένος οὖν τοῦ μέν ἁγίου Ἰωάννου τό ἔθνος καί ἡ φυλή ἐξ ὧν ὑπῆρχε, ἀξία δέ τό κήρυγμα καί ἱερωσύνη, καί τόπος ἡ ἔρημος ἐν ᾗ διῆγε· τοῦ δέ ἁγίου Δαβίδ ὡσαύτως, τό μέν γένος τό ἔθνος ἐστί καί ἡ φυλή, τό δέ ἐπιτήδευμα, ἤγουν ἡ ἀξία, ἡ ποιμαντική καί ἡ βασιλεία. Αἷς ἑκάτερος, ἀναλόγως ἑαυτῷ κατά τόν πρέποντα λόγον τῶν ἐπ᾽ αὐτῷ λεγομένων τρόπων θεωρούμενος, τό δι᾽ αὐτοῦ δηλούμενον "ἀπταίστως" μυστήριον δείκνυσιν.

***Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό· "Ἄν εἰς Αἴγυπτον φεύγῃ, προθύμως συμφυγαδεύθητι· καλόν τῷ Χριστῷ συμφεύγειν διωκομένῳ. Ἄν ἐν Αἰγύπτῳ βραδύνῃ, κάλεσον αὐτόν ἐξ Αἰγύπτου, καλῶς ἐκεῖ προσκυνούμενον."***

Δεῖ καθάπερ οἶμαι, πρός τῷ γινώσκειν εἰς Αἴγυπτον φυγόντα τόν Κύριον καί ὑπό τίνος διωκόμενον κατά τό ἀκόλουθον εἰδέναι. Φεύγει τοίνυν ὁ Κύριος οὐ μόνον ἁπλῶς εἰς Αἴγυπτον, ἀλλά καί ὑπό Ἡρώδου διωκόμενος, τοῦ τηνικαῦτα τῆς Ἰουδαίας γῆς βασιλεύοντος. Ἑρμηνεύεται δέ ὁ Ἡρώδης, ὥς φασι, πάθος, καί δερμάτινος, καί φύσις, ἡ δέ Αἴγυπτος καί αὐτή πολλαχῶς λαμβάνεται, κατά τάς ἐπ᾽ αὐτῇ τῶν θεωρητικῶν τρόπων ἐπινοίας, ποτέ μέν εἰς τόν ἐνεστῶτα κόσμον, ποτέ δέ εἰς τήν σάρκα, ποτέ δέ εἰς τήν ἁμαρτίαν, ποτέ δέ εἰς τήν ἄγνοιαν, ποτέ δέ εἰς τήν κάκωσιν, καθ᾽ ἥν μάλιστα νῦν ἐπιβολήν πρέπον ἐστίν ἐκδέξασθαι τήν εἰς Αἴγυπτον τοῦ Κυρίου φυγήν. Καλόν οὖν ἐστι συμφεύγειν εἰς Αἴγυπτον τῷ Χριστῷ, τουτέστι τῷ ἐν ἡμῖν διαγνωστικῷ θείῳ λόγῳ, διά νηπιότητα τέως διωκομένῳ, δι᾽ ἡμᾶς τούς κατ᾽ αὐτόν νηπιάζοντας, ὑπό τοῦ κρατοῦντος ἡμῶν ἔτι καί βασιλεύοντος διά τῶν ἐμπαθῶν τῆς σαρκός κινημάτων χοϊκοῦ φρονήματος, (1300) εἰς τήν διά τῆς πρακτικῆς κάκωσιν, ἕως οὗ θάνατος ἡμῖν μηνυθῇ διά τῆς ἀπαθείας τῶν ζητούντων τήν ψυχήν τοῦ ἐν ἡμῖν νηπιάζοντος θειοτάτου λόγου, τουτέστι τῶν τήν ἡμῶν κατά τόν λόγον θεοτελῆ ζωήν νεκρῶσαι θελόντων, καί τήν χριστοειδῆ κατάστασιν, ἤγουν ἕξιν, ἀφανίσαι μαινομένων, τοῦ διά τῆς ἡμῶν ἀδιστάκτου κατά προαίρεσιν προθύμως ὥσπερ διά νεφέλης κούφης ἐπιβαίνοντος ἡμῶν τῇ Αἰγύπτῳ, λέγω δέ τῇ σαρκί, καί τά ταύτης κινήματά τε καί παθήματα ὥσπερ τινά χειροποίητα εἴδωλα κατασείοντος καί τῆς ἕδρας μετακινοῦντός τε καί παντελῶς τῆς ψυχῆς ἀπωθουμένου, καί εἰς ἑαυτόν μετά τήν εἰκόνων ἀποβολήν δεόντως

μετάγοντος τήν προσκύνησιν. Οὕτω μέν οὖν συμφεύγομεν καλῶς τῷ Χριστῷ διωκομένῳ, τῆς σύν αὐτῷ φυγῆς διά τῆς ἑκουσίου κακώσεως καλόν λαμβάνοντες μισθόν τήν ἀπάθειαν. Καλοῦμεν δέ πάλιν τόν Χριστόν ἐξ Αἰγύπτου μή ἐῶντες τόν ἐν ἡμῖν θεῖον τῆς διαγνώσεως λόγον μετά τήν τῶν παθῶν ὑποχώρησιν καί τελείαν νέκρωσιν ταῖς κατά τῶν μή ὄντων μηχαναῖς ἀνοήτως προσανέχειν, μηδέ σάρκα λόγον ἐν ἑαυτοῖς μόνον ἤ ἐν ἑτέροις ἡμῖν προσομιλοῦσιν αὐτόν συγχωροῦντες γινώσκεσθαι. Ἀλλά καλῶς τε καί πιστῶς ἐν τοῖς κατά τήν κάκωσιν τῆς πρακτικοῖς φιλοσοφίας τύποις διά τῶν ἀρετῶν προπαιδευθέντες ἀναβαίνωμεν ἐκ τούτων διά θεωρίας ἐπί τήν ὧσιν εἰσι τύποι καί προχαράγματα γνῶσιν, ὥσπερ ἀπό τινος Αἰγύπτου εἰς τήν Ἰούδα καλῶς ἀναβαίνοντες καί τούς σύν ἡμῖν ἀναβαίνειν διδάσκοντες, καί ἀπό τοῦ σάρκα Λόγον εἰδέναι τόν Χριστόν διά τῆς πρακτικῆς μεταβαίνωμεν ἐπί τήν δόξαν τήν ὡς Μονογενοῦς παρά Πατρός αὐτοῦ γνῶσιν. Οὕτω τις καλῶς τε καί εὐσεβῶς συμφεύγει Χριστῷ διωκομένῳ, καί οὕτω πάλιν αὐτόν καλεῖ πρός θεωρίαν καί γνῶσιν ἀπό τῆς πρακτικῆς μεταβαίνων, πάντα ποιῶν σύν τῷ λόγῳ κατά τόν λόγον ὑπέρ τοῦ λόγου. Μή φανήτω δέ σοι παράδοξον εἰς τήν κατ᾽ ἀρετήν ληφθεῖσα νῦν ἡ Αἴγυπτος κάκωσιν, ἀλλ᾽ ἐπίσκηψον ἀκριβῶς τοῖς κατά τήν Παλαιάν ἱστορηθεῖσι, πῶς οὐ μόνον τόν Ἰσραήλ πλινθουργοῦντα, ἀλλά καί αὐτούς Αἰγυπτίους διά τῆς Μωσέως ἐπιδημίας εἰς φθοράν ἐβασάνιζε. Κάκωσις γάρ ὥσπερ καί σκότος, ὡς ἔφην, ἡ Αἴγυπτος ἑρμηνεύεται. Πᾶσα δέ κατά τόν εἰκότα λόγον ἑρμηνεία τήν ἐπαινετήν ἐπιδέχεται καί τήν ψεκτήν τοῦ ὑπ᾽ ἐκείνου διά τῆς θεωρίας ὡς ἐπί τό πλεῖστον ἔννοιαν. Εἰ τοίνυν σαρκός εὐεκτούσης καί πιαινομένης τοῖς πάθεσιν ἡ ψυχή βασανίζεται καί σκοτίζεται τῆς τῶν ἀρετῶν ἕξεως καί τοῦ φωτισμοῦ τῆς γνώσεως ὑποχωρούντων, τόν αὐτόν τρόπον πάντως κατά τό εἰκός, καί τῆς ψυχῆς τῷ θείῳ κάλλει τῶν ἀρετῶν καί τῷ φωτισμῷ τῆς γνώσεως φρουρουμένης τε καί λαπρυνομένης, ὁ ἔξω ἄνθρωπος διαφθείρεται, τῆς σαρκός διά τήν ἐπιδημίαν τοῦ λόγου τήν φυσικήν εὐεξίαν ἀποβαλλομένης, ἐν ᾗ κρυπτόμενος μᾶλλον δέ βασιλεύων, ὁ τήν ἐπί τοῦ ὀμφαλοῦ δύναμιν ἔχων δράκων, οἷόν τις τῶν καλῶν σκεδαστής Φαραώ ἀόρατος, διεῖρπε, τήν ψυχήν τοῖς καθ᾽ ἁμαρτίαν δήγμασι βάλλων, ὅς διά τοῦ κατα μέρος τό φρόνημα τῆς σαρκός σβέννυσθαι κατά τήν πρακτικήν κακουχίαν (1301) ὑποχωρεῖ τελείως νεκρούμενος, οὐδέ ἴχνος τῆς ποτε τυραννίδος εἰκότως ἀφείς, ὥστε βοᾶν διά Χριστοῦ

δύνασθαι τούς τῆς ἐλευθερίας τετυχηκότας, καί πρό τῆς γενικῆς ἀναστάσεως διά τήν ἤδη γεγενημένην αὐτοῖς τῆς προαιρέσεως ἐθελούσιον ἀνάστασιν, Ποῦ σου, θάνατε, τό κέντρον ; ποῦ σου, ᾅδη, τό νῖκος; τήν ἡδονήν λέγοντες τῆς σαρκός τήν συνημμένην αὐτῇ τῆς ψυχῆς ἐκ τῆς ἀγνοίας ἀπάτην, δι᾿ ὧν ποτε πρό τοῦ Χριστοῦ κρατῶν τῆς ἀνθρωπίνης φύσεως ὁ παμμίαρος διάβολος ἀφειδῶς διετίτρα τῷ κέντρῳ τῆς ἡδονῆς τήν τῶν ἀνθρώπων φύσιν, καί φιλονείκως τῷ ξίφει τῆς ἀπάτης πρός ἀπώλειαν αὐτήν ὑπεσύρετο.

***Τοῦ αὐτοῦ ἐκ τοῦ εἰς τά Φῶτα λόγου, εἰς τό· " Εἴπερ ἀσεβεῖν αὐτούς ἔδει πάντως, καί τῆς τοῦ Θεοῦ δόξης ἀποπεσεῖν, εἰς εἴδωλα κατενεχθέντας καί τέχνης ἔργα καί χειρῶν πλάσματα, μή ἄλλο τι κατ᾿ αὐτῶν εὔξασθαι τούς νοῦν ἔχοντας, ἤ τοιαῦτα σεβασθῆναι καί οὕτω τιμῆσαι."***

Τούτων ἀναγνωσθέντων εἴπατε, τινές τῶν ἀκροωμένων ἐπέσκηψαν τῷ διδασκάλῳ, φάσκοντες μή δίκαιον εἶναι τούς νοῦν ἔχοντας καί εὐαγγελικῶς ζῆν προθεμένους κατά τινος εὔξασθαι τοιαῦτα σεβασθῆναι καί οὕτω τιμῆσαι. Πρός οὕς ἐμόν μέν οὐδέν, ὅ δέ παρά τινος γέροντος τά θεῖα σοφοῦ καί τήν τῶν Πατέρων περί πολλοῦ ποιουμένου διδασκαλίαν ἐδιδάχθην περί τούτου, φημί. Ὁ ἅγιος καί μακάριος Πατήρ ἡμῶν καί διδάσκαλος Γρηγόριος, ὦ οὗτοι, (ὡς γάρ παροῦσιν αὐτοῖς διαλεχθήσομαι), θεασάμενος τούς Ἕλληνας προηγουμένως οὕτως ἀλόγως πλανηθέντας, καί τῆς περί τοῦ κυρίως ὄντος Θεοῦ πάμπαν ἐννοίας ἀπαχθέντας, συμπαθείας νόμῳ ταῦτα διέξεισιν, ἵνα ἐκ τῆς τῶν σεβασμάτων ἀλογίας τε καί εὐτελείας, μᾶλλον δέ κυριώτερον εἰπεῖν βδελυρίας, πολλῇ τῶν ἐπιχειρηματικῶν λόγων αὐτοῖς γενομένῃ τῶν σεβασμάτων ἀνασκευῇ ῥᾴστη γένηται αὐτοῖς πρός ὀρθοτομίαν ἡ ἄνοδος, προσέτι γε μήν καί μηδέ τινα τούτων κακοδοξίᾳ κατασυρῆναι, διά τό τήν ἀπάτην ἐκ τοῦ προχείρου πᾶσιν εὔδηλον εἶναι καί εὐφώρατον, μηδενί τιμίῳ δοκοῦντι συγκαλύπτουσαν το λανθάνον κακόν.

***Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό, " Οὗ δέ κάθαρσις, ἔλλαμψις, ἔλλαμψις δέ πόθου πλήρωσις, τοῖς τῶν μεγίστων, ἤ τοῦ μεγίστου, ἤ ὑπέρ τό μέγα ἐφιεμένοις."***

Φασίν οἱ τῶν θείων ἐπιστήμονες μυστηρίων ὅτι ἔνθα κάθαρσις ψυχῆς ἡ διά τῶν ἀρετῶν, ἐκεῖ καί ἔλλαμψις γνώσεως μετά τήν εὐσεβῆ

τῶν ὄντων διάσκεψιν ἀναφαίνεται, πρός τήν τοῦ θείου κατανόησιν (1304) τήν ψυχήν ἀναβιβάζουσα, καί τόν πόθον αὐτῆς προσηλοῦσα τῷ ἐσχάτῳ τῶν ὀρεκτῶν, ὅπερ ἐστίν ὁ Θεός, ὁ ἐν τοῖς μεγίστοις καί ἐν τῷ μεγίστῳ καί ὑπέρ τό μέγα κυρίως ὑπάρχων καί γινωσκόμενος· "ἐν τοῖς μεγίστοις" μέν, ὡς ἐν τρισίν ὑποστάσεσιν ὁμοουσίοις καί ὁμοδυνάμοις, ἀσυγχύτοις τε τῇ ἀκριβεῖ καί ἀμεταβόλῳ περί ἑκάστην ἰδιότητι, ἀγεννησίᾳ λέγω καί γεννήσει καί ἐκπορεύσει· "ἐν τῷ μεγίστῳ" δέ, διά τό κατ᾽ οὐσίαν ἕν καί ταὐτόν καί μοναδικόν τῆς θεότητος· ὑπέρ τό μέγα δέ, διά τό "μή ποσῷ τινι ἤ μεγέθει ἤ πηλικότητι περιγράφεσθαι" καί πέρασί τισι διαλαμβάνεσθαι τό θεῖον. Πᾶν γάρ μέγεθος πεπερασμένον ἐστί, τό δέ θεῖον μόνον ἀπέραντον, ᾗ φησιν ὁ μέγας Δαβίδ, Μέγας Κύριος καί αἰνετός σφόδρα, καί τῆς μεγαλωσύνης αὐτοῦ οὐκ ἔστι πέρας, ὡς οὐδενί περιορισμῷ περατούμενον, διό καί ἄπειρον, ἤ ἔχον φθάνουσαν αὐτό τήν οἱανοῦν χρόνου καί φύσεως ἔννοιαν, καθ᾽ ἥν ἡ τεχνική τῶν λογικῶν ἐπιχειρημάτων μέθοδος τοῖς τά τοιαῦτα σπουδασταῖς ἐπενοήθη δι᾽ ἥν μάλιστα καί μεθ᾽ ἧς ἀδόκιμοι περί τήν τῆς ἀληθείας εὕρεσιν ἀπεδείχθησαν, πᾶν ὅ τοῖς σφῶν αὐτῶν λογισμοῖς μή γέγονεν ἁλωτόν, μήτε εἶναι τό παράπαν πιστεύσαντες. Δηλοῖ δέ τά προειρημένα λέγων ὁ διδάσκαλος ἐκ τοῦ καί ἐν ἄλλοις τοῖς αὐτοῖς χρήσασθαι λόγοις. Λέγει οὖν ἐν τῷ εἰς τόν Κατάπλουν τῶν ἀπό Αἰγύπτου λόγῳ, θεολογικῶς οὑτωσί διεξιών περί τῆς ἀκτίστου καί θείου οὐσίας, καί τῆς κτιστῆς καί ἀρχήν τοῦ εἶναι λαβούσης φύσεως· " Καλεῖται δέ ἡ μέν Θεός, καί ἐν τρισί τοῖς μεγίστοις ἵσταται, αἰτίῳ καί δημιουργῷ καί τελειοποιῷ τῷ Πατρί λέγω καί τῷ Υἱῷ καί τῷ ἁγίῳ Πνεύματι. Καί αὖθις ἐν τῷ περί Βαπτίσματος λόγῳ περί τῆς ἐν τρισίν ἁγίαις ὑποστάσεσι μίας καί τῆς αὐτῆς ἁγίας θεότητος διαλαμβάνων φησί, "Πάντοθεν ἴσην, τήν αὐτήν πάντοθεν, ὡς ἕν οὐρανοῦ κάλλος καί μέγεθος, τριῶν ἀπείρων ἄπειρον συμφυΐαν." Αὐτός οὖν ἑαυτοῦ καθέστηκεν ἑρμηνευτής ὁ διδάσκαλος τοῖς μή παρέργως ἐντυγχάνουσι τοῖς αὐτοῦ θεοφράστου λόγοις.

***Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό, " Καινοτομοῦνται φύσεις, καί Θεός ἄνθρωπος γίνεται. "***

Οἱ τά πολλά τῶν θείων μυστηρίων ἐκ τῶν ὀπαδῶν καί ὑπηρετῶν γενομένων τοῦ Λόγου, καί αὐτόθεν ἀμέσως τήν τῶν ὄντων μυηθέντων γνῶσιν, κατά διαδοχήν διά τῶν πρό αὐτῶν εἰς αὐτούς

διαδοθέντα λαβόντες ἅγιοί φασιν πέντε διαιρέσεσι διειλῆφθαι τήν πάντων τῶν γεγονότων ὑπόστασιν· ὧν πρώτην μέν φασιν εἶναι τήν διαιροῦσαν τῆς ἀκτίστου φύσεως τήν κτιστήν καθόλου φύσιν, καί διά γενέσεως τό εἶναι λαβοῦσαν. Φασί γάρ τόν Θεόν ἀγαθότητι (1305) πεποιηκότα τῶν ὄντων ἁπάντων λαμπράν διακόσμησιν, μή αὐτόθεν αὐτῇ καταφανῆ γενέσθαι τινά καί διακρίνουσαν ἄγνοιαν διαίρεσιν λέγοντες. Τήν γάρ φυσικῶς ἀλλήλων ταῦτα διαιροῦσαν, μηδέποτε δεχομένην εἰς μίαν οὐσίαν ἕνωσιν, ὡς τόν ἕνα καί τόν αὐτόν μή δυναμένην ἐπιδέξασθαι λόγον εἴασαν ἄῤῥητον. Δευτέραν δέ, καθ᾽ ἥν ἡ διά κτίσεως τό εἶναι λαβοῦσα σύμπασα φύσις ὑπό Θεοῦ διαιρεῖται εἰς νοητά καί αἰσθητά. Τρίτην, καθ᾽ ἥν ἡ αἰσθητή φύσις διαιρεῖται εἰς οὐρανόν καί γῆν. Τετάρτην δέ, καθ᾽ ἥν ἡ γῆ διαιρεῖται εἰς παράδεισον καί οἰκουμένην, καί Πέμπτην, καθ᾽ ἥν ὁ ἐπί πᾶσιν, ὥσπερ τι τῶν ὅλων συνεκτικώτατον ἐργαστήριον, καί πᾶσι τοῖς κατά πᾶσαν διαίρεσιν ἄκροις δι᾽ αὐτοῦ φυσικῶς μεσιτεύων ἀγαθοπρεπῶς κατά γένεσιν τοῖς οὖσιν ἐπεισαχθείς ἄνθρωπος διαιρεῖται εἰς ἄρσεν καί θῆλυ, πᾶσαν ἔχων δηλαδή φυσικῶς ταῖς τῶν ἄκρων πάντων μεσότησι διά τῆς πρός τά ἄκρα πάντα τῶν ἰδίων μερῶν σχετικῆς ἰδιότητος τήν πρός ἕνωσιν δύναμιν, δι᾽ ἧς ὁ κατά τήν αἰτίαν τῆς τῶν διῃρημένων γενέσεως συμπληρούμενος τρόπος ἔμελλε τοῦ θείου σκοποῦ τό μέγα μυστήριον ἔκδηλον δι᾽ ἑαυτοῦ καταστῆσαι, τήν πρός ἄλληλα τῶν ἐν τοῖς οὖσιν ἄκρων ἐναρμονίως ἀπό τῶν προσεχῶν ἐπί τά πόῤῥω, καί τῶν ἡττόνων ἐπί τά κρείττονα καθεξῆς ἀνατατικῶς προϊοῦσαν, εἰς Θεόν ἀποπερατώσας ἕνωσιν. Τούτου δή χάριν ἔσχατος ἐπεισάγεται τοῖς οὖσιν ὁ ἄνθρωπος, οἱονεί σύνδεσμός τις φυσικός τοῖς καθόλου διά τῶν οἰκείων μερῶν μεσιτεύων ἄκροις, καί εἰς ἕν ἄγων ἐν ἑαυτῷ τά πολλῷ κατά τήν φύσιν ἀλλήλων διεστηκότα τῷ διαστήματι, ἵνα τῆς πρός Θεόν, ὡς αἴτιον, τά πάντα συναγούσης ἑνώσεως ἐκ τῆς ἰδίας πρότερον ἀρξάμενος διαιρέσεως καθεξῆς διά τῶν μέσων εἱρμῷ καί τάξει προβαίνων εἰς τόν Θεόν λάβῃ τό πέρας τῆς διά πάντων κατά τήν ἕνωσιν γινομένης ὑψηλῆς ἀναβάσεως, ἐν ᾧ οὐκ ἔστι διαίρεσις, τήν μηδαμῶς ἠρτημένην δηλαδή κατά τόν προηγούμενον λόγον τῆς περί τήν γένεσιν τοῦ ἀνθρώπου θείας προθέσεως κατά τό θῆλυ καί τό ἄρσεν ἰδιότητα τῇ περί τήν θείαν ἀρετήν ἀπαθεστάτῃ σχέσει πάντη τῆς φύσεως ἐκτιναξάμενος, ὥστε δειχθῆναί τε καί γενέσθαι κατά τήν θείαν πρόθεσιν ἄνθρωπον μόνον, τῇ κατά τό ἄρσεν καί τό θῆλυ προσηγορίᾳ μή διαιρούμενον, καθ᾽ ὅν καί προηγουμένως γεγένηται

λόγον τοῖς νῦν περί αὐτόν οὖσι τμήμασι μή μεριζόμενον, διά τήν τελείαν πρός τόν ἴδιον, ὡς ἔφην, λόγον καθ᾽ ὅν ἐστιν γνῶσιν· εἶτα τόν παράδεισον καί τήν οἰκουμένην διά τῆς οἰκείας ἁγιοπρεποῦς ἀγωγῆς ἑνώσας μίαν ποιήσειε γῆν, μή διαιρούμενην αὐτῷ κατά τήν τῶν μερῶν αὐτῆς διαφοράν, ἀλλά μᾶλλον συναγομένην, ὡς μηδεμίαν πρός μηδέν τῶν αὐτῆς ὑπαγωγήν παθόντι μερῶν· εἶτα οὐρανόν καί γῆν ἑνώσας διά τήν πρός ἀγγέλους τῆς ζωῆς παντί τρόπῳ κατ᾽ ἀρετήν, ὡς ἐφικτόν ἀνθρώποις, ταὐτότητα μίαν ποιήσειεν ἀδιαίρετον (1308) πάντη πρός ἑαυτήν τήν αἰσθητήν κτίσιν, μή διαιρουμένην αὐτῷ τοπικῶς τό παράπαν τοῖς διαστήμασι, κούφῳ γενομένῳ τῷ πνεύματι καί μηδενί βάρει σωματικῷ κατεχομένῳ πρός γῆν, καί τῆς πρός οὐρανούς ἀναβάσεως εἰργομένῳ διά τήν πρός ταῦτα τοῦ νοῦ τελείαν ἀορασίαν γνησίως πρός τόν Θεόν ἐπειγομένου, καί σοφῶς ποιουμένου τῆς πρός αὐτόν ἀνατάσεως ἐφεξῆς, ὡς ἐν ὁδῷ κοινῇ, φυσικῶς τοῦ πρό αὐτοῦ τό φθάσαν ἐπίβασιν· εἶτα τά νοητά καί τά αἰσθητά πρός τούτοις ἑνώσας διά τήν πρός ἀγγέλους κατά τήν γνῶσιν ἰσότητα μίαν ποιήσῃ κτίσιν τήν ἅπασαν κτίσιν, μή διαιρουμένην αὐτῷ κατά τήν γνῶσιν καί τήν ἀγνωσίαν, ἴσης αὐτῷ πρός τούς ἀγγέλους ἀνελλιπῶς γενομένης τῶν ἐν τοῖς οὖσι λόγων γνωστικῆς ἐπιστήμης, καθ᾽ ἥν ἡ τῆς ἀληθοῦς σοφίας ἀπειρόδωρος χύσις ἐπιγενομένη κατά τό θεμιτόν ἀκραιφνῶς λοιπόν τήν περί Θεοῦ καί ἀμεσιτεύτως παρέχεται τοῖς ἀξίοις ἀδιάγνωστον καί ἀνερμήνευτον ἔννοιαν· καί τέλος ἐπί πᾶσι τούτοις, καί κτιστήν φύσιν τῇ ἀκτίστῳ δι᾽ ἀγάπης ἑνώσας (ὤ τοῦ θαύματος τῆς περί ἡμᾶς τοῦ Θεοῦ φιλανθρωπίας) ἕν καί ταὐτόν δείξειε κατά τήν ἕξιν τῆς χάριτος, ὅλος ὅλῳ περιχωρήσας ὁλικῶς τῷ Θεῷ, καί γενόμενος πᾶν εἴ τί πέρ ἐστιν ὁ Θεός, χωρίς τῆς κατ᾽ οὐσίαν ταὐτότητος, καί ὅλον αὐτόν ἀντιλαβών ἑαυτοῦ τόν Θεόν, καί τῆς ἐπ᾽ αὐτόν τόν Θεόν ἀναβάσεως οἷον ἔπαθλον αὐτόν μονώτατον κτησάμενος τόν Θεόν, ὡς τέλος τῆς τῶν κινουμένων κινήσεως, καί στάσιν βάσιμόν τε καί ἀκίνητον τῶν ἐπ᾽ αὐτόν φερομένων, καί παντός ὅρου καί θεσμοῦ καί νόμου, λόγου τε καί νοῦ, καί φύσεως ὅρον καί πέρας ἀόριστόν τε καί ἄπειρον ὄντα.

Ἐπειδή τοίνυν φυσικῶς, ὡς δεδημιούργητο, περί μέν τό ἀκίνητον, ὡς ἀρχήν ἰδίαν (φημί δέ τόν Θεόν) ὁ ἄνθρωπος οὐ κεκίνητο, περί δέ τά ὑπ᾽ αὐτόν, ὧν αὐτός θεόθεν ἄρχειν ἐπιτάγη, παρά φύσιν ἑκών ἀνοήτως κεκίνηται, τῇ πρός ἕνωσιν τῶν διῃρημένων δοθείσῃ αὐτῷ φυσικῇ δυνάμει κατά τήν γένεσιν εἰς τόν τῶν ἡνωμένων μᾶλλον

διαίρεσιν παραχρησάμενος, καί ταύτῃ μικροῦ δεῖν ἐλεεινῶς εἰς τό μή ὄν πάλιν κινδυνεύσας μεταχωρῆσαι, διά τοῦτο καινοτομοῦνται φύσεις, καί παραδόξως ὑπέρ φύσιν περί τό φύσει κινούμενον ἀκινήτως, ἵν᾽ οὕτως εἴπω, κινεῖται τό πάντη κατά φύσιν ἀκίνητον, καί Θεός ἄνθρωπος γίνεται, ἵνα σώσῃ τόν ἀπολόμενον ἄνθρωπον, καί τῆς κατά τό πᾶν καθόλου φύσεως δι᾽ ἑαυτοῦ τά κατά φύσιν ἑνώσας ῥήγματα, καί τούς καθόλου τῶν ἐπί μέρους προφερομένους λόγους, οἷς ἡ τῶν διῃρημένων γίνεσθαι πέφυκεν ἕνωσις, δείξας τήν μεγάλην βουλήν πληρώσῃ τοῦ Θεοῦ καί Πατρός, εἰς ἑαυτόν ἀνακεφαλαιώσας τά πάντα, τά ἐν τῷ οὐρανῷ καί τά ἐπί τῆς γῆς, ἐν ᾧ καί ἐκτίσθησαν. Ἀμέλει τοι τῆς καθόλου τῶν πάντων πρός ἑαυτόν ἑνώσεως ἐκ τῆς ἡμῶν (1309) ἀρξάμενος διαιρέσεως γίνεται τέλειος ἄνθρωπος, ἐξ ἡμῶν δι᾽ ἡμᾶς καθ᾽ ἡμᾶς, πάντα τά ἡμῶν ἀνελλιπῶς ἔχων, ἁμαρτίας χωρίς, τῆς κατά φύσιν ἀκολουθίας γαμικῆς οὐδόλως εἰς τοῦτο προσδεηθείς· ὁμοῦ τε καί κατά τό αὐτό δεικνύς, ὡς οἶμαι, τυχόν ὡς ἦν καί ἄλλος τρόπος τῆς εἰς πλῆθος τῶν ἀνθρώπων αὐξήσεως προεγνωσμένος Θεῷ, εἰ τήν ἐντολήν ὁ πρῶτος ἐφύλαξεν ἄνθρωπος καί πρός κτηνωδίαν ἑαυτόν τῷ κατά παράχρησιν τρόπῳ τῶν οἰκείων δυνάμεων μή κατέβαλε, καί τήν κατά τό ἄῤῥεν καί θῆλυ διαφοράν τε καί διαίρεσιν τῆς φύσεως ἐξωθούμενος, ἧς πρός τό γενέσθαι, καθάπερ ἔφην, ἄνθρωπος, οὐδόλως προσεδεήθη, ὧν δέ ἄνευ εἶναι τυχόν ἐστι δυνατόν. Ταῦτα εἰς τό διηνεκές παραμεῖναι οὐκ ἀνάγκη. Ἐν γάρ Χριστῷ Ἰησοῦ, φησίν ὁ θεῖος Ἀπόστολος, οὔτε ἄῤῥεν οὔτε θῆλυ. Εἶτα τήν καθ᾽ ἡμᾶς ἁγίασας οἰκουμένην διά τῆς οἰκείας ἀνθρωποπρεποῦς ἀναστροφῆς μετά θάνατον εἰς τόν παράδεισον ἀπαραποδίστως χωρεῖ, καθώς τῷ ληστῇ ἀψευδῶς ἐπηγγείλατο, Σήμερον, φήσας, ἔσῃ μετ᾽ ἐμοῦ ἐν τῷ παραδείσῳ. Ἐντεῦθεν ὡς κατ᾽ αὐτόν λοιπόν μή ἐχούσης πρός τόν παράδεισον διαφοράν τῆς καθ᾽ ἡμᾶς οἰκουμένης πάλιν ἐπ᾽ αὐτῆς ἐφάνη τοῖς μαθηταῖς συνδιαιτώμενος μετά τήν ἐκ νεκρῶν ἀνάστασιν, δεικνύς ὡς ἡ γῆ μία οὖσα τυγχάνει πρός ἑαυτήν ἀδιαίρετος, τόν καθ᾽ ὅν ἐστι λόγον τῆς κατά τήν διαφοράν διαιρέσεως ἐλεύθερον διασώζουσα. Εἶτα διά τῆς εἰς οὐρανόν ἀναλήψεως τόν οὐρανόν ἥνωσε δηλονότι καί τήν γῆν, καί μετά τούτου τοῦ γηΐνου σώματος τοῦ ἡμῖν ὁμοουσίου χωρήσας εἰς οὐρανόν μίαν οὖσαν τῷ κατ᾽ αὐτήν καθολικωτέρῳ λόγῳ πᾶσαν τήν αἰσθητόν φύσιν ἀπέδειξε, τῆς τεμνούσης αὐτήν ἐν ἑαυτῷ διαιρέσεως ἀμαυρώσας τήν ἰδιότητα. Ἔπειτα πρός τούτοις, τά αἰσθητά καί τά νοητά καθεξῆς διά πάντων

τῶν κατ᾿ οὐρανόν θείων καί νοητῶν ταγμάτων διελθών μετά τῆς ψυχῆς καί τοῦ σώματος, τουτέστι τελείας τῆς ἡμετέρας φύσεως, ἥνωσε, τήν πρός τό ἕν τῆς ὅλης κτίσεως κατά τόν ἑαυτῆς ἀρχικώτατόν τε καί καθολικώτατον λόγον σύννευσιν δείξας ἐν ἑαυτῷ παντελῶς ἀδιαίρετόν τε καί ἀστασίαστον. Καί τέλος ἐπί πᾶσι τούτοις κατά τήν ἐπίνοιαν τῆς ἀνθρωπότητος πρός αὐτόν γένεται τόν Θεόν, ἐμφανισθείς ὑπέρ ἡμῶν δηλονότι, καθώς γέγραπται, τῷ προσώπῳ τοῦ Θεοῦ καί Πατρός ὡς ἄνθρωπος ὁ καθ᾿ οἱονδήποτε τρόπον μηδέποτε τοῦ Πατρός ὡς Λόγος χωρισθῆναι δυνάμενος, πληρώσας ὡς ἄνθρωπος ἔργῳ καί ἀληθείᾳ καθ᾿ ὑπακοήν ἀπαράβατον ὅσα προώρισεν αὐτός ὡς Θεός γενέσθαι, καί τελειώσας πᾶσαν βουλήν τοῦ Θεοῦ καί Πατρός ὑπέρ ἡμῶν τῶν ἀχρειωσάντων τῇ παραχρήσει τήν ἐξ ἀρχῆς ἡμῖν φυσικῶς πρός τοῦτο δοθεῖσαν δύναμιν, καί πρῶτον ἑνώσας ἡμῖν ἑαυτούς ἐν ἑαυτῷ διά τῆς ἀφαιρέσεως τῆς κατά τό ἄῤῥεν καί τό θῆλυ διαφορᾶς, καί ἀντί ἀνδρῶν καί γυναικῶν, οἷς ὁ τῆς διαιρέσεως ἐνθεωρεῖται μάλιστα τρόπος (1312), ἀνθρώπους μόνον κυρίως τε καί ἀληθῶς ἀποδείξας, κατ᾿ αὐτόν δι᾿ ὅλου μεμορφωμένους καί σώαν αὐτοῦ καί παντελῶς ἀκίβδηλον τήν εἰκόναν φέροντας, ἧς κατ' οὐδένα τρόπον οὐδέν τῶν φθορᾶς γνωρισμάτων ἅπτεται, καί σύν ἡμῖν καί δι' ἡμᾶς τήν ἅπασαν κτίσιν διά τῶν μέσων ὡς μερῶν ἰδίων τά ἄκρα περιλαβών καί περί ἑαυτόν ἀλύτως ἀλλήλοις διασφίγξας παράδεισον καί οἰκουμένην, οὐρανόν καί γῆν, αἰσθητά καί νοητά, ὡς σῶμα καί αἴσθησιν καί ψυχήν καθ᾿ ἡμᾶς ἔχων καί νοῦν, οἷς ὡς μέρεσι καθ᾿ ἕκαστον τό ἑκάστῳ καθόλου συγγενές οἰκειωσάμενος ἄκρον κατά τόν προαποδοθέντα τρόπον θεοπρεπῶς τά πάντα εἰς ἑαυτόν ἀνεκεφαλαιώσατο, μίαν ὑπάρχουσαν τήν ἅπασαν κτίσιν δείξας, καθάπερ ἄνθρωπον ἄλλον, τῇ τῶν μερῶν ἑαυτῆς πρός ἄλληλα συνόδῳ συμπληρουμένην καί πρός ἑαυτήν νεύουσαν τῇ ὁλότητι τῆς ὑπάρξεως, κατά τήν μίαν καί ἁπλῆν καί ἀπροσδιόριστον, τῆς ἐκ τοῦ μή ὄντος παραγωγῆς καί ἀδιάφορον ἔννοιαν, καθ᾿ ἥν ἕνα καί τόν αὐτόν πᾶσα ἡ κτίσις ἐπιδέξασθαι δύναται λόγον παντελῶς ἀδιάκριτον, τό "Οὐκ ἦν" τοῦ "εἶναι" πρεσβύτερον ἔχουσα.

Πάντα γάρ κατά τόν ἀληθῆ λόγον ἀλλήλοις συνεμπίπτει καθ᾿ ὁτιοῦν πάντως, εἰ καί μή πάντη, τά μετά Θεόν ὄντα καί ἐκ Θεοῦ τό εἶναι διά γενέσεως ἔχοντα, μηδενός καθόλου τῶν ὄντων, μηδέ τῶν ἄγαν τιμίων καί ὑπερβεβηκότων τῆς πρός τό ἄγαν ἄσχετον γενικῆς σχέσεως, παντάπασι φυσικῶς ἀπολελυμένου, μήτε μήν τοῦ ἐν τοῖς

οὖσιν ἀτιμωτάτου τῆς πρός τά ἀτιμιώτατα κατά φύσιν γενικῆς παντελῶς ἀπολιμπανομένου καί ἀμοιροῦντος σχέσεως. Πάντα γάρ τά ταῖς οἰκείαις ἰδίως διαφοραῖς ἀλλήλων διακεκριμμένα ταῖς καθόλου καί κοιναῖς γενικῶς ταὐτότησιν ἥνωνται, καί πρός τό ἕν καί ταὐτόν ἀλλήλοις γενικῷ τινι λόγῳ φύσεως συνωθοῦνται, οἷον τά μέν γένη κατά τήν οὐσίαν ἀλλήλοις ἑνούμενα τό ἕν ἔχει καί ταὐτόν καί ἀδιαίρετον. Οὐδέν γάρ τῶν καθόλου καί περιεχόντων καί γενικῶν τοῖς ἐπί μέρους καί περιεχομένοις καί ἰδικοῖς παντελῶς συνδιαιρεῖται. Οὐ γάρ ἔστι γενικόν εἶναι δύναται τό μή συνάγον τά διῃρημένα φυσικῶς, ἀλά συνδιαιρούμενον αὐτοῖς, καί τῆς οἰκείας μοναδικῆς ἑνότητος ἐξιστάμενον. Πᾶν γάρ γενικόν κατά τόν οἰκεῖον λόγον ὅλον ὅλοις ἀδιαιρέτως τοῖς ὑπ᾽ αὐτό ἑνικῶς ἐνυπάρχει, καί τό καθ᾽ ἕκαστον ὅλον ἐνθεωρεῖται γενικῶς. Τά δέ εἴδη κατά τό γένος ὡσαύτως τῆς ἐν τῇ διαφορᾷ ποικιλίας ἀπολυθέντα τήν πρός ἄλληλα ταὐτότητα δέχεται. Τά ἄτομα δέ κατά τό εἶδος τήν πρός ἄλληλα δεχόμενα σύμβασιν ἕν καί ταὐτόν ἀλλήλοις πάντη καθέστηκε, τῇ ὁμοφυΐᾳ τό ἀπαράλλακτον ἔχοντα καί διαφορᾶς πάσης ἐλεύθερον. Τά δέ συμβεβηκότα κατά τό ὑποκείμενον ἀλλήλοις συγκριθέντα τό ἑνιαῖον ἔχει, τῷ ὑποκειμένῳ παντελῶς μή σκεδαννύμενον. Καί μάρτυς τούτων ἀψευδής ὁ ἀληθής θεηγόρος, ὁ μέγας καί ἅγιος Διονύσιος (1313) ὁ Ἀρεοπαγίτης, ἐν τῷ περί τελείου καί ἑνός κεφαλαίῳ τῆς Περί θείων ὀνομάτων πραγματείας ουτωσί φάσκων· "Οὐδέ γάρ ἐστι πλῆθος ἀμέτοχόν πη τοῦ ἑνός, ἀλλά τό μέν πολλά τοῖς μέρεσιν ἕν τῷ ὅλῳ, καί τό πολλά τοῖς συμβεβηκόσιν ἕν τῷ ὑποκειμένῳ, καί τά πολλά τῷ ἀριθμῷ ἤ ταῖς δυνάμεσιν ἕν τῷ εἴδει, καί τό πολλά τοῖς εἴδεσιν ἕν τῷ γένει, καί τό πολλά τοῖς προόδοις ἕν τῇ ἀρχῇ, καί οὐδέν ἐστι τῶν ὄντων ὅ μή μετέχει πη τοῦ ἑνός." Καί ἁπλῶς, ἵνα συνελών εἴπω, πάντων τῶν διῃρημένων καί μερικῶν οἱ λόγοι τοῖς τῶν καθόλου καί γενικῶν, ὥς φασι, περιέχονται λόγοις, καί τούς μέν τῶν γενικωτέρων καί καθολικωτέρων λόγους ὑπό τῆς σοφίας συνέχεσθαι, τούς δέ μερικῶν ποικίλως τοῖς τῶν γενικῶν ἐνισχημένους ὑπό τῆς φρονήσεως περιέχεσθαι, καθ᾽ ἥν ἁπλούμενοι πρότερον, καί τήν ἐν τοῖς πράγμασι τοῖς ὑποκειμένοις ἀπολύοντες συμβολικήν ποικιλίαν, ὑπό τῆς σοφίας ἑνίζονται, τήν εἰς ταὐτότητα τοῖς γενικωτέροις συμφυΐαν δεξάμενοι. Σοφία δέ τοῦ Θεοῦ καί Πατρός καί φρόνησίς ἐστιν ὁ Κύριος Ἰησοῦς Χριστός, ὁ καί καθόλου τῶν ὄντων συνέχων τῇ δυνάμει τῆς σοφίας, καί τά συμπληρωτικά τούτων μέρη περιέχων τῇ φρονήσει τῆς

συνέσεως ὡς πάντων φύσει δημιουργός καί προνοητής, καί εἰς ἕν ἄγων τά διεστῶτα δι᾽ ἑαυτοῦ, καί τόν ἐν τοῖς οὖσι καταλύων πόλεμον, καί πρός εἰρηνικήν φιλίαν τά πάντα καί ἀδιαίρετον συνδέων ὁμόνοιαν, τά ἐν τοῖς οὐρανοῖς καί τά ἐπί τῆς γῆς, καθώς φησιν ὁ θεῖος Ἀπόστολος.

***Ἄλλη εἰς τό αὐτό ἄπορον θεωρία.***

Καινοτομοῦνται πάλιν αἱ φύσεις, τῆς μέν θείας δι᾽ ἀγαθότητα καί φιλανθρωπίαν ἄμετρον τῆς καθ᾽ ἡμᾶς κατά θέλησιν ἑκούσιον σαρκικῆς ὑπερφυῶς ἀνεχομένης γεννήσεως, τῆς ἡμετέρας δέ παραδόξως ἄσπορον τῷ σαρκωθέντι Θεῷ ξένῳ παρά τήν φύσιν θεσμῷ τήν λογικῶς ἐψυχωμένην γεωργούσης σάρκα, κατά πάντα τήν αὐτήν ἡμῖν οὖσαν καί ἀπαράλλακτον χωρίς ἁμαρτίας, καί τό δή παραδοξότερον, μηδέν τοῦ νόμου τῆς παρθενίας τῆς γενομένης μητρός διά τῆς γεννήσεως τό σύνολον μειωθέντος. Καινοτομία δέ κυρίως οὐ μόνον τό γεννηθῆναι χρονικῶς κατά σάρκα τόν ἀνάρχως ἤδη γεγεννημένον ἀφράστως ἐκ τοῦ Θεοῦ καί Πατρός Θεόν Λόγον, ἀλλά καί τό δοῦναι σάρκα τήν ἡμετέραν φύσιν ἄνευ σπορᾶς, καί τό τεκεῖν παρθένου ἄνευ φθορᾶς. Τούτων γάρ ἕκαστον φανεράν ἔχον τήν καινοτομίαν τόν καθ᾽ ὅν γέγονεν ἄῤῥητόν τε καί ἄγνωστον λόγον παντελῶς ἀποκρύπτεται κατά ταὐτόν καί ἀποδείκνυσι, τό μέν τῷ ὑπέρ φύσιν καί γνῶσιν τρόπῳ, τό δέ τῷ λόγῳ τῆς πίστεως, ᾧ πάντα τά ὑπέρ φύσιν καί γνῶσιν ἁλίσκεσθαι πέφυκεν. (1316) Οὕτω μέν οὖν, κατ᾽ ἐμέ φάναι, τό ἄπορον ὡς δυνατόν ἐπιλέλυται, καί οὐκ οἶδ᾽ ὅπως ἑτέρως αὐτό χρή διεξελθεῖν. Τῆς σῆς δ᾽ ἄν εἴη φιλοσοφίας ἤ ἐγκρίναι τά εἰρημένα, ἤ τά κρείττω παρ᾽ ἑαυτῆς σοφώτερον ἐξευρεῖν τε καί φράσαι, καί μεταδοῦναί μοι καρπόν γνώσεως ὑψηλῆς καί μηδέν ἐχούσης ἐπίγειον.

***Τοῦ αὐτοῦ, ἐκ τοῦ εἰς τό βάπτισμα β΄ λόγου, εἰς τό "Τρισσήν γέννησιν ἡμῖν οἶδεν ὁ Λόγος, τήν ἐκ σωμάτων, τήν ἐκ βαπτίσματος, τήν ἐξ ἀναστάσεως·" εἶτα ἐπειπόντος τούτοις τινά, καί τά γεννήσεις ἑρμηνεύοντος, φῆσαι, " Ταύτας δέ τάς γεννήσεις ἁπάσας παρ᾽ ἑαυτοῦ τιμήσας ὁ ἐμός Χριστός φαίνεται, τήν μέν τῷ ἐμφυσήματι τῷ πρώτῳ καί ζωτικῷ, τήν δέ τῇ σαρκώσει καί τῷ βαπτίσματι ὅπερ αὐτός ἐβαπτίσατο, τήν δέ τῇ ἀναστάσει ἧς αὐτός ἀπήρξατο, ὡς ἐγένετο***

***πρωτότοκος ἐν πολλοις ἀδελφοῖς, οὕτω καί πρωτότοκος ἐκ νεκρῶν γενέσθαι καταξιώσας."***

Πῶς ἐν τούτοις ὁ θεόφρων οὗτος διδάσκαλος δοκεῖ περιττοτέραν τήν ἐπανάληψιν τῶν προῤῥηθέντων πεποιηκέναι; Τρισσήν γάρ εἰπών γέννησιν, τήν ἐκ σωμάτων, τήν ἐκ βαπτίσματος, τήν ἐξ ἀναστάσεως, ἐπήγαγεν ὥσπερ ἐπιλαθόμενος διά τῆς δοκούσης περιττῆς εἶναι φράσεως καί τετάρτην διά τοῦ φάναι, "Τήν μέν τῷ ἐμφυσήματι τῷ πρώτῳ καί ζωτικῷ." Ἧς γάρ μετά τῶν τριῶν οὐκ ἐμνημόνευσε γεννήσεων ὡς περί προλεχθείσης ἐπήγαγεν εἰπών, "Τήν μέν τῷ ἐμφυσήματι τῷ πρώτῳ καί ζωτικῷ." Πῶς οὖν τοῦτο κατ᾿ ἀλήθειαν εἴρηκεν ὁ διδάσκαλος, οἶδε πάντως ὁ κατ᾿ ἀρετήν αὐτῷ γεγονώς παραπλήσιος, καί μή πόῤῥω τῆς αὐτοῦ περί τά θεῖα σοφῆς ἐπιστήμης διεστηκώς. Ὅσον δ᾿ οὖν ἐμέ γινώσκειν κατά τό ἐμῆς ἀσθενοῦς διανοίας ἀβληχρόν, οὐκ οἶμαι περιττήν εἶναι τήν ἐπαχθεῖσαν τετάρτην γέννησιν, ἀλλά μᾶλλον συμπληρωτικήν τῆς ἐκ σωμάτων προτεθείσης γεννήσεως, καί ἑρμηνευτικήν τῶν ἐπ᾿ αὐτῇ θείων λόγων τε καί τρόπων. Ὁ γάρ τῆς γενέσεως ἕνεκεν τοῦ πρώτου Ἀδάμ ἄνθρωπος γενέσθαι καταδεξάμενος χάριν οὐκ ἀπαξιώσας, διά μέν τῆς γενέσεως τήν πρός τόν πεσόντα συγκατάβασιν, διά δέ τῆς γεννήσεως τήν πρός τόν καταδεδικασμένον ἑκούσιον κένωσιν ἐπιδείξατο· τῇ μέν γενέσει φυσικῶς εἰς ταὐτόν τῷ ἀνθρώ.πω κατά τήν ζωτικήν ἀγόμενος ἔμπνευσιν, ἐξ ἧς τό κατ᾿ εἰκόνα λαβών ὡς ἄνθρωπος ἄπρατον διέμεινεν ἔχων τῆς ἐλευθερίας, τῆς ἀναμαρτησίας καί ἄχραντον. τῇ δέ γεννήσει κατα τήν σάρκωσιν τήν πρός τόν ἄνθρωπον τῆς φθορᾶς ὁμοίωσιν ἑκουσίως διά τῆς δουλικῆς φορφῆς ὑποδύς τοῖς αὐτοῖς παραπλησίως ἡμῖν κατά θέλησιν ὑποκεῖσθαι φυσικοῖς παθήμασι χωρίς ἁμαρτίας, ὡς ὑπεύθυνος ὁ ἀναμάρτητος, ἠνέσχετο. Κατ᾿ ἄμφω γάρ ταῦτα μέρη τεμών ἐκ μερῶν συνετέθη, καί γένονε (1317) τελείως νέος Ἀδάμ, τόν πρῶτον τοῖς κατ᾿ ἄμφω μέρεσιν Ἀδάμ ἐν ἑαυτῷ φέρων ἀμείωτον. Τῆς γάρ πρό τῆς παραβάσεως τοῦ Ἀδάμ γενέσεως νόμῳ συγκαταβάσεως ἀνασχόμενος κατά τήν πλάσιν τό ἀναμάρτητον φυσικῶς λαβών διά τῆς ἐμπνεύσεως, ἄφθαρτον οὐ προσέλαβε. Τῆς δέ μετά τήν παράβασιν ἐκ καταδίκης γεννήσεως κατά τήν ἑκούσιον κένωσιν τό παθητόν φυσικῶς εἰληφώς τό ἁμαρτητικόν οὐ προσείληφε, καί γίνεται νέος Ἀδάμ, γένεσιν λαμβάνων τήν αὐτήν ἀναμάρτητον καί γεννήσεως τῆς αὐτῆς παθητῆς ἀνεχόμενος. Ἄμφω γάρ ἀλλήλαις τελείως περί ἑαυτόν ἐναλλάξ τοῖς κατ᾿ ἄμφω μέρεσιν συμπλέξας

ἄμφω δι᾽ ἀλλήλων τῇ ἐλλείψει τοῦ περί ἑκατέραν ἄκρου δυνατῶς ἐξιάσατο, τῆς μέν πρώτης καί τιμίας τήν δευτέραν καί ἄτιμον ποιούμενος σωστικήν τε καί ἀνανεωτικήν, τῆς δέ δευτέρας τήν πρώτην συστατικήν τε καί περιποιητικήν καταστήσας. Ἄκρα δέ φημι τῆς μέν γενέσεως πρώτης καί τιμίας ὑπαρχούσης τό ἄφθαρτον, ὡς ἀναμαρτησίας ἀρχή, τῆς δέ γεννήσεως ὡς δευτέρας οὔσης καί ἀτίμου τό ἁμαρτητικόν, ὡς παντός πάθους αἴτιον καί φθορᾶς. Ἅπερ εἰς ἑαυτόν κατά τήν σάρκωσιν μηδαμῶς εἰληφώς ὁ Σωτήρ καί τά δι᾽ αὐτά καταδεξάμενος τῆς μέν γενέσεως τήν γέννησιν σωστικήν ἐποιήσατο, τῷ καθ᾽ αὐτήν πάθει παραδόξως τήν τῆς γενέσεως ἀφθαρσίαν ἀνανεούμενος, τῆς δ᾽ αὖ πάλιν γεννήσεως τήν γένεσιν περιποιητικήν κατεστήσατο, τῇ κατ᾽ αὐτήν ἀναμαρτησίᾳ τήν τῆς γεννήσεως καθαγιάζων ἐμπάθειαν, ἵνα τήν μέν γένεσιν παντελῶς ἀνασώσηται, τῷ κατ᾽ αὐτήν θεοτελεῖ λόγῳ τήν φύσιν διακρατοῦσαν, τῆς δέ γεννήσεως τήν ὑποπεσοῦσαν αὐτῇ φύσιν διά τήν ἁμαρτίαν παντελῶς ἐλευθερώσῃ, τῷ κατ᾽ αὐτήν ἴσως τοῖς λοιποῖς ἐπί γῆς ζώοις ἐπιῤῥύτῳ τῆς σπορᾶς τρόπῳ μή κρατουμένην. Συνάψας οὖν γένεσιν καί πλάσιν καί ἔμπνευσιν φυσικῶς τῇ σαρκώσει καί τῇ γεννήσει, κατά μόνην ἐπίνοιαν ἀλλήλων δίελε, καί εὑρήσεις κατά τόν μέγαν διδάσκαλον τήν τετάρτην γέννησιν, συμπληροῦσαν τήν ἐκ σωμάτων, καί μόνῃ ἐπινοίᾳ τήν ἀπ’ αὐτῆς δεχομένην διάκρισιν κατά τόν ἀποδοθέντα τρόπον. Λέγω δέ ταὐτόν εἶναι τήν γένεσιν προεπινοουμένην φυσικῶς τῆς ἐπεισάκτου γεννήσεως, ἧς ἴδιόν ἐστι τό ἐμφύσημα τό πρῶτον καί ζωτικόν.

***Θεωρία εἰς τό, "Τρισσήν γέννησιν ἡμῖν οἶδεν ὁ Λόγος."***

Καί συλλήβδην εἰπεῖν, εἰ βούλοιο γνῶναι τῶν τοῦ διδασκάλου λόγων τήν ἀκρίβειαν, ζήτει τίς ὁ κατ᾽ αἰτίαν προηγούμενος τῆς ἀνθρώπου γενέσεως λόγος ἐστίν, ὁ τῆς ἰδίας ἐντός μένων ἀεί μονιμότητος ἀνεκφοιτήτως, καί τίς ὁ κατά τήν παιδευτικήν οἰκονομίαν τῆς γεννήσεως αὐτοῦ διά τήν ἁμαρτίαν τρόπος, ὁ τέλος ἔχων τήν τοῦ παιδαγωγουμένου διόρθωσιν καί πρός τόν λόγον τῆς αὐτοῦ γενέσεως τήν τελείαν ἐπάνοδον, καί μαθήσῃ σαφῶς πῶς ὁ Θεός γενόμενος ἄνθρωπος κατ᾽ ἄμφω τελείως γέγονε, (1320) πρός ὅν εἶχεν ἀληθῶς τῆς γενέσεως λόγον τόν κατ᾽ οἰκονομίαν σοφῶς ἐπανάγων τρόπον, καί τότε δικαίως θαυμάσεις τῆς συνέσεως τόν διδάσκαλον, πῶς τά κατά τήν φύσιν συνημμένα κατ᾽ ἐπίνοιαν διελών τόν ὅλον τοῦ

ἐφ᾽ ἡμῖν θειοτάτου μυστηρίου κρυφίως διετράνωσε λόγον. Τήν γάρ ἐκ σωμάτων γέννησιν τῷ ζωτικῷ ἐμφυσήματι καί τῇ σαρκώσει κατ᾽ ἐπίνοιαν ἐπιμερίσας τήν πρός τόν κατά τήν γένεσιν λόγον τοῦ κατά τήν γέννησιν τρόπου διαφοράν παρηνίξατο. Ὧν ἐπιλαβόμενος δι᾽ ἡμᾶς ὁ τήν φύσιν ἀνακαινίσας Θεός, μᾶλλον δέ καινίσας εἰπεῖν ἀληθέστερον, καί πρός τό ἀρχαῖον κάλλος αὐτήν τῆς ἀφθαρσίας ἐπαγαγών διά τῆς ἐξ ἡμῶν ἁγίας αὐτοῦ καί λογικῶς ἐψυχωμένην σαρκός, καί πλεόν παρασχόμενος αὐτῇ φιλοδώρως τήν θέωσιν, ἧς μεταπεσεῖν παντελῶς ἀμήχανον αὐτῷ τῷ σαρκωθέντι Θεῷ ψυχῆς τρόπον ἑνούσης σώματι, δι᾽ ὅλου περιχωρήσασαν ἀσυγχύτως κατά τήν ἕνωσιν, καί τῆς αὐτοῦ κατ᾽ αὐτήν ἐκφάνσεως τοσοῦτον ἀντιλαβοῦσαν τό κρύπτεσθαι ὅσον αὐτός δι᾽ αὐτήν γέγονε φανερός καί τῆς οἰκείας φυσικῆς κρυφιότητος ἐκβεβηκώς ἐνομίσθη· καί τί τούτου παραδοξότερον, ὅτι φύσει Θεός ὑπάρχων, καί ἄνθρωπος φύσει γενέσθαι καταξιώσας, οὐδετέρας φύσεως τούς φυσικούς ὅρους διά τῆς ἑτέρας παντελῶς παρήμειψεν, ἀλλ᾽ ὅλος Θεός ὤν ὅλος γενόμενος διέμεινεν ἄνθρωπος; οὐ τῷ εἶναι Θεός ἄνθρωπος γενέσθαι κωλυόμενος, οὔτε μήν τῷ γενέσθαι ἄνθρωπος τοῦ εἶναι Θεός ἐλαττούμενος, εἷς καί ὁ αὐτός ὅλος δι᾽ ἀμφοῖν συντηρούμενος, ἄμφω φυσικῶς κατά ἀλήθειαν ὑπάρχων, μήτε τῷ ἀκραιφνεῖ τῆς κατ᾽ οὐσίαν τῶν μερῶν φυσικῆς διαφορᾶς διαιρούμενος, μήτε μήν τῷ ἄκρως μοναδικῷ τῆς ὑποστάσεως συγχεόμενος, οὐ τραπείς εἰς τήν κάτω φύσιν καί εἰς ὅπερ οὐκ ἦν μεταπεσών. Οὐ φαντάσας σαρκός εἴδει καί σχήματι τήν οἰκονομίαν, καί ὅσα ἑτέρα καθ᾽ ὑποκειμένου λέγεται εἶναι χωρίς τοῦ ὑποκειμένου λαβών, ταύτην ἐπλήρωσεν, ἀλλ᾽ αὐτήν κυρίως πράγματι καί ἀληθείᾳ τήν ἀνθρωπίνην προσλαβών φύσιν ἥνωσεν ἑαυτῷ καθ᾽ ὑπόστασιν ἀτρέπτως καί ἀναλλοιώτως καί ἀμειώτως καί ἀδιαιρέτως, τῷ κατ᾽ οὐσίαν αὐτῆς λόγῳ καί ὅρῳ συνέχων ἀνέκπτωτον. Καθ᾽ ἥν καί τήν ἐκ σωμάτων κατά τόν ἅγιον τοῦτον καί μέγαν διδάσκαλον ἡμετέραν ἐτίμησε γέννησιν, καί γενόμενος ἄνθρωπος ἀληθῶς καί ἀνθρωπίνως γεννώμενος, ἵνα ἡμᾶς τῶν δεσμῶν τῆς γεννήσεως ἐλευθερώσῃ, καί τοῦ παραπλησίως χόρτου σπειρόμενους ἐκ καταδίκης διά τήν ἁμαρτίαν φύεσθαι νόμου, καί τοῦ τήν αὐτήν ἔχειν φυτοῖς τε καί ἀλόγοις ζώοις τῆς πρός τό εἶναι γενέσεως τήν συγγένειαν. Ὥς πού φησιν ὁ μέγας καί τῶν μεγάλων θεατής Ἰεζεκιήλ τά θεῖα μυσταγωγούμενος καί τήν αἰτίαν τῆς νῦν περί τόν ἄνθρωπον ὑπαρχούσης οἰκονομίας ἐκπαιδευόμενος, ὡς πρός

Ἱερουσαλήμ φάσκων· τάδε λέγει Κύριος τῇ Ἱερουσαλήμ, Ἡ ῥίζα σου καί ἡ γέννησίς σου ἐκ γῆς Χαναάν, ὁ πατήρ σου Ἀμοιῤῥαῖος, καί ἡ μήτηρ σου Χετταία· (1321) ἐν ἡμέρᾳ ᾗ ἐτέχθης οὐκ ἔδησαν τόν ὀμφαλόν σου, καί ἐν ὕδατι οὐκ ἐλούθης, οὐδέ ἀλί ἁλίσθης, καί σπαργάνοις οὐκ ἐσπαργανώθης, καί ἀπεῤῥίφης ἐπί πρόσωπον τοῦ πεδίου τῇ σκολιότητι τῆς ψυχῆς σοῦ ἐν ᾗ ἡμέρα ἐτέχθης· καί διῆλθον ἐπί σέ, καί εἶδόν σε πεφυρμένην ἐν τῷ αἵματί σου, καί εἶπα σοι, Ἐκ τοῦ αἵματός σου ἡ ζωή σου, πληθύνου, καθώς ἡ ἀνατολή τοῦ ἀγροῦ δέδωκά σε. Τῆς οὖν τοῦ φύεσθαι διά τῆς σπορᾶς ἴσα χόρτῳ καί δι᾽ αἵματος κατά τά λοιπά ζῶα τήν ζωήν ἔχειν καταδίκης ὁ τήν φύσιν ἐξιώμενος καί πρός τήν ἀρχαίαν τῆς ἀφθαρσίας χάριν ἐπανάγων Κύριος, ἦλθεν αὐτήν ἐλευθερῶσαι, καί ἐμφανῶς μέν αὐτῇ δεῖξαι πρός ὅπερ γενομένη κατ᾽ ἀρχάς οὐδόλως ἐκινήθη καλόν, καί πατῆσαι τό πονηρόν πρός ὅπερ ἅμα τῷ γενέσθαι διά τῆς ἀπάτης τήν ὅλην αὐτῆς κινηθεῖσα παρά φύσιν κατεκένωσε δύναμιν, καί καταδῆσαι πρός ἑαυτόν τήν τῆς ἐπιθυμίας δύναμιν (ἧς ὑπάρχει ὁ ὀμφαλός σύμβολον), τήν ἐν τῷ ἀγαθῷ γόνιμον ἕξιν λαβοῦσαν παγίαν καί ἀμετάπτωτον, καί λοῦσαι ἐν ὕδατι, καθᾶραι λέγων τῶν μολυσμῶν τῆς ἀγνοίας τῷ πελάγει τῆς περιχυθείσης αὐτῇ κατά τήν χάριν γνώσεως, καί ἁλίσαι ἁλί, καί σπαργανῶσαι σπαργάνοις, τουτέστι τήν πρός ὅπερ γέγονεν ἀγαθόν φυσικήν ἐνέργειαν ἀπρίξ στερεώσας τῷ πνεύματι, σήψεως παθῶν καθαράν καταστῆσαι καί ἀνεπίδεκτον, καί τῇ περιβολῇ τῶν ἐν τοῖς οὖσιν ἀληθῶν λόγων δίκην σπαργάνων περισφίγξας ἀδιάχυτον παντελῶς ἀπεργάσασθαι.

***Ἄλλη εἰς τό αὐτό θεωρία.***

Τυχόν δέ διά τῶν εἰρημένων ὁ διδάσκαλος διττόν εἶναι τόν κατά τήν γένεσιν τῆς ἀνθρωπίνης φύσεως λόγον τε καί τρόπον εἰσηγούμενος, τόν μέν ψυχῆς, τόν δέ σώματος, τήν ἐκ σωμάτων γέννησιν εἰς δύο κατ᾽ ἐπίνοιαν διεῖλε γεννήσεις, τήν μέν ψυχήν ἐμφαίνων ἀῤῥήτως ἐκ τοῦ θείου καί ζωτικοῦ ἐμφυσήματος συνισταμένην, τό δέ σῶμα ἐκ τῆς ὑποκειμένης ὕλης τοῦ ἐξ οὗπέρ ἐστιν ἅμα τῇ ψυχῇ κατά τήν σύλληψιν γινόμενον σώματος. Οὐ γάρ τόν αὐτόν ἀπαραλλάκτως φάναι θέμις ἐπ᾽ ἀμφοῖν τῆς γενέσεως εἶναι τόν λόγον καί τόν τρόπον, ὅτι μηδέ ταυτόν ἀλλήλοις κατά τήν οὐσίαν ἄμφω ταῦτα τυγχάνουσιν. Ὧν γάρ ἀλλήλοις μή ταὐτόν ἐστι τό εἶναι, τούτων δηλονότι καί ὁ πρός ἄλληλα τῆς γενέσεως παρήλλακται λόγος

καί τρόπος. Ἀλλά ψυχῆς μέν ἄλλον εἶναι δίκαιον οἴεσθαι καί λόγον καί τρόπον, καθ᾿ ὅν γίνεταί τε καί ἔστι καί ἀμεταβόλως μένει σῶμα καί ψυχῇ συναπτόμενον.

***Θεωρία σύντομος πρός τούς λέγοντας προϋπάρχειν ἤ μεθυπάρχειν τῶν σωμάτων τάς ψυχάς.***

Εἰ καί ἅμα κατά τήν ὕπαρξιν ἀμφοτέρων, ψυχῆς λέγω καί σώματος, ὁ αὐτός ἐστι τῆς γενέσεως χρόνος, οὐδενός τοῦ ἑτέρου προϋπάρχοντος, ὡς ἔφην, κατά τήν γένεσιν ἤ μεθυπάρχοντος, ἵνα μή τοῦ ἐξ (1324) ἀμφοῖν εἴδους ὡς ὅλου λυθῇ, δικαίως ἄν ὁ τοῦ πρός τι λόγος πρεσβυτέραν ἔχων καθ᾿ ἑαυτήν οὖσαν τήν τοῦ ἑνός ὡς μέρους ὑπόστασιν, καί πρός ἄλλο κατά τήν φύσιν παντάπασιν ἄσχετον ἔχουσαν τήν ἕνωσιν, καί διά τοῦτο μηδέποτε τήν σύν ἄλλῳ κατά σύνθεσιν ἄλλου τινός φυσικῶς συμπληροῦσαν ὑπόστασιν χωρίς φθορᾶς καί τῆς πρός ὅπερ οὐκ ἦν ἀλλοιώσεως. Τό γάρ καθ' ἑαυτό ἰδικῶς προϋφισάμενον εἰς ἄλλου τινός εἴδους ὑπόστασιν οὐ πέφυκεν ἄγεσθαι. Εἰ δέ εἰς τήν ἑτέρου εἴδους συμπλήρωσιν τήν πρός ἄλλο δέχεται σύνθεσιν τό προϋφιστάμενον, ἤ κατά φύσιν τοῦτο ποιεῖ πάντως, ἤ παρά φύσιν. Καί εἰ μέν κατά φύσιν, οὐδέποτε τῆς πρός ἄλλο πρός ἐκπλήρωσιν εἴδους ἑτέρου συνθέσεως παυόμενον ὁραθήσεται, διά τήν βίαν τῆς φύσεως ἑαυτῆς ἐκστῆναι μή δυναμένης, καί τούτῳ τῷ λόγῳ οὔτε σώματος χωρίς ἡ ψυχή, οὔτε ψυχῆς σῶμά ποτε νοηθήσεται, καί περιετράπη τοῖς περιττοῖς τήν σύνεσιν εἰς ἠλιθιότητα τό σοφόν, ἐναχθεῖσι βίᾳ πρός ὅπερ φεύγειν ἐσπούσασαν. Εἰ δέ παρά φύσιν τήν πρός ἄλλου συμπλήρωσιν εἴδους θάτερον τούτων τήν πρός τό ἕτερον δέχεται σύνθεσιν, φθείρεται πάντως, τοῦ κατά φύσιν ἐξιστάμενον ὅρου, καί γινόμενον ὅπερ μή πέφυκε καί εἰς ὅπερ οὐκ ἦν μεταπίπτον. Οὗ τί γένοιτ᾿ ἄν ἀσυνετώτερον; Ἀλ᾿ ἐπί τό προκείμενον ἐπανέλθωμεν.

Ψυχῆς μέν οὖν γένεσις, ὥς φησιν ἐμφαντικῶς ὁ διδάσκαλος, ἐξ ὑποκειμένης ὕλης οὐ γίνεται, καθάπερ τά σώματα, ἀλλά τῷ βουλήματι τοῦ Θεοῦ διά τῆς ζωτικῆς ἐμπνεύσεως ἀῤῥήτως τε καί ἀγνώστως, ὡς οἶδε μόνος ὁ ταύτης δημιουργός. Ἡ ψυχή τό εἶναι λαμβάνουσα κατά τήν σύλληψιν ἅμα τῷ σώματι πρός ἑνός ἀνθρώπου συμπλήρωσιν ἄγγεται, τό δέ σῶμα ἐκ τῆς ὑποκειμένης ὕλης τοῦ ἑτέρου δηλαδή γίνεται σώματος κατά τήν σύλληψιν, ἅμα τῇ ψυχῇ τήν τοῦ ἕν εἶδος εἶναι σύν αὐτῇ δεχόμενον σύνθεσιν. Ὅπερ ἀλλαχοῦ

τρανότερον ἐμφαίνων φησίν ὁ διδάσκαλος, "Κατά τήν διπλῆν τοῦ ἐμφυσήματος δύναμιν, καί πνοήν ἐμφυσώμενοι πάντες καί Πνεῦμα ἅγιον. Μεριστέον οὖν τῇ ἐπινοίᾳ κατά τήν σύλληψιν τό μέν ζωτικόν ἐμφύσημα καί τό Πνεῦμα τό ἅγιον τῇ νοερᾷ τῆς ψυχῆς οὐσίᾳ, τήν δέ σάρκωσιν καί τήν πνοήν τῇ φύσει τοῦ σώματος, καθώς οἱ Πατέρες φασί. Καί ἡ τοῦ προπάτορος Ἀδάμ μυστικῶς παρήχθη γένεσις, ἕτερον τῆς ψυχῆς ἔχουσα τόν τε τοῦ εἶναι λόγον καί τόν τοῦ γενέσθαι τρόπον, καί ἕτερον δηλαδή τοῦ σώματος, ὡς τό θεῖον ἡμᾶς μεγαλοφυῶς ἐμυσταγώγησε γράμμα, μή συγχωροῦν τήν ψυχήν καί τό σῶμα καθ᾿ ἕνα καί τόν αὐτον τρόπον τῆς γενέσεως ἀλλήλοις συμπεσόντα φυρῆναι κατά τήν φύσιν καί τόν ἑκάστου τῆς οὐσίας λόγον ἀγνοηθῆναι, καί τόν τῆς γενέσεως τρόπον.

(1325) Εἰ δέ τῷ Ἀδάμ ἐνηκολούθησεν ἡ διπλῆ τοῦ ἐμφυσήματος δύναμις κατά τήν εἰς τό εἶναι γένεσιν σύνδρομος, τί ἄν τις εἴποι περί τοῦ κατά τήν ἀνθρωπότητα συναμφοτέρου τοῦ Θεοῦ καί Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ψυχῆς λέγω καί σώματος; ὅπερ κρᾶμα κατά τό δυνατόν ἐμφέρειαν σώζει πολλήν πρός τόν πρῶτον Ἀδάμ. Ὥσπερ γάρ, ὡς αὐτός φησιν ὁ διδάσκαλος, παρά τῆς ὕλης τό σῶμα λαβών ὁ Θεός, νεοτελοῦς δηλονότι προϋποστάσης, παρ᾿ ἑαυτοῦ δέ ζωήν ἐνθείς, ὅ δή νοεράν ψυχήν καί εἰκόνα Θεοῦ οἶδεν ὁ λόγος, δημιουργεῖ τόν ἄνθρωπον, τόν αὐτόν τρόπον καί ἐξ ἀχράντου Παρθένου οἱονεί γῆς ἀμιάντου τό σῶμα λαβών, παρ᾿ ἑαυτοῦ δέ ζωήν ἐνθείς, ὅ δή ψυχήν νοεράν καί εἰκόνα Θεοῦ οἶδεν ὁ λόγος, τό ἑαυτοῦ ἀνθρώπινον ἐδημιούργησεν, ἤ ἑαυτόν ἀτρέπτως κατά πρόσληψιν σαρκός νοερῶς τε καί λογικῶς ἐψυχωμένης, δι᾿ ἡμᾶς ἑκουσίως ὡς παντοδύναμος δημιουργήσας ἐποίησεν ἄνθρωπον.

Ταύτῃ γοῦν καί τετιμηκέναι, καθάπερ οἶμαι, φησίν ὁ διδάσκαλος τήν Κύριον ἡμῶν καί Θεόν τήν καθ᾿ ἡμᾶς τρισσήν γέννησιν, τουτέστι τούς καθόλου τρόπους τῆς ἡμῶν εἰς τό εἶναι καί τό εὖ εἶναι καί ἀεί εἶναι γενέσεως, τήν μέν ἐκ σωμάτων, μίαν οὖσαν τοῦ συναμφοτέρου κατά τήν ἅμα τῶν μερῶν ἀλλήλοις συνύπαρξιν, ψυχῆς λέγω καί σώματος, εἰς δύο διαιρουμένην, διά τόν ἑτεροῖον τῆς ἑκατέρου γενέσεως τρόπον, δι᾿ ἧς τό εἶναι λαμβάνομεν, τήν δέ ἐκ βαπτίσματος, καθ᾿ ἥν τό εὖ εἶναι πλουσίως ὑποδεχόμεθα, τήν δέ ἐξ ἀναστάσεως, καθ᾿ ἥν πρός τό ἀεί εἶναι διά χάριτος μεταποιούμεθα. Ἀκριβῶς τοίνυν δεῖ τοῖς τοῦ διδασκάλου λόγοις ἐπισκήπτειν διά τούς ἐπηρεαστάς τῶν καλῶν κειμένων. Τῇ γάρ ἐπινοίᾳ μόνῃ διελών τήν ἐκ σωμάτων

γέννησιν διά τήν ἀποδοθεῖσαν αἰτίαν, ἅμα τῇ συλλήψει κατά ταυτόν χρονικῆς οὐ ὅλως ῥοπῆς προεπινουμένης, εἰληφέναι τόν Κύριον τό ζωτικόν πνεῦμα, ἤτοι ἐμφύσημα κατά τό ἀνθρώπινον αὐτοῦ, λέγω δέ τήν νοεράν ψυχήν μετά τοῦ σώματος τοῦ ἐκ τῆς ἀχράντου Παρθένου, καί οὐ μετά τήν σύλληψιν, ὁ διδάσκαλος διορίζεται.

***Πρός τούς λέγοντας προϋπάρχειν τῶν σωμάτων τάς ψυχάς.***

Τινές μέν γάρ φασιν, ὡς ἤδη προλαβών ἔφην, προϋπάρχειν τῶν σωμάτων τάς ψυχάς, τινές δέ τό ἐναντίον, τῶν ψυχῶν προϋπάρχειν τά σώματα. Ἡμεῖς δέ τήν μέσην ὁδόν ὡς βασιλικήν κατά τούς πατέρας ἡμῶν ὁδεύοντες οὔτε προϋπαρξιν οὔτε μεθύπαρξιν ψυχῆς ἤ σώματος, συνύπαρξιν δέ μᾶλλον φαμεν, τάς ἐφ᾽ ἑκάτερα φυλαττόμενοι ἐγκλίσεις, καί μήτε ἀριστερά μήτε δεξιά, καθώς φησιν ἡ ἁγία Γραφή, παντάπασιν ῥέποντες, φόβον φοβούμενοι (1328) οὗ πλέον φοβεῖσθαι οὐδέν ἐστι φοβερώτερον, μήπως προϋπάρχειν λέγοντες τῶν σωμάτων τάς ψυχάς, καί τιμωρίας ἕνεκεν τῶν ψυχῶν ἐφευρέσθαι τά σώματα, διά τήν προγεγενημένην τῶν ἀσωμάτων κακίαν, τῆς τῶν ὁρομένων ἐκπρεποῦς μεγαλουργίας, δι᾽ ἧς ὁ Θεός γινώσκεται σιωπῇ κηρυττόμενος, αἰτίαν εἰκότως εἶναι μόνην ὑποτιθέμεθα τήν κακίαν, ἀνάγκην ἐπάγουσαν τῷ Θεῷ παρά πρόθεσιν ἥν οὐκ εὐδόκησεν οὐσίαν δημιουργῆσαι, ἧς τυχόν ἀπ᾽ ἀρχῆς οὐδέ τόν λόγον ἔχει πρό τῶν αἰώνων μετά τῶν ἄλλων ἀπόκρυφον. Τῶν γάρ παρά πρόθεσιν γινομένων λέγειν τόν Θεόν ἔχειν τούς τῆς οὐσιώσεως λόγους, οὔ μοι δοκεῖ συνετῆς διανοίας εἶναι, καί ὁπωσοῦν εὖ συνησθημένης Θεοῦ μεγαλειότητος, τοῦ ἀπαθοῦς καί μόνου ἀληθοῦς, καί μηδέν ἔχοντος καθόλου κατά τούς ἐν αὐτῷ προόντας τῶν ὄντων λόγους πρόσφατον, καί μάλιστα παρά πρόθεσιν. Πάντα γάρ αὐτῷ τά ὁπωσοῦν ὄντα ἤ γενησόμενα κατά τήν οὐσίαν προτεθέληταί τε καί προεννενόηται, καί προέγνωσται· ἕκαστον δέ τῶν ὄντων κατά τόν εὔθετον καί ἐπιτήδειον καιρόν οὐσιοῖ καί ὑφίστησι. Μηδέ γάρ ὅτε τι κατασκευάζοντα τόν Θεόν ὁρῶμεν, τότε καί τῆς περί αὐτό θελήσεως ἦρχθαι ἐννοίας τε καί γνώσεως αὐτόν νομίσωμεν. Ἄπαγε. Πολλῆς γάρ ὄντως ἐστί τοῦτο μεστόν ἀτοπίας, εἰ ὅπερ ὁ Θεός ἐξ ἀρχῆς πρό τῶν αἰώνων μήτε ἐνενόησεν ἤ ἔγνω ἤ ἐθέλησεν εἶναι, νῦν νοήσας τε καί θελήσας καί γνούς, ἤ μεταγνούς εἰπεῖν οἰκειότερον, ὡς καλόν ἐξετέλεσεν· ἵνα μή λέγω ὅτι οὐδέ αὐτήν ὧν τούς λόγους προηγουμένως οὐκ ἔχει, γινώσκει τήν ποιήσιν. Ἀλλά πάντα τῇ βουλήσει τοῦ Θεοῦ προγνωστικῶς κατά

τήν ἄπειρον αὐτοῦ δύναμιν ἀεί περιέχεσθαι πιστεύομεν, μηδενός αὐτῷ καθ᾽ οἱανδήποτε τρόπον προσφάτως ἐπινοουμένου, καί τό εἶναι κατά τήν οὐσίαν λαμβάνοντος. Μηδέ γάρ οἴεσθαι δεῖν εὐσεβῶς φρονοῦντας ὑπολαμβάνω τόν Θεόν τά κατά πρόγνωσιν ἀπειροδυνάμως ἐν ἑαυτῷ κατά τούς ἑαυτῶν λόγους προπεριεχόμενα ἕκαστα μανθάνειν διά τῆς εἰς τό εἶναι παραγωγῆς. Ἀλλ᾽ ἡμῖν οἱ αἰῶνές τε καί οἱ χρόνοι κατά τόν προωρισμένον καί τόν εὔθετον ἑκάστου καιρόν σοφῶς ἕκαστα δημιουργούμενα δεικνύουσι, καί εἰς τό εἶναι προβάλλονται, καθά καί περί τοῦ Λευί φησιν ὁ θεῖος Ἀπόστολος οὑτωσί διεξιών, Ἔτι γάρ ἐν τῇ ὀσφύϊ τοῦ πατρός ἦν, πρίν εἰς τό εἶναι παρελθεῖν. Ὅστις δυνάμει μέν ἐν τῷ πατριάρχῃ Ἀβραάμ ὑπάρχων, κατά δέ τόν τετελεσμένον καιρόν τήν πρός τό εἶναι διά κυήσεως κατ᾽ ἐνέργειαν γένεσιν λαβών, εἱρμῷ καί τάξει κατα τήν ἀπόῤῥητον σοφίαν τοῦ Θεοῦ τά πάντα τήν πρός τό εἶναι γένεσιν δέχεσθαι νοεῖν ἡμᾶς καί πιστεύειν κατα τόν προγνωσθέντα καιρόν ὑπηγάγετο.

(1329) Πάντων οὖν τῶν κατ᾽ οὐσίαν ὑπαρκτικῶς ὄντων τε καί ἐσομένων, ἤ γενομένων, ἤ γενησομένων ἤ φαινομένων, ἤ φανησομένων, ἐν τῷ Θεῷ προϋπάρχουσι παγίως ὄντες οἱ λόγοι, καθ᾽ οὕς καί εἰσί τά πάντα καί γεγόνασι καί διαμένουσιν ἀεί τοῖς ἑαυτῶν κατά πρόθεσιν λόγοις, διά κινήσεως φυσικῆς ἐγγίζοντα καί πρός τό εἶναι μᾶλλον συνεχόμενα, κατά τήν ποιάν τε καί ποσήν τῆς προαιρέσεως κίνησίν τε καί ῥοπήν, τό εὖ δι᾽ ἀρετήν καί τήν πρός τόν λόγον καθ᾽ ὅν ἐστιν εὐθυπορίαν, ἤ τό φεῦ εἶναι διά κακίαν καί τήν παρά τόν λόγον καθ᾽ ὅν ἐστι κίνησιν λαμβάνοντα, καί συντόμως εἰπεῖν κατά τήν ἕξιν ἤ τήν στέρησιν τῆς αὐτῶν κατά φύσιν μεθεκτικῆς δυνάμεως τοῦ παντελῶς ἀμεθέκτου κατά φύσιν ὑπάρχοντος, καί πᾶσιν ἁπλῶς ἑαυτόν ἀξίοις τε καί ἀναξίοις ὅλον κατά χάριν δι' ἄπειρον ἀγαθότητα παρέχοντος, καί τήν τοῦ ἀεί εἶναι καθώς ἕκαστος ὑφ᾽ ἑαυτοῦ διατέθειταί τε καί ἔστι διαμονήν ἐμποιήσοντος. Οἷς ἡ τοῦ κυρίως ὄντος καί εὖ ὄντος καί ἀεί ὄντος ἀνάλογος μέθεξις ἤ ἀμεθεξία, τιμωρίας τῶν μετασχεῖν μή δυναμένων, καί ἀπολαύσεως τῶν μετασχεῖν δυναμένων, ἐπίτασίς ἐστι καί ἐπαύξησις. Οὐδέν γάρ τό παράπαν ἔστι τῶν ὄντων οὗ μή παρά τῷ Θεῷ πάντων ὁ λόγος προένεστιν. Ὧν δέ παρά τῷ Θεῷ προϋπάρχουσιν ὄντες τῆς οὐσίας οἱ λόγοι, τούτων δηλαδή κατά πρόθεσιν θείαν πάντως ἐστίν ἡ γένεσις. Ὧν δέ κατά πρόθεσιν θείαν ἐστίν ἡ γένεσις, τούτων ἡ κατ᾽ οὐσίαν ὕπαρξις μένει πρός τό μή ὄν ἀμεταχώρητος. Ὧν δέ πρός τό μή ὄν

ἀμεταχώρητος μετά τήν γένεσιν ἀπό τοῦ ὄντος ἡ κατ᾽ οὐσίαν ὑφέστηκεν ὕπαρξις, τούτων οἱ λόγοι τυγχάνουσι μόνιμοί τε καί βάσιμοι, μόνην ἔχοντες ἀρχήν τοῦ εἶναι τήν σοφίαν, ἐξ ἧς καί δι᾽ ἥν ὑπάρχουσι, καί ὑφ᾽ ἧς τήν πρός τό εἶναι δύνασθαι παγίως δύναμιν ἔχουσιν. Ὧν δέ οἱ λόγοι μονίμως ὑπάρχουσι παρά τῷ Θεῷ, καί ἡ περί αὐτούς τοῦ πεποιηκότος τά πάντα Θεοῦ πρόθεσίς ἐστιν ἀδιάπτωτος· χρονικοῖς γάρ ἡ τοῦ Θεοῦ πρόθεσις παντάπασιν οὐ περιείληπται πέρασιν, οὔτε μέν τήν ἐκ μεταβολῆς ἀλλοίωσιν ἐπιδέχεται τοῖς ὑποκειμένοις συμμεταπίπτουσα, τούτων ἀναμφηρίστως αἱ ὑπάρξεις σαφῶς εἰσιν ἀδιάφθοροι. Ἤ γάρ οὖν κατά πρόθεσιν θέλων πεποίηκεν ὁ Θεός τά ἀνθρώπινα σώματα, καί μένει δι' αὐτόν πρός τό μή ὄν ἀμετάπτωτα παντελῶς, ἀεί θέλοντα εἶναι τό σύν λόγῳ καί σοφίᾳ κατά πρόθεσιν θεληθέν, καί οὐκ ἔσται κατ' αὐτούς ἡ παντελής τῶν σωμάτων πρός τό μή ὄν ἀπογένεσις, ἤ κατά πρόθεσιν οὐ πεποίηκε, καί μή θέλων ἐτυραννήθη, κατά βίαν ἀγόμενος πρός γένεσιν, ὧν τούς λόγους ἔχων οὐ πέφανται. Καί εἰ μέν τυραννηθείς παρά πρόθεσιν ἦλθε ποιῆσαι μή θέλων τά σώματα, λόγος δηλονότι καί σοφία τῆς τούτων γενέσεως οὐδαμῶς καθηγήσατο. Τό γάρ παρά πρόθεσιν θείαν γινόμενον, λόγου καί σοφίας παντελῶς ἐστέρηταί τε (1332) καί ἠλλοτρίωται. Τό δέ λόγου καί σοφίας παντελῶς ἐστερημένον μόνον ἐστί τό κακόν, οὗ τό εἶναι χαρακτηρίζει ἡ ἀνυπαρξία, οὗτινος ποιητήν τόν Θεόν μήτε ἐννοεῖν ἡμῖν γένοιτο πώποτε, μήτιγε δέ λέγειν ἀναφανδόν, καί πιστεύειν ὀλεθρίως τολμᾷν. Τίς δέ ὁ τυραννήσας τόν Θεόν, εἴπερ τετυράννηται, καί θέμις ὅλως εἰπεῖν ποιῆσαι παρά πρόθεσιν ὅ μή βεβούληται; Καί πῶς ὁ τυραννηθείς ἐστι Θεός, πρός ἀνάγκης ὑφιστῶν παρά πρόθεσιν ἐπ᾽ ἀπωλείᾳ γένεσιν πραγμάτων; Οἱ ταύτην περιέποντες τήν δόξαν λέγειν τολμάτωσαν. Ἤ γάρ ἄν τόν Θεόν ταῦτα πεποιηκέναι φαῖεν, καί τά μέγιστα βλασφημήσαιεν, ἀνάγκην ἐπάγοντες τῷ Θεῷ ποιῆσαί τι παρά πρόθεσιν· ἤ μή πεποιηκέναι, καί ἐξ ἀνάγκης ἄλλην ἀρχήν Μανιχαϊκῶς τήν ταῦτα ποιοῦσαν εἰσάγοντες φωραθήσονται. Πάντως γάρ ἴδιόν ἐστι τῶν δύο ἀρχάς ἀλλήλαις ἀντιπαρεξαγόντων τό τῆς προϋπάρξεως δόγμα. Οὕς χάριτι Θεοῦ τοῦ παντελεήμονος ὁ βαθύς τῆς ἀφανείας ζόφος περιλαβών εἰς τελείαν ἀπήλασε λήθην, τό φέγγος τῆς κηρυττομένης ὑπό τῶν ἁγίων Πατέρων ἡμῶν ἀληθείας οὐ φέροντας.

Θαυμάζω δέ πῶς αὐτούς, ἵνα παραλείψω νῦν ὅσα ῥηθῆναι δυνατόν ἐστι, διά τήν συμμετρίαν τοῦ λόγου, τό κατά Χριστόν τόν ἀληθινόν

Θεόν ἡμῶν μυστήριον, οὐ δυσωπεῖ ταύτην προθύμως ἑαυτῶν ἐκτινάξασθαι τήν δόξαν. Εἰ γάρ πάντων τῶν θείων μυστηρίων μυστηριωδέστερον τό κατά Χριστόν ὑπάρχει μυστήριον, καί πάσης τῆς κατά πᾶσαν ἔννοιαν ἐν πᾶσιν ἤ οὔσης ἤ γενησομοένης τελειότητος ὁριστικόν, καί παντός ὅρου καί πέρατος ὑπεράνω καθέστηκε, τοῦτο δέ τό μυστήριον μετά τοῦ σαρκωθέντος καί τελείως ἐνανθρωπήσαντος Θεοῦ Λόγου εἶναί τε καί ὑπάρχειν διδάσκει τό σῶμα τό ἐξ ἡμῶν ληφθέν καί ὁμοούσιον ἡνωμένον αὐτῷ καθ᾿ ὑπόστασιν, μεθ᾿ οὗ καί ἀνελήφθη εἰς οὐρανούς, ὑπεράνω πάσης ἀρχῆς καί ἐξουσίας καί δυνάμεως καί κυριότητος καί παντός ὀνόματος ὀνομαζομένου, οὐ μόνον ἐν τῷ αἰῶνι τούτῳ, ἀλλά καί ἐν τῷ μέλλοντι, καί τῷ Θεῷ καί Πατρί νῦν τε καί εἰς τούς ἀπείρους αἰῶνας συγκαθέζεται, πάντας διεληλυθώς τούς οὐρανούς, καί ὑπεράνων πάντων γενόμενος, καί πάλιν ἐλεύσεται ἐπί μεταποιήσει τε καί μεταστοιχειώσει τοῦ παντός καί σωτηρίᾳ τῶν ἡμετέρων ψυχῶν τε καί σωμάτων, καθώς ἐπιστεύσαμέν τε καί πιστεύομεν καί εἰς ἀεί πιστεύοντες διαμένοιμεν, - τίς οὕτως τολμηρός ἐστι καί αὐθάδης, καί πρός τά δῆλά τε καί προφανῆ μάχεσθαι μόνον εἰδώς προπετῶς, ὥστε κἄν ψιλῶς ἐνθυμηθῆναι πάροδον τήν (1333) εἰς τό μή ὄν ἕξειν ποτέ τά σώματα, κατά τήν εἰς τό τέλειον, ὡς ἐκεῖνοί φασι, τῶν λογικῶν προκοπήν, τόν Κύριον αὐτόν καί Θεόν τῶν ὅλων πιστεύων μετά σώματος εἶναι νῦν τε καί εἰς ἀεί, τόν καί τοῖς ἄλλοις τήν τοῦ προκόπτειν δύνασθαι παρεχόμενον δύναμιν, καί πάντας πρός τήν οἰκείαν δόξαν, ὡς ἐφικτόν τῇ δυνάμει τῆς ἐνανθρωπήσεως, ἐνάγοντά τε καί προσκαλούμενον ὡς ἀρχηγόν τῆς πάντων σωτηρίας, καί τάς ἐν ὅλοις ἀνακαθαίροντα κηλῖδας;

Ἀλλ᾿ οὐχ ὑπ᾿ ἐκείνων ὡς τύπων τῆς αὐτοῦ τελειότητος, εἴπερ ὅλως τοῦτο κἄν ἐννοῆσαι τολμήσαιεν, ἀγόμενον πρός ἀπόθεσιν τοῦ σώματος. Οὐ γάρ ἕπεται πρός τελείωσιν ἄλλοις, οὔτε διά προκοπῆς ἐνθεωρούμενον ἔχει τό τέλειον, ὁ μόνος κατά φύσιν τελειότατος καί πάσης ποιητής τελειότητος, οὔτε σύν ἄλλοις ἀναμένει τό τέλειον δέξασθαι, κατ᾿ οὐδέν οὐδενί τῶν ὄντων τό σύνολον εἰς τό δεῖσθαι προκοπῆς ὑπάρχων ὅμοιος, ἵνα καί αὐτός τότε τοῦ σώματος τήν φύσιν ἀπόθηται, ὅτε τοῖς λοιποῖς ἡ ἐπ᾿ ἄκρον προκοπή τήν τοῦ σώματος ἀπόθεσιν γενέσθαι παρασκευάζει. Ἐπεί οὐκ ἔτι ἀρχηγός τῶν σωζομένων ἐστί καί Σωτήρ, ὡς τό καθ᾿ ἡμᾶς τέλος τῆς τελειότητος μυστικῶς ἐφ᾿ ἅπαξ ἐν ἑαυτῷ μή παραδείξας, ἀλλ᾿ εἷς τῶν σωζομένων

καί ἀρχομένων καί δεομένων ἄλλου τοῦ δεικνύοντος ἐν ἑαυτῷ τήν ἐφ᾽ ἥν πάντες οἱ λόγου φυσικῶς μετειληφότες ἐπείγονται τελειότητα καί αὐτός ὑπάρχων ἀναφανήσεται. Οὐχ οὕτω δέ τοῦτ᾽ ἔχει. Πόθεν; Οὐδέ τῆς ἀληθείας ὁ λόγος τῶν ταῦτα λεγόντων ἀνέχεται. Ἀρχηγόν γάρ καί τελειωτήν τῆς ἡμῶν σωτηρίας αὐτόν φησιν ὁ θεῖος Ἀπόστολος, ὡς σαρκωθέντα δι᾽ ἡμᾶς ἵνα τήν ἡμῶν ἁμαρτίαν ἐν ἑαυτῷ δαπανήσῃ, καί τῆς κατ᾽ ἀρετήν ἀγωγῆς ἑαυτόν πᾶσιν δῷ τύπον καί πρόγραμμα τοῖς πιστεύουσιν εἰς αὐτόν, ὡς διδάσκαλος ἀγαθός τε καί σοφός, τά ῥητέα καί τά πρακτέα πρός ὑποτύπωσιν ἡμων δι᾽ ἑαυτοῦ πρότερον ἐκτελοῦντα, ἀποθανόντα καί ἀναστάντα καί ἀναληφθέντα εἰς οὐρανούς, καί καθεσθέντα μετά τοῦ σώματος ἐκ δεξιῶν τοῦ Θεοῦ καί Πατρός, ἵνα καί ἡμεῖς ἀποθνήσκοντες βεβαίως ἐλπίζωμεν ἀναστῆναι, καί ζωήν ζῆσαι παντός θανάτου καί πάσης φθορᾶς παντελῶς κεχωρισμένην, καί ἀναληφθῆναι εἰς οὐρανούς, καί τήν ἐν τῷ Θεῷ καί Πατρί διά τοῦ Υἱοῦ αὐτοῦ μεσιτεύοντος τιμήν τε καί δόξαν λήψεσθαι, καί τήν σύν αὐτῷ μακαρίαν καί αἰώνιον μονήν, σώματος δέ καθ' ὁτιοῦν ἀπόθεσιν μή ἐκδέχεσθαι, ὅτι μηδέ τῆς ἁγίας Γραφῆς ὁ λόγος ἡμᾶς τοῦτο διδάσκει. Μήτε μήν ἐν τῷ ἀρχηγῷ τῆς σωτηρίας ἡμῶν τεθεάμεθα τοῦτο προγεγενημένον. Εἰ γάρ φίλον ἦν αὐτῷ καί τοῦτο γενέσθαι, πρῶτος ἄν αὐτός ἐν ἑαυτῷ προενήργει καί τοῦτο μετά τῶν λοιπῶν, οἷς ἑαυτόν δι᾽ ἡμᾶς ὡς φιλάνθρωπος ὑποθείς καθ᾽ ἡμᾶς ἐτελείωσεν, εἰς τό ἡμᾶς μετά τῶν ἄλλων εἰς τοῦτο πιστεύοντας ἐλπίζειν. Πῶς δέ, εἴπερ ἀνασχοίμεθα 1336) τοῦτο λεγόντων αὐτῶν, κατά τόν ἅγιον τοῦτον διδάσκαλον, πιστεύσομεν ὅτι τό ἑνωθέν τῷ Θεῷ καί σώζεται; " Ὅ γάρ, φησί πρός Κληδόνιον γράφων, ἥνωται τῷ Θεῷ, τοῦτο καί σώζεται." Ἡνώθη δέ τῷ Θεῷ Λόγῳ μετά τῆς ψυχῆς καί τό σῶμα. Ἄρα μετά τῆς ψυχῆς καί τό σῶμα σωθήσεται. Καί πάλιν, εἰ διά τοῦτο σαρκοῦται, κατά τόν θεόφρονα τοῦτον διδάσκαλον, ὁ τοῦ Θεοῦ Λόγος, ἵνα καί τήν εἰκόνα σώσῃ καί τήν σάρκα ἀθανατίσῃ, πῶς τό σωζόμενον ἀπολεῖται, καί θνήξεται πάλιν τό ἀθανατιζόμενον, μᾶλλον δέ κυριώτερον εἰπεῖν, θεωθέν ὅλον διά μέσης τῆς νοερᾶς ψυχῆς θεότητι μεσιτευούσης καί σώματι, παροῦσαν ὅλην ἀῤῥήτως οὐσιωδῶς τήν τοῦ σαρκωθέντος ὑπόστασιν Θεοῦ Λόγου δεξάμενον, καί ἴδιον αὐτό σῶμα ποιησαμένου τε καί ἀποφήναντος, οὐκ ἔχω συνιδεῖν. Τίνος δέ χάριν, εἴπερ τῷ μυστηρίῳ τῆς ἐκκλησιαστικῆς πίστεως καί τοῦτο περιέχεται τό δόγμα, μή τοῖς ἄλλοις συμπεριελήφθη ἐν τῷ συμβόλῳ τῆς κατά τήν ἀμώμητον πίστιν τῶν

Χριστιανῶν ἐκθέσεως ὑπό τῶν ἁγίων καί μακαρίων Πατέρων ἡμῶν, τῶν συναθροισθέντων κατά καιρούς ἐπί βεβαιώσει τῶν θείων τῆς ἁγίας τοῦ Θεοῦ καί ἀποστολικῆς Ἐκκλησίας δογμάτων, λέγειν τοῖς σοφοῖς καταλείψωμεν. Ἀλλ᾿ ἀρχεῖν οἶμαι πρός τό παρόν παρεκβατικῶς ταῦτα ῥηθῆναι πρός τούτους. Πρός δέ τούς ἄλλους τρεψώμεθα.

***Πρός τούς λέγοντας τῶν ψυχῶν προϋπάρχειν τά σώματα.***

Τό μεθυπάρχειν τῶν σωμάτων τάς ψυχάς, ὦ οὗτοι, λέγειν εὔκολον καί τοῦ βουλομένου παντός, τό δέ λόγῳ συστήσασθαι τό λεγόμενον πάνυ δύσκολον καί ἐργῶδες, καί οὔποτε ῥᾴστην ἔχον τῆς σπουδῆς τήν ἀπόδειξιν. Εἰ γάρ τό καταβαλλόμενον καθ᾿ ὑμᾶς εἰς πρόφασιν τῆς ἀνθρωπίνης γενέσεως παντάπασίν ἐστιν ἄψυχον, καί ζωτικῆς δηλονότι δυνάμεως πάντη καθέστηκεν ἄμοιρον. Τό γάρ ψυχῆς παντελῶς τῆς οἱασοῦν ἐστερημένον καί πάσης ζωτικῆς ἐνεργείας ἐστίν ἔρημον. Εἰ δέ ψυχῆς καί τῆς κατ᾿ αὐτήν ζωτικῆς δυνάμεώς τε καί ἐνεργείας παντελῶς καθέστηκεν ἄμοιρον, δηλονότι νεκρόν τυγχάνει· εἰ δέ νεκρόν αὐτό ὑποτιθέμεθα εἶναι, οὔτε τρέφεται οὔτε αὔξεται, οὐδ᾿ ὅλως ὑποστῆσαι δυνήσεται, καί μεῖναι παντελῶς ἀσκέδαστόν τε καί ἀδιάχυτον. Τεκμηριοῖ δέ τό λεχθέν ὁ ἐν τοῖς σώμασι τῶν ἑλκῶν ἀκεσμός. Ἡνίκα γάρ ἐφάπτονται τούτων ἰατρῶν παῖδες, εἰ εὕροιεν ἐπιπολάζον σῶμα νεκρόν, τοῖς κατεσθίουσι τοῦτο φαρμάκοις προαναλώσαντες, οὕτω τά πρός τοῦτο φαρμάκοις προαναλώσαντες, οὕτω τά πρός ἀνάδοσιν τοῦ κοιλανθέντος ἐκ τῆς ὠτειλῆς σώματος ἐπιβάλλουσιν εἰς ἀναπλήρωσιν, ὡς τοῦ ζῶντος (1337) δηλαδή σώματος φύσιν ἔχοντος ἀναπεμπάζουσαν καί δύναμον τῆς οἰκείας ἕξεως συστατικήν τε καί ἐπανακλητικήν, τοῦ δέ νεκροῦ τοῦτο μηδαμῶς ἐνεργοῦντος, ἅπαξ νενεκρωμένου καί παντελῶς ζωτικῆς ἐστερημένου δυνάμεως, καί διά τοῦτο ἀνενεργήτου τυγχάνοντος. Πῶς δέ καί στήσεται τό φύσει σκεδαστόν τε καί εὐδιάλυτον, μή οἱονεί θεμελίου τρόπον κατ᾿ ἐπίνοιαν προϋποκειμένης τινός ζωτικῆς δυνάμεως, περί ἑαυτήν φυσικῶς συγκρινούσης τε καί διασφιγγούσης τό σκεδαννύμενον, ἐν ᾗ τό εἶναί τε καί εἰδοποιεῖσθαι παρά τῆς τά ὅλα σοφῶς τεχνιτευούσης δυνάμεως ἔχειν ἔλαχεν; Ἐν ᾧ γάρ ἄν πράγματι μετά τό τεχθῆναι περίεστιν ἀληθῶς τό εἶναι τῷ σώματι, ἐν ἐκείνῳ πάντως δικαίως ἄν λέγοιτο ἔχειν καί τήν ἀρχήν τῆς ὑπάρξεως.

Οὗτινος γάρ τῷ χωρισμῷ διαλύεσθαι πέφυκε τό σῶμα, τούτου δηλαδή τῇ ὑπάρξει κατά τήν γένεσιν εὐλόγως ἄν πάντως καί συνυφέστηκεν.

Εἰ δέ τούτοις στενοχωρούμενοι τοῖς λογισμοῖς, ὦ οὗτοι, φατέ μή νεκρόν εἶναι παντάπασι τό καταβαλλόμενον εἰς πρόφασιν τῆς ἀνθρωπίνης συστάσεως, ζωτικῆς δέ τινος κἂν ποσῶς μετέχειν δυνάμεως, ὡς ψυχήν ἔχον δηλονότι τῆς τοιαύτης μεθέξει δυνάμεως (χωρίς γάρ ψυχῆς εἶδος ζωῆς οὐκ ἄν εἴη πώποτε καθάπαξ ἐν τοῖς ὑπό φύσιν ἀναγομένοις καί τῆς οὐρανίου δῆλον ἀεικινήτου περιφορᾶς ἐντός διειλημμένοις, ἀεί δέ ζωῆς εἶδος ἄνευ ψυχῆς τό παράπαν οὐκ ἔστι κατά τήν λογικήν ἀκολουθίαν), οἷον δ᾽ ἄν ὑποτίθεσθε ζωῆς εἶδος τό καταβαλλόμενον ἔχειν κατά τήν σύλληψην, ψυχῆς τινος μόνον ἰδιότητα ἐνεφήνατε, συστατικήν μέν τῆς ἐν ᾗπέρ ἐστιν οὐσίας ἀφοριστικήν δέ τῶν μή τοιούτων διαφοράν. Εἰ δέ καί ψυχήν ἔχειν τό ἔμβρυον βίας πρός τό δέον ὑπό τῆς ἀληθείας ὠθούμενοι λέγετε, τίνα τε καί ὁποίαν ταύτην, καί πῶς θεωρουμένην ἤ λεγομένην, ὑμᾶς λέγειν ἐστίν ἀκόλουθόν τε καί πρόσφορον. Καί εἰ μέν μόνην τήν θρεπτικήν τε καί αὐξητικήν ἔχειν αὐτό διαβεβαιοῦσθαι ψυχήν, φυτοῦ τινος δηλονότι καί οὐκ ἀνθρώπου τῷ λόγῳ τούτῳ καθ' ὑμᾶς τό τρεφόμενον καί αὐξόμενον ἔσται σῶμα. Καί πῶς τοῦ φυτοῦ πατήρ ὁ ἄνθρωπος ἔσται σινιδεῖν οὐκ ἔχω, πολλά σκοπῶν, ἐξ ἀνθρώπου παντελῶς τό εἶναι κατά φύσιν ἔχοντος. Εἰ δέ τήν αἰσθητικήν μόνην τῷ ἐμβρύῳ προσνέμετε ψυχήν, ἵππου πάντως ἤ βοός ἤ ἑτέρου τινός τῶν χερσαίων ἤ ἐναερίων ζώων ψυχήν ἔχων δειχθήσεται κατά τόν σύλληψιν τό ἔμβρυον, καί πατήρ οὐκ ἔσται κατά φύσιν ἀνθρώπου καθ᾽ ὑμᾶς ὁ ἄνθρωπος, κατά τήν πρώτην σύστασιν· ἀλλά φυτοῦ τινος, καθώς ἔφην, ἤ ζώου τῶν ἐπί γῆς. Οὗ τί γένοιτ᾽ ἄν ἀτοπώτερον ἤ φρενοβλαβέστερον; Τό γάρ μή συνυπάρχειν διαβεβαιοῦσθαι τῇ πρώτῃ συστάσει τῶν ὄντων κατά τήν ἑκάστου φυσικήν διαφοράν ἀπαραλείπτως τούς οἰκείους τῆς ὑπάρξεως ὁρισμούς, φύρειν ἐστίν εἰς ἄλληλα τά πάντα, καί μηδέν εἶναι κυρίως τῶν ὄντων ὅπερ ἐστί τε καί λέγεται διισχυρίζεσθαι. Καί τό δή μεῖζον κακόν, διαβολήν (1340) τῆς θείας σοφίας τε καί δυνάμεως ἀρίδηλον ἔχον μεγίστην πάντως δειχθήσεται. Εἰ γάρ πάντα τά ὁπωσοῦν ὄντα πρό γενέσεως αὐτῶν κατά τήν πρόγνωσιν τοῦ Θεοῦ τῷ οἰκείῳ λόγῳ τό τέλειον ἔχει, δηλονότι καί ἅμα τῷ εἶναι κατά τόν ἴδιον λόγον πρός γένεσιν παραγόμενα ἀπαραλείπτως αὐτῇ τῇ ἐνεργείᾳ τό τέλειον ἕξει. Εἰ δέ τό μέν τέλειον κατά τήν πρόγνωσιν ἔχει τά ὄντα, κατά δέ τήν εἰς τό εἶναι

παραγωγήν τε καί γένεσιν τό ἀτελές, ἤ οὐκ αὐτά ἐκεῖνα ἔσται τά προγνωσθέντα, ἀλλ᾽ καθ᾽ ἑτέρων ἕτερα, ἤ τοῦ δημιουργοῦ πρόδηλος ἀσθένεια τοῦτο ἄν εἴη καί σαφής, μή δυνηθέντος κατά τήν πρόγνωσιν τό προγνωσθέν ἀθρόως ἅμα τῇ γενέσει κατά τήν ἐνέργειαν ὡς εἶναι πέφυκε κατά τήν οὐσίαν, παραστῆσαι πληρέστερον.

Εἰ δέ τούτους ὑφορώμενοι τούς ἐλέγχους ἐπ᾽ ἐκεῖνο καταφύγοιτε τελευταῖον, φάσκοντες μή δίκαιον εἶναι τό κατ᾽ εἰκόνα Θεοῦ καί θεῖον (οὕτω τήν νοεράν καλοῦντες ψυχήν) ῥεύσει καί ἡδονῇ ῥυπαρᾷ συνυπάρχειν, μετά δέ τάς τεσσαράκοντα τῆς συλλήψεως ἡμέρας ἐπεισκρίνεσθαι λέγειν εὐσχημονέστερον οἴεσθαι δεῖν, τόν τῆς φύσεως δημιουργόν σαφῶς αἰτιώμενοι φανήσεσθε, καί τόν ἐντεῦθεν τῆς βλασφημίας ἀναφαινόμενον εἰκότως ὑπέχοντες φοβερόν δειχθήσεσθε κίνδυνον. Εἰ γάρ κακός ὁ γάμος, δηλονότι καί ὁ κατά φύσιν τῆς γενέσεως ὁ νόμος· εἰ δέ κακός ὁ τοιοῦτος τῆς κατά φύσιν γενέσεως νόμος, ὁ τήν φύσιν δηλονότι πεποιηκώς, καί δούς αὐτῇ νόμον γενέσεως, δικαίως ἄν καθ᾽ ἡμᾶς αἰτιαθήσεται. Καί τί τούς ἀπό Μάνεντος καί τούς πρό αὐτοῦ αἱρετικούς, ταύτης ἕνεκα τρόπον τινά καί μόνης τῆς αἰτίας, δύο ἀρχάς ὑποστησαμένους, καί τόν ἐπί πάντων Θεόν ἀρνησαμένους, ἀποστρεφόμεθα, τό αὐτό λέγοντας, εἰ καί μή διά τῶν αὐτῶν, καί ὑμᾶς εὑρηκότες; Εἰ δέ ταύτης ἕνεκα τῆς αἰτίας συνυπάρχειν τῷ σώματι κατά τήν σύλληψιν τήν λογικήν τε καί νοεράν ψυχήν λέγειν δι᾽ αἰσχύνης εὐλάβειαν παραιτεῖσθε μηδέ μετά τεσσαράκοντα ἡμέρας, μήτε μετά τόν ἐννεαμηνιαῖον τῆς κυοφορίας χρόνον, μήτε μήν μετά τόν τόκον, πρό τῶν μ´ ἡμερῶν τοῦ καθαρισμοῦ φάναι τολμήσετε τό γεννηθέν ἔχειν τήν λογικήν τε καί νοεράν ψυχήν. Οὐ γάρ προσιτόν τῷ ναῷ τοῦ Θεοῦ τέως ἐστί τό τεχθέν, ὡς ἀκάθαρτον τῷ νόμῳ διοριζόμενον. Ὡς λοιπόν μέχρι τῆς τῶν ἡμερῶν τοῦ καθαρισμοῦ συμπληρώσεως μή ἔχειν τό τικτόμενον τήν λογικήν τε καί νοεράν ψυχήν κατά τόν εἰκότα λόγον ὑπονοεῖν, ἀλλά τινος, ὡς ἔφην μικρῷ πρόσθεν, φυτοῦ ἤ ζώου ἀλόγου τῶν ἐν τοῖς οὖσι διειλημμένων. Εἰ δέ πρόφασις ὑμῖν τοῦ τοιούτου λόγου καθέστηκε τό γεγραφέναι τόν μέγαν Μωϋσῆν, δίκας μή ἀπαιτεῖσθαι τόν πλήξαντα τήν κυοφοροῦσαν γυναῖκα, πρό τεσσαράκοντα ἡμερῶν εἰ συμβαίη διά τῆς πληγῆς αὐτήν παρά τόν καιρόν ἀποθέσθαι τό ἔμβρυον, ἰστέον ὡς οὐ τήν εἰς τό σῶμα τότε τῆς λογικῆς ψυχῆς γινομένην εἴσοδον ἐμφαίνων ὁ σοφός Μωϋσῆς, ἀλλά τόν τέλειον τοῦ καταβληθέντος ἐξεικονισμόν ἀπαρτίζεσαι τότε δηλῶν, (1341) τέως κατά τόν πρόχειρον

νοῦν τοῦτο γέγραφε. Προσεπιτούτοις δέ πᾶσι, δέδοικα τόν τοιοῦτον προσδέξασθαι λόγον, μήπως ἡ τοῦ λόγου καθ᾽ εἱρμόν προβαίνουσα τάξις φοβερῶν ποιήσῃ με δικαίως ἐγκλημάτων ὑπεύθυνον, ὅπερ μή θέμις εἰπεῖν ὅσον ἐκ τῆς ἀκολουθίας τοῦ λόγου με βιαζομένη τόν Κύριον ἡμῶν καί Θεόν λέγειν, εἴπερ ἀληθῶς καθ᾽ ἡμᾶς γενέσθαι κατηξίωσεως ἄνθρωπος χωρίς ἁμαρτίας, κατά τήν σύλληψιν ἄψυχον καί ἄνουν ἄνθρωπον γεγονέναι, καί τάς τεσσαράκοντα ἡμέρας οὕτως ἔχοντα μεμενηκέναι, τῶν ἁγίων Πατέρων ἡμῶν καί διδασκάλων διαῤῥήδην βοώντων, μᾶλλον δέ τῆς δι’ αὐτῶν λαλούσης τε καί λαλουμένης ἀληθείας, ἅμα τῇ καθόδῳ τοῦ Θεοῦ Λόγου κατά τήν σύλληψιν ἀχρόνως διά μέσης ψυχῆς λογικῆς ἑνωθῆναι σαρκί τόν Κύριον αὐτόν καί Θεόν Λόγον, ἀλλ᾽ οὐ διά μέσης σαρκός ἀψύχου λογικήν ψυχήν προσδέξασθαι προσγινομένην, καί οὐκ ἄψυχον σῶμα παντελῶς ἤ ἄνουν ψυχήν καί ἄλογον ἐνειληφέναι, ἀλλά τελείαν ἀνελλιπῶς τήν φύσιν τήν ἐκ ψυχῆς λογικῆς ἅμα καί σώματος συνισταμένην ἑαυτῷ καθ᾽ ὑπόστασιν ἀῤῥήτως ἑνῶσαι. Διό μάλιστα περιέχομαι τοῦ τῆς συνυπάρξεως λόγου, τούς ἐφ᾽ ἑκάτερα δι᾽ ἐναντίας ὄντας ἀλλήλοις τε καί τῇ μεσότητι προσφυῶς ἀποπεμπόμενος, αὐτόν τόν τῆς φύσως ποιητήν ἔχων τῷ καθ᾽ ἑαυτόν μυστηρίῳ τῆς ἐνσωματώσεως τοῦ τοιούτου λόγου συνήγορόν τε καί διδάσκαλον ἀπαραλόγιστον, τόν γενόμενον ἀληθῶς ἄνθρωπον, καί τήν φύσιν τελείως ἔχουσαν ἅμα τῷ εἶναι κατά τήν γένεσιν ὑφίστασθαι δι᾽ ἑαυτοῦ βεβαιωσάμενον, καί μόνην καινοτομήσαντα τήν καινοτομίαν τῆς φύσεως λέγω δή τήν διά σπορᾶς σύλληψιν καί τήν διά φθορᾶς γέννησιν, ἅσπερ ἡ φύσις μετά τήν παράβασιν ἐπεσπάσατο, τῆς θείας ἀποπεσοῦσα καί πνευματικῆς εἰς πλῆθος αὐξήσεως, ἀλλ᾽ οὐ τόν λόγον τῆς φύσεως καθ᾽ ὅν ἔστι τε καί γίνεσθαι πέφυκεν ἅμα τῷ εἶναι ἐκ ψυχῆς λογικῆς ὑφισταμένη καί σώματος.

***Περί τοῦ πῶς καινοτομία γένεται τῶν καινοτομουμένων πραγμάτων μενόντων ἀτρέπτων κατά τήν φύσιν.***

Πᾶσα γάρ καθόλου φάναι καινοτομία περί τόν τρόπον τοῦ καινοτομουμένου πράγματος πέφυκεν, ἀλλ᾽ οὐ περί τόν λόγον τῆς φύσεως γίνεσθαι, διόπερ ὁ μέν λόγος καινοτομούμενος φθείρει τήν φύσιν, οὐκ ἔχουσαν τόν καθ᾽ ὅν ἐστι λόγον ἀῤῥαδιούργητον, ὁ δέ τρόπος καινοτομούμενος φυλαττομένου δηλαδή τοῦ κατά φύσιν λόγου θαύματος ἐνδείκνυται δύναμιν, ὡς τήν φύσιν ἐνεργουμένην τε

καί ἐνεργοῦσαν ὑπέρ τόν ἑαυτῆς ἀποδεικνύς δηλονότι θεσμόν. Λόγος δέ φύσεως ἀνθρωπίνης ἐστί τό ψυχήν καί σῶμα καί ἐκ ψυχῆς λογικῆς εἶναι τήν φύσιν καί σώματος, τρόπος δέ ἡ ἐν τῷ ἐνεργεῖν καί ἐνεργεῖσθαι φυσικῶς τάξις ἐστίν, ἀμειβομένη τε πολλάκις καί ἀλλοιουμένη, τήν δέ φύσιν ἑαυτῇ παντελῶς οὐ συναμείβουσα. (1344) Καθάπερ καί ἐπ᾽ ἄλλου παντός ἔχει πράγματος, ἡνίκα καινίσαι τι περί τήν ἑαυτοῦ κτίσιν ὁ Θεός βουληθῇ προνοίας ἕνεκεν τῶν προνοουμένων, καί ἐνδείξεως τῆς ἐπί πάντα καί διά πάντων διηκούσης δυνάμεως. Ὥσπερ ἀμέλει παραδοξοποιῶν ταῖς ἀνέκαθεν τῶν θαυμάτων τε καί σημείων μεγαλειότησι καινοτομίας λόγῳ πεποίηκε, πρός ἕτερον εἶδος ζωῆς παρά τό ἐν σαρκί τῇ ὑπό φθοράν μεταβιβάσας τόν Ἐνώχ τε καί τόν Ἠλίαν τούς μακαρίους, οὐ κατ᾽ ἀλλοίωσιν φύσεως, ἀλλά κατά παραλλαγήν τῆς κατ᾽ αὐτήν ἀγωγῆς καί διοικήσεως, ὕδωρ εἰς ἐπίκλυσιν τῶν ἐπί γῆς μοχθηρῶν ἀνθρώπων καθιστῶν τῷ πολλαπλάσιον, ἐν τῇ κιβωτῷ μετά θηρίων ἀγρίων ἀποφαίνων τόν πρῶτον πλωτῆρα Νῶε δίαιταν ἔχειν ἀλύμαντον, Ἀβραάμ καί Σάῤῥαν τούς μεγάλους αὐτοῦ θεράποντας παιδί τιμῶν παρ᾽ ἡλικίαν καί τόν νενομισμένον πρός παιδοποιίαν ὅρον τε καί χρόνον τῆς φύσεως, πῦρ τήν ἐπί τά κάτω ποιεῖσθαι φοράν εἰς ἐπίκλυσιν ἀσεβῶν παρασκευάζων, οὐδ᾽ ὅλως τοῦ κατά φύσιν λόγου διά τοῦτο μειούμενον, τῆς βάτου πῦρ ἀκαύστως ἐξάπτων εἰς τήν τοῦ θεράποντος πρόσκλησιν, ὕδωρ ἐν Αἰγύπτῳ πρός αἵματος μεταβάλλων ποιότητα, τήν φύσιν αὐτοῦ παντελῶς μή ἠρνημένον, ὕδωρ μεῖναν κατά φύσιν καί μετά τήν φοίνιξιν, καί τά λοιπά τῶν ἐκεῖσε θαυμάτων τε καί σημείων ἐπιτελῶν, πρός τό δοῦναι τοῖς μέν πιστοῖς τῶν κατεχόντων δεινῶν ἐλευθερίας ἐλπίδα, τοῖς ἀπίστοις δέ συναίσθησιν τῆς κολαζούσης δυνάμεως, πρός ἀπόθεσιν τῆς κατεχούσης αὐτούς περί τό Θεῖον πωρώσεως, θάλασσαν τέμνων ῥάβδῳ καί τό συνεχές διαλύων τοῦ ὕδατος, τῆς οἰκείας μή ἐξισταμένου φύσεως, εἰς δίοδον μέν τῶν δι᾽ αὐτόν διωκομένων, ἐποχήν δέ τῶν ἀναιτίως διωκόντων τό εὐγενές καί ἐλεύθερον, ὕδωρ ξύλῳ γλυκαίνων, καί ἄρτον ἀνήροτον οὐρανόθεν ὕων ξένον καί ἄγνωστον, καί πλῆθος ὀρνέων ἐδωδίμων ἐξαίφνης τῆς θαλάττης ἐκβράζων, χωρίς τῆς κατά φύσιν ἐξ ἀλλήλων διαδοχῆς, πρός παραμυθίαν τῶν ἐν τῇ ἐρήμῳ κακοπαθούντων, ὕδατος μητέρα τήν πέτραν ἀποδεικνύς, εἰς βεβαίωσιν πίστεως τῶν ἐν τοῖς ἀγῶσι λειποτακτούντων, ποταμόν ἀνακόπτων πρός διάβασιν ἄβροχον λαοῦ θεοσεβοῦς, ἡλίου τε καί σελήνης δρόμον ἐπέχων ἀκώλυτον

παραδόξως, τήν ἀεικίνητον τοῦ περιέχοντος φύσιν στήσας ἀκίνητον, πρός ὄλεθρον ἀσεβοῦς δυναστείας ἀμαθῶς ἀντιπαραταττομένης Θεῷ, καί πρίν λάβῃ πέρας τῶν ὁρομένων ἡ δύναμις, καί εἰς κατάσχεσιν τῆς πόῤῥωθεν ἀψευδῶς ἐπηγγελμένης κληρονομίας. Καί τά λοιπά ὅσα δή πεποιηκέναι λέγεται, κατά τε τήν γῆν τῆς κατασχέσεως καί τάς λοιπάς εἰς ὅσας ἦλθε παρανομήσας ὁ παλαιός Ἰσραήλ, περί τόν τρόπον τῆς ἐνεργείας, ἀλλ᾽ οὐ περί τόν λόγον τῆς ὑπάρξεως, τήν φύσιν καινοτομήσας τῶν καινοτομηθέντων πεποίηκεν ὁ Θεός. Μεθ᾽ ὧν ἁπάντων καί μεθ᾽ ἅ τό δι᾽ ὅ πάντα καί δι᾽ οὗ καινότατον ὄντως μυστήριον τῆς αὐτοῦ δι᾽ ἡμᾶς ἐνανθρωπήσεως ἐπιτελέσας περί τόν τρόπον, ἀλλ᾽ οὐ περί τόν λόγον τήν φύσιν (1345) ἐκαινοτόμησε, προσλήψει σαρκός διά μέσης ψυχῆς νοερᾶς, ἀῤῥήτως κυηθείς ἄνευ σπορᾶς, καί γεννηθείς ἀληθῶς ἄνευ φθορᾶς ἄνθρωπος τέλειος, ψυχήν νοεράν μετά σώματος ἐξ αὐτῆς τῆς ἀφράστου συλλήψεως ἐσχηκώς.

***Ὅτι πᾶσα φύσις τῷ οἰκείῳ λόγῳ διαπαντός ἔχει τό τέλος.***

Πᾶσα γάρ, καθολικῶς εἰπεῖν, φύσις, νοητή τε καί αἰσθητή, ἤγουν ἁπλῆ καί σύνθετος, καθ᾽ οἱονδήποτε τρόπον ἐκ μέρους τήν πρός τό εἶναι τὴς γενέσεως ἀρχήν, οὐδέποτε δέχεται, οὔτε μήν ἐξ ἡμισείας μοίρας ὑφίστασθαι δύναται. Ἀλλ᾽ εἰ μέν σύνθετος φύσις ἐστίν, ὅλη τελεία τελείοις τοῖς οἰκείοις μέρεσιν ἀθρόως συνυφίσταται, μή ἔχουσα πρός ἑαυτήν ἤ πρός ἄλληλα τῶν ἐξ ὧν ἐστι μερῶν τήν οἱανοῦν κατά τόν χρόνον διάστασιν. Εἰ δέ ἁπλῆ φύσις ἐστίν, ἤγουν νοητή, ὡσαύτως ἅμα τοῖς ἑαυτῆς ἀπαραλείπτως λόγοις τελεία τελείοις ἀθρόως συνυφίστασθαι πέφυκε, χρόνου τινός τό σύνολον αὐτήν τῶν οἰκείων λόγων, οὐδαμῶς διακρίνοντος. Οὔτε γάρ ἦν ποτε καθόλου τις φύσις ἐν τοῖς οὖσιν, οὔτε ἔστιν, οὔτε ἔσται κατά τόν ἑαυτῆς λόγον ὑπάρχουσα ὅπερ νῦν οὐκ ἔστιν, οὔτε μήν νῦν ἐστιν ἤ ἐς ὕστερον ἔσται ὅπερ οὐκ ἦν πρότερον. Ὧν γάρ οἱ λόγοι παρά τῷ Θεῷ ἅμα τῷ εἶναι τό τέλειον ἔσχον, τούτων ἡ κατά τούς οἰκείους λόγους παραγωγή καί οὐσίωσις προσθήκης πάσης καί ἐλλείψεως τῆς πρός τό εἶναι ὅπερ ὄντα τυγχάνει παντελῶς ἐστιν ἀνεπίδεκτος. Ἀλλ᾽ ἀρκεῖν οἶμαι κατά τήν τοῦ λόγου παρέκβασιν καί πρός τούτους τά νῦν ῥηθέντα, πρός τό μή παρασύρεσθαι ῥαδίως εἰς ἀτόπους δόξας παρά τῶν πίστιν ποιουμένων τήν ἐν ταῖς κομψείαις τῶν λόγων τεχνικήν πιθανότητα.

***Διά τί συνῆψε τῇ σαρκώσει τήν ἐκ βαπτίσματος γέννησιν ὁ διδάσκαλος.***

Πρός τί δέ βλέπων καί τίνος ἕνεκεν τῇ σαρκώσει συνῆψε τήν ἐκ βαπτίσματος γέννησιν ὁ διδάσκαλος (τοῦτο γάρ εἰς τήν ἐξέτασιν ἔτι τοῦ προκειμένου λείπεται λόγου), συντόμως ὡς ἔμαθον ἐρῶ κατά δύναμιν. Φασίν οἱ τά θεῖα μυστικῶς περιέποντες λόγια, καί τοῖς ὑψηλοτέροις, ὡς εἰκός, αὐτά σεμνύνοντες θεωρήμασι, κατ᾽ εἰκόνα Θεοῦ κατ᾽ ἀρχάς γεγενῆσθαι τόν ἄνθρωπον, ἐπί τῷ πάντως γεννηθῆναι κατά προαίρεσιν πνεύματι, καί προσλαβεῖν τό καθ᾽ ὁμοίωσιν διά τῆς τηρήσεως τῆς θείας ἐντολῆς αὐτῷ προσγενόμενον, ἵνα ᾖ ὁ αὐτός ἄνθρωπος πλάσμα μέν τοῦ κατά φύσιν, Υἱός δέ Θεοῦ καί Θεός διά Πνεύματος κατά χάριν. Οὐ γάρ ἦν δυνατόν ἄλλως Υἱόν ἀποδειχθῆναι Θεοῦ καί Θεόν κατά τήν ἐκ χάριτος θέωσιν τόν γενόμενον ἄνθρωπον, μή πρότερον κατά προαίρεσιν γεννηθέντα τῷ Πνεύματι, διά τήν ἐνοῦσαν αὐτῷ φυσικῶς αὐτοκίνητον καί ἀδέσποτον δύναμιν. (1348) Ἥντινα θεοποιόν καί θείαν καί ἄϋλον γέννησιν, διά τό προτιμῆσαι τῶν νοουμένων καί ἀδήλων τέως ἀγαθῶν τό κατ᾽ αἴσθησιν τερπνόν καί ἐπίδηλον, παραλιπών ὁ πρώτος ἄνθρωπος, τήν ἐκ σωμάτων εἰκότως ἀπροαίρετον καί ὑλικήν καί ἐπίκηρον ἔχειν καταδικάζεται γέννησιν, ἀξίως κρίναντος τοῦ Θεοῦ τόν ἑκουσίως τῶν κρειττόνων τά χείρονα προελόμενον, τήν ἐμπαθῆ καί δούλην καί κατηναγκασμένην, καθ᾽ ὁμοιότητα τῶν ἐπί γῆς ἀλόγων τε καί ἀνοήτων κτηνῶν γέννησιν τῆς ἐλευθερίας καί ἀπαθοῦς καί αὐθαιρέτου καί ἁγνῆς ἀνταλλάξαι γεννήσεως, καί τῆς σύν Θεῷ καί θείας καί ἀνεκλαλήτου τιμῆς τήν μετά τῶν ἀνοήτων κτηνῶν ἄτιμον ἀντιλαβεῖν συμαπαρενύλησιν. Ἥστινος τόν ἄνθρωπον ἐλευθερῶσαι καί πρός τήν θείαν εὐκληρίαν ἐπαναγαγεῖν βουλόμενος ὁ τήν φύσιν τῶν ἀνθρώπων δημιουργήσας Λόγος, ἄνθρωπος ἐξ ἀνθρώπων ἀληθῶς γίνεταί τε καί γεννᾶται σωματικῶς χωρίς ἁμαρτίας διά τόν ἄνθρωπον, καί βαπτίζεται, τήν εἰς υἱοθεσίαν πνευματικήν ὑπέρ ἡμῶν ἑκουσίως ὑπερχόμενος γέννησιν, ὁ κατ᾽ οὐσίαν Θεός καί Θεοῦ κατά φύσιν Υἱός, εἰς ἀθέτησιν τῆς ἐκ σωμάτων γεννήσεως. Ἐπειδή τοίνυν δι᾽ ἡμᾶς ὁ ποιήσας ἡμᾶς καί μόνος τῷ Πατρί μετά τοῦ Πνεύματος ὁμόθεος καί ὁμόδοξος Υἱός καί Λόγος καθ᾽ ἡμᾶς ἐξ ἡμῶν ἀληθῶς ἄνθρωπος γίνεται, καί σωματικῶς γεννᾶται χωρίς ἁμαρτίας, καί τήν ἐκ βαπτίσματος εἰς υἱοθεσίαν πνευματικήν ὑπέρ ἡμῶν ὑπελθεῖν καταδέχεται γέννησιν ὁ φύσει Θεός, διά τοῦτο συνῆψε τῇ σαρκώσει,

καθώς οἶμαι, τήν ἐκ βαπτίσματος γέννησιν ὁ διδάσκαλος, ὡς εἰς ἀθέτησιν καί λύσιν τῆς ἐκ σωμάτων ἐπινοηθῆναι γεννήσεως. Ὅπερ γάρ ὁ Ἀδάμ (λέγω δέ τήν εἰς θέωσιν ἐκ πνεύματος γέννησιν) ἑκουσίως παραλιπών γεννᾶσθαι σωματικῶς εἰς φθοράν κατεκρίθη, τοῦτο κατά θέλησιν ὡς ἀγαθός καί φιλάνθρωπος ἐν τῷ ἡμῶν παραπτώματι γενόμενος ἄνθρωπος, καί συγκατακρίνας ἡμῖν ἑαυτόν ἑκουσίως, ὁ μόνος ἐλεύθερος καί ἀναμάρτητος, καί τήν ἐκ σωμάτων γεννηθῆναι καταδεξάμενος γέννησιν, ἐν ᾗ τό κράτος ὑπῆρχε τῆς ἡμῶν κατακρίσεως, τήν ἐν πνεύματι μυστικῶς διωρθώσατο γέννησιν, καί τῆς σωματικῆς γεννήσεως λύσας ὑπέρ ἡμῶν ἐν ἑαυτῷ τά δεσμά δέδωκεν ἡμῖν ἐξουσίαν διά τῆς κατά πνεῦμα γεννήσεως κατά θέλησιν, τέκνα Θεοῦ ἀντί σαρκός καί αἵματος γενέσθαι τοῖς πιστεύουσιν εἰς τό ὄνομα αὐτοῦ. Σάρκωσις οὖν καί σωματική πρότερον τῆς ἐμῆς ἕνεκα κατακρίσεως ἐπί τοῦ Κυρίου παρηκολούθησε γέννησις, καί οὕτως ἡ διά τοῦ βαπτίσματος ἐν πνεύματι παραλειφθεῖσα ἐπηκολούθησε γέννησις, ὑπέρ τῆς ἐμῆς κατά χάριν σωτηρίας καί ἀνακλήσεως, ἤ σαφέστερον εἰπεῖν ἀναπλάσεως· οἷα συνάπτοντος περί ἐμέ τοῦ Θεοῦ τόν τε τοῦ εἶναί μου λόγον καί τόν τοῦ εὖ εἶναι, καί τήν γενομένην παρ᾽ ἐμοῦ τούτων ἑνοποιοῦντος τομήν καί διάστασιν, καί διά τούτων πρός τόν τοῦ ἀεί εἶναι λόγον σοφῶς συνελαύνοντος, καθ᾽ ὅν οὐκέτι τό φέρειν ἔστι καί φέρεσθαι περί τόν ἄνθρωπον, λαβούσης τέλος περί τό φέρεσθαι τῆς τῶν φαινομένων οἰκονομίας διά τῆς μεγάλης καί κοινῆς ἀναστάσεως, εἰς ἀθανασίαν (1349) γεννώσης τόν ἄνθρωπον καθ᾽ ὕπαρξιν ἀναλλοίωτον, δι᾽ ὅν τῶν φαινομένων ἡ φύσις τό εἶναι κατά γένεσιν εἴληφε, καί μεθ᾽ οὗ λήψεται χάριτι τό κατ᾽ οὐσίαν μή φθείρεσθαι. Ἀλλ᾽ εἰ δοκεῖ τῶν εἰρημένων κατ᾽ ἐπιτομήν ἐπιμνησθέντες τήν δύναμιν, κεφαλαιώσωμεν. Ἔχομεν τήν ἐκ σωμάτων γέννησιν τοῦ Σωτῆρος ἡμῶν κατ᾽ ἐπίνοιαν διαιρεθεῖσαν εἰς τόν προηγούμενον τῆς φύσεως λόγον καί εἰς τόν νῦν αὖθις ὑπάρχοντα καθ᾽ ἡμᾶς, εἰς ὅν ἐτελεύτησε, καί πάλιν εἰς τόν κατά φύσιν τῆς γενέσεως λόγον καί εἰς τόν τῆς γενέσεως τρόπον, προσέτι γε μήν καί εἰς διαφόρους τρόπους τῆς κατ᾽ οὐσίαν γενέσεως τῆς ψυχῆς καί τοῦ σώματος καί προσεπιτούτοις εἰς τήν ἄνευ σπορᾶς σύλληψιν καί τήν ἄνευ φθορᾶς γέννησιν. Ἐφ᾽ ὑμῖν οὖν ἐστιν ὡς κριταῖς δικαίοις τῶν λελεγμένων ἐπιβολῶν ἐγκρῖναι τήν κρείττονα.

***Τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό, "Τί φάρμακα ἐπιζητεῖς, τά μηδέν ὀνήσοντα; τί κριτικόν ἱδρῶτα, ἴσως παρεστῶτος τοῦ ἐξοδίου; "***

Τοῦτο, καθώς ἔφασκεν ὁ μακάριος γέρων, πρός τούς ὑπερτιθεμένους τό βάπτισμα, τό ῥητόν τέθεικεν ὁ διδάσκαλος, ἐλπίδι τοῦ ζήσεσθαι τό βάπτισμα φιληδονίας ἕνεκεν ὑπερτιθεμένους, καί φησι, "Τί παρ’ ἄλλου δέῃ μαθεῖν τήν ἔξοδον, τοῦ βίου δηλονότι, ἀλλ᾿ οὐχ ὡς ἤδη παρούσης διανοήσῃ; Τί φάρμακα ἐπιζητεῖς, τά μηδέν ὀνήσοντα; τί κριτικόν ἱδρῶτα, ἴσως παρεστῶτος τοῦ ἐξοδίου;" Ἐπειδή γάρ τέσσαρας ἡμέρας κρισίμους εἶναί φασιν ἰατρῶν παῖδες ἐν τοῖς πυρεκτιῶσι, τήν δ', καί τήν ζ΄, καί τήν θ΄, καί τήν ια΄, τυχόν δέ καί τήν ιγ΄, (ἐν ταύταις γάρ ἄν εὕρωσιν ἐν τῷ νοσοῦντι, καθώς φασι, νενοτισμένον ἐξ ἱδρῶτος τό σῶμα τεκμηριοῦσι ζήσειν τόν κείμενον), ἵνα οὖν μή τοῦτον ἐκδεχόμενος ὁ νοσῶν τόν ἱδρῶτα κακοβούλως ὑπερτίθεται τό βάπτισμα, περίοδον ἔχειν ἐτῶν, συμβουλεύει πάνυ σοφῶς ὁ διδάσκαλος τῷ κάμνοντι, μή τούτῳ τῷ ἱδρῶτι θαῤῥεῖν καί μάτην ἐρείδεσθαι, δυνατοῦ ὄντος ἀντί τούτου τόν ἐξόδιον ἱδρῶτα συμβῆναι, τόν βοῶντα τῆς παρούσης ζωῆς τό τέλος, ἵνα μή, ὡς εἶπον, διά τοῦτον ἀπατώμενος ὁ νοσῶν τόν ἱδρῶτα τῆς μέν προδήλου καί θείας ζωῆς καί ἀεί διαμενούσης ἀλλοτριούμενος λάθῃ, τήν δέ ἀνθρωπίνην καί ἐπίκηρον καί πάντως λυθησομένην εὑρεθῇ περιέπων, ἀκράτητον κατά φύσιν ὑπάρχουσαν καί ἀεί διά φθορᾶς καί ἀλλοιώσεως ῥέουσαν, καί θᾶττον τάς τῶν ἔχειν νομιζόντων χεῖρας διαφεύγουσαν ἤ ὄναρ ἀνυπόστατον βλέποντα.

***Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό, " Οὐ γάρ πολλάκις Χριστός φιλεῖ κλεπτόμενος, καί εἰ λίαν ἐστί φιλάνθρωπος."***

Τί δήποτε, φασίν ἐνταῦθα τοῦ λόγου γενόμενοί τινες, εἰ λίαν ἐστί φιλάνθρωπος ὁ Θεός, καί πηγή φιλανθρωπίας ἀνέκλειπτος, ὥστε μηδ᾿ ὁτιοῦν ὑπό τῶν ἀρυομένων ἐλαττοῦσθαι, μή φιλεῖ κλεπτόμενος; Οὕτω γάρ ἄν μᾶλλον τό φιλάνθρωπον ἐπεδείκνυτο, (1352) μή ἐλαττούμενον διά τοῦ διδόναι χώραν τοῖς ἐθέλουσι κλέπτειν, καί μάλιστα κλοπήν σωτήριον, καί ὁσάκις ἄν θέλοιεν. Πρός οὕς Θεοῦ λόγον χαριζομένου φαμέν, ὅτιπερ αὐτό τοῦτο φιλανθρωπίας πλῆρες ἐστι, μᾶλλον δέ αὐτό φιλανθρωπία, καί τούς περί τι κλέπτειν ἐθέλοντας, ἀγαθῆς προμηθείας ἔνδειξις σαφεστάτη, τό μή συγχωρεῖν τοῖς ἐθέλουσι τυγχάνοντος τοῦ σφετερισμοῦ τῆς σωτηρίας ῥᾴστη γένηται κατά τό εἰκός καί ἡ τοῦ δωρηθέντος ἀποβολή, ὡς εὐμαρῶς πάλιν ληφθῆναι

δυναμένου, καί τῆς ἐν τῷ καλῷ ἀμεταθέτου καί παγίας ἕξεως ἀμαθεῖς ἀποφανθῶσιν οἱ τυγχάνοντες τῆς δωρεᾶς, εὐέμπτωτον εἰς κακίαν τήν γνώμην ἔχοντες διά τήν εὐμάρειαν τῆς τοῦ καλοῦ κτήσεως, τῷ εὐώνῳ καταφρονουμένης.

***Τοῦ αὐτοῦ ἐκ τοῦ εἰς τό Πάσχα λόγου, εἰς τό, " Γυμνόν τῇ ἁπλότητι καί ζωῇ ἀτέχνῳ, καί δίχα παντός ἐπικαλύμματος καί προβλήματος. Τοιοῦτον γάρ ἔπρεπεν εἶναι τόν ἀπ᾽ ἀρχῆς."***

Τί μέν διά τούτων ὁ μέγας οὗτος διδάσκαλος κρυφίως ἀποκαλύπτει, μόνους ἐκείνους εἰδέναι φημί τούς τό ἴσον αὐτῷ τῆς σοφίας εἰληφότας καί τῆς γνώσεως χάρισμα, οἵ διά τό πᾶσαν τήν ἐκ παθῶν καί πάσης ὑλικῆς προσπαθείας λήμην ἀποθέσθαι τῶν νοερῶν ὀμμάτων τήν ἀκτῖνα τῆς ἐν ὅλοις ἀληθοῦς γνώσως χωρεῖν ἐδυνήθησαν, καθ᾽ ἥν τῷ ἁπλῷ κατά τό ἐφικτόν καί ἑνοειδεῖ λόγῳ τόν νοῦν ἀπό τῶν πολλῶν περιστείλαντες πᾶσαν τήν ἐπιστημονικήν τῶν ὄντων ἁπλῇ συνέσει περιέλαβον εἴδησιν. Ἡμῖν δέ οἷς ὁ ζόφος ἔτι τῆς ἀγνοίας ἐπιπροσθεῖ πρός τήν τοῦ ἀληθοῦς κατανόησιν, διά τήν περί μόνα τά σαλευόμενα τοῦ νοῦ συστροφήν, ὥσπερ τυφλός ἄμφω τώ χεῖρε φορυτόν ὕλης ἀφάσσων εὑρίσκει πολλάκις τι τῶν τιμίων, οὕτως ἐπιχειροῦμεν καί ἡμεῖς μετά τῆς ἑαυτῶν ἀσθενείας εἰπεῖν τι περί τοῦ προκειμένου ζητήματος. Καί δή λέγομεν ἄλλο τό παράπαν οὐδέν ἤ ὅπερ ὁ Θεός ἐν χερσίν ἡμῶν παραδῷ κατά τό γεγραμμένον, πρός τό θρέψαι κατά δύναμιν ἡμῶν τούς καλούς πατέρας ὑμᾶς, λέγω δέ τῷ ψυλαφητικῷ λόγῳ τῆς ἐν ἡμῖν νοερᾶς δυνάμεως ἁπλοῦν καί ἀπέριττον θεώρημα καί ἡμῖν σύμμετρον, καί πατρικήν εὐλογίαν προσκαλούμενον, μήπως ἀφυῶς τόν ἀγρόν τῶν αἰσθητῶν αἰσθητῶς κατά τόν Ἠσαῦ περιοδεύοντες στερηθῶμεν διά βραδύτητα τῆς ἑτοίμης τοῦ τρεφομένου πατρός εὐλογίας, ἤ πάλιν δι᾽ ὑψηλοφροσύνην τι μεῖζον τῆς δυνάμεως ἡμῶν ἐπιζητοῦντες ἐκ τῶν οἰκούντων ἔτι τό ὄρος ἡμῶν τῆς θεωρίας, τρωθῶμεν κατά τόν Ἰσραήλ, περί ὧν ὁ νόμος φησίν ὅτι παραβιασάμενοί τινες ἀνέβησαν εἰς τό ὄρος, καί ἐξῆλθεν ὁ Ἀμοιῤῥαῖος ὁ οἰκῶν ἐν τῷ ὄρει ἐκείνῳ καί ἐτίτρωσκεν αὐτούς. Ὑπονοῶ τοίνυν ὅτι τήν διαφοράν τῆς (1353) πρό τοῦ παραπτώματος κράσεως τοῦ ἀνθρωπίνου σώματος ἐν τῷ προπάτορι Ἀδάμ πρός τήν νῦν θεωρουμένην ἐν ἡμῖν καί κρατοῦσαν ἐνδείξασθαι βουλόμενος ταῦτά φησιν ὁ διδάσκαλος, ὡς τότε δηλαδή τοῦ ἀνθρώπου ἐναντίαις καί φθαρτικαῖς ἀλλήλων κατά τήν κρᾶσιν τοῦ σώματος μή διελκομένου

ποιότησιν, ἀλλ᾽ ὡσαύτως ἔχοντος δίχα ῥοῆς καί ἀποῤῥοῆς, καί τῆς ἐφ᾽ ἑκάτερα τούτων κατά τήν ποιοτήτων ἐπικράτειαν συνεχοῦς ἀλλοιώσεως ἐλευθέρου τυγχάνοντος, οἷα δή τῆς κατά χάριν ἀθανασίας οὐκ ἀμοιροῦντος, καί τήν νῦν μαστιγοῦσαν αὐτόν τοῖς ἑαυτῆς κέντροις φθοράν οὐκ ἔχοντος, ἀλλ᾽ ἑτέραν δηλονότι πρέπουσαν αὐτῷ κρᾶσιν τοῦ σώματος, ἀμάχοις καί ἁπλαῖς ποιότησι συνεχομένην. Καθ᾽ ἥν γυμνός ἦν ὁ πρῶτος ἄνθρωπος, οὐχ ὡς ἄσαρκος καί ἀσώματος, ἀλλ᾽ ὡς τήν παχυτέραν τήν σάρκα ποιοῦσαν καί θνητήν καί ἀντίτυπον κρᾶσιν οὐκ ἔχων. Κατά τοῦτον τόν μέγαν διδάσκαλον ἀτέχνως τε ἔζη μή διαπνεόμενος τήν ἅπαξ οὐσιωδῶς δοθεῖσαν αὐτῷ φυσικήν εὐεξίαν, καί περιβολῆς ὑπῆρχεν ἀπροσδεής, διά τε τήν ἐνοῦσαν ἀπάθειαν αἰσχύνην μή ὑφορώμενος καί τό μή κρυμοῖς καί θάλπεσιν αὐτόν ὑποκεῖσθαι, δι᾽ ἅ μάλιστα τῆς τε τῶν οἴκων καί τῶν ἐσθημάτων περιβολῆς ὁ τρόπος τοῖς ἀνθρώποις ἐπινενόηται.

***Ἄλλη περί αὐτοῦ θεωρία.***

Ἤ μήποτε καί ἐκ τῶν νῦν περί τόν ἄνθρωπον θεωρουμένων τά τότε περί αὐτόν ὄντα ,τῇ περιαιρέσει τῶν νῦν περί αὐτόν ὄντων παραδείκνυσιν ὁ διδάσκαλος. Κινεῖται γάρ νῦν ὁ ἄνθρωπος, ἤ περί φαντασίας ἀλόγους παθῶν ἐξ ἀπάτης διά φιληδονίαν, ἤ περί λόγους τεχνῶν ἐκ περιστάσεως διά τήν χρείαν, ἤ περί φυσικούς λόγους ἐκ τοῦ νόμου τῆς φύσεως διά μάθησιν, ὧν οὐδέν κατ᾽ ἀρχήν εἰκότως ἀξ ἀνάγκης εἷλκε τόν ἄνθρωπον, ὑπεράνω πάντων γενόμενον. Οὕτω γάρ ἔπρεπεν εἶναι τόν ἀπ᾽ ἀρχῆς, μηδενί τό σύνολον περισπώμενον, τῶν ὑπ᾽ αὐτόν, ἤ περί αὐτόν, ἤ κατ᾽ αὐτόν, καί πρός τελείωσιν ἑνός μόνου προσδεόμενον, τῆς πρός τόν ὑπέρ αὐτόν, φημί δέ τόν Θεόν, καθ᾽ ὅλην τήν ἀγαπητικήν δύναμιν ἀσχέτου κινήσεως. Ἀπαθής γάρ χάριτι ὤν ἀπάτην παθῶν φαντασίας δι᾽ ἡδονῆς οὐ προσίετο· καί ἀπροσδεής ὑπάρχων τῆς περί τέχνας περιστατικῆς ἀνάγκης διά τήν χρείαν ἐλεύθερος ἦν· καί σοφός ὤν τῆς περί τήν φύσιν θεωρίας ὑπεράνω καθειστήκει διά τήν γνῶσιν. Οὐδέν οὖν εἶχεν ὁ πρῶτος ἄνθρωπος μεταξύ Θεοῦ καί αὐτοῦ προβεβλημένον πρός εἴδησιν, καί κωλῦον αὐτοῦ τήν δι᾽ ἀγάπης αὐθαίρετον κατά τήν πρός Θεόν κίνησιν γενησομένην συγγένειαν, καί διά τοῦτο "γυμνός τῇ ἁπλότητι" προσηγορεύθη τῷ διδασκάλῳ, ὡς ὑπεράνω πάσης τῆς κατά φύσιν ὑπάρχων ζητήσεως, καί "ζωῇ τῇ ἀτέχνῳ," ὡς πάσης τεχνῶν ἐνδεοῦς

καθαρεύων ζωῆς, καί "δίχα παντός ἐπικαλύμματος καί προβλήματος," οἷα τῆς πρός τά αἰσθητά τῶν αἰσθήσεων ἐμπαθοῦς συμπλοκῆς τυγχάνων ἐλεύθερος, εἶς ὑπήχθη δικαίως ὕστερον, ἐλλείψας τήν ἔλλειψιν, (1356) καί τοῦ πλήρης εἶναι τό κενός πάντων γενέσθαι αὐθαιρέτως ἑλόμενος, κάτω γενόμενος ὧν ὑπεράνω φυσικῶς ὑπῆρχε γεγενημένος.

***Ἄλλη περί αὐτοῦ θεωρία.***

Ἤ μήποτε "γυμνός," ὥς φησιν ὁ διδάσκαλος, τῆς περί φύσιν ποικίλης θεωρίας καί γνώσεως, καί "ζωῇ τῇ ἀτέχνῳ," τῆς περί πρᾶξιν καί ἀρετήν πολυτρόπου μεθοδείας ὑπάρχων ἐκτός, κατά τήν ἕξιν ἔχων τούς τῶν ἀρετῶν ἀμολύντους λόγους, καί "δίχα παντός ἐπικαλύμματος καί προβλήματος," τῆς ἐπ᾽ αἰσθήσεσι τῶν φαινομένων διανοίας πρός κατανόησιν τῶν θείων, προηγουμένως οὐ χρῄζων, μόνην τήν ἁπλῆν τῆς ἑνοειδοῦς καί ἁπλῆς καί συνεκτικῆς τῶν μετά Θεόν ἀρετῆς τε καί γνώσεως ἔχων προβολήν, τῆς ἐπ᾽ ἐνεργείᾳ μόνης κινήσεως πρός ἔκφανσιν αὐθαίρετον χρῄζουσαν. Ἀμέλει γοῦν ὅσοι φιλοσόφῳ λόγῳ τῆς τοῦ προπάτορος ἐγείρειν ἑαυτούς βούλονται παραπτώσεως, πρῶτον ἀπάρχονται τῆς τῶν παθῶν παντελοῦς ἀφαιρέσεως, εἶθ᾽ οὕτως τῆς περί τούς λόγους τῶν τεχνῶν ἀσχολίας, καί τέλος τήν φυσικήν ὑπερκύψαντες θεωρίαν εἰς τήν ἄϋλον παρακύπτουσι γνῶσιν, τήν μή ἔχουσαν παντελῶς αἰσθήσει τυπουμένην μορφήν, ἤ νόημα προφορᾷ λόγου χωρούμενον, καθώς ἐξ ἀρχῆς τόν πρῶτον ἄνθρωπον ἐποίησεν ὁ Θεός, γυμνοί τῇ ἁπλότητι τῆς γνώσεως καί τῇ ἀπορισπάστω ζωῇ, καί τῇ νεκρώσει τοῦ νόμου τῆς σαρκός γενόμενοι. Ἦν μέντοι καί κατ᾽ ἄλλον τρόπον ὑψηλοτέρως θεωρῆσαι τό προκείμενον ἄπορον, ἀλλά παρείσθω τά νῦν δι᾽ ἥν ὁ ἀρχόμενος τοῦ λόγου προεῖπον αἰτίαν.

***Τοῦ αὐτοῦ λόγου εἰς τό· " Ἐνιαύσιον δέ, ὡς ἥλιον δικαιοσύνης, ἤ ἐκεῖθεν ὁρμώμενον, ἤ τῷ ὁρωμένῳ περιγραπτόν."***

Πολλαί τοῦ Σωτῆρος ἡμῶν εἰσιν αἱ προσηγορίαι, καί πολύτροπος ὁ ἐφ᾽ ἑκάστη κατά τήν αὐτῆς ἐπίνοιαν τῆς κατά θεωρίαν ἀναγωγῆς καθέστηκεν τρόπος, διά τό πολλάς κατά τήν φυσικήν θεωρίαν τοῦ παραδειγματικῶς εἰς προσηγορίαν τοῦ Κυρίου λαμβανομένου πράγματος ἐπιδέχεσθαι δύνασθαι θεωρημάτων ἐπιβολάς. Ὥσπερ ἀμέλει καί τό νῦν προκείμενον ἡμῖν ἄπορον ἔχει. Πολλούς γάρ ὅσους

οὐδέπω δυνατοῦ τυγχάνοντος τοῦ λόγου θεωρημάτων περί τοῦ ἡλίου τρόπους ἐκθέσθαι διά τό σύντομον, καθ᾽ ἥν ὁ διδάσκαλος αὐτό ἐπίνοιαν ἐθεώρησε, καί ἡμεῖς θεωρήσωμεν, τά συνεπτυγμένως αὐτῷ δηλονότι ῥηθέντα κατά δύναμιν ἐξαπλοῦντες. Ἐνιαυτός τοίνυν ἐστί κατά τούς ἁγίους καί σοφούς ἡμῶν διδασκάλους ἡ τοῦ ἡλίου ἀπό τοῦ αὐτοῦ σημείου εἰς τό αὐτό σημεῖον ἀποκατάστασις, τῆς κατά χρόνον πενταπλῆς ἰδιότητος περιεκτική. Ὁ γάρ χρόνος εἰς ἡμέραν (1357) καί ἑβδομάδα καί μῆνα καί καιρόν καί ἐνιαυτόν μερίζεσθαί τε καί συνάγεται· καί ὁ ἐνιαυτός ὡσαύτως, εἰς ὥραν καί ἡμέραν καί ἑβδομάδα καί μῆνα καί καιρόν, συνεχοῦς καί ἀδιαστάτου τῆς κατ᾽ αὐτόν μενούσης κινήσεως, περί ἥν αἱ κατά τήν ἀλλοίωσιν διαιρέσεις θεωρούμεναι τήν συνεχῆ καί ἀδιάστατον ἠρίθμησαν τοῦ χρόνου κίνησιν. Εἰ δή τούτῳ τῷ τρόπῳ παρ᾽ ἡμῖν κατά τήν τοῦ ἡλίου φοράν ἐνιαυτός γίνεται, ἐνιαυτός δηλαδή Κυρίου δεκτός ἐστι πάντως, ὡς γέγραπται, κατά τόν τῆς ἀληγορίας τρόπον, ἡ πᾶσα τῶν αἰώνων παράτασις, ἀπ᾽ ἀρχῆς ἧς εὐδόκησεν ὁ Θεός οὐσιῶσαι τά ὄντα, καί τοῖς μή οὖσιν ὕπαρξιν δοῦναι, καί διά τῆς προνοίας, ὥσπερ τις νοητός ἥλιος τῆς πρός διαμονήν συνεχούσης τό πᾶν δυνάμεως, συγκαταβατικῶς ἐφεῖναι τήν ἀκτίνα ἀνεχόμενος, ποικίλαι τούς τρόπους ἀξιώσας πρός τελεσφόρησιν ὧν τοῖς οὖσιν οἰκείων κατέσπειρεν ἀγαθῶν μέχρι τῆς πάντων ἀποπερατώσεως τῶν αἰώνων, καθ᾽ ἥν συλλέξει τῆς οἰκείας σπορᾶς τούς καρπούς ζιζανίων ἀμιγεῖς καί πάσης ἀχυρώδους ἄχνης καί συμφορήσεως καθαρούς, καί ὁ σύμπας τῆς τῶν κινουμένων κινήσεως περαιωθήσεται λόγος, λαβόντων τῶν ἀξίων τήν ἐπηγγελμένην τῆς θεώσεως ἐσχάτην μακαριότητα. " Ἥλιος" οὖν "δικαιοσύνης" ὁ Κύριος προσηγόρευται, ὡς ποιητής καί συντελεστής τῶν αἰώνων, καί ὡς ἀρχή πάντων καί τέλος, καί τῆς πενταπλῆς κατά τήν πρόνοιαν τῶν προνοουμένων σοφῆς εὐταξίας δημιουργός, καί ὡς πληρῶν τά πάντα φωτός ἀϊδίου ταῖς ἀνεκλείπτοις ἐπιβολαῖς τῆς ἀγαθότητος, καί τούς εὐρύνοντας πρός ὑποδοχήν τῆς αὐτοῦ μακαρίας ἀκτῖνος τούς ἑαυτῶν νοητούς πόρους πεπείρους καί ἐδωδίμους τῷ Θεῷ καί Πατρί ποιούμενος. Ὁ αὐτός δέ καί ἐνιαυτός ἐστι Κυρίου δεκτός, ὡς διά πάντων τῶν σωζομένων πληρούμενος κατά τήν ὑπ᾽ αὐτοῦ νοητῶς γινομένην πεντάτροπον κίνησιν, ὡς Ἡλίου δικαιοσύνης, ἥντινα νοήσει πάντως ὁ διά τῆς τῶν φαινομένων ἀκριβοῦς κατά λόγον φυσικῆς θεωρίας τήν τῶν νοουμένων πνευματικήν ἐπιστήμην συλλεγόμενος.Ἐκεῖθεν δέ

"ὁρμώμενος" εἴρηται τῷ διδασκάλῳ, " ἤ τῷ ὁρωμένῳ περιγραπτός," ἤ ὡς φῶς ἐκ φωτός, καί Θεός ἀληθινός ἐκ Θεοῦ κατ᾿ οὐσίαν ἀληθινοῦ τοῦ Πατρός γεννητῶς ὁρμώμενος, ἤ ὡς ἄνθρωπος ὁ αὐτός τῷ καθ᾿ ἡμᾶς ὁρωμένῳ τῆς φύσεως εἴδει περιγραπτός, καθάπερ ἥλιος ὁ ἐκ τοῦ οὐρανοῦ ὁρμώμενος τῷ φαινομένῳ δισκοειδεῖ σώματι περιγέγραπται.

***Ἐκ τοῦ αὐτοῦ λόγου εἰς τό· " Θαυμαστόν οὐδέν εἰ μάλιστα κατ᾿ οἶκον ἕκαστον ἐπιζητεῖται τό πρόβατον."***

Εἴποι δ᾿ ἄν τις, καί εὐλόγως, ὡς οἶμαι, τυχόν, Εἴπερ εἷς ἐστιν ὁ Χριστός ὁ διά νόμου καί προφητῶν καί τῆς κατά τήν κτίσιν μεγαλειότητος μυστικῶς (1360) τοῖς ἀκούειν πνευματικῶς καί ὁρᾷν δυναμένοις κηρυττόμενος, πῶς τόν τύπον ὁ νόμος ἐπιτελῶν τοῦ Χριστοῦ πολλά πρόβατα κελεύει θύεσθαι κατ᾿ οἴκους πατριῶν; Πρός ὅν φαμεν, ὡς εἴπερ αὐτόν δεξοίμεθα τόν λόγον, νοητῶς τῶν ὤτων τῆς ψυχῆς καί τῶν ὀμμάτων ἁπτόμενον, καί διανοίγοντα ταῦτα πρός ὑποδοχήν μέν καί θεωρίαν τῶν αὐτοῦ μυστηρίων, ἐκδίκησιν δέ πάσης παρακοῆς καί ἀποστροφήν πάσης ματαιότητος, γνοίημεν πάντως τό μυστικόν βούλημα τῆς ἁγίας Γραφῆς, τῷ προκειμένῳ συνάψαντες ὅμοιον ἐκ τοῦ ἁγίου Ἀποστόλου φάσκοντος, τό· Οὐδέν ἔκρινα εἰδέναι ἐν ὑμῖν, εἰ μή Χριστόν Ἰησοῦν, καί τοῦτον ἐσταυρωμένον. Ὥσπερ οὖν ἕκαστος τῶν πεπιστευκότων τῷ Χριστῷ κατά τήν οἰκείαν δύναμιν καί τήν ὑποκειμένην αὐτῷ τῆς ἀρετῆς ἕξιν τε καί ποιότητα σταυροῦταί τε καί συσταυροῖ ἑαυτῷ τόν Χριστόν, Χριστῷ δηλονότι πνευματικῶς συσταυρούμενος. Ἄλλος γάρ κατ᾿ ἄλλον ἀρετῆς τρόπον ἑαυτῷ κατάλληλον ποιεῖται τήν σταύρωσιν· ὁ μέν μόνῃ σταυρούμενος τῇ κατ᾿ ἐνέργειαν ἁμαρτίᾳ, καί ταύτην νεκρῶν τῷ φόβῳ τοῦ Θεοῦ προσηλωμένην· ὁ δέ καί αὐτοῖς τοῖς πάθεσι σταυρούμενος καί τάς δυνάμεις τῆς ψυχῆς ἐξιώμενος· ὁ δέ καί αὐταῖς τῶν παθῶν ταῖς φαντασίαις, οὐκ ἐῶν τάς αἰσθήσεις ἀφέτους, πρός ὑποδοχήν τινος τῶν κατά ταῦτα μετεωρισμῶν· ὁ δέ καί τοῖς περί τά πάθη λογισμοῖς καί ἐνθυμήμασιν· ὁ δέ καί τῇ κατ᾿ αἴσθησιν ἀπάτῃ· ἄλλος δέ καί τήν πρός τά αἰσθητά τῶν αἰσθήσεων διά τῆς φυσικῆς οἰκειότητος σταυρούμενος ἀποτίθεται σχέσιν· ἄλλος δέ καί πᾶσαν καθολικῶς αἰσθητικήν τῷ σταυρῷ κατασβέννυσι κίνησιν, πρός τό μηδέν ἔχειν ἐν ἑαυτῷ τό παράπαν φυσικῶς ἐνεργούμενον· ἄλλος δέ καί αὐτῆς τῆς κατά νοῦν ἀποπαύεται παντελῶς ἐνεργείας, καί ἵνα τό μεῖζον εἴπω, ὁ μέν τῇ πρακτικῇ σταυρούμενος φιλοσοφίᾳ δι᾿ ἀπαθείας, καί πρός τήν ἐν

πνεύματι φυσικήν θεωρίαν ὥσπερ ἀπό τινος σαρκός τοῦ Χριστοῦ πρός τήν ψυχήν αὐτοῦ μεταβαίνων, ὁ δέ καί τῇ φυσικῇ θεωρίᾳ νεκρούμενος, διά τῆς ἀποβολῆς τῆς κατά νοῦν περί τά ὄντα συμβολικῆς θεωρίας, καί πρός τήν ἑνοειδῆ καί ἁπλῆν τῆς θεολογικῆς ἐπιστήμης μυσταγωγίαν ὥσπερ ἀπό τινος ψυχῆς τοῦ Χριστοῦ πρός τόν νοῦν αὐτοῦ μετατιθέμενος, ὁ δέ καί ἀπό ταύτης εἰς τήν δι᾽ ἀποφάσεως παντελοῦς ἄῤῥητον ἀφαιρετικήν ἀοριστίαν ὥσπερ ἀπό τινος ψυχῆς τοῦ Χριστοῦ νοός πρός τήν αὐτοῦ θεότητα μυστικῶς ἀναγόμενος· ἕκαστος, ὡς ἔφην, κατά τήν ἑαυτοῦ δύναμιν, καί τήν κατ᾽ ἀξίαν χορηγουμένην αὐτῷ τάς ὑψηλάς διά τῆς πρός πάντα νεκρώσεως ἀναβάσεις ποιούμενον, οὕτως καί τόν θεῖον ἀμνόν ἕκαστος ἡμῶν ὡς ἐν οἰκίᾳ τινί τῷ ἰδίῳ τάγματι τῆς κατ᾽ ἀρετήν ἁρμοζούσης αὐτῷ καταστάσεως θύει τε τόν ἀμνόν καί μεταλαμβάνει τῶν αὐτοῦ σαρκῶν, καί ἐμφορεῖται τοῦ Ἰησοῦ. Ἑκάστου γάρ ἴδιος γίνεται ἀμνός Χριστός Ἰησοῦς, ὡς ἕκαστος χωρεῖν τε καί ἐσθίειν αὐτόν δύναται, ἴδιος, Παύλου τοῦ μεγάλου τῆς ἀληθείας (1361) κήρυκος, καί ἰδιοτρόπως ἴδιος ἑκάστου τῶν ἁγίων κατά τό μέτρον τῆς ἐν ἑκάστῳ πίστεως, καί τήν ἐπιχορηγουμένην χάριν τοῦ Πνεύματος, ᾧ μέν οὕτως, ᾧ δέ οὕτως, εὑρισκόμενος ὅλος ὅλῳ, πᾶσι δέ πάντα γινόμενος.

***Ἐκ τοῦ αὐτοῦ λόγου εἰς τό· " Ὅσον μέν σαρκῶδες τοῦ λόγου καί τρόφιμον, μετά τῶν ἐνδοσθίων καί τῶν κρυφίων τοῦ νοῦ βρωθήσεται καί εἰς πέψιν πνευματικήν ἀναδοθήσεται."***

Ὁ πᾶσαν μετά σοφίας φύσιν ὑποστήσας Θεός, καί πρώτην ἑκάστη τῶν λογικῶν οὐσιῶν δύναμιν τήν αὐτοῦ γνῶσιν κρυφίως ἐνθέμενος, δέδωκε καί ἡμῖν τοῖς ταπεινοῖς ἀνθρώποις, ὡς μεγαλόδωρος Δεσπότης, κατά φύσιν τόν εἰς αὐτόν πόθον καί ἔρωτα, συνεπιπλέξας αὐτῷ φυσικῶς τοῦ λόγου τήν δύναμιν, ἐφ᾽ ᾧ δυνηθῆναι μετά ῥαστώνης γνῶναι τούς τρόπους τῆς τοῦ πόθου πληρώσεως, καί μή παρασφαλέντας διαμαρτεῖν οὗ τυχεῖν ἀγωνιζόμεθα. Κατά τοῦτον οὖν κινούμενοι τόν πόθον περί τε τῆς ἀληθείας αὐτῆς καί τῆς εὐτάκτως τοῖς ὅλοις ἐμφαινομένης σοφίας τε καί διοικήσεως ζητεῖν ἐναγόμεθα ἐκείνου τυχεῖν, διά τούτων γλιχόμενοι, οὗ χάριν τόν πόθον ἐλάβομεν. Καί τοῦτο μυστικῶς ἐγνωκότες οἱ φιλομαθεῖς καί φιλότιμοι τῆς ἀληθείας ἐρασταί μίαν ἐστήσαντο σχολήν καί προσεδρείαν ἑαυτοῖς τήν περί τούτου φιλόπονον ἄσκησιν, ἀκριβῶς ὑπ᾽ αὐτῆς τῶν πραγμάτων τῆς ἀληθοῦς κατανοήσεώς τε καί ἀκολουθίας μαθόντες

ὡς, εἴπερ κατά τόν αἰῶνα τοῦτον ποσῶς δι’ εὐσεβῶν θεωρημάτων τήν μέλλουσαν ἀλήθειαν εἰκονίσαιντο, καί τόν πόθον πληροφορήσουσιν, ἑτοιμοτέραν ὡς τοῖς ἐνταῦθα καλῶς γυμνασθεῖσαν τήν ψυχήν ἐσχηκότες, ἀκμητί μετά τόν βίον τοῦτον ἐπί τήν μέλλουσαν ἀλήθειαν μεταβήσονται, σκαγραφηθεῖσαν αὐτοῖς ἤδη καλῶς διά τῶν θειοτέρων νοημάτων, ἄγοντος αὐτούς ἐπ’ αὐτήν δηλαδή τήν ἀλήθειαν τοῦ Θεοῦ καί Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, καί ἁπλῆν καί ἀρίδηλον καί δίχα πάσης ἀπορίας, συμβολικῆς τε ποικιλίας καί πάσης αἰνιγματώδους ἀσαφείας, αὐτοῖς παραδεικνύντος, ἀποδρασάσης αὐτοῖς ὥσπερ ἐπί τῆς πρακτικῆς ἀρετῆς ὀδύνης καί λύπης καί στεναγμοῦ διά τήν ἀπάθειαν, οὕτω καί ἐπί τῆς θεωρητικῆς γνώσεως, ἀσαφείας πάσης καί ἀπορίας, διά τήν σοφίαν, προστεθείσης αὐτοῖς, ἐντεῦθεν λαβοῦσι τάς ὑποτυπώσεις αὐτῆς, τηνικαῦτα γυμνῆς τῆς ἀληθείας. Παντί γάρ, φησί, τῷ ἔχοντι, δηλονότι τόν περί τῶν μελλόντων πόθον, δοθήσεται, καί προτεθήσεται πάντως ἡ τῶν αἰωνίων ἀγαθῶν ἀπόλαυσις. Πλούσιος γάρ ὑπάρχων ὁ Θεός ἡμῶν οὐδέποτε λήγει τοῖς ἀγαπῶσιν αὐτόν τά θεῖα διανέμων δῶρα τῆς γνώσεως, ἅπερ οὐδ᾽ ὀνομάζειν κατά τόν αἰῶνα τοῦτον δυνάμεθα, διά τό αὐτῶν ὕψος καί μέγεθος, εἴπερ ἀληθεύει φάσκων περί τῆς ἐσχάτης μακαριότητος ὁ μέγας Ἀπόστολος ὑπεράνω παντός ὀνόματος ὀνομαζομένου αὐτήν εἶναι, οὐ μόνον ἐν τῷ αἰῶνι τούτῳ, ἀλλά καί ἐν τῷ μέλλοντι τήν μετά πᾶσαν πάντων τῶν χαρισμάτων διανομήν τε καί (1364) ἀνάβασιν δειχθησομένην τῶν ἀγαθῶν ἀκροτάτην κορυφήν αἰνιττόμενος, τήν μηδηνί λόγῳ ἤ νῷ ῥηθῆναι ἤ γνωσθῆναι δυναμένην, τόν τε κατά τόν αἰῶνα τοῦτον ἡμῖν ἐφικτῶν, τῶν τε κατά τόν μέλλοντα δειχθησομένων, καί ὀνομασθῆναι καί γνωσθῆναι τυχόν ἡμῖν δυναμένων. Ἀεί γάρ ὁ διεληλυθώς τούς οὐρανούς Ἰησοῦς, ὁ τοῦ Θεοῦ Λόγος, καί ὑπεράνων πάντων τῶν οὐρανῶν γενόμενος, τούς ἀκολουθοῦντας αὐτῷ διά πράξεως καί θεωρίας μεταβιβάζει τε καί μετατίθησιν ἀπό τῶν ἡττόνων ἐπί τά κρείττονα, καί ἀπό τούτων πάλιν ἐπί τά ἔτι τούτων ἀνώτερα, καί ἁπλῶς εἰπεῖν, ἐπιλείψει με ὁ χρόνος λέγοντα τάς θείας τῶν ἁγίων ἀναβάσεις τε καί ἀποκαλύψεις κατά τήν ἀπό δόξης εἰς δόξαν ἀλλοίωσιν, ἕως ἕκαστος τήν ἐν τῷ ἰδίῳ τάγματι, ἁρμόζουσαν δέξοιτο θέωσιν. Τόν τοίνυν προῤῥηθέντα περί Θεοῦ φυσικόν πόθον ἔχοντας ἡμᾶς εἰδώς οὗτος ὁ μέγας διδάσκαλος προτρέπει τε πάντας καί καλεῖ διά τῆς αὐτοῦ διδασκαλίας πρός τήν πνευματικήν βρῶσιν τοῦ ὑπέρ ἡμῶν σφαγιασθέντος ἀμνοῦ, φυλάξαι τε εὐκρινῶς καί εὐχρήστως

ὑποτίθεται τῶν αὐτοῦ, τοῦ ἀμνοῦ δηλονότι, μελῶν τήν ἁρμονίαν ἄθραυστον καί ἀσύμφυρτον, ἵνα μή κατακριθῶμεν ὡς διασπῶντες καί διασπαράττοντες τήν εὔθετον ἁρμονίαν τοῦ θείου σώματος, ἤ θρασέως, ὡς ὑπέρ δύναμιν, ἤ ἀνιέρως, ὡς παρά δύναμιν, τοῦ ἀμνοῦ καί Λόγου τάς σάρκας ἐσθίοντες· ἀλλ᾽ ἕκαστος κατά τήν αὐτοῦ δύναμίν τε καί τάξιν, καί τήν ἐπιβάλλουσαν αὐτῷ χάριν τοῦ Πνεύματος, μεταλαμβανέτω τοῦ θείου Λόγου κατά τήν ἑκάστου μέλους ἐπίνοιαν. Οἷον κεφαλῆς μέν ὁ ἐξ ἀναποδείκτων ἀρχῶν ἀφέτους παντελῶς ἔχουσαν τούς περί θεολογίας λόγους πίστιν κεκτημένος μεταλήψεται, ἐξ ἧς τό πᾶν σῶμα τῶν ἀρετῶν τε καί τῶν γνώσεων συμβιβαζόμενον αὔξει τήν πνευματικήν αὔξησιν. Ὤτων δέ μεταλήψεται ὁ τούς θείους λόγους πνευματικῶς μετ᾽ ἐπιστήμης ὑποδεχόμενος, καί εὐπειθής καί ὑπήκοος Θεῷ δι᾽ αὐτούς μέχρι θανάτου διά τῶν ἔργων γινόμενος· ὀφθαλμῶν δέ, ὁ τήν κτίσιν πνευματικῶς κατανοῶν, καί πάντας τούς κατ᾽ αἴσθησίν τε καί νοῦν λόγους ἀπροσκόπως εἰς μίαν δόξης θεοῦ συνάγων ἐκπλήρωσιν. Στήθους δέ μεταλήψεται ὁ τήν καρδίαν θεολογικῶν πληρώσας θεωρημάτων, κατά τόν μέγαν εὐαγγελιστήν Ἰωάννην, καί πηγῆς ἀεννάου δίκην τόν περιεκτικόν τῆς τοῦ παντός προνοίας εὐσεβῶς προχέων τοῖς μανθάνουσι λόγον τε καί τρόπον. Χειρῶν δ᾽ αὖ μεταλαμβάνει δεόντως ὁ μηδέν τῶν κατ᾽ ἐντολήν ἀνειμένως ἔργων καί ἠμελημένως ἐπιτελῶν, ἀλλ᾽ ὅλην ἔχων ἑτοίμην καί εὔτονον πρός ἐκπλήρωσιν τῶν θείων νόμων τῆς ψυχῆς τήν κατά τήν πρᾶξιν ἐνέργειαν· κοιλίας δέ, ὁ τό γόνιμον τῆς ψυχῆς ἀείβλυστον ἔχων, καί πληθυνόμενος τοῖς πνευματικοῖς θεωρήμασι, καί ἀκατάσβεστον τόν καυστικώτατον τῆς πρός τήν θείαν συνουσίαν ἀπαθοῦς ἐφέσεως ἔρωτα κεκτημένος. Ἐνδοσθίων δέ μεταλήψεται προσηκόντως, ὁ τῇ κρυφιωτέρᾳ ζητήσει τε καί γνώσει τοῦ νοῦ τά βάθη τοῦ Θεοῦ διερευνώμενος, καί ἀποῤῥήτων ἐμφορούμενος μυστηρίων. (1365)Τολμήσει τι μεῖζον ὁ λόγος. Τῶν κάτω τοῦ Λόγου μερῶν μεταλαμβανέτω σωφρόνως, ὁ λογικῶς κατά τῆς ὕλης ἱστάμενος, καί παντάπασιν ἀμόλυντον μετά τῆς ψυχῆς τήν σάρκα διατηρῶν, καί ὅλον ἀπαραλείπτως αὐτῇ τόν Λόγον ταῖς ἀρεταῖς διαμορφῶν σάρκα γενόμενον. Μηρῶν δέ μεταλήψεται ὁ τόν λόγον ἐπικείμενον ἔχων τῷ τῆς ψυχῆς παθητικῷ μέρει, καί παντελῶς ἐκτέμνων αὐτῆς τήν πρόσυλον κίνησιν· γονάτων δέ, ὁ πρός τούς κειμένους καί ἀσθενοῦντας τῇ πίστει συμπαθῶς κατά πρόνοιαν ἐπικλινόμενος, καί

τήν πρός ἡμᾶς τοῦ Λόγου μιμούμενος συγκατάβασιν. Κνημῶν δέ καί ποδῶν μεταλαμβανέτω πρός τούτοις, ὁ ἐπί τῆς πίστεως καί τῆς ἀρετῆς καί τῆς γνώσεως ἀσαλεύτους ἔχων τῆς ψυχῆς τάς βάσεις καί ἀκλονήτους, καί κατά σκοπόν πρός τό βραβεῖον τῆς ἄνω κλήσεως ἐπειγόμενος, καί τῆς ἀγνοίας τά ὄρη καί τούς βουνούς τῆς κακίας ὑπερπηδῶν μετά τοῦ Λόγου καί διαλλόμενος. Ἀλλά τίς δυνήσεται πάσας τοῦ Σωτῆρος ἡμῶν Θεοῦ τάς δι᾽ ἡμᾶς ἐπινοίας ἐξαριθμῆσαι καθ᾽ ἅς ἐδώδιμον ἑαυτόν καί μεταληπτόν ἀναλόγως ἑκάστῳ πεποίηκεν. Ἔτι γάρ ἔχει πρός τούτοις πᾶσιν ὁ Κύριος βοστρύχους, καί ῥῖνας, καί χείλη, τράχηλόν τε, καί ὤμους, καί δακτύλους, καί ὅσα τῆς ἡμετέρας κατασκευῆς ἐπ᾽ αὐτοῦ λέγεται τροπολογικῶς. Ὧν προσφυῶς τε καί εὐχρήστως μεταλαμβάνουσιν οἱ πρός ἕκαστον καί δι᾽ ἑκάστου μέλους σημαινόμενον πνευματικόν μεταποιούμενοι λόγον. Οὕτως ὁ ἀμνός τοῦ Θεοῦ βιβρώσκεται, κατά τόν ἅγιον τοῦτον καί μέγαν διδάσκαλον, καί εἰς πέψιν πνευματικήν ἀναδίδοται, μεταποιῶν πρός ἑαυτόν τῷ πνεύματι τούς μεταλαμβάνοντας, ἕκαστον αὐτῶν εἰς τόν τοῦ βρωθέντος ὑπ᾽ αὐτοῦ πνευματικῶς μέλους τόπον κατά τήν θέσιν τῆς σωματικῆς ἁρμονίας ἐνάγων τε καί μετατιθέμενος, ὥστε φιλανθρώπως τόν ἐν τοῖς ὅλοις λόγον τοῖς πράγμασιν οὐσίαν γίνεσθαι τόν μόνον ὑπέρ φύσιν καί λόγον.

***Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό· "Νεκρώσας τά μέλη τά ἐπί τῆς γῆς, καί τήν ζώνην Ἰωάννου μιμούμενος, τοῦ ἐρημικοῦ καί προδρόμου καί μεγάλου τῆς ἀληθείας κήρυκος."***

Ὁ τήν Ἰωάννου ζώνην μιμούμενός ἐστιν ὁ τῇ δυνάμει τοῦ λόγου τό γόνιμον τῆς ψυχῆς διά γνώσεως πρακτικῶς ἐπισφίγγων, καί ἀδιάχυτον αὐτό πρός τήν ὕλην διαφυλάττων. Ἐρημικός δέ ἐστιν ὁ παθῶν καθαρεύουσαν τήν ἕξιν κτησάμενος. Πρόδρομος δέ ὁ διά τῆς γνησίας μετανοίας τήν ἀπακολουθοῦσαν αὐτῇ δικαιοσύνην, καί διά τῆς φαινομένης ἀρετῆς τήν ἐπιδημεῖν αὐτῶν μέλλουσαν γνῶσιν προμηνύων. Μέγας δέ τῆς ἀληθείας κῆρύξ ἐστιν ὁ τῷ οἰκείῳ βίῳ τόν ὑπ᾽ αὐτοῦ λαλούμενον τῆς διδασκαλίας λόγον πιστούμενος.

***(1368) Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό· " Καί εἴ τις μαθητής ἐπί τό Εὐαγγέλιον πέμπεται, φιλοσόφως καί ἀπερίττως· ὅν δεῖ πρός τῷ ἀχάλκῳ καί ἀράβδῳ καί μονοχίτωνι, ἔτι καί γυμνοποδεῖν, ἵνα φανῶσιν οἱ πόδες ὡραῖοι τῶν εὐαγγελιζομένων εἰρήνην."***

Εὐαγγέλιόν ἐστιν ὁ περί τῆς τοῦ Θεοῦ βασιλείας ὑψηλότερος λόγος· βασιλεία δέ ἐστι Θεοῦ ἡ πάσης ὕλης καί πασῶν τῶν κατ᾿ αὐτήν φαντασιῶν καθαρεύουσα λῆξις. Μηθητής οὖν ἐπί τό Εὐαγγέλιον πεμπόμενος εἰκότως ἐστίν ὁ τοῖς τρόποις παντελῶς τήν πρός τόν κόσμον τοῦτον ἐπιδεικνύμενος ἀλλοτρίωσιν τῷ τε ἀχάλκῳ καί ἀράβδῳ καί μονοχίτωνι, τήν τε φιλαργυρίαν καί τόν θυμόν ἤ τήν ἐπι δυναστεία τινί πεποίθησιν ἑαυτοῦ περικόψας, ἀτέχναστόν τε καί ἄπλαστον καί μονότροπον καί πάσης ἐλευθέραν διπλόης τήν ἠθικήν, ὥσπερ ἕν χιτώνιον, μετιών φιλοσοφίαν, μηδέν τό σύνολον νεκρότητος τῷ ἴχνει τῆς ψυχῆς, ὥσπερ ὑπόδημα, σύμβολον ἐναφείς, οἷα τῆς μεγάλης εἰρήνης ὑπάρχων ἄγγελος, καί τῆς μηκέτι φοβουμένης τόν ἐκ τῶν παθῶν πόλεμον, μηδέ θάνατον σώματος ὑποστελλομένης καταστάσεως κῆρυξ, ὥστε δύνασθαι τούς εἰς αὐτόν συνετῶς ὁρῶντας ἐκ τῆς καθ᾿ ἀρετήν περί τόν βίον ἀναλλοιώτου ταὐτότητος τήν ἐν ἀγγέλοις περί Θεόν εὐπρεπεστάτην εἰκονίζεσθαι πολιτείαν τε καί εὐστάτειαν.

***Ἄλλο εἰς τό αὐτό θεώρημα.***

Ἤ μήποτε διά τό ἁπλῶς εἰπεῖν, καί κατά μίμησιν τῆς Ἰωάννου ζώνης, καί πάλιν εὐαγγελικῶς δύνασθαι τό πάσχα ἐσθίεσθαι, τάς τε διαφοράς τῶν μεταλαμβανόντων καί τούς τρόπους αὐτοῦ τοῦ Πάσχα διδασκαλικῶς ὁ Πατήρ παρηνίξατο. Τρία γάρ Πάσχα παραδίδωσιν ὁ Παλαιᾶς Γραφῆς λόγος, ἕν κατά τήν Αἴγυπτον ἐπιτελούμενον, καί ἕτερον κατά τήν ἔρημον, καί τό ἄλλο κατά τήν γῆν τῆς ἐπαγγελίας. Ἡ μέν οὖν Αἴγυπτος κατά μίαν τῶν περί αὐτήν ἐπινοιῶν ἀλληγορουμένη τοῦτον δηλοῖ τόν κόσμον, ἡ δέ ἔρημος ὡσαύτως κατά μίαν τῶν ἐπ᾿ αὐτῆς θεωριῶν τήν μετά θάνατον κατάστασιν τῶν ψυχῶν ἀλληλογορικῶς ὑποφαίνει, ἡ δέ γῆ τῆς ἐπαγγελίας τόν μέλλοντα προτυποῖ. Τρεῖς γάρ τόποι καί καταστάσεις εἰσίν ἐν οἷς οἱ ἄνθρωποι γινόμεθα· οὗτος ὁ ἐν ᾧ τό εἶναι λαμβάνοντες γεννώμεθα κόσμος, καί ὁ μετά θάνατον ἐν ᾧ ἐντεῦθεν ἀπιόντες γινόμεθα τόπος, καί ὁ μέλλων αἰών, ἐν ᾧ μετά ψυχῶν συγκλειόμεθα καί σωμάτων. Ἐφ᾿ ὅσον οὖν χρόνον ἐσμέν ἐν τῷ κόσμῳ τούτῳ, ἐν Αἰγύπτῳ ἄγομεν τό πάσχα, τῶν καθ᾿ ἁμαρτίαν κηλίδων ἐκκαθαιρόμενοι· ἐπάν δέ ταύτην διά θανάτου περάσωμεν τήν ζωήν, ὡς ἐν ἐρήμῳ πάλιν ἄγομεν ἕτερον πάσχα, τρανοτέρους τούς τῶν ὄντων λόγους, (1369) χωρίς συμβόλων καί αἰνιγμάτων καί τῆς δι᾿ αἰσθήσεως ποικιλίας, νοητῶς τε καί

ἀσωμάτως μανθάνοντες· καί αὖθις κατά τόν μέλλοντα τῶν θείων ἀπαγγελιῶν αἰῶνα ἑορτάζομεν τό πάσχα, τόν ἀκρότατον ἀμέσως ἐσθίοντες τῆς σοφίας λόγον, πρός ὅν μεταποιηθέντες κατά χάριν θεούμεθα, τήν πρός ἄλλο πάσχα διάβασιν καθ᾽ ὁτιοῦν ἄλλην οὐκ ἔχοντες, πλήν ὅτι καί ἐνταῦθα παροῦσιν ἡμῖν δυνατόν ἐστι πρός τήν ἑκάστου κατάστασιν εἰκονισθῆναι τῶν εἰρημένων τόπων τόν ἰδιότητα. Ὁ γάρ ἑκάστου ἡμῶν βίος χαρακτηριστικός ἐστί τοῦ ἐν ᾧ ἐστι τόπου. Οἷον, εἰ μέν τήν πρακτικήν ἀνδρικῶς μετερχόμεθα φιλοσοφίαν, ἐν Αἰγύπτῳ τό πάσχα καλῶς ἐπιτελοῦμεν, μετά τῶν Αἰγυπτίων μέν ὑπάρχοντες, οὐκ Αἰγύπτιοι δέ τυγχάνοντες, ὡς ἐν σαρκί μέν ὄντες, οὐ κατά σάρκα δέ στρατευόμενοι. Εἰ δέ τήν φυσικήν ἐν πνεύματι θεωρίαν εὐσεβῶς ἐξασκούμεθα, ὅπλα τῷ Θεῷ δυνατά τάς τῆς ψυχῆς ποιούμενοι δυνάμεις, πρός καθαίρεσιν μέν ὀχυρωμάτων καί παντός ὑψώματος ἐπαιρομένου κατά τῆς γνώσεως τοῦ Θεοῦ, θεωρίαν δέ τῶν ἐν τοῖς οὖσι πνευματικῶν λόγων, ὥσπερ γυμνοί σώματος καί τῆς κατά τήν αἴσθησιν ἀπατηλῆς φαντασίας ἐλεύθεροι, τήν πρός τάς θείας ἐπαγγελίας γνωστικῶς ποιούμενοι πορείαν, ἐσμέν ἐν τῇ ἐρήμῳ, τῇ παθῶν λέγω, καί πάσης ὑλικῆς φαντασίας καθαρευούσῃ καταστάσει. Εἰ δέ τήν θεολογικήν μυσταγωγίαν ἀῤῥήτοις νοός κινήμασι μορφαζόμεθα, τί τό πλάτος καί μῆκος καί βάθος καί τό ὑπερβάλλον εἰς ἡμᾶς μέγεθος τῆς τοῦ Θεοῦ σοφίας κατά τό ἐφικτόν ἀνθρώποις οὐκ ἀγνοοῦντες, ἐσμέν ἐν τῇ γῇ τῆς ἐπαγγελίας. Τήν πρακτικήν οὖν, καί τήν φυσικήν, καί τήν θεολογικήν φιλοσοφίαν οἶμαι διά τῆς διαιρέσεως τῶν τριῶν προσώπων τόν διδάσκαλον παραινίττεσθαι, δι᾽ ὧν ἀναλόγως ἕκαστος κατά τήν ὑποῦσαν αὐτῷ δύναμιν τό νοητόν ἐσθίει πάσχα.

***Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό· "Εἰ μέν τις εἶ Ῥαχήλ ἤ Λεία, ψυχή πατριαρχική καί μεγάλη, καί τά εἴδωλα κλέψον ἅπερ ἄν εὕρῃς τοῦ σοῦ πατρός, οὐχ ἵνα φυλάξῃς, ἀλλ᾽ ἵνα ἀφανίσῃς· εἰ δέ Ἰσραηλίτης σοφός, πρός τήν γῆν τῆς ἐπαγγελίας μετένεγκαι."***

Ῥαχήλ μέν, ὥς φασιν, ἀμνάς ἤ ποιμαίνουσα ἑρμηνεύεται, ἡ δέ Λεία, κοπουμένη ἤ κόπωσις ἑρμηνεύεται. Ποιμαίνεται οὖν καί ποιμαίνει καί ἄγεται καί ἄγει ἡ Ῥαχήλ, κατά τήν τῆς προσηγορίας δύναμιν. Ῥαχήλ οὖν ἐστι πᾶσα ψυχή θεωρητική, ἡ τῷ νόμῳ τοῦ θεοῦ ὡς ἀμνάς ποιμαινομένη τε καί ἀγομένη, καί κατά τόν νόμον τοῦ Θεοῦ τοῖς κατά πρᾶξιν θεσμοῖς ποιμαίνουσά τε καί ἄγουσα αὐτῆς τά

κινήματα καί τά διανοήματα, καί τά πάθη τῆς σαρκός τῷ γονίμῳ τῆς ἀρετῆς ὑποτάσσουσα τέως, καί οὕτως μετά τήν εἰς γνῶσιν εἴσοδον παντελῶς ἀφανίζουσα. Λεία δέ ἐστι πᾶσα ψυχή πρακτική, τήν ὑπέρ ἀρετῆς ἔχουσα κόπωσιν, ἥν μάλιστα πρώτην πᾶς τις τήν θείαν μετιών (1372) φιλοσοφίαν γαμικῶς εἰσοικίζεται. Ἰσραηλίτης δέ σοφός ἐστι νοῦς θεωρητικός τά τοῦ αἰῶνος τούτου νοήματα πρός τήν χώραν τῆς γνώσεως μεταβιβάζων κατά τόν μέγαν ἐκεῖνον Ἰακώβ, τόν πάντα τά τοῦ Λάβαν πρός τήν γῆν τῶν Πατέρων μετακομίσαντα. Καθάπερ γάρ ἐκεῖνος ὁ θαυμαστός Ἰακώβ ἱστορικῶς τάς ῥάβδους λεπίσας καί ὑποθείς ταῖς ληνοῖς τῶν ὑδάτων πρός αὐτάς ἐγκισσᾷν ἐποίει τά πίνοντα πρόβατα, οὕτω καί πᾶς ἐν πνεύματι σοφώτατος νοῦς τῆς περικειμένης ὕλης τούς τῶν ὄντων θειοτέρους λόγους ἀπογυμνώσας, καί τοῖς κατά τήν θεωρίαν τρόποις τῆς γνώσεως ὑποθέμενος, τήν τῶν ἀσωμάτων κατάστασιν μορφοῦσθαι, τούς τε μανθάνοντας πάντας καί τά τῆς ἑαυτοῦ ψυχῆς ἐκδιδάσκει κινήματα. Πατριάρχης οὖν τῶν μέν διά πρακτικῆς κοπώσεως τήν ἀρετήν κατορθούντων ἐστίν ἡ Λεία, τῶν δέ διά τῆς φυσικῆς θεωρίας τήν ἀρετήν λογικῶς μετιόντων ἐστίν ἡ Ῥαχήλ, ὡς εὐπειθῶς ἀγομένη τῷ νόμῳ τοῦ Θεοῦ καί πράως κατ᾽ αὐτόν ἄγουσα. Τῶν δέ κατά θεωρίαν πνευματικήν τό ὕψος μεταδιωκόντων τῆς γνώσεως, Ἰακώβ ὁ πανεύφημος, τῶν μή τά φαινόμενα καθώς φαίνονται παντελῶς, ἀλλά καθώς νοοῦνται, θεωμένων τε καί γινωσκόντων, καί μετά τῶν ἐν τούτοις νοημάτων πλουσίως πρός τήν ἄϋλον καί ἀσώματον μεταβιβαζομένων γνῶσιν.

***Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό· " Ἄν Σίμων ᾖς Κυρηναῖος, τόν σταυρόν ἆρον καί ἀκολούθησον."***

Σίμων μέν ὑπακοή, Κυρηναῖος δέ ἑτοιμότης, ὥς φασιν, ἑρμηνεύεται. Πᾶς οὖν ἕτοιμος πρός ὑπακοήν τοῦ Εὐαγγελίου, καί προθύμως διά νεκρώσεως τῶν ἐπί γῆς μελῶν τήν ὑπέρ ἀρετῆς κατά τήν πρακτικήν φιλοσοφίαν ὑπερχόμενος κάκωσιν, Σίμων γέγονε Κυρηναῖος, ἑκούσιον μετερχόμενος ἀρετήν, ἐπ᾽ ὤμων τε τόν σταυρόν ἔχων καί ἀκολουθῶν τῷ Χριστῷ ἀνεσταλμένην παντελῶς τῆς γῆς τοῦ κατά Θεόν βίου τήν ἀγωγήν ἐπιδεικνύμενος.

***Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό· " Ἐάν συσταυρωθῇς ὡς ληστής, ὡς εὐγνώμων τόν Θεόν γνώρισον."***

Ληστής ἐστιν εὐγνώμων συσταυρούμενος τῷ Χριστῷ πᾶς ἄνθρωπος ὑπέρ ἁμαρτιῶν πάσχων κακῶς ὡς ὑπεύθυνος, τῷ ἀνευθύνως δι᾽ αὐτόν κακοπαθοῦντι Λόγῳ συγκακοπαθῶν καί φέρων μετ᾽ εὐχαριστίας, καί τόν κατά πρόνοιαν τῆς δικαίας κρίσεως λόγον συνόντα γνωρίζον, καί ὁμολογῶν τήν ὑπέρ ὧν πάσχει κακῶς αἰτίαν, καί αἰτιῶν ὥσπερ αὐτῷ τοῦ πάθους ἐκοινώνησεν ἀνεύθυνος ὤν ὁ λόγος, οὕτω δι᾽ ἑαυτόν τόν λόγον τῆς οἰκείας εὐπαθείας ἀναξίῳ τυγχάνοντι μεταδοῦναι, καί τήν ἐκ περιστάσεως νέκρωσιν εἰς ἑκούσιον αὐτοῦ ἀρετήν διά τήν εὐγνωμοσύνην λογίσασθαι, ἡνίκα τῆς προνοίας τά σοφά τοῦ λόγου προκαλύμματα πέρας λαβόντα τῆς αὐτοῦ (1373) βασιλείας τό φῶς φανῇ τό ἀπρόσιτον. Οὕτω περιίσταται αὐτῷ πάσχοντι δι᾽ ἁμαρτίας ἡ ἐκ περιστάσεως τῶν μελῶν τοῦ σώματος νέκρωσις, δι᾽ εὐγνώμονος εὐχαριστίας εἰς αὐθαίρετον ἀρετήν μεταπίπτουσα, καθ᾽ ἥν τῶν καθ᾽ ἁμαρτίαν πολλῶν ἀπολυόμενος ὀφλημάτων μετά τοῦ λόγου δικαίως εἴσεισιν εἰς τήν χώραν τῆς γνώσεως, φημί δέ τόν παράδεισον, ἐν ᾗ γενόμενος γνώσεται τήν αἰτίαν τῆς ἐν ᾗ καθείργμεθα νῦν καταδίκης και κακοπαθείας. Ληστής δέ ἀγνώμων ἐστίν ὁ δι᾽ ἁμαρτίας πάσχων κακῶς ὡς ὑπεύθυνος, καί μή γνωρίζων διά φιλαπεχθήμονα γνώμην τόν ἀνευθύνως ὑπέρ φιλανθρωπίας αὐτῷ συμπάσχοντα τῆς δικαιοσύνης λόγον, ἀλλά βλασφήμως ἀποπεμπόμενος τόν ἐπ᾽ αὐτῷ κατά πρόνοιαν δικαίως ὁρισθέντα τῆς κρίσεως λόγον, ὅς ἐπειδή μή ἐγνώρισε τόν ἀτίμως αὐτῷ κατά βούλησιν συγκαταδικασθέντα λόγον καί ᾐτήσατο χάριν ὧν ἐπλημμέλησεν, ἀφίεται τῆς βασιλείας ἀλλότριος, οὐδεμίαν τοῦ ποτε ταύτης τεύξεσθαι παρά τοῦ λόγου λαβών ἐπάγγελον.

***Ἄλλος εἰς τό αὐτό θεώρημα.***

Καί πάλιν ληστής ἐστιν εὐγνώμων ὁ κἄν ἐπ᾽ αὐτό τό πέρας τῆς παρούσης αὐτῷ γενόμενος ζωῆς ἐλθών εἰς συναίσθησιν τῶν πλημμεληθέντων αὐτῷ, καί γνωρίζων μετά συνέσεως τόν ἐπ᾽ αὐτῷ δικαίως ὡρισμένον ἐνταῦθα τῆς θείας κρίσεως συντελούμενον αὐτῷ λόγον, καί αἰτῶν συγγνώμην εἰλικρινῶς ἐκ βάθους ψυχῆς ὧν ἥμαρτεν. Ἀγνώμων δέ ληστής ἐστιν ὁ κατ᾽ αὐτό τό πέρας τῆς παρούσης αὐτῷ ζωῆς γενόμενος καί τόν κατά ψῆφον δικαίαν τοῦ Θεοῦ τεθέντα σοφῶς τοῦ μερισμοῦ τῆς ψυχῆς ἀπό τοῦ σώματος νόμον τε καί ὅρον ὡς μή καλῶς δοθέντα διά φιλοζωΐαν μεμφόμενος.

*Ἄλλο εἰς τό αὐτό θεώρημα.*

Καί πάλιν ἐπειδήπερ ἕκαστος ἡμῶν διπλοῦς ἐστι τήν φύσιν, ἐκ ψυχῆς καί σώματος συνεστώς, λῃστής ἐστιν ὁ καθ᾽ ἑκάτερον τῶν ἐξ ὧν συνέστηκε κατά τήν θατέρου φύσιν νόμον ὑπέρ ἀρετῆς τῷ λόγῳ μυστικῶς συσταυρούμενος, καί τόν μέν τῆς σαρκός νόμον, ὥσπερ ἀγνώμονα λῃστήν τῷ λόγῳ τῆς ἀρετῆς ἀντιπίπτοντα, τόν δέ τοῦ πνεύματος νόμον ὥσπερ λῃστήν ἔχων εὐγνώμονα, καί τόν Σωτῆρα Λόγον διά τῶν κατά τήν πρακτικήν τρόπων, κἄν ἐπίπονοι ὦσιν, ἀποδεχόμενον, ᾧ συνεισέρχεται γεγηθώς εἰς τόν τῆς εὐωχίας τόπον τόν πάσης κατάκορον γνώσεως, τοῦ κατά σάρκα φρονήματος παντελῶς ἀπηλλαγμένος.

*Ἄλλο εἰς τό αὐτό θεώρημα.*

Καί αὖθις λῃστής ἐστιν εὐγνώμων ὁ καταξιωθείς συσταυρωθῆναι Χριστῷ διά παντελοῦς καί ὁλοκλήρου τῶν παθῶν νεκρώσεως, καί δεξιῶς αὐτῷ συσταυρούμενος, τουτέστι μετά λόγου καί γνώσεως πᾶσαν διεξιών ἀρετήν, καί ἀπρόσκοπον πᾶσιν ((1376) ἀνθρώποις τόν βίον διατηρῶν, καί μηδεμίαν ἔχων τό παράπαν τῆς τοῦ λόγου πραότητος ἀπᾴδουσαν δι᾽ αὐστηρότητα κίνησιν. Ἀγνώμων δέ λῃστής ἐστιν ὁ δόξης ἕνεκεν ἤ λημμάτων ἁδροτέρων τοῖς φαινομένοις τρόποις ὑπούλως τόν κατ᾽ ἀρετήν βίον ὑποκρινόμενος, καί ἕνα καί μόνον πρός τούς ἔξω τόν κόλακα λόγον ἀντί πάσης ἀρετῆς τε καί γνώσεως μετερχόμενος, πρός δέ τούς συνήθεις σκολιός τις τήν γνώμην παντάπασιν ὤν καί δυσάντητος, ὅν δεῖ μάλα γε τήν ὁδόν τοῦ Θεοῦ βλασφημοῦντα μετά συνέσεως ἐπιστομίζειν. Ἴσως γάρ παύσεται τοῦ διαβάλλειν διά τῆς οἰκείας ἀναστροφῆς τόν λόγον τῇ παραινέσει τοῦ ἐπιπλήσσοντος, ὥσπερ ἐπί τοῦ σταυροῦ πέπονθεν ὁ τήν βλασφημίαν ἀδεῶς προσενέγκας λῃστής. Τό γάρ μή ἀντιφθέγξασθαι τῷ ἐπιπλήξαντι σημεῖον ἔχει τῆς τοῦ ῥηθέντος ἀποδοχῆς λόγου τήν σιωπήν. Καθ᾽ ἥντινα γοῦν τῶν εἰρημένων θεωρίαν τῷ Χριστῷ συσταυρούμεθα σπουδάσωμεν, ὥς ἐσμεν ἐνταῦθα, τόν συσταυρούμενον ἡμῖν ἱλεώσασθαι λόγον, καί τήν ἀψευδῆ δέξασθαι κατά συνείδησιν καθαρθεῖσαν τῶν πλησσόντων αὐτήν νοημάτων τῆς ἀναπαύσεως ἐπαγγελίαν, εἴπερ ἡ σήμερον τήν ἐνεστῶσαν τούτου τοῦ αἰῶνος ἡμέραν ἐνδείκνυται (σήμερον γάρ, φησίν, ἔσῃ μετ᾽ ἐμοῦ ἐν τῷ παραδείσῳ), ἡ δέ αὔριον τήν τοῦ μέλλοντος, καθ᾽ ἥν οὐδεμίαν μέν

ἄφεσιν ἁμαρτημάτων ἐκδέχεσθαι χρή, μόνην δέ τῆς ἑκάστῳ πρεπούσης κατ᾽ ἀξίαν ἀμοιβῆς τῶν βεβιωμένων ἀντίδοσιν.

***Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό· " Κἄν Ἰωσήφ ᾖς ὁ ἀπό Ἀριμαθαίας, αἴτησαι τό σῶμα παρά τοῦ σταυροῦντος. "***

Τό σῶμα τοῦ Χριστοῦ ἐστιν ἡ ψυχή, ἤ αἱ ταύτης δυνάμεις, ἤ αἱ αἰσθήσεις, ἤ τό σῶμα τοῦ καθ᾽ ἕκαστον, ἤ τά μέλη τοῦ σώματος, ἤ αἱ ἐντολαί, ἤ αἱ ἀρεταί, ἤ οἱ λόγοι τῶν γεγονότων, ἤ ἁπλῶς εἰπεῖν ἀληθέστερον, ἰδίᾳ τε καί κοινῇ, ταῦτα πάντα καί τούτων ἕκαστόν ἐστι τό σῶμα τοῦ Χριστοῦ. Σταυροῖ δέ τοῦτο, ἤγουν ταῦτα πάντα ὁ διάβολος, ἐν τῷ παραδεξαμένῳ τούτων τήν σταύρωσιν, οὐκ ἐῶν αὐτά, κατά φύσιν ἐνεργεῖσθαι. Ἰωσήφ δέ ἑρμηνεύεται κατά Ἑβραίων φωνήν, Πρόσθεσις· Ἀριμαθία δέ, Ἆρον ἐκεῖνο. Πῶς οὖν; Ἄνθρωπος προσθήκας πίστεως ἔχων καί τοῖς κατ᾽ ἀρετήν ηὐξημένος τρόποις, καί πᾶσαν ἀπάτην τῶν ὑλικῶν ἑαυτοῦ περιελόμενος, οὗτος Ἰωσήφ ἐστι πνευματικός, δυνάμενος τό σῶμα λαβεῖν τοῦ Χριστοῦ καί καλῶς ἐνταφιάσαι καί ἐνθεῖναι τῇ ἐκ πίστεως λελατομημένῃ καρδίᾳ, τό τε σῶμα τό ἑαυτοῦ ὡς Χριστοῦ σῶμα διά τήν χάριν, καί τά σώματος μέλη ὅπλα δικαιοσύνης τῷ Θεῷ εἰς ἁγιασμόν ποιούμενος, τάς δέ αἰσθήσεις τοῦ σώματος ὑπουργούς εἶναι τῇ ψυχῇ κατα τόν ἔμφυτον λόγον πρός τήν ἐν πνεύματι φυσικήν θεωρίαν παρασκευάζων, αὐτήν δέ τήν ψυχήν ἰσονομεῖν ταῖς δυνάμεσι (1377) ποιῶν πρός τήν τῶν ἀρετῶν ἐκπλήρωσιν, καί ἔτι τήν ψυχήν τε καί τάς αὐτῆς δυνάμεις δουλώσας ταῖς ἐντολαῖς τοῦ Θεοῦ, αὐτάς δέ τάς ἐντολάς φυσικάς τῆς ψυχῆς ἀποδεικνύς ἐνεργείας, καί διά τῆς κατ᾽ ἀρετήν ἀμεταθέτου καί παγίας ἕξεως εἰς κατανόησιν αὖ καί ὑποδοχήν τῶν ἐγκεκρυμμένων ταῖς ἐντολαῖς θειοτέρων λόγων διεγειρόμενος, καί ὥσπερ σινδόνι τινί τοῖς περί τόν αἰῶνα τοῦτον πνευματικοῖς λόγοις περιβάλλειν τόν πρῶτον, ἐξ οὗ καί δι᾽ οὗ καί εἰς ὅν τά πάντα, Λόγον. Ὁ ταύτην οὕτω τηρήσας τήν εὔκοσμον εὐταξίαν, Ἰωσήφ ἐστι, τό μυστικόν σῶμα τοῦ Χριστοῦ μυστικῶς ἐνταφιάζων.

***Ἄλλο εἰς τό αὐτό θεώρημα.***

Καί ἔτι συντόμως εἰπεῖν, ὁ πράξει καί θεωρίᾳ τούς περί τοῦ σταυροῦ τοῖς ἀκούουσι θαυμαστῶς λόγους ἀποδιδούς, οὗτος Ἰωσήφ μέν γέγονεν ἄλλος διά τῆς προσθήκης τῶν κατά τήν θεωρίαν ἀγαθῶν εἰς γνῶσιν ἐπαυξήσας πνευματικήν, Ἀριμαθαῖος δέ διά τῆς γνησίας

τῶν ἀρετῶν οἰκειότητος κατά τήν πρᾶξιν πᾶσαν τῶν ὑλικῶν ἑαυτοῦ περιτέμνων τήν προσπάθειαν.

*Ἄλλο θεώρημα εἰς τό αὐτό.*

Σταυροῦσι δέ πάλιν τόν Χριστόν οἱ βλασφήμως τούς περί τῆς ἐνσωματώσεως τοῦ Θεοῦ διδάσκοντες λόγους, ἐνταφιάζει δέ πάλιν ὁ τούς περί τῆς σαρκώσεως τοῦ Θεοῦ λόγους μετά παῤῥησίας πᾶσιν εὐσεβῶς ἀνακηρύττων.

***Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό· " Κἄν Νικόδημος ᾖς ὁ νυκτερινός θεοσεβής, μύροις αὐτόν ἐνταφίασον. "***

Νικόδημός ἐστιν, νυκτερινός θεοσεβής καί μύροις τό σῶμα τοῦ Χριστοῦ ἐνταφιάζων, ὁ κατά διάνοιαν μέν ἐῤῥώμενος εἰς τήν ἐπίγνωσιν τοῦ Χριστοῦ, τήν δέ τῆς πράξεως τῶν ἐντολῶν φιλοτιμίαν ὡς δειλός διά τόν φόβον τῶν Ἰουδαίων (Λέγω δέ τῶν παθῶν ἤ τῶν δαιμόνων τάς προσβολάς) φειδοῖ τῆς σαρκός παραιτούμενος, ᾧ μέγα πρός ἀποδοχήν κἄν τό καλά φρονεῖν περί Χριστοῦ καί μή βλασφήμους προίεσθαι λόγους.

***Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό· " Κἄν Μαρία τις ᾖς, κἄν ἡ ἄλλη Μαρία, κἄν Σαλώμη, κἄν Ἰωάννα, δάκρυσον ὀρθρία. Ἴδε πρώτη τόν λίθον ἠρμένον, τυχόν δέ καί τούς ἀγγέλους, καί Ἰησοῦν αὐτόν. "***

Μαρία ἡ πρώτη, ἐξ ἧς ἐκβέβληκεν ὁ λόγος ἑπτά δαιμόνια, ἐστί πᾶσα πρακτική ψυχή, διά τοῦ λόγου τῶν εὐαγγελικῶν ἐντολῶν τῆς περί τόν αἰῶνα τοῦτον καθαρθεῖσα πτοήσεως. Ἑβδοματικός γάρ οὗτος ὁ αἰών, τῇ εἰς ἑαυτόν τοῦ χρόνου περιελίξει (1380) πληρούμενος, οὗτινος ἐλευθεροῖ τούς ἑαυτοῦ διασώτας ὁ Λόγος, πάντως αὐτούς ὑπεράνω τιθείς τῶν ὑπό χρόνον. Ἡ δέ ἄλλη Μαρία ἐστί πᾶσα ψυχή θεωρητική, διά γνώσεως ἀληθοῦς τήν πρός τόν λόγον κατά χάριν κτησαμένη συγγένειαν. Σαλώμη δέ ἐστιν, ἥτις ἑρμηνεύεται Εἰρήνη ἤ Πληρεστάτη, πᾶσα ψυχή διά μέν τῆς ἀποβολῆς τῶν παθῶν εἰρηνεύουσα, καί τῇ περιουσίᾳ τῶν πρακτικῶν ἀρετῶν τό φρόνημα τῆς σαρκός καθυποτάξασα τῷ νόμῳ τοῦ πνεύματος, διά δέ τῆς πληρώσεως τῶν κατά θεωρίαν πνευματικῶν νοημάτων τήν τῶν ὄντων γῶσιν κατά τό δυνατόν σοφῶς περιλαβοῦσα. Ἰωάννα δέ ἐστιν, ἥτις ἑρμηνεύεται περιστερά, τό πρᾶον ζῶον καί ἄχολον καί πολύγονον, πᾶσα ψυχή διά πραότητος τό ἐμπαθές ἀποθεμένη, καί τήν ἐν γνώσει

πολυγονίαν τοῦ πνεύματος διάπυρον ἔχουσα. Αὗται δέ δακρύουσιν ὄρθριαι, τουτέστι δάκρυα προχέουσι γνωστικά, ζητοῦσαι τόν πάσης ἀρετῆς τε καί γνώσεως ἀρχικώτατον Λόγον. Καί πρῶτον ὁρῶσι τόν λίθον ἐκ τῆς θύρας ἠρμένον τοῦ μνημείου, τουτέστι τήν ἐπικειμένην τῇ καρδίᾳ τῆς ἀσαφείας τοῦ Λόγου πώρωσιν· εἶτα τούς ἀγγέλους, τουτέστι τούς ἐν πνεύματι τῶν ὄντων φυσικούς λόγους, σιωπῇ κηρύττοντας τόν παναίτιον Λόγον.

***Ἄλλο θεώρημα εἰς τούς ἀγγέλους.***

Ἤ τούς λόγους τῆς ἁγίας Γραφῆς, τήν περί τοῦ Χριστοῦ ὡς Θεοῦ καί ἀνθρώπου, ἤγουν τήν περί θεολογίας καί οἰκονομίας, τρανοτέραν αὐταῖς παρεχομένους ἔννοιαν. Ἕνα γάρ φησίν ὁ λόγος αὐτάς ἑωρακέναι πρός τῇ κεφαλῇ, καί ἕνα πρός τοῖς ποσί. Πρός τῇ κεφαλῇ γάρ εἶναι τόν τῆς θεολογίας λόγον διά τήν θεότητα τοῦ Χριστοῦ, πρός δέ τοῖς ποσί τόν τῆς οἰκονομίας διά τήν σάρκωσιν, καί Χριστοῦ μέν κεφαλήν τήν θεότητα αὐτοῦ, πόδας δέ τήν ἀνθρωπότητα αὐτοῦ λέγων τις τοῦ εἰκότος οὐχ ἁμαρτήσεται.

***Ἄλλο θεώρημα εἰς τούς αὐτούς.***

Ἤ τυχόν τάς κατά συνείδησιν περί τόν λόγον τῆς εὐσεβείας κινήσεις εἶναι τούς ἀγγέλους, διά τήν παντελῆ τῆς κακίας τε καί ἀγνωσίας ἀποβολήν· κηρύττουσας αὐταῖς νοητῶς τοῦ ποτέ διά κακίαν ἐν αὐταῖς νεκρωθέντος Λόγου τήν ἀνάστασιν. Καί τέλος αὐτόν ὁρῶσι τόν Λόγον διαῤῥήδην αὐταῖς ἐμφανιζόμενον, συμβόλων δίχα καί τύπων, καί πληροῦντα χαρᾶς νοητῆς τάς νοεράς αὐτῶν χωρήσεις.

***Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό· " Γενοῦ Πέτρος ἤ Ἰωάννης· ἐπί τόν τάφον ἐπείχθητι, ἀντιτρέχων, συντρέχων, τήν καλήν ἅμιλλαν ἁμιλλώμενος."***

Πέτρος μέν ἐστι πᾶς ἄνθρωπος τό στερέωμα τῆς εἰς Χριστόν πίστεως κατά τήν ἀναστροφήν τοῦ βίου κτησάμενος· Ἰωάννης δέ ὁ διά πραότητα πολλήν (1381) καί τήν ἐκ ταύτης ἀκραιφνῆ καθαρότητα τῆς καρδίας ἀγαπώμενος τῷ Λόγῳ, καί διά τοῦτο τούς τῆς σοφίας καί τῆς γνώσεως θησαυρούς πιστευόμενος, καί τῇ ἐπί τό στῆθος ἀναπτώσει ἐξ αὐτῆς τοῦ Λόγου τῆς κρυφίας θεότητος τήν τῆς θεολογίας κομισάμενος δύναμιν. Ἀντιτρέχουσι δέ ἀλλήλοις οὗτοι, ὁ μέν κατά τήν ἐνάρετον πρᾶξιν τήν τοῦ ἑτέρου θεωρίαν νικῆσαι φιλονεικῶν, ὁ δέ κατά τήν γνωστικήν θεωρίαν τήν πρᾶξιν τοῦ ἄλλου παραδραμεῖν

ἐπειγόμενος. Συντρέχουσι δέ κατά τήν πρόθεσιν ἀλλήλοις, ἑκάτερος κατά τόν ἴσον περί τό οἰκεῖον ἀγαθόν εὐοδούμενος.

*Ἄλλο θεώρημα εἰς τούς αὐτούς.*

Πέτρος δέ ἐστι πάλιν, καί Ἰωάννης, ἕκαστος ἄνθρωπος Θεῷ πλησιάζειν ἠξιωμένος, καί τό μέν πρακτικόν τῆς ψυχῆς οἷόν τινα Πέτρον, τό δέ θεωρητικόν οἷόν τινα Ἰωάννην, ἀλλήλοις κατά τόν λόγον ἔχων συντρέχοντα, δίχα τῆς θατέρου πρός τό ἕτερον ὑπερβολήν καί ἐλλείψεως· καί πάλιν ἀλλήλοις κατά τήν πρόθεσιν ἀντιστρέχοντα τῷ περί ἑκάτερον ἄκρῳ παραδραμεῖσθαι θάτερον ὑπό θατέρου νομίζεται.

***Ἐκ τοῦ αὐτοῦ, εἰς τό· " Κἄν ὡς Θωμᾶς ἀπολειφθῇς τῶν μαθητῶν οἷς Χριστός ἐμφανίζεται, ὅταν ἴδῃς, μή ἀπιστήσῃς. Κἄν ἀπιστήσῃς, τοῖς λέγουσι πίστευσον. Εἰ δέ μή τούτοις, τοῖς τύποις τῶν ἥλων πιστώθητι. Ϊ***

Θωμᾶς ἑρμηνεύεται δίδυμος, ὅ ἐστι δισταγμός ἤ διστάζων τοῖς λογισμοῖς, καί διά τοῦτο χωρίς τῆς τῶν τύπων τῶν ἥλων ψηλαφήσεως μηδέ πιστεύων γεγονέναι τοῦ Λόγου τήν ἀνάστασιν. Θωμᾶς οὖν ἐστι πᾶς διστακτικός ἄνθρωπος τήν τοῦ ἐν αὐτῷ Λόγου τῆς ἀρετῆς καί τῆς γνώσεως γίνεσθαι δυσκόλως πιστεύων ἀνάστασιν, ὅντινα μόνον αἱ μνῆμαι τῶν προγεγονότων ἁμαρτημάτων, ἀπαθῶς τυπούμεναι κατά διάνοιαν, πείθουσι τοῦ ἐν αὐτῷ θείου Λόγου δέξασθαι τήν ἀνάστασιν, καί ὁμολογῆσαι αὐτόν Κύριον καί Θεόν· Κύριον μέν ὡς τῆς κατά πρᾶξιν τελειότητος νομοθέτην, Θεόν δέ ὡς τῆς κατά τήν θεωρίαν παντελοῦς μυσταγωγίας ὑφηγητήν. Ἀπαθής δέ μνήμη ἐστί τῶν προγεγενημένων τύπωσις ἡ χωρίς ἡδονῆς καί λύπης περί πρᾶξιν καί Λόγον ἐγγινομένη τῇ ψυχῇ περί τῶν ἰδίων ἔργων ἤ νοημάτων διάγνωσις, τύπους, ἀλλ᾽ οὐ τρήσεις ἔχουσα τῶν τραυμάτων διά τήν ἐγγενομένην ἀπάθειαν συνουλωθέντων.

*Ἄλλο θεώρημα εἰς τό αὐτό.*

Ἦ πάλιν ἧλοι τυγχάνουσιν οἱ κατά τήν πρακτικήν φιλοσοφίαν τρόποι τῶν ἀρετῶν, προσηλωμένην μετά πόνου τῷ θείῳ φόβῳ κρατοῦντες τῆς ψυχῆς τήν (1384) διάθεσιν, οὕς οἱ ἀπαθεῖς καί ἁπλοῖ καί ἄῤῥητοι τῆς γνώσεως διαδεξάμενοι λόγοι διαπρύσιον βρῶσι τήν κατά τήν θέωσιν τῆς ψυχῆς γενομένην αὐτῇ τοῦ θείου Λόγου

ἀνάστασιν, πιστῶς μαρτυροῦσαν προδεικνύντες τῆς θεοειδοῦς ἕξεως τήν ἀπάθειαν· ἥν ὁ μή παθών οὐδ᾽ ἄλλῳ ποτέ ἀφηγουμένῳ περί αὐτῆς πιστεύσειεν, ὥσπερ οὐδέ Θωμᾶς ταύτην παθοῦσι τήν ἀνάστασιν τοῖς ἀποστόλοις πρό τῆς διά τοῦ παθεῖν πείρας ἐπίστευσε λέγουσιν.

***Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό· " Ἄν εἰς ᾅδου κατίῃ, συγκάτελθε. Γνῶθι καί τά ἐκεῖ τοῦ Θεοῦ μυστήρια τίς ὁ λόγος τῆς διπλῆς καταβάσεως."***

Ὁ πνευματικός ἄνθρωπος πανταχοῦ γινώσκων ἀχράντως ὑπάρχειν τόν τοῦ Θεοῦ Λόγον ἕπεται διά θεωρίας αὐτῷ, τῆς ἐπί πάντα προνοίας μετά συνέσεως τήν ἐπιστήμην δρεπόμενος. Οὕτω καί εἰς ᾅδου κατερχομένῳ τῷ λόγῳ συγκάτεισιν, οὐκ ἐπί κακῷ δῆλον, ἀλλ᾽ ἐπί τῷ ἐρευνῆσαι καί μαθεῖν τό μυστήριον τῆς εἰς τὸν ᾅδην τοῦ Θεοῦ καταβάσεως, καί τῶν ἐκεῖσε γινομένων τε καί ἐπιτελουμέων τόν ὑπερφυᾶ διδαχθῆναι λόγον.

***Ἄλλο θεώρημα εἰς τό αὐτό.***

Ἤ πάλιν, ἐπειδή ᾅδης ἐστί πᾶσα ἁμαρτία, ζοφεράν καί ἀειδῆ καί διεφθαρμένην τήν ὑπ᾽ αὐτῆς κρατουμένην ἀπεργαζομένη ψυχήν, ὁ περί παθῶν διαλεγόμενος εἰς ᾅδην κατιόντι τῷ λόγῳ τῆς διδασκαλίας συγκάτεισι, τήν ὑφ᾽ ἑκάστης κακίας νεκρωθεῖσαν ἀρετήν διά τοῦ Λόγου ζωοποιῶν καί εἰς ἀνάστασιν ἄγων, καί τά δεσμά τῆς ὑλικῆς προσπαθείας τῶν ψυχῶν, ἀνδρικῶς τῷ λόγῳ συνδιαῤῥήσσων. Λόγος δέ τῆς διπλῆς καταβάσεως κατά τόν πρόχειρον νοῦν ἐστι, πρός μέν τήν πρώτην ἐπιβολήν, τό καί μετά σωμάτων ψυχάς σώζειν διά πίστεως καί ἀγωγῆς βίου καθαρᾶς, ἐπί τῆς γῆς, καί χωρίς σωμάτων εἰς τόν ᾅδην κατελθόντα τόν Λόγον τάς ἐκεῖσε τῶν προτετελευτηκότων ψυχάς διά μόνης περιποιεῖσθαι τῆς πίστεως δύνασθαι· πρός δέ τήν δευτέραν ἐπιβολήν, τό καί τήν ἕξιν τῆς κακίας καί τήν ἐνέργειαν ὑπό τοῦ Λόγου δέχεσθαι τήν πρός ἀρετήν καί γνῶσιν ἐπάνοδον.

***Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό· " Κἄν εἰς οὐρανούς ἀνίῃ, συνάνελθε. Γενοῦ μετά τῶν παραπεμπόντων ἀγγέλων ἤ τῶν δεχομένων· ἀρθῆναι ταῖς πύλαις διακέλευσαι. "***

Ὁ διά πολλήν περιουσίαν γνώσεως καί τήν τοῦ πνεύματος τοῦ ἁγίου πλουσίαν μετοχήν τόν περί προνοίας ἀρκούντως κατά τό

δυνατόν περαιώσας λόγον, καί τήν κατ᾿ αὐτόν ἐπιστήμην περιλαβών εἰς οὐρανούς ἀπό γῆς ἀνιόντι τῷ Λόγῳ συνάνεισι, τήν πάντων τῶν προνοουμένων φύσιν, ὁρατῶν τε καί ἀοράτων, μετά τῶν κατ᾿ αὐτήν λόγων γνωστικῶς (1385) διαπεράσας, καί εἰς τήν οὐδ᾿ ὅλως τήν οἱανοῦν φοράν ἤ κίνησιν ἔχουσαν, πρός ἥν ἠπείγετο μάλιστα, διά παντός λόγου τε καί τρόπου λῆξιν ἀναληφθείς, ἀπό τῶν παραπεμπόντων ὥσπερ ἀγγέλων τινῶν τῶν ἐν τοῖς οὖσι τῆς προνοίας λόγων ἐπί τήν τῶν ὑποδεχομένων ἀῤῥήτων τῆς θεολογίας λόγων τε καί μυστηρίων χώραν ἀναγόμενος, καί ταῖς κατά μέρος ἀναβάσεσιν ὑψηλοτέρας ποιῶν πρός ὑποδοχήν τοῦ θεαρχικωτάτου Λόγου, τάς νοερᾶς τῆς ψυχῆς πύλας.

***Ἀλλο θεώρημα εἰς τό αὐτό.***

Καί ἑτέρως δέ πάλιν ἀνιόντι τῷ λόγῳ συνάνεισιν ὁ ἀπό τῶν κατ᾿ ἀρετήν τρόπων τῆς πρακτικῆς φιλοσοφίας ὥσπερ ἀπό τινος γῆς εἴς τινας οὐρανούς τούς κατά θεωρίαν πνευματικούς τῆς γνώσεως τῷ ἀνατατικῶς ἕλκοντι θείῳ συνυψούμενος Λόγῳ.

***Ἄλλο θεώρημα εἰς τό αὐτό.***

Καί μυστικώτερον ἔτι περί τούτων εἰπεῖν, ὁ δυνάμενος ἀπό τῆς κατά τήν οἰκονομίαν γνώσεως, ἀφ᾿ ἧς ὁ τῆς σαρκός τοῦ Λόγου κόσμος γέγονε παρά τῷ Πατρί, εἰς τήν τῆς πρό τοῦ τόν κόσμον τῆς τοῦ Λόγου σαρκώσεως εἶναι παρά τῷ Πατρί δόξης ἔννοιαν ἀναχθῆναι, κατά ἀλήθειαν οὗτος συνανῆλθεν εἰς οὐρανούς τῷ δι᾿ αὐτόν ἐπί γῆς κατελθόντι Θεῷ καί Λόγῳ, πληρώσας τῆς ἀνθρώποις χωρητῆς κατά τόν αἰῶνα τοῦτον γνώσεως τό μέτρον, καί γενόμενος τοσοῦτον Θεός ὅσον ἐκεῖνος ἄνθρωπος, τῷ ὑψωθῆναι τοσοῦτον ταῖς θείαις ἀναβάσεσι διά τόν Θεόν, ὅσον διά τόν ἄνθρωπον ὁ Θεός πρός τό ἔσχατον τῆς ἡμετέρας φύσεως ἑαυτόν ἀτρέπτως κενώσας κατελήλυθεν.

***Τοῦ αὐτοῦ, ἐκ τοῦ εἰς τήν Καινήν Κυριακήν λόγου, εἰς τό· " Ἐγκαινίζεται δέ ἡ σκηνή τοῦ μαρτυρίου, καί λίαν πολυτελῶς, ἥν Θεός παρέδειξε, καί Βεσελεήλ ἐτελείωσε καί Μωϋσῆς ἐπήξατο. "***

Πολύτροπον ὄντα τόν κατα τήν σκηνήν ἀναγωγικόν τῆς θεωρίας λόγον ἐπί τοῦ παρόντος ὡς ἔλαβεν αὐτόν ὁ διδάσκαλος καί ἡμεῖν θεωρήσωμεν αὐτόν. Σκηνή τοιγαροῦν τοῦ μαρτυρίου ἡ μυστηριώδης ἐστίν οἰκονομία τῆς τοῦ Θεοῦ Λόγου σαρκώσεως, ἥν ὁ Θεός καί Πατήρ

εὐδοκήσας παρέδειξε, καί τό Πνεῦμα τό ἅγιον διά τοῦ σοφοῦ Βεσελεήλ προτυπούμενον συνεργῆσαν ἐτελείωσε, καί ὁ νοητός Μωϋσῆς ὁ τοῦ Θεοῦ καί Πατρός μονογενής Υἱός αὐτούργησε, τήν ἀνθρωπίνην φύσιν ἐν ἑαυτῷ πηξάμενος ἑνώσει τῇ καθ᾿ ὑπόστασιν.

***Ἄλλο εἰς τό αὐτό θεώρημα.***

Πλήν ὅτι καί τῆς ὅλης κτίσεως νοητῆς τε καί αἰσθητῆς ἐστιν εἰκών ἡ σκηνή, ἥν ὁ Θεός καί (1388) Πατήρ οἷα νοῦς ἐνενόησε, καί ὁ Υἱός οἷα λόγος ἐδημιούργησε, καί τό Πνεῦμα τό ἅγιον ἐτελείωσε. Καί αὖθις τῆς αἰσθητῆς μόνης φύσεως, καί μόνου τοῦ ἀνθρώπου τοῦ ἐκ ψυχῆς ὄντος καί σώματος, καί μόνης αὖ τῆς ψυχῆς καθ᾿ ἑαυτήν τῷ λόγῳ θεωρουμένης, ἐστίν εἰκών ἡ σκηνή, κατά τόν ἑκάστῳ πρέποντα δηλαδή θεωρουμένη λόγον.

***Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό· " Ἐγκαινίζεται δέ ἡ βασιλεία Δαβίδ, καί οὐχ ἅπαξ, ἀλλή χρισμένου τό πρότερον, καί ἀναγορευομένου τό δεύτερον."***

Ὁμοίως καί τόν μέγαν Δαβίδ τόν προφήτην καί βασιλέα, πολύσεμνον ἔχοντα τόν ἐπ᾿ αὐτῷ τῆς ἀναγωγῆς λόγον, καθ᾿ ὅν ἐπί τοῦ παρόντος αὐτόν ὁ διδάσκαλος ἐθεώρησε, καί ἡμεῖς ἐκδεξώμεθα. Δαβίδ τοίνυν ἐστί νοητός ὁ ἀληθινός βασιλεύς τοῦ Ἰσραήλ καί ὁρῶντος Θεόν Ἰησοῦς Χριστός, κατά μέν τήν πρώτην αὐτοῦ παρουσίαν, τῇ ἐπινοίᾳ τῆς ἀνθρωπότητος χριόμενος, ὥσπερ ἀλλαχοῦ φησιν ὁ διδάσκαλος, χρίσας τήν ἀνθρωπότητα τῇ θεότητι, καί ποιήσας ὅπερ τό χρίσαν· κατά δέ τήν δευτέραν αὐτοῦ καί ἔνδοξον ἐπιφάνειαν, ὡς Θεός καί Κύριος καί πάσης κτίσεως βασιλεύς, καί ὑπάρχων καί ἀναγορευόμενος.

***Εἰς τόν παρόντα λόγον τινές ἀποροῦσι φάσκοντες, Τί δήποτε φήσας ὁ διδάσκαλος ὑπερβαίνειν τήν ἀναστάσιμον ἡμέραν πάσας τάς ἐπί γῆς ἑορτάς, οὐ τάς ἀνθρωπικάς μόνον καί χαμαί ἐρχομένας, ἀλλ᾿ ἤδη καί τάς αὐτοῦ τοῦ Χριστοῦ και ἐπ᾿ αὐτῷ τελουμένας, ὥσπερ ἐπιλαθόμενος τῆς ἰδίας ἀποφάσεως, τήν τῶν ἐγκαινίων ἡμέραν ταύτης ὑπερτίθησιν εἰπών, " Ὑψηλῶς ὑψηλοτέρα, καί θαυμασίας θαυμασιοτέρα," ὡς ἐκ τούτου νομισθῆναι ἑαυτῷ περιπίπτειν τόν διδάσκαλον.***

Πρός ταῦτα λεκτέον, ὡς αὐτός ὁ διδάσκαλος ἐν τῷ αὐτῷ λόγῳ μετά τινά φησιν· " Οὐ βούλοταί σε ὁ λόγος ποτέ ἐν τῷ αὐτῷ μένειν, ἀλλ᾽ ἀεί κινητόν εἶναι, εὐκίνητον, πάντως νεόκτιστον." Ὥσπερ οὖν τόν ἐγκαινιζόμενον ὑψηλότερον ἑαυτοῦ γίνεσθαι καί θεοειδέστερον ταῖς εἰς ἀρετήν προκοπαῖς φαιδρυνόμενον γινώσκομεν, οὕτω δή καί πᾶσαν δι᾽ ἡμᾶς ἐπινοηθεῖσαν ἑορτῆς ἡμέραν ἐν ἡμῖν καί δι᾽ ἡμῶν ἑαυτῆς ὑψηλοτέραν γίνεσθαι πιστεύειν ἡμᾶς χρή, τοῦ δι᾽ αὐτῆς σημαινομένου μυστηρίου τήν οἰκείαν δύναμιν ἐν ἡμῖν πρός τελείωσιν ἄγοντος. Εἰκότως οὖν ὑψηλῆς ὑψηλοτέραν τήν καινήν ὁ διδάσκαλος ἔφη Κυριακήν, ὡς ἀεί τῆς αὐτῆς ἡμῖν συνυψουμένης, καί ἑαυτήν ὑπερβαινούσης· οἷα τῆς ἀναστάσεως, λέγω δέ τῆς πρώτης Κυριακῆς, κρυφίως διά τοῦ κατ᾽ αὐτήν μυστηρίου πάσης προσύλου (1389) μόνον φαντασίας παντάπασι καθαρεύουσαν ζωήν δωρουμένης τοῖς οὕτω τό κατ᾽ αὐτήν πνευματικῶς ἐπιτελοῦσι μυστήριον, τῆς δέ νέας Κυριακῆς πρός τούτοις καί πάσης αὐτούς ἐν μετουσίᾳ ποιούσης τῆς ὧν ἡ πρό αὐτῆς ἀπήρξατο θείων ἀγαθῶν ἀπολαύσεως.

***Ἄλλο θεώρημα εἰς τό αὐτό.***

Εἰ δέ τῷ πιστόν εἶναι δοκεῖ τό λεγόμενον, φασί τήν μέν πρώτην Κυριακήν τύπον εἶναι τῆς κατά τήν προαίρεσιν εἰς ἀρετήν ἀναστάσεως, τήν δέ δευτέραν τῆς κατά προαίρεσιν ἕξεως εἰς γνῶσιν τελειότητος.

***Ἄλλο θεώρημα εἰς τό αὐτό.***

Καί αὖθις τήν μέν πρώτην Κυριακήν τῆς μελλούσης φυσικῆς ἀναστάσεως καί ἀφθαρσίας εἶναι σύμβολον, τήν δέ δευτέραν τῆς κατά χάριν μελλούσης θεώσεως φέρειν εἰκόνα. Εἰ τοίνυν τῆς μέν καθαρευούσης κακῶν ἕξεως ἡ τῶν ἀγαθῶν ἀπόλαυσίς ἐστι τιμιωτέρα, τῆς δέ κατ᾽ ἀρετήν ὑγιοῦς προαιρέσεως ἕξις τῆς κατά τήν ἀληθῆ γνῶσιν τελειότητος, καί τῆς φυσικῆς ἀφθαρσίας ἡ ἐν χάριτι πρός τόν Θεόν κατά τήν θέωσιν μεταποίησις, ὧν ἡ μέν πρώτη Κυριακή φέρει τύπον, ἡ δέ δευτέρα τυγχάνει σύμβολον, εἰκότως ὑψηλῆς ὑψηλοτέραν ἀγόμενος πνεύματι, τήν καινήν ὁ διδάσκαλος ἔφη Κυριακήν.

***Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό· " Μισῶ καί τήν δι᾽ ἀέρος συνήθειαν. "***

Πρός γυναῖκας, καί μάλιστα τόν μονήρη βίον ἐπανῃρημένας, πολύν περί κατορθώσεως ἠθῶν ἀποτείνας λόγον δι᾽ ἐμφάσεως ὁ

διδάσκαλος ἠπίως, οἶμαι, παραινεῖ, μή δεῖν τάς ἀσκουμένας οἴκοθεν θυρίσι κατοπτεύειν τινά παντελῶς, καί μάλιστα τούς παριόντας, ὡς ἄν μή λάβοιεν κέντρα θανάτου διά τῆς ἀκαίρου θεωρίας.

***Τοῦ αὐτοῦ ἐκ τοῦ εἰς τήν ἁγίαν Πεντηκοστήν λόγου, εἰς τό· " Μιᾶς δεούσης ἡμέρας, ἥν ἐκ τοῦ μέλλοντος αἰῶνος προσειλήφαμεν, ὀγδόην τε οὖσαν τήν αὐτήν καί πρώτην, μᾶλλον δέ μίαν καί ἀκατάλυτον. Δεῖ γάρ ἐκεῖσε καταλῆξαι τόν ἐνταῦθα σαββατισμόν τῶν ψυχῶν. "***

Ὁ ἑπτά κατά τήν ἁγίαν Γραφήν, ὡς μέν ἀριθμός μόνον λαμβανόμενος, πολλήν ἔχει φυσικῶς τήν ἐπ᾽ αὐτῷ κειμένην φιλοπονούντων τά θεῖα μυστικήν θεωρίαν. Σημαίνει γάρ καί χρόνον, καί αἰῶνα, καί αἰῶνας, κίνησίν τε καί περιοχήν καί μέτρον, καί ὅρον καί πρόνοιαν, καί ἕτερα πολλά, κατά τήν ἑκάστου λόγον καλῶς θεωρούμενος. Ὡς ἀνάπαυσις δέ μόνον σκοπούμενος, καί οὕτω πολλήν ἔχει τήν (1392) ἐπ᾽ αυτῷ μυσταγωγουμένην γνῶσιν. Ἀλλ᾽ ἵνα μή καθ᾽ ἕκαστον διεξιών φορτικόν τόν λόγον ποιήσωμαι, τό δοκοῦν ὑψηλότερον τῶν ἄλλων εἶναι γυμνάσωμεν. Τρεῖς γάρ φασι τρόπους οἱ τῶν θείων ἐπιτήμονες. Ὁ σύμπας τῆς ὅλης τῶν λογικῶν οὐσιῶν γνέσεως ἔχων θεωρεῖται λόγος τόν τοῦ εἶναι, τόν τοῦ εὖ εἶναι, καί τόν τοῦ ἀεί εἶναι, καί τόν μέν τοῦ εἶναι πρῶτον κατ᾽ οὐσίαν δεδωρῆσθαι τοῖς οὖσι, τόν δέ τοῦ εἶναι δεύτερον δέδοσθαι κατά προαίρεσιν αὐτοῖς ὡς αὐτοκινήτοις, τόν δέ τοῦ ἀεί εἶναι τρίτον αὐτοῖς κατά χάριν πεφιλοτιμῆσθαι. Καί τόν μέν πρῶτον δυνάμεως, τόν δέ δεύτερον ἐνεργείας, τόν δέ τρίτον ἀργίας εἶναι περιεκτικόν. Οἷον ὁ μέν τοῦ εἶναι λόγος μόνην φυσικῶς ἔχων τήν πρός ἐνέργειαν δύναμιν, αὐτήν πληρεστάτην δίχα τῆς προαιρέσεως τήν ἐνέργειαν ἔχειν οὐ δύναται παντελῶς· ὁ δέ τοῦ εὖ εἶναι αυτήν μόνην γνωμικῶς ἔχων τῆς φυσικῆς δυνάμεως τήν ἐνέργειαν, αὐτήν ὁλόκληρον τήν δύναμιν τό σύνολον χωρίς οὐκ ἔχει τῆς φύσεως· ὁ δέ τοῦ ἀεί εἶναι τῶν πρό αὐτοῦ καθ᾽ ὅλου περιγράφων, τοῦ μέν τήν δύναμιν, τοῦ δέ τήν ἐνέργειαν, οὔτε φυσικῶς κατά δύναμιν τοῖς οὖσιν ἐνυπάρχει παντελῶς, οὔτε μήν ἐξ ἀνάγκης τόπαράπαν θελήσει προαιρέσεως ἕπεται· πῶς γάρ τοῖς ἀρχήν κατά φύσιν καί τέλος κατά κίνησιν ἔχουσιν οἷόν τε ἐνεῖναι τό ἀεί ὄν καί ἀρχήν καί τέλος οὐκ ἔχον; ἀλλ᾽ ὅρος ἐστί, στάσιμον ποιεῶν τήν μέν φύσιν κατά τήν δύναμιν, τήν δέ προαίρεσιν κατά τήν ἐνέργειαν, οὐδ᾽ ἑτέρας ἀμείβων παντάπασι τόν καθ᾽ ὅν ἐστι λόγον, καί πᾶσι πάντας αἰῶνάς τε καί χρόνους ὁρίζων. Καί τοῦτό ἐστιν, ὡς οἶμαι, τυχόν τό

μυστικῶς εὐλογημένον Σάββατον, καί ἡ μεγαλη τῆς τῶν θείων ἔργων καταπαύσεως ἡμέρα, ἥτις, κατά τήν γραφήν τῆς κοσμογενείας, οὔτε ἀρχήν, οὔτε τέλος, οὔτε γένεσιν ἔχουσα φαίνεται, ἡ μετά τήν τῶν ἐν μέτρῳ διωρισμένων κίνησιν τῶν ὑπέρ ὅρον καί μέτρησιν ἔκφανσις, καί ἡ μετά τήν τῶν κεχωρημένων καί περιγεγραμμένων ποσότητα τῶν ἀχωρήτων καί ἀπεριγράφων ἄπειρος ταὐτότης. Ὡς ἄν οὖν ἡ κατά προαίρεσιν ἐνέργεια χρήσαιτο τῇ δυνάμει τῆς φύσεως, εἴτε κατά φύσιν, εἴτε παρά φύσιν, τό εὖ ἤ τό φεῦ εἶναι τό πέρας αὐτήν ἔχουσαν ὑποδέξεται, ὅπερ ἐστί τό ἀεί εἶναι, ἐν ᾧ σαββατίζουσιν αἱ ψυχαί, πάσης λαβοῦσαι παῦλαν κινήσεως. Ὀγδόη καί πρώτη, μᾶλλον δέ μία καί ἀκατάλυτος ἡμέρα ἡ ἀκραιφνής ἐστι τοῦ Θεοῦ καί παμφαής παρουσία, μετά τήν τῶν κινουμένων στάσιν γινομένη, καί τοῖς μέν τῷ τοῦ εἶναι λόγῳ κατά φύσιν προαιρετικῶς χρησαμένοις, ὅλου προσηκόντως ὅλοις ἐπιδημοῦντος, καί τό ἀεί εὖ εἶναι παρέχοντος διά τῆς οἰκείας μετοχῆς, ὡς μόνου κυρίως καί ὄντος καί ἀεί ὄντος καί εὖ ὄντος, τοῖς δέ παρά φύσιν τῷ τοῦ εἶναι λόγῳ γνωμικῶς χρησαμένοις, ἀντί τοῦ εὖ τό ἀεί φεῦ εἶναι κατά τό εἰκός ἀπονέμοντος, ὡς οὐκ ὄντος αὐτοῖς λοιπόν χωρητοῦ τοῦ εὖ εἶναι, ἐναντίως πρός αὐτό διακειμένοις, καί κίνησιν παντελῶς οὐκ ἔχουσι μετά τήν τοῦ ζητουμένου φανέρωσιν, καθ᾽ ἥν τοῖς ζητοῦσι πέφυκε φανεροῦσθαι τό ζητητόν.

***(1393) Ἄλλο εἰς τό αὐτό θεώρημα.***

Καί πάλιν ἑβδόμη καί Σάββατόν ἐστιν ἡ τῶν κατ᾽ ἀρετήν ἁπάντων τρόπων καί τῶν κατά θεωρίαν γνωστικῶν λόγων διάβασις. Ὀγδόη δέ ἐστιν ἡ πρός τήν ἀρχήν καί αἰτίαν τῶν πρακτικῶς πεποιημένων καί τῶν θεωριτηκῶν ἐγνωσμένων κατά τήν χάριν ἀληθής μεταποίησις.

***Ἄλλη εἰς τό αὐτό θεωρία.***

Ἔστι μέν οὖν καί αὖθις ἑβδόμη καί Σάββατον ἡ τήν κατ᾽ ἀρετήν διαδεχομένη πρακτικήν φιλοσοφίαν ἀπάθεια. Ὀγδόη δέ καί πρώτη ἐστίν, ὡς μία καί ἀκατάλυτος, ἡ μετά τήν γνωστικήν θεωρίαν ἐπιγινομένη σοφία. Καί κατ᾽ ἄλλους δέ τρόπους παντοδαπούς ἐστι δυνατόν τοῖς τῶν θείων φιλοθεάμοσι τόν περί τῶν τοιούτων ἐκδέχεσθα λόγον, καί πολλάς καλάς τε καί ἀληθεῖς ἐφευρεῖν θεωρίας.

***Ἐκ τοῦ αὐτοῦ λόγου, πῶς τό· "Δισσώσατε καί τρισσώσατε, " λαβών ὁ διδάσκαλος εἰς τό περί τῆς ἑβδόμης μυστήριον φησιν· " Ὡς δέ καί τήν***

***ἑβδόμην ἀναστροφήν Ἠλίου τοῦ προφήτου, τῷ τῆς Σαραφθίας υἱῷ, τό ζῆν ἐμπνεύσασαν, καί τοῦ αὐτοῦ τήν ἰσάριθμον κατά τῶν σχιδάκων ἐπίκλυσιν."***

Ὁ μακάριος γέρων παρ᾽ ἐμοῦ τοῦτο ἐρωτηθείς ἔφη, Κατά τοῦτο τυχόν περί τοῦ ἑπτά διεξιόντα τόν διδάσκαλον ἀριθμοῦ τεκμήρασθαι δυνατόν. Πρῶτον μέν κατά τούς λεγομένους ἀριθμητικούς. Φασί γάρ ἐκεῖνοι συνίστασθαί τινας ἀριθμούς ἐκ δισσουμένων καί τρισσουμένων ἑτέρων, τῆς μονάδος, τελευταῖον προστιθεμένης. Οἷον ἐκ δισσουμένων μέν ὁ ξδ' συνίσταται, τῆς μονάδος δισσουμέης μετά τῶν ἕξ ἀριθμῶν, προστιθεμένης καί τῆς μονάδος, καί οὕτως ἡ ἑβδομάς πληροῦται, οἷον δίς α' β', δίς β' δ', δίς δ' η', δίς η' ιστ', δίς ιστ' λβ', δίς λβ' ξδ'. Τούτων οὕτω διαπλασθέντων δι᾽ ἕξ ἀριθμῶν δοκοῦσι συντεθεῖσθαι, ἀλλά παραλαμβανομένη τελευταῖον καί ἡ μονάς πληρεῖ τόν ἑπτά, ἐξ ἧς τήν ἀρχήν ὁ διπλασιασμός εἴληφεν. Οὕτως οὖν κἀνταῦθα τόν αὐτόν κανόνα κατασχόντες ἀπαρτίσομεν τόν ἑπτά ἀριθμόν. Φησί γάρ, " Ἐκχέατε, δισσώσατε καί τρισσώσατε. " Δίς οὖν μία β', τρίς β' ἕξ, καί ἡ πρώτη μονάς προστιθεμένη τοῖς ἑξάσιν ἀπαρτίζειν τόν ἑπτά ἀριθμόν. Φασί δέ καί συγγένειάν τινα πνευματικήν κατά μυστικήν θεωρίαν πρός τόν ζ' ἀριθμόν ἔχειν τόν γ' κατά τοιόνδε τρόπον, τῷ τήν πάνσεπτον και προσκυνητήν Τριάδα διά τοῦ γ' σημαίνεσθαι, καί πάλιν τήν αὐτήν διά τοῦ ζ', τῷ τόν ζ' ἀριθμόν παρθένον εἶναι. Τῶν γάρ (1396) ἐντός δεκάδος ἀριθμῶν μόνος οὗτος οὔτε γεννᾷ, οὔτε γεννᾶται. Τοῦτο δέ σαφῶς ἐνδείκνυται διεξιών ἐν τῇ βίβλῳ τῶν ἐπῶν Περί παρθενίας, ουτωσί λέγων, "Πρώτη παρθένος ἐστίν ἁγνή Τριάς."

***Ἄλλο θεώρημα εἰς τό αὐτό.***

Ἤ καί οὕτως. Τῇ ἁγίᾳ Τριάδι μυστικῶς τῷ λόγῳ τήν αὐτῆς ἐπιθεωρήσας ἐνέργειαν, φημί δέ τό ἀγαθόν ὅπερ τάς τέσσαρας ἐμφαίνει γενικάς ἀρετάς, τόν ἑπτά πληρώσεις ἀριθμόν. Τῇ γάρ ἁγίᾳ καί πανυμνήτῳ Τριάδι μυστικῶς τήν αὐτῆς ἐπιθεωροῦντες ἐνέργειαν τόν ἑπτά παρθένον ἀπαρτίζομεν ἀριθμόν.

***Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό· Ἰησοῦς δέ αὐτός, ἡ καθαρά τελειότης, οἶδε μέν τρέφειν ἐν ἐρημίᾳ καί πέντε ἄρτοις πεντακισχιλίους, οἶδε δέ πάλιν καί ἑπτά τετρακισχιλίους· καί τά τοῦ κόρου λείψανα ἐκεῖ μέν δώδεκα κόφινοι, ἐνταῦθα δέ σπυρίδες ζ΄. Οὐθέτερον ἀλόγως οἶμαι, οὐδέ ἀναξίως τοῦ Πνεύματος.***

Γυμνασθεῖσαν ἤδη πρός θεωρητικήν ἕξιν ἐν τοῖς προλαβοῦσι διά πλάτους, ὡς οἷόν τε ἦν, εἰρημένοις τήν διάνοιαν, πλήθει λόγων αὐτήν, εἰ δοκεῖ, μή βαρήσωμεν, δυναμένην λοιπόν καί κατ᾽ ἐπιτομήν τήν τῶν θείων ἐπιστημόνως δέχεσθαι θεωρίαν. Οἱ κρίθινοι τοιγαροῦν πέντε ἄρτοι τούς προχείρους τῆς φυσικῆς θεωρίας παραδηλοῦσι λόγους. Οἱ δέ τούτοις τρεφόμενοι πεντακισχίλιοι ἄνδρες τούς περί φύσιν μέν κινουμένους, οὔπω δέ πάντη τῆς περί τό παθητικόν καί ἄλογον τῆς ψυχῆς μέρος ἐκκαρθέντας σχετικῆς διαθέσεως ἐμφαίνουσι. Ὡς νοεῖν δίδωσι τοῖς τῶν τοιούτων λόγων θεάμασι ἐκ κριθῆς εἶναι τούς ἄρτους, κοινόν δέ τοῦτο κτηνῶν τε καί ἀνθρώπων εἶδος ὑπάρχει τροφῆς, καί τό σύν γυναιξίν εἶναι καί παισίν, ὅπερ δηλοῖ σαφῶς μή τῶν καθ᾽ ἡδονήν παντελῶς ἐπιθυμιῶν καί τῆς ἀτελοῦς τῶν λογισμῶν νηπιότητος αὐτούς ἠλλοτριῶσθαι. Ἡ δέ ἔρημος ἐστιν ὁ κόσμος οὗτος, ἐν ᾧ τοῖς διά τῆς φυσικῆς θεωρίας περί τό θεῖον κινουμένοις τούς τῆς φύσεως πνευματικῶς διαθρύπτων λόγους ὁ τοῦ Θεοῦ Λόγος πᾶσαν ἀγαθῶν χαρίζεται πλησμονήν, ὡς δηλοῦσιν οἱ τῶν περισσευμάτων κόφινοι, δώδεκα ὄντες τόν ἀριθμόν.

***Θεωρία εἰς τό ιβ΄ ἀριθμόν.***

Ἐμφαίνει δέ ὁ δώδεκα ἀριθμός, ἤ τούς κατά χρόνον καί φύσιν λόγους, ὡς ἐκ πέντε καί ἑπτά κατά σύνθεσιν συμπληρούμενος. Ἑβδοματικός γάρ ὁ χρόνος, ὡς κυκλικῶς κινούμενος, καί τήν πρός τό κινεῖσθαι προσφυῶς ἔχων ἐπιτηδειότητα, τήν τῶν ἄκρων ἀπό τοῦ μέσου κατά τόν ἀριθμόν τοῦτον ἴσην (1397) ἀπόστασιν. Πενταδική ἡ φύσις, ὑπό τόν ἀριθμόν τόν πέντε πεφυκυῖα τάττεσθαι, διά τε τό πλέον τῆς ἁπλῶς λεγομένης ὕλης τῆς τετραχῶς διαιρουμένης ἔχειν τό εἶδος. Ἡ φύσις γάρ οὐδέν ἄλλο καθέστηκεν οὖσα ἤ ὕλη εἰδοποιημένη. Τό γάρ εἶδος τῇ ὕλῃ προστεθέν φύσιν ἀπεργάζεται.

***Ἄλλο θεώρημα εἰς τό αὐτό.***

Ἤ τάς τῶν ὄντων γενητῶν καί αἰωνίων νοήσεις, ὡς κινουμένων καί περιγεγραμμένων, καί τόν τοῦ τί καί ποῖον καί πῶς εἶναι λόγον ἐπιδεχομένων. Πᾶν γάρ κινητόν τε καί γενητόν ὑπάρχει, καί διά τοῦτο πάντως καί ὑπό χρόνον ἐστί, κἄν εἰ μή τόν κινήσει μετρούμενον. Ἀρχήν γάρ ἔχει τοῦ εἶναι πᾶν γενητόν ὡς ἠργμένον τοῦ εἶναι, καί διάστημα, ἀφ᾽ οὗ τοῦ εἶναι ἤρξατο. Εἰ δέ καί ἔστι καί κινεῖται πᾶν γενητόν, καί ὑπό φύσιν πάντως ἐστί καί χρόνον, τήν μέν διά τό εἶναι,

τόν δέ διά τό κινεῖσθαι, δι᾽ ὧν κατά συμπλοκήν ὁ τοῦ δώδεκα κατά τόν ἀποδοθέντα τρόπον συμπληροῦται λόγος.

***Ἄλλη θεωρία.***

Ἤ τήν ἠθικήν καί φυσικήν καί θεολογικήν φιλοσοφίαν ὁ ἀριθμός οὗτος δηλοῖ, ὡς ἐκ τεσσάρων καί πέντε καί τριῶν συναγόμενος. Τετραδική γάρ διά τάς δ᾽ γενικάς ἀρετάς ἐστιν ἡ ἐν τοῖς πράγμασι κατ᾽ ἦθος ἀκριβής φιλοσοφία. Πενταδική δέ ἡ φυσική θεωρία διά τήν εἰρημένην αἰτίαν, φημί δέ τήν πενταχῶς κατά φύσιν διαιρουμένην αἴσθησιν. Τριαδική δέ ἡ μυστική θεολογία, διά τάς ὁμοουσίους ἁγίας τρεῖς ὑποστάσεις τῆς παναγίου μονάδος, ἤ ἐν αἷς ἡ ἁγία μονάς, ἤ, κυριώτερον εἰπεῖν, ἅπερ ἡ ἁγία μονάς.

***Ἄλλη θεωρία.***

Ἤ τήν καθόλου καί γενικωτάτην ἀρετήν καί γνῶσιν, τήν μέν ὡς ἐνταῦθα διά τῶν δ’ ἀρετῶν κατορθουμένην, τήν δέ ὡς διά τῶν ὀκτώ τήν θεωτέραν τῶν μελλόντων μυστικῶς παραδηλούσων κατάστασιν σημαινομένην, ἐξ ὧν ὁ δώδεκα κατά σύνθεσιν ἀριθμός ἀπαρτίζεται.

***Ἄλλη θεωρία.***

Ἤ τά παρόντα τε καί τά μέλλοντα, ὡς τῶν μέν παρόντων τόν δ΄ στοιχειώδη τε καί ὑλικόν ἀριθμόν ὄντα φυσικῶς παραδεχομένων, τῶν δέ μελλόντων μυστικῶς ἐπιθεωρούμενον αὐτοῖς ἐπιδεχομένων τόν ὀκτώ ἀριθμόν, ὡς τῆς κατά χρόνον ἑβδοματικῆς ὑπερθετικῆς ἰδιότητος.

***(1400) Ἄλλη θεωρία.***

Ἤ τούς περί νοητῶν καί αἰσθητῶν κρίσεώς τε καί προνοίας τριττούς λόγους ὁ δώδεκα σαφῶς ἀριθμός παραδηλοῖ. Ἕκαστον γάρ τούτων ἐφ᾽ ἑαυτό τοῦ εἶναι τοῦθ᾽ ὅπερ ἐστί τρεῖς ἐπιδέχεται λόγους, καθώς τοῖς ἄκροις λόγοις τῶν θείων μύσταις καί μυσταγωγοῖς διά πολλήν ἄσκησιν τῶν λογίων ἐκ πολλῶν κατάδηλον γέγονε. Τριπλασιάζοντες οὖν ἑαυτοῖς οἱ καθόλου τριττοί τῶν ὄντων λόγοι τά ἐφ᾽ οἷς θεωροῦνται δ΄ ὄντα, ἤ τό ἔμπαλιν τοῖς ὧν εἰσιν αὐτοί τετραπλούμενοι, τόν δώδεκα ποιοῦσιν ἀριθμόν. Εἰ γάρ τά ὄντα οὐσίαν ἔχει καί δύναμιν καί ἐνέργειαν, τριττόν τόν ἐπ᾽ αὐτοῖς τοῦ εἶναι

δηλονότι κέκτηνται λόγον. Εἰ δέ τούτους συνδεῖ τούς λόγους πρός τό εἶναι δηλονότι καθό εἰσιν ἡ πρόνοια, τριπλοῦς καί ὁ αὐτῆς πάντως ὑπάρχων καθέστηκε λόγος. Εἰ δέ τῶν λωβώσεων τῶν καθ᾽ ἕνα τῶν εἰρημένων παρατραπόντων λόγων, παρελθουσῶν τε καί παρουσῶν καί μελλουσῶν, ἡ κρίσις ἐστί τιμωρητική ὡς κακίας κολαστική, τριπλοῦν ἔχει καί αὐτή τόν ἐπ᾽ αὐτῇ τῆς θεωρίας λόγον, καθ᾽ ὅν οὐσίαν τε καί δύναμιν καί ἐνέργειαν τῶν ὄντων περιγράφουσα μένει τήν οἰκείαν εἰς τό διηνεκές ἀοριστίαν φυλάττουσα.

***Ἄλλη θεωρία.***

Ἤ πάλιν τήν ἐφικτήν τοῦ αἰτίου καί τῶν αἰτιατῶν τελείαν ἐπίγνωσιν ὁ ἀριθμός οὗτος δηλοῖ. Δεκάδι γάρ προστεθεῖσα δυάς ποιεῖ τόν ιβ΄· δεκάς δέ ἐστιν Ἰησοῦς ὁ Κύριος καί Θεός τῶν ὅλων, ὡς ἀνεκφοιτήτως ταῖς ἀπό μονάδος προόδοις πρός ἑαυτόν μοναδικῶς πάλιν ἀποκαθιστάμενος. Μονάς γάρ καί ἡ δεκάς, καί ὡς ὅρος τῶν ὁριζομένων καί περιοχή τῶν κλινουμένων καί πέρας πάσης ἀριθμητικῆς ἀποπερατώσεως. Καί δυάς ἐστι πάλιν πᾶσα τῶν μετά Θεόν ὄντων ἡ σύμπηξις, οἷον τά μέν αἰσθητά πάντα ὡς ἐξ ὕλης συνεστηκότα καί εἴδους ἐστί δυάς, τά δέ νοητά, ὡσαύτως ἐξουσίας καί τοῦ εἰδοποιοῦντος αὐτά οὐσιωδῶς συμβεβηκότος. Οὐδέ γάρ ἐστι τό παράπαν γενητόν κυρίως ἁπλοῦν, ὅτι μή τόδε μόνον ἐστίν ἤ τόδε, ἀλλ᾽ ὡς ἐν ὑποκειμένῳ τῇ οὐσίᾳ ἔχει τήν συστατικήν τε καί ἀφοριστικήν διαφοράν συνεπιθεωρουμένην, τήν αὐτό μέν ἐκεῖνο συνιστῶσαν, ἄλλου δέ αὐτό φανερῶς διακρίνουσαν. Οὐδέν δέ καθ᾽ οἱονδήποτε τρόπον οὐσιωδῶς ἔχον συνεπιθεωρούμενόν τι πρός δήλωσιν τῆς οἰκείας ὑπάρξεως δύναται κυρίως εἶναι ἁπλοῦν.

***Ἄλλη θεωρία.***

Ἤ πάλιν τήν θείαν οὐσίαν καί τήν αὐτῆς δραστικήν ἐνέργειαν ἐπικεκρυμμένως ὁ ἀριθμός οὗτος ὑποσημαίνει. Τήν μέν θείαν οὐσίαν, διά τοῦ τρεῖς ἀριθμοῦ δηλουμένην ὡς τριαδικῶς ὑμνουμένην διά τήν τρισυπόστατον ὕπαρξιν· τριάς γάρ ἐστιν ἡ μονάς(1401) ὡς ἐν τελείαις οὖσα τελεία ταῖς ὑποστάσεσιν, ἤγουν τῷ τῆς ὑπάρξεως τρόπῳ, καί μονάς ἐστιν ἡ τριάς ἀληθῶς τῷ τῆς οὐσίας, ἤγουν τῷ τοῦ εἶναι λόγῳ. Τήν δέ δραστικήν ἐνέργειαν διά τοῦ ἕξ ἀριθμοῦ μηνυομένην, ὡς μόνου τῶν ἐντός δεκάδος ἀριθμοῦ τελείου καί πλήρους, καί ἐκ τῶν οἰκείων συνισταμένου μερῶν, καί τῶν αὖ καθόλου καί ἀνίσων ἀριθμῶν

περιεκτικοῦ, τοῦ ἀρτίου φημί καί τοῦ περιττοῦ, ὡς καί μόνην τελείαν τελείων, καθ᾽ ὅν εἰσι λόγον, ἀπεργαστικήν τε καί φρουρητικήν. Ἄνισα γάρ τά μετά τοῖς ἄκροις κινούμενα πρός τήν τῶν ἄκρων ἀεικίνητον στάσιν. Οἷον ἵν᾽ ἐξ ἑνός καί τῶν λοιπῶν ποιήσωμαι τοῖς φιλοπόνοις τήν τήν ἔνστασιν, ἄκρον μέν ἐστι τό· Καί εἶπεν ὁ Θεός, Ποιήσωμεν ἄνθρωπον κατ᾽ εἰκόνα ἡμετέραν καί καθ᾽ ὁμοίωσιν· μέσον δέ τό· Καί ἐποίησεν ὁ Θεός τόν ἄνθρωπον, ἄρσεν καί θῆλυ ἐποίησεν αὐτούς· καί ἄκρον πάλιν· Ἐν γάρ Χριστῷ Ἰησοῦ οὐκ ἔστιν οὔτε ἄρσεν οὔτε θῆλυ. Τῶν ἄκρων οὖν καί τῶν μέσων ἀνίσων ὄντων, ὡς τῶν μέν τό ἄῤῥεν ἐχόντων καί τό θῆλυ, τῶν δέ μή ἐχόντων, ἐστί ποιητική τε καί περιεκτική ἡ θεία ἐνέργεια, ἥντινα μυστικῶς, καθάπερ οἶμαι, μυηθείς ὁ σοφώτατος Μωϋσῆς, καί τοῖς λοιποῖς τῶν ἀνθρώπων ἀγαθοπρεπῶς ὑπεμφαίνων, ἐν ἕξ ἡμέραις γέγραφε τόν Θεόν πεποιηκέναι τόν σύμπαντα κόσμον· ᾗτινι καθ᾽ εἱρμόν καί καί τάξιν μετά τῆς προνοίας καί τῆς κρίσεως τῶν ὄντων πρεπόντως συνεπιθεωροῦντες τήν γένεσιν (περιέχεται γάρ αὐτῇ ταῦτα) τόν ιβ´ πληρέστατον ἀπαρτίζομεν ἀριθμόν.

***Θεωρία εἰς τούς κοφίνους.***

Κοφίνους δέ φησιν ὁ λόγος, ἐν οἷς ἀπετέθη τά περισσεύσαντα, τήν παιδευτικήν οἰκονομίαν, τῶν πνευματικῶς τραφέντων τούς νοητούς τῶν εἰρημένων λόγους, διά τό μήπω τῆς παιδαγωγικῆς αὐτούς ὑπεράνω γενέσθαι διδασκαλίας, τῆς καί τά χρήσιμα δεόντως ὑποτιθεμένης, καί τήν ἀλγεινήν τοῖς οὕτω παιδευομένοις ἀγωγήν προτεινούσης, ὡς νοεῖν δίδωσιν ἡ ἐξ ἧς οἰκοδομοῦνται οἱ κόφινοι ὕλη, πληκτική κατά φύσιν ὑπάρχουσα.

***Θεωρία τῶν ζ´ ἄρτων.***

Οἱ δέ ἑπτά τῶν τετρακισχιλίων ἄρτοι τήν νομικήν, ὡς οἶμαι, μυσταγωγίαν ὑποτυποῦσιν, ἤτοι τούς κατ᾽ αὐτήν θειοτέρους λόγους, οὕστινας τοῖς προσμένουσι τρεῖς ἡμέρας τῷ λόγῳ, τουτέστι μεθ᾽ ὑπομονῆς τόν περί τήν ἠθικήν τε καί φυσικήν καί θεολογικήν φιλοσοφίαν περιποιητικόν τοῦ φωτισμοῦ τῆς γνώσεως πόνον μακροθύμως φέρουσιν, ὁ λόγος μυστικῶς δίδωσιν.

***Ἄλλη θεωρία περί τῶν τριῶν ἡμερῶν.***

Ἤ τόν φυσικόν τυχόν καί γραπτόν καί πνευματικόν νόμον αἱ τρεῖς ἡμέραι παραδηλοῦσιν, (1404) ὡς ἑκάστου τοῦ κατ᾽ αὐτόν πνευματικωτέρου λόγου τόν φωτισμόν τοῖς φιλοπονοῦσι παρέχοντος, καθ᾽ ἅς ἀμέμπτως οἱ καλῶς τε καί ἀληθῶς πεινῶντες τά θεῖα, τῷ Θεῷ καί Λόγῳ προσμένοντες, δέχονται τροφήν μυστικήν κατά ταὐτόν νίκης τε καί βασιλείας ἔχουσαν σύμβολα τοῦ κόρου τά λείψανα. Αἱ γάρ ἑπτά σπυρίδες ἐκ φοινίκων τήν ὕλην ἔχουσαι (νίκης δέ σύμβολον καί βασιλείας ὁ φοῖνιξ) , πρός δέ καί τῆς ἀκλονήτου πρός τάς τῶν βιαίων πνευμάτων ἐμβολάς ὑπέρ ἀληθείας ἐνστάσεως δι᾽ ἑαυτῶν τούς τραφέντας πάσης κακίας καί ἀγνωσίας νικητάς ἀποφαίνουσιν, ὡς τήν κατά παθῶν τε καί δαιμόνων παρά τοῦ Θεοῦ Λόγου ἀήττητον λαβόντας δυναστείαν.

***Θεωρία τοῦ ἀριθμοῦ τῶν τετρακισχιλίων ἀνδρῶν.***

Καί ὁ αὐτῶν δέ ἐκείνων τῶν τούτους τραφέντων τούς πνευματικούς λόγους ἀριθμός τῆς ἀληθοῦς αὐτῶν ἀρίδηλος μάρτυς ἐστί τελειότητος, ὡς τάς τέσσαρας γενικάς περιέχων μονάδας, ὧν πρώτη μέν ἐστιν ἡ πρώτη μονάς, δευτέρα δέ μονάς ἐστιν ἡ δεκάς, τρίτη δέ μονάς ἐστιν ἡ ἑκατοντάς, καί τετάρτη μονάς ἐστιν ἡ χιλιάς. Ἑκάστη γάρ τούτων, χωρίς τῆς πρώτης μονάδος, καί μονάς ἐστι καί δεκάς· μονάς μέν τῶν μετ᾽ αὐτήν, ὡς εἰς ἑαυτήν συντιθεμένη, καί τῷ δεκαπλασιασμῷ τήν αὐτῆς ἀπαρτίζουσα δεκάδα· δεκάς δέ, ὡς τῶν πρό αὐτῆς μονάδων τήν σύνθεσιν εἰς ἑαυτήν περιγράφουσα· χιλιάς δέ τετραπλουμένη τετρακισχιλίους ὑφίστησιν. Ἔστιν οὖν ἡ πρώτη μονάς μυστικῆς θεολογίας σύμβολον, ἡ δέ δευτέρα μονάς θείας οἰκονομίας καί ἀγαθότητος τύπος, ἡ δέ τρίτη μονάς ἀρετῆς καί γνώσεώς ἐστιν εἰκών, καί ἡ τετάρτη μονάς τῆς καθόλου τῶν ὄντων θειοτέρας μεταποιήσεως δήλωσις.

***Ἄλλη θεωρία εἰς τόν ζ΄. ἀριθμόν.***

Ὁ δέ ἑπτά ἀριθμός τῶν σπυρίδων κατ᾽ ἄλλον πρός τῷ προτέρῳ θεωρούμενος τρόπῳ, ὥς φασιν, ἐμφαίνει σοφίαν καί φρόνησιν, τήν μέν ὡς περί τήν αἰτίαν τρισσῶς κατά νοῦν κινουμένην, τήν δέ περί τά μετά τήν αἰτίαν καί περί τήν αἰτίαν ὄντα κατά λόγον διά τήν αἰτίαν τετραχῶς κινουμένην. Οὐδέτερον οὖν ἀλόγως παρά τοῦ Κυρίου γεγένηται κατά τόν μέγαν τοῦτον διδάσκαλον, οὐδέ ἀναξίως τοῦ πνεύματος.

***Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό· " Καί ἔστι διαφορά χαρισμάτων, ἄλλου δεομένη χαρίσματος πρός διάκρισιν τοῦ βελτίονος."***

Ἡ διαφορά τῶν χαρισμάτων ἡ ἄλλου δεομένη χαρίσματος πρός διάκρισιν κατά τόν μέγαν τοῦτον διδάσκαλόν ἐστιν, ἡ προφητεία, καθώς οἶμαι, καί τό λαλεῖν γλώσσαις. Ἡ μέν γάρ προφητεία δεῖται τοῦ χαρίσματος τῆς διακρίσεως τῶν πνευμάτων, πρός τό γνωσθῆναι τίς καί πόθεν καί ποῦ φέρουσα (1405) καί ποίου πνεύματός ἐστι, καί δι᾽ ἥν αἰτίαν, μή πως φλήναφός ἐστι, μόνον εἰκῆ προφερομένη ἐκ τῆς κατά τό ἡγεμονικόν βλάβης τοῦ λέγοντος, ἤ αὐτοκίνητός τις ὁρμή τοῦ δῆθεν προφητεύοντος, ἐξ ἀγχινοίας περί τινων φυσικῶς κατά λόγον διά πολυπειρίαν τεκμαιρομένου πραγμάτων, ἤ τοῦ πονηροῦ καί δαιμονιώδους πνεύματος, ὥσπερ ἐν Μοντανῷ καί τοῖς ἐκείνῳ παραπλησίοις ἐστί τερατολογία ἐν προφητείας εἴδει τό λεγόμενον, ἤ δόξης ἕνεκεν κενῆς τοῖς ἄλλων ἄλλος τυχόν ἀβρύνεται, λέγων τε καί πομοπεύων ἅπερ αὐτός οὐκ ἐγέννησεν, ὑπέρ τοῦ θαυμασθῆναι ψευδόμενος, καί πατέρα νόθον ὀρφανῶν λόγων καί νοημάτων ἑαυτόν ὑπέρ τοῦ δόξαι σοφός τις εἶναι προβάλλεσθαι οὐκ αἰσχυνόμενος. Προφῆται γάρ β΄, φησίν ὁ θεῖος Ἀπόστολος, ἤ τρεῖς λαλείτωσαν, καί οἱ ἄλλοι διακρινέτωσαν. Τίνες δέ τυγχάνουσιν οἱ ἄλλοι δηλονότι οἱ τό χάρισμα τῆς διακρίσεως ἔχοντες τῶν πνευμάτων. Δεῖται τοίνυν ἡ μέν προφητεία, καθώς ἔφην, τῆς διακρίσεως τῶν πνευμάτων, ἵνα γνωσθῇ καί πιστευθῇ καί ἐγκριθῇ, τό δέ χάρισμα τῶν γλωσσῶν δεῖται τοῦ χαρίσματος τῆς ἑρμηνείας, ἵνα μή δόξῃ τοῖς παροῦσιν ὁ τοιοῦτος μαίνεσθαι, μή δυναμένου τινός τῶν ἀκουόντων παρακολουθῆσαι τοῖς λαλουμένοις. Ἐάν γάρ, φησίν ὁ μέγας Ἀπόστολος, λαλεῖτε γλώσσαις, εἰσέλθῃ δέ τις ἄπιστος ἤ ἰδιώτης, οὐκ ἐροῦσιν ὅτι μαίνεσθε; Καί κελεύει μᾶλλον σιωπᾷν τόν λαλοῦντα γλώσσαις, ἐάν μή ᾖ ὁ διερμηνεύων. Τό δέ "Πρός διάκρισιν" φάναι τό διδάσκαλον "τοῦ βελτίονος" φασίν οἱ τοῖς θείοις τόν νοῦν καταφωτίσαντες λόγοις ὑπερέχειν τό τῆς προφητείας καί τό τῶν γλωσσῶν χάρισμα τῶν ὧν πρός διάκρισίν τε καί διασάφησιν χρῄζουσι χαρισμάτων,τουτέστι τῆς διακρίσεως τῶν πνευμάτων καί τῆς ἑρμηνείας. Ὅπερ εἰδώς ὁ διδάσκαλος ἔφη, "Πρός διάκρισιν τοῦ βελτίονος."

***Τοῦ αὐτοῦ, ἐκ τοῦ εἰς Ἥρωνα τόν φιλόσοφον λόγου εἰς τό· " Συμβάματα καί παρασυμβάματα. "***

Σύμβαμά ἐστι κατά γραμματικούς πρότασις ἐξ ὀνόματος καί ῥήματος αὐτοτελῆ διάνοιαν ἀπαρτίζουσα, οἷον, " Ἰωάννης περιπατεῖ. " Παρασύμβαμα δέ ἐστι πρότασις ἐξ ὀνόματος καί ῥήματος οὐκ αὐτοτελῆ διάνοιαν ἀπαρτίζουσα, οἷον Ἰωάννη μέλει. Φήσας οὖν τις, " Ἰωάννης περιπατεῖ, " οὐδενός ἑτέρου χρῄζειν ἔδειξε εἰπών δέ, " Ἰωάννῃ μέλει, " περί τίνος αὐτῷ μέλει παρέλειψεν εἰπεῖν.

***Τοῦ αὐτοῦ ἐκ τοῦ εἰς τόν ἅγιον Βασίλειον ἐπιταφίου, εἰς τό· "Ἐπ᾽ οὐδενός οὖν τῶν ἁπάντων οὐκ ἔστιν ἐφ᾽ ὅτῳ οὐχί τῶν ἁπάντων."***

Ὅτι ποτέ τις ἀποδέχεται τῶν καλῶν, κατ᾽ ἐκεῖνο (1408) πάντως καί ποιεῖται τήν ἐπίδοσιν καί τοῖς περί αὐτοῦ λεγομένοις δῆλον ἥδεται καί παρακαλεῖται. Ἥδεται μέν προστιθέμενος αὐτῷ πλέον κατά ψυχήν ὡς καταθυμίῳ πράγματι, παρακαλεῖται δέ τῆς κατ᾽ αὐτό πλείονος ἐπιδόσεως, ἐκ τοῦ περί αὐτοῦ δεχόμενος ἐπαίνου μείζονα προτροπήν. " Ὧν γάρ, φησίν ὁ διδάσκαλος, τούς ἐπαίνους οἶδα, τούτων σαφῶς καί ἐπιδόσεις," τουτέστιν, ὧν οἶδα πραγμάτων τούς ἐπαίνους, καί τῶν ἀποδεχομένων αὐτά σαφῶς ἀνθρώπων τάς εἰς ἀρετήν ἐπιδόσεις, ἤγουν ἐπαυξήσεις, ἐπίσταμαι. Ἐπ᾽ οὐδενός οὖν τῶν πραγμάτων πάντων δηλονότι τῶν ἐπαινουμενων οὐκ ἔστιν ἐφ᾽ ᾧτινι οὐχί πάντως τῶν ἐπ᾽ αὐτοῖς ἡδομένων εὕροις τήν ἐπαύξησιν· ἤ ἐπειδή τρία προθείς ὁ διδάσκαλος ἀνωτέρω, ἑαυτόν, τούς λόγους, τούς τῆς ἀρετῆς ἐπαινέτας, ἐν τούτοις περιλαβών κατά ῥήτορας ἐξήπλωσε, τάς ἐπαγωγάς τοῖς τρισίν ἐφαρμόσας, καί ἐξ ἑαυτοῦ πρότερον τῆς ἀποδόσεως ἀρξάμενος, εἶτα διά μέσων τῶν ἀρετῆς ἐπαινετῶν διελθών, εἰς τούς λόγους αὐτάς ἐπλήρωσεν, ὡς τῆς κατά τόν ἅγιον Βασίλειον ὑποθέσεως καί αὐτῷ πρεπούσης, ὡς διδασκάλῳ, καί τοῦ λόγου προβεβλημένῳ, καί τοῖς ἀγαπῶσι τήν ἀρετήν, ἤγουν τοῖς αὐτῆς ἐπαινέταις, πεποθημένης, οἷα ποθοῦσι γνῶναι τούς τρόπους τῆς διά μιμήσεως εἰς ἀρετήν ἐπιδόσεως, καί τοῖς λόγοις αὐτοῖς ἁρμοζούσης, ὡς ἐκφαντορικοῖς τῶν κατ᾽ ἀρετήν καλῶν. Παντός μέν οὖν ἀνδρός βίον ἔχοντος κατά Θεόν ἐπαινούμενον, μάλιστα δέ Βασιλείου τοῦ πάνυ, κἄν τε δυνηθῶσι πᾶσαν περιλαβεῖν, καί ὥσπερ εἰκόνα ζῶσαν καί ἔμψυχον ὑποδεῖξαι τοῖς ἐρασταῖς τήν τοῦ ἀνδρός ἀρετήν, κἄν τε μή δυνηθῶσι τοῦ ταύτης ἐφικέσθαι μεγέθους, ἐπ᾽ οὐδενός οὖν οὐκ ἔστι τῶν ἁπάντων, καί λόγου καί λέγοντος καί ἀκούοντος, ἐφ᾽ ᾧτινι τό τῆς ὑποθέσεως καλόν οὐχ ἁρμόσει, ἤ καθώς ἀνωτέρω ἀκριβέστερον μᾶλλον ἐξήτασται.

***Τοῦ αὐτοῦ ἐκ τῶν ἐπῶν, εἰς τό· "Παίζει γάρ λόγος αἰπύς ἐν εἴδεσι παντοδαποῖσι, κρίνας, ὡς ἐθέλοι, κόσμον ἐόν ἔνθα καί ἔνθα.***

Ἡνίκα τόν νοῦν ὡς διά κλείθρων τινῶν τῶν φαινομένων ὁ μέγας Δαβίδ κατά μόνην πίστιν ἐν πνεύματι πρός τά νοητά διελάσας ἐδέξατό τινα παρά τῆς θείας σοφίας τῶν ἐφικτῶν ἀνθρώποις μυστηρίων ἔμφασιν, τότε, καθάπερ οἶμαι, φησίν, Ἄβυσσος, ἄβυσσον ἐπικαλεῖται εἰς φωνήν τῶν καραῤῥακτῶν σου· τούτοις τυχόν ἐνδεικνύμενος, ὅτι πᾶς νοῦς θεωρητικός, διά τε τό κατά φύσιν ἀόρατον καί τό βάθος καί πλῆθος τῶν νοημάτων ἀβύσσῳ παρεοικώς, ἐπειδάν τῶν φαινομένων διαβάς πᾶσαν τήν διακόσμησιν, καί εἰς τήν τῶν νοητῶν σφοδρῷ τῆς κινήσεως ὑπερβάς τήν εὐπρέπειαν, ἐφ᾽ ἑαυτόν (1409) στῇ, πεπηγώς παντάπασι καί ἀκίνητος, διά τήν πάντων διάβασιν, τηνικαῦτα τήν θείαν δεόντως ἐπικαλεῖται σοφίαν, τήν ὄντως τε καί ἀληθῶς κατά τήν γνῶσιν ἀδιεξίτητον ἄβυσσον, φωνήν αὐτῷ δοῦναι τῶν θείων καραῤῥακτῶν, ἀλλ᾽ οὐκ αὐτούς τού καταῤῥάκτας, ὅπερ ἐστίν ἔμφασίν τινα πίστεως γνωστικήν τῶν περί τό πᾶν τῆς θείας προνοίας τρόπων τε καί λόγων αἰτῶν ὑποδέξασθαι, δι᾽ ἧς μνησθῆναι δυνήσεται τοῦ Θεοῦ ἐκ γῆς Ἰορδάνου καί Ἑρμονιείμ, ἐν ᾗ τῆς θείας πρός ἀνθρώπους τοῦ Θεοῦ Λόγου συγκαταβάσεως τό μέγα καί φρικτόν διά σαρκός ἐτελέσθη μυστήριον, ἐν ᾧ τῆς εἰς Θεόν εὐσεβείας ἐδωρήθη τοῖς ἀνθρώποις τό ἀληθές, ὅπερ διά τό πᾶσαν ἐκβεβηκέναι φύσεως τάξιν καί δύναμιν· τῷ μέν θείῳ καί τῆς θείας μύστῃ τε καί μυσταγωγῷ κρυφιογνώστου σοφίας Παύλῳ τῷ μεγάλῳ ἀποστόλῳ μωρία ὠνομάσθη Θεοῦ καί ἀσθένεια, διά τήν ὑπερβάλλουσαν οἶμαι σοφίαν καί δύναμιν· τῷ δέ θεόφρονι μεγάλῳ Γρηγορίῳ παίγνιον προσηγορεύθη, διά τήν ὑπερβάλλουσαν φρόνησιν. Ὁ μέν γάρ φησι. Τό μωρόν τοῦ Θεοῦ σοφώτερον τῶν ἀνθρώπων ἐστί, καί τό ἀσθενές τοῦ Θεοῦ ἰσχυρότερον τῶν ἀνθρώπων ἐστί· ὁ δέ. Παίζει γάρ λόγος αἰπύς ἐν εἴδεσι παντοδαποῖσι, Κρίνας ὡς ἐθέλοι κόσμον ἐόν ἔνθα καί ἔνθα· ἑκάτερος τῇ στερήσει τῶν παρ᾽ ἡμῖν κρατίστων θέσεων τήν θείαν ἐνδεικνύμενος ἕξιν, καί ταῖς ἀποφάσεσι τῶν ἡμετέρων ποιούμενος τήν τῶν θείων κατάφασιν. Μωρία γάρ παρ᾽ ἡμῖν καί ἀσθένεια καί παίγνιον στερήσεις εἰσίν, ἡ μέν σοφίας, ἡ δέ δυνάμεως, ἡ δέ φρονήσεως, ἐπί Θεοῦ δέ λεγόμεναι σοφίας καί δυνάμεως καί φρονήσεως ὑπερβολήν σαφῶς ὑποδηλοῦσιν. Εἴ τι οὖν παρ᾽ ἡμῖν κατά στέρησιν λέγοιτο, ἐπί Θεοῦ λεγόμενον ἕξιν ὑποδηλοῦν πάντως

ἐκδέχεσθαι δίκαιον, καί τό ἔμπαλιν, εἴ τι κατά ἕξιν ἐφ᾽ ἡμῶν λέγοιτο, ἐπί Θεοῦ στέρησιν διά τήν ὑπεροχήν ἐκδέχεσθαι δηλοῦν πρεπωδέστατον. Αἱ γάρ τῶν θείων ὑπερβολαί καί κατά στέρησιν δι᾽ ἀντιφάσεως λεγόμεναι παρ᾽ ἡμῶν ἀποδέουσι πολύ τῆς ἀληθοῦς καθ᾽ ὅν εἰσι λόγον ἐμφάσεως. Εἰ δέ τοῦτο κατά τόν εἰκότα λόγον ἐστίν ἀληθές (οὐ γάρ συμβαίνει πώποτε τά θεῖα τοῖς ἀνθρωπίνοις ), ἄρα μωρία Θεοῦ καί ἀσθένεια κατά τόν ἅγιον ἀπόστολον Παῦλον, καί παίγνιον Θεοῦ κατά Γρηγόριον τόν θαυμαστόν καί μέγαν διδάσκαλον, τό μυστήριόν ἐστι τῆς θείας ἐνανθρωπήσεως, ὡς πάσης φύσεως δυνάμεώς τε καί ἐνεργείας πᾶσαν ὑπερουσίως ἐκβεβηκός τάξιν καί ἁρμονίαν, ὅπερ πνεύματι θείῳ πόῤῥωθεν κατά νοῦν θεασάμενος καί μυηθείς ὁ θειότατος Δαβίδ, καί οἷον τήν τοῦ Ἀποστόλου λεγομένην διά στερήσεως ὑπερβάλλουσαν ἕξιν τοῦ Θεοῦ προερμηνεύων, Ἰουδαίων, σοφῶς οἶμαι, καταβοῶν· Ἐν τῷ πλήθει τῆς δυνάμεώς σου ψεύσονταί σε οἱ ἐχθροί σου. Πᾶς γάρ ἄνθρωπος ἐχθρός πάντως τοῦ Θεοῦ καί ψεύστης προδήλως καθίσταται ὁ τόν Θεόν τῷ νόμῳ τῆς φύσεως ἀμαθῶς τε καί ἀσεβῶς περικλείων, καί ἀπαθῶς ὑπέρ φύσιν ἐν τοῖς ὑπό φύσιν οὐσιωδῶς γενόμενον τά κατά φύσιν ὡς πάντα δυνάμενον ἐνεργῆσαι πιστεύειν μή (1412) ἀρχόμενος. Οὕτω μέν οὖν κατά μίαν ἐπιβολήν τέως θεωρῆσαι τό μωρόν τοῦ Θεοῦ καί τό ἀσθενές καί παίγνιον, στοχαστικῶς ὁ λόγος ἐτόλμησε, μεθ᾽ ὧν παρεκβατικῶς, ὡς προθεωρίαν παραδειγματικήν τοῦ προτεθέντος ἀπόρου, καί τήν ἄβυσσον τήν ἐπικαλουμένην τήν ἄβυσσον εἰς φωνήν τῶν θείων καταῤῥακτῶν λαβών ὁ λόγος νοῦν γνωστικόν εἶναι σοφίαν ἐπικαλούμενον δέξασθαι, μικράν τινα τῶν ἐπί τῇ θείᾳ καί ἀφράστῳ συγκαταβάσει μυστηρίων ἔμφασιν παρεδήλωσεν. Ἄβυσσος γάρ καί ὁ τῆς ἀβύσσου τόπος ὁμωνύμως ὀνομάζεται, τόπος δέ τῆς θείας σοφίας, ὁ καθαρός καθέστηκε νοῦς. Ἄρα θέσει διά τό δεκτικόν ἄβυσσος καί ὁ νοῦς προσαγορεύεται, καί ἡ σοφία πάλιν τό αὐτό διά τήν φύσιν κατανομάζεται.

***Ἄλλη θεωρία εἰς τό αὐτό.***

Καθ’ ἕτερον δέ τό προκείμενον ἄπορον διασκοποῦντες τρόπον τῇ βοηθείᾳ τῆς θείας χάριτος στοχαστικῶς, ἀλλ᾽ οὐκ ἀποφαντικῶς (τό μέν γάρ μέτριον, τό δέ προπετές), ἐγχειρεῖν τῷ προκειμένῳ ῥητῷ τολμῶμεν, φάσκοντες τήν τῶν μέσων τυχόν προβολήν, κατά τό ἴσον ἀπό τῶν ἄκρων ἔχουσαν ἀπόστασιν, παίγνιον εἰρῆσθαι Θεοῦ τῷ

μεγάλῳ διδασκάλῳ, διά τήν ἐπίῤῥυτον αὐτῶν καί εὐαλλοίωτον στάσιν, μᾶλλον δέ, στάσιμον ῥεῦσιν εἰπεῖν οἰκειότερον. Ὅ καί παράδοξον, στάσιν ἀεί ῥέουσαν καί φερομένην θεᾶσθαι, καί ῥεῦσιν ἀεικίνητον προνοητικῶς τῆς τῶν οἰκονομουμένων ἕνεκεν βελτιώσεως θεόθεν ἐπινενοημένην, τούς δι᾽ αὐτῆς παιδαγωγουμένους σοφίσαι δυναμένην, ἀλλαχοῦ μεταστήσεσθαι πάντως ἐλπίζειν, καί πέρας τοῦ κατ᾽ αὐτήν ἐπ᾽ αὐτοῖς μυστηρίου τῇ πρός Θεόν νεύσει βεβαίως διά τῆς χάριτος θεωθήσεσθαι πιστεύειν. Μέσα δέ λέγω τήν τῶν ὁρωμένων καί νῦν περί τόν ἄνθρωπον ὄντων ἤ ἐν οἷς ὁ ἄνθρωπος συμπλήρωσιν, ἄκρα δέ τήν τῶν μή φαινομένων καί περί τόν ἄνθρωπον ἀψευδῶς ἔσεσθαι μελλόντων ὑπόστασιν, τῶν κυρίως τε καί ἀληθῶς κατά τόν ἄῤῥητον καί προηγούμενον σκοπόν τε καί λόγον τῆς θείας ἀγαθότητος πεποιημένων τε καί γεγενημένων. Καθώς ὁ σοφός Ἐκκλησιαστής μεγάλῳ τε καί τρανῷ ψυχῆς ὄμματι τῶν ὁρωμένων τε καί ῥεόντων ὑπερκύψας τήν γένεσιν, καί οἷον ἐν φαντασίᾳ τῶν ἀληθῶς πεποιημένων καί γεγενημένων γενόμενος· Τί τό γεγενημένον; αὐτό τό γενησόμενον· καί τί τό πεποιημένον; Αὐτό, φησί, τό ποιηθησόμενον· τῶν πρώτων δηλαδή καί τῶν τελευταίων ἐπιμνησθείς, ὡς τῶν αὐτων ὄντων καί ἀληθῶς ὄντων, τῶν δέ μέσων καί παρερχομένων οὐδόλως κατά τόν τόπον μνησθείς. Μετά γάρ τό ἐξελθεῖν, ὡς οἷόν τε ἦν μεγαλοφυῶς μάλιστα τό διδάσκαλον, περί τινος φύσεως ζώων καί λίθων, καί ἁπλῶς εἰπεῖν ἀορίστως περί πολλῶν τῶν ἐν τοῖς οὖσι θεωρουμένων, ἐπιφέρει τούτοις· " Παίζει γάρ λόγος αἰπύς ἐν (1413) εἴδεσι παντοδαποῖσι, κρίνας ὡς ἐθέλει κόσμον ἐόν ἔνθα καί ἔνθα." Μήποτε οὖν καθώς αὐτός ἐν τῷ τῆς ἁγίας Πεντηκοστῆς λόγῳ φησί, περί θεότητος διεξιών καί κτιστῆς φύσεως, " Ἕως ἑκάτερον ἐπί τῆς ἰδίας μένει, τό μέν περιωπῆς, τό δέ ταπεινώσεως, ἄμικτος ἡ ἀγαθότης καί τό φιλάνθρωπον ἀκοινώνητον, καί χάσμα μέγα ἐν μέσῳ καί ἀδιάβατον, οὐ τόν πλούσιον τοῦ Λαζάρου καί τῶν ὀρεκτῶν τοῦ Ἀβραάμ κόλπων διεῖργον, πᾶσαν δέ τήν γενητήν φύσιν καί ῥέουσαν τῆς ἀγενήτου καί ἑστηκυίας;" Ὧ παρεμφερῆ τε καί ὅμοια καί ὁ θεηγόρος μέγας διεξέρχεται Διονύσιος ὁ Ἀρεοπαγίτης φάσκων· "Τολμητέον δέ καί τοῦτο ὑπέρ ἀληθείας εἰπεῖν, ὅτι καί αὐτός ὁ πάντων αἴτιος τῷ καλῷ καί ἀγαθῷ τῶν πάντων ἔρωτι δι᾽ ὑπερβολήν τῆς ἐρωτικῆς ἀγαθότητος ἔξω ἑαυτοῦ γίνεται, ταῖς εἰς τά ὄντα πάντα προνοίαις, καί οἷον ἀγαθότητι καί ἀγαπήσει καί ἔρωτι θέλγεται, καί ἐκ τοῦ ὑπέρ πάντα καί πάντα καί πάντων ἐξῃρημένου

πρός τό ἐν πᾶσι κατάγεται, κατ᾿ ἐκστατικήν ὑπερούσιον δύναμιν ἐνεκφοίτητον ἑαυτοῦ. Μήπως οὖν, καθώς ἔφην, κἀκ τούτον τόν περί τοῦ, " Παίζει γάρ Λόγος αἰπύς, " ἐπιτόμως ἀποδοθέντα τρόπον ἐξαπλῶσαι κατά διάνοιαν τοιαύτην ἡμῖν ἐστι δυνατόν φάσκουσιν, Ὥσπερ οἱ γονεῖς (ἵνα τοῖς καθ᾿ ἡμᾶς παραδείγμασι χρήσωμαι εἰς τήν τῶν ὑπέρ ἡμᾶς πραγμάτων ὑπογραφήν), ἀφορμάς τοῖς τέκνοις παρέχοντες τήν νωθεῖαν ἀποσείσασθαι συγκαταβάσεως τρόπῳ, δοκοῦσι κατά συμπεριφοράν παιδικά παίγνια μετιέναι, ὡς φέρε εἰπεῖν καρυατίζειν, καί ἀστραγάλοις μετ᾿ αὐτῶν συμπεριφέρεσθαι, ἤ καί ἄνθη πολύχροα τούτοις παρατιθέντες, καί πολυβαφεῖς ἐσθῆτας τῶν αἰσθήσεων θελκτηρίους, ἀπῆγον ἤ κατέπληττον, ὡς τῶν παίδων ἑτέραν τέως ἐργασίαν οὐκ ἐχόντων, μετά βραχύ δέ καί παιδευτηρίοις αὐτούς τῶν γονέων παραδιδόντων, εἶτα καί λόγου τελεωτέρου καί πραγμάτων ἰδίων μεταδιδόντων, οὕτω τυχόν καί τόν ἐπί πάντων Θεόν φησι διά τῶν εἰρημένων ὁ διδάσκαλος διά τῆς τέως ἱστοριώδους τῶν φαινομένων κτισμάτων φύσεως εἰς ἔκπληξιν ἤ καί ἀπαγωγήν διά τῆς αὐτῶν θέας καί γνώσεως νῦν ἡμᾶς οἷα κομιδῇ παῖδας ἐμβάλλοντα, ἔπειτα καί τήν τῶν ἐν αὐτοῖς πνευματικωτέρων λόγων θεωρίαν ἐνιέντα, καί τελευταῖον ἐπί τήν ἑαυτοῦ καθώς ἐστιν ἐφικτόν διά θεολογίας μυστικωτέραν γνῶσιν ἐνάγοντα, τήν πάσης τῆς ἐν εἴδει καί ποιῷ καί σχήματι καί ποσῷ, τῷ ἐν πλήθει τε καί ὄγκῳ παντάπασι καθαρεύουσαν, ποικιλίας τε καί συνθέσεως ἐν τοῖς προπαιδεύμασιν, ὡς πρός τό τέρμα τῆς θεωρίας, " παίζειν" εἴρηται τῷ θεοφόρῳ Γρηγορίῳ, καί τῷ θεοφόρῳ Διονυσίῳ " θέλγεσθαί" τε καί "ἐξίστασθαι ἑαυτοῦ."

Τῷ ὄντι γάρ ἐκ παραλλήλου κατά παράθεσιν θεωρούμενα πρός τά κυρίως καί ἀληθῶς ὄντα, (1416) καί ἐς ὕστερον φανησόμενα, τά παρόντα καί φαινόμενα καί παίγνιον εἶναι δοκεῖ, καί ἔτι τούτου πoῤῥωτέρω. Πρός γάρ τήν τῶν κυρίως θείων καί πρωτοτύπων πραγμάτων ἀλήθειαν συγκρινομένη τῶν παρόντων καί ὁρωμένων πραγμάτων ἡ διακόσμησις οὐδέ τό παράπαν εἶναι νομισθήσεται τοῖς ὅλον χωρεῖν κατά τό δυνατόν τό τῆς θείας ὡραιότητος κάλλος ἀξιουμένοις, ὥσπερ οὐδέ τό παίγνιον ἀληθινῷ τινι καί ὄντι πράγματι συγκρινόμενον εἶναι καθάπαξ νομίζεται.

***Ἄλλη θεωρία εἰς τό αὐτό.***

Τυχόν δέ καί τό μεταπτωτικόν ὧν ἐγχειρίζομεν ὑλικῶν πραγμάτων ἄλλην ἄλλως μεταφερόντων τε καί μεταφερομένων, καί μηδεμίαν βάσιν ἐχόντων στερέμνιον, πλήν τοῦ πρώτου λόγου καθ᾽ ὅν φέρονται σοφῶς τε καί προνοητικῶς καί φέρουσι, καί τῷ κρατεῖσθαι ὑφ᾽ ἡμῶν νομίζεσθαι, διαφευγόντων πλέον ἤ κρατουμένων, καί τήν ἔφεσιν ἡμῶν τῶν αὐτοῖς ἀνεχομένων κρατεῖσθαι, μᾶλλον ἑαυτῶν οἷον ἀπωθουμένων, καί κρατεῖν ἤ καρατεῖσθαι παντελῶς μή δυναμένων, οἷα δή μόνον σταθηρόν τῆς ἑαυτῶν φύσεως ὅρον κεκτημένων τό ἀποῤῥεῖν καί μή ἵστασθαι, παίγνιον εἰκότως ἐῤῥέθη Θεοῦ τῷ διδασκάλῳ, ὡς διά τούτων μετάγοντος ἡμᾶς ἐπί τά ὄντως ὄντα, καί μηδέποτε σαλευόμενα.

***Ἄλλη θεωρία εἰς τό αὐτό.***

Εἰ δέ καί ἡμεῖς αὐτοί, κατά τήν καρατοῦσαν ἐπί τοῦ παρόντος τῆς φύσεως ἡμῶν ἀκολουθίαν, νῦν μέν καθ᾽ ὁμοιότητα τῶν λοιπῶν ἐπί γῆς ζώων γεννώμενοι, ἔπειτα παῖδες γινόμενοι, εἶτα ἄνθους ὠκυμόρου δίκην τῆς νεότητος ἐπί τό ῥίκνον τῆς παλαιότητος φθασάσης τεθνηξόμενοι, καί πρός ἕτερον βίον μετατιθέμενοι, "παίγνιον ἐρήθημεν τοῦ Θεοῦ" τῷ θεοφόρῳ τούτῳ διδασκάλῳ, οὐκ ἔξω τοῦ εἰκότος. Πρός γάρ τήν μέλλουσαν τῆς θείας καί ἀληθοῦς ζωῆς ἀρχετυπίαν ἡ παροῦσα συγκρινομένη ζωή παίγνιόν ἐστι, καί πᾶν εἴ τι ἄλλο τούτου καθέστηκεν ἀνουσιώτερον. Ὅπερ ἐν τῷ εἰς Καισάριον ἐπιταφίῳ δείκνυσι σαφέστερον, οὑτωσί λέγων· "Τοιοῦτος ὁ βίος ἡμῶν, ἀδελφοί, τῶν ζώντων πρόσκαιρα· τοιοῦτο τό ἐπί γῆς παίγνιον· οὐκ ὄντας γενέσθαι, γενομένους ἀναλυθῆναι· ὄναρ ἐσμέν οὐχ ἱστάμενον, φάσμα τι μή κρατούμενον, πτῆσις ὀρνέου παρερχομένου, ναῦς ἐπί θαλάσσης ἴχνος οὐκ ἔχουσα, κόνις, ἀτμίς, ἑωθινή δρόσος, ἄνθος καιρῷ φυόμενον καί καιρῷ λυόμενον, ἄνθρωπος ὡσεί χόρτος αἱ ἡμέραι αὐτοῦ, ὡσεί ἄνθος τοῦ ἀγροῦ, οὕτως ἐξανθήσει, καλῶς ὁ θεῖος Δαβίδ περί τῆς ἀσθενείας ἡμῶν ἐφιλοσόφησε."

(1417) Ταῦτα περί ὧν τοῖς θειοτάτοις τοῦ μεγάλου Πατρός ἡμῶν καί διδασκάλου Γρηγορίου λόγοις ἠπορήσατε καί εἰπεῖν ἐκελεύσατέ μοι, μακαριώτατοι, κατά τήν ἐμήν δύναμιν. Τῷ ὑμετέρῳ νεύματι δικαίως ὑπείκων ἔφην ἐγώ στοχαζόμενος, ἀλλ᾽ οὐκ ἀποφαινόμενος. Οὐ γάρ ἐφικνεῖται τῆς μεγάλης καί ὑψηλῆς τοῦ θεοφόρου διδασκάλου διανοίας ὁ ἡμέτερος νοῦς, πολλαῖς ἔτι κατά θέλησιν ἀκίσι παθῶν βαλλόμενος, ὧν τοῖς μώλωψι μᾶλλον χαίρει στιζόμενος ἤ χάρισιν

ἀρετῶν καθαιρόμενος, διά τήν μακράν τοῦ κακοῦ συνήθειαν ἕξιν λαβών φιλαμαρτήμονα. Καί εἰ μέν φανῶσιν ὑμῖν τινα λόγον ἔχειν τῆς ὑποθέσεως ἄξιον, καί μή πάντη τῆς ἀληθείας ἀπολειπόμενον, τῷ Θεῷ χάρις, τῷ τήν χαμαίζηλον (ἵνα καί τοῦτο θαυματουργήσῃ) καί χαμαιπετῆ διάνοιαν φωτίσαντι, καί λόγον σύμμετρον χαρισαμένῳ, πρός τό χαράξαι τήν συμμετρίαν τῶν νοηθένων καί ὑμῖν τοῖς ὑποτάξασι καί τῇ τῶν εὐχῶν βοηθείᾳ τό πᾶν κατορθώσασιν. " Εἰ δέ οὐκ ὀρθῶς ἤ ἀτελῶς καί τῆς ἀληθείας ἤ ὁλικῶς ἤ μερικῶς ἀποπεπλάνημαι " (τόν γάρ μέγαν καί θεοφάντορα κἀν τούτῳ σοι προσφέρω Διονύσιον παρακλήτορα) , " τῆς σῆς ἄν εἴη φιλανθρωπίας ἐπανορθώσασθαι τόν ἀκουσίως ἀγνοοῦντα, καί μαθεῖν δεομένῳ, καί ἐπαμῦναι τῷ μή αὐτάρκη δύναμιν ἔχοντι, καί ἰάσασθαι τόν οὐκ ἐθέλοντα ἀῤῥωστεῖν, ἵνα καί τοῦτο μετά τῶν ἄλλων σου καλῶν, μᾶλλον δέ πρό τῶν ἄλλων, ἀνάθημα τίμιον καί πάσης θυσίας αἰδεσιμώτερον ἱερουργήσῃς τῷ Θεῷ τήν φιλανθρωπίαν, τῷ ἐν οὐρανῷ καί ἐπί γῆς παρά πάσης δοξαζομένῳ τῆς κτίσεως, καί μόνην ἀπαιτοῦντι παρ᾽ ἡμῶν θυσίαν τήν εἰς ἀλλήλους φιλανθρωπίαν.

**ΘΑΛΑΣΣΙΟΥ ΑΒΒΑ** ( Σελ. 1428)
***Περί ἀγάπης καί ἐγκρατείας, καί τῆς κατά νοῦν πολιτείας,***
***Πρός Παῦλον πρεσβύτερον.***

*ΕΚΑΤΟΝΤΑΣ Α΄.*

Ἧς ἡ ἀκροστιχίς ἥδε·

Πνευματικῷ ἀδελφῷ καί ἀγαπητῷ κυρίῳ Παύλῳ Θαλάσσιος, τῷ μέν φαινομένῳ Ἡσυχαστής· τῇ δέ ἀληθείᾳ πραγματευτής κενοδοξίας.

α΄. Πόθος πρός Θεόν ὁλικός τεταγμένος, θεῷ ἀλλήλοις συνδεσμεῖ τούς ποθοῦντας.
β΄. Νοῦς πνευματικήν ἀγάπην κτησάμενος οὐ λογίζεται περί τοῦ πέλας τά τῇ ἀγάπῃ μή πρέποντα.
γ΄. Ἐν πλάσματι ἀγάπης τήν ὑπόκρισιν κρύπτει, ὁ τῷ μέν στόματι εὐλογῶν, τῇ δέ καρδίᾳ ἐξουδενῶν.

δ΄. Ὑπομένει ἀταράχως ὁ ἀγάπην κτησάμενος τά παρ᾽ ἐχθρῶν ἀπαγόμενα λυπηρά, καί ἐπίπονα.

ε΄. Μόνη ἡ ἀγάπη συνάπτει τήν κτίσιν Θεῷ καί ἀλλήλοις εἰς ὁμόνοιαν.

στ΄. Ἀγάπην ἀληθινήν ἐκεῖνος κέκτηται, ὁ ὑπονοιῶν μή ἀνεχόμενος, μηδέ λόγου κατά τοῦ πέλας.

ζ΄. Τίμιος ὑπάρχει παρά Θεῷ καί ἀνθρώποις ὁ πρός κατάλυσιν ἀγάπης μηδέν ἐπιτηδεύων.

η΄. Ἴδιον ὑπάρχει τῆς ἀνυποκρίτου ἀγάπης, ὁ λόγος ἀληθής ἐκ συνειδήσεως ἀγαθῆς.

(1420) θ΄. Κρύπτει τόν φθόνον ἐν σχήματι εὐνοίας, ὁ ψόγον τῷ ἀδελφῷ ἐξ ἑτέρω(ν) προσφέρων.

ι΄. Ὥσπερ αἱ σαρκικαί ἀρεταί τήν τῶν ἀνθρώπων δόξαν, οὕτω καί αἱ πνευματικαί τήν τοῦ Θεοῦ ἐπισπῶνται.

ια΄. Ἀγάπη καί ἐγκράτεια ψυχήν καθαίρουσι· νοῦν δέ λαμπρύνει προσευχή καθαρά.

ιβ΄. Δυνατός ἀνήρ ἐκεῖνος ὑπάρχει, ὁ πράξει καί γνώσει τήν κακίαν ἀπελαύνων.

ιγ΄. Εὗρε χάριν οὗτος παρά τῷ Θεῷ, ὁ ἀπάθειαν κτησάμενος καί γνῶσιν πνευματικήν.

ιδ΄. Λογισμῶν ἐμπαθῶν εἰ περιγενέσθαι θέλῃς, ἐγκράτειαν κτῆσαι, καί ἀγάπην πρός τούς πλησίον.

ιε΄. Φύλαξιν σαυτόν ἀπό ἀκρασίας καί μίσους, καί μή εὕρῃς πρόσκομμα ἐν καιρῷ προσευχῆς σου.

ιστ΄. Ὥσπερ οὐκ ἔστιν εὑρεῖν ἐν βορβόρῳ ἀρώματα, οὕτως οὐδ᾽ ἐν ψυχῇ μνησικάκου ἀγάπης εὐωδίαν.

ιζ΄. Κράτει γενναίως θυμοῦ καί ἐπιθυμίας, καί πονηρῶν λογισμῶν τάχιστα ἀπαλλάττῃ.

ιη΄. Ἀναιρεῖ κενοδοξίαν ἡ κρυπτή ἐργασία, ἀπελαύνει δέ ὑπερηφανίαν τό μηδένα ἐξουθενεῖν.

ιθ΄. Ἴδιον κενοδοξίας ὑπόκρισις καί ψεῦδος· τῆς δέ ὑπερηφανίας, ἡ οἴησις καί φθόνος.

κ΄. Ἄρχων ἐκεῖνος ὁ ἑαυτοῦ ἄρξας, καί ψυχήν καί σῶμα τῷ λόγῳ ὑποτάξας.

κα΄. Γνησιότης φίλου ἐν πειρασμῷ δείκνυται, ἡνίκα τῆς ἀνάγκης συγκοινωνός γένηται.

κβ΄. Ἀσφάλισαι τάς αἰσθήσεις τῷ τρόπῳ τῆς ἡσυχίας, καί δίκασον τούς λογισμούς ἐφεστῶτας τῇ καρδίᾳ.

κγ΄. Πρός τούς λυπηρούς λογισμούς, ἀμνησικάκως ἀπάντα· πρός δέ τούς φιλοδόνους ἐχθρωδῶς διάκεισο.

κδ΄. Ἡσυχία καί προσευχή, καί ἀγάπη, καί ἐγκράτεια τετράπλοκόν ἐστιν ἅρμα, εἰς οὐρανούς ἀνάγον τόν νοῦν.

κε΄. Τῆξον τήν σάρκα σου ἀσιτίᾳ καί ἀγρυπνίᾳ, καί ἀπελαύνεις τόν δήμιον τῆς ἡδονῆς λογισμοῦ.

κστ΄. Ὡς τήκεται κηρός ἀπό προσώπου πυρός, οὕτως ἀπό φόβου Θεοῦ ἀκάθαρτος λογισμός.

κζ΄. Κακή ζημία ψυχῆς συνετῆς ἐγχρονίσαι πάθει ψεκτῷ.

κη΄. Ὑπόμεινον τάς τῶν λυπηρῶν καί ὀδυνηρῶν ἐπαγωγάς· διά γάρ τούτων σε καθαίρει ἡ τοῦ Θεοῦ πρόνοια.

κθ΄. Ῥίψας τήν ὕλην καί τῷ κόσμῳ ἀποταξάμενος· ἀπόταξαι λοιπόν καί τοῖς πονηροῖς λογισμοῖς.

λ΄. Ἴδιον ἔργον ὑπάρχει τοῦ νοῦ, τό λόγοις Θεοῦ σχολάζειν ἀεί.

λα΄. Ὥσπερ ἔργον Θεοῦ διοικῆσαι τόν κόσμον, οὕτω καί ψυχῆς κυβερνᾷν τό σῶμα.

λβ΄. Ποίᾳ ἐλπίδι τῷ Χριστῷ ἀπαντήσομεν, ταῖς τῆς σαρκός ἡδοναῖς μέχρι τοῦ νῦν δουλεύοντες;

(1432) λγ΄. Ἀναιρεῖ ἡδονήν κακοπάθεια καί λύπη, ἤ ἑκούσιος, ἤ ἐκ τῆς προνοίας ἐπαγομένη.

λδ΄. Ὕλη παθῶν φιλαργυρία τυγχάνει· ὡς αὐξητική οὖσα τῆς περιεκτικῆς ἡδονῆς.

λε΄. Λύπην τίκτει ἀποτυχία ἡδονῆς· ἡδονή δέ παντί πάθει συνέζευκται.

λστ΄. Ὧι μέτρῳ μετρεῖς τῷ σώματί σου, ἀντιστρόφως παρά Θεοῦ ἀντιμετρηθήσεταί σοι.

λζ'. Θείων κριμάτων ἔργα τυγχάνει ἀνταπόδοσις δικαία τῶν διά τοῦ σώματος πεπραγμένων.

λη΄. Ἀθανασίαν τίκτει ἀρετή καί γνῶσις· ὧν ἡ στέρησις, τοῦ θανάτου γέγονε μήτηρ.

λθ΄. Λύπη κατά Θεόν ἀναιρεῖ ἡδονήν· ἡδονῆς δέ ἀναίρεσις, ἀνάστασις ὑπάρχει ψυχῆς.

μ΄. Ἀπάθειά ἐστιν ἀκινησία ψυχῆς πρός κακίαν· ἧς τυχεῖν ἀμήχανον ἄνευ ἐλέους Χριστοῦ.

μα΄. Σωτήρ ὑπάρχει ψυχῆς καί σώματος ὁ Χριστός, οὗ τοῖς ἴχνεσιν ὁ ἀκολουθῶν, ἐλευθεροῦται κακίας.

μβ΄. Σωτηρίας εἰ θέλεις τυχεῖν, ἀπόταξαι ταῖς ἡδοναῖς· καί ἐγκράτειαν, καί ἀγάπην, καί προσευχήν ἀναλαβοῦ.

μγ΄. Ἴδιον ἀπαθείας, διάκρισις ἀληθινή· καθ᾿ ἥν πάντα πρᾶττε μέτρῳ καί κανόνι.

μδ΄. Ὁ Κύριος ἡμῶν καί Θεός Ἰησοῦς ἐστιν ὁ Χριστός· καί νοῦς ὁ ἀκολουθῶν αὐτῷ, μή μείνῃ ἐν τῇ σκοτίᾳ.

με΄. Συνάγαγε τόν νοῦν σου, καί τήρει τούς λογισμούς, καί οὕς εὕρῃς ἐμπαθεῖς, πολέμησον πρός αὐτούς.

μστ΄. Τρία ὑπάρχουσι πράγματα, δι᾿ ὧν λαμβάνεις λογισμούς· ἡ αἴσθησις, καί ἡ μνήμη, καί ἡ κρᾶσις τοῦ σώματος· χαλεπώτεροι δέ οἱ αὐτοί ἀπό τῆς μνήμης εἰσίν.

μζ΄. Ὧ ἐδόθη σοφία, ἔγνω λόγους ἀσωμάτων, καί τίς ἡ ἀρχή ὑπάρχει, καί τί τό τέλος τοῦ κόσμου.

μη΄. Μή ἀμέλει πρακτικῆς, καί φωτισθήσεται ὁ νοῦς σου. " Θησαυρούς, φησίν, ἀποκρύφους καί ἀοράτους ἀνοίξω σοι. "

μθ΄. Εὗρε χάριν παρά Θεῷ, ὁ παθῶν ἐλευθερωθείς, καί τό μέγα ἔλεος ὁ γνώσεως καταξιωθείς.

ν΄. Νοῦς παθών ἐλευθερωθείς, φωτοειδής γίνεται, ταῖς τῶν ὄντων θεωρίαις ἀδιαλείπτως καταλαμπόμενος.

να΄. Φέγγος ψυχῆς ἡ γνῶσίς ἐστιν, ἧς στερηθείς ὁ ἄφρων ἐν σκότει διαπορεύεται.

νβ΄. Ἄφρων ἐστίν ὁ ἐν σκότει διάγων· ὅν διαδέχεται τό σκότος ἀγνωσίας.

νγ΄. Ἰησοῦν ὁ ἀγαπῶν, ἐλευθερωθήσεται κακίας· καί ὁ ἀκολουθῶν αὐτῷ ὄψεται γνῶσιν ἀληθῆ.

νδ΄. Νοῦς παθῶν ἐλευθερωθείς, ψιλά βλέπει τά νοήματα, καί ἐγρηγορότος τοῦ σώματος, καί κατά τούς ὕπνους αὐτοῦ.

(1433) νε΄. Ὁ νοῦς εἰς ἄκρον καθαρθείς στενοχωρεῖται τοῖς οὖσι· καί ἔξω θέλει γίνεσθαι πάντων τῶν γεγονότων.

νστ΄. Μακάριος ὁ φθάσας εἰς τήν ἀπέραντον ἀπειρίαν· ἐκεῖνος δ᾿ ἔφθασεν, ὁ τά πεπερασμένα περάσας.

νζ΄. Ἐρευνᾷ λόγους Θεοῦ ὁ σεβόμενος αὐτόν· εὑρίσκει δέ αυτούς ὁ τῆς ἀληθείας ἐραστής.

νη΄. Νοῦς ἐξ ὀρθότητος κινούμενος, εὑρίσκει ἀλήθειαν· ὁ δέ ἐκ πάθους τινός, ἀποτεύξεται αὐτῆς.

νθ΄. Ὥσπερ τῇ οὐσίᾳ ἄνωστος ὁ Θεός, οὕτως καί τῇ μεγαλοσύνῃ ἐστίν ἀπέραντος.

ξ΄. Ἧς οὐσίας ἀρχή καί τέλος οὐκ ἔστιν, οὔτε τῆς σοφίας ἐξεύρεσις.

ξα΄. Σωτηρία ὑπάρχει πάσης κτίσεως, ἡ ὑπεράγαθος τοῦ Κτίσαντος περί αυτήν πρόνοια.

ξβ΄. Ὑποστηρίζει Κύριος πάντας τούς καταπίπτοντας ἐν οἰκτιρμοῖς, καί ἀνορθοῖ πάντας τούς κατεῤῥαγμένους.

ξγ΄. Χριστός ἐστι ζώντων καί νεκρῶν κριτής, καί τῆς ἑκάστου πράξεως δίκαιος ἀνταποδότης.

ξδ΄. Ἆρξαι εἰ θέλεις τῆς ψυχῆς καί τοῦ σώματος, προλαβών τάς τῶν παθῶν αἰτίας περίκοπτε.

ξε΄. Σύζευξον ταῖς ἀρεταῖς τάς τῆς ψυχῆς δινάμεις, καί πάσης τῆς τῶν παθῶν ὁρμῆς ἀποζεύγνυνται.

ξστ΄. Τς τῆς ἐπιθυμίας ὁρμάς ἐγκρατείᾳ χαλίνωσον· τάς δέ τοῦ θυμοῦ, ἀγάπῃ πνευματικῇ.

ξζ΄. Ἡσυχία καί προσευχή, μέγιστα ὅπλα ἀρετῆς· αὗται γάρ τόν νοῦν καθαίρουσαι, διορατικόν ἀπεργάζονται.

ξη΄. Συντυχία ὠφελεῖ μόνη ἡ πνευματική· τῶν δέ λοιπῶν πασῶν προτιμωτέρα ἡσυχία.

ξθ΄. Τῶν πέντε τρόπων συντυχίας, τούς τρεῖς ἐπίλεξαι· τῷ δέ τετάρτῳ μή συχνάσῃς· τοῦ πέμπτου ἀπόστηθι.

ο΄. Ἡσυχίαν ἀγαπᾷ ὁ μή πάσχων πρός τά τοῦ κόσμου. Καί πάντας τούς ἀνθρώπους, ὁ μηδέν ἀγαπῶν ἀνθρώπινον.

οα΄. Δισάσκαλος ἀληθής ἡ συνείδησις ὑπάρχει, ᾗ ὁ ὑπακούων ἀπρόσκοπος διαμένει.

οβ΄. Ἐκείνους μόνους οὐ κρίνει τό συνειδός, τούς εἰς τό ἄκρον τῆς ἀρετῆς ἤ τῆς κακίας φθάσαντας.

ογ΄. Ἄκρα ἀπάθεια ψιλά ποιεῖ τά νοήματα· ἄκρα δέ γνῶσις τῷ ὑπεραγνώστῳ παρίστησιν.

οδ΄. Λύπη ἐστίν ψεκτή ἀποτυχία ἡδονῶν, ὧν ὁ καταφρονήσας, ἄλυπος διαμένει.

δε΄. Ἡ λύπη καθόλου στέρησίς ἐστιν ἡδονῆς, κἄν τε τῆς κατά Θεόν, κἄν τῆς κατά κόσμον νοήσης.

δστ΄. Θεοῦ ἐστι βασιλεία, ἀγαθότης καί σοφία, ὧν ὁ ἐπιτυχών, ἐν οὐρανοῖς πολιτεύεται.

οζ΄. Ἐκεῖνος ἄθλιος ἄνθρωπος, ὁ τῆς ψυχῆς μέν τό σῶμα, τοῦ Θεοῦ δέ τόν κόσμον τοῖς ἔργοις προτιμήσας.

(1436) οη΄. Ἴσην τήν ἀγάπην πρός πάντας κέκτηται ὁ τοῖς μέν σπουδαίοις μή φθονῶν, τούς δέ φαύλους ἐλεῶν.

οθ΄. Ἆρξαι ὡς ἀληθῶς ἐκεῖνος ὤφειλεν, ὁ καί ψυχῇ καί σώματι τά τῆς ἀρετῆς νομοθετήσας.

π΄. Πραγματευτής πνευματικός ἐκεῖνος ὑπάρχει, ὁ ἐξ ἴσου διά τά μέλλοντα καί τῶν ἡδέων τοῦ βίου καί τῶν αὐστειρῶν ἀποταξάμενος.

πα΄. Ῥώννυσι ψυχήν μέν, ἀγάπη καί ἐγκράτεια· νοῦν δέ προσευχή καθαρά, καί θεωρία πνευματική.

πβ΄. Γνώμη πονηρά κακά ἐνθυμεῖται, καί τά κατορθώματα τοῦ πλησίον εἰς ἐλάττονα παραγνωρίζει.

πδ΄. Μή πίστευε τῷ λογισμῷ κρίνοντι τόν πλησίον, ὅτι πονηρόν ἔχων θησαυρόν, πονηρά καί λογίζεται.

πε΄. Ἀγαθή καρδία ἀγαθάς ἐννοίας φέρει· πρός γάρ τόν θησαυρόν αὐτοῦ, καί τά ἐνθυμήματα αὐτοῦ.

πστ΄. Τήρει τούς λογισμούς, καί φεῦγε ἀπό κακίας· ἵνα μή σκοτισθείς ὁ νοῦς ἄλλα ἀντ᾽ ἄλλων βλέπῃ.

πζ΄. Ἐννόει τούς Ἰουδαίους, καί ἀσφάλισαι σεαυτόν. Οἱ ἐκ τοῦ φθόνου τυφλωθέντες, τόν Κύριον καί Θεόν εἰς Βεελζεβούλ παρεγνώρισαν.

πη΄. Ὑπόνοια πονηρά σκοτίζει διάνοιαν, καί ποιεῖ, τά παρά τήν ὁδόν, ἀντί τῆς ὁδοῦ θεωρεῖν.

πθ΄. Ταῖς ἀρεταῖς ἁπάσαις παραπεπήγασιν αἱ κακίαι· καί διά τοῦτο τάς ἀρετάς οἱ πονηροί εἰς κακίας παραγνωρίζουσι.

Τέσσαρα ἀνοικτό.΄ Ἡδονῇ ἤ λύπῃ ἐγχρονίζων ὁ νοῦς, τῷ τῆς ἀκηδίας πάθει τάχιστα περιπίπτει.

Τέσσ. ἀνοικτό α΄. Συνείδησις καθαρά διεγείρει ψυχήν, λογισμός δέ ῥυπαρός καταχθονίζει αὐτήν.

Τέσσ. ἀνοικ. β΄. Κινούμενα τά πάθη ἀπελαύνουσι κενοδοξίαν· ἀναιρούμενα δέ, πάλιν αὐτήν ὑποστρέφουσιν.

Τέσσ. ἀνοικ. γ΄. Εἰ πάντων ὁμοῦ τῶν παθῶν ἀπαλλαγῆναι θέλεις, ἐγκράτειαν καί ἀγάπην καί προσευχήν ἀνάλαβε.

Τέσσ. ἀνοικ. δ΄. Νοῦς διά προσευχῆς τῷ Θεῷ ἐγχρονίζων, καί τό παθητικόν τῆς ψυχῆς τῶν παθῶν ἀπαλλάττει.

Τέσσ. ἀνοικ. ε΄. Ὁ Θεός τό εἶναι τοῖς οὖσι δεδωκώς, καί τῇ προνοίᾳ αὐτοῦ ἅμα τά πάντα συνέδησεν.

Τέσσ. ἀνοικ. στ΄. Δεσπότης δέ ὑπάρχων, καί δοῦλος γενόμενος, τό ἄκρον τῆς προνοίας τῇ κτίσει ἐξέφηνεν.

Τέσσ. ἀνοικ. ζ΄. Ὁ Θεός καί Λόγος ἀτρέπτως σαρκωθείς, πάσῃ τῇ κτίσει διά τῆς σαρκός ἡνώθη.

Τέσσ. ἀνοικ. η΄. Ξένον θαῦμα ἐν οὐρανῷ καί ἐπί γῆς, ὅτι Θεός ἐπί γῆς, κἄν ἄνθρωπος ἐν οὐρανοῖς· ἵνα ἀνθρώπους ἀγγέλοις συνάψας, ἅμα πάσῃ τῇ κτίσει τήν θέωσιν χαρίσηται.

(14370 Τέσσ. ἀνοικ. θ΄. Ἁγιασμός καί θέωσις ἀγγέλων καί ἀνθρώπων, ἡ γνῶσις τῆς ἁγίας καί ὁμοουσίου Τριάδος.

ρ΄. Συγχώρησις ἁμαρτιῶν, παθῶν ἐστιν ἐλευθερία, ὧν ὁ μήπω ἀπαλλαγείς χάριτι, τῆς συγχωρήσεως οὔπω ἔτυχεν.

***ΕΚΑΤΟΝΤΑΣ Β΄.***

Ἧς ἡ ἀκροστιχίς ἥδε

Εὖξαι ὑπέρ ἐμοῦ ἀδελφέ τιμιώτατε, ὅτι μεγάλα κακά προσδοκῶ ἄξια τῆς ἐμῆς προαιρέσεως, λύπας τῇ ψυχῇ, καί ὀδύνας τῷ σώματι.

α΄. Ἐθέλεις ὑφ᾽ ἕν τῶν κακιῶν ἀπαλλαγῆναι; τῇ μητρί τῶν κακῶν τῇ φιλαυτίᾳ ἀποτάξαι.

β΄. Ὑγεία ψυχῆς, ἀπάθεια καί γνῶσις, ἧς τυχεῖν ἀμήχανον τόν ἡδοναῖς δουλεύοντα.

γ΄. Ξηραίνει τάς ἡδονάς τάς σωματικάς τε, καί ψυχικάς ἐγκράτεια μεθ᾽ ὑπομονῆς, καί ἀγάπη μετά μακροθυμίας.

δ΄. Ἀρχή κακῶν τῇ ψυχῇ ἡ φιλαυτία γέγονεν· φιλαυτία δέ ἐστιν ἡ τοῦ σώματος φιλία.

ε΄. Ἴδιον τοῦ λογικοῦ τό ὑποταγῆναι τῷ λόγῳ, καί τό ὑποπιάσαι, καί δουλαγωγῆσαι τό σῶμα.

στ΄. Ὕβρις τῷ λογικῷ ὑποταγῆναι τῷ ἀλόγῳ, καί πρόνοιαν αὐτοῦ ποιεῖσθαι εἰς ἐπιθυμίας αἰσχράς.

ζ΄. Πονηρόν ἔργον ψυχῆς λογικῆς, καταλιμπάνειν τόν Κτίσαντα, καί λατρεύειν τῷ σώματι.

η΄. Ἐκελεύσθης τό σῶμα ὑπηρέτην ἔχειν, οὐ μήν δέ ταῖς ἡδοναῖς αὐτοῦ παρά φύσιν δουλεύειν.

θ΄. Ῥῆξον τά δεσμά τῆς πρός τό σῶμα φιλίας, καί μηδέν παράσχῃς τῷ δούλῳ, ὅ τι μή πᾶσα ἀνάγκη.

ι΄. Ἔγκλεισον τάς αἰσθήσεις ἐν τῷ φρουρίῳ τῆς ἡσυχίας, ἵνα μή τόν νοῦν περισπῶσιν εἰς τάς ἰδίας ἀπιθυμίας.

ια΄. Μέγιστα ὅπλα τοῦ μεθ᾽ ὑπομονῆς ἡσυχάζοντος, ἐγκράτεια καί ἀγάπη καί προσευχή καί ἀνάγνωσις.

ιβ΄. Οὐ παύεται ὁ νοῦς περί τάς ἡδονάς κυκλεύων, ἄχρις οὗ τήν σάρκα δουλαγωγήσας θεωρίᾳ σχολάζεται.

ιγ. Ὑπέρ τῶν ἐντολῶν ἀγωνιζώμεθα, ἵνα παθῶν ἐλευθερ(ωθ)ῶμεν· ὑπέρ δέ τῶν θείων δογμάτων, ἵνα γνώσεως ἀξιωθῶμεν.

(1440) ιδ΄. Ἀταραξία ψυχῆς ἀπάθεια καί γνῶσις· ἧς τυχεῖν ἀμήχανον τόν ἡδοναῖς δουλεύοντα.

ιε΄. Δουλαγώγει τό σῶμα περιελών τάς ἡδονάς, καί ἀπάλλαξον αὐτό μοχθηρᾶς δουλείας.

ιστ΄. Ἐλεύθερος κτισθείς, καί ἐπ᾽ ἐλευθερίᾳ κληθείς, μή ἀνάσχῃ δουλεύειν πάθεσιν ἀκαθάρτοις.

ιζ΄. Λύπαις καί ἡδοναῖς, ἐπιθυμίαις καί φόβοις, συνδεσμοῦσι τόν νοῦν τοῖς αἰσθητοῖς οἱ δαίνομες.

ιη΄. Φόβος Θεοῦ κρατεῖ ἐπιθυμιῶν, καί λύπη κατά Θεόν ἀπελαύνει τήν ἡδονήν.

ιθ΄. Ἐπιθυμία σοφίας καταφρονεῖ φόβου, καί ἡ δοκή γνώσεως ἀποδιώκει λύπην.

κ΄. Τά τέσσαρα ταῦτα αἱ Γραφαί περιέχουσι· τάς ἐντολάς, τά δόγματα, τάς ἀπειλάς, τάς ἐπαγγελίας.

κα΄. Ἵστησιν τήν ἐπιθυμίαν εὐκράτεια καί κόπος· μειοῖ δέ αὐτόν ἀγάπη καί συμπάθεια.

κδ΄. Ὧ ἐδόθη γνῶσις, ἐδόθη φῶς νοερόν· ὅς δέ λαβών ἀτιμάζει, ὄψεται σκότος.

κε΄. Τήρησις ἐντολῶν Θεοῦ, τίκτει ἀπάθειαν· ἀπάθει δέ ψυχῆς συντηρεῖ γνῶσιν.

κστ΄. Ἀνάγαγε τά αἰσθητά ἐπί νοητήν θεωρίαν, καί ἀνθέλκεις τήν αἴσθησιν ἐπάνω τῶν αἰσθητῶν.

κζ΄. Τό αἰσθητόν γύναιον σημαίνει ψυχήν πρακτικήν· ᾗ ὁ νοῦς συγγενόμενος ἀποτίκτει τάς ἀρετάς.

κη΄. Ἔρευνα λόγων Θεοῦ, διδάσκει γνῶσιν Θεοῦ τόν ἐν ἀληθείᾳ ζητοῦντα, ἐν εὐλαβείᾳ καί πόθῳ.

κθ΄. Ὅπερ ἐστί τό φῶς τοῖς ὁρῶσι καί ὁρωμένοις, τοῦτο καί ὁ Θεός τοῖς νοοῦσι, καί νουομένοις.

λ ΄. Τό αἰσθητόν στερέωμα, τό τῆς πίστεως σημαίνειι στερέωμα, ἐν ᾧ πάντες οἱ ἅγιοι δίκην φωστήρων λάμπουσι.

λα΄. Ἱερουσαλήμ ἐστιν ἐπουράνιος, γνῶσις τῶν ἀσωμάτων· ἐν αὐτῇ γάρ θεωρεῖται ἡ ὅρασις τῆς εἰρήνης.

λβ΄. Μή ἀμέλει τῆς πράξεως, ἐπεί μειοῦται ἡ γνῶσις· καί λιμοῦ γενομένου καταβαίνεις εἰς Αἴγυπτον.

λγ΄. Ἐλευθερία ἐστί νοητή, ἡ τῶν παθῶν ἀπαλλαγή· ἧς οὐδείς ἐπιτυγχάνει ἄνευ ἐλέους Χριστοῦ.

(1441) λδ΄. Γῆ ἐστιν ἐπαγγελίας ἡ βασιλεία τῶν οὐρανῶν, ἧς πρόξενοι γίνονται ἀπάθεια καί γνῶσις.

λε΄. Αἴγυπτός ἐστι νοητή, σκοτασμός τῶν παθῶν· εἰς ἥν οὐδείς καταβαίνει, εἰ μή λιμῷ περιπέσῃ.

λστ΄. Λόγοις πνευματικοῖς ἐπισυχνάσεις τό οὗς σου, καί λογισμῶν ἀκαθάρτων ἀπομακρυνεῖ ὁ νοῦς σου.

λζ΄. Ἀγαθός καί σοφός φύσει μόνος ὁ Θεός· γίνεται δέ μεθέξει καί ὁ νοῦς, ἐάν σπουδάσῃ.

λη΄. Κράτει γαστρός καί ὕπνου, καί θυμοῦ, καί γλώσσης· καί οὐ μή προσκόψεις πρός λίθον τόν πόδα σου.

λθ΄. Ἀγωνίζου ἀγαπῆσαι πάντα ἄνθρωπον ἐξ ἴσου, καί ἀπελαύνεις συλλήβδην πάντα τά πάθη.

μ΄. Κοινή νοῦ καί αἰσθήσεως ἡ θεωρία τῶν αἰσθητῶν· ἰδία δέ τοῦ νοῦ ἡ γνῶσις τῶν νοητῶν.

μα΄. Ἀδύνατον τόν νοῦν σχολάσαι τοῖς νοητοῖς, εἰ μή τήν σχέσιν τήν πρός τήν αἴσθησιν, καί τά αἰσθητά ἀποκόψῃ.

μβ΄. Προσπάθειαν φυσικήν ἡ αἴσθησις ἔχει πρός τά αἰσθητά, καί συμπερισπᾷ τόν νοῦν περισπωμένη περί αὐτά.

μγ΄. Ῥίψον τήν αἴσθησιν περί τήν τοῦ νοῦ ὑπουργίαν, καί μή δῷς αὐτῇ καιρόν ἀντιπερισπᾶσαι αὐτόν.

μδ΄. Ὅταν συμβῇ τόν νοῦν σχολάσαι τοῖς αἰσθητοῖς, ἀντιπερίσπα τήν αἴσθησιν, πρός νοῦν ἀνάγων τά παρακείμενα.

με΄. Σημεῖον, ὅτι σχολάζει ὁ νοῦς περί τά νοητά, τό πάντων καταφρονεῖν τῶν τήν αἴσθησιν σαινόντων.

μστ΄. Διανοιγόμενος ὁ νοῦς περί τήν τῶν νοητῶν θεωρίαν, δυσαπόσταστον ἔχει τήν περί αὐτά ἡδονήν.

μζ΄. Ὅταν ὁ νοῦς πλουτήσῃ τήν τῆς μονάδος γνῶσιν, τότε καί τήν αἴσθησιν πάντῃ δεδουλωμένην ἔχει.

μη΄. Κώλυε τόν νοῦν σου κυκλεύειν τά αἰσθητά, ἵνα μή ἡδονάς καί λύπας ἐν αὐτοῖς καρπώσηται.

μθ΄. Ὧν ὁ νοῦς ἐν τοῖς θείοις σχολάζει διαπαντός, τούτων καί τό παθητικόν μέρος θεῖον γέγονεν ὅπλον.

ν΄. Ἀδύνατον τόν νοῦν τῇ γνώσει ποιωθῆναι, εἰ μή πρότερον τό παθητικόν ταῖς οἰκείας ἀρεταῖς ἐξ αὐτοῦ πελάσει.

να΄. Ξένος τῶν τοῦ κόσμου ὁ νοῦς τότε γίνεται, ὅταν τήν πρός τήν αἴσθησιν σχέσιν παντελῶς ἀποκόψῃ.

νβ΄. Ἴδιον τοῦ λογιστικοῦ τῆς ψυχῆς, σχολάζειν γνώσει Θεοῦ· τοῦ δέ παθητικοῦ αὐτῆς, ἀγάπη καί ἐγκράτεια.

νγ΄.(1444) Ἀδύνατον τόν νοῦν πράγματι χρονίζειν αἰσθητῷ, εἰ μή πάντως πάθος κέκτηται πρός αὐτό.

νδ΄. Τέλειός ἐστιν ὁ νοῦς ὁ ποιωθείς τῇ γνώσει. Ψυχή δέ ἐστι τελεία, ἡ ταῖς ἀρεταῖς ἀνακραθεῖσα.

νε΄. Ἡ πρός τήν αἴσθησιν σχέσις τοῦ νοῦ, δοῦλον αὐτόν καθίστησι τῶν τοῦ σώματος ἡδονῶν.

νστ΄. Σαλεύεται ὁ νοῦς ἐκ τοῦ τόπου τῆς γνώσεως, ὅτι τό παθητικόν αὐτοῦ κινηθῇ ἐκ τῶν ἰδίων ἀρετῶν.

νζ΄. Ἐλάβομεν ἐξουσίαν τέκνα γενέσθαι Θεοῦ· οὐ γινόμεθα δέ εἰ μή τά πάθη ἀποδυσώμεθα.

νη΄. Μηδείς οἰέσθω τέκνον Θεοῦ κατ' ἐνέργειαν γεγονέναι, μήπω τούς θείους χαρακτῆρας ἐν ἑαυτῷ κτησάμενος.

νθ΄. Ἡ κατά τόν τρόπον ὁμοίωσις τοῦ ἀγαθοῦ, ἤ τοῦ πονηροῦ, ἤ τοῦ Θεοῦ υἱούς, ἤ τοῦ Σατανᾶ ἀπεργάζεται.

ξ΄. Συνετός ἀνήρ ὁ προσέχων ἑαυτῷ, καί σπεύδων χωρισθῆναι ἀπό παντός μολυσμοῦ.

ξα΄. Πεπωρωμένη ψυχή, μαστιζομένη οὐκ αἰσθάνεται, καί εἰς συναίσθησιν ἐλθεῖν τοῦ εὐεργέτου οὐκ ἀνέχεται.

ξβ΄. Ῥυπαρά ἐσθής θείων γάμων ἐκβάλλεται, καί κοινωνόν ἀπεργάζεται σκότους ἐξωτέρου.

ξγ΄. Ὁ φοβούμενονς τόν Θεόν, ἐπιμελεῖται τῆς ἑαυτοῦ ψυχῆς, καί πονηρᾶς κοινωνίας ἀπαλλάττει ἑαυτόν.

ξδ΄. Ἀμήχανόν ἐστι τυχεῖν ἐλέους Θεοῦ τόν καταλείποντα αὐτόν, καί ἡδοναῖς δουλεύοντα.

ξε΄. Ἰησοῦς ἐστιν ὁ λέγων, κἄν πιστεύειν οὐ θέλωμεν, ὅτι οὐδείς δύναται δυσί κυρίοις δουλεύειν.

ξστ΄. Ῥυπωθεῖσα ψυχή, ἀπό παθῶν πεπώρωται, καί ἄνευ τομῶν καί καυτήρων πιστεύειν οὐκ ἀνέχεται.

ξζ΄. Ἐτασμοί φοβεροί τούς πηρούς διαδέχονται· δίχα γάρ μεγάλων πόνων μαλαχθῆναι οὐ καταδέχονται.

ξη΄. Συνετός ἀνήρ ἐπιμελεῖται ἑαυτοῦ· καί δι᾽ ἑκουσίων πόνων τούς ἀκουσίους ἐκφεύγει.

ξθ΄. Ἐπιμέλεια ψυχῆς, κακοπάθεια καί ταπείνωσις· δι᾽ ὧν ὁ Θεός συγχωρεῖ πάσας ἁμαρτίας.

ο΄. Ὥσπερ ἐπιθυμίαι καί ὀργαί ἁμαρτίας πληθύνουσιν· οὕτως ἡ ἐγκράτεια καί ταπείνωσις ἐξαλείφουσιν αὐτάς.

οα΄. Συντρίβει καρδίαν λύπη κατά Θεόν· αὐτήν δέ τίκτει φόβος κολάσεως.

οβ΄. Λύπη κατά Θεόν καθαίρει καρδίαν· καί τούς μολυσμούς τῶν ἡδονῶν μακρύνει ἀπ' αὐτῆς.

ογ΄. Ὑπομονή ἐστιν φιλοπονία ψυχῆς· ἔνθα δέ φιλοπονία, φιληδονία ἐξώρισται.

οδ΄. Πᾶσα ἁμαρτία διά τήν ἡδονήν γίνεται· καί πᾶσα συγχώρησις, διά τήν κακοπάθειαν, καί λύπην.

(1445) οε΄. Ἀκουσίοις πόνοις κατά πρόνοιαν περιπίπτει, ὁ δι᾽ ἑκουσίων πόνων μετανοεῖν μή ἀνεχόμενος.

οστ΄. Σωτήρ ἐστιν ὁ Χριστός τοῦ σύμπαντος κόσμου· καί τήν μετάνοιαν εἰς σωτηρίαν τοῖς ἀνθρώποις ἐχαρίσατο.

οζ΄. Τήρησιν ἐντολῶν τίκτει μετάνοια· ἡ δέ τῶν ἐντολῶν τήρησις, ψυχῆς ποιεῖ τήν κάθαρσιν.

οη΄. Ἡ τῆς ψυχῆς κάθαρσις, παθῶν ἐστιν ἀπαλλαγή· ἡ δέ τῶν παθῶν ἀπαλλαγή, ἀγάπην τίκτει Θεοῦ.

οθ΄. Ψυχή καθαρά ἡ τόν Θεόν ἀγαπῶσα, καί νοῦς ἐστιν καθαρός ὁ ἀγνοίας χωρισθείς.

π΄. Ὑπέρ τῶν ἐντολῶν τοῦ Θεοῦ μέχρι θανάτου ἀγώνισαι, ὅτι δι᾽ αὐτῶν καθαρθείς εἰς τήν ζωήν εἰσελεύσῃ.

πα΄. Χρῆσαι τῷ σώματι ὡς ὑπηρέτῃ τῶν ἐντολῶν, ἀνώδυνον αὐτό τηρῶν καί ἄνοσον ὅση δύναμις.

πβ΄. Ἡ τῆς σαρκός ἐπανάστασις, ἐξ ἀμελείας γίνεται τῆς προσευχῆς τε καί διαίτης, καί καλῆς ἡσυχίας.

πγ ΄. Καλά ἔγγονα τίκτει ἡ καλή ἡσυχία· ἐγκράτειαν καί ἀγάπην καί τήν προσευχήν καθαράν.

πδ΄. Ἀνάγνωσις καί προσευχή νοῦν καθαίρουσιν· ἀγάπη δέ καί ἐγκράτεια τό παθητικόν τῆς ψυχῆς.

πε΄. Ἴσην διαπαντός τήρει τήν ἐγκράτειαν, ἵνα μή τῇ ἀνωμαλίᾳ εἰς τά ἐναντία πέσῃς.

πστ΄. Ὁ νομοθετῶν ἑαυτῷ μή παραβῇ ἑαυτόν· γάρ ἑαυτόν παραλογιζόμενος, ἑαυτόν ἀπατᾷ.

πζ΄. Δυσμαί εἰσιν νοηταί, ψυχαί ἐμπαθεῖς· ταῖς γάρ τοιαύταις ἔδυ τῆς δικαιοσύνης ὁ ἥλιος.

πη΄. Υἱός ἐστιν Θεοῦ ὁ ὁμοιωθείς τῷ Θεῷ δι᾽ ἀγαθότητος, καί τῆς σοφίας, καί δυνάμεως, καί δικαιοσύνης.

πθ΄. Νόσος ἐστίν ψυχῆς, ἡ τῆς κακίας ἕξις, θάνατος δέ ἡ κατ᾽ ἐνέργειαν ἁμαρτία.

Τέσσ. ἀνοικ.΄. Ἀκτημοσύνη ἐστίν νοητή, ἡ παντελής ἀπάθεια, καθ᾽ ἥν γενόμενος ὁ νοῦς ἀναχωρεῖ τῶν ἐνταῦθα.

Τέσσ. ἀνοικ. α΄. Συμφώνους τήρει τάς τῆς ψυχῆς ἀρετάς· ἐκ τούτου γάρ τίκτεται ὁ τῆς δικαιοσύνης καρπός.

Τέσσ. ἀν. β΄. Τήν τῶν νοητῶν θεωρίαν, ἀσώματον εἶναί φασιν, ὡς ὕλης καί εἴδους πάντη ἀπηλλαγμένην.

Τέσσ. ἀν. γ΄. Ὥσπερ τά τέσσαρα στοιχεῖ ἐκ τῆς ὕλης καί τοῦ εἴδους· οὕτως καί τά ἐξ αὐτῶν σώματα ἐκ τῶν αὐτῶν συνέστηκεν.

Τέσσ. ἀν. δ΄. Σάρξ γενόμενος διά τήν φιλανθρωπίαν ὁ Λόγος, οὔτε ὅ ἦν μετέβαλεν, οὐδ᾽ ὄ γέγονεν, ἠλλοίωσεν.

(1448) Τέσσ. ἀν. ε΄. Ὥσπερ ἐκ θεότητος καί ἀνθρωπότητος, καί ἐν θεότητι, καί ἀνθρωπότητι, οὕτως καί ἐκ δύο φύσεων, καί ἐν δύο φύσεσι λέγομεν τόν ἕνα Θεόν.

Τέσσ. ἀν. στ΄. Μίαν ὑπόστασιν Χριστοῦ ὁμολογοῦμεν ἐν δύο φύσεσιν ἡνωμένας ἀδιαιρέτως.

Τέσσ. ἀν. ζ΄. Ἀδιαίρετον τήν μίαν Χριστοῦ ὑπόστασιν δοξάζομεν, καί ἀσύγχυτον τήν τῶν φύσεων ἕνωσιν ὁμολογοῦμεν.

Τέσσ. ἀν. η΄. Τρισυποστατον τήν μίαν τῆς θεότητος οὐσίαν προσκυνοῦμεν, καί ὁμοούσιον τήν ἁγίαν Τριάδα θεολογοῦμεν.

Τέσσ. ἀν. θ΄. διά τῶν τριῶν ὑποστάσεων πατρότης, υἱότης, ἐκπόρευσις· καί κοινά τῶν αὐτῶν πάλιν ἐστίν, ἡ οὐσία, ἡ φύσις, ἡ θεότης, ἡ ἀγαθότης.

### *ΕΚΑΤΟΝΤΑΣ Γ΄. (1448)*

Ἧς ἡ ἀκροστοιχίς ἤδε·

Ἀλλ᾽ ἦν κακά κυρίως, οὐ τά τήν συνείδησιν λυποῦντα, τήν δέ ψυχήν καθαίροντα, ἀλλά τά τήν συνείδησιν λυποῦντα, τέρποντα δέ τήν σάρκα.

α΄. Ἀγαθά διανοοῦ, καί περί παντός ἀνθρώπου καλά διαλογίζου.

β΄. Λόγων καί ἔργων καί ἐννοιῶν ἀπολογίαν ἀπαιτούμεθα παρά Θεοῦ ἐν ἡμέρᾳ κρίσεως.

γ΄. Ἡ ἕξις τῆς ἀρετῆς ἤ τῆς κακίας κινεῖ ἡμᾶς ἐπί τά καλά ἤ τά κακά ἐννοεῖν, ἤ λέγειν, ἤ διαπράττεσθαι.

δ΄. Νοῦς ἀπό παθῶν κεκρατημένος, ἐννοεῖ τά μή πρέποντα· φανεροῦσι δέ τήν ἔννοιαν οἱ λόγοι καί τά ἔργα.

ε΄. Κακῆς ἐννοίας προηγεῖται πάθος, τοῦ δέ πάθους αἰτία καθέστηκεν ἡ αἴσθησις, τῆς δέ κακῆς αὐτῆς χρήσεως, δῆλον ὅτι ὁ νοῦς.

στ΄. Ἀπόκλεισον τήν αἴσθησιν· καί πολέμησον τήν πρόληψιν, καί ὅπλοις τῶν ἐντολῶν ἄνελέ σου τά πάθη.

ζ΄. Κακία χρονίσασα, ἀσκήσεως δεῖται χρονίας· συνήθεια γάρ παγιωθεῖσα ἀθρόως οὐ μετακινεῖται.

η΄. Ἄσκησις ἐπιτεταμένη ἐγκρατείας καί ἀγάπης, δι᾽ ὑπομονῆς καί ἡσυχίας ἀνεῖλε τά ἐγκείμενα.

θ΄. (1449) Κίνει τόν νοῦν εἰς προσευχήν συνεχῶς, καί διαφθείρεις τούς λογισμούς ἐφεστῶτας τῇ καρδίᾳ.

ι΄. Ὑπομονῆς δεῖται καί μακροθυμίας ἄσκησις· χρονίᾳ γάρ φιλοπονίᾳ φιληδονία ἐξορίζεται.

ια΄. Ῥαδίως γυμνάζῃ εἰς τούς τῆς ἀσκήσεως πόνους, ἐάν πάντα τῷ μέτρῳ καί κανόνι διαπράξῃ.

ιβ΄. Ἴσον τό μέτρον τῆς ἀσκήσεως φύλαττε, καί μή λύσῃς κανόνα ἐκτός τῆς ἀνάγκης.

ιγ΄. Ὥσπερ λογισμούς καθαίρει ἀγάπη καί ἐγκράτεια, οὕτως πᾶν ὕψωμα ἐπαιρόμενον θεωρία καί προσευχή.

ιδ΄. Συνείδησιν καθαράν πόνοι ποιοῦσιν ἀσκήσεως, οἷον νηστεία, ἀγρυπνία, ὑπομονή, μακροθυμία.

ιε΄. Ὁ τῶν ἀκουσίων πειρασμῶν τάς ἐπαγωγάς ὑπομένων, ταπεινόφρων, καί δόκιμος, καί εὔελπις γίνεται.

ιστ΄. Ὑπομονή ἐστιν φιλοπονία ψυχῆς· συνίσταται δέ αὕτη ἐξ ἑκουσίων πόνων καί ἀκουσίων πειρασμῶν.

ιζ΄. Τίκτει ἀκακίαν ἡ τῶν δεινῶν καρτερία, καί ἀπόλυσιν κακίας εἰς τό τέλος ἡ μέχρι τέλους ὑπομονή.

ιη΄. Αἴσθησιν ὀδυνᾷ πόνων ἐπαγωγή, καί ἡδονήν ἀναιρεῖ λύπης ἐπιφορά.

ιθ΄. Τέσσαρά ἐστι γενικώτατα πάθη, οἷς σοφῶς κατ᾽ ἀλλήλων ὑπόνοια κέχρηται.

κ΄. Ἡδονήν γάρ συστέλλει λύπης ἐπαγωγή, καί ἐπιθυμίαν μαραίνει φόβος κολάσεων.

κα΄. Νοῦς φρόνιμος γυμνάζει ψυχήν αὐτοῦ, καί εἰς πᾶσαν ἄσκησιν ἐθίζει τό σῶμα αὐτοῦ.

κβ΄. Σπεῦσον δεῖξαι μοναχόν, μή τόν ἔξω ἄνθρωπον, ἀλλά καί τόν ἔσω τῶν παθῶν ἀπαλλάττων.

κγ΄. Ἀποταγή πρώτη ἡ τῶν πραγμάτων ἀπαλλαγή, δευτέρα δέ καί τρίτη ἡ τῶν παθῶν καί τῆς ἀγνοίας.

κδ΄. Ῥαδίως τις βουληθείς τῶν πραγμάτων ἀπαλλάττεται, οὐκ ὀλίγῳ δέ καμάτῳ, τῶν πρός αὐτά παθημάτων.

κε΄. Κρατῶν ἐπιθυμίας, καί θυμοῦ περιέσῃ· αὕτη γάρ αἰτία τῆς τοῦ θυμοῦ ταραχῆς.

κστ΄. Ἆρα ἀπηλλάγημεν τῶν ἐμπαθῶν νοημάτων, καί τῆς καθαρᾶς καί ἀΰλου ἀπολαύομεν προσευχῆς ἤ οὔπω;

κζ΄. Μέγας νοῦς, ὁ τῶν παθῶν ἀπαλλαγείς, καί τῶν ὄντων χωρισθείς, καί ἐν τῷ Θεῷ διάγων.

κη΄. Ἐν τοῖς τρισί τούτοις ὁ προκόπτων φιλοσοφεῖ, ἐν ταῖς ἐντολαῖς, ἐν τοῖς δόγμασι, καί ἐν τῇ πίστει τῆς Τριάδος.

κθ΄. Νοῦς παθῶν γυμνωθείς ἐν τούτοις εὑρίσκεται, ἐν τοῖς ψιλοῖς νοήμασι, ἐν τῇ θεωρίᾳ τῶν ὄντων, ἐν τῷ ἀϊδίῳ φωτί.

λ΄. (1452) Κάκιστα πάθη ἐν ταῖς ψυχαῖς ἡμῶν κέκρυπται· τότε δέ φαίνεται, ὅταν τά πράγματα ἐλέγχωνται.

λα΄. Ἀνενόχλητος μένει ἔσθ᾽ ὅτι ὁ νοῦς, μερικῆς τυχών ἀπαθείας· ἀδόκιμος δέ ἐστιν διά τήν τῶν πραγμάτων ἀπουσίαν.

λβ΄. Κινοῦνται τά πάθη διά τῶν τριῶν τούτων, διά τε τῆς μνήμης καί τῆς κράσεως, καί τῆς αἰσθήσεως, ὡς πρείρηται.

λγ΄. Ὁ νοῦς τήν τε αἴσθησιν ἀποκλείσας, καί τήν κρᾶσιν ὁμαλίσας, πρός μόνην τήν μνήμην ἔχει τόν πόλεμον.

λδ΄. Ὑπό τῶν αἰσθήσεων τότε τά πάθη κινοῦνται, ὁπηνίκα ἐγκράτεια μή παρῇ, καί ἀγάπη πνευματική.

λε΄. Νηστεία σύμμετρος, καί ἀγρυπνία, καί ψαλμῳδία πέφηκεν ὁμαλίζειν τήν κρᾶσιν τοῦ σώματος.

λστ΄. Τά τρία ταῦτα τήν κρᾶσιν κατά τό χεῖρον δῆλον ὅτι ἀλλοιοῦσιν, ἡ τῆς διαίτης ἀταξία, ἡ τῶν ἀέρων μεταβολή, καί ἡ τῶν δαιμόνων ἐπαφή.

λζ΄. Αἱ ἐμπαθεῖς μνῆμαι διά τούτων ψιλοῦνται, διά προσευχῆς, καί ἀναγνώσεως, καί ἐγκρατείας, καί ἀγάπης.

λη΄. Τήν αἴσθησιν πρῶτον τῇ ἡσυχίᾳ ἀπόκλεισον, καί τότε τοῖς ὅπλοις τῶν ἀρετῶν πρός τάς μνήμας πολέμησον.

λθ΄. Ἡ κατά διάνοιαν κακία, ἡ παράχρησίς ἐστι τῶν νοημάτων· ἡ δέ κατ᾽ ἐνέργειαν ἁμαρτία ἡ παράχρησίς ἐστι τῶν πραγμάτων.

μ΄. Νοημάτων καί πραγμάτων ἐστίν παράχρησις, τό μή εὐσεβῶς καί δικαίως τοῖς ἀμφοτέροις χρήσασθαι

μα΄. Δεσμά ὑπάρχουσι, πάθη ψεκτά, κατέχοντα τόν νοῦν ἐν τοῖς αἰσθητοῖς πραγμάτων.

μβ΄. Ἐκεῖνος τελείαν ἔχει ἀπάθειαν, ὁ μηδέ πρός τά πράγματα πάσχων, μηδέ πρός τάς μνήμας αὐτῶν.

μγ΄. Ψυχή ἀγαθή εὐεργετεῖ τόν πλησίον, καί ἀγνωμονουμένη μακροθυμεῖ ἐπ᾽ αὐτῷ, καί πάσχουσα ὑπομένει τά παρ᾽ αὐτοῦ.

μδ΄. Ὑπάρχοντά ἐστι κακά, λογισμοί πονηροί, οἷς ὁ μή ἀποτασσόμενος, οὐ μαθητεύει τῇ γνώσει.

με΄. Χριστοῦ ὁ ἀκούων, ἑαυτόν φωταγωγεῖ, καί ὁ μιμούμενος αὐτόν, διορθοῦται.

μστ΄. Ἡ μνησικακία λέπρα ἐστί ψυχῆς· συμβαίνει δέ αὐτή ἀπό ἀτιμιῶν, ἤ ζημίας, ἤ λογισμῶν ὑπονοίας.

μζ΄. Κύριος νοῦν φθονερόν ἐκτυφλοῖ, ὅτι λυπεῖται ἀδίκως ἐπί τοῖς ἀγαθοῖς τοῦ πλησίον.

μη΄. Καταλάλος δέ ψυχή τρίβωλον ἔχων γλῶσσαν· ἑαυτόν γάρ καί τόν ἀκούοντα, ἴσθ᾽ ὅτι δέ καί τόν καταλαλούμενον βλάπτει.

μθ΄. (1453) Ἀμνησίκακός ἐστιν ὁ προσευχόμενος ὑπέρ λυπήσαντος· καί ἀπαλλάττεται μνησικακίας ὁ μή φειδόμενος δώρων.

ν΄. Θάνατος ψυχῆς μῖσος πρός τόν πλησίον· τοῦτον ἔχει καί πράττει ἡ τοῦ καταλάλου γλῶσσα.

να΄. Ἀκηδία ἐστίν ὀλιγωρία ψυχῆς· ὀλιγωρεῖ δέ ψυχή φιληδονοῦσα.

νβ΄. Ἰησοῦν ὁ ἀγαπῶν γυμνάζεται ἐν πόνοις, καρτερίᾳ δέ πόνων ἐκδιώκει ἀκηδίαν.

νγ΄. Ῥώννυται ψυχή διά πόνων ἀσκήσεως, καί ἐν τῷ πάντα μέτρῳ ποιεῖν ἀπελαύνει ἀκηδίαν.

νδ΄. Ὁ κρατῶν γαστρός, μαραίνει ἐπιθυμίαν, καί λογισμοῖς πορνείας οὐ δουλεύει ὁ νοῦς αὐτοῦ.

νε΄. Νοῦς ἐγκρατοῦς ναός ἁγίου Πνεύματος· ὁ δέ τοῦ γαστριμάργου, κατοικητήριον κοράκων.

νστ΄. Τῆς τῶν βρωμάτων ποικιλίας ὁ κόρος ποιεῖ ἐπιθυμίαν, ἡ δέ ἔνδεια ἡδύνει καί αὐτόν ψιλόν τόν ἄρτον.

νζ΄. Ἀπαλλάττεται φθόνου ὁ συγχαίρων τῷ φθονουμένῳ κρυπτῶς τοῦ φθονοῦντος.

νη΄. Τοῦ ἀμελῶς βιοῦντος μάκρυνον σεαυτόν, κἄν ὄνομα μέγα παρά πολλοῖς κέκτηται.

νθ΄. Ἄνδρα φιλόπονον κτῆσαι φίλον, καί εὑρήσεις σκέπην τῶν σῶν σφαλμάτων.

ξ΄. Δεσπόταις πολλοῖς ὁ ἀμελής πέπραται, καί ὡς ἄγουσιν αὐτόν, οὕτως διαγίνεται.

ξα΄. Εὐνοεῖ σοι ὡς φίλος ἐν καιρῷ εἰρήνης, καί ἐν καιρῷ πειρασμοῦ ὡς ἐχθρός πολεμεῖ.

ξβ΄. Τήν ψυχήν τίθησιν ὑπέρ σοῦ πρό τῆς κινήσεως τῶν παθῶν, καί ὅταν κινηθῶσιν, τήν ψυχήν σου λαμβάνει.

ξγ΄. Ἡ χερσωθεῖσα γῆ, ἀκανθῶν πεπλήρωται, καί ἀμελής ψυχή παθῶν ἀκαθάρτων.

ξδ΄. Νοῦς φρόνιμος χαλινοῖ ψυχήν αὐτοῦ, καί ὑποπιάζει τό σῶμα, καί δουλαγωγεῖ τά πάθη.

ξε΄. Σημεῖα τῶν ἔνδον τά προφανῆ κινήματα, ὡς καί τῶν ἀγνώστων δένδρων οἱ προφερόμενοι καρποί.

ξς΄. Ὑποκριτήν ἐλέγχουσιν οἱ λόγοι καί τά ἔργα, καί τόν κεκρυμμένον ψευδοπροφήτην εἰς φανέρωσιν ἄγουσιν.

ξζ΄. Νοῦς ἠλογημένος οὐ παιδεύει ψυχήν αὐτοῦ, καί ἀγάπης καί τῆς ἐγκρατείας ἀπομακρύνει αὐτήν.

ξη΄. Ἐννοιῶν φαύλων αἰτία ἕξις πονηρά, ἀπό κενοδοξίας καί ὑπερηφανείας καί ἀλαζονείας συνισταμένη.

ξθ΄. Ἴδια τῶν προειρημένων ὑπόκρισις, καί δόλος πανουργία τε καί εἰρωνεία, καί τό πάμφαυλον ψεῦδος.

ο΄. Δουλεύουσιν τοῖς προλεχθεῖσι φθόνος καί ἔρις, θυμός καί ὀργή, λύπη καί μνησικακία.

οα΄. 1456) Ἥδε ὁδός τῶν ἐν ἀμελείᾳ βιούντων, καί οὗτος ὁ θησαυρός τῶν ἐν ἐμοί κεκρυμμένων.

οβ΄. Σώζουσι ψυχήν κακοπάθεια καί ταπείνωσις, καί ἐκ τῶν προειρημένων παθῶν ἀπαλλάττουσιν αυτήν.

ογ΄. Ἴδιον ἐννοίας συνετῆς λόγος ὠφέλιμος, καί ψυχῆς ἀγαθῆς πρᾶξις σπουδαία.

οδ΄. Νοῦς πεφωτισμένος λόγους προφέρει σοφούς, καί ψυχή καθαρά λογισμούς γεωργεῖ θείους.

οε΄. Λογισμοί σπουδαίου σοφίαν μελετῶσι, καί οἱ λόγοι αὐτοῦ φωτίζουσι τούς ἀκούοντας.

οστ΄. Ὑποκειμένων ἐν ψυχῇ ἀρετῶν, ἀγαθούς γεωργεῖ λογισμούς· κακιῶν δέ ὑποκειμένων, φαύλας τίκτει ἐννοίας.

οζ΄. Πονηρῶν ἐννοιῶν ἐργαστήριον, ψυχή ἐμπαθής· καί ἐκ τοῦ ἑαυτῆς θησαυροῦ προφέρει τά πονηρά.

οη΄. Ὁ ἀγαθός θησαυρός, ἡ ἕξις ἐστί τῆς ἀρετῆς, καί ὁ ἀγαθός νοῦς ἐκ ταύτης προφέρει τά ἀγαθά.

οθ΄. Ὑπό θείας ἀγάπης ἐνεγούμενος ὁ νοῦς, ἀγαθάς ἐννοίας περί Θεοῦ γεωργεῖ· ὑπό δέ τῆς φιλαυτίας ἐκ τοῦ ἐναντίου.

π΄. Νοῦς ὑπό τῆς εἰς τόν πλησίον ἀγάπης κινούμενος, καλά περί αὐτοῦ ἀδιαλείπτως λογίζεται, καί πάλιν ἐκ τοῦ ἐναντίου τά πονηρά ὑποτίθεται.

πα΄. Τῶν ἀγαθῶν ἐννοιῶν αἱ ἀρεταί αἰτίαι, τῶν δέ ἀρετῶν αἱ ἐντολαί· τῆς δέ τούτων ἐργασίας, ἡ προαίρεσις.

πβ΄. Αἱ ἀρεταί καί αἱ κακίαι γινόμεναι καί ἀπογινόμεναι, εὖ ἤ κακῶς τήν ψυχήν διατιθέασι, κινοῦσαι εἰς ἐννοίας κατ᾽ ἀλλήλων.

πγ΄. Τῶν πονηρῶν ἐννοιῶν αἰτίαι αἱ κακίαι, τῶν δέ κακιῶν ἡ παρακοή, τῆς δέ παρακοῆς ἡ τῆς αἰσθήσεως ἀπάτη, τῆς δέ ἀπάτης ἡ τοῦ νοῦ περί τήν ἀσφάλειαν αὐτῆς ἀμέλεια.

πδ΄. Ἐν μέν τοῖς προκόπτουσιν εὐμετάπτωτοι γίνονται αἱ διαθέσεις τῶν ἐναντίων. Ἐν δέ τοῖς τελείοις κατ᾽ ἄμφω ἕξεις δυσκίνητοι.

πε΄. Ῥώμη ψυχῆς ἐστιν ἕξις ἀρετῆς δυσκίνητος, εἰς ἥν ὁ φθάσας ἔλεγεν· Τίς ἡμᾶς χωρίσει ἀπό τῆς ἀγάπης τοῦ Χριστοῦ; καί τά ἑξῆς.

πστ΄. Προηγεῖται μέν πάντων τῶν παθῶν ἡ φιλαυτία, ἕπεται δέ πάντων ἔσχατον ἡ ὑπερηφανία.

πζ΄. Οἱ τρεῖς γενικώτατοι τῆς ἐπιθυμίας λογισμοί, ἐκ τοῦ πάθους τῆς φιλαυτίας τήν γέννησιν ἔχουσιν.

πη΄. Νόει πάντως τούς τε τῆς γαστριμαργίας καί κενοδοξίας καί φιλαργυρίας λογισμούς, οἷς ἕπονται πάντες οἱ ἐμπαθεῖς λογισμοί, ἀλλ᾽ οὐ πάντες κοινῶς.

πθ΄. Τῷ τῆς γαστριμαργίας λογισμῷ ἕπεται ὁ τῆς πορνείας, τῷ δέ τῆς κενοδοξίας ὁ τῆς ὑπερηφανίας· οἱ δέ λοιποί κοινῶς τοῖς τρισίν.

Τέσσ. ἀν. ΄. Ἀκολουθοῦσι κοινῶς τοῖς τρισίν, οἵ τε τῆς λύπης, καί τῆς ὀργῆς καί τῆς μνησικακίας καί φθόνου καί ἀκηδίας, καί οἱ λοιποί.

Τέσσ. ἀν. α΄. (1457) Δέσποτα τῶν ἁπάντων Χριστέ, ἐκ πάντων τούτων ἡμᾶς ἐλευθέρωσον, τῶν τε ὀλεθρίων παθῶν, καί τῶν ἐξ αὐτῶν τικτομένων λογισμῶν.

Τέσσ. ἀν. β΄. Ἕνεκά σου γεγόναμεν, ἵνα σοῦ κατατρυφήσωμεν ἐν παραδείσῳ τιθέντες, τῷ ὑπό σοῦ φυτευθέντι.

Τέσσ. ἀν. γ΄. Τήν τε νῦν ἀτιμίαν ἑαυτοῖς ἐπεσπασάμεθα τῆς μακαρίας τρυφῆς τήν ὀλεθρίαν προτιμήσαντες.

Τέσσ. ἀν. δ΄. Ἧς ἀντιμισθίαν ἐν ἑαυτοῖς ἀπελάβομεν, ζωῆς ἀϊδίου θάνατον ἀνταλλαξάμενοι.

Τέσσ. ἀν. ε΄. Νῦν οὖν, Δέσποτα, καθώς ἐπέβλεψας, καί εἰς τέλος ἐπίβλεψον· καθώς ἐνανθρώπησας, καί σῶσον πάντας ἡμᾶς.

Τέσσ. ἀν. στ΄. Σῶσαι γάρ ἦλθες τούς ἀπολωλότας ἡμᾶς· μή χωρίσῃς ἡμᾶς τῆς τῶν σωζομένων μερίδος.

Τέσσ. ἀν. ζ΄. Ἀνάστησον ψυχάς, καί σῶσον τά σώματα, καθαίρων πάντας ἡμᾶς ἀπό παντός μολυσμοῦ.

Τέσσ. ἀν. η΄. Ῥῆξον τά θεσμά τῶν κατεχόντων ἡμᾶς παθῶν, ὁ ῥήξας τάς φάλαγγας τῶν ἀκαθάρτων δαιμόνων.

Τέσσ. ἀν. θ΄. Καί ἀπάλλαξον ἡμᾶς τῆς ἐξ αὐτῶν τυραννίδος, ἵνα σοί μόνῳ λατρεύσωμεν τῷ αἰωνίῳ φωτί.

ρ΄. Ἀναστάντες ἐκ νεκρῶν, καί σύν ἀγγέλοις χορεύοντες τήν μακαρίαν καί αἰωνίαν καί ἀκατάλυτον χορείαν. Ἀμήν.

## *ΕΚΑΤΟΝΤΑΣ Δ΄. (1457)*

Ἧς ἡ ἀκροστιχίς ἥδε.

Ὅμως οὖν καί ἐκ τῶν κυρίων κακῶν, καί τῶν μή κυρίως, νομιζομένων δέ, εὖξαι ἐκτενῶς πρός τόν Θεόν ἡμῶν, λυτρωθῆναι ἡμᾶς.

α΄. Ὁ τῆς πρός τόν σάρκα φιλίας καί κολακείας τόν νοῦν ἀποχωρίσας· οὗτος τῷ ζωτικῷ πνεύματι τάς πράξεις τοῦ σώματος ἐθανάτωσεν

β΄. Μή νόμιζε κεχωρίσθαι τῆς πρός τήν σάρκα σχέσεως, ἔτι ἐν τοῖς τῆς σαρκός οἰκείοις τόν νοῦν ἔχων ἀνασχολούμενον.

γ΄. Ὥσπερ τῆς σαρκός ἰδία ἡ αἴσθησις, καί τά αἰσθητά, οὕτω καί τῆς ψυχῆς ἴδια ὁ νοῦς καί τά νοήματα.

δ΄. Σύστειλον τήν ψυχήν ἐκ τῆς αἰσθήσεως καί τῶν αἰσθητῶν, καί εὑρίσκεται ὁ νοῦς ἐν τῷ Θεῷ καί ἐν τοῖς νοητοῖς.

ε΄. (1460) Οἰκεῖον θεότητος αἱ νοεραί φύσεις, καί νῷ μόνῳ ληπταί· ἡ δέ αἴσθησις καί τά αἰσθητά εἰς ὑπουργίαν τοῦ νοῦ ἐκτίσθη.

στ΄. Ὑπουργείτω σοι ἡ αἴσθησις καί τά αἰσθητά, πρός θεωρίαν τήν πνευματικήν, καί μή σοι ἀντιστρόφως τῇ αἰσθήσει τά πρός ἐπιθυμίαν τῆς σαρκός.

ζ΄. Νεκρῶσαι ἐκελεύσθης τάς πράξεις τοῦ σώματος, ἵνα τήν ψυχήν ἡδοναῖς νεκρωθεῖσαν τοῖς πόνοις ἐξαναστήσῃς.

η΄. Κυριεύου ἀπό Θεοῦ, καί κυρίευε τῆς αἰσθήσεως, καί μή δός τήν ἐξουσίαν ὁ κρείττων τῷ χείρονι.

θ΄. Ἀΐδιος Θεός, καί ἀπέραντος, καί ἀόριστος, καί ἀΐδια ἀγαθά, καί ἀπέραντα, καί ἀνεκλάλητα τοῖς αὐτῷ ὑπακούουσιν ἐπηγγείλατο.

ι΄. Ἴδιον τοῦ νοῦ τό ἐν τῷ Θεῷ διάγειν, καί περί αὐτοῦ διανοεῖσθαι, καί τῆς αὐτοῦ προνοίας, καί τῶν φοβερῶν αὐτοῦ κριμάτων.

ια΄. Ἔχεις τήν ἐξουσίαν τῆς ἐπ᾽ ἀμφότερα ῥοπῆς, γενοῦ τοῦ κρείττοντος, καί ὑποτάσσεις τό χεῖρον.

ιβ΄. Καλή ἡ αἴσθησις, καί καλά τά αἰσθητά, ὡς Θεοῦ ἔργα τοῦ ἀγαθοῦ, οὐ συγκρίνονται δέ ὅμως παντάπασι τῷ νῷ καί τοῖς νοητοῖς.

ιγ΄. Τήν λογικήν καί νοεράν οὐσίαν δεκτικήν τοῦ πνεύματος καί τῆς ἑαυτοῦ γνώσεως ὁ Θεός ἐδημιούργησεν· τήν δέ αἴσθησιν καί τά αἰσθητά, εἰς χρῆσιν αὐτῆς παρήγαγεν.

ιδ΄. Ὥσπερ ἄτοπον δούλῳ φαύλῳ δεσπότην ἀγαθόν ὑποτάξαι, οὕτως ἄτοπον νοῦν λογικόν σώματι δουλαγωγῆσαι φθαρτῷ.

ιε΄. Νοῦς μή ἐπιστατῶν τῇ αἰσθήσει, δι᾽ αὐτῆς περιπίπτει κακοῖς· ὑφ᾽ ἡδονῆς γάρ τῶν αἰσθητῶν ἀπατηθεῖσα, τίκτει αὐτῷ φαυλότητα.

ιστ΄. Κρατῶν τῆς αἰσθήσεως, ἀσφαλίζου καί τήν μνήμην· αἱ γάρ διά τῆς αἰσθήσεως προλήψεις διά τῆς μνήμης ἀνακινοῦσι τά πάθη.

ιζ΄. Ὑποπίαζε τό σῶμα, καί προσεύχου συνεχῶς, καί τῶν ἐκ προλήψεως λογισμῶν τάχιστα ἀπαλλάττῃ.

ιη΄. Ῥήμασι θείοις ἀδιαλείπτως σχόλαζε· ἡ γάρ περί αὐτά φιλοπονία καταναλίσκει τά πάθη.

ιθ΄. Ἵστησι τόν νοῦν τῆς περί τά πάθη πλάνης ἀνάγνωσις, καί ἀγρυπνία καί προσευχή καί ψαλμῳδία.

κ΄. Ὥσπερ τό ἔαρ πρός τό βλαστάνειν ἀνακινεῖ τά φυτά, οὕτως καί ἡ ἀπάθεια τόν νοῦν, πρός τήν γνῶσιν τῶν ὄντων.

κα΄. Συντήρησον ἐντολάς, καί εὑρήσεις εἰρήνην· καί τόν Θεόν ἀγάπησον, καί γνώσεως ἐπιτεύξῃ.

κβ΄. Κόπῳ καί μόχθῳ, καί ἱδρῶτι προσώπου τόν ἄρτον τῆς γνώσεως κατεκρίθης ἐσθίειν.

κγ΄. (1461) Ἀμέλεια τόν προπάτορα εἰς παράβασιν ἤγαγεν, καί ἀντί τῆς τρυφῆς παραδείσου κατέκρινε θανάτῳ.

κδ΄. Κράτει καί σύ τῆς Εὔας, τόν ὄφιν φύλαξαι, ἵνα μή ἀπατηθεῖσα τοῦ ξύλου σοι μεταδῷ.

κε΄. Ὥσπερ τό σῶμα κατά φύσιν ἡ ψυχή ζωοποιεῖ, οὕτω καί τήν ψυχήν ἡ ἀρετή καί ἡ γνῶσις.

κστ΄. Νεφέλη ἐστίν ἄνυδρος νοῦς οἰησίσοφος, ὑπό τῶν τῆς κενοδοξίας καί ὑπερηφανίας πνευμάτων παραφερόμενος.

κζ΄. Κενοδοξίας κρατῶν ἀπό τῆς πορνείας πρόσεχε, μήποτε τάς τιμάς φεύγων ἀτιμίᾳ περιπέσῃς

κη΄. Ἀποφυγών κενοδοξίαν, εἰς τόν Θεόν ἀπόβλεπε· εἰ δέ μήγε, οἰήσει ἤ πορνείᾳ περιπίπτεις.

κθ΄. Ἴδιον τῆς κενοδοξίας ἡ ἐπιδεικτική ἐπιτήδευσις· τῆς δέ ὑπερηφανίας τό ἐξουθενεῖν καί θυμοῦσθαι.

λ΄. Τήν γαστριμαργίαν φεύγων, τήν ἀνθρωπαρέσκειαν φύλαξαι, τήν ὠχρότητα τοῦ προσώπου σου ἐπιδείξασθαι προσφαντάζουσαν.

λα΄. Ὡραία νηστεία, ἡ βραχυφαγίᾳ χαίρουσα, καί λιτοφαγίαν ἔχουσα, καί ἀνθρωπαρέσκειαν φεύγουσα.

λβ΄. Νηστεύων ἕως ὀψέ, μή χορτάστῃς εἰς κόρον, ἵνα μή ἅ ἅπαξ καταλύεις, ταῦτα πάλιν οἰκοδομήσῃς.

λγ. Μή πίων οἶνον, μή χορτασθῇς ὕδατος· εἰ δέ μήγε, τήν αὐτήν ὕλην τῇ πορνείᾳ παρέχεις.

λδ΄. Ἡ ὑπερηφανία τῆς θείας ἀφίστασιαι ποιεῖ βοηθείας, ἐφ᾽ ἑαυτῷ πεποιθέναι, καί τῶν ἀνθρώπων κατεπαίρεσθαι.

λε΄. Φάρμακα κατά τῆς ὑπερηφανίας δύο πρόκεινται πράγματα· ἅπερ ὁ μή καταδεχόμενος, τρίτον ἕξει σφόδρα δριμύτατον.

λστ΄. Ὑπερηφανίαν ἀναιρεῖ προσευχή μετά δακρύων, καί τό μηδένα ἐξουθενεῖν, καί ἀκούσιοι ἐπιφοραί.

λζ΄. Ῥάβδος ἐστίν νοητή, ἡ διά πειρασμῶν παίδευσις, ταπεινοφρονεῖν ἐκδιδάσκουσα τόν ἐν ἀφροσύνῃ ἐπαιρόμενον.

λη΄. Ἴδιον ἔργον τοῦ νοῦ, τό μή ἀνέχεσθαι λογισμοῦ λάθρα καταλαλοῦντος κατά τοῦ πλησίον.

λθ΄. Ὥσπερ ὁ κηπουρός, μή ἀπαίρων τάς βοτάνας, ἀποπνίγει τά λάχανα· οὕτως καί ὁ νοῦς μή καθαίρων τούς λογισμούς, ἀπόλλυσι τούς πόνους.

μ΄. Συνετός ἀνήρ, ὁ συμβουλῆς ἀνεχόμενος, καί μάλιστα τοῦ πνευματικοῦ πατρός κατά Θεόν συμβουλεύοντος.

μα΄. Νενεκρωμένος ὑπό παθῶν, συμβουλῆς οὐκ αἰσθάνεται, καί τῆς παιδεύσεως πνευματικῆς τό σύνολον οὐκ ἀνέχεται.

μβ΄. Ὁ μή δεχόμενος συμβουλήν, οὐ κατορθοῖ τάς ὁδούς αὐτοῦ, ἀλλά κατά κρημνῶν ἀεί καί φαράγγων φέρεται.

μγ΄. 1464) Μοναχός ἐστιν, νοῦς ὁ τῇ αἰσθήσει ἀποταξάμενος, καί λογισμόν ἡδονῆς μηδέ ἰδεῖν ἀνεχόμενος.

μδ΄. Ἰατρός ἐστι νοῦς ὁ ἑαυτόν ἰσασάμενος, καί ἐξ ὧν ἰάθη τούς ἄλλους ἰώμενος.

με΄. Ζήτησον τήν ἀρετήν, καί μή ζωμιωθῇς αὐτήν, ἵνα μή καί ζήσῃς αἰσχρῶς, καί ἀποθάνῃς ἐλεεινῶς.

μστ΄. Ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός πᾶσι τό φῶς ἐχαρίσατο, ἀλλ᾽ οἱ μή πειθόμενοι αὐτῷ, ἑαυτούς σκοτίζουσιν.

μζ΄. Μή μικρόν εἶναι νόμιζε τήν τῆς ἀρετῆς ζημίαν· διά ταύτην γάρ θάνατος εἰς τόν κόσμον εἰσῆλθεν.

μη΄. Ἐντολῆς ὑπακοή, νεκρῶν ἐστιν ἀνάστασις. Τῇ γάρ ἀρετῇ κατά τήν φύσιν ἐπακολουθεῖ ἡ ζωή.

μθ΄. Νεκρωθέντος τοῦ νοῦ τῇ τῆς ἐντολῆς παραβάσει, ἐπηκολούθει ἐξ ἀνάγκης καί ὁ τοῦ σώματος θάνατος.

ν΄. Ὥσπερ ὁ Ἀδάμ παραβάς, θανάτῳ ὑπέπεσεν, οὕτως ὁ Σωτήρ ὑπακούσας, τόν θάνατον ἐνέκρωσεν.

να΄. Νέκρωσον τήν κακίαν, ἵνα νεκρός μή ἀναστῇς, καί ἐκ μικροῦ θανάτου εἰς μέγαν μεταβῇς.

νβ΄. Διά τήν τοῦ Ἀδάμ παράβασιν ὁ Σωτήρ ἐνηνθρώπησεν, ἵνα τό κατά μικρόν λύσας τούς πάντας ἐξαναστήσῃ.

νγ΄. Ἐκ ζωῆς εἰς ζωήν ἐκεῖνος μεταβαίνει, ὁ τά πάθη νεκρώσας, καί τῆς ἀγνοίας χωρισθείς.

νδ΄. Ἐρεύνησον τάς Γραφάς, καί εὑρίσκεις τάς ἐντολάς, καί τά λεγόμενα ποίησον, καί τῶν παθῶν ἀπαλάττη.

νε΄. Ὑπακοή ἐντολῆς, ψυχῆς ποιεῖ κάθαρσιν, ἡ δέ τῆς ψυχῆς κάθαρσις, φωτός ποιεῖ μέθεξιν.

νστ΄. Ξύλον ζωῆς γνῶσίς ἐστι Θεοῦ, οὗ μετέχων ὁ καθαρός, ἀθάνατος διαμένει.

νζ΄. Ἀρχή πρακτικῆς, πίστις Χριστοῦ, τέλος δέ αὐτῆς ἀγάπη Θεοῦ.

νη΄. Ἰησοῦς ἐστιν ὁ Χριστός καί Κύριος ἡμῶν καί Θεός, ὁ τήν εἰς αὐτόν πίστιν πρός ζωήν ἡμῖν χαρισάμενος.

νθ΄. Ἐκ ψυχῆς, καί σώματος, καί θεότητος ἡμῖν ἐπέφανεν, ἵνα καί ψυχήν καί σῶμα ὡς Θεός ἐκ θανάτου λυτρώσηται.

ξ΄. Κτησώμεθα πίστιν, ἵνα ἔλθωμεν εἰς ἀγάπης, ἐξ ἧς τίκτεται ὁ τῆς γνώσεως φωτισμός.

ξα΄. Τῷ τῆς γνώσεως κτήματι ταῦτα καθεξῆς ἐπακολουθεῖ , φόβος Θεοῦ, ἐγκράτεια ἡδονῶν, ὑπομονή πόνων, ἐλπίς εἰς Θεόν, ἀπάθεια, ἀγάπη.

ξβ΄. Ἐξ ἀγάπης εἰλικρινοῦς τίκτεται γνῶσις φυσική. Ταύτην δέ διαδέχεται τό ἔσχατον ὀρεκτόν· τοῦτο δέ ἐστιν ἡ τῆς θεολογίας χάρις.

ξγ΄. Νοῦς κρατῶν τῶν παθῶν, ἐκ φόβου παντός κρατεῖ, πιστεύων τῷ Θεῷ, περί ὧν ἠπείλησε, καί περί ὧν ἐπηγγείλατο.

ξδ΄. (1465) Ὧ ἐδόθη πίστις, ἀπαιτεῖται ἐγκράτει ἥτις χρονίζουσα τίκτει τήν ὑπομονήν, ἕξιν οὖσαν φιλόπονον.

ξε΄. Σημεῖον ὑπομονῆς ἡ τῶν πόνων φιλία, εἰς οὕς θαῤῥῶν ὁ νοῦς ἐλπίζει τυχεῖν τῶν ἐπηγγελμένων, καί ἐκφεύγει τά ἠπειλημένα.

ξστ΄. Προσδοκία τῶν μελλόντων ἀγαθῶν, συνάπτει τόν νοῦν τοῖς προσδοκωμένοις· ἐν αὐτοῖς δέ χρονίζων ἐπιλανθάνεται τῶν παρόντων.

ξζ΄. Ῥίπτει τά παρόντα ὁ τῶν ἐλπιζομένων γευσάμενος· ὅλον γάρ τόν πόθον ἐν ἐκείνοις ἐκένωσεν.

ξη΄. Ὁ Θεός ἐστιν ὁ τά μέλλοντα ἐπαγγειλάμενος ἀγαθά· ᾧ ὁ πιστεύων ὡς παρόντα ποθεῖ τά μέλλοντα.

ξθ΄. Σημεῖον τοῦ ἐν τοῖς ἐλπιζομένοις ἀγαθοῖς διατρίβειν τόν νοῦν, τό λήθην μέν ποιεῖσθαι παντελῆ τῶν ἐνταῦθα, πλατύνεσθαι δέ αὐτόν ἐν τῇ γνώσει τῶν μελλόντων.

ο΄. Καλή ἡ ἀλήθεια, ἥν ὁ Θεός διδάσκει τῆς ἀληθείας, ἀπεντεῦθεν πληροφορῶν τήν θεοφιλῆ ψυχήν.

οα ΄. Ὑπεραιώνια εἶναι καί πρό παντός αἰῶνος, καί ὑπέρ νοῦν καί λόγον, τά ἀποκείμενα ἀγαθά τοῖς κληρονόμοις τῆς ἐπαγγελίας.

οβ΄. Ῥυθμίσωμεν ἑαυτούς τοῖς κανόσι τῆς εὐσεβείας, ἵνα μή εἰς πάθη παρατραπέντες ἐκπέσωμεν τῆς ἐλπίδος.

ογ΄. Ἰησοῦς ἐστιν ὁ Χριστός ὁ εἷς τῆς ἁγίας Τριάδος, οὗ καί συγκληρονόμος μέλλεις ἔσεσθαι.

οδ΄. Ὁ τήν γνῶσιν τῶν ὄντων παρά Θεοῦ διδαχθείς οὐ δυσπιστεῖ τῇ γραφῇ περί τῶν προειρημένων.

οε΄. Νοῦν παθῶν γυμνωθέντα εὑρίσκον τό Πνεῦμα τό ἅγιον, μυσταγωγεῖ αὐτόν ἀναλόγως περί πάντων τῶν ἐλπιζομένων.

οστ΄. Τῇ ἀναλογίᾳ τῆς τοῦ νοῦ καθάρσεως καί τήν τῶν θείων γνῶσιν ἡ ψυχή χορηγεῖται.

οζ΄. Ὁ τό σῶμα κανονίσας, καί ἐν τῇ γνώσει διατρίβων, ὑπ᾽ αὐτῆς τῆς γνώσεως ἐπιπλεῖον καθαίρεται.

οη΄. Νοῦς ἀρχόμενος τά θεῖα φιλοσοφεῖν, ἀπό πίστεως ἄρχεται, καί δι᾽ αὐτῶν ἐν μέσῳ ὁδεύων, εἰς τήν πίστιν πάλιν καταλήγει τήν ἀνωτάτην.

οθ.΄. Θεωρεῖται τῇ μέν ἀρχῇ τῆς φιλοσοφίας φόβος ἑπόμενος· τῷ δέ τέλει ἀγάπη προηγουμένη.

π΄. Ἐκ πίστεως τῆς προσεχοῦς ὁ νοῦς ἀρχόμενος φιλοσοφίαν εἰς τήν παντός ἐπέκεινα νοῦ καταλήγει θεολογίαν, ἥν ἄληστον πίστιν καί πράγματος ἀφανοῦς θεωρίαν ὁρίζουσι.

πα΄. Οἱ περί Θεοῦ λόγοι οὐκ ἐκ τῶν κατ᾽ αὐτόν, ἀλλ᾽ ἐκ τῶν περί αὐτόν τοῖς ἁγίοις καί μακαρίοις ἡμῶν Πατράσι θεωροῦνται.

πβ΄. Νοοῦνται δέ οἱ περί αὐτόν, δῆλον ὅτι τόν Θερόν, πάντες λόγοι, οἱ μέν κατά θέσιν, οἱ δέ κατά ἀφαίρεσιν, οἷον.

πγ΄. 1468) Ἡ οὐσία, ἡ θεότης, ἡ ἀγαθότης, καί ὅσα ἄλλα καταφατικῶς λέγεται καί κατά θέσιν· τό δέ ἄναρχον πάλιν, καί ἄπειρον, καί ἀόριστον καί ὅσα ἀποφατικῶς, κατά τήν ἀφαίρεσιν.

πδ΄. Μιᾶς οὔσης τῆς ὑπέρ νοῦν καί λόγον καί κρυφίας θεότητος τῆς ἁγίας Τριάδος, τά περί αὐτήν θεωρούμενα τά προειρημένα εἶναί φασιν, καί τά ὅμοια.

πε΄. Ὥσπερ δέ μίαν θεότητα τῆς ἁγίας Τριάδος λέγουσιν· οὕτως καί τρεῖς τάς ὑποστάσεις τῆς μιᾶς θεότητος δοξάζουσιν.

πστ΄. Νοοῦσι δέ τά κατά ἀφαίρεσιν καί θέσιν προειρημένα, κοινά ἐπί τῆς ἁγίας καί ὁμοουσίου Τριάδος χωρίς τῶν ἰδιωμάτων· ἐπειδή καί αὐτῶν τά πλεῖστα μέν κατά θέσιν, τινά δέ κατά ἀφαίρεσιν λέγουσιν.

πζ΄. Λέγουσιν δέ πάλιν τά ἰδιώματα τῶν θείων ὑποστάσεων ταῦτα, οἷον τήν πατρότητα, τήν υἱότητα, τήν ἐκπόρευσιν, καί ὅσα ἄλλα ἰδικῶς λέγεται.

πη΄. Ὑπόστασιν δέ ὁρίζουσιν, οὐσίαν μετά ἰδιωμάτων, δι᾽ ὅ ἑκάστη ἡ ὑπόστασις ἔχει ἕν τό κοινόν τῆς οὐσίας, καί τό ἴδιον τῆς ὑποστάσεως.

πθ΄. Τά δέ κοινῶν πάλιν ἐπί τῆς ἁγίας Τριάδος κατά ἀφαίρεσιν προειρημένα, τῶν κατά θέσιν λεχθέντων κυριώτερα κρίνουσιν, οὐχ οὕτως μέντοι καί ἐπί τῶν ἰδιωμάτων· ἐπειδή καί αὐτῶν τά μέν κατά θέσιν, τά δέ κατά ἀφαίρεσιν, ὡς προείρηται, λέγουσιν, ὡς τό γεννητόν, καί τά ὅμοια. Ἡ γάρ ἀγεννησία τῆς γεννήσεως, κατά μόνην διαφέρει τήν σημασίαν. Ἡ μέν γάρ τό μή γεγεννῆσθαι τόν Πατέρα, ἡ δέ τό γεγεννῆσθαι τόν Υἱόν σημαίνει.

Τέσσ. ἀν΄. Ῥήμασι δ᾽ αὖ καί ὀνόμασι κέχρηνται πρός τήν τῶν περί τήν οὐσίαν, ὡς εἴρηται, τῆς ἁγίας Τριάδος θεωρουμένων λόγων σαφήνειαν· οὐ μέντοι γε τῶν κατά τήν οὐσίαν· ἄγνωστοι γάρ οὗτοι νῷ πάντη, καί ἀῤῥήτῳ λόγῳ πάντη, καί μόνῃ τῇ Τριάδι εἰσίν γινωσκόμενοι.

Τέσσ. ἀν. α΄. Ὥσπερ δέ τρισυπόστατον τήν μίαν οὐσίαν τῆς θεότητος λέγουσιν, οὕτως καί ὁμοούσιον τήν ἁγίαν Τριάδα ὁμολογοῦσιν.

Τέσσ. ἀν. β΄. Θεωρεῖται δέ αὐτοῖς πάλιν ὁ Πατήρ καί ἄναρχος καί ἀρχή· καί ἄναρχος μέν ὡς ἀγέννητος, ἀρχή δέ ὡς γεννήτωρ καί προβολεύς τῶν ἐξ αὐτοῦ κατ᾽ οὐσίαν ἐξ ἀϊδίου ὑπαρχόντων ἐν ἑαυτῷ, Υἱοῦ τε λέγω καί Πνεύματος ἁγίου.

Τέσσ. ἀν. γ΄. Ἡ μονάς μέχρι Τριάδος παρ᾽ αὐτοῖς κινουμένη μένει μονάς, καί ἡ Τριάς μέχρι μονάδος συναγομένη, μένει Τριάς· ὅ καί παράδοξον.

Τέσσ. ἀν. δ΄. Νοσοῦσι δέ πάλιν τόν Υἱόν, καί τό Πνεῦμα, οὐκ ἄναρχα μέν, ἀΐδια δέ· καί οὐκ ἄναρχα μέν ὡς πρός ἀρχήν καί πηγήν ἀναφερόμενα τόν Πατέρα, ἀΐδια δέ, ὡς ἐξ ἀϊδίου, τοῦ μέν γεννητῶς, τοῦ δέ ἐκπορευτῶς Πατρί συνυπάρχοντος.

Τέσσ. ἀν. ε΄. (1469) Ἀδιαίρετον δέ τήν μίαν θεότητα τῆς Τριάδος φυλάττουσι, καί ἀσυγχύτους τάς τρεῖς ὑποστάσεις τῆς μιᾶς θεότητος διατηροῦσι.

Τέσσ. ἀν.στ΄. Ἰδιότητας δέ τοῦ μέν Πατρός, τό ἄναρχον καί ἀγέννητον λέγουσι· τοῦ δέ Υἱοῦ τό ἐν ἀρχῇ, καί τό γεννητόν. Τοῦ δέ

Υἱοῦ καί τοῦ ἁγίου Πνεύματος οὐ χρονικήν λέγουσι τήν ἀρχήν. Πῶς γάρ; ἀλλά τήν αὐτήν δηλοῦσιν, ἐξ ἧς, ὡς ἐξ ἡλίου τό φῶς, οὕτως ἐξ ἀϊδίου τήν ὕπαρξιν ἔχουσιν. Ἐξ αὐτῆς γάρ κατ᾽ οὐσίαν, εἰ καί μή μετ᾽ αὐτήν.

Τέσσ. ἀν. ζ΄. Ἡ ἰδιότης πάλιν τῶν ὑποστάσεων, ἀκίνητος καί ἀμετάπτωτος παρ᾽ αὐτοῖς φυλάττεται· καί ἡ κοινότης δέ τῆς οὐσίας, ἤγουν θεότης ἀδιαίρετος.

Τέσσ. ἀν. η΄. Μονάδα ἐν Τριάδι, καί Τριάδα ἐν μονάδι ὁμολογοῦμεν, ὡς διαιρουμένην ἀδιαιρέτως, καί συναπτομένη διῃρημένως.

Τέσσ. ἀν. θ΄. Ἀρχήν δέ μίαν τῶν ὅλων τόν Πατέρα οἴδασιν, τοῦ μέν Υἱοῦ καί τοῦ Πνεύματος, ὡς γεννήτορα, καί ὡς πηγήν ἀΐδιον καί συνάπειρον καί ἀόριστον, καί ὁμοούσιον, καί ἀχώριστον. Τῶν δέ κτισμάτων, ὡς δημιουργόν καί προνοητήν, καί κριτήν δι᾽ Υἱοῦ, δηλαδή ἐν ἁγίῳ Πνεύματι. Ἐξ αὐτοῦ γάρ, φησί, καί δι᾽ αὐτοῦ, καί εἰς αὐτόν τά πάντα. Αὐτῷ ἡ δόξα εἰς τούς αἰῶνας.

ρ΄. Συναΐδια πάλιν λέγουσι τῷ Πατρί τόν Υἱόν, καί τό Πνεῦμα τό ἅγιον, οὐ συνάναρχα δέ· καί συναΐδια μέν, ὡς ἐξ ἀπείρου τῷ Πατρί συνυπάρχοντα· οὐ συνάναρχα δέ, ὡς οὐκ ἀναίτια. Ἐξ αὐτοῦ γάρ, εἰ καί μή μετ᾽ αὐτόν, ὡς γάρ ἡλίου τό φῶς, καθώς προείρηται. Λέγουσι δέ πάλιν καί ἄναρχα, ὅταν τις τήν ἀπό χρόνου λαμβάνῃ ἀρχήν, ἵνα μή ὑπό χρόνου νοηθῇ τά ἐξ ὧν ὁ χρόνος. Οὐκ ἄναρχα οὖν τῷ αἰτίῳ, τῷ δέ χρόνῳ ἄναρχα, ὡς πρό παντός καί χρόνου, καί αἰῶνος, καί ὑπέρ αἰῶνα καί χρόνον. Δι᾽ ὧν ἅπας καί αἰών, καί χρόνος, καί τά ἐν αἰῶνι, καί τά ἐν χρόνῳ, καί ὡς τῷ Πατρί, ὡς προείρηται, συναΐδια. Μεθ᾽ ὧν αὐτῷ ἡ δόξα, καί τό κράτος εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

EJUSDEM THALASSII
LIBELUS AD THEODOSIUM IMPERATOREM

***Τοῖς εὐσεβεστάτοις, καί τιμηθεῖσι, καί τιμωμένοις παρά Θεῷ καί ἀνθρώποις, Χριστιανοῖς βασιλεῦσι, Φλαυΐοις Θεοδοσίῳ καί Οὐαλεντινιανῷ, δέησις, εἴτουν παράκλησις παρά Βασιλείου διακόνου καί ἀρχιμανδρίτου, καί Θαλασσίου ἀναγνώστου καί μονάζοντος, καί λοιπῶν Χριστιανῶν μοναχῶν.***

Α΄. Ἡ φιλανθρωπία τοῦ Θεοῦ, ἡ ἀναριθμήτων παρά ἀνθρώποις καλῶν μετουσίαν δωρησαμένη τε καί δωρουμένη τῷ γένει τῶν ἀνθρώπων, ἐν πᾶσι, καί ἐπί πᾶσίν ἐστιν.Ἐν τούτοις δέ τοῖς ἀπό τοῦ Θεοῦ δώροις ἔνεστιν ἡ ἀληθινή γνῶσις, καί τό μῖσος τῆς ψευδωνύμου γνώσεως· ὥστε εἰδέναι ἡμᾶς τήν ἄνωθεν καί ἐξ ἀρχῆς ὑπό τῶν ἀποστόλων, καί μαρτύρων, καί ὁμολογητῶν, καί ἐπισκόπων ἁγίων, συνεργούντων καί τῶν εὐσεβεστάτων βασιλέων, παραδοθεῖσαν τῇ καθολικῇ Ἐκκλησίᾳ πίστιν· πρῶτον ὑπό Πέτρου τοῦ ἀποστόλου, τοῦ πρωτοστάτου, εἰπόντος, κατά ἀποκάλυψιν καί γνῶσιν καί ὁμολογίαν καί παράδοσιν τοῖς μετά ταῦτα, ὅτι Σύ εἶ ὁ Χριστός, ὁ υἱός τοῦ Θεοῦ τοῦ ζῶντος· Ἰακώβου ἀποστόλου καί ἀρχιεπισκόπου, Ἰωάννου ἀποστόλου καί εὐαγγελιστοῦ, καί λοιπῶν εὐαγγελιστῶν, μαρτύρων, ὁμολογητῶν, ἐπισκόπων, καί πάντων τῶν πιστευσάντων καί πιστευόντων τῇ ὁμοουσίῳ Τριάδι· Εἰρηναίου, Γρηγορίου τοῦ μεγάλου ἐπισκόπου Νεοκαισαρείας· τῆς ἁγίας συνόδου τῶν ρπ΄ ἐπισκόπων, ἐν Ἀντιοχείᾳ συναθροισθείσης κατά Παύλου τοῦ Σαμοτέως, ἥτις καθεῖλεν αὐτόν διά τήν ἀσέβειαν αὐτοῦ, διά τό μή ὁμολογεῖν τόν Χριστόν φύσει Θεόν, καί Υἱόν Θεοῦ Πατρός· τῆς ἐν Νικαίᾳ μεγάλης καί ἁγίας συνόδου τῶν τιη΄ ἐπισκόπων, τῆς βεβαιωσάσης τόν ὅρον τῶν ἐν Ἀντιοχείᾳ· Βασιλείου καί Γρηγορίου ἀδελφῶν ἐπισκόπων, Ἀθανασίου ἐπισκόπου Ἀλεξανδρείας, Ἐφραίμ τοῦ Σύρου, Γρηγορίου ἐπισκόπου,Ἄμμωνος ἐπισκόπου, Οὐϊταλίου ἐπισκόπου, Ἀμφιλοχίου, Παύλου, Ἀντιόχου, Ἐυσταθίου, Μεθοδίου, Ὀπτίμου, Λεπορίου, Ἀμβοσίου Μεδιολάνων· ὅλης τῆς ἐν τῇ Ἀφρικῇ συνόδου· Ἰωάννου, Σευηριανοῦ, Ἀττικοῦ ἐπισκόπου, Κυρίλλου, τοῦ ἐπισκόπου Ἀλεξανδρείας, τοῦ νῦν ζῶντος, καί τῷ νόμῳ τῆς ἡμετέρας εὐσεβείας ἐξακολοθοῦντος. Οὐδείς μέν οὖν ἀνθρώπων δύναται πάντας τούς

πιστούς ἐξαριθμήσασθαι, τούς πιστεύσαντας καί πιστεύοντας εἰς Χριστόν τόν Υἱόν τοῦ Θεοῦ, ὅτι ὄντως ἀληθινός Θεός ἐστιν. Οὐ γάρ, ἐπειδή δι' ἡμᾶς ἐγένετο ἄνθρωπος, μείνας ὅ ἦν Θεός, ὡς καί ἡ ὑμετέρα εὐσέβεια διέμαθεν, ἤδη καί τό, ἦν, ἀρνησόμεθα. Ἀλλά ἡμεῖς πιστεύομεν, καί ὁμολογοῦμεν καί κηρύττομεν, ὅτι ὁ πρό τῶν αἰώνων Θεός Λόγος, ὁ μονογενής Υἱός τοῦ Θεοῦ ὑπάρχων, διά τήν πολλήν αὐτοῦ φιλανθρωπίαν τήν πρός ἡμᾶς οὖσαν, γέγονεν ἄνθρωπος τέλειος, ὡς εἷς ἐξ ἡμῶν κατά πάντα χωρίς ἁμαρτίας, μείνας ὅ ἦν, Θεός, διά τήν τοῦ γένους ἡμῶν σωτηρίαν γεννηθείς ἐκ τῆς ἁγίας Παρθένου Μαρίς, ὡς αὐτός οἶδε.

Β΄. Τούτου ἕνεκα τοῦ ἀληθοῦς δόγματος, τοῦ ἐν τῇ ἁγιωτάτῃ Ἐκκλησίᾳ ἀκριβῶς κηρυττομένου, καί τοῦ αἱρετικοῦ Παύλου δικαίως ἐξωσθέντος, ἐγένοντο σχίσματα λαῶν, ἀκαταστασίαι ἱερέων, ταραχή ποιμένων. Ὅθεν καί νῦν κατά πρόσωπον τοῦ ἐγχειρισθέντος τόν τῆς ἐπισκοπῆς θρόνον Νεστορίου· εἰ δεῖ εἰπεῖν ἐπίσκοπον· ἐν τῷ συνεδρίῳ, πολλάκις τινές τῶν εὐλαβεστάτων πρεσβυτέρων ἤλεγξαν αὐτόν καί διά τήν ἀπείθειαν αὐτοῦ, τό μή λέγειν Θεοτόκον τήν ἁγίαν Παρθένον, καί Θεόν ὄντα φύσει ἀληθινόν τόν Χριστόν, τῆς αὐτοῦ κοινωνίας ἑαυτούς ἐξέβαλον, καί κατέχουσιν ἕως ἄρτι· τινές δέ λάθρα ὁμοίως τῆς αὐτοῦ κοινωνίας στέλλονται.Ἄλλοι δέ τῶν εὐλαβεστάτων πρεσβυτέρων, διά τό λέγειν ἐν τῇ ἁγίᾳ ταύτῃ Ἐκκλησίᾳ, Εἰρήνῃ τῇ παραθαλασσίᾳ, κατά τοῦ ἀνανεωθέντος κακῶς δόγματος, τοῦ λέγειν ἐκωλύθησαν.Ὅθεν ἐπεβόα ὁ λαός, ζητῶν τῆς ὀρθοδοξίας συνήθη διδασκαλίαν, λέγων· Βασιλέα ἔχομεν, ἐπίσκοπον οὐκ ἔχομεν. Καί τέως μέν ἀνεκδίκητον ἔμεινε τό τοῦ λαοῦ πειρατήριον, τοῦ συλληφθέντος ἐκ μέρους παρά τῶν ὑπερετῶν, καί ἐν τῷ δικανικῷ τυπτηθέντος διαφόρως ἐν πόλει βασιλευούσῃ· ἅ οὔτε ἐν τοῖς ἔθνεσι τοῖς βαρβαρικοῖς ἐγένετο.Τινές κατά πρόσωπον ἐν τῇ ἁγιωτάτῃ ἐκκλησίᾳ ἐπί λαοῦ ἤλεγξαν, καί θλῖψιν οὐ μικράν ὑπέμειναν. Τῶν δέ ἀφελεστέρων τις μοναζόντων ἠναγκάσθη κατά ζῆλον , ἀνά μέσον τῆς ἐκκλησίας, τόν κήρυκα τῆς ἀνομίας ἐπισχεῖν τοῦ μή εἰσελθεῖν, συνάξεως οὔσης, αἱρετικοῦ αὐτοῦ ὄντος. Τοῦτον δέ τυπτήσας, τοῖς μεγαλοπρεπεστάτοις ἐπάρχοις παρέδωκεν· ἔτι δέ τυπτηθέντα, καί πομπευθέντα δημοσίᾳ τοῦ κήρυκος βοῶντος ἔμπροσθεν αὐτοῦ, τῇ ἐξορίᾳ παρέπεμψεν. Οὐ μόνον δέ τοῦτο, ἀλλά καί ἐν αὐτῇ τῇ ἁγιωτάτῃ ἐκκλησίᾳ, μετά τήν ἀθέμιτον αὐτοῦ ὁμιλίαν, οἱ τῆς φατρίας

αὐτοῦ τοῦ κατέχοντος, φόνον ἔμελλον ποιεῖν, εἰ μή ἡ τοῦ Θεοῦ βοήθεια κατέλαβε.

Γ΄. Τά περί ἡμῶν δύσπιστά ἐστι τάχα πολλοῖς τοῖς ἀκούουσι. Κατά γάρ κέλευσιν αὐτοῦ καί προτροπήν ἀνήλθομεν ἐν τῷ ἐπισκοπείῳ πληροφορηθῆναι, εἰ καθώς ἐνοήσαμεν, ἅ περί αὐτοῦ ἠκούσαμεν, ἔστιν, ἤ οὔ. Καί εἰς ὑπέρθεσιν δεύτερον καί τρίτον ἡμᾶς ἔβαλε. Καί τότε μόλις ἐκέλευσεν ἡμῖν εἰπεῖν, τί ἐστιν ὅ βουλόμεθα.Ὡς δέ ἤκουσε παρ’ ἡμῶν, ὅτι ταῦτα τά παρ’ αὐτοῦ λεχθέντα, τό, Οὐκ ἔτεκε, φησί, Μαρία, εἰ μή ἄνθρωπον ὁμοούσιον ἑαυτῆς· καί τό γεγεννημένον ἐκ τῆς σαρκός, σάρξ ἐστιν, οὐκ ἔστιν ὀρθοδόξων· παραχρῆμα ἐκέλευσε συλληφθῆναι ἡμᾶς· κἀκεῖθεν τυπτόμενοι παρά τοῦ ὄχλου τῶν δικανῶν, ἀπηγόμεθα ἐν τῷ δικανικῷ· κακεῖ γυμνούς ἡμᾶς δεσμίους, ὡς καί ὑπευθύνους τῇ τιμωρίᾳ ἐστύλισαν, ἐκρεβάτισαν, καί ἐπτέρνισαν. Ὅπερ οὐ πάσχουσιν ἐν τοῖς ἔξω δικαστηρίοις, οὐ λέγομεν ὅτι κληρικοί καί ἀρχιμανδρῖται, ἤ μονάζοντες, ἀλλ’ οὔτε οἱ τυχόντες κοσμικοί, ὅ ἡμεῖς ἐν τῇ ἐκκλησίᾳ παρά τοῦ παρανόμου παρανόμως πεπόνθαμεν. Θλιβόμενοι ἐν τῷ δικανικῷ, λιμώττοντες, ἐν οἰκετίᾳ φυλαττόμενοι ἐπί χρόνον πολύν διετελέσαμεν. Καί οὐκ ἠρκέσθη τούτοις ἡ αὐτοῦ μανία· ἀλλά καί μετά ταῦτα τῷ μεγαλοπρεπεστάτῳ ἐπάρχῳ τῆσδε τῆς μεγαλωνύμου πόλεως κατ’ ἀπάτην τινά παρεδόθημεν, καί σιδηρωθέντες ἀπήχθημεν ἐν τῇ φυλακῇ, καί μετά ταῦτα ἀνήχθημεν ἐν τῷ πραιτωρίῳ τῷ αὐτῷ τρόπῳ μετά τῶν δεσμῶν. Καί ἐπειδή οὐδείς ἦν ὁ κατηγορῶν, ἐν τῷ δικανικῷ πάλιν διά τῆς τάξεως ἤχθημεν· καί οὕτω πάλιν ἐκόλασεν ἡμᾶς κατά πρόσωπον τυπτήσας. Καί διαλεχθείς, καί συνθέμενος κατ’ ἀπάτην, ὡς τά μετά ταῦτα ἔδειξε, περί τοῦ φύσει Υἱοῦ τοῦ Θεοῦ, ὅτι ἐτέχθη ἀπό τῆς ἁγίας Μαρίας τῆς Θεοτόκου λέγων· ἐπεί ἔνι ἄλλος υἱός· οὕτως ἀπέλυσεν ἡμᾶς.

Δ΄. Παρακαλοῦμεν οὖν τήν ἀθάνατον ὑμῶν καί εὐσεβεστάτην πίστιν, ὥστε μή παριδεῖν ἐκ τοῦ λοιποῦ τήν ὀρθόδοξον Ἐκκλησίαν μοιχευομένην παρά αἱρετικῶν ἐν τοῖς καιροῖς ὑμῶν τῶν ὀρθοδόξων καί εὐσεβεστάτων βασιλέων· οὐχ ὡς διά τοῦτο τάς ἡμετέρας ὕβρεις βουλόμενοι ἐκδικεῖν· ὁ Θεός οἶδεν· ἀλλ’ ὡς θέλοντες τό στερέωμα τῆς εἰς Χριστόν πίστεως ἀσάλευτον μένειν· καί κελεύσει τό ὑμέτερον κράτος, τήν ἁγίαν καί οἰκουμενικήν σύνοδον παραγενέσθαι ἐνταῦθα ἤδη, ἵνα τῆς συνόδου παραγενομένης, τήν ἁγιωτάτην Ἐκκλησίαν ὁ Θεός ἑνώσῃ, καί τόν λαόν συνάξῃ, καί τούς ἱερέας ἀπολαβεῖν ἐν τῷ

τῆς ἀληθινής πίστεως κηρύγματι ποιήση, πρό τοῦ εἰς πλάτος τήν ἄδικον διδασκαλίαν ἐλθεῖν. Κἀκεῖνο δή παρακαλοῦμεν, ἀξιοῦντες, ἐπειδή πειρᾶται πτοεῖν, ἀπειλῶν, ἐλαύνων, ἐξωθῶν, κακουργῶν, ῥαδιουργῶν, καί κακῶν, καί ἵνα τήν αὐτοῦ μανίαν καί ἀσέβειαν κρατύνῃ, πάντα ποιῶν ἀφειδῶς, οὐ Θεόν φοβούμενος, οὐκ ἀνθρώπους αἰσχυνόμενος, οὐκ ἐπισκόπους εὐλαβούμενος, οὔτε ἱερέα τινά, οὐ κλῆρόν τινα, οὐχ ἁγίους μοναχούς, οὐκ εὐλάβειαν λαϊκῶν, οὐ τόν κατά τῶν ἀδικούντων ἐπηρτημένον φόβον, οὐ τόν νόμον τῶν ἐκτελούντων διακονίαν τινά Θεῷ εἰς ὀργήν κατά τῶν ἀξίων, ἀλλ' ἐνδυσάμενος τήν ὑπεροψίαν κατά πάντων, θαῤῥῶν τοῖς χρήμασι, καί τινων διεφθαρμένων τῇ ἰσχΰϊ, ἤ ἵνα ἀφόβως εἴπωμεν, καί τῷ ὑμετέρῳ κράτει, ταῦτα ποιεῖ· ἀξιοῦμεν μηδέν αὐτῷ κατά τινων ἐξεῖναι ποιεῖν, ἐάν μή πρῶτον διόρθωσιν λάβῃ τά κατά τήν ὀρθόδοξον πίστιν, ἵνα μή ταύτην διασκεδάσῃ, καί τήν αὐτοῦ παρεισαγάγῃ ταῦτα ποιῶν. Οἶδε γάρ, ὡς οἴεται, ὅτι κἄν τῷ φόβῳ πολλούς ἀμβλύνας ἀποστήσῃ τῆς πίστεως· καί λοιπόν εὑρών ὁμογνώμονας αὐτοῦ, παράσχῃ αὐτοῖς θάρσος, ὥστε καί ἕως πληγῶν δημοσίᾳ ἐπιχειρεῖν, καί διωγμόν ποιεῖν. Οὐ μόνον δέ τούς αὐτοῦ δῆθεν κληρικούς, ἤ συγκέλλους, ἀλλά καί ἐκ τῶν ἔξωθεν παροικιῶν προσελάβετό τινας, οἷς μάλιστα οὐκ ἔξεστιν εἶναι κατά τούς ἐκκλησιαστικούς κανόνας εἰς ἕτερον ἐπισκοπεῖον, ἤ εἰς ἄλλην ἐκκλησίαν, ἀλλ'ἀνάγκη αὐτούς εἰς τάς ἰδίας παροικίας, ἤ πόλεις, ὅπου ἐχειροτονήθησαν, κἀκεῖ ἡσυσχῇ διάγειν· ἵνα μή τῷ μακρῷ χρόνῳ διά τῆς προσκαίρου δυναστείας, ἕρψῃ περισσοτέρως ἡ παρανομία καί ἐπιγραφῇ τῇ ὑμετέρᾳ εὐσεβείᾳ· καί εἰς τοῦτο γάρ ὑμᾶς ἔθετο ὁ Θεός διακόνους, ὑπέρ τῆς δόξης αὐτοῦ τοῦ δοξάσαντος ὑμᾶς, καί δοξάζοντος, καί ἀποδιδόντος ὑμῖν τόν μισθόν μετά πάντων τῶν ἁγίων, τῶν καλῶς φυλαξάντων τάς ἐγχειρισθείσας αὐτοῖς διακονίας. Πρός οὕς εἶπεν· Εὖ, δοῦλε ἀγαθέ καί πιστέ, ἐπί ὀλίγα ἦς πιστός, ἐπί πολλῶν σε καταστήσω· εἴσελθε εἰς τήν χαράν τοῦ Κυρίου σου. Οἱ ὄντως Χριστανοί τούτοις τοῖς λόγοις διά τῶν ἔργων πιστεύουσιν· οἱ δέ ἄπιστοι καί ἀπεῤῥιμμένοι, καί τῇ ἑαυτῶν κοιλίᾳ ζῶντες, καί εἰς αὐτό τοῦτο προσκαρτεροῦντες, ἐάν ἀκούσωσιν ὁμολογοῦντά τινα, τόν Χριστόν εἶναι Θεόν, διαπρίονται, ὡς οἱ τότε Ἰουδαῖοι συνέσχον τά ὦτα αὐτῶν, τοῦ ἁγίου Στεφάνου τοῦ πρωτομάρτυρος διηγουμένου, ὅτι Θεωρῶ, φησί, τούς οὐρανούς ἀνεῳγμένους, καί τόν Υἱόν τοῦ ἀνθρώπου ἐκ δεξιῶν ἑστῶτα τοῦ ἀοράτου Θεοῦ. Οὕτω καί οὗτοι

διαπρίονται κατά τῶν Χριστιανῶν, καίπάντα θυμόν σπουδάζουσιν ἐκτελεῖν.

ς΄. Ἀξιοῦμεν οὖν προνοίᾳ τοῦ μεγαλοπρεπεστάτου ἐπάρχου τῆς νέας Ῥώμης, κωλύεσθαι τούς κατά τῶν ὀρθοδόξων ἐπανισταμένους, καί προφάσει δικαιολογιῶν, ὥς φασιν, ἐπιχειροῦντας κατά τινος, ἕως ὅτε τά τῆς πίστεως διόρθωσιν λάβοι· εἰ δέ παρακούσετε, ἡμῶν ἀμελήσαντες, διαμαρτυρόμεθα ὑμῖν ἐνώπιον τοῦ βασιλέως τῶν αἰώνων, ἀφθάρτου, ἀοράτου, μόνου σοφοῦ Θεοῦ, τοῦ ἐλθόντος καί ἐπιφανέντος, ὡς ἠθέλησε, διά τήν σωτηρίαν ἡμῶν, καί πάλιν ἐρχομένου κρῖναι ζῶντας καί νεκρούς, ᾧ κάμπτει πᾶν γόνυ ἐπουρανίων, καί ἐπιγείων, καί καταχθονίων, καί πᾶσα γλῶσσα ἐξομολογήσεται αὐτῷ, ὅτι ἀθῶοί ἐσμεν. Ἡμεῖς γάρ ὑμᾶς παρεκαλέσαμεν περί συνόδου οἰκουμενικῆς, τῆς δυναμένης ἀκριβῶς κρατῦναι καί ἀνορθῶσαι τά σαλευόμενα, εἴτουν καταῤῥαγέντα· οὐ κατισχύσουσι δέ αὐτῆς διά τῆς χάριτος καί ἀντιλήψεως τοῦ Θεοῦ, τῆς ἐνεργούσης ἐν ὑμῖν, κακῶσαι πύλαι Ὅ̈άδου, ἅτινά ἐστι τά στόματα τῶν αἱρετικῶν· ἵνα τούτου τυχόντες, τάς συνήθεις εὐχάς ἐν ὁμονοίᾳ ὑπέρ τῆς κοινῆς σωτηρίας καί τῆς βασιλείας ὑμῶν, εὐαρέστως καί ὀρθοδόξως τῷ Θεῷ ἀναπέμπωμεν. Ἀμήν.

**ΘΕΟΔΩΡΟΥ**
**ΠΡΕΣΒΥΤΕΡΟΥ ΤΗΣ ΡΑΪΘΟΥ** (1484)

***Προπαρασκευή τις καί γυμνασία, τῷ βουλομένῳ μαθεῖν τίς ὁ τρόπος τῆς θείας ἐνανθρωπήσεως, καί οἰκονομίας, καθ᾽ ὅν πέπρακται, καί τίνα τά πρός τούς ταύτην μή ὀρθῶς νοοῦντας λεγόμενα παρά τῶν τῆς Ἐκκλησίας τροφίμων.***

Ἄτοπον οἶμαι, καί καλῶς μέν τοῦτο νενόμικα· καί γάρ ἐστιν ὄντως ἄτοπον, εἰ οὗτοι μέν, οἱ ἐξ Εὐτυχέως καί Διοσκόρου τῷ ψεύδει συνιστάμενοι, καί στρατευόμενοι κατά ἀληθείας, οὕτω καρτερῶς καί ἀγρύπνως πολεμοῦσι τήν μόνην καθολικήν καί ἀποστολικήν τοῦ Θεοῦ Ἐκκλησίαν· ὥστε καί τά παρ᾽ αὐτοῖς παιδία μήπω τρανωθείσης αὐτοῖς τῆς γλώσσης, πρίν εἰς διδασκάλους φοιτῆσαι, καί τά πρῶτα στοιχεῖα μαθεῖν, ἀκονᾷν τε καί ἐμβιβάζειν, ὅπως λέγειν καί ἀκούειν δύναιντο ὑπέρ τοῦ παρ᾽ αὐτοῖς πρεσβευομένου δόγματος, ἡμᾶς δέ οὕτω καταῤῥᾳθυμεῖν καί ἀναπεπτωκέναι, ὡς μηδέ αὐτό τοῦτο σπουδάζειν εἰδέναι, τίς ἡ διαφορά τούτων πρός τήν Ἐκκλησίαν, καί ἐκ ποίων ἀρχῶν ὁ πρός ἡμᾶς αὐτοῖς συνέστηκε πόλεμος, τίνες τε καί οἱ ἡγεμόνες αὐτῶν οὗτοι, ἀφ᾽ ὧν ἔχουσι τήν προσωνυμίαν. Διά ταῦτα μή πάρεργον ἡγεῖσθαι ὀφείλομεν τήν περί ταῦτα σχολήν, μηδέ, ὅτι Θεοῦ χάριτι καί εὐμενείᾳ εἰρηνεύει τά τῆς Ἐκκλησίας, ἐν γαλήνῃ τε καί ἀταραξίᾳ ἐσμέν, πάσης αἱρέσεως ἐκποδών εἰς τούς ἑαυτῆς φωλεούς κατακεκρυμμένης, ἤδη καί ἡμεῖς ἄοπλοί τινες ὦμεν ἀπειροπόλεμοι· μήπως καί ἄφνω ἐνστάντος πολέμου, γυμνοί καί ἀπαράσκευοι εὑρεθέντες ὑπό τῆς δυσσεβείας ἀναιρεθῶμεν. Ἕως ἐξ οὐρίας πλεῖς, φοβήθητι τό ναυάγιον, φησίν ὁ Θεολόγος Γρηγόριος, καί ἧττον ναυαγήσεις, τῇ δειλίᾳ βοηθῷ χρώμενος. Τοίνυν κατά τήν ἐντολήν (1485) τοῦ κορυφαίου τῶν ἀποστόλων, Ἕτοιμοι γενώμεθα πρός ἀπολογίαν ἀεί, παντί τῷ αἰτοῦντι ἡμᾶς λόγον περί τῆς ἐν ἡμῖν ἐλπίδος, μετά πραΰτητος καί φόβου, συνείδησιν ἔχοντες ἀγαθήν· ἵνα ἕν τῶν ὁποτέρων πάντως ἡμῖν ὑπάρξῃ διά τῆς τοιαύτης ἀξιεπαίνου σπουδῆς, ἤ τό σώζειν τούς ἀποδιορίζοντας ἑαυτούς, καί ἐκ τῆς πονηρᾶς διακρίσεως ταύτης αὐτούς ἐξαρπάζειν, καθά παραινεῖ ὁ κατ᾽ ἐπίκλην ἀδελφός τοῦ Κυρίου· ἤ εἰ μή τοῦτο, κἄν ἀποῤῥάπτειν αὐτῶν στόμα τοῖς δικαίοις ἐλέγχοις, ὡς μηδέ καιρόν ἔχειν αὐτούς ἀθυρογλωττεῖν κατά τῆς ἀληθείας. Ὅ δέ τούτων τιμιώτερόν τε καί

μεῖζον, ἵνα ἡμεῖς αὐτοί γινώσκωμεν καί πεπληροφορήμεθα ἐφ' οἵᾳ πίστει ἑστήκαμεν καί καυχώμεθα, παῤῥησιαζόμενοί τε καί ἐλευθεροστομοῦντες τῇ αὐτῆς ὁμολογίᾳ, οὗ χάριν τούς ταῦτῃ ἀντικειμένους ἀποστρεφόμεθα. Στοχάζομαι δέ ὅτι κατά τόν καιρόν τῆς ἀνταποδόσεως, μείζων ὁ μισθός ἔσται καί ἡ ἀποδοχή πλείων τοῖς μετά γνώσεως ἐμμελοῦς, ἀραρότως καί ἑδρασμένως ἐχομένοις τῆς εὐσεβείας, τῶν ἁπλῶς καί ὡς ἔτυχεν ἐκ πατροπαραδότου συνηθείας ἐν τῇ αὐτῇ πίστει γνωριζομένων. Οἱ μέν γάρ κατά συμβεβηκός μόνον, οἱ δέ καί ἀπό διανοίας καί γνώμης πιστοί γεγονότες εὑρίσκονται· ὡς, εἴπερ ἔτυχεν ἐκείνους τούς ῥαθύμους καί οὐκ ἐξεταστικούς ὑπό αἱρετικῶν γονέων ὑπάρξαι, οὐδ᾽ ἄν ἐφρόντισαν τήν πατρῴαν δυσσέβειαν ἀποδύσασθαι· οὕτω κατάγνωστον ἡ ἀμάθια, καί τό μή θέλειν διδάσκεσθαι· διά τοῦτο καί εἴρηται· Σοφίαν καί παιδείαν ὁ ἐξουθενῶν, ταλαίπωρος· ὁ δέ ἀγαπῶν παιδείαν, εὑρήσει γνῶσιν μετά διακαιοσύνης. Ἵνα δέ εὔληπτα γένηται παντί τῷ ἐντυγχάνοντι τῷ προκειμένῳ πονήματι τά πρός τούς δι᾽ ἐναντίας λεγόμενα, μικρά τινα πρός εἰσαγωγήν συντάξαι ἀναγκαῖον ἐνόμισα, ἧς καί ἀρχόμενος, οὕτω φημί·

***Δόξα Μάνεντος.***

Μάνης ὁ τοῦ ἀντιθέτου σκότους ἐφευρετής, μᾶλλον δέ τῆς ἐξουσίας τοῦ σκότους ἀνάπλασμα, φαντασίᾳ ψιλῇ καί σχήματι διακένῳ σώματος ἀνθρωπίνου, πεφανερῶσθαι τόν Κύριον ἐφαντάσθη ὡς ἀληθῶς καί ὠνείρωξεν, ὥστε, φησί, καί πάσχειν δοκεῖν αὐτόν καί πράττειν, ἅπερ ἔδρα καί πέπονθε καθ᾽ ἡμᾶς, μηδέν δέ τούτων πράγματι καί ἀληθείᾳ ὑπάρξαι, ἀλλά δοκήσει μόνον καί ἀπάτῃ ἀποβουκολεῖν τούς ἀνθρώπους, οἷς καί συνανεστράφθαι νενόμισται.Διά τοῦτο καί δύο φύσεις παραιτεῖται λέγειν ἐπί τοῦ Κυρίου, ἀλλά μίαν τήν τῆς θεότητος, ὡς ἅτε τοῦ πεφενακισμένου (ἐκείνου σχήματος, μή ἀξιουμένου) παρ᾽ αὐτοῦ ἀνθρωπίνη φύσις κατονομάζεσθαι.

***Δόξα Παύλου Σαμοσατέως.***

Παῦλος δέ τις τούτῳ τῷ Μάνεντι σύγχρονος γεγονώς, Σαμοσατεύς μέν τό γένος, Ἀντιοχείας δέ τῆς Συρίας πρόεδρος, ψιλόν ἄνθρωπον εἶναι τόν Κύριον ἐδυσφήμησε Ὥσπερ δέ εἰς ἕκαστον τῶν προφητῶν, οὕτω καί ἐν αὐτῷ γενέσθαι τοῦ Θεοῦ Λόγου τήν οἴκησιν· ἔνθεν καί

δύο φύσεις διῃρημένως ἐχούσας καί ἀκοινωνήτους πρός ἑαυτάς εἶναι παντάπασιν ἐν τῷ Χριστῷ, ἄλλου ὄντος αὐτοῦ τοῦ (1488) Χριστοῦ, καί ἄλλου τοῦ ἐν αὐτῷ κατοικοῦντος Θεοῦ Λόγου. Αὗται μέν οὖν αἱ πρῶται φυαί τοῦ τήν μίαν φύσιν, καί τάς δύο κακῶς καί δυσφήμως λέγεσθαι ἐπί τοῦ Σωτῆρος Χριστοῦ· τό μέν ἐπ᾽ ἀναιρέσει τῆς ἀνθρωπότητος, τό δέ τῆς θεότητος.

***Δόξα Ἀπολιναρίου.***

Χρόνου δέ οὐ μικροῦ προϊόντος Ἀπολινάριός τις πρόεδρος γενόμενος Λαοδικείας τῆς Συρίας, τῆς παράλου, ἑτέρας ματαιοφροσύνης ἡγήσατο.Τῶν γάρ Ἀρειανῶν παντάπασιν ἄψυχον λεγόντων τήν τοῦ Κυρίου σάρκα, αὐτός ὁ Ἀπολινάριος ἔφη, ὅτι σάρκα μέν ἐμψυχωμένην ψυχῇ ζωτικῇ ἀνέλαβεν ὁ Κύριος, νοῦν δέ τόν ἡμέτερον οὐ προσήκατο· μηδέ γάρ δεηθῆναι νοός ἀνθρωπίνου ἐκείνην τήν σάρκα, ἡγεμονευομένην ὑπό τοῦ αὐτήν ἐνδεδυκότος Θεοῦ Λόγου· ἀλλά μηδέ χωρεῖν αὐτήν ἄλλην νοεράν δύναμιν παρά τήν θείαν· μηδέ γάρ αὐτόν τόν ἀνθρώπινον νοῦν ὑποστῆναι δύνασθαι τήν μετά τοῦ κρείττονος καί Δεσπότου ἐνοίκησιν. Ταῦτα ὑποθέμενος διατείνεται μίαν εἶναι φύσιν τοῦ Λόγου, καί τῆς σαρκός, ὡς ἅτε τῆς σαρκός ἀτελοῦς οὔσης εἰς τό εἶναι ἄνθρωπον ὅλον, καί διά τοῦτο μηδέ ἀξίαν, φύσιν προσαγορεύεσθαι.

***Δόξα Θεοδώρου Μοψουεστίας.***

Μετά τοῦτον δέ τόν Ἀπολινάριον, εὐθέως ἀναφαίνεταί τις Θεόδωρος τῆς Μοψουεστίας οὕτω λεγομένης ἐν τῇ γῇ τῶν Κιλίκων τήν ἡγεμονίαν λαχών· ὅς ἐκ διαμέτρου τῷ Ἀπολιναρίῳ φερόμενος, ὕβρεις οὐ τάς τυχούσας τολμηρᾷ ψυχῇ καί ἀφόβῳ καρδίᾳ καταχέει τοῦ Δεσπότου Χριστοῦ· ἄνθρωπον ἕνα τῶν καθ᾽ ἡμᾶς κοινόν ἀποκαλῶν, καί ἐκ προκοπῆς λαβόντα τήν χάριν τοῦ Θεοῦ, Θεόν ὀνομάζεσθαι· καί ἐκ τοῦ ἐν τῷ Ἰορδάνῃ βαπτίσματος ἀξιωθῆναι ἐν πρώτοις τῆς τοῦ ἁγίου Πνεύματος δωρεᾶς, εἰς ὄνομα Πατέρος καί Υἱοῦ καί ἁγίου Πνεύματος βαπτισθέντα. Τόν δέ Θεόν Λόγον διά τήν ὑπερβάλλουσαν αὐτοῦ ἀρετήν κατ᾽ εὐδοκίαν ἐν αὐτῷ κατοικήσαντα, μεταδοῦναι αὐτῷ τῆς θεϊκῆς ἀξίας καί προσκυνήσεως εἰς ὕστερον μετά τήν τελείωσιν· ταῦτά τε καί ἕτερα πολλά δυσφημήσας τοιαῦτα, δύο φύσεις ἰδιοπεριορίστους φησίν εἰδέναι ἐπί Χριστοῦ, σχέσει τινί καί μόνον ἀλλήλαις οἰκειωμένας. Δευτέρα καί αὕτη πλάνη τοῦ μίαν φύσιν καί

δύο φύσεις ἰδιοπεριορίστους, μή κατά τόν ὀρθόν λόγον ὁμολογεῖσθαι ἐν τῷ Χριστῷ.

***Δόξα Νεστορίου.***

Μετά τούτους δέ γίνεταί τις Νεστόριος ὀνόματι, ὅς ὡρμᾶτο μέν ἀπό Γερμανικείας τῆς ἐν Συρίᾳ· κληροῦται δέ ἐν Ἀντιοχίᾳ τῇ παρά Ὀρόντην ποταμόν, Κωνσταντινουπόλεως δέ τόν θρόνον λαμβάνει. Οὗτος πάλιν τῇ φωνῇ τῶν δύο φύσεων τῶν ἐν Χριστῷ, κακοφυῶς ἀποκέχρηται ὁμοίως Παύλῳ καί Θεοδώρῳ τοῖς ἑαυτοῦ προγόνοις. Οὐ γάρ ἵνα τήν ἀληθότητα τῆς κατα Χριστόν θεότητός τε καί (1489) ἀνθρωπότητος, καί τήν τούτων ἀτρεψίαν καί ἐπιμονήν καί ἀσυγχυσίαν σημάνῃ, τόν ἀριθμόν τῶν δύο καταφράζει φύσεων, ἀλλ᾽ ἵνα δύο πρόσωπα δι᾽ αὐτοῦ τοῦ δύο ἀριθμοῦ δολερῶς ὑπαινίξηται, τήν τῶν φύσεων κλῆσιν ἀντί τῶν προσώπων λαμβάνων κακούργως, ὡς ἀληθῶς καί κακοήθως, πεπαῤῥησιασμένῃ προσωνυμίᾳ τῶν φύσεων τό ἀπηγορευμένον τῶν προσώπων εἰσάγων, ὥστε ἄλλον εἶναι παρ᾽ αὐτῷ τόν Χριστόν, καί ἄλλον τόν Θεόν Λόγον, κατά τήν πατρῴαν αὐτοῦ πλάνην· υἱός γάρ ἦν τοῦ Κίλικος, τοῦ δέ Σαμοσατέως ἀπόγονος. Καί διά τοῦτο πρός τήν σεμνήν Παρθένον ἄσπονδον ἤρατο πόλεμον, μή δυσωπηθείς τήν θεομητέρα καί ἁγνήν Μαρίαν, ὡς Δεσπότου Μητέρα· ἀλλ᾽ ὡς δοῦλος τραχηλιαστής καί ἀναίσχυντος, ἀρνούμενος τόν ἑαυτοῦ Κύριον, καί ἀτιμάζων τήν Δέσποιναν ἑαυτοῦ, βασκαίνων οὐ τοσοῦτον αὐτῇ τῆς, Θεοτόκος, προσηγορίας, ὅσον τῆς, Θεός, τῷ ἐξ αὐτῆς γεννηθέντι. Οὗτος μέν οὖν ὁ Νεστόριος τρίτος εἰς ἑαυτόν αὐτήν περιέστησεν.

***Δόξα Εὐτυχοῦς.***

Τῆς δέ ἀντιθέτου μοίρας, τῆς κατά Μάνην καί Ἀπολινάριον, τρίτος πάλιν προασπιστής ὁ Εὐτυχής ἀναφαίνεται, ὅς ἦν ἡγούμενος μοναστηρίου ἑνός τῶν περί τό Βυζάντιον. Οὗτος γάρ μή ἀνεχόμενος ὁμοούσιον ἡμῖν καί ὁμοφυῆ τήν σάρκα τοῦ Κυρίου ὁμολογεῖν, τάς δύο φύσεις ἀπηρνεῖτο σώζεσθαι λέγειν ἐν τῷ Χριστῷ μετά τῆς τούτων ἑνώσεώς τε καί συμφυΐας· οὐ μόνον δέ, ἀλλά καί τερατώδη τινά καί ἀλλόκοτα ἔπλαττεν, ἐξ οὐρανοῦ λέγων κατηνέχθαι τοῦ Κυρίου τό σῶμα, καί ὡς διά σωλῆνος τῆς Παρθένου παραδραμεῖν τόν Θεόν Λόγον, οὐρανόθεν τοῦτο ἐνδεδομένον, ἵνα δόξῃ δῆθεν γεγεννῆσθαι ἐκ γυναικός, καίπερ μήτε γεγεννημένον. Μανιχαῖος ὁ λόγος οὗτος, καί

πεφαντασιασμένος πολλῷ μᾶλλον ἐκείνου. Καί οὕτως οὖν μίαν φύσιν τόν Χριστόν διεστραμμένῃ καρδίᾳ ἐπρέσβευσε. Τῶν οὖν δύο μερῶν τούτων, τοῦ τε κατά Μάνην καί Ἀπολινάριον καί Εὐτυχέα, καί τοῦ κατά Παῦλον καί Θεόδωρον καί Νεστόριον, τῶν μέν μίαν φύσιν, τῶν δέ δύο φύσεις ἐξ ἐναντίας ἀλλήλων τόν Δεσπότην Χριστόν ἀμαθῶς εἰρηκότων, τάς ἐφ᾽ ἑκάτερα κακίστας μετατροπάς καί δυσσεβεῖς παρεγκλίσεις ἀπαναινομένη ἡ καθολική Ἐκκλησία, μέσην ἀμφοτέρων βαδίζει, ὁδῷ βασιλικῇ πορευομένη, μή ἐγκλίνουσα εἰς τά δοκοῦντα δεξιά, μηδέ εἰς τό προφανῆ ἀριστερά. Κατά γάρ Μάνητα καί Ἀπολινάριον καί Εὐτυχέα μίαν φύσιν ἁπλῶς ἐπί Χριστοῦ λέγειν οὐ παραδέχεται, ἀλλά μίαν φύσιν τοῦ Θεοῦ Λόγου σεσαρκωμένην· διά τῆς προσθήκης τοῦ, σεσαρκωμένην, δηλοῦσιν τήν φύσιν τῆς ἀνθρωπότητος, ἣν ἡ φύσις τοῦ Θεοῦ Λόγου προσλαμβανομένη, ἅμα τε καί σύν ταύτῃ εἷς Κύριος Ἰησοῦς Χριστός γέγονεν· οὐδέ αὐτή ἡ τοῦ Λόγου φύσις ἑτέρα παρ᾽ ἑαυτήν καί τῶν κατ᾽ αὐτήν θεοπρεπῶς αὐχημάτων γενομένη, εἰ καί ἐν προσλήψει σαρκός γέγονε, σαρκός δέ οὐχ ἁπλῶς· τοῦτο γάρ Ἀρειανικόν· ἀλλά σαρκός ἐμψυχωμένης· καί οὐχί ἐμψυχωμένης μόνο· πάλιν γάρ Ἀπολιναρίου καί τοῦτο· ἀλλ᾽ ἐμψυχωμένης ψυχῇ νοερᾷ καί λογικῇ· οὐδέ μήν τήν ἀνθρώπου φύσιν, (1492) ἧς ἐν προσλήψει γέγονεν, εἰς ἑαυτήν ἀνέχεεν, ἤ αὐτήν ἐκείνην ἠλλοίωσεν ἔξω τοῦ κατά τόν φυσικόν αὐτῆς καί οὐσιώδη ὅρον καί λόγον, οὐδέ, ὡς κηρόν πῦρ, ταύτην ἐξεδαπάνησεν. Ὥστε τόν ὅλον ὅρον ταῦτα δηλοῦντα ούτωσί λέγεσθαι πρός τῶν εὐσεβῶν· Μία φύσις τοῦ Θεοῦ Λόγου σεσαρκωμένη, σαρκί ἐμψυχωμένη, ψυχῇ νοερᾷ καί λογικῇ. Πάλιν δέ κατά Παῦλον καί Θεόδωρον καί Νεστόριον δύο φύσεις ἁπλῶς ἐπί Χριστοῦ λέγειν ἀποδεδοκίμακεν ὁ λόγος ὁ ἐκκλησιαστικός· ἀλλά δύο φύσεις οὐσιωδῶς ἡνωμένας· διά τῆς ἐπα[γω]γῆς ταύτης ἀποβάλλων πᾶσαν διαιρετικήν ἔννοιαν, καί τόν καθ᾽ ὁτιοῦν ἐπιχειροῦντα διαζευγνύναι τήν ὄντως ὑπερφυᾶ καί θαυμαασίαν ἕνωσιν· καί οὐ μόνον δύο φύσεις οὐσιωδῶς ἡνωμένας, ἀλλά καί ἑνώσει τῇ καθ᾽ ὑπόστασιν ἀδιασπάστως ἅμα καί ἀσυγχύτως.

***Ἐξήγησις τοῦ ὅρου.***

Ὁ δέ τοιοῦτος ὅρος, διά μέν τοῦ λέγειν δύο φύσεις, σημαίνει, τό ἑτερογενές καί ἑτεροούσιον τῶν συνελθουσῶν δύο φύσεων, τῆς τε προσλαβούσης θεότητος καί τῆς προσειλημμένης ἀνθρωπότητος. Διά δέ τοῦ λέγειν οὐσιωδῶς ἡνωμένας, σημαίνει τό μή κατ᾽ εὐδοκίαν, ἤ

ἑτέραν τινά σχετικήν ἔννοιαν νοεῖσθαι τήν τῶν δύο φύσεων ἕνωσιν, ἀλλ᾽ αὐτῇ οὐσίᾳ καί ὑποκειμένῳ καί πράγματι συνυφεστάναι ταύτας καί συντεθεῖσθαι. Διά δέ τοῦ λέγειν, ἑνώσει τῇ καθ᾽ ὑπόστασιν, σημαίνει τό μή πρότερον διαπεπλάσθαι τήν ἀνθρωπότητα, καί οὕτως αὐτῇ εἰσδεδυκέναι τήν θεότητα, ἀλλ᾽ ὅτι κατ᾽ αὐτό τό ὑφίστασθαι τήν πρώτην ἀρχήν ἥνωτο τῇ θεότητι. Διά δέ τοῦ ἐπάγειν, ἀδιασπάστως ἅμα καί ἀσυγχύτως, σημαίνει μηδέ καινοτομηθῆναι τάς συνελθούσας φύσεις διά τῆς ἑνότητος, ἀλλά καί τήν ἕνωσιν τούτων ἀεί τε καί ὡσαύτως διαπεφυλάχθαι, καί ἑκατέραν τῶν φύσεων ἀμειώτως ἐπί τῷ οὐσιώδει αὐτῆς ὅρῳ καί λόγῳ. Ταῖς οὖν τοιαύταις ἀνεπηρεάστοις ἐπαγωγαῖς, τούς ἐξ ἑκατέρου μέρους ἀποσφαλέντας, καί μακράν ἀποπέμπεται ὁ λόγος τῆς Ἐκκλησίας, καί τοῖς συκοφαντεῖν ἐθέλουσι τήν ἀλήθειαν, χώραν οὐ δίδωσιν. Εἰ μέν γάρ τις φιλοδιαιρέτης διά τῆν τῶν δύο φύσεων ὁμολογίας, δύο ὑποστάσεις, ἤγουν πρόσωπα, συναγαγεῖν ἐπιχειροίη, οὐχ ἥκιστα μέν καί ταῖς προλεχθείσαις ἐπαγωγαῖς, πολλῷ δέ μᾶλλον τῷ ἑτέρῳ τῶν ὅρων διαλέγχεται, καί μάλα ῥᾳδίως. Φημί δέ τῷ, μία φύσις τοῦ Λόγου σεσαρκωμένη.

Οὗτος γάρ ὁ ὅρος ἐναργῶς παρίστησι, οὐκ ἄν ποτε ἐν ὑποστάσει τό καθόλου γνωσθῆναι τήν κατά Χριστόν ἀνθρωπότητα, εἰ μή ἡ τοῦ Λόγου θεϊκή φύσις ὑπεισδῦσα τήν παρθενικήν νηδύν, ἐξ αὐτῆς ἀῤῥήτῳ λόγῳ ταύτην ἑαυτῇ περιεμόρφου καί περιέπλαττεν, ὥστε μηδέ αὐτάς τάς πρώτας τῆς ζωοπλαστίας ἀρχάς ἐσχηκέναι τήν προσληφθεῖσαν φύσιν, ἄνευ τῆς οὐσιώδους καί φυσικῆς ἐμφολοχωρήσεως τῆς προσλαμβανομένης αὐτήν Θεοῦ Λόγου φύσεως. Καί τί λέγω τάς τῆς θεοπλαστίας ἀρχάς, ὅπουγε οὐδ᾽ ἄν αὐτή ἡ μακαρία Παρθένος ὑπέρ τόν ὅρον τῆς φύσεως γόνιμον (1493) ἔλαβε δύναμιν εἰς τό τεκνῶσαι, μή διά τῆς ἐνδημίας τοῦ Λόγου εἰς τοῦτο παρορμηθεῖσα; Πῶς οὖν αὕτη ἡ ἐν Χριστῷ ἀνθρωπότης ἐν ἰδιαζούσῃ ὑποστάσει καθ᾽ ἑαυτήν οὔποτε γενομένη, ἀλλ᾽ ἐν τῷ προσλαμβομένῳ αὐτήν Θεῷ Λόγῳ, τό εἶναί τε καί ὑποστῆναι λαχοῦσα, ὑπόστασις ἄν λεχθείη ποτέ, ἤ πρόσωπον ἰδιοσύστατον καθ᾽ ἑαυτό, καί ἀνά μέρος γνωριζόμενον ἔχοι; Ἠλίθιον ὄντως καί μάταιον τό ταῦτα συνομολογεῖν, καί δύο ὑποστάσεις ἤ πρόσωπα ζητεῖν ἐπί τοῦ τοιούτου ἀποτελέσματος. Εἰ μήτι ἄρα τις τοῖς χείλεσι μέν τιμᾷ καί ἀσπάζεται ταῦτα, ἡ δέ καρδία αὐτοῦ πόῤῥῳ ἀπέχει ἀπ᾽ αὐτῶν. Ὥστε εἴ τις γνησίως καί ἐκκλησιαστικῶς ὁμολογεῖν ἐθέλει τάς ἐν Χριστῷ δύο φύσεις, καί τό, μία φύσις τοῦ Θεοῦ Λόγου σεσαρκωμένη, ὑπτίαις χερσί

καί ὁλοκλήρῳ καρδίᾳ καταδεξάσθω, ὡς τά προειρημένα δηλοῖ. Εἰ δέ συγχεῖν ἡμᾶς διά τοῦτο νομίζει τήν θείαν οἰκονομίαν, ὡς τοῦ σεσαρκωμένου καί ἄλλως νοεῖσθαι δυναμένου παρά τόν τῆς εὐσεβείας λόγον, λαβών τήν ἐπαγωγήν τήν σαρκί ψυχωμένη, ψυχῇ νοερᾷ καί λογικῇ, παυσάσθω λοιπόν τοῦ προφασίζεσθαι προφάσεις ἐν ἁμαρτίαις.

Οἷον δέ τι λέγω· τό, σεσαρκωμένη, φημί, δύναται καί τῇ μιᾷ φύσει προσκεῖσθαι, καί ἑτέραν φύσιν ταύτῃ μή ἐπεισάγειν, τροπήν δέ τινα ἤτοι μεταβολήν ταύτης σημαίνειν· ὥσπερ λέγομεν τόν κρύσταλλον, φύσιν ὕδατος εἶναι κεκρυσταλλωμένην. Ἰδού γάρ τήν φύσιν τοῦ ὕδατος μίαν εἰδότες, καί τό, κεκρυσταλλωμένην, ταύτῃ ἐπάγοντες, ἑτέραν φύσιν διά τῆς τοιαύτης σημασίας οὐ προσηγάγομεν, μόνον δέ πῆξίν τινα περί αὐτήν γενομένην νενοήκαμεν, διά τῆς κεκρυσταλλωμένης φωνῆς. Πρός τοῦτό φαμεν, ὅτι ἐπί τῶν τοιούτων ἀποτελεσμάτων οὐκ ἀναδιπλασιάζονται αἱ τοιαῦται φωναί· ὁ γάρ ἀναδιπλασιασμός ἐνταῦθα σημασίαν φύσεως ἑτέρας ποιεῖται. Οἷον, οὐ δυνάμεθα λέγειν ὕδατος φύσιν κεκρυσταλλωμένην κρυστάλλῳ· ἐπεί παρ᾽ αὐτά ἐσημήναμεν ἕτερον εἶναι τήν τοῦ ὕδατος φύσιν, καί ἕτερον τήν τοῦ κρυστάλλου· ὡς ἡνίκα λέγομεν ξύλον κεκρυσωμένον χρυσῷ· διά γάρ τοῦ ἀναδιπλασιασμοῦ τούτου ἐνοήσαμεν ἄλλο τι εἶναι τό ξύλον, καί ἄλλο τόν χρυσόν. Οὕτως οὖν ἐνταῦθα, ὅταν εἴπωμεν μίαν φύσιν τοῦ Θεοῦ Λόγου σεσαρκωμένην, φύσιν ἐναργῶς ὑπεσημηνάμεθα, καί ὅτι μή αὐτή ἡ θεότης εἰς σάρκα μεταπεποίηται ἀλλά μείνασα ὅπερ ἦν, διά τοῦ καταπετάσματος, τουτ᾽ ἔστι τῆς προσληφθείσης ὑπ᾽ αὐτῆς σαρκός, ἡμῖν πεφανέρωται. Ἐντελῶς ἄρα και ἡ τοιαύτη ἔννοια, διά τοῦ ἀναδιπλασιασμοῦ ἀποδέδοται τούτου.

Εἰ δέ τις πάλιν ἀναχυτικός καί συμφύρτης, προσίεται μέν τόν τοιοῦτον ὅρον, ὡς συντρέχοντα δέ τῷ αὐτοῦ δυσσεβήματι· μάλιστα μέν καί αἱ προλεχθεῖσαι ἐπαγωγαί ὡς πoῤῥωτάτω τήν αὐτοῦ κακόνοιαν ἀποσείονται· πολλῷ δέ μᾶλλον ὁ ἕτερος ὅρος, ὁ τόν Χριστόν ἐν δύο φύσεσι γνωριζόμενον ἀπαγγέλλων, καί λαθροκακουργοῦντα αὐτόν ἀπελέγχει. Οὗτος γάρ ὁ ὅρος διαῤῥήδην βοᾷ τό ἑδραίαν καί ἀνεκφοίτητον τῆς θατέρας φύσεως ἰδιότητα κἀν τῇ ἑνώσει μεμενηκέναι, ὥστε ῥᾳδίως διαγινώσκειν δύνασθαι, (1496) τί ἴδιον ἑκάστου τῶν συνελθόντων, καί τί τῶν οἰκείων ἕκαστον ἀλλήλοις παρέχον, τά παρά τοῦ συνυφεστῶτος καί συγκειμένου ἀντικομίζεται. Τοῦτο δέ διηρθρωμένης ὄντως καί καθαρωτάτης ἑνώσεως, καί τά

κοινά τοῦ συναμφοτέρου, καί τά ἴδια ἑκάστου τῶν συνημμένων ἐμφαίνειν. Εἰ γάρ μή ἰδιότης πρῶτον γνωσθείη, οὐδ᾽ ἄν ἡ κοινότης ἐπιγνωσθήσεται. Πῶς γάρ ἡ ἔν τινι κοινωνία γενήσεται, μή ἔχοντος ἑκάστου τῶν κοινωνούντων ἴδιόν τι; Σκόπει δέ οὕτως· Ἴδιον τῆς προσλαβομένης Θεοῦ Λόγου φύσεως, τό εἶναι Υἱόν Θεοῦ. Ἴδιον τῆς προσληφθείσης ἀνθρώπου φύσεως, τό εἶναι Υἱόν ἀνθρώπου. Κιρναμένων οὖν τῶν τοιούτων φύσεων, καί περιχωρουσῶν εἰς ἀλλήλας τῷ λόγῳ τῆς συμφυΐας καί τῆς ἑνώσεως, κιρνῶνται καί περιχωροῦσιν εἰς ἀλλήλας ὡσαύτως καί κλήσεις, καί γίνεται ἀμφότερα, εἷς Υἱός Θεοῦ τε ὁμοῦ καί ἀνθρώπου, τοῦτ᾽ ἔστι τοῦ Θεοῦ Πατρός καί τῆς Παρθένου μητρός· οἷον· Σύ εἶ ὁ Χριστός ὁ Υἱός τοῦ Θεοῦ τοῦ ζῶντος· καί· ἐξαπέστειλεν ὁ Θεός τόν Υἱόν αὐτοῦ γενόμενον ἐκ γυναικός. Ἄρα οὖν ἀμεμφής ὁ ἐκκλησιαστικός λόγος· διά μέν τοῦ εἶναι ἕνα Κύριον Ἰησοῦν Χριστόν Θεόν τε ὁμοῦ καί ἄνθρωπον, δύο φύσεις τόν αὐτόν ἕνα Κύριον Ἰησοῦν Χριστόν ἀπαγγέλλων· τό γάρ, Θεός, φύσεως ὄνομα, καί τό, ἄνθρωπος, ὡσαύτως φύσεως ὄνομα. Ἐπειδή οὖν ὁ αὐτός Θεός ἐστι καί ἄνθρωπος· διά τοῦτο δύο φύσεις εἷς ὁ αὐτός ὁμολογεῖται Κύριος. Πάλιν δέ διά τό εἶναι αὐτόν ἕνα Υἱόν τοῦ τε Θεοῦ Πατρός, καί τῆς Παρθένου μητρός· τό δέ υἱός ὄνομα ὑποστάσεως ὑπάρχει σημαντικόν, καί οὐ φύσεως. Διά τοῦτο καί μία ὑπόστασις, τό τε θεῖον ὁμοῦ καί ἀνθρώπινον ὁ Χριστός παρά τῶν εὐσεβούντων δοξάζεται.

Μίαν οὖν ὑπόστασιν καί δύο φύσεις πρεσβεύων ὁ λόγος τῆς Ἐκκλησίας, μέσην τινά ὁδόν πεπόρευται· οὔτε διά τήν ἕνωσιν Μανιχαῖος, καί τάς φύσεις φύσιν ἀναπλάττων, οὔτε διά τήν διαίρεσιν, τήν κατ᾽ ἐπίνοιαν τῶν ἡνωμένων φύσεως Παυλιανίζων, καί τήν ὑπόστασιν ὑποστάσεις ποιῶν· ὅτι μή ἀνά μέρος ἕν τῶν ὁποτέρων ποιεῖ, ἤ τήν διαίρεσιν χωρίς τῆς ἑνώσεως, ἤ τήν ἕνωσιν χωρίς τῆς διαιρέσεως, ἀλλ᾽ ἅμα καί κατ᾽ ἀλλήλων. Ἡνωμένως γάρ διαιρεῖ, μίαν μέν ὑπόστασιν λέγων, φύσεις δέ δύο· καί διακεκριμένως συνάπτει, δύο μέν φύσεις λέγων, ὑπόστασιν δέ μίαν· ἔμπαλιν ἐπί τῆς θεολογίας κατά τόν μέγαν Γρηγόριον. Ἐκεῖ μέν γάρ ταῖς ὑποστάσεσι διαιρῶν, ἑνοῖ τῇ φύσει· ἐντεῦθεν δέ τῇ ὑποστάσει ἑνίζων, διακρίνει ταῖς φύσεσιν. Ἐκεῖ μέν γάρ ὑποστάσεις διάφοροι, φύσις δέ ἡ αὐτή· ἐνταῦθα δέ φύσεις μέν διάφοροι, ὑπόστασις δέ ἡ αὐτή. Εἴ τις οὖν κατά τόν νοῦν τῆς Ἐκκλησίας ἐκλαμβάνει τό, μίαν τοῦ Θεοῦ Λόγου φύσιν σεσαρκωμένην, ἀσπασίως καταδεξάσθω καί τό δύο φύσεις οὐσιωδῶς

ἡνωμένας λέγειν ἐν τῷ Χριστῷ. Εἰ γάρ ἐπί παραστάσει καί σημασίᾳ τῆς ἀνθρωπίνης φύσεως, μετά τό εἰπεῖν μίαν φύσιν τοῦ Θεοῦ Λόγου, ἐπάγει τό, σεσαρκωμένην· τίνι λόγῳ (1497) λοιπόν ἀναδύεται τό δύο φύσεις ὁμολογεῖν, μίαν μέν τήν τοῦ Θεοῦ Λόγου, ἑτέραν δέ τήν ἀνθρωπίνην, ἥν αὐτός διά τῆς σεσαρκωμένης λέξεως ἀπαγγέλλειν δισχυρίζεται; ἅ γάρ ὁμολογεῖ καί ἀριθμείτω, κατά τόν μέγαν Βασίλειον. Εἰ δέ αἰτιᾶται τόν δύο ἀριθμόν, ὡς διχαστικόν τινα καί διαιρετικόν, γινωσκέτω μή εὔλογον εἶναι τήν τοιαύτην παραίτησιν. Εἰ μέν γάρ, ὡς καί ἀνωτέρω εἴρηται, εἰπών ὁ ὅρος δύο φύσεις ἁπλῶς ἐν τῷ Χριστῷ γινώσκειν, καί μηδέν ἕτερον προσεπιφέρων, ἀπεσιώπα, χώραν ἴσως ἐδίδου ταῖς τοιαύταις ὑποψίαις, ὡς μήπου τήν ἑαυτοῦ ἔννοιαν τρανῶς παραστήσας, ὅπως οἶδε τάς τοιαύτας δύο φύσεις ἔχειν πρός ἑαυτάς. Εἰ δέ ἐπάγει τό, ἡνωμένας, καί πρός τούτοις τήν μίαν κηρύττει ὑπόστασιν, οὐδέ ἐθέλοντί τινι συκοφαντίας τόπον παρέχεται. Δέδεκται οὖν ἐκ παντός, ὅτι ταυτόν ἀμφοτέροις τοῖς ὁρισμοῖς τούτοις τό βούλημα, καί ὁ ἕτερος τοῦ ἑτέρου ἑρμηνευτικός μᾶλλον καί οὐκ ἐναντίος ὑπάρχει. Καί ταῦτα μέν ὡς ἐν προεισαγωγῆς εἴδει λελέχθωσαν νῦν.

Ὅ δ᾽οὖν ὁ λόγος ὥρμητο διηγήσαθαι, ὅτι τῆς Ἐκκλησίας παρωσαμένης τάς ἐφ᾽ ἑκάτερα τροπάς, μέσην τε καί ἀληθεστάτην τεμνούσης ὁδόν· Σευῆρός τις τῇ τῶν ἐν Ἀντιοχείᾳ προεδρίᾳ ἑαυτόν εἰσωθήσας, τήν ἑτέραν τῶν ὁμομοίρων τούτων, τοῦτ᾽ ἔστι τήν κατά Μάνην, Ἀπολινάριόν τε καί Εὐτυχέα, διεκδικεῖν ἐπειρᾶτο, κυκῶν ὅση δύναμις αὐτῷ τήν τῆς Ἐκκλησίας εἰρήνην. Ἐλαθείς δέ τῆς Ἀντιοχέων ὡς στασιώδης καί ταραξίας, τῇ Ἀλεξανδρέων κουφότητι λαίλαπος καί θυέλλης δίκην ἐνέσκηψεν. Ἔνθα καί ἑτέρας καταιγίδος ἀντιπνευσάσης αὐτῷ, ἡμερώτερος μέν καί ἧττον ζαλώδης αὐτός ἑαυτοῦ γίνεται· οἱ δέ ὑπ᾽ αὐτοῦ κλυδωνιζόμενοι καί περιφερόμενοι, διεσπάρησαν ἀπ᾽ ἀλλήλων, καί διῃρέθησαν χείρονως ἤ πρότερον. Διεσκέδασε γάρ αὐτούς Ἰουλιανός, ἐπίχαρμα τῶν ἐχθρῶν αὐτοῦ, καθώς γέγραπται. Ἰουλιανός δέ οὗτος Ἁλικαρνασσοῦ μέν τῆς Ἀσίας ἐπίσκοπος ἦν, τῆς δέ Εὐτυχιανῆς συμμορίας προαγωνιστής ἐκθυμότατος, Σευήρου τε τά πρῶτα συνήθης καί φίλος, συγκεκροτημένοι τε ἄμφω κατά τῆς ἀληθείας· ὕστερον δέ ἐμπεσόντος αὐτοῖς τοῦ τοιούτου ζητήματος, πότερον φθαρτόν φύσει λέγειν τό σῶμα τοῦ Κυρίου ποτέ, ἤ οὐδέ ποτε, ἀλλ᾽ ἐξ αὐτῆς τῆς ἑνώσεως ἀπαρνηθῆναι τῆς φθαρτῆς φύσεως τό ἰδίωμα, ὡς μιᾶς φύσεως

γινομένων τῶν δύο, καί τῆς οὐσιώδους διαφορᾶς ἀμφοῖν μηκέτι γινωσκομένης, τοῦ δέ κρείττονός τε καί θείου μᾶλλον πως ἐκνικήσαντος ἅμα τῇ πρώτῃ συναφείᾳ, καί πρός τό ἑαυτοῦ ἰδίωμα τό ἧττον ἐν ἀκαρεῖ μεθαρμόσαντος τῆς κατ᾽ αὐτό φυσικῆς ἰδιότητος. Κοινόν δέ ἀμφοτέροις Ἰουλιανῷ καί Σευήρῳ τουτί τό ἀπόρημα· ἄμφω γάρ τῆς συγχυτικῆς προεμάχουν ἑνώσεως.

***Δόξα Ἰουλιανοῦ.***

Ἰουλιανός γοῦν καλῶς ποιήσειν διέγνω, εἰ παντάπασιν ἐξ ἀπόπτου χωρήσῃ κατά τῆς ἀληθείας, καί μή ἑαυτῷ τε καί ταύτῃ πολέμιος ᾖ καί ἀνάρμοστος· (1500) ἀκόλουθον εἶναι νομίσας τῷ λέγοντι μίαν φύσιν μή πρός ἑαυτήν ἐναντίαν καί διαφερομένην ποτέ ταύτην ποιεῖν. Διαφορᾶς δέ μή οὔσης ἀσεβέστερον φάναι, τό χεῖρον μετελθεῖν πρός τό κρεῖττον, τοῦτ᾽ ἔστι τό φθαρτόν πρός τό ἄφθαρτον. Ταῦτα συλλογισάμενος, καί μηδ᾽ ὡς ἕτερον ἐναντιούμενον ἑαυτῷ προϊδών, ἄφθαρτον ἀεί τε καί κατά πάντα τήν τοῦ Κυρίου σάρκα ἐξουσιαστικῶς ἀπεφήνατο. Σευῆρος δέ τούτοις μή ἀρεσθείς ὡς διαῤῥήδην κηρύττουσι τήν ἀνάχυσίν τε καί σύμφυσιν, οὔτε σπείσασθαι πρός τήν Ἐκκλησίαν ἐβούλετο, ὡς ἀκολούθως τῇ διαφορᾷ καί ταῖς ἰδιότησι καί τάς φύσεις ἀπαριθμοῦσαν, περί ἅς ἡ διαφορά θεωρεῖται, καί ὧν εἰσιν αἱ ἰδιότητες φυσικῶς αὐταῖς ἐνυπάρχουσαι. Καί τό συνθέσθαι ταῖς Ἰουλιανοῦ τολμηρίαις, ἀναιδές ἅμα καί προπετές ὑπελάμβανε, καί οὐδέν ἕτερον ἤ γυμνῇ τῇ κεφαλῇ, καί ἀπερικαλύπτῳ τῷ στόματι πολεμεῖν τήν εὐσέβειαν.

***Δόξα Σευήρου.***

Ἐκ τούτου Σευῆρος γίνεται καί ἑαυτῷ καί τῇ ἀληθείᾳ καί τῷ γείτονι αὐτοῦ ψεύδει ἀντίθετος, καί οὔτε ὅλως ἀληθής οὔτε ὅλως ψευδής, ἀλλ᾽ οἷον εἰπεῖν ψευδαληθής, ὅμοιος τῇ ὑπ᾽ αὐτοῦ ἐπινενοημένῃ μιᾷ συνθέτῳ φύσει. Διά τοῦτο καί πρός ἑαυτόν μάχιμος καί ἀπαλίμβολος, ἠλιθίως ὄντως καί ἀμαθῶς μέσον τι χρῆμα ψεύδους καί ἀληθείας ζητῶν, ὅπερ οὐκ ἔστι. Μεσότητα γάρ ἀληθείας καί ψεύδους οὔτε εὑρεῖν, οὔτε ἐπινοῆσαι δυνατόν· ἡ μέν γάρ ἀλήθεια μέση ἀεί καί ἀπαρέγκλιτος, καί διά τοῦτο ἑδραία καί πάντοθεν ἴση καί εὐθύτονος· οὐ παραδέχεται οὖν ἕτερόν τι τό ἐγκάρσιον αὐτήν ἀποτελοῦν, καί ἐξωθοῦν τῆς οἰκείας στάσεως καί μονιμότητος, ἐκτοξεύει δέ πᾶν τό ἐπιβούλως αὐτῇ προσπελάζον, καί τό μέσον

αὐτῆς διασαλεύειν πειρώμενον. Ὅπερ καί Σευῆρον ὑπ᾽ αὐτῆς πεπονθότα εὑρίσκομεν. Ἐπειδή γάρ, ὡς ἔφαμεν, καινόν τι μέσον παρά τήν ἀλήθειαν εὑρεῖν ἐπεχείρησε, πλαγιασθέν, ὡς οὐκ ἔγνω μέσην ἑαυτοῦ καί τοῦ ὁμοφύλου αὐτῷ ψεύδους, πεποίηκε ταύτην. Αὐτοῦ γάρ Σευήρου μίαν φύσιν λέγοντος εἶναι τόν Χριστόν, καί τήν διαφοράν τήν ἐν τῷ Χριστῷ δεχομένου. Ἰουλιανοῦ δέ μίαν μέν κατά Σευῆρον λέγοντος φύσιν, ἀναιροῦντος δέ τήν διαφοράν· ἡ ἀλήθεια, τοῦτ᾽ ἔστιν ὁ ἐκκλησιαστικός λόγος, τήν μεσότητα ἑαυτῇ πανταχοῦ διασώζουσα, δέχεται μέν τήν διαφοράν, οὐ κατά Σευῆρον δέ· Οὐδέ γάρ οἶδέ ποτε μίαν φύσιν ἑαυτῇ ἐναντίαν. Δύο γάρ φύσεις ἐν τῷ Χριστῷ γινώσκουσα, θεότητα καί ἀνθρωπότητα, τούτων καί διαφοράν τήν πρός ἄλληλα τηλαυγεστάτην θεωρεῖ. Οὐ γάρ ταυτόν θεότης, καί ἀνθρωπότης, εἰ καί εἷς ὁ Χριστός ὁ ἐν ἀμφοτέραις ὑπάρχων, καί ἀμφότερον· εἰ γάρ καί τό συναμφότερον ἕν, ἀλλ᾽ οὐ τῇ φύσει, τῇ δέ συνόδῳ, ὁ ἐκκλησιαστικός κήρυξ ἀριδήλως βοᾷ. Μή δεχομένη δέ ἡ Ἐκκλησία κατά Σευῆρον τήν διαφοράν· ἀλλά κατά τόν ἑαυτῆς λόγον οὐκ ἀποβάλλεται ταύτην καθ᾽ ὁμοιότητα τοῦ Ἁλικαρνασσέως. Σάρκα γάρ ἀληθῆ καί ψυχήν νοεράν μετά τῶν οἰκείων ἰδιωμάτων (1501) ἀναλαβόντα τόν Λόγον ἐπίσταται· καί ἑνωθέν οἶδε τῷ φθαρτῷ τό ἀθάνατον, ὡς ὁ προλεχθείς Θεολόγος Γρηγόριος ἔφη.

Ἆρ᾽ οὖν, ὅπερ ἐλέγομεν, μέση μεμένηκεν ἀμφοτέρων καί ἀκίνητος ἡ ἀλήθεια, ἀποβαλλομένη μέν τό λέγειν κατά Σευῆρον μίαν φύσιν καί διαφοράν· αἰνίγματος γάρ καί τερατομυθίας οὐδέν ἧττον διενήνοχε τοῦτο. Πῶς γάρ ἡ αὐτή φύσις δύο ἔσται τά ἐναντία; πῶς δέ καί ὑποστήσεται κατ᾽ αὐτό τό πεφυκέναι πολεμουμένη ὑφ᾽ ἑαυτῆς, καί αὐτήν πολεμοῦσα; Καί ἐν τούτῳ δέ κατά καιρόν μνημονευτέον τοῦ Κυρίου βοῶντος, ὅτι πᾶσα οἰκία ἤ βασιλεία καθ᾽ ἑαυτήν μερισθεῖσα, οὐ σταθήσεται. Εἰ οὖν κατ᾽ αὐτόν ἡ μία φύσις ἐμερίσθη ἐφ᾽ ἑαυτήν, πῶς σταθήσεται ἡ ταύτης ὕπαρξις; ἆρ᾽ οὖν κατά τάς κοινάς ἐννοίας κατά τε αὐτόν τόν τοῦ Κυρίου λόγον, εὖ γε ποιῶν ὁ τῆς Ἐκκλησίας λόγος, οὐ παραδέχεται μίαν φύσιν πρός ἑαυτήν διαφερομένην, καί αὐτῇ ἐναντίαν, κατά τήν τοῦ Σευήρου ἄστατον καί μαχιμωτάτην ἐπίνοιαν. Ἀλλά μήν οὐδέ κατά Ἰουλιανόν παντάπασι τήν διαφοράν ἀποβάλλεται ἡ τοῦ Θεοῦ Ἐκκλησία. Εἰ γάρ μία μέν φύσις κατ᾽ ἐκεῖνον ὁ Χριστός, καί διαφοράν οὐσιώδη μή καθ᾽ ὁτιοῦν παραδέδεκται, ἕν τῶν ὁποτέρων ἀνάγκη πάντως ὁμολογεῖν τόν ταῦτα δισχυριζόμενον, ἤ ἄνθρωπον ψιλόν εἶναι τόν Κύριον, καί τά λεγόμενα ἐπ᾽ αὐτοῦ, θείαν

δύναμιν ἑτέραν παρ᾽ αὐτόν οὖσαν, καί ἐν αὐτῷ οὖσαν, καί ἐνεργοῦσαν πεπρᾶχθαι· ἤ Θεόν γυμνόν καί μή ἐνηνθρωπηκότα εἶναι τόν Χριστόν, καί τά λεγόμενα ἐπ᾽ αὐτοῦ ἀνθρώπινα, μή ὡς ἄνθρωπον, ἀλλ᾽ ὡς Θεόν ταῦτα παθεῖν, εἰς τήν μίαν αὐτοῦ φύσιν ταῦτα ἀνδεχόμενον· ἤ εἰ μηδέ ἕν τούτων, φαντασίᾳ τινί καί ἀπάτῃ λέγειν περί αὐτοῦ δεδρακέναι ἅπερ ἔδρα, ἤτοι τά θεῖα, ἤτοι τά ἀνθρώπινα, ἤ τό παράπαν ψευδῆ εἶναι τήν περί αὐτοῦ πᾶσαν εὐαγγελικήν ἱστορίαν, καί μάτην ἀπατᾶσθαι τούς Χριστιανούς, καί κενήν μακαρίαν εἶναι, τό δή λεγόμενον, τήν εἰς Χριστόν ἐλπίδα. Καιρός δέ λοιπόν καί τό τοῦ Ἀποστόλου λέγειν, Κενόν ἄρα τό κήρυγμα ἡμῶν. Εὑρισκόμεθα δέ καί ψευδομάρτυρες τοῦ Θεοῦ, ὅτι ψευδοεμαρτυρήσαμεν κατά τοῦ Θεοῦ, ὅτι ἤγειρε τόν Χριστόν, ὅν οὐκ ἤγειρε.

Ματαιότης ὄντως οἱ τοιοῦτοι συλλογισμοί, καί τῆς πίστεως ἀνατροπή κατά τόν Θεολόγον Γρηγόριον. Ἐκ παντός οὖν ἀποδέδεικται κεκαθαρμένην ἀντιῤῥήσεως ἁπάσης, καί ἀνεξέλεγκτον εἶναι, καί μόνην ἐπί τῆς ἀληθείας ἑστάναι τήν δόξαν τῆς ἁγίας τοῦ Θεοῦ καθολικῆς Ἐκκλησίας. Ὅταν μέν γάρ τόν τρόπον καθ᾽ ὅν γέγονεν ἡ ἐκ θείας φιλανθρωπίας πρός ἡμᾶς συγκατάβασις βούληται παριστᾶν, τήν μίαν τοῦ Θεοῦ Λόγου φύσιν σεσαρκωμένην ὁμολογοῦσιν· ὡς ἅτε τοῦ Λόγου ἀνάρχου τε ὄντος καί ἀϊδίως ἐν τῷ Πατρί, ἐν ὑστέρῳ δέ δι᾽ ἡμᾶς καί τήν ἡμετέραν σωτηρίαν ἐνανθρωπήσαντος, καί σπέρματος Ἀβραάμ ἐπιλαβομένου, καί κατά πάντα ἡμῖν ὁμοιωθέντος δίχα μόνης ἁμαρτίας. Ὅταν δέ τά ἐν οἷς ὁ Χριστός, ἤ καί ὅσα ὁ Χριστός, βούληται θεωρεῖν, δύο φύσεις (1504) οὐσιωδῶς ἡνωμένας ὁμολογοῦσα, κἀκ τούτου παριστῶσα τό μεγαλεῖον τοῦ ἐλέους, καί τῶν οἰκτιρμῶν τοῦ Θεοῦ περί ἡμᾶς καταδεξαμένου, διά τήν πρός ἡμᾶς στοργήν συνεῖναί τε καί συναριθμεῖσθαι τῇ ἑαυτοῦ φύσει τήν ἡμετέραν· καί χάρις τῷ Θεῷ ἐπί τῇ ἀνεκδιηγήτῳ αὐτοῦ δωρεᾷ. Καί ταῦτα μέν εἰς τοσοῦτον. Ἐπειδή δέ ὁ Σευῆρος ψιλαῖς προκαθέζεται φωναῖς, ἐν ῥήμασί τε μόνοις καί ἤχοις τήν εὐσέβειαν ὑποτίθεται· καίτοιγε τοῦ Ἀποστόλου λέγοντος· Οὐ γάρ ἐν λόγῳ ἡ βασιλεία τοῦ Θεοῦ, ἀλλ᾽ ἐν δυνάμει, καί ἀληθείᾳ. Οὕτως δέ παρ᾽ αὐτῷ Σευήρῳ κράτιστος θεολόγος γνωρίζεται, ὡσάν τάς κατηγορίας Ἀριστοτέλους, καί τά λοιπά τῶν ἔξω φιλοσόφων κομψά ἠσκημένος τυγχάνῃ· ἀναγκαῖον ἡμᾶς τά σημαινόμενα ἑκάστης λέξεως, τῶν εἰς τά πρός αὐτόν Σευῆρον λεγόμενα χρειωδῶς λαμβανομένων, ἐπί καιροῦ σαφηνίσαι, κατά τόν νοῦν τῶν

ἐκκλησιαστικῶν διδασκάλων, καθ᾽ ὅν ταῦτα ἐξειλήφασιν· ἵνα ἔχοιεν οἱ ἐντυγχάνοντες τοῖς ὑπογεγραμμένοις λόγοις, ἐκ πρώτης ἐντεύξεως νοεῖν τῶν λεγομένων τήν δύναμιν, καί μή διά τήν ἄγνοιαν τοῦ σημαινομένου τῶν λέξεων, πρός τήν κατάληψιν τῶν ἐν αὐτοῖς θεωρημάτων παραποδίζωνται.